
GEORGE GROTE.

ARISTOTELES

GRAECE

EX RECENSIONE

IMMANUELIS BEKKERI.

EDIDIT

ACADEMIA REGIA BORUSSICA.

VOLUMEN ALTERUM.

BEROLINI
APUD GEORGIUM REIMERUM
A. 1831.

EX OFFICINA ACADEMICA.

ΠΕΡΙ ΧΡΩΜΑΤΩΝ.

Ἁπλᾶ τῶν χρωμάτων ἐςὶν ὅσα τοῖς ςοιχείοις συνακολυθεῖ, οἷον πυρὶ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ. ἀὴρ μὲν γὰρ καὶ ὕδωρ καθ' ἑαυτὰ τῇ φύσει λευκά, τὸ δὲ πῦρ καὶ ὁ ἥλιος ξανθά. καὶ ἡ γῆ δ' ἐςὶ φύσει λευκή, παρὰ δὲ τὴν βαφὴν πολύχρους φαίνεται. δῆλον δ' ἐπὶ τῆς τέφρας τῦτ' ἐςίν· ἐκκαυθέντος γὰρ τοῦ τὴν βαφὴν πεποιηκότος ὑγροῦ λευκὴ γίνεται, ὐ παντελῶς δὲ διὰ τὸ τῷ καπνῷ βεβάφθαι μέλανι ὄντι. διὸ καὶ ἡ κονία ξανθὴ γίνεται, τῦ φλογοειδῦς καὶ μέλανος ἐπιχρώζοντος τὸ ὕδωρ. τὸ δὲ μέλαν χρῶμα συνακολουθεῖ τοῖς στοιχείοις εἰς ἄλληλα μεταβαλλόντων. τὰ δ' ἄλλα ἐκ τούτων εὐσύνοπτα τῇ μίξει κεραννυμένων ἀλλήλοις γίνεται. τὸ δὲ σκότος ἐκλείποντος τῦ φωτὸς γίνεται. τριχῶς γὰρ τὸ μέλαν ἡμῖν φαίνεται. ἢ γὰρ ὅλως τὸ μὴ ὁρώμενόν ἐςι τῇ φύσει μέλαν (ἁπάντων γὰρ τῶν τοιύτων ἀνακλᾶταί τι φῶς μέλαν), ἢ ἀφ' ὧν μηδὲν ὅλως φέρεται φῶς πρὸς τὰς ὄψεις· τὸ γὰρ μὴ ὁρώμενον, ὅταν ὁ περιέχων τόπος ὁρᾶται, φαντασίαν ποιεῖ μέλανος. φαίνεται δὲ καὶ τὰ τοιαῦτα ἡμῖν ἅπαντα μέλανα, ἀφ' ὅσων ἀραιὸν καὶ ὀλίγον ἰσχυρῶς ἀνακλᾶται τὸ φῶς. διὸ καὶ αἱ σκιαὶ φαίνονται μέλαιναι. ὁμοίως δὲ καὶ τὸ ὕδωρ, ὅταν τραχυνθῇ, καθάπερ ἡ τῆς θαλάττης φρίκη· διὰ γὰρ τὴν τραχύτητα τῆς ἐπιφανείας ὀλίγων τῶν αὐγῶν προσπιπτυσῶν καὶ διασπωμένου τοῦ φωτός, τὸ σκιερὸν μέλαν φαίνεται. καὶ τὸ νέφος, ὅταν ᾖ πυκνὸν ἰσχυρῶς, διὰ τοῦτο. κατὰ τὰ αὐτὰ δὲ τούτοις καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ, ὅταν ᾖ μὴ παντελῶς διαδῦνον τὸ φῶς. καὶ γὰρ ταῦτα εἶναι δοκεῖ μέλανα, βάθος ἔχοντα, διὰ τὸ παντελῶς ἀραιὰς ἀνακλᾶσθαι τὰς ἀκτῖνας· τὰ γὰρ μεταξὺ μόρια τῦ φωτὸς αὐτῶν ἅπαντα εἶναι δοκεῖ μέλανα διὰ τὸ σκότος. ὅτι δὲ τὸ σκότος οὐ χρῶμα ἀλλὰ στέρησίς ἐςι φωτός, οὐ χαλεπὸν ἐξ ἄλλων τε πολλῶν καταμαθεῖν, καὶ μάλιςα ἐκ τοῦ μηδὲ αἰσθητὸν εἶναι τὸ πηλίκον καὶ ποῖόν τι τῷ σχήματι τετύχηκεν ὂν τὸ σκότος, καθάπερ ἐπὶ τῶν ἄλλων ὁρατῶν. τὸ δὲ φῶς ὅτι πυρός ἐςι χρῶμα, δῆλον ἐκ τῦ μηδεμίαν ἄλλην ἢ ταύτην ἔχον εὑρίσκεσθαι χρόαν, καὶ διὰ τὸ μόνον τοῦτο δι' ἑαυτοῦ ὁρατὸν γίνεσθαι, τὰ δ' ἄλλα διὰ τούτου. ἐπισκεπτέον δὲ τῦτο. ἔνια γὰρ ὐκ ὄντα πῦρ ὐδὲ πυρὸς εἴδη τὴν φύσιν φῶς ποιεῖν φαίνεται. εἰ μὴ ἄρα τὸ μὲν τῦ πυρὸς χρῶμα φῶς ἐστίν, οὐ μέντοι καὶ τὸ φῶς πυρός ἐστι χρῶμα μόνου, ἀλλ' ἐνδέχεται μὴ μόνῳ μὲν ὑπάρχειν τῷ πυρὶ τὴν χρόαν ταύτην, εἶναι μέντοι χρῶμα τὸ φῶς αὐτῦ. ὐδενὶ γῦν ἄλλῳ τὴν ὅρασιν αὐτῦ συμβαίνει γίνεσθαι πλὴν τῷ φωτί, καθάπερ καὶ τὴν τῶν ἄλλων σωμάτων ἁπάντων τῇ τῦ σώματος φαντασίᾳ. τὸ δὲ μέλαν χρῶμα συμβαίνει γίνεσθαι, ὅταν ὁ ἀὴρ καὶ τὸ ὕδωρ ὑπὸ τῦ πυρὸς διακαυθῇ, διὸ καὶ πάντα τὰ καόμενα μελαίνεται, καθάπερ ξύλα καὶ ἄνθρακες σβεσθέντος τοῦ πυρός, καὶ ὁ ἐκ τοῦ κεράμου καπνὸς ἐκκρινομένου τῦ ἐνυπάρχοντος ἐν τῷ κεράμῳ ὑγρῦ καὶ καομένου. διὸ καὶ τοῦ καπνοῦ γίνεται μελάντατος ὁ ἀπὸ τῶν πιόνων καὶ λιπαρῶν, οἷον ἐλαίου καὶ πίττης καὶ δᾳδός, διὰ τὸ μάλιστα ταῦτα κάεσθαι καὶ συνέχειαν ποιεῖν. μέλανα δὲ καὶ ταῦτα γίνεται, δι' ὅσων ῥεῖ τὸ ὕδωρ, ὅταν βρυωθέντων πρῶτον ἀναξηρανθῇ τὸ ὑγρόν, καθάπερ καὶ τὰ ἐν τοῖς τοίχοις κονιάματα. ὁμοίως δὲ καὶ οἱ

Codices *ELMPX*$G^a$$H^a$ et nonnullis locis *Qip*.

2. καὶ ἀέρι om pr G^a. ‖ γὰρ] ὖν *PXp*, om *EMi*. ‖ 11. εὐσύνοπτα ἐκ τύτων H^a. ‖ 13. τριχῆ *Li*. ‖ 14. τὴν φύσιν G^a. ‖ μέλαν om *i*. ‖ 15. μέλαν om *EP*H^a. ‖ ἢ om *M*. ‖ 16. φαίνεται *i*. ‖ 18. ἅπαντα ἡμῖν *L*$G^a$$H^a$. ‖ μέλανα om pr G^a. ‖ 19. ἰσχυρῶς om *i*. ‖ 21. ταραχθῇ *L*. ‖ 22. αὐγῶν] αὐτῶν *P*. ‖ 23. διασπωμένων *MP* et pr *E*. ‖ 25. κατὰ] καὶ *EM*G^a. ‖ αὐτὰ] τοιαῦτα *M* et pr *E*. ‖ ᾖ παντελῶς μὴ *P*, ἤδη παντελῶς *M* et pr *E*. ‖ 26. διαδὺν pr G^a, διατεῖνον *M*. ‖ εἶναι om *X*.

1. μόρια τῦ] μορίου *M*. ‖ 2. δοκεῖ εἶναι *X*H^a. ‖ μέλαν H^a. ‖ 4. μὴ *X*G^a. ‖ 8. ἔχον om *EMPX*. ‖ καὶ om *EMPX*. ‖ τοῦτο μόνον *L*$G^a$$H^a$. ‖ 12. χρῶμα — ἐςι om *P*. ‖ 13. μόνον *LX*. ‖ 15. ὖν *P*, γὰρ *L*H^a. ‖ 16. ἁπάντων σωμάτων *P*. ‖ 17. τοῦ] τοῦδε τοῦ *X*. ‖ 18. ὁ om *M* et pr *E*. ‖ τὸ om *M*. ‖ 19. καιόμενα *X*. ‖ 22. καὶ ante καομένου om *X*. ‖ τῶν καπνῶν *Pp*. ‖ 23. καὶ post ἐλαίου om *P*. ‖ 26. βρωθέντων *X*, κρυωθέντων *L*, βρυωθέντα *EM*$G^a$$H^a$. ‖ πρότερον *X*. ‖ 27. τοῖς om *L*G^a.

καθ' ὕδατος λίθοι· καὶ γὰρ οὗτοι βρυωθέντες, ὕϛερον ἀποξηραινόμενοι τῷ χρώματι γίνονται μέλανες. τὰ μὲν οὖν ἁπλᾶ τῶν χρωμάτων ταῦτα καὶ τοσαῦτά ἐϛιν.

2 Τὰ δ' ἄλλα ἐκ τέτων τῇ κράσει καὶ τῷ μᾶλλον καὶ ἧττον γιγνόμενα πολλὰς καὶ ποικίλας ποιεῖ χρωμάτων φαντασίας. κατὰ μὲν τὸ μᾶλλον καὶ ἧττον, ὥσπερ τὸ φοινικѹν καὶ τὸ ἁλουργές, κατὰ δὲ τὴν κρᾶσιν, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν, ὅταν μιχθέντα φαιѹ ποιήσῃ φαντασίαν. διὸ τὸ μέλαν καὶ σκιερὸν τῷ φωτὶ μιγνύμενον φοινικοῦν. τὸ γὰρ μέλαν μιγνύμενον τῷ τε τοῦ ἡλίου καὶ τῷ ἀπὸ τѹ πυρὸς φωτὶ θεωρѹμεν ἀεὶ γιγνόμενον φοινικѹν, καὶ τὰ μέλανα πυρωθέντα πάντα εἰς χρῶμα μεταβάλλοντα φοινικοῦν· αἵ τε γὰρ καπνώδεις φλόγες καὶ οἱ ἄνθρακες, ὅταν ὦσι διακεκαυμένοι, φαίνονται χρῶμα ἔχοντες φοινικѹν. τὸ δ' ἁλѹργὲς εὐανθὲς μὲν γίνεται καὶ λαμπρόν, ὅταν τῷ μετρίῳ λευκῷ καὶ σκιερῷ κραθῶσιν ἀσθενεῖς αἱ τѹ ἡλίѹ αὐγαί. διὸ καὶ περὶ ἀνατολὰς καὶ δύσεις ὁ ἀὴρ πορφυροειδὴς ἐϛιν ὅτε φαίνεται, περὶ ἀνατολὴν καὶ δύσιν ὄντος τοῦ ἡλίου· ἀσθενεῖς γὰρ ѹσαι τότε μάλιϛα πρὸς σκιερὸν ὄντα τὸν ἀέρα προσβάλλѹσιν. φαίνεται δὲ καὶ ἡ θάλαττα πορφυροειδής, ὅταν τὰ κύματα μετεωριζόμενα κατὰ τὴν ἔγκλισιν σκιασθῇ· πρὸς γὰρ τὸν ταύτης κλισμὸν ἀσθενεῖς αἱ τοῦ ἡλίου αὐγαὶ προσβάλλουσαι ποιοῦσι φαίνεσθαι τὸ χρῶμα ἁλουργές. ὃ καὶ ἐπὶ τῶν πτερωμάτων θεωρεῖται γιγνόμενον· ἐντεινόμενα γάρ πως πρὸς τὸ φῶς ἁλουργὲς ἔχει τὸ χρῶμα. ἐλάττονος δὲ τοῦ φωτὸς προσβάλλοντος ζοφερόν, ὃ καλοῦσιν ὄρφνιον· πολὺ δὲ καὶ τῷ πρώτῳ μέλανι κραθὲν φοινικѹν. εὐανθὲς δ' ὂν καὶ ϛίλβον εἰς τὸ φλογοειδὲς χρῶμα μεταβάλλει. κατὰ γὰρ τὴν πρὸς ἄλληλα κρᾶσιν οὕτως ληπτέον, ἐξ ὑποκειμένου τεθεωρημένου χρώματος ποιѹντας τὴν μίξιν, ἀλλὰ μὴ πάντων ὁμοίαν γένεσιν ποιѹντας. ἔϛι γὰρ τῶν χρωμάτων ѹχ ἁπλᾶ μέν, λόγον δ' ἔχει πρός τινα τὸν αὐτὸν τῶν συνθέτων ὅνπερ τὰ ἁπλᾶ πρὸς ἑαυτά, διὰ τὸ τὰ ἁπλᾶ πρὸς μίξιν ἑνὸς ἔχειν, καὶ μὴ εὔσημον ἐν τῷ παντί, καὶ προστεθεωρημένον κατασκευάζειν ὁμοίως. τὴν γὰρ τѹ ἁλουργοῦ ἢ φοινικιѹ κρᾶσιν λέγοντας ἀνάγκη ὁμοίως τοῖς ἐκ τούτων μιγνυμένοις καὶ ποιοῦσιν ἄλλην χρόαν τὴν γένεσιν διηγεῖσθαι, καὶ μὴ ὁμοίαν ἔμφασιν ποιεῖν. διόπερ ἐκ τοῦ προκατεσκευασμένου ληπτέον καὶ θεωρητέον τὴν κρᾶσιν, οἷον ὅτι τὸ οἰνωπὸν χρῶμα γίνεται, ὅταν ἀκράτῳ τῷ μέλανι καὶ ϛίλβοντι κραθῶσιν αὐγαὶ ἠεροειδεῖς, ὥσπερ καὶ αἱ τῶν βοτρύων ῥᾶγες· καὶ γὰρ τούτων οἰνωπὸν φαίνεται τὸ χρῶμα ἐν τῷ πεπαίνεσθαι· μελαινομένων γὰρ τὸ φοινικѹν εἰς τὸ ἁλουργὲς μεταβάλλει. κατὰ δὲ τὸν ὑποδεδειγμένον τρόπον θεωρητέον πάσας τὰς τῶν χρωμάτων διαφοράς, ἐκ κινήσεως τὴν ὁμοιότητα λαμβάνοντας κατ' αὐτὸ τὸ φαινόμενον, τὴν ἐν ἑκάϛῳ μίξιν ὁμοιѹντας καὶ ἐπὶ τῶν κατὰ μέρος ἐν γενέσει τινὶ καὶ κράσει ποιѹντων φαντασίαν, καὶ πίϛιν προσφερομένѹς. δεῖ δὲ καὶ πάντων τѹτων ποιεῖσθαι τὴν θεωρίαν μὴ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα ταῦτα κεραννύντας, ἀλλ' ἀπὸ τῶν εἰρημένων τὰς ἀνακλωμένας αὐγὰς πρὸς ἀλλήλας συμβάλλοντας· μάλιστα γὰρ δύναιτ' ἄν τις κατὰ φύσιν θεωρῆσαι τὰς τῶν χρωμάτων κράσεις. τὰς δὲ πίϛεις καὶ τὰ ὅμοια δεῖ ἐν οἷς ἡ γένεσις ἔϛαι φανερὰ τῶν χρωμάτων. ταῦτα δὲ μάλιϛά ἐϛι τό τ' ἀπὸ τѹ ἡλίου φῶς καὶ τὸ ἀπὸ τѹ πυρὸς καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ· κεραννύμενα γὰρ τῷ μᾶλλον καὶ ἧττον ταῦτα μάλιϛα πάσας ὡς εἰπεῖν τὰς χρόας ἀποτελεῖ. ἐπιληπτέον δὲ καὶ ἀπὸ τῶν ἄλλων χρωμάτων ταῖς αὐγαῖς κεραννυμένων τὴν ὁμοιότητα· οἱ γὰρ ἄνθρακες καὶ ὁ καπνὸς καὶ ὁ ἰὸς καὶ τὸ θεῖον καὶ τὰ πτερώματα κεραννύμενα τὰ μὲν ταῖς τѹ ἡλίου αὐγαῖς, τὰ δὲ ταῖς τѹ πυρός, πολλὰς καὶ ποικίλας ποιοῦσι μεταβολὰς χρωμάτων. τὰ δὲ καὶ τῇ πέψει θεωρητέον, γινόμενα ἐν φυτοῖς καὶ καρποῖς καὶ τριχώμασι καὶ πτερώμασι καὶ τοῖς τοιѹτοις πᾶσιν.

Δεῖ δὲ μὴ λανθάνειν τὸ πολυειδὲς καὶ τὸ ἄπειρον τῶν 3
χρωμάτων, διὰ πόσα συμβαίνει γίνεσθαι. εὑρήσομεν γὰρ

1. βρωθέντες *X*, κρυωθέντες *L*. ‖ ἀποξηρανθέντες γίνονται τῷ χρώματι $LG^{a}H^{a}$. ‖ 4. καὶ τὸ *L*, κατὰ τὸ *P*. ‖ μᾶλλον] μᾶλλόν τε *EMPX*. ‖ 5. ἧττον] τῷ ἧττον $LG^{a}H^{a}$. ‖ χρωμάτων ποιεῖ *EP*. ‖ 6. ἧττον] τὸ ἧττον $ELPG^{a}H^{a}$. ‖ 7. ἁλουργόν *L*. ‖ 9. μιγνυμένων *M*. ‖ 10. τε] τε ἀπὸ $LG^{a}H^{a}$. ‖ 11. θεωρούμενον H^{a}. ‖ 12. εἰς] εἰσὶ *M*. ‖ φοινικοῦν μετ. *P*. ‖ 13. καπνοειδεῖς G^{a} et pr H^{a}. ‖ 15. ἁλουργὸν G^{a}. ‖ 16. λευκῷ] λαμπρῷ *X*. ‖ 17. πορφυροειδεῖς *L*. ‖ 20. θάλασσα *P*. ‖ 21. πυροειδὴς *E*. ‖ 22. ταύτης om *X*. ‖ 23. ἡ τѹ ἡλίѹ αὐγὴ *X*. ‖ 25. πως om *M*. ‖ 28. φοινικιοῦν *EX*. ‖ ὂν post ϛίλβον $G^{a}H^{a}$, utrobique *L*. ‖ 29. χρῶμα om $G^{a}H^{a}$. ‖ 32. τῶν om *PX*. ‖ χρωμάτων εἴδη ѹχ *X*. ‖ ἁπλῶς *L* et pr G^{a}. ‖ 33. τῶν αὐτῶν *M*. ‖ τὰ ἁπλᾶ πρὸς] τά ἁπλᾶ πῶς $LPQG^{a}H^{a}p$ et corr *E*, ἁπλᾶ πῶς *X*, πλάτος *Mi* et pr *E*.

1. καὶ προτεθεωρημένον ἐν τῷ παντὶ *X*. ‖ 2. φοινικѹ $LPXG^{a}H^{a}$. ‖ 3. τοῖς] καὶ τοῖς *P*. ‖ ἐκ om *EM*. ‖ 4. διηγουμένѹς *EMi*, λέγειν γίνεσθαι *PXp*. ‖ 10. μελαινόμενον G^{a}. ‖ τὸ post εἰς om *M*. ‖ 12. τὰς om *P*. ‖ διαφορὰς τῶν χρωμάτων G^{a}. ‖ 13. καθ' αὑτὸ $LG^{a}H^{a}$. ‖ 15. καὶ τὴν πίϛιν *X*. ‖ 17. κεραννύντες H^{a}. ‖ 19. ἄλληλα *EM*. ‖ γὰρ om *P*. ‖ 24. ἧττον καὶ μᾶλλον G^{a}. ‖ 25. ἐκληπτέον *X*. ‖ καὶ om *X*. ‖ ἐπὶ H^{a}. ‖ 30. γενόμενα *P*. ‖ 31. φυτοῖς τε καὶ $G^{a}H^{a}$. ‖ 33. τὸ post καὶ om *X*.

ἤτοι διὰ τὸ τῷ φωτὶ καὶ ταῖς σκιαῖς ἀνίσως καὶ ἀνωμάλως λαμβάνεσθαι· καὶ γὰρ αἱ σκιαὶ καὶ τὸ φῶς κατὰ τὸ μᾶλλον καὶ ἧττον πολὺ διαφέρουσιν αὑτῶν, ὥςε καὶ καθ' αὑτὰς καὶ μετὰ τῶν χρωμάτων μιγνύμεναι ποιῦσι μεταβολὰς χρωμάτων, ἢ τῷ τὰ κεραννύμενα τῷ πλήθει καὶ ταῖς δυνάμεσι διαφέρειν, ἢ τῷ λόγυς ἔχειν μὴ τὺς αὐτύς. πολλὰς γὰρ καὶ τὸ ἁλυργὲς ἔχει διαφορὰς καὶ τὸ φοινικιοῦν καὶ τὸ λευκὸν καὶ τῶν ἄλλων ἕκαςον καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον καὶ κατὰ τὴν πρὸς ἄλληλα μίξιν καὶ εἰλικρίνειαν αὐτῶν. ποιεῖ δὲ διαφορὰν καὶ τὸ λαμπρὸν ἢ στίλβον εἶναι τὸ μιγνύμενον ἢ τοὐναντίον αὐχμηρὸν καὶ ἀλαμπές. ἔςι δὲ τὸ ςίλβον ὐκ ἄλλο τι ἢ συνέχεια φωτὸς καὶ πυκνότης. τὸ γὰρ χρυσοειδὲς γίνεται, ὅταν τὸ ξανθὸν καὶ τὸ ἡλιῶδες πυκνωθὲν ἰσχυρῶς ςίλβῃ. διὸ καὶ οἱ τῶν περιςερῶν τράχηλοι καὶ τῶν ὑδάτων οἱ ςαλαγμοὶ φαίνονται χρυσοειδεῖς τῦ φωτὸς ἀνακλωμένου. ἔςι δὲ ἃ λειύμενα τρίψει καὶ δυνάμεσί τισιν ἀλλοίας ἴσχει καὶ ποικίλας χρόας, ὥσπερ καὶ ὁ ἄργυρος παρατριβόμενος καὶ χρυσὸς καὶ χαλκὸς καὶ σίδηρος. καί τινα γένη λίθων διαφόρους ποιεῖ χρόας, καθάπερ καὶ ... μέλαιναι γὰρ ὖσαι λευκὰς γράφουσι γραμμάς, διὰ τὸ πάντων τῶν τοιύτων τὰς μὲν ἐξ ἀρχῆς συστάσεις ἐκ μικρῶν εἶναι μορίων καὶ πυκνῶν καὶ μελάνων, ὑπὸ δὲ τῆς ἐν τῇ γενέσει βαφῆς ἁπάντων τῶν πόρων κεχρωσμένων δι' ὧν διελήλυθεν αὐτῶν ἡ βαφή, ἄλλην ἐσχηκέναι τὴν τῦ χρώματος φαντασίαν. ὁ δ' ἀποτριβόμενος ἀπ' αὐτῶν οὐκέτι γίνεται χρυσοειδὴς ὐδὲ χαλκειδὴς ὐδ' ἄλλην οὐδεμίαν τοιαύτην ἔχων χροιάν, ἀλλὰ πάντως μέλας, διὰ τὸ τὺς μὲν πόρους παρατριβομένων αὐτῶν ἀναρρήγνυσθαι, δι' ὧν ἡ βαφὴ διελήλυθε, φύσει δὲ καὶ τῶν αὐτῶν εἶναι. τῦ γὰρ προτέρου χρώματος ὐκέτι ὄντος ἡμῖν φανεροῦ παρὰ τὸ διασπᾶσθαι τὴν βαφήν, τὸ κατὰ φύσιν ὑπάρχον αὐτοῖς χρῶμα ὁρῶμεν· διὸ καὶ πάντα φαίνεται μέλανα. ἐν δὲ τῷ παρατρίβεσθαι πρὸς ὁμαλὲς καὶ λεῖον ἕκαστον τούτων, καθάπερ καὶ πρὸς τὰς βασάνους, ἀποβάλλοντα ἀπολαμβάνει πάλιν τὴν χρόαν ἐν τῇ συνάψει καὶ συνεχείᾳ, τὸ τῆς βαφῆς διαφαινόμενον. ἐπὶ δὲ τῶν καυςῶν καὶ διαλυομένων καὶ τηκομένων ἐν τῷ πυρὶ ταῦτα πλείστας ἔχει χρόας, ὅσων ὁ καπνὸς ἐςὶ λεπτὸς καὶ ἀεροειδὴς καὶ τὰ χρώματα σκιώδη, ὥσπερ ὅ τε ἀπὸ τῦ θείου καὶ τῶν ἰωμένων χαλκείων, καὶ ὅσα ἐςὶ πυκνὰ καὶ λεῖα, καθάπερ ὁ ἄργυρος. ἐπὶ δὲ τῶν ἄλλων ὅσα σκιώδεις ἔχει τὰς χρόας καὶ λειότητος μετέχει, ὥσπερ τὸ ὕδωρ καὶ τὰ νέφη καὶ τὰ πτερώματα τῶν ὀρνίθων· καὶ γὰρ ταῦτα διά τε τὴν λειότητα καὶ τὰς προσπιπτούσας αὐγάς, ἄλλοτε ἄλλως κεραννυμένας, ποιεῖ διαφόρους τὰς χρόας, καθάπερ καὶ τὸ σκότος. τῶν δὲ χρωμάτων οὐδὲν ὁρῶμεν εἰλικρινὲς οἷόν ἐςιν, ἀλλὰ πάντα κεκραμένα ἐν ἑτέροις· καὶ γὰρ ἂν μηδενὶ τῶν ἄλλων, ταῖς γε τοῦ φωτὸς αὐγαῖς καὶ ταῖς σκιαῖς κεραννύμενα ἀλλοῖα, καὶ ὐχ οἷά ἐςι, φαίνεται. διὸ καὶ τὰ ἐν σκιᾷ θεωρύμενα καὶ ἐν φωτὶ καὶ ἡλίῳ, καὶ σκληρᾷ αὐγῇ ἢ μαλακῇ, καὶ κατὰ τὰς ἐγκλίσεις οὕτως ἢ οὕτως ἔχοντι, καὶ κατὰ τὰς ἄλλας διαφοράς, ἀλλοῖα φαίνεται. καὶ ταῖς πρὸς τῷ πυρὶ καὶ τῇ σελήνῃ, καὶ ταῖς τῶν λύχνων αὐγαῖς, διὸ καὶ τὸ φῶς ἑκάςου τούτων ἀλλοιοτέραν ἔχει χρόαν. καὶ τῇ πρὸς ἄλληλα δὲ μίξει τῶν χρωμάτων· δι' ἀλλήλων γὰρ φερόμενα χρώζεται. τὸ γὰρ φῶς ὅταν προσπεσὸν ὑπό τινων χρωσθῇ, καὶ γένηται φοινικιῦν ἢ ποῶδες, καὶ τὸ ἀνακλασθὲν προσπέσῃ πρὸς ἕτερόν τι χρῶμα, πάλιν ὑπ' ἐκείνου κεραννύμενον ἄλλην τινὰ λαμβάνει τοῦ χρώματος κρᾶσιν. καὶ τοῦτο πάσχον συνεχῶς μὲν οὐκ αἰσθητῶς δὲ ἐνίοτε παραγίνεται πρὸς τὰς ὄψεις ἐκ πολλῶν μὲν κεκραμένον χρωμάτων, ἑνὸς δέ τινος τῶν μάλιςα ἐπικρατύντων ποιοῦν τὴν αἴσθησιν. διὸ καὶ καθ' ὕδατος ὑδατοειδῆ μᾶλλον φαίνεται, καὶ τὰ ἐν τοῖς κατόπτροις ὁμοίας ἔχοντα χρόας ταῖς τῶν κατόπτρων. ὃ καὶ περὶ τὸν ἀέρα οἰητέον συμβαίνειν. ὥςε ἐκ τριῶν εἶναι τὰς χρόας ἁπάσας μεμιγμένας, τοῦ φωτός, καὶ δι' ὧν φαίνεται τὸ φῶς, οἷον τοῦ τε ὕδατος

1. ἦτι G^a, εἴτι M. ‖ 3. καὶ τὸ ἧττον X. ‖ 4. καὶ om M. ‖ τῶν om X. ‖ 6. τῷ τὺς λόγους P. ‖ 7. φοινικῦν LMPXG^{a}H^a. ‖ 8. καὶ τὸ λευκὸν om X. ‖ 13. γὰρ] δὲ L. ‖ τὸ ξ. καὶ om QG^a. ‖ 14. ἰλυῶδες M, ὑλῶδες LH^a. ‖ 15. οἱ ς. τῶν ὑδάτων P. ‖ 16. λείμενα MX et fortasse pr E. ‖ 18. χροιὰς EPX. ‖ 20. post καὶ Mi lacunam litterarum sex septemve, E trium. ‖ γὰρ om LPXG^{a}H^a. ‖ 23. τῇ om P. ‖ 24. ἐλήλυθεν PX. ‖ 26. ὑπ' EX. ‖ 27. ἔχων τοιαύτην P. ‖ χρόαν L. ‖ 28. μέλαν EMPG^a. ‖ 28. περιτριβομένων G^a. ‖ 30. τὸν αὐτῶν E, τὸ αὐτῶν G^{a}H^a, τὸν αὐτὸν MPXi ‖ προτέρου τύτων χρ. MP. ‖ 34. καὶ] τι καὶ P, om EM. ‖ ἕκαςόν τι τύτων M, τύτων ἕκαςον LG^{a}H^a.

1. ἀποβαλόντα P, ἀποβάλλουσαι EM. ‖ πᾶσαν LH^a. ‖ 4. ταύτας ἔχει πλείςας M. ‖ 6. χαλκίων EP, χαλκῶν X. ‖ 8. χροιὰς PX. ‖ καὶ om L. ‖ 9. τῶν ὀρνίθων πτερώματα P. ‖ 10. τε] τε τὰς αὐγὰς καὶ ELMPXG^{a}H^a. ‖ τὰς λειότητας H^a. ‖ 11. ἄλλως] ἄλλην LH^a. ‖ διαφόρυς P. ‖ 13. οἷον εἰλικρινές M. ‖ 14. ἑτέροις] ἀλλήλοις P. ‖ μηδὲν X. ‖ 17. καὶ ante κατὰ om H^a. ‖ 18. ἔχοντα LX. ‖ 20. διὸ — 21. ἔχει] διὰ τὸ — ἔχειν L. ‖ 22. τῶν χρωμάτων μίξει LG^{a}H^a. ‖ φαινόμενα P. ‖ 24. γίνεται LG^{a}H^a. ‖ φοινικῦν LPXG^{a}H^a. ‖ 27. πάσχων X. ‖ 28. περιγίνεται pr G^a. ‖ 29. δὲ ἤ τινος EM. ‖ ποιεῖ P. ‖ 30. μᾶλλον om P. ‖ 31. ἔχοντα τὰς χρόας X. ‖ 33. πάσας M.

καὶ τοῦ ἀέρος, καὶ τρίτου τῶν ὑποκειμένων χρωμάτων, ἀφ' ὧν ἀνακλᾶσθαι συμβαίνει τὸ φῶς. τὸ δὲ λευκὸν καὶ διαφανὲς ὅταν μὲν ἀραιὸν ᾖ σφόδρα, φαίνεται τῷ χρώματι ἀεροειδές· ἐπὶ δὲ τῶν πυκνῶν ἐπὶ πάντων ἐπιφαίνεταί τις ἀχλύς, καθάπερ ἐπὶ τοῦ ὕδατος καὶ ὑάλου καὶ τοῦ ἀέρος, ὅταν ᾖ παχύς. τῶν γὰρ αὐγῶν διὰ τὴν πυκνότητα πανταχόθεν ἐκλειπουσῶν, οὐ δυνάμεθα τὰ ἐντὸς αὐτῶν ἀκριβῶς διορᾶν. ὁ δ' ἀὴρ ἐγγύθεν μὲν θεωρούμενος οὐδὲν ἔχειν φαίνεται χρῶμα (διὰ γὰρ τὴν ἀραιότητα ὑπὸ τῶν αὐγῶν κρατεῖται, χωριζόμενος ὑπ' αὐτῶν πυκνοτέρων οὐσῶν καὶ διαφαινομένων δι' αὐτοῦ), ἐν βάθει δὲ θεωρουμένου, ἐγγυτάτω φαίνεται τῷ χρώματι κυανοειδὴς διὰ τὴν ἀραιότητα. ᾗ γὰρ λείπει τὸ φῶς, ταύτῃ σκότῳ διειλημμένος φαίνεται κυανοειδής. ἐπιπυκνωθεὶς δέ, καθάπερ καὶ τὸ ὕδωρ, πάντων λευκότατόν ἐστιν.

4 Τὰ δὲ βαπτόμενα πάντα τὰς χρόας ἀπὸ τῶν βαπτόντων λαμβάνει. πολλὰ μὲν γὰρ τοῖς ἄνθεσι βάπτεται τοῖς φυομένοις, πολλὰ δὲ ῥίζαις, πολλὰ δὲ φλοιοῖς ἢ ξύλοις ἢ φύλλοις ἢ καρποῖς. ἔτι δὲ πολλὰ μὲν γῇ, πολλὰ δ' ἀφρῷ, πολλὰ δὲ καὶ μελαντηρίᾳ. τὰ δὲ καὶ τοῖς τῶν ζῴων χυλοῖς, καθάπερ καὶ τὸ ἁλουργὲς τῇ πορφύρᾳ. τὰ δὲ οἴνῳ, τὰ δὲ καπνῷ, τὰ δὲ κονίᾳ, τὰ δὲ θαλάττῃ, ὥσπερ τὰ τριχώματα τῶν θαλαττίων· καὶ γὰρ ταῦτα πάντα ὑπὸ τῆς θαλάττης γίγνονται πυρρά. καὶ ὅλως ὅσα χρόας ἰδίας ἔχει. ἀεὶ γὰρ ἀπὸ πάντων αὐτῶν, ἅμα τῷ τε ὑγρῷ καὶ θερμῷ τῶν χρωμάτων συνεισιόντων εἰς τοὺς τῶν βαπτομένων πόρους, ὅταν ἀποξηρανθῇ, τὰς ἀπ' ἐκείνων χρόας λαμβάνει. διὸ καὶ πολλάκις αὐτῶν ἐκπλύνεται, τῶν ἀνθῶν ἐκ τῶν πόρων ἐκρυέντων. πολλὰς δὲ καὶ αἱ στύψεις ἐν τῇ βαφῇ ποιοῦσι διαφορὰς καὶ μίξεις, καὶ τὰ πάθη τῶν βαπτομένων, ὥσπερ καὶ ἐπὶ τῆς κράσεως εἴρηται πρότερον. βάπτεται δὲ καὶ τὰ μέλανα τῶν ἐρίων, οὐ μὴν ὁμοίως γε τῷ χρώματι γίγνεται λαμπρά, διὰ τὸ βάπτεσθαι τοὺς πόρους αὐτῶν εἰς τοὺς τῶν ἀνθῶν εἰσιόντας, τὰ δὲ μεταξὺ διαστήματα τῆς τριχὸς μηδεμίαν λαμβάνειν βαφήν. ταῦτα λευκὰ μὲν ὄντα, καὶ παρ' ἄλληλα κείμενα τοῖς χρώμασι, ποιεῖ πάντα φαίνεσθαι τὰ ἄνθη λαμπρότερα· τὰ μέλανα δὲ τοὐναντίον σκιερὰ καὶ ζοφώδη. διὸ καὶ τὸ καλούμενον ὄρφνιον εὐανθέστερον γίνεται τῶν μελάνων ἢ τῶν λευκῶν· οὕτω γὰρ ἀκρατέστερον αὐτῶν φαίνεται τὸ ἄνθος, κεραννύμενον ταῖς τοῦ μέλανος αὐγαῖς. καθ' αὑτὸ μὲν γὰρ τὸ μεταξὺ διάστημα τῶν πόρων οὐχ ὁρᾶται διὰ σμικρότητα, καθάπερ οὐδὲ καττίτερος τῷ χαλκῷ κραθείς, οὐδὲ τῶν ἄλλων οὐθὲν τῶν τοιούτων. τῶν δὲ βαπτομένων τὰ χρώματα ἀλλοιοῦται διὰ τὰς εἰρημένας αἰτίας.

Τὰ δὲ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ ἄνθη 5 καὶ οἱ καρποὶ καὶ τὰ φυτὰ πάντα ὅτι μὲν ἅμα τῇ πέψει πάσας τὰς τῶν χρωμάτων λαμβάνει μεταβολάς, φανερὸν ἐκ πολλῶν· τίνες δέ εἰσιν ἑκάστοις τῶν φυομένων ἀρχαὶ τῶν χρωμάτων, καὶ ποίας τὰς μεταβολὰς ἐκ ποίων λαμβάνουσι, καὶ δι' ἃς αἰτίας ταῦτα πάσχει, κἂν εἴ τινας ἄλλας ἀπορίας αὐτοῖς συμβαίνει παρακολουθεῖν, περὶ πάντων τούτων ἐπισκεπτέον ἐκ τῶν τοιούτων. ἐν πᾶσι δὴ τοῖς φυτοῖς ἀρχὴ τὸ ποῶδές ἐστι τῶν χρωμάτων· καὶ γὰρ οἱ βλαστοὶ καὶ τὰ φύλλα καὶ οἱ καρποὶ γίνονται κατ' ἀρχὰς ποώδεις. ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν ὑομένων ὑδάτων· ὅπου ἂν πλείονα χρόνον συστῇ τὸ ὕδωρ, πάλιν ἀποξηραινόμενον γίνεται τῷ χρώματι ποῶδες. κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ πρῶτον ἐν πᾶσι τοῖς φυομένοις τοῦτο συνίστασθαι τῶν χρωμάτων. τὰ γὰρ ὕδατα πάντα χρονιζόμενα κατ' ἀρχὰς μὲν γίνεται χλωρά, κεραννύμενα ταῖς τοῦ ἡλίου αὐγαῖς, κατὰ μικρὸν δὲ μελαινόμενα, πάλιν μιγνύμενα τῷ χλωρῷ, γίνεται ποώδη. τὸ γὰρ ὑγρόν, ὥσπερ εἴρηται, καθ' ἑαυτὸ παλαιούμενον καὶ καταξηραινόμενον μελαίνεται, καθάπερ καὶ τὰ ἐν ταῖς δεξαμεναῖς κονιάματα· καὶ γὰρ τούτων ὅσα μέν ἐστιν ἀεὶ καθ' ὕδατος, ταῦτα μὲν ἅπαντα γίγνεται μέλανα διὰ τὸ καθ' αὑτὰ μὴ ξηραίνεσθαι διαψυχόμενον τὸ ὑγρόν, ὅσον δ'

1. τρίτον *EMPX*. ‖ 3. ἀραιὸν μὲν H^a. ‖ 4. ἐπὶ] ἔτι *M*. ‖ ἐπὶ πάντων φαίνεταί τις *M*, ἐπιφαίνεταί τις ἐπὶ πάντων H^a. ‖ 5. ὑέλου *X*. ‖ 9. καθαρότητα *X*. ‖ 10. χωρίζεται γε *X*. ‖ 15. λευκότατος *M*. ‖ 17. βάπτεται om *L*. ‖ 18. πολλὰ δὲ ῥίζαις om *X*. ‖ δὲ om H^a. ‖ ἢ ξύλοις] πολλὰ δὲ *P*, om *EMXi*. ‖ 19. ἢ prius om *P*. ‖ γῇ μὲν πολλὰ *P*. ‖ 23. πάντα om G^aH^a. ‖ 24. ἔχει χρόας ἰδίας G^a. ‖ 26. συνιόντων *P*. ‖ βλαπτομένων H^a. ‖ 27. λαμβάνει χρόας *PX*, χρόας ἀπολαμβάνει LG^aH^a. ‖ 29. ἐκρυθέντων *L*, ἐρρυθέντων *X*, ἐρυθέντων *c*, ἐριρυθέντων *EMPip*, ἐρυθρηθέντων QG^aH^a. ‖ 30. ποιοῦσι καὶ διαφορὰς καὶ *X*. ‖ βάθη pr *X*. ‖ 31. βαπτόντων $LMPQXG^aH^a$. ‖ 32. γε] τε *X*, γε καὶ LG^a. γε τῷ χρώματι om H^a. ‖ 33. τοὺς] εἰς τοὺς *P*. ‖ 34. εἰσιόντα *P*. ‖ μεταξὺ καὶ διαστήματα *P*.

1. ταῦτα μὲν οὖν λευκὰ ὄντα *PX*, ταῦτα μὲν λευκὰ μὲν ὄντα *E*, ταῦτα μὲν λευκὰ μένοντα *M*. ‖ 3. τὰ ἄνθη om *X*. ‖ 4. δὴ *M*. ‖ 5. γίνεσθαι $ELMPG^aH^a$. ‖ 6. αὐτοῖς *X*. ‖ 9. καττίτερον *L*. ‖ 10. ἀλλοιοῦνται *P*. ‖ 14. τὰς om *L*. ‖ διαφορὰς *X*. ‖ 15. ἕκαστοι *M*. ‖ 16. ποῖαι EPG^aH^a. ‖ 18. συμβαίνοι *M*, συμβαίνῃ *X*. ‖ περὶ] ἐπὶ *M*. ‖ 19. δὲ *L*. ‖ 23. πάλιν] πάντη πάλιν *MPX*. ‖ 26. πάντα om *PX*. ‖ 29. ὕδωρ *P*. ‖ 30. καὶ] καὶ μὴ *PX*. ‖ 32. καθ' ὕδατος ἀεὶ *X*. ‖ 33. κατ' αὐτὰ μὲν ξ. *X*. ‖ 34. διὸ ψυχόμενον *M*, διαψυχόμενα *PX*. ‖ τῷ ὑγρῷ *PX*. ‖ δ' om EMG^aH^a.

ἀπαντλύμενον ἡλιῦται, τὸ μὲν ποῶδες γίνεται διὰ τὸ τὸ ξανθὸν τῷ μέλανι κεράννυσθαι. μᾶλλον μὲν ὖν τῦ ὑγρῦ μελαινομένου τὸ ποῶδες γίνεται κατακορὲς ἰσχυρῶς καὶ πρασοειδές. διὸ καὶ πάντων οἱ παλαιοὶ βλαστοὶ πολὺ μᾶλλόν εἰσι τῶν νέων μέλανες· οἱ δὲ ξανθότεροι διὰ τὸ μήπω τὸ ὑγρὸν ἐν αὐτοῖς μελαίνεσθαι. τῆς γαρ αὐξήσεως αὐτῶν βραδυτέρας γιγνομένης, καὶ τῆς ὑγρασίας πολὺν χρόνον ἐμμενούσης, διὰ τὸ ψυχόμενον ἰσχυρῶς μελαίνεσθαι τὸ ὑγρόν, γίνεται πρασοειδὲς ἀκράτῳ τῷ μέλανι κεραννύμενον. ἐν ὅσοις δὲ τὸ ὑγρὸν μὴ μίγνυται ταῖς τῦ ἡλίου αὐγαῖς, τύτων διαμένει τὸ χρῶμα λευκόν, ἐὰν μὴ χρονιζόμενον καὶ καταξηραινόμενον μελανθῇ πρότερον. διὸ καὶ τὰ μὲν ὑπὲρ γῆς χλωρὰ πάντων τῶν φυομένων τὸ πρῶτόν ἐστι, τὰ δὲ κατὰ γῆς, καυλοὶ καὶ ῥίζαι λευκαί. καὶ οἱ βλαςοὶ κατὰ γῆς μὲν ὄντες εἰσὶ λευκοί, περιαιρεθείσης δὲ τῆς γῆς τὸ μὲν ἐξ ἀρχῆς, ὡς προείρηται, πάντες γίγνονται ποιώδεις διὰ τὸ καὶ τὴν ὑγρασίαν τὴν διὰ τῶν βλαςῶν εἰς αὐτὺς διηθυμένην τοιαύτην ἔχειν τὴν τοῦ χρώματος φύσιν, καὶ ταχέως αὐτὴν εἰς τὴν αὔξησιν καταναλίσκεσθαι τὴν τῶν καρπῶν· ὅταν δὲ μηκέτι αὐξάνωνται διὰ τὸ μὴ κρατεῖν ἤδη τὸ θερμὸν τῆς ἐπιρρεύσης τροφῆς, ἀλλὰ καὶ τοὐναντίον ἀναλύηται τὸ ὑγρὸν ὑπὸ τῆς θερμότητος. ὅταν δὲ πεπαίνωνται οἱ καρποὶ πάντες, καὶ τῆς ὑπαρχούσης ἐν αὐτοῖς ὑγρασίας συνεψομένης ὑπό τε τῦ ἡλίυ καὶ τῆς τῦ ἀέρος θερμότητος ἕκαςοι ἀπολαμβάνουσι τὰς ἀπὸ τῶν φυτῶν χρόας, καθάπερ καὶ τὰ βαπτόμενα τῶν ἀνθῶν. διὸ κατὰ μικρὸν χρώζονται, καὶ μάλιστα αὐτῶν τὰ πρὸς τὸν ἥλιον ἐστραμμένα καὶ τὴν ἀλέαν. ὥςε καὶ τὰς χρόας αὐτῶν ἅμα ταῖς ὥραις ἁπάντων μεταβάλλειν. φανερὸν δὲ τῦτο ἐςίν· οἱ γὰρ τῦ ποώδυς χρώματος ἅπαντες ἤδη πεπαινόμενοι μεταβάλλυσιν εἰς τὸ κατὰ φύσιν χρῶμα. καὶ γὰρ λευκοὶ καὶ μέλανες καὶ φαιοὶ καὶ ξανθοὶ καὶ μελανοειδεῖς καὶ σκιοειδεῖς καὶ φοινικιοῖ καὶ οἰνωποὶ καὶ κροκοειδεῖς καὶ σχεδὸν ἁπάσας ἔχοντες γίγνονται τὰς τῶν χρωμάτων διαφοράς. ἐπεὶ δὲ τὰ πλεῖςα γίνεται τῶν χρωμάτων πλειόνων κεραννυμένων ἀλλήλοις, φανερὸν ὅτι καὶ τὰς ἐν τοῖς φυτοῖς χρόας ἀνάγκη τὰς αὐτὰς ἔχειν κράσεις· διὰ γὰρ τύτων τὸ ὑγρὸν διηθύμενον, καὶ μεθ' ἑαυτοῦ συνεκκλύζον, ἁπάσας λαμβάνει τὰς τῶν χρωμάτων δυνάμεις. καὶ τύτυ συνεψομένυ περὶ τὰς τῶν καρπῶν πέψεις ὑπό τε τοῦ ἡλίου καὶ τῆς τῦ ἀέρος θερμότητος, ἕκαστα καθ' ἑαυτὰ συνίσταται τῶν χρωμάτων, τὰ μὲν θᾶττον τὰ δὲ βραδύτερον, καθάπερ συμβαίνει καὶ περὶ τὴν βαφὴν τὴν τῆς πορφύρας. καὶ γὰρ ταύτην ὅταν κόψαντες ἅπασαν ἐξ αὐτῆς τὴν ὑγρασίαν ἐκκλύσωσι, καὶ ταύτην ἐγχέαντες ἕψωσιν ἐν ταῖς χύτραις, τὸ μὲν πρῶτον οὐδὲν ὅλως ἐν τῇ βαφῇ τῶν χρωμάτων φανερόν ἐςι διὰ τὸ κατὰ μικρὸν ἕκαςον αὐτῶν τοῦ ὑγροῦ συνεψομένου μᾶλλον καὶ τῶν ἔτι ὑπαρχόντων ἐν αὐτοῖς χρωμάτων μιγνυμένων ἀλλήλοις πολλὰς καὶ ποικίλας λαμβάνειν διαφοράς· καὶ γὰρ μέλαν καὶ λευκὸν καὶ ὄρφνιον καὶ ἀεροειδὲς καὶ τότε ἅπαν γίνεται συνεψηθέντων, ὥςε διὰ τὴν κρᾶσιν μηκέτι καθ' αὑτὸ μηδὲν τῶν ἄλλων χρωμάτων φανερὸν εἶναι. τὸ δ' αὐτὸ τῦτο συμβαίνει καὶ ἐπὶ τῶν καρπῶν. ἐν πολλοῖς γὰρ διὰ τὸ μὴ πάσας ἅμα γίνεσθαι τὰς τῶν χρωμάτων πέψεις, ἀλλὰ τὰ μὲν αὐτῶν συνίςασθαι πρότερον τὰ δ' ὕστερον, ἐξ ἑτέρων εἰς ἕτερα μεταβάλλυσιν, ὥσπερ καὶ οἱ βότρυες καὶ οἱ φοίνικες. καὶ γὰρ τούτων ἔνιοι τὸ μὲν πρῶτον γίνονται φοινικοῖ, τῦ δὲ μέλανος ἐν αὐτῷ συνιςαμένου μεταβάλλουσι πάλιν εἰς τὸ οἰνωπόν· τὸ δὲ τελευταῖον γίνονται κυανοειδεῖς, ὅταν ἤδη καὶ τὸ φοινικιῦν πολλῷ καὶ ἀκράτῳ τῷ μέλανι μιχθῇ. τὰ γὰρ ὕστερον ἐπιγινόμενα τῶν χρωμάτων, ὅταν κρατήσῃ, τὰς προτέρας χρόας ἐξαλλάττει. μάλιστα δὲ τοῦτο ἐπὶ τῶν μελάνων καρπῶν φανερόν ἐστιν· σχεδὸν γὰρ αὐτῶν οἱ πλεῖστοι, καθάπερ

1. τὸ] τῦτο corr *X*. ‖ δὲ *PX*. ‖ τὸ tertium om *EMPX*. ‖ 4. πολλοὶ *M*, πολλῷ *P*. ‖ 6. μεμελάνθαι γς *L*. ‖ 7. γενομένης *EMX*. ‖ 10. ἐν] καὶ ἐν *P*. ‖ μὴ om *P*. ‖ 13. τῶν om *EMPX*. ‖ ἐςὶ τὸ πρῶτον *P*. ‖ 14. αὐλοὶ *P*. ‖ 15. κατὰ] δὲ κατὰ *M*. ‖ 16. ὥσπερ εἴρηται *G*^{a}. ‖ 17. διὰ τὸ] διὸ τὸ *P*, διὸ *ELMXG*^{a}*H*^{a}. ‖ 18. αὐτὺς] τὺς *X*. ‖ ἔχει *P*. ‖ 20. τὴν om *H*^{a}. ‖ δὴ μηκέτι αὔξωνται *X*. ‖ 22. καὶ om *PX*. ‖ ἀναλύεται *G*^{a}, ἀναλίσκεται *PX*. ‖ 24. συνεψημένης *c*. ‖ τε] τῆς *M*. ‖ 25. ἀέρος καὶ τῆς τοῦ ἡλίου *QG*^{a}. ‖ ἀπολαμβάνωσι *G*^{a}*H*^{a}, λαμβάνωσι *LX*, λαμβάνουσι *EMPcip*. ‖ 28. τὸν om *H*^{a}. ‖ 29. ὥσπερ *EMPQG*^{a}*H*^{a}*i*. ‖ 32. φαιοὶ καὶ μέλανες καὶ λευκοὶ *G*^{a}. ‖ 33. καὶ σκιοειδεῖς — *b* 1. σχεδὸν om *LH*^{a}.

1. φοινικοὶ *QXG*^{a}. ‖ 2. γίγνονται ἔχοντες *P*. ‖ 3. τὰ] τὰ μὲν *PX*. ‖ γίνεται *L*. ‖ 5. γὰρ post τύτων *PX*, om *EM*. ‖ 6. συνεκβλύζον *LH*^{a}. ‖ λαμβάνειν *ELMPG*^{a}*H*^{a}. ‖ 8. παρὰ *L*, περί τε *M*. ‖ τῶν om *X*. ‖ πέψεις om *M*. ‖ τε τῆς τοῦ ἡλίου θερμότητος καὶ ὑπὸ τῦ ἀέρος *G*^{a}. ‖ 11. παρὰ *L*. ‖ 13. ἐκλύσωσι *LXG*^{a}. ‖ ἐκχέαντες *ELMXG*^{a}*H*^{a}. ‖ τοῖς χύτροις *ELXH*^{a}. ‖ 16. τὸ] δι' *ELMPXG*^{a}*H*^{a}. ‖ 19. ὄρφνινον *ELH*^{a}. ‖ ἅπαντα *G*^{a}. ‖ 21. ἄλλων om *M*. ‖ 23. πάσας om *G*^{a}. ‖ ἅμα post χρωμάτων *PXG*^{a}, utrobique *EH*^{a}. ‖ 25. ἕτερα] ἑτέραν *M*. ‖ 26. ἔνιοι τὸ] ἐνίοτε *ELMG*^{a}*H*^{a}. ‖ 27. φοινίκεοι *EMP*, φοινικεοὶ *G*^{a}, φοινίκειοι *X*. ‖ 29. φοινικοῦν *LMPXG*^{a}*H*^{a}. ‖ 30. ἄκρῳ *M*. ‖ τῷ om *ELMG*^{a}*H*^{a}. ‖ 31. πρότερον *P*. ‖ 32. τῶν om *X*.

εἴρηται, κατ' ἀρχὰς μὲν ἐκ τοῦ ποώδους μεταβάλλοντες μικρὸν ἐπιφοινικίζουσι καὶ γίνονται πυρροί, ταχὺ δὲ μεθίσανται πάλιν ἐκ τοῦ πυρροῦ καὶ ἀκράτου τοῦ μέλανος ἐν τοῖς τοιούτοις ἐνυπάρχοντος. δηλοῖ δέ· καὶ γὰρ τὰ κλήματα καὶ τὰ ἔρια καὶ τὰ φύλλα πάντων ἐςὶ τῶν τοιούτων μέλανα διὰ τὸ πλείςην ἐν αὐτοῖς ὑπάρχειν τὴν τοιαύτην χρόαν, ἐπεὶ διότι γε τῶν καρπῶν οἱ μέλανες ἀμφοτέρων τῶν χρωμάτων μετέχουσι, φανερόν ἐςιν· πάντων γὰρ ὁ χυλὸς γίνεται τῶν τοιούτων οἰνωπός. τὰ δὲ χρώματα ἐν τῇ γενέσει προτερεῖ τὰ φοινικιᾶ τῶν μελάνων. δηλοῖ δέ· καὶ γὰρ τὰ ὑπὸ τοὺς ςαλαγμοὺς ἐδάφη, καὶ ὅλως ὅπου συμβαίνει γίνεσθαι μετρία ὑδάτων ἔκρυσις ἐν τόποις σκιεροῖς, ἅπαντα μεταβάλλει πρῶτον ἐκ τοῦ ποώδους εἰς τὸ φοινικιοῦν χρῶμα, καὶ γίνεται τὸ ἔδαφος ὡς ἂν αἵματος ἀρτίως ἐπεσφαγμένου κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν ἂν λάβῃ τὸ ποῶδες τῶν χρωμάτων τὴν πέψιν· τὸ δὲ τελευταῖον καὶ τοῦτο μέλαν ἰσχυρῶς γίνεται καὶ κυανοειδές. ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν καρπῶν. ὅτι δὲ χρωμάτων ὕστερον ἐπιγινομένων, ὅταν κρατῆται τὰ πρότερον, τὸ χρῶμα τῶν καρπῶν μεταβάλλει, καὶ διὰ τῶν τοιούτων ῥᾴδιον συνιδεῖν. καὶ γὰρ τῆς ῥοιᾶς ὁ καρπὸς καὶ τὰ τῶν ῥόδων φύλλα κατ' ἀρχὰς μὲν γίνεται λευκά, τὸ δὲ τελευταῖον ἤδη χρωζομένων ἐν αὐτοῖς τῶν χυλῶν ὑπὸ τῆς πέψεως ἀποχραίνεται, καὶ μεταβάλλει πάλιν εἰς τὸ τοῦ ἁλουργοῦ χρῶμα καὶ τὸ φοινικιοῦν. τὰ δὲ καὶ πλείους ἐπ' αὐτοῖς ἔχει χρόας, καθάπερ καὶ ἐπὶ τῆς μήκωνος ὁ ὀπὸς καὶ τῆς ἐλαίας ὁ ἀμόργης· καὶ γὰρ οὗτος τὸ μὲν πρῶτον γίνεται λευκός, καθάπερ καὶ ὁ τῆς ῥοιᾶς καρπός, λευκανθεὶς δὲ πάλιν εἰς τὸ φοινικιοῦν μεταβάλλει χρῶμα, τὸ δὲ τελευταῖον πολλῷ τῷ μέλανι κραθεὶς γίνεται κυανοειδής. διὸ καὶ τὰ τῆς μήκωνος φύλλα τὰ μὲν ἄνω ἔχει φοινικιοῦντα παρὰ τὸ γίνεσθαι ταχεῖαν αὐτῶν τὴν ἔκπεψιν, τὰ δὲ πρὸς ταῖς ἀρχαῖς μέλανα, ἤδη τούτου τοῦ χρώματος ἐν αὐτοῖς ἐπικρατοῦντος, ὥσπερ καὶ ἐπὶ τοῦ καρποῦ· καὶ γὰρ τὸ τελευταῖον γίνεται μέλας. ἐν ὅσοις δ' ὑπάρχει τῶν φυτῶν ἓν χρῶμα μόνον, οἷον τὸ λευκὸν ἢ τὸ μέλαν ἢ τὸ φοινικιοῦν ἢ τὸ ἁλουργές, τούτων δὲ πάντων οἱ καρποὶ διαμένουσιν ἀεὶ τὴν αὐτὴν ἔχοντες τοῦ χρώματος φύσιν, ὅταν ἅπαξ ἐκ τοῦ ποώδους εἰς ἄλλην χρόαν μεταβάλλωσιν. τὰ δ' ἄνθη τοῖς καρποῖς ἐπ' ἐνίων μὲν ὁμόχροα συμβαίνει γίνεσθαι, καθάπερ ἔχει καὶ ἐπὶ τῆς ῥοιᾶς· καὶ γὰρ ὁ καρπὸς αὐτῆς γίνεται φοινικιοῦς καὶ τὸ ἄνθος· ἐπ' ἐνίων δὲ πολὺ τῷ χρώματι διαφέρει, οἷον ἐπί τε τῆς δάφνης καὶ τοῦ κιττοῦ· τὸ μὲν γὰρ ἄνθος ἐςὶν αὐτῶν ἁπάντων ξανθόν, ὁ δὲ καρπὸς τῶν μὲν μέλας τῶν δὲ φοινικιοῦς. ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῆς μηλέας· καὶ γὰρ ταύτης τὸ μὲν ἄνθος ἐςὶ λευκὸν ἐπιπορφυρίζον, ὁ δὲ καρπὸς ξανθός. τῆς δὲ μήκωνος τὸ μὲν ἄνθος φοινικιοῦν, ὁ δὲ καρπὸς ὁ μὲν μέλας ὁ δὲ λευκός, παρὰ τὸ καὶ τὰς πέψεις τῶν ἐνυπαρχόντων ἐν αὐτοῖς χυλῶν κατ' ἄλλους γίνεσθαι χρόνους. ῥᾴδιον δὲ τοῦτο ἐκ πολλῶν συνιδεῖν· καὶ γὰρ τῶν καρπῶν ἔνιοι, καθάπερ εἴρηται, πολλὰς διαφορὰς ἅμα τῇ πέψει λαμβάνουσιν. διὸ καὶ τὰς ὀσμὰς καὶ τοὺς χυλοὺς πολὺ διαφόρους συμβαίνει τοῖς ἄνθεσι καὶ τοῖς καρποῖς συνακολουθεῖν. ἔτι δὲ μᾶλλον τοῦτό ἐςιν ἐπ' αὐτῶν τῶν ἀνθῶν φανερόν· τοῦ γὰρ αὐτοῦ φύλλου τὸ μέν ἐςι μέλαν τὸ δὲ φοινικιοῦν, ἐνίων δὲ τὸ μέν τι λευκὸν τὸ δὲ πορφυροειδές. οὐχ ἥκιςα δὲ τοῦτο φανερόν ἐςιν ἐπὶ τῆς ἴριδος· πολλὰς γὰρ ἔχει καὶ τοῦτο τὸ ἄνθος ἐν αὐτῷ ποικιλίας παρὰ τὰς τῆς πέψεως διαφοράς, ὥσπερ καὶ τῶν βοτρύων, ὅταν ἤδη πεπαινόμενοι τυγχάνωσιν. διὸ καὶ πάντων μάλιστα συμβαίνει πέττεσθαι τῶν ἀνθῶν τὰ ἄκρα, τὰ δὲ πρὸς ταῖς ἀρχαῖς ἀχρούςερα γίνεται πολλῷ. σχεδὸν γὰρ ἐνίων ὥσπερ ἐκκάεται τὸ ὑγρὸν πρότερον ἢ λαβεῖν τὴν οἰκείαν πέψιν. διὸ καὶ τὰ μὲν ἄνθη τῷ χρώματι διαμένει, οἱ δὲ καρποὶ πεττόμενοι μεταβάλλουσιν· τὰ μὲν γὰρ διὰ

2. δὲ — 3. πυρροῦ] δὲ πάλιν ἐκ τοῦ πυρροῦ μεθιςάμενοι P. ‖ 3. καὶ] γίνονται κυανοειδεῖς P, καὶ γίνονται κυανοειδεῖς X. ‖ 4. ὑπάρχοντος P. ‖ δὲ] γὰρ G^a. ‖ γὰρ om XG^a. ‖ 5. ἔρνα PX. ‖ 7. μέλανες καὶ ἀμφοτέρων X. ‖ 8. μετέχουσι τῶν χρωμάτων LG^aH^a. ‖ 9. τῶν τοιούτων γίνεται MX. ‖ 10. ὑςερεῖ LG^aH^a, ὑγροτερεῖ E, ὑγροτερῇ M. ‖ φοινίκεια $LMXG^aH^a$. ‖ 12. ἔκκρισις P. ‖ 14. φοινικοῦν LXG^aH^a. ‖ τὸ om $ELMG^aH^a$. ‖ 15. ἐπεςαγμένου PX. ‖ 19. ὑςέρων $EPXH^a$. ‖ τὰ om EM. ‖ πρότερα EPX. ‖ 21. ῥόας X, ῥοᾶς MP. ‖ 22. μὲν] μὲν ἤδη G^a, om X. ‖ 23. ἑαυτοῖς EM. ‖ 24. ἀπωχραίνεται L, ἀποχρώζεται PX. ‖ 25. φοινικοῦν LXH^a. ‖ 26. ἐπ' LPX. ‖ αὐτῆς M. ‖ 27. ὁ ante τῆς L, om EMG^aH^a. ‖ ἀμοργὴς E, ἀμοργός X. ‖ καὶ γὰρ καὶ οὗτος X. ‖ 28. ὥσπερ EM. ‖ ῥόας X, ῥοᾶς EMP. ‖ 29. φοινικοῦν LXG^aH^a. ‖ 31. ἄνω] ἄλλα G^a. ‖ 32. φοινικοῦντα X, φοινικοῦν LH^a. ‖ 33. τοῦ om E.

4. φοινικοῦν $LMXH^a$. ‖ ἁλουργόν LX. ‖ δὲ] δὴ X. ‖ 7. μεταβάλουσι P. ‖ 8. συμβαίνουσι (omisso γίνεσθαι) X. ‖ 9. ῥοᾶς EM P, ῥόας X. ‖ 9. φοινικοῦς, et 15 et 24. φοινικοῦν LXH^a. ‖ 11. τοῦ] ἐπὶ P, τῆς X. ‖ ἐςιν αὐτοῖς EM, αὐτῶν ἐςὶν P. ‖ 12. τῶν μὲν φοινικιοῦς τῶν δὲ μέλας· ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῆς P, τῶν μὲν (δὲ E) μέλας τῶν δὲ φοινικιοῦς καὶ τῆς EM, τῶν δὲ μέλας καὶ φοινικοῦς δὲ καὶ ὁ τῆς LG^aH^a. ‖ 14. γὰρ] γὰρ καὶ P. ‖ 16. καὶ om X. ‖ 17. ἐν om LXG^aH^a. ‖ 20. τῇ πέψει] περὶ EMX, παρὰ P. ‖ 22. ἔτι τοῦτό ἐςι μᾶλλον ἐπ' M. ‖ 24. τι] τοι MP, ἐςι LG^a. ‖ 26. ἑαυτῷ M. ‖ ποικίλους διαφορὰς παρὰ τῆς πέψεως P. ‖ 30. γίνεσθαι P.

μακρότητα τῆς τροφῆς ταχέως ἐκπέττεται, οἱ δὲ καρποὶ διὰ τὸ πλῆθος τῆς ὑγρασίας εἰς πάσας ἅμα τῇ πέψει τὰς κατὰ φύσιν χρόας μεταβάλλουσιν. φανερὸν δὲ τοῦτο ἐςί, καθάπερ εἴρηται πρότερον, καὶ ἐπὶ τῶν βαπτομένων ἀνθῶν. τὰ μὲν γὰρ ἐξ ἀρχῆς, ὅταν βάπτοντες τὴν πορφύραν καθιῶσι τὰς αἱματίδας, ὄρφνιαι γίνονται καὶ μέλαιναι καὶ ἀεροειδεῖς· τȣ͂ δ' ἄνθους συνεψηθέντος ἱκανῶς ἁλουργὲς γίνεται εὐανθὲς καὶ λαμπρόν. ὥστ' ἀνάγκη καὶ τῶν ἀνθῶν ὁμοίως πολλὰ τοῖς χρώμασι τῶν καρπῶν διαλλάττειν, καὶ τὰ μὲν ὑπερβαίνειν τὰ δὲ ἀπολείπειν τῶν κατὰ φύσιν χρωμάτων, διὰ τὸ τῶν μὲν ἀτελῆ τῶν δὲ τελείαν γίνεσθαι τὴν πέψιν. τὰ μὲν οὖν ἄνθη καὶ τȣ̀ς καρποὺς διὰ ταύτας τὰς αἰτίας συμβαίνει τοῖς χρώμασιν ἀλλήλων διαφέρειν· τὰ δὲ φύλλα τῶν πλείςων δένδρων τὸ τελευταῖον γίνεται ξανθὰ διὰ τὸ τῆς τροφῆς ὑπολειπούσης φθάνειν αὐτὰ καταξηραινόμενα πρότερον ἢ μεταβάλλειν εἰς τὸ κατὰ φύσιν χρῶμα, ἐπεὶ καὶ τῶν ἀπορρεόντων καρπῶν ἔνιοι γίνονται τῷ χρώματι ξανθοὶ διὰ τὸ καὶ τούτων τῆς πέψεως πρότερον τὴν τροφὴν ὑπολείπειν. ἔτι δὲ ὅ τε σῖτος καὶ τὰ φυόμενα πάντα· καὶ γὰρ ταῦτα τὸ τελευταῖον γίνεται ξανθά. τὸ γὰρ ὑγρὸν ἐν αὐτοῖς ȣ̓κέτι μελαινόμενον διὰ τὸ καταξηραίνεσθαι ταχέως ποιεῖ τὴν τοῦ χρώματος μεταβολήν. μελαινόμενον γὰρ καὶ τῷ χλωρῷ κεραννύμενον γίνεται, καθάπερ εἴρηται, ποῶδες· ἀσθενεςέρου δὲ τȣ͂ μέλανος ἀεὶ γινομένȣ, πάλιν κατὰ μικρὸν εἰς τὸ χλωρὸν μεταβάλλει χρῶμα, καὶ τὸ τελευταῖον γίνεται ξανθόν, ἐπεί τά γε τῆς ἀπίου φύλλα καὶ τῆς ἀνδράχνης καί τινων ἄλλων πεττόμενα γίνεται φοινικιᾶ. πλὴν ὅσα καὶ τȣ́των καταξηραίνεται ταχέως, ταῦτα γίνεται ξανθὰ διὰ τὸ τούτων πρὸ τῆς πέψεως τὴν τροφὴν ὑπολείπειν. τὰς μὲν ȣ͂ν τῶν φυτῶν διαφορὰς μάλιστα εὔλογον συμβαίνειν διὰ τὰς εἰρημένας αἰτίας.

6 Γίνεται δὲ καὶ τὰ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ δέρματα καὶ ἵππων καὶ βοῶν καὶ προβάτων καὶ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων ἁπάντων καὶ λευκὰ καὶ φαιὰ καὶ πυρρὰ καὶ μέλανα διὰ τὴν αὐτὴν αἰτίαν, λευκὰ μὲν ὅταν ἔτι ὑπὸ τῆς πέψεως τὸ ὑγρὸν τὸ οἰκεῖον ἔχον χρῶμα καταξηρανθῇ, μέλανα δὲ τȣ̓ναντίον ὅταν αὐτῶν ἐν τῇ γενέσει τὸ περὶ τὸν χρῶτα ὑγρόν, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι, παλαιȣ́μενον καὶ χρονιζόμενον διὰ τὸ πλῆθος μελανθῇ· πάντων γὰρ τῶν τοιȣ́των ὅ τε χρὼς καὶ τὰ δέρματα γίνεται μέλανα. φαιὰ δὲ καὶ πυρρὰ καὶ ξανθὰ καὶ τὰς ἄλλας ἔχοντα χρόας, ὅσα φθάνει καταξηραινόμενα πρότερον ἢ τελέως ἐν αὐτοῖς μεταβάλλειν εἰς τὸ μέλαν χρῶμα τὸ ὑγρόν. οἷς δ' ἂν ἀνωμάλως τȣ͂το συμβῇ, καὶ τὰ χρώματα τοιαῦτα γίνεται ποικίλα. διὸ καὶ πάντα τοῖς δέρμασι καὶ τῷ χρώματι συνακολουθεῖ, ἐπεὶ καὶ τῶν ἀνθρώπων τῶν ἐμπύρρων καὶ τὰ τριχώματα γίνεται λευκόπυρρα, τῶν δὲ μελάνων μέλανα· κἂν κατὰ μέρος τι τοῦ σώματος ἐξανθήσῃ λεύκη, καὶ τὰς τρίχας ἴσχουσιν ἅπαντες λευκὰς κατὰ τὸν τόπον τοῦτον, καθάπερ καὶ τὰ ποικίλα τῶν ζῴων. ȣ̔́τως ἅπαντα τὰ τριχώματα καὶ τὰ πτερώματα τοῖς δέρμασι συνακολȣθεῖ, καὶ τὰ κατὰ μέρος καὶ τὰ κατὰ σῶμα ὅλον. ὁμοίως δὲ τούτοις ὁπλαὶ καὶ χηλαὶ καὶ ῥύγχη καὶ κέρατα· καὶ γὰρ ταῦτα τῶν μὲν μελάνων γίνεται μέλανα, τῶν δὲ λευκῶν λευκά, διὰ τὸ καὶ τούτοις ἅπασι διὰ τȣ͂ δέρματος τὴν τροφὴν εἰς τὴν ἐκτὸς περιοχὴν διηθεῖσθαι. ὅτι δὲ τȣ͂τό ἐςιν αἴτιον, ȣ̓ χαλεπὸν ἐκ πολλῶν συνιδεῖν. τῶν τε γὰρ παιδίων ἁπάντων αἱ κεφαλαὶ κατ' ἀρχὰς μὲν γίνονται πυρραὶ διὰ τὴν ὀλιγότητα τῆς τροφῆς. φανερὸν δὲ τοῦτό ἐστιν· καὶ γὰρ ἀσθενεῖς αἱ τρίχες καὶ ἀραιαὶ καὶ βραχεῖαι τὸ πρῶτον ἅπασιν ἐπιγίνονται τοῖς παιδίοις. προϊȣ́σης δὲ τῆς ἡλικίας μελαίνονται πάλιν χρωζομένοις αὐτοῖς διὰ τὸ πλῆθος τῆς ἐπιρρεούσης τροφῆς. ὁμοίως δὲ καὶ περὶ τὴν ἥβην καὶ τὸ γένειον, ὅταν ἄρχωνται τὸ πρῶτον ἡβᾶν καὶ γενειᾶν, καὶ αὗται γίνονται κατ' ἀρχὰς μὲν πυρραὶ ταχέως διὰ τὴν ὀλιγότητα τῆς ὑγρασίας ἐν αὐταῖς καταξηραινομένης, τῆς τροφῆς δὲ πλέον ἐπὶ τὸν τόπον ἐπιφερομένης μελαίνονται πάλιν. αἱ δὲ ἐπὶ τȣ͂ σώματος πλεῖςον χρόνον πυρραὶ διαμένουσι διὰ τὴν ἔν-

3. χρόας] ἅμα χρόας ***EMX.*** ‖ 4. καὶ om ***X.*** ‖ 5. γὰρ om ***X.*** ‖ 6. ὄρφνιαι ***ELMG^{a}H^a***, ὄρφνια ***X.*** ‖ μέλανα καὶ ἀεροειδῆ ***X.*** ‖ 7. ἁλουργὸν ***L.*** ‖ 8. εὐανθὲς ante 7. γίνεται ***ELMG^{a}H^a***, om ***X.*** ‖ 13. ἀλλήλοις ***H^a.*** ‖ 14. φύλλα] πολλὰ ***ELMPXG^{a}H^a.*** ‖ 15. ἀπολειπȣ́σης ***LPX.*** ‖ 17. ἐπιρρεόντων ***ELMG^{a}H^a.*** ‖ 18. τῷ χρώματι om ***X.*** ‖ 20. ἅπαντα ***M.*** ‖ γίνονται ***M.*** ‖ 25. πάλιν] πάντα ***H^a.*** ‖ 28. φοινίκεα ***G^{a}H^a***, φοινίκεια ***L.*** ‖ καταξηραίνεται καὶ τȣ́των ***P.*** ‖ 30. ὑπολείπειν τὴν τροφὴν ***P.*** ‖ 31. εὔλογον μάλιςα ***L.***

1. πυρρὰ καὶ φαιὰ ***X.*** ‖ 3. αὐτὴν ***EMG^{a}H^a***, αὐτὸ ***L.*** ‖ 4. τὸ περιττὸν χρῶμα ***ELMG^{a}H^a.*** ‖ 7. ξανθὰ καὶ πυρρὰ ***P.*** ‖ 9. ἐν αὐτοῖς om ***X.*** ‖ 10. ἂν codicibus deest. ‖ 11. editi πάντως τοῖς δέρμασι τὰ τριχώματα. ‖ 12. συνεπακολουθεῖ ***L***, συνακολουθεῖ καὶ τὰ κατὰ μέρος ***X.*** ‖ 13. ἐμπύρων ***EMP.*** ‖ χρώματα ***X.*** ‖ γίνονται ***G^{a}H^a.*** ‖ 15. λευκὸν ***LH^a***, λευκῶς ***G^a.*** ‖ τὰς om ***X.*** ‖ λευκὰς ἅπαντες ***X.*** ‖ 17. τὰ] καὶ τὰ ***P.*** ‖ τὰ om ***P.*** ‖ 18. ἀκολουθεῖ ***P.*** ‖ 19. μόνον ***ELMG^{a}H^a.*** ‖ ὁπλὰς ***L.*** ‖ 20. μὲν om ***EMPX.*** ‖ 24. τε om ***X.*** ‖ 28. χρωιζομένης ***EH^a***, χρωιζομένης ***PX.*** ‖ 29. αὐτῆς ***P.*** ‖ 30. ὅμως ***M.*** ‖ 33. τῆς δὲ τροφῆς ***P***, τῆς τροφῆς δὴ ***E.*** ‖ 34. φερομένης ***LXG^{a}H^a.*** ‖ μελαίνοντα ***H^a.*** ‖ πάντα ***H^a***, πᾶσαι ***L.***

δειαν τῆς τροφῆς, ἐπεὶ καθ' ὃν ἂν χρόνον αὐξηθῶσι, καὶ ταύτας ὁμοίως συμβαίνει μελαίνεσθαι καθάπερ καὶ τὰς ἐπὶ τῆς ἥβης καὶ τῆς κεφαλῆς. φανερὸν δ' ἐςίν· καὶ γαρ ὅσα μῆκος ἔχει τῶν τριχωμάτων, ὡς τὸ πολύ ἐςι τὰ μὲν πρὸς τῷ σώματι μελάντερα, τὰ δὲ πρὸς τοῖς ἄκροις ξανθότερα. καὶ αἱ μὲν τῶν προβάτων καὶ ἵππων καὶ ἀνθρώπων, διὰ τὸ τὴν τροφὴν ἐλαχίςην αὐτοῖς ἐπὶ τούτους φέρεσθαι τοὺς τόπους, καὶ καταξηραίνεσθαι ταχέως. γίνονται δὲ καὶ τὰ πτερώματα τῶν μελάνων ὀρνίθων τὰ μὲν πρὸς τῷ σώματι μελάντερα πάντων, τὰ δὲ πρὸς τοῖς ἄκροις ξανθότερα. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ περὶ τὸν τράχηλον, καὶ ὅλως ὅσα βραχεῖαν τὴν τροφὴν λαμβάνει. δῆλον δέ· καὶ γὰρ πρὸ τῆς πολιώσεως ἅπαντα τὰ τριχώματα μεταβάλλει καὶ γίνεται πυρρὰ διὰ τὸ πάλιν τὴν τροφὴν ὑπολείπουσαν καταξηραίνεσθαι ταχέως. τὸ δὲ τελευταῖον λευκά, πρότερον ἢ μελανθῆναι τὸ ὑγρόν, τῆς τροφῆς ἐν αὐτοῖς ἐκπεττομένης. μάλιςα δὲ τοῦτο ἐπὶ τῶν ὑποζυγίων φανερόν ἐςιν· πάντων γὰρ τὰ τριχώματα γίνεται λευκά. τῶν γὰρ τόπων οὐ δυναμένων ὁμοίως ἐπισπᾶσθαι τὴν τροφὴν διὰ τὴν ἀσθένειαν τὴν τοῦ θερμοῦ, ταχέως καταξηραινόμενον τὸ ὑγρὸν γίνεται λευκόν. καὶ τὰ περὶ τοὺς κροτάφους μάλιςα πάντων πολιοῦνται, καὶ ὅλως περὶ τοὺς ἀσθενεῖς καὶ πεπονηκότας τῶν τόπων. παρὸ καὶ παρὰ πάντα μάλιςα εἰς τοῦτο τὸ χρῶμα μεταβάλλει, ὅταν τὴν φύσιν παραλλάξῃ τὴν οἰκείαν. καὶ γὰρ λαγὼς ἤδη γέγονε λευκός, καὶ μέλας δέ ποτε πέφηνε καὶ ἔλαφος καὶ ἄρκτος, ὁμοίως δὲ τούτοις καὶ ὄρτυξ καὶ πέρδιξ καὶ χελιδών. ὅταν γὰρ ἀσθενήσωσι τῇ γενέσει, πάντα τὰ τοιαῦτα διὰ τὴν ὀλιγότητα τῆς τροφῆς πρὸ ὥρας ἐκπεττόμενα γίνεται λευκά. οὕτως καὶ τὰ τῶν παίδων εὐθὺς καὶ τὰς κεφαλὰς ἴσχει λευκὰς καὶ τὰ βλέφαρα καὶ τὰς ὀφρῦς, ὥσπερ καὶ τῶν ἄλλων ἑκάςῳ πρὸς τὸ γῆρας φανερῶς ἅπασι δι' ἀσθένειαν καὶ ὀλιγότητα [τῆς τροφῆς] συμβαίνει τὸ πάθος. διὸ καὶ τὰ πλεῖςα τῶν ζῴων ἀσθενέστερα γίνεται τὰ λευκὰ τῶν μελάνων· πρότερον γὰρ ἢ τὴν αὔξησιν αὐτῶν τελειωθῆναι διὰ τὴν ὀλιγότητα τῆς τροφῆς ἐκπεττόμενα γίνεται λευκά, καθάπερ καὶ τῶν καρπῶν ὅσοι νενοσηκότες τυγχάνουσιν· καὶ γὰρ οὗτοι πολὺ μᾶλλον δι' ἀσθένειαν ἐκπέττονται. ὅσα δὲ γίνεται λευκά, πολὺ διαφέροντα ἐκ τῶν ἄλλων, οἷον ἵπποι καὶ κύνες. τὰ δὲ τοιαῦτα μεταβάλλει πάντα ἐκ τοῦ κατὰ φύσιν χρώματος εἰς τὸ λευκὸν διὰ τὴν εὐτροφίαν. τὸ γὰρ ὑγρὸν ἐν τοῖς τοιούτοις οὐ χρονιζόμενον, ἀλλ' ἀναλισκόμενον διὰ τὴν αὔξησιν, οὐ γίνεται μέλαν. τὰ πλεῖςα γάρ ἐςι τῶν τοιούτων ὑγρὰ καὶ εὔσαρκα διὰ τὴν εὐτροφίαν. διόπερ οὐδὲ μεταβάλλει τὰ λευκὰ τῶν τριχωμάτων. φανερὸν δὲ τοῦτο ἐςίν· καὶ γὰρ τὰ μέλανα πρότερον τῆς πολιώσεως γίνεται πυρρά, ἤδη τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης καὶ μᾶλλον ἐκπεττομένης, τὸ δὲ τελευταῖον λευκά. καίτοι τινὲς ὑπολαμβάνουσι μέλανα γίνεσθαι πάντα διὰ τὸ συγκάεσθαι τὴν τροφὴν αὐτῶν ὑπὸ τοῦ θερμοῦ καθάπερ καὶ τὸ αἷμα καὶ τῶν ἄλλων ἕκαςον, διαμαρτάνοντες. ἔνια γὰρ καὶ τῶν ζῴων εὐθὺς ἐν ἀρχῇ γίνεται μέλανα, οἷον κύνες καὶ αἶγες καὶ βόες, καὶ ὅλως ὅσων τὰ δέρματα καὶ τὰ τριχώματα κατ' ἀρχὰς ἔχει τροφήν, προϊούσης δὲ τῆς ἡλικίας ἧττον. καίτοι γε οὐκ ἐχρῆν, ἀλλὰ πάντων ἔδει καὶ τὰ τριχώματα μελαίνεσθαι κατὰ τὴν ἀκμήν, καθ' ἣν ἂν χρόνον μάλιςα αὐτῶν ἰσχύῃ καὶ τὸ θερμόν, καὶ μᾶλλον ἅπαντα πολιοῦσθαι κατ' ἀρχάς. πολὺ γὰρ ἁπάντων ἀπὸ πρώτης ἀσθενέςερόν τι γίνεται τὸ θερμὸν ἢ καθ' ὃν χρόνον ἄρχεται τὰ τριχώματα αὐτῶν λευκαίνεσθαι. φανερὸν δὲ τοῦτο ἐςὶ καὶ ἐπὶ τῶν λευκῶν. ἔνια μὲν γὰρ εὐθὺς ἴσχει τὸ χρῶμα λευκότατον, ὅσα καὶ τούτων πλείςην ἔχει κατ' ἀρχὰς τροφήν, καὶ μὴ πρὸ ὥρας ἐν αὐτῇ καταξηραίνεται τὸ ὑγρόν· προϊούσης δὲ τῆς ἡλικίας ξανθά, τροφῆς αὐτοῖς ἐλάττονος ὕςερον ἐπιρρεούσης. τὰ δὲ ἐν ἀρχῇ μὲν γίνεται ξανθά, κατὰ δὲ τὴν ἀκμὴν λευκό-

2. ταῦτα EG^aH^a. ‖ συμβαίνει ὁμοίως G^a. ‖ 3. καὶ τῆς] καὶ τὰς ἐπὶ τῆς *LGH*^{a}. ‖ γὰρ om LH^a. ‖ 5. τοῦ σώματος *L*. ‖ 6. μὲν om LG^aH^a. ‖ 7. τὴν om *X*. ‖ αὐτοῖς om LG^aH^a. ‖ 9. τὰ post καὶ om *M*. ‖ 11. τοῦτον τρόπον *P*. ‖ 12. λαμβάνουσι *L*. ‖ 13. πρὸ] ὑπὸ LG^aH^a, πρὸ τῆς ὑπὸ *E*, om *P*. ‖ λειώσεως *E*, τελειώσεως LMG^aH^a. ‖ 15. ἀπολείπουσαν *P*. ‖ 17. ὑποζύγων *P*. ‖ 18. ἐςιν om *P*. ‖ 20. τὴν ante τοῦ om *L*. ‖ 21. γίνεται] φαίνεται λευκὸν γεγονός *P*. ‖ 22. τελειοῦνται *P*. ‖ παρὰ H^a. ‖ 23. πάντα τὰ χρώματα μάλιςα εἰς τοῦτο μεταβάλλει *X*. ‖ 26. δὴ *L*. ‖ 27. ὄρυξ *EMPX*. ‖ 31. ἔχει LH^a. ‖ 33. τῆς τροφῆς om $ELMPXG^aH^a$. ‖ τὸ πάθος] τοῦτο *X*.

1. γίνονται *PX*. ‖ τὰ] τὰ δὲ *X*. ‖ 2. πρότερα H^a. ‖ γὰρ ἢ] τοῦ γὰρ *P*, γὰρ *E*. ‖ 6. ὅσα] τὰ *L*. ‖ γίνονται $LPXG^aH^a$. ‖ 7. δὴ *X*. ‖ πάντα μεταβάλλει LG^aH^a. ‖ 10. ἀλλ' et οὐ om $ELMG^aH^a$. ‖ 11. εὔκαρπα $ELMG^aH^a$. ‖ 14. γίνονται LMG^aH^a. ‖ 15. ἀπολειπούσης *ELM*. ‖ 17. αὐτοῦ $ELMPG^aH^a$. ‖ 19. καὶ om *PX*. ‖ 22. γε om *P*. ‖ 23. δεῖ $ELMG^aH^a$, omissis mox μελαίνεσθαι κατά. ‖ 24. ἀρχὴν *P*. ‖ ἂν post αὐτῶν *ELM*, om *P*. ‖ καὶ om G^a. ‖ 25. πονοῦσθαι *EMi*, πονεῖσθαι γε *P*. ‖ 26. ἀπὸ πρώτης post θερμόν *P*. ‖ 30. πλείςην κατ' ἀρχὰς ἔχει PH^a, κατ' ἀρχὰς ἔχει πλείςην G^a, κατ' ἀρχὰς πλείςην ἔχει *L*. ‖ πρὸ ὥρας] προέφθασεν *PX*. ‖ 31. καταξηραίνεσθαι *EMPX*. ‖ 32. ξανθὸν *PX*. ‖ τροφῆς ἐν αὐτοῖς *X*. ‖ ὕςερον ante ἐλάττονος LG^aH^a, om *X*.

τατα, καθάπερ καὶ τῶν ὀρνίθων μεταβάλλουσι τὰ χρώματα πάλιν τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης. δηλοῖ δέ· πάντα γὰρ αὐτὰ γίνεται ξανθὰ καὶ περὶ τὸν τράχηλον, καὶ ὅλως ὅσα σπανίζει τροφῆς τῆς ἐν αὐτοῖς ὑπολειπούσης. δῆλον δέ· ὥσπερ γὰρ καὶ τὸ πυρρὸν εἰς τὸ μέλαν μεταβάλλει καὶ τὸ μέλαν πάλιν εἰς τὸ πυρρόν, οὕτω καὶ τὸ λευκὸν εἰς τὸ ξανθόν. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν φυτῶν· ἔνια γὰρ ἐκ τῆς ὑστέρας πέψεως ἀνατρέχει πάλιν ἐπὶ τὴν προτέραν. μάλιστα δὲ τοῦτο καὶ ἐπὶ τῆς ῥοιᾶς φανερόν ἐστι. τὸ μὲν γὰρ ἐξ ἀρχῆς οἱ κόκκοι γίνονται φοινικοῖ, καὶ τὰ φύλλα, δι' ὀλιγότητα τῆς τροφῆς ἐκπεττομένης· ὕστερον δὲ πάλιν μεταβάλλουσιν εἰς τὸ ποῶδες χρῶμα, πολλῆς τροφῆς ἐπιρρεούσης καὶ τῆς πέψεως οὐχ ὁμοίως δυναμένης κρατεῖν· τὸ τελευταῖον δὲ πεττομένης ἤδη τῆς τροφῆς πάλιν γίνεται τὸ χρῶμα φοινικοῦν. καθόλου δὲ εἰπεῖν καὶ περὶ τῶν ἄλλων τριχωμάτων καὶ πτερωμάτων, ἅπαντα λαμβάνει τὰς μεταβολάς, οἷς μέν, καθάπερ εἴρηται, τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης, οἷς δὲ τοὐναντίον πλεοναζούσης. διόπερ ἄλλα κατ' ἄλλους χρόνους τῆς ἡλικίας καὶ λευκότατα καὶ μελάντατα γίνεται τῶν τριχωμάτων, ἐπεὶ καὶ τῶν κοράκων τὰ πτερώματα τὸ τελευταῖον εἰς τὸ ξανθὸν χρῶμα μεταβάλλει, τῆς τροφῆς ἐν αὐτοῖς ὑπολειπούσης. τῶν δὲ τριχωμάτων οὐδὲν οὔτε φοινικοῦν οὔθ' ἁλουργὲς οὔτε πράσινον οὔτε ἄλλην οὐδεμίαν ἔχον τοιαύτην γίνεται χρόαν, διὰ τὸ πάντα τὰ τοιαῦτα χρώματα γίνεσθαι μιγνυμένων αὐτοῖς τῶν τοῦ ἡλίου αὐγῶν, ἔτι δὲ τῶν τριχωμάτων ἁπάντων τῶν ὑγρῶν ἐντὸς τῆς σαρκὸς συμβαίνειν τὰς μεταβολάς, καὶ μηδεμίαν αὐτὰ λαμβάνειν μίξιν. δῆλον δ' ἐστίν· καὶ γὰρ τῶν πτερωμάτων τὸ μὲν ἐξ ἀρχῆς οὐδὲν γίνεται τῷ χρώματι τοιοῦτον, ἀλλὰ καὶ τὰ ποικίλα τῶν ὀρνέων πάνθ' ὡς εἰπεῖν μέλανα, οἷον ὅ τε ταὼς καὶ ἡ περιστερὰ καὶ ἡ χελιδών· ὕστερον δὲ λαμβάνει πάσας τὰς τοιαύτας ποικιλίας, ἤδη τῆς πέψεως αὐτῶν ἔξω τοῦ σώματος γιγνομένης, ἔν τε τοῖς πτερώμασι καὶ τοῖς καλαίοις· ὥστε συμβαίνει, καθάπερ καὶ ἐπὶ τῶν φυτῶν, καὶ τούτων ἔξω τοῦ σώματος γίγνεσθαι τὴν τῶν χρωμάτων πέψιν. διὸ καὶ τὰ λοιπὰ τῶν ζῴων, τά τ' ἔνυδρα καὶ τὰ ἑρπετὰ καὶ τὰ κογχύλια, παντοδαπὰς ἴσχει χρωμάτων μορφάς, πολλῆς καὶ τούτοις τῆς πέψεως γινομένης. τὴν μὲν οὖν περὶ τὰ χρώματα θεωρίαν μάλιστ' ἄν τις ἐκ τῶν εἰρημένων δύναιτο συνιδεῖν.

2. πάλιν om *P*. ‖ 3. πάντα — 5. δῆλον δέ om *P*. ‖ 5. γὰρ] δὲ ***EMPX***, om *L*. ‖ μέλαν] λευκὸν LG^oH^o. ‖ 8 et 12. πάλιν] πάντα *L*. ‖ 9. ῥοᾶς ***EMP***, ῥόας *X*. ‖ 10. γὰρ om *L*. ‖ κότινοι ***ELMPX*** et corr G^o, κόκινοι H^o. ‖ φοινίκεοι ***EMP***, φοινικεοὶ G^o, φοινίκειοι *X*. ‖ 13. τροφῆς πολλῆς *X*. ‖ 15. πάντι *L*. ‖ φοινικοῦν LXG^oH^o. ‖ 16. καὶ ante πτ. om *E*. ‖ 19. ἄλλους τοὺς χρόνους *P*. ‖ 20. μέλανα *P*. ‖ τῶν] καὶ τῶν ***EMPX***.

1. εἰς ξανθὸν *X*, ἐκξηρανθὲν *P*. ‖ 3. φοινικοῦν LXH^o. ‖ 4. οὐδεμίαν ἄλλην LG^oH^o. ‖ 6. ἔτι] ἐστι EMG^oH^o. ‖ 7. ἐντὸς] ἐν τῇ H^o, ἐν τῷ $ELMG^o$. ‖ συμβαίνει ELH^o. ‖ 8. αὐτῶν *M*. ‖ 9. τὸ] τὰ *L*. ‖ 10. τριχώματι ***MP***. ‖ 12. ὕστερον] ἕτερον *E*, ἕτερα *M*. ‖ τὰς] ἤδη τὰς *M*. ‖ 12. ποικιλίας] ἤδη ποικιλίας *E*. ‖ τῆς πέψεως αὐτῶν ἤδη τοῦ σώματος ἔξω *P*. ‖ 13. πτερυγώμασι *P*. ‖ κάλοις ***EM***, καυλοῖς *X*, λόφοις *P*. ‖ 15. καθάπερ om G^o. ‖ καὶ τούτων om *X*. ‖ 16. τοῦ] τῶν τοῦ $ELMG^oH^o$. ‖ τῶν χρωμάτων om G^o. ‖ 17. τὰ ante ἑρπ. om *X*. ‖ 17. τὰ om ***EMP***. ‖ πάντα δ' ἁπάσας ***EPX***. ‖ διαφορὰς *X*. ‖ 18. τούτων G^o. ‖ γενομένης *P*. ‖ περὶ] ἐκ τῶν περὶ ***EMPX***. ‖ 20. post συνιδεῖν *p*: † ὁ τῆς περιστερᾶς τράχηλος διαφόρων χρωμάτων φαντασίαν ποιεῖ διὰ τὴν τοῦ ἡλίου ἀκτῖνα. προσβαλλούσης γὰρ αὐτῆς τῷ τραχήλῳ τῆς ἀκτῖνος παρὰ τὴν τοῦ ὄμματος θέσιν πρὸς ἄλλην καὶ ἄλλην θέσιν τοῖς μὲν κυανοῦς φαίνεται, τοῖς δὲ χρυσίζων, τοῖς δὲ μέλας, ἄλλοις ἀλλοῖος.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΚΟΥΣΤΩΝ.

Τὰς δὲ φωνὰς ἁπάσας συμβαίνει γίγνεσθαι καὶ τὺς ψόφους ἢ τῶν σωμάτων ἢ τοῦ ἀέρος πρὸς τὰ σώματα προσπίπτοντος, ὐ τῷ τὸν ἀέρα σχηματίζεσθαι, καθάπερ οἴονταί τινες, ἀλλὰ τῷ κινεῖσθαι παραπλησίως αὐτὸν συςελλόμενον καὶ ἐκτεινόμενον καὶ καταλαμβανόμενον, ἔτι δὲ συγκρύοντα διὰ τὰς τῦ πνεύματος καὶ τῶν χορδῶν γιγνομένας πληγάς. ὅταν γὰρ τὸν ἐφεξῆς ἀέρα πλήξῃ τὸ πνεῦμα τὸ ἐμπῖπτον αὐτῷ, ὁ ἀὴρ ἤδη φέρεται βίᾳ, τὸν ἐχόμενον αὐτοῦ προωθῶν ὁμοίως, ὥςε πάντῃ τὴν φωνὴν διατείνειν τὴν αὐτήν, ἐφ᾽ ὅσον συμβαίνει γίγνεσθαι καὶ τοῦ ἀέρος τὴν κίνησιν. διαχεῖται γὰρ ἐπὶ πλέονα ἡ βία τῆς κινήσεως αὐτοῦ γιγνομένης, ὥσπερ καὶ τὰ πνεύματα τὰ ἀπὸ τῶν ποταμῶν καὶ ἀπὸ τῆς χώρας ἀποπνέοντα. τῶν δὲ φωνῶν τυφλαὶ μέν εἰσι καὶ νεφώδεις ὅσαι τυγχάνουσιν αὐτοῦ καταπεπνιγμέναι· λαμπραὶ δὲ οὖσαι πόρρω διατείνουσι, καὶ πάντα πληροῦσι τὸν συνεχῆ τόπον. ἀναπνέομεν δὲ τὸν μὲν ἀέρα πάντες τὸν αὐτόν, τὸ δὲ πνεῦμα καὶ τὰς φωνὰς ἐκπέμπομεν ἀλλοίας διὰ τὰς τῶν ὑποκειμένων ἀγγείων διαφοράς, δι᾽ ὧν ἑκάστου τὸ πνεῦμα περαιοῦται [τὰ] πρὸς τὸν ἔξω τόπον. ταῦτα δέ ἐςιν ἥ τε ἀρτηρία καὶ ὁ πνεύμων καὶ τὸ στόμα. πλείστην μὲν ὖν διαφορὰν ἀπεργάζονται τῆς φωνῆς αἵ τε τοῦ ἀέρος πληγαὶ καὶ οἱ τοῦ στόματος σχηματισμοί. φανερὸν δ᾽ ἐστίν· καὶ γὰρ τῶν φθόγγων αἱ διαφοραὶ πᾶσαι γίγνονται διὰ ταύτην τὴν αἰτίαν, καὶ τὺς αὐτὺς ὁρῶμεν μιμυμένους καὶ ἵππων φωνὰς καὶ βατράχων καὶ ἀηδόνων καὶ γεράνων καὶ τῶν ἄλλων ζῴων σχεδὸν ἁπάντων, τῷ αὐτῷ χρωμένους πνεύματι καὶ ἀρτηρίᾳ, παρὰ τὸ τὸν ἀέρα διαφόρως ἐκπέμπειν αὐτὺς ἐκ τοῦ ςόματος. πολλὰ δὲ καὶ τῶν ὀρνέων, ὅταν ἀκούσωσι, μιμῦνται τὰς τῶν ἄλλων φωνὰς διὰ τὴν εἰρημένην αἰτίαν. ὁ δὲ πνεύμων ὅταν ᾖ μικρὸς καὶ πυκνὸς καὶ σκληρός, ὔτε δέχεσθαι τὸν ἀέρα δύναται πολὺν εἰς αὐτὸν ὔτε ἐκπέμπειν πάλιν ἔξω, ὐδὲ τὴν πληγὴν ἰσχυρὰν ὐδὲ εὔρωςον ποιεῖσθαι τὴν τοῦ πνεύματος. διὰ γὰρ τὸ εἶναι σκληρὸς καὶ πυκνὸς καὶ συνδεδεμένος οὐ δύναται λαμβάνειν τὴν διαςολὴν ἐπὶ πολὺν τόπον, οὐδὲ πάλιν ἐκ πολλοῦ διαςήματος συνάγων ἑαυτὸν ἐκθλίβειν βίᾳ τὸ πνεῦμα, καθάπερ ὐδ᾽ ἡμεῖς ταῖς φύσαις, ὅταν ὦσι σκληραὶ καὶ μήτε διαστέλλεσθαι μήτε πιέζεσθαι δύνωνται ῥᾳδίως. τῦτο γάρ ἐςι τὸ ποιῦν τὴν τοῦ πνεύματος πληγὴν εὔρωστον, ὅταν ὁ πνεύμων ἐκ πολλοῦ διαςήματος συνάγων αὐτὸν ἐκθλίβῃ τὸν ἀέρα βιαίως. δῆλον δὲ τῦτ᾽ ἐςίν· οὐδὲ γὰρ τῶν ἄλλων μορίων ὐθὲν ἐκ μικρᾶς ἀποστάσεως δύναται ποιεῖσθαι τὴν πληγὴν ἰσχυράν. οὔτε γὰρ τῷ σκέλει δυνατόν ἐστιν οὔτε τῇ χειρὶ πατάξαι σφοδρῶς ὐδὲ ἀπορρῖψαι πόρρω τὸ πληγέν, ἐὰν μή τις αὐτῶν ἑκατέρῳ ἐκ πολλοῦ λάβῃ τῆς πληγῆς τὴν ἀπόστασιν. εἰ δὲ μή, σκληρὰ μὲν ἡ πληγὴ γίγνεται διὰ τὴν συντονίαν, ἐκβιάζεσθαι δὲ οὐ δύναται πόρρω τὸ πληγέν, ἐπεὶ οὔθ᾽ οἱ καταπέλται μακρὰν δύνανται βάλλειν ὔθ᾽ ἡ σφενδόνη ὔτε τόξον, ἂν ᾖ σκληρὸν καὶ μὴ δύνηται κάμπτεσθαι, μηδὲ τὴν ἀναγωγὴν ἡ νευρὰ λαμβάνειν ἐπὶ πολὺν τόπον. ἐὰν δὲ μέγας ὁ πνεύμων ᾖ καὶ μαλακὸς καὶ εὔτονος, πολὺν τὸν ἀέρα δύναται δέχεσθαι, καὶ τοῦτον ἐκπέμπειν πάλιν, ταμιευόμενος ὡς ἂν βύληται διὰ τὴν μαλακότητα καὶ διὰ τὸ ῥᾳδίως αὐτὸν συςέλλειν. ἡ δὲ ἀρτηρία μακρὰ μὲν ὅταν ᾖ καὶ στενή, χαλεπῶς ἐκπέμπουσιν ἔξω τὴν φωνὴν καὶ μετὰ βίας πολλῆς διὰ τὸ μῆκος τῆς τῦ πνεύματος φορᾶς. φανερὸν δ᾽ ἐστίν· πάντα γὰρ τὰ τοὺς τραχήλους ἔχοντα μακρὺς φθέγγονται βιαίως, οἷον οἱ χῆνες καὶ γέρανοι καὶ ἀλεκτρυόνες. μᾶλλον δὲ τῦτο καταφανές ἐςιν ἐπὶ τῶν αὐτῶν· πάντες γὰρ χαλεπῶς πληροῦσι τοὺς βόμβυκας καὶ μετὰ συντονίας πολλῆς διὰ τὸ μῆκος τῆς ἀποςάσεως. ἔτι δὲ τὸ πνεῦμα διὰ τὴν ςενοχωρίαν ὅταν ἐντὸς θλιβόμενον εἰς τὸν ἔξω τόπον ἐκπέσῃ, παραχρῆμα διαχεῖται καὶ σκεδάννυται, καθάπερ καὶ τὰ ῥεύματα φερόμενα διὰ τῶν εὐρίπων, ὥςε μὴ δύνασθαι τὴν φωνὴν συμμένειν μηδὲ διατείνειν ἐπὶ πολὺν τόπον. ἅμα δὲ καὶ δυςαμίευτον ἀνάγκη πάντων τῶν τοιύτων εἶναι τὸ πνεῦμα καὶ μὴ ῥᾳδίως ὑπηρετεῖν. ὅσων δέ ἐςι μέγα τὸ διάςημα τῆς ἀρτηρίας, τῶν δὲ τοιούτων ἔξω μὲν περαιῦσθαι συμβαίνει τὸ πνεῦμα ῥᾳδίως, ἐντὸς δὲ φερόμενον διαχεῖσθαι διὰ τὴν εὐρυχωρίαν, καὶ τὴν φωνὴν γίνεσθαι κενὴν καὶ μὴ σύνεστῶσαν, ἔτι δὲ

Codex M^a.

b. 8. ὐδὲ γὰρ M^a. ‖ 9. αὐτὸν ἑκατέρῳ ποιήσας ἐκ M^a. ‖ 10. ἀνάςασιν M^a. ‖ 14 δύναται λάμπεσθαι M^a. ‖ 28. τόποι om M^a ‖ 33. μέγα] μετὰ M^a.

μὴ δύνασθαι διαιρεῖσθαι τῷ πνεύματι τοὺς τοιούτους διὰ τὸ μὴ συνερείδεσθαι τὴν ἀρτηρίαν αὐτῶν. ὅσων δ' ἐστὶν ἀνωμάλως καὶ μὴ πάντοθεν ἔχει τὴν διάστασιν ὁμοίαν, τούτους ἀναγκαῖον ἁπασῶν μετέχειν τῶν δυσχερειῶν. καὶ γὰρ ἀνωμάλως αὐτοῖς ἀνάγκη τὸ πνεῦμα ὑπηρετεῖν καὶ θλίβεσθαι καὶ καθ' ἕτερον τόπον διαχεῖσθαι πάλιν. βραχείας δὲ τῆς ἀρτηρίας οὔσης ταχὺ μὲν ἀνάγκη τὸ πνεῦμα ἐκπέμπειν καὶ τὴν πληγὴν ἰσχυροτέραν γίνεσθαι τὴν τοῦ ἀέρος, πάντας δὲ τοὺς τοιούτους ὀξύτερον φωνεῖν διὰ τὸ τάχος τῆς τοῦ πνεύματος φορᾶς. οὐ μόνον δὲ συμβαίνει τὰς τῶν ἀγγείων διαφοράς, ἀλλὰ καὶ τὰ πάθη πάντα τὰς φωνὰς ἀλλοιοῦν. ὅταν μὲν γὰρ ὦσιν ὑγρασίας πλήρη πολλῆς ὅ τε πνεύμων καὶ ἡ ἀρτηρία, διασπᾶται τὸ πνεῦμα καὶ οὐ δύναται περαιοῦσθαι εἰς τὸν ἔξω τόπον συνεχῶς διὰ τὸ προσκόπτειν καὶ γίνεσθαι παχὺν καὶ ὑγρὸν καὶ δυσκίνητον, καθάπερ καὶ περὶ τοὺς κατάρρους καὶ τὰς μέθας. ἐὰν δὲ ξηρὸν ᾖ τὸ πνεῦμα παντελῶς, σκληροτέρα ἡ φωνὴ γίγνεται καὶ διεσπασμένη· συνέχει γὰρ ἡ νοτίς, ὅταν ᾖ λεπτή, τὸν ἀέρα, καὶ ποιεῖ τινὰ τῆς φωνῆς ἁπλότητα. τῶν μὲν οὖν ἀγγείων αἱ διαφοραὶ καὶ τῶν παθῶν τῶν περὶ αὐτὰ γιγνομένων τοιαύτας ἑκάστας τὰς φωνὰς ἀποτελοῦσιν. αἱ δὲ φωναὶ δοκοῦσι μὲν εἶναι καθ' οὓς ἂν ἕκασται γίγνωνται τόπους, ἀκούομεν δὲ πασῶν αὐτῶν, ὅταν ἡμῖν προσπέσωσι πρὸς τὴν ἀκοήν. ὁ γὰρ ὠσθεὶς ὑπὸ τῆς πληγῆς ἀὴρ μέχρι μέν τινος φέρεται συνεχής, ἔπειτα κατὰ μικρὸν ἀεὶ διακινεῖται μᾶλλον, καὶ τούτῳ γιγνώσκομεν πάντας τοὺς ψόφους καὶ τοὺς πόρρω γιγνομένους καὶ τοὺς ἐγγύς. δῆλον δ' ἐστίν· ὅταν γάρ τις λαβὼν κέραμον ἢ αὐλὸν ἢ σάλπιγγα, προσθείς τε ἑτέρῳ πρὸς τὴν ἀκοήν, διὰ τούτων λαλῇ, πᾶσαι δοκοῦσιν αἱ φωναὶ παντελῶς εἶναι πλησίον τῆς ἀκοῆς διὰ τὸ μὴ σκεδάννυσθαι τὸν ἀέρα φερόμενον, ἀλλὰ διατηρεῖσθαι τὴν φωνὴν ὁμοίαν ὑπὸ τοῦ περιέχοντος ὀργάνου. καθάπερ οὖν καὶ ἐπὶ τῆς γραφῆς, ὅταν τις τοῖς χρώμασι τὸ μὲν ὅμοιον ποιήσῃ τῷ πόρρω τὸ δὲ τῷ πλήσιον, τὸ μὲν ἡμῖν ἀνακεχωρηκέναι δοκεῖ τῆς γραφῆς τὸ δὲ προέχειν, ἀμφοτέρων αὐτῶν ὄντων ἐπὶ τῆς αὐτῆς ἐπιφανείας, οὕτω καὶ ἐπὶ τῶν ψόφων καὶ τῆς φωνῆς, ὅταν ἡ μὲν ἤδη διαλελυμένη προσπίπτῃ πρὸς τὴν ἀκοὴν ἡ δέ τις συνεχής, ἀμφοτέρων αὐτῶν ἀφικνουμένων πρὸς τὸν αὐτὸν τόπον, ἡ μὲν ἀφεστηκέναι πόρρω δοκεῖ τῆς ἀκοῆς ἡ δ' εἶναι σύνεγγυς, διὰ τὸ τὴν μέντοι πόρρωθεν ὁμοίαν εἶναι, τὴν δὲ πλησίον. σαφεῖς δὲ μάλιστα αἱ φωναὶ γίγνονται παρὰ τὴν ἀκρίβειαν τὴν τῶν φθόγγων. ἀδύνατον γὰρ μὴ τελέως τούτων διηρθρωμένων τὰς φωνὰς εἶναι σαφεῖς, καθάπερ καὶ τὰς τῶν δακτυλίων σφραγῖδας, ὅταν μὴ διατυπωθῶσιν ἀκριβῶς. διόπερ οὔτε τὰ παιδία δύνανται διαλέγεσθαι σαφῶς, οὔτε οἱ μεθύοντες, οὔτε οἱ γέροντες, οὐθ' ὅσοι φύσει τραυλοὶ τυγχάνουσιν ὄντες, οὐθ' ὅλως ὅσων εἰσὶν αἱ γλῶτται καὶ τὰ στόματα δυσκίνητα. ὥσπερ γὰρ καὶ τὰ χαλκεῖα καὶ τὰ κέρατα συνηχοῦντα ποιεῖ τοὺς ἀπὸ τῶν ὀργάνων φθόγγους σαφεστέρους, οὕτως καὶ ἐπὶ τῆς διαλέκτου πολλὴν ἀσάφειαν ἀπεργάζεται τὰ ἐκπίπτοντα τῶν πνευμάτων ἐκ τοῦ στόματος, ὅταν μὴ διατυπωθῶσιν ὁμοίως. οὐ μόνον δὲ ἑαυτῶν τινὰ παρεμφαίνουσιν ἀσάφειαν, ἀλλὰ καὶ τοὺς διηρθρωμένους τῶν φθόγγων ἐμποδίζουσιν, ἀνομοίας αὐτῶν γιγνομένης τῆς περὶ τὴν ἀκοὴν κινήσεως. διὸ καὶ μᾶλλον ἑνὸς ἀκούοντες συνίεμεν ἢ πολλῶν ἅμα ταὐτὰ λεγόντων, καθάπερ καὶ ἐπὶ τῶν χορδῶν· καὶ πολὺ ἧττον, ὅταν προσαυλῇ τις ἅμα καὶ κιθαρίζῃ, διὰ τὸ συγχεῖσθαι τὰς φωνὰς ὑπὸ τῶν ἑτέρων. οὐχ ἥκιστα δὲ τοῦτο ἐπὶ τῶν συμφωνιῶν φανερόν ἐστιν· ἀμφοτέρους γὰρ ἀποκρύπτεσθαι τοὺς ἤχους συμβαίνει ὑπ' ἀλλήλων. ἀσαφεῖς μὲν οὖν φωναὶ γίγνονται διὰ τὰς εἰρημένας αἰτίας, λαμπραὶ δὲ γίνονται καθάπερ ἐπὶ τῶν χρωμάτων· καὶ γὰρ ἐκεῖ τὰ μάλιστα δυνάμενα τὰς ὄψεις κινεῖν, ταῦτα εἶναι συμβαίνει τῶν χρωμάτων λαμπρότατα. τὸν αὐτὸν τρόπον τῶν φωνῶν ταύτας ὑποληπτέον εἶναι λαμπροτάτας, ὅσαι μάλιστα δύνανται προσπίπτουσαι κινεῖν τὴν ἀκοήν. τοιαῦται δέ εἰσιν αἱ σαφεῖς καὶ πυκναὶ καὶ καθαραὶ καὶ πόρρω δυνάμεναι διατείνειν· καὶ γὰρ ἐν τοῖς ἄλλοις αἰσθητοῖς ἅπασι τὰ ἰσχυρότερα καὶ πυκνότερα καὶ καθαρώτερα σαφεστέρας ποιεῖ τὰς αἰσθήσεις. δῆλον δέ· τὸ γὰρ τελευταῖον αἱ φωναὶ πᾶσαι γίγνονται κωφαί, τοῦ ἀέρος ἤδη διαχεομένου. δῆλον δ' ἐστὶ κἀπὶ τῶν αὐλῶν. τὰ γὰρ ἔχοντα τῶν δευτέρων τὰς γλώττας πλαγίας μαλακωτέραν μὲν ἀποδίδωσι τὴν φωνήν, οὐχ ὁμοίως δὲ λαμπράν· τὸ γὰρ πνεῦμα φερόμενον εὐθέως εἰς εὐρυχωρίαν ἐμπίπτει, καὶ οὐκέτι φέρεται σύντονον οὐδὲ συνεστηκός, ἀλλὰ διεσκεδασμένον. ἐν δὲ ταῖς σκληροτέραις γλώτταις ἡ φωνὴ γίνεται σκληροτέρα καὶ λαμπροτέρα, ἂν πιέσῃ τις αὐτὰς μᾶλλον τοῖς χείλεσι, διὰ τὸ φέρεσθαι τὸ πνεῦμα βιαιότερον. αἱ μὲν οὖν λαμπραὶ τῶν φωνῶν γίγνον-

20. αἱ om *M*ᵃ. ‖ αὐτὰ] τὰ αὐτὰ *M*ᵃ. ‖ 21. ἕκαστα *M*ᵃ. ‖ 22. ἕκασται] ἐν ἑκάστῃ *M*ᵃ. ‖ 32. οὖν om *M*ᵃ. ‖ 35. περιέχειν *M*ᵃ. ‖ 37. ἡ] γὰρ ἡ *M*ᵃ. ‖ 40. μέντοι] μὲν τῇ?

2. τὴν ante τῶν om *M*ᵃ. ‖ 9. χαλκία *M*ᵃ. ‖ 12. ἐκ τοῦ στόματος om *M*ᵃ. ‖ 13. δὲ om *M*ᵃ. ‖ 25. τὸν om *M*ᵃ. ‖ 27. κινεῖν] λαπτεῖν *M*ᵃ. ‖ δέ] δαί *M*ᵃ. ‖ 37. συγκροτέραις γλώσσαις *M*ᵃ.

ται διὰ τὰς εἰρημένας αἰτίας· παρὸ καὶ δοκοῦσιν οὐ χείρους εἶναι τῶν λευκῶν αἱ καλούμεναι φαιαί. πρὸς γὰρ τὰ πάθη καὶ τὰς πρεσβυτέρας ἡλικίας μᾶλλον ἁρμόττουσιν αἱ τραχύτεραι καὶ μικρὸν ὑποσυγκεχυμέναι καὶ μὴ λίαν ἔχουσαι τὸ λαμπρὸν ἐκφανές. ἅμα δὲ καὶ διὰ τὴν συντονίαν οὐχ ὁμοίως εἰσὶν εὐπειθεῖς. τὸ γὰρ βίᾳ φερόμενον δυσταμίευτον. οὔτε γὰρ ἐπιτεῖναι ῥᾴδιον, ὡς βούλεταί τις, οὔτε ἀνιέναι. ἐπὶ δὲ τῶν αὐλῶν γίγνονται αἱ φωναὶ λαμπραί, καὶ τῶν ἄλλων ὀργάνων, ὅταν τὸ ἐκπῖπτον πνεῦμα πυκνὸν ᾖ καὶ σύντονον. ἀνάγκη γὰρ καὶ τοῦ ἔξωθεν ἀέρος τοιαύτας γίγνεσθαι τὰς πληγάς, καὶ μάλιστα τὰς φωνὰς οὕτω διαπέμπεσθαι συνεστώσας πρὸς τὴν ἀκοήν, ὥσπερ καὶ τὰς ὀσμὰς καὶ τὸ φῶς καὶ τὰς θερμότητας. καὶ γὰρ πάντα ταῦτα ἀραιότερα φαινόμενα πρὸς τὴν αἴσθησιν ἀσημότερα γίγνεται, καθάπερ καὶ οἱ χυλοὶ κραθέντες τῷ ὕδατι καὶ ἑτέροις χυλοῖς. τὸ γὰρ ἑαυτοῦ παρέχον αἴσθησιν ἀσαφεῖς ἑκάστῳ ποιεῖ τὰς δυνάμεις. ἀπὸ δὲ τῶν ἄλλων ὀργάνων οἱ τῶν κεράτων ἦχοι πυκνοὶ καὶ συνεχεῖς πρὸς τὸν ἀέρα προσπίπτοντες ποιοῦσι τὰς φωνὰς ἀμαυράς· διὸ δεῖ τὸ κέρας τὴν φύσιν ἔχειν τῆς αὐξήσεως ὁμαλὴν καὶ λείαν καὶ μὴ ταχέως ἐκδεδραμηκυῖαν. ἀνάγκη γὰρ μαλακώτερα καὶ χαυνότερα γίγνεσθαι τὰ τοιαῦτα τῶν κεράτων, ὥστε τοὺς ἤχους διασπᾶσθαι καὶ μὴ συνεχεῖς ἐκπίπτειν δι' αὐτῶν μηδὲ γεγωνεῖν ὁμοίως διὰ τὴν μαλακότητα καὶ τὴν ἀραιότητα τῶν πόρων. μηδὲ πάλιν εἶναι δυσαυξῆ τὴν φύσιν, μηδὲ τὴν σύμφυσιν ἔχειν πυκνὴν καὶ σκληρὰν καὶ δύσφορον· καθ' ὅ τι γὰρ ἂν προσκόψῃ φερόμενος ὁ ἦχος, αὐτοῦ λαμβάνει τὴν κατάπαυσιν καὶ οὐκέτι περαιοῦται πρὸς τὸν ἔξω τόπον, ὥστε κωφοὺς καὶ ἀνωμάλους ἐκπίπτειν τοὺς ἤχους ἐκ τῶν τοιούτων κεράτων. ὅτι δὲ ἡ φορὰ γίγνεται κατὰ τὴν εὐθυπορίαν, φανερόν ἐστιν ἐπὶ τῶν ἱστῶν καὶ ὅλως ἐπὶ τῶν ξύλων τῶν μεγάλων, ὅταν αὐτὰ βασανίζωσιν. ὅταν γὰρ κρούσωσιν ἐκ τοῦ ἑτέρου ἄκρου, κατὰ τὸ ἕτερον ὁ ἦχος φέρεται συνεχής, ἐὰν μή τι ἔχῃ σύντριμμα τὸ ξύλον· εἰ δὲ μή, μέχρι τούτου προελθὼν αὐτοῦ καταπαύεται διασπασθείς. περικάμπτει δὲ καὶ τοὺς ὄζους, καὶ οὐ δυνατὸς δι' αὐτῶν εὐθυπορεῖν. κατάδηλον δὲ τοῦτό ἐστι καὶ ἐπὶ τῶν χαλκείων, ὅταν ῥινῶσι τὰς ἀπηρτημένας στολίδας τῶν ἀνδριάντων ἢ τὰ πτερύγια, τῷ συμμύειν, διὸ ῥοῖζον καὶ πολὺν ἦχον ἀφιᾶσι καὶ ψόφον. ἂν δέ τις αὐτὰ ταινίᾳ διαδήσῃ, παύεσθαι συμβαίνει τὸν ἦχον· ἕως γὰρ τούτου προελθὼν ὁ τρόμος, ὅταν προσκόψῃ πρὸς τὸ μαλακόν, αὐτοῦ ποιεῖται τὴν κατάπαυσιν. πολὺ δὲ καὶ ἡ ὄπτησις ἡ τῶν κεράτων συμβάλλεται καὶ πρὸς εὐφωνίαν. μᾶλλον μὲν γὰρ κατοπτηθέντα παραπλήσιον τὸν ἦχον ἔχουσι τῷ κεράμῳ διὰ τὴν σκληρότητα καὶ τὴν σύγκαυσιν· ἐὰν δέ τις αὐτὰ καταδεέστερον ὀπτήσῃ, ἁπαλώτερον μὲν ἀφίησι διὰ τὴν μαλακότητα τὸν ἦχον, οὐ δύναται δὲ γεγωνεῖν ὁμοίως. διὸ καὶ τὰς ἡλικίας ἐκλέγονται· τὰ μὲν γὰρ τῶν γερόντων ἐστὶ ξηρὰ καὶ πεπωρωμένα καὶ χαῦνα, τὰ δὲ τῶν νέων ἁπαλὰ παντελῶς καὶ πολλὴν ἔχοντα ἐν αὐτοῖς ὑγρασίαν. δεῖ δὲ εἶναι, καθάπερ εἴρηται, τὸ κέρας ξηρὸν καὶ πυκνὸν ὁμαλῶς καὶ εὐθύπορον καὶ λεῖον. οὕτω γὰρ ἂν μάλιστα συμβαίνοι καὶ τοὺς ἤχους πυκνοὺς καὶ λείους καὶ ὁμαλοὺς φέρεσθαι δι' αὐτῶν, καὶ τοῦ ἔξωθεν ἀέρος τὰς πληγὰς γίγνεσθαι τοιαύτας, ἐπεὶ καὶ τῶν χορδῶν εἰσὶν αἱ λειόταται βέλτισται καὶ τοῖς πᾶσιν ὁμαλώταται, καὶ τὴν κατεργασίαν ἔχουσι πάντοθεν ὁμοίαν, καὶ τὰς συμβολὰς ἀδήλους τὰς τῶν νεύρων· οὕτω γὰρ συμβαίνει καὶ ταύτας ποιεῖσθαι τὰς τοῦ ἀέρος πληγὰς ὁμοιοτάτας. δεῖ δὲ καὶ τῶν αὐλῶν εἶναι τὰς γλώττας πυκνὰς καὶ λείας καὶ ὁμαλάς, ὅπως ἂν καὶ τὸ πνεῦμα διαπορεύηται δι' αὐτῶν λεῖον καὶ ὁμαλὸν καὶ μὴ διεσπασμένον. διὸ καὶ τὰ βεβρεγμένα τῶν ζευγῶν καὶ τὰ πεπωκότα τὸ σίαλον εὐφωνότερα γίγνεται, τὰ δὲ ξηρὰ κακόφωνα. ὁ γὰρ ἀὴρ διὰ ὑγροῦ καὶ λείου φέρεται μαλακὸς καὶ ὁμαλός. δῆλον δέ· καὶ γὰρ αὐτὸ τὸ πνεῦμα, ὅταν ἔχῃ νοτίδα, πολὺ ἧττον προσκόπτει πρὸς τὰ ζεύγη καὶ διασπᾶται· τὸ δὲ ξηρὸν μᾶλλον ἀντιλαμβάνεται καὶ τὴν πληγὴν ποιεῖται σκληροτέραν διὰ τὴν βίαν. αἱ μὲν οὖν διαφοραὶ τῶν ἤχων γίγνονται διὰ τὰς εἰρημένας αἰτίας. σκληραὶ δ' εἰσὶ τῶν φωνῶν ὅσαι βιαίως πρὸς τὴν ἀκοὴν προσπίπτουσι· διὸ καὶ μάλιστα παρέχουσι τὸν τόνον. τοιαῦται δ' εἰσὶν αἱ δυσκινητότεραι καὶ μετὰ πλείστης φερόμεναι βίας· τὸ γὰρ ὑπεῖκον ταχέως οὐ δύναται τὴν πληγὴν ὑπομένειν, ἀλλ' ἀποπηδᾷ πρότερον. δῆλον δέ· τὰ γὰρ ὑπέρογκα τῶν βελῶν βιαιοτάτην φέρεται τὴν φοράν, καὶ τὰ ῥεύματα φερόμενα διὰ τῶν εὐρίπων· καὶ γὰρ ταῦτα γίγνεται σφοδρότατα περὶ αὐτὰς τὰς στενοχωρίας οὐ δυνάμενα ταχέως ὑπείκειν, ἀλλὰ ὑπὸ πολλῆς ὠθούμενα βίας. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ περὶ τὰς φωνὰς καὶ τοὺς ψόφους. φανερὸν δ' ἐστίν· πάντες γὰρ οἱ βίαιοι γίγνονται σκληροί, καθάπερ καὶ τῶν κιβωτίων καὶ τῶν στροφέων, ὅταν ἀνοίγωνται βιαίως, καὶ τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου. καὶ γὰρ ἀπὸ τῶν ἀκμόνων γίγνεται σκληρὸς

4. ἀποσυγκεχυμέναι *M*ᵃ. ‖ 5. ἐμφανές *M*ᵃ. ‖ 6. ἀπειθεῖς *M*ᵃ. ‖ 35. προσελθὼν *M*ᵃ. ‖ 42. προκόψῃ *M*ᵃ.
1. πολλὴ *M*ᵃ. ‖ 12. καὶ ὁμαλοὺς om *M*ᵃ. ‖ 31. πόνον *M*ᵃ. ‖ 38. libri παρά. ‖ 42. τοῦ om *M*ᵃ.

καὶ μαλακός, ὅταν ἐλαύνωσι κατεψυγμένον καὶ σκληρὸν ἤδη τὸν σίδηρον. ἔτι δὲ ἀπὸ τῆς ῥίνης, ὅταν ῥινῶσι καὶ χαράττωσι τὰ σιδήρια καὶ τὺς πρίονας, ἐπεὶ καὶ τῶν βροντῶν αἱ βιαιόταται γίγνονται σκληρόταται καὶ τῶν ὑδάτων τὰ καλύμενα ῥαγδαῖα τὴν βίαν. ἡ μὲν γὰρ ταχυτὴς τῦ πνεύματος ποιεῖ τὴν φωνὴν ὀξεῖαν, ἡ δὲ βία σκληράν. διόπερ ὐ μόνον συμβαίνει τὺς αὐτὺς ὁτὲ μὲν ὀξυτέραν ὁτὲ δὲ βαρυτέραν, ἀλλὰ καὶ σκληροτέραν καὶ μαλακωτέραν. καίτοι τινὲς ὑπολαμβάνυσι διὰ τὴν σκληρότητα τῶν ἀρτηριῶν τὰς φωνὰς γίγνεσθαι σκληράς, διαμαρτάνοντες· τῦτο μὲν γὰρ βραχύ τι συμβάλλεται παντελῶς, ἀλλ' ἡ τῦ πνεύματος γιγνομένη πληγὴ βιαίως ὑπὸ τῦ πνεύμονος. ὥσπερ γὰρ καὶ τὰ σώματα τῶν μέν ἐςιν ὑγρὰ καὶ μαλακὰ τῶν δὲ σκληρὰ καὶ σύντονα, τὸν αὐτὸν τρόπον καὶ ὁ πνεύμων. διόπερ τῶν μὲν μαλακὸν ἐκπίπτει τὸ πνεῦμα, τῶν δὲ σκληρὸν καὶ βίαιον, ἐπεὶ διότι γε τὴν ἀρτηρίαν αὐτὴν μικράν τινα συμβαίνει παρέχεσθαι δύναμιν, ῥᾴδιον συνιδεῖν. ὐδεμία γάρ ἐςιν ἀρτηρία σκληρὰ τοῖς αὐλοῖς ὁμοίως· ἀλλ' ὐθὲν ἧττον δι' αὐτῦ καὶ διὰ τύτων φερομένυ τῦ πνεύματος οἱ μὲν μαλακῶς αὐλῦσιν οἱ δὲ σκληρῶς. δῆλον δὲ τῦτ' ἐςὶ καὶ ἐπ' αὐτῆς τῆς αἰσθήσεως· καὶ γὰρ ἂν ἐπιτείνῃ τις τὸ πνεῦμα βιαιότερον, εὐθέως ἡ φωνὴ γίγνεται σκληροτέρα διὰ τὴν βίαν, κἂν ᾖ μαλακωτέρα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς σάλπιγγος· διὸ καὶ πάντες, ὅταν κωμάζωσιν, ἀνιᾶσιν ἐν τῇ σάλπιγγι τὴν τῦ πνεύματος συντονίαν, ὅπως ἂν ποιῶσι τὸν ἦχον ὡς μαλακώτατον. φανερὸν δ' ἐςὶ καὶ ἐπὶ τῶν ὀργάνων. καὶ γὰρ αἱ κατεςραμμέναι χορδαί, καθάπερ εἴρηται, τὰς φωνὰς ποιῦσι σκληροτέρας, καὶ τὰ κατωπτημένα τῶν κεράτων. κἂν τις ἅπτηται τῶν χορδῶν ταῖς χερσὶ βιαίως καὶ μὴ μαλακῶς, ἀνάγκη καὶ τὴν ἀνταπόδοσιν αὐτὰς ὕτω πάλιν ποιεῖσθαι βιαιοτέραν. αἱ δὲ ἧττον κατεςραμμέναι καὶ τὰ ὠμότερα τῶν κεράτων τὰς φωνὰς ποιεῖ μαλακωτέρας, καὶ τὰ μακρότερα τῶν ὀργάνων. αἱ γὰρ τῦ ἀέρος πληγαὶ καὶ βραδύτεραι καὶ μαλακώτεραι γίγνονται διὰ τὰ μήκη τῶν τόπων, αἱ δ' ἐπὶ τῶν βαρυτέρων σκληρόταται διὰ τὴν κατάτασιν τῶν χορδῶν. δῆλον δ' ἐςίν· καὶ γὰρ αὐτῦ τῦ ὀργάνυ σκληροτέρας συμβαίνει γίγνεσθαι τὰς φωνάς, ὅταν μὴ κατὰ μέσον τις ἅπτηται τῶν χορδῶν, διὰ τὸ μᾶλλον αὐτῶν τὰ πρὸς αὐτῷ τῷ ζυγῷ καὶ τῷ χορδοτόνῳ κατατετάσθαι. συμβαίνει δὲ καὶ τὰ ναρθήκινα τῶν ὀργάνων τὰς φωνὰς ἔχειν ἁπαλωτέρας· οἱ γὰρ ἦχοι πρὸς μαλακὸν προσπίπτοντες ὐχ ὁμοίως ἀποπηδῶσι μετὰ βίας. τραχύνεσθαι δὲ συμβαίνει τὰς φωνάς, ὅταν ἡ πληγὴ μὴ μία γένηται τῦ ἀέρος παντός, ἀλλὰ πολλαχῇ κατὰ μικρὰ διεσπασμένη. καθ' αὑτὸ γὰρ ἕκαςον τῶν τῦ ἀέρος μορίων προσπῖπτον πρὸς τὴν ἀκοήν, ὡς ἂν ἀπὸ πληγῆς ἑτέρας ὄν, διεσπασμένην ποιεῖ τὴν αἴσθησιν, ὥςε τὴν μὲν διαλείπειν τὴν φωνήν, τὴν δὲ προσπίπτειν βιαιότερον, καὶ γίγνεσθαι τὴν ἀφὴν τῆς ἀκοῆς ἀνομοίαν, ὥσπερ καὶ ὅταν τι τῶν τραχέων ἡμῖν προσπίπτῃ πρὸς τὸν χρῶτα. μάλιςα δὲ τῦτο συμφανές ἐςιν ἐπὶ τῆς ῥίνης· διὰ γὰρ τὸ τὴν τῦ ἀέρος πληγὴν ἅμα γίγνεσθαι κατὰ μικρὰ καὶ πολλά, τραχεῖς οἱ ψόφοι προσπίπτυσιν ἀπ' αὐτῶν πρὸς τὴν ἀκοήν, καὶ μᾶλλον, ὅταν πρὸς σκληρόν τι παρατρίβωνται, καθάπερ καὶ ἐπὶ τῆς ἀφῆς· τὰ γὰρ σκληρὰ καὶ τραχέα βιαιότερον ποιεῖται τὴν αἴσθησιν. δῆλον δὲ τῦτό ἐςι καὶ ἐπὶ τῶν ῥευμάτων· τοῦ γὰρ ἐλαίυ γίνεται πολὺ πάντων τῶν ὑγρῶν ὁ ψόφος ἀδηλότερος διὰ τὴν συνέχειαν τὴν τῶν μορίων. λεπταὶ δ' εἰσὶ τῶν φωνῶν, ὅταν ὀλίγον ᾖ τὸ πνεῦμα τὸ ἐκπῖπτον. διὸ καὶ τῶν παιδίων γίγνονται λεπταί, καὶ τῶν γυναικῶν καὶ τῶν εὐνύχων, ὁμοίως δὲ καὶ τῶν διαλελυμένων διὰ νόσον ἢ πόνον ἢ ἀτροφίαν· ὐ δύνανται γὰρ πολὺ τὸ πνεῦμα διὰ τὴν ἀσθένειαν ἐκπέμπειν. δῆλον δ' ἐςὶ καὶ ἐπὶ τῶν χορδῶν· ἀπὸ γὰρ τῶν λεπτῶν καὶ τὰ φωνία γίγνεται λεπτὰ καὶ ςενὰ καὶ τριχώδη, διὰ τὸ καὶ τῦ ἀέρος τὴν πληγὴν γίγνεσθαι κατα ςενόν. οἵας γὰρ ἂν τὰς ἀρχὰς ἔχωσι τῆς κινήσεως αἱ τῦ ἀέρος πληγαί, τοιαύτας καὶ τὰς φωνὰς συμβαίνει γίγνεσθαι προσπιπτύσας πρὸς τὴν ἀκοήν, οἷον ἀραιὰς ἢ πυκνάς, ἢ μαλακὰς ἢ σκληράς, ἢ λεπτὰς ἢ παχείας. ἀεὶ γὰρ ὁ ἕτερος ἀὴρ τὸν ἕτερον κινῶν ὡσαύτως ποιεῖ τὴν φωνὴν ἅπασαν ὁμοίαν, καθάπερ ἔχει καὶ ἐπὶ τῆς ὀξύτητος καὶ τῆς βαρύτητος· καὶ γὰρ τὰ τάχη τὰ τῆς πληγῆς τὰ ἕτερα τοῖς ἑτέροις συνακολυθῦντα διαφυλάττει τὰς φωνὰς ταῖς ἀρχαῖς ὁμοίως. αἱ δὲ πληγαὶ γίνονται μὲν τῦ ἀέρος ὑπὸ τῶν χορδῶν πολλαὶ καὶ κεχωρισμέναι, διὰ δὲ μικρότητα τῦ μεταξὺ χρόνυ τῆς ἀκοῆς ὐ δυναμένης συναισθάνεσθαι τὰς διαλείψεις, μία καὶ συνεχὴς ἡμῖν ἡ φωνὴ φαίνεται, καθάπερ καὶ ἐπὶ τῶν χρωμάτων· καὶ γὰρ τύτων τὰ διεςηκότα δοκεῖ πολλάκις ἡμῖν συνάπτειν ἀλλήλοις, ὅταν φέρωνται ταχέως. τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο καὶ περὶ τὰς συμφωνίας. διὰ γὰρ τὸ περισυγκαταλαμβάνεσθαι τὺς ἑτέρυς ἤχυς ὑπὸ τῶν ἑτέρων, καὶ γίγνεσθαι τὰς καταπαύσεις αὐ-

3. χαράσωσι M^a. ‖ 30. τις om M^a. ‖ 35. βαρύτεραι M^a. ‖ 39. τι M^a.
8. καὶ om M^a. ‖ 11. κατὰ] καὶ γὰρ M^a. ‖ 25. κατάςενον M^a. ‖ 31. ὁμοίως M^a. ‖ 37. διαλήψεις M^a.

τῶν ἅμα, λανθάνουσιν ἡμᾶς αἱ μεταξὺ γιγνόμεναι φωναί. πλεονάκις μὲν γὰρ ἐν πάσαις ταῖς συμφωνίαις ὑπὸ τῶν ὀξυτέρων φθόγγων αἱ τοῦ ἀέρος γίγνονται πληγαὶ διὰ τὸ τάχος τῆς κινήσεως· τὸν δὲ τελευταῖον τῶν ἤχων ἅμα συμβαίνει προσπίπτειν ἡμῖν πρὸς τὴν ἀκοὴν καὶ τὸν ἀπὸ τῆς βραδυτέρας γιγνόμενον. ὥστε τῆς ἀκοῆς οὐ δυναμένης αἰσθάνεσθαι, καθάπερ εἴρηται, τὰς μεταξὺ φωνάς, ἅμα δοκοῦμεν ἀμφοτέρων τῶν φθόγγων ἀκούειν συνεχῶς. παχεῖαι δ' εἰσὶ τῶν φωνῶν τοὐναντίον, ὅταν ᾖ τὸ πνεῦμα πολὺ καὶ ἀθρόον ἐκπῖπτον· διὸ καὶ τῶν ἀνδρῶν εἰσὶ παχύτεραι καὶ τῶν τελείων αὐλῶν, καὶ μᾶλλον ὅταν πληρώσῃ τις αὐτοὺς τοῦ πνεύματος. φανερὸν δ' ἐστίν· καὶ γὰρ ἂν πιέσῃ τις τὰ ζεύγη, μᾶλλον ὀξυτέρα ἡ φωνὴ γίγνεται καὶ λεπτοτέρα. κἂν κατασπάσῃ τις τὰς σύριγγας, κἂν δὲ ἐπιλάβῃ, παμπλείων ὁ ὄγκος γίγνεται τῆς φωνῆς διὰ τὸ πλῆθος τοῦ πνεύματος, καθάπερ καὶ ἀπὸ τῶν παχυτέρων χορδῶν. παχεῖαι δὲ γίγνονται καὶ τῶν τραγιζόντων καὶ τῶν βραγχιώντων, καὶ μετὰ τοὺς ἐμέτους, διὰ τὴν τραχύτητα τῆς ἀρτηρίας καὶ διὰ τὸ μὴ ὑπεξάγειν ἀλλ' αὐτοῦ προσκόπτουσαν ἀνειλεῖσθαι τὴν φωνὴν καὶ λαμβάνειν ὄγκον, καὶ μάλιστα διὰ τὴν ὑγρότητα τοῦ σώματος. λιγυραὶ δ' εἰσὶ τῶν φωνῶν αἱ λεπταὶ καὶ πυκναί, καθάπερ καὶ ἐπὶ τῶν τεττίγων καὶ τῶν ἀκρίδων καὶ αἱ τῶν ἀηδόνων, καὶ ὅλως ὅσαις λεπταῖς οὔσαις μηδεὶς ἀλλότριος ἦχος παρακολουθεῖ. ὅλως γὰρ οὐκ ἔστιν οὔτ' ἐν ὄγκῳ φωνῆς τὸ λιγυρόν, οὔτ' ἐν τόνοις ἀνειμένοις καὶ βαρέσιν, οὔτ' ἐν ταῖς τῶν φθόγγων ἀφαῖς, ἀλλὰ μᾶλλον ὀξύτητι καὶ λεπτότητι καὶ ἀκριβείᾳ. διὸ καὶ τῶν ὀργάνων τὰ λεπτὰ καὶ σύντονα καὶ μὴ ἔχοντα κέρας τὰς φωνὰς ἔχει λιγυρωτέρας· ὁ γὰρ ἀπὸ τῶν ὑδάτων ἦχος, καὶ ὅλως ὅταν ἀπό τινος γιγνόμενος παρακολουθῇ, συνέχει τὴν ἀκρίβειαν τὴν τῶν φθόγγων. σαθραὶ δ' εἰσὶ καὶ παρερρυηκυῖαι τῶν φωνῶν ὅσαι μέχρι τινὲς φερόμεναι συνεχεῖς διασπῶνται. φανερώτατον δὲ τοῦτ' ἐστὶν ἐπὶ τοῦ κεράμου· πᾶς γὰρ ὁ ἐκ πληγῆς ῥαγεὶς ποιεῖ τὸν ἦχον σαθρόν, διασπωμένης τῆς κινήσεως κατὰ τὴν πληγήν, ὥστε μηκέτι γίγνεσθαι τοὺς ἐκπίπτοντας ἤχους συνεχεῖς. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἐρρωγότων κεράτων καὶ ἐπὶ τῶν χορδῶν τῶν παρακεκαυρισμένων. ἐπὶ πάντων γὰρ τῶν τοιούτων μέχρι μέν τινος ὁ ἦχος φέρεται συνεχής, ἔπειτα διασπᾶται, καθ' ὅ τι ἂν ᾖ μὴ συνεχὲς τὸ ὑποκείμενον, ὥστε μὴ μίαν γίγνεσθαι πληγὴν ἀλλὰ διεσπασμένην, καὶ φαίνεσθαι τὸν ἦχον σαθρόν. σχεδὸν γὰρ παραπλήσιαι τυγχάνουσιν οὖσαι ταῖς τραχείαις· πλὴν ἐκεῖναι μέν εἰσιν ἀπ' ἀλλήλων κατὰ μικρὰ μέρη διεσπασμέναι, τῶν δὲ σαθρῶν αἱ πλεῖσται τὰς μὲν ἀρχὰς ἔχουσι συνεχεῖς, ἔπειτ' εἰς πλείω μέρη τὴν διαίρεσιν λαμβάνουσιν. δασεῖαι δ' εἰσὶ τῶν φωνῶν ὅσαις ἔσωθεν τὸ πνεῦμα εὐθέως συνεκβάλλομεν μετὰ τῶν φθόγγων, ψιλαὶ δ' εἰσὶ τοὐναντίον ὅσαι γίγνονται χωρὶς τῆς τοῦ πνεύματος ἐκβολῆς. ἀπορρήγνυσθαι δὲ συμβαίνει τὰς φωνάς, ὅταν μηκέτι δύνωνται τὸν ἀέρα μετὰ πληγῆς ἐκπέμπειν, ἀλλ' ὁ περὶ τὸν πνεύμονα τόπος αὐτῶν ὑπὸ τῆς διαστάσεως ἐκλυθῇ. ὥσπερ γὰρ καὶ τὰ σκεύη καὶ τοὺς ὤμους ἐκλύεσθαι συμβαίνει τὸ τελευταῖον συντόνως, οὕτως καὶ τὸν περὶ τὸν πνεύμονα τόπον. κοῦφον γὰρ ἔξω φέρεσθαι τὸ πνεῦμα διὰ τὸ μὴ γίνεσθαι βίαιον αὐτοῦ τὴν πληγήν· ἅμα δὲ καὶ διὰ τὸ τετραχύνθαι τὴν ἀρτηρίαν αὐτῶν ἰσχυρῶς, οὐ δύναται τὸ πνεῦμα ἔξω φέρεσθαι συνεχές, ἀλλὰ διεσπασμένον, ὡς ἀπερρωγυίας γίγνεσθαι τὰς φωνὰς αὐτῶν. καί τινες οἴονται διὰ τὴν τοῦ πνεύμονος γλισχρότητα τὸ πνεῦμα οὐ δύνασθαι περαιοῦσθαι περὶ τὸν ἔξω τόπον, διαμαρτάνοντες· φθέγγονται μὲν γὰρ ἀλλ' οὐ δύνανται γεγωνεῖν διὰ τὸ μὴ γίνεσθαι μετὰ συντονίας τὴν τοῦ ἀέρος πληγήν, ἀλλὰ μόνον φωνοῦσιν, ὡς ἂν ἀπ' αὐτοῦ τοῦ φάρυγγος τὸ πνεῦμα βιαζόμενον. τῶν δ' ἰσχνοφώνων οὔτε περὶ τὰς φλέβας οὔτε περὶ τὰς ἀρτηρίας ἐστὶ τὸ πάθος, ἀλλὰ περὶ τὴν κίνησιν τῆς γλώττης. χαλεπῶς γὰρ αὐτὴν μεταφέρουσιν, ὅταν ἕτερον δέῃ φθόγγον εἰπεῖν. διὸ καὶ πολὺν χρόνον τὸ αὐτὸ ῥῆμα λέγουσιν, οὐ δυνάμενοι τὸ ἑξῆς εἰπεῖν, ἀλλὰ συνεχῶς τῆς κινήσεως καὶ τοῦ πνεύμονος αὐτῶν ἐπὶ τὴν αὐτὴν ὁρμὴν φερομένου διὰ τὸ πλῆθος καὶ τὴν βίαν τοῦ πνεύματος. ὥσπερ γὰρ καὶ τὸ σῶμα ὅλον τῶν τρεχόντων βιαίως χαλεπόν ἐστιν ἐκ τῆς ὁρμῆς εἰς ἄλλην κίνησιν μεταστῆσαι, τὸν αὐτὸν τρόπον καὶ κατὰ μέρος. διὸ καὶ πολλάκις τὸ μὲν ἑξῆς εἰπεῖν οὐ δύνανται, τὸ δὲ μετὰ τοῦτο λέγουσι ῥᾳδίως, ὅταν ἄλλην ποιήσωνται τῆς κινήσεως ἀρχήν. δῆλον δ' ἐστίν· καὶ γὰρ τοῖς ὀργιζομένοις τοῦτο συμβαίνει πολλάκις διὰ τὸ βίαιον αὐτῶν γίγνεσθαι τὴν τοῦ πνεύματος φοράν.

4. τὸ *M*ᵃ. ‖ 21. παμπλείων habeat *M*ᵃ necne non liquet. ‖ 32. παρερρυκυῖαι *M*ᵃ. ‖ 38. τῶν παρα om *M*ᵃ. ‖ 39. γὰρ] μὲν *M*ᵃ.

11. προσρήγνυσθαι *M*ᵃ. ‖ 21. πνεύματος *M*ᵃ.

ΦΥΣΙΟΓΝΩΜΟΝΙΚΑ.

Ὅτι αἱ διάνοιαι ἕπονται τοῖς σώμασι, καὶ ὐκ εἰσὶν αὐταὶ καθ' ἑαυτὰς ἀπαθεῖς ὖσαι τῶν τῦ σώματος κινήσεων. τῦτο δὲ δῆλον πάνυ γίνεται ἔν τε ταῖς μέθαις καὶ ἐν ταῖς ἀρρωςίαις· πολὺ γὰρ ἐξαλλάττουσαι φαίνονται αἱ διάνοιαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων. καὶ τοὐναντίον δὴ τοῖς τῆς ψυχῆς παθήμασι τὸ σῶμα συμπάσχον φανερὸν γίνεται περί τε τὺς ἔρωτας καὶ τὺς φόβους τε καὶ τὰς λύπας καὶ τὰς ἡδονάς. ἔτι δὲ ἐν τοῖς φύσει γινομένοις μᾶλλον ἄν τις συνίδοι ὅτι οὕτως ἔχει πρὸς ἄλληλα σῶμά τε καὶ ψυχὴ συμφυῶς ὥςε τῶν πλείςων ἀλλήλοις αἴτια γίνεσθαι παθημάτων. ὐδὲν γὰρ πώποτε ζῷον γεγένηται τοιῦτον ὃ τὸ μὲν εἶδος ἔσχεν ἑτέρου ζῴου, τὴν δὲ διάνοιαν ἄλλου, ἀλλ' ἀεὶ τῦ αὐτῦ τό τε σῶμα καὶ τὴν ψυχήν, ὥςε ἀναγκαῖον ἕπεσθαι τῷ τοιῷδε σώματι τοιάνδε διάνοιαν. ἔτι δὲ καὶ τῶν ἄλλων ζῴων οἱ περὶ ἕκαστον ἐπιστήμονες ἐκ τῆς ἰδέας δύνανται θεωρεῖν, ἱππικοί τε ἵππους καὶ κυνηγέται κύνας. εἰ δὲ ταῦτα ἀληθῆ εἴη (ἀεὶ δὲ ταῦτα ἀληθῆ ἐςίν), εἴη ἂν φυσιογνωμονεῖν. οἱ μὲν οὖν προγεγενημένοι φυσιογνώμονες κατὰ τρεῖς τρόπους ἐπεχείρησαν φυσιογνωμονεῖν, ἕκαςος καθ' ἕνα. οἱ μὲν γὰρ ἐκ τῶν γενῶν τῶν ζῴων φυσιογνωμονοῦσι, τιθέμενοι καθ' ἕκαςον γένος εἶδός τι ζῴου καὶ διάνοιαν. οἱ δ' ἐπὶ τύτοις σῶμά τι, εἶτα τὸν ὅμοιον τῷ σώματι σῶμα ἔχοντα καὶ τὴν ψυχὴν ὁμοίαν ὑπελάμβανον. ἄλλοι δέ τινες τοῦτο μὲν ἐποίουν, οὐκ ἐξ ἁπάντων δὲ τῶν ζῴων ἐδοκίμαζον, ἀλλ' ἐξ αὐτῦ τῦ τῶν ἀνθρώπων γένους, διελόμενοι κατὰ τὰ ἔθνη, ὅσα διέφερε τὰς ὄψεις καὶ τὰ ἤθη, οἷον Αἰγύπτιοι καὶ Θρᾷκες καὶ Σκύθαι, ὁμοίως τὴν ἐκλογὴν τῶν σημείων ἐποιῦντο. οἱ δέ τινες ἐκ τῶν ἠθῶν τῶν ἐπιφαινομένων, οἵᾳ διαθέσει ἕπεται ἕκαςον ἦθος, τῷ ὀργιζομένῳ, τῷ φοβουμένῳ, τῷ ἀφροδισιάζοντι, καὶ τῶν ἄλλων δὴ παθημάτων ἑκάςῳ. ἔςι δὲ κατὰ πάντας τύτους τὺς τρόπους φυσιογνωμονεῖν, καὶ ἔτι κατ' ἄλλους, καὶ τὴν ἐκλογὴν τῶν σημείων ἀνομοίως ποιεῖσθαι. οἱ μὲν οὖν κατὰ τὰ ἤθη μόνον φυσιογνωμονῦντες ἁμαρτάνουσιν, πρῶτον μὲν ὅτι ἔνιοι οὐχ οἱ αὐτοὶ ὄντες τὰ ἐπὶ τῶν προσώπων ἤθη τὰ αὐτὰ ἔχουσιν, οἷον ὅ τε ἀνδρεῖος καὶ ὁ ἀναιδὴς τὰ αὐτὰ ἔχουσι, τὰς διανοίας πολὺ κεχωρισμένοι, δεύτερον δὲ ὅτι κατὰ χρόνυς τινὰς τὰ ἤθη ὐ τὰ αὐτὰ ἀλλ' ἑτέρων ἔχυσιν· δυσανίοις τε γὰρ ὖσιν ἐνίοτε συνέβη τὴν ἡμέραν ἡδέως διαγαγεῖν καὶ τὸ ἦθος λαβεῖν τὸ τοῦ εὐθύμου, καὶ τοὐναντίον εὔθυμον λυπηθῆναι, ὥςε τὸ ἦθος τὸ ἐπὶ τῦ προσώπου μεταβαλεῖν. ἔτι πρὸς τύτοις περὶ ὀλίγων ἄν τις τοῖς ἐπιφαινομένοις τεκμαίροιτο. οἱ δ' ἐκ τῶν θηρίων φυσιογνωμονῦντες οὐκ ὀρθῶς τὴν ἐκλογὴν τῶν σημείων ποιῦνται. οὐ γὰρ δὴ ἑκάςου τῶν ζῴων τὴν ἰδέαν διεξελθόντα ἔςιν εἰπεῖν ὅτι, ὃς ἂν ὅμοιος τούτῳ τὸ σῶμα ᾖ, καὶ τὴν ψυχὴν ὅμοιος ἔςαι. πρῶτον μὲν γὰρ ὡς ἁπλῶς εἰπεῖν οὕτως ὅμοιον θηρίῳ ἄνθρωπον ὐδεὶς ἂν εὕροι, ἀλλὰ προσεοικότα μέν τι. ἔτι πρὸς τύτοις τὰ ζῷα ὀλίγα μὲν τὰ ἴδια ἔχει σημεῖα, πολλὰ δὲ τὰ κοινά· ὥστε ἐπειδὰν ὅμοιός τις ᾖ μὴ κατὰ τὸ ἴδιον ἀλλὰ κατὰ τὸ κοινόν, τί μᾶλλον οὗτος λέοντι ἢ ἐλάφῳ ὁμοιότερος; εἰκὸς γὰρ τὰ μὲν ἴδια τῶν σημείων ἴδιόν τι σημαίνειν, τὰ δὲ κοινὰ κοινόν. τὰ μὲν οὖν κοινὰ τῶν σημείων ὐδὲν ἂν διασαφηθείη τῷ φυσιογνωμονῦντι. εἰ δέ τις τὰ ἴδια ἑκάςου τῶν θηρίων ἐκλέξειεν, ὐκ ἂν ἔχοι ἀποδῦναι οὗ ἐςὶ ταῦτα σημεῖα. εἰκὸς γὰρ τῦ ἰδίου, ἴδιον δὲ οὐδενὸς ὐδὲν τῶν ζῴων τῶν φυσιογνωμονυμένων ἔν γε τῇ διανοίᾳ ἔχοι ἄν τις λαβεῖν· οὔτε γὰρ ἀνδρεῖον μόνον ὁ λέων ἐςίν, ἀλλὰ καὶ ἄλλα πολλά, ὔτε δειλὸν ὁ λαγωός, ἀλλὰ καὶ ἄλλα μυρία. εἰ οὖν μήτε τὰ κοινὰ σημεῖα ἐκλέξαντι σαφές τι γίνεται μήτε τὰ ἴδια, οὐκ ἂν εἴη καθ' ἕκαςον τῶν ζῴων σκέπτεσθαι, ἀλλ' ἐξ ἀνθρώπων τὴν ἐκλογὴν ποιητέον τῶν τὸ αὐτὸ πάθος πασχόντων, οἷον, ἂν μὲν ἀνδρείου ἐπισκοπῇ τις τὰ σημεῖα, τὰ ἀνδρεῖα τῶν ζῴων εἰς ἓν λαβόντα δεῖ ἐξετάσαι, ποῖα παθήματα τούτοις μὲν ἅπασιν ὑπάρχει, τῶν δὲ ἄλλων ζῴων οὐδενὶ συμβέβηκεν. εἰ γὰρ

Codices $I^aK^aL^a$. Tit. φυσιογνωμικά I^a.

1. αἱ] καὶ I^aK^a. ‖ 2. μεθ' I^a. ‖ 9. ὅτι] ὡς I^a, om K^a. ‖ 10. συμφυῆ I^aK^a. ‖ 14. διάθεσιν I^aK^a. ‖ 22. ἐπί τε τῶν τοιύτων σ. I^aK^a. ‖ 23. σώματι] τὸ I^aK^a. ‖ ἔχοντι I^aK^a. ‖ 25. γένος I^a. ‖ 28. ἐκ τῶν ἐπιφαινομένων ἠθῶν I^aK^a. ‖ 29. ἑκάςῳ L^a.

1. φυσιογνωμῦντες K^a. ‖ ἁμαρτάνουσι] ἂν K^a et, addito ἁμαρτάνοιεν post μέν, I^a. ‖ 2. ἤθη ἔχει τὰ L^a. ‖ 3. ὁ om I^aK^a. ‖ 9. τις om $I^aK^aL^a$. ‖ 12. ὃς ἀνόμοιος I^a. ‖ 15. μέν τι om I^a. ‖ 17. ὅμοιός τις ᾖ] ὅμοια τῶν L^a. ‖ 19. ὁμοιότερον I^a. ‖ μὲν γὰρ τὰ L^a. ‖ 21. φυσιογνωμῦντι K^a. ‖ 23. ταῦτα τὰ σημεῖα I^a. ‖ 24. τε K^aL^a. ‖ 28. τι om I^aK^a. ‖ τὰ] κατὰ τὰ K^aL^a.

ὕτω τις ἐκλέξειεν, ὅτι ταῦτά ἐςι τὰ σημεῖα ἀνδρείας τοῖς πρικριθεῖσι ζῴοις, μὴ μόνον ἀνδρείας κοινὸν ὑπάρχειν πάθημα τῶν ἐν τῇ διανοίᾳ, ἀλλὰ καὶ ἄλλο τι· οὕτω δ' ἂν ἀπορήσειε πότερον ἀνδρείας ἢ θατέρυ τὰ σημεῖά ἐςιν. ἀλλὰ δεῖ ἐκ πλείςων τε ἐκλέγεσθαι ζῴων, καὶ μηδὲν πάθος κοινὸν ἐχόντων ἐν τῇ διανοίᾳ ἄλλο τι, οὗ ἂν τὰ σημεῖα σκοπῇ. ὅσα μὲν οὖν τῶν σημείων μόνιμά ἐςι, μόνιμον ἄν τι καὶ σημαίνοι· ὅσα δὲ ἐπιγινόμενά τε καὶ ἀπολείποντα, πῶς ἂν τὸ σημεῖον ἀληθὲς εἴη τῦ ἐν τῇ διανοίᾳ μὴ μένοντος; εἰ μὲν γὰρ μόνιμον ἐπιγινόμενόν τε καὶ ἀπολεῖπον σημεῖόν τις ὑπολάβοι, ἐνδέχοιτο μὲν ἂν αὐτὸ ἀληθὲς εἶναι, ὐ μὴν ἐπιεικὲς ἂν εἴη, μὴ ἀεὶ τῷ πράγματι παρεπόμενον. ὅσα δὲ παθήματα ἐγγινόμενα τῇ ψυχῇ μηδέν τι ἐνδιαλλάττει τὰ σημεῖα τὰ ἐν τῷ σώματι, οἷς χρῆται ὁ φυσιογνώμων, οὐκ ἂν εἴη τὰ τοιαῦτα γνωρίσματα τῇ τέχνῃ, οἷον τὰ περὶ τὰς δόξας καὶ τὰς ἐπιςήμας ἰατρὸν ἢ κιθαριςὴν ὐκ ἐνδέχεται γνωρίζειν· ὁ γὰρ μαθὼν ὅ τι μάθημα, ὐδὲν ἐξήλλαξε τῶν σημείων οἷς χρῆται ὁ φυσιογνώμων.

2 Δεῖ δὴ ὖν ὁρίσαι περὶ ποῖα ἄττα ἐςὶν ἡ φυσιογνωμονία, ἐπειδὴ ὐ περὶ πάντα, καὶ ἐκ τίνων ἕκαςα σημεῖα λαμβάνεται, ἔπειτ' ἐφεξῆς καθ' ἓν ἕκαςον περὶ τῶν ἐπιφανεςέρων δηλῶσαι. ἡ μὲν ὖν φυσιογνωμονία ἐςί, καθάπερ καὶ τὔνομα αὐτῆς λέγει, περὶ τὰ φυσικὰ παθήματα τῶν ἐν τῇ διανοίᾳ, καὶ τῶν ἐπικτήτων ὅσα παραγινόμενα μεθίςησι τῶν σημείων τῶν φυσιογνωμονουμένων. ὁποῖα δὲ ταῦτά ἐςιν, ὕςερον δηλωθήσεται. ἐξ ὧν δὲ γενῶν τὰ σημεῖα λαμβάνεται, νῦν ἐρῶ, καὶ ἔςιν ἅπαντα· ἔκ τε γὰρ τῶν κινήσεων φυσιογνωμονοῦσι, καὶ ἐκ τῶν σχημάτων, καὶ ἐκ τῶν χρωμάτων, καὶ ἐκ τῶν ἠθῶν τῶν ἐπὶ τῦ προσώπου ἐμφαινομένων, καὶ ἐκ τῶν τριχωμάτων, καὶ ἐκ τῆς λειότητος, καὶ ἐκ τῆς φωνῆς, καὶ ἐκ τῆς σαρκός, καὶ ἐκ τῶν μερῶν, καὶ ἐκ τῦ τύπου ὅλου τοῦ σώματος. καθόλου μὲν ὖν τοιαῦτά ἐςιν ἃ λέγουσιν οἱ φυσιογνώμονες περὶ ὅλων τῶν γενῶν ἐν οἷς ἐςὶ τὰ σημεῖα. εἰ μὲν ὖν ἀσαφὴς ἢ μὴ εὔσημος ἦν ἡ τοιαύτη διέξοδος, ἀπέχρησεν ἂν τὰ εἰρημένα. νυνὶ δ' ἴσως βέλτιόν ἐςι καθ' ἕκαςον περὶ πάντων, ὅσα ἐπιφανῆ παρὰ τῶν φυσιογνωμονουμένων, ἀκριβέςερον φράσαι, τά τε σημεῖα λέγοντα, οἷά τ' ἐςὶν ἕκαςα καὶ ἐπὶ τί ἀναφέρεται, ὅσα μὴ ἐν τοῖς προειρημένοις δεδήλωται. αἱ μὲν οὖν χροιαὶ σημαίνουσιν αἱ μὲν ὀξεῖαι θερμὸν καὶ ὕφαιμον, αἱ δὲ λευκέρυθροι εὐφυΐαν, ὅταν ἐπὶ λείυ χρωτὸς συμβῇ τοῦτο τὸ χρῶμα. τὰ δὲ τριχώματα τὰ μὲν μαλακὰ δειλόν, τὰ δὲ σκληρὰ ἀνδρεῖον. τοῦτο δὲ τὸ σημεῖον εἴληπται ἐξ ἁπάντων τῶν ζῴων. δειλότατον μὲν γάρ ἐςιν ἔλαφος λαγωὸς πρόβατα, καὶ τὴν τρίχα μαλακωτάτην ἔχει· ἀνδρειότατον δὲ λέων, ὗς ἄγριος, καὶ τρίχα σκληροτάτην φέρει. ἔςι δὲ καὶ ἐν τοῖς ὄρνισι τὸ αὐτὸ τῦτο ἰδεῖν· καθόλου τε γὰρ ὅσοι μὲν σκληρὸν τὸ πτερὸν ἔχουσιν, ἀνδρεῖοι, ὅσοι δὲ μαλακόν, δειλοί, καὶ κατὰ μέρη ἔςι ταὐτὸ τοῦτο ἰδεῖν ἔν τε τοῖς ὄρτυξι καὶ ἐν τοῖς ἀλεκτρυόσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν γενῶν τῶν ἀνθρώπων ταὐτὸ τοῦτο συμπίπτει· οἱ μὲν γὰρ ὑπὸ ταῖς ἄρκτοις οἰκῦντες ἀνδρεῖοί τέ εἰσι καὶ σκληρότριχες, οἱ δὲ πρὸς μεσημβρίαν δειλοί τε καὶ μαλακὸν τρίχωμα φέρυσιν. ἡ δὲ δασύτης ἡ περὶ τὴν κοιλίαν λαλιὰν σημαίνει. τῦτο δὲ ἀναφέρεται εἰς τὸ γένος τῶν ὀρνίθων· ἴδιον γὰρ ὄρνιθος τῶν περὶ τὸ σῶμα ἡ δασύτης ἡ περὶ τὴν κοιλίαν, τῶν δὲ περὶ διάνοιαν ἡ λαλιά. ἡ δὲ σὰρξ ἡ μὲν σκληρὰ καὶ εὐεκτικὴ φύσει ἀναίσθητον σημαίνει, ἡ δὲ λεία καὶ εὐφυὴς καὶ ἀβέβαιον, ἐὰν μὴ ἐπ' ἰσχυρῦ σώματος καὶ τὰ ἀκρωτήρια ἐγκρατῆ ἔχοντος τῦτο συμβῇ. αἱ δὲ κινήσεις αἱ μὲν νωθραὶ μαλακὴν διάνοιαν, αἱ δὲ ὀξεῖαι ἔνθερμον. ἐπὶ δὲ τῆς φωνῆς ἡ μὲν βαρεῖα καὶ ἐπιτεινομένη ἀνδρεῖον, ἡ δὲ ὀξεῖα καὶ ἀνειμένη δειλόν. τὰ δὲ σχήματα καὶ τὰ παθήματα τὰ ἐπιφαινόμενα ἐπὶ τῶν προσώπων κατὰ τὰς ὁμοιότητας λαμβάνεται τῷ πάθει. ὅταν γὰρ πάσχῃ τι, γίνεται οἷον εἰ τοιῦτον ἔχει ὅταν τις ὀργίζηται, ὀργίλον τὸ σημεῖον τῦ αὐτῦ γένους. τὸ δὲ ἄρρεν τῦ θήλεος μεῖζον καὶ ἰσχυρότερον, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἰσχυρότερα καὶ λιπαρώτερα καὶ εὐεκτικώτερα καὶ βελτίω κατὰ πάσας τὰς ἀρετάς. ἰσχυρότερα δὲ τῶν ἐπὶ τοῖς μέρεσι σημείων ἐςὶ τὰ ἐν τοῖς ἤθεσι τοῖς ἐν τοῖς ἐπιφαινομένοις λαμβανόμενα καὶ τὰ κατὰ τὰς κινήσεις καὶ τὰ σχήματα. ὅλως δὲ τὸ ἑνὶ μὲν πιςεύειν

2. μόνον δ' ἀνδρείας L^a. ‖ 3. ἐν om $I^a K^a$. ‖ τι] τι ὕτως ἐςιν L^a. ‖ 4. εὐπορήσεις L^a. ‖ ἀλλὰ δεῖ ἐκ L^a. ‖ 7. μὲν ὖν] τε μὲν L^a. ‖ 8. ἐπιγινόμενα καὶ ἀπογινόμενά τε καὶ ἀπ. $I^a K^a$. ‖ 12. μὴ] μὲν $I^a K^a$. ‖ 16. ἰατρὸς ἢ κιθαριςὴς $I^a K^a L^a$. ‖ 19. δὲ I^a. ‖ 26. ςηλωθήσεται L^a. ‖ 29. σχημάτων — 30. ἐκ τῶν om I^a. ‖ 30. χρωμάτων $I^a K^a$ et corr L^a. ‖ 31. καὶ primum om I^a. ‖ ἐκ tertiam om $I^a K^a L^a$. ‖ 32. ἐκ ante τῦ om $I^a K^a$. ‖ 33. ὖν] ὖν αὖ L^a. ‖ 35. ἄσημος L^a. ‖ 37. περὶ τῶν πάντων $I^a K^a$. ‖ περὶ L^a.

2. καὶ ἐπὶ τί om $I^a K^a L^a$. ‖ μὴ] μὲν $I^a K^a$. ‖ 9. τρίχαν I^a. ‖ 13. αὐτὸ L^a. ‖ 16. τοῖς L^a. ‖ 18. τὴν om I^a. ‖ 21. περὶ τὴν διάνοιαν L^a. ‖ 26. βραβεῖα K^a. ‖ 28. τῶν παθῶν L^a. ‖ 30. τοιῦτο L^a. ‖ ἔχοι K^a. ‖ 31. δὲ om L^a. ‖ 33. καὶ τὰ εὐεκτικώτερα $I^a K^a L^a$. ‖ 36. τὰ om $I^a K^a$. ‖ 37. τὸ] τῷ L^a.

τῶν σημείων εὔηθες· ὅταν δὲ πλείω συμφωνοῦντα καθ' ἑνὸς λάβῃ, μᾶλλον ἤδη κατὰ τὸ εἰκὸς ἄν τις ὑπολαμβάνοι ἀληθῆ εἶναι τὰ σημεῖα. ἔστι δὲ ἄλλος τρόπος καθ' ὃν ἄν τις φυσιογνωμονοίη· οὐδεὶς μέντοι ἐπικεχείρηκεν. οἷον εἰ ἀνάγκη ἐστὶ τὸν ὀργίλον καὶ τὸν δυσάνιον καὶ μικρὸν τὸ ἦθος φθονερὸν εἶναι, εἰ καὶ μή ἐστι φθονεροῦ σημεῖα, ἐξ ἐκείνων δὲ τῶν προτέρων ἐνδέχοιτο ἂν τῷ φυσιογνώμονι καὶ τὸν φθονερὸν εὑρίσκειν, μάλιστα μὲν ἂν ὁ τοιοῦτος ἴδιος τρόπος εἴη τοῦ πεφιλοσοφηκότος. τὸ γὰρ δύνασθαι τινῶν ὄντων ἀναγκαῖον εἶναι, ἴδιον ὑπολαμβάνοιμεν φιλοσοφίας· ὅπερ ἐστὶν ὅτε ἐναντιοῦται τούτῳ κατὰ τὰ πάθη φυσιογνωμονεῖν καὶ τὰ κακά.

Περὶ φωνῆς κατὰ μὲν τὸ πάθος ἐπισκοπῶν ὀξεῖαν οἰηθείη ἄν τις δυεῖν ἕνεκεν τιθέναι τοῦ θυμοειδοῦς. ὁ γὰρ ἀγανακτῶν καὶ ὀργιζόμενος ἐπιτείνειν εἴωθε τὸν φθόγγον καὶ ὀξὺ φθέγγεσθαι, ὁ δὲ ῥαθύμως διακείμενος τόν τε τόνον ἀνίησι καὶ βαρὺ φθέγγεται. τῶν δ' αὖ ζῴων τὰ μὲν ἀνδρεῖα βαρύφωνά ἐστι, τὰ δὲ δειλὰ ὀξύφωνα, λέων μὲν καὶ ταῦρος, καὶ κύων ὑλακτικός, καὶ τῶν ἀλεκτρυόνων οἱ εὔψυχοι βαρύφωνοι φθέγγονται· ἔλαφος δὲ καὶ λαγὼς ὀξύφωνά ἐστιν. ἀλλ' ἴσως καὶ ἐν τούτοις κρεῖσσόν ἐστι μὴ ἐν τῷ βαρεῖαν ἢ ὀξεῖαν εἶναι τὴν φωνὴν αὐτῶν ἀνδρεῖον ἢ δειλὸν τιθέναι, ἀλλ' ἐν τῷ τὴν μὲν ἐρρωμένην ἀνδρείου τὴν δὲ ἀνειμένην καὶ ἀσθενῆ δειλοῦ ὑποληπτέον εἶναι. ἔστι δὲ κράτιστον, ὅταν τὰ σημεῖα μὴ ὁμολογούμενα ἀλλ' ὑπεναντιούμενα, μηδὲν τιθέναι, εἰ μή ἐστι τῶν διῃρημένων ποῖα ποίων πιστότερα, καὶ μάλιστα μὲν εἰς εἴδη ἀλλὰ μὴ εἰς ὅλα τὰ γένη ἀναφέρειν. ὁμοιότερα γάρ ἐστι τῷ ζητουμένῳ· οὐ γὰρ ὅλον τὸ γένος τῶν ἀνθρώπων φυσιογνωμονοῦμεν, ἀλλά τινα τῶν ἐν τῷ γένει.

3 Ἀνδρείου σημεῖα τρίχωμα σκληρόν, τὸ σχῆμα τοῦ σώματος ὀρθόν, ὀστᾶ καὶ πλευραὶ καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἰσχυρὰ καὶ μεγάλα, καὶ κοιλία πλατεῖα καὶ προσεσταλμένη· ὠμοπλάται πλατεῖαι καὶ διεστηκυῖαι, οὔτε λίαν συνδεδεμέναι οὔτε παντάπασιν ἀπολελυμέναι· τράχηλος ἐρρωμένος, οὐ σφόδρα σαρκώδης· τὸ στῆθος σαρκῶδές τε καὶ πλατύ, ἰσχίον προσεσταλμένον, γαστροκνημίαι κάτω προσεσπασμέναι· ὄμμα χαροπόν, οὔτε λίαν ἀνεπτυγμένον οὔτε παντάπασι συμμύον· αὐχμηρότερον τὸ χρῶμα τὸ ἐπὶ τοῦ σώματος· ὀξὺ μέτωπον, εὐθύ, οὐ μέγα, ἰσχνόν, οὔτε λεῖον οὔτε παντάπασι ῥυτιδῶδες. δειλοῦ σημεῖα τριχωμάτιον μαλακόν, τὸ σῶμα συγκεκαθικός, οὐκ ἐπισπερχής· αἱ δὲ γαστροκνημίαι ἄνω ἀνεσπασμέναι· περὶ τὸ πρόσωπον ὕπωχρος· ὄμματα ἀσθενῆ καὶ σκαρδαμύττοντα, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἀσθενῆ, καὶ μικρὰ σκέλη, καὶ χεῖρες λεπταὶ καὶ μακραί· ὀσφὺς δὲ μικρὰ καὶ ἀσθενής· τὸ σχῆμα σύντονον ἐκ ταῖς κινήσεσιν· οὐκ ἰταμὸς ἀλλ' ὕπτιος καὶ τεθαμβηκώς· τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου εὐμετάβολον, κατηφής. εὐφυοῦς σημεῖα σὰρξ ὑγροτέρα καὶ ἁπαλωτέρα, οὐκ εὐεκτικὴ οὐδὲ πιμελώδης σφόδρα· τὰ περὶ τὰς ὠμοπλάτας καὶ τράχηλον ἰσχνότερα, καὶ τὰ περὶ τὸ πρόσωπον, καὶ σύνδετα τὰ περὶ τὰς ὠμοπλάτας, καὶ τὰ κάτω ἀφειμένα· εὔλυτα τὰ περὶ τὰς πλευράς· καὶ τὸν νῶτον ἀσαρκότερος· τὸ σῶμα λευκέρυθρον καὶ καθαρόν· τὸ δερμάτιον λεπτόν, τριχωμάτιον μὴ λίαν σκληρὸν μηδὲ λίαν μέλαν, ὄμμα χαροπόν, ὑγρόν. ἀναισθήτου σημεῖα τὰ περὶ τὸν αὐχένα καὶ τὰ σκέλη σαρκώδη καὶ συμπεπλεγμένα καὶ συνδεδεμένα, κοτύλη στρογγύλη, ὠμοπλάται ἄνω ἀνεσπασμέναι, μέτωπον μέγα περιφερὲς σαρκῶδες, ὄμμα χλωρὸν κωφόν, κνῆμαι περὶ σφυρὸν παχεῖαι σαρκώδεις στρογγύλαι, σιαγόνες μεγάλαι σαρκώδεις, ὀσφὺς σαρκώδης, σκέλη μακρά, τράχηλος παχύς, πρόσωπον σαρκῶδες, ὑπόμακρον ἱκανῶς. τὰς δὲ κινήσεις καὶ τὸ σχῆμα καὶ τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου ἐπιφαινόμενον κατὰ τὰς ὁμοιότητας ἀναλαμβάνει. ἀναιδοῦς σημεῖα ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμπρόν, βλέφαρα ὕφαιμα καὶ παχέα· μικρὸν ἔγκυρτος· ὠμοπλάται ἄνω ἐπῃρμέναι· τῷ σχήματι μὴ ὀρθὸς ἀλλὰ μικρῷ προπετέστερος, ἐν ταῖς κινήσεσιν ὀξύς, ἐπίπυρρος τὸ σῶμα· τὸ χρῶμα ὕφαιμον· στρογγυλοπρόσωπος· τὸ στῆθος ἀνεσπασμένον. κοσμίου σημεῖα. ἐν ταῖς κινήσεσι βραδύς, καὶ διάλεκτος βραδεῖα καὶ φωνὴ πνευματώδης καὶ ἀσμενής, ὀμμάτιον ἀλαμπὲς μέλαν καὶ μήτε λίαν ἀνεπτυγμένον μήτε παντάπασι συμμεμυκός, σκαρδαμυκτικὸν βραδέως· τὰ μὲν γὰρ ταχέως

6. σημεῖα — 8. φθονερὸν om L^a. ‖ 8. ἂν] ὅταν I^aK^a. ‖ 10. ὑπολαμβάνη μὲν K^a ‖ 11. ὅτε om L^a. ‖ τοῦτο L^a. ‖ 13. περὶ φωνῆς in margine K^a, om I^aL^a. ‖ 14. δεῖν L^a, omisso ἕνεκεν. ‖ 20. ἔμψυχοι βαρύφωνα L^a. ‖ 21. λαγωὸς I^aK^a. ‖ 22. μὴ] μὲν I^aK^a. ‖ 24. ἀνδρείαν L^a. ‖ 25. ἔτι L^a. ‖ 26. οὐδὲν L^a. ‖ μὴ] μὲν I^aK^a. ‖ τωνδὶ εἰρημένα L^a. ‖ 31. ἀνδρείου σημεῖα in margine K^a, om I^aL^a. et perinde δειλοῦ σημεῖα *b*4, εὐφυοῦς σημεῖα *b*12, similesque indices.

1. ἐπτυγμένον K^a. ‖ 3. ἰσχυὸν L^a. ‖ 4. τρίχωμα L^a. ‖ 5. τῷ σώματι I^aK^a. ‖ 6. δὴ K^a. ‖ 7. σκαρδαμύττει I^aK^a. ‖ 10. οὐχ ἰταμὸς K^aL^a. ‖ 12. κατηφές L^a. ‖ 14 et 15. τὰς] τοὺς I^a. ‖ 15. καὶ om L^a. ‖ 16. ἄλυτα L^a. ‖ 18. τρίχωμα τὸ L^a. ‖ μὴ] μὲν I^aK^a. ‖ 22. περιβερὲς I^a. ‖ 26. κήσεις I^a. ‖ 30. ἔγκυρτον L^a. ‖ 31. προπετέστερον L^a. ‖ 32. ἐπίπυρος $I^aK^aL^a$. ‖ 33. στρογγυλοπρόσωπον I^aK^a. ‖ 34. διαλεκτικὸς $I^aK^aL^a$. ‖ 35. ἀσμενὲς K^aL^a, ἀσθενὲς I^a. ‖ 36. συμβεβηκὸς I^a.

σκαρδαμύττοντα τῶν ὀμμάτων τὰ μὲν δειλὸν τὰ δὲ θερμὸν σημαίνει. εὐθύμου σημεῖα μέτωπον εὐμέγεθες καὶ σαρκῶδες καὶ λεῖον, τὰ περὶ τὰ ὄμματα ταπεινότερα. καὶ ὑπνωδέστερον τὸ πρόσωπον φαίνεται, μήτε δεδορκὸς μήτε σύννουν. ἔν τε ταῖς κινήσεσι βραδὺς ἔστω καὶ ἀνειμένος· τῷ σχήματι καὶ τῷ ἤθει τῷ ἐπὶ τοῦ προσώπου μὴ ἐπισπερχὴς ἀλλὰ ἀγαθὸς φαινέσθω. ἀθύμου σημεῖα. τὰ ῥυτιδώδη τῶν προσώπων καὶ ἰσχνὰ ὄμματα κατακεκλασμένα, ἅμα δὲ καὶ τὰ κεκλασμένα τῶν ὀμμάτων, δύο σημαίνει, τὸ μὲν μαλακὸν καὶ θῆλυ, τὸ δὲ κατηφὲς καὶ ἄθυμον. ἐν τῷ σχήματι ταπεινὸς καὶ ταῖς κινήσεσιν ἀπηγορευκώς. κιναίδου σημεῖα ὄμμα κατακεκλασμένον, γονύκροτος· ἐγκλίσεις τῆς κεφαλῆς εἰς τὰ δεξιά· αἱ φοραὶ τῶν χειρῶν ὕπτιαι καὶ ἔκλυτοι, καὶ βαδίσεις διτταί, ἡ μὲν περινεύοντος, ἡ δὲ κρατοῦντος τὴν ὀσφύν· καὶ τῶν ὀμμάτων περιβλέψεις, οἷος ἂν εἴη Διονύσιος ὁ σοφιστής. πικροῦ σημεῖα τὸ πρόσωπον σεσηρός· μελανόχρως, ἰσχνός· τὰ περὶ τὸ πρόσωπον διεξυσμένα, τὸ πρόσωπον ῥυτιδῶδες ἄσαρκον· εὐθύθριξ καὶ μελάνθριξ. θυμώδους σημεῖα. ὀρθὸς τὸ σῶμα, τῷ σχήματι εὔπλευρος, εὔθυμος, ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι καὶ μεγάλαι καὶ πλατεῖαι· ἀκρωτήρια μεγάλα καὶ ἐγκρατῆ· λεῖος καὶ περὶ τὰ στήθη καὶ περὶ βουβῶνας, εὐπώγων· εὐαυξὴς ὁ περίδρομος τῶν τριχῶν, κάτω κατεληλυθώς. πραέος σημεῖα. ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή· εὐμεγέθης καὶ σύμμετρος· ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος. εἴρωνος σημεῖα πίονα τὰ περὶ τὸ πρόσωπον, καὶ τὰ περὶ τὰ ὄμματα ῥυτιδώδη· ὑπνῶδες τὸ πρόσωπον τῷ ἤθει φαίνεται. μικροψύχου σημεῖα. μικρομελής, μικρογλάφυρος, ἰσχνός, μικρόμματος καὶ μικροπρόσωπος, οἷος ἂν εἴη Κορίνθιος ἢ Λευκάδιος. φιλόκυβοι γαλεαγκῶνες καὶ ὀρχησταί. φιλολοίδοροι οἷς τὸ ἄνω χεῖλος μετέωρον· καὶ τὰ εἴδη προπετεῖς, ἐπίπυρροι. ἐλεήμονες ὅσοι γλαφυροὶ καὶ λευκόχροοι καὶ λιπαρόμματοι καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι, καὶ ἀεὶ δακρύουσιν. οἱ αὐτοὶ οὗτοι καὶ φιλογύναιοι καὶ θηλυγόνοι καὶ περὶ τὰ ἤθη ἐρωτικοὶ καὶ ἀειμνήμονες καὶ εὐφυεῖς καὶ ἔνθερμοι. τούτων δὲ σημεῖα εἴρηται. ἐλεήμων ὁ σοφὸς καὶ δειλὸς καὶ κόσμιος, ἀνελέητος ἀμαθὴς καὶ ἀναιδής. ἀγαθοὶ φαγεῖν οἷς τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς στῆθος μεῖζόν ἐστιν ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα. λάγνου σημεῖα. λευκόχρως καὶ δασὺς εὐθείαις θριξὶ καὶ παχείαις καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξί· λιπαρὸν τὸ ὀμμάτιον καὶ μάργον. φίλυπνοι οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ γυπώδεις καὶ θερμοί, εὐεκτικὴν σάρκα ἔχοντες, καὶ γλαφυροὶ τὰ εἴδη, καὶ δασεῖς τὰ περὶ τὴν κοιλίαν. μνήμονες οἱ τὰ ἄνω ἐλάττονα ἔχοντες καὶ γλαφυρὰ καὶ σαρκωδέστερα.

4 Δοκεῖ δέ μοι ἡ ψυχὴ καὶ τὸ σῶμα συμπαθεῖν ἀλλήλοις· καὶ ἡ τῆς ψυχῆς ἕξις ἀλλοιουμένη συναλλοιοῖ τὴν τοῦ σώματος μορφήν, πάλιν τε ἡ τοῦ σώματος μορφὴ ἀλλοιουμένη συναλλοιοῖ τὴν τῆς ψυχῆς ἕξιν. ἐπειδὴ γάρ ἐστι ψυχῆς τὸ ἀνιᾶσθαί τε καὶ εὐφραίνεσθαι, καταφανὲς ὅτι οἱ ἀνιώμενοι σκυθρωπότεροί εἰσι καὶ οἱ εὐφραινόμενοι ἱλαροί. εἰ μὲν οὖν ἦν τῆς ψυχῆς λελυμένης ἔτι τὴν ἐπὶ τοῦ σώματος μορφὴν μένειν, ἦν μὲν ἂν καὶ οὕτως ἡ ψυχή τε καὶ τὸ σῶμα συμπαθῆ, οὐ μέντοι συνδιατελοῦντα ἀλλήλοις. νῦν δὲ καταφανὲς ὅτι ἑκάτερον ἑκατέρῳ ἕπεται. μάλιστα μέντοι ἐκ τοῦδε δῆλον γένοιτο. μανία γὰρ δοκεῖ εἶναι περὶ ψυχήν, καὶ οἱ ἰατροὶ φαρμάκοις καθαίροντες τὸ σῶμα καὶ διαίταις τισὶ πρὸς αὐτοῖς χρησάμενοι ἀπαλλάττουσι τὴν ψυχὴν τῆς μανίας. ταῖς δὴ τοῦ σώματος θεραπείαις καὶ ἅμα ἥ τε τοῦ σώματος μορφὴ λέλυται καὶ ἡ ψυχὴ μανίας ἀπήλλακται. ἐπειδὴ οὖν ἅμα ἀμφότερα λύονται, δῆλον ὅτι συνδιατελοῦσιν ἀλλήλοις. συμφανὲς δὲ καὶ ὅτι ταῖς δυνάμεσι τῆς ψυχῆς ὅμοιαι αἱ μορφαὶ τοῖς σώμασιν ἐπιγίνονται, ὥστ' ἐστὶν ἅπαντα ἐν τοῖς ζῴοις τοῦ αὐτοῦ τινὸς δηλωτικά. πολλὰ δὲ καὶ ὧν διαπράττεται τὰ ζῷα, τὰ μὲν ἴδια ἑκάστου γένους πάθη τῶν ζῴων ἐστί, τὰ δὲ κοινά. ἐπὶ μὲν οὖν τοῖς ἰδίοις ἔργοις τῆς ψυχῆς ἴδια τὰ πάθη κατὰ τὸ σῶμα, ἐπὶ δὲ τοῖς κοινοῖς τὰ κοινά. κοινὰ μὲν οὖν ἐστὶν ὕβρις τε καὶ ἡ περὶ τὰ ἀφροδίσια ἔκστασις. τῶν μὲν οὖν λοφούρων κοινόν ἐστιν ὕβρις, τῶν δὲ ὄνων τε καὶ συῶν ἡ περὶ τὰ ἀφροδίσια ἕξις. ἴδιον δ' ἐστὶν ἐπὶ μὲν τῶν κυνῶν τὸ λοίδορον, ἐπὶ δὲ τῶν ὄνων τὸ ἄλυπον. ὡς μὲν

3. ταπεινότερον L^a, ταπεινότης I^a. ‖ 5. ἔν] ὂν L^a. ‖ 9. τὰ] κατὰ L^a. ‖ 10. καὶ post κατηφὲς om I^aK^a. ‖ 15. ἐκρατοῦντος L^a. ‖ 16. οἷον ἂν εἴη διονύσιον L^a. ‖ 18. ῥυτιδώδης I^aK^a. ‖ 20. ἐπίπυρος $I^aK^aL^a$. ‖ 23. εὐαξὴς L^a. ‖ 25. ἀμεγέθης L^a. ‖ 30. ἰσχνὸς καὶ μικρ. I^a. ‖ 31. γαλιαγκῶνες L^a. ‖ 32. φιλόδωροι I^a. ‖ 33. ἐπίπυροι I^aK^a. ‖ ἐλεήμονες ὅσοι γλαφυροὶ om L^a. ‖ 36. φιλογέναιοι L^a.

1. κόσμος K^a. ‖ ἀνελέστητος I^aK^a. ‖ 4. καὶ] δὲ καὶ L^a. ‖ 11. ψυχή τε καὶ L^a. ‖ 12. ψυχῆς om I^a. ‖ 15. ψυχὴ L^a. ‖ 16. οἱ post καὶ om $I^aK^aL^a$. ‖ 17. ἦν] ἔτι I^aK^a. ‖ ἔτι om I^aK^a. ‖ 18. μένειν] οὖσαν I^aK^a. ‖ 19. συμπαθῆ — 20. ὅτι ἑ om L^a. ‖ 23. αὐτὸ I^aK^a. ‖ 24. δὲ I^a, om L^a. ‖ 26. ἀμφοτέρως I^a. ‖ 29. ἐν] ὅμοια ἐν L^a. ‖ 30. διαπέπρακται I^aK^a. ‖ τὰ ante ζῷα om L^a. ‖ 31. τὰ om I^aK^a. ‖ 34. ἔκτασις L^a. ‖ 35. λοφούρων] λοφούρων λοβούρων I^aK^a, λοφούρων νοθούρων L^a.

a. 19. συλλογισμός — inference or reasoning generally

ὅν τὸ κοινόν τε καὶ τὸ ἴδιον χρὴ διελέσθαι, εἴρηται. δεῖ μέντοι πρὸς ἅπαντα πολλῆς συνηθείας, εἰ μέλλει τις αὐτὸς ἔσεσθαι ἱκανὸς περὶ τούτων ἕκαστα λέγειν. ἐπειδὴ γὰρ τὰ ὁρώμενα ἐπὶ τῶν σωμάτων λέγεται ἀναφέρεσθαι ἐπὶ τὰς ὁμοιότητας τάς τε ἀπὸ τῶν ζῴων καὶ τὰς ἀπὸ τῶν πράξεων γινομένας, καὶ ἰδέαι τινὲς ἄλλαι ἀπὸ θερμοτήτων καὶ ἀπὸ ψυχροτήτων γίνονται, ἔστι τε τούτων ἔνια τῶν ἐπιφαινομένων ἐπί τε τοῖς σώμασι μικραῖς διαφοραῖς κεχρημένα καὶ τῷ αὐτῷ ὀνόματι προσαγορευόμενα, οἷον αἵ τε ἀπὸ φόβων ὠχρότητες καὶ ἀπὸ πόνων (αὗται γὰρ ὀνόματί τε τῷ αὐτῷ κέχρηνται, καὶ διαφορὰν μικρὰν ἔχουσι πρὸς ἀλλήλας), μικρᾶς δὲ οὔσης τῆς διαφορᾶς οὐ ῥᾴδιον γινώσκειν ἀλλὰ ἢ ἐκ τῆς συνηθείας τῆς μορφῆς τὴν ἐπιπρέπειαν εἰληφότα, ἔστι μὲν οὖν καὶ τάχιστος καὶ ἄριστος ὁ ἀπὸ τῆς ἐπιπρεπείας, καὶ ἔστι γε οὕτως τούτῳ χρώμενον πολλὰ διαγινώσκειν. καὶ οὐ μόνον καθόλου χρήσιμόν ἐστιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν σημείων ἐκλογήν· ἕκαστον γὰρ τῶν ἐκλεγομένων καὶ πρέπειν δεῖ τοιοῦτον οἷον τὸ ἐκλεγόμενον θέλει. ἔτι τε κατὰ τὴν ἐκλογὴν τῶν σημείων, καὶ τῷ συλλογισμῷ, ᾧ δεῖ χρῆσθαι ὅπου ἄν τι τύχῃ, προστιθέντας τοῖς προσοῦσι τὰ προσήκοντα, οἷον εἰ ἀναιδής τε εἴη καὶ μικρολόγος, καὶ κλέπτης ἂν εἴη καὶ ἀνελεύθερος, καὶ κλέπτης μὲν ἑπομένως τῇ ἀναιδείᾳ, τῇ δὲ μικρολογίᾳ ἀνελεύθερος. ἐπὶ μὲν οὖν τῶν τοιούτων ἑκάστου δεῖ τοῦτον τὸν τρόπον προσαρμόζοντα τὴν μέθοδον ποιεῖσθαι.

5 Νυνὶ δὲ πρῶτον πειράσομαι τῶν ζῴων διελέσθαι, ὁποῖα αὐτῶν προσήκει διαλλάττειν πρὸς τὸ εἶναι ἀνδρεῖα καὶ δειλὰ καὶ δίκαια καὶ ἄδικα. διαιρετέον δὲ τὸ τῶν ζῴων γένος εἰς δύο μορφάς, εἰς ἄρσεν καὶ θῆλυ, προσάπτοντα τὸ πρέπον ἑκατέρᾳ μορφῇ. ἔστι δὲ ὅμοια. ἐπιχειροῦμεν οὖν τρέφειν τῶν θηρίων προσηνέστερα καὶ μαλακώτερα τὰς ψυχὰς τὰ θήλεα τῶν ἀρρένων, ἧττόν τε ῥωμαλεύμενα, τάς τε τροφὰς καὶ τὰς χειροηθείας μᾶλλον προσδεχόμενα. ὥστε τοιαῦτα ὄντα εἴη που ἂν ἀθυμότερα τῶν ἀρρένων. καταφανὲς δὲ τοῦτο ἐξ ἡμῶν πού ἐστιν, ὅτι ἐπὰν ὑπὸ θυμοῦ κρατηθῶμεν, δυσπαραπιστότεροί τε, καὶ μάλιστα ἐρρώμεθα πρὸς τὸ μηδαμῇ μηδὲν εἶξαι, ἐπὶ τὸ βιάζεσθαι δὲ καὶ πρᾶξαι φερόμεθα, πρὸς ὃ ἂν ὁ θυμὸς ὁρμήσῃ. δοκεῖ δέ μοι καὶ κακουργότερα γίνεσθαι τὰ θήλεα τῶν ἀρρένων, καὶ προπετέστερά τε καὶ ἀναλκέστερα. αἱ μὲν οὖν γυναῖκες καὶ τὰ περὶ ἡμᾶς τρεφόμενα καὶ πάνυ που φανερὰ ὄντα· τὰ δὲ περὶ τὴν ὕλην πάντες ὁμολογοῦσιν οἱ νομεῖς τε καὶ θηρευταὶ ὅτι τοιαῦτά ἐστιν οἷα προείρηται. ἀλλὰ μὴν καὶ τόδε δῆλον, ὅτι ἕκαστον ἐν ἑκάστῳ γένει θῆλυ ἄρρενος μικροκεφαλώτερόν ἐστι καὶ στενοπροσωπότερον καὶ λεπτοτραχηλότερον, καὶ τὰ στήθη ἀσθενέστερα ἔχει, καὶ ἀπλευρότερά ἐστι, τά τε ἰσχία καὶ τοὺς μηροὺς περισαρκότερα τῶν ἀρρένων, γονύκροτα δὲ καὶ τὰς κνήμας λεπτὰς ἔχοντα, τούς τε πόδας κομψοτέρους, τήν τε τοῦ σώματος ὅλην μορφὴν ἡδίω μᾶλλον ἂν ἢ γενναιοτέραν, ἀνευρότερα δὲ καὶ μαλακώτερα, ὑγροτέραις σαρξὶ κεχρημένα. τὰ δὲ ἄρρενα τούτοις ἅπασιν ἐναντία, τὴν φύσιν ἀνδρειοτέραν καὶ δικαιοτέραν εἶναι γένει, τὴν δὲ τοῦ θήλεος δειλοτέραν καὶ ἀδικωτέραν. τούτων οὕτως ἐχόντων, φαίνεται τῶν ζῴων ἁπάντων λέων τελεώτατα μετειληφέναι τῆς τοῦ ἄρρενος ἰδέας. Lions ἔστι γὰρ ἔχων στόμα εὐμέγεθες, τὸ δὲ πρόσωπον τετραγωνότερον, οὐκ ἄγαν ὀστῶδες, τὴν ἄνω τε γένυν οὐ προεξεστηκυῖαν ἀλλὰ ἰσορροποῦσαν τῇ κάτω, ῥῖνα δὲ παχυτέραν ἢ λεπτοτέραν, χαροποὺς ὀφθαλμοὺς ἐγκοίλους, οὐ σφόδρα περιφερεῖς οὔτε ἄγαν προμήκεις, μέγεθος δὲ μέτριον, ὀφρὺν εὐμεγέθη, μέτωπον τετράγωνον, ἐκ μέσου ὑποκοιλότερον, πρὸς δὲ τὰς ὀφρῦς καὶ τὴν ῥῖνα ὑπὸ τοῦ μετώπου οἷον νέφος ἐπανεστηκός. ἄνωθεν δὲ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἔχει τρίχας ἐκκλινεῖς οἷον ἂν ἄσιλον, κεφαλὴν μετρίαν, τράχηλον εὐμήκη, πάχει σύμμετρον, θριξὶ ξανθαῖς κεχρημένον, οὐ φριξαῖς οὔτε ἄγαν ἀπεστραμμέναις· τὰ περὶ τὰς κλεῖδας εὐλυτώτερα μᾶλλον ἢ συμπεφραγμένα· ὤμους ῥωμαλέους, καὶ στῆθος νεανικόν, καὶ τὸ μετάφρενον πλατὺ καὶ εὔπλευρον καὶ εὔνωτον ἐπιεικῶς· ζῷον ἀσαρκότερον τὰ ἰσχία καὶ τοὺς μηρούς· σκέλη ἐρρωμένα καὶ νευρώδη, βάσιν τε νεανικήν, καὶ ὅλον τὸ σῶμα ἀρθρῶδες καὶ νευρῶδες, οὔτε λίαν σκληρὸν οὔτε λίαν ὑγρόν. βαδίζον δὲ βραδέως, καὶ μεγάλα διαβαῖνον, καὶ διασαλεῦον ἐν τοῖς ὤμοις, ὅταν πορεύηται. τὰ μὲν οὖν περὶ τὸ σῶμα τοιοῦτον· τὰ δὲ περὶ τὴν ψυχὴν δοτικὸν καὶ ἐλεύθερον, μεγαλόψυχον καὶ φιλόνικον, καὶ πραῢ καὶ δίκαιον καὶ φιλόστοργον πρὸς ἃ ἂν ὁμιλήσῃ. ἡ δὲ πάρδαλις τῶν ἀνδρείων εἶναι δοκούντων θηλυμορφότερόν ἐστιν, ὅτι μὴ κατὰ τὰ σκέλη· τούτοις δὲ συνεργεῖ καί τι ἔργον ῥώμης ἀπεργάζεται. ἔστι γὰρ ἔχον πρόσωπον μικρόν, στόμα μέγα, ὀφθαλμοὺς μικρούς,

2. μέλλοι τις αὐτῆς L^a. ‖ 6. θερμόντων L^a. ‖ 7. ἀπὸ om L^a. ‖ τούτων ἔνια L^a. ‖ 14. τάχιστον καὶ ἄριστον L^a. ‖ 19. κατὰ] καὶ I^a. ‖ 20. τι] τι τὸ L^a. ‖ 22. ἂν — κλέπτης om L^a. ‖ 30. δὲ] γὰρ L^a. ‖ ἐπιχειρῶν μὲν I^aK^a. ‖ οὖν om L^a. ‖ 35. ἐπὴν L^a. ‖ 36. ὁρώμενα I^a. ‖ 37. εἶναι I^a. ‖ 39. τε om I^a.

1. τὰ om I^aK^a. ‖ 9. ὅλα I^aK^a. ‖ 11. κεχρημέναι L^a. ‖ 18. τὴν L^a. ‖ 21. ὑποκοιλότερος I^a. ‖ 22. τῇ ἀ ῥίνα I^a, τηὰ ῥῖνα $K^aN^aO^a$. ‖ τοῦ om I^a. ‖ 24. πάχυ I^aK^a. ‖ 30. τε] τὴν I^a. ‖ ἀνθρῶδες L^a. ‖ 32. διασαλεῦσιν K^a, διὰ σαλεῦσιν I^a. ‖ 35. φιλόνεικον $I^aK^aL^a$. ‖ 36. ἃ] οὗ L^a.

ἐκλεύκους, ἐγκοίλους, αὐτοὺς δὲ περικολαιοτέρους· μέτωπον προμηκέστερον, πρὸς τὰ ὦτα περιφερέστερον ἢ ἐπιπεδώτερον· τράχηλον μακρὸν ἄγαν καὶ λεπτόν, στῆθος ἄπλευρον, καὶ μακρὸν νῶτον, ἰσχία σαρκώδη καὶ μηρούς, τὰ δὲ περὶ τὰς λαγόνας καὶ γαστέρα ὁμαλὰ μᾶλλον· τὸ δὲ χρῶμα ποικίλον, καὶ ὅλον ἄναρθρόν τε καὶ ἀσύμμετρον. ἡ μὲν οὖν τοῦ σώματος ἰδέα τοιαύτη, τὰ δὲ περὶ τὴν ψυχὴν μικρὸν καὶ ἐπίκλοπον καὶ ὅλως εἰπεῖν δολερόν. τὰ μὲν οὖν ἐκπρεπέστερα μετειληφότα ζῷα τῶν δοκούντων ἀνδρείων εἶναι τῆς τε τοῦ ἄρρενος ἰδέας καὶ τῆς τοῦ θήλεος εἴρηται. τὰ δ' ἄλλα οἷα τυγχάνει, ῥᾴδιον ἤδη μετιέναι. ὅσα δὲ πρὸς τὸ φυσιογνωμονῆσαι συνιδεῖν ἁρμόττει ἀπὸ τῶν ζῴων, ἐν τῇ τῶν σημείων ἐκλογῇ ῥηθήσεται.

6 Ἡ δὲ ἐκλογὴ τῶν σημείων ἡ κατὰ τοὺς ἀνθρώπους ὧδε λαμβάνεται. ὅσοις οἱ πόδες εὐφυεῖς τε καὶ μεγάλοι διηρθρωμένοι τε καὶ νευρώδεις, ἐρρωμένοι τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. ὅσοι δὲ τοὺς πόδας μικροὺς στενοὺς ἀνάρθρους ἔχουσιν, ἡδίους τε ἰδεῖν ἢ ῥωμαλεωτέρους, μαλακοὶ τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. οἷς τῶν ποδῶν οἱ δάκτυλοι καμπύλοι, ἀναιδεῖς, καὶ ὅσοις ὄνυχες καμπύλαι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνεις τοὺς γαμψώνυχας. οἷς τῶν ποδῶν τὰ δάκτυλα συμπεφραγμένα ἐστί, δειμαλέοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρτυγας τοὺς στενόποδας τῶν λιμναίων. ὅσοις τὰ περὶ τὰ σφυρὰ νευρώδη τε καὶ διηρθρωμένα ἐστίν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. ὅσοι τὰ σφυρὰ σαρκώδεις καὶ ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. ὅσοι τὰς κνήμας ἔχουσιν ἠρθρωμένας τε καὶ νευρώδεις καὶ ἐρρωμένας, εὔρωστοι τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δὲ τὰς κνήμας λεπτὰς νευρώδεις ἔχουσι, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. ὅσοι τὰς κνήμας περιπλέους σφόδρα ἔχουσιν, οἷον ὀλίγου διαρρηγνυμένας, βδελυροὶ καὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. οἱ γονύκροτοι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. οἱ τοὺς μηροὺς ὀστώδεις καὶ νευρώδεις ἔχοντες εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. οἱ δὲ τοὺς μηροὺς ὀστώδεις καὶ περιπλέους ἔχοντες μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. ὅσοι δὲ πῦγα ὀξεῖαν ὀστώδη ἔχουσιν, εὔρωστοι, ὅσοι δὲ σαρκώδη πίονα ἔχουσι, μαλακοί. ὅσοι δὲ ἔχουσιν ὀλίγην σάρκα, οἷον ἀπωμοργμένα, κακοήθεις· ἀναφέρεται ἐπὶ τοὺς πιθήκους. οἱ ζωνοὶ φιλόθηροι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας καὶ τοὺς κύνας. ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς φιλοθηροτάτους ζωνοὺς ὄντας. οἷς τὰ περὶ τὴν κοιλίαν λαπαρά, εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δὲ μὴ λαπαροί, μαλακοί· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. ὅσοις τὸ νῶτον εὐμέγεθές τε καὶ ἐρρωμένον, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δὲ τὸ νῶτον στενὸν καὶ ἀσθενὲς ἔχουσι, μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. οἱ εὔπλευροι εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. οἱ δὲ ἄπλευροι μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. ὅσοι δὲ ἐκ τῶν πλευρῶν περίογκοί εἰσιν, οἷον πεφυσημένοι, λάλοι καὶ μωρολόγοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς ἢ ἐπὶ τοὺς βατράχους. ὅσοι δὲ τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς τὸ ἀκροστήθιον μεῖζον ἔχουσιν ἢ τὸ ἀπὸ τοῦ ἀκροστηθίου πρὸς τὸν τράχηλον, βοροὶ καὶ ἀναίσθητοι, βοροὶ μὲν ὅτι τὸ τεῦχος μέγα ἔχουσιν ᾧ δέχονται τὴν τροφήν, ἀναίσθητοι δὲ ὅτι στενώτερον τὸν τόπον ἔχουσιν αἱ αἰσθήσεις, συνενωμένον τε τῷ τὴν τροφὴν δεχομένῳ, ὥστε τὰς αἰσθήσεις βεβαρύνθαι διὰ τὰς τῶν σιτίων πληρώσεις ἢ ἐνδείας. ὅσοι δὲ τὰ στηθία ἔχουσι μεγάλα καὶ διηρθρωμένα, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δὲ τὸ μετάφρενον ἔχουσι μέγα καὶ εὔσαρκον καὶ ἀρθρῶδες, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δ' ἀσθενὲς καὶ ἄσαρκον καὶ ἄναρθρον, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. ὅσοις δὲ τὸ μετάφρενον κυρτόν ἐστι σφόδρα οἵ τε ὦμοι πρὸς τὸ στῆθος συνηγμένοι, κακοήθεις· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι ἀφανίζεται τὰ ἔμπροσθεν προσήκοντα φαίνεσθαι. ὅσοι δὲ τὸ μετάφρενον ὕπτιον ἔχουσι, χαῦνοι καὶ ἀνόητοι· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. ἐπεὶ δὲ οὔτε κυρτὸν σφόδρα δεῖ εἶναι οὔτε κοῖλον, τὸ μέσον ζητητέον τοῦ εὖ πεφυκότος. ὅσοις αἱ ἐπωμίδες ἐξηρθρωμέναι καὶ οἱ ὦμοι, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοις δὲ οἱ ὦμοι ἀσθενεῖς, ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ.

1. ἐγκοίους I^a, ἐγκύλους L^a. ‖ 8. ἐπίκολπον I^aK^a. ‖ 14. Ἡ — 15. λαμβάνεται om I^a. ‖ 16. τὴν om L^a. ‖ 19. ἐπὶ] δὲ ἐπὶ L^a. ‖ 20. γένος om L^a. ‖ 21. καμπύλοι I^aL^a. ‖ τὰς ὄρνεις τὰς L^a. ‖ 23. δεισαλέοι K^aL^a. ‖ 24. διμναίων L^a. ‖ 26. ὅσοις L^a. ‖ 32. ὅσοι δὲ τὰς L^a. ‖ ὀλίγον I^a. ‖ 34. οἱ — 35. ἐπιπρέπειαν om L^a. ‖ 34. γονύκρατοι K^a. ‖ 36. ἄρωστοι L^a. ‖ 37. περιπλοίους L^a.

3. ὀλίγην τὴν σάρκα I^a. ‖ ἀπομοργμένα L^a, ἀποβρυγμένα I^a, ἀπομορουμένα K^a. ‖ 4 et 5. ἐπὶ] δὲ ἐπὶ L^a. ‖ 7. εὐπάρωστοι K^aL^a. ‖ 9. τὸν I^a. ‖ 10. ἀναφέρεται ἐπὶ τὸ ἄρρεν om L^a. ‖ 11. τὸν I^aL^a. ‖ 16. ἐπὶ post ἢ om L^a. ‖ 18 et 19. μοροὶ I^a. ‖ 19. χέονται $I^aK^aL^a$. ‖ 21. συνενομένοι I^aK^a, συνεσωσμένοι L^a. ‖ 23. ἢ] καὶ L^a. ‖ στήθη L^a. ‖ 25. ὅσοι — 26. ἄρρεν om L^a. ‖ 25. ἄσαρκον ἀρθρώδεις τε καὶ εὔρωστοι I^aK^a. ‖ 33. οὔτε κυρτὸν] οὕτω κυρτὸν L^a.

ταὐτὰ λέγω ἅπερ περὶ ποδῶν καὶ μηρῶν. ὅσοις ὦμοι εὔλυτοί εἰσιν, ἐλεύθεροι τὰς ψυχάς· ἀναφέρεται δὲ ἀπὸ τȣ̃ φαινομένου, ὅτι πρέπει τῇ φαινομένῃ μορφῇ ἐλευθεριότης. ὅσοις δὲ οἱ ὦμοι δύσλυτοι συνεσπασμένοι, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. οἷς τὰ περὶ τὰς κλεῖδας εὔλυτα, αἰσθητικοί· εὐλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας εὐκόλως τὴν κίνησιν τῶν αἰσθήσεων δέχονται. οἷς δὲ τὰ περὶ τὰς κλεῖδας συμπεφραγμένα ἐστίν, ἀναίσθητοι· δυσλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας ἐξαδυνατοῦσι τὴν κίνησιν παραδέχεσθαι τῶν αἰσθήσεων. ὅσοι τὸν τράχηλον παχὺν ἔχουσιν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. ὅσοι δὲ λεπτόν, ἀσθενεῖς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. οἷς τράχηλος παχὺς καὶ πλέως, θυμοειδεῖς· ἀναφέρεται ἐπὶ τοὺς θυμοειδεῖς ταύρους. οἷς δὲ εὐμεγέθης μὴ ἄγαν παχύς, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τȣ̀ς λέοντας. οἷς λεπτὸς μακρός, δειλοί· ἀναφέρεται ἐπὶ τȣ̀ς ἐλάφους. οἷς δὲ βραχὺς ἄγαν, ἐπίβουλοι· ἀναφέρεται ἐπὶ τȣ̀ς λύκȣς. οἷς τὰ χείλη λεπτὰ καὶ ἐπ' ἄκραις ταῖς συγχειλίαις χαλαρά, ὡς ἐπὶ τȣ̃ ἄνω χείλους πρὸς τὸ κάτω ἐπιβεβλῆσθαι τὸ πρὸς τὰς συγχειλίας, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τȣ̀ς λέοντας. ἴδοι δ' ἄν τις τȣ̃το καὶ ἐπὶ τῶν μεγάλων καὶ εὐρώστων κυνῶν. οἷς τὰ χείλη λεπτὰ σκληρά, κατὰ τοὺς κυνόδοντας τὸ ἐπανεστηκός, οἱ ȣ̈τως ἔχοντες εὐγενεῖς· ἀναφέρεται ἐπὶ τȣ̀ς ὗς. οἱ δὲ τὰ χείλη ἔχοντες παχέα καὶ τὸ ἄνω τȣ̃ κάτω προκρεμώμενον μωροί· ἀναφέρεται ἐπὶ τȣ̀ς ὄνους τε καὶ πιθήκους. ὅσοι δὲ τὸ ἄνω χεῖλος καὶ τὰ ȣ̈λα προεστηκότα ἔχουσι, φιλολοίδοροι· ἀναφέρεται ἐπὶ τȣ̀ς κύνας. οἱ δὲ τὴν ῥῖνα ἄκραν παχεῖαν ἔχοντες ῥάθυμοι· ἀναφέρεται ἐπὶ τȣ̀ς βȣ̃ς. οἱ δὲ τὴν ῥῖνα ἀκρόθεν παχεῖαν ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τȣ̀ς ὗς. οἱ τὴν ῥῖνα ἄκραν ὀξεῖαν ἔχοντες δυσόργητοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. οἱ δὲ τὴν ῥῖνα περιφερῆ ἔχοντες ἄκραν, ἀμβλεῖαν δέ, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ δὲ τὴν ῥῖνα ἄκραν λεπτὴν ἔχοντες ὀρνιθώδεις. οἱ ἐπίγρυπον ἀπὸ τοῦ μετώπου εὐθὺς ἀγομένην ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τȣ̀ς κόρακας. οἱ δὲ γρυπὴν ἔχοντες καὶ τοῦ μετώπου διηρθρωμένην μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τȣ̀ς ἀετȣ́ς. οἱ δὲ τὴν ῥῖνα ἔγκοιλον ἔχοντες τὰ πρὸ τȣ̃ μετώπȣ περιφερῆ, τὴν δὲ περιφέρειαν ἄνω ἀνεστηκυῖαν, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας. οἱ δὲ σιμὴν ἔχοντες λάγνοι· ἀναφέρεται ἐπὶ τȣ̀ς ἐλάφȣς. οἷς δὲ οἱ μυκτῆρες ἀναπεπταμένοι, θυμώδεις· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐν τῷ θυμῷ γινόμενον. οἱ τὸ πρόσωπον σαρκῶδες ἔχοντες ῥάθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. οἱ τὰ πρόσωπα ἰσχνὰ ἔχοντες ἐπιμελεῖς, οἱ δὲ σαρκώδη δειλοί· ἀναφέρεται ἐπὶ τȣ̀ς ὄνȣς καὶ τὰς ἐλάφȣς. οἱ μικρὰ τὰ πρόσωπα ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ αἴλουρον καὶ πίθηκον. οἷς τὰ πρόσωπα μεγάλα, νωθροί· ἀναφέρεται ἐπὶ τȣ̀ς ὄνους καὶ βȣ̃ς. ἐπεὶ δὲ ȣ̈τε μικρὸν ȣ̈τε μέγα δεῖ εἶναι, ἡ μέση ἕξις εἴη ἂν τȣ́των ἐπιεικής. οἷς δὲ τὸ πρόσωπον φαίνεται μικροπρεπές, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. οἷς τὸ ἀπὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες προκρέμανται, οἰνόφλυγες. ἀναφέρεται ἐπὶ τὸ πάθος· ἔστι γὰρ τοῖς σφόδρα ἐμπεπτωκόσι τὰ πρὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες. ἐφεστήκασι, φίλυπνοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ἐξ ὕπνȣ ἀνεστηκόσιν ἐπικρέμαται τὰ ἐπὶ τοῖς ὀφθαλμοῖς. οἱ τοὺς ὀφθαλμȣ̀ς μικρȣ̀ς ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ ἐπὶ πίθηκον. οἱ δὲ μεγαλόφθαλμοι νωθροί· ἀναφέρεται ἐπὶ τȣ̀ς βȣ̃ς. τὸν ἄρα εὖ φύντα δεῖ μήτε μικρȣ̀ς μήτε μεγάλους ἔχειν τȣ̀ς ὀφθαλμȣ́ς. οἱ δὲ κοίλους ἔχοντες κακȣ̃ργοι· ἀναφέρεται ἐπὶ πίθηκον. ὅσοι ἐξόφθαλμοι, ἀβέλτεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειάν τε καὶ τȣ̀ς ὄνους. ἐπεὶ δὲ ȣ̈τε ἐξόφθαλμον ȣ̈τε κοιλόφθαλμον δεῖ εἶναι, ἡ μέση ἕξις ἂν κρατοίη. ὅσοις ὀφθαλμοὶ μικρὸν ἐγκοιλότεροι, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἷς δ' ἐπὶ πλεῖον, πραεῖς· ἀναφέρεται ἐπὶ τȣ̀ς βοῦς. οἱ τὸ μέτωπον μικρὸν ἔχοντες ἀμαθεῖς· ἀναφέρεται ἐπὶ τȣ̀ς ὗς. οἱ δὲ μέγα ἄγαν ἔχοντες νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. οἱ δὲ περιφερὲς ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. οἱ μακρότερον ἐπίπεδον ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τȣ̀ς κύνας. οἱ δὲ τετράγωνον σύμμετρον τῷ μετώπῳ ἔχοντες μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ δὲ συννεφὲς ἔχοντες αὐθάδεις· ἀναφέρεται ἐπὶ ταῦρον καὶ λέοντα. οἱ δ' ἀτενὲς ἔχοντες κόλακες· ἀναφέρεται ἐπὶ τὸ γιγνόμενον πάθος. ἴδοι δ' ἄν τις ἐπὶ τῶν κυνῶν, ὅτι οἱ κύνες ἐπειδὰν θωπεύωσι, γαληνὲς τὸ μέτωπον ἔχουσιν. ἐπειδὴ οὖν ἥ τε

1. μηρῶν καὶ ποδῶν L^a. ‖ 2. ἐπὶ L^a. ‖ 4. δύσλυτοι συνεσπασμένοι om I^a. ‖ 7. παραδέχονται L^a. ‖ 8. συμπεριπεφραγμένα I^aK^a. ‖ ἀναίσθητος I^a. ‖ 11. ἄρωστοι L^a. ‖ 12. λεπτοὶ $I^aK^aL^a$. ‖ 13. πλέος L^a. ‖ 24. παχέα ἔχοντες I^aK^a. ‖ 30. μακρὰν I^a. ‖ 31. ὀξεῖαν om I^aK^a.

2. ἐπὶ] δὲ ἐπὶ L^a. ‖ 4. γενόμενον I^a. ‖ 7. σαρκώδεις I^aK^a. ‖ 8. μικρὰ τὰ πρόσωπα] μικρὸν τȣ̃τον I^aL^a, μικρὸν τȣ̃ται K^a. ‖ 10. δὲ om L^a. ‖ 14. κυστίαις L^a. ‖ προκρέμνανται K^a. ‖ 18. ἐπικρέμμαται K^a, ἐπικρέμμανται I^a. ‖ 24. τȣ̀ς om I^aK^a. ‖ δὴ L^a. ‖ 28. τȣ̀ς om $I^aK^aL^a$. ‖ βȣ̃ν L^a. ‖ 29. τὰς L^a. ‖ 33. ἀναίσθητοι — 34. ἔχοντες om L^a. ‖ 36. ἀτανὲς I^a. ‖ 38. ἀνθρωπεύωσι L^a. ‖ πρόσωπον I^a.

συννεφὴς ἕξις αὐθάδειαν ἐμφαίνει ἥ τε γαληνὴ κολακείαν, ἡ μέση ἂν τούτων ἕξις εὐαρμόστως ἔχοι. οἱ σκυθρωπὰ μέτωπα ἔχοντες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ἀνιώμενοι σκυθρωποί εἰσιν. οἱ δὲ κατηφεῖς ὀδύρται· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὀδυρόμενοι κατηφεῖς. οἱ τὴν κεφαλὴν μεγάλην ἔχοντες αἰσθητικοί· ἀναφέρεται ἐπὶ τοὺς κύνας. οἱ δὲ μικρὰν ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. οἱ τὰς κεφαλὰς φοξοὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς γαμψώνυχας. οἱ τὰ ὦτα μικρὰ ἔχοντες πιθηκώδεις, οἱ δὲ μεγάλα ὀνώδεις· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς ἀρίστους μέτρια ἔχοντας ὦτα.

Οἱ ἄγαν μέλανες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰγυπτίους, Αἰθίοπας. οἱ δὲ λευκοὶ ἄγαν δειλοί· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. τὸ δὲ πρὸς ἀνδρείαν συντελοῦν χρῶμα μέσον δεῖ τούτων εἶναι. οἱ ξανθοὶ εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ πυρροὶ ἄγαν πανοῦργοι· ἀναφέρεται ἐπὶ τὰς ἀλώπεκας. οἱ δὲ ἔνωχροι καὶ τεταραγμένοι τὸ χρῶμα δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐκ τοῦ φόβου γιγνόμενον. οἱ δὲ μελίχλωροι ἀπεψυγμένοι εἰσίν· τὰ δὲ ψυχρὰ δυσκίνητα· δυσκινήτων δὲ ὄντων τῶν κατὰ τὸ σῶμα εἶεν ἂν βραδεῖς. οἷς τὸ χρῶμα ἐρυθρόν, ὀξεῖς, ὅτι πάντα τὰ κατὰ τὸ σῶμα ὑπὸ κινήσεως ἐκθερμαινόμενα ἐρυθραίνεται. οἷς δὲ τὸ χρῶμα φλογοειδές, μανικοί, ὅτι τὰ κατὰ τὸ σῶμα σφόδρα ἐκθερμανθέντα φλογοειδῆ χροιὰν ἴσχει· οἱ δὲ ἄκρως θερμανθέντες μανικοὶ ἂν εἴησαν. οἷς δὲ περὶ τὰ στήθη ἐπιφλεγές ἐστι τὸ χρῶμα, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος· τοῖς γὰρ ὀργιζομένοις ἐπιφλέγεται τὰ περὶ τὰ στήθη. οἷς τὰ περὶ τὸν τράχηλον καὶ τοὺς κροτάφους αἱ φλέβες κατατεταμέναι εἰσί, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ὀργιζομένοις ταῦτα συμβαίνει. οἷς τὸ πρόσωπον ἐπιφοινίσσον ἐστίν, αἰσχυντηλοί εἰσιν· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς αἰσχυνομένοις ἐπιφοινίσσεται τὸ πρόσωπον. οἷς αἱ γνάθοι ἐπιφοινίσσουσιν, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς μεθύουσιν ἐπιφοινίσσουσιν αἱ γνάθοι. οἷς δὲ οἱ ὀφθαλμοὶ ἐπιφοινίσσουσιν, ἐκστατικοὶ ὑπὸ ὀργῆς· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὑπ' ὀργῆς ἐξεστηκότες ἐκφοινίσσονται τοὺς ὀφθαλμούς. οἷς δὲ οἱ ὀφθαλμοὶ ἄγαν μέλανες, δειλοί· ἡ γὰρ ἄγαν μελαίνη χρόα ἐφάνη δειλίαν σημαίνουσα. οἱ δὲ μὴ ἄγαν μέλανες ἀλλὰ κλίνοντες πρὸς τὸ ξανθὸν χρῶμα εὔψυχοι. οἷς δὲ οἱ ὀφθαλμοὶ γλαυκοὶ ἢ λευκοί, δειλοί· ἐφάνη γὰρ τὸ λευκὸν χρῶμα δειλίαν σημαῖνον. οἱ δὲ μὴ γλαυκοὶ ἀλλὰ χαροποὶ εὔψυχοι· ἀναφέρεται ἐπὶ λέοντα καὶ ἀετόν. οἷς δὲ οἰνωποί, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας. οἷς δὲ πυρώδεις, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κύνας. οἱ ὠχρόμματοι ἐντεταραγμένους ἔχοντες τοὺς ὀφθαλμοὺς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ φοβηθέντες ἔνωχροι γίνονται χρώματι οὐχ ὁμαλῷ. οἱ δὲ τοὺς ὀφθαλμοὺς στιλπνοὺς ἔχοντες λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας καὶ κόρακας.

Οἱ δασείας ἔχοντες τὰς κνήμας λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς τράγους. οἱ δὲ περὶ τὰ στήθη καὶ τὴν κοιλίαν ἄγαν δασέως ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας, ὅτι ταῦτα τὰ στήθη καὶ τὴν κοιλίαν δασυτάτην ἔχουσιν. οἱ τὰ στήθη ψιλὰ ἄγαν ἔχοντες ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. ἐπειδὴ οὖν οὔτε ἄγαν δασέα δεῖ εἶναι οὔτε ψιλά, ἡ μέση ἕξις κρατίστη. οἱ τοὺς ὤμους δασεῖς ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. οἱ τὸν νῶτον δασὺν ἔχοντες ἄγαν ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰ θηρία. οἱ δὲ τὸν αὐχένα ὄπισθεν δασὺν ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ δὲ ἀκρογένειοι εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. οἱ δὲ συνόφρυες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὴν τοῦ πάθους ὁμοιότητα. οἱ δὲ τὰς ὀφρῦς κατεσπασμένοι πρὸς τῆς ῥινός, ἀνεσπασμένοι δὲ πρὸς τὸν κρόταφον εὐήθεις· ἀναφέρεται ἐπὶ τοὺς σῦς. οἱ φριξὰς τὰς τρίχας ἔχοντες ἐπὶ τῆς κεφαλῆς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι καὶ οἱ ἔκφοβοι γιγνόμενοι φρίσσουσιν. οἱ τὰς τρίχας σφόδρα οὔλας ἔχοντες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰθίοπας. ἐπειδὴ οὖν αἵ τε φριξαὶ καὶ αἱ σφόδρα οὖλαι δειλίαν ἀναφέρουσιν, αἱ ἄκρουλοι ἂν εἶεν πρὸς εὐψυχίαν ἄγουσαι· ἀναφέρεται δὲ καὶ ἐπὶ τὸν λέοντα. οἱ τοῦ μετώπου τὸ πρὸς τῇ κεφαλῇ ἀναστεῖλον ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ ἐπὶ τῆς κεφαλῆς προσπεφυκυίας ἔχοντες τὰς τρίχας ἐπὶ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἀνελεύθεροι· ἀνα-

1. συνεφὴς L^a. ‖ γαλήνη I^aL^a. ‖ 2. εὐαρμόστως ἔχοι ἕξις I^a. ‖ 4. ἀνιώμενοι — 5. ὅτι οἱ om I^a. ‖ 8. ὀξοὶ I^aK^a, λοξοὶ L^a. ‖ 11. ὦτα ἔχοντας I^aK^a. ‖ 13. ἄγαν] εἴαν L^a. ‖ 17. καὶ om $I^aK^aL^a$. ‖ 26. τὸ ante χρῶμα om I^aK^a. ‖ 34. στῆθος L^a. ‖ 35 et 36. οἱ om L^a. ‖ 35. ἐκτατικοὶ L^a. ‖ 37. οἱ om K^aL^a.

1. μελαίνη] μελανὴ K^aL^a. ‖ 6. ἠνωποὶ L^a. ‖ 7. πυρρώδεις L^a. ‖ 8. ὠχρόμματι K^a, ἐγχρώματι I^a, ἐγχρώμματοι L^a. ‖ 10. χρώματα I^a. ‖ 13. οἱ δὲ δασείας I^a. ‖ 14. τὴν om L^a. ‖ 15. τοῖς] τοῖς μήποτε θέλη ἀνθρώποις I^aK^a. ‖ 18. οὐδὲ K^aL^a. ‖ 20. διαγελοῦσιν L^a. ‖ 23. ἐλεύθεροι I^aK^a. ‖ ἀναφέρονται L^a. ‖ 26. πρὸ L^a. ‖ 27. ἀκρόταφον L^a. ‖ 28. θριξὰς L^a. ‖ 29. καὶ om I^a. ‖ 32. αἱ ἄκρ.] εἰ ἄκρ. L^a. ‖ 33. ἄγουσα I^a, ἄγουσιν L^a. ‖ 34. τὸν om L^a. ‖ 35 et 37. ἀναφέρονται K^aL^a. ‖ 37. ἐλεύθεροι I^a, ἐλευθέριοι K^aL^a.

φέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι δουλοπρεπὲς τὸ φαινόμενον.

Μακροβάμων καὶ βραδυβάμων εἴη ἂν νωθρεπιθέτης τελεστικός, ὅτι τὸ μακρὰ βαίνειν ἀνυστικόν, τὸ βραδέως δὲ μελλητικόν. βραχυβάμων βραδυβάμων νωθρεπιθέτης οὐ τελεστικός, ὅτι τὸ βραχέα βαίνειν καὶ βραδέως οὐκ ἀνυστικόν. μακροβάμων ταχυβάμων οὐκ ἐπιθετικός, τελεστικός, ὅτι τὸ μὲν τάχος τελεστικόν, ἡ δὲ μακρότης οὐκ ἀνυστικόν. βραχυβάμων ταχυβάμων ἐπιθετικός, οὐ τελεστικός. περὶ δὲ χειρὸς καὶ πήχεος καὶ βραχίονος φορᾶς, αἱ αὐταὶ ἀναφέρονται. οἱ δὲ τοῖς ὤμοις ἐπισαλεύοντες ὀρθοῖς ἐκτεταμένοις γαλεαγκῶνες· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. οἱ τοῖς ὤμοις ἐπενσαλεύοντες ἐγκεκυφότες μεγαλόφρονες· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. οἱ δὲ τοῖς ποσὶν ἐξεστραμμένοις πορευόμενοι καὶ ταῖς κνήμαις θηλείαις· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. οἱ δὲ τοῖς σώμασι περικλώμενοι καὶ ἐντριβόμενοι κόλακες· ἀναφέρεται ἐπὶ τὸ πάθος. οἱ ἐγκλινόμενοι εἰς τὰ δεξιὰ ἐν τῷ πορεύεσθαι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. οἱ εὐκινήτους τοὺς ὀφθαλμοὺς ἔχοντες ὀξεῖς, ἁρπαστικοί· ἀναφέρεται ἐπὶ τοὺς ἱέρακας. οἱ σκαρδαμύκται δειλοί, ὅτι ἐν τοῖς ὄμμασι πρῶτα τρέπονται. οἱ κατιλλαντιωρίαν τε, καὶ οἷς τὸ ἕτερον βλέφαρον ἐπιβέβηκε τοῖς ὀφθαλμοῖς, κατὰ μέσον τῆς ὄψεως ἑστηκυίας, καὶ οἱ ὑπὸ βλέφαρα τὰ ἄνω τὰς ὀψίας ἀνάγοντες, μαλακόν τε βλέποντες, καὶ οἱ τὰ βλέφαρα ἐπιβεβληκότες, ὅλως τε πάντες οἱ μαλακόν τε καὶ διακεχυμένον βλέποντες, ἀναφέρονται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ τὰς γυναῖκας. οἱ τοὺς ὀφθαλμοὺς διὰ συχνοῦ χρόνου κινοῦντες, ἔχοντές τε βάμμα λευκώματος ἐπὶ τῷ ὀφθαλμῷ, ὡς προσεστηκότας, ἐννοητικοί· ἂν γὰρ πρός τινι ἐννοίᾳ σφόδρα γένηται ἡ ψυχή, ἵσταται καὶ ἡ ὄψις.

Οἱ μέγα φωνοῦντες βαρύτονον ὑβρισταί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. ὅσοι δὲ φωνοῦσιν ἀπὸ βαρέος ἀρξάμενοι, τελευτῶσι δὲ εἰς ὀξύ, δυσθυμικοί, ὀδύρται· ἀναφέρεται ἐπὶ τοὺς βοῦς καὶ ἐπὶ τὸ πρέπον τῇ φωνῇ. ὅσοι δὲ ταῖς φωναῖς ὀξείαις μαλακαῖς κεκλασμέναις διαλέγονται, κίναιδοι· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. ὅσοι βαρύτονον φωνοῦσι μέγα, μὴ πεπλεγμένον, ἀναφέρεται ἐπὶ τοὺς εὐρώστους κύνας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. ὅσοι μαλακὸν ἄτονον φωνοῦσι, πραεῖς· ἀναφέρεται ἐπὶ τὰς ὄϊς. ὅσοι δὲ φωνοῦσιν ὀξὺ καὶ ἐγκεκραγός, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας.

Οἱ μικροὶ ἄγαν ὀξεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μικρὸν τόπον κατεχούσης καὶ αἱ κινήσεις ταχὺ ἄγαν ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. οἱ δὲ ἄγαν μεγάλοι βραδεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μέγαν τόπον κατεχούσης αἱ κινήσεις βραδέως ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. ὅσοι τῶν μικρῶν ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶν ἢ καὶ χρώμασιν, ἃ διὰ θερμότητα τοῖς σώμασιν ἐπιγίνονται, οὐδὲν ἀποτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μικρῷ καὶ ταχείας διὰ τὸ πυρῶδες, οὐδέποτε κατὰ ταὐτόν ἐστι τὸ φρονεῖν, ἀλλὰ ἄλλοτ' ἐπ' ἄλλων, πρὶν τὸ ὑπερέχον περᾶναι. ὅσοι δὲ τῶν μεγάλων ὑγραῖς σαρξὶ κεχρημένοι, ἢ καὶ χρώμασιν ἃ διὰ ψυχρότητα ἐγγίνονται, οὐδὲν ἐπιτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μεγάλῳ τόπῳ καὶ βραδείας διὰ τὴν ψυχρότητα, οὐ συνανύει ἀφικνουμένην ἐπὶ τὸ φρονοῦν. ὅσοι δὲ τῶν μικρῶν ὑγραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ ψυχρότητα, γίνονται ἐπιτελεστικοί· οὔσης γὰρ τῆς κινήσεως ἐν μικρῷ, τὸ δυσκίνητον τῆς κράσεως συμμετρίαν παρέσχε τὸ πρῶτον ἐπιτελεῖν. ὅσοι δὲ τῶν μεγάλων ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ θερμότητα, γίνονται ἐπιτελεστικοὶ καὶ αἰσθητικοί· τὴν γὰρ τοῦ μεγέθους ὑπερβολὴν σαρκῶν τε καὶ χρώματος ἡ θερμότης ἠκέσατο, ὥστε σύμμετρον εἶναι πρὸς τὸ ἐπιτελεῖν. τὰ μὲν οὖν μεγέθεσιν ὑπερβάλλοντα τῶν σωμάτων ἢ σμικρότησιν ἐλλείποντα, ὡς τυχόντα ἐπιτελεστικά ἐστι καὶ ὡς ἀτελῆ, εἴρηται. ἡ δὲ τούτων μέση φύσις πρὸς τὰς αἰσθήσεις κρατίστη καὶ τελεστικωτάτη, οἷς ἂν ἐπιθῆται· αἱ γὰρ κινήσεις οὐ διὰ πολλοῦ οὖσαι ῥᾳδίως ἀφικνοῦνται πρὸς τὸν νοῦν· οὖσαί τε οὐ κατὰ μικρὸν ὑπερχωροῦσιν. ὥστε τὸν τελεώτατον πρὸς τὸ ἐπιτελεῖν τε ἃ ἂν προθῆται καὶ αἰσθάνεσθαι μέλλοντα μέτριον δεῖ εἶναι τὸ μέγεθος. οἱ ἀσύμμετροι πανοῦρ-

1. ὅτι — φαινόμενον om I^a. ‖ 3. βραχυβάμων $I^aK^aL^a$. ‖ 4. λεστικὸς I^a. ‖ βραχυδέως I^aK^a. ‖ 6. καὶ] καὶ τὸ I^a. ‖ βραχέως L^a. ‖ 8. εὐτελεστικὸν I^aK^a. ‖ 9. post τελεστικὸς L^a ἀπὸ χειρῶν φόβου, K^a ἀπὸ χειρῶν φορᾶς. ‖ 11. ὀρθροῖς I^aK^a. ‖ 12. γαλαγκῶνες K^a, γαλεαγῆιες I^a. ‖ 13. ἐπενασσαλεύοντες L^a. ‖ ἐκκεκυφότες I^aK^a. ‖ 14. τοῖς om I^a. ‖ 18. κίναιδοι om L^a. ‖ 19. ἁρπακτικοὶ L^a. ‖ 21. πρῶτει $I^aK^aL^a$. ‖ in vocem τρέπονται desinit L^a. ‖ 22. οἷς] εἰς I^a. ‖ 24. ὄψιας K^a. ‖ 25. τε] τε καὶ I^aK^a. ‖ 26. ἀναφέρεται I^a. ‖ 28. λευκόμματος I^aK^a, ‖ 31. φρονοῦντες I^a. ‖ 32. βαρέως I^a. ‖ 34. τῆς φωνῆς I^a.

2. βαρύκονον I^aK^a. ‖ πεπλεγμένην I^a. ‖ 5. ἐγκεκλαγός I^aK^a. ‖ 12. ἃ] ἢ καὶ I^aK^a. ‖ 15. τὸ φρονεῖν] φρονῦν I^a. ‖ 17. ἃ om I^aK^a. ‖ 19. διὰ om I^aK^a. ‖ 21. χρώματος διὰ ψυχρότητος I^a. ‖ 24. χρώματα διὰ θερμότητος I^a. ‖ 25. post αἰσθητικοί $QI^aK^aN^aO^a$ οὔσης γὰρ τῆς τε φορᾶς ἐν μεγάλοις τόποις (18.) — συνανύει τι ἀφικνουμένη ἐπὶ τὸ φρονοῦν (23.). ὅσοι δὲ (δὲ ἐπὶ QN^a) τῶν μεγάλων — καὶ χρώματα — αἰσθητικοί (25.). ‖ 32. οὐ διὰ] οὐδὲ IK^a. ‖ 35. δεῖ] δὲ I^a.

γοι· ἀναφέρεται ἐπὶ τὸ πάθος καὶ τὸ θῆλυ. εἰ γὰρ οἱ ἀσύμμετροι πανῦργοι, οἱ σύμμετροι δίκαιοι ἂν εἴησαν καὶ ἀνδρεῖοι. τὴν δὲ τῆς συμμετρίας ἀναφορὰν πρὸς τὴν τῶν σωμάτων εὐαγωγίαν καὶ εὐφυΐαν ἀνοιςέον, ἀλλ' οὐ πρὸς τὴν τοῦ ἄρρενος ἰδέαν, ὥσπερ ἐν ἀρχῇ διῃρέθη. καλῶς δ' ἔχει καὶ πάντα τὰ σημεῖα, ὅσα προείρηται, ἀναφέρειν ἐπὶ τὴν ἐπιπρέπειαν καὶ εἰς ἄρρεν καὶ θῆλυ· ταῦτα γὰρ τελεωτάτην διαίρεσιν διῄρηται, καὶ ἐδείχθη ἄρρεν θήλεος δικαιότερον καὶ ἀνδρειότερον καὶ ὅλως εἰπεῖν ἄμεινον. ἐν ἁπάσῃ δὲ τῇ τῶν σημείων ἐκλογῇ ἕτερα ἑτέρων σημεῖα μᾶλλον δηλῦσιν ἐναργῶς τὸ ὑποκείμενον. ἐναργέςερα δὲ τὰ ἐν ἐπικαιροτάτοις τόποις ἐγγινόμενα. ἐπικαιρότατος δὲ τόπος ὁ περὶ τὰ ὄμματά τε καὶ τὸ μέτωπον καὶ κεφαλὴν καὶ πρόσωπον, δεύτερος δὲ ὁ περὶ τὰ στήθη καὶ ὤμους, ἔπειτα περὶ τὰ σκέλη τε καὶ πόδας· τὰ δὲ περὶ τὴν κοιλίαν ἥκιςα. ὅλως δὲ εἰπεῖν οὗτοι οἱ τόποι ἐναργέστατα σημεῖα παρέχονται, ἐφ' ὧν καὶ φρονήσεως πλείςης ἐπιπρέπεια γίνεται.

ΠΕΡΙ ΦΥΤΩΝ.

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΕΡΜΗΝΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Τῷ τῆς Ἀριςοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρυς μὲν ἃς θεωρῦμεν, πολύχοας δὲ καὶ οἷς διαπραττόμεθα προϊέμεναι τὺς καρπύς. ἦν δὲ πρὸς ταῖς ἄλλαις καὶ ἡ περὶ τῶν φυτῶν ὅσα καὶ φυτὸν εὐφυὲς βραχὺ μέν, ἀλλὰ συχναῖς ταῖς χάρισι βρύον καὶ καλλίςοις ἐκφορίοις τὺς τῶν λόγων ἐραςὰς δεξιύμενον, οὐ μόνον λέγω τὺς ἡμετέρυς, τὺς πάνυ, τὺς περιφανεῖς τὰ ἐς λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλυς καὶ τὴν σύνεσιν Αὔσονας, ἀλλὰ καὶ τὺς ἐκ μοίρας Ἰταλικῆς, καὶ οὐ τύτυς μόνον, ἀλλὰ καὶ ὅσυς τοιύτυς οἶδεν ἡ τῶν εὐδαιμόνων Ἀράβων τρέφειν καὶ τῶν Ἰνδῶν. συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτῦ συγγραμμάτων τοῖς ὁπυδήποτε φιλοσόφοις ὁ ἐκ Σταγείρων ἄκρος φιλόσοφος. ἀλλὰ τὸ τοιῦτον φυτὸν ὐκ οἶδ' ὅπως οὐ μόνον αὔανσιν πέπονθε παρ' ἡμῖν, ἀλλοίωσίν τινα τάχα περὶ τὸ χεῖρον, οἷα φιλεῖ ὁ χρόνος ποιεῖν, ἀλλὰ καὶ προθέλυμνον ἐκκοπὴν καὶ εἰς τὸ μὴ ὂν ἀποςροφήν, ὡς ὐδ' ἄν ποτε φυτηκόμον εἶδεν, ὐδ' εἰ προῆλθεν εἰς φῶς. ὑπέςη τὰ ἴσα καὶ Ἰταλὸς μακρὸν χρόνον σὺν ἡμῖν χηρεύων τῦ χρήματος. τοῖς Ἄραψιν ἐγνωρίζετο μόνοις, καὶ μόνοι τῶν τύτυ καρπῶν ἀφθόνως ἀπήλαυον. ἀλλά τις Κελτὸς μὲν τὸ γένος, ἐς τοσῦτον δὲ τῆς τῶν Ἰταλῶν σοφίας ἐλάσας ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τῦτο, καίπερ ὂν τοσῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ τὴν τῶν Λατίνων μεταλάβοι γνῶσιν καὶ τὴν καλλίςην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τῦ ἔργυ, καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει καὶ τυχεῖν παντοίως τῦ ἐφετῦ. ςέλλεται λοιπὸν τὴν ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπυδὴν τοσῦτον εὐμοίρησε παιδείας, φασίν, ὡς δύνασθαι καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορθμεύειν εἰς Ἄραβας. ὗτος ὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει φυταλιάς. ἔχαιρε γῦν Ἰταλὸς ἐπὶ τύτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζε· ταῖς Ἀριςοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται· καὶ τοσῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης ὐχ ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον. ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τῦ φυτῦ· λόγοι γάρ μοι τῶν τῦ κόσμυ πάντων χρῆμα τὸ τιμιώτατον. ἐπόθυν ἐμφορηθῆναι τῶν τύτυ καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. ἀλλὰ μέχρι πολλῦ τὰ τῆς ἐπιθυμίας ἀτέλεςα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος; ἠρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν ποθυμένην βίβλον ἡμῖν ἐγχειρίζεται. ηὐφράνθην ἐγὼ ὡς ἐφ' ἑρμαίῳ τῷ χρήματι. ἐδεξάμην τὴν βίβλον ἐκθύμως. ὅλος αὐτῆς ἐγενόμην, τὸν ἐγκείμενον νῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον ὡς ἐν ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριςοτέλην ἔγνων καὶ τὺς Ἀριςοτελικὺς κατὰ τῶν πάλαι φιλοσοφύντων ἀντιλογικὺς ἐτασμύς. ἀδικεῖν δ' ᾠήθην, μὰ τὺς λόγυς, τὺς λόγυς αὐτὺς καὶ τὺς αὐτῶν ἐραςάς, καὶ γραφῆναι βασκάνυ ψυχῆς ηὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοιπαῖς Ἀριςοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν πρὺθέμην τὴν βίβλον τοῖς αἱρυμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τὺς Ἄραβας ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλύς, καὶ εἰς ἡμᾶς ἐκ τύτων ἐπ' ἔσχατον. ὐ γὰρ διπρόσω-

b. 3. ἐγγενόμενα *I*ᵃ*K*ᵃ. ‖ 8. παρέχοντες *I*ᵃ*K*ᵃ. ‖ ἐπιπρέπειαν *K*ᵃ.

Codices *N*ᵃ*P*ᵃ. Tit. ἀνωνύμου τινὸς εἰς τὰ Ἀριςοτέλους περὶ φυτῶν προοίμιον *P*ᵃ. προθεωρία τοῦ περὶ φυτῶν Ἀριςοτέλους *c*. deest praefatio Parisiensi 1848 et Oxoniensi coll. corp. Christi.

15. λέγω] λόγω *N*ᵃ. ‖ 28. τὴν post μετὰ om *P*ᵃ. ‖ μεταλάβῃ *P*ᵃ. ‖ 32. εὐμοιρῆσαι *N*ᵃ*P*ᵃ. ‖ καὶ om *P*ᵃ.

14. τὸ om *N*ᵃ. ‖ 26. ἀνέγνων *N*ᵃ.

πος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλύμενον Ἴδνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχυός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα τὸν Φάριον. ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑςέρα τὸ σαφὲς ἔχυσα τῦ ἀκριβῦς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ προτέρα προσόντος τῦ ἀκριβῦς εἰς ἀσάφειαν καταςρέφεται, ἡμεῖς ὡς ἀσφαλεςέρῳ τύτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ ςοιχῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι πυ ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τὺς λογικὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριςίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολόγησιν ἀπενείμαμεν. τῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς κατὰ τὸν θεῖον ἀπόςολον. τίνος γὰρ ἄλλυ δεῖται παρ' ἡμῶν, ὃς διά τινος τῶν προφητῶν περὶ ἑαυτῦ λέγει "τὸν ὐρανὸν πληρῶ καὶ τὴν γῆν," καὶ οὗ ἡ οἰκυμένη καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ' ὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένος φυτοῖς;

Ἡ ζωὴ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη. ἀλλ' ἐν μὲν τοῖς ζῴοις φανερὰ καὶ πρόδηλος, ἐν τοῖς φυτοῖς δὲ κεκρυμμένη καὶ ὐκ ἐμφανής. εἰς τὴν ταύτης γῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐςὶ ζήτησιν προηγήσασθαι. συνίςαται γὰρ πότερον ἔχουσιν ἢ ὐχὶ τὰ φυτὰ ψυχὴν καὶ δύναμιν ἐπιθυμίας ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν ὖν καὶ Ἐμπεδοκλῆς ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβεβαιοῦνται. ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τῦτο ἐκλαμβάνων, ὁ δὲ Ἐμπεδοκλῆς γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. ὡσαύτως καὶ ὁ Πλάτων ἐπιθυμεῖν μόνον αὐτὰ διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην ἔφησεν. ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι αἰσθάνεσθαί τε σύμφωνον ἔςαι. ἂν δὲ συςαίη τῦτο, τῷ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τῷ ὕπνῳ ἀνακτῶνται καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι, σύμφωνον ἔςαι. ὡσαύτως καὶ ἐὰν ζητήσωμεν εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν ἢ τὸ ἐναντίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν πρέπον ἐστίν. τινὲς δὲ ἔχειν ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι τρέφεσθαι καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν, ἐπείπερ ὐδὲν ἄψυχον ταῦτα μετὰ τῶν φυτῶν ἔχει κοινά. διότι δὲ ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίᾳ ὡσαύτως κατέχεσθαι ἐπίςευον. ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. λέγομεν τοίνυν ὡς ἐὰν εἴ τι τρέφεται, ἤδη καὶ ἐπιθυμεῖ, καὶ ἡδύνεται μὲν τῷ κόρῳ, λυπεῖται δὲ ὅτε πεινᾷ· καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις εἰ μὴ μετὰ αἰσθήσεως. τύτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν. ὁ δὲ Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά. ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι τῷ ὑγιεῖ ἐνςῶμεν λόγῳ. λέγομεν οὖν ὅτι τὰ φυτὰ ὔτε ἐπιθυμίαν ὔτε αἴσθησιν ἔχουσιν. ἡ γὰρ ἐπιθυμία ὐκ ἔςιν εἰ μὴ ἐξ αἰσθήσεως, καὶ τὸ τοῦ ἡμετέρου δὲ θελήματος τέλος πρὸς τὴν αἴσθησιν ἀποςρέφεται. ὐχ εὑρίσκομεν γῦν ἐν τοῖς τοιούτοις αἴσθησιν ὔτε μέλος αἰσθανόμενον, οὔτε ὁμοιότητα αὐτοῦ, οὔτε εἶδος διωρισμένον, ὔτε τι ἀκόλουθον τύτῳ, οὔτε τοπικὴν κίνησιν, ὔτε ὁδὸν πρός τι αἰσθητόν, ὔτε σημεῖόν τι δι' ὗ ἂν κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, καθὼς σημεῖα δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. οὐδὲ συνίςαται παρ' ἡμῶν τοῦτο εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοῦμεν μέρη εἶναι τῆς ψυχῆς. ὁπόταν γοῦν τὸ τοιῦτον φυτὸν εὑρίσκωμέν τι μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχον, ἐξ ἀνάγκης νοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ ςερεῖται αἰσθήσεως, τότε αἰσθητικὸν αὐτὸ μὴ εἶναι μὴ ἐγχωρεῖν ὐ δεῖ· ἡ γὰρ αἴσθησις αἰτία ἐςὶν ἐλλάμψεως ζωῆς. τὸ δὲ θρεπτικὸν αἰτία ἐςὶν αὐξήσεως πράγματός τινος ζῶντος. αὗται δὲ αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς ςερήσεως αὐτῆς

5. ἀκριβῶς P^a. ‖ 6. καὶ ἀδιαβλήτῳ τύτῳ τῷ μέρει N^a.
3. τὴν εὐχαριςίαν τῷ ὑπὲρ ἡμᾶς P^a. ‖ 7. πληρῦν P^a.

Codices $N^a P^a n$, P^a post caput 1 paucis locis inspectus.

13. ζήτησιν] γς ἀπορίαν P^a. ‖ 20. τῦτο om P^a. ‖ γάνος N^a. ‖ 26. ἔςαι om $N^a n$. ‖ 28. τὐναντίον P^a. ‖ 29. ποιήσομεν N^a.
10. καὶ om P^a. ‖ 12. ἡδύνηται P^a. ‖ λυπῆται P^a. ‖ 17. ἔχειν τὰ φυτὰ εἶπον N^a, ἔχειν εἶπον τὰ φυτά n. ‖ 19. γῦν n. ‖ 21. δὲ om P^a. ‖ 22. ὖν N^a. ‖ τοῖς τοιύτοις] τύτοις $N^a n$. ‖ 24. τοπικὴν om $N^a n$. ‖ 25. διακρίνωμεν $N^a n$. ‖ 26. καθὼς καὶ σ. P^a. ‖ 27. αὐξάνειν $N^a n$. ‖ 30. τοιῦτο P^a. ‖ 36. δυσχερὲς] δυσνόητον P^a.

μέσον τι καταλαβεῖν. εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐςίν, ἤδη τῦτο καὶ ζῷον εἴποιμεν ἄν. οὐδαμῶς. καὶ γὰρ δυσνόητόν ἐςι τὴν διοίκησιν τῦ φυτῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τῦ ζῴου. τὸ γὰρ τὰ φυτὰ τῦ ζῆν ἀποφάσκον ὕτως, τῦτο ἐςὶν ὅτι ὐκ αἰσθάνονται. καὶ γάρ εἰσι καί τινα ζῷα γνώσεως ἐςερημένα. ἐπεὶ δὲ ἡ φύσις τὴν τῦ ζῴυ ζωὴν ἐν τῷ θανάτῳ φθείρυσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐςιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. ἐπιςάμεθα δὲ ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐςερημένα, διότι εἰσὶ φυτὰ ἐν ταὐτῷ καὶ ζῷα. μόνη ἄρα ἡ αἴσθησίς ἐςιν αἰτία δι' ἣν ταῦτα λέγονται ζῷα. τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμὺς, τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. ὁ λόγος δὲ τῆς αἰτίας, δι' ἣν βεβαιῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐςὶ γνώριμος. πάλιν εἰσὶ ζῷα ἅπερ ςερῦνται γένυς θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν ὐκ ἔχουσιν· καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα ἃ ποιῦσι τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τε ἄλλα ἃ αὐξάνυσιν ἐκ τῆς γῆς ἢ ἐκ δένδρων. τίς ὖν ἐςὶν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τῦ ζῴου; τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄςρα καὶ τὺς πλάνητας, τὰ ἀπὸ τῆς ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσίν; ἡ γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. ἰςέον δὲ καὶ ὅτι ὐκ ἔχυσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσὶ πεπηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐςι. συλλογισώμεθα τοίνυν πόθεν ἂν ταύτῃ ζωή, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά. ὐ γὰρ περιέχει ταῦτα ἓν πρᾶγμα κοινόν. λέγομεν δὲ ὅτι τῆς ζωῆς τῶν ζῴων κοινή ἐςιν αἰτία ἡ αἴσθησις. αὕτη δὲ ποιεῖ διάκρισιν μέσον ζωῆς καὶ θανάτου. ὁ ὐρανὸς δὲ ἐπεὶ ἔχει διοίκησιν εὐγενεςέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τύτων. δεῖ τοίνων ἵνα τὸ ζῷον τὸ τέλειον καὶ τὸ ἠλαττωμένον ἔχῃ τι κοινόν· καὶ τῦτο ἐςὶν ὁ σκοπὸς τῆς ζωῆς. τῇ ταύτης γῦν ςερήσει δεῖ ἵνα πᾶς τις ἀποχωρῇ τῶν τοιύτων ὀνομάτων, ὅτι οὐκ ἔςι μέσον. ἡ δὲ ζωή ἐςι μέσον· τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχὴν ὐδέ τι τῶν μερῶν αὐτῆς. τὸ δὲ φυτὸν ὐκ ἔςιν ἐκ τῶν ςερυμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐςί τι μέρος ψυχῆς· ἀλλ' ὐκ ἔςι ζῷον, ὅτι ὐδὲ αἴσθησις ἐν αὐτῷ. ἐξέρχεται δὲ ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ' ἕκαςον. δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἔςιν ἔμψυχον τὸ φυτόν, καὶ ὐ λέγομεν ὅτι ἄψυχον. εἰ ἔχει δὲ ψυχήν, ὐ λέγομεν ὅτι καί τινα ἤδη ἔχει αἴσθησιν. πρᾶγμα γὰρ τὸ τρεφόμενον ὐκ ἔςιν ἄνευ ψυχῆς. πᾶν δὲ ζῷον ἔχει ψυχήν. τὸ δὲ φυτόν ἐςιν ἀτελὲς πρᾶγμα. πάλιν τὸ ζῷον ἔχει μέλη διωρισμένα, τὸ φυτὸν ἀδιόριςα. ἔχει δὲ ὕλην οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. πάλιν δυνάμεθα λέγειν τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐςιν ἡ ποιῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις. ἐπιθυμία δὲ καὶ κίνησις ἡ ἐν τόποις ὐκ ἔςιν εἰ μὴ κατὰ αἰσθήσεως. πάλιν τὸ ἕλκειν τροφὴν ἐςὶν ἐξ ἀρχῆς φυσικῆς, καὶ τοῦτ' αὐτό ἐςι τὸ κοινὸν ζῴου καὶ φυτῦ. ὐκ ἔςαι δὲ φροντὶς ἐπὶ τῇ ἑλκύσει τῆς τροφῆς αἰσθήσεως τὸ παράπαν, ὅτι πᾶν τὸ τρεφόμενον χρῄζει ἐν τῇ οἰκείᾳ τροφῇ δύο ποιοτήτων τινῶν, θερμότητός φημι καὶ ψυχρότητος· καὶ διὰ τῦτο δεῖται τροφῆς ὑγρᾶς ὁμοίως καὶ ξηρᾶς· ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς. οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετοχῦ αὐτῆς. διὰ τῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς· καὶ ὀφείλυσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ φυτὸν τοιαύτῃ ὁποῖόν ἐςιν ἑκάτερον αὐτῶν.

2 Διερευνήσωμεν ὖν καὶ τῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτῦ τῦ φυτῦ, ὅσον εἰς πνοήν. Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ ζῷα μὴ ἔχοντα πνοήν, καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ ὔτε ὑπνώττυσιν ὔτε γρηγορῦσιν. τὸ γὰρ γρηγορεῖν ὐδέν ἐςιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δὲ ὑπνώττειν ὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς· καὶ ὐχ εὑρίσκεταί τι τύτων ἐν πράγματι τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένῳ. τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως· καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνυσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. ἔν τισι δὲ τῶν ζῴων ἐςὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττυσιν. ὁ δὲ νυςαγμός ἐςι συνοχὴ τῆς κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινυμένυ. ὃ δὲ μάλιςα καὶ κυρίως ἐςὶ ζητητέον ἐν ταύτῃ τῇ

1. εἴπῃ n. ‖ 3. δυσχερές P^a. ‖ 5. αἰσθάνεται N^a. ‖ 10. δὲ om P^a. ‖ 14. τε] δὲ n. ‖ 20. ἃ — ἃ] ἅπερ — ἅπερ n. ‖ 28. ζωήν $N^a P^a n$. ‖ 32. ἔχειν $N^a n$. ‖ 40. δὲ καὶ ἐκ $N^a n$.

2. ἔςιν om P^a. ‖ 7. οἰκείαν ἐκ κινήσεως $N^a n$. ‖ 13. ἐν N^a. ‖ 17. ἡ post καὶ om $N^a n$. ‖ 22. φυτὸν τῇ τοιαύτῃ N^a. ‖ 23. διερευνήσομεν N^a. ‖ 27. ζῷα] τῶν ζώων N^a. ‖ 31. εὑρίσκονταί P^a. ‖ τρεφομένων et 33. αἰσθανομένων $N^a n$. ‖ 33. τῷ γὰρ ζώῳ N^a.

ἐπιστήμῃ, τοῦτο ἐστὶν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. λέγομεν τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ᾽ ἀλλήλων. ἐπεὶ οὖν εὑρίσκεται ἐν τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. ἀλλ᾽ ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν. τὰ γὰρ κεκραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ᾽ αὑτὸ μὲν τὸ ἄρρεν καθ᾽ αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι. ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. εὑρέθη οὖν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἢ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ· ἀλλ᾽ οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. καὶ πῶς, εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ ἀέρος πλέον· καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. εἶπε δὲ καὶ Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώσασθαι οὐχ οὕτως ἀλλ᾽ ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥτις ἐστὶ μίξις ἄρρενός τε καὶ θήλεος. καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ θῆλυ ἐκτίθησι τὸν νεοσσὸν ἐν μιᾷ ὥρᾳ· οὕτω καὶ τὸ σπέρμα τοῦ φυτοῦ. εἶπε δὲ πάλιν Ἐμπεδοκλῆς ὅτι τὰ φυτά, εἰ καὶ νεοσσοὺς οὐ γεννῶσι, διότι τὸ γεννώμενον οὐ γεννᾶται εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος, καὶ ὅτι ὅπερ μένει ἐξ αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλομεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀρρένων καὶ τῶν θηλέων φυτῶν, ὡς ἐπὶ τῶν ζῴων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν ἐστὶν ἐν διοικήσει τινί· ἀλλ᾽ ἐν τοῖς ζῴοις, ὅτε μίγνυνται, τὰ γένη μίγνυνται καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρότερον κεχωρισμέναι, καὶ προῆλθεν ἐκ τούτων ἀμφοτέρων πρᾶγμά τι ἕν· ὃ δὴ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς. οὐ γὰρ ὅτε μίγνυνται τὰ γένη, καὶ αἱ δυνάμεις αὐτῶν μετὰ ταῦτα γίνονται κεχωρισμέναι. εἰ οὖν ἡ φύσις ἔμιξε τὸ ἄρρεν μετὰ τοῦ θήλεος, καλῶς προέβη, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειάν τινα ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν. οὐδὲ γάρ ἐστι ζῷον κεχωρισμένον τοῦ θήλεος εἰ μὴ ἐν ὥραις αἷς οὐ συνάπτεται. τοῦτο δέ ἐστι διὰ τὰς πολλὰς ἐνεργείας αὐτοῦ καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας. εἰσὶ δὲ οἵτινες τὰ φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χάριν τῆς ζωῆς αὐτῶν εἶναι διὰ τὰς δύο δυνάμεις ἃς ἔχει, ἤγουν διὰ τὴν τροφὴν τὴν ἐπιτηδείαν εἰς τὸ τρέφειν αὐτὰ καὶ διὰ τὴν μακρότητα τῆς οἰκείας ὑπάρξεως καὶ τοῦ καιροῦ ὁπόταν βλαστάνῃ καὶ καρποφορῇ ἡ ζωὴ αὐτῶν, καὶ στρέφηται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ γίνηται ἐν αὐτοῖς τι περιττόν. οὐ δεῖται δὲ τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δεσμεῖται ὑπ᾽ αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδὲ ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν οὔτε αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν· τοῦτο δὲ ἔχει μᾶλλον μέρος μέρους ψυχῆς. καὶ τὸ φυτὸν οὐκ ἐδημιουργήθη εἰ μὴ διὰ τὸ ζῷον, τὸ δὲ ζῷον οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. καὶ πάλιν ἐὰν εἴπῃ τις ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς, εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σταθηρᾶς καὶ συνεχοῦς καὶ μὴ ῥᾳδίως διαφθειρομένης, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον, καὶ διὰ τοῦτο ἀνάγκη καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων. ἀλλὰ ἔργον ἓν τοῦ ζῴου ἐστὶ κρεῖττον παρὰ πᾶν ἔργον τοῦ φυτοῦ. ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζῴῳ πάσας τὰς δυνάμεις τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν ἐν κόσμῳ ἠλαττωμένῳ καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ, ταύτης δὲ συμπληρουμένης οὐ γεννᾶται ζῷον. ἀλλ᾽ οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι, διότι ὁ κόσμος ὁλοτελής ἐστι καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾶν ζῷα καὶ φυτὰ καὶ πάντα ἀλλοῖα εἴδη. ἐν ἑκάστῳ δὲ εἴδει τῶν

15. οὖν N^a. ‖ 22. ἔαρος N^aP^a. ‖ 23. τούτου N^an. ‖ 25. ἀπὸ τῆς γενέσεως P^a. ‖ 36. δὲ om N^aP^a. ‖ 37. νεοσσὸς P^a. ‖ 38. ὅτι om P^a. ‖ μένει] μὲν εἰ N^aP^a. ‖ αὐτῶν N^an.

1. τῶν ante θ. om n. ‖ 3. et 6. ὅταν N^an. ‖ 12. prius τὰς cum τε mutat P^a, om n. ‖ 17. ἰδίας N^a. ‖ ἐπάρξεως P^a. ‖ 19. γίνεται P^a. ‖ 20. κεῖται] μένει n. ‖ 24. μέρος om N^a. ‖ 25. εἰ μὴ — 26. ἐδημιουργήθη om P^a.

φυτῶν ἐςι θερμότης καὶ ὑγρότης φυσική, ἥτις ὁπόταν ἀναλωθείη, ἀσθενῦσι τὰ φυτὰ καὶ γηράσκυσι καὶ φθίνυσι καὶ ξηραίνονται. καὶ τινὲς μὲν λέγυσι τῦτο φθοράν, ἄλλοι δ' ὐχί.

3 Τινὰ τῶν φυτῶν ἔχυσί τι ὑγρὸν ὡς ῥητίνην, ὡς κόμι, ὡς σμύρναν, ὡς θυμίαμα καὶ ὡς κόμι Ἀραβικόν. πάλιν τινὰ δένδρα ἔχουσι δεσμοὺς καὶ φλέβας καὶ κοιλίαν καὶ φιτροὺς καὶ φλοιὸν καὶ μυελὸν ἐντός. καὶ τινὰ ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι φλοιός. καὶ τινῶν μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιὸν ἤγουν ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ φιτροῦ. καὶ τινὰ μὲν μέρη τῦ δένδρυ εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς καὶ οἱ δεσμοὶ καὶ αἱ φλέβες· τινὰ δέ εἰσι σύνθετα ἐκ τύτων, ὡς κλάδοι καὶ λύγοι καὶ φύλλα. ταῦτα δὲ πάντα ὐχ εὑρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς. τινὰ γὰρ τῶν φυτῶν ἔχουσι καὶ ταῦτα καὶ ἄλλα μέρη, λύγους, φύλλα, κλάδους, ἄνθη καὶ βλαςοὺς καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν. καὶ καθὼς εἰσι καὶ ἐν τοῖς ζῴοις μέλη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς φυτοῖς. καὶ ἕκαςα τῶν μερῶν τοῦ φυτοῦ σύνθετα εἰσὶν ὅμοια μέλεσι ζῴου· ὁ δὲ φλοιὸς τῦ φυτοῦ ὅμοιός ἐςι φυσικῶς δέρματι ζῴου, οἱ δὲ δεσμοὶ πάλιν ὅμοιοι νεύροις ζῴου. ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. καὶ τινὰ μὲν τῶν μερῶν διαιροῦνταί πως διὰ μερῶν ἀνομοίων, τινὰ δὲ δι' ὁμοίων, οἷον ὡς ἐπὶ τοῦ πηλῦ· ῦτος γὰρ ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς γῆς μόνον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. ὡσαύτως ὁ πνεύμων καὶ ἡ σὰρξ διαιροῦνται μὲν πρώτως, καὶ εἰσὶ μέρη τούτων σὰρξ καὶ πνεύμων· ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν ςοιχείων. ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. πλὴν οὐ διαιρεῖται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδὲ ἡ ῥίζα εἰς ἄλλην ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. ἐν ταύταις γῦν ταῖς ῥίζαις καὶ ἐν αὐτοῖς τοῖς φύλλοις ἐστὶν ἡ σύνθεσις. πάλιν τινὲς μὲν τῶν καρπῶν εἰσὶν ἐκ μερῶν ὀλίγων συγκείμενοι, τινὲς δὲ ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν. αὗται γὰρ ἔχυσι φλοιὸν σάρκα καί τι ὀστρακῶδες καὶ σπέρμα καὶ καρπόν. τινὰ δὲ ἔχουσι καὶ περικαλύμματα. πάντα δὲ τὰ σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. καὶ μέρη μὲν τῶν φυτῶν εἰσὶν ἅπερ εἴπομεν, ἡ δ' ἀκρότης τοῦ παρόντος λόγυ ἐςὶ διορίσασθαι ταῦτα τὰ μέρη τῶν φυτῶν, τὰ περικαλύμματα αὐτῶν καὶ τὰς αὐτῶν διαφοράς· ὅπερ ἐστὶ πάνυ δυσχερές, καὶ ἐξαιρέτως τὸ διορίσασθαι τὴν ὐσίαν αὐτῶν καὶ τὸ χρῶμα καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς, καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἤθη ψυχῆς, ὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. ἐὰν γῦν κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τῦ φυτῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν. καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τῦ ἰδίυ γένυς ἐςὶ καὶ ἐκ τῆς ἰδίας ὐσίας. καὶ ὅταν γεννηθῇ τι εἶδος φυτῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δὲ ὐχ οὕτως ἔχει οὐδὲ διαμένυσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τῦ ἀπορρίπτοντος τῦτο διά τινα αἰτίαν. ὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες. πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀδιόριςα. ἡμῖν δὲ αἰσχρόν ἐστι λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληρῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζῴου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζῴων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ ὑπὸ γῆν. πίπτουσι, κἂν καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν. ὀφείλομεν ὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱςορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐςὶ μεγάλη διαφορὰ ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. τοῦτο δέ ἐστιν ὅτι ὁ χυμὸς ὁ ἐν τοῖς μεγάλοις δένδροις ἐν τισὶ μέν ἐςιν ὡς γάλα, οἷον ἐπὶ τῆς συκῆς, ἐν τισὶν ὅμοιος ὑγρᾷ πίσσῃ, ὡς ὁ χυμὸς ὁ ςάζων ἐκ τῆς ἀμπέλυ, ἐν τισὶ δὲ ἀρχέγονος, ὡς ἐν τῷ ὀριγάνῳ καὶ ἐν φυτῷ τῷ λεγομένῳ ὀπιγαῖς καὶ ἐν ἄλλοις. πάλιν ἐςὶ φυτὸν τὸ ἔχον μέρη ξηρά, ἕτερον ὑγρά, καὶ τὰ τοιαῦτα. καὶ ἐςι τὸ ἔχον μέρη διακεκριμένα, οὔτε ὅμοια οὔτε ἴσα. καὶ τινὰ ἔχει μέρη ὅμοια μέν, ὐκ ἴσα δέ· τινὰ ἴσα μέν, ὐχ ὅμοια δέ. καὶ ὅτι οὐδέ ἐςι τόπος ἐν τούτοις ὡρισμένος. αἱ

19. ςόματι Nᵃn. ‖ 22. δὲ δι'] δ' n, δι' Nᵃ. ‖ 29. γὰρ Nᵃ. ‖ 34. τινὰ δὲ] τινά τε Nᵃ. ‖ 38. διαφορὰς αὐτῶν n.

10. τοῖς om Nᵃ. ‖ 17. καὶ om n. ‖ 20. αὐτῶν Nᵃ. ‖ 25. ὑπὸ τὴν γῆν n. ‖ 27. γῦν n. ‖ 31. ἐν τῷ πλ. — 32. σμικρότητι om n. ‖ 36. ἐν τῷ φυτῷ n. ‖ 39. διακεκρυμμένα n.

διαφοραὶ δὲ τῶν φυτῶν ἐν τοῖς οἰκείοις μέρεσι γινώσκονται καλῶς· ὁμοίως δὲ καὶ τὰ σχήματα αὐτῶν ἐκ τοῦ χρώματος, ἐκ τῆς ἀραιότητος, ἐκ τῆς πυκνότητος, ἐκ τῆς τραχύτητος, καὶ ἐκ πάντων ἄλλων τῶν συμβεβηκότων αὐτοῖς ἐν ἰσότητι, ἐν αὐξήσει φυσικῇ, ἐν διακρίσει, ἐν μεγέθει, ἐν σμικρότητι. καὶ εἰσὶ μὲν ταῦτα τοιούτου τρόπου, ἔχουσι δὲ καὶ διαφορὰς πολλάς, καθὼς καὶ προείπομεν.

4 Καὶ πάλιν τῶν φυτῶν τινὰ προάγουσι καρπὸν ἐπάνω τῶν ἰδίων φύλλων, τινὰ δὲ ὑποκάτω τῶν φύλλων. καὶ τινῶν μὲν ὁ καρπὸς ἀπῃώρηται τοῦ ἰδίου φιτροῦ, τινῶν δὲ ἀπὸ τῆς ῥίζης, ὡς τὰ ἐν Αἰγύπτῳ φυτὰ τὰ λεγόμενα μαργαρῖται. τινῶν δὲ οἱ καρποὶ ἐν μέσῳ αὐτῶν. καὶ τινῶν οἱ καρποὶ καὶ τὰ φύλλα καὶ οἱ δεσμοὶ ἀδιάκριτοί εἰσι. καὶ τινῶν τὰ φύλλα πρὸς ἄλληλα ὅμοια, ἄλλων δ' οὔ. καὶ τινὰ μὲν ἔχουσι κλάδους ἴσους, τινὰ δὲ οὐ τοιούτους. εἰσὶ δὲ καὶ τὰ μέρη ἅπερ ὠνομάσαμεν ἐν πᾶσι τοῖς δένδροις, αὔξησιν πάσχοντα καὶ πρόσθεσιν, ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροὶ καὶ οἱ κλάδοι· καὶ ταῦτα παρομοιοῦνται μέλεσιν ἀνθρώπων τοῖς περιέχουσι πάντα τὰ ἄλλα μέλη. καὶ ἡ μὲν ῥίζα μεσιτεύει ἔν τε τῷ φυτῷ καὶ ἐν τῇ τροφῇ, καὶ καλοῦμεν αὐτὴν οὐ μόνον ῥίζαν ἀλλὰ καὶ αἰτίαν ζωῆς· αὕτη γὰρ ζωὴν τοῖς φυτοῖς προσφέρει. καὶ φιτρὸς μέν ἐστιν ὁ μόνος γινόμενος ἀπὸ τῆς γῆς, καὶ ἐστὶν ὅμοιος ἡλικίᾳ ἀνθρώπου· παραφυάδες δέ εἰσι τὰ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου βλαστάνοντα, κλάδοι δέ, οἵτινες αὐξάνουσιν ἐπάνω τῶν παραφυάδων. οὐχ εὑρίσκονται δὲ ταῦτα ἐν πᾶσι τοῖς φυτοῖς. καὶ πάλιν τῶν κλάδους ἐχόντων τινὰ μέν εἰσι διηνεκῆ, τινὰ δὲ οὐχί, μᾶλλον δὲ ἀπὸ ἔτους μετὰ ἔτος. καὶ πάλιν εἰσὶ φυτὰ μὴ ἔχοντα κλάδους μηδὲ φύλλα, ὡς οἱ μύκητες καὶ τὰ ὅμοια. οἱ κλάδοι δὲ οἱ γεννώμενοι ἐν τοῖς δένδροις καὶ οἱ φλοιοὶ καὶ οἱ φιτροὶ καὶ οἱ μυελοὶ οὐ γεννῶνται εἰ μὴ ἀπ' αὐτοῦ τοῦ χυμοῦ τῶν δένδρων. καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς δένδροις μήτραν, ἄλλοι σπλάγχνα, ἕτεροι δὲ καρδίαν. ταῦτα δὲ καὶ αἱ φλέβες καὶ ἡ σὰρξ ὅλου τοῦ δένδρου ἐκ τῶν τεσσάρων στοιχείων πεφύκασι. καὶ πολλάκις εὑρίσκονται μέρη τινὰ ἐπιτήδεια εἰς τὸ γεννᾶν φύλλα καὶ ἄνθη. καὶ λύγοι δέ τινες βραχεῖς εἰσίν, εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς ἐπὶ τῶν ἰτεῶν. τινὲς δὲ καὶ ἄνθη καὶ καρποὺς ἐν τοῖς δένδροις, καὶ τἄλλ' ὁπόσα γεννῶνται ἐκ σπέρματος, καὶ ὅσα περικαλύπτουσιν αὐτά. καὶ πάλιν τῶν φυτῶν τινὰ μέν εἰσι δένδρα, τινὰ δὲ μέσον δένδρων καὶ βοτανῶν· καὶ ταῦτα ὀνομάζονται θάμνοι. καὶ τινὰ μέν εἰσι βοτάναι, τινὰ δὲ λάχανα. σχεδὸν μὲν οὖν πάντα τὰ φυτὰ τοῖς τοιούτοις ὑποπίπτουσιν ὀνόμασι. πάλιν εἰσὶ δένδρα ἅπερ ἔχουσιν ἐκ τῆς οἰκείας ῥίζης φιτρόν, καὶ γεννῶνται ἐν αὐτοῖς κλάδοι πολλοί, ὡς συκαῖ καὶ ἐλαῖαι· τινά δ' οὔ. πάλιν εἰσὶν ἄλλα φυτὰ μέσον, ὡς εἴπομεν, δένδρων καὶ βοτανῶν σμικρῶν, τὰ λεγόμενα θάμνοι, ἔχοντα ἐν ταῖς ῥίζαις αὐτῶν πολλοὺς κλάδους, ὡς τὰ καλούμενα ἄγνοι καὶ βάτοι. λάχανα δέ εἰσι τὰ ἔχοντα πολλοὺς φιτροὺς ἐκ μιᾶς ῥίζης καὶ πολλοὺς κλάδους, ὡς τὸ πήγανον, αἱ κράμβαι καὶ τὰ τοιαῦτα. εἰσὶ δὲ καὶ βοτάναι αἵτινες οὐκ ἔχουσι φιτρὸν ἐκ τῆς οἰκείας ῥίζης, ἀλλὰ παραυτίκα φέρουσι φύλλα. καὶ τινὰ μὲν κατὰ πᾶν ἔτος γεννῶνται καὶ ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. εἰσὶ δὲ ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα· καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ λεγόμενον ἡλιοσκόπιον. μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵνα ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευνᾶν ὁρισμοὺς ἐν πᾶσι. πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. τοιουτοτρόπως δὲ λέγομεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. πάλιν τῶν φυτῶν τινὰ μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν. καὶ τινὰ μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί. καὶ τινὰ μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ. καὶ τινῶν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ. καὶ τισὶ μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλὰ ἔστιν εἰπεῖν. πάλιν τὰ ἄγρια δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. καὶ τινὰ μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δὲ ἐν θαλάσσῃ· καὶ τινὰ μὲν ἐν ποταμοῖς, ἄλλα δὲ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ· καὶ τινὰ ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά. καὶ τινὰ

16. τὰ om *n.* ‖ 23. γενόμενος *N*ᵃ. ‖ 32. τῶν δένδρων χυμοῦ *N*ᵃ. ‖ 38. ἐπιτήδειοι εἰς τὸ γεννᾶν *N*ᵃ. ‖ 41. τὰ μέν *n.*
9. μιᾶς] τῆς *n.*

μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δὲ ἐν λίμναις. καὶ τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινὰ μὲν γεννῶνται ἐν ὄρεσι, τινὰ δὲ ἐν πεδιάσι. καὶ τινὰ ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν Αἰθιόπων, καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλλαχοῦ. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δὲ ἐν χθαμαλοῖς. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δὲ ἐν ξηροῖς, τινὰ δὲ ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν.

5 Πάλιν τῶν φυτῶν τινὰ μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ' αὐτῆς· τινὰ δὲ ἐν τόποις κρείττοσι μετατίθενται. ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. καὶ τινῶν μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δὲ λεῖα· καὶ τινῶν μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ' οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης. τινὰ δὲ φυτά εἰσιν ὅλως φλοιὸς μεσιτεύων. καὶ τινὰ ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ' οὔ. καὶ τινὰ ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δὲ ἐςέρηνται ἀκανθῶν. καὶ τινὰ ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, τινὰ δ' οὔ. καὶ τινὰ μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δὲ οὐκ ἄλλοθέν ἐςιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. τινὰ δὲ ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει. οὗτος δὲ ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ. πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μέν εἰσι ποτοί, οἱ δὲ οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν ςαφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δὲ ἄλλων φυτῶν. καὶ τινῶν μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ. καὶ τινῶν μὲν γλυκεῖς καὶ μελινδεῖς, ὡς τῶν φοινίκων καὶ τῶν συκῶν· καὶ τινῶν μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δὲ ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί. καὶ τινὰ μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀςοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός. τινὰ δέ εἰσιν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περικαλύπτονται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδαλῶν· τινῶν δ' οὐχί. καὶ τινὲς καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι· καὶ τινὲς καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. πάλιν τινὲς τῶν καρπῶν εἰσὶν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὲς ἐν περικαλύμματι καὶ ἐν λέμματι οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς. καὶ τινὲς μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δὲ οἷον ἐν οἰκίσκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς καὶ λέμμασι καὶ ὀςράκοις, ὡς τὰ κάρυα. καὶ τινὲς μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι ἢ οἱ πλείονες αὐτῶν. καὶ τινὰ μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως· καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι, πρὶν ἂν πεπανθῶσι. καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διάφορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα, καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα, καὶ τινὰ εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. πάλιν τὰ σχήματα τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποί εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

6 Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐςιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον· ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν. καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δὲ ἐκ τοῦ φιτροῦ, τὰ δὲ ἐκ τῶν κλάδων ἢ ἀπὸ τοῦ σπέρματος. καὶ τινὰ μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δὲ ἐν τῇ γῇ. καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. ἔςι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια. ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν ὀχνῶν. ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. ἔςι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος εἰς ἀγριέλαιον καὶ ἡ μορέα εἰς πολλὰ δένδρα.

7. δὲ ante ἐν ἐκ. om *n*. ‖ 13. μετατίθεται N^a. ‖ 20. ἐςέρηται *n*. ‖ 21. μορία $N^a n$. ‖ καὶ τινὰ δ' N^a.
8. ἐν post καὶ om *n*. ‖ 11. καὶ ἐν λ. N^a. ‖ 13. μορίας $N^a n$, et 41. μορία. ‖ 32. μὲν] δὲ N^a. ‖ 35. ἔστι δὲ — 36. ἀνόμοια om *n*. ‖ 38. ἐν post ἀμυγδαλῇ om *n*.

τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα, καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαςον. τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον. καὶ ἐκ τινῶν κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς μικρᾶς καὶ ῥοιᾶς ὀξώδους. τινῶν δένδρων πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. οὐ προέρχονται δὲ ῥαδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδὲ ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα. τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται. πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίςαται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα ἢ ψῆνες ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. διακρίνεται δὲ ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαςάνουσι τὰ τούτου φύλλα, ἃ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα· ἀλλὰ καὶ διὰ τῆς εὐωδίας. ἀλλαχοῦ δὲ ἔκ τινος τούτων ἢ ἐκ πάντων συμβαίνει. τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. τὰ βαλαύςια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται.

7 Πάλιν τῶν φυτῶν τινὰ μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔςαι σισύμβριον. φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ ἢ ἐν Παλαιςίνῃ γίνεται βρώσιμον. ὡσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ γεηπονίαν εἰς τὸ χρηςότερον. ἀλλ᾽ αἱ ῥοιαὶ μὲν χοιρείας κόπρου ἐμβεβλημένης ταῖς ῥίζαις, καὶ δι᾽ ὕδατος γλυκέος καὶ ψυχροῦ ποτιζόμεναι βελτιοῦνται· ἀμυγδαλαῖ δὲ ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμεος διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλομένου. πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. τόπος δὲ καὶ γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρήζουσι μᾶλλον οἱ φυτευταί. πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιςα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάςρου. ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιός, ὡς ἐν τῇ Ῥώμῃ, κατὰ τήνδε τὴν ὥραν. ἐν Αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμεων ἢ ἐκ τῶν οἰκείων ξύλων. καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειςάκις, ἀλλ᾽ οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δὲ ὠμοί. καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δὲ ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων καὶ τῶν κηπαίων διακρίνεται δι᾽ ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαςον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄρρεν ἐςὶ πυκνότερον σκληρότερον καὶ πολυκλονώτερον, ἧττον ὑγρόν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας.

τὸ δὲ θῆλυ ἐπ᾽ ἔλαττον ἔχει ταῦτα. δεῖ τοίνυν, ὅταν κατανοήσωμεν ταῦτα, πάλιν ςοχάσασθαι πῶς ἂν γνοίημεν τὰ δένδρα καθ᾽ αὐτὰ καὶ τὰ γένη καθ᾽ αὐτά. καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί. πῶς; ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν, ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τούτων τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς. ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. πρὸς δὲ τὸ μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινὰ μὲν γεννῶνται ἐν τισὶ τόποις, ἐν ἄλλοις δ᾽ οὔ· ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν καὶ τῶν ὀδμῶν καὶ τοῦ γάλακτος καὶ τοῦ κόμεος, καὶ τὴν χρη-

8. προέρχεται N°. ‖ 9. οὐδὲ — δένδρα om N°. ‖ 18. τὰ om n. ‖ 25. βαλαύτια n. ‖ 28. ὁπόταν n. ‖ 33. περσία N°n. ‖ 35. γεωπονίαν N°. ‖ 38. πιεζόμεναι N°. ‖ 39. κόμεως N°. ‖ ἐμβαλλομένου βελτιοῦνται. πολλὰ n.

1. γηπονία n, πηγονία N°. ‖ 16. αἱ om N°n. ‖ πολλοὺς δὲ κλ. N°. ‖ 24. πολυκλωνότερον N°. ‖ ταχύτερον n. ‖ 27. ςοχάζεσθαι N°. ‖ 40. ὀσμῶν, γρ ὄγμων καὶ οἰγμῶν, P°. ‖ γάλακτος, γρ ὀποῦ, P°.

ςότητα καὶ τὴν κακίαν ἑκάςων, καὶ τὰς διαμονάς, πῶς τινῶν μὲν διαμένουσιν οἱ καρποὶ τινῶν δ' οὔ, καὶ δι' ἣν αἰτίαν τινῶν μὲν σήπονται συντόμως τινῶν δὲ βραδέως, ἐρευνῆσαί τε καὶ τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν· καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ· καὶ πῶς τινὲς ἀφροδίτην προκαλοῦνται, τινὲς δὲ ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι, καὶ πολλὰς ἄλλας διαφοράς· καὶ πῶς τινῶν μὲν οἱ καρποὶ ποιοῦσι γάλα, τινῶν δ' οὔ.

B.

Τὸ δένδρον τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός. ἀπὸ τῆς γῆς γάρ ἐςιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. βλέπομεν δὲ πολλὰ τούτων καὶ ἐν τοῖς ὀςρακώδεσιν. εἰσὶ γὰρ ἐν τούτοις τρία, πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀςρακώδης, δεύτερον ὕδωρ, ὅπερ ἐςὶ τὸ ςεροῦν τὰ ὀςρακώδη, τρίτον τὸ πῦρ τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἕς' ἂν δι' αὐτοῦ πληρωθείη ἡ τούτου γένεσις. ἡ φανέρωσις οὖν ὅλης τῆς ἑνώσεως τούτων ἀπὸ τοῦ πυρός ἐςιν, ὅτι ἀραιότης ἔνεςι τοῖς ὀςρακώδεσι κατὰ τὰ ἴδια μέρη. καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, προέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ. καὶ διὰ τὴν ἐπικράτειαν ἕπεται πέψις ἐν παντὶ ζῴῳ καὶ φυτῷ καὶ μετάλλοις. πέψις γάρ ἐςιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίῳ πέρατι ἀκολουθεῖ. ἔςι δὲ τοῦτο ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐκφανές· ἐν τῷ ζῴῳ δὲ καὶ τῷ φυτῷ οὐχ οὕτως, ὅτι τούτων τὰ μέρη οὐκ εἰσὶ συμπεπηγότα εἰς ἓν ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει, ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων οὐκ ἔξεισι καταρροὴ ἤ τις ἱδρώς. τὰ γὰρ μέρη αὐτῶν οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζῴου καὶ τοῦ φυτοῦ περιττώματα, οὐδὲ γίνεται ἔξοδός τις ἄλλη ἀπὸ τῆς ἀραιότητος. ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔςιν, ἀπ' αὐτοῦ παντελῶς οὐδέν τι ἐξέρχεται. διὰ τοῦτο ςερεόν ἐςιν, εἰς ὃ αὐξάνεσθαί τι οὐ πέφυκε. καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκὸς δεῖται τόπου, ἐν ᾧ ἂν πλατυνθείη καὶ περατωθείη. λίθοι δὲ καὶ ὄςρακα καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν ταὐτῷ, οὔτε αὐξάνουσιν οὔτε ἐκτείνονται. πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ ἔνεςι κίνησις, ἔςι καὶ ἐφέλκυσις, ἥτις ἐςὶ δύναμις ἐκ τῆς γῆς ἐφελκομένη τὸ ὑγρόν. ἔςι δὲ τῇ ἐφελκύσει κίνησις ἥτις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις· καὶ διὰ τοῦτο ὡς ἐπὶ τὸ πλεῖςον αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς ἡμέρας γεννῶνται. οὐκ ἔςι δὲ τοῦτο καὶ ἐν τοῖς ζῴοις· ἡ γὰρ ὕλη ἐν τοῖς ζῴοις ἐςὶ καθ' ἑαυτὴν καὶ διῃρημένη. οὐκ ἔςι δὲ οὐδὲ ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιςα καὶ αὕτη. ἡ ὕλη δὲ τοῦ φυτοῦ τούτῳ ἐςὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα ἐςὶν ἡ τούτου γένεσις. γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ μᾶλλόν ἐςι λεπτὸν ἐν αὐτῷ, παρὰ τὸ πυκνόν. τὸ γὰρ πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν διαφορὰν τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. τὰ μέρη τῶν φυτῶν ὡς ἐπὶ τὸ πλεῖςόν εἰσιν ἀραιά, ὅτι ἡ θερμότης αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν φυτῶν ἐφέλκεται. διασπείρεταί τε ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. ὥσπερ δὲ ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύτην εἰς ἀτμίδα μεταςρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς ςαγόνας, οὕτως καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ κατώτερα. τοιουτοτρόπως δὲ καὶ οἱ ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων. ὕλη γὰρ αὐτῶν εἰσὶν οἱ ὑετοί· καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα καὶ ςενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥτις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν· καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες.

Ἐκτεθείκαμεν δὲ αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν 2
καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. πολλάκις δὲ εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός. τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐςί, καὶ τοῦδε πάλιν

4. τάς om *n*. ‖ 8. φύλλα *n*.

Codices $N^a Q^a$. Tit. περὶ τῶν ἐν ταῖς βοτάναις τριῶν δυνάμεων βιβλίον β N^a.
17. ὀςρεώδεσιν N^a. ‖ 37. τι] τε N^a.

3. τε N^a. ‖ 11. παρὸ N^a. ‖ 12. φορὰν N^a. ‖ 16. αὐτοῦ $N^a Q^a$. ‖ 19. δὲ ἐν] καὶ ἐν **P**. ‖ 23. τὰ om N^a. ‖ 24. καὶ κ. — 25. κατώτερα om N^a. ‖ 33. τῷ ante περὶ om N^a. ‖ 36. ὅτι Q^a.

σημεῖον, ὅτι σεισμὸς οὐδὲ ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων. καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. ὅτε γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. ἐὰν δὲ ὁ τόπος ἦν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει. ἐξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ· καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. ἁπλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι. συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτο ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς. ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ ἐν ὑέλῳ καὶ λοιποῖς μετάλλοις. ἐν ᾧ γὰρ σώματί ἐστι πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιὸν ἢ βραχύ, καὶ ἐπιπλέει καὶ οὐ βυθίζεται. ὅθεν οὐ διὰ τὰ φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν, τὸ δὲ ἀραιόν· τὸ δὲ ἀραιὸν παντάπαν οὐ βυθίζεται. ἔβενος δὲ καὶ τὰ αὐτῷ παραπλήσια βυθίζονται, ὅτι μικρά ἐστιν ἐν τούτοις ἡ ἀραιότης· καὶ οὐδὲ ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνὰ καὶ στερρά. πᾶν δὲ ἔλαιον καὶ πάντα τὰ φύλλα τοῦ ὕδατος ὑπερνήχονται. καὶ τοῦτο ἤδη ἀποδεικνύομεν. ἔγνωμεν γὰρ ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης, καὶ ἔθος τοῦ ὑγροῦ ἐστὶ τοῖς τοῦ ὕδατος μέρεσι συνάπτεσθαι· ἡ δὲ θερμότης ποιεῖ ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς παρέπεται ἐν τῷ καιρῷ τοῦ ἔαρος. ἔθος δὲ καὶ τοῦ ὕδατος τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν ἕως τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι. τὴν δὲ ἐπιφάνειαν αὐτοῦ οὐχ ὑπερβαίνει τὸ ὕδωρ· ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος. καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον ὑπεράνω τοῦ ὕδατος. εἰσὶ δὲ καί τινες λίθοι οἳ τοῦ ὕδατος ὑπερνήχονται, διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μείζονα εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς. φύσις γάρ ἐστι τοῦ ὕδατος ὑπεράνω βαίνειν τῆς γῆς, τοῦ δὲ ἀέρος τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. ἡ τοῦ ἀέρος τοίνυν φύσις τοῦ ἐγκλειομένου τῷ λίθῳ ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται· καὶ γὰρ ἕκαστον τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ ᾧ συζεύγνυται. εἰ τοίνυν ἔσται τις ῥαχία κούφη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδατι, τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μείζων ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν τοιούτων λίθων. οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι γίνονται ἐκ τῆς συγκρούσεως τῶν ὑδάτων τῆς ἰσχυρᾶς. γίνεται γὰρ πρῶτον ἀφρός, εἶτα συμπήγνυται οὕτως οἷόν τι γάλα λιπαρόν· καὶ ὅτε τὸ ὕδωρ |τῇ ψάμμῳ προστρίβεται, συναθροίζει ἡ ψάμμος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τε αὐτὴν ἡ ξηρότης τῆς θαλάσσης μετὰ περιττῆς τῆς ἁλυκότητος· καὶ οὕτω συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρόνου γίνονται λίθοι. ἡ δήλωσις δὲ ὅτι ἡ θάλασσα ποιεῖ καθ' ἑαυτὴν ψάμμον, οὕτως ἐστίν, ὅτι πᾶσα γῆ οὐκ ἔστι γλυκεῖα· ὅτε οὖν στῇ ἐν αὐτῇ τι ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλλοιῶσαι αὐτό. ἔτι δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριειλημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο παρομοιῶσαι ἑαυτῷ ὁ ἀήρ (κυριεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι τὰ μέρη τὰ γεώδη, ἅ εἰσιν ἁλυκά), ἀνάγκη ἐπὶ πλέον θερμανθέντα κατὰ βραχὺ καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. τοῦτο δὲ οὐ δύναται γενέσθαι ἐν ὕδασι γλυκεροῖς διὰ τὴν γλυκύτητα καὶ τὴν λεπτότητα αὐτῶν, ἀλλ' ἐν τοῖς ἁλμυροῖς, ὅτι κυριεύει ἐν τούτοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶδος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοιοῦται. σκληρύνουσα δὲ ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύναμιν τῆς συμπήξεως αὐτῆς τὴν ὑπόστασιν τοῦ ὕδατος, διαιρεῖ τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά· καὶ διὰ τοῦτο γίνεται ἡ γῆ ἡ τῇ θαλάσσῃ πλησιάζουσα ψαμμώδης. οὕτως καὶ αἱ πεδιάδες, αἵτινες οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰς ἀπὸ τοῦ ἡλίου, εἰσί τε καὶ μεμακρυσμέναι ἀπὸ ὕδατος γλυκεροῦ. ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας, ἀπομένει δὲ ὅ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς. καὶ διότι ἐνδιατρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀπερικαλύπτῳ, διαχωρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος. τούτου δὲ σημεῖόν ἐστιν, ὅτι ἐν τοιούτῳ τόπῳ βαθὺ κοιλαίνομεν καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον, καὶ ἔστιν οὗτος ῥίζα ψάμμου.

1. οὐδὲ σεισμὸς *N*ᵃ. ‖ 17. ἐν om *N*ᵃ. ‖ 21. τὸ om *N*ᵃ. ‖ 26. ἀραιόν ubique *Q*ᵃ.
20. γοῦν *N*ᵃ. ‖ 24. τὰ μέρη om *N*ᵃ. ‖ 33. θαλάττῃ *Q*ᵃ. ‖ 41. βαθεῖ *N*ᵃ*Q*ᵃ.

ȣ̓ γίνεται δὲ ψάμμος εἰ μὴ κατὰ συμβεβηκός. συμβαίνει δὲ τȣ̃το, ὅτι ἔςι διατριβὴ τῆς κινήσεως τȣ̃ ἡλίȣ, ὡς ἔφημεν, καὶ μακρυσμὸς ἀπὸ ὕδατος γλυκερȣ̃. τοιȣτοτρόπως νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης. ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων ἐςὶ γλυκερά, καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. καὶ τȣ̃το σημεῖόν ἐςιν αἰσθητὸν ὅτι ἡ γῆ μέν ἐστιν ὑποκάτω τοῦ ὕδατος, τὸ δὲ ὕδωρ ὑπεράνω ἐξ ἀνάγκης καὶ φυσικῶς. κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι ςοιχείῳ παρὸ τῇ γῇ. ἐφρόνησαν δέ τινες ςοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον· πλεῖςον δέ ἐςι τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τȣ̃το καὶ ςοιχεῖον πάντων ἐκρίθη τῶν ὑδάτων. ἔςι δὲ τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς καὶ λεπτότερον αὐτῆς. καὶ διὰ τȣ̃το ἀπεδείξαμεν ὅτι καὶ τὸ ὕδωρ πάντως κȣφότερόν ἐστι τὸ γλυκὺ τȣ̃ ἁλμυροῦ. πλὴν λάβωμεν καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκὺ καὶ ὕδωρ ἁλμυρόν. μετὰ ταῦτα προσλάβωμεν ᾠόν, θῶμεν δὲ τȣ̃το ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. μετὰ ταῦτα θῶμεν αὐτὸ καὶ ἐν τῷ ὕδατι τῷ ἁλμυρῷ, καὶ ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τȣ̃ τοιȣ́τȣ ὕδατος, διότι τὰ μέρη τȣ́του ȣ̓ διαζεύγνυνται ὡς τὰ μέρη τȣ̃ ὕδατος τȣ̃ γλυκερȣ̃. ἐκείνȣ μὲν γὰρ τὰ μέρη ȣ̓ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα βάρος, τȣ́τȣ δὲ διὰ τὴν παχύτητα δύνανται· καὶ διὰ τȣ̃το ȣ̓ καταδύεται τὸ ἐπιτεθὲν αὐτῷ. ȣ̔́τω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ ȣ̓́τε καταδύεται ζῷον ȣ̓́τε γεννᾶται· κυριεύει γὰρ ἡ ξηρότης ἐν αὐτῷ, καὶ ἐν παντὶ ὅπερ ἐςὶ πλησίον τȣ̃ σχήματος τῆς γῆς. φαίνεται τοίνυν ἐντεῦθεν ὅτι τὸ ὕδωρ τὸ παχύ ἐςιν ὑποκάτω τȣ̃ μὴ παχέος. τὸ γὰρ παχύ ἐςιν ἐκ τȣ̃ γένους τῆς γῆς, τὸ δὲ λεπτὸν καὶ ἀραιὸν ἐκ τȣ̃ γένους τȣ̃ ἀέρος. καὶ διὰ τȣ̃το ὑπερέχει τὸ ὕδωρ τὸ γλυκὺ πάντων τῶν ὑδάτων· ἐκεῖνο γάρ ἐςιν ὑπάρχον τῆς γῆς πορρωτέρω. ἤδη τοιγαρȣ̃ν ἔγνωμεν ὅτι τὸ ὕδωρ τὸ πορρωτάτω τῆς γῆς φυσικόν ἐςι. καὶ τὸ γλυκὺ τȣ̃ θαλαττίȣ ὑπερκεῖσθαι ἀπεδείξαμεν. καὶ φυσικὸν τȣ̃το εἶναι τῷ ῥηθέντι σημείῳ φανερὸν καὶ ἀναγκαῖον ἐγένετο. γεννᾶται δὲ τὸ ἅλας ἐν ἱςαμένοις ὕδασιν, οἷς τὸ γλυκὺ γίνεται ἁλμυρόν. ὑπερβαίνει δὲ ἡ ἁλμυρότης τῆς γῆς ἐκείνην τὴν ἁλμυρότητα. ἀπομένει γὰρ ἐκείνῃ μὲν ἀὴρ ἐγκεκλεισμένος, ταύτῃ δ' ȣ̓̓. καὶ διὰ τȣ̃το ȣ̓κ ἔςιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα, γλυκύτητός τινος μετέχον κατὰ πάντα τρόπον, εἰ καὶ τὸ γένος τȣ̃το ἐξ ὕδατός ἐςιν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς ὡς ἱδρώς.

3 Πρὸς τȣ́τοις ὀφείλομεν εἰδέναι ὅτι καὶ αἱ βοτάναι καὶ τὰ εἴδη οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης ἁπλῆς, ἀλλ' ὥσπερ ἐςὶν ἡ ἁλυκότης ἀπὸ τȣ̃ ὕδατος τῆς θαλάσσης καὶ τῆς ȣ̓σίας τῶν ψάμμων. αἱ ἀναθυμιάσεις γὰρ αἱ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως· καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ προέρχονται ἐξ αὐτȣ̃ διὰ τῆς δυνάμεως τῶν ἀςέρων τὰ εἴδη τῶν σπερμάτων. ὕλη δὲ ἀναγκαία ἐςὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐςιν ἐν τῷ γένει τȣ̃ ὕδατος. τὸ γὰρ ἀνερχόμενον ȣ̓κ ἔςιν εἰ μὴ ὕδωρ γλυκύ· τὸ δὲ ἁλμυρὸν βαρύ ἐςι, καὶ ȣ̓ συναναβαίνει τῷ γλυκεῖ. τὸ δὲ ὑπερβαῖνον τȣ̃το τὸ λεπτότερόν ἐςι τȣ̃ ὕδατος. ὃ δὴ ἐὰν ἐφελκυσθείη ὑπὸ τȣ̃ ἀέρος, λεπτύνεται καὶ ἐπὶ πλέον ἀναβαίνει, κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι, καὶ εἰς πολὺ διατρέχουσι. καὶ σημεῖον τȣ́τȣ ἐςὶ τὸ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον. ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιάσεως ἀνέρχεται, ȣ̔́τω καὶ εἰς πάντα τὰ ὕδατα. καὶ γὰρ καί τι τȣ̃ ὕδατος τȣ̃ ἁλυκȣ̃ ἄνεισι μετ' ἐκείνȣ ὃ ἐξήρανεν ἡ θερμότης, εἰς τὸ εἶδος τȣ̃ ἀέρος, ὅς ἐςιν ἀκριβῶς ὑπεράνω παντὸς γλυκέος ὕδατος καὶ ἁλμυρȣ̃. παράδειγμα δὲ τȣ̃ λόγου τȣ́του εὑρήκαμεν ἐν τοῖς βαλανείοις πολλάκις. ὅταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λεπτύνει τὰ μέρη αὐτȣ̃, ἀναβαίνει τε ἀναθυμίασις, ἥτις ἦν ἐν τῷ ἐδάφει τȣ̃ βαλανείȣ, καὶ ἀναχωρȣ̃σι τὰ πυκνὰ μέρη τῆς ἁλυκότητος μετὰ τȣ̃ ὑγρȣ̃ τοῦ φυσικȣ̃ (ȣ̓δὲ γάρ εἰσιν ἐκ τȣ̃ γένους τȣ̃ ἀέρος), ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥτις μία μετὰ τὴν ἄλλην προχωρεῖ ἄνω. ὅταν γȣ̃ν προχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος, κἀντεῦθεν συνάγεται καὶ συμπήγνυται καὶ ἐπιςρέφει καὶ κάτω ςάζει τὸ ὕδωρ τὸ γλυκύ. καὶ ȣ̔́τως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐςὶν ὕδωρ γλυκύ. αἱ τοίνυν βοτάναι αἱ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς ȣ̓κ ὀφείλȣσιν ἔχειν πληθυσμὸν διὰ τὴν ξηρότητα. καὶ γὰρ τὸ φυτὸν δύο δεῖται, ὕλης λέγω καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. ὅταν γȣ̃ν τὰ τοιαῦτα δύο παρῶσιν ὁμȣ̃, προκόπτει τὸ φυτόν. ὅταν δὲ εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπικενῆς ἐςίν· ἐμποδὼν γάρ ἐςι τῷ εἶναι τὸ ἐν τόπῳ εἶναι μὴ εὐκραεῖ. ἔτι κοινῶς ȣ̓χ εὑρίσκομεν φυτὸν

13. ἐκρίθη πάντων N^a. ‖ 21. περινήξεται Q^a. ‖ 40. διὰ τȣ̃το om N^a.

6. καὶ τῆς ȣ̓σίας om N^a. ‖ 10. προέρχεται Q^a. ‖ 22. ȣ̓ N^aQ^a. ‖ εἰς om N^a. ‖ 30. προσχωρεῖ et 31. προσχωρήσωσι N^a.

ἐν χιόνι, πλὴν βλέπομέν ποτε φυτὸν φαινόμενον ἐν αὐτῇ, καί τινα ζῷα, καὶ ἐξαιρέτως ἕλμινθας. οὗτοι γὰρ γεννῶνται ἐν τῇ χιόνι, καὶ φλόμος, καὶ πᾶσαι βοτάναι πικραί. ἀλλ' ἡ χιὼν οὐ ζητεῖ προχωρεῖν ἐπὶ τούτῳ, ἂν μὴ καὶ συζευχθείη τις αἰτία ἐν αὐτῇ. καὶ αὕτη ἐστὶν ὅτι ἡ χιὼν κατέρχεταί ποτε ὁμοία καπνῷ, συμπήγνυσί τε ταύτην ἄνεμος καὶ συσφίγγει ἀήρ. πλὴν γίνεται καὶ ἀραιότης τις ἐν τοῖς μέρεσιν αὐτῆς· κατέχεται γὰρ ἐν τούτοις θερμόν τι μέρος ἀέρος, μένει τε ἐξ αὐτοῦ καὶ ὕδωρ σεσημμένον. ὅταν οὖν ὁ ἀὴρ ὁ ἐγκεκλεισμένος πλείονος γένηται πλατύνσεως καὶ ὁ ἥλιος παρουσιάσηται, ἀπορρήγνυται ὁ ἀὴρ ὁ συμπιληθεὶς ἐν τῇ χιόνι, καὶ φαίνεται ἡ ὑγρότης ἡ σεσημμένη, ἥτις καὶ συμπήγνυται μετὰ τῆς θερμότητος τοῦ ἡλίου· καὶ οὕτω φύονταί τινες βοτάναι. ἐὰν δὲ ᾖ ὁ τόπος περικεκαλυμμένος, οὐ γίνονται ἐν αὐτῷ βοτάναι ἀλλ' ἣ ἄνευ φύλλων· ἀπεχώρησε γὰρ ἀπ' αὐτοῦ ἡ εὐκρασία τῆς γης, ἡ ὁμογενὴς αὐτῇ. ὅθεν ἄνθη καὶ φύλλα ἐν βοτάναις μικραῖς μεμιγμένα εὑρίσκονται ἐν τόποις κεκραμένοις καθαρῶς δι' ἀέρος καὶ ὕδατος· ἐν ἑτέροις δὲ μὴ τοιούτοις σπάνιά εἰσι τὰ ἄνθη καὶ τὰ φύλλα τῶν φυτῶν τῶν συμβαινόντων ἐν τῇ χιόνι. ὁμοίως καὶ ἐν τόποις πολλοῖς ἁλμυροῖς καὶ ξηροῖς ὡς ἐπὶ τὸ πλεῖστον οὐ φαίνεται φυτόν. οὗτοι γὰρ οἱ τόποι πόρρω εἰσὶν εὐκρασίας· ἐλαττονεῖται γὰρ ἡ γῆ, ἐξ ἧς μακράν εἰσιν ὑγρότης καὶ θερμότης, ἅπερ εἰσὶ διὰ γλυκέος ὕδατος. γίνεται δέ ποτε ἡ γλυκερὰ γῆ νεκρά, καὶ τότε οὐ γεννῶνται ὀξέως ἐν αὐτῇ βοτάναι. ἐν τόποις δὲ θερμοῖς, ὅπου ἔστιν ὕδωρ γλυκὺ καὶ θερμότης πολλή, προφθάνει πέψις ἐκ τῶν δύο μερῶν, ἐκ τῆς διαθέσεως τοῦ τόπου μετὰ καὶ τοῦ ἀέρος τοῦ ἐν αὐτῷ ὑπάρχοντος. ἡ δὲ πέψις τοῦ ἀέρος ἐκ τῆς θερμότητός ἐστι τοῦ ἡλίου τῆς ἐν ἐκείνῳ τῷ τόπῳ. ἐντεῦθεν καὶ τὰ ὄρη ἐφέλκονται ὑγρότητα, βοηθεῖ τε αὐτοῖς καὶ ἡ θερμότης τοῦ ἀέρος. ἐπισπεύδει δὲ καὶ ἡ πέψις· καὶ διὰ τοῦτο τὰ φυτὰ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὄρεσι φύονται. ἐν δὲ τοῖς ψάμμοις νικᾷ, ὡς προέφημεν, ἡ ἁλμυρότης, καὶ ἀπομένουσιν ἐν τοῖς μέρεσι τῆς ψάμμου ἀραιότητες ὅμοιαι πρὸς ἀλλήλας. ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν ἵνα ἐν αὐταῖς ἀπαρτίσῃ καὶ βεβαιώσῃ συνέχειαν οὐσίας. τῷ τοι καὶ φυτὰ ἐν αὐταῖς ὡς τὰ πολλὰ οὐ γίνονται· εἰ δὲ καὶ γίνονται, οὐ κατὰ εἴδη ἴδια καὶ διάφορα, ἀλλὰ κατὰ εἴδη ὅμοια πρὸς ἄλληλα.

4 Τὰ δὲ φυτὰ ἃ ἐν τῇ ἐπιφανείᾳ τοῦ ὕδατος γεννῶνται, οὐκ ἄλλως γεννῶνται εἰ μὴ διὰ τὸ πάχος τοῦ ὕδατος. ὅταν γὰρ θερμότης ἅψηται τοῦ ὕδατος, ἥτις ἄνω που οὐκ ἔχει πῶς ἂν κινηθείη, τότε προέρχεται ἐπ' αὐτὴν παρόμοιόν τι νεφέλῃ, ὀλίγον τε τοῦ ἀέρος κατέχει, καὶ σήπεται τὸ τοιοῦτον ὑγρόν, ἐφέλκεταί τε αὐτὸ ἡ θερμότης, ἥτις ἐκτείνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται ἐντεῦθεν φυτόν. οὐκ ἔχει δὲ ῥίζαν, ὅτι ἡ ῥίζα ἐν τοῖς μέρεσιν ἑδράζεται τῆς γῆς, ἔχουσα μέρη διῃρημένα. οὐκ ἔχει δὲ πάλιν οὐδὲ φύλλα, ὅτι μακράν ἐστιν ἀπὸ τῆς εὐκρασίας, καὶ οὐδὲ τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα. τοῦτο δὲ τὸ φυτὸν οἷον εἰς ὁμοιότητα φύλλων γεννᾶται, καὶ καλεῖται ἐπίπτερον. τῶν δὲ λοιπῶν φυτῶν τῶν ἐν τῇ γῇ, ἐπεὶ τὰ τῆς γῆς μέρη εἰσὶ συμπεπηγότα, καὶ τὰ μέρη ἐξ ἀνάγκης τούτων εἰσὶ τοιαῦτα. τὰ οὖν φυτὰ τὰ ἐκ τῆς γῆς συμπεπηγότα γίνονται ἐκ σήψεων ἐν τόπῳ ὑγρῷ καὶ καπνώδει. αἱ γὰρ σήψεις κατέχουσιν ἀέρα· καὶ ὅταν πληθύνωνται οἱ ὑετοὶ καὶ οἱ ἄνεμοι, ὁ ἥλιος φαίνεσθαι ποιεῖ αὐτάς, κατεπείγει τε ξηραίνεσθαι καὶ συμπήγνυσθαι, καὶ ἡ ξηρότης τῆς γῆς τὰς ῥίζας αὐτῶν ποιεῖ· καὶ γίνονται ἐντεῦθεν φυτὰ καὶ μύκητες καὶ ὕδνα καὶ τὰ ὅμοια. πάντα δὲ ταῦτα γίνονται ἐν τόποις θερμοῖς κατὰ λόγον, διὸ ἡ θερμότης πέττει τὸ ὕδωρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, κατέχει τε ταύτην ὁ ἥλιος, καὶ γίνεται ἀναθυμίασις, καὶ ἐντεῦθεν συμβαίνει ἡ ἀλλοίωσις εἰς φυτόν. ὁμοίως καὶ ἐν πᾶσι τόποις ὡς ἐπὶ τὸ πλεῖστον θερμοῖς πληροῦται ἡ τοῦ φυτοῦ ἀπάρτισις. οἱ δὲ τόποι οἱ ψυχροί, εἰ καὶ οὗτοι τὸ ὅμοιον ποιοῦσί ποτε, πλὴν ἐκ τοῦ ἐναντίου. ὁ γὰρ ψυχρὸς ἀὴρ τὸν θερμὸν συμπιέζει κάτω, συμπήγνυσί τε τὰ μέρη αὐτοῦ, καὶ ὁ τόπος ἔψησιν πάσχει μετὰ τῆς προσούσης ὑγρότητος αὐτῷ· τοῦ οὖν περισσοῦ ὑγροῦ ξηρανθέντος σχίζεται ὁ τόπος, καὶ ἐξέρχονται ἐξ αὐτοῦ φυτά. ἐν τόποις δὲ γλυκεροῖς, ἐν οἷς τὸ ὕδωρ μὴ ἐπὶ πολὺ συμβαίνει χωρίζεσθαι, ὁπόταν ὁ ἀὴρ τῇ γῇ ἐγκλειόμενος ξηρανθῇ, ἡ ὑγρότης τε τοῦ ὕδατος συμπαγῇ, καὶ ὁ αὐτὸς ἀὴρ μείνῃ ἐν τοῖς ἐνδοτέρω τοῦ ὕδατος, ἐξέρχονται φυτά, ὡς τὸ νοῦφαρ τὸ ἰατρικόν, καὶ εἴδη βοτανῶν ἄλλα πολλῶν καὶ σμικρῶν, ἃ δὴ τοιουτοτρόπως γεννῶνται. πλὴν οὐκ εἰσὶν ἐκτεταμένα, διότι αἱ ῥίζαι αὐτῶν εἰσὶν ἐπιπολαίως ἐν τῇ γῇ. ἐν τόποις ὡσαύτως ἐν οἷς ὕδωρ θερμὸν τρέχει, πολλάκις φυτὰ γεννῶνται, διότι ἡ θερμότης τοῦ ὕδατος ἐφέλκεται ἀναθυμιάσεις προσφάτους ἐπὶ τῆς γῆς, ἡ δὲ ψυχρὰ φύσις τῆς ὑγρότητος τοῦ ὕδατος ὑποκάτω ἀπομένει, καὶ συμπήγνυται ὁ ἀὴρ ὁ ἐν τούτῳ τῷ ὑγρῷ. καὶ ὅταν πεφθῇ ἡ θερμότης τοῦ ἀέρος, πάλιν ἐν τούτῳ γεννᾶται τὸ φυτόν, οὐκ

14. δὲ] μὲν Q^a. ‖ 15. ἢ ἀλλ' N^aQ^a. ‖ 19. ἐν] καὶ ἐν N^a. ‖ 24. ὑγρότητος καὶ θερμότητος Q^a. ‖ ὕδατος. οὐ γίνεται N^a. ‖ 28. καὶ om Q^a.

18. εἶδνα N^aQ^a. ‖ 28. ἐξέρχεται Q^a. ‖ 29. αὐτοῦ τὰ φ. N^a. ‖ 39. μένει N^a. ‖ 40. πεμφθῇ Q^a.

ἄλλως εἰ μὴ ἐν καιρῷ πολλῷ. αἱ βοτάναι δὲ αἱ μικραί, αἱ φαινόμεναι ἐν τόποις θεαφώδεσι, γίνονται ὅταν ἄνεμοι ὀξέως πνέωσιν ἀντίπνοιάν τε ποιῶσι καὶ ἀντιπλήττωσιν ἀλλήλους, καὶ ἐξεγερθῇ ἀὴρ ὁ ἐν αὐτοῖς καὶ θερμανθῇ ὁ τόπος καὶ γένηται ἐντεῦθεν πῦρ, καὶ μετὰ ταῦτα γεννηθῇ ὅπερ ἐστὶν ἐν τῷ βάθει ἀρσενίκιον, ὃ καταβαίνει ἐκ τῆς ἰλύος τοῦ ἀέρος, καὶ ἐφέλκεται πῦρ μετὰ σήψεως (τοῦτο γὰρ τὸ ἀρσενίκιον)· τότε γὰρ γίνεται ἐκ τούτου φυτά. οὐ πολλὰ δὲ ταῦτα προβάλλεται φύλλα, καθὼς προαπεδείξαμεν, ὅτι ἡ εὐκρασία ἐκ τούτων πόρρω ἐστίν. ὅπερ δὲ φέρει τρόφιμόν τι φυτόν, ἐκεῖνο φύεται ἐν τόποις θερμοῖς καὶ κούφοις καὶ ὑψηλοῖς, καὶ μᾶλλον ἐν τῷ κλίματι τῷ τρίτῳ καὶ τῷ τετάρτῳ· καὶ πάλιν ὃ δένδρον ποιεῖ τι ἐγγὺς τροφίμου, ἐκεῖνο γεννᾶται ἐν τόποις ὑψηλοῖς καὶ ψυχροῖς. καὶ διὰ τοῦτο πληθύνονται τὰ εἴδη ἐν τόποις τοιούτοις, διὰ τὴν ἐφέλκυσιν τοῦ ὑγροῦ καὶ τὴν εὐκρασίαν τὴν ἐκ τῆς θερμότητος τοῦ ἡλίου ἐν ἡμέραις χειμεριναῖς. ὁμοίως καὶ ὁ πηλὸς ὁ ἔμφυτος ὀξέως προάγει φυτὰ πίονα· ἡ συμπίλησις γὰρ τῆς ὑγρότητος τούτου ἐν τόποις γλυκεροῖς γίνεται, ὡς προειρήκαμεν.

5 *Πάλιν τὸ φυτὸν τὸ ἐν τοῖς λίθοις τοῖς στερροῖς γεννώμενον μακρῷ χρόνῳ συμβαίνει. ὁ γὰρ ἀὴρ ὁ ἐμπεριειλημμένος τούτοις βιάζεται ἀναβῆναι, ἔξοδον δὲ μὴ εὑρίσκων διὰ τὴν ἰσχυρότητα τῶν λίθων ἐπαναστρέφει καὶ θερμαίνει ἑαυτόν, ἐφέλκεταί τε τὸ ὑγρὸν τὸ ἐναπολειφθὲν τοῖς λίθοις ἄνω, ἐξέρχεταί τε ἀναθυμίασις σὺν ὑγρότητι, μετὰ ἀναλύσεως σμικροτάτων μερῶν τῶν ἐν τοῖς λίθοις. καὶ γὰρ πολλάκις ἔθος ἐστὶ τοῖς λίθοις ἵνα βοηθῇ αὐτοῖς ὁ ἥλιος διὰ τῆς ἰδίας πέψεως. καὶ οὕτω γεννᾶται ἐξ αὐτῶν φυτόν. ὃ δὲ οὐκ ἀναβαίνει, ἐὰν μὴ πλησίον ᾖ γῆς ἢ ὑγροῦ. ἡ γὰρ ὑπόστασις τοῦ φυτοῦ δεῖται γῆς ὕδατος καὶ ἀέρος. κατανοείσθω τοιγαροῦν τὸ φυτόν· καὶ εἰ ἔστι πλησίον τοῦ ἡλίου, ταχέως γεννᾶται, εἰ δέ ἐστιν ὁ ἥλιος εἰς δυσμάς, βραδύνει. πάλιν τὸ φυτὸν ἐν ᾧ κυριεύει τὸ ὕδωρ, οὐ παραχωρεῖ τῷ ἀέρι ἀναβαίνειν, καὶ διὰ τοῦτο οὐ τρέφεται. ὁμοίως και ἡ ξηρότης ὅταν κρατήσῃ, ἀναστρέφει ἡ φυσικὴ θερμότης εἰς τὰ ἄκρα, καὶ βύει τοῦ φυτοῦ τὰς ὁδοὺς δι ὧν οἱ πόροι· καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν.*

6 *Καθολικῷ δὲ λόγῳ πᾶν φυτὸν τεττάρων τινῶν δεῖται, σπέρματος διωρισμένου, τόπου ἁρμοδίου, ὕδατος συμμέτρου καὶ ἀέρος ὁμοίου. ὅταν οὖν ταῦτα πάντα συντελεσθῶσι, γεννᾶται φυτὸν καὶ αὐξάνει· ὅτε δὲ ταῦτα ἀποχωρήσουσιν, ἀσθενεῖ τῇ ἀποχωρήσει καὶ τὸ φυτόν. πάλιν τὸ φυτὸν τὸ προϊὸν ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἔσται εἶδος, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν· ὁ καρπὸς δὲ ὁ σκληρότερος εἰς πέψιν οὐχ ὡς ἐπὶ τὸ πολὺ τρέφει. τόποι δὲ ἀπομεμακρυσμένοι τοῦ ἡλίου οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. ὁμοίως ἐὰν ὁ ἥλιος μακρότητα τῇ ἡμέρᾳ προσάγῃ ἐν τῇ κινήσει αὐτοῦ καὶ καταχυριεύῃ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προάγειν. τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν, ἃ γεννῶνται ἐν ὑδαρώδεσι τόποις; ἐν τούτοις ὅτε τὸ ὕδωρ ἠρεμεῖ, γίνεταί τι καθάπερ ἰλύς, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι ἵνα ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος. κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. εἰ γοῦν πλημμυρήσῃ ἄνεμος ἐν ἐκείνῳ τῷ τόπῳ καὶ συσφιγχθῇ ἡ γῆ, συμπιέσῃ τε ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀήρ, καὶ συμπήξῃ ὁ ἄνεμος τὴν ὑγρότητα, προελεύσεται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων ἐν εἴδει καὶ σχήματι, διὰ τὴν διαμονὴν καὶ τὴν παχύτητα τοῦ ὕδατος καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνωθεν. πάλιν περὶ τῶν φυτῶν ἃ εἰσιν ἐν τόποις ὑγροῖς, καὶ ἡ ἐπιφάνεια αὐτῶν φαίνεται ἐν τῇ ὄψει τῆς γῆς χλοάζουσα, λέγω ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἀραιότης. ὅταν οὖν ἐμπεσὼν ὁ ἥλιος κινήσῃ τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερμάνῃ τὸν τόπον τῇ συμβαινούσῃ κινήσει καὶ τῇ θερμότητι τῇ ἐμπεριειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς, ὅπερ δὴ οὐ συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν ἂν αὐξηθῇ, καὶ ἡ ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑπεράνω τῆς γῆς ὡς ὕφασμα χλοάζον, κἀντεῦθεν γεννᾶται φυτὸν μὴ ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ τοῦ φαινομένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. ἔστι δὲ μεῖζον ἐκείνου, διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ ἐπεκτείνεσθαι δύναται. πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο φυτὸν γεννᾶται οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως, ἄνευ ῥίζης. κινεῖται δὲ τοῦτο οὕτως· ὁπόταν φυτὸν πολλῶν ἀκανθῶν ἐν πίονι ὕδατι κινήσῃ ἑαυτό, ἀνοίγονται τὰ μέρη αὐτοῦ, καὶ ἀνιμᾶται ὁ ἥλιος τὰς ἐν αὐτῷ σήψεις, πέψιν τε ποιεῖ τούτῳ, καὶ τῇ ἰδίᾳ φύσει εἰς τὸν τόπον τὸν σεσημμένον βοήθειαν χορηγεῖ μετὰ θερμότητος εὐκράτου, κἀντεῦθεν αὐξάνει τὸ φυτόν, ὡς δοκεῖν νήματα ἐκτείνεσθαι εἰς ὅλον αὐτό. καὶ τοῦτο ἴδιόν ἐστι τοῖς*

2. γεννῶνται Q°. ‖ 7. γὰρ om N°Q°. ‖ 10. δὲ] οὐδὲ Q°. ‖ 11. καὶ post θερμοῖς om N°. ‖ 18. γὰρ] καὶ γὰρ Q°. ‖ 29. ἢ τῆς γῆς N°. ‖ 30. δεῖται τῆς γῆς N°. ‖ 34. καταχρατήσῃ Q°.

8. καὶ καταχυριεύῃ] καταχυριεύει N°. ‖ 10. ὑδρώδεσι N°. ‖ 12. ὑποστήσηται μέρη Q°. ‖ 14. πλημμυρήσει et 15. συμπιέσει et 16. συμπήξει N°Q°. ‖ 21. τῇ ὄψει] τοῖς τόποις N°. ‖ 25. περιειλημμένη N°.

φυτοῖς τοῖς ἔχουσι πολλὰς ἀκάνθας. τότε γοῦν γεννᾶται βοτάνη ἡ λεγομένη λινόζωστις καὶ τὰ ταύτῃ ὅμοια. πᾶσαι δὲ αἱ βοτάναι, καὶ εἴ τι αὐξάνει ἐπάνω τῆς γῆς καὶ ἐν τῇ γῇ, πρόεισιν ἔκ τινος τούτων τῶν πέντε, ἅ εἰσι σπέρμα, ὑγρότης ἐξ ὕδατος, τόπος ἐπιτήδειος, ἀὴρ καὶ φυτεία. καὶ ταῦτα τὰ πέντε εἰσίν, ὡς ἂν εἴποι τις, ῥίζαι φυτῶν.

7 Τριπλῶς δὲ ἡ τῶν δένδρων εὐπορία ἀκολουθεῖ· ἢ γὰρ προάγουσι τοὺς καρποὺς πρὸ τῶν φύλλων, ἢ σύναμα τοῖς φύλλοις, ἢ μετὰ τὰ φύλλα. ἔστι τοίνυν φυτὸν ὅπερ οὐκ ἔχει ῥίζαν ἢ φύλλα· ἔστι καὶ ὅπερ φέρει φιτρὸν ἄνευ καρποῦ καὶ φύλλων, ὡς ἡ λεγομένη χρυσοκόμη ἢ χρυσῖτις. ἀλλὰ τὰ φυτὰ ἃ καρπὸν πρὸ τῶν φυλλων προάγουσι, πολλὴν ἔχουσι τὴν πιότητα. ὅταν γοῦν ἐκταθείη ἡ θερμότης ἡ οὖσα φυσικῶς τῷ φυτῷ, ταχύνει καὶ ἡ τούτου πέψις, ῥώννυταί τε καὶ ζέει ἐν τοῖς κλάδοις τοῦ φυτοῦ, κωλύει τε τὸν χυμὸν ἵνα μὴ ἀναβαίνῃ ἀπ' αὐτοῦ· κἀντεῦθεν προχωροῦσι καρποὶ καὶ φύλλα. ἐν δὲ τοῖς φυτοῖς ἃ ταχύτερον τὰ φύλλα προάγουσι, τί νοητέον; αἱ διαθέσεις τῶν ὑγρῶν εἰσὶ πολλαί. ὁπόταν γοῦν ἡ θερμότης τοῦ ἡλίου ἄρξηται διασπείρειν τὰ μέρη τοῦ ὕδατος, ἄνω ἐφέλκεται ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος, καὶ βραδύνει ἡ πεπειρότης, διότι ἡ πέψις τοῦ καρποῦ οὐκ ἔστιν εἰ μὴ ἐν συμπήξει, καὶ προηγοῦνται τὰ φύλλα τῶν καρπῶν τῇ προσαγωγῇ τῆς πολλῆς ὑγρότητος. πολλάκις δὲ συμβαίνει αὐτοῖς καὶ πιότης, ὁπόταν ἡ ὑγρότης ἡ ἐν τῷ φυτῷ πέψιν λάβῃ καὶ ἀναβῇ ἐξ αὐτῆς ἀτμὶς πυκνή, καὶ ἑλκύσῃ αὐτὴν ὁ ἀὴρ μετὰ τοῦ ἡλίου· τότε γὰρ ἐξέρχεται ἐκ τῆς ὑγρότητος ἐκείνης καὶ πιότης καὶ καρποὺς καὶ φύλλα μιᾷ ἐκθέσει. οἱ παλαιοὶ δὲ σοφοὶ τὰ φύλλα πάντα καρποὺς εἶναι διεβεβαιοῦντο. ἰστέον οὖν ὡς ὁπόταν ἡ ὑγρότης ἐστὶ τόση ὥστε μὴ πεπαίνεσθαι μηδὲ συμπήγνυσθαι διὰ τὴν ἐκ τοῦ ἀέρος ἀνάπτυξιν καὶ τὴν ἄνωθεν σπουδὴν τῆς ἐφελκύσεως τοῦ ἡλίου, τότε ἡ ὑγρότης αὕτη, εἰς ἣν οὐκ ἐνηργήθη πέψις, ἀλλοιοῦται εἰς φύλλα· ἃ δὴ οὐκ ἔχουσιν ἄλλον σκοπὸν εἰ μὴ τὴν ἐφέλκυσιν τῆς ὑγρότητος, καὶ ἵνα ὦσι καὶ περικαλύμματα τῶν καρπῶν ἀπὸ τῆς σφοδρότητος τοῦ ἡλίου. οὐ τοίνυν ὁμοίως δεῖ ἵνα τὰ φύλλα ὦσιν ὡς οἱ καρποί· ὁ γὰρ χυμὸς ὁ ἀναβαίνων ἀλλοιωθείς, οὗτός ἐστι τὰ φύλλα, ὡς εἴπομεν. τοιουτοτρόπως ἐστὶν ἡ κρίσις καὶ ἐν ταῖς ἐλαίαις, αἳ πολλάκις στερίσκονται τῶν ἰδίων καρπῶν. ὁπόταν γὰρ ἡ φύσις πέψιν ποιήσῃ, ἀναβαίνει πρώτως ἐκ τῆς λεπτότητος, ὅπερ οὐκ ἐπεπάνθη ἐκ τῆς θερμότητος. ἔστιν οὖν αὕτη ἡ ὑγρότης φύλλα. ἡ δὲ πέψις ἐστὶν ἄνθος. ὅταν δὲ τελειωθῇ τῷ δευτέρῳ ἔτει ἡ πέψις, γεννῶνται καρποί, καὶ ἐκβαίνει εἰς τέλος ἡ ὕλη κατὰ τὸν τόπον τὸν ἐν αὐτοῖς. αἱ ἄκανθαι ὡσαύτως εἰσὶν ἐκ τοῦ γένους τῶν φυτῶν, οὐ μὴν τῆς αὐτῆς φύσεως. λέγω γοῦν ὅτι ἐν τῷ φυτῷ ἐστὶν ἀραιότης, καὶ ἐν τῇ ἀρχῇ τῆς φύσεως αὐτοῦ ἐστὶ πέψις, καὶ ἀναβαίνει ὑγρότης ψυχρὰ καὶ μετ' αὐτῆς βραχεῖα διάκρισις, διερχομένη ἐν ἐκείνῃ τῇ ἀραιότητι. ποιεῖ γοῦν ταύτην συμπήγνυσθαι ὁ ἥλιος, κἀντεῦθέν εἰσιν αἱ ἄκανθαι. διὰ τοῦτο καὶ τὸ εἶδος αὐτῶν ἐστὶ πυραμοειδές· ἔστι γὰρ ἡ βάσις αὐτῶν ἀρχομένη ἀπὸ πάχεος καὶ προχωροῦσα εἰς ἰσχνόν. τοῦτο δὲ γίνεται, διότι κατὰ βραχὺ ὁ ἀὴρ ἐπεκτεινόμενος τῷ φυτῷ αὐξάνει τὰ μέρη αὐτοῦ μετ' ἐπιτάσεως τῆς ὑλικῆς. τοιουτοτρόπως καὶ πᾶν δένδρον ἢ φυτὸν γίνεται, οὗ ἡ κεφαλή ἐστι πυραμοειδής.

8 Ἡ χλοάζουσα δὲ χροιὰ ὀφείλει εἶναι πρᾶγμα κοινότατον ἐν τοῖς δένδροις. βλέπομεν γὰρ ὅτι, ὥσπερ κοινή ἐστιν ἡ λευκότης ἐντός, οὕτως καὶ ἡ χλοερότης ἐκτός. καὶ τοῦτό ἐστιν, ὅτι ὕλῃ χρῶνται πλησιωτέρᾳ ἤγουν μᾶλλον πεπεμμένῃ. δεῖ τοίνυν ἵνα ᾖ χλοερότης ἐν πᾶσι τοῖς φυτοῖς, ὅτι αἱ ὗλαι ἕλκουσι καὶ ἀραιοῦσι τὸ ξύλον τοῦ δένδρου, βραχεῖάν τε ἡ θερμότης πέψιν ἐργάζεται, καὶ ἀπομένει τι ἐκεῖ ὑγρόν, ὃ φαίνεται ἔξωθεν· καὶ τοῦτό ἐστιν ἡ χλοερότης ἡ ἐν τοῖς φυτοῖς, ἐὰν μὴ μείζων γένηται ἡ πέψις. ὀφείλει δὲ εἶναι μέση ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς ξύλοις τῇ δυνάμει. ἡ δὲ χλοερότης οὐ φθείρεται, ἐὰν ᾖ ὑγρότης ἐν αὐτῇ, ἥτις ἐστὶν ἐκ τοῦ γένους τῆς γῆς. ἐξ ἀμφοτέρων γοῦν τούτων ἡ χροιὰ γίνεται ἡ χλοερά. τούτου σημεῖον ὅτι οἱ φλοιοὶ τοῦ δένδρου, ὅταν ξηραίνηται αὐτό, μελαίνονται, ἐντὸς δέ εἰσι λευκοί. ἐν τοῖς δένδροις γοῦν μεταξὺ τῶν δύο χρωμάτων χρῶμα χλοερὸν γίνεται ἐν τῇ ἐπιφανείᾳ αὐτῶν. τοῦ δὲ σχήματος τῶν φυτῶν τρεῖς εἰσὶ τρόποι· τινὰ γὰρ ἄνω προχωροῦσι, τινὰ κάτω, τινὰ μέσον. τὰ μὲν οὖν ἄνω ἐκτεινόμενα ἔχουσιν αἰτίαν, ὅτι ἡ φύσις αὐτῶν φαίνεται ἐν τῇ ἐντεριώνῃ, καὶ ἕλκει τὴν θερμότητα, καὶ συμπιέζει ἐν ἑαυτῇ τὸν ἀέρα τὸν ὄντα ἐν ταῖς ἀραιότησιν αὐτῆς. πυραμιδοῦνται δέ, ὥσπερ πυραμιδοῦται τὸ πῦρ ἐν ταῖς ἰδίαις ὕλαις καὶ κουφίζεται. ὅσα δὲ κάτω ἐκτείνεται, τούτων οἱ πόροι συμπήγνυνται. ὅταν γὰρ πέψις γένηται, τότε ἡ ὕλη πυκνοῦται τοῦ ὑγροῦ, ἐν ᾧ ἐστὶν ἡ

6. εἴπῃ *N*ᵃ*Q*ᵃ. ‖ 11. χρυσίτης *Q*ᵃ. ‖ 14. παχύνει *N*ᵃ. ‖ 25. ἡ et ἀτμὶς om *N*ᵃ. ‖ 30. πήγνυσθαι *N*ᵃ. ‖ 33. οὐκ post ἣν om *N*ᵃ. ‖ 39. καὶ om *N*ᵃ.

5. τὸν post κατὰ om *Q*ᵃ. ‖ αὐταῖς *N*ᵃ. ‖ 12. παχέων *N*ᵃ*Q*ᵃ. ‖ 20. πλουσιωτέρα γε *Q*ᵃ. ‖ 22. τε] δὲ καὶ *Q*ᵃ. ‖ 23. ἐκεῖ τι *N*ᵃ. ‖ 30. μελαίνεται *N*ᵃ. ‖ 33. τινὰ δὲ μέσον *Q*ᵃ. ‖ 39. γὰρ] δὲ *N*ᵃ.

ἐντεριώνῃ. κἀντεῦθεν ἐκπορεύεται μὲν τὸ λεπτὸν ἄνω, ἐπαναςρέφει δὲ τὸ ὑγρὸν πρὸς τὰ μέρη ἐκεῖνα κάτω· κινεῖ γὰρ ταύτην ἡ οἰκεία βαρύτης. ἃ δὲ φυτὰ μέσον τῶν δύο εἰσίν, ἔχουσιν οὕτως. λεπτύνεται τὸ ὑγρόν, ὅτι ἡ φύσις τῆς εὐκρασίας γειτνιάζει τῇ πέψει, εἰσί τε καὶ οἱ πόροι μέσοι, καὶ ἡ ὕλη ἐπεκτείνεται καὶ ἄνω καὶ κάτω. ἔςι δὲ ἡ μὲν πρώτη πέψις ὑπὸ τὸ φυτόν, ἡ δὲ δευτέρα ἐν τῇ ἐντεριώνῃ, ἥτις ἐξέρχεται μὲν ἀπὸ τῆς γῆς, ἔςι δὲ καὶ ἐν τῷ μέσῳ τοῦ φυτοῦ· καὶ μετὰ ταῦτα γίνεται ἡ διαίρεσις, ἥτις συμβαίνει ἀπὸ τῆς δευτέρας, οὐκ ἀπὸ τῆς πρώτης πέψεως. ἡ δὲ τρίτη πέψις ἐςὶν ἐν τῷ ζώῳ· οὐ γὰρ γίνεται αὕτη ἡ πέψις εἰ μὴ διὰ τὴν διαίρεσιν τῆς φύσεως τῶν μελῶν καὶ τὴν διάςασιν τῶν φυσικῶν πρὸς ἄλληλα. τὰ δὲ φυτὰ γείτονά εἰσι πρὸς ἑαυτά, καὶ διὰ τοῦτο πληθύνονται ἐν πολλοῖς τόποις. ὡς ἐπὶ τὸ πλεῖςον δὲ ἡ ὕλη τῶν φυτῶν κάτω ἐκτείνεται. τὰ σχήματα τοίνυν τῶν φυτῶν εἰσὶν ἐν τῇ φύσει καὶ τῇ ποσότητι τῶν σπερμάτων, τὰ ἄνθη δὲ τῶν φυτῶν καὶ οἱ καρποί εἰσιν ἐν ταῖς ὑγρότησι καὶ ἐν ταῖς ὕλαις. κεῖται τοίνυν ἡ πρώτη κίνησις καθολικῶς καὶ ἡ πέψις ἐν πᾶσι τοῖς ζῴοις, καὶ οὐκ ἀποχωροῦσιν ἀπ' αὐτῆς πάντα τὰ ζῷα. ἐν τοῖς φυτοῖς δέ ἐςιν ἡ πρώτη πέψις, εἶτα ἡ πέπανσις κατὰ τὴν τροφὴν αὐτῶν. ἕκαςον οὖν δένδρον ἀναβαίνει ἀεί, ἕς' ἂν πληρωθείη. αἰτία δὲ αὕτη ἐςίν, ὅτι ἐπὶ μὲν τῶν ζῴων ἑκάςου τὸ μῆκος πλησίον ἐςὶ τοῦ ἰδίου πλάτους, ἐν τῷ φυτῷ δὲ πόρρω, ὅτι ἡ ῥίζα αὐτοῦ, ἤγουν τὸ πῦρ καὶ τὸ ὕδωρ, σπεύδουσιν εἰς ἀνάβασιν, ἵνα δημιουργηθῇ τὸ φυτόν. ἡ διαφορὰ δὲ τῶν φυτῶν ἐν τοῖς κλάδοις ἐςὶν ἐκ τῆς περιττῆς ἀραιότητος. ὅταν γὰρ συμπιεσθῶσιν οἱ χυμοί, θερμαίνεται ἡ φύσις καὶ σπεύδει εἰς τὴν πέψιν, κἀντεῦθεν τυποῦνται οἱ κλάδοι καὶ φύεται τὰ φύλλα, ὡς προείπομεν.

9 Τὸ δὲ τὰ τῶν δένδρων φύλλα πίπτειν ἐςὶ διὰ τὴν ἐπιφορὰν τῆς ὀξείας ἀραιότητος. ὅταν γὰρ πεφθῇ ἡ ὑγρότης μετὰ τῆς ὕλης, πυραμιδοῦται, καὶ μετὰ ταῦτα κατισχναίνουσι. καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη, τότε τελείως βύονται τὰ ἄκρα τῶν πόρων ἄνω. καὶ διὰ ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ πίπτουσιν. ἐὰν δὲ συμβῇ τὸ ἐναντίον ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς ςέρησιν τῶν ἰδίων φύλλων. ὅταν δὲ πάλιν κινήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν τὰ φύλλα γλαυκά, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ ἐπὶ τῶν ἐλαιῶν καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. ὁπόταν δὲ ἔχωσι τὰ δένδρα καὶ τὰ φυτὰ δύναμιν τοῦ ἕλκειν σφοδρῶς, γίνεται καρποφορία ὁμοῦ· ἥτις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέψει κατὰ διαδοχὴν συχνῇ, καὶ ἐν ἑκάςῃ πέψει καρπὸν προάγει πολύν. καὶ διὰ τοῦτο τινὰ φυτὰ καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσι. τὸ δὲ φυτὸν ὅπερ ἐςὶν ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ διὰ τὴν ἐπικράτειαν τῆς ὑγρότητος αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων καὶ τὴν ἀπορροὴν τῶν ἰδίων ῥιζῶν. ὅτε δὲ ἰσχυροποιηθῇ τὸ θερμόν, ταχύνει τε ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης καὶ οὐ συμπήγνυται· οὐδ' οὕτως πάλιν γίνεσθαι καρποφορίαν συμβαίνει. καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις. φαιότης δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔςιν ἐν τούτοις ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος, διότι εἰσὶ στενοὶ οἱ πόροι. ὅταν οὖν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσα ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενώτεροι. ἐπαναςρέφει οὖν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. καὶ ὅτε τοῦτο τοιουτοτρόπως γένηται, τότε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τῷ φαιῷ· καὶ τοῦτο ἔςιν ἰδεῖν ἀπὸ τοῦ ἐβένου καὶ τῆς πτελέας. ὁ δὲ ἔβενος καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα καὶ οἱ πόροι ςενοί, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. ὃ δὲ ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔςι διὰ τὴν ςενότητα τῶν πόρων καὶ τὴν περιττότητα τῆς ὑγρότητος τῆς βυούσης τοὺς πόρους, ὥςε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. τὸ δὲ ἄνθος ἐκ λεπτῆς μόνον ὕλης ἐςίν, ὅταν ἄρξηται ἡ πέψις· καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. ἐντεῦθεν οὖν δεικνύομεν καὶ τὴν αἰτίαν δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. ὃ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι ςενοὺς πόρους γίνεται χρῶμα, ἔςαι ἐν χρώματι σαπφειρίνῳ, καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη, εἰς λευκότητα κλίνει. ὅταν δὲ εἰς εὐκρασίαν φθάσῃ, ἐςὶ γλαυκόν. διότι δέ τινα φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστιν ἡ αἰτία ὅτι ὡς ἐπὶ τὸ πλεῖςον γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν καὶ τὴν ἐν αὐτοῖς λεπτότητα καὶ τραχύτητα καὶ παχύτητα. οὐκ ἔχουσι δὲ ἄνθη φοίνικες, συκαῖ καὶ τὰ τούτοις ὅμοια. τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον

5. τε] δὲ Q^a. ‖ 8. δὲ] τε N^aQ^a. ‖ 22. γοῦν N^a. ‖ 30. φαίνεται N^a.
13. συμβαίνει γίνεσθαι καρποφορίαν N^a. ‖ 17. ςερροὶ N^a. ‖ 27. λεπτῶν N^a. ‖ 32. οὖν N^a. ‖ 40. ἔχει N^a.

φλοιοὺς ἐκτείνεται κατὰ τὴν ἔκτασιν τῆς ὑγρότητος καὶ τὴν συνώθησιν τῆς θερμότητος. καὶ τοῦτό ἐστιν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον ἔχει τοῦτο ἐν τῷ μέσῳ. ἔστι δὲ ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. ὁπόταν οὖν ἄρξηται ἡ θερμότης πέττειν, στρέφεται ἡ πιότης εἰς τὴν οἰκείαν ὑγρότητα, καὶ συμπήγνυσι ταύτην συμπήξει βραχείᾳ, καὶ θερμαινομένου τοῦ τόπου γίνεται ἡ ὑγρότης λιπαρά, ὁμοία γάλακτι, ἐγείρεταί τε ἀναθυμίασις ἀπὸ τῆς ὑγρότητος τῆς ἑλκούσης τὸ γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τὴν θερμότητα τὴν φαινομένην, καὶ οὕτω συμπήγνυται τὸ γάλα· φύσις γάρ ἐστι τῆς θερμότητος τὸ συμπηγνύειν. ὁποῖον δή τι δὲ γάλα πολλῆς ἐστὶ συμπήξεως, τότε γίνεται, ὅταν ἐν τῷ δένδρῳ φανῇ ψῦχος· συμπηγνύμενον γὰρ μετὰ ταῦτα ἐξέρχεται ἀπὸ τοῦ οἰκείου τόπου. καὶ ἐντεῦθέν ἐστι τὸ κόμι. τὸ κόμι δὲ τὸ θερμὸν προέρχεται ἐν τῷ στάζεσθαι· ὁπόταν οὖν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν ὅμοιον ὕδατι. ἕτερον δὲ χέεται καὶ συμπήγνυται ὅμοιον λίθοις ἢ κογχυλίοις. ὅτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει γίνεται ὡς τὸ λεγόμενον σμηρίον. τὸ δὲ ἀλλοιούμενον ὡς λίθος ἐστὶ κατὰ τὸ φαινόμενον λίαν ψυχρόν. ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι· ὅταν δὲ ᾖ ψῦχος καὶ καταρρῇ, ἀπολιθοῦται. πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι, καὶ ποτὲ μὲν γίνονται χλωρὰ ποτὲ δὲ γλαυκά, καὶ οὐ φθείρονται οὔτε τὰ φύλλα αὐτῶν οὔτε οἱ καρποί, ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν· ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερμότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ οὗπερ ἔβαψε χρώματος τοῦ ἐν τῇ ἐπιφανείᾳ τοῦ δένδρου ἀκολουθοῦντος. ὅτε δὲ στρέφεται πάλιν ἡ ψυχρότης καὶ ἡ ξηρότης εἰς ἐνέργειαν, καὶ ἡ ὑγρότης κατέχει τὴν θερμότητα, τότε τὸ χρῶμα φαίνεται τὸ γλαυκόν.

10 Πικρὸς δὲ γίνεται καρπός, ὅτε ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει. ἡ ψυχρότης γὰρ καὶ ἡ ξηρότης ἐμποδίζουσι τὴν τελείωσιν, καὶ οὕτω στρέφεται εἰς πικρίαν ὁ καρπός. τούτου σημεῖον ὅτι τὸ πικρὸν εἰς πῦρ ἐμβληθὲν γλυκὺ γίνεται. δένδρα δὲ ὅσα γεννῶνται ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν, διότι τὸ ὀξῶδες ἕλκει μετὰ θερμότητος τοῦ ἡλίου, ὅπερ ἐστὶ τῆς ἰδίας ποιότητος. καὶ τοῦτο ψυχρότης ἐστὶ καὶ ξηρότης· κἀντεῦθεν ἀπομένουσιν ὑγρότητές τινες ὀλίγαι ἔνδον γλυκεῖαι. θερμαίνεταί τε καὶ ἡ κοιλία τοῦ δένδρου, ὅταν προσμείνῃ ἐς αὐτὴν ὁ ἥλιος, καὶ οὕτως γίνεται ὁ χυμὸς τοῦ καρποῦ στύφος ὀλίγον. καὶ ὅσον πλέον πεπεμμένος γένηται, διαλύεται κατὰ μικρὸν τὸ ὀξῶδες, ἔστ' ἂν καταναλωθείη καὶ φανῇ ἡ γλυκύτης. ἔσται τοίνυν ὁ καρπὸς γλυκύς, τὰ δὲ φύλλα αὐτοῦ καὶ οἱ ἀκρέμονες ξηροί. ὅταν δὲ τελειωθῇ ἡ πεπειρότης, ἐπὶ πλέον γίνεται ὁ καρπὸς πικρός. τοῦτο δέ ἐστι διὰ τὴν περισσὴν θερμότητα μετὰ βραχείας ὑγρότητος. καταναλίσκεται γὰρ ἡ ὑγρότης, ποιεῖ τε ὁ καρπὸς τὴν θερμότητα ἀναβαίνειν, καὶ ἐστὶ τότε ὁ καρπὸς πικρός. γίνονται δὲ καὶ οἱ πυρῆνες πυραμοειδεῖς διὰ τὴν ἐφέλκυσιν τοῦ θερμοῦ καὶ τὴν περιττὴν ψυχρότητα καὶ ὑγρότητα τὴν ἐντὸς κειμένην, ἅ εἰσιν ἐκ γένους τοῦ ὀξώδους ὕδατος. μένει γὰρ τὸ ὑγρὸν ἐν μέσῳ καὶ καταπυκνοῦται καὶ ἰσχναίνει τὰ ἄκρα. τὰ δένδρα δὲ τὰ ὄντα ἐν γῇ εὐκράτῳ ἐπισπεύδουσι τὴν πεπειρότητα πρὸ τῶν χειμερινῶν ἡμερῶν, ὅτι ἡ θερμότης ὅταν ᾖ πλησίον τῆς εὐκρασίας, γένηται δὲ καὶ ἡ ὑγρότης φανερὰ καὶ ὁ ἀὴρ καθαρός, καὶ οὐ δεῖται ὁ καρπὸς πολλῆς ὑγρότητός τε καὶ πέψεως, σπεύδει τότε ἡ τοῦδε πεπειρότης, καὶ πρόεισι πρὸ ἡμερῶν χειμερινῶν. ἐν πᾶσι γοῦν τοῖς δένδροις, ὅτε πρῶτον φυτευθῶσιν, ἐπικρατεῖ τὸ πικρὸν ἢ τὸ στρυφνόν, ἐπεὶ ἡ ὑγρότης ὅταν ἐν τοῖς ἄκροις γένηται αὐτῶν, πέττει τοὺς τόπους τοὺς ὄντας ἐν τῷ μέσῳ τῶν δένδρων, ἐξ ὧν ἐστὶ καὶ ἡ ὕλη τῶν καρπῶν, προέρχεταί τε ξηρότης καὶ ἐπακολουθεῖ τῇ ὑγρότητι, καὶ οὕτω γίνεται ἡ πρώτη πέψις δριμεῖα ἢ πικρὰ ἢ στρυφνή. αἰτία δέ ἐστιν ὅτι μετὰ θερμότητος καὶ ὑγρότητός ἐστι πέψις. ὅταν δὲ ἐπικρατήσῃ ὑγρότης καὶ ξηρότης τοῦ θερμοῦ, ἔστιν ἐξ αὐτοῦ καρπὸς ἐν τῇ ἀρχῇ οὐκ εὔπεπτος, διότι ἡ γέννησις τοῦ καρποῦ ἐν τῇ ἀρχῇ ἐστὶ χωρὶς γλυκύτητος. τῶν μυροβαλάνων δὲ δένδρων ἐν τῇ ἀρχῇ, ὅταν φανῶσιν, οἱ καρποί εἰσι γλυκεῖς· κοινῶς δέ εἰσι στρυφνοὶ καὶ ἐν τῇ κράσει αὐτῶν πικροί. αἰτία δέ ἐστιν ὅτι τὸ δένδρον αὐτῶν ἐστὶν ἀραιὸν τοῖς κλάδοις. ἐν ὥρᾳ δὲ πέψεως, ὅταν ὦσιν οἱ πόροι πλατεῖς, ἕπεται θερμότης τῇ ὑγρότητι, καὶ πεπειροῦνται οἱ καρποί, καὶ εἰσὶν ἐν τῇ ἀρχῇ γλυκεῖς. πάλιν ἀκολούθως ἕλκει διὰ τὴν ἀραιότητα τοῦτο τὸ δένδρον πόρους, ἐπικρατεῖ τε ψυχρότης καὶ ξηρότης τοῦ θερμοῦ καὶ ὑγροῦ, κἀντεῦθεν ἀλλοιοῦνται οἱ καρποὶ εἰς στρυφνότητα.

4. τε N°. ‖ 7. τραχεία N°. ‖ 14. ψύχος φανῆ N°. ‖ 32. ἔβλαψε N°.
1. πιότητος Q°. ‖ 15. καὶ ὑγρότητα om Q°. ‖ 22. τούτου Q°. ‖ 27. περιέχεται Q°. ‖ 28. ἡ πρώτη om Q°.

ἐπικρατεῖ πάλιν ὁ ἥλιος μετὰ τῆς θερμότητος διὰ τῆς ἐφελκύσεως τῆς περιττῆς ξηρότητος ἐν τῷ σπέρματι ἐκείνῳ, ὅπερ ἐστὶν ἐν τῇ ἐπιφανείᾳ τῶν δένδρων, νικᾷ τε ἡ ψυχρότης τὴν ξηρότητα, καὶ εἰσὶν οἱ καρποὶ ἰσχυρᾶς στρυφνότητος. ἐντεῦθεν δὲ πάλιν ἀναβαίνει θερμοτης φυσικὴ ἄνω, καὶ βοηθεῖ αὐτῇ ἡ θερμότης τοῦ ἡλίου ἔξωθεν, νικᾷ τε ἡ θερμότης καὶ ἡ ξηρότης, καὶ γίνονται οἱ καρποὶ πικροί.

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ ΑΚΟΥΣΜΑΤΩΝ.

Ἐν τῇ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ Ἡσαίνῳ καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν Μαιδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων μόναιπον. τοῦτον λέγουσι τὴν μὲν ὅλην φύσιν παραπλήσιον εἶναι βοΐ, διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, ὥσπερ ὁ ἵππος, κατατείνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀφθαλμῶν. τὰ δὲ κέρατα οὐχ ὥσπερ οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω παρὰ τὰ ὦτα· χωρεῖν δὲ αὐτὰ ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ μέλανα σφόδρα εἶναι, διαστίλβειν δὲ ὡσανεὶ λελεπισμένα. ὅταν δὲ ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. ἡνίκα δὲ πληγῇ, φεύγει, κἂν ἐξαδυνατοῦν μένει. ἔστι δὲ ἡδύκρεων. ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυιάς· ῥᾳδίως δὲ χρῆται τούτῳ καὶ πολλάκις τῷ εἴδει, καὶ ἐπικαίει δ' ὥστ' ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. τεταραγμένου μὲν οὖν τοῦτο ποιεῖν φασὶ τὸν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. ὅταν δὲ τίκτωσι, πλείους γενόμενοι καὶ συναχθέντες ἅμα πάντες οἱ μέγιστοι τίκτουσι καὶ κύκλῳ προσαφοδεύουσι· πολὺ γάρ τι τούτου τοῦ περιττώματος τὸ θηρίον προΐεται.

Τοὺς ἐν Ἀραβίᾳ φασὶ καμήλους μὴ ἀναβαίνειν ἐπὶ 2 τὰς μητέρας, ἀλλὰ κἂν βιάσηταί τις, οὐ θέλουσι. καὶ γάρ ποτε λέγεται, ἐπεὶ οὐκ ἦν ὀχεῖον, τὸν ἐπιμελητὴν καλύψαντα ἐφεῖναι τὸν πῶλον. ὡς δ' ὀχεύοντος ἐπέβη, τότε μέν, ὡς ἔοικε, συνετέλεσε, μικρῷ δ' ὕστερον δάκνων τὸν καμηλίτην ἀπέκτεινεν.

Τοὺς κόκκυγάς φασι τοὺς ἐν Ἑλίκῃ, ὅταν μέλλωσι τίκ- 3 τειν, μὴ ποιεῖν νεοττιάν, ἀλλ' ἐν ταῖς τῶν φαττῶν ἢ ταῖς τῶν τρυγόνων ἐντίκτειν, καὶ μήτ' ἐπῳάζειν μήτ' ἐκκολάπτειν μήτε τρέφειν αὐτούς· ἀλλ' ὅταν γεννηθῇ ὁ νεοττὸς καὶ ἐκτραφῇ, μεθ' ὧν ἂν οὗτος συνῇ, τούτους ἐκ τῆς νεοττιᾶς ἐκβάλλειν. γίνεται δ', ὡς ἔοικε, μέγας καὶ καλός, ὥστε ῥᾳδίως κατακρατεῖν τῶν λοιπῶν. τούτῳ δὲ χαίρειν φασὶ καὶ τὰς φάττας οὕτως ὥστε καὶ αὐτὰς συνεκβάλλειν ἐκείνῳ τοὺς ἰδίους νεοττούς.

Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, 4 τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον. ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα.

Φασί τινας ἐν Ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν ἀποβάλωσι 5 τὰ κέρατα, εἰς τοιούτους τόπους ἔρχεσθαι ὥστε μὴ ῥᾳδίως εὑρεθῆναι. τοῦτο δὲ ποιεῖν διὰ τὸ μὴ ἔχειν ᾧ ἀμυνοῦνται,

Codices $QB^aK^aN^aO^aR^aS^aT^aU^aV^a$. Tit. θαυμασίων] παραδόξων S^aT^a.

Capitum 1 — 31 loco $QK^aN^aO^a$ capita ponunt 151 — 178. sed prima verba ἐν τῇ — 12. ὀφθαλμῶν post c. 176 ponunt QO^a, utrobique K^aN^a. ‖ 6. Μαιδικὴν Sylburgius: codices μηδικήν. ‖ 7. μόναιπον τοῦτον K^aN^a: ceteri μόνεπον τοῦτο. ‖ 8. λέγουσι $K^aN^aS^aT^a$: ceteri λέγεται. ‖ βοΐ K^aN^a: ceteri τῷ βοΐ. ‖ 9. διαφέρει T^a. ‖ ἀρωστία B^aV^a. ‖ 10. ὥσπερ — 12. οὐχ om V^a. ‖ 11. κορυφαίας S^a. ‖ 12. τὰ δὲ — 832 b 21. βεβιῶσθαι om K^aN^a. ‖ 13. περὶ S^a. ‖ 14. ἡμιχόου B^a, ἡμιπηχύου V^a. ‖ μέλανα R^aV^a: ceteri μέλαν. ‖ 15. ὡσανεὶ T^aV^a: ceteri ὡς εἶναι. ‖ 17. πληγῶν B^a. ‖ φέγει T^a. ‖ ἐξαδυνατεῖ $B^aR^aV^a$. ‖ δὲ] δὲ καὶ T^a. ‖ 19. καὶ add S^aT^a. ‖ πολλῷ T^a. ‖ 20. τῷ εἴδει om S^aT^a. ‖ ἀποψύχεσθαι B^a. ‖ 21. τεταραγμένον μὲν οὖν τοῦτον V^a et omisso μὲν S^aT^a. ‖ 22. τίκτουσι S^a. ‖ 23. γενόμενοι S^a: ceteri γινόμενοι. ‖ 25. προΐεναι T^a.

5. τούς τ' ἐν T^a. ‖ 8. ὁ δὲ τὸ ὀχεῖον S^aT^a, omisso ἐπέβη, cuius loco ἀπέπεσεν est 630 b 34. ‖ 9. μικρὸν S^aT^a. ‖ χαμολίτην $B^aR^aV^a$. ‖ 11. ‖ κύνας $B^aR^aV^a$. ‖ τοὺς om S^a. ‖ ἐν] ἐν τῇ S^aT^a. ‖ μέλλουσι S^a. ‖ 12. νεοττείαν B^aR^a. ‖ τῶν om B^aR^a. ‖ φαβῶν T^a. ‖ 13. τριγόνων R^a. ‖ 15. οὗτος om T^a. ‖ νεοττείας $B^aR^aV^a$. ‖ 16. ἔοικε καὶ οὗτος μέγας S^aT^a. ‖ 18. φάσσας S^aT^a. ‖ 20. αἱ — 22. τοξεύματα] haec etiam post c. 161 ponunt $K^aN^aU^a$, omissis ὡς ἔοικε. ‖ 21. δίκταμνον K^a. ‖ 23. τινες $B^aR^aV^a$ et infra (post c. 161) K^a. ‖ ἀποβάλλωσι $R^aS^aT^aV^a$ et infra K^aU^a. ‖ 24. τοιούτους τοὺς τ. S^a, τούτους τοὺς τ. $B^aR^aV^a$ et $K^aN^aU^a$. ‖ εἰσέρχεσθαι S^a. ‖ ὥστε μὲν ῥᾳδίως $B^aR^aS^a$, ἐν οἷς οὐ ῥᾴδιον infra $K^aN^aU^a$. ‖ 25. μὴ] μόνον U^a. ‖ ἀμύνονται $B^aR^aV^a$ et K^a.

καὶ δια τὸ πονεῖν τοὺς τόπους ὅθεν τὰ κέρατα ἀπέβαλον. πελλαῖς δὲ καὶ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ ὁρᾶσθαι.

6 Ἐν Ἀρμενίᾳ φάρμακόν τί φασι φύεσθαι ὃ καλεῖται παρδάλειον. τούτῳ οὖν, ὅταν ὀφθῇ πάρδαλις, χρίσαντες τὸ ἱερεῖον ἀφιᾶσιν. ἡ δὲ ὅταν ἅψηται αὐτοῦ, ζητεῖ, ὡς ἔοικε, τὴν τοῦ ἀνθρώπου κόπρον. διὸ καὶ οἱ κυνηγοὶ εἰς ἀγγεῖον αὐτὴν ἐμβαλόντες ἔκ τινος δένδρου κρεμῶσιν, ἵνα προσαλλομένη καὶ ὑπέρκοπος γενομένη ὑπ' αὐτοῦ παραλυθῇ καὶ ὑποχείριος γένηται.

7 Ἐν Αἰγύπτῳ δὲ τοὺς τροχίλους φασὶν εἰσπετομένους εἰς τὰ στόματα τῶν κροκοδείλων καθαίρειν αὐτῶν τοὺς ὀδόντας, τὰ σαρκία τὰ ἐνεχόμενα τοῖς ῥύγχεσιν ἐξέλκοντας· τοὺς δ' ἥδεσθαι καὶ μηδὲν βλάπτειν αὐτούς.

8 Τοὺς ἐν Βυζαντίῳ φασὶν ἐχίνους αἰσθάνεσθαι ὅτε βόρεια καὶ νότια πνεῖ πνεύματα, καὶ μεταβάλλειν εὐθὺς τὰς ὀπάς, καὶ ὅταν μὲν ᾖ νότια, ἐκ τοῦ ἐδάφους τὰς ὀπὰς ποιεῖσθαι, ὅταν δὲ βόρεια, ἐκ τῶν τοιχῶν.

9 Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ καὶ τἄλλα τετράποδα, καθ' ἡμέραν δὲ πρὸς τὸ πέλαγος ἀντία τὰ πρόσωπα ποιήσασαι χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα.

10 Φασὶν ἐν Συρίᾳ τῶν ἀγρίων ὄνων ἕνα ἀφηγεῖσθαι τῆς ἀγέλης, ἐπειδὰν δέ τις νεώτερος ὢν τῶν πώλων ἐπί τινα θήλειαν ἀναβῇ, τὸν ἀφηγούμενον θυμοῦσθαι, καὶ διώκειν ἕως τούτου ἕως ἂν καταλάβῃ τὸν πῶλον, καὶ ὑποκύψας ἐπὶ τὰ ὀπίσθια σκέλη τῷ στόματι ἀποσπάσῃ τὰ αἰδοῖα.

11 Τὰς χελώνας λέγουσιν, ὅταν ἔχεως φάγωσιν, ἐπεσθίειν τὴν ὀρίγανον, ἐὰν δὲ μὴ θᾶττον εὕρῃ, ἀποθνήσκειν. πολλοὺς δ' ἀποπειράζοντας τῶν ἀγραυλούντων εἰ τοῦτ' ἀληθές ἐστιν, ὅταν ἴδωσιν αὐτὴν τοῦτο πράττουσαν, ἐκτίλλειν τὴν ὀρίγανον· τοῦτο δὲ ὅταν ποιήσωσι, μετὰ μικρὸν αὐτὴν ὁρᾶσθαι ἀποθνήσκουσαν.

Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ 12
φύσει τῶν λοιπῶν ζῴων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν,
ὅπως ἄν ποτε διακειμένη τύχῃ. φασὶ δὲ στραγγουρίας αὐτὸ
φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον.
Τὸν δρυοκολάπτην φασὶ τὸ ὄρνεον ἐπὶ τῶν δένδρων 13
βαδίζειν ὥσπερ τοὺς ἀσκαλαβώτας, καὶ ὕπτιον καὶ ἐπὶ τὴν
γαστέρα. νέμεσθαι δὲ λέγεται καὶ τοὺς ἐκ τῶν δένδρων σκώ-
ληκας, καὶ οὕτω σφόδρα κατὰ βάθους ὀρύττειν τὰ δένδρα ζη-
τοῦντα τοὺς σκώληκας ὥστε καὶ καταβάλλειν αὐτά.
Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς γινομένας 14
κόγχας ὀρύττοντας καταπίνειν, ἔπειτα ὅταν πλῆθος εἰσφρή-
σωσιν αὐτῶν, ἐξεμεῖν, εἶθ' οὕτως τὰ μὲν κρέα ἐσθίειν τῶν
κογχῶν, τῶν δ' ὀστράκων μὴ ἅπτεσθαι.
Ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας τοὺς κοσσύφους λευ- 15
κοὺς γίνεσθαι, ἄλλοθι δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας
προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. τὴν δ' ἡμέ-
ραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι.
Λέγεται δ' ὑπό τινων μέλι τὸ καλούμενον ἄνθινον 16
περὶ Μῆλον καὶ Κνίδον γίνεσθαι εὐῶδες μὲν τῇ ὀσμῇ, ὀλι-
γοχρόνιον δέ, ἐν τούτῳ δὲ καὶ τὴν ἐριθάκην γίνεσθαι. περὶ 17
Καππαδοκίαν ἔν τισι τόποις ἄνευ κηρίου φασὶν ἐργάζεσθαι
τὸ μέλι, γίνεσθαι δὲ τὸ πάχος ὅμοιον ἐλαίῳ. ἐν Τρα- 18
πεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι
βαρύοσμον· καί φασι τοῦτο τοὺς μὲν ὑγιαίνοντας ἐξιστά-
ναι, τοὺς δ' ἐπιλήπτους καὶ τελέως ἀπαλλάττειν. φασὶ 19
δὲ καὶ ἐν Λυδίᾳ ἀπὸ τῶν δένδρων τὸ μέλι συλλέγεσθαι
πολύ, καὶ ποιεῖν ἐξ αὐτοῦ τοὺς ἐνοικοῦντας ἄνευ κηροῦ τρο-
χίσκους, καὶ ἀποτέμνοντας χρῆσθαι διὰ τρίψεως σφοδροτέ-
ρας. γίνεται μὲν οὖν καὶ ἐν Θρᾴκῃ, οὐχ οὕτω δὲ στερεόν,
ἀλλ' ὡσανεὶ ἀμμῶδες. ἅπαν δὲ μέλι πηγνύμενον τὸν ἴσον
ἔχειν ὄγκον φασίν, οὐχ ὥσπερ τὸ ὕδωρ καὶ τἄλλα ὑγρά.

1. ὅθεν καὶ τὰ K^a. ‖ 2. πολλοῖς $S^a T^a$. ‖ καὶ om $B^a R^a V^a$ et $K^a N^a U^a$. ‖ 3. ἑωρᾶσθαι S^a. ‖ 5. παρδάλιον $B^a R^a S^a V^a$. ‖ τούτῳ Natalis de Comitibus: τοῦτο codices. ‖ 6. ἱρεῖον V^a. ‖ 7. οἱ om $S^a T^a$. ‖ 8. ἐμβάλλοντες $T^a V^a$. ‖ κρημνᾶσιν T^a. ‖ συμβαλλομένη $S^a T^a$. ‖ 9. ὑπέρκοπρος B^a. ‖ γινομένη S^a. ‖ αὐτῶν $B^a R^a T^a V^a$. ‖ 12. καθέλκειν αὐτῶν τῶν ὀδόντων $S^a T^a$. ‖ 13. ἐνεχ.] ἐξερχόμενα $B^a R^a V^a$. ‖ 15. Τοὺς — 18. τοιχῶν soli habent $S^a T^a$. ‖ 17. νότος S^a. ‖ 18. τριχῶν T^a. ‖ 19. τὰ πολλὰ ἄλλα $S^a T^a$. ‖ καθ' ἑκάστην ἡμέραν, ἀλλὰ πρὸς τὸ πνεῦμα ἀντία $B^a R^a V^a$ et infra ante c. 162 $K^a N^a U^a$: ii enim ibi hoc caput ponunt. ‖ 20. ποιήσασαι τὰ πρόσωπα B^a. ‖ 22. ἵππων $B^a R^a V^a$. ‖ 23. τῶν ἄλλων ἐπὶ τὴν θ. $B^a R^a V^a$. ‖ 24. τέως S^a. ‖ 25. ἀπὸ τῶν ὀπισθίων σκελῶν $B^a R^a V^a$. ‖ 26. ἀποσπᾶσθαι $B^a R^a T^a V^a$. ‖ 27. φασὶν $B^a R^a V^a$. ‖ 28. τὸν $B^a R^a$, τὸ V^a. ‖ 30. τὸ ὀρίγανον V^a, τὸ ὄργανον $B^a R^a$. ‖ δὲ om $S^a T^a$.

5. φασὶν post βαδίζειν $B^a R^a V^a$. ‖ τὸν B^a. ‖ 6. τὴν om T^a. ‖ 7. λέγονται T^a. ‖ 8. καὶ — 9. σκώληκας om T^a. ‖ 8. ὀρύσσειν τὰ δ. ζητοῦντας S^a. ‖ 10. φασὶ] καὶ $S^a T^a$. ‖ γενομένας $B^a R^a V^a$. ‖ 11. καταπίνειν] κατά τινος $B^a R^a V^a$. ‖ εἰσφερήσωσιν $R^a V^a$, εἰσφορήσωσιν $B^a S^a T^a$. ‖ 12. ἐξεμεῖν — 13. κογχῶν om T^a. ‖ 12. κατεσθίειν S^a. ‖ 14. φασὶ om T^a. ‖ 15. τίκτεσθαι $B^a R^a V^a$. ‖ δ' οὐκ ἄν, καὶ ποικίλας φωνὰς πρ. T^a. ‖ 18. μέλι interpres: codices μέν. ‖ 19. κυδώνιον $S^a T^a$. ‖ γίνεσθαι καὶ εὐῶδες $B^a R^a V^a$. ‖ 20. ἐν τούτῳ δὲ om $B^a V^a$. ‖ post γίνεσθαι $S^a T^a$ c. 20. ‖ 20. περὶ δὲ καππ. S^a, περὶ καππ. δ' T^a. ‖ 22. τὸ μέλι γίνεσθαι δὲ om $S^a T^a$. ‖ 23. τῇ om $S^a T^a$. ‖ τῷ om V^a. ‖ σπόγγῳ $S^a T^a$. ‖ 24. τοῦτο om $B^a R^a V^a$. ‖ 25. καὶ τελέως om T^a. ‖ 26. γίνεσθαι $B^a R^a V^a$. ‖ 27. ἀπ' $B^a R^a V^a$. ‖ 28. χρᾶσθαι δὲ καὶ ἀπίοις σφοδροτέροις S^a et omissa καὶ T^a. ‖ 29. μὲν] δὴ $S^a T^a$. ‖ δὲ om $S^a T^a$. ‖ 30. ἀμῶδες B^a. ‖ 31. ὄγκον ἔχειν $B^a R^a V^a$.

20 ἡ Χαλκιδικὴ πόα καὶ τὰ ἀμύγδαλα χρησιμώτατα πρὸς
τὸ μέλι ποιεῖν· πλεῖστον γὰρ γόνον φασὶν ἐξ αὐτῶν γίνε-
21 σθαι. τὰς μελίττας λέγουσιν ὑπὸ μύρου καροῦσθαι καὶ οὐκ
ἀνέχεσθαι τὴν ὀσμήν· ἔνιοι δὲ λέγουσι μάλιστα τοὺς μεμυ-
22 ρισμένους τύπτειν. ἐν Ἰλλυριοῖς φασὶ τοὺς Ταυλαντίους
καλουμένους ἐκ τοῦ μέλιτος ποιεῖν οἶνον. ὅταν δὲ τὰ κηρία
ἐκθλίψωσιν, ὕδωρ ἐπιχέοντες ἕψουσιν ἐν λέβητι ἕως ἂν
ἐκλίπῃ τὸ ἥμισυ, ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ ἡμί-
σεα ποιήσαντες τιθέασιν εἰς σανίδας· ἐν ταύταις δέ φασι
ζεῖν πολὺν χρόνον, καὶ γίνεσθαι οἰνῶδες καὶ ἄλλως ἡδὺ
καὶ εὔτονον. ἤδη δέ τισι καὶ τῶν ἐν Ἑλλάδι συμβεβηκέ-
ναι λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ· καὶ
ζητοῦντας ὕστερον τὴν κρᾶσιν μὴ δύνασθαι εὑρεῖν.
23 Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζῳογονηθῆναι το-
σούτους ὥστε, εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι
ἂν αὐτούς. διὸ δὴ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ κτείνειν οὐ
νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς γίνεται οἷσπερ
24 καὶ ὁ ἀνδροφόνος. ὡσαύτως καὶ ἐν Λακεδαίμονι κατά τινας
χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων ὥστε
διὰ σπανοσιτίαν καὶ τροφῇ τοὺς Λάκωνας χρῆσθαι αὐτοῖς·
ὅθεν καὶ τὴν Πυθίαν φασὶ προσαγορεῦσαι αὐτοὺς ὀφιοδείρους.
25 Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον
26 ἐσθίειν. φασὶ δὲ καὶ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ
αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων.
διὸ δὴ καὶ τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.
27 Λέγεται δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν τῷ δευτέρῳ
σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γίνεσθαι. διὸ καὶ ὁ βα-
σιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, πᾶσι
τοῖς αὑτοῦ συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύσαντι
ἆθλον ἐδίδου.
28 Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ
πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις·
ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, γίνεσθαι,
τινὰς δὲ ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας.
Περὶ Κιλικίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, 29
εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζῴων ὅταν
ἀποβαφῇ, πάλιν ἀναβιοῖ.
Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θη- 30
ρίον τι γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τά-
ρανδος· λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τρι-
χὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ. διὰ δὲ τοῦτο εἶναι δυσθήρα-
τον [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τό-
ποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροίᾳ γίνεσθαι.
θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ
λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους.
τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. τοῦ δὲ προσώπου τὸν τύπον
ὅμοιον ἔχει ἐλάφῳ.
Λέγεταί τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ 31
καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν,
ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κα-
τέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα
βεβιῶσθαι. καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν 32
μὲν νύκτα μαίνεσθαι, τὴν δ' ἡμέραν οἰνοπωλεῖν. καὶ γὰρ
τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε,
πολλῶν δ' ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν οὐδέποτε
ἀπώλεσεν.
Ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα 33
ἔχον, ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. καὶ ἐν Βιθυ-
νίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος
σπίνος, ἐξ οὗ φασὶ πῦρ ἀνάπτεσθαι. ἐν δὲ Λιπάρᾳ τῇ 34
νήσῳ λέγουσιν εἶναί τινα εἰσπνοήν, εἰς ἣν ἐὰν κρύψωσι
χύτραν, ἐμβαλόντες ὃ ἂν ἐθέλωσιν ἕψουσιν. ἔστι δὲ καὶ 35

1. χαλιδικὴ B^aV^a. ‖ 2. πλεῖστον — γίνεσθαι om T^a. ‖ 3. λέγει $B^aR^aV^a$. ‖ 5. τοὺς om T^a, τοῖς $B^aR^aV^a$. ‖ ταλαντίους καλουμένους S^a, ταυλαντίοις καλουμένοις $B^aR^aV^a$. ‖ 7. ἐκθλίβωσιν $B^aR^aV^a$. ‖ ἕως] μέχρις οὗ S^aT^a. ‖ 8. ἐλλίπῃ S^a. ‖ ἡμίσεα] ἥδιστα $B^aR^aV^a$. ‖ 9. φασιν ἔχειν πολυχρόνιον $B^aR^aV^a$. ‖ 10. γίνεται T^a. ‖ 11. τινες $B^aR^aV^a$. ‖ ἐν] ἐν τῇ T^a. ‖ 12. λέγει B^aV^a. ‖ 14. περὶ τὴν θεττ. T^a. ‖ 16. δὴ om $B^aR^aV^a$. ‖ 17. ὥσπερ pr S^a. ‖ 20. τροφὴν S^aT^a. ‖ 21. φάναι προσαγορεύεσθαι $B^aR^aV^a$. ‖ 23. μυίας B^aR^a, μέτας V^a. ‖ 23. τι $B^aR^aV^a$. ‖ ὑποκειμένῳ V^a. ‖ 24. νησίῳ T^a. ‖ περὶ $B^aR^aS^aV^a$. ‖ 25. δὴ om $B^aR^aS^aV^a$. ‖ τοὺς om $B^aR^aV^a$. ‖ 26. δὲ] δὲ καὶ S^aT^a. ‖ τῷ om $B^aR^aV^a$. ‖ 27. γενέσθαι $B^aR^aV^a$. ‖ διὸ δὴ καὶ βασιλεὺς πέρσης S^a. ‖ 28. τοῖς αὐτοῦ πᾶσι S^aT^a.

2. γίνεσθαι, τινας] τοὺς S^aT^a. ‖ 3. δὲ] δὲ καὶ B^a. ‖ 4. σικελίαν $B^aR^aV^a$. ‖ 8. τι om $B^aR^aV^a$. ‖ γενέσθαι T^a. ‖ τάρανδρος S^a, τάνανδρος T^a. ‖ 9. μεταβάλλει R^a. ‖ τῶν τριχῶν V^a. ‖ 10. εἶναι δὲ διά τε τοῦτο $B^aR^aT^aV^a$. ‖ 12. οἷς] ἧς R^a. ‖ χρόα $B^aR^aV^a$. ‖ γίνεται $B^aR^aS^aT^a$. ‖ 13. τὰ μὲν γὰρ S^aT^a. ‖ 15. τύφον B^aR^a. ‖ 16. ἐλάφου S^a. ‖ 22. δ' post ἡμέραν V^a, om $B^aR^aN^a$. ‖ καὶ γὰρ τὸ] τὸ γὰρ S^aT^a. ‖ 23. ζωνιδίῳ K^aN^a. ‖ διεφυλάττετο S^aT^a. ‖ 24. παρελέσθαι καὶ om B^aR^a. ‖ 26. Ἐν — 29. ἀνάπτεσθαι] haec infra (post c. 177) ponunt $K^aN^aO^aU^a$, hoc loco S^aT^a. ‖ 26. τήλῳ $K^aN^aO^aU^a$, τήνων T^a, τινι S^a. ‖ σύγκριμα U^a, σύγγραμμα N^a. ‖ 27. ἔχον om S^aT^a. ‖ οὗ] οὗ φασὶ S^a. ‖ πάνυ om $K^aN^aO^aU^a$. ‖ post ῥᾳδίως $QK^aN^aO^a$, post ἀνάπτεσθαι (29.) U^a: περὶ τῶν ἐκ γῆς ἀναφυομένων πυρῶν. ‖ 28. λεγόμενος S^a. ‖ 29. σπίνις S^a, σπίν ἰς T^a. ‖ 30. τινὰ εἰσπνοήν] τινες γῆν $B^aK^aN^aR^aV^a$. ‖ 31. ἐὰν K^aN^a, ἐ R^a, om B^aV^a. ‖ θέλουσι B^aV^a. ‖ ἕψεσθαι, idque ante ὃ, T^a. ‖ καὶ om N^a.

ἐν Μηδίᾳ καὶ ἐν Ψιτταкηνῇ τῆς Περσίδος πυρὰ καιόμενα,
τὸ μὲν ἐν Μηδίᾳ ὀλίγον, τὸ δ' ἐν Ψιττακηνῇ πολὺ καὶ
καθαρὸν τῇ φλογί· διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ κατε-
σκεύασεν ὁ Περσῶν βασιλεύς. ἄμφω δ' ἐν ὁμαλοῖς τόποις
καὶ οὐκ ἐν ὑψηλοῖς. ταῦτα δὲ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν
36 φανερά, τὰ δὲ περὶ Παμφυλίαν νύκτωρ μόνον. φασὶ δὲ
καὶ περὶ Ἀτιτανίαν, πρὸς τοῖς ὁρίοις τῆς Ἀπολλωνιάτιδος,
εἶναί τινα πέτραν ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν,
37 ἐπειδὰν δὲ ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται. λέγε-
ται δὲ καὶ τὰ ἔξω στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν
διὰ παντός, τὰ δὲ νύκτωρ μόνον, ὡς ὁ Ἄννωνος περί-
πλους ἱστορεῖ. καὶ τὸ ἐν Λιπάρᾳ δὲ φανερὸν καὶ φλο-
γῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ νύκτωρ μόνον. εἶναι δὲ
καὶ ἐν Πιθηκούσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτό-
38 πως, οὐ μὴν καιόμενον. τὸ δ' ἐν τῇ Λιπάρᾳ ποτὲ καὶ
ἐκλιπεῖν φησὶ Ξενοφάνης ἐπ' ἔτη ἑκκαίδεκα, τῷ δὲ ἑβδό-
μῳ ἐπανελθεῖν. τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύακα οὔτε φλο-
γώδη φασὶν οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν γί-
39 νεσθαι. λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναζέσαι πῦρ
40 πάμπληθες, καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά. θαυμαστὸν
δὲ τὸ ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον· τὸ γὰρ πλά-
τος ἐστὶ τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων,
41 τὸ δὲ ὕψος δι' οὗ φέρεται, τριῶν. φασὶ δὲ τὸν ἐν τῇ
Θρᾴκῃ λίθον τὸν καλούμενον σπίνον διακοπέντα καίεσθαι,
καὶ συντεθέντα πρὸς ἑαυτόν, ὥσπερ τὴν σμαρίλην, οὕτως
κἀκεῖνον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι καί-
εσθαι. τὸ δ' αὐτὸ ποιεῖν καὶ τὸν μαριέα.

42 Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα,
ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξάνεσθαί φασι καὶ
43 φύειν χρυσίον, καὶ τοῦτ' εἶναι φανερόν. φασὶ δὲ καὶ ἐν
Κύπρῳ περὶ τὸν καλούμενον Τυρρίαν χαλκὸν ὅμοιον γίγνε-
σθαι. κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπείρουσιν
αὐτόν· εἶθ' ὑδάτων ἐπιγενομένων αὐξάνεται καὶ ἐξανίησι
καὶ οὕτως συνάγεται. φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν 44
τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς πάλιν ἀναπληρώματα
γίγνεσθαι.

Περὶ Παιονίαν λέγουσιν, ὅταν συνεχεῖς ὄμβροι γέ- 45
νωνται, εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς χρυσὸν τὸν κα-
λούμενον ἄπυρον. λέγουσι δ' ἐν τῇ Παιονίᾳ οὕτω χρυσί-
ζειν τὴν γῆν ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ μνᾶν χρυ-
σίου ὁλκήν. τῷ δὲ βασιλεῖ τινά φασιν εὑρόντα ἀνενεγκεῖν
δύο βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὓς
φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι, καὶ ἐπ' ἐκεί-
νων πρῶτον, εἴ τι ἐσθίει, ἀπάρχεσθαι. φασὶ δὲ καὶ ἐν 46
Βάκτροις τὸν Ὦξον ποταμὸν καταφέρειν βωλία χρυσίου
πλήθει πολλά, καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδω-
ρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον,
ὁμοίως δὲ καὶ καταφέρειν.

Λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν 47
τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων,
χασμάτων τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι
χρυσίον τὸ μέγεθος σπιθαμιαῖον. λέγεται δὲ ἰδιαιτά- 48
την εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμι-
σηνοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμ-
μου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δ' οἱ
μὲν ἁπλῶς φασὶ πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπό-
στασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυ-
θεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυρίμαχον κα-
λούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. οὗτος δ' ὁ σί-
δηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν
μιᾷ καμίνῳ ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου.
μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

1. μηδεία K^aN^a. ‖ 1 et 2. ψιττακῇ K^aN^a, ψιττακίνῃ $B^aR^aS^aT^aV^a$. ‖ 2. τὰ — τὰ $B^aR^aV^a$. ‖ ἐν τῇ ψ. K^a. ‖ 3. αὐτὸ S^aT^a. ‖ 4. ὁμαλοῖς καὶ οὐκ ἐν ὑψηλοῖς τόποις S^aT^a, ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ἀνωμάλοις ceteri. ‖ 5. ταῦτα δὲ καὶ om S^aT^a, καὶ om B^aR^a. ‖ 7. καὶ om $K^aN^aT^a$. ‖ ἀπολλωνιάδος N^a. ‖ 9. καὶ τὰ ἔξω δέ, omisso λέγεται, T^a. δὲ om S^a. ‖ 11. τὰ δὲ] πάλιν δὲ N^a. ‖ ὁ om $B^aR^aT^a$. ‖ 12. λιπάρῳ rc T^a. ‖ 13. νυκτὸς $B^aK^aN^aR^a$. ‖ 14. πιθικούσαις N^a. ‖ 15. μέντοι S^aT^a. ‖ τῇ om S^a. ‖ 16. ἐκλείπειν $B^aK^aN^aR^aS^a$. ‖ ξενοφάνης φησὶν S^aT^a. ‖ ἐπ' om $B^aK^aN^aR^a$. ‖ 17. τὸ B^aR^a. ‖ ἐν τῇ om T^a, τῇ om S^a. ‖ 18. αἰτιῶν B^aR^a. ‖ 19. ἀναφέρεσθαι $B^aK^aN^aR^a$. ‖ 20. θαυμαστότατον $B^aK^aN^aR^a$. ‖ 21. τὸν T^a, omissis mox περὶ τόν. ‖ ῥύωκα T^a, ῥύακον B^aR^a. ‖ γενόμενον $B^aN^aR^aT^a$. ‖ 22. ἀναζεύξεως N^a. ‖ 23. δι' om B^aR^a. ‖ 25. σμαρίλλην $B^aN^aR^aS^aT^a$. ‖ 26. τιθέντα S^a. ‖ 27. τὸ δ' αὐτὸ om T^a. ‖ μαριθὰν $B^aN^aR^a$. ‖ 28. τοὺς ἐν μακεδονίᾳ S^aT^a. ‖ 29. αὐξάνεσθαί φασιν ἀποσύρματα S^a. ‖ 30. δὲ om $B^aN^aR^aS^a$. ‖ 31. λεγόμενον B^aR^a. ‖ τυρίαν N^a.

2. ἐξανίησι] ἀνίεται B^aR^a. ‖ 3. καὶ οὕτως συνάγεται om T^a. ‖ 4. πάλιν om S^a. ‖ ἀναπλήρωμα T^a. ‖ 6. συνεχεῖς οἱ ὄμβροι B^aR^a. ‖ γίνωνται B^a, γίνονται R^a. ‖ 9. ὑπὲρ τὴν μνᾶν $B^aN^aR^aS^a$. ‖ 10. τινά om $B^aN^aR^aS^a$, qui mox εὑρέντας. ‖ 11. μώβους B^a. ‖ 12. αὐτῷ om T^a. ‖ 13. ἀπέρχεσθαι B^aR^a. ‖ 14. ὦζον $R^aS^aT^a$, τόξον (omisso τὸν) N^a. ‖ χρυσία $B^aR^aT^a$. ‖ 15. πλῆθος N^a, om $B^aR^aT^a$. ‖ 16. ἐμβράσσειν T^a. ‖ 18. λέγεται $B^aR^aT^a$. ‖ 21. ἰδιωτάτην $B^aR^aS^aT^a$. ‖ 22. Ἀμισηνοῦ] ἀσημίου μυσινοῦ T^a, ἀσιμίου μησηνοῦ B^aR^a. ‖ 25. πλύναντας Sylburgius: codices πλύναντες. ‖ καὶ μινεύειν B^aR^a. ‖ 26. τῆς γινομένης S^a. ‖ φλύσεως B^aR^a, φύσεως S^a. ‖ 27. παρεμβάλλειν B^a. ‖ δὲ τῷ πυρὶ μάχον S^a. ‖ 30. ἐκκαίετο $B^aR^aS^a$. ‖ ἀργύρου S^a. ‖ 31. εἶναι om $B^aN^aR^aT^a$.

49 Φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότερόν εἰσι χαλκαῖ ἢ χρυσαῖ.

50 Τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. σημεῖον δὲ τῆς εὐτηξίας, ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι· χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένηται πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασί, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ διὰ τὴν ἀσθένειαν.

51 Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν· ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ χλωρά. ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος εἰς τοὺς στεφάνους συμμέτρως. ἀπὸ ταύτης φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστίν. ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες ἐφύτευσαν Ἠλεῖοι ἐν Ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν.

52 Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς περὶ Πέργαμον, ἃ δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς γενομένου κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά, τοῦ δὲ στομίου ἐποικοδομηθέντος ἀπεπνίγησαν· καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων ἀνακαθαρθέντων εὑρέθη οἷς ἐχρῶντο ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας ἀπολελιθωμένα, οἷον ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. ταῦτα δὴ πεπληρωμένα οὗ τινὸς ἔτυχον ὑγροῦ ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων.

53 Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι· κἂν
54 πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει. περὶ τὴν Ἀσκανίαν λίμνην Πυθόπολίς ἐστι κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται πάντα τὰ φρέατα ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος.

Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας καὶ Ἰταλίας αὔξεται 55
καὶ φθίνει ἅμα τῷ σεληνίῳ. καὶ διότι ἐπὶ τῆς ὁδοῦ τῆς 56
εἰς Συρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη οὔτε ὕδωρ ἔχουσα πολύ· συναπαντήσαντος δὲ εἰς τὸν τόπον ὄχλου πολλοῦ παρέσχεν ὕδωρ ἄφθονον. ἔστι δὲ καὶ κρήνη τις 57
ἐν Παλικοῖς τῆς Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' ἀναρρίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥστε ὑπὸ τῶν ἰδόντων νομίζεσθαι κατακλυσθήσεσθαι τὸ πεδίον· καὶ πάλιν εἰς ταὐτὸ καθίσταται. ἔστι δὲ καὶ ὅρκος, ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ ὄμνυσί τις, γράψας εἰς πινακίδιον ἐμβάλλει εἰς τὸ ὕδωρ. ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινακίδιον βαρὺ γενόμενον ἀφανίζεσθαί φασι, τὸν δ' ἄνθρωπον πίμπρασθαι. διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ' αὐτοῦ ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν.

Δημόνησος ἡ Καρχηδονίων νῆσος ἀπὸ Δημονήσου τοῦ 58
πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος κυανοῦ τὸ μέταλλον καὶ χρυσοκόλλης. ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει τιμήν· καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστίν. ἔστι δὲ αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυοῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ νεῷ τοῦ Ἀπόλλωνος καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. ἐπιγέγραπται δ' αὐτοῖς "Ἡρακλῆς Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν." αἱρεῖ δὲ τὴν Ἦλιν ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσι· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς. ἔστι δὲ αὐτόθι σπήλαιον ὃ καλεῖται 59
γλαφυρόν· ἐν δὲ τούτῳ κίονες πεπήγασιν ἀπό τινων σταλαγμῶν. ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ συναγωγῇ τῇ πρὸς τὸ ἔδαφος· ἔστι γὰρ ταύτῃ στενώτατον.

Ἐκ τοῦ ζεύγους δὲ τῶν ἀετῶν θάτερον τῶν ἐγγόνων 60

2. ὡς $B^aR^aT^a$. ‖ 4. βατιανὰς rc S^a, βατιατικὰς $B^aR^aT^a$. ‖ 6. κασίτερον B^a. ‖ 7. μολίβδου $B^aR^aT^a$. ‖ 9. ὅτι B^aR^a, ὅτε T^a. ‖ γένοιτο T^a. ‖ εἰ κατακλειομένου S^a. ‖ 13. ταύτης δὲ πάντα T^a. ‖ 14. ἀλλ' om T^a. ‖ 15. πρὸς N^a. ‖ συμμέτρους B^aS^a, σύμμετρον N^a. ‖ 16. ταύτης δὲ φ. S^aT^a. ‖ 20. θήγοντι S. ‖ ταύτης $B^aN^aR^aS^a$. ‖ 21. ἠλεῖοι ἐφύτευσαν S^a. ‖ 24. γινομένου N^a. ‖ 27. ἀνακαρθέντων T^a. ‖ 28. ἀπολελιθωμένου (οις supra ου) N^a. ‖ ἀναφορεῖς B^aR^a. ‖ 29. δὲ S^a. ‖ 32. ῥύματος $B^aN^aR^aT^a$. ‖ 33. διαπίπτειν S^a. ‖ 34. μυθήπολις $B^aR^aT^a$. ‖ κίων N^a. ‖ 35. ἀναξηραίνεσθαι codices.

3. καὶ τῆς ἰταλίας B^aR^a. ‖ 8. παλίκμοις B^aR^a, παλίσκοις T^a. ‖ ἀναράπτει S^a. ‖ 10. πέδον S^a. ‖ 12. ὄμμασί B^aR^a, γράμμασί T^a. ‖ 14. πινάκιον N^a. ‖ βαρὺ γενόμενον om pr S^a. ‖ 15. καὶ πίμπρασθαι τὸν ἄνθρωπον rc S^a. ‖ 16. ἐγγύαν N^aT^a. ‖ 18. δημόννησος et mox δημοννήσου B^aR^a. ‖ 20. κυανοῦν $N^aR^aT^a$, κυδνοῦν B^a. ‖ ταύτη $B^aR^aT^a$. ‖ 21. τιμήν] τις $B^aR^aT^a$. ‖ 22. κολυμβητὸς S^a. ‖ 23. δυεῖν T^a. ‖ θαλάττης N^a. ‖ ὁ om N^a. ‖ 24. ναῷ $B^aR^aT^a$. ‖ 25. ἡρακλῆς ὁ ἀμφ. R^aT^a. ‖ 26. ἐλεῖν B^a, ἐλὴν R^a. ‖ 28. ἀπέκτειναν B^aR^a. ‖ 31. δὲ] γὰρ $B^aN^aR^aT^a$. ‖ 32. κίονες interpres: codices χιόνες. ‖ 33. ἀναγωγῇ $B^aR^aT^a$. ‖ 34. στεινότατον B^aR^a, στεγνότατον N^aT^a. ‖ 35. ἀγόνων $B^aR^aT^a$.

ἁλιαίετος γίνεται παραλλάξ, ἕως ἂν σύζυγα γένηται. ἐκ
δὲ ἁλιαιέτων φήνη γίνεται, ἐκ δὲ τούτων περκνοὶ καὶ γῦ-
πες· οὗτοι δ' οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεν-
νῶσι τοὺς μεγάλους γῦπας· οὗτοι δ' εἰσὶν ἄγονοι. σημεῖον
δὲ τοῦτο, διότι νεοττιὰν οὐδεὶς ἑώρακε γυπὸς μεγάλου.

61 Θαυμαστὸν δέ τί φασιν ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μό-
λυβδον συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ
ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

62 Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευ-
κότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ
γῆς τινὸς αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι
δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγε-
γονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγι-
γνόμενα οὐκέτι.

63 Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ
εὑρίσκεσθαι φωλεύοντα, οὔτε ἀφοδεύοντα, οὔτε δὲ ὅταν
τὰ πτερὰ αὐτῶν τίλλωσιν, αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν
ὀβελίσκον ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ.
πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ πε-
ριτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς δια-
θερμανθῶσιν.

64 Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ
ἔργα βαδίζειν, ᾧ καὶ οἱ μελιττοπόλοι σημείῳ χρῶνται·
ἠρεμία γὰρ αὐτῶν γίνεται. δοκοῦσι δὲ καὶ οἱ τέττιγες
ᾄδειν μετὰ τροπάς.

65 Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρι ἐνιαυτοῦ.

66 Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθά-
περ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ
τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς.

67 Λέγουσι δὲ καὶ τὸ τῆς ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς
ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ,
αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ.

68 Ἐν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ
παράπαν εἶναι. καὶ ἐν Μακεδονίᾳ ἐν τῇ τῶν Ἠμαθιωτῶν
χώρᾳ τοὺς σῦς εἶναι μώνυχας.

Ἐν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους καὶ 69
ἐν Κρήτῃ αἰγείρους καρποφόρους.

Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· 70
ἐὰν δὲ εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσιν.

Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδιά φασι 71
γίνεσθαι ἃ ἐν τῷ ξηρῷ πλανᾶται καὶ πάλιν ἀποτρέχει
εἰς τὸν ποταμόν. φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες ἰχ- 72
θύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα
ξηραινομένου τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμε-
σθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ ἀνακινεῖν τὴν οὐράν·
καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπως
ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι
δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο
σῶμα κωβιῷ, βραγχία δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες.

Ἐν Ἡρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥηγίῳ 73
γίνεσθαί φασιν ὀρυκτοὺς ἰχθῦς, τούτους δὲ μάλιστα κατὰ τὰ
ποτάμια καὶ τὰ ἔνυδρα χωρία. συμβαίνειν δέ ποτε ἀνα-
ξηραινομένων τῶν χωρίων κατά τινας χρόνους συστέλλεσθαι
κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης διώκοντας τὴν ὑγρό-
τητα διίεσθαι εἰς τὴν ὕλην, εἶτα ξηραινομένης διαμένειν ἐν
τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα. ὅταν
δὲ ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε
κινεῖσθαι. φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς 74
γίνεσθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς,
οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρ-
ρεόντων, ἀλλ' αὐτῆς ζῳογονούσης τῆς γῆς.

Τὰς ἐν Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν 75
κέρας, ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον.
καὶ τὴν λύγκα δέ φασι τὸ οὖρον κατακαλύπτειν διὰ τὸ 76
πρὸς ἄλλα τε χρήσιμον εἶναι καὶ τὰς σφραγῖδας. φασὶ 77
δὲ καὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται·
εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιλήπτοις χρήσιμον.

Λέγεται δὲ περὶ τὴν Ἰταλίαν ἐν τῷ Κιρκαίῳ ὄρει 78
φάρμακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν
δύναμιν ὥστε, ἂν προσρανθῇ τινί, παραχρῆμα πίπτειν ποιεῖ,

2. τούτων οἱ π. $B^aR^aS^aT^a$. ‖ περκνοὶ S^a. ‖ καὶ om N^aS^a. ‖ 4. γύπους B^a. ‖ οὗτοι δ'] οἵπερ S^a. ‖ 5. νεοττείαν B^aR^a. ‖ μεγάλην N^a. ‖ 6. φασι] τὰ B^a. ‖ μόλυβδον B^aR^a. ‖ 7. συμβαίνει S^aT^a. ‖ καταχεθῇ S^a, κατασχεθῇ B^aR^a. ‖ 9. χαλκὸν] λάκκον B^aR^a. ‖ 11. αὐτοῦ S^a. ‖ 16. φωλεύοντα om B^aR^a. ‖ οὔτε δὲ $B^aR^aS^a$. ‖ ἀφοδεύοντα οὔτε δὲ om S^a. ‖ ὅτε N^aS^a, ὄντα B^aR^a. ‖ 18. ἀλλ'] καὶ N^a. ‖ 19. τῶν om N^a. ‖ 20. θερμανθῶσιν $B^aR^aS^aT^a$. ‖ 22. μέλιτα N^a. ‖ 23. μελιττοπῶλοι B^a, μελιττοπῶλαι N^a. ‖ 26. ἄχρις N^aT^a. ‖ 28. τηρεῖται T^a, τηρεῖ B^a. ‖ 30. ἄκτου N^a. ‖ 31. ἐκεῖνα φωλεύῃ αὐξαίνεσθαι N^a. ‖ 35. τοὺς ὄνους σῦς N^a. ‖ μόνυχας B^a.

3. φασὶ — 7. ποταμόν om $B^aR^aT^a$. ‖ 6. ὑποτρέχει S^a. ‖ 7. ἰχθύδιά τινα $B^aR^aN^aT^a$. ‖ 9. τοῦ] δὲ τοῦ S^a. ‖ 11. ἀντιπροσώπω B^aR^a, ἀντιπροσώπου N^a. ‖ 15. ῥυγίῳ N^a. ‖ 16. ἰχθύας, τούτους μάλιστα $B^aR^aT^a$. ‖ 17. ποτε κατὰ τοῦτον τὸν τόπον ἀναξ. S^a. ‖ 28. ἀποβάλλωσι B^a. ‖ 29. καὶ τὴν — 30. σφραγῖδας post 32. χρήσιμον $B^aN^aR^aT^a$. ‖ 29. λύγα $B^aR^aT^a$, λύγγα N^a, λαρύγγα S^a. ‖ καλύπτειν N^a. ‖ 30. χρύσιμον S^a. ‖ 31. φώνην R^a. ‖ πιτύαν $B^aR^aT^a$. ‖ 32. ἐπιληπτικοῖς N^a. ‖ 33. κυρκαίῳ B^aR^a. ‖ 35. περανθῇ τινι παραυτίκα πίπτειν ποιεῖ B^aR^a.

καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος διαρρεῖν τὰ μέλη, ὥςε τὴν ἐπιφάνειαν τοῦ σώματος εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν. τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Αὖλον τὸν Πευκέστιον καὶ Γάϊον φωραθῆναι, καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

79 Ἐν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Ἀδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαςόν τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι, καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν τόπον, ἡσυχίαν ἔχειν, ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι καὶ αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου.

80 Παρὰ τοῖς Ὀμβρικοῖς φασὶ τὰ βοσκήματα τίκτειν τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων· εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείςας δύο καὶ τρία.

81 Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου, φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλε. ταύτας δὲ τὰς νήσους φασὶ προκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. ἔςι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. ἔχει δὲ τὸν μὲν κύκλον ςαδίων διακοσίων, τὸ δὲ εὖρος ὡς δέκα. μυθεύουσι δὲ οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. τοῦτο δὲ λέγουσιν ὅμοιον εἶναι κόμμι, ἀποσκληρύνεσθαι δὲ ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς Ἕλληνας. εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτὰς ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὐτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ. ὕςερον δ' ἐπιπλευσάντων ἐπ' αὐτοὺς Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους φυγεῖν τὸν Δαίδαλον, καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον.

Ἐν τῇ Σικελίᾳ περὶ τὴν καλουμένην Ἔνναν σπήλαιόν 82
τι λέγεται εἶναι, περὶ ὃ κύκλῳ πεφυκέναι φασὶ τῶν τε ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιςα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥςε τοὺς κυνηγοῦντας, τῶν κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. διὰ δὲ τούτου τοῦ χάσματος ἀσυμφανής ἐςιν ὑπόνομος, καθ' ὃν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. εὑρίσκεσθαι δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυροὺς οὔτε τοῖς ἐγχωρίοις ὁμοίους οἷς χρῶνται οὔτε ἄλλοις ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. καὶ τούτῳ σημειοῦνται τὸ πρώτως παρ' αὐτοῖς φανῆναι πύρινον καρπόν. ὅθεν καὶ τῆς Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ' αὐτοῖς τὴν θεὸν γεγονέναι.

Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους τούς τ' ἔχεις, ὁμοίως 83
δὲ καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ.

Ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων ςηλῶν φασὶν 84
ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπὴν καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς θαυμαςήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐ-

1. ἀπομαδεῖν S^a. ‖ 2. διαργεῖν S^a. ‖ 3. ἐλεεινόν B^aR^a. ‖ 5. ἄρουν rc S^a, παῦλον $B^aR^aT^a$. ‖ πευκέντιον S^a. ‖ ἐξετασθ.] ἀνασάντας N^a. ‖ 7. διομηδία N^a. ‖ 8. τε] τι $B^aN^aR^a$. ‖ 9. μεγάλας N^a. ‖ ῥύγχα ἔχοντας μεγάλην καὶ σκληράν N^a. ‖ 11. πόντον B^aR^a. ‖ 12. αἰρομένους B^aR^a. ‖ 15. τῶν ante τοῦ om $B^aR^aT^a$. ‖ 16. δὲ om S^a. ‖ 17. αἰνείου S^a. ‖ 20. τρὶς ante 19. τίκτειν B^aR^a, om N^a. ‖ 22. σπανίως pr S^a. ‖ 25. ἀδρία N^aS^a, ἀνδρίου B^a. ‖ 28. ὅτι S^a. ‖ μίνως B^aR^a. ‖ φυγὼν ἐκ τῆς σ. S^a. ‖ 30. προσκεχωκέναι S^a. ‖ ἔςι δὲ καὶ S^a, ἔτι δὲ $B^aR^aT^a$. ‖ 31. ποταμοῦ καὶ ὕδωρ N^a. ‖ 32. χαλεπὸν N^a. ‖ 33. ἀπ' pr N^a. ‖ 34. ἔχει] ἔςι rc S^a.

1. τριακοσίων S^a. ‖ ἕως B^aR^a, ὡσεὶ S^a. ‖ μηθεύουσι R^a. ‖ δὲ καὶ οἱ S^a. ‖ 3. αὐτῷ S^a. ‖ 4. τοῦτο] οἱ $B^aN^aR^a$. ‖ 5. ἀποσκλ. δὲ] διὰ τὸ ἀποσκλ. $B^aN^aR^a$. ‖ 7. φησιν B^a. ‖ 8. ἀναθῆναι B^aR^a. ‖ 9. κάρου B^a. ‖ ἐν τῇ ἑτέρᾳ om $B^aN^aR^aS^a$. ‖ 10. ἐπ' αὐτοὺς om $B^aN^aR^a$. ‖ πελασγῶν τῶν ἐκπεσόντων om N^a. ‖ 13. ἐν τῇ καλουμένῃ N^aR^a, τῇ καλουμένῃ B^a. ‖ ἔναν rc S^a, αἴτνη $B^aN^aR^a$. ‖ 14. ὃ] δὲ S^a. ‖ 18. κενῶν B^aR^a. ‖ 21. δέ om N^a. ‖ 23. ἐπισάκτοις B^a. ‖ 24. τοῦτο B^a. ‖ τῷ B^aR^a et rc N^a. ‖ 25. τῆς om N^a. ‖ δήμητρος] δη B^aR^a. ‖ 27. τούς τ'] οὔτ' N^a. ‖ 29. τὸ om B^a. ‖ 31. ἔρημον S^a. ‖ 32. παντοδαπῆ B^aR^a. ‖ 33. θαυμαςὸν B^aR^a. ‖ πλοῦν om $B^aN^aR^a$. ‖ 34. πλεονάκις $B^aN^aR^a$.

δαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἐπ' αὐτῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται.

85 Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν τε Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

86 Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν· ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθορὰν ὥστε τῶν Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον πρὸ τοῦ τὸ φάρμακον διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ ὅπως μὴ σαπῇ τὸ ζῷον. εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κοράκιον διὰ τὸ κατανοηθῆναι ὑπ' αὐτῶν κόρακα, γευσάμενον τοῦ φαρμάκου καὶ κακῶς διατιθέμενον, ἐπὶ τὸ φύλλον ὁρμήσαντα τοῦτο καὶ καταπιόντα παύσασθαι τῆς ἀλγηδόνος.

87 Ἐν τῇ Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων, καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων πάμπληθές συναχθῆναι ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν.

88 Ἐν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν Ἰβηρίαν, ἃς μετὰ τὰς λεγομένας ἑπτὰ μεγίστας λέγουσιν εἶναι, φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου κομιδῇ πολὺ καὶ εἰς πάντα ἁρμόττον. λέγουσι δὲ οὕτω τοὺς οἰκοῦντας αὐτὰς Ἴβηρας καταγύνους εἶναι ὥστε ἀντὶ ἑνὸς σώματος θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ πέντε σώματα ἄρρενα. στρατευόμενοι δὲ παρὰ Καρχηδονίοις τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μέν, ὡς ἔοικεν, οὐδὲν ἀγοράζουσι, γυναῖκας δέ. οὐ γὰρ χρυσίον οὐδὲ ἀργύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. ἐπιλέγεται δέ τι τοιοῦτον ἐπὶ τῷ κωλύειν χρήματα εἰσάγειν αὐτούς, ὅτι τὴν στρατείαν Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν Ἰβηρίαν διὰ τοὺς τῶν ἐνοικούντων πλούτους.

Ἐν τῇ τῶν Μασσαλιωτῶν χώρᾳ περὶ τὴν Λιγυστικήν 89
φασιν εἶναί τινα λίμνην, ταύτην δὲ ἀναζεῖν καὶ ὑπερχεῖσθαι, καὶ τοσούτους ἰχθῦς ἐκβάλλειν τὸ πλῆθος ὥστε μὴ πιστεύειν. ἐπειδὰν δὲ οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι τὸ ἔδαφος ἐπ' αὐτήν, καὶ τοιοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι, καὶ ἀποστερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος. τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους ἂν βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς.
λέγεται δέ τινας τῶν Λιγύων οὕτω σφενδονᾶν εὖ ὥστε, 90
ὅταν πλείους ἴδωσιν ὄρνιθας, διερεθίζεσθαι πρὸς ἀλλήλους ποῖον ἕκαστος παρασκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων. ἴδιον δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς 91
εἶναι· αἱ γυναῖκες ἅμα ἐργαζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι παραχρῆμα σκάπτουσι καὶ σκάλλουσι καὶ τἆλλα οἰκονομοῦσιν ἃ καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον. θαῦμα δὲ καὶ τοῦτο παρὰ τοῖς 92
Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν εἶναι οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν μὴ ὁρᾶσθαι.

Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Αἰθάλεια ὀνο- 93
μαζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς ὠρύσσετο, ἐξ οὗ φασὶ πάντα κεχαλκευμένα παρ' αὐτοῖς εἶναι, ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ διελθόντος πολλοῦ φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται Τυρρηνοὶ οἱ τὸ καλούμενον Ποπλώνιον οἰκοῦντες. ἔστι δέ τις ἐν τῇ Τυρρηνίᾳ πόλις Οἰναρέα κα- 94
λουμένη, ἣν ὑπερβολῇ φασὶν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος ἐστὶν ὑψηλός, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ κάτω ὕλην παντοδαπὴν καὶ ὕδατα. φοβουμένους οὖν

3. πλεῖν προθυμουμένους rc S^a. ‖ ἀφεῖναι B^aR^a. ‖ 4. διατελῶσι B^aR^a. ‖ 5. κυρείας S^a. ‖ 7. κελτολυγίων $B^aR^aT^a$. ‖ 10. παρακολουθούντων B^aR^a. ‖ 13. ξενικόν B^aR^a. ‖ 15. τοξεύωσιν S^a. ‖ 16. πρὸς τὸ τὸ φάρμακον μὴ διαδοῦναι $B^aN^aR^a$. ‖ 19. ὀφλοιόν S^a. ‖ 21. τοῦ — διατιθέμενον om N^a. ‖ 22. ἐπὶ τὸ φύλλον om S^a. ‖ ὁρούσαντα N^aS^a. ‖ καὶ καταπιόντα τοῦτο S^a. ‖ 27. παμπληθῆ rc N^a. ‖ 28. συναχθῆναι om N^a. ‖ ἄργυρον N^a. ‖ 31. ἰβηρίαν μετὰ τὰς λεγομένας ἑπτὰ αἳ μέγισται δοκοῦσιν εἶναι $B^aN^aR^a$. ‖ 33. κομιδῇ om N^a. ‖ 34. κατὰ γυναῖκας B^aR^a et rc S^a. ‖ 35. θηλικοῦ S^a.

2. ὡς ἔοικεν post οὐδὲν N^a, om B^aR^a. ‖ 4. δέ] οὖν $B^aN^aR^a$. ‖ 5. τὸ B^aR^a. ‖ εἰσάγειν] ἔχειν rc S^a. ‖ 6. ὁ ἡρακλῆς N^a. ‖ 7. τῶν ἐνοικούντων] τούτων rc S^a. ‖ 8. λιγγυστικὴν B^aR^a. ‖ 12. αὐτῆς $B^aN^aR^a$. ‖ 16. λιγυστίων $B^aN^aR^a$. ‖ εὖ om $B^aN^aR^a$. ‖ 18. λαβεῖν B^aR^a. ‖ 19. ἀΐδιον B^a. ‖ 21. περικλείσασαι R^a. ‖ 22. καὶ post ἃ et 23. αὐταῖς om $B^aN^aR^a$. ‖ 23. θαυμάσιον pr S^a. ‖ 26. θάλεια $B^aN^aR^aS^a$. ‖ 29. αὐτοῦ B^aR^a. ‖ ἔπειτα] καὶ rc S^a. ‖ διεληλυθότος N^a. ‖ 31. ἔτι om N^a. ‖ οἱ ante τυρρηνοὶ N^a, om $B^aR^aS^a$. ‖ ποπάνιον S^a, πιπάνιον N^a, πωπάνιον $B^aR^aT^a$. ‖ 32. τῇ om $B^aN^aR^a$. ‖ 34. ὕψος τρ. στ. ἔχων rc S^a. ‖ 35. κάτω om $B^aN^aR^a$. ‖ παντοδαπῆ $B^aN^aR^a$. ‖ ὕδωρ N^a.

τοὺς ἐνοικοῦντας λέγουσι μή τις τύραννος γένηται, προΐστασθαι αὐτῶν τοὺς ἐκ τῶν οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρχουσιν αὐτῶν, κατ' ἐνιαυτὸν δ' ἄλλους ἀντικαθιστάναι τοιούτους.

95 Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν Ἰταλίαν κατοικούντων Κυμαίαν, ὑπὸ δέ τινων Μελάγκραιραν καλουμένην. τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν. εἶναι δὲ λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποταμόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὅν φασι τὸν πλείω χρόνον τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

96 Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίῳ τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασὶ κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἦν δ' αὐτὸ μὲν ἁλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς, Ἥρα, Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη. παρὰ δ' ἑκάτερον πέρας Ἀλκιμένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις.

97 Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν. λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς ἃς ἐκεῖνος ἐπορεύθη. περὶ δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται,
98 ἐφ' ἃ οὐδενὶ ἐπιβατέον. ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος ἁμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.

99 Ἐν τῇ τῶν Ὀρχομενίων πόλει τῇ ἐν Βοιωτοῖς φανῆναί φασιν ἀλώπεκα, ἣν κυνὸς διώκοντος εἰσδῦναι εἴς τινα ὑπόνομον, καὶ τὸν κύνα συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν ὡσανεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης αὐτῷ· τοὺς δὲ κυνηγέτας ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν συνῶσαι καὶ αὐτούς· ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερχόμενον ἔσω τὸ φῶς, εὐσυνόπτως τὰ λοιπὰ θεάσασθαι, καὶ ἐλθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

100 Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν Ἑλληνικὸν τρόπον διακείμενα τὸν ἀρχαῖον, ἄλλα τε πολλὰ καὶ καλὰ καὶ θόλους περισσοῖς τοῖς ῥυθμοῖς κατεξεσμένους· τούτους δ' ὑπὸ Ἰολάου τοῦ Ἰφικλέους κατασκευασθῆναι, ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν Ἡρακλέους προσήκοντας διὰ τὸ πάσης τῆς πρὸς ἑσπέραν κύριον Ἡρακλέα γενέσθαι. αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσσα διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρωπίνῳ ἴχνει, εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι· τὸν γὰρ Ἀρισταῖον, ὅν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῶν ἄρξαι μυθολογοῦσιν, ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδὲν διὰ τὸ κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων τι ἀναφυτεύσῃ.

101 Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτός, συμφωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμ-

3. ἄλλοις $B^a R^a$. ‖ ἀντικαθίστανται $B^a N^a R^a$. ‖ 7. γινομένην B^a. ‖ 8. οὖσαν ἐρυθραίου S^a. ‖ οἰκούντων N^a. ‖ 9. μελάγχραιναν N^a, μελάγχραιν $B^a R^a$. ‖ 10. λευκαδίων $B^a N^a R^a$. ‖ 11. τινα ποταμὸν περὶ τὴν κύμην B^a. ‖ 12. κάπαν pr S^a, σκετὸν rc S^a, καιέτ πως N^a. ‖ 13. τὸν πλείω χρόνον om $B^a N^a R^a$. ‖ φύεσθαι S^a. ‖ 15. ἀντιμένει S^a. ‖ 16. προστίθεσθαι αὐτὴ $B^a R^a$. ‖ ἐπὶ τῇ λακινίῳ τῇ $B^a R^a$. ‖ 17. τῆς Ἥρας om N^a. ‖ 18. δὲ $N^a S^a$. ‖ 21. δὲ om $B^a R^a$. ‖ 25. ἀλκισθένης S^a, ἀντισθένης $B^a N^a R^a T^a$. ‖ ἑκατέρωθεν] ἔνθεν (ἔνθα $B^a R^a$.) ἑκατέρου $B^a N^a R^a S^a$. ‖ 29. ἰχόρα N^a. ‖ 30. πόντον S^a. ‖ 33. δὲ om $B^a R^a$.

1. ἀμαξιαῖος B^a. ‖ 2. δὲ om N^a. 3. βεωτοῖς R^a, βιωτῷ B^a. ‖ 4. ἣν om S^a. ‖ εἴς] δ' εἴς S^a. ‖ 5. εἰσδύναι N^a. ‖ 7. αὐτῆς B^a, αὐτοῖς $N^a R^a$. ‖ ἔννοιάν τινα λαβόντας N^a. ‖ 9. τὸ om $B^a R^a$. ‖ 10. λοιπὸν R^a. ‖ 13. τὸν ἄρχον rc N^a, τὴν ἀρχὴν S^a, τῶν ἀρχαίων $B^a R^a$. ‖ 15. κατεξυσμένους S^a. ‖ ἰόλα ἰφικλέους R^a, ἰόλα εἰφικλέους B^a. ‖ 16. ὥστε $B^a R^a$. ‖ 18. προσήκουσαν $B^a R^a$. ‖ 20. ἴχνουσσα S^a, ἰχνοῦσα $B^a N^a R^a$. ‖ 21. ἐσχηματίσθη R^a. ‖ ὁμοιότητα B^a, ὁμοιότητι S^a. ‖ 22. ἀνθρώπων $B^a R^a S^a$. ‖ ἴχνει om $B^a R^a$. ‖ 24. αὐτὸν N^a. ‖ ἄρξασθαι $B^a R^a$. ‖ 26. κυριαθεῖσαν N^a. ‖ 28. προφορὰν R^a. ‖ 29. τι om S^a. ‖ 31. μυθολογεῖν $B^a R^a$. ‖ 32. μὲν om $B^a R^a$.

βάλων ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. λέγουσι δέ τι τερατωδέςερον γεγονέναι περὶ τὸ σπήλαιον· πρὸ ἡμέρας γὰρ ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀνας῀ηναι, καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. τοῦτο μὲν οὖν ἡμῖν φαίνεται μυθωδέςερον· ὅμως μέντοι ἔδει μὴ παραλιπεῖν ἀμνημόνευτον αὐτό, τῶν περὶ τὸν τόπον ἐκεῖνον τὴν ἀναγραφὴν ποιούμενον.

102 Περὶ τὴν Κύμην τὴν ἐν Ἰταλίᾳ λίμνη ἐςὶν ἡ προσαγορευομένη ἄορνος, αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαςόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἐλάσσους τριῶν ςαδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. ἐκεῖνο δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων, καί τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἔςιν ἰδεῖν φύλλον ἐπὶ τοῦ ὕδατος ἐφεςηκός, ἀλλ' οὕτω καθαρώτατόν ἐςι τὸ ὕδωρ ὥςε τοὺς θεωμένους θαυμάζειν. περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον αὐτήν, ψεῦδος· οἱ γὰρ παραγενόμενοι λέγουσι πλῆθός τι κύκνων ἐν αὐτῇ γίνεσθαι.

103 Φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοῖς κόλποις τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν Ποσειδωνίαν καλουμένην· ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.

104 Λέγεται δὲ μεταξὺ τῆς Μεντορικῆς καὶ τῆς Ἰςριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν. ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ Μέντορες οἱ ἐπὶ τοῦ Ἀδρίου οἰκοῦντες, ἀποθεωροῦσιν, ὡς ἔοικε, τὰ εἰς τὸν Πόντον εἰσπλέοντα πλοῖα. εἶναι δὲ καί τινα τόπον ἐν τοῖς ἀνὰ μέσον διας῀ημασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ Πόντου ἐμπόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια, παρὰ δὲ τῶν ἐκ τοῦ Ἀδρίου τοὺς Κερκυραϊκοὺς ἀμφορεῖς.

Φασὶ δὲ καὶ τὸν Ἴςρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. σημεῖον δὲ οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἴσπλουν κατὰ Κυανέας, τὸν δὲ ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ τὸν Ἴςρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ Ἀδρίᾳ ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον. ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ, τῇ κειμένῃ ἐν τῷ Τυρρηνικῷ πελάγει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριςέων καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον· παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ' οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν ςλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· ἀπὸ ἐκείνων γὰρ τῶν χρόνων οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους οὔθ' ὕςερον ἐπιγενομένας. ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον,

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.

1. εἶχον B^a. ‖ 2. δ' ἔτι R^a. ‖ 3. τινα κοιμηθῆναι N^a. ‖ 9. παραλείπειν B^a. ‖ 10. τῶν] τὴν N^a, om B^aR^a. ‖ 11. τὴν om B^aR^a. ‖ 12. ἐν τῇ ἰταλία S^a, περὶ τὴν ἰταλίαν B^aR^a. ‖ 15. ἔλαττον $B^aN^aR^a$. ‖ 19. ἐπὶ τοῦ ὕδατος φύλλον B^aR^a. ‖ ἑςηκὸς $B^aN^aR^a$. ‖ 21. παρὰ N^a. ‖ δὲ] γὰρ S^a. ‖ 23. αὐτήν] ἐν αὐτῇ B^aR^a. ‖ 24. παραγεγενημένοι N^a. ‖ κύκνων πλῆθός τι $B^aN^aR^a$. ‖ 26. σειρινούσας B^aR^a. ‖ 28. πεπτωκότος $B^aN^aR^a$. ‖ δια μάνοντος B^aR^a. ‖ 30. καλουμένην ποσειδωνίαν $B^aR^aS^a$. ‖ αὐτῶ B^aR^a. ‖ 34. μὲν ῥητορικῆς B^a, μὲν ῥιτορικῆς R^a. ‖ ἰςοριανῆς B^aR^a.

2. μέντωρες B^a. ‖ 3. ἀνδρίου B^a. ‖ ὡς ἔοικε om $B^aN^aR^a$. ‖ 3 et 10. Πόντον] τόπον N^a. ‖ 4. ἐκπλέοντα S^a. ‖ τινα καὶ $B^aN^aR^a$. ‖ 8. κορκυραϊκοὺς B^a. ‖ 9. τὸν om N^a. ‖ 11. τὴν B^aR^a. ‖ ἐκβάλλειν om $B^aN^aR^a$. ‖ δὲ] δὲ κακεῖνο $B^aN^aR^a$. ‖ 12. ἀλχαίων R^a, lacunam B^a. ‖ 14. τὸν δὲ om B^aR^a. ‖ τόπου N^a. ‖ ἄπλουν B^aR^a. ‖ 15. κατὰ τὸν Ἴςρον om N^a. ‖ τε om $B^aN^aR^a$. ‖ 18. νήσων τῶν et ἱερὸν om B^aR^a. ‖ μειδίας B^aR^a. ‖ 19. πλακτὰς S^a. ‖ 20. αἰγιαλείᾳ N^aS^a, αἰγιαλίᾳ B^aR^a. ‖ 21. ἐπὶ B^aR^a. ‖ 23. φασὶν εἶναι ψήφους N^a. ‖ 25. ςελεγγισμάτων N^a, ςηλεγγισμάτων B^aR^a. ‖ 26. γὰρ ἐκείνων B^aR^a. ‖ 28. ἐπιγινομένας N^a, ἐπιγεγενημένας B^aR^a. ‖ ἔςι S^a. ‖ φανερώτατα codices. ‖ 29. συμπλογάδων $B^aR^aS^a$. ‖ 30. ἐν] οἱ ἐν $B^aR^aS^a$. ‖ μάρτυρες B^a. ‖ 31. ἐμφανίζονται B^aR^a. ‖ 34. ἀλλὸς B^a. ‖ θύελαι B^a.

περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀναπέμπειν, περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ' ἑκάτερα κειμένων τῶν τȣ̃ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσȣ συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος.

106 Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις, καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔςι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγεται δὲ μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνȣς Ἡράκλειαν τὸν τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων Πλεῖον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν Τρώων τῶν κατασχόντων αὐ-
107 τὴν Σίγειον ὠνομάσθαι. παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλȣ́μενα Μύκαλλα τῆς Κροτωνιάτιδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱςορȣ̃σι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τȣ̃ Ἀπόλλωνος τȣ̃ ἁλίȣ. ἐκεῖθεν δέ φασι τȣ̀ς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην συνάψασι πρὸς τȣ̀ς ἐνοικȣ̃ντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν.

108 Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλȣμένην Γαργαρίαν, ἐγγὺς Μεταποντίȣ, Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Ἑλληνίας, ἔνθα τὰ τοῦ Ἐπειȣ̃ λέγȣσιν ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν δȣ́ρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος. φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιȣ̃ν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ τȣ̃το βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς εἰλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Ἑλληνίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεσθαι.

Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον 109
ἱερὸν εἶναι Ἀθηνᾶς Ἀχαΐας καλȣ́μενον, ἐν ᾧ δὴ πελέκεις χαλκȣ̃ς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτȣ̃ ἀνακεῖσθαι. ἐν τȣ́τῳ τῷ τόπῳ φασὶν εἶναι κύνας οἳ τȣ̀ς ἀφικνουμένους τῶν Ἑλλήνων οὐκ ἀδικȣ̃σιν, ἀλλὰ σαίνουσιν ὥσπερ τȣ̀ς συνηθεςάτȣς. πάντες δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονȣ̃σι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν. τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτȣς καὶ εἰς ἐκείνȣς τȣ̀ς τόπȣς ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δȣλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχȣσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δȣλείαν ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων συναρμοσθεῖσαι κατάσχωσιν αὐτȣ̀ς ἄνδρας. πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφραςαι περὶ αὐτῶν· ἑλκεσιπέπλȣς γὰρ καὶ βαθυκόλπȣς κἀκείνας, ὡς ἔοικεν, ἰδεῖν ἔςιν.

Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν Ἀρτέμιδος ἱερόν, 110
ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγȣσιν, ἔχȣσαν ἐπίγραμμα "Διομήδης Ἀρτέμιδι." μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, τὴν δὲ περιφῦναι, καὶ τȣ̃τον τὸν τρόπον εὑρισκομένην ὑπὸ Ἀγαθοκλέȣς ὕςερον τȣ̃ βασιλέως Σικελιωτῶν εἰς τὸ τȣ̃ Διὸς ἱερὸν ἀνατεθῆναί φασιν.

Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλȣμένῃ Πελωριάδι 111
τοσοῦτον γίνεσθαι κρόκον, ὥςε παρὰ τισὶ μὲν τῶν ἐν ἐκείνοις τοῖς τόποις κατοικȣ́ντων μὴ γνωρίζεσθαι Ἑλλήνων ποῖόν τί ἐςι τὸ ἄνθος, ἐπὶ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν μεγάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν.

Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς 112
ἐν ἔπεσιν ἔν τινι τόπῳ τῆς μεσογείȣ λιμνίον τι ἔχον ὅσον ἀσπίδος τὸ περίμετρον, τοῦτο δ' ἔχει ὕδωρ διαυγὲς μὲν μικρῷ δὲ θολερώτερον. εἰς τȣ̃τ' οὖν ἐάν τις εἰσβῇ λούσα-

1. ἀνάπτειν N^a. ‖ 2. πυρὶ B^aR^a. ‖ 3. τῶν om S^a. ‖ 7. λαερτιάδες B^aR^a. ‖ 13. ἰωνίων N^a. ‖ 14. Τρώων τῶν] πρώτων R^a, πρῶτον B^a. ‖ αὐτȣ̀ς N^a. ‖ 15. σίγιον $B^aN^aR^a$. ‖ ὀνομασθῆναι N^a. ‖ 17. μαλακὰ $B^aN^aR^a$. ‖ κροτωνιάδος B^aR^a. ‖ 19. αὐτῶν B^aN^a. ‖ 20. κατὰ om B^a. ‖ 21. τὸ παρ' αὐτοῖς om B^aR^a. ‖ 25. συνάψασαι B^aR^a. ‖ τῶν βαρβάρων om B^aR^a. ‖ 27. γαργαρίαν $QB^aK^aN^aR^aS^aT^a$. ‖ 29. ὄργανα ἀνακεῖσθαι B^aR^a. ‖ 30. δύριον $B^aN^aR^a$. ‖ 32. ἔργα B^aR^a. ‖ 33. εἰλεῖσθαι R^aS^a, οἰχεῖσθαι N^a. ‖ 34. προσαγορεύεται $B^aR^aS^a$.

1. λέγεται δὲ περὶ B^aR^a. ‖ δανίας B^aR^a. ‖ 6. δὲ οἱ] διὰ N^a. ‖ 7. αὐτῆς B^aR^a. ‖ 11. τοῖς πατρίσι τοῖς ἀχαιοῖς προϋπαρχȣσῶν S^a. ‖ 12. ἐμπρῆσθαι N^a. ‖ 13. φύγωσιν N^a. ‖ 14. συναρμοσθεῖναι S^a. ‖ 16. ἐκείνας N^a. ‖ 17. ἐςὶν ἰδεῖν N^a. ‖ 18. πευκεςίνοις N^a, πευκεντίνοις S^a. ‖ 19. κόλποις N^a. ‖ 22. τὴν — 23. ὕςερον om N^a. ‖ 24. ἀνατεθεῖναι N^a. ‖ 25. ἄδρα N^a. ‖ 26. κρόκκον et 30. κρόκκου S^a. ‖ 26. ἐν om B^a. ‖ 29. τοῖς βουλομένοις $B^aN^aR^a$. ‖ 30. εἰαρινὴν B^a. ‖ 32. φασὶν N^a. ‖ εἶναι om S^a. ‖ 33. μεσ. ἐςὶ λιμνίον S^a. ‖ ἀσπίδος ὅσον N^a. ‖ 34. μὲν διαυγὲς N^a. ‖ 35. οὐ μικρῷ $B^aN^aR^a$. ‖ θωλερότερον B^aR^a, θολώτερον S^a. ‖ ἂν S^a.

σθαι χρείαν ἔχων, αὔξεται εἰς εὖρος, ἐὰν δὲ καὶ δεύτε-
ρον, μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα
ἀνδρῶν ὑποδοχὴν μεῖζον γενόμενον διευρύνεται. ἐπειδὰν
δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν
ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ
τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πά-
λιν σχῆμα τῆς περιμέτρου καθίσταται. οὐ μόνον δ' ἐπὶ ἀν-
θρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ ἐάν τι τετρά-
113 πουν εἰσβῇ, τὸ αὐτὸ πάσχει. ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν
Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται Οὐράνιον, παν-
τοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον
ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβά-
νοντας τῆς εὐωδίας αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι
προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον
κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν ἔχειν τῆς κέδρου
τοῖς ἀποπτίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα
πρὸς αὐτὴν ἁγνὸν εἶναι, καὶ τούτου γινομένου πλεῖον ἀνα-
114 βλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστε ἀσφαλῶς ἀρύεσθαι. φασὶ
καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτο-
φυῆ, μεγάλην τῷ μεγέθει. ταύτην οὖν λέγουσιν, ἐπειδὰν
μὲν ᾖ θέρος, φλόγα ἀναπέμπειν πυρός, χειμῶνος δὲ γε-
νομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν οὕτω ψυ-
χροῦ ὥστε χιόνι συμβαλλόμενον μηδὲν διαφέρειν. καὶ τοῦτό
φασιν οὐκ ἀπόκρυφον οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ
τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα
τὸν χειμῶνα.
115 Λέγεται δὲ καὶ περὶ τὴν τῶν Σιντῶν καὶ Μαιδῶν
χώραν καλουμένην τῆς Θρᾴκης ποταμόν τινα εἶναι Πόντον
προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καί-
ονται καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι·
ῥιπιζόμενοι γὰρ σβέννυνται ταχέως, ὕδατι δὲ ῥαινόμενοι
ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον. παραπλησίαν δὲ
ἀσφάλτῳ, ὅταν καίωνται, καὶ πονηρὰν οὕτως ὀσμὴν καὶ
δριμεῖαν ἔχουσιν ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ
τόπῳ καιομένων αὐτῶν. εἶναι δέ φασι καὶ τόπον τινὰ 116
παρ' αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί που σταδίων,
ὃς φέρει κριθὰς αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι
καὶ βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. ἀλλ'
οὐδὲ τῶν ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι
τῆς κόπρου τῶν ἀνθρώπων, οἵτινες ἂν ἐκ τῶν κριθῶν τούτων
μᾶζαν φαγόντες ἢ ἄρτον ἀφοδεύωσι, τῷ θνήσκειν.
Ἐν δὲ Σκοτούσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνί- 117
διόν τι μικρόν, ἐξ οὗ ῥεῖ τοιοῦτον ὕδωρ ὃ τὰ μὲν ἕλκη
καὶ θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ καὶ τῶν ἀνθρώπων
καὶ τῶν ὑποζυγίων, ἐὰν δέ τις ξύλον μὴ παντάπασι συν-
τρίψας ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται καὶ πάλιν εἰς
τὸ αὐτὸ καθίσταται.
Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφίπολιν φασὶ γί- 118
νεσθαί τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ τεθεαμένοις. ἐξιόν-
τες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χωρίων
ἐπὶ θήραν τῶν ὀρνιθαρίων συνθηρεύειν παραλαμβάνουσι τοὺς
ἱέρακας, καὶ τοῦτο ποιοῦσιν οὕτως. ἐπειδὰν προέλθωσιν εἰς
τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες·
οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι
κατασοβοῦσι τοὺς ὄρνιθας· οἱ δὲ δεδιότες ἐκείνους καταφεύ-
γουσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύ-
πτοντες λαμβάνουσιν. ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμά-
σειεν· οἱ μὲν γὰρ ἱέρακες ὅταν αὐτοί τινα λάβωσι τῶν
ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν, οἱ δὲ παῖδες ἁπάντων
τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες ἀπέρχονται.
Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς Ἐνετοῖς φασὶ γίνε- 119
σθαι. ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀνα-
ριθμήτους μυριάδας ἐπιφέρεσθαι καὶ τὸν σῖτον αὐτῶν σπει-
ράντων καταναλίσκειν· οἷς τοὺς Ἐνετοὺς πρὸ τοῦ ἐφίπτασθαι
μέλλειν ἐπὶ τὰ μεθόρια τῆς γῆς προτιθέναι δῶρα, παντο-
δαπῶν καρπῶν καταβάλλοντας σπέρματα, ὧν ἐὰν μὲν

1. ἂν N^a. ‖ 3. ὑπεροχῆς $B^aN^aR^a$. ‖ γινόμενον N^a. ‖ διευρύνεσθαι S^a. ‖ 7. τῶν περιμέτρων N^a. ‖ 8. ἂν $B^aR^aS^a$. ‖ 9. πάσχειν N^a. ‖ 10. Οὐράνιον] γώνιον B^aR^a. ‖ 13. αὐτῶν $B^aN^aR^a$. ‖ 14. προσβάλλει B^a. ‖ πρὸς δὲ δὴ N^a. ‖ 15. κρήνας S^a. ‖ ἔχειν om N^a. ‖ τοῦ κένδρου B^aR^a. ‖ 16. ἀποπτύσμασιν S^a, ἀποπτία N^a. ‖ 17. αὐτοὺς N^a. ‖ 18. ἀσφαλῶς αὐτὴν ἀρ. S^a. ‖ 19. αὐτοφυᾶ $B^aN^aR^a$. ‖ 20. ταύτης B^aR^a. ‖ 21. ἀναπίμπτειν B^aR^a. ‖ 22. ἀναραίνειν B^a. ‖ οὕτω — 26. χειμῶνα] pro his $B^aR^aT^a$: καὶ τὸ δύο — τὸ λευκόν (844 b 6 — 8). ‖ 23. μηδενὶ N^a. ‖ 24. οὐκ] τὸ B^aR^a. ‖ 25. θερίαν B^aR^a. ‖ 26. χειμῶνα εἶναι S^a, χρόνον B^aR^a. ‖ post χειμῶνα $QK^aN^aS^a$ c. 130 — 137. ‖ 27. δὲ καὶ om S^a, καὶ om N^a. ‖ παρὰ τῇ et 28. χώρᾳ καλουμένῃ pr S^a. ‖ 27. σιτῶν $B^aR^aT^a$. ‖ Μαιδῶν Sylburgius: codices μεδῶν. ‖ 29. προσονομαζόμενον $B^aR^aS^a$. ‖ 31. αἵματι rc S^a. ‖ 33. καίονται B^aR^a. ‖ ὀσμὴν οὕτω $B^aN^aR^a$.

3. που om S^a. ‖ 5. ἀλλ' om N^a. ‖ 6. τῶν om B^a. ‖ οἰῶν S^a. ‖ 7. ἐκ τῆς τῶν B^a. ‖ 8. ἀφοδεύσωσι B^aR^a, ἀφοδήσωσι N^a. ‖ τῷ om N^a. ‖ 10. οὗ καὶ ῥεῖ B^aR^a. ‖ τοσοῦτον N^a. ‖ ᾧ rc N^a. ‖ 13. ἐμβάλλῃ B^a. ‖ 14. καθίσησιν $B^aR^aS^a$. ‖ 15. ἀμφιπόλεως $B^aN^aR^a$. ‖ γενέσθαι $B^aN^aS^a$. ‖ 16. τι om $N^aR^aS^a$. ‖ θεασαμένοις N^a. ‖ 19. προσέλθωσιν $B^aR^aS^a$. ‖ 22. παρασοβοῦσιν $B^aN^aR^a$. ‖ τοὺς — καταφεύγουσιν om B^aR^a. ‖ 24. λήψωσιν S^a.

γεύσωνται οἱ κολοιοί, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, ἀλλ' οἴδασιν οἱ Ἑνετοὶ ὅτι ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην οὕτω προσδοκῶσιν.

120 Ἐν δὲ τῇ Χαλκιδικῇ τῇ ἐπὶ Θρᾴκης πλησίον Ὀλύνθȣ φασὶν εἶναι Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ μείζονα τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζῴων ὅταν τι ἀφίκηται, πάλιν ἀπέρχεται, τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιιόντες τὸ χωρίον λιμῷ τελευτῶσιν.

121 Ἐν δὲ Κύκλωψι τοῖς Θρᾳξὶ κρηνίδιόν ἐϛιν ὕδωρ ἔχον ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις ὅμοιον, ὅταν δὲ πίῃ τι ζῷον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται.

122 Φασὶ δὲ καὶ ἐν τῇ Κραϛωνίᾳ παρὰ τὴν Βισαλτῶν χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς ὃν ὅ τι ἂν εἰσέλθῃ ζῷον ἀποθνήσκει. ἔϛι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας, ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον ὥσπερ καὶ τὰς ἄλλας νύκτας.

123 Ἐν Ἤλιδι λέγουσιν εἶναί τι οἴκημα ϛαδίȣς ἀπέχον ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. τȣ̃το δὲ ποιήσαντες παρακαλοῦσι τῶν Ἑλλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, ȣ̔́τως ἀνοίγουσιν. οἱ δ' εἰσελθόντες εὑρίσκουσι τȣ̀ς μὲν λέβητας οἴνȣ πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχȣς ὑγιεῖς, ὥϛε μηδεμίαν εἶναι ὑποψίαν λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. εἶναι δέ φασι παρ' αὐτοῖς καὶ ἰκτίνȣς, οἳ παρὰ μὲν τῶν διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζȣσι, τῶν δὲ ἱεροθύτων ȣ̓χ ἅπτονται.

12 Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τȣ̀ς ἀσπάλακας τὰ ζῷα μὴ δύνασθαι ζῆν μηδ' ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχȣ́σης.

12 Ἐν Λȣσοῖς δὲ τῆς Ἀρκαδίας κρήνην εἶναί τινά φασιν, ἐν ᾗ χερσαῖοι μύες γίνονται καὶ κολυμβῶσι, τὴν δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. λέγεται δ' αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

12 Ἐν δὲ Κράννωνι τῆς Θετταλίας φασὶ δύο κόρακας εἶναι μόνȣς ἐν τῇ πόλει. ȣ̔̃τοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτȣ̀ς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρȣς δὲ τοσούτȣς τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπȣσιν.

12 Ἐν δὲ Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ἀτλαντίνων χώρας φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς ἀναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρȣσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. ȣ̓ πόρρω δὲ τούτου τοῦ χωρίȣ πῦρ ἐϛὶ καιόμενον πάντα τὸν χρόνον, ὡς φασὶν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. ὁ δὲ καιόμενος τόπος ἐϛὶν οὐ πολύς, ὡς ἔοικεν, ἀλλ' ὅσον μάλιϛα πεντακλίνȣ τὸ μέγεθος. ὄζει δὲ θείȣ καὶ ϛυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιϛα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. καίεται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ.

12 Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖϛα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς ἢ τέσσαρας ἐρίφȣς τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους, ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέγȣσι δὲ καὶ τὰς ἀλεκτορίδας ȣ̓χ ὥσπερ παρὰ τοῖς ἄλλοις ἅπαξ τίκτειν, ἀλλὰ δὶς ἢ τρὶς τῆς ἡμέρας.

12 Λέγεται δὲ καὶ ἐν Παιονίᾳ τοὺς βοῦς τȣ̀ς ἀγρίȣς πολὺ μεγίστους ἁπάντων τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι, καὶ τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον.

1. οἱ om B^aR^a. ‖ κολιοὶ B^aR^a. ‖ οὐχ — 3. γεύσωνται om B^aR^a. ‖ 2. ἀλλ'] καὶ N^a. ‖ οἰχήσονται rc S^a. ‖ 5. χαλκίδι $B^aN^aR^a$. ‖ 6. κανθαρόλεθρον S^a, κανθαλώλεθρον B^aR^a. ‖ 7. μεῖζον $B^aR^aS^a$. ‖ 8. ἐπανέρχεται rc S^a. ‖ 11. κρηνῖδιόν B^aR^a. ‖ ἔχειν R^a. ‖ 15. κροτωνία S^a. κραϛωνίᾳ παρὰ om $B^aR^aT^a$. ‖ 21. καὶ — 22. ἀκαρπίαν om N^a. ‖ 24. περ om $B^aR^aS^a$. ‖ 30. τοὺς πολίτας rc N^a. ‖ 31. καὶ om N^a. ‖ 32. οἱ δ' εἰσελθόντες εὑρίσκουσι om S^a. ‖ 33. εἶναι post ὑποψίαν N^a, om B^aR^a. ‖ 35. μὲν om N^a.

1. ȣ̓χ om B^aR^a. ‖ 3. κορωνία N^aS^a. ‖ 4. τὸ ζῷον N^aS^a. ‖ 6. λȣσοῖς Sylburgius: codices κολȣ́σοις. ‖ 10. κράνωνι B^aR^a. ‖ κόρας εἶναι ἐν τῇ πόλει μόνȣς N^a. ‖ 11. ἐκνεοττεύουσιν B^aR^a. ‖ 14. δὲ] δὲ τῇ N^a. ‖ πλησίαν R^aS^a. ‖ ἀτλαντικῶν S^a. Ταυλαντίων Brodaeus. ‖ 16. συναναπηδῶσαν $B^aN^aR^a$. ‖ 18. ἐκείνης ante πεφυκέναι T^a, ἐκόνης R^a. ‖ 21. ὅσος $B^aN^aR^aS^a$. ‖ 22. θύȣ N^a. ‖ 25. λικύαν N^a. ‖ 26. πελοποήσω R^a. ‖ 29. τέτταρας S^a. ‖ ἔνιοι $B^aR^aS^a$. ‖ 30. δὲ καὶ γ. N^a. ‖ 32. τρὶς παρ' αὐτοῖς τῆς S^a. ‖ 33. ἐν τῇ παιονίᾳ R^a. ‖ 34. post τοῖς $B^aR^aT^a$ ψυχρȣ̃ — χρόνον (841 *a* 22 — 26.). λοιποῖς autem ἔθνεσι — 35. πλεῖον hi post θαυμαϛὸν δ' ἐϛὶ (844 *b* 6.) ponunt.

30 Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι, τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν πολλῷ βρόμῳ ἐπὶ πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι σύνοπτον εἶναι τὸν μετεωρισμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι. καὶ ποτὲ μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διιςαμένους ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥςε πολλοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους ὑπὸ δέους. ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυχηθμῷ μεγάλαις δὲ καὶ ταχείαις δίναις τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας μεταλλάσσειν· ποτὲ μὲν γὰρ ζοφεράν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν διαφαίνεσθαι. τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν ἀνάρροιαν, οὐδὲ ἀκούειν οὐδὲν ἑρπετὸν οὔθ' ὁρᾶν ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας ὑπωρείας. λήγοντος δὲ τοῦ κλύδωνος τὰς δίνας μετεώρους φέρεσθαι ποικίλας οὕτω τὰς ἀναςροφὰς ποιουμένας, ὥςε δοκεῖν πρηςήρων ἢ τινων ἄλλων μεγάλων ὄφεων σπειράματι παρομοίους τὰς κινήσεις ἀποτελεῖν.

Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν 131 τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο "Δηϊόπης τόδε σῆμα", ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.

Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός 132 τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν. ἀλλὰ καὶ αὐτοὺς τοὺς Φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες [φοίνικας] προσαγορευθῆναι διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. καὶ κατὰ γλῶσσαν δ' ἐςὶ τὴν Περραιβῶν τὸ αἱμάξαι φοινίξαι.

Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζο- 133 μένην Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέςειλαν εἰς Ἀθήνας τινὰς κομίζοντας αὐτήν. πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν γὰρ μάλιςα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφήν, λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς ςίχους.

Ἡρακλέης τεμένισσε Κυθήρᾳ Φερσεφαάσσῃ,
Γηρυονείας ἀγέλας ἐλάων ἠδ' Ἐρύθειαν ἄγων.
τὰς δ' ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά.
τῇδε δέ μοι τέκνῳ τῷ δ' Ἐρύθου τε δάμαρ
νυμφογενὴς Ἐρύθη· δὴ τόδ' ἔδωκα πέδον
μναμόσυνον φιλίας, φηγῷ ὕπο σκιερᾷ.

1. τῆς] τοῦ S^a. ‖ 3. τυρρηνοῦ B^aR^a. ‖ ῥύζω R^a. ‖ 6. καὶ om $B^aR^aS^a$. ‖ 8. τρόμω S^a. ‖ πάνυ] πάνω B^aR^a. ‖ 9. συνόπτην B^aR^a. ‖ 11. ἀφρῶ παραπλήσιον· ἐν δὲ τοῖς σεισμοῖς S^a. ‖ 12. καὶ om S^a. ‖ 14. ποιεῖν] ποιεῖν ποτὲ μὲν S^a. ‖ συγκλεισμὸν $B^aR^aS^a$. ‖ 15. διιςάντας rc S^a. ‖ 17. ὄψιν N^a. ‖ 19. ὑπὸ τοῦ δέους B^aR^a. ‖ προσπέσων B^a. ‖ 20. ὁπότερον S^a. ‖ ἕως] ἐκ S^a. ‖ 22. μὲν om B^aR^a. ‖ τραχείαις $B^aN^aR^a$. ‖ 23. αὔξειν rc S^a. ‖ 24. κυκλωμένην B^a. ‖ μεταλάσειν S^a, καταλαβεῖν B^aR^a. ‖ 27. ἀνάρρειαν N^a. ‖ 28. οὐδὲ B^a. ‖ ὑπομένει φεύγει N^a. ‖ 29. ὑπορείας N^a. ‖ κλύδονος R^a. ‖ 30. δίνας] ναῦς N^aS^a. ‖ φαίνεσθαι N^aS^a. ‖ ἀναφορὰς R^a. ‖ 32. πειράματα N^a.

2. τὴν N^a. ‖ ἐλευσίνη B^aN^a. ‖ παρεχομένην B^a. ‖ 3. ἣ B^aR^a. ‖ διϊόπης τόδε σῆμα δήμητρος ἦν N^a. ‖ 4. γλαῦκα B^aR^a. ‖ 6. αἰόλων N^a. ‖ 11. φοίνικας om $B^aN^aR^a$. ‖ 14. περαιβῶν B^aR^a. ‖ ἀμάξαι N^a. ‖ 15. αἰνικῆς χώρας S^a, αἰνι ρας R^a, αἰν B^aT^a. ‖ 17. αἰνειάνες N^a, ἄνες post lacunam T^a. ‖ 18. ἀπέςειλας B^aR^a. ‖ 20. ἀνακινουμένων B^aR^a. ‖ 22. γὰρ] μὲν γὰρ B^aR^a, δὲ N^a. ‖ ἂν om S^a. ‖ ἀνευρεθῆναι N^a. ‖ 23. ὁμοίους om S^a. ‖ 22. ἀριθμοὺς N^a. ‖ 25. ὑπὸ N^a. ‖ ποιησαμένων N^a. ‖ 27. ἡρακλέης B^aR^a et rc S^a: pr enim ἡρακλέος. ‖ τεμενις τε vel τεμένισε B^aR^a et pr S^a, τεμένει τε rc S^a. ‖ φερσεφαάση $B^aN^aR^a$. ‖ 28. γηρυθείας N^a, τηδορυονῆας B^aR^a. ‖ ἀγίλαν R^a, ἀγίλων B^a. ‖ ἐρυθὸν S^a. ‖ 29. τὰς δάμασσε S^a. an forte τᾶς ἐ δάμασσε? ‖ πασιφάεσσα B^aR^a. ‖ 30. ἐρύθοντι $B^aN^aR^a$. ‖ δάμαρ νυμφηγενὴς S^a, δάμαρτι νυμφογενὴς N^a, δαμαρτυτιμφογενὴς T^a. ‖ 31. ἐρυθιδὴ τόδ' N^a. ‖ 32. φιλότας $B^aN^aR^aS^a$. ‖ φυτὰ $B^aN^aS^a$, φητὰ R^a. ‖ σκιερά S^a.

τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος Ἔρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς καὶ ὐκ ἐξ Ἐρυθείας ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

134 Τῆς δὲ Λιβύης ἐν Ἰτύκῃ τῇ καλουμένῃ, ᾗ κεῖται μέν, ὡς λέγυσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς Ἵππου ἄκρας, ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίυς (ἣ καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱςορίαις), γίνεσθαί φασιν ἅλας ὀρυκτύς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεοὺς ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοιῷ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποςερεῦσθαι καὶ γίνεσθαι ὁμοίους τῷ Παρίῳ λίθῳ. γλύφεσθαι δὲ ἐξ αὐτῶν λέγυσι ζῴδια καὶ ἄλλα σκεύη.

135 Τοὺς πρώτυς τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἀργύριον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν δύνασθαι μήτε ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ οἷς ἐχρῶντο κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.

136 Λέγυσι τὺς Φοίνικας τὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρακλείων ςηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύυ καὶ φύκυς πλήρεις, ὓς ὅταν μὲν ἄμπωτις ᾖ μὴ βαπτίζεσθαι, ὅταν δὲ πλημμύρα, κατακλύζεσθαι, ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν ἄπιςον καὶ τοῖς πάχεσιν, ὅταν ἐποκείλωσιν· ὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζυσιν εἰς Καρχηδόνα. ὧν Καρχηδόνιοι μόνων ὐ ποιῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετὴν ἣν ἔχυσι κατὰ τὴν βρῶσιν αὐτοὶ καταναλίσκουσιν.

137 Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διὶ συντελεῖται, ἐν ᾗ πέμπυσιν αἶγά τινα, περὶ ἣν θαυμαςόν τί φασι γίγνεσθαι. βαδίζυσα γὰρ ἐκ Πηδάσων ςαδίους ἑβδομήκοντα δι' ὄχλυ πολλοῦ τῦ θεωρῦντος οὔτε διαταράττεται κατὰ τὴν πορείαν οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ σχοινίῳ προπορεύεται τῦ τὴν ἱερωσύνην ἔχοντος. θαυμαςὸν δ' ἐςὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλυς περὶ τὸ τῦ Διὸς ἱερόν, ἄλλον δὲ μηδένα προσιέναι πρὸς τὸν τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τῦ τραχήλυ λευκόν.

Ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις καλουμένοις, παρὰ 13
τὰ μεθόρια τῶν Αὐταριατῶν κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, τούτυ δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾶν, οὐ πᾶσαν ὥραν ἀλλὰ τῦ ἦρος, πολὺ τῷ πλήθει, ὃ λαμβάνοντες τὰς μὲν ἡμέρας ἐν τῷ ςεγνῷ φυλάττυσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. καὶ πέντε ἢ ἓξ ἡμέρας τῦτο ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιςον ἅλας, ὃ ἕνεκεν τῶν βοσκημάτων μάλιςα διατηρῦσιν· οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω αὐτὺς θαλάσσης καὶ εἶναι αὐτὺς ἀμίκτυς. πρὸς οὖν τὰ βοσκήματα πλείςην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τῦ ἐνιαυτῦ. ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων.

Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τι γένος ὃ κα- 13
λεῖται σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίςαται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ. καὶ κύκλῳ περιιοῦσα τρίζει περὶ αὐτόν· τὸν δὲ τὸ κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκτείνεσθαι, τῆς ἀκρίδος κύκλῳ τρεχύσης. τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν ἡ ἀκρίς. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τῦ σκορπίυ ἐπιφαγεῖν αὐτήν.

Τὺς ἐν Νάξῳ σφῆκάς φασιν, ὅταν φάγωσι τῦ ἔχεως 14
(προσφιλὴς δ' αὐτοῖς ἡ σάρξ, ὡς ἔοικεν, ἐςίν), ἐπειδάν τινα κεντήσωσι, περιωδύνυς ὕτω ποιεῖν ὥςε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἔχεων.

2. ἐρυθὴς N^a. ‖ τοὺς $B^a N^a$. ‖ 3. ἐρυθίας $B^a R^a T^a$. ‖ 4. λέγεσθαί φασι $B^a R^a$. ‖ 6. τῇ om N^a. ‖ 7. ἑρμίας R^a, ἑραμαίας N^a. ‖ 8. ἐπ' ἐκεῖνο $B^a R^a$. ‖ 9. κτισθῆσθαι R^a. ‖ ὑπὸ φοινίκων] νικω (νικα T^a) post lacunam $B^a R^a T^a$. ‖ 15. παρίυ N^a. ‖ 16. λέγεται $B^a R^a$. ‖ 18. ἐλαίου N^a. ‖ 19. ἄλλα N^a. ‖ ναυτικῶν S^a. ‖ ῥωπὴν $B^a R^a$, ῥοπῶν pr S^a. ‖ ὡς N^a. ‖ 20. τὸ ἀργύριον S^a. ‖ 24. τὺς φ.] περὶ φ. $B^a R^a$. ‖ γάδυρα B^a. ‖ 25. ςηρῶν B^a. ‖ 26. τέσσαρας N^a. ‖ 28. μὴ om $B^a R^a$. ‖ 29. ὧν] οἷς rc S^a. ‖ θύνων N^a. ‖ 30. ἄπιςοι post πάχεσιν $B^a N^a R^a$. ‖ ὅταν om $B^a R^a$. ‖ ἐπωκείλωσιν $B^a N^a R^a$. ‖ 32. μόνον ὐ $B^a R^a$, μόνον ὐ μόνον S^a.

5. σχοινίῳ] σχεδὸν rc S^a, om in lacuna $B^a R^a$. ‖ 6. post ἐςὶ $B^a R^a T^a$ λοιποῖς ἔθνεσι. ‖ παρὰ S^a. ‖ 7. προσιέναι] πέτεσθαι T^a, om $B^a R^a$. ‖ πρὸς om $B^a N^a R^a T^a$. ‖ 8. τρ. τὸ λευκὸν $B^a R^a$. ‖ 9. ἀρδίοις $B^a R^a$, ταρδίοις S^a, ἀρκαδίοις N^a. ‖ 10. αὐθαριάδων rc S^a, αὐταρτῶν $B^a R^a$. ‖ κακεῖνοι $B^a R^a$. ‖ 12. πᾶσιν B^a. ‖ 18. αὐτὺς τῆς θ. N^a. ‖ 23. τινὸς $B^a R^a$. ‖ καλεῖσθαι S^a. ‖ 24. τάχιστα om $B^a R^a$. ‖ 25. ἀνθίςασθαι S^a. ‖ ἐκείνης S^a. ‖ 26. κέτρον B^a. ‖ 28. τῆς] καὶ τῆς $B^a R^a$. ‖ 30. ἡ ἀκρίς et καὶ om $B^a N^a R^a$. ‖ 31. ἐπαγαγεῖν N^a.

41 Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς ὀϊςούς, συντίθεσθαι ἐξ ἐχίδνης. τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζῳοτοκϐσας, καὶ λαβόντες αὐτὰς τήκϐσιν ἡμέρας τινάς. ὅταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. ὅταν δὲ καὶ τϐτο σαπῇ, τὸ ὑφιςάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐςιν ὑδατῶδες, μιγνύϐσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.

42 Ἐν Κϐρίῳ τῆς Κύπρϐ ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τϐ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε δι᾽ ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τϐ ψύχους ἀποπηγνύμενον καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.

143 Ἐν Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ᾽ ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει.

144 Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην πνοὴν ὥςε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους τε ποιεῖν. ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ ςόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν, ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥςε καὶ ἀποπνίγειν καὶ ἀποτυφλϐν.

145 Ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προΐδῃ τι θηρίον ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥςε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τϐτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν.

146 Κατὰ δὲ Συρίαν εἶναί τί φασι ζῷον ὃ καλεῖται λεοντοφόνον· ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. ἑκὼν μὲν οὖν τϐτο ϐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσσωσιν ἄλλῳ ζῴῳ, γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. κακοῖ καὶ προσϐρϐν τὸν λέοντα τϐτο τὸ ζῷον.

147 Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι μεμυρισμένον φαγεῖν. ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τϐς γαλεώ- 148
τας θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ τϐς παρ᾽
ἡμῖν ἀσθενὲς καὶ μαλακόν. εἶναι δὲ καὶ μυῶν γένος ἐφι-
πτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ. ἐν δὲ τῇ 149
Μεσοποταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν Ἰςρϐντι ὀφείδιά τινα
γίγνεσθαι, ἃ τοὺς ἐγχωρίϐς ϐ δάκνει, τοὺς ξένϐς δὲ ἀδικεῖ
σφόδρα. περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο 150
γίγνεσθαι. πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τϐ ποταμοῦ καὶ διανέοντας ἐφ᾽ ἑκάτερα, ὥςε τῆς δείλης ἐνταῦθα θεωρουμένους ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρϐ μέρϐς φαίνεσθαι, καὶ τϐς ἀναπαυομένϐς τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ᾽ Ἑλλήνων μὴ ἀπέχεσθαι.

Ἐν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν ἀκούσωσι (φαίνεται δὲ σπανίως), φεύγϐσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα θηρία. τῷ δὲ μεγέθει ϐκ ἔςι μέγας ἀλλὰ μέτριος. ἐν Τήνῳ δέ ποτέ φασιν αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε. γυναῖκα κύκλον γράψασαν καὶ τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον, αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τϐ θηρίϐ· τὸ δ᾽ ἀντᾴδειν καὶ προσιέναι. ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥςε μὴ δύνασθαι κρατεῖν τϐ ὕπνου. τὸν δ᾽ υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα, κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται. ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, αὖον εὐθὺς γενέσθαι αὐτόν. 151

Λέγεται περὶ τὰ Τύανα ὕδωρ εἶναι ὁρκίϐ Διός (καλοῦσι δὲ αὐτὸ Ἀσβαμαῖον), οὗ πηγὴ ἀναδίδοται πάνυ ψυχρά, παφλάζει δὲ ὥσπερ οἱ λέβητες. τοῦτο εὐόρκοις 152

2. ἐχίνης N^a. ‖ 5. ἐκχέοντες $B^aN^aR^a$. ‖ τϐς κοπρίϐς $B^aR^aS^a$. ‖ 6. κατορύσσουσι S^a. ‖ πωμώσαντες N^a. ‖ 10. κϐρείῳ S^a. ‖ 11. ἔχειν B^aR^a. ‖ 15. καίω B^aR^a. ‖ ἣ $B^aR^aS^a$. ‖ 18. ὅταν] ἅμα B^aR^a. ‖ 20. τε] τὸ B^aR^a, om N^a. ‖ 22. προσπύσαι rc S^a. ‖ πρὸς et δὲ om B^aR^a. ‖ 24. ὑένων N^a. ‖ ὅπερ N^a. ‖ 25. θρώπου — 26. ἀφωνίαν om $B^aR^aT^a$ in lacuna. ‖ 26. ἐργάζεσθαι S^a. ‖ ὡς N^a. ‖ 27. ποῖον B^aR^a. ‖ πὶ τῶν κυνῶν om B^a in lacuna. ‖ 28. φασί τι R^a. ‖ 30. οὖν om $B^aN^aR^a$. ‖ 31. ὀπτήσαντα B^aR^a. ‖ 32. περισπάσωσιν B^a, περισπάσσωσιν R^a. ‖ ἄλλο ζῷον S^a. ‖ τὸ γευσάμενον R^a. ‖ 33. κακεῖ N^a.

1. μεμυρισμένων B^a. ‖ 5. τὸ $B^aN^aR^aS^a$. ‖ 8. οἰςρϐντι pr S^a, μυρϐντι rc. ‖ 9. δὲ] δὲ καὶ $B^aN^aR^a$. ‖ 10. δὲ om $B^aN^aR^a$. ‖ 12. διαιεύοντας B^a. ‖ 13. θεωρϐμένης S^a. ‖ 17. ἂν N^aS^a. ‖ 21. ποτε om N^a. ‖ αὐτῇ $B^aN^aR^a$. ‖ 22. τοιοῦτον N^a. ‖ 23. τὰ om N^a. ‖ 27. μὴ] μένον N^a. ‖ τὸν ὕπνον rc S^a. ‖ καὶ τὸν δ᾽ B^a. ‖ 30. βιώσηται καὶ προσαγάγῃ N^a. ‖ 31. λύσιν εὐθ. γ. αὐτϐ B^aR^a. ‖ Capita 152 — 176 sola habet U^a. S^a autem: ἐν ἄλλῳ ἀντιγράφῳ ἡ προκειμένη ἀρχὴ πᾶσα τῶν παραδόξων ἀκουσμάτων ἔλειπεν ἄχρι τϐ "ἐν βιθυνίᾳ δὲ τῆς θρᾴκης ἐν τοῖς μετάλλοις" (832 b 27.), ἦσαν δὲ ἀντ᾽ ἐκείνων τὰ ὑποτεταγμένα. ‖ 33. τυάνω U^a. ‖ καλεῖται rc K^a, om in lacuna N^aU^a. ‖ 34. δὲ om N^a. ‖ οὗν πηγῆ ἀναδέδοται U^a. ‖ 35. παμφάζει U^a, παφλάξει margo U^a.

μὲν ἡδύ τε καὶ ἵλεων, ἐπιόρκοις δὲ παρὰ πόδας ἡ δίκη. ἀποσκήπτει γὰρ καὶ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας, ἁλίσκονταί τε ὑδέροις καὶ φθόαις· καὶ οὐδὲ πρόσθεν ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν.

153 Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν συστέλλεσθαι.

154 Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν γῆν φερομένων ἔνθα καὶ ἔνθα χειμάρρου δίκην, τὸ τῶν εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον. περικαταληφθέντων γὰρ ὑπὸ τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους.

155 Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας, ὥσθ' ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν.

156 Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν Ἄργει ἀπέκτεινε [τὸν αἴτιον] τοῦ θανάτου τῷ Βίτυϊ, θεωροῦντι ἐμπεσών. ἔοικεν οὖν οὐκ εἰκῇ τὰ τοιαῦτα γίνεσθαι.

157 Φασὶ τοὺς κύνας μόνον διώκειν τὰ θηρία πρὸς τὰς κορυφὰς τῶν Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν, ὅταν ἄχρι τούτων διώκωσιν.

158 Ἐν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνέθευτον
159 τηροῦσι τὸν γάμον. ἐν δὲ τῷ Τίγριδι γίνεσθαί φασι λίθον μωδῶν κεκλημένον βαρβαρικῶς, τῇ χρόᾳ πάνυ λευκόν,
160 ὃν ἐὰν κατέχῃ τις, ὑπὸ θηρίων οὐδὲν ἀδικεῖται. ἐν δὲ τῷ Σκαμάνδρῳ γίνεσθαί φασι βοτάνην σίστρον καλουμένην, παραπλησίαν ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην τοὺς κατέχοντας μήτε δαιμόνιον μήτε φαντασίαν ἡντιναοῦν φοβεῖσθαι.

161 Περὶ Λιβύην ἄμπελός ἐστιν ἣν καλοῦσι μαινομένην τινές, ἣ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δ' ὀμφακώδεις ἔχει, τοὺς δ' ἀνθοῦντας καὶ βραχύν τινα χρόνον.

Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον 16
κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλ' ἀεί εἰσι φιλοπάτορες.

Ἐν ὄρει Τηϋγέτῳ γίνεσθαι βοτάνην καλουμένην χα- 16
ρισίαν, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται.

Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγο- 16
μένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ' ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ ἐν ᾧ οἰκοῦσι. τινὲς δὲ αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς. ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς. ὅσοι δὲ αὐτῶν ἐν ψαμάθοις διατρίβουσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. δάκνοντες δὲ ἐμποιοῦσι δίψος. ἔστι δὲ αὐτῶν τὸ δῆγμα οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες.

Τοῦ περκνοῦ ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα 16
ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει. διὰ τοῦτο καὶ τὰ τέκνα, ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν.

Ἐν τῷ Νείλῳ ποταμῷ γεννᾶσθαι λίθον φασὶ κυάμῳ 16
παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. συντελεῖ δὲ καὶ τοῖς δαιμονί τινι γενομένοις κατόχοις· ἅμα γὰρ τῷ προστεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον. ἐν δὲ τῷ 16
Μαιάνδρῳ ποταμῷ τῆς Ἀσίας λίθον φασὶ σώφρονα καλούμενον κατ' ἀντίφρασιν· ὃν ἐάν τις εἴς τινος ἐμβάλῃ κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν.

Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ' ἄρκτον ῥέουσιν, ὁ 16
μὲν Γερμανοὺς ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ κρύους ἐν πεδίου σχήματι καθιππεύονται.

Περὶ τὴν Θούριον πόλιν δύο ποταμοὺς φασιν εἶναι, Σύ- 16
βαριν καὶ Κρᾶθιν. ὁ μὲν οὖν Σύβαρις τοὺς πίνοντας ἀπ' αὐτοῦ πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους ξανθότριχας λουομένους. ἐν δὲ Εὐβοίᾳ δύο ποταμοὺς εἶναι, 1
ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται· ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ Νηλεύς, ὃς μέλανα ποιεῖ.

6. θαλὸν U^a. ‖ 10. χειμάρου U^a. ‖ 11. περικαταλειφθέντων $N^a S^a U^a$. ‖ 20. δημιουργείας U^a. ‖ 23. τὸν αἴτιον om $K^a N^a S^a U^a$. ‖ θεάτρου S^a. ‖ θεωροῦντος S^a. ‖ 25. κάρας μὴ δ. S^a. ‖ 26. μεγάλων S^a. ‖ 29. ζηλώτυποι N^a, ζολότυποι U^a. ‖ 30. παρθένιαν S^a. ‖ 31. δὲ om N^a. ‖ γενέσθαι N^a, γεννᾶσθαι U^a. ‖ 33. οὐδὲν ὑπὸ θηρίων $K^a N^a U^a$. ‖ 35. παραπλήσιον $N^a S^a$.

6. ἀλλ'] καὶ S^a. ‖ ἀεὶ om $K^a S^a$. ‖ 7. ὄρει τῷ ἠψέτω $K^a N^a U^a$. ‖ 8. ἔρωτος $K^a N^a U^a$. ‖ 14. ἐν om $N^a U^a$. ‖ 18. ἔχιος K^a. ‖ 20. ὥσπερ om S^a. ‖ 26. ἄφρονα $K^a N^a U^a$, τέφρωνα S^a. ‖ 29. ὑπ' ἄρκτω $K^a U^a$, ἐπ' ἄρκτου N^a. ‖ 32. καθιπτεύονται U^a. ‖ 33. σούβαριν et 34. σούβαρις $K^a S^a U^a$. ‖ 36. εὐοία $K^a N^a O^a S^a U^a$. ‖ 37. μὲν om S^a. ‖ 38. ννευς S^a.

171 Παρὰ Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ
παρόμοιον, συντελοῦσαν πρὸς ἀμβλυωπίαν ἄριςα.
172 Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν Ἀρέθουσαν
διὰ πενταετηρίδος κινεῖσθαι λέγουσιν.
173 Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μά-
χαιραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυςηρίων τῆς Ἑκάτης ἐπι-
174 τελουμένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν. ἐν ὄρει
δὲ Τμώλῳ γεννᾶσθαι λίθον παρόμοιον κισσήρει, ὃς τετράκις
τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δὲ ὑπὸ παρ-
θένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν.

Ἐν Ἀρτέμιδος Ὀρθωσίας βωμῷ ταῦρον ἵςασθαι χρύ- 175
σειον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν.
Ἐν Αἰτωλοῖς φασὶν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, 176
καὶ οὐδὲ σιτεῖσθαι γῆν ἀλλ' ἀκρίδας.
Τοὺς ἐλέφαντάς φασι κύειν ἔτη δύο, οἱ δὲ μῆνας 177
ὀκτωκαίδεκα· ἐν δὲ τῇ ἐκτέξει δυσοκεῖν.
Δημάρατον Τιμαίου τοῦ Λοκροῦ ἀκούοντα νοσήσαντα 178
ἄφωνόν φασιν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἑνδε-
κάτῃ ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς ἔφησεν ἐκεῖνον
τὸν χρόνον ἥδιςα αὐτῷ βεβιῶσθαι.

ΜΗΧΑΝΙΚΑ.

Θαυμάζεται τῶν μὲν κατὰ φύσιν συμβαινόντων, ὅσων ἀγνοεῖται τὸ αἴτιον, τῶν δὲ παρὰ φύσιν, ὅσα γίνεται διὰ τέχνην πρὸς τὸ συμφέρον τοῖς ἀνθρώποις. ἐν πολλοῖς γὰρ ἡ φύσις ὑπεναντίον πρὸς τὸ χρήσιμον ἡμῖν ποιεῖ· ἡ μὲν γὰρ φύσις ἀεὶ τὸν αὐτὸν ἔχει τρόπον καὶ ἁπλῶς, τὸ δὲ χρήσιμον μεταβάλλει πολλαχῶς. ὅταν οὖν δέῃ τι παρὰ φύσιν πρᾶξαι, διὰ τὸ χαλεπὸν ἀπορίαν παρέχει καὶ δεῖται τέχνης. διὸ καὶ καλοῦμεν τῆς τέχνης τὸ πρὸς τὰς τοιαύτας ἀπορίας βοηθοῦν μέρος μηχανήν. καθάπερ γὰρ ἐποίησεν Ἀντιφῶν ὁ ποιητής, οὕτω καὶ ἔχει· τέχνῃ γὰρ κρατοῦμεν, ὧν φύσει νικώμεθα. τοιαῦτα δέ ἐςιν ἐν οἷς τά τε ἐλάττονα κρατεῖ τῶν μειζόνων, καὶ τὰ ῥοπὴν ἔχοντα μικρὰν κινεῖ βάρη μεγάλα, καὶ πάντα σχεδὸν ὅσα τῶν προβλημάτων μηχανικὰ προσαγορεύομεν. ἔστι δὲ ταῦτα τοῖς φυσικοῖς προβλήμασιν οὔτε ταὐτὰ πάμπαν οὔτε κεχωρισμένα λίαν, ἀλλὰ κοινὰ τῶν τε μαθηματικῶν θεωρημάτων καὶ τῶν φυσικῶν· τὸ μὲν γὰρ ὡς διὰ τῶν μαθηματικῶν δῆλον, τὸ δὲ περὶ ὃ διὰ τῶν φυσικῶν. περιέχεται δὲ τῶν ἀπορουμένων ἐν τῷ γένει τούτῳ τὰ περὶ τὸν μοχλόν. ἄτοπον γὰρ εἶναι δοκεῖ τὸ κινεῖσθαι μέγα βάρος ὑπὸ μικρᾶς ἰσχύος, καὶ ταῦτα μετὰ βάρους πλείονος· ὃ γὰρ ἄνευ μοχλοῦ κινεῖν οὐ δύναταί τις, τοῦτο ταὐτὸ βάρος, προσλαβὼν ἔτι τὸ τοῦ μοχλοῦ βάρος, κινεῖ θᾶττον. πάντων δὲ τῶν τοιούτων ἔχει τῆς αἰτίας τὴν ἀρχὴν ὁ κύκλος. καὶ τοῦτο εὐλόγως συμβέβηκεν· ἐκ μὲν γὰρ θαυμασιωτέρου συμβαίνειν τι θαυμαςὸν οὐδὲν ἄτοπον, θαυμασιώτατον δὲ τὸ τἀναντία γίνεσθαι μετ' ἀλλήλων. ὁ δὲ κύκλος συνέςηκεν ἐκ τοιούτων· εὐθὺς γὰρ ἐκ κινουμένου τε γεγένηται καὶ μένοντος, ὧν ἡ φύσις ἐςὶν ὑπεναντία ἀλλήλοις. ὥςτ' ἐνταῦθα ἔςιν ἐπιβλέψασιν ἧττον θαυμάζειν τὰς συμβαινούσας ὑπεναντιώσεις περὶ αὐτόν. πρῶτον μὲν γὰρ τῇ περιεχούσῃ γραμμῇ τὸν κύκλον, πλάτος οὐθὲν ἐχούσῃ, τἀναντία πως προσεμφαίνεται, τὸ κοῖλον καὶ τὸ κυρτόν. ταῦτα δὲ διέςηκεν ἀλλήλων ὃν τρόπον τὸ μέγα καὶ τὸ μικρόν· ἐκείνων τε γὰρ μέσον τὸ ἴσον καὶ τούτων τὸ εὐθύ. διὸ μεταβάλλοντα εἰς ἄλληλα τὰ μὲν ἀναγκαῖον ἴσα γενέσθαι πρότερον ἢ τῶν

1. λυκάρμῳ $K^aN^aO^aS^aU^a$. ‖ 2. ἀμβλυωπίας $K^aN^aO^aU^a$. ‖ 8. τμώκῳ S^a. ‖ κίσσυρι U^a, κίσσηρι $K^aN^aS^a$.

1. ἀρτέμιδι N^a. ‖ 5. ἐλ. ἔτη δύο τίκτειν λέγουσιν S^a. ‖ 7. τημάρατον $N^aO^aU^a$. ‖ 9. ἀναπήψαντα S^a, omisso ἔφησεν. ‖ 10. αὐτῷ ἥδιςα τὸν χρόνον $K^aO^aU^a$.

Codices PW^a et hinc inde LB^aH^aq. Tit. τὰ μηχανικὰ τοῦ ἀριςοτέλους q.

11. ἴσον W^aq. ‖ 16. παρὰ τὴν φύσιν q. ‖ 27. τὸ] τῶν W^a. ‖ μαθημάτων W^a. ‖ 28. τῆς ἀπορουμένης q.

11. ἐν] τούτων ἐν W^aq. ‖ 12. εἶναι om W^a. ‖ 14. τοῦτ' αὐτὸ τὸ W^aq. ‖ προσλαβὸν H^a. ‖ 17. θαυμασιωτέρας H^a. ‖ συμβαίνει τι θαυμαςικὸν W^a. ‖ 19. σὺν ἀλλήλοις P. ‖ 20. καὶ] ἐμ W^a. ‖ 23. τῇ om q. ‖ 25. διεςήκατον H^a. ‖ 26. ἐκεῖνον q. ‖ 27. μέσον ἐςὶ τὸ H^a. ‖ 28. ἀναγκαῖα H^a, ἀνα q.

ἄκρων ὁποτερονῦν, τὴν δὲ γραμμὴν εὐθεῖαν, ὅταν ἐκ κυρτῆς εἰς κοῖλον ἢ πάλιν ἐκ ταύτης γίνηται κυρτὴ καὶ περιφερής. ἓν μὲν ὖν τῦτο τῶν ἀτόπων ὑπάρχει περὶ τὸν κύκλον, δεύτερον δὲ ὅτι ἅμα κινεῖται τὰς ἐναντίας κινήσεις· ἅμα γὰρ εἰς τὸν ἔμπροσθεν κινεῖται τόπον καὶ τὸν ὄπισθεν. ἥ τε γράφυσα γραμμὴ τὸν κύκλον ὡσαύτως ἔχει· ἐξ ὗ γὰρ ἄρχεται τόπυ τὸ πέρας αὐτῆς, εἰς τὸν αὐτὸν τῦτον τόπον ἔρχεται πάλιν· συνεχῶς γὰρ κινυμένης αὐτῆς τὸ ἔσχατον πάλιν ἀπῆλθε πρῶτον, ὥστε καὶ φανερὸν ὅτι μετέβαλεν ἐντεῦθεν. διό, καθάπερ εἴρηται πρότερον, ὐδὲν ἄτοπον τὸ πάντων εἶναι τῶν θαυμάτων αὐτὸν ἀρχήν. τὰ μὲν ὖν περὶ τὸν ζυγὸν γινόμενα εἰς τὸν κύκλον ἀνάγεται, τὰ δὲ περὶ τὸν μοχλὸν εἰς τὸν ζυγόν, τὰ δ' ἄλλα πάντα σχεδὸν τὰ περὶ τὰς κινήσεις τὰς μηχανικὰς εἰς τὸν μοχλόν. ἔτι δὲ διὰ τὸ μιᾶς οὔσης τῆς ἐκ τῦ κέντρυ γραμμῆς μηθὲν ἕτερον ἑτέρῳ φέρεσθαι τῶν σημείων τῶν ἐν αὐτῇ ἰσοταχῶς, ἀλλ' ἀεὶ τὸ τῦ μένοντος πέρατος πορρώτερον ὂν θᾶττον, πολλὰ τῶν θαυμαζομένων συμβαίνει περὶ τὰς κινήσεις τῶν κύκλων· περὶ ὧν ἐν τοῖς ἑπομένοις προβλήμασιν ἔσται δῆλον. διὰ δὲ τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι τὸν κύκλον, καὶ τὸ μὲν ἕτερον τῆς διαμέτρυ τῶν ἄκρων, ἐφ' ὗ τὸ Α, εἰς τὔμπροσθεν κινεῖσθαι, θάτερον δέ, ἐφ' οὗ τὸ Β, εἰς τὔπισθεν, κατασκευάζυσί τινες ὥστ' ἀπὸ μιᾶς κινήσεως πολλὺς ὑπεναντίυς ἅμα κινεῖσθαι κύκλους, ὥσπερ οὓς ἀνατιθέασιν ἐν τοῖς ἱεροῖς ποιήσαντες τροχίσκους χαλκοῦς τε καὶ σιδηρῦς. εἰ γὰρ εἴη τῦ ΑΒ κύκλυ ἁπτόμενος ἕτερος κύκλος ἐφ' ὗ ΓΔ, τῦ κύκλου τοῦ ἐφ' ὗ ΑΒ κινουμένης τῆς διαμέτρυ εἰς τὔμπροσθεν, κινηθήσεται ἡ ΓΔ εἰς τοὔπισθεν τῦ κύκλυ τῦ ἐφ' ὗ Α, κινουμένης τῆς διαμέτρου περὶ τὸ αὐτό. εἰς τὐναντίον ἄρα κινηθήσεται ὁ ἐφ' οὗ ΓΔ κύκλος τῷ ἐφ' ὗ τὸ ΑΒ· καὶ πάλιν αὐτὸς τὸν ἐφεξῆς, ἐφ' οὗ ΕΖ, εἰς τὐναντίον αὐτῷ κινήσει διὰ τὴν αὐτὴν αἰτίαν. τὸν αὐτὸν δὲ τρόπον κἂν πλείους ὦσι, τῦτο ποιήσυσιν ἑνὸς μόνυ κινηθέντος. ταύτην οὖν λαβόντες ὑπάρχουσαν ἐν τῷ κύκλῳ τὴν φύσιν οἱ δημιουργοὶ κατασκευάζουσιν ὄργανον κρύπτοντες τὴν ἀρχήν, ὅπως ᾖ τοῦ μηχανήματος φανερὸν μόνον τὸ θαυμαστόν, τὸ δ' αἴτιον ἄδηλον.

Πρῶτον μὲν ὖν τὰ συμβαίνοντα περὶ τὸν ζυγὸν ἀπο- 1
ρεῖται, διὰ τίνα αἰτίαν ἀκριβέστερά ἐστι τὰ ζυγὰ τὰ μείζω τῶν ἐλαττόνων. τύτυ δὲ ἀρχή, διὰ τί ποτε ἐν τῷ κύκλῳ ἡ πλεῖον ἀφεστηκυῖα γραμμὴ τοῦ κέντρου τῆς ἐγγὺς τῇ αὐτῇ ἰσχύϊ κινουμένης θᾶττον φέρεται τῆς ἐλάττονος; τὸ γὰρ θᾶττον λέγεται διχῶς· ἄν τε γὰρ ἐν ἐλάττονι χρόνῳ ἴσον τόπον διεξέλθῃ, θᾶττον εἶναι λέγομεν, καὶ ἐὰν ἐν ἴσῳ πλείω. ἡ δὲ μείζων ἐν ἴσῳ χρόνῳ γράφει μείζονα κύκλον· ὁ γὰρ ἐκτὸς μείζων τῦ ἐντός. αἴτιον δὲ τύτων ὅτι φέρεται δύο φορὰς ἡ γράφυσα τὸν κύκλον. ὅταν μὲν ὖν ἐν λόγῳ τινὶ φέρηται, ἐπ' εὐθείας ἀνάγκη φέρεσθαι τὸ φερόμενον, καὶ γίνεται διάμετρος αὐτὴ τοῦ σχήματος ὃ ποιῦσιν αἱ ἐν τύτῳ τῷ λόγῳ συντεθεῖσαι γραμμαί. ἔστω γὰρ ὁ λόγος ὃν φέρεται τὸ φερόμενον, ὃν ἔχει ἡ ΑΒ πρὸς τὴν ΑΓ· καὶ τὸ μὲν ΑΓ φερέσθω πρὸς τὸ Β, ἡ δὲ ΑΒ ὑποφερέσθω πρὸς τὴν ΗΓ· ἐνηνέχθω δὲ τὸ μὲν Α πρὸς τὸ Δ, ἡ δὲ ἐφ' ᾗ ΑΒ πρὸς τὸ Ε. εἰ οὖν ἐπὶ τῆς φορᾶς ὁ λόγος ἦν ὃν ἡ ΑΒ ἔχει πρὸς τὴν ΑΓ, ἀνάγκη καὶ τὴν ΑΔ πρὸς τὴν ΑΕ τῦτον ἔχειν τὸν λόγον. ὅμοιον ἄρα ἐστὶ τῷ λόγῳ τὸ μικρὸν τετράπλευρον τῷ μείζονι, ὥστε καὶ ἡ αὐτὴ διάμετρος αὐτῶν, καὶ τὸ Α ἔσται πρὸς Ζ. τὸν αὐτὸν δὴ τρόπον δειχθήσεται κἂν ὁπουοῦν διαληφθῇ ἡ φορά· αἰεὶ γὰρ ἔσται ἐπὶ τῆς διαμέτρου. φανερὸν ὖν ὅτι τὸ κατὰ τὴν διάμετρον φερόμενον ἐν δύο φοραῖς ἀνάγκη τὸν τῶν πλευρῶν φέρεσθαι λόγον. εἰ γὰρ ἄλλον τινά, οὐκ οἰσθήσεται κατὰ τὴν διάμετρον. ἐὰν δὲ ἐν μηδενὶ λόγῳ φέρηται δύο φορὰς κατὰ μηδένα χρόνον, ἀδύνατον εὐθεῖαν εἶναι τὴν φοράν. ἔστω γὰρ εὐθεῖα. τεθείσης ὖν ταύτης διαμέτρου, καὶ παραπληρωθεισῶν τῶν πλευρῶν, ἀνάγκη τὸν τῶν πλευρῶν λόγον φέρεσθαι τὸ φερόμενον· τῦτο γὰρ δέδεικται πρότερον. οὐκ ἄρα ποιήσει εὐθεῖαν τὸ ἐν μηδενὶ λόγῳ φερόμενον μηδένα χρόνον. ἐὰν γάρ τινα λόγον ἐνεχθῇ ἐν χρόνῳ τινί, τῦτον ἀνάγκη τὸν χρόνον εὐθεῖαν εἶναι φορὰν διὰ τὰ προειρημένα. ὥστε περιφερὲς γίνεται, δύο φερόμενον φορὰς ἐν μηθενὶ λόγῳ μηθένα χρόνον. ὅτι μὲν τοίνυν ἡ τὸν κύκλον γράφουσα φέρεται δύο φορὰς ἅμα, φανερὸν ἔκ τε τούτων, καὶ ὅτι τὸ φερόμενον κατ' εὐθεῖαν ἐπὶ τὴν κάθετον ἀφι-

1. ὁποτερῶν PW^aq. ‖ 2. κοίλην H^aW^aq. ‖ γίνεται codices. ‖ 3. ὖν om W^aq. ‖ κύκλον om PW^aq. ‖ 4. τὰς ἐναντίας κινήσεις om q. ‖ 5. καὶ] καὶ εἰς W^aq. ‖ 6. ἔχει ὡσαύτως H^a. ‖ 7. ἔρχεται τόπον Pq. ‖ 11. μαθημάτων H^a. ‖ 14. περὶ τὰς μηχανικὰς κινήσεις εἰς H^a. ‖ 20. καὶ om PW^a. ‖ τὸν W^a. ‖ 23. ὑπεναντίως H^aW^a. ‖ 25. τε om H^a. ‖ 27. τοῦ ante ἐφ' add H^a. ‖ 29. ὧ Pq. ‖ 30. ὁ ἐφ' ὗ] codices ἐφ' ὗ ὁ. ‖ 31. ὧ PW^a. ‖ ὧ PH^aW^a. ‖ 32. δὲ om P^a.

4. κέντρου] $\overline{\kappa}$ PW^a. ‖ 6. ἐν om PW^a. ‖ 8. δὲ μεῖζον P. ‖ 10. λόγω W^a. ‖ 12. αἱ om P. ‖ 15. Γ om PW^a. ‖ 16. Η] β PW^a. ‖ 17. εἰ] ὐκ PW^a. ‖ 18. τὴν ΑΕ] δὲ PW^a. ‖ 20. τῷ μείζονι et καὶ om PW^a. ‖ 21. Α] ὁ W^a. ‖ δὴ] ὖν W^a. ‖ 24. πλειόνων PW^a. ‖ 25. οἰδήσεται W^a. ‖ 30. ταῦτα W^a. ‖ 31. τῷ W^a. ‖ 32. χρόνῳ] λόγω PW^a. ‖ 33. προειρημένα πρότερον. ὥστε P. ‖ 37. τὸ om PW^a.

κνεῖται, ὥςε εἶναι πάλιν αὐτὴν ἀπὸ τοῦ κέντρου κάθετον. ἔςω κύκλος ὁ ΑΒΓ, τὸ δ' ἄκρον τὸ ἐφ' οὗ Β φερέσθω ἐπὶ τὸ Δ· ἀφικνεῖται δέ ποτε ἐπὶ τὸ Γ. εἰ μὲν οὖν ἐν τῷ λόγῳ ἐφέρετο ὃν ἔχει ἡ ΒΔ πρὸς τὴν ΔΓ, ἐφέρετο ἂν τὴν διάμετρον τὴν ἐφ' ᾗ ΒΓ. νῦν δέ, ἐπείπερ ἐν οὐδενὶ λόγῳ, ἐπὶ τὴν περιφέρειαν φέρεται τὴν ἐφ' ᾗ ΒΕΓ. ἐὰν δὲ δυοῖν φερομένοιν ἀπὸ τῆς αὐτῆς ἰσχύος τὸ μὲν ἐκκρούοιτο πλεῖον τὸ δὲ ἔλαττον, εὔλογον βραδύτερον κινηθῆναι τὸ πλεῖον ἐκκρουόμενον τοῦ ἔλαττον ἐκκρουομένου· ὃ δοκεῖ συμβαίνειν ἐπὶ τῆς μείζονος καὶ ἐλάττονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους. διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ μένοντος τῆς ἐλάττονος τὸ ἄκρον ἢ τὸ τῆς μείζονος, ὥσπερ ἀντισπώμενον εἰς τοὐναντίον, ἐπὶ τὸ μέσον βραδύτερον φέρεται τὸ τῆς ἐλάττονος ἄκρον. πάσῃ μὲν οὖν κύκλον γραφούσῃ τοῦτο συμβαίνει, καὶ φέρεται τὴν μὲν κατὰ φύσιν κατὰ τὴν περιφέρειαν, τὴν δὲ παρὰ φύσιν εἰς τὸ πλάγιον καὶ τὸ κέντρον. μείζω δ' ἀεὶ τὴν παρὰ φύσιν ἡ ἐλάττων φέρεται· διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ κέντρου τοῦ ἀντισπῶντος κρατεῖται μᾶλλον. ὅτι δὲ μεῖζον τὸ παρὰ φύσιν κινεῖται ἡ ἐλάττων τῆς μείζονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους, ἐκ τῶνδε δῆλον. ἔστω κύκλος ἐφ' οὗ ΒΓΔΕ, καὶ ἄλλος ἐν τούτῳ ἐλάττων, ἐφ' οὗ ΧΝΜΞ, περὶ τὸ αὐτὸ κέντρον τὸ Α· καὶ ἐκβεβλήσθωσαν αἱ διάμετροι, ἐν μὲν τῷ μεγάλῳ, ἐφ' ὧν ΓΔ καὶ ΒΕ, ἐν δὲ τῷ ἐλάττονι αἱ ΜΧ ΝΞ· καὶ τὸ ἑτερόμηκες παραπεπληρώσθω, τὸ ΔΨΡΓ. εἰ δὴ ἡ ΑΒ γράφουσα κύκλον ἥξει ἐπὶ τὸ αὐτὸ ὅθεν ὡρμήθη ἐπὶ τὴν ΑΕ, δῆλον ὅτι φέρεται πρὸς αὐτήν. ὁμοίως δὲ καὶ ἡ ΑΧ πρὸς τὴν ΑΧ ἥξει. βραδύτερον δὲ φέρεται ἡ ΑΧ τῆς ΑΒ, ὥσπερ εἴρηται, διὰ τὸ γίνεσθαι μείζονα τὴν ἔκκρουσιν καὶ ἀντισπᾶσθαι μᾶλλον τὴν ΑΧ. ἤχθω δὲ ἡ ΑΘΗ, καὶ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΘΖ ἐν τῷ κύκλῳ, καὶ πάλιν ἀπὸ τοῦ Θ ἤχθω παρὰ τὴν ΑΒ ἡ ΘΩ, καὶ ἡ ΩΥ ἐπὶ τὴν ΑΒ κάθετον, καὶ ἡ ΗΚ. αἱ δὴ ἐφ' ὧν ΩΥ καὶ ΘΖ ἴσαι. ἡ ἄρα ΒΥ ἐλάττων τῆς ΧΖ· αἱ γὰρ ἴσαι εὐθεῖαι ἐπ' ἀνίσους κύκλους ἐμβληθεῖσαι πρὸς ὀρθὰς τῇ διαμέτρῳ ἔλαττον τμῆμα ἀποτέμνουσι τῆς διαμέτρου ἐν τοῖς μείζοσι κύκλοις, ἔςι δὲ ἡ ΩΥ ἴση τῇ ΘΖ. ἐν ὅσῳ δὴ χρόνῳ ἡ ΑΘ τὴν ΧΘ ἐνηνέχθη, ἐν τοσούτῳ χρόνῳ ἐν τῷ κύκλῳ τῷ μείζονι μείζονα τῆς ΒΩ ἐνήνεκται τὸ ἄκρον τῆς ΒΑ. ἡ μὲν γὰρ κατὰ φύσιν φορὰ ἴση, ἡ δὲ παρὰ φύσιν ἐλάττων· ἡ δὲ ΒΥ τῆς ΖΧ. δεῖ δὲ ἀνάλογον εἶναι, ὡς τὸ κατὰ φύσιν πρὸς τὸ κατὰ φύσιν, τὸ παρὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. μείζονα ἄρα περιφέρειαν διελήλυθε τὴν ΗΒ τῆς ΩΒ. ἀνάγκη δὲ τὴν ΗΒ ἐν τούτῳ τῷ χρόνῳ διεληλυθέναι· ἐνταῦθα γὰρ ἔςαι, ὅταν ἀνάλογον ἀμφοτέρως συμβαίνῃ τὸ παρὰ φύσιν πρὸς τὸ κατὰ φύσιν. εἰ δὴ μεῖζόν ἐςι τὸ κατὰ φύσιν ἐν τῇ μείζονι, καὶ τὸ παρὰ φύσιν μᾶλλον ἂν ἐνταῦθα συμπίπτοι μοναχῶς, ὥςε τὸ Β ἐνηνέχθαι ἂν τὴν ΒΗ ἐν τῷ ἐφ' οὗ Χ σημεῖον. ἐνταῦθα γὰρ κατὰ φύσιν μὲν γίνεται τῷ Β σημείῳ τὸ κέντρον (ἔςι γὰρ αὐτὴ ἀπὸ τοῦ Η κάθετος), παρὰ φύσιν δὲ ἐς τὸ ΚΒ. ἔςι δὲ ὡς τὸ ΗΚ πρὸς τὸ ΚΒ, τὸ ΘΖ πρὸς τὸ ΖΧ. φανερὸν δὲ ἐὰν ἐπιζευχθῶσιν ἀπὸ τῶν ΒΧ ἐπὶ τὰ ΗΘ. εἰ δὲ ἐλάττων ἢ μείζων τῆς ΗΒ ἔςαι, ἣν ἠνέχθη τὸ Β, οὐχ ὁμοίως ἔςαι οὐδὲ ἀνάλογον ἐν ἀμφοῖν τὸ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. δι' ἣν μὲν τοίνυν αἰτίαν ἀπὸ τῆς αὐτῆς ἰσχύος φέρεται θᾶττον τὸ πλέον ἀπέχον τοῦ κέντρου σημεῖον, δῆλον διὰ τῶν εἰρημένων· διότι δὲ τὰ μὲν μείζω ζυγὰ ἀκριβέςερά ἐςι τῶν ἐλαττόνων, φανερὸν ἐκ τούτων. γίνεται γὰρ τὸ μὲν σπάρτον κέντρον (μένει γὰρ τοῦτο), τὸ δὲ ἐπὶ ἑκάτερον μέρος τῆς πλάςιγγος αἱ ἐκ τοῦ κέντρου. ἀπὸ οὖν τοῦ αὐτοῦ βάρους ἀνάγκη θᾶττον κινεῖσθαι τὸ ἄκρον τῆς πλάςιγγος, ὅσῳ ἂν πλεῖον ἀπέχῃ τοῦ σπάρτου, καὶ ἔνια μὲν μὴ δῆλα εἶναι ἐν τοῖς μικροῖς ζυγοῖς πρὸς τὴν αἴσθησιν ἐπιτιθέμενα βάρη, ἐν δὲ τοῖς μεγάλοις δῆλα· οὐθὲν γὰρ κωλύει ἔλαττον κινηθῆναι μέγεθος ἢ ὥστε εἶναι τῇ ὄψει φανερόν. ἐπὶ δὲ τῆς μεγάλης πλάςιγγος ποιεῖ ὁρατὸν τὸ αὐτὸ βάρος μέγεθος. ἔνια δὲ δῆλα μὲν ἐπ' ἀμφοῖν ἐστίν, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων διὰ τὸ πολλῷ μεῖζον γίνεσθαι τὸ μέγεθος τῆς ῥοπῆς ὑπὸ τοῦ αὐτοῦ βάρους ἐν τοῖς μείζοσι. καὶ διὰ τοῦτο τεχνάζουσιν οἱ ἁλουργοπῶλαι πρὸς τὸ παρακρούεσθαι ἱστάντες, τό τε σπάρτον οὐκ ἐν μέσῳ τιθέντες, καὶ μόλυβδον τῆς φάλαγγος εἰς θάτερον μέρος ἐγχέοντες, ἢ τοῦ ξύλου τὸ πρὸς τὴν ῥίζαν πρὸς ὃ βούλονται ῥέπειν ποιοῦντες, ἢ ἐὰν ἔχῃ ὄζον· βαρύ-

3. που *VV*ᵃ. ‖ 4. ἡ βε̄ ε̄γ̄ ἐφέρετο *PVV*ᵃ. ‖ 5. ἐπεὶ *VV*ᵃ. ‖ 6. φέρηται *P*. ‖ 8. βραδυτέραν *VV*ᵃ. ‖ 13. μέσον τὸ μὲν βραδύτερον *PVV*ᵃ. ‖ 15. κύκλω *P*. ‖ 18. ἡ ἐλάττω *PVV*ᵃ. ‖ τὸ γὰρ *P*. ‖ 23. τὸ Α om *PVV*ᵃ. ‖ 29. ἡ ΑΧ — 30. εἴρηται om *VV*ᵃ. ‖ 33. τὴν] τὸ *VV*ᵃ. ‖ 34. ἡ] αἱ *PVV*ᵃ. ‖ 35. ΧΖ] χε *PVV*ᵃ, *VV*ᵃ additis ἴσως ὀφείλει χζ. ‖ 36. κύκλουν *VV*ᵃ. ‖ ὀρ τῇ *P*.

2. τῷ μείζονι om *P*. ‖ 5. τὸ post ὡς et τὸ παρὰ — 6. φύσιν om *VV*ᵃ. ‖ 9. συμβαίνειν *VV*ᵃ. ‖ 12. τῷ] τ ante lacunam *PVV*ᵃ. ‖ 15. τὸ post ὡς om *VV*ᵃ. ‖ 17. ἢ] codices ἡ. mox om ἣν. ‖ 18. τὸ κατὰ φύσιν] κατὰ φορὰν *P*. ‖ 20. post σημεῖον *P* καὶ μ γράφει ἡ μείζων. item *VV*ᵃ, omisso in lacuna μ. ‖ 21. δὲ et μὲν om *P*. ‖ 24. τοῦ οὖν *PVV*ᵃ. ‖ 27. αἴσθησιν τὰ ἐπιτ. *PVV*ᵃ. ‖ 29. κινηθῇ *P*, κινεῖσθαι *VV*ᵃ. ‖ 35. τῶ *P*. ‖ τό] τάς *VV*ᵃ. ‖ 36. μόλιβδον *PVV*ᵃ. ‖ 37. ἐκχέοντες *VV*ᵃ. ‖ τὸ om *P*. ‖ 38. ἔχει *VV*ᵃ.

τερον γὰρ ἐν ᾧ μέρος ἡ ῥίζα τοῦ ξύλου ἐςίν, ὁ δὲ ὄζος ῥίζα τίς ἐςιν.

2 Διὰ τί, ἐὰν μὲν ἄνωθεν ᾖ τὸ σπαρτίον, ὅταν κάτωθεν ῥέψαντος ἀφέλῃ τὸ βάρος, πάλιν ἀναφέρεται τὸ ζυγόν, ἐὰν δὲ κάτωθεν ὑποστῇ, οὐκ ἀναφέρεται ἀλλὰ μένει; ἢ διότι ἄνωθεν μὲν τοῦ σπαρτίου ὄντος πλεῖον τοῦ ζυγοῦ γίνεται τὸ ἐπέκεινα τῆς καθέτου; τὸ γὰρ σπαρτίον ἐςὶ κάθετος. ὥστε ἀνάγκη ἐστὶ κάτω ῥέπειν τὸ πλέον, ἕως ἂν ἔλθῃ ἡ δίχα διαιροῦσα τὸ ζυγὸν ἐπὶ τὴν κάθετον αὐτήν, ἐπικειμένου τοῦ βάρους ἐν τῷ ἀνεσπασμένῳ μορίῳ τοῦ ζυγοῦ. ἔςω ζυγὸν ὀρθὸν ἐφ᾽ οὗ ΒΓ, σπαρτίον δὲ τὸ ΑΔ. ἐκβαλλόμενον δὴ τοῦτο κάτω κάθετος ἔςαι ἐφ᾽ ἧς ἡ ΑΔΜ. ἐὰν οὖν ἐπὶ τὸ Β ἡ ῥοπὴ ἐπιτεθῇ, ἔςαι τὸ μὲν Β οὗ τὸ Ε, τὸ δὲ Γ οὗ τὸ Ζ, ὥςε ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου αὐτῆς, ἐπικειμένης δὲ τῆς ῥοπῆς ἔςαι ἡ ΔΘ· ὥςε τοῦ ζυγοῦ ἐφ᾽ ᾧ ΕΖ τὸ ἔξω τῆς καθέτου τῆς ἐφ᾽ ἧς ΑΒ, τοῦ ἐν ᾧ ΦΠ, μείζω τοῦ ἡμίσεος. ἐὰν οὖν ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐςι τὸ Ε. ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος ἢ ὡς ἡ κάθετος διαιρεῖ ὥςε οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. ἔςω ζυγὸν τὸ ἐφ᾽ οὗ ΝΞ, τὸ ὀρθόν, κάθετος δὲ ἡ ΚΛΜ. δίχα δὴ διαιρεῖται τὸ ΝΞ. ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔςαι τὸ μὲν Ν οὗ τὸ Ο, τὸ δὲ Ξ οὗ τὸ Ρ, ἡ δὲ ΚΛ οὗ τὸ ΛΘ, ὥςε μεῖζόν ἐςι τὸ ΚΟ τοῦ ΛΡ τῷ ΘΚΛ. καὶ ἀφαιρεθέντος οὖν τοῦ βάρους ἀνάγκη μένειν· ἐπίκειται γὰρ ὥσπερ βάρος ἡ ὑπεροχὴ ἡ τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ Κ.

3 Διὰ τί κινοῦσι μεγάλα βάρη μικραὶ δυνάμεις τῷ μοχλῷ, ὥσπερ ἐλέχθη καὶ κατ᾽ ἀρχήν, προσλαβόντι βάρος ἔτι τὸ τοῦ μοχλοῦ; ῥᾷον δὲ τὸ ἔλαττόν ἐςι κινῆσαι βάρος, ἔλαττον δέ ἐςιν ἄνευ τοῦ μοχλοῦ. ἢ ὅτι αἴτιόν ἐςιν ὁ μοχλός, ζυγὸν [ὢν] κάτωθεν ἔχον τὸ σπαρτίον καὶ εἰς ἄνισα διῃρημένον; τὸ γὰρ ὑπομόχλιον ἀντὶ σπαρτίου γίνεται· μένει γὰρ ἄμφω ταῦτα, ὥσπερ τὸ κέντρον. ἐπεὶ δὲ θᾶττον ὑπὸ τοῦ ἴσου βάρους κινεῖται ἡ μείζων τῶν ἐκ τοῦ κέντρου, ἔστι δὲ τρία τὰ περὶ τὸν μοχλόν, τὸ μὲν ὑπομόχλιον, σπάρτον καὶ κέντρον, δύο δὲ βάρη, ὅ τε κινῶν καὶ τὸ κινούμενον· ὃ οὖν τὸ κινούμενον βάρος πρὸς τὸ κινοῦν, τὸ μῆκος πρὸς τὸ μῆκος ἀντιπέπονθεν. αἰεὶ δὲ ὅσῳ ἂν μεῖζον ἀφεςήκῃ τοῦ ὑπομοχλίου, ῥᾷον κινήσει. αἰτία δέ ἐςιν ἡ προλεχθεῖσα, ὅτι ἡ πλεῖον ἀπέχουσα ἐκ τοῦ κέντρου μείζονα κύκλον γράφει. ὥςε ἀπὸ τῆς αὐτῆς ἰσχύος πλέον μεταστήσεται τὸ κινοῦν τὸ πλεῖον τοῦ ὑπομοχλίου ἀπέχον. ἔςω μοχλὸς ἐφ᾽ οὗ ΑΒ, βάρος δὲ ἐφ᾽ ᾧ τὸ Γ, τὸ δὲ κινοῦν ἐφ᾽ ᾧ τὸ Δ, ὑπομόχλιον ἐφ᾽ ᾧ τὸ Ε, τὸ δὲ ἐφ᾽ ᾧ τὸ Δ κινῆσαν ἐφ᾽ ᾧ τὸ Η, κινούμενον δὲ τὸ ἐφ᾽ οὗ Γ, βάρος ἐφ᾽ οὗ Κ.

Διὰ τί οἱ μεσόνεοι μάλιςα τὴν ναῦν κινοῦσιν; ἢ διότι 4
ἡ κώπη μοχλός ἐςιν; ὑπομόχλιον μὲν γὰρ ὁ σκαλμὸς γίνεται (μένει γὰρ δὴ τοῦτο), τὸ δὲ βάρος ἡ θάλαττα, ἣν ἀπωθεῖ ἡ κώπη· ὁ δὲ κινῶν τὸν μοχλὸν ὁ ναύτης ἐστίν. ἀεὶ δὲ πλέον βάρος κινεῖ, ὅσῳ ἂν πλέον ἀφεςήκῃ τοῦ ὑπομοχλίου ὁ κινῶν τὸ βάρος· μείζων γὰρ οὕτω γίνεται ἡ ἐκ τοῦ κέντρου, ὁ δὲ σκαλμὸς ὑπομόχλιον ὢν κέντρον ἐστίν. ἐν μέσῃ δὲ τῇ νηῒ πλεῖστον τῆς κώπης ἐντός ἐςιν· καὶ γὰρ ἡ ναῦς ταύτῃ εὐρυτάτη ἐστίν, ὥστε πλεῖον ἐπ᾽ ἀμφότερα ἐνδέχεσθαι μέρος τῆς κώπης ἑκατέρου τοίχου ἐντὸς εἶναι τῆς νεώς. κινεῖται μὲν οὖν ἡ ναῦς διὰ τὸ ἀπερειδομένης τῆς κώπης εἰς τὴν θάλασσαν τὸ ἄκρον τῆς κώπης τὸ ἐντὸς προϊέναι εἰς τὸ πρόσθεν, τὴν δὲ ναῦν προσδεδεμένην τῷ σκαλμῷ συμπροϊέναι, ᾗ τὸ ἄκρον τῆς κώπης. ᾗ γὰρ πλείςην θάλασσαν διαιρεῖ ἡ κώπη, ταύτῃ ἀνάγκη μάλιςα προωθεῖσθαι· πλείςην δὲ διαιρεῖ ᾗ πλεῖςον μέρος ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐςίν. διὰ τοῦτο οἱ μεσόνεοι μάλιςα κινοῦσιν· μέγιστον γὰρ ἐν μέσῃ νηῒ τὸ ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης τὸ ἐντός ἐςιν.

Διὰ τί τὸ πηδάλιον μικρὸν ὄν, καὶ ἐπ᾽ ἐσχάτῳ τῷ 5
πλοίῳ, τοσαύτην δύναμιν ἔχει ὥςε ὑπὸ μικροῦ οἴακος καὶ ἑνὸς ἀνθρώπου δυνάμεως, καὶ ταύτης ἠρεμαίας, μεγάλα κινεῖσθαι μεγέθη πλοίων; ἢ διότι καὶ τὸ πηδάλιόν ἐστι μοχλός, καὶ μοχλεύει ὁ κυβερνήτης. ᾗ μὲν οὖν προσήρμοςαι τῷ πλοίῳ, γίνεται ὑπομόχλιον, τὸ δὲ ὅλον πηδάλιον ὁ μοχλός, τὸ δὲ βάρος ἡ θάλασσα, ὁ δὲ κυβερνήτης ὁ κινῶν. οὐ κατὰ πλάτος δὲ λαμβάνει τὴν θάλασσαν, ὥσπερ ἡ κώπη, τὸ πηδάλιον. οὐ γὰρ εἰς τὸ πρόσθεν κινεῖ τὸ πλοῖον, ἀλλὰ κινούμενον κλίνει, πλαγίως τὴν θάλατταν δεχόμενον. ἐπεὶ γὰρ τὸ βάρος ἦν ἡ θάλασσα, τοὐναντίον ἀπερειδόμενον κλίνει τὸ πλοῖον. τὸ γὰρ ὑπομόχλιον εἰς τοὐναντίον ςρέφεται,

11. ἐφ᾽] τὸ ἐφ᾽ Wa. ‖ ΑΔ] αβ Wa. ‖ 13. ἐπιτεθείσεται P, ἐπιτεθήσεται Wa, omisso uterque ἔςαι. ‖ 19. Ε] ρ PWa. ‖ 24. ΝΞ] κξ PWa. ‖ 25. δὴ] δεῖ Wa. ‖ νκξ PWa. ‖ 27. τῷ] τοῦ PWa. ‖ 28. ἐπεὶ κεῖται γὰρ PWa. ‖ 29. τὸ χ P, τοῦ χ Wa. ‖ 31. ἀρχάς Wa. ‖ προσλαμβάνοντες P. ‖ 32. ῥᾴδιον codices. ‖ 34. ζυγὸν κάτωθεν ἔχων PWa. ‖ 35. ἀντὶ] τί P.

2. et 14. ἀφεςήκοι codices. ‖ 3. αἴτιον Wa. ‖ 5. malim καταςήσεται. ‖ 6. ἔςαι Wa. ‖ 9. τὰ Wa. ‖ 14. πλέον post ἂν om Wa. ‖ ὑπομόχλου Wa. ‖ 17. μέσω P. ‖ 18. ἀμφοτέροις Wa. ‖ 22. τὸ] τὰ Wa. ‖ 23. ᾗ τὸ] ἢ τὸ PWa. ‖ 25. εἰ PWa. ‖ 30. μέγα Wa, μεγάλην Ha. ‖ κοινεῖσθαι P. ‖ 31. μέγεθος Wa. ‖ 32. καὶ — 34. μοχλός add LPBaHaWaq. ‖ 35. ὅπερ P. ‖ 36. πλεῖον Wa.

ἡ θάλασσα δὲ ἐντός· ἐκεῖνο δὲ εἰς τὸ ἐκτός. τούτῳ δὲ ἀκολουθεῖ τὸ πλοῖον διὰ τὸ συνδεδέσθαι. ἡ μὲν οὖν κώπη κατὰ πλάτος τὸ βάρος ὠθοῦσα καὶ ὑπ' ἐκείνου ἀντωθουμένη εἰς τὸ εὐθὺ προάγει· τὸ δὲ πηδάλιον, ὥσπερ κάθηται πλάγιον, τὴν εἰς τὸ πλάγιον, ἢ δεῦρο ἢ ἐκεῖ, ποιεῖ κίνησιν. ἐπ' ἄκρου δὲ καὶ οὐκ ἐν μέσῳ κεῖται, ὅτι ῥᾷστον τὸ κινούμενον κινῆσαι ἀπ' ἄκρου κινοῦν. τάχιστα γὰρ φέρεται τὸ πρῶτον μέρος διὰ τὸ ὥσπερ ἐν τοῖς φερομένοις ἐπὶ τέλει λήγειν τὴν φοράν, οὕτω καὶ τοῦ συνεχοῦς ἐπὶ τέλους ἀσθενεστάτη ἐστὶν ἡ φορά. εἰ δὲ ἀσθενεστάτη, ῥᾳδία ἐκκρούειν. διά τε δὴ ταῦτα ἐν τῇ πρύμνῃ τὸ πηδάλιόν ἐστι, καὶ ὅτι ἐνταῦθα μικρᾶς κινήσεως γενομένης πολλῷ μεῖζον τὸ διάστημα ἐπὶ τῷ ἐσχάτῳ γίνεται, διὰ τὸ τὴν ἴσην γωνίαν ἐπὶ μείζονα καθῆσθαι, καὶ ὅσῳ ἂν μείζους ὦσιν αἱ περιέχουσαι. δῆλον δὲ ἐκ τούτου καὶ δι' ἣν αἰτίαν μᾶλλον προέρχεται εἰς τοὐναντίον τὸ πλοῖον ἢ ἡ τῆς κώπης πλάτη· τὸ αὐτὸ γὰρ μέγεθος τῇ αὐτῇ ἰσχύϊ κινούμενον ἐν ἀέρι πλέον ἢ ἐν τῷ ὕδατι πρόεισιν. ἔστω γὰρ ἡ ΑΒ κώπη, τὸ δὲ Γ ὁ σκαλμός, τὸ δὲ Α τὸ ἐν τῷ πλοίῳ, ἡ ἀρχὴ τῆς κώπης, τὸ δὲ Β τὸ ἐν τῇ θαλάττῃ. εἰ δὴ τὸ Α οὗ τὸ Δ μετακεκίνηται, τὸ Β οὐκ ἔσται οὗ τὸ Ε· ἴση γὰρ ἡ ΒΕ τῇ ΑΔ. ἴσον οὖν μετακεχωρηκὸς ἔσται. ἀλλ' ἦν ἔλαττον. ἔσται δὴ οὗ τὸ Ζ ἢ τὸ Θ. ἄρα τοίνυν τὴν ΑΒ, καὶ οὐχ ἡ τὸ Γ, καὶ κάτωθεν. ἐλάττων γὰρ ἡ ΒΖ τῆς ΑΔ, ὥστε καὶ ἡ ΘΖ τῆς ΔΘ· ὅμοια γὰρ τὰ τρίγωνα. καθεστηκὸς δὲ ἔσται καὶ τὸ μέσον, τὸ ἐφ' οὗ Γ· εἰς τοὐναντίον γὰρ τῷ ἐν τῇ θαλάττῃ ἄκρῳ τῷ Β μεταχωρεῖ, ᾗπερ τὸ ἐν τῷ πλοίῳ ἄκρον τὸ Α μὴ ἐχώρει οὗ τὸ Δ. ὥστε μετακινηθήσεται τὸ πλοῖον, καὶ ἐκεῖ οὗ ἡ ἀρχὴ τῆς κώπης μεταφέρεται. τὸ δ' αὐτὸ καὶ τὸ πηδάλιον ποιεῖ, πλὴν ὅτι εἰς τὸ πρόσθεν οὐδὲν συμβάλλεται τῷ πλοίῳ, ὥσπερ ἐλέχθη ἐπὶ ἄνω, ἀλλὰ μόνον τὴν πρύμναν εἰς τὸ πλάγιον ἀπωθεῖ ἔνθα ἢ ἔνθα· εἰς τοὐναντίον γὰρ ἡ πρῷρα οὕτω νεύει. ᾗ μὲν δὴ τὸ πηδάλιον προσέζευκται, δεῖ οἷόν τι τοῦ κινουμένου μέσον νοεῖν, καὶ ὥσπερ ὁ σκαλμὸς τῇ κώπῃ· τὸ δὲ μέσον ὑποχωρεῖ, ᾗ ὁ οἴαξ μετακινεῖται. ἐὰν μὲν εἴσω ἄγῃ, καὶ ἡ πρύμνα δεῦρο μεθέστηκεν· ἡ δὲ πρῷρα εἰς τοὐναντίον νεύει· ἐν γὰρ τῷ αὐτῷ οὔσης τῆς πρῴρας τὸ πλοῖον μεθέστηκεν ὅλον.

6 Διὰ τί, ὅσῳ ἂν ἡ κεραία ἀνωτέρα ᾖ, θᾶττον πλεῖ τὰ πλοῖα τῷ αὐτῷ ἱστίῳ καὶ τῷ αὐτῷ πνεύματι; ἢ διότι γίνεται ὁ μὲν ἱστὸς μοχλός, ὑπομόχλιον δὲ τὸ ἑδώλιον ἐν ᾧ ἐμπέπηγεν, ὃ δὲ δεῖ κινεῖν βάρος, τὸ πλοῖον, τὸ δὲ κινοῦν τὸ ἐν τῷ ἱστίῳ πνεῦμα. εἰ δ' ὅσῳ ἂν πορρώτερον ᾖ τὸ ὑπομόχλιον, ῥᾷον κινεῖ καὶ θᾶττον ἡ αὐτὴ δύναμις τὸ αὐτὸ βάρος,- ἡ οὖν κεραία ἀνώτερον ἀγομένη καὶ τὸ ἱστίον πορρώτερον ποιεῖ τοῦ ἑδωλίου ὑπομοχλίου ὄντος.

Διὰ τί, ὅταν ἐξ οὐρίας βούλωνται διαδραμεῖν μὴ οὐρίου 7 τοῦ πνεύματος ὄντος, τὸ μὲν πρὸς τὸν κυβερνήτην τοῦ ἱστίου μέρος στέλλονται, τὸ δὲ πρὸς τὴν πρῷραν ποδιαῖον ποιησάμενοι ἐφιᾶσιν; ἢ διότι ἀντισπᾶν τὸ πηδάλιον πολλῷ μὲν ὄντι τῷ πνεύματι οὐ δύναται, ὀλίγῳ δέ, ὃ ὑποστέλλονται. προάγει μὲν οὖν τὸ πνεῦμα, εἰς οὔριον δὲ καθίστησι τὸ πηδάλιον, ἀντισπῶν καὶ μοχλεῦον τὴν θάλατταν. ἅμα δὲ καὶ οἱ ναῦται μάχονται τῷ πνεύματι· ἀνακλίνουσι γὰρ ἐπὶ τὸ ἐναντίον ἑαυτούς.

Διὰ τί τὰ στρογγύλα καὶ περιφερῆ τῶν σχημάτων 8 εὐκινητότερα; τριχῶς δὲ ἐνδέχεται τὸν κύκλον κυλισθῆναι· ἢ γὰρ κατὰ τὴν ἁψῖδα, συμμεταβάλλοντος τοῦ κέντρου, ὥσπερ ὁ τροχὸς ὁ τῆς ἁμάξης κυλίεται· ἢ περὶ τὸ κέντρον μόνον, ὥσπερ αἱ τροχιλέαι, τοῦ κέντρου μένοντος· ἢ παρὰ τὸ ἐπίπεδον, τοῦ κέντρου μένοντος, ὥσπερ ὁ κεραμεικὸς τροχὸς κυλίνδεται. εἰ μὲν δὴ τάχιστα τὰ τοιαῦτα, διά τε τὸ μικρῷ ἅπτεσθαι τοῦ ἐπιπέδου, ὥσπερ ὁ κύκλος κατὰ στιγμήν, καὶ διὰ τὸ μὴ προσκόπτειν· ἀφέστηκε γὰρ τῆς γῆς ἡ γωνία. καὶ ἔτι ᾧ ἂν ἀπαντήσῃ σώματι, πάλιν τούτου κατὰ μικρὸν ἅπτεται. εἰ δ' εὐθύγραμμον ἦν, τῇ εὐθείᾳ ἐπὶ πολὺ ἥπτετο ἂν τοῦ ἐπιπέδου. ἔτι ᾗ ῥέπει ἐπὶ τὸ βάρος, ταύτῃ κινεῖ ὁ κινῶν. ὅταν μὲν γὰρ πρὸς ὄρθιον ἡ διάμετρος ᾖ τοῦ κύκλου τῷ ἐπιπέδῳ, ἁπτομένου τοῦ κύκλου κατὰ στιγμὴν τοῦ ἐπιπέδου, ἴσον τὸ βάρος ἐπ' ἀμφότερα διαλαμβάνει ἡ διάμετρος· ὅταν δὲ κινῆται, εὐθὺς πλέον ἐφ' ᾧ κινεῖται, ὥσπερ ῥέπον. ἐντεῦθεν εὐκινητότερον τῷ ὠθοῦντι εἰς τοὔμπροσθεν· ἐφ' ὃ γὰρ ῥέπει ἕκαστον, εὐκίνητόν ἐστιν, εἴπερ καὶ τὸ ἐπὶ τὸ ἐναντίον τῆς ῥοπῆς δυσκίνητον. ἔτι λέγουσί τινες ὅτι καὶ ἡ γραμμὴ ἡ τοῦ κύκλου ἐν φορᾷ ἐστὶν ἀεί, ὥσπερ τὰ μένοντα, διὰ τὸ ἀντερείδειν, οἷον καὶ τοῖς μείζοσι κύκλοις ὑπάρχει πρὸς τοὺς ἐλάττονας. θᾶττον γὰρ ὑπὸ τῆς ἴσης ἰσχύος κινοῦνται οἱ μείζους καὶ τὰ βάρη κινοῦσι, διὰ τὸ ῥοπήν τινα ἔχειν τὴν γωνίαν τὴν τοῦ μείζονος κύκλου πρὸς τὴν τοῦ ἐλάττονος, καὶ εἶναι ὅπερ ἡ διάμετρος πρὸς τὴν διάμετρον. ἀλλὰ μὴν πᾶς κύκλος μείζων πρὸς

1. ἐκεῖνο δὲ] εἰ δὲ ἐκεῖνο PWa. ‖ 2. πλεῖον P. ‖ 3. ἀντωθουμένου Wa. ‖ 7. βάρος P. ‖ 19. θαλάσσῃ Wa. ‖ 21. τῇ] τὸ Wa. ‖ νῦν P. ‖ 22. Ζ] ᾱ Wa. ‖ ἢ] ἡ Wa, ᾗ P. ‖ 23. ἐλάττω PWa. ‖ 31. εἰς τοὐν.] ἢ εἰς τοὐν. P, ἢ οὐ τοὐν. Wa. ‖ 39. πλοῖα] α Wa.
1. δεῖ om Wa. ‖ 9. ἐφιᾶσιν Wa. ‖ ἀντισπᾷ P, σπᾷ Wa. ‖ 19. περὶ Wa. ‖ 20. κεραμικὸς Wa. ‖ 21. δὲ Wa. ‖ τῷ P Wa. ‖ 33. τὸ post καὶ om Wa.

ἐλάττονα· ἄπειροι γὰρ οἱ ἐλάττονες. εἰ δὲ καὶ πρὸς ἕτερον ἔχει ῥοπὴν ὁ κύκλος, ὁμοίως δὲ εὐκίνητος, καὶ ἄλλην ἂν ἔχοι ῥοπὴν ὁ κύκλος καὶ τὰ ὑπὸ κύκλου κινούμενα, κἂν μὴ τῇ ἀψῖδι ἅπτηται τοῦ ἐπιπέδου, ἀλλ' ἢ παρὰ τὸ ἐπίπεδον, ἢ ὡς αἱ τροχιλέαι· καὶ γὰρ οὕτως ἔχοντα ῥᾷστα κινοῦνται καὶ κινοῦσι τὸ βάρος. ἢ οὐ τῷ κατὰ μικρὸν ἅπτεσθαι καὶ προσκρούειν, ἀλλὰ δι' ἄλλην αἰτίαν. αὕτη δέ ἐστιν ἡ εἰρημένη πρότερον, ὅτι ἐκ δύο φορῶν γεγένηται ὁ κύκλος, ὥστε μίαν αὐτῶν αἰεὶ ἔχειν ῥοπήν, καὶ οἷον φερόμενον αὐτὸν αἰεὶ κινοῦσιν οἱ κινοῦντες, ὅταν κινῶσι κατὰ τὴν περιφέρειαν ὁπωσοῦν. φερομένην γὰρ αὐτὴν κινοῦσιν· τὴν μὲν γὰρ εἰς τὸ πλάγιον αὐτοῦ κίνησιν ὠθεῖ τὸ κινοῦν, τὴν δὲ ἐπὶ τῆς διαμέτρου αὐτὸς κινεῖται.

9 Διὰ τί τὰ διὰ τῶν μειζόνων κύκλων αἰρόμενα καὶ ἑλκόμενα ῥᾷον καὶ θᾶττον κινοῦμεν; οἷον καὶ αἱ τροχιλέαι αἱ μείζους τῶν ἐλαττόνων, καὶ αἱ σκυτάλαι ὁμοίως. ἢ διότι ὅσῳ ἂν μείζων ἡ ἐκ τοῦ κέντρου ᾖ, ἐν τῷ ἴσῳ χρόνῳ πλέον κινεῖται χωρίον, ὥστε καὶ τοῦ ἴσου βάρους ἐπόντος ποιήσει τὸ αὐτό, ὥσπερ εἴπομεν καὶ τὰ μείζω ζυγὰ τῶν ἐλαττόνων ἀκριβέστερα εἶναι. τὸ μὲν γὰρ σπαρτίον ἐστὶ κέντρον, τοῦ δὲ ζυγοῦ αἱ ἐπὶ τάδε τοῦ σπαρτίου αἱ ἐκ τοῦ κέντρου.

10 Διὰ τί ῥᾷον, ὅταν ἄνευ βάρους ᾖ, κινεῖται τὸ ζυγόν, ἢ ἔχον βάρος; ὁμοίως δὲ καὶ τροχὸς ἢ ἄλλο τοιοῦτο τὸ βαρύτερον μὲν μεῖζον δὲ τοῦ ἐλάττονος καὶ κουφοτέρου. ἢ ὅτι οὐ μόνον εἰς τοὐναντίον τὸ βαρύ, ἀλλὰ καὶ εἰς τὸ πλάγιον δυσκίνητόν ἐστιν. ἐναντίον γὰρ τῇ ῥοπῇ κινῆσαι χαλεπῶς, ἐφ' ὃ δὲ ῥέπει, ῥᾳδίως· εἰς δὲ τὸ πλάγιον οὐ ῥέπει.

11 Διὰ τί ἐπὶ τῶν σκυτάλων ῥᾷον τὰ φορτία κομίζεται ἢ ἐπὶ τῶν ἁμαξῶν, ἐχουσῶν τῶν μὲν μεγάλους τροχούς, τῶν δὲ μικρούς; ἢ διότι ἐπὶ τῶν σκυτάλων οὐδεμίαν ἔχει πρόσκοψιν, τὸ δὲ ἐπὶ τῶν ἁμαξῶν τὸν ἄξονα, καὶ προσκόπτει αὐτῷ· ἔκ τε γὰρ τῶν ἄνωθεν πιέζει αὐτὸν καὶ ἐκ τῶν πλαγίων. τὸ δὲ ἐπὶ τῶν σκυτάλων ἐπὶ δύο τούτων κινεῖται, τῇ τε κάτω χώρᾳ ὑποκειμένῃ καὶ τῷ βάρει τῷ ἐπικειμένῳ· ἐπ' ἀμφοτέρων γὰρ τούτων κυλίεται τῶν τόπων ὁ κύκλος καὶ φερόμενος ὠθεῖται.

12 Διὰ τί πορρωτέρω τὰ βέλη φέρεται ἀπὸ τῆς σφενδόνης ἢ ἀπὸ τῆς χειρός; καίτοι κρατεῖ γε ὁ βάλλων τῇ χειρὶ μᾶλλον ἢ ἀπαρτήσας τὸ βάρος. καὶ ἔτι οὕτω μὲν δύο βάρη κινεῖ, τό τε τῆς σφενδόνης καὶ τὸ βέλος, ἐκείνως δὲ τὸ βέλος μόνον. πότερον ὅτι ἐν μὲν τῇ σφενδόνῃ κινούμενον τὸ βέλος ῥίπτει ὁ βάλλων (περιαγαγὼν γὰρ κύκλῳ πολλάκις ἀφίησιν), ἐκ δὲ τῆς χειρὸς ἀπὸ τῆς ἠρεμίας ἡ ἀρχή· πάντα δὲ εὐκινητότερα κινούμενα ἢ ἠρεμοῦντα. ἢ διά τε τοῦτο, καὶ διότι ἐν μὲν τῷ σφενδονᾶν ἡ μὲν χεὶρ γίνεται κέντρον, ἡ δὲ σφενδόνη ἡ ἐκ τοῦ κέντρου· ὅσῳ ἂν ᾖ μείζων ἡ ἀπὸ τοῦ κέντρου, κινεῖται θᾶττον. ἡ δὲ ἀπὸ τῆς χειρὸς βολὴ πρὸς τὴν σφενδόνην βραχεῖα ἐστίν.

13 Διὰ τί ῥᾷον κινοῦνται περὶ τὸ αὐτὸ ζυγὸν οἱ μείζους τῶν ἐλαττόνων κόλλοπες, καὶ οἱ αὐτοὶ ὄνοι οἱ λεπτότεροι ὑπὸ τῆς αὐτῆς ἰσχύος τῶν παχυτέρων; ἢ διότι ὁ μὲν ὄνος καὶ τὸ ζυγὸν κέντρον ἐστίν, τὰ δὲ ἀπέχοντα μεγέθη αἱ ἐκ τοῦ κέντρου; θᾶττον δὲ κινοῦνται καὶ πλέον ἀπὸ τῆς αὐτῆς ἰσχύος αἱ τῶν μειζόνων κύκλων ἢ αἱ τῶν ἐλαττόνων· ὑπὸ τῆς αὐτῆς γὰρ ἰσχύος θᾶττον μεθίσταται τὸ ἄκρον τὸ πορρώτερον τοῦ κέντρου. διὸ πρὸς μὲν τὸ ζυγὸν τοὺς κόλλοπας ὄργανα ποιοῦνται, οἷς ῥᾷον στρέφουσιν· ἐν δὲ τοῖς λεπτοῖς ὄνοις πλεῖον γίνεται τὸ ἔξω τοῦ ξύλου, αὕτη δὲ γίνεται ἡ ἐκ τοῦ κέντρου.

14 Διὰ τί τὸ αὐτὸ μέγεθος ξύλον ῥᾷον κατεάσσεται περὶ τὸ γόνυ, ἐὰν ἴσον ἀποστήσας τῶν ἄκρων ἐχόμενος καταγνύῃ, ἢ παρὰ τὸ γόνυ ἐγγὺς ὄντος· καὶ ἐὰν πρὸς τὴν γῆν ἐρείσας καὶ τῷ ποδὶ προσβὰς πόρρωθεν τῇ χειρὶ καταγνύῃ, ἢ ἐγγύθεν; ἢ διότι ἔνθα μὲν τὸ γόνυ κέντρον, ἔνθα δὲ ὁ πούς. ὅσῳ δ' ἂν πορρώτερον ᾖ τοῦ κέντρου, ῥᾷον κινεῖται ἅπαν. κινηθῆναι δὲ ἀνάγκη καταγνύμενον.

15 Διὰ τί περὶ τοὺς αἰγιαλοὺς αἱ καλούμεναι κρόκαι στρογγύλαι εἰσίν, ἐκ μακρῶν τῶν λίθων καὶ ὀστράκων τὸ ἐξ ὑπαρχῆς ὄντων; ἢ διότι τὰ πλεῖον ἀπέχοντα τοῦ μέσου ἐν ταῖς κινήσεσι θᾶττον φέρεται. τὸ μὲν γὰρ μέσον γίνεται κέντρον, τὸ δὲ διάστημα ἡ ἐκ τοῦ κέντρου. ἀεὶ δὲ ἡ μείζων ἀπὸ τῆς ἴσης κινήσεως μείζω γράφει κύκλον. τὸ δ' ἐν ἴσῳ χρόνῳ μείζω διεξιὸν θᾶττον φέρεται. τὰ δὲ φερόμενα θᾶττον ἐκ τοῦ ἴσου ἀποστήματος σφοδρότερον τύπτει. τὰ δὲ τύπτοντα μᾶλλον καὶ αὐτὰ τύπτεται μᾶλλον. ὥστε ἀνάγκη θραύεσθαι αἰεὶ τὰ πλέον ἀπέχοντα τοῦ μέσου. τοῦτο δὲ πάσχοντα ἀνάγκη γίνεσθαι περιφερῆ. ταῖς δὲ κρόκαις διὰ

4. ἅπτεται *PW*ᵃ. ‖ περὶ *W*ᵃ. ‖ 5. αἱ om *W*ᵃ. ‖ 15. τροχιλαὶ *W*ᵃ. ‖ 16. σκιτάλαι *W*ᵃ. ‖ 17. ἦν *W*ᵃ. ‖ χωρίω *P*. ‖ 20. ἀκριβέστερον *W*ᵃ. ‖ 24. τροχὸν *PW*ᵃ. ‖ 25. μείζω *PW*ᵃ. ‖ κουφότερον *W*ᵃ. ‖ 27. an κινεῖται? ‖ 34. τὸ] τῶν *W*ᵃ. ‖ 35. ὑποκειμένου *W*ᵃ. ‖ 36. ἀμφότερα *P*.

7. ἐκ μὲν σφενδόνης ἡ *W*ᵃ. ‖ 14. ἀπέχεται *W*ᵃ. ‖ 15. αὐτοῦ *W*ᵃ. ‖ 17. θᾶττον] μεῖζον *P*. ‖ 23. ἀποστήσωσι *W*ᵃ. ‖ 24. περὶ *W*ᵃ. ‖ 26. μὲν γὰρ τὸ *PW*ᵃ.

a. 29. The wedge = two levers opposite to each other.
a. 38. The wheel acts like a lever.
pulley

τὴν τῆς θαλάττης κίνησιν, διὰ τὸ μετὰ τῆς θαλάττης κινεῖσθαι, συμβαίνει ἀεὶ ἐν κινήσει εἶναι καὶ κυλιομέναις προσκόπτειν. τοῦτο δὲ ἀνάγκη μάλιςα συμβαίνειν αὐτοῖς τοῖς ἄκροις.

16 Διὰ τί, ὅσῳ ἂν ᾖ μακρότερα τὰ ξύλα, τοσύτῳ ἀσθενέςερα γίνεται, καὶ κάμπτεται αἰρόμενα μᾶλλον, κἂν ᾖ τὸ μὲν βραχύ, ὅσον δίπηχυ, λεπτόν, τὸ δὲ ἑκατὸν πηχῶν παχύ; ἢ διότι μοχλὸς γίνεται καὶ βάρος καὶ ὑπομόχλιον ἐν τῷ αἴρεσθαι τῦ ξύλυ τὸ μῆκος; τὸ μὲν γὰρ πρῶτον μέρος αὐτῦ, ὃ ἡ χεὶρ αἴρει, οἷον ὑπομόχλιον γίνεται, τὸ δ' ἐπὶ τῷ ἄκρῳ βάρος. ὥςε ὅσῳ ἂν ᾖ μακρότερον τὸ ἀπὸ τῦ ὑπομοχλίυ, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μᾶλλον· ὅσῳ γὰρ ἂν πλέον ἀπέχῃ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μεῖζον. ἀνάγκη οὖν αἴρεσθαι τὰ ἄκρα τοῦ μοχλῦ. ἐὰν οὖν ᾖ καμπτόμενος ὁ μοχλός, ἀνάγκη αὐτὸν κάμπτεσθαι μᾶλλον αἰρόμενον. ὅπερ συμβαίνει ἐπὶ τῶν ξύλων τῶν μακρῶν· ἐν δὲ τοῖς βραχέσιν ἐγγὺς τὸ ἔσχατον τῦ ὑπομοχλίυ γίνεται τῦ ἠρεμῦντος.

17 Διὰ τί τῷ σφηνὶ ὄντι μικρῷ μεγάλα βάρη διίςαται καὶ μεγέθη σωμάτων, καὶ θλῖψις ἰσχυρὰ γίνεται; ἢ διότι ὁ σφὴν δύο μοχλοί εἰσιν ἐναντίοι ἀλλήλοις, ἔχει δὲ ἑκάτερος τὸ μὲν βάρος τὸ δὲ ὑπομόχλιον, ὃ καὶ ἀνασπᾷ ἢ πιέζει. ἔτι δὲ ἡ τῆς πληγῆς φορὰ τὸ βάρος, ὃ τύπτει καὶ κινεῖ, ποιεῖ μέγα· καὶ διὰ τὸ κινούμενον κινεῖν τῇ ταχυτῆτι ἰσχύει ἔτι πλέον. μικρῷ δὲ ὄντι μεγάλαι δυνάμεις ἀκολουθῦσι· διὸ λανθάνει κινῶν παρὰ τὴν ἀξίαν τῦ μεγέθυς. ἔςω σφὴν ἐφ' ᾧ ΑΒΓ, τὸ δὲ σφηνούμενον ΔΕΗΖ. μοχλὸς δὴ γίνεται ἡ ΑΒ, βάρος δὲ τὸ τοῦ Β κάτωθεν, ὑπομόχλιον δὲ τὸ ΖΔ. ἐναντίος δὲ τύτῳ μοχλὸς τὸ ΒΓ. ἡ δὲ ΑΓ κοπτομένη ἑκατέρᾳ τύτων χρῆται μοχλῷ· ἀνασπᾷ γὰρ τὸ Β.

18 Διὰ τί, ἐάν τις δύο τροχιλέας ποιήσας ἐπὶ δυσὶ ξύλοις συμβάλλουσιν ἑαυτοῖς ἐναντίως αὐταῖς κύκλῳ περιβάλῃ καλώδιον, ἔχον τὸ ἄρτημα ἐκ θατέρου τῶν ξύλων, θάτερον δὲ ᾖ προσερηρεισμένον ἢ προστεθειμένον κατὰ τὰς τροχαλίας, ἐὰν ἕλκῃ τις τῇ ἀρχῇ τῦ καλωδίου, μεγάλα βάρη προσάγει, κἂν ᾖ μικρὰ ἡ ἕλκυσα ἰσχύς; ἢ διότι τὸ αὐτὸ βάρος ἀπὸ ἐλάττονος ἰσχύος, εἰ μοχλεύεται, ἐγείρεται, ἢ ἀπὸ χειρός; ἡ δὲ τροχιλέα τὸ αὐτὸ ποιεῖ τῷ μοχλῷ, ὥστε ἡ μία ῥᾷον ἕλξει, καὶ ἀπὸ μιᾶς ὁλκῆς τοῦ κατὰ χεῖρα πολὺ ἕλξει βαρύτερον. τοῦτο δ' αἱ δύο τροχαλίαι πλέον ἢ διπλασίῳ τάχει αἴρουσαι. ἔλαττον γὰρ ἔτι ἡ ἑτέρα ἕλκει ἢ εἰ αὐτὴ καθ' ἑαυτὴν εἷλκεν, ὅταν παρὰ τῆς ἑτέρας ἐπιβληθῇ τὸ σχοινίον· ἐκείνη γὰρ ἔτι ἔλαττον ἐποίησε τὸ βάρος. καὶ οὕτως ἐὰν εἰς πλείυς ἐπιβάλληται τὸ καλώδιον, ἐν ὀλίγαις τροχιλέαις πολλὴ γίνεται διαφορά, ἢ ὥστε ὑπὸ τῆς πρώτης τοῦ βάρους ἕλκοντος τέτταρας μνᾶς, ὑπὸ τῆς τελευταίας ἕλκεσθαι πολλῷ ἐλάττω. καὶ ἐν τοῖς οἰκοδομικοῖς ἔργοις ῥᾳδίως κινῦσι μεγάλα βάρη· μεταφέρυσι γὰρ ἀπὸ τῆς αὐτῆς τροχιλέας ἐφ' ἑτέραν, καὶ πάλιν ἀπ' ἐκείνης εἰς ὄνυς καὶ μοχλούς· τῦτο δὲ ταὐτόν ἐςι τῷ ποιεῖν πολλὰς τροχιλέας.

Διὰ τί, ἐὰν μέν τις ἐπιθῇ ἐπὶ τὸ ξύλον πέλεκυν μέγαν 19
καὶ φορτίον μέγα ἐπ' αὐτῷ, οὐ διαιρεῖ τὸ ξύλον, ὅ τι καὶ λόγου ἄξιον· ἐὰν δὲ ἄρας τὸν πέλεκύν τις πατάξῃ αὐτῷ, διασχίζει, ἔλαττον βάρος ἔχοντος τῦ τύπτοντος πολὺ μᾶλλον ἢ τῦ ἐπικειμένυ καὶ πιεζῦντος; ἢ διότι πάντα τῇ κινήσει ἐργάζεται, καὶ τὸ βαρὺ τὴν τῦ βάρυς κίνησιν λαμβάνει μᾶλλον κινύμενον ἢ ἠρεμῦν; ἐπικείμενον ὖν οὐ κινεῖται τὴν τοῦ βάρους κίνησιν, φερόμενον δὲ ταύτην τε καὶ τὴν τοῦ τύπτοντος. ἔτι δὲ καὶ γίνεται σφὴν ὁ πέλεκυς· ὁ δὲ σφὴν μικρὸς ὢν μεγάλα διίστησι διὰ τὸ εἶναι ἐκ δύο μοχλῶν ἐναντίως συγκειμένων.

The hatch is a wedge

Διὰ τί αἱ φάλαγγες τὰ κρέα ἱςᾶσιν ἀπὸ μικρῦ ἀρ- 20
τήματος μεγάλα βάρη, τῦ ὅλυ ἡμιζυγίυ ὄντος; ὖ μὲν γὰρ τὸ βάρος ἐντίθεται, κατήρτηται μόνον ἡ πλάςιγξ, ἐπὶ θάτερον δὲ ἡ φάλαγξ ἐςὶ μόνον. ἢ ὅτι ἅμα συμβαίνει ζυγὸν καὶ μοχλὸν εἶναι τὴν φάλαγγα; ζυγὸν μὲν γάρ, ᾗ τῶν σπαρτίων ἕκαςον γίνεται τὸ κέντρον τῆς φάλαγγος. τὸ μὲν ὖν ἐπὶ θάτερα ἔχει πλάςιγγα, τὸ δὲ ἐπὶ θάτερα ἀντὶ τῆς πλάςιγγος τὸ σφαίρωμα, ὃ τῷ ζυγῷ ἔγκειται, ὥσπερ εἴ τις τὴν ἑτέραν πλάςιγγα καὶ τὸν ςαθμὸν ἐπιθείη ἐπὶ τὸ ἄκρον τῆς πλάςιγγος· δῆλον γὰρ ὅτι ἕλκει τοσῦτον βάρος ἐν τῇ ἑτέρᾳ κείμενον πλάςιγγι. ὅπως δὲ τὸ ἓν ζυγὸν πολλὰ ᾖ ζυγά, τοιαῦτα τὰ σπαρτία πολλὰ ἔγκειται ἐν τῷ τοιύτῳ ζυγῷ, ὧν ἑκάςυ τὸ ἐπὶ τάδε ἐπὶ τὸ σφαίρωμα τὸ ἥμισυ τῆς φάλαγγός ἐςι, καὶ ὁ ςαθμὸς δι' ἴσυ τῶν ἀπ' ἀλλήλων τῶν σπαρτίων κινυμένων, ὥστε συμμετρεῖσθαι πόσον βάρος

1. θαλάσσης — θαλάσσης *P*. ‖ 5. ὅσον ᾖ *W^a*. ‖ 6. κἂν] καὶ *W^a*. ‖ 10. ὃ ἡ χεὶρ αἴρει om *PW^a*. ‖ τῶ *P*. ‖ 12. μᾶλλον — 14. κάμπτεσθαι om *W^a*. ‖ 24. ποιεῖ om *W^a*. ‖ 26. περὶ *W^a*. ‖ 27. ΔΕΗΖ] δέηται *W^a*. ‖ 28. τοῦ] τὸ *W^a*. ‖ 31. τῶ *W^a*. ‖ 32. τροχιλαίας et 39. τροχιλαία et *b* 7. τροχιλαίαις *P*. ‖ 34. ἐκ θατέρου] ἑκατέρου *W^a*. ‖ 35. ἢ *W^a*. ‖ 36. μεγάλῳ βάρει *W^a*.

1. ἕλξει om *W^a*. ‖ 4. ἔτι ἢ ἡ ἑτέρα ἕλκει εἰ *P*. ‖ 5. περὶ *W^a*. ‖ 6. ποιήσει *W^a*. ‖ 7. πολὺ *W^a*. ‖ 13. τὸ *W^a*. ‖ 15. μετ' αὐτοῦ *W^a*. ‖ 18. ἢ ἡ τῦ *PW^a*. ‖ 23. μέγα *W^a*. ‖ 26. ὁμοζύγυ *W^a*. ‖ 29. ἡ *W^a*. ‖ 31. θάτερον *W^a* utrobique. ‖ 35. ἓν ζυγὰ πολλὰ ἢ ζυγὸν *W^a*.

ἕλκει τὸ ἐν τῇ πλάστιγγι κείμενον· ὥστε γινώσκειν, ὅταν ὀρθὴ ἡ φάλαγξ ᾖ, ἀπὸ ποίου σπάρτου πόσον βάρος ἔχει ἡ πλάστιγξ, καθάπερ εἴρηται. ὅλως μέν ἐστι τοῦτο ζυγόν, ἔχον μίαν μὲν πλάστιγγα, ἐν ᾗ ἵσταται τὸ βάρος, τὴν δ' ἑτέραν, ἐν ᾗ τὸ σταθμὸν ἐν τῇ φάλαγγι. διὸ σφαίρωμά ἐστιν ἡ φάλαγξ ἐπὶ θάτερον. τοιοῦτον δὲ ὂν πολλὰ ζυγά ἐστι, καὶ τοσαῦτα ὅσαπέρ ἐστι τὰ σπαρτία. ἀεὶ δὲ τὸ ἐγγύτερον σπαρτίον τῆς πλάστιγγος καὶ τοῦ ἱσταμένου βάρους μεῖζον ἕλκει βάρος, διὰ τὸ γίνεσθαι τὴν μὲν φάλαγγα πᾶσαν μοχλὸν ἀνεστραμμένον (ὑπομόχλιον μὲν γὰρ τὸ σπαρτίον ἕκαστον ἄνωθεν ὄν, τὸ δὲ βάρος τὸ ἐνὸν ἐν τῇ πλάστιγγι), ὅσῳ δ' ἂν μακρότερον ᾖ τὸ μῆκος τοῦ μοχλοῦ τοῦ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἐκεῖ μὲν ῥᾷον κινεῖ, ἐνταῦθα δὲ σήκωμα ποιεῖ, καὶ ἵστησι τὸ πρὸς τὸ σφαίρωμα βάρος τῆς φάλαγγος.

21 Διὰ τί οἱ ἰατροὶ ῥᾷον ἐξαιροῦσι τοὺς ὀδόντας προσλαμβάνοντες βάρος τὴν ὀδοντάγραν ἢ τῇ χειρὶ μόνῃ ψιλῇ; πότερον διὰ τὸ μᾶλλον ἐξολισθαίνειν διὰ τῆς χειρὸς τὸν ὀδόντα ἢ ἐκ τῆς ὀδοντάγρας; ἢ μᾶλλον ὀλισθαίνει τῆς χειρὸς ὁ σίδηρος, καὶ οὐ περιλαμβάνει αὐτὸν κύκλῳ· μαλθακὴ γὰρ οὖσα ἡ σὰρξ τῶν δακτύλων καὶ προσμένει μᾶλλον καὶ περιαρμόττει. ἀλλ' ὅτι ἡ ὀδοντάγρα δύο μοχλοί εἰσιν ἀντικείμενοι, ἓν τὸ ὑπομόχλιον ἔχοντες τὴν σύναψιν τῆς θερμαστρίδος· τοῦ ῥᾷον οὖν κινῆσαι χρῶνται τῷ ὀργάνῳ πρὸς τὴν ἐξαίρεσιν. ἔστω γὰρ τῆς ὀδοντάγρας τὸ μὲν ἕτερον ἄκρον ἐφ' ᾧ τὸ Α, τὸ δὲ ἕτερον, τὸ Β, ὃ ἐξαιρεῖ· ὁ δὲ μοχλὸς ἐφ' ᾧ ΑΔΖ, ὁ δὲ ἄλλος μοχλὸς ἐφ' ᾧ ΒΓΕ, ὑπομόχλιον δὲ τὸ ΓΘΔ· ὁ δὲ ὀδοὺς ἐφ' οὗ Ι σύναψις· ὁ δὲ τὸ βάρος. ἑκατέρῳ οὖν τῶν ΒΖ καὶ ἅμα λαβὼν κινεῖ. ὅταν δὲ κινήσῃ, ἐξεῖλε ῥᾷον τῇ χειρὶ ἢ τῷ ὀργάνῳ.

22 Διὰ τί τὰ κάρυα ῥᾳδίως καταγνύουσιν ἄνευ πληγῆς ἐν τοῖς ὀργάνοις ἃ ποιοῦσι πρὸς τὸ καταγνύναι αὐτά; πολλὴ γὰρ ἀφαιρεῖται ἰσχὺς ἡ τῆς φορᾶς καὶ βίας. ἔτι δὲ σκληρῷ καὶ βαρεῖ συνθλίβων θᾶττον ἂν κατάξαι ἢ ξυλίνῳ καὶ κούφῳ τῷ ὀργάνῳ. ἢ διότι οὕτως ἐπ' ἀμφότερα θλίβεται ὑπὸ δύο μοχλῶν τὸ κάρυον, τῷ δὲ μοχλῷ ῥᾳδίως διαιρεῖται τὰ βάρη; τὸ γὰρ ὄργανον ἐκ δύο σύγκειται μοχλῶν, ὑπομόχλιον ἐχόντων τὸ αὐτό, τὴν συναφὴν ἐφ' ἧς τὸ Α. ὥσπερ οὖν εἰ ἦσαν ἐκβεβλημέναι, ὑφ' ὧν κινουμένων εἰς τὰ τῶν ΓΔ ἄκρα αἱ ΕΖ συνήγοντο ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος· ἣν οὖν ἐν τῇ πληγῇ τὸ βάρος ἐποίει, ταύτην ἡ κρείττων ταύτης, ἡ τὸ ΕΓ καὶ ΖΔ, μοχλοὶ ὄντες ποιοῦσι· τῇ ἄρσει γὰρ εἰς τοὐναντίον αἴρονται, καὶ θλίβοντες καταγνύουσι τὸ ἐφ' ᾧ Κ. δι' αὐτὸ δὲ τοῦτο καὶ ὅσῳ ἂν ἐγγύτερον ᾖ τῆς Α τὸ Κ, συντρίβεται θᾶττον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχῃ τοῦ ὑπομοχλίου ὁ μοχλός, ῥᾷον κινεῖ καὶ πλεῖον ἀπὸ τῆς ἰσχύος τῆς αὐτῆς. ἔστιν οὖν τὸ μὲν Α ὑπομόχλιον, ἡ δὲ ΔΑΖ μοχλός, καὶ ἡ ΓΑΕ. ὅσῳ ἂν οὖν τὸ Κ ἐγγυτέρω ᾖ τῆς γωνίας τῶν Α, τοσούτῳ ἐγγύτερον γίνεται τῆς συναφῆς τῶν Α· τοῦτο δέ ἐστι τὸ ὑπομόχλιον. ἀνάγκη τοίνυν ἀπὸ τῆς αὐτῆς ἰσχύος συναγούσης τὸ ΖΕ αἴρεσθαι πλέον. ὥστε ἐπεί ἐστιν ἐξ ἐναντίας ἡ ἄρσις, ἀνάγκη θλίβεσθαι μᾶλλον· τὸ δὲ μᾶλλον θλιβόμενον κατάγνυται θᾶττον.

Διὰ τί φερομένων δύο φορὰς ἐν τῷ ῥόμβῳ τῶν ἄκρων 23
σημείων ἀμφοτέρων, οὐ τὴν ἴσην ἑκάτερον αὐτῶν εὐθεῖαν διέρχεται, ἀλλὰ πολλαπλασίαν θάτερον; ὁ αὐτὸς δὲ λόγος καὶ διὰ τί τὸ ἐπὶ τῆς πλευρᾶς φερόμενον ἐλάττω διέρχεται τῆς πλευρᾶς. τὸ μὲν γὰρ τὴν διάμετρον τὴν ἐλάττω, ἡ δὲ τὴν πλευρὰν τὴν μείζω, καὶ ἡ μὲν μίαν, τὸ δὲ δύο φέρεται φοράς. φερέσθω γὰρ ἐπὶ τῆς ΑΒ τὸ μὲν Α πρὸς τὸ Β, τὸ δὲ Β πρὸς τὸ Δ τῷ αὐτῷ τάχει· φερέσθω δὲ καὶ ἡ ΑΒ ἐπὶ τῆς ΑΓ παρὰ τὴν ΓΔ τῷ αὐτῷ τάχει τούτοις. ἀνάγκη δὴ τὸ μὲν Α ἐπὶ τῆς ΑΔ διαμέτρου φέρεσθαι, τὸ δὲ Β ἐπὶ τῆς ΒΓ, καὶ ἅμα διεληλυθέναι ἑκατέραν, καὶ τὴν ΑΒ τὴν ΑΓ πλευράν. ἐνηνέχθω γὰρ τὸ μὲν Α τὴν ΑΕ, ἡ δὲ ΑΒ τὴν ΑΖ, καὶ ἔσω ἐκβεβλημένη ἡ ΖΗ παρὰ τὴν ΑΒ, καὶ ἀπὸ τοῦ Ε πεπληρώσθω. ὅμοιον οὖν γίνεται τὸ παραπληρωθὲν τῷ ὅλῳ. ἴση ἄρα ἡ ΑΖ τῇ ΑΕ, ὥστε τὸ Α ἐπὶ τῆς πλευρᾶς ἐνήνεκται τῆς ΑΕ. ἡ δὲ ΑΒ τὴν ΑΖ εἴη ἂν ἐνηνεγμένη. ἔσται ἄρα ἐπὶ τῆς διαμέτρου κατὰ τὸ Θ. καὶ αἰεὶ δὲ ἀνάγκη αὐτὸ φέρεσθαι κατὰ τὴν διάμετρον. καὶ ἅμα ἡ πλευρὰ ἡ ΑΒ τὴν πλευρὰν τὴν ΑΓ δίεισι, καὶ τὸ Α τὴν διάμετρον δίεισι τὴν ΑΔ. ὁμοίως δὲ δειχθήσεται καὶ τὸ Β ἐπὶ τῆς ΑΓ διαμέτρου φερόμενον. ἴση γάρ ἐστιν ἡ ΒΕ τῇ ΒΗ. παραπληρωθέντος οὖν ἀπὸ τοῦ Η, ὅμοιόν ἐστι τῷ ὅλῳ τὸ ἐντός. καὶ τὸ Β ἐπὶ τῆς διαμέτρου ἔσται κατὰ τὴν σύναψιν τῶν πλευρῶν, καὶ ἅμα δίεισιν ἡ

5. τὸν βαθμόν W^a. ‖ 6. ζυγὰ δέ ἐστι W^a. ‖ 7. ἀεὶ — 8. σπαρτίον om W^a. ‖ 10. ὑπομοχλίου *P*. ‖ 12. τοῦ ἀπὸ] τὸ ἀπὸ W^a. ‖ 13. ἐκεῖ μὲν] ἐν τῷ μοχλῷ W^a. ‖ 16. προσλαβόντες W^a. ‖ 17. ψιλῇ ante τῇ W^a. ‖ 23. ἔχοντι W^a. ‖ 24. κερμαστρίδος *P*W^a. ‖ 26. τὸ post ᾧ om W^a. ‖ 34. ἀφερεῖ *P*. ‖ ἡ ἰσχὺς ἡ W^a. ‖ 35. κατάξῃ *P*W^a. ‖ 36. ἀμφότερον W^a. ‖ 39. ᾗ W^a.

1. οὖν εἴησαν *P*W^a. ‖ 5. αἴροντες W^a. ‖ 9. ἐστι μὲν οὖν τὸ α W^a. ‖ 11. τῶν] τοῦ W^a. ‖ τοῦτο] τοῦ *P*W^a. ‖ 14. εὕρεσις W^a. ‖ 19. τί] τὸ *P*. ‖ 27. πλευράν] πλείω *P*W^a. ‖ τὴν α ε χ α β ἡ δὲ τὴν α ζ *P*B^a. ‖ 28. περὶ W^a. ‖ 29. ε παραπεπληρώσθω H^a. ‖ 30. ὥστε — 31. τῆς ΑΕ add *LP*$B^a$$H^a$$W^a$*q*. ‖ 34. δίεισι καὶ τὸ Α et 35. δίεισι — 36. διαμέτρου om W^a. ‖ 36. ὅση W^a. ‖ 38. Β om W^a.

τε πλευρὰ τὴν πλευρὰν καὶ τὸ Β τὴν ΒΓ διάμετρον. ἅμα ἄρα καὶ τὸ Β τὴν πολλαπλασίαν τῆς ΑΒ δίεισι καὶ ἡ πλευρὰ τὴν ἐλάττονα πλευράν, τῷ αὐτῷ τάχει φερόμενα, καὶ ἡ πλευρὰ μείζω τοῦ Α διελήλυθε μίαν φορὰν φερομένη. ὅσῳ γὰρ ἂν ὀξύτερος γένηται ὁ ῥόμβος, ἡ μὲν διάμετρος ἡ ἐλάττων γίνεται, ἡ δὲ ΒΓ μείζων, ἡ δὲ πλευρὰ τῆς ΒΓ ἐλάττων. ἄτοπον γάρ, ὥσπερ ἐλέχθη, τὸ δύο φορὰς φερόμενον ἐνίοτε βραδύτερον φέρεσθαι τοῦ μίαν, καὶ ἀμφοτέρων ἰσοταχῶν σημείων δοθέντων μείζω διεξιέναι θάτερον. αἴτιον δὲ ὅτι τοῦ μὲν ἀπὸ τῆς ἀμβλείας φερομένου σχεδὸν ἐναντίαι ἀμφότεραι γίνονται, ἥν τε αὐτὴ φέρεται καὶ ἣν ὑπὸ τῆς πλευρᾶς ὑποφέρεται, τοῦ δὲ ἀπὸ τῆς ὀξείας συμβαίνει φέρεσθαι ἐπὶ τὸ αὐτό. συνεπουρίζει γὰρ ἡ τῆς πλευρᾶς τὴν ἐπὶ τῆς διαμέτρου· καὶ ὅσῳ ἂν τὴν μὲν ὀξυτέραν ποιήσῃ, τὴν δὲ ἀμβλυτέραν, ἡ μὲν βραδυτέρα ἔσται, ἡ δὲ θάττων. αἱ μὲν γὰρ ἐναντιώτεραι γίνονται διὰ τὸ ἀμβλυτέραν γίνεσθαι τὴν γωνίαν, αἱ δὲ μᾶλλον ἐπὶ τὰ αὐτὰ διὰ τὸ συνάγεσθαι τὰς γραμμάς. τὸ μὲν γὰρ Β σχεδὸν ἐπὶ τὸ αὐτὸ φέρεται κατ' ἀμφοτέρας τὰς φοράς· συνεπουρίζεται οὖν ἡ ἑτέρα, καὶ ὅσῳ ἂν ὀξυτέρα γίνηται ἡ γωνία, τοσούτῳ μᾶλλον. τὸ Α δὲ ἐπὶ τἀναντίον· αὐτὸ μὲν γὰρ πρὸς τὸ Β φέρεται, ἡ δὲ πλευρὰ ὑποφέρει αὐτὸ πρὸς τὸ Δ. καὶ ὅσῳ ἂν ἀμβλυτέρα ἡ γωνία ᾖ, ἐναντιώτεραι αἱ φοραὶ γίνονται· εὐθυτέρα γὰρ ἡ γραμμὴ γίνεται. εἰ δ' ὅλως εὐθεῖα γένοιτο, παντελῶς ἂν εἴησαν ἐναντίαι. ἡ δὲ πλευρὰ ὑπ' οὐθενὸς κωλύεται μίαν φερομένη φοράν. εὐλόγως οὖν τὴν μείζω διέρχεται.

24 Ἀπορεῖται διὰ τί ποτε ὁ μείζων κύκλος τῷ ἐλάττονι κύκλῳ ἴσην ἐξελίττεται γραμμήν, ὅταν περὶ τὸ αὐτὸ κέντρον τεθῶσι; χωρὶς δὲ ἐκκυλιόμενοι, ὥσπερ τὸ μέγεθος αὐτῶν πρὸς τὸ μέγεθος ἔχει, οὕτως καὶ αἱ γραμμαὶ αὐτῶν γίνονται πρὸς ἀλλήλας. ἔτι δὲ ἑνὸς καὶ τοῦ αὐτοῦ κέντρου ὄντος ἀμφοῖν, ὁτὲ μὲν τηλικαύτη γίνεται ἡ γραμμὴ ἣν ἐκκυλίονται, ἡλίκην ὁ ἐλάττων κύκλος καθ' αὑτὸν ἐκκυλίεται, ὁτὲ δὲ ὅσην ὁ μείζων. ὅτι μὲν οὖν μείζω ἐκκυλίεται ὁ μείζων, φανερόν. γωνία μὲν γὰρ δοκεῖ κατὰ τὴν αἴσθησιν εἶναι ἡ περιφέρεια ἑκάστου τῆς οἰκείας διαμέτρου, ἡ τοῦ μείζονος κύκλου μείζων, ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων, ὥστε τὸν αὐτὸν τοῦτον ἕξουσι λόγον, καθ' ἃς ἐξεκυλίσθησαν αἱ γραμμαὶ πρὸς ἀλλήλας κατὰ τὴν αἴσθησιν. ἀλλὰ μὴν καὶ ὅτι τὴν ἴσην ἐκκυλίονται, ὅταν περὶ τὸ αὐτὸ κέντρον κείμενοι ὦσι, δῆλον· καὶ οὕτως γίνεται ὁτὲ μὲν ἴση τῇ γραμμῇ ἣν ὁ μείζων κύκλος ἐκκυλίεται, ὁτὲ δὲ ἐλάττων. ἔστω γὰρ κύκλος ὁ μείζων μὲν ἐφ' οὗ τὰ ΔΖΓ, ὁ δὲ ἐλάττων ἐφ' οὗ τὰ ΕΗΒ, κέντρον δὲ ἀμφοῖν τὸ Α· καὶ ἣν μὲν ἐξελίττεται καθ' αὑτὸν ὁ μέγας, ἡ ἐφ' ἧς ΖΙ ἔστω, ἣν δὲ ὁ ἐλάττων καθ' αὑτόν, ἡ ἐφ' ἧς ΗΚ, ἴση τῇ ΑΖ. ἐὰν δὴ κινῶ τὸν ἐλάττονα, τὸ αὐτὸ κέντρον κινῶ, ἐφ' οὗ τὸ Α· ὁ δὲ μέγας προσηρμόσθω. ὅταν οὖν ἡ ΑΒ ὀρθὴ γένηται πρὸς τὴν ΗΚ, ἅμα καὶ ἡ ΑΓ γίνεται ὀρθὴ πρὸς τὴν ΖΛ, ὥστε ἔσται ἴσην ἀεὶ διεληλυθυῖα, τὴν μὲν ΗΚ, ἐφ' ᾧ ΗΒ περιφέρεια, τὴν δὲ ΖΛ ἡ ἐφ' ἧς ΖΓ. εἰ δὲ τὸ τέταρτον μέρος ἴσην ἐξελίττεται, δῆλον ὅτι καὶ ὁ ὅλος κύκλος τῷ ὅλῳ κύκλῳ ἴσην ἐξελιχθήσεται, ὥστε ὅταν ἡ ΒΗ γραμμὴ ἔλθῃ ἐπὶ τὸ Κ, καὶ ἡ ΖΓ ἔσται περιφέρεια ἐπὶ τῆς ΖΛ, καὶ ὁ κύκλος ὅλος ἐξειλιγμένος. ὁμοίως δὲ καὶ ἐὰν τὸν μέγαν κινῶ, ἐναρμόσας τὸν μικρόν, τοῦ αὐτοῦ κέντρου ὄντος, ἅμα τῇ ΑΓ ἡ ΑΒ κάθετος καὶ ὀρθὴ ἔσται, ἡ μὲν πρὸς τὴν ΖΙ, ἡ δὲ πρὸς τὴν ΗΘ. ὥστε ὅταν ἴσην ἡ μὲν τῇ ΗΘ ἔσται διεληλυθυῖα, ἡ δὲ τῇ ΖΙ, καὶ γένηται ὀρθὴ πάλιν ἡ ΖΑ πρὸς τὴν ΖΛ, καὶ ἡ ΑΓ ὀρθὴ πάλιν, ὡς τὸ ἐξ ἀρχῆς ἔσονται ἐπὶ τῶν ΘΙ. τὸ δὲ μήτε στάσεως γινομένης τὸ μεῖζον τῷ ἐλάττονι, ὥστε μένειν τινὰ χρόνον ἐπὶ τοῦ αὐτοῦ σημείου· κινοῦνται γὰρ συνεχῶς ἄμφω ἀμφοτεράκις. μὴ ὑπερπηδῶντος τοῦ ἐλάττονος μηθὲν σημεῖον, τὸν μὲν μείζω τῷ ἐλάττονι ἴσην διεξιέναι, τὸν δὲ τῷ μείζονι, ἄτοπον. ἔτι δὲ μιᾶς κινήσεως οὔσης ἀεὶ τὸ κέντρον τὸ κινούμενον ὁτὲ μὲν τὴν μεγάλην ὁτὲ δὲ τὴν ἐλάττονα ἐκκυλίεσθαι θαυμαστόν. τὸ γὰρ αὐτὸ τῷ αὐτῷ τάχει φερόμενον ἴσην πέφυκε διεξιέναι· τῷ αὐτῷ δὲ τάχει ἴσην ἐστὶ κινεῖν ἀμφοτεράκις. ἀρχὴ δὲ ληπτέα ἥδε περὶ τῆς αἰτίας αὐτῶν, ὅτι ἡ αὐτὴ δύναμις καὶ ἴση τὸ μὲν βραδύτερον κινεῖ μέγεθος, τὸ δὲ ταχύτερον. εἰ δή τι εἴη ὃ μὴ πέφυκεν ὑφ' ἑαυτοῦ κινεῖσθαι, ἐὰν τοῦτο ἅμα καὶ αὐτὸ κινῇ τὸ πεφυκὸς κινεῖσθαι, βραδύτερον κινηθήσεται ἢ εἰ αὐτὴ καθ' αὑτὴν ἐκινεῖτο. καὶ ἐὰν μὲν πεφυκὸς ᾖ κινεῖσθαι, μὴ συγκινῆται δὲ μηθέν, ὡσαύτως ἕξει. καὶ ἀδύνατον δὴ κινεῖσθαι πλέον ἢ τὸ κινοῦν· οὐ γὰρ τὴν αὐτοῦ κινεῖται κίνησιν, ἀλλὰ

4. ἡ om W^a. ‖ 7. τὸ om W^a. ‖ 24. εὐθύτερον W^a. ‖ 29. ἐξελίττεται τὴν γραμμὴν W^a. ‖ κέντρῳ W^a. ‖ 38. ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων om PW^a.

7. αὐτὸ P. ‖ ἢ ἐφ' οἷς PW^a. ‖ Ζ] τί W^a. ‖ 8. δὴ P. ‖ ᾖ W^a. ‖ 9. δὲ W^a. ‖ κινῶν ἐφ' PW^a. ‖ 11. ἡ ΑΓ] αι W^a. ‖ 15. ἐξελεχθήσεται W^a. ‖ 16. περιφέρεια om W^a. ‖ 17. ΖΛ] γλ W^a. ‖ 20. ΗΘ] κθ W^a. ‖ 24. μένειν] μὲν W^a. ‖ 26. μὴ] μὲν W^a. ‖ 27. μείζω P. ‖ 33. ὅτε W^a. ‖ καὶ ἴση et 34. κινεῖ μέγεθος om W^a. ‖ 35. τοῦτο] τοῦ PW^a. ‖ 36. εἰ] ἡ PW^a. ‖ 37. συγκινῆται] κινῆται W^a. ‖ 39. αὐτοῦ] αὐτὴν P. ‖ ἀλλὰ τὴν τοῦ κινοῦντος. εἴη] εἰ PW^a.

τὴν τοῦ κινοῦντος. εἴη δὴ κύκλος ὁ μὲν μείζων τὸ Α, ὁ δὲ ἐλάττων ἐφ' ᾧ Β. εἰ ὠθοίη δ' ὁ ἐλάττων τὸν μείζω, μὴ κυλιομένου αὐτοῦ, φανερὸν ὅτι τοσοῦτον δίεισι τῆς εὐθείας ὁ μείζων, ὅσον ἐώσθη ὑπὸ τοῦ ἐλάττονος. τοσοῦτον δέ γε ἐώσθη ὅσον ὁ μικρὸς ἐκινήθη. ἴσην ἄρα τῆς εὐθείας διεληλύθασιν. ἀνάγκη τοίνυν καὶ εἰ κυλιόμενος ὁ ἐλάττων τὸν μείζω ὠθοίη, κυλισθῆναι μὲν ἅμα τῇ ὤσει, τοσοῦτον δ' ὅσον ὁ ἐλάττων ἐκυλίσθη, εἰ μηθὲν αὐτὸς τῇ αὐτῇ κινήσει κινεῖται. ὡς γὰρ καὶ ὅσον ἐκίνει, τοσοῦτον κεκινῆσθαι ἀνάγκη τὸ κινούμενον ὑπ' ἐκείνου. ἀλλὰ μὴν ὅ τε κύκλος τοσοῦτον ἐκίνησε τὸ αὐτό, κύκλῳ τε καὶ ποδιαίαν (ἔςω γὰρ τοσοῦτον ὃ ἐκινήθη), καὶ ὁ μέγας ἄρα τοσοῦτον ἐκινήθη. ὁμοίως δὲ κἂν ὁ μέγας τὸν μικρὸν κινήσῃ, ἔςαι κεκινημένος ὁ μικρὸς ὡς καὶ ὁ μείζων. καθ' αὑτὸν μὲν δὴ κινηθεὶς ὁποτεροσοῦν, ἐάν τε ταχὺ ἐάν τε βραδέως· τῷ αὐτῷ δὲ τάχει εὐθὺς ὅσην ὁ μείζων πέφυκεν ἐξελιχθῆναι γραμμήν. ὅπερ καὶ ποιεῖ τὴν ἀπορίαν, ὅτι οὐκέτι ὁμοίως ποιοῦσιν ὅταν συναρμοσθῶσιν. τὸ δ' ἔςιν, εἰ ὁ ἕτερος ὑπὸ τοῦ ἑτέρου κινεῖται οὐχ ἣν πέφυκεν, οὐδὲ τὴν αὑτοῦ κίνησιν. οὐθὲν γὰρ διαφέρει περιθεῖναι καὶ ἐναρμόσαι ἢ προσθεῖναι ὁποτερονοῦν ὁποτέρῳ· ὁμοίως γάρ, ὅταν ὁ μὲν κινῇ ὁ δὲ κινῆται ὑπὸ τούτου, ὅσον ἂν κινῇ ἅτερος, τοσοῦτον κινηθήσεται ἅτερος. ὅταν μὲν οὖν προσκείμενον κινῇ ἢ προσκρεμάμενον, οὐκ ἀεὶ κυλίει τις· ὅταν δὲ περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν, ἀνάγκη κυλίεσθαι ἀεὶ τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου. ἀλλ' οὐθὲν ἧττον οὐ τὴν αὑτοῦ κίνησιν ἅτερος κινεῖται, ἀλλ' ὥσπερ ἂν εἰ μηδεμίαν εἶχε κίνησιν. κἂν ἔχῃ, μὴ χρῆται δ' αὐτῇ, ταὐτὸ συμβαίνει. ὅταν μὲν οὖν ὁ μέγας κινῇ ἐνδεδεμένον τὸν μικρόν, ὁ μικρὸς κινεῖται ὅσηνπερ οὗτος· ὅταν δὲ ὁ μικρός, πάλιν ὁ μέγας ὅσην οὗτος. χωριζόμενος δὲ ἑκάτερος αὐτὸν κινεῖ αὐτός. ὅτι δὲ τοῦ αὐτοῦ κέντρου ὄντος καὶ κινοῦντος τῷ αὐτῷ τάχει συμβαίνει ἄνισον διεξιέναι αὐτοὺς γραμμήν, παραλογίζεται ὁ ἀπορῶν σοφιστικῶς. τὸ αὐτὸ μὲν γάρ ἐστι κέντρον ἀμφοῖν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς μουσικὸν καὶ λευκόν· τὸ γὰρ εἶναι ἑκατέρου κέντρου τῶν κύκλων οὐ τῷ αὐτῷ χρῆται. ὅταν μὲν οὖν ὁ κινῶν ᾖ ὁ μικρός, ὡς ἐκείνου κέντρον καὶ ἀρχή, ὅταν δὲ ὁ μέγας, ὡς ἐκείνου. οὐκ οὖν τὸ αὐτὸ κινεῖ ἁπλῶς, ἀλλ' ἔςιν ὥς.

25 Διὰ τί τὰς κλίνας ποιοῦσι διπλασιοπλεύρους, τὴν μὲν ἓξ ποδῶν καὶ μικρῷ μείζω πλευράν, τὴν δὲ τριῶν; καὶ διὰ τί ἐντείνουσιν οὐ κατὰ διάμετρον; ἢ τὸ μὲν μέγεθος τηλικαύτας, ὅπως τοῖς σώμασιν ὦσι σύμμετροι; γίνονται γὰρ οὕτω διπλασιόπλευροι, τετραπήχεις μὲν τὸ μῆκος, διπήχεις δὲ τὸ πλάτος. ἐντείνουσι δὲ οὐ κατὰ διάμετρον ἀλλ' ἀπ' ἐναντίας, ὅπως τά τε ξύλα ἧττον διασπᾶται· τάχιςα γὰρ σχίζεται κατὰ φύσιν διαιρούμενα ταύτῃ, καὶ ἑλκόμενα πονεῖ μάλιστα. ἔτι ἐπειδὴ δεῖ βάρος δύνασθαι τὰ σπαρτία φέρειν, οὕτως ἧττον πονέσει λοξοῖς τοῖς σπαρτίοις ἐπιτιθεμένου τοῦ βάρους ἢ πλαγίοις. ἔτι δὲ ἔλαττον οὕτω σπαρτίον ἀναλίσκεται. ἔςω γὰρ κλίνη ἡ ΑΖΗΙ, καὶ δίχα διῃρήσθω ἡ ΖΗ κατὰ τὸ Β. ἴσα δὴ τρυπήματά ἐςιν ἐν τῇ ΖΒ καὶ ἐν τῇ ΖΑ. καὶ γὰρ αἱ πλευραὶ ἴσαι εἰσίν· ἡ γὰρ ὅλη ΖΗ διπλασία ἐςίν. ἐντείνουσι δ' ὡς γέγραπται, ἀπὸ τοῦ Α ἐπὶ τὸ Β, εἶτα οὗ τὸ Γ, εἶτα οὗ τὸ Δ, εἶτα οὗ τὸ Θ, εἶτα οὗ τὸ Ε. καὶ οὕτως ἀεί, ἕως ἂν εἰς γωνίαν καταςρέψωσιν ἄλλην· δύο γὰρ ἔχουσι γωνίαι τὰς ἀρχὰς τοῦ σπαρτίου. ἴσα δέ ἐςι τὰ σπαρτία κατὰ τὰς κάμψεις, τό τε ΑΒ καὶ ΒΓ τῷ ΓΔ καὶ ΔΘ. καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτά ἐςιν, ὅτι οὕτως ἔχει ἡ αὐτὴ ἀπόδειξις. ἡ μὲν γὰρ ΑΒ τῇ ΕΘ ἴση· ἴσαι γάρ εἰσιν αἱ πλευραὶ τοῦ ΒΗΚΑ χωρίου, καὶ τὰ τρυπήματα ἴσα διέςηκεν. ἡ δὲ ΒΗ ἴση τῇ ΚΑ· ἡ γὰρ Β γωνία ἴση τῇ Η. ἐν ἴσοις γὰρ ἡ μὲν ἐκτός, ἡ δὲ ἐντός· καὶ ἡ μὲν Β ἐστὶν ἡμίσεια ὀρθῆς· ἡ γὰρ ΖΒ ἴση τῇ ΖΑ· καὶ γωνία δὲ ἡ κατὰ τὸ Ζ ὀρθή. ἡ δὲ Β γωνία ἴση τῇ κατὰ τὸ Η· ἡ γὰρ κατὰ τὸ Ζ ὀρθή, ἐπειδὴ διπλασιόπλευρον τὸ ἑτερόμηκες καὶ πρὸς μέσον κέκλαςαι. ὥςε ἡ ΑΓ τῇ ΕΗ ἴση. ταύτῃ δὲ ἡ ΚΘ· παράλληλος γάρ. ὥστε ἡ ΒΓ ἴση τῇ ΚΘ. ἡ δὲ ΓΕ τῇ ΔΘ. ὁμοίως δὲ καὶ αἱ ἄλλαι δείκνυνται ὅτι ἴσαι εἰσὶν αἱ κατὰ τὰς κάμψεις δύο ταῖς δυσίν. ὥςε δῆλον ὅτι τὰ τηλικαῦτα σπαρτία ὅσον τὸ ΑΒ, τέσσαρα τοσαῦτ' ἔνεςιν ἐν τῇ κλίνῃ· ὅσον δ' ἐςὶ τὸ πλῆθος τῶν ἐν τῇ ΖΗ πλευρᾷ τρυπημάτων, καὶ ἐν τῷ ἡμίσει τῷ ΖΒ τὰ ἡμίση. ὥστε ἐν τῇ ἡμισείᾳ κλίνῃ τηλικαῦτα μεγέθη σπαρτίων ἐςὶν ὅσον τῷ ΒΑ ἔνεςι, τοσαῦτα δὲ τὸ πλῆθος ὅσαπερ ἐν τῷ ΒΗ τρυπήματα. ταῦτα δὲ οὐδὲν διαφέρει λέγειν ἢ ὅσα ἐν τῇ ΑΖ καὶ ΒΖ τὰ συνάμφω. εἰ δὲ κατὰ διάμετρον ἐνταθῇ τὰ σπαρτία, ὡς ἐν τῇ ΑΒΓΔ κλίνῃ ἔχει, τὰ ἡμίσεά εἰσιν οὐ τοσαῦτα

1. τὸ] ἡ W^a. ‖ 4. ὑπὸ τοῦ ἐλάττονος om PW^a. ‖ 9. κεκινεῖσθαι W^a. ‖ 12. καὶ ὃ — ἐκινήθη om W^a. ‖ 17. ὅτε W^a. ‖ 21. ὁποτέρων W^a. ‖ 26. αὐτὴν P. ‖ ἕτερος W^a. ‖ 28. οὖν μὲν W^a. ‖ 29. μικρὸς κ.] μέγας κ. PW^a. ‖ 31. ὅτε δὲ τοῦ αὖ κέντρου W^a. ‖ 33. π ιλογίζεται W^a. ‖ 34. ὡς] καὶ W^a. ‖ 35. ἑκάτερον κέντρον W^a. ‖ 36. ἢ P.

9. σπαρτὰ et σπαρτοῖς, 32. σπαρτά, 35. σπαρτῶν PW^a. ‖ 11. σπαρτὸν W^a. ‖ 13. εἰσιν ἴσαι W^a. ‖ 20. ἔχει om P. ‖ 22. τρυπήματα δ' ἴσα διέςη W^a. ‖ 23. Β] γ W^a. ‖ 29. δὲ] δὲ τῇ P. ‖ 34. τῷ ζθ P, τὸ θζ W^a. ‖ 35. τὸ W^a. ‖ 37. ΑΖ] θζ W^a.

ὅσα αἱ πλευραὶ ἀμφοῖν, αἱ ΑΖ ΖΗ· τὰ ἴσα δέ, ὅσα ἐν τῷ ΖΒΖΑ τρυπήματα ἔνεστιν. μείζονες δέ εἰσιν αἱ ΑΖ ΒΖ δύο οὖσαι τῆς ΑΒ. ὥστε καὶ τὸ σπαρτίον μεῖζον τοσούτῳ ὅσον αἱ πλευραὶ ἄμφω μείζους εἰσὶ τῆς διαμέτρου.

26 Διὰ τί χαλεπώτερον τὰ μακρὰ ξύλα ἀπ᾽ ἄκρου φέρειν ἐπὶ τῷ ὤμῳ ἢ κατὰ τὸ μέσον, ἴσου τοῦ βάρους ὄντος; πότερον ὅτι σαλευομένου τοῦ ξύλου τὸ ἄκρον κωλύει φέρειν, μᾶλλον ἀντισπῶν τῇ σαλεύσει τὴν φοράν; ἢ κἂν μηθὲν κάμπτηται μηδ᾽ ἔχῃ πολὺ μῆκος, ὅμως χαλεπώτερον φέρειν ἀπ᾽ ἄκρου; ἀλλ᾽ ὅτι καὶ ῥᾷον αἴρεται ἀπ᾽ ἄκρου ἢ ἐκ μέσου, διὰ τὸ αὐτὸ καὶ φέρειν οὕτω ῥᾴδιον. αἴτιον δὲ ὅτι ἐκ μέσου μὲν αἰρόμενον ἀεὶ ἐπικουφίζει ἄλληλα τὰ ἄκρα, καὶ θάτερον μέρος τὸ ἐπὶ θάτερον εὖ αἴρει. ὥσπερ γὰρ κέντρον γίνεται τὸ μέσον, ᾗ ἔχει τὸ αἶρον ἢ φέρον. εἰς τὸ ἄνω οὖν κουφίζεται ἑκάτερον τῶν ἄκρων εἰς τὸ κάτω ῥέπον. ἀπὸ δὲ τοῦ ἄκρου αἰρόμενον ἢ φερόμενον οὐ ποιεῖ τοῦτο, ἀλλ᾽ ἅπαν τὸ βάρος ῥέπει ἐφ᾽ ἓν μέσον, εἰς ὅπερ αἴρεται ἢ φέρεται. ἔστω μέσον ἐφ᾽ οὗ Α, ἄκρα ΒΓ. αἰρομένου οὖν ἢ φερομένου κατὰ τὸ Α, τὸ μὲν Β κάτω ῥέπον ἄνω αἴρει τὸ Γ, τὸ δὲ Γ κάτω ῥέπον τὸ Β ἄνω αἴρει· ἅμα δὲ αἰρόμενα ἄνω ποιεῖ ταῦτα.

27 Διὰ τί, ἐὰν ᾖ λίαν μακρὸν τὸ αὐτὸ βάρος, χαλεπώτερον φέρειν ἐπὶ τοῦ ὤμου, κἂν μέσον φέρῃ τις, ἢ ἐὰν ἔλαττον ᾖ; πάλαι ἐλέχθη ὡς οὐκ ἔστιν αἴτιον ἡ σάλευσις· ἀλλ᾽ ἡ σάλευσις νῦν αἰτιόν ἐστιν. ὅταν γὰρ ᾖ μακρότερον, τὰ ἄκρα σαλεύεται, ὥστε εἴη ἂν καὶ τὸν φέροντα χαλεπώτερον φέρειν μᾶλλον. αἴτιον δὲ τοῦ σαλεύεσθαι μᾶλλον, ὅτι τῆς αὐτῆς κινήσεως οὔσης μεθίσταται τὰ ἄκρα, ὅσῳπερ ἂν ᾖ μακρότερον τὸ ξύλον. ὁ μὲν γὰρ ὦμος κέντρον, ἐφ᾽ οὗ τὸ Α (μένει γὰρ τοῦτο), αἱ δὲ ΑΒ καὶ ΑΓ αἱ ἐκ τοῦ κέντρου. ὅσῳ δ᾽ ἂν ᾖ μεῖζον τὸ ἐκ τοῦ κέντρου ἢ τὸ ΑΒ ἢ καὶ τὸ ΑΓ, πλέον μεθίσταται μέγεθος. δέδεικται δὲ τοῦτο πρότερον.

28 Διὰ τί ἐπὶ τοῖς φρέασι τὰ κηλώνεια ποιοῦσι τοῦτον τὸν τρόπον; προστιθέασι γὰρ βάρος ἐν τῷ ξύλῳ τὸν μόλιβδον, ὄντος βάρους τοῦ κάδου αὐτοῦ, καὶ κενοῦ καὶ πλήρους ὄντος. ἢ ὅτι ἐν δυσὶ χρόνοις διῃρημένου τοῦ ἔργου (βάψαι γὰρ δεῖ, καὶ τοῦτ᾽ ἄνω ἑλκύσαι) συμβαίνει καθιέναι μὲν κενὸν ῥᾳδίως, αἴρειν δὲ πλήρη χαλεπῶς; λυσιτελεῖ οὖν μικρῷ βραδύτερον εἶναι τὸ καταγαγεῖν πρὸς τὸ πολὺ κουφίσαι τὸ βάρος ἀνάγοντι. τοῦτο οὖν ποιεῖ ἐπ᾽ ἄκρῳ τῷ κηλωνείῳ ὁ μόλιβδος προσκείμενος ἢ ὁ λίθος. καθιμῶντι μὲν γὰρ γίνεται βάρος μεῖζον ἢ εἰ μόνον κενὸν δεῖ κατάγειν τὸν κάδον· ὅταν δὲ πλήρης ᾖ, ἀνάγει ὁ μόλιβδος, ἢ ὅ τι ἂν ᾖ τὸ προσκείμενον βάρος. ὥστ᾽ ἐστὶ ῥᾷον αὐτῷ τὰ ἄμφω ἢ ἐκείνως.

29 Διὰ τί, ὅταν φέρωσιν ἐπὶ ξύλου ἢ τινος τοιούτου δύο ἄνθρωποι ἴσον βάρος, οὐχ ὁμοίως θλίβονται, ἐὰν μὴ ἐπὶ τῷ μέσῳ ᾖ τὸ βάρος, ἀλλὰ μᾶλλον ὅσῳ ἂν ἐγγύτερον ᾖ τῶν φερόντων; ἢ διότι μοχλὸς μὲν γίνεται οὕτως ἐχόντων τὸ ξύλον, τὸ δὲ βάρος ὑπομόχλιον, ὁ δὲ ἐγγύτερος τοῦ βάρους τῶν φερόντων τὸ βάρος τὸ κινούμενον, ἅτερος δὲ τῶν φερόντων τὸ βάρος ὁ κινῶν. ὅσῳ γὰρ πλέον ἀπέχει τοῦ βάρους, τοσούτῳ ῥᾷον κινεῖ, καὶ θλίβει μᾶλλον τὸν ἕτερον εἰς τὸ κάτω, ὥσπερ ἀντερείδοντος τοῦ βάρους τοῦ ἐπικειμένου καὶ γινομένου ὑπομοχλίου. ἐν μέσῳ δὲ ὑποκειμένου τοῦ βάρους, οὐδὲν μᾶλλον ἅτερος θατέρῳ γίνεται βάρος, οὐδὲ κινεῖ, ἀλλ᾽ ὁμοίως ἑκάτερος ἑκατέρῳ γίνεται βάρος.

30 Διὰ τί οἱ ἀνιστάμενοι πάντες πρὸς ὀξεῖαν γωνίαν τῷ μηρῷ ποιήσαντες τὴν κνήμην ἀνίστανται, καὶ τῷ θώρακι πρὸς τὸν μηρόν; εἰ δὲ μή, οὐκ ἂν δύναιντο ἀναστῆναι. πότερον ὅτι τὸ ἴσον ἠρεμίας πανταχοῦ αἴτιον, ἡ δὲ ὀρθὴ γωνία τοῦ ἴσου, καὶ ποιεῖ στάσιν· διὸ καὶ φέρεται πρὸς ὁμοίας γωνίας τῇ περιφερείᾳ τῆς γῆς. οὐ γὰρ ὅτι καὶ πρὸς ὀρθὴν ἔσται τῷ ἐπιπέδῳ. ἢ ὅτι ἀνιστάμενος γίνεται ὀρθός, ἀνάγκη δὲ τὸν ἑστῶτα κάθετον εἶναι πρὸς τὴν γῆν. εἰ οὖν μέλλει ἔσεσθαι πρὸς ὀρθήν, τοῦτο δέ ἐστι τὸ τὴν κεφαλὴν ἔχειν κατὰ τοὺς πόδας, καὶ γίνεσθαι δὴ ὅτε ἀνίσταται. ὅταν μὲν οὖν καθήμενος ᾖ, παράλληλον ἔχει τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ οὐκ ἐπὶ μιᾶς εὐθείας. ἡ κεφαλὴ Α ἔστω, θώραξ ΑΒ, μηρὸς ΒΓ, κνήμη ΓΔ. πρὸς ὀρθὴν δὲ γίνεται ὅ τε θώραξ [ἐφ᾽ ὧν ΑΒ] τῷ μηρῷ καὶ ὁ μηρὸς τῇ κνήμῃ οὕτως καθημένῳ. ὥστε οὕτως ἔχοντα ἀδύνατον ἀναστῆναι. ἀνάγκη δὲ ἐγκλῖναι τὴν κνήμην καὶ ποιεῖν τοὺς πόδας ὑπὸ τὴν κεφαλήν. τοῦτο δὲ ἔσται, ἐὰν ἡ ΓΔ ἐφ᾽ ἧς τὰ ΓΖ γένηται, καὶ ἅμα ἀναστῆναι συμβήσεται, καὶ ἔχειν ἐπὶ

5. ἀπ᾽ ἄκρου] ἀπὸ μακροῦ PVV°. ‖ 11. ἢ om P. ‖ 12. αἴτιον δὲ ὅτι] ἐπειδὴ διότι VV°. ‖ 13. θάτερα P. ‖ 14. ᾗ] ἢ VV°. ‖ 15. τὰ VV°. ‖ 18. ἔστω μέσον om PVV°. ‖ 23. φέρει VV°. ‖ φέροι P, φέρει VV°. ‖ 24. ὡς et ἡ σάλευσις om PVV°. ‖ 26. ἂν om P. ‖ 28. ὅτι] ἀπὸ post lacunam P. ‖ οὔσης om P VV°. ‖ 29. ἐφ᾽ οὗ — 31. κέντρου om VV°. ‖ 34. κοιλώνια PVV°.

2. εἶναι et πρὸς om PVV°. ‖ 3. τῶν κοιλωνίων P, κοιλωνίῳ VV°. ‖ 4. ὁ om PVV°. ‖ μὲν om VV°. ‖ 5. ἢ εἰ] εἴη PVV°. ‖ τὸν κάδον om PVV°. ‖ 6. ἂν ᾖ] ἐστὶν ἢ P. ‖ 8. ἐκεῖνα VV°. ‖ 11. μέσῳ] μόνῳ P. ‖ 12. οὕτως] ἐλάττων PVV°. ‖ 13. τῶν ξύλων VV°. ‖ ὑπομοχλίων VV°. ‖ 15. ἀπέχῃ P. ‖ 16. τοσοῦτον VV°. ‖ 17. τοῦ ἐπικειμένου — 19. βάρους om VV°. ‖ 20. ὅμως VV°. ‖ 28. κάθαιτον VV°. ‖ 29. ὀρθὸν PVV°. ‖ 32. εὐθείας] ἴσου PVV°. ‖ 33. κνῆμαι P. ‖ 34. ὅτι VV°. ‖ 36. ἐκκλῖναι PVV°. ‖ 38. ἔχει PVV°.

τῆς αὐτῆς ἴσης τὴν κεφαλήν τε καὶ τοὺς πόδας. ἡ δὲ ΓΖ ὀξεῖαν ποιεῖ γωνίαν πρὸς τὴν ΒΓ.

31 Διὰ τί ῥᾷον κινεῖται τὸ κινούμενον ἢ τὸ μένον, οἷον τὰς ἁμάξας θᾶττον κινουμένας ὑπάγουσιν ἢ ἀρχομένας; ἢ ὅτι χαλεπώτατον μὲν τὸ εἰς τοὐναντίον κινούμενον κινῆσαι βάρος; ἀφαιρεῖται γάρ τι τῆς τοῦ κινοῦντος δυνάμεως, κἂν πολὺ θᾶττον ᾖ· ἀνάγκη γὰρ βραδυτέραν γίνεσθαι τὴν ὦσιν τοῦ ἀντωθουμένου. δεύτερον δέ, ἐὰν ἠρεμῇ· ἀντιτείνει γὰρ καὶ τὸ ἠρεμοῦν. τὸ δὲ κινούμενον ἐπὶ τὸ αὐτὸ τῷ ὠθοῦντι ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ αὐξήσειέ τις τὴν τοῦ κινοῦντος δύναμιν καὶ ταχυτῆτα· ὃ γὰρ ὑπ' ἐκείνου ἂν ἔπασχε, τοῦτο αὐτὸ ποιεῖ εἰς τὸ πρὸ ὁδοῦ κινούμενον.

32 Διὰ τί παύεται φερόμενα τὰ ῥιφέντα; πότερον ὅταν λήγῃ ἡ ἰσχὺς ἡ ἀφεῖσα, ἢ διὰ τὸ ἀντισπᾶσθαι, ἢ διὰ τὴν ῥοπήν, ἐὰν κρείττων ᾖ τῆς ἰσχύος τῆς ῥιψάσης; ἢ ἄτοπον τὸ ταῦτ' ἀπορεῖν, ἀφέντα τὴν ἀρχήν.

33 Διὰ τί φέρεταί τι οὐ τὴν αὑτοῦ φοράν, μὴ ἀκολουθοῦντος καὶ ὠθοῦντος τοῦ ἀφέντος; ἢ δῆλον ὅτι ἐποίησε τοιοῦτον τὸ πρῶτον ὡς θάτερον ὠθεῖν, καὶ τοῦθ' ἕτερον· παύεται δέ, ὅταν μηκέτι δύνηται ποιεῖν τὸ προωθοῦν τὸ φερόμενον ὥστε ὠθεῖν, καὶ ὅταν τὸ τοῦ φερομένου βάρος ῥέπῃ μᾶλλον τῆς εἰς τὸ πρόσθεν δυνάμεως τοῦ ὠθοῦντος.

34 Διὰ τί οὔτε τὰ ἐλάττονα οὔτε τὰ μεγάλα πόρρω φέρεται ῥιπτούμενα, ἀλλὰ δεῖ συμμετρίαν τινὰ ἔχειν πρὸς τὸν ῥιπτοῦντα; πότερον ὅτι ἀνάγκη τὸ ῥιπτούμενον καὶ ὠθούμενον ἀντερείδειν ὅθεν ὠθεῖται; τὸ δὲ μηθὲν ὑπεῖκον διὰ μέγεθος ἢ μηδὲν ἀντερεῖσαν δι' ἀσθένειαν οὐ ποιεῖ ῥῖψιν οὐδὲ ὦσιν. τὸ μὲν οὖν πολὺ ὑπερβάλλον τῆς ἰσχύος τῆς ὠθούσης οὐθὲν ὑπείκει, τὸ δὲ πολὺ ἀσθενέστερον οὐδὲν ἀντερείδει. ἢ ὅτι τοσοῦτον φέρεται τὸ φερόμενον, ὅσον ἂν ἀέρα κινήσῃ εἰς βάθος; τὸ δὲ μηδὲν κινούμενον οὐδ' ἂν κινήσειεν οὐδέν. συμβαίνει δὴ ἀμφότερα τούτοις ἔχειν. τό τε γὰρ σφόδρα μέγα καὶ τὸ σφόδρα μικρὸν ὥσπερ οὐθὲν κινούμενά ἐστι· τὸ μὲν γὰρ αὐτὸ καθ' ἓν κινεῖ, τὸ δ' οὐθὲν κινεῖται.

35 Διὰ τί τὰ φερόμενα ἐν τῷ δινουμένῳ ὕδατι εἰς τὸ μέσον τελευτῶντα φέρονται ἅπαντα; πότερον ὅτι μέγεθος ἔχει τὸ φερόμενον, ὥστε ἐν δυσὶ κύκλοις εἶναι, τῷ μὲν ἐλάττονι τῷ δὲ μείζονι, ἑκάτερον αὐτοῦ τῶν ἄκρων. ὥστε περισπᾷ ὁ μείζων διὰ τὸ φέρεσθαι θᾶττον, καὶ πλάγιον ἀπωθεῖ αὐτὸ εἰς τὸν ἐλάττω. ἐπεὶ δὲ πλάτος ἔχει τὸ φερόμενον, καὶ οὗτος πάλιν τὸ αὐτὸ ποιεῖ, καὶ ἀπωθεῖ εἰς τὸν ἐντός, ἕως ἂν εἰς τὸ μέσον ἔλθῃ. καὶ τότε μένει διὰ τὸ ὁμοίως ἔχειν πρὸς ἅπαντας τοὺς κύκλους τὸ φερόμενον, διὰ τὸ μέσον· καὶ γὰρ τὸ μέσον ἴσον ἀπέχει ἐν ἑκάστῳ τῶν κύκλων. ἢ ὅτι ὅσων μὲν μὴ κρατεῖ ἡ φορὰ τοῦ δινουμένου ὕδατος διὰ τὸ μέγεθος, ἀλλ' ὑπερέχει τῇ βαρύτητι τῆς τοῦ κύκλου ταχυτῆτος, ἀνάγκη ὑπολείπεσθαι καὶ βραδύτερον φέρεσθαι. βραδύτερον δὲ ὁ ἐλάττων κύκλος φέρεται· τὸ αὐτὸ γὰρ ἐν ἴσῳ χρόνῳ ὁ μέγας τῷ μικρῷ στρέφεται κύκλῳ, ὅταν ὦσι περὶ τὸ αὐτὸ μέσον. ὥστε εἰς τὸν ἐλάττονα κύκλον ἀναγκαῖον ἀπολείπεσθαι, ἕως ἂν ἐπὶ τὸ μέσον ἔλθῃ. ὅσων δὲ πρότερον κρατεῖ ἡ φορά, λήγουσα ταὐτὸ ποιήσει. δεῖ γὰρ τὸν μὲν εὐθύ, τὸν δὲ ἕτερον κρατεῖν τῇ ταχυτῆτι τοῦ βάρους, ὥστε εἰς τὸν ἐντὸς ἀεὶ κύκλον ὑπολείπεσθαι πᾶν. ἀνάγκη γὰρ αὐτὸ ἐντὸς ἢ ἐκτὸς κινεῖσθαι τὸ μὴ κρατούμενον. ἐν αὐτῷ δὴ τοίνυν ἐν ᾧ ἐστιν, ἀδύνατον φέρεσθαι τὸ μὴ κρατούμενον. ἔτι δὲ ἧττον ἐν τῷ ἐκτός· θάττων γὰρ ἡ φορὰ τοῦ ἐκτὸς κύκλου. λείπεται δὲ εἰς τὸν ἐντὸς τὸ μὴ κρατούμενον μεθίστασθαι. ἀεὶ δὲ ἕκαστον ἐπιδίδωσιν εἰς τὸ μὴ κρατεῖσθαι. ἐπεὶ δὲ πέρας τοῦ μὴ κινεῖσθαι ποιεῖ τὸ εἰς μέσον ἐλθεῖν, μένει δὲ τὸ κέντρον μόνον, ἅπαντα ἀνάγκη εἰς τοῦτο δὴ ἀθροίζεσθαι.

1. ἴσας PWV^a. ‖ 11. παχύτητα P. ‖ 14. ἀπισπάσαι PWV^a. ‖ 15. κρείττων ᾖ] κρείττω P. ‖ 18. τοῦ ἀφέντος om PWV^a. ‖ 24. ῥιπτόμενα P.

9. αὐτὸν P. ‖ ἐλάττονα WV^a. ‖ 11. τότε μένει] τιθέαμεν εἰ PWV^a. ‖ 14. δινομένου P. ‖ 21. ὅσω PWV^a. ‖ πότερον P. ‖ 23. τραχύτητι WV^a. ‖ 25. δὲ PWV^a. ‖ τοίνυν τοῖς WV^a. ‖ 27. θᾶττον P. ‖ 29. δὲ et 30. εἰς om PWV^a.

ΠΡΟΒΛΗΜΑΤΑ.

Α. ΟΣΑ ΙΑΤΡΙΚΑ.

Διὰ τί αἱ μεγάλαι ὑπερβολαὶ νοσώδεις; ἢ ὅτι ὑπερβολὴν ἢ ἔλλειψιν ποιοῦσιν; τοῦτο δὲ ἦν ἡ νόσος.

2 Διὰ τί [δὲ] τὰς νόσους ὑγιάζουσιν πολλάκις, ὅταν πολὺ ἐκστῇ τις; καὶ ἐνίων ἰατρῶν τοιαύτη ἡ τέχνη· ὑπερβολαῖς γὰρ ἰῶνται οἴνου ἢ ὕδατος ἢ ἅλμης ἢ σίτου ἢ λιμοῦ. ἢ ὅτι ἐναντία ἀλλήλοις τὰ τὴν νόσον ποιοῦντα· εἰς τὸ μέσον οὖν ἄγει θάτερον ἑκάτερα.

3 Διὰ τί αἱ τῶν ὡρῶν μεταβολαὶ καὶ πνεύματα ἐπιτείνουσιν ἢ παύουσι καὶ κρίνουσι τὰς νόσους καὶ ποιοῦσιν; ἢ ὅτι θερμαὶ καὶ ψυχραί εἰσι καὶ ὑγραὶ καὶ ξηραί, αἱ δὲ νόσοι τούτων εἰσὶν ὑπερβολαί, ἡ δὲ ὑγεία ἰσότης. ἐὰν οὖν δι' ὑγρότητα καὶ ψύξιν, ἡ ἐναντία ὥρα παύει· ἐὰν δὲ ἐναντία ὥρα ἔχηται, ἡ ὁμοία κρᾶσις ἐπιγενομένη ἐπέτεινε καὶ ἀνεῖλεν. διὰ ταῦτα δὲ καὶ νοσίζουσι τοὺς ὑγιαίνοντας, ὅτι μεταβάλλουσαι λύουσι τὴν κρᾶσιν· ἅμα γὰρ ταῖς οἰκείαις ὥραις καὶ ἡλικίαις καὶ τόποις αὐξάνεται. διὸ δεῖ ἐν ταῖς μεταβολαῖς μάλιστα διακυβερνᾶν. ὃ δὲ καθόλου περὶ τῶν ὡρῶν εἴρηται, καὶ κατὰ μέρος τὸ αὐτὸ αἴτιον. αἱ γὰρ τῶν πνευμάτων μεταβολαὶ καὶ τῶν ἡλικιῶν καὶ τόπων ὥρας τινός εἰσι μεταβολαί. διὸ καὶ ταῦτα ἐπιτείνει καὶ παύει καὶ κρίνει καὶ ποιεῖ, ὥσπερ αἱ ὧραι, καὶ ἐπιτολαὶ τῶν ἄστρων, ὥσπερ Ὠρίων καὶ Ἀρκτοῦρος καὶ Πλειὰς καὶ Κύων, ὥσπερ πνευμάτων καὶ ὑδάτων καὶ εὐδιῶν καὶ χειμώνων καὶ ἀλέας.

4 Διὰ τί ἐν ταῖς μεταβολαῖς τῶν ὡρῶν ἐμέτοις οὐ δεῖ χρῆσθαι; ἢ ἵνα μὴ γένηται συντάραξις διαφόρων γινομένων τῶν περιττωμάτων διὰ τὰς μεταβολάς.

Διὰ τί καὶ οἱ κιβδηλιῶντες καὶ ὑπὸ λιμοῦ τοὺς πόδας 5 οἰδοῦσιν; ἢ διὰ τὴν σύντηξιν ἀμφότεροι; συντήκονται δὲ οἱ μὲν διὰ λιμὸν διὰ τὸ ὅλως μὴ λαμβάνειν τροφήν, οἱ δὲ κιβδηλιῶντες διὰ τὸ μηδὲν ἀπολαύειν ἧς λαμβάνουσι τροφῆς.

Διὰ τί τῶν ἀπὸ χολῆς νοσημάτων ἐν τῷ θέρει (πυρέτ- 6 τουσι γὰρ μάλιστα ἐν τῷ θέρει) τὰ ὀξέα ἀπὸ χολῆς ὄντα ἐν τῷ χειμῶνι γίνεται μᾶλλον; ἢ ὅτι μετὰ πυρετοῦ ὄντα ὀξέα ἐστὶ διὰ τὸ βίαια εἶναι, ἡ δὲ βία παρὰ φύσιν. ὑγραινομένων γάρ τινων τόπων θερμὴ φλεγμασία γίνεται· ἡ δὲ φλεγμασία ὑπερβολὴ θερμότητος οὖσα ποιεῖ τοὺς πυρετούς. ἐν μὲν οὖν τῷ θέρει ξηραὶ καὶ θερμαί εἰσιν αἱ νόσοι, ἐν δὲ τῷ χειμῶνι ὑγραὶ καὶ θερμαί, διὸ ὀξεῖαι· ταχέως γὰρ ἀναιροῦσιν· οὐ γὰρ θέλει πέττεσθαι διὰ τὸ πλῆθος τοῦ περιττώματος.

Διὰ τί ποτε ὁ λοιμὸς μόνη τῶν νόσων μάλιστα τοὺς 7 πλησιάζοντας τοῖς θεραπευομένοις προσαναπίμπλησιν; ἢ ὅτι μόνη τῶν νόσων κοινή ἐστιν ἅπασιν, ὥστε διὰ τοῦτο πᾶσιν ἐπιφέρει τὸν λοιμόν, ὅσοι φαύλως ἔχοντες προϋπάρχουσιν. καὶ γὰρ διὰ τὸ ὑπέκκαυμα τῆς νόσου τῆς παρὰ τῶν θεραπευομένων γινομένης ταχέως ὑπὸ τοῦ πράγματος ἁλίσκονται.

Διὰ τί τοῦ χειμῶνος βορείου γενομένου, ἐὰν τὸ ἔαρ ἔπομ- 8 βρον γένηται καὶ νότιον, τὸ θέρος νοσῶδες γίνεται πυρετοῖς καὶ ὀφθαλμίαις; ἢ ὅτι τά τε σώματα ἐκδέχεται τὸ θέρος πολλὴν ἔχοντα ἀλλοτρίαν ὑγρότητα, καὶ ἡ γῆ καὶ ὁ τόπος ἐν ᾧ ἂν οἰκῶσι, γίνεται ἔφυδρος καὶ τοιοῦτος οἷοι λέγονται οἱ ἀεὶ νοσώδεις τόποι; πρῶτον μὲν οὖν ὀφθαλμίαι γίνονται τηκομένης τῆς περὶ τὴν κεφαλὴν περιττώσεως, ἔπειτα πυ-

Codices $C^aX^aY^a$ et $QK^aN^aO^a$*rstuvwx*. Tit. φυσικὰ προβλήματα $C^aK^aN^aY^a$*rstw*, plerique additis κατ' εἶδος συναγωγῆς.

3. ἡ om C^a. ‖ 5. πολυεκστῇ C^a. ‖ 8. θάτερον ἑκάτερα K^a, αὐτὰ δι' ἑκατέρου *x*: ceteri θάτερον ἑκατέρου. ‖ 10. παύσουσι K^a. ‖ 11. ψυχραὶ καὶ θερμαί εἰσι *x*, θερμαί εἰσι καὶ ψυχραὶ C^a. ‖ 12. οὖν om *w*. ‖ 13. καὶ] ἢ $QC^aK^aN^aY^a$*vw*. ‖ ἡ ἐν αὐτῷ ὥρα παύη C^a. ‖ δὲ] δὲ μὴ X^a et rc K^a et margo *u*. ‖ 15. δὲ om C^a. ‖ νοσήζουσι K^a. ‖ 16. γὰρ om C^a. ‖ 20. ὥρα *w*. ‖ 21. καὶ κρίνει καὶ ποιεῖ om C^a. ‖ 24. εὐδειῶν *v*. ‖ 25. ἐμέτης K^a. ‖ οὐ om $C^aK^aN^aX^a$*vw* et pr Y^a. ‖ 26. γινομένων $K^aN^aY^a$: ceteri γενομένων. ‖ 27. ἐν τῇ μεταβολῇ X^a.

1. καὶ] καὶ οἱ X^a, om C^a. ‖ λοιμοῦ *v*. ‖ 2. ὁ C^a. ‖ 4. ἀπολαμβάνουσι X^a. ‖ 6. μᾶλλον X^a. ‖ 7. ὅτι C^a: ceteri διότι. sed pr Y^a om. ‖ πυρετῶν $C^aK^aY^a$*v*. ‖ 9. δὲ] γὰρ C^a. ‖ 10. θερμασία X^a. ‖ 11. αἱ om $C^aK^aN^aX^aY^a$*v*. ‖ 15. ἡ $C^aK^aN^aX^aY^a$*v*. ‖ λιμὸς K^a. ‖ 19. περὶ C^a. ‖ 21. τὸ] τὸ ἐπ' αὐτῷ margo *r*. ‖ 22. καὶ νότιον γένηται C^a. ‖ 25. γίνεται] ἀναγίνεται C^a. ‖ 26. ἀεὶ om C^a. ‖ 27. περιπτώσεως X^a.

ρετοί. δεῖ γὰρ νοῆσαι ὅτι τὸ αὐτὸ καὶ θερμότατον γίνεται καὶ ψυχρότατον, οἷον ὕδωρ καὶ λίθος ὁ μὲν ζεῖ, τὸ δὲ κάει μᾶλλον. ἔν τε οὖν ἀέρι πνίγη γίνεται θερμαινομένου τοῦ ἀέρος διὰ πάχος, καὶ ἐν τοῖς σώμασιν ὡσαύτως πνίγη καὶ καύματα, τὸ δὲ ἐν σώματι καῦμα πυρετός ἐστιν, ἐν δὲ ὀφθαλμοῖς ὀφθαλμίαι. ὅλως δὲ καὶ ἡ μεταβολὴ ἰσχυρὰ οὖσα τὰ σώματα φθείρει, ὅταν τοῦ ἔαρος ὑγροῦ ὄντος εὐθὺς ἐπιλαμβάνῃ τὸ θέρος θερμὸν ὂν καὶ ξηρόν. ἔτι δὲ χαλεπώτερον, ἐὰν καὶ τὸ θέρος ἔπομβρον γένηται. ἔχει γὰρ ὁ ἥλιος ὕλην ἣν ποιήσει ζεῖν καὶ ἐν τοῖς σώμασι καὶ ἐν τῇ γῇ καὶ ἀέρι· διὸ γίνονται πυρετοὶ καὶ ὀφθαλμίαι.

9 Διὰ τί, ἐὰν ὁ χειμὼν νότιος γένηται καὶ ἔπομβρος, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, νοσῶδες γίνεται καὶ τὸ ἔαρ καὶ τὸ θέρος; ἢ ὅτι ἐν μὲν τῷ χειμῶνι διὰ τὴν ἀλέαν καὶ ὑγρότητα ὁμοίως τὰ σώματα διάκειται τῇ ὥρᾳ; ὑγρὰ γὰρ ἀνάγκη εἶναι καὶ οὐ συνεστηκότα. οὕτω δὲ ἐχόντων, τὸ ἔαρ ψυχρὸν ὂν ἔπηξε καὶ ἐσκλήρυνεν αὐτὰ διὰ τὸν αὐχμόν, ὥστε ταῖς μὲν κυούσαις ὁ τόκος ὁ ἐαρινὸς εἰς ἐκτρώσεις γίνεται διὰ τὴν θερμασίαν καὶ τὸν σφακελισμὸν τὸν γινόμενον ὑπὸ τῆς ξηρᾶς ψυχρότητος, ἅτε οὐκ ἐκκρινομένης τῆς ὑγρότητος, τὰ δὲ κυόμενα παιδία ἀσθενῆ γίνεται καὶ πηρὰ διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους· συμβέβηκε γὰρ τότε γεννώμενα [ἐν εὐδίᾳ] καὶ συστῆναι καὶ τραφῆναι ἐν τῇ τεκούσῃ. τοῖς δὲ ἄλλοις, ἅτε ἐν τῷ ἔαρι οὐκ ἀποκαθαρθέντος τοῦ φλέγματος τὴν ὑπερβολήν, ὃ συμβαίνει ὅταν ἀλεεινὸν γένηται, ἀλλὰ διὰ ψῦχος στάντος, ὅταν ἐπιλάβῃ τὸ θέρος καὶ ἡ ἀλέα τήκουσα βίᾳ, τοῖς μὲν χολώδεσι καὶ ξηροῖς, διὰ τὸ μὴ διερὰ εἶναι τὰ σώματα αὐτοῖς ἀλλὰ τὴν φύσιν αὖον ἔχειν, γίνονται μὲν ὑγρότητες, αὗται δὲ λεπταί, ὥστε ὀφθαλμίαις ξηραῖς ἁλίσκονται, οἱ δὲ φλεγματώδεις βράγχοις καὶ εἰς τὸν πνεύμονα κατάρροις. ταῖς γυναιξὶ δὲ δυσεντερίαι γίνονται διὰ τὴν ὑγρότητα καὶ ψυχρότητα τῆς φύσεως, τοῖς δὲ γεραιτέροις ἀποπληξίαι, ὅταν ἀθρόον λυθὲν ὑγρὸν ἐπιπέσῃ καὶ δι' ἀσθένειαν τοῦ συμφύτου θερμοῦ παγῇ.

10 Διὰ τί, ἐὰν μὲν τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἐναντίον, ὑγρὸν καὶ νότιον, ἐν τῷ χειμῶνι κεφαλαλγίαι τε γίνονται καὶ βράγχοι καὶ βῆχες, καὶ τελευτῶσιν εἰς φθίσεις; ἢ ὅτι λαμβάνει ὕλην πολλὴν ὁ χειμών, ὥστ' αὐτῷ ἔργον ἐστὶ πῆξαι τὴν ὑγρότητα καὶ φλέγμα ποιῆσαι; ἐν μὲν οὖν ταῖς κεφαλαῖς ὅταν ὑγρασία γένηται, βάρη ποιεῖ, ἐὰν δὲ ᾖ πολλὴ καὶ ψυχρά, σφακελισμούς· ἐὰν δὲ διὰ πλῆθος μὴ πήξῃ, ῥεῖ εἰς τὸν ἐχόμενον τόπον, ὅθεν αἱ βῆχες καὶ οἱ βράγχοι καὶ αἱ φθόαι γίνονται.

Διὰ τί, ἐὰν βόρειον γένηται τὸ θέρος καὶ αὐχμῶδες, καὶ τὸ μετόπωρον, συμφέρει τοῖς φλεγματώδεσι καὶ ταῖς γυναιξίν; ἢ ὅτι ἡ φύσις ἐπὶ θάτερα ἀμφοῖν ὑπερβάλλει, ὥστε εἰς τοὐναντίον ἡ ὥρα ἑλκύσασα καθίστησιν εἰς τὴν εὐκρασίαν· καὶ παραχρῆμά τε ὑγιαίνουσιν, ἐὰν μή τι δι' ἑαυτοὺς ἁμαρτάνωσι, καὶ εἰς τὸν χειμῶνα οὐχ ὑγροὶ ἀφικνοῦνται, ἔχοντες ὑπεκκαύματα τῷ ψύχει. 11

Διὰ τί τοῖς χολώδεσι νοσῶδές ἐστι τὸ βόρειον καὶ αὐχμῶδες θέρος καὶ μετόπωρον; ἢ ὅτι ἐπὶ ταὐτὸ ῥέπει αὐτοῖς τὸ σῶμα καὶ αἱ ὧραι, ὥστε ὥσπερ πῦρ ἐπὶ πυρὶ γίνεται. ξηραινομένων γὰρ τῶν σωμάτων, καὶ τοῦ γλυκυτάτου μὲν ἐξικμαζομένου ἐξ αὐτῶν, ὑπερθερμαινομένων δὲ λίαν, ἀνάγκη διὰ μὲν τὰς συντήξεις ὀφθαλμίας ξηρὰς γίνεσθαι, διὰ δὲ τὸ χολῶδες τοὺς ὑπολειπομένους εἶναι χυμούς, ὑπερθερμαινομένων δὲ καὶ τούτων πυρετοὺς ὀξεῖς γίνεσθαι ἅτε ὑπ' ἀκράτου τῆς χολῆς, ἐνίοις δὲ μανίας, οἷς ἂν μέλαινα χολὴ φύσει ἐνῇ· αὕτη γὰρ ἐπιπολάζει ἀναξηραινομένων τῶν ἐναντίων χυμῶν. 12

Διὰ τί τὸ τὰ ὕδατα μεταβάλλειν νοσῶδές φασιν εἶναι, τὸ δὲ τὸν ἀέρα οὔ; ἢ ὅτι τοῦτο γίνεται τροφή, καὶ ἔχοντες καὶ ἀπολελαυκότες τοῦ ὕδατος ἀπέρχονται, τοῦ δὲ ἀέρος οὐδέν; ἔτι ὕδατος μὲν πολλὰ εἴδη ἐστὶ καὶ διάφορα καθ' αὑτά, ἀέρος δὲ οὔ, ὥστε καὶ τοῦτο αἴτιον. ἐν μὲν γὰρ τῷ ἀέρι σχεδὸν τῷ αὐτῷ συμβαίνει διατελεῖν καὶ ἀποδημοῦντας, ἐν δὲ ὕδασιν ἄλλοις· διὸ καλῶς δοκεῖ νοσώδης ἡ τοῦ ὕδατος μεταβολὴ εἶναι. 13

Διὰ τί μᾶλλον ἡ τοῦ ὕδατος ἢ ἡ τῶν σιτίων μεταβολὴ νοσώδης; ἢ ὅτι πλεῖστον ἀναλίσκομεν τὸ ὕδωρ; ἐν τε γὰρ τοῖς σιτίοις ὑπάρχει καὶ ὄψοις, καὶ ἐν τῷ πόματι τὸ πλεῖστον ὕδωρ. 14

3. ἔαρι K^a. ‖ 6. καὶ om v. ‖ 7. ἔαρος K^a: ceteri ἀέρος. ‖ ἐπιλαμβάνει C^a. ‖ 8. ὂν] ἂν X^a, om v. ‖ δὲ om v, ‖ 10. ζῆν v et pr Y^a. ‖ καὶ om C^a. ‖ τῷ σώματι v. ‖ 14. ἢ om $C^aK^aN^aY^av$. ‖ 18. ὥσπερ K^a, ὅθεν X^a. ‖ τόπος u, πόνος margo u. ‖ γίνεσθαι $C^aK^aN^aY^a$. ‖ 21. κυούμενα Y^av. ‖ γίνεσθαι N^aY^av. ‖ 22. γὰρ τὰ τότε K^a. ‖ γινόμενα pr v. ‖ 23. ἐν εὐδείᾳ C^a, om pr X^a. ‖ 24. ἔαρι $K^aN^aY^a$: ceteri ἀέρι. ‖ 27. βίᾳ om pr Y^a. ‖ διερεῖ N^a. ‖ 28. γεννῶνται v. ‖ 33. ὑγρὸν λυθὲν v. ‖ 35. μὲν om $C^aN^aY^av$. ‖ βόρειον] νότιον C^av et pr Y^a. ‖ 36. ἐναντίον καὶ ὑγρὸν C^a. ‖ νότιον] βόρειον C^av et rc Y^a, om N^a.

3. φλέγματα C^a. ‖ 5. διὰ om C^a. ‖ 6. αἱ] καὶ pr Y^a, om N^a. ‖ 8. τί δὲ ἐὰν N^aY^a. ‖ 12. παρά, omisso χρῆμα, C^a. ‖ 13. ἁμαρτάνουσι C^a. ‖ 16. ὅτι et 22. καὶ om C^a. ‖ 25. χειμῶνι C^a. ‖ 29. ἐστὶ] μὲν C^a. ‖ διαφοραὶ C^aY^a. ‖ 32. νοσώδης om C^a. ‖ 34. ἡ post ἢ om X^a. ‖ 35. ἢ om $C^aN^aX^aY^a$. ‖ 36. τοῖς om C^a.

15 Διὰ τί ἡ μεταβολὴ νοσώδης; ἢ ὅτι πᾶσα μὲν ἡ μεταβολὴ καὶ ὥρας καὶ ἡλικίας εὐκίνητον. εὐκίνητα γὰρ τὰ ἄκρα, οἷον καὶ αἱ ἀρχαὶ καὶ αἱ τελευταί. ὥστε καὶ αἱ τροφαὶ ἕτεραι οὖσαι ἀλλήλας φθείρουσιν· αἱ μὲν γὰρ ἄρτι, αἱ δὲ οὔπω προσπεφύκασιν. ἔτι δὲ ὥσπερ ἡ ποικίλη τροφὴ νοσώδης (ταραχώδης γὰρ καὶ οὐ μία πέψις), οὕτω συμβαίνει μεταβάλλουσι τὸ ὕδωρ ποικίλῃ πόματος χρῆσθαι τῇ τροφῇ· καὶ ἡ τοιαύτη τροφὴ κυριωτέρα τῆς ξηρᾶς ἐστὶ τῷ πλεῖστον εἶναι καὶ ἐξ αὐτῶν τῶν σιτίων τὸ ὑγρὸν γίνεσθαι τροφήν.

16 Διὰ τί ἡ τῶν ὑδάτων μεταβολὴ τοὺς ἔχουσι φθεῖρας ποιεῖ πολλοὺς ἔχειν; ἢ ὅτι ἀπεψία γινομένη τοῦ ὑγροῦ διὰ τὴν ταραχήν, ἣ γίνεται διὰ τὴν ποικιλίαν τοῦ ὕδατος πυκνὰ μεταβάλλουσιν, ὑγρότητα ἐμποιεῖ, καὶ μάλιστα ἐν τῷ ἐπιτηδείως ὑπάρχοντι τόπῳ; ὁ δὲ ἐγκέφαλος ὑγρός· διὸ καὶ ἡ κεφαλὴ ἀεὶ μάλιστα. δηλοῖ δέ, ὅτι αἱ τρίχες ἔνεισι μάλιστα ἐν αὐτῇ. ἡ δὲ τοῦ τόπου τούτου ὑγρότης φθειρῶν ποιητική. δηλοῖ δὲ ἐπὶ τῶν παίδων· ὑγροκέφαλοί τε γάρ εἰσι, καὶ πολλάκις ἢ κορυζῶσιν ἢ αἷμα ποιεῖ ῥεῖν, καὶ φθεῖρας πλείους οἱ ἐν ταύτῃ τῇ ἡλικίᾳ ἔχουσιν.

17 Διὰ τί ἀπὸ Πλειάδος μέχρι ζεφύρου οἱ τὰς μακρὰς νόσους κάμνοντες μάλιστα ἀναιροῦνται, καὶ οἱ γέροντες μᾶλλον τῶν νέων; πότερον ὅτι δύο ἐστὶ τὰ φθαρτικώτατα, ὑπερβολή τε καὶ ψῦχος; τὸ γὰρ ζῆν θερμόν, ἡ δὲ ὥρα αὕτη ἄμφω ταῦτ' ἔχει· ψυχρά τε γάρ ἐστι, καὶ ἀκμαιότατος ὁ χειμών· τὸ λοιπὸν γὰρ ἔαρ ἐστίν. ἢ ὅτι ὁμοίως μὲν διάκεινται τοῖς γέρουσι τῶν καμνόντων οἱ τὰς μακρὰς κάμνοντες ἀσθενείας; οἷον γὰρ ἤδη γῆρας ἡ μακρὰ ἀσθένεια συμβαίνει· τὸ γὰρ σῶμα ἀμφοῖν ξηρὸν καὶ ψυχρόν ἐστι, τῶν μὲν δι' ἡλικίαν, τῶν δὲ διὰ νόσον. ὁ δὲ χειμὼν καὶ οἱ πάγοι ὑπερβολή ἐστι ψυχρότητος καὶ ξηρότητος. μικρᾶς οὖν δεομένοις αὐτοῖς ῥοπῆς γίνεται οἷον πῦρ ἐπὶ πυρὶ ὁ χειμών, καὶ φθείρει διὰ ταῦτα.

18 Διὰ τί ἐν τοῖς ἑλώδεσι τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη ταχὺ ὑγιάζεται, τὰ δὲ ἐν ταῖς κνήμαις μόλις; ἢ ὅτι βαρεῖα ἡ ὑγρότης διὰ τὸ γεώδης εἶναι, τὰ δὲ βαρέα εἰς τὸ κάτω ἀποχωρεῖ; τὰ μὲν οὖν ἄνω ἔκκριτα διὰ τὸ ἀποκεχωρηκέναι εἰς τὰ κάτω, τὰ δὲ κάτω πολλῆς γέμει περιττώσεως καὶ εὐσήπτου.

19 Διὰ τί, ἐὰν τοῦ χειμῶνος γενομένου βορείου καὶ τοῦ ἔαρος νοτίου καὶ ἐπόμβρου τὸ θέρος λίαν αὐχμηρὸν γένηται, θανατῶδες γίνεται τὸ μετόπωρον πᾶσι, μάλιστα δὲ τοῖς παιδίοις, καὶ τοῖς ἄλλοις δὲ δυσεντερίαι καὶ τεταρταῖοι χρόνιοι γίνονται ἐν αὐτῷ; ἢ ὅτι μετρίου μὲν ἐπιγενομένου ὕδατος θερινοῦ καταψυχθὲν τὸ ζέον ὑγρὸν ἐν ἡμῖν λωφᾷ, ὅσον ἠθροίσθη ἐν τῷ ἦρι γενομένῳ [τῷ] ὑγρῷ; εἰ δὲ μή, τὰ μὲν παιδία διὰ τὸ ὑγρὰ εἶναι φύσει καὶ θερμὰ ὑπερζεῖ τῷ πάθει, διὰ τὸ μὴ καταψυχθῆναι. ὅσα δὲ μὴ τοῦ θέρους, τοῦ μετοπώρου ὅσον ἐκζεῖ. αἱ δὲ περιττώσεις ἐὰν μὴ εὐθὺς ἀνέλωσι, περὶ πνεύμονα καὶ ἀρτηρίαν γινόμεναι — ἄνω γὰρ πρῶται συνίστανται διὰ τὸ ὑπὸ τοῦ ἀέρος ἡμᾶς θερμαίνεσθαι· διὰ γὰρ ταῦτα καὶ ὀφθαλμίαι πυρετῶν πρότερον γίνονται ἐν τῷ νοσερῷ θέρει. ἐὰν οὖν μὴ ἐν τοῖς ἄνω, καθάπερ εἴρηται, τὰ περιττώματα εὐθὺς ἀνέλῃ, καταβαίνουσιν εἰς τὰς κοιλίας ἄπεπτα ὄντα, τοῦτο δέ ἐστι δυσεντερία, διὰ τὸ μὴ ἐκκρίνεσθαι ὑπὸ πλήθους τὸ ὑγρόν. καὶ ἐὰν παύσωνται, τεταρταῖοι γίνονται τοῖς σωζομένοις· ἡ γὰρ τοῦ ἀπέπτου ὑπόστασις μονιμωτάτη ἐστὶ καὶ σύντονος γίνεται τῷ σώματι, καθάπερ ἡ μέλαινα χολή.

20 Διὰ τί, ἐὰν τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον, καὶ τὸ μετόπωρον, ὁ χειμὼν νοσερὸς γίνεται; ἢ ὅτι σφόδρα ὑγρὰ τὰ σώματα ὁ χειμὼν λαμβάνει, καὶ ἡ μεταβολὴ ἔτι μεγάλη γίνεται ἐξ ἀλέας πολλῆς καὶ οὐκ ἐκ προσαγωγῆς, διὰ τὸ καὶ τὸ μετόπωρον γίνεσθαι ἀλεεινόν, ὥστε τοῖς μὲν γίνεσθαι ἀνάγκη τὰ ὀξέα νοσήματα, μὴ ἀραιοῖς οὖσι· τοῖς γὰρ τοιούτοις ἄνω μᾶλλον τὰ ὑγρὰ περιττώματα ἀθροίζεται, διὰ τὸ τούτους μὲν τοὺς τόπους ἔχειν χώραν, τοὺς δὲ κάτω ἑτέρους εἶναι. οἱ οὖν ὄντες πυκνόσαρκοι οὐ πολλὰ περιττώματα δέχονται. ψυχομένης οὖν τῆς περιττώσεως τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ σώματος, ὥσπερ τοῖς οἰνωμένοις ὅταν ῥιγῶσι, τὰ εἰρημένα νοσήματα συμβαίνει γίνεσθαι. τοῖς δὲ ἀραιοτέροις πυρετῶν γινομένων, τοὺς ἀπὸ πλείστης ἀπεψίας γινομένους πυρετοὺς καύσους συμβαίνει γίνεσθαι, διὰ τὸ τοῖς τοιούτοις ἐσκεδάσθαι μὲν μᾶλλον κατὰ πᾶν τὸ σῶμα τὰ ὑγρὰ ἢ τοῖς πυκνοσάρκοις, συνισταμένης δὲ τῆς σαρκὸς αὐτῶν ὑπὸ τοῦ χειμῶνος θερμαινόμενα τὰ ὑγρὰ πυρετοὺς ποιεῖν. ἡ γὰρ παντὸς τοῦ σώματος ὑπερ-

1. τί δὲ ἡ X^aY^a. ‖ 3. καὶ post οἷον om X^a. ‖ 7. τὸ addidit C^a. ‖ 8. τὸ pr C^a. ‖ 9. γίνεσθαι τὴν τροφήν C^a. ‖ 10. αἱ τῶν ὑδάτων μεταβολαὶ $C^aN^aY^a$ et corr X^a. ‖ 11. ποιοῦσι corr X^a. ‖ τοῦ ὑγροῦ om C^a. ‖ 13. nonne ἐπιτηδείῳ? ‖ 14. διὸ] ἐστι C^a. ‖ 25. ἔαρ om N^a. ‖ 36. διὰ — 37. τὰ κάτω om C^a. ‖ 37. πολλῆς περιττώσεως, omisso γέμει, X^a.

5. χρόνιοι C^a. ‖ 8. εἶναι post θερμὰ X^aY^a. ‖ 10. μεθοπώρου et 25. μεθόπωρον C^a. ‖ 13. πυρετοῦ C^aX^a. ‖ πρότερον om C^a. ‖ 15. περοπτώματα X^a, qui ita solet. ‖ 17. διὰ γὰρ τὸ C^a, διὰ δὲ τὸ Y^a. ‖ 18. παύσονται N^a. ‖ 19. σύντομος C^a. ‖ 28. τὸ et 29. πολλὰ om C^a. ‖ 32. νοσήματα in margine X^a. ‖ 34. γενομένους pr Y^a. ‖ 35. τὸ ἐν τοῖς C^a.

βάλλουσα θερμότης ἐστὶ πυρετός· ἐπιτεινομένη δὲ διὰ τὸ πλῆθος τῆς ἐνυπαρχούσης αὐτοῖς ὑγρότητος καῦσος γίνεται.

21 Διὰ τί, ὅταν ἐκ γῆς ἀτμὸς ἀνίῃ πολὺς ὑπὸ τοῦ ἡλίου, τὸ ἔτος λοιμῶδες γίνεται; ἢ ὅτι ὑγρὸν ἀνάγκη καὶ ἔπομβρον τὸ ἔτος σημαίνειν, καὶ τὴν γῆν ὑγρὰν ἀνάγκη εἶναι; οἷον οὖν ἐν ἑλώδει τόπῳ ἡ οἴκησις γίνεται. νοσώδης δὲ ἡ τοιαύτη ἐστίν. καὶ τὰ σώματα δὴ τότε ἀνάγκη περίττωμα πολὺ ἔχειν, ὥστε ἐν τῷ θέρει ἔχειν ὕλην νοσώδη.

22 Διὰ τί γίνεται τὰ ἔτη νοσώδη, ὅταν γένηται φορὰ τῶν μικρῶν βατράχων τῶν φρυνοειδῶν; ἢ ὅτι ἕκαστον εὐσθενεῖ ἐν τῇ οἰκείᾳ χώρᾳ τῆς φύσεως; καὶ ταῦτα δὴ φύσει ἐστὶν ὑγρά, ὥστε ἔπομβρον καὶ ὑγρὸν σημαίνει τὸν ἐνιαυτὸν γίνεσθαι. τὰ δὲ τοιαῦτα ἔτη νοσώδη ἐστίν· ὑγρὰ γὰρ τὰ σώματα ὄντα πολὺ ἔχει τὸ περίττωμα, ὅ ἐστι τῶν νόσων αἴτιον.

23 Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις πυρετώδεις εἰσίν; ἢ ὅτι ὑγρότητα καὶ θέρμην ἀλλοτρίαν ποιοῦσιν; εἰσὶ γὰρ ὑγροὶ καὶ θερμοὶ φύσει. τοῦτο δ' ἐστὶ πυρετῶδες· ὁ γὰρ πυρετὸς ἐξ ἀμφοτέρας τῆς τούτων ἐστὶν ὑπερβολῆς. ὅταν μὲν οὖν ἄνευ ὕδατος πνέωσι, ταύτην ἐν ἡμῖν ποιοῦσι τὴν διάθεσιν, ὅταν δὲ ἅμα ὕδατι, τὸ ὕδωρ καταψύχει ἡμᾶς. οἱ δὲ ἐκ θαλάττης νότοι καὶ συμφέρουσι τοῖς φυτοῖς· ἐψυγμένοι γὰρ ἀπὸ τῆς θαλάττης ἀφικνοῦνται πρὸς αὐτά. αἱ δ' ἐρυσίβαι γίνονται ὑπὸ ὑγρότητος καὶ θέρμης ἀλλοτρίας.

24 Διὰ τί ἐν τοῖς νότοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; ἢ ὅτι ἐξ ὀλίγου πολὺ ὑγρὸν γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ; ἔτι δὲ ἡ δύναμις ἡμῶν ἐν τοῖς ἄρθροις ἐστί, ταῦτα δὲ ἀνίεται ὑπὸ τῶν νοτίων. δηλοῦσι δὲ οἱ ψόφοι τῶν κεκολλημένων. τὸ γὰρ γλίσχρον ἐν τοῖς ἄρθροις πεπηγὸς μὲν κινεῖσθαι κωλύει ἡμᾶς, ὑγρὸν δὲ λίαν ὂν συντείνεσθαι.

25 Διὰ τί ἀρρωστοῦσι μὲν μᾶλλον τοῦ θέρους, ἀποθνήσκουσι δὲ μᾶλλον οἱ ἀρρωστοῦντες τοῦ χειμῶνος; ἢ ὅτι τοῦ χειμῶνος διὰ τὴν πυκνότητα ἐντὸς τῶν σωμάτων συνεσταλμένου τοῦ θερμοῦ, καὶ πονοῦντες μᾶλλον, εἰ μὴ πέττοιμεν, τῶν ἐν ἡμῖν συνισταμένων περιττωμάτων, ἰσχυρὰν ἀνάγκη τὴν ἀρχὴν εἶναι τῆς νόσου; τοιαύτην δὲ οὖσαν φθαρτικὴν εἰκός ἐστιν αὐτὴν εἶναι. ἐν δὲ τῷ θέρει, μανοῦ καὶ κατεψυγμένου παντὸς τοῦ σώματος καὶ ἐκλελυμένου πρὸς τοὺς πόνους ὄντος, ἀρχὰς νόσων ἀνάγκη πλείους μὲν γίνεσθαι διά τε κόπους καὶ ἀπεψίαν τῶν εἰσφερομένων (καὶ γὰρ οἱ νέοι καρποὶ τότε εἰσίν), ἀλλ' οὐχ οὕτως ἰσχυράς, διὸ εὐβοήθητοι.

26 Διὰ τί μετὰ τὰς τροπὰς ἀμφοτέρας μέχρι ἑκατὸν ἡμερῶν ἀποθνήσκουσι μάλιστα; ἢ ὅτι ἄχρι τοσούτου ἑκατέρα ἡ ὑπερβολὴ διέχει, ἥ τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ; ἡ δὲ ὑπερβολὴ τοῖς ἀσθενέσι ποιεῖ τὰς νόσους καὶ τὰς φθοράς.

27 Διὰ τί τὸ ἔαρ καὶ τὸ φθινόπωρον νοσώδη; ἢ ὅτι αἱ μεταβολαὶ νοσώδεις; τὸ δὲ μετόπωρον τοῦ ἔαρος νοσωδέστερον, ὅτι μᾶλλον τοῦ θερμοῦ ψυχομένου ἢ τοῦ ψυχροῦ θερμαινομένου νοσοῦμεν. ἐν μὲν οὖν τῷ ἔαρι τὸ ψυχρὸν θερμαίνεται, ἐν δὲ τῷ μετοπώρῳ τὸ θερμὸν ψύχεται.

28 Διὰ τί ἐν τῷ χειμῶνι ἐλάττω μὲν τὰ ἀρρωστήματα ἢ ἐν τῷ θέρει, θανάσιμα δὲ μᾶλλον; ἢ ὅτι ἐν μὲν τῷ θέρει ἀπὸ μικρᾶς προφάσεως τὰ ἀρρωστήματα, ἐν δὲ τῷ χειμῶνι οὔ; πεπτικώτεροι γὰρ καὶ ὑγιεινότεροι ἡμῶν αὐτῶν, ὥστε εἰκότως τὰ ἀπὸ μείζονος προφάσεως γινόμενα μείζω καὶ ἀναιρετικώτερα. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀθλητῶν καὶ ὅλως ἐπὶ τῶν ὑγιεινῶς διακειμένων ὁρῶμεν· ἢ γὰρ οὐ λαμβάνονται νόσῳ, ἢ ταχὺ συναπίασι· μεγάλης γὰρ αἰτίας δέονται.

29 Διὰ τί τοῦ μὲν φθινοπώρου καὶ τοῦ χειμῶνος οἱ καῦσοι μᾶλλον γίνονται ἐν ταῖς ψυχραῖς ὥραις, τοῦ δὲ θέρους τὰ ῥίγη ἐνοχλεῖ καυμάτων ὄντων; ἢ ὅτι τῶν κατὰ τὸν ἄνθρωπον ἡ χολὴ μέν ἐστι θερμόν, τὸ δὲ φλέγμα ψυχρόν; ἐν μὲν οὖν τῷ θέρει τὸ ψυχρὸν ἀναλύεται, καὶ διαχυθὲν ῥίγη καὶ τρόμους παρασκευάζει· ἐν δὲ τῷ χειμῶνι τὸ θερμὸν ὑπὸ τῆς ὥρας κρατεῖται κατεψυγμένον. οἱ δὲ καῦσοι μᾶλλον ἐνοχλοῦσι τοῦ χειμῶνος καὶ τοῦ φθινοπώρου, ὅτι διὰ τὸ ψῦχος τὸ θερμὸν εἴσω συστέλλεται, ὁ δὲ καῦσος ἔσωθέν ἐστι καὶ οὐκ ἐπιπολῆς· εἰκότως οὖν οἱ καῦσοι ταύτην τὴν ὥραν γίνονται. καταμάθοι δ' ἄν τις τοῦτο ἀκριβέστερον ἐπὶ τῶν ψυχρολουτρούντων τοῦ χειμῶνος καὶ τῶν τοῦ χειμῶνος λουομένων τῷ θερμῷ, ὅτι οἱ μὲν τῷ ψυχρῷ λουόμενοι, ἀπορριγώσαντες ὀλίγον χρόνον ἕως λούονται, τὴν λοιπὴν ἡμέραν

4. ἀτμὸς post ἀνίῃ *X*ᵃ, om *C*ᵃ. ‖ ἀνίει *C*ᵃ. ‖ 5. λιμῶδες *C*ᵃ. ‖ 7. οὖν om *C*ᵃ. ‖ 9. νοσώδει *C*ᵃ. ‖ 12. φύσει] φύσις *X*ᵃ. ‖ 13. σημαίνειν *X*ᵃ*Y*ᵃ. ‖ 20. ἀμφοτέρων *Y*ᵃ. ‖ 24. ἐψυγμένος *Y*ᵃ. ‖ θαλάσσης *X*ᵃ. ‖ ἀφικνεῖται *C*ᵃ*Y*ᵃ. ‖ 30. δὲ om *C*ᵃ. ‖ 33. κωλύει κινεῖσθαι *X*ᵃ. ‖ 34. μὲν om *C*ᵃ. ‖ 35. ἢ om *C*ᵃ*X*ᵃ*Y*ᵃ. ‖ ὅτι margo dedit *X*ᵃ.

3. τόπους *u*, πόνους ἢ κόπους margo *u*. ‖ 8. ὅτι om *X*ᵃ*Y*ᵃ. ‖ ἡ om *C*ᵃ. ‖ 11. φθεινόπωρον *C*ᵃ. ‖ ἢ om *C*ᵃ*X*ᵃ*Y*ᵃ. ‖ 16. ἐν μὲν τῷ *X*ᵃ. ‖ 18. τὰ om *X*ᵃ. ‖ 19. καὶ om *C*ᵃ*Y*ᵃ. ‖ 25. καῦσοι *C*ᵃ. ‖ 26. θέρους δὲ *C*ᵃ. ‖ 27. τῶν om *C*ᵃ. ‖ 33. ἔσωθεν μέν ἐστι *C*ᵃ. ‖ 35. τοῦτο δ' ἄν τις *X*ᵃ. ‖ 36. ψυχολουτρούντων *C*ᵃ. ‖ 38. λούονται *C*ᵃ*X*ᵃ.

οὐδὲν πάσχουσιν ὑπὸ τοῦ ψυχρȣ̃, οἱ δὲ τῷ θερμῷ ὕδατι χρησάμενοι δυσριγοτέρως διάγουσι. τῶν μὲν γὰρ τῷ ψυχρῷ λουομένων πυκνȣ̃ται ἡ σὰρξ καὶ συςέλλεται εἴσω τὸ θερμόν, τῶν δὲ θερμολουτρȣ́ντων ἡ σὰρξ ἀραιȣ̃ται καὶ τὸ θερμὸν ἕως τȣ̃ ἔξω τόπȣ περισπᾶται.

30 Τίς καταπλάσματος ἀρετή; ἢ διὰ τὸ χυτικὸν εἶναι κἂν ἱδρῶτα ποιοῖ καὶ ἀποπνοήν;

31 Τῷ δῆλον ὅταν ἔμπυον; ἢ ἐὰν καταχεομένου τȣ̃ θερμȣ̃ ἀλλαγῇ, ἔμπυον, εἰ δὲ μή, ȣ̓̈;

32 Ποῖα δεῖ καίειν ἢ ποῖα δεῖ τέμνειν; ἢ ὅσα μὲν ἔχει στόμα μέγα καὶ οὐ ταχὺ συμφύεται, ταῦτα καίειν δεῖ, ὅπως ἡ ἐσχάρα ἐκεῖ πέσῃ; ȣ̔́τω γὰρ ȣ̓κ ἔςαι ὕπȣλα.

33 Τίς ἐναίμου ἀρετή; ἢ τὸ ξηραντικὸν εἶναι καὶ τῆς ἐπιȣ́σης περιττώσεως ςαλτικὸν ἄνευ ἐσχαρώσεως καὶ σήψεως τῆς σαρκός; ȣ̔́τω γὰρ ἂν ἀφλέγμαντον εἴη καὶ συμφυτικόν. μὴ ἐπιρρέοντος μὲν γὰρ ἀφλέγμαντον ἔςαι, ξηρὸν δὲ ὂν συμφύσεται· ἕως δ' ἂν ὑγρορροῇ, ȣ̓ συμφύσεται. διὰ τȣ̃το ȣ̓̃ν δριμέα τὰ πλεῖστα, ὥςε ἀποςύφειν.

34 Ποῖα τέμνειν δεῖ καὶ ποῖα καίειν, καὶ ποῖα ȣ̓̈, ἀλλὰ φαρμάκοις; ἢ τὰ μὲν ἐπὶ ταῖς μασχάλαις καὶ βουβῶσι φαρμάκῳ; μετὰ γὰρ διαίρεσιν τὰ μὲν ἐπίπονα, τὰ δὲ ἐπικίνδυνα. καίειν δὲ τὰ πλατέα τῶν φυμάτων καὶ πολὺ πρόβλημα ἔχοντα, καὶ ἐν φλεβώδεσι καὶ μὴ εὐσάρκοις. τέμνειν δὲ τὰ εἰς ὀξὺ συνηγμένα καὶ τὰ μὴ ἐν ςερεοῖς.

35 Διὰ τί, ἐὰν χαλκῷ τις τμηθῇ, ῥᾷον ὑγιάζεται ἢ σιδήρῳ; πότερον ὅτι λειότερον, ὥσθ' ἧττον σπαράττει καὶ ποιεῖ πληγήν; ἢ εἴπερ ἀκμὴν μᾶλλον ὁ σίδηρος λαμβάνει, ῥᾴων καὶ ἀπαθεςέρα ἡ διαίρεσις; ἀλλὰ μὴν φαρμακῶδες ὁ χαλκός, ἡ δὲ ἀρχὴ ἰσχυρά. τὸ ȣ̓̃ν εὐθὺς ἅμα τῇ τομῇ θᾶττον τὸ φάρμακον ποιεῖ τὴν σύμφυσιν.

36 Διὰ τί δὲ καὶ τὰ διὰ χαλκȣ̃ καύματα θᾶττον ὑγιάζεται; ἢ ὅτι μανότερον καὶ ἧττον σωματικόν, ἐν δὲ τοῖς ςερεωτέροις πλείων ἡ θερμότης.

37 Πότερον ἡ πτισάνη κουφοτέρα ἡ κριθίνη καὶ βελτίων πρὸς τὰ ἀρρωστήματα ἢ ἡ πυρίνη; δοκεῖ γάρ τισιν αὕτη σημεῖον ποιουμένοις τȣ̀ς μεταχειριζομένους, ὅτι πολὺ εὐχρȣ́ςεροι οἱ περὶ τὴν τῶν ἀλεύρων ἐργασίαν ἢ τὴν τῶν ἀλφίτων. εἶθ' ὅτι ὑγροτέρα ἡ κριθή, τὸ δὲ ὑγρότερον πλέονος πέψεως. ἢ ȣ̓θὲν κωλύει ἔνια ἔχειν δυσπεπτότερα καὶ ἔνια πρὸς κουφότητα χρησιμώτερα; ȣ̓ γὰρ μόνον ὑγροτέρα ἐςὶν ἡ κριθὴ τȣ̃ πυρȣ̃, ἀλλὰ καὶ ψυχροτέρα. δεῖ δὲ τὸ ῥόφημα καὶ τὸ προσφερόμενον τοιȣ̃τον εἶναι τῷ πυρέττοντι, ὃ τροφήν τε βραχεῖαν ποιήσει καὶ καταψύξει. ἡ δὲ πτισάνη τȣ̃το ἔχει ἡ κριθίνη· διὰ γὰρ τὸ ὑγρότερον ἢ σωματωδέςερον εἶναι ὀλίγον δίδωσι, καὶ τȣ̃το ψυκτικόν.

38 Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; ἢ ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει; φανερὰ δὲ αὕτη μασωμένοις τε, καὶ ἐὰν συνθλασθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. τὸ δὴ γλίσχρον εἰσδυόμενον ἐξάγει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενής, ἡ ὀξύτης σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυμός. ὁ δὲ ἃλς συντήκων ἐξάγει καὶ τὴν ὀξύτητα. διὰ τί ȣ̓̃ν ἡ κονία καὶ τὸ νίτρον οὔ; ἢ ὅτι στύφει καὶ οὐ τήκει;

39 Διὰ τί τοὺς μὲν θερινοὺς κόπους λουτρῷ ἰᾶσθαι δεῖ, τȣ̀ς δὲ χειμερινȣ̀ς ἀλείμματι; ἢ τοὺς μὲν ἀλείμματι διὰ τὰς φρίκας καὶ τὰς γινομένας μεταβολάς; θέρμῃ γὰρ λύειν δεῖ, ἢ ποιήσει ἀλεαζειν· τὸ δ' ἔλαιον θερμόν. ἐν δὲ τῷ θέρει καθυγραίνειν· ἡ γὰρ ὥρα ξηρά, καὶ οὐ φοβεραὶ αἱ φρῖκαι διὰ τὴν εἰς ἀλέαν ἔκκλισιν. ὀλιγοσιτία δὲ καὶ κωθωνισμὸς θέρους, τὸ μὲν ὅλως, τὸ δὲ μᾶλλον, ὁ μὲν πότος θέρους ὅλως διὰ τὴν ξηρότητα, ἡ δὲ ὀλιγοσιτία κοινὸν μέν, μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

40 Διὰ τί τῶν φαρμάκων τὰ μὲν τὴν κοιλίαν λύει, τὴν δὲ κύςιν ȣ̓̈, τὰ δὲ τὴν μὲν κύςιν λύει, τὴν κοιλίαν δὲ ȣ̓̈; ἢ ὅσα μέν ἐςιν ὑγρὰ τὴν φύσιν καὶ ὕδατος μεςά, ταῦτα ἂν ᾖ φαρμακώδη, λύει τὴν κύςιν; ἐκεῖ γὰρ ὑφίςαται τὰ ἄπεπτα τῶν ὑγρῶν· ὑποδοχὴ γάρ ἐστιν ἡ κύστις τοῦ μὴ πεττομένου ὑγρȣ̃ ἐν τῇ κοιλίᾳ, ὃ ȣ̓ μένει, ἀλλὰ πρὶν ποιῆσαί τι ἢ παθεῖν ὑποχωρεῖ. ὅσα δὲ ἐκ γῆς τὴν φύσιν ἐςίν,

2. διάγωσι C^a. ‖ 4. ἀρεῦται C^a. ‖ 5. θερμὸν om C^a. ‖ post περισπᾶται $QC^aK^aO^aX^aY^a rswx$ ΟΣΑ ΒΟΗΘΗΜΑΤΑ (βοηθηματικὰ $C^aY^a rsw$, βοηθηματικὰ προβλήματα QO^a) ΠΡΟΣ ΙΑΣΙΝ. ‖ 7. καὶ ἱδρῶτα ποιεῖ margo u, καὶ ἂν ἱδρωτοποιῇ C^a, καὶ ἀνιδρωτὶ ποιῇ Y^a et, qui ποιεῖ, X^a. ‖ 8. τὸ C^a. ‖ 9. ἔμπυον om C^a. ‖ 15. ἀφλέγματον ἂν X^a. ‖ 16. ἀφλέγματον C^aX^a. ‖ 17. ἕως — συμφύσεται om pr X^a. ‖ συμφύεται C^a. ‖ 19. ἀλλὰ θεραπεύειν φαρμάκοις margo X^a. ‖ 22. πολλὰ margo u. ‖ 23. προβλήματα $X^a u$. ‖ 29. ἰσχυρὸν Y^a. ‖ τὸ μὲν ȣ̓̃ν X^a. praestiterit τῷ ȣ̓̃ν. ‖ 30. φύσιν X^a. ‖ 31. διὰ χαλκȣ̃ margo u, χαλκῷ X^a, κάτω C^aY^a. ‖ 34. πτισσάνη C^a. ‖ βελτίω Y^a.

1. πολλοὶ C^a. ‖ 2. τὴν post ἢ om C^a. ‖ 3. ὑγρότερον X^aY^a. ‖ πλέονας margo X^a, πλέον ȣ̓ Y^a, πλέον ὁ C^a. ‖ 4. κωλύειν C^a. ‖ 5. μόνον γὰρ C^a. ‖ 8. πισσάνη C^a. ‖ 12. μασσωμένοις Y^a. ‖ 13. συνθλασθῇ margo u: ceteri συντεθῇ. ‖ 15. ὀξύτης τὴν αἱμασίαν σημαίνει margo C^a. ‖ τινα post ὀξύτητα C^a, om X^a. ‖ 17. λίτρον Y^a. ‖ ψύχει C^a. ‖ 20. ἀλείμμασιν X^aY^a. ‖ ἀλείμμασι X^a. ‖ 21. γενομένας C^aY^a. ‖ 22. λούειν C^aY^a. ‖ ἐλαιάζειν pr C^a. ‖ 24. αἱ om pr X^a. ‖ εἰς] πρὸς margo u, om C^a et pr Y^a. ‖ ἔγκλισιν margo u, ἔκλησιν C^a. ‖ καὶ om X^a. ‖ 32. εἴη C^a. ‖ 33. ἄσηπτα X^aY^a. ‖ 34. ὅπερ ὁ margo u, ȣ̓ C^a, ὁ Y^a.

ἂν ᾖ φαρμακώδη, ταῦτα δὲ τὴν κοιλίαν λύει· εἰς ταύτην γὰρ ἡ φορὰ τῶν γεωδῶν. ὥϛε ἂν ᾖ κινητικόν, ταράττει.

41 Διὰ τί δὲ τὰ μὲν τὴν ἄνω κοιλίαν τὰ δὲ τὴν κάτω κινεῖ, οἷον ἐλλέβορος μὲν τὴν ἄνω, σκαμμωνία δὲ τὴν κάτω, τὰ δὲ ἄμφω, οἷον ἐλατήριον καὶ τῆς θαψίας ὁ ὀπός; ἢ ὅτι τὰ μέν ἐϛι θερμὰ τὰ δὲ ψυχρὰ τῶν φαρμάκων τῶν τὴν κοιλίαν κινούντων, ὥϛε τὰ μὲν διὰ τὴν θερμότητα εὐθὺς ἐν τῇ ἄνω κοιλίᾳ ὄντα φέρεται ἐξ αὐτῆς πρὸς τὸν ἄνω τόπον, κἀκεῖθεν συντήξαντα μάλιϛα μὲν τὰ ἀλλοτριώτατα καὶ ἥκιϛα συμπεφυκότα, ἂν δὲ ἰσχυρὸν ᾖ τὸ φάρμακον ἢ πλέον δοθῇ τῆς φύσεως, ἀνάγει εἰς τὴν ἄνω κοιλίαν ταῦτά τε καὶ ἐάν τι περίττωμα ᾖ, καὶ διὰ τὴν θερμότητα ταράττον τὸ πνεῦμα πολὺ γινόμενον ὑπ' αὐτοῦ, προσιϛὰν τοὺς ἐμέτους ποιεῖ. τὰ δὲ ψυχρὰ τὴν φύσιν αὐτῶν διὰ βάρος καὶ πρὶν παθεῖν τι ἢ ποιῆσαι κάτω φέρεται, κἀκεῖθεν ὁρμῶντα τὸ αὐτὸ δρᾷ τοῖς ἄνω· κατὰ γὰρ τοὺς πόρους ἀνιόντα ἐκεῖθεν, καὶ κινήσαντα ὧν ἂν κρατήσῃ περιττωμάτων καὶ συντηγμάτων, λαβόντα τὴν αὐτὴν ἄγει ὁδόν. ὅσα δὲ ἀμφοῖν μετέχει καὶ ἐϛὶ μικτὰ τῶν φαρμακωδῶν ἐκ θερμοῦ καὶ ψυχροῦ, ταῦτα δὲ δι' ἑκατέραν τὴν δύναμιν ἀπεργάζεται ἄμφω, ὥσπερ καὶ νῦν παρασκευάζουσιν οἱ ἰατροὶ μιγνύντες ἀλλήλοις.

42 Διὰ τί τὰ φάρμακα καθαίρει, ἄλλα δὲ πικρότερα ὄντα καὶ ϛρυφνότερα καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ὑπερβάλλοντα οὐ καθαίρει; ἢ διότι οὐ διὰ τὰς τοιαύτας δυνάμεις καθαίρει, ἀλλ' ὅτι ἄπεπτά ἐϛιν; ὅσα γὰρ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος, μικρὰ ὄντα τοὺς ὄγκους, ἄπεπτά ἐϛι καὶ οἷα κρατεῖν ἀλλὰ μὴ κρατεῖσθαι ὑπὸ τῆς τῶν ζῴων θερμότητος, εὐδιάχυτα ὄντα ὑπὸ τῶν δύο κοιλιῶν, ταῦτα φάρμακά ἐϛιν. ὅταν γὰρ εἰς τὴν κοιλίαν εἰσέλθωσι καὶ διαχυθῶσι, φέρονται καθ' οὕσπερ ἡ τροφὴ πόρους εἰς τὰς φλέβας, οὐ πεφθέντα δὲ ἀλλὰ κρατήσαντα ἐκπίπτει φέροντα τὰ ἐμπόδια αὐτοῖς· καὶ καλεῖται τοῦτο κάθαρσις. χαλκὸς δὲ καὶ ἄργυρος καὶ τὰ τοιαῦτα ἄπεπτα μέν ἐϛιν ὑπὸ τῆς τῶν ζῴων θερμότητος, ἀλλ' οὐκ εὐδιάχυτα ταῖς κοιλίαις. ἔλαιον δὲ καὶ μέλι καὶ γάλα καὶ τὰ τοιαῦτα τῆς τροφῆς καθαίρει, ἀλλ' οὐ τῷ ποιῷ ἀλλὰ τῷ ποσῷ· ὅταν γὰρ διὰ πλῆθος ἄπεπτα γένηται, τότε καθαίρει, ἄνπερ καθαίρῃ. διὰ δύο γὰρ αἰτίας ἄπεπτά ἐϛιν, διὰ τὸ ποιὰ αὐτὰ εἶναι ἢ διὰ τὸ ποσά. διόπερ οὐ φάρμακόν ἐϛιν οὐδὲν τῶν εἰρημένων· οὐδὲ γὰρ διὰ δύναμιν καθαίρει. ϛρυφνότης δὲ καὶ πικρότης συμβέβηκε τοῖς φαρμάκοις καὶ δυσωδία τῷ ἐναντίον εἶναι τῇ τροφῇ τὸ φάρμακον. τὸ μὲν γὰρ πεφθὲν ὑπὸ τῆς φύσεως, τοῦτο προσφύεται τοῖς σώμασι καὶ καλεῖται τροφή· τὸ δὲ μὴ πεφυκὸς κρατεῖσθαι, εἰσιὸν δὲ εἰς τὰς φλέβας καὶ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος ταράττον, αὕτη δὲ φαρμάκου φύσις ἐϛίν.

43 Διὰ τί τὸ μὲν πέπερι πολὺ μὲν ὂν τὴν κύϛιν λύει, ὀλίγον δὲ τὴν κοιλίαν, ἡ δὲ σκαμμωνία πολλὴ οὖσα τὴν κοιλίαν λύει, ὀλίγη δὲ καὶ παλαιὰ τὴν κύστιν; ἢ διότι ἑκάτερον ἑκατέρας ἐϛὶ κινητικώτερα; τὸ μὲν γὰρ πέπερι οὐρητικόν ἐϛιν, ἡ δὲ σκαμμωνία καθαρτικόν. τὸ μὲν οὖν πέπερι πολὺ μὲν ὂν φέρεται εἰς τὴν κύϛιν καὶ οὐ διαχεῖται εἰς τὴν κοιλίαν, ὀλίγον δὲ ὂν κρατηθὲν διαλύει καὶ γίνεται φάρμακον αὐτῆς. ἡ δὲ σκαμμωνία πολλὴ μὲν οὖσα εἰς τοῦτο κρατεῖται ὥϛε διαχυθῆναι, διαχυθεῖσα δὲ γίνεται φάρμακον διὰ τὴν εἰρημένην ἐν τοῖς ἀνωτέρω αἰτίαν· ὀλίγη δὲ οὖσα μετὰ τοῦ ποτοῦ ἀναπίνεται εἰς τοὺς πόρους, καὶ ταχὺ πρὶν ταράξαι καταφέρεται εἰς τὴν κύϛιν, καὶ ἐκεῖ τῇ αὑτῆς δυνάμει ἀπάγει τὰ περιττώματα καὶ τὰ συντήγματα ὅσα ἐξ ἐπιπολῆς ἐϛίν. ἡ δὲ πολλή, ὥσπερ εἴρηται, διὰ τὴν ἰσχὺν πολὺν χρόνον ἐμμείνασα κατάγει πολλὴν κάθαρσιν καὶ γεώδη.

44 Διὰ τί τὰς αὐτὰς φλεγμασίας οἱ μὲν ψύχοντες ὑγιάζουσιν, οἱ δὲ θερμαίνοντες πέττουσιν; ἀλλ' οἱ μὲν ἀλλοτρίᾳ θερμότητι, οἱ δὲ καταψύχοντες τὴν οἰκείαν συνάγουσιν.

45 Διὰ τί μεταβάλλειν δεῖ τὰ καταπλάσματα; ἢ ὅτι ὡς μᾶλλον αἰσθάνηται; τὰ γὰρ συνήθη ὥσπερ ἐπὶ τῶν ἐδεσμάτων οὐκέτι φάρμακα ἀλλὰ τροφὴ γίνεται, οὕτω καὶ ἐπὶ τῶν τοιούτων.

46 Διὰ τί ὑγιεινὸν τὸ τῆς τροφῆς μὲν ὑποστέλλεσθαι,

1. ἐὰν C^a. ‖ εἰς — 2. ταράττει om C^a. ‖ 5. ὀψές C^a. ‖ 6. θερμὰ τὰ δὲ addidit margo *u*. ‖ 7. post κινούντων margo X^a τὰ δὲ θερμά. ‖ θερμ. καὶ εὐθὺς margo X^a. ‖ 11. ἀνάγει margo X^a: ceteri κατάγει. ‖ 12. codices ἐὰν τὸ περίττωμα, ἢ καί, nisi quod ἢ om C^a. ‖ 14. ἐμμέτους C^a. ‖ 15. ποιήσει Y^a. ‖ 21. καὶ νῦν om C^a. ‖ κατασκευάζουσιν C^a, σκευάζουσιν Y^a. ‖ 24. ϛυφνότερα C^a. ‖ 25. ἢ — 26. καθαίρει om C^a. ‖ 25. δυνάμεις om X^a. ‖ 26. ὅσα — 28. ἐϛι in margine ponit X^a. ‖ 28. εἰσι C^a. ‖ 31. διαχθῶσι C^a. ‖ 32. φλέβας φέρεται οὐ X^a. ‖ πεμφθέντα C^a. ‖ 33. τὰ om X^a. ‖ 35. μέν et 36. δὲ om C^a.

1. τῷ] οὐ τῷ C^a. ‖ 2. τότε] τότε καὶ X^aY^a. ‖ καθαίρῃ Y^a. ‖ 3. ἄνπερ καὶ καθαίρῃ margo X^a. ‖ 4. αὐτὰ om C^a. ‖ ἢ] καὶ margo *u*. ‖ 5. οὐ C^aY^a. ‖ 7. τῷ ἐναντίον om C^a. ‖ τῇ om C^aY^a. ‖ τροφὴ C^a. ‖ πεμφθὲν C^a. ‖ 9. εἰσιόντα C^a et pr Y^a. ‖ 10. ψυχρότητος ἢ θερμότητος C^a. ‖ 16. ἐϛι μᾶλλον ἢ margo *u*. ‖ καθαρτικόν Sylburgius: codices κατωρετικόν. ‖ 18. ἐν τῇ κοιλίᾳ X^aY^a. ‖ 20. διαχυθὲν Y^a. ‖ 22. τοὺς om Y^a et pr X^a. ‖ 24. τὰ post καὶ om C^a. ‖ συγκτήγματα C^a. ‖ 25. ἐξ om X^aY^a. ‖ 35. τῶν τοιούτων] τούτων C^a. ‖ 36. μὲν ante τὸ C^a.

πονεῖν δὲ πλείω; ἢ ὅτι τῦ νοσεῖν αἴτιον περιττώματος πλῆθος, τοῦτο δὲ γίνεται, ἡνίκα τροφῆς ὑπερβολὴ ἢ πόνων ἔνδεια.

47 Διὰ τί τὰ φάρμακα καὶ τὰ πικρὰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ δυσώδη καθαίρει; ἢ ὅτι ἅπαντα τὰ δυσώδη καὶ πικρὰ ἄπεπτά ἐςι; διὸ καὶ τὰ φάρμακα πικρὰ καὶ δυσώδη· τῷ γὰρ ἄπεπτα εἶναι καὶ κινητικὰ μετὰ πικρότητος φάρμακά ἐςιν. καὶ ἐὰν δοθῇ πλείω, διαφθείρει. ὅσα δέ, κἂν μικρὰ δοθῇ, διαφθαρτικά, ταῦτα οὐ φάρμακα λέγεται εἶναι ἀλλὰ θανατηφόρα. οὐδ' ὅσα μὴ τῷ ποιῷ καθαίρει, οὐκ ἔςι φάρμακα. καὶ γὰρ τῆς τροφῆς πολλὰ μὲν ταὐτὸ ποιεῖ, ἐὰν ποσὰ δοθῇ, οἷον γάλα, ἔλαιον, γλεῦκος· ἅπαντα δὲ ταῦτα διὰ τὸ μὴ εἶναι εὔπεπτα καθαίρει, καὶ τούτοις οἷς μὴ εὔπεπτα καθαίρει, καὶ τούτους. ἔστι γὰρ ἄλλα ἄλλοις εὔπεπτα καὶ δύσπεπτα. διὸ οὐ πᾶσι ταὐτὰ φαρμακώδη, ἀλλ' ἐνίοις ἴδια. ὅλως γὰρ τὸ φάρμακον δεῖ ὐ μόνον μὴ πέττεσθαι ἀλλὰ καὶ κινητικὸν εἶναι, ὥσπερ καὶ τὸ γυμνάσιον ἔξωθεν ἧκον ἢ ἔσωθεν τῇ κινήσει ἐκκρίνει τὰ ἀλλότρια.

48 Διὰ τί τὰ μὲν εὐώδη οὐρητικὰ καὶ σπέρματα καὶ φυτά; ἢ ὅτι θερμὰ καὶ εὔπεπτα, τὰ δὲ τοιαῦτα οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνῦσα θερμότης, καὶ ἡ ὀσμὴ ὐ σωματώδης, ἐπεὶ καὶ τὰ ὀσμώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι συντηκτικά· θερμὰ δὲ τὰ εὐώδη σπέρματα.

49 Διὰ τί δεῖ πρὸς μὲν τὰ μὴ καθαρὰ καὶ φαῦλα τῶν ἑλκῶν ξηροῖς καὶ δριμέσι καὶ στρυφνοῖς χρῆσθαι φαρμάκοις, πρὸς δὲ τὰ καθαρὰ καὶ ὑγιαζόμενα ὑγροῖς καὶ μόνοις; ἢ διότι ἀπὸ μὲν τῶν μὴ καθαρῶν δεῖ ἀφαιρεῖν τι; τῦτο δ' ἐςὶν ὑγρότης ἀλλοτρία, ἣν ἀφαιρεῖν δεῖ. τὰ δηκτικὰ δὲ καὶ δριμέα καὶ ςρυφνὰ τοιαῦτα, καὶ τὸ ξηρὸν μᾶλλον τῦ ὑγρῦ. τὰ δὲ καθαρὰ συνεπυλώσεως δεῖται μόνον.

50 Διὰ τί συμφέρει πρὸς τὰ ἀπὸ φλέγματος νοσήματα λαγνεία; ἢ ὅτι τὸ σπέρμα περιττώσεως ἀπόκρισις καὶ φύσει ὅμοιον φλέγματι, ὥςε ἀφαιρῦσα πολὺ φλεγματῶδες ὠφελεῖ ἡ συνουσία. πότερον δὲ τροφὴν προσφέρειν ἀρχομένῳ βέλτιον ἢ ὕςερον; ἢ ἀρχομένῳ, ὅπως μὴ προεξησθενηκότι ἡ φλεγμασία ἐπιπίπτῃ; ἢ οὖν ἀπισχναντέον εὐθύς, ἢ οὕτω προσοιςέον· ἀναλαμβάνειν χρὴ πρῶτον τοῖς ῥοφήμασι· πραότερα γὰρ καὶ λειότερα καὶ εὐτηκτότερα, καὶ ἐκδέξασθαι τὴν τροφὴν ἐκ τούτου ῥᾴδιόν ἐςιν ἀσθενεῖ σώματι. οὐ γὰρ ἐν τῇ κοιλίᾳ δεῖ παθεῖν τὰ σῖτα πρῶτον, διαχυθῆναί τε καὶ θερμανθῆναι μετὰ πόνου τῷ σώματι ταῦτα πέπονθεν.

51 Διὰ τί δεῖ σκοπεῖν τὰ περὶ τὸ οὖρον σημεῖα, ἀπολαμβάνοντα τὴν ὔρησιν, εἰ ἤδη πέπεπται, ἢ μὴ μᾶλλον καὶ συνεχῶς οὐρῦντα; ἢ διότι σημεῖον μὲν τῦ πεπέφθαι, ἐὰν ᾖ πυρρόν; τῦτο δὲ γίνεται μᾶλλον διαλαμβάνουσιν. ἢ διότι ἔνοπτρον γίνεται ἅπαν μᾶλλον ὑγρὸν χρόας ὀλίγον ἢ πολὺ ὄν; ἐν μὲν γὰρ τῷ πολλῷ ὑγρῷ τὰ σχήματα ἐνορᾶται, ἐν δὲ τῷ ὀλίγῳ τὰ χρώματα, οἷον καὶ ἐπὶ τῆς δρόσου καὶ τῶν ῥανίδων καὶ ἐπὶ τῶν δακρύων τῶν ἐπὶ ταῖς βλεφαρίσι. συνεχῶς μὲν οὖν ἀφιέμενον γίνεται πλεῖον, διασπώμενον δὲ δέχεται μᾶλλον· ὥςε κἂν ᾖ αὐτὸ τοιῦτον ἤδη διὰ τὴν πέψιν, καὶ φαίνεται μᾶλλον τῆς ἀνακλάσεως γινομένης καὶ ἐνόπτρου ἔνοπτον διὰ τὴν διαίρεσιν.

52 ὅτι οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγείαν, ἀλλ' ἀραιῦν· ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους (διὸ καὶ ἡ θάλασσα ὑγιεινή), οὕτω καὶ σῶμα τὸ εὔπνυν μᾶλλον ὑγιεινόν. δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηθὲν περίττωμα, ἢ τούτου ὡς τάχιςα ἀπαλλάττεσθαι, καὶ ἀεὶ ὕτως ἔχειν τὸ σῶμα ὥστε λαμβάνον εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει καὶ μὴ ἠρεμεῖν. τὸ μὲν γὰρ μένον σήπει, ὥσπερ ὕδωρ τὸ μὴ κινύμενον, σηπόμενον δὲ νοσοποιεῖ· τὸ δὲ ἐκκρινόμενον πρὸ τῦ διαφθαρῆναι χωρίζεται. τοῦτο οὖν πυκνουμένης μὲν τῆς σαρκὸς οὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιυμένης δὲ συμβαίνει. διὸ καὶ ὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν· συνίςαται γὰρ ἡ σὰρξ καὶ κομιδῇ ἀποσαρκῦται, καὶ ὑγρότερον τὸ σῶμα γίνεται· τὸ μὲν γὰρ ἐντὸς διαμένει, τὸ δ' ἐπιπολῆς ἀπαλλάττεται, ὥσπερ καὶ τὰ κρέα τὰ ὀπτὰ τῶν ἑφθῶν μᾶλλον. ὐδὲ τὰ ςήθη γυμνὰ ἔχοντα βαδίζειν· ἀπὸ γὰρ τῶν ἄριςα ᾠκοδομημένων τῦ σώματος ὁ ἥλιος ἀφαιρεῖ, ἃ ἥκιςα δεῖται ἀφαιρέσεως, ἀλλὰ μᾶλλον τὰ ἐντός. ἐκεῖθεν μὲν ὖν διὰ τὸ πόρρω εἶναι, ἐὰν μὴ μετὰ πόνου, ὐκ ἔςιν ἱδρῶτα ἀγαγεῖν, ἀπὸ τύτυ δὲ διὰ τὸ πρόχειρον ῥᾴδιον.

53 Διὰ τί ποτε τοῖς χιμέτλοις καὶ τὸ ψυχρὸν ὕδωρ

1. τοιεῖν C^a. ‖ 2. ἢ] ἢ ἢ C^aY^a. ‖ 3. τὸ om C^a. ‖ 4. πικρὰ καὶ δυσώδη X^a. ‖ 6. τὸ C^a. ‖ 7. φάρμακόν C^aY^a. ‖ 8. σμικρὰ X^a. ‖ οὐ] οὖν C^a. ‖ 11. πᾶσα C^a. ‖ 12. ἄπεπτα C^a. ‖ 15. ταῦτα X^a. ‖ 16. κιντικὰ C^a. ‖ 19. διουρητικὰ C^aX^a. ‖ 28. ὅτι ἀπὸ τῶν C^a. ‖ 33. λαχνεία C^a. ‖ φλέγμα περιττώματος C^aY^a. ‖ 34. ὥςε καὶ ἀφ. margo X^a. ‖ 35. πρότερον $X^aY^a rt$. ‖ δὲ] γὰρ $X^a ru$, om C^aY^a. ‖ 36. προσεξησθενηκότι C^a. ‖ 37. ἐπιπίπτει C^a. ‖ ἐπισχνατέον C^a.

3. τῇ om X^a. ‖ πρῶτα Y^a. ‖ 6. σημεῖον Y^a. ‖ 8. καὶ] ἢ margo u, om C^a. ‖ μὲν et 9. δὲ om C^a. ‖ 10. ἔνοπτον Y^a, τὸ ἔνοπτρον C^a. ‖ ἅπαν om pr Y^a. ‖ 13. καὶ ἐπὶ τῶν ῥ. C^a. ‖ δακρυόντων ἐπὶ $C^aX^aY^a$. ‖ 14. βλεβαρίσι C^a. ‖ 15. αὐτὸ] τὸ αὐτὸ X^aY^a, τὸ αὐτὸ τὸ C^a. ‖ 17. ἔνοπτον] ἐνόπτρου C^a, om Y^a. ‖ 23. εὐθὺς ποι κρίνειν X^a. ‖ 30. καὶ ante κομιδῇ om C^a. ‖ 31. ἐντὸς ὑγρὸν δ. margo X^a.

συμφέρει καὶ τὸ θερμόν; ἢ ὅτι τὰ χίμετλα δι' ὑπερβολὴν γίνεται ὑγροῦ; τὸ μὲν ὖν ψυχρὸν συνίςησι καὶ τραχύνει τὸ ὑγρόν, τὸ δὲ θερμὸν ἐκπνευματοῖ καὶ ἔξοδον ποιεῖ τῷ πνεύματι, ἀραιοῦν τὴν σάρκα.

54 Διὰ τί τὸ ψυχρὸν καὶ ποιεῖ καὶ παύει τὰ χίμετλα, καὶ τὸ θερμὸν τὰ πυρίκαυστα; ἢ διὰ τὸ αὐτό; ποιεῖ μὲν συντήκοντα, παύει δὲ μᾶλλον ξηραίνοντα.

55 Ἐν τοῖς πυρετοῖς διδόναι δεῖ τὸ ποτὸν πολλάκις καὶ κατ' ὀλίγον. τὸ μὲν γαρ πολὺ παραρρεῖ, τὸ δὲ ὀλίγον μὲν πολλάκις δὲ διαβρέχει καὶ εἰς τὰς σάρκας χωρεῖ. οἷα γὰρ τὰ ἐν τῇ γῇ, ἐὰν μὲν κατὰ πολὺ ἔλθῃ τὸ ὕδωρ, παραρρεῖ, ἐὰν δὲ κατ' ὀλίγον, βρέχει μόνον, τὸ αὐτὸ καὶ ἐν τοῖς πυρετοῖς. τὰ γαρ ῥέοντα ὕδατα ἐάν τις κατ' ὀλίγον ἄγῃ, ὁ ὀχετὸς ἐκπίνει· ἐὰν δὲ τὸ ἴσον ἀθρόον ἄγῃ, ὅπου ἂν ἄγῃ, χωρεῖ. ἔπειτα κατακείσθω ἀκίνητος ὡς μάλιςα, ἀκίνητος μέν, ὅτι καὶ τὸ πῦρ φανερῶς, ἐάν τις μὴ κινῇ, καταμαραίνεται. πρὸς πνεῦμα δὲ μὴ κατακείσθω, διότι ὁ ἄνεμος τὸ πῦρ ἐξεγείρει καὶ ῥιπτιζόμενον τὸ πῦρ ἐξ ὀλίγȣ πολὺ γίνεται. περιστέλλεσθαι δὲ τούτου ἕνεκεν, ὅτι πυρὶ ἐὰν ἀναπνοὴν μὴ διδῷς, σβέννυται. καὶ τὰ ἱμάτια μὴ ἀπογυμνούσθω, ἕως ἂν νοτὶς ἐγγένηται· τὸ φανερὸν γὰρ πῦρ τὸ ὑγρὸν σβέννυσιν. κατὰ ταῦτα δὲ καὶ ἐν τῇ φύσει. ἐπὶ δὲ τῶν διαλειπόντων πυρετῶν προπαρασκευάζειν δεῖ καὶ ἐκλύοντα, καὶ πυριάματα πρὸς τοὺς πόδας παρατιθέντα, καὶ περιεςαλμένον ἀναπαύεσθαι, ὅπως ὅτι θερμότατος ᾖ πρὸ τȣ̃ τὴν λῆψιν εἶναι. καὶ γὰρ ὅπου πολὺ πῦρ, λύχνος οὐ δυνήσεται καίεσθαι· τὸ γὰρ πῦρ τὸ πολὺ τὸ ὀλίγον ἄγει πρὸς ἑαυτό. τȣ́τȣ ἕνεκα πολὺ πῦρ ἐν τῷ σώματι παρασκευάζειν δεῖ, ὅτι ὀλίγον ὁ πυρετὸς πῦρ ἔχει, ὥςε τὸ πολὺ πῦρ τὸ ὀλίγον πρὸς ἑαυτὸ ἄγει.

56 Τεταρταίοις πυρετοῖς δεῖ μὴ λεπτύνειν, ἀλλὰ πῦρ ἐν τοῖς σώμασιν ἐμποιεῖν εἰσάγοντα. δεῖ δὲ καὶ τοῖς γυμνασίοις χρῆσθαι. ᾗ δὲ ἡμέρᾳ ἡ λῆψις, λουσάμενον ὕπνον μὴ ζητεῖν. διὰ δὲ τȣ̃το καὶ συμφέρει θερμαίνουσα δίαιτα, ὅτι ἀσθενὴς ὁ τεταρταῖος πυρετός· εἰ γὰρ μὴ ἦν ἀσθενής, οὐκ ἂν τεταρταῖος ἐγένετο. ὁρᾷς; ὅπου πῦρ πολύ, λύχνος οὐ δύναται καίεσθαι· τὸ γὰρ πολὺ τὸ ὀλίγον πρὸς ἑαυτὸ ἁρπάζει. τȣ́τȣ δ' ἕνεκεν πολὺ πῦρ ἐν τῷ σώματι ἐμποιεῖν, ὅτι ὀλίγον ὁ πυρετὸς πῦρ ἔχει. ἔστι δὲ τὸ καθ' ἡμέραν διαίτημα τὸ μὲν πῦρ τὸ δὲ νοτίδα εἰς τὸ σῶμα εἰσάγοντα.
εἰσὶ δὲ νόσοι αἱ μὲν ἀπὸ πυρός, αἱ δὲ ἀπὸ νοτίδος. ἰατρεύον- 57
ται δὲ αἱ μὲν ἀπὸ πυρὸς νόσοι νοτίδι, αἱ δὲ ἀπὸ νοτίδος
πυρί· νοτίδα γὰρ ξηραίνει.

Β. ΟΣΑ ΠΕΡΙ ΙΔΡΩΤΑ.

Διὰ τί οὔτε συντείνουσιν οὔτε κατέχουσι τὸ πνεῦμα γίνεται ἱδρώς, ἀλλὰ μᾶλλον ἀνιεῖσιν; ἢ ὅτι τὸ πνεῦμα κατεχόμενον πληροῖ τὰς φλέβας, ὥςε κωλύει ἐξιέναι, ὥσπερ τὸ ὕδωρ τὸ ἐκ τῶν κλεψυδρῶν, ὅταν πλήρεις οὔσας ἐπιλάβῃ τίς. ὅταν δὲ ἐξέλθῃ, πολὺς γίνεται διὰ τὸ ἐν αὐτῇ ἐπιληψίᾳ ἀθροισθῆναι κατὰ μικρόν.

Διὰ τί οὐχ ἱδρῶσι τὰ ἐν θερμῷ ὕδατι μέρη, οὐδ' ἂν 2
θερμὰ ᾖ; ἢ διότι κωλύει τὸ ὕδωρ τήκεσθαι, ὁ δὲ ἱδρὼς τὸ κακῶς προσῳκοδομημένον ἐςὶν ἐν τῇ σαρκί, ὃ κωλύει τήκεσθαι, ὅταν ἐκκρίνηται διὰ θερμότητα.

Διὰ τί ὁ ἱδρὼς ἁλμυρόν; ἢ διότι γίνεται ὑπὸ κινή- 3
σεως καὶ θερμότητος, ἀποκρινȣ́σης ὅσον ἀλλότριον ἔνεστιν ἐν τῇ προσφύσει τῆς τροφῆς πρὸς αἷμα καὶ τὰς σάρκας; τȣ̃το γὰρ τάχιςα ἀφίςαται διὰ τὸ μὴ οἰκεῖον εἶναι καὶ ἔξω ἐξικμάζει. ἁλμυρὸς δ' ἐςὶ διὰ τὸ τὸ γλυκύτατον καὶ κȣφότατον εἰς τὸ σῶμα ἀνηλῶσθαι, τὸ δὲ ἀλλοτριώτατον καὶ ἀπεπτότατον ἀπολύεσθαι. τὸ τοιȣ̃τον δὲ ἐν μὲν τῇ κάτω ὑποστάσει οὖρον καλεῖται, ἐν δὲ σαρκὶ ἱδρώς· ἄμφω δὲ ἁλμυρὰ διὰ τὴν αὐτὴν αἰτίαν.

Διὰ τί τὰ ἄνω ἱδροῦσι μᾶλλον τῶν κάτω; πότερον 4
τὸ θερμὸν ἄνω καὶ ἀνέρχεται καὶ ἔςιν ἄνω, τȣ̃το δὲ ἄνω φέρει τὸ ὑγρόν; ἢ ὅτι πνεῦμα ποιεῖ τὸν ἱδρῶτα, τȣ̃το δὲ ἐν τοῖς ἄνω; ἢ διότι ἄπεπτον ὑγρὸν ὁ ἱδρώς ἐςι, τοιοῦτο δὲ ἐν τοῖς ἄνω; ἡ γὰρ κρᾶσις ἄνω.

Διὰ τί τὰς χεῖρας γυμναζομένοις μάλιστα ἱδρὼς 5
γίνεται, ἐὰν τὰ ἄλλα ὁμοιοσχημονῶμεν; ἢ διότι ἰσχύομεν μάλιςα τȣ́τῳ τῷ τόπῳ; τȣ́τῳ γὰρ τὸ πνεῦμα κατέχομεν τῷ ἔγγιςα τοῦ ἰσχύοντος· πονοῦντες δὲ μᾶλλον ἰσχύομεν· ȣ̔́τω δὲ ἔχοντες τὸ πνεῦμα μᾶλλον κατέχομεν.

2. ὖν om C^a. ‖ 6. πυρίκαυτα Y^a et margo X^a, πυρικαύματα C^a. ‖ 7. μᾶλλον om X^a. ‖ 8. ἐν] διὰ τί ἐν w. ‖ 10. πολλάκις δὲ om C^aY^av. ‖ 14. ὁ om C^a. ‖ 15. ἐὰν codices. ‖ 16. ἐγκινῇ margo X^a. ‖ 21. γένηται C^a. ‖ 22. δὴ C^a. ‖ 23. λειπόντων C^a. ‖ 24. ἐκλούοντα $QC^aK^aY^a$v et margo u. ‖ περιάμματα K^a. ‖ 25. θερμότερος codices: correxit Sylburgius. ‖ 26. καὶ — 27. καίεσθαι om C^a. ‖ 28. πρὸς αὐτὸ ἄγει X^a. ‖ ἕνεκεν $K^aO^aY^a$x. ‖ 29. διότι C^a. ‖ 30. ὥσπερ K^aO^as. ‖ τὸ post πῦρ om C^a. ‖ ἄγειν w. ‖ 32. ποιεῖν C^a. ‖ 34. δὲ] γὰρ C^a. ‖ 37. αὐτὸ X^a.

1. ἕλκει C^a. ‖ τȣ̃το X^a. ‖ ἐμποιεῖ C^aY^a. ‖ 5. νοτία codices. ‖ 8. ἱδρῶτων Q. ‖ 9. codices οὐδὲ σ. οὐδὲ. ‖ τὸ om C^a. ‖ 10. ἀνιᾶσιν C^a: ceteri ἀνεῖσιν. ‖ τὸ om C^a. ‖ 13. μεταλάβῃ C^a. ‖ 16. τὸ ὕδωρ κωλύει X^a. ‖ 17. ὁ om X^a, ὃ κωλύει τήκεσθαι om C^aY^a. ‖ 23. ἰκμάζει C^a, ἐξικμάζειν X^a. ‖ alterum τὸ om $C^aX^aY^a$. ‖ 35. τȣ̃το γὰρ C^a. ‖ 36. τῷ] τὰ C^a. τῷ — 37. κατέχομεν in margine ponit X^a. ‖ 37. ἔχοντος C^a et margo X^a.

εἶτα καὶ τῇ τριβομένῃ συμπονοῦμεν μᾶλλον ἢ ὅταν ἄλλο μέρος τριβώμεθα· τῇ γὰρ καθέξει τοῦ πνεύματος καὶ τριβόμενοι γυμναζόμεθα καὶ τρίβοντες.

6 Διὰ τί ὁ ἱδρὼς ἐκ τῆς κεφαλῆς ἢ οὐκ ὄζει ἢ ἧττον τοῦ ἐκ τοῦ σώματος; ἢ ὅτι εὔπνους ὁ τῆς κεφαλῆς τόπος; δηλοῖ δὲ μανὸς ὢν τῇ τῶν τριχῶν ἐκφύσει. δυσώδεις δὲ οἱ τόποι καὶ τὰ ἐν αὐτοῖς γίνεται, ὅσα μὴ εὔπνοα.

7 Διὰ τί οἱ γυμναζόμενοι ἐὰν διαναπαυσάμενοι παλαίωσιν, μᾶλλον ἱδροῦσιν ἢ ἐὰν συνεχῶς; ἢ διὰ τὸ ἀθροίζεσθαι διαναπαυομένων· ἔπειτα τοῦτον τὸν ἱδρῶτα ἐξάγει ὕστερον ἡ πάλη. ἡ δὲ συνεχὴς ἀναξηραίνει ὥσπερ ὁ ἥλιος.

8 Διὰ τί μᾶλλον ἱδροῦσιν, ὅταν μὴ διὰ πολλοῦ χρόνου χρῶνται ταῖς ἀφιδρώσεσιν; ἢ διότι οἱ ἱδρῶτες γίνονται οὐ μόνον δι' ὑγρότητα, ἀλλὰ καὶ διὰ τὸ τοὺς πόρους ἀνεῷχθαι μᾶλλον καὶ ἀραιὰ τὰ σώματα εἶναι; τοῖς μὲν οὖν μὴ χρωμένοις συμμεμύκασιν οἱ πόροι, τοῖς χρωμένοις δ' ἀναστομοῦνται.

9 Διὰ τί τοῦ ἡλίου μᾶλλον θερμαίνοντος τοὺς γυμνοὺς ἢ τοὺς ἀμπεχομένους, ἱδροῦσι μᾶλλον οἱ ἀμπεχόμενοι; πότερον ὅτι τοὺς πόρους συμμύειν ποιεῖ ἐκκαίων ὁ ἥλιος; ἢ διότι τὰς ἀτμίδας ξηραίνει; ἀμπεχομένοις δὲ ταῦτα ἧττον συμβαίνει.

10 Διὰ τί ἱδροῦσι μάλιστα τὰ πρόσωπα; ἢ ὅσα ἀραιὰ καὶ ὑγρὰ μάλιστα, διὰ δὲ τούτων ὁ ἱδρὼς διαπορεύεται. δοκεῖ δὲ πηγὴ εἶναι ἡ κεφαλὴ τοῦ ὑγροῦ· διὸ καὶ αἱ τρίχες, διὰ τὸ πολὺ ὑγρόν. ὁ δὲ τόπος ἀραιὸς καὶ ἰσχνός· δίεισιν ἄρα κατὰ φύσιν.

11 Διὰ τί οὐκ ἀθρόου ὄντος τοῦ πυρὸς μᾶλλον ἱδροῦσιν, οὐκ ἐλάττονος ἀεί, ἀλλὰ πλείονος ἐπεισφερομένου; οἱ γὰρ ἐν τοῖς πυριατηρίοις ἱδροῦσι μᾶλλον ἢ εὐθὺς εἰ εἴη τοσοῦτον. ἢ ὅτι τὸ σύμμετρον ἕκαστον ἐργάζεται; οὐκοῦν εἰ τοσοῦτον ποιεῖ, τὸ πλεῖον οὐ ποιήσει πλεῖον ἢ μᾶλλον τοὐναντίον, ὅτι τῷ σύμμετρον εἶναι ἐργάζεται τὸ ἔργον. διὰ μὲν οὖν τοῦτο οὐχὶ πρὸς πλεῖον μᾶλλον ἱδροῦσι, διὰ δὲ τὸ πρὸς ἕκαστον ἄλλην εἶναι συμμετρίαν, καὶ τὸ πεποιηκὸς μηκέτι ποιεῖν προστιθεμένου μᾶλλον. οὐ γὰρ ταὐτὸ προοδοποιεῖται εἰς ἕκαστον καὶ ἐπιτηδείως ἔχειν παρασκευάζει, καὶ ἤδη τοῦτο ἐργάζεται, ἀλλ' ἕτερον. τὸ μὲν οὖν ὀλίγον μᾶλλον ἢ πολὺ προωδοποίησε καὶ παρεσκεύασε τὸ σῶμα πρὸς τὸ ἱδροῦν· ἄλλης δὲ δεῖ συμμετρίας καὶ πλείονος πρὸς τὸ ποιῆσαι. τοῦτο δὲ οὐκέτι ποιεῖ ὃ πεποίηκεν, ἀλλὰ μετ' αὐτὸ ὕστερον, ἄλλο τῆς συμμετρίας γινόμενον.

Διὰ τί ἀποστλεγγισαμένοις μᾶλλον ῥεῖ ὁ ἱδρὼς ἢ ἐῶσιν ἐπιμεῖναι; πότερον διὰ τὸ καταψύχεσθαι ὑπὸ τοῦ ἔξω; ἢ ὅτι ὥσπερ πῶμα γίνεται ὁ ἔξω ἱδρὼς ἐπὶ τοῖς πόροις, ὥστε κωλύει τοῦ ἔσωθεν τὴν ὁρμήν. 12

Διὰ τί τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων; ἢ ὅτι ὧν ἐν τῇ ὀσμῇ βαρύτης ἔνι, ταῦτα κεραννύμενα ταῖς περιττωματικαῖς ὑγρότησι κακωδεστέραν ποιεῖ τὴν ὀσμήν; 13

Διὰ τί ἱδροῦμεν τὸν νῶτον μᾶλλον ἢ τὰ πρόσθεν; ἢ ὅτι ἐν μὲν τῷ πρόσθεν ἐστὶ τόπος ἐντός, εἰς ὃν ἀποχετεύεται τὸ ὑγρόν, ἐν δὲ τῷ ὄπισθεν οὐκ ἔστιν, ἀλλ' ἔξω τὴν ἔκκρισιν ἀναγκαῖον γίνεσθαι. τὸ δ' αὐτό ἐστιν αἴτιον καὶ ὅτι τὴν κοιλίαν ἧττον ἱδροῦμεν ἢ τὸ στῆθος. ἔτι δὲ ὅτι μᾶλλον διαφυλακτικόν ἐστι τοῦ ἱδρῶτος τὰ νῶτα καὶ τὰ ὄπισθεν ἢ τὰ πρόσθεν διὰ τὸ μᾶλλον τὰ ἔμπροσθεν τῶν ὄπισθεν ἀποψύχεσθαι. ὅπερ ἐστὶν αἴτιον καὶ τοῦ τὰς μασχάλας ἱδροῦν τάχιστα καὶ μάλιστα· ἥκιστα γὰρ ψύχονται. ἔτι δὲ σαρκωδέστερά ἐστι τὰ περὶ τὸν νῶτον τῶν πρόσθεν, ὥστε ὑγρότερα. πλείων δὲ ὑγρότης ἐστὶν ἐν τοῖς ὄπισθεν· ὁ γὰρ μυελὸς κατὰ τὴν ῥάχιν ὢν ὑγρασίαν πολλὴν παρέχει. 14

Διὰ τί ἐφ' ἃ κατακείμεθα, οὐχ ἱδροῦμεν; ἢ ὅτι θερμὸς ὢν ὁ τόπος ᾧ ἁπτόμεθα, κωλύει διεξιέναι τὸν ἱδρῶτα· ἀναξηραίνει γὰρ αὐτόν. ἔτι δὲ θλίβεται, θλιβόμενον δὲ διαχεῖται τὸ αἷμα, οὗ συμβαίνοντος καταψύχεται μᾶλλον. σημεῖον δὲ ἡ νάρκη· κατάψυξίς τε γάρ ἐστι τὸ πάθος, καὶ γίνεται ἐκ θλίψεως ἢ πληγῆς. 15

Διὰ τί οἱ καθεύδοντες μᾶλλον ἱδροῦσιν; ἢ διὰ τὴν ἀντιπερίστασιν; ἀθροισθὲν γὰρ τὸ θερμὸν ἐντὸς ἐξελαύνει τὸ ὑγρόν. 16

Διὰ τί τὸ πρόσωπον μάλιστα ἱδροῦσιν ἀσαρκότατον ὄν; ἢ ὅτι εὐίδρωτα μὲν ὅσα ὕφυγρα καὶ ἀραιά, ἡ δὲ κεφαλὴ τοιαύτη; ὑγρότητα γὰρ οἰκείαν ἔχει πλείστην. δηλοῦσι δὲ αἱ φλέβες τείνουσαι ἐντεῦθεν, καὶ οἱ κατάρροι ἐξ αὐτῆς, καὶ ὁ ἐγκέφαλος ὑγρός, καὶ οἱ πόροι πολλοί. σημεῖον δὲ αἱ τρίχες ὅτι πολλοὶ οἱ πόροι εἰσί, περαίνοντες 17

2. τρίβωμεν X^a. ‖ 4. οὐκ et 5. τοῦ om C^a. ‖ 7. ἔμπνοια C^a. ‖ 14. τοὺς om C^a. ‖ 15. ὑγρὰ C^a. ‖ 28. τοῦ πυρὸς ὄντος C^a. ‖ 29. ἐπιφερομένου X^a. ‖ 31. εἰ] εἰ τὸ Y^a. ‖ 32. ποιήσει τὸ πλεῖον margo X^a. ‖ 33. τῷ τὸ σ. Y^a. ‖ 34. πλείονα C^a.

4. ἀποστελγισαμένοις C^aY^a. ‖ 5. τοῦ καταψύξασθαι C^a. ‖ 6. πόμα C^a. ‖ 14. οὐκέτι ἀλλ' C^a. ‖ 16. ἢ] ἢ ὅτι X^a. ‖ τὸ om C^a. ‖ δὲ] τὸ X^a. ‖ 17. φυλακτικόν C^a, omisso μᾶλλον. ‖ 18. ἔμπροσθεν C^a. ‖ τῶν ὄπισθεν in margine ponit X^a. ‖ 19. τοῦ] τὸ C^a. ‖ 21. ἔμπροσθεν X^a. ‖ 23. ὁ μὲν γὰρ C^a. ‖ 26. διϊέναι X^aY^a. ‖ 34. μᾶλλον C^a. ‖ ἀσάρκωτον C^aX^a. ‖ 36. γὰρ om C^a.

ἔξω. οὐκοῦν ἐκ τῶν κάτω ὁ ἱδρὼς ἀλλ' ἐκ τῆς κεφαλῆς γίνεται. διὸ ἱδροῦσι καὶ πρῶτον καὶ μάλιστα τὸ μέτωπον· ὑπόκειται γὰρ πρῶτον· τὸ δὲ ὑγρὸν κάτω ῥεῖ ἀλλ' οὐκ ἄνω.

18 Διὰ τί οἱ ἱδροῦντες ἐὰν ψυχθῶσιν ἢ ὕδατι ἢ πνεύματι, ναυτιῶσιν; πότερον τὸ ὑγρὸν ψυχθὲν ἔστη ἀθρόον, ἔμπροσθεν οὐκ ἠρεμοῦν διὰ τὸ ῥεῖν; ἢ καὶ τὸ πνεῦμα διιὸν ἔξω γινόμενον ἱδρὼς διὰ τὴν ψύξιν, τοῦτο ἔσω ψυχθὲν πρὶν ἐξελθεῖν ὑγρὸν ἐγένετο, καὶ προσπεσὸν ποιεῖ τὴν ναυτίαν;

19 Διὰ τί ποτε ἐκ τῆς κεφαλῆς καὶ τῶν ποδῶν μάλιστα οἱ ἱδρῶτες γίνονται θερμαινομένων; ἢ ὅτι τὸ θερμαινόμενον ἐφέλκει ἐφ' ἑαυτὸ τὸ ὑγρόν, τὸ δὲ ὑγρὸν οὐκ ἔχει ὅπῃ καταναλίσκηται διὰ τὸ εἶναι τοὺς τόπους τούτους ὀστώδεις. ἐκπίπτει οὖν ἔξω.

20 Διὰ τί οἱ πονοῦντες, ὅταν παύσωνται, ἱδροῦσιν; ἔδει γάρ, εἴπερ ὁ πόνος αἴτιος, ὅταν πονῶσιν. πότερον ὅτι πονούντων μὲν ὑπὸ τοῦ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι τοὺς πόρους συμμεμυκέναι ποιοῦσι, παυσαμένων δὲ συνίζουσιν, ὥστε δι' εὐρυτέρων γινομένων τῶν πόρων ῥᾷον διέρχεται τὸ ὑγρόν. ἢ ὅτι πονούντων μὲν ἀποκρίνει ἡ κίνησις ἐκ τοῦ συμπεφυκότος ὑγροῦ πνεῦμα, καὶ διὰ θερμότητα τὴν ἀπὸ τῆς κινήσεως γίνεται τὸ ὑγρὸν πνεῦμα ἐπιπολῆς· ὅταν δὲ παύσηται πονῶν, ἅμα καὶ ἡ θερμότης λήγει, καὶ ἐκ τοῦ πνεύματος πυκνουμένου ὑγρότης γίνεται, ὁ καλούμενος ἱδρώς.

21 Πότερον δεῖ μᾶλλον τοῦ θέρους παρασκευάζειν τὸ ἱδροῦν ἢ τοῦ χειμῶνος; ἢ ὅτε μᾶλλον ὑγροὶ καὶ χαλεπώτεροι ἄνευ ἐπιμελείας γένοιντ' ἄν, ὥστε τοῦ χειμῶνος ἂν δέοι μᾶλλον, ᾗ μεγάλη ἡ μεταβολὴ καὶ τὰ περιττώματα οὐ συνεκπέττεται. πάλιν ψυχθέντος ἔτι παρὰ φύσιν τὸ τοῦ χειμῶνος. δῆλον ἄρα ὅτι τοῦ θέρους μᾶλλον. καὶ γὰρ τὰ ὑγρὰ σήπεται μᾶλλον ἅπαντα τοῦ θέρους· διὸ τότε δεῖ ἀπαντλεῖν. διὰ τοῦτο δὲ καὶ οἱ ἀρχαῖοι πάντες οὕτως ἔλεγον.

22 Διὰ τί ἀεὶ τοῦ σώματος ῥέοντος καὶ τῆς ἀπορροῆς γινομένης ἐκ τῶν περιττωμάτων οὐ κουφίζεται τὸ σῶμα, ἐὰν μὴ ἀφιδρώσῃ; ἢ ὅτι ἐλάττων ἡ ἔκκρισις. ὅταν γὰρ ἐξ ὑγροῦ μεταβάλλῃ εἰς ἀέρα, πλεῖον γίνεται ἐξ ἐλάττονος· τὸ γὰρ ὑγρὸν διακρινόμενον πλεῖον. ὥστε πλείονι χρόνῳ ἡ ἔκκρισις. διά τε τοῦτο καὶ ὅτι δι' ἐλαττόνων πόρων ἡ ἔκκρισίς ἐστιν. ἔτι τὸ γλίσχρον καὶ τὸ κολλῶδες μετὰ μὲν τοῦ ὑγροῦ ἐκκρίνεται διὰ τὴν κατάμιξιν, μετὰ δὲ τοῦ πνεύματος ἀδυνατεῖ. μάλιστα δὲ τοῦτ' ἐστὶ τὸ λυποῦν. διὸ καὶ οἱ ἔμετοι τῶν ἱδρώτων κουφίζουσι μᾶλλον, ὅτι συνεξάγουσι τοῦτο ἅτε παχύτεροι καὶ σωματωδέστεροι ὄντες. καὶ ὅτι τῇ μὲν σαρκὶ πόρρω ὁ τόπος οὗτος, ἐν ᾧ τὸ γλίσχρον καὶ τὸ κολλῶδες, ὥστε ἔργον μεταστῆσαι, τῇ δὲ κοιλίᾳ ἐγγύς· ἢ γὰρ ἐν αὐτῇ ἐγγίνεται ἢ πλησίον· διὸ καὶ δυσεξάγωγον ἄλλως.

Διὰ τί ἧττον ἱδροῦσιν ἐν αὐτῷ τῷ πονεῖν ἢ ἀνέντες; 23
ἢ ὅτι πονοῦντες μὲν ποιοῦσι, πεπονηκότες δὲ πεποιήκασιν; εἰκότως οὖν ἐκκρίνεται πλέον· ὁτὲ μὲν γὰρ γίνεται, ὁτὲ δὲ ἐστίν. ἢ ὅτι πονούντων μὲν συγκλείονται τῆς σαρκὸς οἱ πόροι διὰ τὴν κάθεξιν τοῦ πνεύματος, ὅταν δ' ἀνῶσιν, ἀνοίγονται; διὸ καὶ τὸ πνεῦμα κατέχοντες ἧττον ἱδροῦσιν.

Διὰ τί οὐχὶ ὅταν τροχάζωμεν, ὁ ἱδρὼς πλείων, καὶ 24
ὅταν ἐν κινήσει ᾖ τὸ σῶμα, ἀλλ' ὅταν παύσωνται; ἢ ὅτι τότε μὲν ὥσπερ ὑπὸ τῆς χειρὸς ἢ ἄλλου τινὸς ἔστιν ὕδωρ ῥέον ἀποφράξαι πανταχόθεν συναθροιζόμενον, ὅταν δὲ ἀφεθῇ, πλέον ἢ ὅσον ἐξ ἀρχῆς. ὡς δὲ ὑπὸ τῆς χειρός, οὕτω καὶ ὑπὸ τοῦ πνεύματος ἔστιν ἀποληφθῆναι, ὥσπερ ἐν τῇ κλεψύδρᾳ, καὶ πάλιν πρὸς τὴν κύστιν· ἀπολαμβάνει γὰρ ἐντός. ὁμοίως οὖν πολλῆς κινήσεως οὔσης τὸ πνεῦμα ἐναπολαμβάνεται· διὸ καὶ αἱ φλέβες διατείνονται τοῦ ὑγροῦ οὐ δυναμένου ἐξιέναι. ἀπολαμβανόμενον δὲ ἀθρόον τὸ ὑγρόν, ὅταν ἀνεθῇ τὸ πνεῦμα, ἀθρόον ἐξέρχεται.

Διὰ τί, ὅταν πίωσιν, ἧττον ἱδροῦσιν ἐπιφαγόντες; ἢ 25
διότι τὰ σιτία ἐπισπᾶται μὲν τὴν ὑγρότητα καθαπερεὶ σπόγγος ἐμπεσών, ἔστι δὲ κωλῦσαι τὴν ὁρμὴν οὐ μικρὸν μέρος, ὥσπερ ἐν τοῖς ῥεύμασι, τὸ ἐπιλαβεῖν τοὺς πόρους προσενεγκάμενον τὴν τροφήν.

Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσω- 26
πον οὔ; μᾶλλον γὰρ εὔλογον, ὅταν πᾶν ἱδρῶσι τὸ σῶμα, τότε μᾶλλον καὶ τοὺς πόδας· ψυχρότατος γὰρ ὁ τόπος, διὸ ἥκιστα ἱδροῦσιν. καὶ οἱ ἰατροὶ ἐν ταῖς ἀρρωστίαις μάλιστα περιστέλλειν τοὺς πόδας παραγγέλλουσιν, ὅτι εὔψυκτοί εἰσιν,

7. οὐχ ἠρεμοῦν Y^a. ‖ ἢ ὅτι καὶ margo X^a. ‖ 8. ἱδρὼς] ὑγρὸν C^a. ‖ 10. ἐκ τῶν ποδῶν καὶ τῆς κεφαλῆς X^a. ‖ 11. οἱ om X^a. ‖ 15. codices ὅτε παύσονται. ‖ 16. ὁ πόνος] ὧν ὡς C^a, ονως Y^a. ‖ πονοῦντος Y^a et pr X^a. ‖ 17. ἐκφυσώμεναι C^a. ‖ 19. δι' om C^a. ‖ 21. πεφυκότος C^a. ‖ 28. γένοιτ' C^a. ‖ ἂν] οὐκ ἂν margo X^a. ‖ 29. δέῃ X^a. ‖ ᾗ] ἢ C^aX^a. ‖ 30. τὸ in margine ponit X^a. ‖ 34. ἔλεγον οὕτως C^a. ‖ 37. ἡ om C^a X^a. ‖ ὅταν — b 2. ἔκκρισις om C^a. ‖ 38. μεταβάλη Y^a.

2. τε] codices δέ. ‖ πόνων C^a. ‖ 7. παχύτεροι] κουφότεροι C^a. ‖ 13. codices πεποιηκότες δὲ πεπονήκασιν. ‖ 15. γαστρὸς C^a. ‖ 18. οὐχὶ om X^a, qui mox οὐ πλείων. ‖ πλείω Y^a. ‖ 19. παύσηται margo X^a. ‖ 23. τοῦ om C^a. ‖ 29. πίνωσιν C^a. ‖ 30. μὲν om X^a Y^a. ‖ 32. ῥήμασι C^aY^a. ‖ 37. διὸ καὶ ἥκιστα X^a.

ὥστε ἀρχὴν ῥᾳδίως ῥίγους ποιοῦσι καὶ τῷ ἄλλῳ σώματι. ἢ ὅτι καὶ ἡ ἀγωνία ἐστὶ θερμότητος οὐ μετάστασις ὥσπερ ἐν τῷ φόβῳ ἐκ τῶν ἄνω τόπων εἰς τοὺς κάτω (διὸ καὶ αἱ κοιλίαι λύονται τῶν φοβουμένων) ἀλλ' αὔξησις θερμοῦ, ὥσπερ ἐν τῷ θυμῷ; καὶ γὰρ ὁ θυμὸς ζέσις τοῦ θερμοῦ ἐστὶ τοῦ περὶ τὴν καρδίαν· καὶ ὁ ἀγωνιῶν οὐ διὰ φόβον καὶ διὰ ψύξιν πάσχει, ἀλλὰ διὰ τὸ μέλλον.

27 Διὰ τί τὸ πρόσωπον ἐξέρυθροι γίνονται, οὐχ ἱδροῦσι δέ; ἢ διὰ τὸ μᾶλλον θερμαίνεσθαι, ὥστε τὸ μὲν ἐν τῷ προσώπῳ ὑγρὸν ξηραίνει ἡ θερμότης ἐπιπολάζουσα, τὸ δὲ ἐν τοῖς ποσὶ συντήκει διὰ τὸ ἐλάττων μὲν εἶναι, πλείων δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης.

28 Διὰ τί καθεύδοντες ἱδροῦσι μᾶλλον ἢ ἐγρηγορότες; ἢ ὅτι ἔσωθεν ἡ ἀρχὴ τοῦ ἱδρῶτος, θερμότερα δὲ τὰ ἐντός, ὥστε καὶ ἐκκρίνει διαχέουσα ἡ ἐντὸς θερμότης τὸ ἐντὸς ὑγρόν. ὅτι ἀεὶ ἔοικεν ἀπορρεῖν τι τοῦ σώματος, ἀλλὰ διὰ τὸ μηθὲν εἶναι πρὸς ὃ προσπῖπτον ἀλισθήσεται λανθάνει. σημεῖον δέ· τὰ γὰρ κοῖλα τοῦ σώματος ἀεὶ ἱδροῖ.

29 Διὰ τί ἐν τοῖς πυριατηρίοις μᾶλλον ἱδροῦσιν, ὅταν ᾖ ψῦχος; ἢ ὅτι τὸ θερμὸν οὐ βαδίζει ἔξω διὰ τὴν τοῦ ψυχροῦ περίστασιν (κωλύεται γὰρ ὑπὸ τούτου), ἀλλ' ἐντὸς κατειλούμενον καὶ μένον διαλύει τὰ ἐν ἡμῖν ὑγρά, καὶ ἱδρῶτα ποιεῖ ἐξ αὐτῶν.

30 Διὰ τί ὠφελιμώτερός ἐστιν ὁ ἱδρώς, κἂν ἐλάττων ἐπέλθῃ, ὁ γυμνοῦ τροχάζοντος γενόμενος ἢ ὁ ἐν ἱματίῳ; ἢ τὸ μὲν πονεῖν τοῦ μὴ πονεῖν βέλτιόν ἐστι καθόλου, καὶ ὁ ἱδρὼς δὲ ὁ μετὰ πόνου τοῦ ἄνευ πόνου βελτίων ἐστί, καὶ ὁ μᾶλλον δὲ μετὰ πόνου τοῦ ἧττον βελτίων; μᾶλλον δ' ἐστὶ μετὰ πόνου ὁ γυμνοῦ τροχάζοντος γινόμενος. ἐὰν γὰρ μὴ πολλῇ συντονίᾳ τροχάσῃ, οὐ δύναται ἱδρῶσαι γυμνὸς ὤν· ἐν ἱματίῳ γὰρ κἂν πάνυ μετρίως τροχάσῃ, ταχὺ ἱδροῖ διὰ τὴν ἀπὸ τοῦ ἱματίου ἀλέαν. καὶ εὐχρούστεροι δὲ γίνονται οἱ γυμνοὶ τρέχοντες τοῦ θέρους τῶν ἐν ἱματίοις, ὅτι ὥσπερ ἅπαντες οἱ ἐν τοῖς εὐπνουστέροις τόποις οἰκοῦντες εὐχρούστεροί εἰσι τῶν ἐν τοῖς καταπεπνιγμένοις οἰκούντων, οὕτω καὶ αὐτὸς αὑτοῦ ὁ ἄνθρωπος, ὅταν ὥσπερ ἐν εὐπνοίᾳ ᾖ, τότε εὐχρούστερός ἐστιν ἢ ὅταν καταπεπνιγμένος ᾖ καὶ περιεχόμενος ὑπό τινος ἀλέας πολλῆς, ὃ συμβαίνει μᾶλλον τῷ ἐν ἱματίῳ τρέχοντι. διὰ ταῦτα δὲ καὶ οἱ πολὺν χρόνον καθεύδοντες ἀχρούστεροί εἰσι τῶν μέτριον χρόνον καθευδόντων· καταπέπνικται γὰρ καὶ ὁ καθεύδων.

31 Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσωπον οὔ, ἐν τῷ ἄλλῳ βίῳ ἱδρούντων ἡμῶν μάλιστα μὲν τὸ πρόσωπον, ἥκιστα δὲ τοὺς πόδας; ἢ ὅτι ἡ ἀγωνία φόβος τίς ἐστι πρὸς ἀρχὴν ἔργου, ὁ δὲ φόβος κατάψυξις τῶν ἄνω· διὸ καὶ ὠχριῶσι τὰ πρόσωπα οἱ ἀγωνιῶντες. κινοῦνται δὲ καὶ σκαίρουσι τοῖς ποσίν· ποιοῦσι γὰρ τοῦτο οἱ ἀγωνιῶντες καὶ καθάπερ γυμνάζονται· διόπερ εἰκότως ἱδροῦσι ταῦτα οἷς πονοῦσιν. καὶ τρίβουσι δὲ τὰς χεῖρας καὶ συγκαθιᾶσι καὶ ἐκτείνονται καὶ ἐξάλλονται καὶ οὐδέποτε ἠρεμοῦσιν· ὁρμητικοὶ γάρ εἰσι πρὸς τὸ ἔργον διὰ τὸ τὸ θερμὸν αὐτῶν ἠθροῖσθαι εἰς τὸν περὶ τὸ στῆθος τόπον ὄντα εὐσωματωδέστερον· ὅθεν πάντῃ διάττοντος αὐτοῦ τε καὶ τοῦ αἵματος συμβαίνει πυκνὴν καὶ ποικίλην γίνεσθαι κίνησιν. μάλιστα δὲ ἱδροῦσι τοὺς πόδας, ὅτι οὗτοι μὲν συνεχῶς πονοῦσι, τὰ δὲ ἄλλα μέρη τοῦ σώματος ἀναπαύσεως τυγχάνει ταῖς τῶν σχημάτων καὶ κινήσεων μεταβολαῖς.

32 Διὰ τί ἐν τοῖς πυριατηρίοις οὔτε ἀθρόου τοῦ πυρὸς ὄντος μᾶλλον ἱδροῦσιν, οὔτ' ἐλάττονος ἀεὶ γινομένου, ἀλλὰ πλείονος; ἐπεισφερομένου γὰρ τὰ πυριατήρια μᾶλλον ἱδροῦσιν ἢ εἴπερ εὐθὺς ἐξ ἀρχῆς τοσοῦτον ἦν τὸ πῦρ. ἢ τὸ μὲν πολὺ ἐκ πρώτης ξηρὰν λαμβάνον τὴν ἐπιπολῆς σάρκα καὶ δέρμα καίει καὶ ὀστρακοῖ, γενομένη δὲ τοιαύτη τέγγει τοὺς ἱδρῶτας. τὸ δὲ ὀλίγον μᾶλλον τὴν σάρκα ἀνιὲν αὐτήν τε ἀραιοῖ, καὶ τὰ ἐντὸς καθάπερ ὀργάζει πρὸς τὴν διάκρισιν καὶ ἐξαγωγήν. οὕτω δ' ἐχούσης αὐτῆς, ἐπεισενεχθὲν πλέον πῦρ καὶ εἰσδυόμενον εἰς βάθος τῆς σαρκὸς δι' ἀραιότητα ἐξατμίζει τε τὰ προμαλαχθέντα ὑγρά, καὶ τὰ λεπτὰ αὐτῶν ἀποκρῖνον ἐξάγει μετὰ τοῦ πνεύματος.

33 Πότερον δεῖ μᾶλλον τοῦ θέρους παρασκευάζειν τὸ ἱδροῦν ἢ τοῦ χειμῶνος; ἢ τοῦ μὲν χειμῶνος συστελλόμενον ἐντὸς τὸ θερμὸν ἐκπέττει καὶ πνευματοῖ τὰ ἐν ἡμῖν ὑγρά, διὸ πάντων αὐτῶν ἢ τῶν πλείστων ἀναλισκομένων οὐδὲν δεῖται συγγενοῦς ἀποκρίσεως. τοῦ δὲ θέρους δι' ἀραιᾶς τῆς σαρκὸς ἐκπίπτοντος τοῦ θερμοῦ ἧττον πέττεται τὰ ἐν ἡμῖν ὑγρά· διὸ δεῖται ἀπαντλήσεως. ἐμμείναντα γὰρ διὰ τὴν

3. τόπων καὶ τῷ ἄλλῳ σώματι ἢ ὅτι ἀγωνία ἐστὶ εἰς C^a. ‖ 5. ξέσις margo X^a. ‖ 7. μέλος C^aY^a. ‖ 11. codices ἐλάττω et πλείω. ‖ 15. καὶ om C^aY^a. ‖ 16. ὅτι] ὥστε X^a. ‖ 17. πίπτον C^a. ‖ 19. πυρατηρίοις C^a. ‖ ὅταν] ἢ ὅταν $C^aX^aY^a$. ‖ 20. ψυχροῦ] ψύχους X^a. ‖ 24. ὠφελιμώτατός C^a. ‖ κἂν ἐλ. ἐπ. om C^a. ‖ ἔλαττον X^a. ‖ 26. μὴ et 28. ὁ om C^a. ‖ 30. πολλὴ C^a. ‖ 38. ἀλέας Y^a, qui saepe ita.
1. διὰ om C^aY^a. ‖ καὶ om C^a. ‖ 2. εὐχρούστεροι C^aX^a. ‖ 6. ἡ et 9. κινοῦνται — 10. ἀγωνιῶντες om C^a. ‖ διόπερ] διὸ X^a. ‖ 12. καὶ ἐκτείνονται om X^a. ‖ οὐδέπω C^a. ‖ 14. ὄντα] ὅταν C^a. ‖ εὐσηματωδέστερον C^aY^a. ‖ 15. παντὸς X^a. ‖ 16. ποικίλην καὶ πυκνὴν X^a. ‖ 17. ἱδροῦν C^aY^a. ‖ 20. οὐδὲ codices. ‖ 22. ἐπεισφερομένου] ἐπεὶ ἀφαιρόμενα C^a. ‖ 25. καύει C^a. ‖ 30. τά τε C^a. ‖ 32. δὴ C^a. ‖ 36. ἀρεᾶς X^a.

ὥραν σήπεται καὶ νοσοποιεῖ. σήπεται γὰρ πᾶν τὸ σηπόμενον ὑπ' ἀλλοτρίου θερμοῦ, ὑπὸ δὲ τοῦ οἰκείου πέττεται. ἐν μὲν οὖν τῷ θέρει τὸ ἀλλότριον ἰσχύει, διὸ σήπεται πάντα μᾶλλον ἐν αὐτῷ, ἐν δὲ τῷ χειμῶνι τὸ οἰκεῖον, διὸ οὐ σήπει ὁ χειμών.

34 Διὰ τί τῶν ἱδρώτων γινομένων ὑπὸ τῆς ἐντὸς θερμασίας ἢ ὑπὸ τῆς ἐκτὸς προσπιπτούσης, πρὸς ἐνίων ἱδρώτων φρίττομεν; ἢ διότι ὑπὸ μὲν τῆς ἐντὸς θερμασίας ὅταν ἐκπίπτωσιν ἐκ πολλοῦ τόπου εἰς ὀλίγον, συστελλομένοις πρὸς τὴν περιοχὴν παντελῶς τὰς τοῦ θερμοῦ περιόδους ἀποφράττουσιν, εἶτα ἡ φρίκη ἐγγίνεται; ἔτι τῆς σαρκὸς παντελῶς διαβρόχου γινομένης καὶ τοῦ θερμοῦ διεξιόντος. ἡ δὲ ἐκτὸς θερμασία προσπίπτουσα ἀραιοῖ τὸν χρῶτα πρῶτον· εἶτα τὸ ἐντὸς τῆς φύσεως θερμὸν ἀποκρινάμενον τὴν φρίκην ἐποίησεν.

35 Διὰ τί τῶν ἱδρώτων οἱ θερμοὶ κρίνονται βελτίους εἶναι τῶν ψυχρῶν; ἢ ὅτι πᾶς μὲν ἱδρὼς περιττώματός τινος ἔκκρισίς ἐστιν, εἰκὸς δὲ τὸ μὲν ὀλίγον περίττωμα ἐκθερμαίνεσθαι, τὸ δὲ πλεῖον μὴ ὁμοίως, ὥστε ὁ ψυχρὸς ἱδρὼς πολλοῦ περιττώματος ἂν εἴη σημεῖον· διὸ καὶ μακροτέρας τὰς νόσους δηλοῖ.

36 Διὰ τί τῶν ἱδρώτων διὰ θερμασίαν γινομένων πρὸς τὸ πολὺ πῦρ ἧττον ἱδροῦμεν; ἢ διότι ἤτοι σφόδρα θερμαινομένου τοῦ σώματος εἰς πνεύματα ὑγρὰ διαλύεται, ἢ ἐκπίπτοντος τοῦ ὑγροῦ καὶ ταχὺ περιξηραινομένου τὴν αἴσθησιν οὐ λαμβάνομεν;

37 Διὰ τί τοῦ ἡλίου μᾶλλον θερμαίνοντος, ἐὰν μηδὲν περίβλημα ἔχωμεν, ἱδρῶτες γίνονται τοῖς ἱματίοις περιστελλομένοις; καὶ περὶ τούτου ταὐτὰ ἐροῦμεν τῷ προτέρῳ.

38 Διὰ τί τῶν ὀξειῶν κινήσεων μᾶλλον θερμαίνειν δοκουσῶν, τῶν δὲ νωθρῶν ἧττον, αἱ πρὸς τὸ σιμὸν πορεῖαι νωθρότεραι οὖσαι ἱδρῶτάς τε μᾶλλον ἐκκρίνουσι καὶ τὸ πνεῦμα προσιστᾶσιν, ὡς θερμαίνουσαι μᾶλλον τῶν καταντῶν; ἢ ὅτι τοῖς βάρεσιν εἰς τὸ κάτω φέρεσθαι κατὰ φύσιν ἐστίν, εἰς δὲ τὸ ἄνω παρὰ φύσιν. ἡ οὖν τοῦ θερμοῦ φύσις ἡ φέρουσα ἡμᾶς πρὸς μὲν τὰ κατάντη οὐθὲν συμπονεῖ, πρὸς δὲ τὰ σιμὰ φορτηγοῦσα διατελεῖ. ὥστε διὰ μὲν τὴν τοιαύτην κίνησιν ἐκθερμαίνεται, καὶ μᾶλλον τοὺς ἱδρῶτας ἐκκρίνει, καὶ τὸ πνεῦμα προσίστησιν. συμβάλλεται δέ τι ἐν ταῖς πορείαις καὶ ἡ τοῦ σώματος σύγκαμψις πρὸς τὸ μὴ εὐθυπορεῖν τὸ πνεῦμα προσιστᾶσα.

Διὰ τί τῶν ἱδρώτων γινομένων, ὅσῳ ἂν ἐπιβάλληταί τις μᾶλλον, οὐχ οἱ τὰ πλεῖστα τῶν ἱματίων ἐπιβαλλόμενοι ἱδροῦσιν; καὶ περὶ τούτου ταὐτὰ ἐροῦμεν τῷ ἐπάνω.

Διὰ τί τῶν σωμάτων ξηροτέρων ὄντων τοῦ θέρους ἢ τοῦ χειμῶνος ἱδρωτικωτέρως διακείμεθα τοῦ θέρους; ἢ ὅτι τοῦ μὲν θέρους ἀραιῶν τῶν σώματων ὄντων τὸ τῆς φύσεως θερμὸν οὐ πολὺ κατέχεται; διαλύει οὖν τὰ ὑγρὰ εἰς πνεῦμα. τοῦ δὲ χειμῶνος πεπυκνωμένων ἐκτὸς τῶν σωμάτων πολὺ κατειλημμένον τὸ τῆς φύσεως θερμὸν εἰς πνεῦμα οὐ διαλύει τὰ ὑγρά. ἔτι δὲ καὶ τοῦ μὲν θέρους πολὺ προσφερόμεθα τὸ ὑγρόν, τοῦ δὲ χειμῶνος τοὐναντίον.

Διὰ τί οἱ ἀπὸ τοῦ αὐτομάτου γινόμενοι τοῖς ὑγιαίνουσιν ἱδρῶτες φαυλότεροι δοκοῦσιν εἶναι τῶν ὑπὸ τῶν [illegible]νων; ἢ ὅτι οἱ μὲν πόνοι ἀπαντλοῦντες ἀεὶ τὸ περιττεῦον ὑγρὸν ξηροτέραν τὴν σάρκα παρασκευάζουσιν, ὥστε τὰς κοιλίας τῶν πόρων ὑγιεινὰς εἶναι καὶ τῇ τοῦ θερμοῦ [illegible] μηδεμίαν ἔμφραξιν γίνεσθαι, οἱ δ' αὐτόματοι μὲν [illegible]σαγορευόμενοι ἱδρῶτες, γινόμενοι δ' ἐξ ἀνάγκης, [illegible] ὑπὸ πλείονος ὑγρασίας συγχεομένων τῶν τῆς φύσεως [illegible]ρων τὰ θερμὰ μὴ παντελῶς καταλαμβάνηται, ἀλλ' [illegible] ἀπομάχεσθαι καὶ ἐκκρίνειν αὐτὸ δύνηται, εὐλόγως [illegible] σημεῖα φαίνεται. τότε γὰρ ὑπὸ πλείονος ὑγρασίας ἢ τοῦ συμμέτρου κατὰ φύσιν ψύχεται, ἥ τε σὰρξ διόμβρος γενομένη τὴν κακίστην πρὸς ὑγείαν διάθεσιν λαμβάνει.

Διὰ τί τοῦ χειμῶνος ἱδρῶτες ἧσσον γίνονται, καὶ ἡμεῖς οὐχ ὁμοίως παρασκευάζειν βουλόμεθα, ὑγροτέρων ὄντων τῶν σωμάτων τοῦ χειμῶνος; ἢ ἧσσον μὲν ἱδροῦμεν, ὅτι τὰ ὑγρὰ τοῦ χειμῶνος πέπηγε καὶ συνέστηκε σφόδρα· δυσδιαλυτώτερα οὖν. οὐχ ὑπολαμβάνομεν δὲ δεῖν ἱδρωτοποιεῖσθαι τοῦ χειμῶνος, διότι ἡ τοιαύτη διάθεσις ὑγιεινή, ὁ δὲ τοὺς ἱδρῶτας ἐμποιῶν τήκει καὶ συγχεῖ τὴν ἕξιν· ἔτι τε καὶ ἀραιοτέραν τοῦ προσήκοντος ἐμποιῶν τό τε ἐντὸς θερμὸν ἀποκρίνων ἔλαττον ποιεῖ, ὥστε μὴ ὁμοίως δύνασθαι τῷ περιέχοντι ψυχρῷ ἀντιτετάχθαι· τό τε ἐκτὸς ὑγρὸν ῥᾳδιέστερον παρεμπεσεῖται τοῖς σώμασιν, ἀραιῶν τῶν [illegible]ρων διὰ τὰς ἱδρωτοποιίας ὄντων.

4. μᾶλλον πάντα C^a. ‖ 10. τὰς om C^a Y^a. ‖ 12. δὴ ἐξιόντος X^a. ‖ 14. ἀποκρινούμενον C^a. ‖ 15. εἶναι om C^a. ‖ 22. [illegible] C^a. ‖ 24. περιξαιρομένου C^a, ξηραινομένου X^a. ‖ 27. ἔχοιμεν C^a Y^a. ‖ 28. ταῦτα C^a. ‖ 29. ὀξέων codices. ‖ 32. προϊστᾶσιν C^a Y^a, [illegible]στῶσιν X^a. ‖ κατ' αὐτῶν C^a. ‖ 36. φορτίζουσα X^a.

1. σύγκαψις X^a. ‖ 2. προϊστᾶσα X^a Y^a, προϊστῶσα C^a. ‖ 4. τὰ om X^a. ‖ μεταβαλλόμενοι C^a. ‖ 5. ταῦτα C^a. ‖ 11. καταλαμβανομένων X^a Y^a. ‖ 12. τὸ ὑγρόν X^a. ‖ 13. χειμῶνος δὲ X^a Y^a. ‖ 14. γενόμενοι X^a. ‖ 18. εἰθίσει C^a, διηθίσει X^a. ‖ 24. ἐργασίας X^a. ‖ [illegible] ἡμᾶς C^a. ‖ 29. ἢ om X^a. ‖ 31. δυσλυτώτερα X^a. ‖ οὖν] ὄντα C^a. ‖ δεῖ C^a. ‖ 38. ὄντων om C^a K^a X^a Y^a.

Γ. ΟΣΑ ΠΕΡΙ ΟΙΝΟΠΟΣΙΑΝ ΚΑΙ ΜΕΘΗΝ.

Διὰ τί οἱ μεθύοντες θερμοῦ ὄντος τοῦ οἴνου δύσριγοί εἰσι, καὶ τάχιστα ἁλίσκονται ὑπὸ πλευρίτιδος καὶ τῶν τοιούτων; ἢ διότι πολὺ ὑγρὸν ἐὰν ψυχθῇ, πολὺ ψυχρὸν γίνεται, ὥστε κρατεῖν τῆς φυσικῆς θερμότητος; γίνεται γὰρ ὅμοιον ὥσπερ ἂν εἰ ἐσθὴς βεβρεγμένη εἴη ὑγρῷ ψυχρῷ, οὕτως ἡ σὰρξ ἔνδοθεν.

2 Διὰ τί οὐχ οἱ σφόδρα μεθύοντες παροινοῦσιν, ἀλλ' οἱ ἀκροθώρακες μάλιστα; ἢ ὅτι οὔθ' οὕτως ὀλίγον πεπώκασιν ὥστε ὁμοίως ἔχειν τοῖς νήφουσιν, οὔθ' οὕτως ὥστε διαλύεσθαι, ὅπερ πάσχουσιν οἱ πολὺ πεπωκότες; ἔτι οἱ μὲν νήφοντες μᾶλλον ὀρθῶς κρίνουσιν, οἱ δὲ σφόδρα μεθύοντες οὐδ' ἐγχειροῦσι κρίνειν· οἱ δὲ ἀκροθώρακες κρίνουσι μὲν διὰ τὸ μὴ σφόδρα μεθύειν, κακῶς δὲ διὰ τὸ μὴ νήφειν, καὶ ταχὺ τῶν μὲν καταφρονοῦσιν, ὑπὸ τῶν δὲ ὀλιγωρεῖσθαι δοκοῦσιν.

3 Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ ἀκρατέστερον πίνοντες ἢ οἱ ὅλως ἄκρατον; πότερον διὰ τὴν λεπτότητα ὁ κεκραμένος μᾶλλον εἰσδύεται εἰς πλείους τόπους καὶ στενωτέρους, ὁ δὲ ἄκρατος ἧττον, ὥστε δυσεξαγωγότερος ὁ κεκραμένος; ἢ διότι ἐλάττω πίνουσιν ἄκρατον διὰ τὸ μὴ δύνασθαι, καὶ ἀπεμοῦσι μᾶλλον; ἔτι δὲ συμπέττει τὰ λοιπὰ θερμότερος ὤν, καὶ αὐτὸς αὑτόν· ὁ δὲ ὑδαρὴς τοὐναντίον.

4 Διὰ τί τῶν οἰνοφλύγων τὸ σπέρμα οὐ γόνιμον ὡς ἐπὶ τὸ πολύ; ἢ ὅτι ἡ κρᾶσις τοῦ σώματος ἐξύγρανται; τὰ δὲ ὑγρὰ σπέρματα οὐ γόνιμα, ἀλλὰ τὰ συνεστῶτα καὶ πάχος ἔχοντα.

5 Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι, καὶ μᾶλλον ὅσῳ ἂν ἀκρατοποτῶσιν; ἔστι δὲ ὁ μὲν οἶνος θερμαντικόν, ὁ δὲ τρόμος γίνεται μάλιστα ἀπὸ ψυχροῦ, διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσιν. πολλοῖς δ' ἤδη χρωμένοις μόνον ἀκράτῳ τροφῆς χάριν τρόμοι ἰσχυροὶ συνέβησαν, ὥστε ἀπορρίπτειν τοὺς θλίβοντας, καὶ τῷ θερμῷ ὕδατι λουόμενοι ἀναισθήτως εἶχον. ἢ ὅτι γίνεται μὲν ὁ τρόμος διὰ κατάψυξιν, γίνεται δὲ ἢ περιισταμένου ἐντὸς τοῦ θερμοῦ διὰ τὸ ἐκτὸς ψῦχος, οἷον τοῦ χειμῶνος, ἢ σβεννυμένου τοῦ κατὰ φύσιν θερμοῦ, σβεννυμένου μὲν τῷ ἐναντίῳ, ἢ διὰ χρόνον, οἷον γῆρας, ἢ τῇ τοῦ ἀλλοτρίου θερμοῦ ὑπερβολῇ, ὃ συμβαίνει τῷ ἐν τῷ ἡλίῳ ἢ πυρὶ καιομένῳ. συμβαίνει δὲ τοῦτο καὶ τοῖς τῷ ἀκράτῳ οἴνῳ χρωμένοις. ὢν γὰρ θερμός, ὅταν ὑπερτείνηται δυνάμει τῇ τοῦ σώματος οἰκείᾳ θερμότητι μιγνύμενος, ἀποσβέννυσιν αὐτό· σβεσθέντος δὲ καὶ ψυχθέντος τοῦ σώματος συμβαίνει τοὺς τρόμους γίνεσθαι. ἔστι δὲ καὶ παρὰ πάντα τὰ εἰρημένα ἄλλος τρόπος καταψύξεως. ἀναιρεθείσης δὲ τῆς ὕλης, ᾗ τὸ θερμὸν ἑκάστῳ τρέφεται, συμβαίνει καὶ τὸ θερμὸν φθείρεσθαι. τοῦτο δὲ ἐπὶ μὲν τῶν ἀψύχων ἐπὶ τοῦ λύχνου ἐστὶ φανερόν (τοῦ γὰρ ἐλαίου ἀναλωθέντος συμβαίνει σβέννυσθαι τὸ φῶς), ἐπὶ δὲ τῶν ἐμψύχων τό τε γῆρας ταὐτὸ ποιεῖ τοῦτο καὶ τῶν νόσων αἱ μακραὶ καὶ συντηκτικαί. ἀναιρουμένης γὰρ ἢ λεπτυνομένης τῆς τοῦ θερμοῦ τροφῆς ἐκλύειν αὐτὸ συμβαίνει. ὑγρῷ μὲν γὰρ τρέφεται τὸ θερμόν, τούτῳ δὲ οὐ τῷ τυχόντι, ἀλλὰ λείῳ καὶ πλείονι. διὸ τοῖς νοσοῦσι τὰς εἰρημένας νόσους καὶ πρεσβυτέροις φθειρομένου τοῦ τοιούτου καὶ ἀλλοιουμένου (δριμὺ γὰρ καὶ αὐχμηρὸν ἀντὶ λείου καὶ λιπαροῦ γίνεται) συμβαίνει ἐκλείπειν αὐτό. σημεῖον δὲ τῶν εἰρημένων ἐστὶν αἱ γινόμεναι βοήθειαι τοῖς μαράνσει τὸν βίον ἐκλείπουσιν· ὅ τι γὰρ ἂν ἐπιστάξῃ τις αὐτοῖς τῶν τροφωδῶν ὑγρῶν, προσαναφέρεσθαι συμβαίνει τὸ δὲ ὀπτικὸν αὐτῶν, ὡς τῇ τοῦ τοιούτου ἐκλείψει γινομένης τῆς διαλύσεως. ἔοικε δὲ τοῖς ἀκρατοποτοῦσι τοῦτ' εἶναι αἴτιον. ὢν γὰρ θερμὸς ὁ οἶνος μετὰ τῆς φύσει ὑπαρχούσης θερμότητος μᾶλλον ἀναλίσκει τὰ ἐν τῷ σώματι ὑπάρχοντα ἐφόδια τῷ οἰκείῳ θερμῷ. διὸ συμβαίνει τοὺς μὲν ὑδρωπικοὺς αὐτῶν γίνεσθαι, τοὺς δὲ ῥευματικούς, τοὺς δὲ εἰς τὴν κοιλίαν. τά τε γὰρ λοιπὰ αὐτοῖς ὑγρὰ δριμέα ἐστί, καὶ τὰ εἰσιόντα δι' ἀσθένειαν τοῦ οἰκείου θερμοῦ ἁπαλὰ ὄντα οὐ παχύνεται. ἀσθενὲς δέ ἐστι τὸ θερμὸν τῷ τὴν ὕλην εἶναι τοιαύτην ἐν ᾧ ἔτι σώζεται, καθάπερ τὸ καλάμινον πῦρ· καὶ γὰρ τοῦτο διὰ τὴν τῆς ὕλης ἀσθένειαν ἀσθενέστερόν ἐστι τοῦ ξυλίνου.

Διὰ τί οἱ μεθύοντες θερμοῦ ὄντος τοῦ οἴνου δύσριγοί 6
εἰσι, καὶ τάχιστα ἁλίσκονται ὑπὸ πλευρίτιδος καὶ τῶν τοιούτων νόσων; ἢ ὅτι τὸ πολὺ ὑγρὸν ἐὰν ψυχθῇ, πολὺ ψυχρὸν γίνεται, ὥστε κρατεῖν τῆς φυσικῆς θερμότητος, πάντα δὲ τὰ ὑγρότερα θερμότερά ἐστι τὴν φύσιν. σημεῖον δέ· θερμαίνεται μὲν γὰρ τοῖς ἐκτός, ὑγραίνεται δὲ οὔ. εἰ δ' ἧττόν ἐστι θερμά, καὶ ἀπολείπει δῆλον ὅτι θᾶττον αὐτὰ ἡ θερμότης ἢ ὑγρότης, ὥστε λειφθέντων ψυχρῶν ὑγρῶν

1. οἰνοποσίας καὶ μέθης C^a. ‖ 4. ψυχθῇ καὶ πολύ C^a. ‖ 6. ὑγρῷ] ἐν τῷ C^a. ‖ 8. περιοινοῦσιν $C^aX^aY^a$. ‖ 9. et 13. ἀκροθόρηκες C^a. ‖ 9. πεπόκασιν et 11. πεποκότες C^a. ‖ 15. ὑπὸ om C^a. ‖ 16. κεκραμμένον C^a. ‖ 17. οἱ om X^a. ‖ 24. ἐξύγραται C^a. ‖ 28. τρόπος C^a. ‖ 32. φλιβολίτας C^aY^a. ‖ 37. τῇ om pr X^a. ‖ 39. θερμός] θερμός τις Y^a, θερμός τις ὁ οἶνος X^a.

4. παρὰ add margo X^a. ‖ ἄλλον τρόπον C^a. ‖ καταψύξεως. ϛ. ἀναιρεθείσης X^a. ‖ 5. δὲ] γάρ? ‖ 6. μὲν om X^a. ‖ 12. τοῦτο X^a. ‖ 13. πλείονι] immo πίονι. ‖ 19. τροφῶν C^a. ‖ 20. ὡς ἐν τῇ X^a. ‖ 21. αἴτιον — 23. ἀναλίσκει τὰ om C^a. ‖ 26. ὑγρὰ αὐτοῖς X^a. ‖ 29. ἐν] τι C^a. ‖ 33. ὑπὸ πλευρίτιδες ἁλίσκονται X^a. ‖ 34. τὸ om C^a. ‖ 35. κρατεῖ Y^a. ‖ 36. ψυχρότερά X^a. ‖ 39. ληφθέντων X^aY^a.

εἰκότως ῥιγοῦσί τε μᾶλλον οἱ μεθύοντες καὶ τὰ τοῦ ῥίγους οἰκεῖα πάσχουσι πάθη.

7 Διὰ τί οἱ μὲν παῖδες θερμοὶ ὄντες οὐ φίλοινοί εἰσι, Σκύθαι δὲ καὶ οἱ ἄνδρες οἱ ἀνδρεῖοι θερμοὶ ὄντες φίλοινοι; ἢ ὅτι οἱ μὲν θερμοὶ ὄντες καὶ ξηροί (ἡ γὰρ τοῦ ἀνδρὸς ἕξις τοιαύτη), οἱ δὲ παῖδες ὑγροὶ καὶ θερμοί. ἡ δὲ φιλοποσία ἐστὶν ἐπιθυμία ὑγροῦ τινός· ἡ οὖν ὑγρότης κωλύει διψητικοὺς εἶναι τοὺς παῖδας· ἔνδεια γάρ τις ἐστὶν ἡ ἐπιθυμία.

8 Διὰ τί μεθύοντες μᾶλλον διαισθανόμεθα τὰ ἁλυκὰ καὶ τὰ μοχθηρὰ ὕδατα, νήφοντες δὲ ἧττον; ἢ ὅτι τὸ οἰκεῖον ὑπὸ τοῦ οἰκείου ἐστὶν ἀπαθές, καὶ τὸ ὁμοίως διακείμενον, τὰ δὲ ἐναντία τῶν ἐναντίων ἐστὶν αἰσθητικώτατα. ὁ μὲν οὖν μεθύων γλυκεῖς ἐν αὐτῷ χυμοὺς ἔχει (τοιοῦτο γὰρ ὁ οἶνος δοκεῖ), καὶ τῶν φαύλων χυμῶν αἰσθητικώτερός ἐστι, ὁ δὲ νήφων δριμεῖς καὶ ἁλυκούς. τῆς τροφῆς οὖν πεπεμμένης οἱ περιττωματικοὶ ἐπιπολάζουσιν. οὗτοί τε οὖν εἰσὶν ἀπαθεῖς ὑπὸ τῶν ὁμοίων, καὶ τὸν ἔχοντα ποιοῦσιν.

9 Διὰ τί τοῖς μεθύουσι σφόδρα κύκλῳ πάντα φαίνεται φέρεσθαι, καὶ ἤδη ἁπτομένης τῆς μέθης ἀθρεῖν τὰ πόρρω οὐ δύνανται; διὸ καὶ σημεῖον τῆς μέθης αὐτὸ ποιοῦνταί τινες. ἢ ὅτι κινεῖται ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ ὄψις πυκνάκις; διαφέρει οὖν οὐθὲν τὴν ὄψιν κινεῖν ἢ τὸ ὁρώμενον· ταὐτὸ γὰρ ποιεῖ πρὸς τὸ φαίνεσθαι τὰ εἰρημένα. ἐπεὶ δὲ καὶ περὶ τὰ πλησίον ὄντα διαψεύδεσθαι τὴν ὄψιν συμβαίνει τῶν μεθυόντων, καὶ περὶ τὰ πόρρω μᾶλλον εἰκὸς ταῦτα πάσχειν. διόπερ ἐκεῖνα μὲν ὅλως οὐχ ὁρᾶται, τὰ δ' ἐγγὺς οὐκ ἐν ᾧ τόπῳ ἐστὶν ὁρᾷ. κύκλῳ δὲ φαίνεται φέρεσθαι, καὶ οὐκ ἐγγὺς καὶ πόρρω, ὅτι εἰς μὲν τὸ πόρρω διά τε τὴν κύκλῳ κίνησιν ἀδυνατωτέρα ἐστὶ φέρεσθαι ἡ ὄψις. ἅμα γὰρ τἀναντία ποιεῖν οὐ ῥᾴδιον. ἔστι δὲ ἡ μὲν πόρρω ἐπιθυμία σφοδρά, ἡ δὲ κύκλῳ ἐν ᾧ τοὔνομα σημαίνει σχήματι. διά τε οὖν τὰ εἰρημένα πόρρω οὐ φέρεται· καὶ εἰ φέροιτο τὸ ἐγγὺς καὶ πόρρω, οὐκ ἂν ταῦθ' ὁρῴη. ἀπολείποι γὰρ ἂν ἐν θατέρῳ χρόνῳ αὐτῶν τὸ ὁρώμενον ἐν ταὐτῷ τόπῳ, ἀπολείπων δὲ οὐκ ἂν ὁρῴη. κύκλῳ δὲ φέρεται διὰ τὸ ὑπάρχον σχῆμα τῆς ὄψεως. ἔστι γὰρ κώνος, οὗ ἡ βάσις κύκλος, ἐν ᾧ κινουμένη ὁρᾷ μὲν τοῦτο διὰ τὸ μηδέποτε ἀπολείπειν αὐτό, διέψευσται δὲ τῷ τόπῳ διὰ τὸ μὴ τὴν αὐτὴν ὄψιν ἐπιβάλλειν ἐπ' αὐτό. ταὐτὸν γὰρ ἂν ἦν ἢ τοῦτο πρὸς τὴν ὄψιν κινεῖν ἢ τὴν ὄψιν πρὸς τοῦτο.

Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἐκ 10 ὁρῶσιν; ἢ καθάπερ εἴρηται, κινουμένης τῆς ὄψεως συμβαίνει μηθένα χρόνον τὴν αὐτὴν ἐπὶ ταὐτοῦ ἠρεμεῖν ὄψιν; τὸ δ' ἐν ταὐτῷ χρόνῳ ἑτέρως ὁρώμενον ὀψιαίτερον εἶναι δοκεῖ· ἀφῇ γὰρ ὄψεως ὁρᾶται τὸ ὁρώμενον, ἅπτεσθαι δὲ πλειόνων ἅμα τοῦ αὐτοῦ ἀδύνατον. ὄντος δὲ ἀναισθήτου τοῦ μεταξὺ χρόνου, ἐν ᾧ ἡ ὄψις ἥπτετο καὶ παρήλλαττε τὸ ὁρώμενον, εἷς εἶναι δοκεῖ χρόνος ἐν ᾧ τε ἧπται καὶ παρήλλαχεν· ὥστ' ἐν τῷ αὐτῷ χρόνῳ ταὐτοῦ πλειόνων ἁπτομένων ὄψεων πλείω δοκεῖ εἶναι τὰ ὁρώμενα, διὰ τὸ ταῦτα κατὰ τὸν αὐτὸν τρόπον ἀδύνατον εἶναι ἅπτεσθαι.

Διὰ τί οἱ μεθύοντες ἀφροδισιάζειν ἀδύνατοί εἰσιν; ἢ 11 ὅτι δεῖ τινὰ τόπον ἐκθερμανθῆναι μᾶλλον τοῦ ἄλλου σώματος, τοῦτο δὲ ποιεῖν διὰ τὸ πλῆθος τῆς ἐν ὅλῳ τῷ σώματι θερμασίας ἀδυνατοῦσιν· ἀποσβέννυται γὰρ τὸ ὑπὸ τῆς κινήσεως γινόμενον θερμὸν ὑπὸ τοῦ περιέχοντος μᾶλλον, ἔτι πολύ ἐστιν ἐν αὐτοῖς τὸ ὑγρὸν καὶ ἄπεπτον. ἔτι δὲ τὸ σπέρμα ἐκ τροφῆς· τροφὴ δὲ πᾶσα πέττεται· ἧς πληρωθέντες ὁρμητικοί εἰσι πρὸς τὰ ἀφροδίσια. διὸ καὶ κελεύουσί τινες πρὸς τὴν πρᾶξιν τὴν τοιαύτην ἀριστᾶν μὲν πολύ, δειπνεῖν δὲ ὀλίγον, ἵνα ᾖ αὐτοῖς ἐλάττω τὰ ἄπεπτα τῶν πεπεμμένων.

Διὰ τί ὁ γλυκὺς καὶ ἄκρατος καὶ ὁ κυκεὼν μεταξὺ 12 διαπινόμενοι ἐν τοῖς πότοις νήφειν ποιοῦσιν; καὶ διὰ τί ἧττον μεθύσκονται ταῖς μεγάλαις κωθωνιζόμενοι; ἢ πάντων τὸ αὐτὸ αἴτιόν ἐστιν, ἡ παράκρουσις τοῦ ἐπιπολῆς θερμοῦ; τὸ γὰρ μεθύειν ἐστίν, ὅταν ᾖ τὸ θερμὸν ἐν τοῖς περὶ τὴν κεφαλὴν τόποις.

Διὰ τί τοῦ γλυκέος ἐπιπολαστικοῦ ὄντος, ἐάν τις με- 13 θύων ἤδη ἐπιπίῃ γλυκύ, καταπέττεται ὁ ἐνυπάρχων οἶνος καὶ ἧττον ἐνοχλεῖ; ἢ ὅτι τὸ μὲν γλυκὺ λεαντικόν τέ ἐστι καὶ γλίσχρον (ἐμφράττει οὖν τοὺς πόρους), τὸ δὲ αὐστηρὸν τραχυντικόν· καὶ τὸ μὲν εὐπετῆ ποιεῖ τῷ θερμῷ τὴν ἀναφοράν, ὁ δὲ γλυκὺς στέγει αὐτό, τοὺς πόρους ἐμφράττων.

1. τε om C^a. ‖ τὰ] κατὰ C^a. ‖ 12. αἰσθητικώτερα $C^a Y^a$. ‖ 17. εἰσὶν οἱ ἀπαθεῖς C^a. ‖ 20. δύναται Y^a. ‖ 22. πολλάκις pr C^a. ‖ τὴν ὄψιν οὐθὲν X^a. ‖ 23. δὲ om C^a. ‖ 24. συμβαίνει τὴν ὄψιν C^a. ‖ 27. οὐδ' X^a. ‖ 31. τὸ ὄμμα pr X^a. ‖ 32. τε] τι X^a. ‖ 33. οὐ καὶ codices. ‖ 34. ἀπολείπει X^a. ‖ ἂν om C^a.

6. χρόνον et δ' om C^a. ‖ 7. ἐν om x. ‖ 9. δὲ om C^a. ‖ 10. ὄψις τε ἥπτετο καὶ παρήλλασε C^a. ‖ 11. ἥπτετο QK^aO^a. ‖ παρήλλαττεν K^aO^a. ‖ 12. αὐτῷ om QK^a. ‖ ταὐτῷ QK^aX^a. ‖ 13. τὸ om QK^a. ‖ ταύτας K^a. ‖ 14. χρόνον K^a. ‖ εἶναι om C^a. ‖ 16. μᾶλλον δεῖ τοῦ C^a. ‖ 19. θερμὸν γινόμενον X^a. ‖ 26. καὶ ὁ ἄκρατος Y^a. om καὶ C^a. ‖ 27. θωνιξάμενοι pr C^a, πινόμενοι margo. ‖ 30. ἐν om X^a. ‖ 33. καταπάττεται Y^a. ‖ 34. τε om C^a.

ὅτι δὲ τῶν ἄνω θερμανθέντων ἐστὶν ἡ μέθη, εἴρηται. ἔτι δὲ ὁ μὲν γλυκὺς ἄνοδμος, ὁ δὲ αὐστηρὸς οὔ· ὀσμὴ δὲ πᾶσα βαρύνει κεφαλήν.

14 Διὰ τί ἀπὸ τοῦ κεκραμένου μὲν ἀκρατεστέρου δὲ ἔωθεν μᾶλλον πονοῦσι τὴν κεφαλὴν ἢ ἀπὸ τοῦ ἀκράτου; ἢ ὅτι ὁ μὲν ἄκρατος παχυμερὴς ὢν εἰς τοὺς περὶ τὴν κεφαλὴν πόρους στενοὺς ὄντας αὐτὸς μὲν οὐκ εἰσπίπτει, ἡ δὲ δύναμις αὐτοῦ, ἡ ὀσμὴ καὶ θερμότης· ὁ δὲ κεκραμένος μιχθεὶς λεπτῷ τῷ ὕδατι αὐτὸς εἰσδύεται, ἔχων δὲ σῶμα, καὶ τῆς δυνάμεως πολὺ τῆς τοῦ ἀκράτου, δυσπεπτότερός ἐστιν. τά τε γὰρ ὑγρὰ πάντων δυσπεπτότατα, καὶ τὰ σώματα τῶν ἐν αὐτοῖς δυνάμεων.

15 Διὰ τί μᾶλλον δύνανται πιεῖν εἰς μέθην οἱ ἀγύμναστοι τῶν γεγυμνασμένων, καὶ ῥᾷον ἀπαλλάττουσιν; ἢ ὅτι οἱ ἔχοντες περίττωμα καὶ ὑγρὸν ἐν αὑτοῖς οὐρητικοὶ γίνονται· ὅπερ ποιεῖ δύνασθαι πίνειν καὶ ὕστερον κούφως ἔχειν διὰ τὸ μὴ ἐμμένειν πολὺ ὑγρὸν οἰνῶδες. οἱ μὲν οὖν ἀγύμναστοι ὑγροὶ καὶ περιττωματικοί εἰσιν, οἱ δὲ γεγυμνασμένοι ξηροί, ὥστ' εἰς τὸ σῶμα τούτοις ἡ ὑγρότης ἡ οἰνηρὰ ἀφικνεῖται. εὐθύς τε οὖν ἀντισπᾷ τῇ οὐρήσει ἡ φορὰ αὕτη, καὶ ὕστερον ἐμμένον τὸ ὑγρὸν τοῦτο ἐν τῷ σώματι βάρος ποιεῖ.

16 Διὰ τί ὁ οἶνος καὶ τετυφωμένους ποιεῖ καὶ μανικούς; ἐναντία γὰρ ἡ διάθεσις· ὁ μὲν γὰρ μᾶλλον ἤδη ἐν κινήσει, ὁ δὲ ἧττον. ἢ ὥσπερ Χαιρήμων εἶπε, "τῶν χρωμένων γὰρ τοῖς τρόποις κεράννυται." τἀναντία οὖν ποιεῖ οὐ ταὐτὰ ἀλλὰ τὰ μὴ ὁμοίως ἔχοντα, ὥσπερ καὶ τὸ πῦρ τὰ μὲν ξηραίνει τὰ δὲ ὑγραίνει, ἀλλ' οὐ ταὐτά, καὶ τήκει τὸν κρύσταλλον καὶ πήγνυσι τοὺς ἅλας. καὶ ὁ οἶνος (ὑγρὸς γάρ ἐστι τὴν φύσιν) τοὺς μὲν βραδυτέρους ἐπιτείνει καὶ θάττους ποιεῖ, τοὺς δὲ θάττους ἐκλύει. διὸ ἔνιοι τῶν μελαγχολικῶν τῇ φύσει ἐν ταῖς κραιπάλαις ἐκλελυμένοι γίνονται πάμπαν. ὥσπερ γὰρ τὸ λουτρὸν τοὺς μὲν συνδεδεμένους τὸ σῶμα καὶ σκληροὺς εὐκινήτους ποιεῖ, τοὺς δὲ εὐκινήτους καὶ ὑγροὺς ἐκλύει, οὕτως ὁ οἶνος, ὥσπερ λούων τὰ ἐντός, ἀπεργάζεται τοῦτο.

17 Διὰ τί ἡ κράμβη παύει τὴν κραιπάλην; ἢ ὅτι τὸν μὲν χυλὸν γλυκὺν καὶ ῥυπτικὸν ἔχει (διὸ καὶ κλύζουσιν αὐτῷ τὴν κοιλίαν οἱ ἰατροί), αὐτὴ δ' ἐστὶ ψυχρά. σημεῖον δέ· πρὸς γὰρ τὰς σφοδρὰς διαρροίας χρῶνται αὐτῇ οἱ ἰατροί, ἕψοντες σφόδρα καὶ ἀποξυλίζοντες καὶ ψύχοντες. συμβαίνει δὴ τῶν κραιπαλώντων τὸν μὲν χυλὸν αὐτῆς εἰς τὴν κοιλίαν κατασπᾶν τὰ ἐν αὐτοῖς ὑγρά, οἰνηρὰ καὶ ἄπεπτα ὄντα, αὐτὴν δὲ ὑπολειπομένην ἐν τῇ ἄνω κοιλίᾳ ψύχειν τὸ σῶμα. ψυχομένου δὲ ὑγρὰ λεπτὰ συμβαίνει εἰς τὴν κύστιν φέρεσθαι. ὥστε κατ' ἀμφότερα τῶν ὑγρῶν ἐκκρινομένων διὰ τοῦ σώματος, καὶ καταψυχομένου, εἰκότως ἀκραίπαλοι γίνονται· ὁ γὰρ οἶνος ὑγρὸς καὶ θερμός ἐστιν. ἔτι δὲ συμβαίνει τῶν ὑγρῶν κατασπωμένων καὶ ἐκκρινομένων κάτω καὶ πνεῦμα ἐπάγεσθαι αὐτοῖς, ὅπερ μόνον ἀπὸ τοῦ οἴνου εἰς τὴν κεφαλὴν φερόμενον τὸν κάρον καὶ τὴν κραιπάλην ποιεῖ. κάτω δὲ ὁρμήσαντος καὶ καταψυχομένου τοῦ σώματος διὰ τὰ εἰρημένα, λύεται ὁ τῆς κραιπάλης πόνος. ἔστι γὰρ ἡ κραιπάλη ζέσις τις καὶ φλεγμασία λήγουσα. λυπεῖ δὲ μᾶλλον τῆς μέθης, ὅτι ἐκείνη μὲν ἐξίστησιν, ἡ δὲ κραιπάλη ἐν αὐτοῖς οὖσι τὸν πόνον παρέχει· καθάπερ οὖν καὶ ὑπὸ τῶν πυρετῶν οἱ λαμβανόμενοι παίζουσι μᾶλλον ἢ ἀλγοῦσι, παρ' αὑτοῖς δὲ γενόμενοι οἱ αὐτοί, κουφισθέντες τοῦ πάθους, ἀλγοῦσιν. ταὐτὰ γὰρ καὶ ἐπὶ τῆς κραιπάλης καὶ ἐπὶ τῆς μέθης συμβαίνει.

18 Διὰ τί μᾶλλον ἐμετιᾶν ποιεῖ ὁ ὑδαρὴς οἶνος ἢ τὸ ὕδωρ καὶ ὁ ἄκρατος; ἢ ὅτι ἐμεῖν μὲν μάλιστα ποιεῖ τὰ ἐπιπολαστικὰ καὶ ὅσα ἀηδῆ ἐστίν. ἔστι δὲ ὁ μὲν οἶνος κατακρουστικός, τὸ δὲ ὕδωρ λεπτὸν καὶ οὐκ ἀηδές. διὰ μὲν οὖν τὸ λεπτὸν [καὶ οὐκ ἀηδὲς] εἶναι κάτω διέρχεται ταχύ, διὰ δὲ τὸ μὴ ἀηδὲς οὐ ποιεῖ καρδιώττειν. ὁ δὲ κεκραμένος λίαν οὐκ ἔστι λεπτὸς ὥστε διαρρεῖν ταχύ, διὰ δὲ τὸ μικρὸν ἔχειν οἴνου ἀηδής ἐστιν· ταράττει γὰρ τὴν αἴσθησιν τῷ πλείους ἐν αὐτῇ τὰς κινήσεις ἐμποιεῖν, τήν τ' ἀπὸ τοῦ οἴνου καὶ τοῦ ὕδατος· αἰσθηταὶ γὰρ ἄμφω γίνονται. ὁ δ' εὔκρατος τὴν μὲν τοῦ ὕδατος αἴσθησιν ἀφανίζει, οἴνου δὲ μαλακοῦ ποιεῖ αἴσθησιν· διὸ ἡδέως πίνεται. ἀηδὴς δὲ ὢν ὁ ὑδαρὴς οἶνος ἐπιπολαστικός ἐστι· τὸ δὲ τοιοῦτον ἐμετικόν ἐστιν.

19 Διὰ τί μεθύοντες μᾶλλον διαισθανόμεθα τὰ ἀλυκὰ

4. κρεμμαμένου C^a. ‖ 6. παχυμερής πως ὢν C^a. ‖ τοὺς om X^a. ‖ 9. τῷ et 10. τοῦ om C^a. ‖ δυσπεπτότερα C^a. ‖ 11. πάντα X^a. ‖ 13. ποιεῖν X^a. ‖ 15. ἔχοντες τὸ περίττωμα C^a. ‖ 21. τῷ om C^a. ‖ 22. βάρους X^a. ‖ 24. ἤδη om pr X^a. ‖ 25. ἢ om C^a. ‖ 26. γὰρ om C^a. ‖ 27 et 28. ταῦτα C^a. ‖ 29. τὸ X^a. ‖ 30. δακρυτέρους C^aY^a. ‖ 31. διότι C^a. ‖ 34. ἀκινήτους C^a. ‖ 35. λύων C^a.

1. γλυκὺ Y^a. ‖ 4. ἀποχυλίζοντες margo u. ‖ 5. δὲ X^a. ‖ κραιπαλούντων C^a. ‖ 10. διὰ τοῦ σώματος om C^a. ‖ 11. ὑγρὸς] ψυχρὸς C^a. ‖ 12. κρινομένων X^a. ‖ 13. ὅθεν C^aY^a. ‖ 19. ἐν ἑαυτοῖς X^aY^a. ‖ 20. καὶ om C^a. ‖ παίουσι margo u, om C^a. ‖ 22. ταῦτα C^a. ‖ 24. ὑδαρὴς] βαρὺς C^a. ‖ 25. τὸ ἄκρατον $C^aX^aY^a$. ‖ ποιεῖ om $C^aX^aY^a$. ‖ 28. διὰ δὲ — 30. ταχύ om C^a. ‖ 32. αὐτῷ C^a. ‖ τὰς om C^aY^a. ‖ 37. μάλιστα X^a.

καὶ τὰ μοχθηρὰ ὕδατα, νήφοντες δ' ἧττον; ἢ ὅτι τὰ λυπηρὰ μᾶλλον δῆλα τοῖς μὴ ἐπιθυμοῦσι, τοὺς δ' ἐπιθυμοῦντας διαλανθάνει; ὁ μὲν οὖν ἡδέως ἔχων ὁμοίως τῷ ἐπιθυμοῦντι ἔχει, ὁ δὲ νήφων οὕτως ἔχει· ὁ δὲ μεθύων πλήρης.

20 Διὰ τί τοῖς μεθύουσι σφόδρα κύκλῳ πάντα φαίνεται φέρεσθαι, καὶ ἤδη ἁπτομένης μᾶλλον τῆς μέθης ἀριθμεῖν τὰ πόρρω οὐ δύνανται; διὸ καὶ σημεῖον τῆς μέθης ποιοῦνται αὐτό τινες. ἢ ὅτι κινεῖται ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ ὄψις πυκνάκις; ὥσπερ οὖν ὅταν ὑποθῇ τις ὑπὸ τὸν ὀφθαλμόν, δύο φαίνεται, οὕτω καὶ τοῖς μεθύουσιν. οὐδὲν γὰρ διαφέρει, ἐὰν μὲν ὑποθῇ, κινῇ δὲ τὴν ὄψιν, οὐδ' ἐὰν ἔξωθεν ἢ ἔσωθεν· ἀμφοτέρως γὰρ τὸ αὐτὸ πάσχει ἡ ὄψις. ὥστε οὐ δόξει μένειν τὸ ὁρώμενον, καὶ τὸ πόρρωθεν ἔτι μᾶλλον· ἔτι γὰρ ἧττον κρατεῖ ἀποτεινομένης τῆς ὄψεως, καὶ πλέον τὸ διάστημα ἐπὶ τῷ ἄκρῳ ποιεῖ ἡ ἐγγὺς αὕτη κίνησις. ἂν δὲ σφόδρα κινῆται καὶ ὁμαλῶς ἄνω καὶ κάτω, ἧττον κρατήσει τοῦ πόρρω. πάντα δὲ ἀποτεινόμενα κύκλῳ φέρεται, οἷον οἱ ὀϊστοὶ καὶ τὰ καταρτώμενα. καὶ ἡ ὄψις οὖν δι' ἀσθένειαν ταὐτὸ πάσχει ὥσπερ ἂν εἰ πόρρω ἐφέρετο. διαφέρει δ' οὐδὲν τὴν ὄψιν κινεῖν ἢ τὸ ὁρώμενον· ταὐτὸ γὰρ ποιεῖ πρὸς τὸ φαίνεσθαι.

21 Διὰ τί, ὅταν ἀθρόως πίνωσι, ξηρότεραι αἱ κοιλίαι γίνονται, ὅτε δεῖ ὑγραίνεσθαι μᾶλλον ὑπὸ τοῦ πλείονος; ἢ ὅτι τοῦ μὲν πολλοῦ καὶ ἀθρόου οὐ κρατεῖ ἡ κοιλία, ἀλλ' εἰς τὸν αὐτοῦ ἔρχεται τόπον ἀπαθές; ἔστι δὲ ὑγροῦ τόπος ἀπέπτου ἡ κύστις. τοῦ δὲ ὀλίγου κρατεῖ καὶ πέττει, ὥστε μένον ὑγραίνει.

22 Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ εὔκρατον πίνοντες ἢ οἱ ἄκρατον; ἢ διὰ τὴν λεπτότητα εἰς πλείους τόπους ὁ κεκραμένος εἰσέρχεται, καθάπερ ἐν τοῖς ἱματίοις, καὶ ἔστι δυσεξαγωγότερος· τὸ δὲ ὕδωρ λεπτομερέστερον μέν, ἀλλ' εὐέξοδον. ἢ διότι ἔλαττον πίνουσιν ἄκρατον διὰ τὸ μὴ δύνασθαι, καὶ μᾶλλον ἀπεμοῦσιν; ἔτι δὲ συμπέττει τὰ λοιπά. ταὐτὸ δ' ἐστὶ πρόβλημα.

23 Διὰ τί ὑπὸ τοῦ ἀκράτου ἀποθνήσκουσιν, ἐάν τις προϊσχυάνας πολὺ πίῃ; καὶ μὴ προϊσχνάναντες δὲ πολλοὶ τῶν φιλοπότων ἀθρόον πολὺ πίνοντες ξηροὶ γίνονται· δοκεῖ γὰρ ὅ τε οἶνος τῶν θερμῶν εἶναι τὴν φύσιν καὶ τὸ ζῆν, τὸ δὲ ἀποθνήσκειν κατάψυξις. ἢ ὥσπερ καὶ ἀπὸ τοῦ κωνείου, σβεννυμένου κατὰ μικρὸν τοῦ θερμοῦ τοῦ οἰκείου. ἀλλὰ τρόπον ἕτερον· τὸ μὲν γὰρ τῇ ψυχρότητι πήγνυσι τὸ ὑγρὸν καὶ θερμόν, ὁ δ' οἶνος τῇ θερμότητι τῇ αὐτοῦ μαραίνει τὴν φυσικὴν θερμότητα. ὥσπερ οὖν ὑπὸ τοῦ πολλοῦ πυρὸς καὶ ἡλίου τὸ ὀλίγον πῦρ ἀποσβέννυται, οὕτως ἡ ἐν τοῖς σώμασι θερμότης ὑπὸ τῆς ἐν τῷ οἴνῳ, ἐὰν ὑπερβάλλῃ.

Διὰ τί οἱ μεθύοντες ἀριδάκρυοι μᾶλλον; ἢ ὅτι θερμοὶ 24
καὶ ὑγροὶ γίνονται· ἀκρατεῖς οὖν εἰσίν, ὥστε ὑπὸ μικρῶν κινεῖσθαι.

Διὰ τί ἧττον μεθύσκονται ταῖς μεγάλαις κωθωνιζό- 25
μενοι; πάντων γὰρ ταὐτὸ αἴτιον ἡ κατάκρουσις, τουτέστιν ἐπιπολῆς. τὸ μὲν γὰρ μεθύειν ἐν τοῖς περὶ κεφαλὴν τόποις. ἢ ὅτι δεῖ πρὸς τοὺς ὕπνους ὑγρότητα ἐνυπάρχειν θερμότης· αὕτη γὰρ εὔπεπτος. ἂν δὲ μὴ ἐνῇ ὑγρότης ὀλίγη ἢ δύσπεπτος, οὐ γίνεται ὕπνος. διὸ ἐν τοῖς κόποις καὶ μετὰ τὰ σιτία καὶ τοὺς πότους ὑπνωτικώτατοι γίνονται ὑπὸ τῆς θέρμης. τοῖς δὲ μελαγχολικοῖς καὶ τοῖς μεγάλας πυρετοῖς ἀγρυπνία, τοῖς μὲν ὅτι κατέψυκται το ὑγρόν, τοῖς δὲ ὅτι οὐκ ἔστιν ἢ ὀλίγον. φανερὸν οὖν ὅτι εἰς ταῦτα βλεπτέον καὶ ἕτερον τῶν παθῶν.

Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι, καὶ μᾶλλον ὅσῳ ἂν 26
ἀκρατοποτῶσιν; ἔστι δὲ ὁ μὲν οἶνος θερμαντικός, ὁ δὲ τρόμος γίνεται μάλιστα ὑπὸ ψυχροῦ, διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσιν. πολλοῖς δ' ἤδη χρωμένοις μόνῳ ἀκράτῳ τροφῆς χάριν τρόμοι τε ἰσχυροὶ συνέβησαν, ὥστε ἀπορρίπτειν τοὺς θλίβοντας, καὶ τῷ θερμῷ ὕδατι λουόμενοι ἀναισθήτως εἶχον. ἕτεροι δὲ τοῦτον τὸν τρόπον διαιτώμενοι, καὶ τρίψεσι χρώμενοι καὶ τροφῇ κρέασι, πρὸς ἀποπληκτικὰς ἀρρωστίας ἤλασαν· οἷς τρόμοι μὲν διὰ τὴν ἀκινησίαν ἧττον ἐνέπιπτον, πόνος δὲ ἰσχυρὸς καὶ τὸ μὴ δύνασθαι ἡσυχάζειν. ἔτι δὲ τοῦ μὲν τρόμου αἰτία ἡ ψυχρότης· φαίνονται γάρ, ὥσπερ εἴρηται, οἵ τε ῥιγῶντες τοῦτο πάσχοντες καὶ οἱ σφόδρα γέροντες· ἀμφοτέρων δὲ τούτων τῶν μὲν τὸ πάθος ψυχρόν, τῶν δὲ ἡ ἡλικία· ὁ δὲ οἶνος θερμαντικώτατος, ὥσθ' ὑπεναντίον ἄν τι συμβαίνοι. ἢ οὐθὲν κωλύει γίνεσθαι ταὐτὸ ὑπὸ ἐναντίων, μὴ ὡσαύτως δὲ ποιούντων, οἷον καὶ ὑπὸ τῶν πάγων ἀποκάεται καὶ ὑπὸ θερμοῦ, ὅταν ὁ πάγος ἀθρόον ποιήσῃ τὸ

3. λανθάνει X^a. ‖ 7. δύναται X^a. ‖ 10. γὰρ om C^a. ‖ 11. μὲν ὑποθῇ μὲν κ. C^aY^a. ‖ κινεῖ C^a. ‖ 18. οἱ om X^a. ‖ ἱστοὶ C^aY^a. ‖ καταρτώματα C^a. ‖ 19. ὥσπερ om C^a. ‖ 25. αὐτὸν $C^aX^aY^a$. ‖ 29. ἄκρατον πίνοντες; ἢ X^aY^a. ‖ κεκραμμένος C^a. ‖ 30. τοῖς om C^a. ‖ 35. τί οἱ ὑπὸ X^a. ‖ προϊσχάνας et 36. προϊσχάναντες C^a et pr Y^a. ‖ 37. πιόντες Y^a.

1. καὶ om X^a. ‖ κονίου Y^a. ‖ 3. θερμότητι πήγνυσι τὸ θερμὸν καὶ ὑγρὸν C^a. ‖ 4. τῇ om C^a. ‖ 6. οὕτω καὶ ἡ Y^a. ‖ 7. ὑπερβάλλει Y^a. ‖ 8. ἢ] ἢ ὅτι θερμοὶ καὶ ὑγροὶ μᾶλλον ἢ X^a. ‖ 13. περὶ τὴν κεφαλὴν C^a. ‖ 15. αὕτη] αὖ C^aY^a et pr X^a, ἂν rc. ‖ εὔπεπτος C^a. ‖ 16. κόλποις X^a. ‖ 17. πόνους X^aY^a. ‖ 18. τοῖς μ.] τὰς μ. C^aX^a. ‖ 19. ἀγρυπνίας C^aX^a. ‖ τὸ ὑγρὸν Gaza: codices τούτων. ‖ 30. οἷς om $C^aX^aY^a$. ‖ ἔπιπτον C^a. ‖ 31. ἡσυχάζειν ἤδη. ἔτι C^aY^a. utramque particulam om X^a. ‖ 36. συμβαίνει Y^a, συμβαίνῃ C^aX^a. ‖ 37. ἀπὸ codices. ‖ 38. καὶ om X^a.

θερμόν· ὥστ' ἔστι μὲν ὡς ὑπ' ἐναντίων τὸ πάθος τὸ αὐτὸ συμβαίνειν, ἔστι δὲ ὡς ὑπὸ τοῦ αὐτοῦ τὸ αὐτό. ὁ δὲ τρόμος γίνεται μὲν ὑπ' ἐνδείας θερμοῦ, οὐ παντὸς ἀλλὰ τοῦ οἰκείου. φθείρεται δὲ τὸ θερμὸν ἢ μαράνσει ἢ σβέσει, σβέσει μὲν ὑπὸ τῶν ἐναντίων, ὑπὸ ψυχροῦ καὶ ὑγροῦ, μαράνσει δὲ ἐνδείᾳ τροφῆς, οἷον οἱ λύχνοι, ὅταν μὴ ἔχωσιν ὑπέκκαυμα μηδ' ἔλαιον· ἢ ὑπὸ θερμοῦ ἀλλοτρίου, οἷον τὸ πῦρ ἐν τῷ ἡλίῳ καὶ οἱ λύχνοι παρὰ τῷ πυρί. οἱ μὲν οὖν ῥιγῶντες ὑπὸ ψυχροῦ σβεννυμένου τοῦ θερμοῦ τρέμουσιν. διὸ καὶ τοῖς προσχεομένοις τὸ θερμὸν αἱ φρῖκαι γίνονται· ἐγκατακλειόμενον γὰρ τὸ ψυχρὸν εἴσω καὶ ἀντιπεριιστάμενον ἵστησι τὰς τρίχας· καὶ τῷ ἀρχομένῳ πυρέττειν τὸ γινόμενον ῥῖγος δι' ὁμοίαν αἰτίαν γίνεται. ἐν δὲ τῷ γήρᾳ τὸ θερμὸν μαραίνεται τῆς τροφῆς ὑπολειπούσης. τροφὴ μὲν γὰρ ὑγρὸν τῷ θερμῷ, τὸ δὲ γῆρας ψυχρόν. οἱ δὲ οἰνόφλυγες μαραινομένης μὲν τῆς οἰκείας θερμότητος τρέμουσι, κἂν εἴ τινες ἄλλοι τοῦτο πάσχουσι διὰ τὸν οἶνον, οὐ τὸν αὐτὸν δὲ τρόπον τοῖς διὰ γῆρας, ἀλλ' ἔτι τρίτος ἦν τρόπος τῆς τοῦ θερμοῦ φθορᾶς. ὅταν γὰρ ὑπερβάλλοντι χρῶνται ἐν τῷ σώματι, πολλὴ οὖσα ἡ θερμότης ἢ ἀποσβέννυσιν ἢ ἀσθενῆ ποιεῖ τὴν οἰκείαν θερμότητα ᾗ ἰσχύομεν· ἔστι γὰρ ὅταν μὴ κρατῇ τὸ κινοῦν τοῦ κινουμένου, οἷον ὅταν ξύλον μακρὸν καὶ μέγα μὴ εὐκρατῶς ἔχῃ τις, τὸ ἄκρον τρέμει. γίνεται δὲ τοῦτο ἢ τῷ τὸ ἐχόμενον μεῖζον εἶναι ἢ τῷ τὸ κινοῦν ἔλαττον. συμβαίνει δὲ σβεννυμένου τοῦ θερμοῦ (δοκεῖ γὰρ αἴτιον τοῦτο εἶναι τοῦ κινεῖσθαι τοῖς ζῴοις) μὴ κρατεῖν τὴν φύσιν. σημεῖον δ' ὅτι διὰ ψυχρότητα γίνεται τὸ πάθος τοῖς οἰνόφλυξι καὶ τοῖς πρεσβύταις, ὅτι ἄνευ ῥίγους γίνεται ὁ τρόμος.

27 Διὰ τί ὁ ἀκροθώραξ μᾶλλον παροινεῖ τοῦ μᾶλλον μεθύοντος καὶ τοῦ νήφοντος; ἢ ὅτι ὁ μὲν νήφων εὖ κρίνει, ὁ δὲ παντάπασι μεθύων διὰ τὸ τὰς αἰσθήσεις ἐπιπεπλασμένας εἶναι, οὐ δυνάμενος τὸ βάρος φέρειν, οὐ κρίνει· οὐ κρίνων δὲ οὐ παροινεῖ. ὁ δὲ ἀκροθώραξ κρίνει τε καὶ διὰ τὸν οἶνον κακῶς κρίνει, ὥστε παροινεῖ· ὥσπερ καὶ Σάτυρον τὸν Κλαζομένιον ὄντα φιλολοίδορον, φεύγοντα δίκην, ἵνα ὑπὲρ τοῦ πράγματος λέγῃ καὶ μὴ λοιδορῆται, τὰ ὦτα ἐπέπλασαν, ἵνα μὴ ἀκούων εἰς λοιδορίαν τρέπηται· παυομένου δὲ τοῦ ἀντιδίκου ἀφεῖλον· μικρὰ δὲ ἀκούσας ἔτι λέγοντος οὐκ ἀπείσχετο ἀλλὰ κακῶς ἔλεγε, διὰ τὸ αἰσθάνεσθαι μὲν κακῶς δὲ κρίνειν.

28 Διὰ τί πρὸς τὸν γλυκὺν οἶνον ἡδίω ὄντα οὐ γίνονται οἰνόφλυγες; ἢ ὅτι οὐκ ἴδιον χυμὸν ἔχει ὁ γλυκύς, ἀλλ' ἀλλότριον; φιλόγλυκυς οὖν μᾶλλον ἢ φίλοινος ἔσται ὁ κεκρατημένος.

29 Διὰ τί οἱ οἰνόφλυγες ὑπὸ τοῦ ἡλίου θερμαινόμενοι μάλιστα χαίρουσιν; ἢ ὅτι δέονται πέψεως; ἔτι δὲ καὶ διὰ τὸ κατεψῦχθαι· διὸ καὶ αἱ ἀποπληξίαι καὶ αἱ ἀποναρκώσεις τάχιστα μετὰ τοὺς πότους γίνονται.

30 Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν; ἢ ὅτι αἱ ἀρχαὶ τῶν ὄψεων ἔσω μὲν κινοῦνται ὑπὸ τοῦ οἴνου, καθάπερ ἡ ὅλη κεφαλή, κινουμένων δὲ τῶν ἀρχῶν οὐκ εἰς ταὐτὸ συμβάλλουσιν αἱ ὄψεις, ἀλλ' οἷον ἐπὶ μέρος ἑκάτερον τοῦ ὁρωμένου· διὸ δύο φαίνεται. ταὐτὸ δὴ τοῦτο γίνεται καὶ ἐάν τις κάτωθεν πιέσῃ τὴν ὄψιν· ἐκίνησε γὰρ τὴν ἀρχὴν τῆς ὄψεως, ὥστε μηκέτι εἰς ταὐτὸ συμβάλλειν τῇ ἑτέρᾳ. ἡ μὲν οὖν τοιαύτη κίνησις ἔξωθεν γίνεται, ἡ δὲ ἀπὸ τοῦ οἴνου ἔσωθεν. διαφέρει δ' οὐθέν· ταὐτὰ γὰρ ποιήσει ὁπωσοῦν κινηθεῖσα.

31 Διὰ τί τῶν μεθυόντων ἡ γλῶττα πταίει; πότερον ὅτι καθάπερ τὸ ὅλον σῶμα ἐν τῇ μέθῃ σφάλλεται, οὕτω καὶ ἡ γλῶττα σφαλλομένη πταίει καὶ οὐ δύναται τὴν λέξιν διαρθροῦν; ἢ σπογγώδης ἐστὶν ἡ τῆς γλώττης σάρξ· βρεχομένη οὖν ἐξαίρεται· τούτου δὲ συμβαίνοντος διὰ τὸ πάχος τὸ ἀπὸ τοῦ ὄγκου δυσκινητοτέρα οὖσα οὐ δύναται διακριβοῦν. ἢ διότι οὔτε ἐν τῷ ὑγρῷ δυνάμεθα λαλεῖν διὰ τὴν ἀπουσίαν τοῦ ἀέρος, οὔθ' ὅταν εἰς τὸ στόμα λάβωμεν ὑγρόν; ἐν τῇ μέθῃ οὖν ἐν ὑγρῷ πολλῷ τῆς γλώττης οὔσης οὐκ ἀκριβοῦμεν· τὸ δὲ μὴ ἀκριβοῦν ἐστὶ τὸ πταίειν. ἢ διότι ἐν ταῖς μέθαις ἡ ψυχὴ συμπαθὴς γινομένη πταίει; τῆς ψυχῆς οὖν τοῦτο πασχούσης εἰκὸς καὶ τὴν γλῶτταν ταὐτὸ πάσχειν· ἀπ' ἐκείνης γὰρ ἡ τοῦ λέγειν ἀρχή. διὸ καὶ χωρὶς τῆς μέθης, ὅταν ἡ ψυχὴ πάθῃ τι, συμπάσχει καὶ ἡ γλῶττα, οἷον τῶν φοβουμένων.

32 Διὰ τί οἱ οἰνόφλυγες καὶ οἱ περὶ τὴν θάλατταν χαίρουσιν ἡλίῳ; ἢ διότι οἱ μὲν οἰνόφλυγες δέονται πέψεως, καὶ ἅμα συμβαίνει τινὰς τόπους κατεψῦχθαι; διὸ καὶ ἀποπληξίαι καὶ ἀποναρκώσεις μετὰ τοὺς πότους. οἱ δὲ θαλάττιοι διὰ τὸ ἀεὶ ἐν ὑγρῷ εἶναι τοῦτο ποιοῦσιν.

33 Διὰ τί οἱ μεθύοντες ἀδύνατοι ἀφροδισιάζειν; ἢ ὅτι δεῖ μᾶλλόν τινα τόπον ἐκθερμανθῆναι τοῦ ἄλλου σώματος,

1. ὡς om C^a. ‖ ὑπεναντίον C^aY^a. ‖ τὸ πάθος om pr X^a. ‖ 8. περὶ C^a. ‖ τὸ πῦρ C^aY^a. ‖ 9. προχεομένοις X^a. ‖ 11. τὸ om C^a. ‖ 22. οἷον] ἢ X^a. ‖ 23. δὲ] γὰρ X^a. ‖ 25. δὴ Y^a. ‖ τὸ κ. C^a. ‖ 28. πρεσβυτέροις X^a. ‖ τρόπος Y^a. ‖ 29. μᾶλλον om C^aY^a. ‖ 33. παροινεῖ] παροινῶν δὲ pr Y^a. ‖ 34. παροινεῖν C^aX^a.

1. γίνονται οἱ οἰνόφλυγες C^a. ‖ 3. μᾶλλον ἢ] ὁ C^aY^a, οὐ corr Y^a. ‖ 7. αἱ prius om pr Y^a. ‖ 10. ἔξω μὲν C^a, ἔξωθεν X^aY^a. ‖ 17. ταῦτα X^aY^a. ‖ 19 et 21. γλῶσσα X^a.

οἱ δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας ἀδυνατῦσιν. ἀποσβέννυται ὖν τὸ ἀπὸ τῆς κινήσεως, θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος. ἢ διότι δεῖ μὲν ἐκθερμανθῆναι τὺς κάτω τόπυς, ὁ δ' οἶνος ἄνω πέφυκε φέρεσθαι, ὥςε ἐκεῖ ποιεῖ τὴν θερμασίαν, ἐντεῦθεν δὲ ἀπάγει. καὶ μετὰ τὰ σιτία ἥκιςα ἀφροδισιαςικοί, καὶ κελεύουσιν ἀριςᾶν μὲν πολὺ δειπνεῖν δὲ ὀλίγον· ἀπέπτων μὲν γὰρ ὔντων ἄνω φέρεται, πεπεμμένων δὲ κάτω τὸ θερμὸν καὶ τὸ ὑγρόν· ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τύτων. καὶ οἱ κοπιῶντες ἐξονειρώττυσιν, ὅτι ὑγρὸς καὶ θερμὸς ὁ κόπος· ἐὰν ὖν ἐν τῷ τόπῳ τύτῳ γένηταί ἡ περίττωσις, συμβαίνει ἐξονειρώττειν. διὰ ταὐτὸ δὲ καὶ ἐπὶ τοῖς ἀρρωστήμασιν, ὅσοις γίνεται, συμβαίνει. καὶ τοῖς φοβουμένοις καὶ τοῖς ἀποθνήσκυσι συμβαίνει ὡσαύτως.

34 Διὰ τί νέοι ὄντες ἐνυρῦσι μᾶλλον, ὅταν μεθυσθῶσιν, ἢ πρεσβύτεροι; ἢ διὰ τὸ θερμὺς καὶ ὑγρὺς εἶναι πολὺ τὸ συρρυὲν γίνεται περίττωμα, διὰ τὸ μὴ ἀναλίσκειν τὸ σῶμα τὸ ὑγρόν, ὥςε ὑπερχεῖται· πρεσβυτέροις δὲ γινομένοις διὰ ξηρότητα τὴν ὑπερβολὴν ἀντισπᾷ τὸ σῶμα. ἢ ὅτι μᾶλλον ὑπνωτικώτεροί εἰσιν οἱ νέοι τῶν πρεσβυτέρων; διὸ τοὺς μὲν νέυς καθύπνυς ὄντας λανθάνει ἡ ὁρμὴ τοῦ ὔρυ ἐκπίπτυσα πρὶν διεγερθῆναι, τὺς δὲ πρεσβυτέρους οὔ, καθάπερ ὐδὲ τῶν ἔξωθεν κινήσεων ὐδὲν ἧττόν τι λανθάνει αὐτοὺς ἢ τὺς νέυς. δῆλον δέ· καὶ γὰρ αὐτοὶ οἱ νέοι ἐν τοῖς βαθυτάτοις ὕπνοις μάλιςα ἐνυρῦσιν.

35 Διὰ τί τὸ ἔλαιον πρὸς τὰς μέθας συμφέρει, καὶ τῦ δύνασθαι πίνειν τὸ καταρροφεῖν; ἢ διότι ὐρητικόν ἐςι καὶ τῷ πόματι προοδοποιεῖ;

Δ. ΟΣΑ ΠΕΡΙ ΑΦΡΟΔΙΣΙΑ.

Διὰ τί ὁ ἀφροδισιάζων καὶ ὁ ἀποθνήσκων ἀναβάλλει τὰ ὄμματα, καθεύδων δὲ καταβάλλει; ἢ διότι ἄνωθεν τὸ θερμὸν ἐξιὸν ἀναστρέφει ἵνα περ ὁρμᾷ· ἐν δὲ τῷ ὕπνῳ κάτω συνάγεται, διὸ ῥέπει κάτω; συγκλείονται δὲ οἱ ὀφθαλμοὶ παρὰ τὸ μὴ ὑπάρχειν ἔτι νοτίδα.

2 Διὰ τί τῶν πλείοσιν ἀφροδισίοις χρωμένων ἐπιδηλότατα ἐνδίδωσι τὰ ὄμματα καὶ τὰ ἰσχία, τὰ μὲν ἐγγὺς ὄντα, τὰ δὲ πόρρω; πότερον ὅτι καὶ ἐν αὐτῇ τῇ συνυσίᾳ ἐπιδηλότατα συμπονεῖ ταῦτα τῇ ἐργασίᾳ συνιόντα περὶ τὴν πρόεσιν τῦ σπέρματος; συνεκθλίβεται ὖν μάλιςα ἐντεῦθεν ὅσον εὔτηκτον τῆς τροφῆς ἔνεςι διὰ τὴν θλῖψιν. ἢ διότι παραθερμαινόμενα τήκεται μάλιστα· ὁ δὲ ἀφροδισιασμὸς θερμότητα ἐργάζεται. μάλιςα δὲ ταῦτα θερμαίνεται, ἃ κινεῖται ἐν τῇ ἐργασίᾳ. οἱ δὲ ὀφθαλμοὶ καὶ τὰ περὶ τὴν ἕδραν ἐπιδήλως συμπονεῖ. ὔτε γὰρ μὴ συναγαγόντι τὰ περὶ τὴν ἕδραν ἐνδέχεται προέσθαι, ὔτε μὴ τῶν ὀφθαλμῶν καταβληθέντων· τὰ μὲν γὰρ περὶ τὴν ἕδραν συνιόντα θλίβει, οἷον ἐκ κύςεως τῇ χειρὶ τὸ ὑγρόν, ἡ δὲ τῶν ὀφθαλμῶν συναγωγὴ τὰ ἀπὸ τοῦ ἐγκεφάλυ. ὅτι δὲ μεγάλην ἔχουσι τὰ ὄμματα τὴν δύναμιν καὶ ὁ τόπος αὐτῶν πρὸς γένεσιν, δηλοῖ ἡ τῶν ἀτέκνων καὶ γονίμων γυναικῶν τοῖς ἐναλείμμασι πεῖρα, ὡς δέον ταύτῃ διελθ[illegible] εἰς τὸ σπέρμα δύναμιν. πίονα δὲ ἄμφω τυγχάνει ὄντα πάντων ἀεί, ἀρχός τε καὶ ὄμματα· διὰ μὲν ὖν τὴν συνεργίαν κοινωνεῖ τῆς θερμασίας, διὰ δὲ ταύτην λεπτύνεται καὶ συναποκρίνεται πολὺ εἰς τὸ σπέρμα. ὔτε γάρ, ἂν μὴ πῖον ᾖ, ὁμοίως γρύσει ἡ θερμότης, ὔτε πῖον ὂν μὴ [illegible]νῦν, οἷον ἐν τῇ κοιλίᾳ· ἀλλὰ οἱ νεφροὶ τῶν ἄλλων [illegible]λιςα αἰσθάνονται διὰ τὴν γειτνίασιν. καὶ αὐτὴ δὲ [illegible] σπέρματος πάροδος παρὰ τοὺς τόπυς τύτυς ὖσα ἐπιδηλ[illegible]τατα ἱκανή ἐςι λεπτύνειν· ἀφαιρεῖ γάρ, ἀλλ' εὐ [illegible]θησι πλησιάζυσα.

Διὰ τί καὶ οἱ ἀφροδισιάζοντες καὶ οἱ εὐνῦχοι ὐ [illegible]μενοι ἀφροδιτίοις ὁμοίως ἀμφότεροι τὰ ὄμματα πρὸς [illegible]πίαν βλάπτονται; ἢ ὅτι τοῖς μὲν διὰ λαγνείαν, [illegible] διὰ τὴν πήρωσιν τὰ ἄνω ξηρὰ γίνεται μᾶλλον τῦ [illegible], ἐπιδηλότατα δ' ἐν τούτοις, ὅσων τὸ ἔργον ἐςὶν ἀκριβές [illegible] δ' ὄψις τοιῦτον. κατασπωμένων δὲ τῶν ὑγρῶν τὰ ἄνω [illegible]ραίνεται. ὁ μὲν οὖν ἀφροδισιασμὸς δῆλον ὅτι τῦτο [illegible] τοῖς δὲ εὐνύχοις τά τε σκέλη οἰδεῖ καὶ αἱ κοιλίαι [illegible]τοι ὡς κάτω μεθιςαμένυ τῦ ὑγρῦ.

Διὰ τί ἄνθρωπος μόνον, ὅταν ἄρχηται δύνασθαι ἀφροδισιάζειν, ἡβᾷ, τῶν δὲ ἄλλων ζῴων ὅσα τρίχας ἔχει [illegible] ἢ ἐπειδὴ κατὰ τὰς ἡλικίας μεταβάλλει τὰ ζῷα εἰς [illegible]τίον; φωνή τε γὰρ βαρεῖα ἐξ ὀξείας γίνεται, καὶ [illegible]ται ἐκ ψιλῶν· δῆλον ὖν ὡς καὶ τὰ ἐκ γενετῆς δασέα [illegible] ψιλοῖτ' ἄν, ὐ δασύνοιτο, σπερματικὰ γινόμενα. ὐ [illegible] δὲ τοῦτο διὰ τὸ τὰ σπερμαίνοντα ξηρότερα γίνεσθαι [illegible]

2. γενόμενον C°. ‖ 5. θερμανσίαν C°. ‖ 11. ὀνειρώττειν C°. ‖ 15. ἐνυρῶσι C°. ‖ 16. καὶ ὑγρὺς om X°. ‖ 20. πρεσβύτων et [illegible] πρεσβύτας C°. ‖ 30. ΠΕΡΙ om K°O°s. ‖ 31. ὁ post καὶ om C°X°. ‖ 32. ἄνω C°Y°. ‖ 33. ἀναστρέφειν X°. ‖ 37. [illegible]burgius: codices συνδίδωσι. ‖ 38. συνυσία] υσία C°.

1. προαίρεσιν C°. ‖ 4. θερμότητι Y°. ‖ ταῦτα δὲ μάλιςα C°. ‖ 7. τὴν om C°. ‖ 12. τέκνων C°. ‖ 13. [illegible] C°. ‖ 14. [illegible] Gaza: codices πλείονα. ‖ 20. αὔτη X°. ‖ 21. τύτυς om C°. ‖ 25. ὅμως C°Y°. ‖ ἀμφοτέροις C°X°. ‖ 28. ἴσον codices. ‖ [illegible] om C°. ‖ 33. δύναται X°. ‖ 37. ζῷα om C°.

, ἐξ ὧν θρὶξ φύεται. δῆλον δὲ ἐκ τοῦ μὴ ἐν ταῖς
εσθαι τρίχας· στεγαναὶ γὰρ αἱ οὐλαί, ἀλλ' οὐκ
μηδὲ τοῖς παιδίοις καὶ γυναιξίν· ὑγρὰ γὰρ καὶ
λλ' οὐ ξηρά.

τί ἡ ἀνυποδησία οὐ συμφέρει πρὸς ἀφροδιασ-
ὅτι τὸ μέλλον ἀφροδισιάζειν σῶμα δεῖ τὰ ἐντὸς
ναι καὶ ὑγρόν; τοιοῦτον δὲ ἐν τοῖς ὕπνοις μᾶλλον
ἐγρηγορέναι· διὸ καὶ ταχὺ καὶ ἄνευ ἐργασίας οἱ
μοὶ γίνονται, ἐγρηγοροῦσι δὲ μετὰ πόνου. ἅμα δὲ
τοιοῦτον καὶ οἱ πόδες ὑγρότεροι καὶ θερμότεροι·
δέ, ὅτι καθευδόντων θερμοί, ὡς ἅμα τοῖς ἐντὸς
οντες. ἡ δ' ἀνυποδησία τοὐναντίον ποιεῖ· ξηραίνει
ψύχει. ὥστ', εἴτε ἀδύνατον μὴ θερμῶν ὄντων
σαι εἴτε χαλεπόν, ἀνάγκη ἀσύμφορον εἶναι πρὸς
ἀφροδισίων χρῆσιν.

τί ἐκλύεται μάλιστα τῶν ζῴων ἀφροδισιάσας
ἢ διότι πλεῖστον προΐεται σπέρμα κατὰ λόγον
τος; διὰ τί δὲ πλεῖστον προΐεται; ἢ ὅτι ἥκιστα ἐκ-
τροφὴν καὶ φύσει ὑγρὸν καὶ θερμόν ἐστι τῶν
λιστα; ὧν τὸ μὲν ποιεῖ σπέρμα πολύ, τὸ δὲ τὴν
σπερματικὴν ποιεῖ· καὶ γὰρ τὸ σπέρμα τοιοῦτόν
ἂν σώζηται.

τί τοῦ ἀφροδισιάζειν γινομένου διὰ θερμότητα, τοῦ
ὄντος ψυκτικοῦ καὶ τοῦ ἀποθνήσκειν, ἐνίοις, ὅταν
ἐν τούτοις τοῖς πάθεσι, σπέρμα προέρχεται; ἢ ὅτι
ν ἐνίων τόπων ἕτεροι ὑποθερμαίνονται, τήν τε
σχοντες θερμότητα καὶ δεχόμενοι τὴν τῶν κατα-
ων τόπων; ὥστε καταψυχομένων μὲν συμβαίνει,
ὸ ψύχεσθαι μέντοι, ἀλλὰ διὰ τὸ θερμαίνεσθαι.
καὶ τῇ ὄψει· τῶν γὰρ φοβουμένων τὰ ἄνω λει-
τὰ δὲ κάτω ὑγραίνεται, καὶ κοιλία καὶ κύστις
πιὸν οὖν τὸ θερμὸν ἐν μὲν τῷ φόβῳ κάτω, ἐν δὲ
ῳ κάτωθεν ἄνω, ἐξυγραῖνον τῇ θερμότητι ποιεῖ
σπέρματος ἔξοδον.

τί οὐ δεῖ μὴ ὀργῶντα οὔτε ἀφροδισιάζειν οὔτε
πτάρνυσθαι οὔτε φῦσαν ἀφιέναι; ἢ ὅτι μὴ ὁρ-
μοίως ἔχομεν τοῖς ἐκ τῆς γῆς ἀνασπωμένοις, οἷς
ταί τι ἀλλότριον ἢ ἐγκαταλείπεται ἀποσπασθέν;
ὃ δεῖ μὲν ἐξαρθῆναι, κολοβὸν δὲ ὑπολείπεται, πλείω χρόνον παρέξει πόνον. ἐάν τέ τις κινήσῃ τι ἀλλότριον, τοῦτο πόνον παρέξει, οὐκ ἐν τῇ αὐτοῦ χώρᾳ ὄν· ἃ συμβήσεται τοῖς μὴ ὀργῶσι ποιοῦσί τι τῶν εἰρημένων.

Διὰ τί νῆστεις θᾶττον ἀφροδισιάζουσιν; ἢ διότι οἱ πό- 9
ροι κενώτεροι οἱ τοῦ σώματος νήστεσι, πλήρεσι δὲ πλήρεις· κωλύουσιν οὖν τὴν εἰς τὸ σπέρμα ὑγρότητα διεξιέναι. δῆλον δὲ ἐπὶ τῆς κύστεως· οὐ γὰρ δύνανται πλήρους οὔσης ταχὺ ἀφροδισιάζειν.

Διὰ τί οἱ νέοι ὅταν πρῶτον ἀφροδισιάζειν ἄρχωνται, 10
αἷς ἂν ὁμιλήσωσι, μετὰ τὴν πρᾶξιν μισοῦσιν; ἢ διὰ τὸ μεγάλην γίνεσθαι τὴν μεταβολήν; τῆς γὰρ συμβαινούσης ὕστερον ἀηδίας μεμνημένοι, ὡς αἰτίαν ᾗ ἐπλησίασαν φεύγουσιν.

Διὰ τί οἱ ἱππεύοντες συνεχῶς ἀφροδισιαστικώτεροι γί- 11
νονται; ἢ ὅτι διὰ τὴν θερμότητα καὶ τὴν κίνησιν ταὐτὸ πάσχουσιν ὅπερ ἐν τῇ ὁμιλίᾳ; διὸ καὶ τῇ τῆς ἐπεχούσης ἡλικίας ἐπιδόσει περὶ τὰ αἰδοῖα μείζω τὰ μόρια ταῦτα γίνεται. ἀεὶ οὖν τῇ κινήσει ταύτῃ χρωμένων εὔροα τὰ σώματα γίνεται καὶ προωδοπεποιημένα πρὸς τὸν ἀφροδισιασμόν.

Διὰ τί, ὅταν ἄρξωνται ἀφροδισιάζειν δύνασθαι, οἱ 12
χρῶτες ὄζουσι, πρότερον δ' οὐκ ὄζουσι πρὸ ἥβης οὔτε οἱ ἄνδρες οὔτε αἱ γυναῖκες; ἢ ὅτι τὰ ἄπεπτα τούς τε χυμοὺς ἀεὶ χείρους ἔχει (ἢ γὰρ ὀξυτέρους ἢ ἁλμυρωτέρους ἢ πικροτέρους) καὶ τὰς ὀσμὰς δυσωδεστέρας, τὰ δὲ πεπεμμένα ἢ γλυκεῖς ἢ ἧττον ἀγλευκεῖς, καὶ τὰς ὀσμὰς εὐωδεστέρας ἢ ἧττον δυσώδεις; τοῦτο δ' ἐστὶ δῆλον ἐπὶ πάντων θεωμένοις καὶ φυτῶν καὶ ζῴων. ἀφαιρεθέντων δὴ τῶν εὐπέπτων, τὰ ὑπολειπόμενα ἄπεπτα, οἷον δὴ καὶ ἐπὶ τῆς τέφρας ἀναλωθέντος τοῦ γλυκέος πικρὰ ἡ κονία, καὶ ὁ ἱδρὼς ἁλμυρός. πέττει δὲ ἡ φυσικὴ θερμότης τὸ σπέρμα, ὃ μικρὸν ὂν πολλὴν ἔχει δύναμιν· ἐκ πολλοῦ γὰρ ὀλίγον συγκεκεφαλαίωται. διὸ ὅταν ἀπέλθῃ, ἐκλύονται ὡς ἐπὶ τὸ πολὺ μᾶλλον καὶ καταψύχονται· ὥστε ἀπεπτότεροι οἱ χυμοὶ γίνονται μᾶλλον, ἀναστομουμένων τῶν πόρων διὰ τὴν ἔκκρισιν αὐτοῦ. ἁλμυρώτεροι οὖν οἱ τῶν παίδων ἱδρῶτες καὶ δυσωδέστεροι διὰ τὴν ἀπεψίαν· καὶ ἐὰν τύχῃ τοιαύτη ἡ φύσις οὖσα ὥστε δυσώδη ἔχειν τὴν ὑπόστασιν τοῦ ἱδρῶτος, τούτοις μᾶλλον ἐπισημαίνει καὶ ἐν τοῖς τόποις τούτοις μάλιστα, οἷον μασχάλῃ, ἐν ᾧ μάλιστα καὶ τοῖς ἄλλοις.

λ' om *N*ᵃ. ‖ 3. ὑγρὰ — 4. ξηρά addiderunt *K*ᵃ*N*ᵃ*O*ᵃ. ‖ 5 et 12. ἀνυποδεσία *C*ᵃ. ‖ 7. τοιοῦτο *C*ᵃ*X*ᵃ. ‖ 8. ἐξεργασίας οἱ
*C*ᵃ*N*ᵃ*X*ᵃ*Y*ᵃ. ‖ 13. ψύχει — 14. ἀνάγκη om *C*ᵃ. ‖ 17. ὁ ἄνθρωπος *C*ᵃ*X*ᵃ. ‖ σῶμα *C*ᵃ. ‖ 25. γένηται *C*ᵃ. ‖ προΐεται *C*ᵃ. ‖
–28. τόπων om *C*ᵃ. ‖ 29. μὲν *C*ᵃ*Y*ᵃ, μόνον *X*ᵃ. ‖ διὰ] καὶ διὰ *X*ᵃ*Y*ᵃ. ‖ 31. τὸ *C*ᵃ.

ν post διὰ om *X*ᵃ. ‖ 16. τῇ post καὶ om *C*ᵃ*Y*ᵃ. ‖ 17. ἐπίδοσιν *Y*ᵃ. ‖ 18. τῇ] τῇ αὐτῇ *X*ᵃ. ‖ 20. δύνασθαι om *C*ᵃ. ‖ 21.
ς *C*ᵃ. ‖ 25. ἧττονα γλυκεῖς *C*ᵃ, ἧττον γλυκεῖς *X*ᵃ, ἧττον ἀγλυκεῖς pr *Y*ᵃ. ‖ ἢ] ποιοῦσιν ἢ *X*ᵃ. ‖ 28. καὶ et 29. ὁ om *C*ᵃ. ‖
ὂν *X*ᵃ. ‖ 32. λύονται *X*ᵃ. ‖ τὸ om *X*ᵃ. ‖ 33. μᾶλλον γίνονται *X*ᵃ. ‖ 35. οἱ] ἢ οἱ *C*ᵃ, ἢ οἱ *Y*ᵃ.

οἱ δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας ἀδυνατοῦσιν. ἀποσβέννυται οὖν τὸ ἀπὸ τῆς κινήσεως, θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος. ἢ διότι δεῖ μὲν ἐκθερμανθῆναι τοὺς κάτω τόπους, ὁ δ᾽ οἶνος ἄνω πέφυκε φέρεσθαι, ὥστε ἐκεῖ ποιεῖ τὴν θερμασίαν, ἐντεῦθεν δὲ ἀπάγει. καὶ μετὰ τὰ σιτία ἥκιστα ἀφροδισιαστικοί, καὶ κελεύουσιν ἀριστᾶν μὲν πολὺ δειπνεῖν δὲ ὀλίγον· ἀπέπτων μὲν γὰρ ὄντων ἄνω φέρεται, πεπεμμένων δὲ κάτω τὸ θερμὸν καὶ τὸ ὑγρόν· ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τούτων. καὶ οἱ κοπιῶντες ἐξονειρώττουσιν, ὅτι ὑγρὸς καὶ θερμὸς ὁ κόπος· ἐὰν οὖν ἐν τῷ τόπῳ τούτῳ γένηται ἡ περίττωσις, συμβαίνει ἐξονειρώττειν. διὰ ταὐτὸ δὲ καὶ ἐπὶ τοῖς ἀρρωστήμασιν, ὅσοις γίνεται, συμβαίνει. καὶ τοῖς φοβουμένοις καὶ τοῖς ἀποθνήσκουσι συμβαίνει ὡσαύτως.

34 Διὰ τί νέοι ὄντες ἐνουροῦσι μᾶλλον, ὅταν μεθυσθῶσιν, ἢ πρεσβύτεροι; ἢ διὰ τὸ θερμοὺς καὶ ὑγροὺς εἶναι πολὺ τὸ συρρυὲν γίνεται περίττωμα, διὰ τὸ μὴ ἀναλίσκειν τὸ σῶμα τὸ ὑγρόν, ὥστε ὑπερχεῖται· πρεσβυτέροις δὲ γινομένοις διὰ ξηρότητα τὴν ὑπερβολὴν ἀντισπᾷ τὸ σῶμα. ἢ ὅτι μᾶλλον ὑπνωτικώτεροί εἰσιν οἱ νέοι τῶν πρεσβυτέρων; διὸ τοὺς μὲν νέους καθύπνους ὄντας λανθάνει ἡ ὁρμὴ τοῦ οὔρου ἐκπίπτουσα πρὶν διεγερθῆναι, τοὺς δὲ πρεσβυτέρους οὔ, καθάπερ οὐδὲ τῶν ἔξωθεν κινήσεων οὐδὲν ἧττόν τι λανθάνει αὐτοὺς ἢ τοὺς νέους. δῆλον δέ· καὶ γὰρ αὐτοὶ οἱ νέοι ἐν τοῖς βαθυτάτοις ὕπνοις μάλιστα ἐνουροῦσιν.

35 Διὰ τί τὸ ἔλαιον πρὸς τὰς μέθας συμφέρει, καὶ τοῦ δύνασθαι πίνειν τὸ καταρροφεῖν; ἢ διότι οὐρητικόν ἐστι καὶ τῷ πόματι προοδοποιεῖ;

Δ. ΟΣΑ ΠΕΡΙ ΑΦΡΟΔΙΣΙΑ.

Διὰ τί ὁ ἀφροδισιάζων καὶ ὁ ἀποθνήσκων ἀναβάλλει τὰ ὄμματα, καθεύδων δὲ καταβάλλει; ἢ διότι ἄνωθεν τὸ θερμὸν ἐξιὸν ἀναστρέφει ἵνα περ ὁρμᾷ· ἐν δὲ τῷ ὕπνῳ κάτω συνάγεται, διὸ ῥέπει κάτω; συγκλείονται δὲ οἱ ὀφθαλμοὶ παρὰ τὸ μὴ ὑπάρχειν ἔτι νοτίδα.

2 Διὰ τί τῶν πλείοσιν ἀφροδισίοις χρωμένων ἐπιδηλότατα ἐνδίδωσι τὰ ὄμματα καὶ τὰ ἰσχία, τὰ μὲν ἐγγὺς ὄντα, τὰ δὲ πόρρω; πότερον ὅτι καὶ ἐν αὐτῇ τῇ συνουσίᾳ ἐπιδηλότατα συμπονεῖ ταῦτα τῇ ἐργασίᾳ συνιόντα περὶ τὴν πρόεσιν τοῦ σπέρματος; συνεκθλίβεται οὖν μάλιστα ἐντεῦθεν ὅσον εὔτηκτον τῆς τροφῆς ἔνεστι διὰ τὴν θλῖψιν. ἢ διότι παραθερμαινόμενα τήκεται μάλιστα· ὁ δὲ ἀφροδισιασμὸς θερμότητα ἐργάζεται. μάλιστα δὲ ταῦτα θερμαίνεται, ἃ κινεῖται ἐν τῇ ἐργασίᾳ. οἱ δὲ ὀφθαλμοὶ καὶ τὰ περὶ τὴν ἕδραν ἐπιδήλως συμπονεῖ. οὔτε γὰρ μὴ συναγαγόντι τὰ περὶ τὴν ἕδραν ἐνδέχεται προέσθαι, οὔτε μὴ τῶν ὀφθαλμῶν καταβληθέντων· τὰ μὲν γὰρ περὶ τὴν ἕδραν συνιόντα θλίβει, οἷον ἐκ κύστεως τῇ χειρὶ τὸ ὑγρόν, ἡ δὲ τῶν ὀφθαλμῶν συναγωγὴ τὰ ἀπὸ τοῦ ἐγκεφάλου. ὅτι δὲ μεγάλην ἔχουσι τὰ ὄμματα τὴν δύναμιν καὶ ὁ τόπος αὐτῶν πρὸς γένεσιν, δηλοῖ ἡ τῶν ἀτέκνων καὶ γονίμων γυναικῶν τοῖς ἐναλείμμασι πεῖρα, ὡς δέον ταύτῃ διελθεῖν εἰς τὸ σπέρμα δύναμιν. πίονα δὲ ἄμφω τυγχάνει ὄντα πάντων ἀεί, ἀρχός τε καὶ ὄμματα· διὰ μὲν οὖν τὴν συνεργίαν κοινωνεῖ τῆς θερμασίας, διὰ δὲ ταύτην λεπτύνεται καὶ συναποκρίνεται πολὺ εἰς τὸ σπέρμα. οὔτε γάρ, ἂν μὴ πῖον ᾖ, ὁμοίως γρύσει ἡ θερμότης, οὔτε πῖον ὂν μὴ συμπονοῦν, οἷον ἐν τῇ κοιλίᾳ· ἀλλὰ οἱ νεφροὶ τῶν ἄλλων μάλιστα αἰσθάνονται διὰ τὴν γειτνίασιν. καὶ αὐτὴ δὲ ἡ τοῦ σπέρματος πάροδος παρὰ τοὺς τόπους τούτους οὖσα ἐπιδηλότατα ἱκανή ἐστι λεπτύνειν· ἀφαιρεῖ γάρ, ἀλλ᾽ οὐ προστίθησι πλησιάζουσα.

Διὰ τί καὶ οἱ ἀφροδιστιάζοντες καὶ οἱ εὐνοῦχοι οὐ χρώ- 3
μενοι ἀφροδιτίοις ὁμοίως ἀμφότεροι τὰ ὄμματα πρὸς ὀξυωπίαν βλάπτονται; ἢ ὅτι τοῖς μὲν διὰ λαγνείαν, τοῖς δὲ διὰ τὴν πήρωσιν τὰ ἄνω ξηρὰ γίνεται μᾶλλον τοῦ δέοντος, ἐπιδηλότατα δ᾽ ἐν τούτοις, ὅσων τὸ ἔργον ἐστὶν ἀκριβές· ἡ δ᾽ ὄψις τοιοῦτον. κατασπωμένων δὲ τῶν ὑγρῶν τὰ ἄνω ξηραίνεται. ὁ μὲν οὖν ἀφροδισιασμὸς δῆλον ὅτι τοῦτο ποιεῖ· τοῖς δὲ εὐνούχοις τά τε σκέλη οἰδεῖ καὶ αἱ κοιλίαι εὔλυτοι ὡς κάτω μεθισταμένου τοῦ ὑγροῦ.

Διὰ τί ἄνθρωπος μόνον, ὅταν ἄρχηται δύνασθαι ἀφρο- 4
δισιάζειν, ἡβᾷ, τῶν δὲ ἄλλων ζῴων ὅσα τρίχας ἔχει οὐθέν; ἢ ἐπειδὴ κατὰ τὰς ἡλικίας μεταβάλλει τὰ ζῷα εἰς τοὐναντίον; φωνή τε γὰρ βαρεῖα ἐξ ὀξείας γίνεται, καὶ δασύνεται ἐκ ψιλῶν· δῆλον οὖν ὡς καὶ τὰ ἐκ γενετῆς δασέα ζῷα ψιλοῖτ᾽ ἄν, οὐ δασύνοιτο, σπερματικὰ γινόμενα. οὐ πάσχει δὲ τοῦτο διὰ τὸ τὰ σπερμαίνοντα ξηρότερα γίνεσθαι καὶ

2. γενόμενον C^a. ‖ 5. θερμανσίαν C^a. ‖ 11. ὀνειρώττειν C^a. ‖ 15. ἐνουρῶσι C^a. ‖ 16. καὶ ὑγροὺς om X^a. ‖ 20. πρεσβυτῶν et 22. πρεσβύτας C^a. ‖ 30. ΠΕΡΙ om $K^a O^a$s. ‖ 31. ὁ post καὶ om $C^a X^a$. ‖ 32. ἄνω $C^a Y^a$. ‖ 33. ἀναστρέφειν X^a. ‖ 37. ἐνδίδωσι Sylburgius: codices συνδίδωσι. ‖ 38. συνουσίᾳ] νουσία C^a.

1. προαίρεσιν C^a. ‖ 4. θερμότητι Y^a. ‖ ταῦτα δὲ μάλιστα C^a. ‖ 7. τὴν om C^a. ‖ 12. τέκνων C^a. ‖ 13. ὥστε C^a. ‖ 14. πίονα Gaza: codices πλείονα. ‖ 20. αὕτη X^a. ‖ 21. τούτους om C^a. ‖ 25. ὅμως $C^a Y^a$. ‖ ἀμφοτέροις $C^a X^a$. ‖ 28. ὅσον codices. ‖ 30. οὖν om C^a. ‖ 33. δύναται X^a. ‖ 37. ζῷα om C^a.

ἀραιότερα, ἐξ ὧν θρὶξ φύεται. δῆλον δὲ ἐκ τȣ̃ μὴ ἐν ταῖς οὐλαῖς φύεσθαι τρίχας· ϛεγαναὶ γὰρ αἱ οὐλαί, ἀλλ᾽ οὐκ ἀραιαί. μηδὲ τοῖς παιδίοις καὶ γυναιξίν· ὑγρὰ γὰρ καὶ ἄμφω, ἀλλ᾽ ȣ̓ ξηρά.

5 Διὰ τί ἡ ἀνυποδησία ȣ̓ συμφέρει πρὸς ἀφροδισιασμούς; ἢ ὅτι τὸ μέλλον ἀφροδισιάζειν σῶμα δεῖ τὰ ἐντὸς θερμὸν εἶναι καὶ ὑγρόν; τοιȣ̃τον δὲ ἐν τοῖς ὕπνοις μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι· διὸ καὶ ταχὺ καὶ ἄνευ ἐργασίας οἱ ἐξονειρωγμοὶ γίνονται, ἐγρηγορȣ̃σι δὲ μετὰ πόνȣ. ἅμα δὲ τὸ σῶμα τοιοῦτον καὶ οἱ πόδες ὑγρότεροι καὶ θερμότεροι· σημεῖον δέ, ὅτι καθευδόντων θερμοί, ὡς ἅμα τοῖς ἐντὸς οὕτως ἔχοντες. ἡ δ᾽ ἀνυποδησία τȣ̓ναντίον ποιεῖ· ξηραίνει γὰρ καὶ ψύχει. ὥστ᾽, εἴτε ἀδύνατον μὴ θερμῶν ὄντων ἀφροδισιάσαι εἴτε χαλεπόν, ἀνάγκη ἀσύμφορον εἶναι πρὸς τὴν τῶν ἀφροδισίων χρῆσιν.

6 Διὰ τί ἐκλύεται μάλιστα τῶν ζῴων ἀφροδισιάσας ἄνθρωπος; ἢ διότι πλεῖϛον προΐεται σπέρμα κατὰ λόγον τȣ̃ σώματος; διὰ τί δὲ πλεῖϛον προΐεται; ἢ ὅτι ἥκιϛα ἐκπονεῖ τὴν τροφὴν καὶ φύσει ὑγρὸν καὶ θερμόν ἐστι τῶν ζῴων μάλιϛα; ὧν τὸ μὲν ποιεῖ σπέρμα πολύ, τὸ δὲ τὴν φύσιν σπερματικὴν ποιεῖ· καὶ γὰρ τὸ σπέρμα τοιοῦτόν ἐϛιν, ἕως ἂν σώζηται.

7 Διὰ τί τȣ̃ ἀφροδισιάζειν γινομένȣ διὰ θερμότητα, τȣ̃ δὲ φόβου ὄντος ψυκτικȣ̃ καὶ τȣ̃ ἀποθνήσκειν, ἐνίοις, ὅταν γένωνται ἐν τȣ́τοις τοῖς πάθεσι, σπέρμα προέρχεται; ἢ ὅτι ψυχομένων ἐνίων τόπων ἕτεροι ὑποθερμαίνονται, τήν τε οἰκείαν ἔχοντες θερμότητα καὶ δεχόμενοι τὴν τῶν καταψυχομένων τόπων; ὥϛε καταψυχομένων μὲν συμβαίνει, οὐ διὰ τὸ ψύχεσθαι μέντοι, ἀλλὰ διὰ τὸ θερμαίνεσθαι. δῆλον δὲ καὶ τῇ ὄψει· τῶν γὰρ φοβȣμένων τὰ ἄνω λειφαιμεῖ, τὰ δὲ κάτω ὑγραίνεται, καὶ κοιλία καὶ κύστις λύεται. ὑπιὸν ȣ̓̃ν τὸ θερμὸν ἐν μὲν τῷ φόβῳ κάτω, ἐν δὲ τῷ θανάτῳ κάτωθεν ἄνω, ἐξυγραῖνον τῇ θερμότητι ποιεῖ τὴν τȣ̃ σπέρματος ἔξοδον.

8 Διὰ τί οὐ δεῖ μὴ ὀργῶντα οὔτε ἀφροδισιάζειν οὔτε ἐμεῖν ȣ̓́τε πτάρνυσθαι οὔτε φῦσαν ἀφιέναι; ἢ ὅτι μὴ ὀργῶντες ὁμοίως ἔχομεν τοῖς ἐκ τῆς γῆς ἀνασπωμένοις, οἷς προσεκσπᾶταί τι ἀλλότριον ἢ ἐγκαταλείπεται ἀποσπασθέν; ὅταν δὲ ὃ δεῖ μὲν ἐξαρθῆναι, κολοβὸν δὲ ὑπολείπεται, πλείω χρόνον παρέξει πόνον. ἐάν τέ τις κινήσῃ τι ἀλλότριον, τοῦτο πόνον παρέξει, οὐκ ἐν τῇ αὐτȣ̃ χώρᾳ ὄν· ἃ συμβήσεται τοῖς μὴ ὀργῶσι ποιȣ̃σί τι τῶν εἰρημένων.

Διὰ τί νήϛεις θᾶττον ἀφροδισιάζȣσιν; ἢ διότι οἱ πόροι κενώτεροι οἱ τȣ̃ σώματος νήϛεσι, πλήρεσι δὲ πλήρεις· κωλύȣσιν ȣ̓̃ν τὴν εἰς τὸ σπέρμα ὑγρότητα διεξιέναι. δῆλον δὲ ἐπὶ τῆς κύϛεως· ȣ̓ γὰρ δύνανται πλήρους ȣ̓́σης ταχὺ ἀφροδισιάζειν. 9

Διὰ τί οἱ νέοι ὅταν πρῶτον ἀφροδισιάζειν ἄρχωνται, αἷς ἂν ὁμιλήσωσι, μετὰ τὴν πρᾶξιν μισοῦσιν; ἢ διὰ τὸ μεγάλην γίνεσθαι τὴν μεταβολήν; τῆς γὰρ συμβαινȣ́σης ὕϛερον ἀηδίας μεμνημένοι, ὡς αἰτίαν ᾗ ἐπλησίασαν φεύγουσιν. 10

Διὰ τί οἱ ἱππεύοντες συνεχῶς ἀφροδισιαϛικώτεροι γίνονται; ἢ ὅτι διὰ τὴν θερμότητα καὶ τὴν κίνησιν ταὐτὸ πάσχȣσιν ὅπερ ἐν τῇ ὁμιλίᾳ; διὸ καὶ τῇ τῆς ἐπεχούσης ἡλικίας ἐπιδόσει περὶ τὰ αἰδοῖα μείζω τὰ μόρια ταῦτα γίνεται. ἀεὶ ȣ̓̃ν τῇ κινήσει ταύτῃ χρωμένων εὔροα τὰ σώματα γίνεται καὶ προωδοπεποιημένα πρὸς τὸν ἀφροδισιασμόν. 11

Διὰ τί, ὅταν ἄρξωνται ἀφροδισιάζειν δύνασθαι, οἱ χρῶτες ὄζȣσι, πρότερον δ᾽ ȣ̓κ ὄζȣσι πρὸ ἥβης ȣ̓́τε οἱ ἄνδρες ȣ̓́τε αἱ γυναῖκες; ἢ ὅτι τὰ ἄπεπτα τȣ́ς τε χυμȣ̀ς ἀεὶ χείρους ἔχει (ἢ γὰρ ὀξυτέρους ἢ ἁλμυρωτέρȣς ἢ πικροτέρȣς) καὶ τὰς ὀσμὰς δυσωδεϛέρας, τὰ δὲ πεπεμμένα ἢ γλυκεῖς ἢ ἧττον ἀγλευκεῖς, καὶ τὰς ὀσμὰς εὐωδεστέρας ἢ ἧττον δυσώδεις; τοῦτο δ᾽ ἐστὶ δῆλον ἐπὶ πάντων θεωμένοις καὶ φυτῶν καὶ ζῴων. ἀφαιρεθέντων δὴ τῶν εὐπέπτων, τὰ ὑπολειπόμενα ἄπεπτα, οἷον δὴ καὶ ἐπὶ τῆς τέφρας ἀναλωθέντος τοῦ γλυκέος πικρὰ ἡ κονία, καὶ ὁ ἱδρὼς ἁλμυρός. πέττει δὲ ἡ φυσικὴ θερμότης τὸ σπέρμα, ὃ μικρὸν ὂν πολλὴν ἔχει δύναμιν· ἐκ πολλȣ̃ γὰρ ὀλίγον συγκεκεφαλαίωται. διὸ ὅταν ἀπέλθῃ, ἐκλύονται ὡς ἐπὶ τὸ πολὺ μᾶλλον καὶ καταψύχονται· ὥϛε ἀπεπτότεροι οἱ χυμοὶ γίνονται μᾶλλον, ἀναϛομουμένων τῶν πόρων διὰ τὴν ἔκκρισιν αὐτȣ̃. ἁλμυρώτεροι ȣ̓̃ν οἱ τῶν παίδων ἱδρῶτες καὶ δυσωδέϛεροι διὰ τὴν ἀπεψίαν· καὶ ἐὰν τύχῃ τοιαύτη ἡ φύσις οὖσα ὥστε δυσώδη ἔχειν τὴν ὑπόϛασιν τȣ̃ ἱδρῶτος, τȣ́τοις μᾶλλον ἐπισημαίνει καὶ ἐν τοῖς τόποις τούτοις μάλιστα, οἷον μασχάλῃ, ἐν ᾧ μάλιϛα καὶ τοῖς ἄλλοις. 12

2. ἀλλ᾽ om N^a. ‖ 3. ὑγρὰ — 4. ξηρά addiderunt $K^aN^aO^a$. ‖ 5 et 12. ἀνυποδεσία C^a. ‖ 7. τοιȣ̃το C^aX^a. ‖ 8. ἐξεργασίας οἱ ἐνυπνιασμοὶ $C^aN^aX^aY^a$. ‖ 13. ψύχει — 14. ἀνάγκη om C^a. ‖ 17. ὁ ἄνθρωπος C^aX^a. ‖ σῶμα C^a. ‖ 25. γένηται C^a. ‖ προΐεται C^a. ‖ 26. ἕτεροι — 28. τόπων om C^a. ‖ 29. μὲν C^aY^a, μόνον X^a. ‖ διὰ] καὶ διὰ X^aY^a. ‖ 31. τὸ C^a.

15. τὴν post διὰ om X^a. ‖ 16. τῇ post καὶ om C^aY^a. ‖ 17. ἐπίδοσιν Y^a. ‖ 18. τῇ] τῇ αὐτῇ X^a. ‖ 20. δύνασθαι om C^a. ‖ 21. πρὸ τῆς ἥβης C^a. ‖ 25. ἧττονα γλυκεῖς C^a, ἧττον γλυκεῖς X^a, ἧττον ἀγλυκεῖς pr Y^a. ‖ ἢ] ποιȣ̃σιν ἢ X^a. ‖ 28. καὶ et 29. ὁ om C^a. ‖ 30. ὂν] μὲν ὂν X^a. ‖ 32. λύονται X^a. ‖ τὸ om X^a. ‖ 33. μᾶλλον γίνονται X^a. ‖ 35. οἱ] ἢ οἱ C^a, ἢ οἱ Y^a.

13 Διὰ τί, ἐὰν μὲν ἐκ τοῦ σπέρματος τοῦ ἡμετέρου γένηται τὸ ζῷον, τοῦτο ἡμέτερον ἔκγονόν ἐστιν, ἐὰν δὲ ἐξ ἄλλου τινὸς ἢ μέρους ἢ ἀποκρίσεως, οὐχ ἡμέτερον; γίνεται γὰρ σηπομένων πολλὰ καὶ ἐκ τοῦ σπέρματος. τί δὴ οὖν, ἐὰν μὲν τοιοῦτον οἷον ἡμεῖς, ἡμέτερον, ἐὰν δὲ ἀλλότριον, οὔ; ἢ γὰρ ἅπαντα προσήκει ἢ οὐθέν. ἢ πρῶτον μέν, ὅτι οὕτω μὲν ἐξ ἡμετέρου γίνεται, ἐκείνως δὲ ἐξ ἀλλοτρίου, ὅσα ἐξ ἀποκαθάρματος γίνεται καὶ ἐκκρίσεως; καὶ ὅλως οὐθὲν τῶν τοῦ ζῴου ζῷον γεννᾷ ἀλλ' ἢ τὸ σπέρμα. τὸ δὲ βλάπτον καὶ τὸ κακὸν οὐθενός ἐστιν οἰκεῖον, οὐδὲ τὸ ἀλλότριον· οὐ γὰρ ταὐτὸ τούτου τι εἶναι καὶ τούτου ἀλλότριον ἢ ἕτερον ἢ κακόν. αἱ δὲ ἐκκρίσεις καὶ σήψεις οὐχ ἡμέτερα, ἀλλ' ἕτερα καὶ ἀλλότρια τῆς φύσεως ἡμῶν εἰσίν. οὐ γὰρ ὅσα ἐν τῷ σώματι γίνεται, τοῦ σώματος θετέον, ἐπεὶ καὶ φύματα γίνεται, ἃ αἴρουσι καὶ ἐκβάλλουσιν. καὶ ὅλως ὅσα παρὰ φύσιν, πάντα ἀλλότρια· παρὰ φύσιν δὲ πολλὰ καὶ τῶν συγγινομένων ἐστίν. εἰ οὖν ἐκ μόνου τούτου τῶν ἡμετέρων γίνεται ζῷον, ὀρθῶς ἂν τὸ ἐκ τούτου γινόμενον ἔκγονον ἡμέτερον εἴη μόνον. καὶ ἐκ τοῦ σπέρματος δὲ ἄν τι ἄλλο γένηται, οἷον σκώληξ σαπέντος, ἢ καὶ ἐν τῇ μήτρᾳ διαφθαρέντος, οἷον ἃ λέγεται τέρατα, οὐκ ἔκγονα λεκτέον. ὅλως γὰρ ἐκ διεφθαρμένου γινόμενα οὐκέτι ἐξ ἡμετέρου ὄντος γίνεται, ἀλλ' ἐξ ἀλλοτρίου, ὥσπερ τὰ ἐκ τῶν ἀποκρίσεων, οἷον τὸ ἐκ τῆς κόπρου. σημεῖον δὲ ὅτι ἐκ διεφθαρμένου πάντα τὰ τοιαῦτα γίνεται· μὴ ἐκ διαφθειρομένου γὰρ τοιοῦτον πέφυκε γίνεσθαι οἷον ἂν ᾖ ἐξ οὗ τὸ σπέρμα, ἐὰν ἐξ ἵππου, ἵππος, ἐὰν δὲ ἐξ ἀνθρώπου, ἄνθρωπος. καὶ αὐτό τε οὐ τιμῶμεν τὸ σπέρμα, οὐδὲ πᾶν τὸ ἐν τῇ γενέσει περαινόμενον. καὶ γὰρ ὑγρὸν καὶ ὄγκος τις καὶ σὰρξ γίνεται. ποτὲ δέ, διὰ τὸ μήπω ἔχειν τὴν φύσιν, ἀλλ' ἢ τοσοῦτον μόνον τῆς φύσεως, ὅτι οὕτω διάκειται ὥστε γενέσθαι ἐξ αὐτοῦ τοιοῦτον οἷον ἡμεῖς· ἐκ δὲ διεφθαρμένου οὐδὲ τοιοῦτον. διὰ ταῦτα οὔτε ἐξ ἑτέρου τῶν ἐν ἡμῖν οὔτε ἐκ τούτου διεφθαρμένου ἢ ἀτελῶς ἔχοντος τὸ ἔκγονόν ἐστιν ἡμέτερον.

14 Διὰ τί ἐν τῷ ὕδατι ἧττον δύνανται ἀφροδισιάζειν οἱ ἄνθρωποι; ἢ ὅτι ἐν ὕδατι οὐθὲν τήκεται, ὅσα ὑπὸ πυρὸς τήκεται, οἷον μόλιβδος ἢ κηρός· ἡ δὲ γονὴ τηκομένη φαίνεται πυρί· πρὶν μὲν γὰρ ἡ τρῖψις ἐκθερμάνῃ, οὐ τήκεται. οἱ δὲ ἰχθύες οὐ τρίψει ὀχεύουσιν.

Διὰ τί τὸ ἀφροδισιάζειν ἥδιστον, καὶ πότερον ἐξ ἀνάγ- 15
κης ἢ ἕνεκά τινος ὑπάρχει τοῖς ζῴοις; ἢ ἡδὺ μέν ἐστιν ἤτοι διὰ τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπιέναι τὸ σπέρμα, ὥσπερ τινές φασιν, ἢ καὶ ἀπὸ παντὸς μὲν μὴ ἀπιέναι, διὰ δὲ τοιούτου εἰς ὃ πάντες συντείνουσιν οἱ πόροι τῶν φλεβῶν; οὔσης οὖν τῆς ἡδονῆς ὁμοίας τῆς ἐν τῷ κνησμῷ, τοῦτο συμβαίνει γίνεσθαι ὥσπερ δι' ὅλου τοῦ σώματος. ὁ δὲ κνησμὸς ἡδύς ἐστιν, ὑγροῦ ἔξοδος πνευματώδους ἐγκατακεκλεισμένου παρὰ φύσιν. ἡ δὲ γονὴ τοιούτου εἰς τὸ κατὰ φύσιν ἔξοδος. ἔστι δὲ καὶ ἐξ ἀνάγκης ἡδὺ καὶ ἕνεκά τινος, ἐξ ἀνάγκης μὲν ὅτι ἡ εἰς τὸ κατὰ φύσιν ὁδὸς ἡδύ ἐστιν, ἐὰν ᾖ αἰσθητή, ἕνεκα δέ τινος ἵνα γένεσις ᾖ ζῴων· διὰ γὰρ τὴν ἡδονὴν μᾶλλον ὁρμᾷ πρὸς τὴν μῖξιν τὰ ζῷα.

Διὰ τί ἡ λαγνεία πρὸς νοσήματ' ἔνια τῶν ἀπὸ φλέ- 16
γματος συμφέρει; ἢ ὅτι περιττώματός ἐστιν ἔξοδος, ὥστε συνεκκρίνεται πολλὴ περίττωσις; τὸ δὲ φλέγμα περίττωμα.

Διὰ τί τὰ ἀφροδίσια τὴν κοιλίαν ψύχει καὶ ξηραίνει; 17
ἢ ψύχει μέν, ὅτι ἐκκρίνεται τὸ θερμὸν ἐν τῇ μίξει; ξηραίνει δὲ ἡ μῖξις· ἐξατμίζεται γὰρ τοῦ θερμοῦ ἐξιόντος, [illegible]χεται δὲ ψυχομένου. ἔτι καὶ ἡ θερμότης ἐν τῇ ὁμιλίᾳ ξηραίνει.

Διὰ τί, ὅσοις αἱ βλεφαρίδες ῥέουσι, λάγνοι; ἢ διὰ 18
τὸ αὐτὸ καὶ διότι οἱ φαλακροί; ἔστι γὰρ μόρια ἄμφω ταῦτα τοῦ αὐτοῦ. ἔστι δὲ τὸ αἴτιον· ὁπόσαι πρεσβυτέρου γινομένου μὴ αὐξάνονται τῶν συγγενικῶν τριχῶν, ἅπασαι τοῦτο πάσχουσιν ἐν ταῖς λαγνείαις. κεφαλὴ γὰρ καὶ ὀφρὺς καὶ βλεφαρὶς συγγενικαὶ τρίχες. τούτων δὲ μόνον ἐνίοις αἱ ὀφρύες δασύνονται πρεσβυτέροις γινομένοις (δι' ἣν δὲ αἰτίαν εἴρηται ἐν ἄλλοις), αἱ ἕτεραι δὲ διὰ τὸ αὐτὸ ἄμφω λείπονται. αἴτιον δὲ ὅτι καταψύχει τὰ ἄνω ἡ λαγνεία ὀλίγαιμα ὄντα, ὥστε οὐ πέττει τὴν τροφὴν ὁ τόπος· οὐ λαμβάνουσαι δὲ τροφὴν ἐκρέουσιν αἱ τρίχες.

Διὰ τί οὐρητιῶντες οὐ δύνανται ἀφροδισιάζειν; ἢ ὅτι 19
πλήρεις γίνονται οἱ πόροι; τὸ δὲ πλῆρες ὑγροῦ οὐ δέχεται ἄλλο ὑγρόν.

Διὰ τί αἱ ἰξίαι τοὺς ἔχοντας κωλύουσι γεννᾶν, καὶ 20
ἀνθρώπους καὶ τῶν ἄλλων ζῴων ὅ τι ἂν ἔχῃ; ἢ ὅτι ἡ ἰξία γίνεται μεταστάντος πνεύματος· διὸ καὶ ὠφελεῖ πρὸς τὰ μελαγχολικά. ἔστι δὲ καὶ ὁ ἀφροδισιασμὸς μετὰ πνεύ-

1 et 4. μὲν] μὴ C^a. ‖ 2. τινὸς om C^a. ‖ 11. ἢ ἕτερον] ὃ ἕτερον C^a. ‖ 15. φέρουσι $C^aX^aY^a$. ‖ 18. τούτων C^aX^a. ‖ 18 et 34. ἔγγονον, 21. ἔγγονα C^aY^a. ‖ 24. ἐκ om C^aX^a. ‖ διαφθειρομένου C^aY^a. ‖ 32. ἡμεῖς] ἡμεῖς δὲ X^a. ‖ 33. οὔτε — οὔτε] codices οὐδὲ — οὐδὲ. ‖ 34. ἢ] τε καὶ X^a, τε C^aY^a. ‖ 35. οἱ] οἷον Y^a. ‖ 36. ὕδατι μὲν οὐθὲν C^a.

2. ἢ ante ἡδὺ om C^a. ‖ 5. τοιοῦτον X^a, τοιοῦτο C^a. ‖ ὂν C^aY^a. ‖ 9. τοιοῦτον codices. ‖ 11. ἡ om C^aY^a. ‖ 13. μῦξιν C^a. ‖ 19. δὲ καὶ ἡ X^aY^a. ‖ 24. ὁπόσαι] ὅπερ καὶ διότι X^a. ‖ 25. γενομένου C^aX^a. ‖ 27. συγγενῆ καὶ τρ. $C^aX^aY^a$. ‖ αἱ] καὶ C^a. ‖ 28. ὀφρύες X^a. ‖ εἴρηται ἐν ἄλλοις om C^a. ‖ 30. ὀλίγαι μὲν ὄντα C^a.

ματος ἐξόδου. εἰ οὖν ὁδοποιεῖται ἡ ὁρμὴ γινομένου αὐτοῦ, οὐ ποιεῖ ὁρμᾶν τὸ σπέρμα, ἀλλὰ καταψύχεται· μαραίνει οὖν τὴν συντονίαν τοῦ αἰδοίου.

21 Διὰ τί οἱ ἀφροδισιάζοντες ἐκλύονται καὶ ἀσθενέστεροι γίνονται ὡς ἐπὶ τὸ πολύ; πότερον διὰ τὸ ἀπὸ πάντων ἔκκρισιν εἶναι τὸ σπέρμα, ὥστε οἷον οἰκοδομήματος αἱ ἁρμονίαι, καὶ τοῦ σώματος οὕτω σειομένη ἡ σύνθεσίς ἐστι τῷ ἀπεληλυθέναι τι, οἷον εἰ τὸ αἷμα ἐξέλθοι ἢ πᾶν ὅ τι ἄλλο μέρος. οὕτω σφόδρα ἐπίκαιρον τὸ ἐξιόν ἐστι, καὶ ὃ ἐκ πολλῆς γίνεται τροφῆς ὀλίγον, οἷον τὸ ἀμύλιον ἐκ τοῦ σταιτός.

22 Διὰ τί οἱ ἀφροδισιάζοντες καὶ οὐρητιῶντες ἐντείνουσιν; ἢ ὅτι πληρουμένων τῶν πόρων ὑγρότητος, τὸ σπέρμα ὑπεξιὸν ἐν ἐλάττονι τόπῳ πλείονά τε ὄγκον ποιεῖ καὶ αἴρει; ἐπίκειται γὰρ τὸ αἰδοῖον ἐπὶ τοῖς πόροις.

23 Διὰ τί ἡ σύντασις γίνεται τοῦ αἰδοίου καὶ ἡ αὔξησις; ἢ διὰ δύο, διά τε τὸ βάρος ἐπιγίνεσθαι ἐν τῷ ὄπισθεν τῶν ὄρχεων αἴρεσθαι (ὑπομόχλιον γὰρ οἱ ὄρχεις γίνονται) καὶ διὰ τὸ πνεύματος πληροῦσθαι τοὺς πόρους. ἢ τοῦ ὑγροῦ αὐξανομένου καὶ μεθισταμένου ἢ ἐξ ὑγροῦ γινομένου ὁ ὄγκος μείζων γίνεται; τὰ λίαν δὲ μεγάλα ἧττον αἴρεται διὰ τὸ πορρωτέρω τὸ βάρος τοῦ ὑπομοχλίου γίνεσθαι.

24 Διὰ τί οἱ ἀφροδισιάζοντες ἢ οἱ τοιοῦτοι δυσώδεις, οἱ δὲ παῖδες οὔ; καὶ τοῦ καλουμένου γράσου ὄζουσιν. ἢ τῶν πνευμάτων, ὥσπερ εἴρηται, τὰ μὲν τῶν παιδίων πέττει τὸ ὑγρὸν καὶ τοὺς ἱδρῶτας, οἱ δὲ τῶν ἀνδρῶν ἄπεπτοι;

25. Διὰ τί ἐν τῷ θέρει οἱ μὲν ἄνδρες ἧττον δύνανται ἀφροδισιάζειν αἱ δὲ γυναῖκες μᾶλλον, καθάπερ καὶ ὁ ποιητὴς λέγει ἐπὶ τῷ σκολύμῳ "μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τοι ἄνδρες." πότερον ὅτι οἱ ὄρχεις καθίενται μᾶλλον ἢ ἐν τῷ χειμῶνι; ἀνάγκη δέ, εἰ μέλλει ἀφροδισιάζειν, ἀνασπάσαι. ἢ ὅτι αἱ θερμαὶ φύσεις ἐν τῷ θέρει συμπίπτουσιν ὑπερβάλλοντος τοῦ θερμοῦ, αἱ δὲ ψυχραὶ θάλπουσιν; ἔστι δὲ ὁ μὲν ἀνὴρ ξηρὸς καὶ θερμός, ἡ δὲ γυνὴ ψυχρὰ καὶ ὑγρά. τοῦ μὲν οὖν ἀνδρὸς ἠμαύρωται ἡ δύναμις, τῶν δὲ θάλλει ἐπανισουμένη τῷ ἐναντίῳ.

26 Διὰ τί ἔνιοι ἀφροδισιαζόμενοι χαίρουσι, καὶ οἱ μὲν ἅμα δρῶντες, οἱ δ' οὔ; ἢ ὅτι ἔστιν ἑκάστῃ περιττώσει τόπος εἰς ὃν πέφυκεν ἀποκρίνεσθαι κατὰ φύσιν, καὶ πόνου ἐγγινομένου τὸ πνεῦμα ἐξιὸν ἀνοιδεῖν ποιεῖ, καὶ συνεκκρίνει αὐτήν, οἷον τὸ μὲν οὖρον εἰς κύστιν, ἡ δ' ἐξικμασμένη τροφὴ εἰς κοιλίαν, τὸ δὲ δάκρυον εἰς ὄμματα, μύξαι δ' εἰς μυκτῆρας, αἷμα δὲ εἰς φλέβας. ὁμοίως δὴ τούτοις καὶ ἡ γονὴ εἰς ὄρχεις καὶ αἰδοῖα. οἷς δὴ οἱ πόροι μὴ κατὰ φύσιν ἔχουσιν, ἀλλ' ἢ διὰ τὸ ἀποτυφλωθῆναι τοὺς εἰς τὸ αἰδοῖον, οἷον συμβαίνει τοῖς εὐνούχοις καὶ εὐνουχίαις, ἢ καὶ ἄλλως, εἰς τὴν ἕδραν συρρεῖ ἡ τοιαύτη ἰκμάς· καὶ γὰρ διεξέρχεται ταύτῃ. σημεῖον δ' ἐν τῇ συνουσίᾳ ἡ συναγωγὴ τοῦ τοιούτου τόπου καὶ ἡ σύντηξις τῶν περὶ τὴν ἕδραν. ἐὰν οὖν ὑπερβάλλῃ τις τῇ λαγνείᾳ, τούτοις ἐνταῦθα συνέρχεται, ὥστε ὅταν ἡ ἐπιθυμία γένηται, τοῦτ' ἐπιθυμεῖ τῆς τρίψεως εἰς ὃ συλλέγεται. ἡ δ' ἐπιθυμία καὶ ἀπὸ σιτίων καὶ ἀπὸ διανοίας γίνεται. ὅταν γὰρ κινηθῇ ὑφ' ὁτουοῦν, ἐνταῦθα τὸ πνεῦμα συντρέχει, καὶ τὸ τοιοῦτο περίττωμα συρρεῖ οὗ πέφυκεν. κἂν μὲν λεπτὸν ᾖ ἢ πνευματῶδες, τούτου ἐξελθόντος, ὥσπερ αἱ συντάσεις τοῖς παισὶ καὶ τοῖς ἐν ἡλικίᾳ, ἐνίοτε οὐθενὸς ὑγροῦ ἐκκριθέντος, παύονται. ὅταν δὲ κατασβεσθῇ τὸ ὑγρόν. ἐὰν δὲ μηδέτερον τούτων πάθῃ, ἐπιθυμεῖ ἕως ἄν τι τούτων συμβῇ. οἱ δὲ φύσει θηλυδρίαι οὕτω συνεστᾶσιν ὥστ' ἐκεῖ μὲν μὴ ἐκκρίνεσθαι ἢ ὀλίγην, οὗπερ τοῖς ἔχουσι κατὰ φύσιν ἐκκρίνεται, εἰς δὲ τὸν τόπον τοῦτον. αἴτιον δὲ ὅτι παρὰ φύσιν συνεστᾶσιν· ἄρσενες γὰρ ὄντες οὕτω διάκεινται ὥστε ἀνάγκη τὸν τόπον τοῦτον πεπηρῶσθαι αὐτῶν. πήρωσις δὲ ἡ μὲν ὅλως ποιεῖ φθόρον, ἡ δὲ διαστροφήν. ἐκείνη μὲν οὖν οὐκ ἔστιν· γυνὴ γὰρ ἂν ἐγένετο. ἀνάγκη ἄρα παρεστράφθαι καὶ ἀλλοθί που ὁρμᾶν τῆς γονικῆς ἐκκρίσεως. διὸ καὶ ἄπληστοι, ὥσπερ αἱ γυναῖκες· ὀλίγη γὰρ ἡ ἰκμάς, καὶ οὐ βιάζεται ἐξιέναι, καὶ καταψύχεται ταχύ. καὶ ὅσοις μὲν ἐπὶ τὴν ἕδραν, οὗτοι πάσχειν ἐπιθυμοῦσιν, ὅσοις δ' ἐπ' ἀμφότερα, οὗτοι καὶ δρᾶν καὶ πάσχειν· ἐφ' ὁπότερα δὲ πλεῖον, τοῦτο μᾶλλον ἐπιθυμοῦσιν. ἐνίοις δὲ γίνεται καὶ ἐξ ἔθους τὸ πάθος τοῦτο. ὅσα γὰρ ἂν ποιῶσι, συμβαίνει αὐτοῖς χαίρειν καὶ προΐεσθαι τὴν γονὴν οὕτως. ἐπιθυμοῦσιν οὖν ποιεῖν οἷς ἂν ταῦτα γίνηται, καὶ μᾶλλον τὸ ἔθος ὥσπερ φύσις γίνεται. διὰ τοῦτο ὅσοι ἂν μὴ πρὸ ἥβης ἀλλὰ περὶ ἥβην ἐθισθῶσιν ἀφρο-

3. συνουσίαν C^a. ‖ 5. τὸ ἁπάντων C^a. ‖ 7. ἡ om X^a. ‖ 8. τι om X^a. ‖ ἐξέλθῃ C^aX^a. ‖ ὅ τι] ἤ τι C^aY^a. ‖ 10. στέατος $C^aX^aY^a$. ‖ 12. ὅτι om C^aY^a. ‖ ἐξιὸν C^a. ‖ 13. ὄγκον τε $C^aX^aY^a$. ‖ 17. αἴρεται C^aY^a. ‖ ὑπομόχλιοι C^a. ‖ καὶ om $C^aX^aY^a$. ‖ 18. πληροῦσθαι πνεύματος C^a. ‖ 28. λέγει] ἡσίοδος X^a. ‖ κολύμῳ X^aY^a, κολύμμῳ C^a. ‖ 29. τοι] τε X^a. ‖ 32. ὑπερβάλοντος C^a, ὑπερβάλλοντος δὲ X^a. ‖ 34. ἀνδρὸς οὖν $C^aX^aY^a$. ‖ 37. ἔστιν om C^a.

1. πόνος οὐ C^a. ‖ γινομένου X^a. ‖ 7. ἐπιτυφλωθῆναι C^aY^a, μὴ ἀποτυφλωθῆναι X^a. ‖ 9. ταύτην X^a. ‖ 13. τότ' X^a. ‖ 14. ἀπὸ τῶν σιτίων καὶ διανοίας X^a. ‖ 16. λεπτὴ C^aY^a, λεπὴ X^a. ‖ 17. πνευματώδης C^aX^a. ‖ 18. καὶ om X^a. ‖ 19. κατεσβέσθη Y^a. ‖ 22. ἐκκρίνεσθαι εἰς τόνδε τὸν τόπον. αἴτιον C^a. ‖ 23. περὶ X^a. ‖ 26. φθοράν C^a. ‖ μὲν om X^a. ‖ 28. γενικῆς X^a. ‖ ἄπλυστοι C^a. ‖ 30. περὶ X^a. ‖ 31. πάσχειν — οὗτοι om C^a. ‖ 35. ἂν om C^a. ‖ 36. γίνεται X^aY^a.

δισιάζεσθαι, διὰ τὸ γίνεσθαι αὐτοῖς ἐν τῇ χρείᾳ τὴν μνήμην, ἅμα δὲ τῇ μνήμῃ τὴν ἡδονήν, διὰ δὲ τὸ ἔθος ὥσπερ πεφυκότες ἐπιθυμοῦσι πάσχειν· τὰ μέντοι πολλὰ καὶ τὸ ἔθος ὥσπερ πεφυκόσι γίνεται. ἐὰν δὲ τύχῃ λάγνος ὢν καὶ μαλακός, καὶ θᾶττον ἕκαστα τούτων συμβαίνει.

27 Διὰ τί μάλιστ' αἰσχύνονται ὁμολογεῖν οἱ ἐπιθυμοῦντες ἀφροδισιάζεσθαι, ἀλλ' οὐ πιεῖν οὐδὲ φαγεῖν οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν; ἢ ὅτι τῶν μὲν πλείστων ἀναγκαῖαι αἱ ἐπιθυμίαι, ἔνια δὲ καὶ ἀναιρεῖ τοὺς μὴ τυγχάνοντας· ἡ δὲ τῶν ἀφροδισίων ἐκ περιουσίας ἐστίν.

28 Διὰ τί οἱ μὲν ἄνδρες τοῦ χειμῶνος, αἱ δὲ γυναῖκες τοῦ θέρους ὁρμητικώτεραι πρὸς τὰ ἀφροδίσια; ἢ ὅτι οἱ μὲν ἄνδρες θερμοὶ μᾶλλον καὶ ξηροὶ τὰς φύσεις, αἱ δὲ γυναῖκες ὑγραὶ καὶ κατεψυγμέναι; τοῖς μὲν οὖν τὸ ὑγρὸν καὶ τὸ θερμὸν αὔταρκες πρὸς τὴν ὁρμὴν τοῦ χειμῶνος (ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τούτων), ταῖς δὲ τὸ θερμὸν ἔλαττον καὶ τὸ ὑγρόν ἐστι πεπηγὸς διὰ τὴν ἔνδειαν τοῦ πυρός· τοῦτο δὲ θέρους. ταῖς μὲν οὖν σύμμετρον τὸ θερμόν, τοῖς δὲ πλέον τοῦ ἱκανοῦ· τὸ γὰρ ἄγαν πολὺ ἐκλύει τῆς δυνάμεως. διὸ καὶ τὰ παιδία τοῦ θέρους λεπτότερα· συμβαίνει γὰρ πῦρ ἐπὶ πῦρ φέρειν.

29 Διὰ τί ὅσοι θερμοὶ τὴν φύσιν, ἐὰν ἰσχυροὶ ὦσι καὶ εὐτραφεῖς, ἐὰν μὴ ἀφροδισιάσωσι, χολή τε πρωΐσταται αὐτοῖς πολλάκις καὶ ἔκπικρον ὑποχωρεῖ καὶ φλέγμα ἁλμυρὸν γίνεται, καὶ ἀλλοχροῦσιν; ἢ ὅτι μετὰ τοῦ σπέρματος ἀεὶ περίττωμα συναπέρχεται; διὸ καὶ ἐνίοις τῶν πνευματικῶν ἰχθύων πλύντρου ὄζει ἡ γονή. ἀφροδισιάζουσι μὲν οὖν τοῦτο συναπέρχεται, ὥστ' οὐ λυπεῖ· μὴ ἀπτομένοις δὲ τῆς ὁμιλίας τὸ περίττωμα ἐκπικροῦται ἢ ἁλμυρὸν γίνεται.

30 Διὰ τί ἀφροδισιαστικοὶ οἱ μελαγχολικοί; ἢ ὅτι πνευματώδεις, τὸ δὲ σπέρμα πνεύματος ἔξοδός ἐστιν. οἷς οὖν πολὺ τὸ τοιοῦτον, ἀνάγκη πολλάκις ἐπιθυμεῖν τούτους ἀποκαθαίρεσθαι· κουφίζονται γάρ.

31 Διὰ τί καὶ οἱ ὄρνιθες καὶ οἱ δασεῖς ἄνθρωποι λάγνοι; πότερον ὅτι ὑγρότητα ἔχουσι πολλήν; ἢ οὔ (τὸ γὰρ θῆλυ ὑγρὸν μέν, ἀλλ' οὐ δασύ), ἀλλ' ὅτι ἀμφότεραι αἱ φύσεις πεπτικαὶ πολλῆς ὑγρότητος διὰ θερμότητα; σημεῖον δὲ αἱ τρίχες καὶ τὰ πτερά. ἢ ὅτι πολὺ τὸ ὑγρόν, καὶ κρατεῖται ὑπὸ τοῦ θερμοῦ; οὔτε γὰρ ἂν μὴ πολλῆς οὔσης τῆς ὑγρότητος οὔτε μὴ κρατουμένης ἐξεφύετο τοῖς μὲν αἱ τρίχες τοῖς δὲ τὰ πτερά. τὸ δὲ σπέρμα γίνεται ἐν τοῖς τοιούτοις πλεῖστον καὶ τόποις καὶ ὥραις, οἷον ἐν τῷ ἔαρι· ἡ γὰρ φύσις αὐτοῦ ὑγρὰ καὶ θερμή. διὰ ταὐτὸ δὲ καὶ οἱ ὄρνιθες λάγνοι καὶ οἱ χωλοί· ἡ γὰρ τροφὴ ἀμφοτέροις κάτω μὲν ὀλίγη διὰ τὴν ἀναπηρίαν τῶν σκελῶν, εἰς δὲ τὸν ἄνω τόπον ἔρχεται καὶ εἰς σπέρμα συγκρίνεται.

Διὰ τί, ἐὰν ἀφροδισιάζῃ ὁ ἄνθρωπος, οἱ ὀφθαλμοὶ 32
ἀσθενοῦσι μάλιστα; ἢ δῆλον ὅτι ἀπολείποντος τοῦ ὑγροῦ τοῦτο γίνεται; τεκμήριον δ' ὅτι ἡ γονὴ ψυχρά ἐστιν· οὐ γὰρ γίνεται ὑγρά, ἐὰν μὴ διαθερμάνῃ τὰ θερμά. οὐδὲ δεῖται τήξεως· κέχυται γὰρ ἐν τῷ ἀνθρώπῳ ὥσπερ τὸ αἷμα.

Ε. ΟΣΑ ΑΠΟ ΚΟΠΟΥ.

Διὰ τί μακροὶ μὲν ὄντες οἱ περίπατοι ἐν τοῖς ὁμαλέσι κοπιαρώτεροί εἰσι τῶν ἀνωμάλων, βραχεῖς δὲ ἀκοπώτεροι; ἢ ὅτι ἥ τε πολλὴ κίνησις ποιεῖ κόπον καὶ ἡ ἰσχυρά. τὴν αὕτη δὲ ἡ σπασματώδης, πολλὴ δὲ ἡ συνεχὴς καὶ μία. ἐν μὲν οὖν τοῖς ἀνάντεσιν, ἐὰν ᾖ μακρά, ἀνάπαυσις γίνεται ἡ μεταβολή, καὶ οὐ μακρὰ ἡ κίνησις, οὐδὲ ἵππων αὐτῶν διὰ τὴν μεταβολήν· ἐν δὲ τοῖς ὁμαλέσιν ἡ ὁμοιότης τοῦ σχήματος οὐ διαλαμβάνει οὐδὲ ἀναπαύει τὰ μέρη, ἀλλὰ συνεργάζεται πρὸς τὸ συνεχῆ τὴν κίνησιν εἶναι. ὅταν δ' ᾖ βραχεῖα, διὰ μὲν τὸ πλῆθος τῆς κινήσεως ἐν τοῖς ἐπιπέδοις οὐ γίνεται κόπος· ἐν δὲ τοῖς ἀνάντεσιν διὰ τὸ τὴν μεταβολὴν ἰσχυρὰν γίνεσθαι καὶ ἐναντίαν, ὁτὲ μὲν ἄνω ὁτὲ δὲ κάτω, ποιεῖ κόπον. τοιαύτη δέ, ὡς φαμέν, ἐν τοῖς ἀνάντεσιν, ἐν δὲ τοῖς πεδινοῖς τοὐναντίον.

Διὰ τί τοῖς λειποψυχοῦσι καὶ τοῖς ἐκ τῶν γυμνασίων διαλυομένοις ἐλάττους τε οἱ ὄγκοι καὶ ὀξύτεραι δοκοῦσιν εἶναι αἱ φωναί; ἢ ὅτι αἵ τε φωναὶ ἐλάττους φαινόμεναι ὀξύτεραι φαίνονται (σημεῖον δὲ ὅτι μιμούμενοι τοὺς πόρρω ὀξὺ φθέγγονται) καὶ οἱ ὄγκοι ἐλάττους;

Διὰ τί ἡ γαστὴρ μόνον λεπτύνεται τῶν γυμναζομένων; 3
ἢ ὅτι πλείστη ἡ πιμελὴ περὶ τὴν γαστέρα;

Διὰ τί τὸ πῖον τετριμμένον γίνεται τοῖς πονοῦσιν; ἢ διότι τὸ πῖον τήκεται θερμαινόμενον, ἡ δὲ κίνησις θερμαίνει, ἡ δὲ σὰρξ οὐ τήκεται.

Διὰ τί δὲ τὰ περὶ τὴν κοιλίαν πιότατα; πότερον ὅτι

9. ἡ — ἐστίν] αἱ — εἰσίν C^a. ‖ 12. πρὸς] εἰσι πρὸς C^a. ‖ 15. τὸ om X^a. ‖ τοῦ post δὲ om X^a. ‖ 18. οὖν] ἐστι X^a. ‖ τοῖς $C^a X^a Y^a$. ‖ 20. γὰρ τὸ πῦρ X^a. ‖ 22. ἐὰν — 23. εὐτραφεῖς om C^a. ‖ 32. τὸ om $X^a Y^a$. ‖ 37. ὑγρότητος πολλῆς X^a. ‖ 39. οὔτε γὰρ om C^a.

3. ἀέρι C^a. ‖ 6. εἰς — 7. συγκρίνεται om C^a. ‖ 6. ἄρχεται Y^a. ‖ 14. ΠΕΡΙ N^a. ‖ 15. μὲν om K^a. ‖ 17. οὐ τοιαύτη K^a. ‖ 18. σπερματώδης $QC^a N^a Y^a$, σπερματώδεις X^a, ὑπερματώδης K^a. ‖ ἡ om X^a. ‖ 20. μακρὰ K^a: celeri μικρά. ‖ 23. εἶναι τὴν κίνησιν X^a. ‖ 30. ὀξύτεροι $X^a Y^a$. ‖ 31. αἱ om $C^a X^a Y^a$. ‖ 32. μιμούμεναι X^a. ‖ 36. τετρυμμένον C^a. ‖ 37. τήκεται μὴ θ. X^a. ‖ ἡ δὲ κίνησις θερμαίνει om C^a.

ττι τῆς τροφῆς; ἐν ὅσῳ οὖν τἆλλα παρ' ἐκείνης ει, αὐτὴ πολλάκις λαμβάνει. ἢ ὅτι ἥκιςα πονεῖ· γὰρ ὐκ ἔχει.

ὰ τί οἱ κόποι μᾶλλον παύονται, ὅταν τις τῷ ἐλαίῳ μμίξας ἀνατρίψηται; ἢ ὅτι μᾶλλον εἰσδύεται τὸ ιετὰ τῦ ὕδατος; ἐὰν δὲ αὐτὸ καθ' αὐτὸ ᾖ, οὐχ παρεισδύνει διὰ τὸ ἐπιπολαςικὸν εἶναι. μᾶλλον ὖν εται τὸ σῶμα εἰσδυομένου, ἐπεὶ τὸ ἔλαιόν ἐστι θερμόν, τὰ δὲ θερμὰ καὶ ξηραίνει καὶ σκληρύνει, τὺς κόπυς ἀξύμφορόν ἐςιν ἡ ξηρασία καὶ ἡ σκλη- ιετὰ δὲ τῦ ὕδατος ἀνατριφθὲν ἧττον ξηραίνει.

ὰ τί τοῖς κοπιῶσι προστάττυσιν ἐμεῖν, εἴπερ ὁ ἔμε- ῶδές ἐςιν; ἢ κόπος γίνεται ὀςῶν θλωμένων καὶ ων καὶ κοπιωμένων, ταῦτα δὲ ὑπὸ τῶν ἐκτός τινος ἂν ἢ τῶν ἐν τῷ σώματι, καὶ τῦτο διττῶς· ἢ γὰρ ὑπερτεινυσῶν τὴν δύναμιν αὐτῶν, ἢ σώματος μι- συχνῦ τῷ ἄλλῳ σώματι, χώραν οἰκείαν ὐκ ἔχον- τὰ περιττώματά ἐςιν. πάντα γὰρ τὰ ἐκτὸς ἡμῖν όμενα βάρη κοπωδέςερα τῶν τοῦ σώματος μερῶν, ςῃ ςαθμῷ ὄντα αὐτῶν ἐλαφρότερα. σημεῖον δὲ τῶν ν· οἱ γὰρ πλεῖον βεβρωκότες καὶ πεπωκότες, ἔλατ- ίσαντες ἢ νήςεις ὄντες, μᾶλλον κοπιῶσι διὰ τὸ μὴ ίαν χώραν ἔχειν τὰ σιτία ὄντα ἄπεπτα. ἐπεὶ δὲ ὁ ύντηξιν ποιεῖ, ἡ δὲ σύντηξις περίττωμά ἐςι, τοῦτό ὸν κόπον ἐν ἡμῖν ποιεῖ, πλανώμενον ἀτάκτως καὶ τον ὀςοῖς τε καὶ νεύροις καὶ τοῖς ἐντὸς τῆς σαρκὸς οῦσι καὶ ἀνεῳγμένοις. ὁ οὖν ἔμετος ἐξάγων αὐτὸ τοῦ κόπυ, εἰκότως ἀκόπυς ποιεῖ· λείπει γὰρ οἷον ρχῇ τοῦ πόνυ τὸ σῶμα. κοπῶδες δ' ἐςὶν ὁ ἔμετος γινομένης ἐν αὐτῷ κινήσεως ὑπερβολῇ, ἀλλ' ὅταν μὴ καλῶς ἐξεμέσαι· λειφθέντων γὰρ πολλῶν σι- ὶ περιττωμάτων τούτοις ἐνόντων, τὸν τοῦ ἐμέτου ίνεσθαι συμβαίνει, καθάπερ ἐπὶ τῶν πεπληρωμένων εἰ οὖν μηδ' ἐκείνοις ὁ πόνος ἐςὶ τοῦ κόπυ αἴτιος, ὸ οὕτως ἔχοντας πονῆσαι, ὐδ' ἂν τοῖς μὴ ἐξαιρῦσι ὁ ἔμετος εἴη τῦ κόπυ αἴτιος· χρῆν γὰρ πᾶσι τοῖς γίνεσθαι κόπον, γίνονται δὲ ἀκοπώτεροι πολλοὶ ες.

ὰ τί κοπιαρώτερόν ἐςι τῷ βραχίονι τὸ διὰ κενῆς ῥίπτειν ἢ λιθάζοντα; ἢ ὅτι σπασμωδέςερον τὸ διὰ κενῆς ἐστίν; οὐ γὰρ ἀπερείδεται πρὸς οὐδέν, ὥσπερ ὁ βάλλων πρὸς τὸ ἐν τῇ χειρὶ βέλος. ὁμοίως δὲ τύτῳ καὶ ὁ πένταθλος πρὸς τοὺς ἁλτῆρας καὶ ὁ θέων παρασείων πρὸς τὰς χεῖρας. διὸ ὁ μὲν μεῖζον ἅλλεται ἔχων ἢ μὴ ἔχων ἁλτῆρας, ὁ δὲ θᾶττον θεῖ παρασείων ἢ μὴ παρασείων.

Διὰ τί ἡ ταχυδρομία καὶ ἐπ' ἀνθρώπυ καὶ ἐπὶ τῶν 9
ἄλλων ζῴων νοσηματικοὺς ποιεῖ τὰ περὶ τὴν κεφαλήν; καίτοι ὅλως ὁ δρόμος κατασπᾶν δοκεῖ κάτω τὰ περιττώματα, ὥσπερ ὁ περίπατος· διὸ καὶ παχύνονται τὰ σκέλη οἱ πολλὰ περιπατοῦντες, ὅτι εἰς τὰ κάτω ὑπονοςεῖ ἄνωθεν καὶ ἡ τροφὴ καὶ τὰ περιττώματα. ἢ ἡ μὲν κίνησις ταὐτὸ ποιεῖ, ἀλλ' ἡ ταχεῖα διὰ τὴν συντονίαν καὶ τὴν ἀπνευςίαν ἐκθερμαίνει τὴν κεφαλήν, καὶ τὰς φλέβας ἐμφυσᾷ τὰς ἐν αὐτῇ, καὶ σπαςικὰς τῶν θύραθεν ποιεῖ δυνάμεων, οἷον ψύχυς καὶ ἀλέας καὶ τῶν ἐκ τοῦ θώρακος, ὧν εἰσιόντων νοσεῖν ἀναγκαῖον τὸν τόπον ἐςίν.

Διὰ τί κοπιῶσι μὲν μᾶλλον ἐν τοῖς ὁμαλοῖς ἢ ἐν τοῖς 10
ἀνωμάλοις τόποις, θᾶττον δὲ βαδίζυσι τὴν ὁμαλὴν ὁδὸν ἢ τὴν ἀνώμαλον; ἢ ὅτι ἀκοπώτερον μέν ἐςι τὸ μὴ ἀεὶ ἐν τῷ αὐτῷ σχήματι ποιεῖσθαι τὴν κίνησιν, ὃ συμβαίνει ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον; θᾶττον δὲ πορεύονται, ὅτι ἧττον παρὰ φύσιν κινοῦνται. ἐν μὲν οὖν τῷ ὁμαλῷ μικρὰ ἡ ἄρσις καὶ θέσις καὶ πυκνή ἐςιν, ἐν δὲ τῷ ἀνωμάλῳ τοὐναντίον. ἔςι δὲ τὸ αἴρειν παρὰ φύσιν· βίᾳ γάρ ἐςι πᾶσα ἄρσις. τὸ δὲ παρ' ἑκάστην βάσιν γινόμενον μικρὸν πολὺ γίνεται παρὰ πολλάς.

Διὰ τί τὰ ἐπίπεδα κοπιαρώτερα ἐγκατακεῖσθαι τῶν 11
κοίλων ἐςίν; ἢ διὰ τὸ αὐτὸ καὶ τὰ κυρτὰ τῶν ἐπιπέδων; ἐφ' ἕνα γὰρ τόπον συναθροιζόμενον τὸ βάρος ἐν τῇ καθέδρᾳ ἢ κατακλίσει τῇ θλίψει ποιεῖ πόνον. τὸ μὲν οὖν κυρτὸν τῦ εὐθέος, τοῦτο δὲ τοῦ κοίλυ μᾶλλον τοιοῦτόν ἐςι· τὸ γὰρ σῶμα ἡμῶν ἐςὶ περιφερέςερον ἢ εὐθύτερον, τῶν δὲ τοιύτων κατὰ πλέον ἅπτεται τὰ κοῖλα ἢ τὰ ἐπίπεδα. διὰ ταῦτα δὲ καὶ τὰ ἐνδιδόντα τῶν μὴ ἐνδιδόντων ἀκοπώτερά ἐςι καὶ ἐγκατακλιθῆναι καὶ ἐνέζεσθαι.

Διὰ τί οἱ βραχεῖς περίπατοι κοπώδεις εἰσίν; ἢ ὅτι 12
ἀνώμαλοί εἰσι; πολλάκις γὰρ ἵςασθαι ποιοῦσιν. τὸ δ' ἐκ τοῦ ἐναντίου εἰς τοὐναντίον πυκνὰ μεταβάλλειν κοπῶδές

ςι om X^aY^a. ‖ 2. ἥκιςα αὕτη π. X^a. ‖ 6. ὢν C^a. ‖ 10. ἀσύμφορόν Y^a. ‖ ἡ post καὶ om C^aY^a. ‖ 16. σαρκικῶν X^aY^a. ‖ δέςατα X^aY^a. ‖ 28. αἴτιον ὂν τῦ κόπυ ἀκόπυς εἰκότως X^a. ‖ 29. δ' om pr Y^a. ‖ 31. ληφθέντων C^aX^a. ‖ σημείων C^a. ‖ 37. Y^a.

σπασματωδέςερον Y^a, σπασματωδέςερον τῷ βραχίονι X^a. ‖ 3. τῇ om X^a. ‖ τοῦτο C^aY^a, τούτου X^a. ‖ 12. ἡ om $C^aX^aY^a$. ‖ post καὶ om X^a. ‖ 14. ἐκφυσᾷ C^a. ‖ 18. μὲν post μᾶλλον X^a, om C^a. ‖ 22. δὲ] γὰρ $C^aX^aY^a$. ‖ 24. ὁμάλῳ X^a. ‖ αρότερα Y^a. ‖ 30. τρόπον X^a. ‖ 36. ἐνέζεσθαι C^aY^a, ἀνέζεσθαι X^a.

ἐστι· συνήθειαν γὰρ οὐδετέρῳ ποιεῖ, ὅ ἐστιν ἄκοπον. ἀμφοῖν δ' ἅμα οὐκ ἐνδέχεται συνήθειαν γίνεσθαι.

13 Διὰ τί οἱ ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν μᾶλλον θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλλον δακρύουσι τὰ ὄμματα; πότερον διὰ τὸ ψυχρότερον εἶναι τὸν ἀεὶ προσπίπτοντα ἀέρα, ὅσῳ ἂν ἐλάττω χρόνον ἅπτηται τοῦ σώματος, ὅπερ ἐπὶ τῶν γυμνῶν θεόντων συμβαίνει; τὸ δὲ ψῦχος δάκρυον ποιεῖ. ἢ διὰ τοὐναντίον; καὶ γὰρ τὸ θερμὸν ποιεῖ δακρύειν, οἷον ὁ ἥλιος· ἡ δὲ κίνησις θερμότητα ποιεῖ. ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πληγήν; ὡς γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτως ὁ ἀὴρ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ, τοσούτῳ μᾶλλον ποιεῖ τὴν πληγὴν μαλακήν.

14 Διὰ τί τὰ μὲν ἄλλα τριβόμενα σαρκοῦνται μέρη, ἡ δὲ γαστὴρ λεπτοτέρα γίνεται; ἢ οὐδὲ αὐτὴ ἐκ προσαγωγῆς, ἀλλὰ στιφροτέρα; οὐ μὴν ἀλλ' οὐχ ὁμοίως γε καὶ ἡ σάρξ, διὸ καὶ τὸ πρόβλημά ἐστιν. ὅλως γὰρ ἐν τοῖς γυμνασίοις καὶ πόνοις μάλιστα λεπτύνεται ἡ γαστήρ. αἴτιον δ' ὅτι τὰ πίονα θερμαινόμενα τήκεται, καὶ τὰ φύσει τάσιν ἔχοντα μᾶλλον. τὸ δὲ δέρμα ἐστὶ φύσει ἔχον τάσιν· ἀλλὰ διὰ τὸ πιαίνεσθαι τάχιστα ἀεί τινα ἔχει πιότητα, ἐὰν μὴ κάμνῃ τινὰ νόσον. αἴτιον δὲ τούτου ὅτι ἐγγύς ἐστι τῆς τροφῆς. ἐπεὶ οὖν ὅλως ἡ πιμελὴ οὐκ ἔστι φύσει ἀλλ' ἐπίκτητον, καὶ οὐ τῶν ἀναγκαίων μερῶν ὥσπερ ἡ σάρξ, καὶ ἡ τῶν γυμνασίων κίνησις καὶ ἡ τῆς τρίψεως θερμαίνουσαι τήκουσιν αὐτὴν καὶ τὴν τροφὴν ἐκπλεονάζουσαν νέμουσι τοῖς ἄλλοις μορίοις. διὸ αἱ μὲν καθέδραι τὴν κοιλίαν πιαίνουσι, τὸ δ' ἄλλο σῶμα λεπτύνουσιν, αἱ δὲ κινήσεις καὶ αἱ τρίψεις τὴν μὲν κοιλίαν λεπτύνουσι, τὸ δ' ἄλλο σῶμα παχύνουσιν.

15 Διὰ τί ἐκ τῶν μακρῶν καὶ σφοδρῶν ὁδῶν καὶ δρόμων, ὅταν στῇ τις ἐπ' ἄκρων τῶν δακτύλων, σείονται τῶν ποδῶν αἱ πτέρναι καὶ σπᾶται κάτω προπετῶς; ἢ διὰ τὴν συνέχειαν καὶ σφοδρότητα τῆς κινήσεως οὐκ ἀναπαύεται ὁ σεισμὸς τῷ ἀνθρώπῳ τῶν νεύρων; τοῦ μὲν γὰρ ὅλου σώματος κρατεῖ ἡ ψυχὴ πολλάκις, μορίων δ' οὔ, ὁπόταν πως κινηθῇ, οἷον καὶ καρδίας καὶ αἰδοίου. αἴτιον δ' ὅτι πνεῦμα πολὺ περὶ τὰ νεῦρα ἐγκαίεται, ὃ οὐχ ἅμα ἐκψύχεται στάντι. τοῦτο οὖν σεῖον ὥσπερ ὑποσπῶν τῇ κινήσει κατασπᾷ τε, καὶ τοῦ πορρωτάτω ἥκιστα ποιεῖ κρατεῖν· τοιοῦτον δὲ αἱ πτέρναι, οἷον τοῖς ὀργιζομένοις τὸ κάτω χεῖλος.

Διὰ τί οἱ μὴ σφόδρα συντόνως τρέχοντες ἐν τῷ ῥυθμῷ 16
ἀναπνέουσιν; πότερον ὅτι πᾶς ῥυθμὸς ὡρισμένῃ μετρεῖται κινήσει, τοιαύτη δ' ἐστὶν ἡ δι' ἴσου οὖσα, ὅπερ οἱ τροχάζοντες ποιοῦσιν. ἅμα οὖν ἀρχόμενοι τροχάζειν ἀναπνέουσιν, ὥστε τὴν ἀναπνοὴν δι' ἴσου γινομένην, διὰ τὸ τῇ ἴσῃ κινήσει μετρεῖσθαι, ῥυθμὸν ποιεῖν. ἢ ὅτι πᾶσα μὲν ἁπλῶς ἀναπνοὴ δι' ἴσου γίνεται τοῖς κατὰ φύσιν αὐτῇ χρωμένοις καὶ μὴ κατέχουσιν; καθημένοις μὲν οὖν καὶ βαδίζουσι μετρίας οὔσης τῆς τοῦ σώματος κινήσεως, οὐκ εὔδηλος ὁ ῥυθμὸς γίνεται· συντόνως δὲ τρέχουσιν, οὐ παρακολουθούσης τῇ κινήσει τῆς αἰσθήσεως, οὐ δυνάμεθα συνορᾶν τὸν τῆς ἀναπνοῆς ῥυθμόν. ἐν δὲ τῷ μετρίως τροχάζειν μέτρον ἡ κίνησις αἰσθητὸν τῆς ἀναπνοῆς ποιοῦσα τὸν ῥυθμὸν δηλοῖ.

Διὰ τί ἐν τῷ τροχάζειν ἐκπνευματοῦσθαι δοκεῖ ἡμῖν 17
ὁ ἀήρ; πότερον ὅτι κινούμενοι διὰ τοῦ τροχάζειν τὸν συνεχῆ τοῖς σώμασιν ἡμῶν ἀέρα κινοῦμεν, ὅ ἐστι πνεῦμα; διόπερ οὐ δοκεῖ μόνον, ἀλλὰ καὶ κατ' ἀλήθειαν ἐκπνευματοῦται ὁ ἀήρ. ἢ διότι τροχάζοντες προσκόπτομεν τῷ ἀέρι, τούτου δὲ συμβαίνοντος μᾶλλον αἴσθησιν λαμβάνομεν τοῦ ἀέρος διὰ τῆς κινήσεως. εἰκότως οὖν ἡμῖν ἐκπνευματοῦσθαι δοκεῖ· τοῦτο γὰρ συμβαίνει διὰ τὴν φοράν.

Διὰ τί μᾶλλον θέοντες ἢ βαδίζοντες πίπτουσιν; ἢ ὅτι 18
μᾶλλον πρὶν κινεῖσθαι αἴρουσιν; τὸ γὰρ θέειν τοῦ βαδίζειν τούτῳ διαφέρει.

Διὰ τί ποτε ἀναβαίνοντες μὲν τὰ γόνατα πονοῦμεν, 19
καταβαίνοντες δὲ τοὺς μηρούς; ἢ ὅτι ὅταν μὲν ἀναβαίνωμεν, ἀναρριπτοῦμεν ἄνω τὸ σῶμα, καὶ ἡ σπάσις πολλὴ τοῦ σώματος καὶ ἡ ἀπὸ τῶν γονάτων γίνεται, διὸ πονοῦμεν τὰ γόνατα· ἐν δὲ τοῖς κατάντεσι, διὰ τὸ ὑποφέρεσθαι τοῖς σκέλεσι, τοῖς μηροῖς ἀποστηριζόμενοι πονοῦμεν αὐτούς. αἴτιον ἅπαν τὸ παρὰ φύσιν γινόμενον πόνον καὶ λύπην παρασκευάζει. ἔστι δὲ τὸ κατὰ φύσιν τοῖς μὲν γόνασιν ἡ εἰς τὸ πρόσθεν κλάσις, τοῖς δὲ μηροῖς ἡ εἰς τοὔπισθεν. ἐν μὲν οὖν τοῖς ἀνάντεσι τὰ γόνατα κλᾶται εἰς τοὔπισθεν διὰ τὸ ἀποστηρίζεσθαι βούλεσθαι, ἐν τοῖς κατάντεσι δ' οἱ μηροὶ εἰς τοὔμπροσθεν κλῶνται διὰ τὸ προπετὲς ἡμῶν εἶναι τὸ σῶμα.

Διὰ τί ποτε ἐν ταῖς ὁδοῖς τῶν μηρῶν τὸ μέσον μάλι- 20
στα πονοῦμεν; ἢ ὅτι παντὸς μακροῦ καὶ ἑνὸς ὄντος, ἐστηριγμένου δέ, τοῦ μέσου ὁ πόνος μάλιστα γίνεται; διὸ καὶ κα-

6. χρόνου $C^a Y^a$. ‖ 12. τὴν om $X^a Y^a$. ‖ 15. στιφνοτέρα X^a, στριφροτέρα C^a. ‖ 17. μάλιστα] καὶ μάλιστα $X^a Y^a$. ‖ 20. ποιότητα C^a. ‖ 23. οὐ] ἡ X^a. ‖ ἡ] καὶ ἡ X^a. ‖ 25. ἀλλοτρίοις X^a. ‖ 29. σφοδρῶν καὶ μακρῶν X^a. ‖ 31. προπετεῖ $C^a Y^a$. ‖ 33. νεύρων et 36. νεῦρα C^a. ‖ 36 ἐκκάεται Y^a. ‖ 37. ἐκστάντι C^a. ‖ κατασπᾶται καὶ codices. ‖ 38. πορρωτάτου $C^a X^a$.

3. ὥσπερ X^a. ‖ 5. γενομένην $C^a X^a$. ‖ 15. ἀνήρ X^a. ‖ 22. ἢ ante ὅτι om $C^a X^a Y^a$. ‖ 25. μὲν om C^a. ‖ 26. ὅτι om $K^a O^a$. ‖ 30. βέλεσι vg. ‖ 33. ἐν μὲν — 34. τοὔπισθεν om C^a. ‖ στηρίζεσθαι X^a.

τάγνυται μάλιστα ἐντεῦθεν. ὁ δὲ μηρός ἐστι τοιοῦτον· διὸ καὶ τὸ μέσον αὐτοῦ μάλιςα πονοῦμεν.

21 Διὰ τί οἱ ὑγροὶ ταχὺ πνίγονται πονήσαντες καὶ ὑπὸ τοῦ καύματος; ἢ ὅτι ἐκθερμαινόμενον τὸ ὑγρὸν ἀὴρ γίνεται, καὶ κάει μᾶλλον τὸ πλέον; ὅταν οὖν μὴ δύνηται ὑπεξάγειν διὰ τὸ πλῆθος, οὐ γίνεται κατάψυξις, ὥςε ταχὺ ἐκπυροῦται ὑπὸ τοῦ συμφύτου καὶ ἐπικτήτου θερμοῦ. διὸ καὶ οἱ γινόμενοι ἱδρῶτες τοῖς γυμναζομένοις καὶ ὅλως τοῖς πονοῦσι καὶ ἡ τοῦ πνεύματος ἔξοδος ὠφέλιμον· διακρινομένου γὰρ καὶ λεπτυνομένου τοῦ ὑγροῦ πνεῦμα γίνεται.

22 Διὰ τί τὰ σύμμετρα τῶν σωμάτων κάμνει τε πολλάκις καὶ ἀπαλλάττει ῥᾷον; ἢ διὰ ταὐτὸ ἄμφω; ὁμαλὸν γὰρ τὸ σύμμετρον, τὸ δὲ ὁμαλὸν ὁμοπαθέςερον· ἐὰν οὖν τι πονήσῃ μέρος, εὐθὺς συμπονεῖ τὸ ὅλον. τὸ δὲ ἀσύμμετρον, ἅτε μᾶλλον ἀπηρτημένον, οὐ συναπολαύει τῶν μερῶν. κάμνει μὲν οὖν πολλάκις διὰ τοῦτο, ῥᾷον δὲ ἀπαλλάττει, ὅτι πᾶν κοινωνεῖ τὸ σῶμα· εἰς πλείω γὰρ διανεμόμενον τὸ πάθος γίνεται ἀσθενέςερον, ὥςε εὐαπαλλακτότερον. τὸ δὲ ἀσύμμετρον, ἅτε οὐ κοινωνοῦν τοῖς μέρεσιν, ἐλαττονάκις μὲν κάμνει, χαλεπώτερον δὲ ἀπαλλάττει· σφοδρὸν γὰρ τὸ πάθος.

23 Διὰ τί κοπιῶσι μὲν μᾶλλον ἐν τοῖς ὁμαλοῖς ἢ ἐν τοῖς ἀνωμάλοις, θᾶττον δὲ βαδίζουσι τὴν ὁμαλὴν ἢ τὴν ἀνώμαλον; ἢ ὅτι ἀκοπώτερον μὲν τὸ μὴ ἀεὶ ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον, θᾶττον δὲ πορεύονται, ὅπου ἐν τῷ ἴσῳ χρόνῳ ἐλάττων ἡ ἀναφορά. ἐν μὲν οὖν τῷ ὁμαλῷ μικρὰ ἡ ἄρσις καὶ πυκνή, ἐν δὲ τῷ ἀνωμάλῳ τοὐναντίον. τὸ δὲ παρ' ἑκάςην βάσιν γινόμενον πολὺ γίνεται παρὰ πολλάς.

24 Διὰ τί καταβαίνοντες μὲν τὰ κατάντη τοὺς μηροὺς μάλιςα πονοῦμεν, ἀναβαίνοντες δὲ τὰς κνήμας; ἢ ὅτι ἀναβαίνοντες μὲν τῷ αἴρειν τὸ σῶμα; ἅπαν γὰρ γίνεται φορτίον τὸ σῶμα. ᾧ οὖν ἅπαν ἐπίκειται καὶ ᾧ αἴρομεν, τοῦτο μάλιςα πονεῖ. ἡ δὲ κνήμη τοῦτο. ἔσχατον γάρ, μῆκος ἔχον, καὶ οὐχ ὥσπερ ὁ πούς πλάτος ἔχει· διὸ σαλεύεται. ὥστε οἷον τῷ ὤμῳ τὰ βάρη κινοῦμεν, καὶ ἐπὶ τούτῳ ἔχομεν. τοιγαροῦν καὶ πονοῦμεν τὸν ὦμον μάλιστα. καταβαίνοντες δὲ τῷ ἐμπίπτειν τὸ σῶμα κάτω καὶ προωθεῖν παρὰ φύσιν ὁ πόνος ἐςίν, ὥστε ᾧ μάλιστα ἐμπίπτει καὶ σαλεύει, τοῦτο παρέχει τὸν πόνον. ἡ μὲν οὖν κνήμη μένει, τὸ δὲ βάρος ὁ θώραξ γίνεται· ὁ δὲ μηρὸς δέχεταί τε καὶ σαλεύεται διὰ τὸ μῆκός τε ἔχειν καὶ στρέφεσθαι ἄνωθεν, ᾗ ὁ θώραξ ἐμπίπτει.

Διὰ τί πλείων δοκεῖ ἡ ὁδὸς εἶναι, ὅταν μὴ εἰδότες 25 βαδίζωμεν πόση τις, ἢ ὅταν εἰδότες, ἐὰν τἆλλα ὁμοίως ἔχοντες τύχωμεν; ἢ ὅτι τὸ εἰδέναι πόση τὸ εἰδέναι ἐςὶ τὸν ἀριθμὸν αὐτοῦ· καὶ πλεῖον ἀεὶ τὸ ἀόριςον τοῦ ὡρισμένου; ὥσπερ οὖν εἰ ᾔδει ὅτι τοσήδε, πεπερασμένην ἀνάγκη εἶναι, οὕτω καὶ εἰ μὴ οἶδεν, ὡς ἀντιστρέφοντος παραλογίζεται ἡ ψυχή, καὶ φαίνεται εἶναι ἄπειρος. ἔτι τὸ ποσὸν ὡρισμένον καὶ τὸ ὡρισμένον ποσόν. ὅταν τοίνυν μὴ φαίνηται ὡρισμένον, ὥσπερ ἄπειρον φαίνεται εἶναι, διὰ τὸ τὸ πεφυκὸς ὡρίσθαι, ἐὰν μὴ ᾖ ὡρισμένον, ἄπειρον εἶναι, ὥςε καὶ τὸ φαινόμενον μὴ ὡρίσθαι φαίνεσθαι ἀνάγκη πως ἀπέραντον.

Διὰ τί τοὺς μηροὺς μᾶλλον ἢ τὰς κνήμας κοπιῶσιν; 26. πότερον ὅτι ἐγγὺς τοῦ τόπου τοῦ ἔχοντος τὸ περίττωμα, ὥςε ἂν ὑπερβάλλῃ διὰ τὴν κίνησιν τῇ θερμότητι, συσπῶσιν οἱ μηροὶ μᾶλλον καὶ πλεῖον ἢ αἱ κνῆμαι; ἢ διὰ τὸ συμφυὲς εἶναι μᾶλλον τοὺς μηρούς; μάλιςα γὰρ πονοῦσι τῇ τοῦ συνεχοῦς διαςάσει. καὶ γὰρ ἂν μηδὲν ἔχοντες περίττωμα κοπιάσωσιν, ὅμως τοὺς μηροὺς καὶ τὴν ὀσφὺν πονοῦσι μᾶλλον. ἢ ὅτι καθάπερ οἱ βουβῶνες γίνονται πληγέντες διὰ τὴν συνάρτησιν τῶν φλεβῶν καὶ νεύρων, οὕτω καὶ οὗτος; ἐγγυτέρω δὲ τῆς ἀρχῆς ὁ μηρός. ἢ διότι μᾶλλον ἐν τῷ αὐτῷ σχήματι ὁ μηρὸς τῆς κνήμης; τοῦτο δὲ κοπιαρώτερον. ἢ ὅτι σαρκώδης, ὥςε πολὺ τὸ κατὰ φύσιν ἔχον ἐν αὐτῷ;

Διὰ τί ἐνίοις, ὅταν πονήσωσιν, ἕλκη ἐκφύουσιν; ἢ ὅταν 27 τὸ σῶμα ἀκάθαρτον ᾖ, ἡ κίνησις θερμαίνουσα καὶ ἄλλα περιττώματα συνεξικμάζει μετὰ τοῦ ἱδρῶτος; παχέα δὲ ὄντα καὶ χυμοὺς ἔχοντα μοχθηρούς, ὀξεῖς καὶ πικροὺς καὶ ἁλμυρούς, τὰ περιττώματα ἐκκρίνεσθαι μὲν οὐ δύναται διὰ πάχος, ἐξαίρεται δὲ διὰ τῆς σαρκὸς καὶ ἐξελκοῖ διὰ πικρότητα τοῦ χυμοῦ.

Διὰ τί τοῖς ἐκ τῶν γυμνασίων καὶ φαρμακοποσιῶν 28 οὐκ εὐθὺς προσφέρουσι τροφήν; ἢ διότι καθαίρεται τὸ σῶμα ἔτι, καὶ οὐκ ἀναπέπαυται πονοῦν, καὶ ἀποκέκριται τὰ περιττώματα;

Διὰ τί χαλεπώτερον θεῖν ἢ βαδίζειν; ἢ ὅτι πλεῖον 29 φορτίον φέρει ὁ θέων; ὅταν γὰρ ᾖ μετέωρος, ἅπαν ἐφ' αὑτῷ ἔχει. ὁ δὲ βαδίζων, οἷον οἱ ἐπὶ τοῖς τειχίοις ἀναπαυόμενοι, ἐπιθεὶς ἔχει ἐπὶ τῷ ἠρεμοῦντι.

4. τὸ om X^a. ‖. 5 καίει C^a. ‖ 13. γάρ ἐςι τὸ X^a. ‖ 19. οὐ om C^a. ‖ 23. δὲ om C^a. ‖ β. τὴν] β. μὲν X^aY^a. ‖ 24. ἀκοπώτατον C^aY^a. ‖ 26. ἡ ἀναφορὰ ἐλάττων X^a. ‖ ὁμαλεῖ Y^a. ‖ 29. μάλιςα om C^a. ‖ 38 et *b* 1. ἐπιπίπτει Y^a, ἐκπίπτει X^a. ‖ 38. τούτῳ X^a.

8. εἶδε καὶ ὡς X^a ‖ 11. alterum τὸ om C^aX^a. ‖ 12. τὸ μὴ φ. μὴ C^a. ‖ 18. εἶναι καὶ μᾶλλον C^a, μᾶλλον εἶναι X^a. ‖ τοὺς] εἰς τοὺς X^aY^a. ‖ τοῦ om X^a. ‖ 21. τὴν om X^a. ‖ 25. αὐτοῖς C^aY^a. ‖ 30. διὰ τὸ πάχος C^a. ‖ 39. ἑαυτῷ Y^a. ‖ ὁ C^a, om X^a. ‖ ἀναπαυόμενος C^aX^a.

30 Διὰ τί ἐκ τῶν γυμνασίων οὐ πεινῶσιν εὐθύς; πότερον διὰ τὴν ὑπόλειψιν τῆς συντήξεως, ἕως ἀντιπεφθῇ; ἢ διὰ τὸ πνεῦμα ὃ ποιεῖ ὁ πόνος ἐκ τοῦ ὑγροῦ; ἢ διὰ τὴν δίψαν ἣ γίνεται ἐκ τοῦ θερμαίνεσθαι πονοῦντας; πάντα γὰρ συμβαίνει ταῦτα.

31 Διὰ τί ἐξονειρωκτικοί εἰσιν οἱ κοπιῶντες καὶ φθισιῶντες; ἢ ὅτι ὅλως ἐξονειρωκτικοὶ οἱ θερμοὶ καὶ ὑγροί; τὸ γὰρ σπέρμα τοιοῦτόν ἐστι τὴν φύσιν. τὸ τοιοῦτο δὲ ἐξ οὕτω διακειμένων μάλιστα γίνεται, ὅταν ἡ ἀπὸ τοῦ ὕπνου θερμότης προσγένηται· μικρᾶς γὰρ ῥοπῆς τὰ σώματα δεῖται, καὶ ταύτης ἔσωθεν ἀλλ᾽ οὐκ ἔξωθεν. οἱ δὲ φθισικοὶ καὶ κοπιῶντες οὕτω διάκεινται· οἱ μὲν γὰρ κοπιῶντες διὰ τὸν κόπον καὶ τὴν κίνησιν συντήγματος θερμοῦ πλήρεις εἰσίν, οἱ δὲ φθισικοὶ διὰ τὸν κατάρρουν καὶ τὴν γινομένην θέρμην ὑπὸ τῆς φλεγμασίας.

32 Διὰ τί τὸ ἀριστερὸν σκέλος χαλεπώτερον τρίβεσθαι ὑφ᾽ ἑαυτοῦ πολὺν χρόνον ἢ τὸ δεξιόν; ἢ ὅτι τοῖς δεξιοῖς πονεῖν δυνάμεθα; ἐν δὲ τοῖς παρὰ φύσιν ἡ τοῦ ἀριστεροῦ σκέλους τρῖψις ἐξεστραμμένως γίνεται. τὰ δὲ παρὰ φύσιν ποιούμενα χαλεπά. τῇ δὲ ἀριστερᾷ τὰ δεξιὰ οὐθὲν ἐπίδηλον διὰ τὸ μηθετέρως ἰσχύειν.

33 Διὰ τί ὑγιεινὸν τὸ τροφῆς μὲν ὑποστέλλεσθαι, πονεῖν δὲ πλείω; ἢ ὅτι τοῦ νοσεῖν αἴτιον περιττώματος πλῆθος; τοῦτο δὲ γίνεται ἢ διὰ τροφῆς ὑπερβολὴν ἢ διὰ πόνων ἔνδειαν.

34 Διὰ τί οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγίειαν, ἀλλ᾽ ἀραιοῦν; ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους (διὸ καὶ ἡ θάλαττα ὑγιεινή), οὕτω καὶ σῶμα τὸ εὔπνουν μᾶλλον ὑγιεινόν. δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηθὲν περίττωμα, ἢ τούτου ὡς τάχιστα ἀπαλλάττεσθαι· καὶ δεῖ οὕτως ἔχειν τὰ σώματα ὥστε λαμβάνοντα εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει καὶ μὴ ἠρεμεῖν. τὸ μὲν γὰρ μένον σήπεται, ὥσπερ ὕδωρ, τὸ δὲ σηπόμενον καὶ μὴ κινούμενον νοσοποιεῖ· τὸ δ᾽ ἐκκρινόμενον πρὸ τοῦ διαφθαρῆναι χωρίζεται. τοῦτ᾽ οὖν πυκνουμένης μὲν τῆς σαρκὸς οὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιουμένης δὲ συμβαίνει. διὸ καὶ οὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν· συνίσταται γὰρ ἡ σάρξ, καὶ κομιδῇ ἀποσαρκοῦνται, καὶ ὑγρότερον τὸ σῶμα γίνεται. τὸ μὲν γὰρ ἐντὸς δὴ μένει, τὸ δ᾽ ἐπιπολῆς ἀπαλλάττεται, ὥσπερ καὶ τὰ κρέα τὰ ἑφθὰ τῶν ὀπτῶν μᾶλλον. οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν· ἀπὸ γὰρ τῶν ἄριστα ᾠκοδομημένων ὁ ἥλιος ἀφαιρεῖ, ὃ ἥκιστα δεῖται ἀφαιρέσεως, ἀλλὰ μᾶλλον τὰ ἐντός. ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω εἶναι, ἂν μὴ μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτ᾽ αναγαγεῖν, ἀπὸ τούτου δὲ διὰ τὸ πρόχειρον εἶναι ῥᾴδιον.

Διὰ τί κοπώδεις οἱ βραχεῖς τῶν περιπάτων; ἢ ὅτι 35 πολλάκις συνίστανται καὶ οὐχ ὁμαλῶς κινοῦνται περὶ τὰς καμπάς; τὸ δὲ τοιοῦτον κοπῶδες.

Διὰ τί ἑστηκότες ἐν τῷ ἡλίῳ μᾶλλον θερμαίνονται ἢ 36 κινούμενοι, καὶ ταῦτα τῆς κινήσεως θερμαντικῆς οὔσης; ἢ οὐ πᾶσα κίνησις θερμαίνει, ἀλλ᾽ ἐνία ψύχει, οἷον καὶ ἐπὶ τῶν τὰς χύτρας τὰς ἑψημένας φυσώντων καὶ κινούντων συμβαίνει. εἰ οὖν ἑστηκότι μὲν προσμένει τὸ θερμόν, προσμένον δὲ μᾶλλον θερμαίνει ἢ κινούμενον (ἀεὶ γὰρ τὸ σῶμα ἴδιον ἡμῶν ἀτμίδα τινὰ χλιαρὰν ἀφίησιν ἀφ᾽ ἑαυτοῦ, ἣ θερμαίνει τὸν ἐγγὺς ἀέρα ὥσπερ δαλὸς παρών), ἠρεμούντων μὲν ἡμῶν θερμὸς γίνεται ὁ περιέχων ἡμᾶς ἀὴρ διὰ τὰ εἰρημένα, κινουμένων δὲ πνεῦμα γίνεται, ὃ καταψύχει ἡμᾶς· πᾶν γὰρ πνεῦμα ψυχρόν ἐστιν.

Διὰ τί οἱ ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν θᾶττον 37 θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλλον δακρύουσι τὰ ὄμματα, καὶ οἱ πεζοί, ὅσῳ ἂν μᾶλλον τρέχωσιν; πότερον διὰ τὸ ψυχρὸν εἶναι τὸν προσπίπτοντα ἀέρα; τὸ γὰρ ψῦχος δακρύειν ποιεῖ· συστέλλον γὰρ καὶ πυκνοῦν τὴν σάρκα ἐκκαθαίρει τὸ ὑγρόν. ἢ διὰ τοὐναντίον; τὸ γὰρ θερμὸν ποιεῖ ἱδρῶτας, τὸ δὲ δάκρυον ἱδρώς τίς ἐστι. διὸ καὶ γίνονται ὑπὸ θερμασίας ἄμφω ταῦτα, καὶ ἁλυκά ἐστιν ὁμοίως. ἡ δὲ κίνησις θερμότητα ποιεῖ. ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πληγήν; ὡς γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτω καὶ ὁ ἀὴρ ὁ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ ἢ αὐτὸς τρέχῃ, τοσούτῳ μᾶλλον ποιεῖ πληγὴν μαλακήν, δι᾽ ἣν γίνεται δακρύειν, ἀραιουμένων τῶν τοῦ ὀφθαλμοῦ πόρων ὑπὸ τῆς πληγῆς· πᾶσα γὰρ πληγὴ διαιρετικόν ἐστιν ἢ θλαστικόν.

Διὰ τί δεῖ τοὺς μὲν θερινοὺς κόπους λουτρῷ ἰᾶσθαι, τοὺς 38 δὲ χειμερινοὺς ἀλείμματι; ἢ τούτους μὲν διὰ τὰς φρίκας καὶ τὰς γινομένας μεταβολὰς θερμῷ δεῖ λύειν, ὃ ποιήσει ἀλεαίζειν (τὸ δὲ ἔλαιον θερμόν)· ἐν δὲ τῷ θέρει καθυγραί-

1. πίνουσιν X^a. ‖ 4. ἢ X^a. ‖ γίνεσθαι $C^a X^a$. ‖ 6 et 7. ἐξονειρωτικοὶ $C^a X^a$, ἐξονειρωττικοὶ Y^a. ‖ 8. τῇ φύσει C^a. ‖ 16. σκέλος om C^a. ‖ 18. τοῖς δὲ $X^a Y^a$. ‖ 19. ἐξεστραμμένη C^a. ‖ 20. π.] γινόμενα X^a. ‖ 22. τὸ τῆς τροφῆς X^a. ‖ 26. τὴν σάρκα πυκνοῦν C^a. ‖ ὑγείαν $X^a Y^a$. ‖ 31. λαμβάνον $C^a X^a Y^a$. ‖ 35. μὲν om C^a. ‖ 37. καὶ om C^a. ‖ 38. ἀποσαρκοῦται X^a. ‖ 39. δεῖ μένειν C^a.

3. φέρει $C^a X^a Y^a$. ‖ 6. ἱδρῶτας ἀγαγεῖν X^a. ‖ 10. τοιοῦτο X^a. ‖ 14. χύτρας τὰς om X^a. ‖ 18. ἐγγὺς τὸν C^a. ‖ 20. ὃ καὶ ψύχει C^a. ‖ 24. τρέχουσι X^a. ‖ 28. ὑπὲρ C^a. ‖ 29. ἐστι ταῦτα ὁμοίως X^a. ‖ 36. δεῖ] οὐ δεῖ X^a. ‖ 38. λούειν $C^a X^a Y^a$. ‖ 39. ἔλεον X^a.

νειν. ἡ γὰρ ὥρα ξηρά, καὶ οὐ γίνονται φρῖκαι διὰ τὴν ἀλέαν. ὀλιγοσιτία δὲ καὶ κωθωνισμὸς θέρους, τὸ μὲν ὅλως, τὸ δὲ μᾶλλον, ὁ μὲν πότος θέρους ὅλως διὰ τὴν ξηρότητα, ἡ δὲ ὀλιγοσιτία κοινὸν μέν, μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ μᾶλλον διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

39 Διὰ τί οἱ θέοντες εὐτόνως μάλιστα λαμβάνουσι σπάσματα, ὅταν τις θέουσιν αὐτοῖς ὑποστῇ; ἢ ὅτι ταῦτα μάλιστα διασπᾶται, ἃ εἰς τοὐναντίον τε καὶ ἰσχυρῶς ἕλκεται καὶ κινεῖται; ὅταν οὖν θέοντος καὶ σφοδρῶς ὠθουμένων τῶν μορίων εἰς τὸ πρόσθεν ὑποστῇ τις, συμβαίνει ἅμα ἀντισπᾶν εἰς τοὐναντίον, ἔτι φερομένων εἰς τοὔμπροσθεν, ὥστε ἡ σπάσις τοσούτῳ ἰσχυροτέρα γίνεται, ὅσῳ ἂν θέωσι σφοδρότερον.

40 Διὰ τί τῶν περιπάτων οἱ κατὰ τὰς ὁδοὺς ἀκοπώτεροί εἰσιν, οἱ ἀνώμαλοι τῶν εὐθέων; ἢ διὰ τὸ τὴν φορὰν ὀρθὴν εἶναι κατὰ φύσιν παντὶ τῷ σώματι; οἱ δ' ἐν τοῖς ὁμαλοῖς τῶν ἀνωμάλων κοπιωδέστεροι· τοῖς γὰρ αὐτοῖς μέρεσι τοὺς πόνους παρέχουσιν, οἱ δ' ἐν τοῖς ἀνωμάλοις διαμερίζουσι μᾶλλον εἰς ἅπαν τὸ σῶμα. αἱ δὲ ἀλέαι μᾶλλον ἰσχνοῦσι τῶν ἐν τοῖς ψύχεσιν· τοῖς γὰρ ἔξω μέρεσι πλείονα τὸν πόνον παρέχονται, διὸ καὶ τοὺς ἱδρῶτας ἐμποιοῦντες ἰσχναίνουσιν. οἱ δ' ἐν τοῖς ψύχεσι στιφροτέραν τὴν σάρκα ποιοῦσι καὶ τῶν σιτίων ἐπιθυμητικωτέρους· τοῖς γὰρ ἔσω μέρεσι τὴν αὔξησιν τοῦ θερμοῦ ποιοῦνται, καὶ δυσκινήτων γινομένων ὑπὸ τοῦ ψύχους τὸν μὲν ἔσω τόπον καθαίρουσι, τὴν θερμασίαν αὐξάνοντες ἐν αὐτῷ, τὴν δὲ σάρκα στερεὰν ποιοῦσιν, οὐ δυνάμενοι κρατεῖν διὰ πάσης αὐτῆς. ὁμοίως οἱ ἀνάντεις τῶν κατάντων ἐπιπονώτεροι καὶ ἰσχναντικώτεροι. οἱ μὲν γὰρ ἀνάντεις τὴν ὀσφὺν μάλιστα ποιοῦσι πονεῖν, οἱ δὲ κατάντεις τοὺς μηρούς· τοῖς γὰρ μηροῖς τὸ βάρος πᾶν ἐμπῖπτον κόπους εἴωθε παρέχειν. ἄνω γὰρ παρὰ φύσιν ὑπὸ τοῦ θερμοῦ βίᾳ φερόμενος ἐκθερμαίνει. διὸ τούς τε ἱδρῶτας ἐμποιοῦσι, καὶ τὸ πνεῦμα μετεωρίζοντες ἰσχναίνουσι, καὶ τὴν ὀσφὺν ὀδυνῶσιν· τὰ γὰρ σκέλη χαλεπῶς ἀναγόμενα τὴν ὀσφὺν κάμπτουσί τε καὶ ἀνασπῶσιν, ὑφ' ὧν ἀναγκάζονται μάλιστα πονεῖν. οἱ δ' ἐν ἀντιτύποις περίπατοι τοῖς τε μυσὶ καὶ τοῖς τεταμένοις τῶν σκελῶν παρέχουσι κόπους· συντάσεις γὰρ ἐμποιοῦσι τοῖς νεύροις καὶ τοῖς μυσί, βιαίας γενομένης τῆς ἀπερείσεως αὐτοῖς. οἱ δ' ἐν τοῖς μαλακοῖς τοῖς ἄρθροις κοπιώδεις εἰσίν· τῶν γὰρ ἄρθρων πυκνὰς τὰς κάμψεις ποιοῦσιν, ἅτε ἐνδιδούσης τῆς βάσεως. τὸ δ' αὐτό ἐστι πρόβλημα.

Διὰ τί πρὸς τὰ σιμὰ χαλεπῶς βαδίζομεν; ἢ διότι πᾶσα πορεία ἐξ ἄρσεως καὶ θέσεως συντελεῖται; τὸ μὲν οὖν ἆραι παρὰ φύσιν, τὸ δὲ θεῖναι κατὰ φύσιν, τὸ δὲ προσθεῖναι μεσότης· ἐν δὲ τῷ πρὸς τὰ σιμὰ βαδίζειν πολὺ τὸ παρὰ φύσιν. 41

Διὰ τί οἱ ἀφ' ἵππων ἧττον πίπτουσιν; ἢ διὰ τὸ φοβεῖσθαι φυλάττονται μᾶλλον; 42

ϛ. ΟΣΑ ΕΚ ΤΟΥ ΠΩΣ ΚΕΙΣΘΑΙ ΚΑΙ ΕΣΧΗΜΑΤΙΣΘΑΙ ΣΥΜΒΑΙΝΕΙ.

Διὰ τί ἡ καθέδρα τοὺς μὲν παχύνει τῶν ἀνθρώπων, τοὺς δὲ ἰσχναίνει; πότερον ὅτι αἱ ἕξεις διαφέρουσιν; οἱ μὲν γὰρ θερμοί εἰσιν, οἱ δὲ ψυχροί. οἱ μὲν οὖν θερμοὶ παχύνονται (κρατεῖ γὰρ τὸ σῶμα τῆς τροφῆς διὰ τὴν θερμασίαν)· οἱ δ' ἐψυγμένοι, διὰ τὸ δεῖσθαι ἐπεισάκτου θερμότητος καὶ τοῦτο πάσχειν μάλιστα τὸ σῶμα ὑπὸ τῶν κινήσεων, οὐ δύνανται πέττειν ἠρεμοῦντες. ἢ ὅτι οἱ μὲν περιττωματικοί εἰσι, καὶ δέονται κινήσεως ἢ ἀναλώσει ταῦτα, οἱ δὲ οὔ;

Διὰ τί δεῖ ποιεῖν διάτασιν τῶν μερῶν, ὃ ποιεῖ ὁ γυμναζόμενος; ἢ ὅτι δεῖ τῷ οἰκείῳ πνεύματι καθαίρεσθαι τοὺς πόρους; 2

Διὰ τί συγκεκαμμένον βέλτιον κατακεῖσθαι, καὶ πολλοί γε παραγγέλλουσι τοῦτο καὶ τῶν ἰατρῶν; ἢ ὅτι ἀλεαίνουσα ἡ κοιλία θᾶττον πέττει; οὕτω δὲ ἀλεαίνει μᾶλλον. ἔτι δεῖ τοῖς πνεύμασι τόπον διδόναι εἰς ὃν ἀπερείσονται· οὕτω γὰρ ἥκιστα λυπήσουσιν αἱ φῦσαι. διὰ τοῦτο γὰρ καὶ ἰξίαι καὶ τὰ ἄλλα ἀποστήματα ὑγιεινόν, ὅτι ἔχουσι κοιλίας εἰς ἃς ἀποδέχονται τὰ πνεύματα. ἐκτεταμένου μὲν οὖν οὐ γίνεται κοιλία (ἅπαντα γὰρ τὸν τόπον τὰ σπλάγχνα κατέχει), συγκαμφθέντος δὲ γίνεται. 3

Διὰ τί ἀνισταμένοις ἴλιγγος μᾶλλον γίνεται ἢ καθίζουσιν; ἢ διότι ἠρεμοῦσι τὸ ὑγρὸν εἰς ἓν μόριον ἀθρόον ἀποκλίνει; διὸ καὶ τὰ ὠμὰ ᾠὰ οὐ δύναται δινεῖσθαι, ἀλλὰ καταπίπτει. κινούμενον δὲ τὸ ὑγρὸν ὁμοίως ἔχει. ἀνίστανται μὲν 4

2. καὶ om X^a. ‖ 3. μὲν] δὲ C^a. ‖ ὅλως] μᾶλλον X^a. ‖ 6. μᾶλλον C^a. ‖ 8. τε om C^a. ‖ 15. εὐθειῶν codices ‖ 16. εἶναι καὶ κατὰ $C^aX^aY^a$. ‖ 18. τοὺς — 20. ἔξω om C^a. ‖ 19. ἰσχύουσι X^a. ‖ 21 et 33. ἰσχαίνουσιν Y^a. ‖ 22. στιφροτέραν C^a, στρυφνοτέραν X^a. ‖ 23. ἔξω X^a. ‖ 24. γενομένων C^a. ‖ 28. ἰσχαντικώτεροι Y^a. ‖ 31. κόπους om $C^aX^aY^a$. ‖ 32. βίᾳ om C^a. ‖ 36. πονεῖν μάλιστα X^a. ‖ 37. τεταγμένοις C^aY^a. ‖ 38. βίας Y^a.

7. φύσιν ἐστὶ τὸ X^a. ‖ 10. διὰ — 11. μᾶλλον om C^a. ‖ 13. πως om x. ‖ 16. ὅτι om X^aY^a. ‖ 21. καὶ om C^aY^a. ‖ 22. ἢ] ἢ C^aX^a. ‖ 23. δεῖ om C^a. ‖ 26. συγκεκαλυμμένον X^a. ‖ 28. δὲ] δὲ καὶ X^aY^a. ‖ 30. λυπήσωσιν C^a. ‖ 31. ὑγιεινὰ C^a. ‖ 34. συγκαφθέντος C^a. ‖ 35. καθιζάνουσιν X^aY^a. ‖ 37. δύνανται X^aY^a.

ὖν ἠρεμήσαντες, ὅτε οὕτως διάκεινται· καθιζάνυσι δὲ ἐν κινήσει γενόμενοι, ὅτε ὁμαλῶς ἔχει τὸ ὑγρὸν καὶ ἐσκέδαςαι.

5 Διὰ τί ἐπὶ τὰ δεξιὰ κατακειμένοις μᾶλλον ἐπέρχεται ὕπνος; πότερον ὅτι ἐναντίως ἔχοντες ἐγρηγόρασι καὶ καθεύδουσιν; ἐπεὶ οὖν ἐγρηγορότες ἐπὶ τὰ ἀριστερὰ κατάκεινται, τοὐναντίον ἔσται ἐπ᾽ ἄλλης ἀρχῆς καὶ τῆς ἐναντίας. ἢ ὅτι ἀκινησία ὁ ὕπνος; τὰ ὖν κινητικὰ μέρη δεῖ ἠρεμεῖν, τὰ δὲ δεξιὰ κινητικά. οὕτω δὲ κατακειμένων οἷον δέδεται ἀρχή τις ἐπεγερτική.

6 Διὰ τί ναρκῶσιν; καὶ διὰ τί χεῖρας καὶ πόδας μᾶλλον; ἢ ὅτι κατάψυξίς ἐςιν ἡ νάρκη; διὰ ςέρησιν γὰρ αἵματος γίνεται καὶ μετάςασιν. ἀσαρκότατα δὲ ταῦτα καὶ νευρωδέςατα, μάλιστα δὲ οἱ πόδες. ὥστε προοδοποιεῖται ὑπὸ τῆς φύσεως πρὸς τὸ καταψύχεσθαι ταχέως.

7 Διὰ τί κατακείμεθα μὲν ἐπὶ τὰ ἀριστερὰ ἡδέως, καθεύδομεν δὲ ἐπὶ τὰ δεξιὰ μᾶλλον; πότερον ὅτι ἀποςραφέντες πρὸς τὸ φῶς οὐ βλέπομεν; ἐν γὰρ τῷ σκότει θᾶττον ὕπνος λαμβάνει. ἢ διότι ἐγρηγόραμεν κατακείμενοι ἐπὶ τοῖς ἀριςεροῖς, καὶ αἱ χρήσεις ἡμῖν ὕτω πρόχειροι, ὥςε πρὸς τὸ ἐναντίον σχῆμα πρὸ ἔργου· παρακαλεῖ δὲ ἕκαςον πρὸς τὸ ἔργον τὸ σχῆμα μᾶλλον.

Ζ. ΟΣΑ ΕΚ ΣΥΜΠΑΘΕΙΑΣ.

Διὰ τί τοῖς χασμωμένοις ἀντιχασμῶνται ὡς ἐπὶ τὸ πολύ; ἢ διότι, ἐὰν ἀναμνησθῶσιν ὀργῶντες, ἐνεργῦσι, μάλιςα δὲ τὰ εὐκίνητα, οἷον ὑρῦσιν. ἡ δὲ χάσμη πνεῦμα καὶ ὑγρῦ κίνησίς ἐςιν. πρόχειρον ὖν, ἐὰν μόνον νοήσῃ· ἔςι γὰρ πλησίον.

2 Διὰ τί, ἐὰν μέν τινα ἴδωμεν τὴν χεῖρα ἐκτείνοντα ἢ τὸν πόδα ἢ ἄλλο τι τῶν τοιύτων, ὐκ ἀντιποιῦμεν τὸ αὐτό, ἐὰν δὲ χασμώμενον, ἀντιχασμώμεθα; ἢ ὐδὲ τῦτο ἀεί, ἀλλ᾽ ἐὰν ὀργῶν τύχῃ τὸ σῶμα καὶ οὕτω διακείμενον ὥστε τὸ ὑγρὸν ἀναθερμαίνεσθαι; τότε γὰρ ἡ μνήμη τὴν κίνησιν ποιεῖ, ὥσπερ καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδήν· τὸ γὰρ ποιῆσαν μνήμην εἶναι τὸ ἔχον ὁρμὴν πρὸς τὸ φαντασθὲν πάθος.

3 Διὰ τί, ἐπειδὰν πρὸς τὸ πῦρ ςῶμεν, ὑρητιῶμεν, καὶ ἐὰν πρὸς ὕδωρ, οἷον ἐὰν πρὸς ποταμόν, ὑρῦσιν; ἢ ὅτι τὸ πᾶν ὕδωρ ὑπόμνησιν δίδωσι τῆς ἐν τῷ σώματι ὑγρότητος, καὶ ἐκκαλεῖται τὸ προσιόν; αὐτὸ δὲ τὸ πῦρ διαχαλᾷ τὸ πεπηγὸς ἐν τῷ σώματι, ὥσπερ ὁ ἥλιος τὴν χιόνα.

Διὰ τί ἀπὸ μὲν νόσων ἐνίων νοσῦσιν οἱ πλησιάζοντες, 4 ἀπὸ δὲ ὑγιείας ὐδεὶς ὑγιάζεται; ἢ ὅτι ἡ μὲν νόσος κίνησις, ἡ δὲ ὑγίεια ἠρεμία; ἡ μὲν ὖν κινεῖ, ἡ δ᾽ ὐθέν. ἢ διότι τὸ μὲν ἄκοντι τὸ δ᾽ ἑκόντι γίνεται; καὶ ἄρα τὰ ἀκούσια τῶν ἑκυσίων καὶ τῶν ἐκ προνοίας διαφέρει.

Διὰ τί τῶν μὲν διὰ τῆς ἀκοῆς λυπηρῶν ἔνια φρίττειν 5 ἡμᾶς ποιεῖ, οἷον πρίων ἀκονώμενος καὶ κίσηρις τεμνομένη καὶ λίθος ἀλώμενος, τὰ δὲ διὰ τῆς ὄψεως σημεῖα τῶν παθῶν αὐτὰ ἡμῖν τὰ πάθη ἐμποιεῖ; αἱμωδιῶμέν τε γὰρ τὰ ὀξὺ ὁρῶντες ἐσθίοντας, καὶ τοὺς ἀπαγχομένυς ἔνιοι ὁρῶντες ἐκψύχουσιν. ἢ διότι φωνὴ μὲν πᾶσα καὶ ψόφος πνεῦμα ἐςίν; τῦτο δὲ εἰσδυόμενον ἡμῖν πέφυκε κινεῖν. κινήσει δὲ μᾶλλον ἢ διὰ μέγεθος ἢ διὰ πληγὴν σφοδροτέραν, ποιεῦν ἢ ἀλλοιοῦν τι τῶν ἐν ἡμῖν. τὰ μὲν οὖν μεγάλα καὶ λεῖα πνεύματα τὸν τῆς αἰσθήσεως τόπον τὸν αὐτὸν κινεῖ, διὸ καὶ ἡδύνει τὰ τοιαῦτα· τὰ δὲ τραχέα, πληγὴν ποιῦντα σφοδράν, σείει τε τὸν τόπον καὶ πόρρω διαδίδωσι τῇ τῆς πληγῆς δυνάμει. διαδίδωσι δὲ καὶ τὰ ψυχρὰ πόρρω· δύναμις γάρ τίς ἐςιν ἡ ψυχρότης. αὕτη μὲν ὖν ὅτι φρίττειν ποιεῖ, εἴρηται. τὰ δὲ τραχέα τῷ πληγὴν ποιεῖν πυκνήν, προσκόπτοντα τῇ ἀρχῇ τῶν τριχῶν, ἀπωθεῖ αὐτὴν εἰς τὐναντίον· ἀπωθυμένης δὲ ἀνάγκη τὴν κορυφὴν τῆς τριχὸς ἀνάπαλιν γίνεσθαι, διὸ συμβαίνει ἵςασθαι αὐτάς· πᾶσαι γὰρ νενεύκασι κάτω. ἡ δὲ φορὰ τῦ διὰ τῆς ἀκοῆς πνεύματος εἰς τὸ σῶμα ἄνωθεν κάτω ἐςίν. ὄντων ὖν τραχέων τῶν εἰρημένων ψόφων, ἡ φρίκη γίνοιτ᾽ ἂν διὰ τὰ εἰρημένα. γίνονται δ᾽ αὗται μᾶλλον τῷ ἄλλῳ σώματι ἢ ἐν τῇ κεφαλῇ διὰ τὸ τὰς ἐνταῦθα τρίχας ἀσθενεςέρας εἶναι καὶ τὸ πάθος ἀσθενές. τῆς μὲν ὖν ἀκοῆς ὔσης ἀμβλυτέρας αἰσθήσεως ἢ τῆς ὄψεως, ἐπιπόλαια καὶ τὰ πάθη γίνεται ἀπ᾽ αὐτῆς· ἡ δὲ φρίκη τοιῦτον, διὸ καὶ ἀπὸ πολλῶν καὶ ἀνομοίων γίνεται. τῆς δὲ ὄψεως ἐναργεςάτης οὔσης αἰσθήσεως, ἀνάλογον καὶ τὰ συμβαίνοντα γίνεται ἀπ᾽ αὐτῆς· διὸ ταῦτα μὲν τὰ ἀπὸ τῆς ἀληθείας πάθη συμβαίνει γίνεσθαι ἀπ᾽ αὐτῆς, ἐλαφρὰ

1. ἐν om $C^aX^aY^a$. ‖ 7. τὰ μὲν οὖν X^a. ‖ 8. δέδοται C^a. ‖ 11. ὅτι ἡ κατ. X^a. ‖ νάρκωσις X^a. ‖ 19. τὸ ἐναντίον bis ponendum cum Gaza. ‖ 21. post μᾶλλον $QC^aK^aN^aO^aX^aY^a$sw addunt: Διὰ τί αἱ καθέδραι τινὰς μὲν παχύνουσι, τινὰς δὲ ἰσχναίνουσιν; ἢ διὰ τὰς ἕξεις τὰς τοῦ σώματος. οἱ μὲν γὰρ θερμότεροι παχύνονται· κρατεῖ γὰρ (δὲ C^a) τὸ σῶμα τῆς τροφῆς διὰ τὴν θερμότητα οὐκ ἀφαιρούμενον· οἱ δὲ ἐψυγμένοι διὰ τὸ δεῖσθαι ἐπεισάκτου θερμότητος οὐ δύνανται πέττειν τὰς τροφὰς ἠρεμοῦντες. ‖ 25. ὅτι C^a. ‖ 31. ἢ ὅτι οὐδὲ C^a. ‖ 36. σῶμα om C^a. ‖ 37. πρὸς τὸ ὕδωρ et πρὸς τὸν ποταμόν X^a.

2. ὕδωρ C^aY^a. ‖ 3. τοῖς σώμασιν C^a. ‖ 8. ἑκουσίων διαφέρει τῶν ἐκ προνοίας x. ‖ 10. κίσσηρις X^a. ‖ 14. ψόφος ἐν πνεῦμα X^a. ‖ 15. δὲ post τῦτο om C^a. ‖ 19. ποιῦντα πλήγην X^a. ‖ 24. τὴν ἀρχὴν X^a. ‖ 27. φθορὰ X^a. ‖ 33. τὰ om C^a. ‖ 35. ἐναργεςέρας X^a.

... of others (like those to the nose & ears —

τερα δὲ τῆς ἀληθείας. ἀπὸ δὲ τῆς ἀκοῆς αὐτὰ μὲν οὔ, τὴν δ' ἀπ' αὐτῶν προσδοκίαν φρίττομεν· ἀλγεινοῦ γὰρ κακοῦ προσδοκία ἐστίν.

6 Διὰ τί χασμησαμένοις ἀντιχασμῶνται, καὶ ὅταν οὐροῦντα ἴδωσιν, οὐροῦσι, καὶ μάλιστα τὰ ὑποζύγια; ἢ διὰ τὴν μνήμην; ὅταν γὰρ μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. τοῖς μὲν οὖν ἀνθρώποις, διὰ τὸ εὐαισθητοτέροις εἶναι, ἰδοῦσιν εὐθὺς συμβαίνει καὶ κινεῖσθαι καὶ ἀναμιμνήσκεσθαι· τοῖς δὲ ὑποζυγίοις οὐκ αὔταρκες τὸ ἰδεῖν, ἀλλὰ προσδέονται καὶ ἄλλης αἰσθήσεως· διὸ καὶ ὀσφρανθέντα, ὅτι εὐκινητοτέρα αὕτη ἡ αἴσθησις τοῖς ἄνευ λόγου. καὶ διὰ τοῦτο εἰς τὸν αὐτὸν τόπον ἅπαντα οὐρεῖ, οὗ ἂν τὸ πρῶτον οὐρήσῃ. τότε γὰρ μάλιστα κινοῦνται, ὅταν ὀσφρανθῶσιν· ὀσφραίνονται δ', ὅταν πλησιάσωσιν.

7 Διὰ τί, ἐπειδὰν τεμνόμενόν τινα ἴδωμεν ἢ καιόμενον ἢ στρεβλούμενον ἢ ἄλλο τι τῶν δεινῶν πάσχοντα, συναλγοῦμεν τῇ διανοίᾳ; ἢ ὅτι ἡ φύσις ἡμῖν κοινὴ ἅπασιν; συνήλγησεν οὖν, ἐπειδάν τι τοιοῦτον ἴδῃ, τῷ πάσχοντι διὰ τὴν οἰκειότητα. ἢ ὅτι ὥσπερ αἱ ῥῖνες καὶ αἱ ἀκοαὶ λαμβάνουσί τινας ἀπορροίας κατὰ τὰς οἰκείας δυνάμεις, οὕτω καὶ ἡ ὄψις αὐτὸ πάσχει καὶ ἀπὸ τῶν ἡδέων καὶ λυπηρῶν;

8 Διὰ τί ἀπὸ φθίσεως καὶ ὀφθαλμίας καὶ ψώρας οἱ πλησιάζοντες ἁλίσκονται, ἀπὸ δὲ ὕδρωπος καὶ πυρετῶν καὶ ἀποπληξίας οὐχ ἁλίσκονται, οὐδὲ τῶν ἄλλων; ἢ ἡ μὲν ὀφθαλμία, ὅτι εὐκινητότατον ὁ ὀφθαλμός, καὶ μάλιστα ὁμοιοῦται τῷ ὁρωμένῳ τῶν ἄλλων, οἷον κινεῖται ἀπὸ κινουμένου ὥστε καὶ ἀντιβλέπων τεταραγμένῳ ταράττεται μάλιστα; ἡ δὲ φθίσις, ὅτι πνεῦμα φαῦλον ποιεῖ καὶ βαρύ, τάχιστα δὲ τὰ νοσήματα ταῦτα ἅπτεται πάντων, ὅσα τούτου φθειρομένου γίνεται, οἷον τὰ λοιμώδη. ὁ δὲ πλησιάζων τοιοῦτον ἀναπνεῖ. νοσεῖ μὲν οὖν, ὅτι νοσῶδες· ἀπὸ μόνου δέ, ὅτι ἐκπνεῖ, νοσεῖ, οἱ δὲ ἄλλοι ἑτέραν· τὴν αὐτὴν δὲ νόσον, ὅτι ᾧ ἂν ἀσθενήσῃ, τούτῳ ἀναπνεῖ τοιοῦτον οἷον εἰ πεπονθὼς ἦν. ἡ δὲ ψώρα μᾶλλον τῶν ἄλλων, οἷον λέπρας καὶ τῶν τοιούτων, ὅτι ἐπιπολῆς τε καὶ γλίσχρον τὸ ἀπορρέον· τὰ γὰρ κνησμώδη τοιαῦτα. διὸ αὐτὰ τῷ ἐπιπολῆς γίνεσθαι καὶ γλίσχρον εἶναι ἅπτεται. τῶν δ' ἄλλων τὰ μὲν οὐχ ἅπτεται διὰ τὸ μὴ ἐπιπολῆς γίνεσθαι, τὰ δὲ ὄντα ἐπιπολῆς, ὅτι προσμένει διὰ ξηρότητα.

Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; ἢ 9
ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει; φανερὰ δὲ αὕτη μασωμένοις τε, κἂν συντεθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. τὸ δὴ γλίσχρον εἰσδυόμενον ἐξάγει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενὴς ἡ ὀξύτης σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυλός. ὁ δὲ ἅλς συντήκων ἐξάγει καὶ τὴν ὀξύτητα. διὰ τί οὖν ἡ κονία καὶ τὸ νίτρον οὔ; ἢ ὅτι στύφει καὶ οὐ τήκει;

Η. ΟΣΑ ΕΚ ΡΙΓΟΥΣ ΚΑΙ ΦΡΙΚΗΣ.

Διὰ τί οἱ ῥιγῶντες πελιδνοὶ γίνονται; ἢ διότι τὸ αἷμα πήγνυται διὰ τὸ ψῦχος, πηγνύμενον δὲ μελαίνεται διὰ τὴν ἀπουσίαν τοῦ θερμοῦ; τὸ δὲ λευκὸν τοῦ πυρός. διὸ καὶ τοῖς πρεσβύταις μάλιστα πελιδνοῦται ἡ σάρξ, ὅτι ἐλαχίστην ἔχει θερμότητα.

Διὰ τί οἱ ῥιγῶντες καθεύδειν οὐ δύνανται; ἢ διότι πάν- 2
τες οἱ ῥιγῶντες μᾶλλον τὸ πνεῦμα κατέχουσιν, ὁ δὲ καθεύδων ἐκπνεῖ μᾶλλον ἢ εἰσπνεῖ, ὥστε χαλεπὸν ῥιγῶντα καθεύδειν· ἅμα γὰρ ποιεῖν τἀναντία ἀδύνατον.

Διὰ τί ἐν τῷ ψύχει ὀξύτεροι καὶ οἱ ἀσθενήσαντες 3
καὶ οἱ λυπούμενοι καὶ οἱ ὀργιζόμενοι; ἢ στιφρότερον ποιεῖ τὸ καταψύχεσθαι;

Διὰ τί οἱ ἀθληταὶ δύσριγοι εὖ ἔχοντες; ἢ ὅτι καθαρὰ 4
καὶ εὔπνους ἡ ἕξις καὶ ἀπίμελος; ἡ τοιαύτη δὲ εὐπαθεστάτη ὑπὸ τοῦ ἀέρος, ὅταν εὐδίοδός τε ᾖ καὶ μὴ ἔχῃ θερμότητα ἐν αὐτῇ· ἡ δὲ πιμελὴ θερμόν, ἂν μὴ δίυγρος.

Διὰ τί μάλιστα τὰ ἀκρωτήρια ῥιγῶσιν; ἢ διὰ στενό- 5
τητα; καὶ οἱ πόροι ἐν αὐτοῖς στενοὶ ὄντες ὀλίγαιμοί εἰσιν, ὥστε καὶ ὀλιγόθερμοί εἰσι· τὸ γὰρ αἷμα θερμόν.

Διὰ τί, ἐὰν μετέωροι ὦσιν οἱ πόδες, μᾶλλον ῥιγοῦσιν; 6
πότερον ὑποπνεῖ μᾶλλον; ἢ ὅτι ἐν ἐλάττονι γίνεται τὸ αἷμα κάτω, ὥστε τὸ ἄλλο εὐψυκτότερον ἐκλείποντος τοῦ θερμοῦ;

Διὰ τί οἱ παχεῖς σφόδρα ῥιγοῦσι, τῆς πιότητος θερμῆς 7
οὔσης; ἢ διὰ τὸ μέγεθος τοῦ πάχους τοῦ μὲν ἔσωθεν θερμοῦ πόρρω γίνονται τὰ ἔσχατα, τοῦ δὲ ἔξω ψυχροῦ ἐγγύς;

Διὰ τί πταρέντες καὶ οὐρήσαντες φρίττουσιν; ἢ ὅτι κε- 8
νοῦνται αἱ φλέβες ἐν ἀμφοτέροις, κενωθέντων δὲ ὁ ἀὴρ εἰσέρχεται ψυχρός, ὁ ποιῶν φρίττειν.

Διὰ τί μάλιστα βουλιμιῶσιν ἐπὶ τῷ ψύχει, καὶ τοῦ 9
χειμῶνος μᾶλλον ἢ τοῦ θέρους; ἢ διότι ἡ μὲν βουλιμία γίνε-

greatest hunger in cold weath[er]

7. εὐαισθητοτέρους Y^a. ‖ 8. καὶ ante κ. om C^aY^a. ‖ 17. ἡμῶν Y^a. ‖ 19. αἱ post καὶ om X^a. ‖ ἀκραὶ C^a. ‖ 28. ὅτι τὸ πνεῦμα Y^a. ‖ 30. ἀνάπτει X^aY^a. ‖ 32. ἑτέρως X^aY^a. ‖ 33. μόνον C^aY^a. ‖ 36. ἐπιπολῆς τε γίνεσθαι X^a. ‖ 37. δ' om C^a. ‖ 38. ὅτι ὁ προσμένει C^aY^a.

1. ἡ om Y^a. ‖ 2. ἡ μὲν ἡ ὑγρ. X^a. ‖ μασσωμένης C^a. ‖ 4. δὲ X^a, μὴ C^a. ‖ 13. πρεσβυτέροις X^a. ‖ πελιοῦται C^aY^a. ‖ 15. ἢ om $C^aX^aY^a$. ‖ 20. οἱ ante ὀργ. om Y^a. ‖ στριφνότερον X^aY^a, στηφνότεροι C^a. ‖ 28. ὥστε — εἰσί om C^a. ‖ 29. ἐὰν μὴ μ. C^a. ‖ 31. ὑπολείποντος C^a. ‖ 32. ῥιγοῦσι om $C^aX^aY^a$. ‖ 33. μὲν γὰρ ἔσωθεν C^a. ‖ 34. ὑγροῦ C^a. ‖ 39. ἡ om X^a.

ται δι' ἔνδειαν τῆς ξηρᾶς τροφῆς, ἐν δὲ τῷ ψύχει καὶ τῷ χειμῶνι συστελλομένου τοῦ ἐντὸς θερμοῦ εἰς ἐλάττω τοῦτο θᾶττον ὑπολείπει ἡ ἐντὸς τροφή· τούτου δὲ γινομένου μᾶλλον βουλιμιᾶν εἰκός. ἡ δ' ἐν τῇ βουλιμίᾳ ἔκλυσις καὶ ἀδυναμία γίνεται συντήξεως γινομένης ἐν τῷ σώματι διὰ τὴν τοῦ θερμοῦ ἄθροισιν, ἧς ῥυείσης μὲν εἰς τὸν τῶν σιτίων τόπον αὐτὴ τροφὴ γίνεται τῷ σώματι, ἐὰν δ' ἐπὶ τὰς ἀρχὰς τῆς ἀναπνοῆς ἔλθῃ, ἀφωνία καὶ ἀδυναμία συμβαίνει, ἀφωνία μὲν διὰ τὸ ἐμφράττεσθαι τὸν τοῦ πνεύματος πόρον, ἀδυναμία δὲ διὰ τὴν τοῦ σώματος ἀτροφίαν καὶ σύντηξιν. ταχεῖαι δὲ καὶ ἀπ' ὀλίγων αἱ βοήθειαι γίνονται τοῖς τοιούτοις διὰ τὸ τὴν ἀρχὴν τοῦ πάθους ἔξωθεν γίνεσθαι. συστέλλον γὰρ τὸ ἐντὸς ψυχρὸν τὸ θερμὸν ἡμῶν ποιεῖ τὴν βουλιμίαν. καθάπερ οὖν ἐν τῷ φόβῳ τρέμοντες καὶ ὠχριῶντες, ἀφέντες τοῦ κινδύνου, παραχρῆμα οἱ αὐτοὶ γίνονται, οὕτω καὶ οἱ βουλιμιῶντες, μικρὰ προσενεγκάμενοι ἐξ ἄρτου, βίᾳ κινηθέντες ἐκ τῆς φύσεως, μὴ φθαρέντες δέ· ταχεῖα ἡ ἀποκάθαρσις γίνεται. ταὐτὸ γὰρ ἀντέτεινε τήν τε κατὰ φύσιν ἀγωγήν, καὶ καθίστησιν εἰς τὴν φύσιν. ἀφεῖναι οὖν μόνον αὐτὴν δεῖ, καὶ καθάπερ τῶν παιδίων τὰ ἀντιτείνοντα εἰς τοὔπισθεν τὰ σπαρτία· καὶ γὰρ ταῦτα ἀφεθέντων τῶν σπαρτίων εὐθὺς πεπτώκασιν ὕπτια.

10 Διὰ τί οἱ γεγυμνασμένοι δυσριγότεροι τῶν ἀγυμνάστων; πότερον ὅτι τὸ πῖον ὑπὸ τῶν πόνων ἐξήρηται, τοῦτο δὲ ἀλέαν παρέχει· θερμὸν γὰρ τὸ λιπαρόν. ἢ ὅτι εὐπνούστερα τὰ σώματα καὶ ἀραιότερα διὰ τὸ τὸ πῖον καὶ τὸ περίττωμα ἐξηρῆσθαι, ὥστε οὐδὲν ἀποστέγειν τὸ ψῦχος; ἢ διὰ τὴν τῶν πόρων ἀποστόμωσιν τοῖς ἱδρῶσιν οἷον πολλαὶ θύραι ἐξήρηνται; φανερὸν δὲ ὅτι οὐχ ἡ αὐτὴ ἕξις πρὸς ὑγείαν καὶ ἰσχὺν συμφέρει· ἡ μὲν γὰρ πίων, ἡ δὲ ἀραιὰ φαίνεται οὖσα.

11 Διὰ τί φρίττουσι καὶ τῷ θερμῷ καὶ τῷ ψυχρῷ προσχεόμενοι; ἄτοπον γὰρ τὰ ἐναντία τοῦ αὐτοῦ εἶναι αἴτια. ἢ διότι ὑπὸ μὲν τοῦ ψυχροῦ προσχεόμενοι τὸ ἐντὸς θερμὸν σβεννύμενον ποιεῖ τὴν φρίκην, ὑπὸ δὲ τοῦ θερμοῦ τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριιστάμενον εἰς ἓν καὶ ἀθροιζόμενον τῇ φυγῇ ἔσω; ὥστε ὑπὸ τοῦ αὐτοῦ ἄμφω γίνεται, ἀλλ' ὁτὲ μὲν ὑπὸ τοῦ ἔσω, ὁτὲ δὲ ὑπὸ τοῦ ἔξωθεν.

12 Διὰ τί φρίττουσιν αἱ τρίχες ἐν τῷ δέρματι; ἢ ὅταν συσπάσωσι τὸ δέρμα, εἰκότως ἐξανέστησαν· συσπῶσι δὲ καὶ ὑπὸ ῥίγους καὶ ὑπ' ἄλλων παθῶν.

Διὰ τί ἐν τῇ τελευταίᾳ προέσει τοῦ οὔρου φρίττομεν; 13 ἢ ὅτι ἐνόντος μὲν τοῦ ὑγροῦ θερμοῦ πλήρεις ἥ τε κύστις καὶ οἱ περὶ αὐτὴν πόροι, ἐξελθόντος δὲ ἀέρος ψυχροῦ ἐνέπλησεν· οὐδὲν γὰρ κενὸν δεῖ εἶναι, ἀλλ' ἢ ἀέρος ἢ σώματος πλῆρες. ἅτε οὖν εἰσεληλυθότος ψυχροῦ ἀέρος εἰκότως φρίττειν συμβαίνει.

Διὰ τί τῶν ῥιγώντων ἡ γλῶττα, καθάπερ τῶν με- 14 θυόντων, πταίει; πότερον ὑπὸ τοῦ ψύχους πηγνυμένη καὶ σκληρυνομένη δυσκίνητος γίνεται, τούτου δὲ συμβαίνοντος οὐ δύναται σαφηνίζειν; ἢ τῶν ἐκτὸς πυκνουμένων διὰ τὸ ψῦχος εἴσω συρρυὲν τὸ ὑγρὸν ἐξυγραίνει τὴν γλῶτταν, διόπερ οὐ δύναται ἡ γλῶττα τὸ αὑτῆς ποιεῖν, καθάπερ εἴρηται καὶ ἐπὶ τῶν μεθυόντων. ἢ διὰ τὸν ἀπὸ τοῦ ῥίγους τρόμον ἀτάκτου τῆς κινήσεως οὔσης οὐ δύναται τὰ λεγόμενα διαρθροῦν ἡ γλῶττα· διόπερ καὶ πταίει.

Διὰ τί τῶν ῥιγώντων ὀρθαὶ αἱ ἐν τῷ σώματι τρίχες 15 γίνονται; ἢ διότι ἀπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται, ἐκλείποντος δ' ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ συνίσταται μᾶλλον, συναγομένης δὲ ὀρθότεραι αἱ τρίχες γίνονται. ἢ διότι

Διὰ τί τοῦ χειμῶνος τρέχοντες μᾶλλον ῥιγῶμεν ἢ ἑστῶ- 16 τες; ἢ ὅτι ὁ ἀὴρ ὁ περὶ τὸ σῶμα ἑστώτων μέν, ἐπειδὰν ἅπαξ συνθερμανθῇ, οὐκέτι ἐνοχλεῖ, τρεχόντων δὲ ἀεὶ ἄλλος καὶ ἄλλος προσπίπτει ψυχρὸς ὤν, διόπερ μᾶλλον ῥιγῶμεν· ἔτι δὲ καὶ κινούμενος ψυχρότερος γίνεται ὁ ἀήρ· τοῦτο δὲ ἐν τῷ τρέχειν μάλιστα συμπίπτει.

Διὰ τί ὑποφαύσκοντος μᾶλλον ψῦχος ἢ ἐγγυτέρω τοῦ 17 ἡλίου ὄντος; ἢ ὅτι πλείων ὁ χρόνος τῆς τοῦ ἡλίου ἀπουσίας, ὥστε μᾶλλον ἀπέψυκται ἡ γῆ; ἢ ὅτι πρὸς ἡμέραν ἡ δρόσος πίπτει ὥσπερ πάχνη, ταῦτα δὲ ψυχρά; ἢ καὶ ταῦτα πίπτει διὰ τὸ κρατεῖσθαι τὸ ἀναφερόμενον θερμόν, κρατεῖται δὲ διὰ τὴν τοῦ ἡλίου ἀπουσίαν· διὸ καὶ πλεῖον μὲν ἀπέχοντος οὐ πίπτει, ἐγγυτέρω δὲ ὄντος πίπτει καὶ πήγνυται, διότι μᾶλλον ἀπέψυκται ὁ τόπος, πλείω χρόνον τοῦ ἡλίου ἀπόντος. ἢ ὅτι πρὸς ἡμέραν μᾶλλον τὰ ἐκ νυκτῶν πνεύματα τῆς ψύξεως; ἢ ἡμῖν δοκεῖ μᾶλλον εἶναι ψῦχος διὰ τὸ πεπέφθαι τὰ σιτία; κενώτεροι δὲ ὄντες δυσριγότεροι. σημεῖον δὲ τὸ μετὰ τοὺς ἐμέτους μάλιστα ῥιγοῦν.

Διὰ τί πονοῦσιν, ὅταν ῥιγῶντας πρὸς τὸ πῦρ φέρωσιν, 18 ὅταν δὲ κατὰ μικρὸν χλιαίνωσιν, οὔ; ἢ ὅτι ὅλως ἐκ τῶν ἐναν-

2. τοῦτον Y^a. ‖ 3. γενομένου C^a. ‖ 4. ἡ] εἰ Y^a. ‖ ἔκχυσις X^aY^a. ‖ 5. γενομένης C^a. ‖ 12. συστέλλοντος C^a. ‖ 17. φθαρέντος C^a X^aY^a. ‖ 21. ἀφέντων C^a. ‖ 26. alterum τὸ om $C^aX^aY^a$. ‖ 27. διὰ τὸ τὴν Y^a. ‖ 30. γὰρ om $C^aX^aY^a$. ‖ 32. τὰ ἐναντία om C^a. ‖ 34. τὴν φρίκην ποιεῖ X^a. ‖ 35. ἐντὸς C^a. ‖ 39. συσπάσωσι] σπάσωσι C^a.

4. οὐδὲ X^a. ‖ 8. πταίει. καὶ πότερον C^a. ‖ 10. ἡ X^a. ‖ 11. ῥυὲν C^a. ‖ 15. διότι C^a. ‖ 20. ἢ διότι om C^a. ‖ 22. ὅτι om C^a. ‖ 25. καὶ om C^aX^a. ‖ δὲ om C^a. ‖ 27. ὑπ. μὲν ψ. μᾶλλον C^a. ‖ 28. ὁ om X^aY^a. ‖ 36. διὰ] ἢ διὰ X^a. ‖ 38. ῥιγῶν X^aY^a. ‖ 40. χλιαίνωσιν C^a. ‖ ὅτι om C^a.

τίων τοὐναντίον γινόμενον μεγάλην ποιεῖ τὴν μεταβολήν; ὥσπερ ἐπὶ τῶν δένδρων, εἰ μὲν κατὰ μικρὸν κάμπτοι τις, οὐκ ἂν πονοῖ, εἰ δὲ σφοδρότερον καὶ μὴ κατὰ μικρόν, κλῶνται. εἰ οὖν τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές, τὸ δὲ θερμὸν τοῦ ῥιγῶντος εἴσω συνίσταται καὶ συνέρχεται, τὸ δὲ ὑγρὸν καταλείπεται καὶ τὸ ψυχρόν, τὸ δὲ ἐναντίον τοῦ ἐναντίου φθαρτικόν· ὥστε ἐὰν μὲν χλιαίνῃ, κατὰ μικρὸν ἐξέρχεται τὸ θερμὸν καὶ ἧττον πονεῖ, ἐὰν δὲ μὴ ἀναχλιάνῃ, προσάγει μᾶλλον.

19 Διὰ τί ψυχθέντες μᾶλλον ἀπὸ τῆς αὐτῆς θερμασίας καιόμεθα καὶ ἀλγοῦμεν; πότερον διὰ πυκνότητα στέγει ἡ σὰρξ τὸ προσπῖπτον θερμόν; διὸ μόλιβδος ἐρίου θερμότερος. ἢ βίαιος γίνεται τοῦ θερμοῦ ἡ δίοδος διὰ τὸ πεπηγέναι ὑπὸ τοῦ ψύχους τοὺς πόρους.

20 Διὰ τί οἱ ὀργιζόμενοι οὐ ῥιγῶσιν; ἢ ὅτι ἡ ὀργὴ τῇ δειλίᾳ ἐναντίον καὶ ὁ θυμός; ἔστι δὲ ἡ μὲν ὀργὴ ἀπὸ τοῦ πυρός· πολὺ γὰρ τὸ πῦρ κατέχοντες εἴσω χλιαίνονται. μάλιστα δ' ἔστιν ἐπὶ τῶν παιδίων καταμαθεῖν. οἱ μὲν γὰρ ἄνδρες βλάπτονται, τὰ δὲ παιδία πρῶτον μὲν τὸ πνεῦμα πολὺ ἀναλαμβάνουσιν, εἶτα ἐρυθριῶσιν· πολὺ γὰρ εἴσω ὂν τὸ θερμὸν καὶ ἐξυγραῖνον ἐρυθριᾶν ποιεῖ, ἐπεὶ εἴ τις αὐτοῖς πολὺ τοῦ ψυχροῦ προσχέοι, παύσοιντ' ἂν ὀργιζόμενοι· κατασβεσθείη γὰρ ἂν αὐτῶν τὸ θερμόν. οἱ δὲ δειλοὶ καὶ φοβούμενοι τοὐναντίον. ῥιγῶσί τε γὰρ καὶ ψυχροὶ καὶ ὠχροὶ γίνονται· ἐκλείπει γὰρ τὸ θερμὸν αὐτοῖς ἐκ τῶν ἐπιπολῆς τόπων.

21 Διὰ τί, ὅταν φρίξωμεν, αἱ τρίχες ὀρθαὶ ἵστανται; ἢ διὰ τὸ ἐν ὑγρῷ πεφυκέναι κατακεκλεῖσθαι; κρατεῖ γὰρ τοῦ ὑγροῦ τὸ βάθος τῆς τριχός. ἡ δὲ φρίκη γίνεται ὑπὸ τοῦ ψυχροῦ, τὸ δὲ ψῦχος κατὰ φύσιν πήγνυσι τὸ θερμόν. ὅταν οὖν μεταβάλλῃ τὸ ὑγρόν, ἐξ οὗ πεφύκασιν αἱ τρίχες, καὶ παγῇ, μεταβάλλειν εἰκὸς καὶ τὰς τρίχας. εἰς μὲν οὖν τοὐναντίον εἰ μεταβάλλουσιν, ἢ ἐν ταὐτῷ μένουσιν, ἢ ἐπικρατήσει πάλιν ἡ θρὶξ τοῦ ὑγροῦ· οὐκ εἰκὸς δὲ πεπηγότος καὶ πεπυκνωμένου τοῦ ὑγροῦ τὴν τρίχα τῷ βάρει κρατεῖν. εἰ δὲ μηδαμόσε κεκλίσθαι δυνατὸν τὴν τρίχα τῷ τὸ ὑγρὸν πεπηγέναι, λείπεται ἑστάναι ὀρθήν. ἢ διότι ὑπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται, ἐκλείποντος δὲ ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ συνίσταται μᾶλλον ἡ σάρξ, συναγομένης δὲ ὀρθότεραι αἱ τρίχες γίνονται, καθάπερ ἐάν τις εἰς τὴν γῆν ἐμπήξας κάρφος ἢ ἄλλο τι συντάττῃ καὶ πάντοθεν συνάγῃ τὴν γῆν, μᾶλλον ὀρθοῦται ἢ ἐὰν ἐᾷ μὴ συνεστηκυῖαν.

Διὰ τί οἱ ῥιγῶντες μάλιστα οὐ καθεύδουσιν; ἢ διότι ὁ 22
ῥιγῶν μᾶλλον κατέχει τὸ πνεῦμα ἢ ἐκπνεῖ, ὁ δὲ καθεύδων ἐκπνεῖ ἢ εἰσπνεῖ; ἐναντίως οὖν ποιεῖ ἔχειν τὸ ῥῖγος τῷ καθεύδειν.

Θ. ΟΣΑ ΠΕΡΙ ΥΠΩΠΙΑ ΚΑΙ ΟΥΛΑΣ ΚΑΙ ΜΩΛΩΠΑΣ.

Διὰ τί τοὺς μώλωπας κωλύει τὰ νεόδαρτα δέρματα προστιθέμενα, καὶ μάλιστα κριῶν, καὶ ᾠὰ ἐπικαταγνύμενα; ἢ ὅτι ἄμφω κωλύει τὴν ἄθροισιν τοῦ ὑγροῦ καὶ τὴν ἔπαρσιν; τὸ γὰρ ἀφηλκωμένον ἕλκει ἐπαίρεται διὰ τὴν θερμασίαν· τά τε δὴ ᾠὰ διὰ τὴν γλισχρότητα κατακολλῶντα κωλύει ἐπαίρεσθαι, καθάπερ καὶ τὰ καύματα, ὥσπερ καὶ ἡ κόλλα, καὶ τὰ δέρματα τῇ τε γλισχρότητι προσκολλᾶται, καὶ ἅμα τῇ θερμότητι συμπέττει καὶ παύει τὴν φλεγμασίαν· οὐδὲ γὰρ ἀφαιροῦσιν ἡμερῶν τινῶν. ἐξάγειν δὲ βούλονται τὴν φλεγμασίαν καὶ οἱ τῷ ἁλὶ καὶ τῷ ὄξει τρίβοντες.

Διὰ τί ἐν μὲν τῷ ἄλλῳ σώματι αἱ οὐλαὶ μέλαιναι, 2
ἐν δὲ τῷ ὀφθαλμῷ λευκαί; ἢ ὅτι ἐναντίαν χρόαν ἡ οὐλὴ λαμβάνει τῇ πρότερον, ὥσπερ πᾶν τὸ νενοσηκός; ἐν τῷ μέλανι δὲ τοῦ ὀφθαλμοῦ τὰ ἕλκη. οὐ μὴν οὐδὲ ἐν τῷ σώματι μέλαιναι εὐθύς, ἀλλ' ἐξ ἀρχῆς λευκαί, οὐδὲ ἐν τῷ ὀφθαλμῷ ἀεὶ μέλαιναι, ἀλλ' ἀποκαθίστανται τῷ χρόνῳ, ἢ ἁπλῶς ἢ εἰς τὸ μᾶλλον.

Διὰ τί ὁ νάρθηξ τὰ κύκλῳ τῆς πληγῆς ποιεῖ ἐρυθρά, 3
τὸ δὲ μέσον λευκόν; πότερον ὅτι ἀποπιέζει τὸ αἷμα ἐκ τοῦ μέσου, καθὸ μάλιστα προσπίπτει περιφερὴς ὤν; ἢ ἔδει ἐπανιέναι διά γε τοῦτο πάλιν· ἀλλ' αἵματος συνδρομὴ τὸ ἐρύθημά ἐστι, συνδρομὴ δ' εἰς τὸν πληγέντα τόπον.

Διὰ τί τῷ μὲν νάρθηκι σφόδρα τυπτόμενον τὸ μέσον 4
τῆς σαρκὸς λευκὸν γίνεται, τὸ δὲ κύκλῳ ἐρυθρόν, ξύλῳ δὲ ἐρυθρότερον τὸ μέσον; ἢ ὅτι ὁ μὲν νάρθηξ διὰ κουφότητα, ἐὰν σφόδρα πατάξῃ, τὸ ἐπιπολῆς διεσκέδασεν αἷμα, ὥστε ὅθεν μὲν ἐξέλιπε, λευκὸν φαίνεται, οὗ δὲ πλέον ἦλθεν, ἐρυθρότερον. οἰδησάσης δὲ τῆς πληγῆς, οὐ ταχέως ἀποκαθίσταται τὸ σκεδασθὲν αἷμα διὰ τὸ ὀλίγον τε εἶναι καὶ τὴν φορὰν εἰς τὸ πρόσαντες εἶναι· πλήθει γὰρ βιασθὲν δεῖ τὴν

3. πονεῖ X^a. ‖ 10. αὐτῆς om X^a. ‖ 12. μόλιβος Y^a. ‖ 22. προχέοι C^aX^a. ‖ 24. ῥιγοῦσί X^a. ‖ γὰρ om C^a. ‖ 30. μεταβάλῃ Y^a. ‖ 31. καὶ om X^a. ‖ 35. κεκλεῖσθαι $C^aX^aY^a$. ‖ δύναιτο X^a, δύναται τὸ C^aY^a. ‖ τῷ om C^a. ‖ τὸ om X^a. ‖ ὑγρῷ X^a.

2. συνάγει Y^a. ‖ 4. οὐ om C^aY^a. ‖ 9. μώλωπας] τραύματα K^aO^a. ‖ 11. κρεῶν X^a. ‖ ἐπικαταμιγνύμενα C^a. ‖ 13. τὴν om X^a. ‖ 15. κατακαύματα Y^a. ‖ 17. τῇ om C^a. ‖ 18. οὐδὲ — 19. φλεγμασίαν om C^a. ‖ 21. χρόαν om C^a. ‖ 23. οὐδὲ] δὲ X^a. ‖ ἐν om C^a. ‖ 25. ἢ X^a. ‖ 28. ἀποπιάζει Y^a. ‖ ἐκ] τὸ ἐκ C^a. ‖ 33. τὸ κύκλῳ δὲ Y^a, τὸ δὲ πέριξ pr X^a.

παρὰ φύσιν φορὰν ἐνεχθῆναι. διὰ δὲ τῶν σκληρῶν αἱ πληγαὶ διὰ τὸ βάρος καὶ τὴν ἰσχὺν θλῖψιν καὶ θλάσιν ποιοῦσιν. θλιβόμενον μὲν οὖν κοῖλον γίνεται, θλώμενον δὲ ἀραιόν· τομὴ γὰρ καὶ διαίρεσίς ἐστι μαλακὴ ἡ θλάσις. κοίλου δὲ καὶ ἀραιοῦ γενομένου τοῦ μέσου, φέρεται εἰς αὐτὸ ἐκ τῶν πέριξ ἐπιπολῆς αἷμα· κάτω τε γὰρ πέφυκε φέρεσθαι, καὶ εἰς τὰ ἀραιὰ τῷ εἴκειν αὐτά. ἀθροιζομένου δ' ἐνταῦθα εἰκότως τοῦ αἵματος τοῦτο μὲν ἐρυθραίνει, ἃ δὲ ἀπολείπει, λευκαίνει.

5 Διὰ τί αἱ οὐλαὶ μέλαιναι τῶν σπληνιώντων; ἢ ὅτι αἷμα διεφθαρμένον ἔχουσι διὰ τὴν ἐκ τοῦ σπληνὸς σύμμιξιν νοσώδους αἵματος καὶ ὑδαροῦς; ἡ μὲν οὖν οὐλὴ τὸ δέρμα λεπτὸν καὶ ἐπιπόλαιον ἴσχει· τὸ δὲ αἷμα, διὰ τὸ ὑδαρὲς καὶ θερμὸν εἶναι μέλαν ὄν, τοιαύτην ποιεῖ τὴν οὐλὴν διαφαινόμενον· καὶ δὴ πλεονάκις ἡ οὐλὴ ἐν τούτῳ γίνεται μελαντέρα. γίνεται δὲ διὰ ταὐτό· δι' ἀσθένειαν γὰρ τοῦ δέρματος καταψύχεται τὸ αἷμα, καὶ ἐξατμίζοντος τοῦ θερμοῦ γίνεται μελάντερον. ὁμοίως δὲ καὶ τοῖς πρεσβύταις οἵ τε χρῶτες μελάντεροι γίνονται, καὶ αἱ οὐλαὶ αἱ συγγενεῖς μελάντεραι ἢ νέοις· οἷον ὑπώπιον γὰρ αὐτοῖς ἅπαν τὸ σῶμα οὐ διὰ λεπτότητα τοῦ δέρματος, ἀλλ' ὅτι τὸ θερμὸν ἐκλέλοιπεν.

6 Πότερον ὅσα τοῦ αὐτοῦ αἴτια, τὴν αὐτὴν ἔχει δύναμιν εἰς τὸ ποιεῖν ἢ οὔ; λέγω δὲ οἷον ἐπεὶ τὰ ὑπώπια καὶ ὁ χαλκὸς ἐξαίρει καὶ ἡ ῥαφανὶς καὶ ὁ κύαμος διαμασώμενος καὶ ὁ πνεύμων καὶ ἡ ἄργιλος καὶ ἕτερ' ἄττα, τῇ αὐτῇ δυνάμει, ἢ ὁ μὲν χαλκὸς τῷ ἰὸν εἶναι, τὸν δὲ ἰὸν φαρμακώδη, ὁ δὲ κύαμος καὶ ὁ πνεύμων καὶ ἡ ἄργιλος τῷ ἐπισπᾶν ἐφ' αὑτὰ διὰ μανότητα, ἄλλα δὲ δι' ἑτέρας αἰτίας; ἢ τὸ μὲν ἔσχατον ἐπὶ πάντων τῶν τοιούτων ταὐτό (πολλὰ γὰρ καὶ ἐναντία τούτοις, καθάπερ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν), τὰ δὲ πρὸ τούτων οὐδὲν κωλύει ἕτερα.

7 Διὰ τί αἱ μὲν ἄλλαι οὐλαὶ μέλαιναι γίνονται, αἱ δὲ ἐν τῷ ὀφθαλμῷ λευκαί; ἢ διότι μεταβάλλουσιν ἐν ᾧ ἂν ὦσι πρὸς τὰς χροιάς, ἐν δὲ τῷ ὀφθαλμῷ μέλανι ὄντι γίνονται, ὥστε ἀνάγκη λευκὰς γίνεσθαι.

8 Διὰ τί ἀλγεινοτέρα ἡ πληγὴ τοῦ νάρθηκος ἢ ἐνίων σκληροτέρων, ἐάν τις κατὰ λόγον σκοπῇ τύπτων; εὐλογώτερον γὰρ τὴν τοῦ σκληροτέρου εἶναι ἀλγεινοτέραν· μᾶλλον γὰρ τύπτει. ἢ ὅτι ἡ σὰρξ ἀλγεῖ οὐ μόνον τυπτομένη ἀλλὰ καὶ τύπτουσα; ὑπὸ μὲν οὖν τῶν σκληρῶν τύπτεται μόνον (ὑπείκει γὰρ διὰ τὴν σκληρότητα αὐτῶν), ὑπὸ δὲ τοῦ νάρθηκος ἄμφω αὐτῇ συμβαίνει, τύπτεσθαί τε καὶ διὰ κουφότητα τοῦ βάρους τύπτειν μὴ εἴκουσαν, ὥστε διπλασία γίνεται ἡ πληγή.

Διὰ τί ἡ θαψία καὶ ὁ κύαθος τὰ ὑπώπια παύει, ἡ μὲν ἀρχόμενα, ὁ δὲ ὕστερον, ἐναντία ὄντα; ὁ μὲν γὰρ κύαθος ψυχρός, ὥσπερ καὶ ὁ ποιητής φησι "ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν", ἡ δὲ θαψία θερμὸν καὶ καυστικόν. ἢ ὁ μὲν κύαθος ὥσπερ τοῖς μικροψυχοῦσι τὸ ὕδωρ; ἀπαντῶσα γὰρ ἡ ψύξις κωλύει ἐξιέναι τὸ θερμὸν ἐκ τοῦ αἵματος ἐξ ἐπιπολῆς διὰ τὴν πληγὴν συνδραμόντος, καὶ ὅταν ἐξέλθῃ τὸ θερμόν, πηγνυμένου. ὥσπερ γὰρ ἂν εἰ ἔξω ᾖ πήγνυται, καὶ ἐγγὺς τοῦ ἔξω τὸ αἷμα, ὅταν ᾖ ὑπὸ τὸ δέρμα, κωλυθέντος διεξιέναι τοῦ θερμοῦ, διὰ τὴν ψυχρότητα τοῦ χαλκοῦ πήγνυται, ἀλλὰ πάλιν διαχεῖται καὶ ἐπανέρχεται ὅθεν συνέδραμεν. ἡ δὲ θαψία θερμὴ οὖσα τὸ αὐτὸ ποιεῖ· κωλύει γὰρ πήγνυσθαι θερμὴ οὖσα. 9

Διὰ τί τὰ ὑπώπια διαλύεται προσέχουσι τὰ χαλκᾶ, οἷον κυάθους καὶ τὰ τοιαῦτα; ἢ διότι ψυχρὸν ὁ χαλκός ἐστιν; κωλύει οὖν τὸ θερμὸν ἐξιέναι ἐκ τοῦ συνιόντος] αἵματος ὑπὸ τῆς πληγῆς, οὗ ἐξελθόντος ἐκ τοῦ ἐπιπολῆς γίνεται ὑπώπιον. διὸ καὶ ταχὺ δεῖ προστιθέναι πρὶν παγῆναι. καὶ ἡ θαψία δὲ μετὰ μέλιτος βοηθεῖ διὰ τὸ αὐτό· θερμὴ γὰρ οὖσα κωλύει ψύχεσθαι τὸ αἷμα. 10

Διὰ τί ποτε, ὅταν ἐν τῷ αὐτῷ τόπῳ πλεονάκις ἕλκος γένηται, ἡ οὐλὴ μέλαινα γίνεται; ἢ ὁπόταν γένηται ἕλκος, πᾶν ἀσθενές ἐστι τοῦτο, καὶ ὅσῳ ἂν πλεονάκις, τοσούτῳ μᾶλλον· τὸ δὲ ἀσθενὲς κατεψυγμένον καὶ ὑγρότητος πλῆρες; διὸ καὶ μέλαν φαίνεται, εἰ τὰ μεγάλα ἕλκη καὶ πολυχρόνια μελαίνας τὰς οὐλὰς ἴσχει. τὸ δὲ πολλάκις λαβεῖν ἕλκος οὐδὲν ἀλλ' ἢ πολὺν χρόνον ἔχειν ἐστὶν ἕλκος. 11

Διὰ τί ποτε πρὸς τὰ ὑπώπια τοὺς κυάθους προστιθέμεθα; ἢ διότι, ὅταν πληγῶμεν, ὁ τόπος καταψύχεται, τὸ δὲ θερμὸν ὑποχωρεῖ. προστιθέμενος οὖν ὁ κύαθος, ψυχροῦ ὄντος τοῦ χαλκοῦ, διακωλύει τὸ θερμὸν ἐκπορεύεσθαι. 12

Διὰ τί ἐν ταῖς οὐλαῖς οὐ γίνονται τρίχες; ἢ ὅτι οἱ πόροι ἐπιτυφλοῦνται ἐξ ὧν αἱ τρίχες, καὶ παραλλάττουσιν; 13

2. τὸ om X^a Y^a. ‖ 4. τομὴ] τὸ μὲν C^a Y^a. ‖ 5. καὶ om C^a. ‖ αὐτὸ τὸ ἐκ C^a. ‖ 6. τε om C^a. ‖ 12. οὖν om C^a Y^a. ‖ 13. αἷμα om C^a X^a Y^a. ‖ 19. αἱ alterum om X^a. ‖ 25. διαμασσώμενος C^a X^a. ‖ 26. ἄργιλλος C^a, ἄργηλος Y^a. ‖ ἄττα om C^a. ‖ 28. καὶ ἡ ἄργιλος om C^a Y^a. ‖ 29. ἑαυτὰ X^a. ‖ 33. αἱ δὲ ἐν] ἐν δὲ C^a. ‖ 37. ἢ om X^a.

2. ὑπείκει — 3. αὐτῶν om C^a. ‖ 7. ἡ μὲν] ὁ μὲν Y^a et pr X^a. ‖ 8. ὕστερον om C^a. ‖ 9. κύαθος om X^a. ‖ ὥστε X^a Y^a. ‖ 13. ἐπιπολῆς δὲ διὰ X^a. ‖ 22. συνόντος X^a. ‖ 29. εὐσθενές Y^a. ‖ 31. εἰ τὰ] εἶτα C^a. ‖ 32. μέλανας C^a X^a Y^a.

14 Διὰ τί οἴδημα καὶ πελιώματα λαμβάνουσιν αἱ πληγαί; ἢ διότι κατὰ τοῦτον τὸν τόπον διασαλεύοντα τὰ ὑγρά, εἰς τοὺς πλησίον τόπους προσκόψαντα ἀποπάλλεται πάλιν καὶ τῇ κολλήσει ὑγρὸν συνήγαγεν; ἐὰν δὲ καὶ φλέβιά τινα ῥαγῇ, ὕφαιμος ἡ συνδρομὴ γίνεται.

Ι. ΕΠΙΤΟΜΗ ΦΥΣΙΚΩΝ.

Διὰ τί τὰ μὲν βήττει, τὰ δ' οὔ, οἷον ἄνθρωπος μὲν βήττει, βοῦς δὲ οὔ; πότερον τῷ εἰς ἄλλο τι τρέπεσθαι τοῖς πλείστοις ζῴοις τὸ περίττωμα, ἀνθρώπῳ δὲ δεῦρο; ἢ ὅτι ἐγκέφαλον πλεῖστον καὶ ὑγρότατον ἔχει ὁ ἄνθρωπος, ἡ δὲ βὴξ καταρρέοντος γίνεται φλέγματος.

2 Διὰ τί ἀνθρώπῳ μόνῳ τῶν ζῴων αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων; ἢ ὅτι ἐγκέφαλον ἔχει πλεῖστον καὶ ὑγρότατον, ἀφ' οὗ αἱ φλέβες πληρούμεναι τοῦ περιττώματος διὰ τῶν πόρων προΐενται τὴν ῥύσιν; λεπτότερον γὰρ γίνεται τοῦ αἵματος τοῦ καθαροῦ τὸ νοσερόν, τοῦτο δέ ἐστι τὸ μιχθὲν τοῖς τοῦ ἐγκεφάλου περιττώμασι, καὶ ἔστι καθάπερ ἰχώρ.

3 Διὰ τί τῶν ζῴων τὰ μὲν ὑπὸ σάρκα, τὰ δὲ κατὰ σάρκα πίονά ἐστι, τὰ δὲ κατ' ἀμφότερα; ἢ ὅσων μὲν πυκνὴ ἡ σάρξ, μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς συστέλλεται ἡ ἰκμὰς διὰ τὸ ταύτῃ εἶναι τὸ δέρμα ἀφεστὸς φύσει· ἣ πεττομένη γίνεται πιμελή. ὅσα δὲ ἀραιοτέραν ἔχει τὴν σάρκα τό τε δέρμα προεστός, κατὰ σάρκα πίονα γίνεται. τὰ δὲ ἀμφοτέρως ἔχοντα ἐπ' ἀμφότερα πιαίνεται.

4 Διὰ τί οἱ παῖδες καὶ αἱ γυναῖκες ἧττον ἔχουσι λεύκην τῶν ἀνδρῶν, καὶ τῶν μὲν γυναικῶν αἱ πρεσβύτιδες μᾶλλον; ἢ ὅτι ἡ λεύκη ἐστὶ πνεύματος ἔξοδος, ἔστι δὲ τὰ μὲν τῶν παίδων οὐκ εὔπνοα σώματα ἀλλὰ πυκνά, καὶ τὰ τῶν γυναικῶν ἧττον ἢ τὰ τῶν ἀνδρῶν· εἰς τὰ καταμήνια γὰρ τρέπεται· δηλοῖ δὲ ἡ λειότης τὴν πυκνότητα τῆς σαρκός. τὰ δὲ τῶν πρεσβυτέρων καὶ τῶν γραῶν εὔπνοα· μόνα γάρ, ὥσπερ τὰ παλαιὰ οἰκοδομήματα, διεστῶσαν ἔχει τὴν σύνθεσιν τῶν μορίων.

5 Διὰ τί ἄνθρωπος μόνον ἴσχει λεύκην; πότερον ὅτι λεπτοδερμότατον τῶν ζῴων ἐστίν, ἅμα δὲ καὶ πνευματωδέστερον; σημεῖον δέ, ὅτι ἡ λεύκη ἐν τοῖς λεπτοδερμοτάτοις μάλιστα καὶ πρῶτον γίνεται μέρεσιν. ἢ διὰ ταῦτά τε, καὶ ὅτι μόνον πολιοῦται τῶν ζῴων; ἐν γὰρ ταῖς λεύκαις πολιαὶ γίνονται αἱ τρίχες, ὥστε ἀδύνατον, ὅσα μὴ πολιοῦται, λεύκην ἴσχειν.

6 Διὰ τί αἶγες μὲν καὶ πρόβατα ἀμέλγονται πλεῖστον γάλα, οὐ μέγιστον σῶμα ἔχοντα, ἄνθρωπος δὲ καὶ βοῦς ἔλαττον ὡς κατὰ λόγον; πότερον ὅτι εἰς τὸ σῶμα ἀναλίσκεται, τοῖς δὲ ἄλλοις εἰς τὸ περίττωμα, τοῖς δὲ προβάτοις καὶ ταῖς αἰξὶ τὸ περιγινόμενον τοῦ περιττώματος γάλα γίνεται πᾶν; ἢ ὅτι πολυτοκώτερά ἐστι τῶν μεγάλων, ὥστε πλεῖον σπᾷ περίττωμα διὰ τὸ πλείω τρέφειν; ἢ δι' ἀσθένειαν τῶν σωμάτων πλεῖον περίττωμα γίνεται κύουσιν αὐτοῖς; τὸ δὲ γάλα γίνεται ἐκ τοῦ περιττώματος.

7 Διὰ τί τῶν ζῴων τὰ μέν, μεταβάλλοντα τὰ ὕδατα, μεταβάλλει τὰς χρόας καὶ ὅμοια γίνεται τοῖς ἐκεῖ, οἷον αἶγες, τὰ δὲ οὔ, οἷον ἄνθρωποι; καὶ ὅλως δὲ διὰ τί τὰ μὲν μεταβάλλει, τὰ δὲ οὔ, οἷον κόραξ οὐ μεταβάλλει; ἢ ὧν μὲν οὐ κρατεῖ ἡ φύσις τοῦ ὑγροῦ, ὥσπερ ἡ τῶν ὀρνέων (διὸ καὶ κύστιν οὐκ ἔχει), οὐ μεταβάλλει; καὶ διὰ τί οὐκ αὐτὰ ἀλλὰ τὰ ἔκγονα μεταβάλλει; ἢ ὅτι ἀσθενέστερα τὰ νέα τῶν γεννησάντων;

8 Διὰ τί τὰ ἄρσενα μείζω τῶν θηλειῶν ὡς ἐπίπαν ἐστίν; πότερον ὅτι θερμότερα, τοῦτο δὲ αὐξητικόν; ἢ ὅτι ὁλόκληρα, τὰ δὲ πεπήρωται; ἢ ὅτι τὰ μὲν ἐν πολλῷ χρόνῳ τελειοῦται, τὰ δὲ ἐν ὀλίγῳ;

9 Διὰ τί τὰ μὲν ταχυτόκα τῶν ζῴων ἐστί, τῶν δὲ πολυχρόνιος ἡ κύησις; ἢ ὅτι τὰ μακροβιώτερα βραδύτερον πέφυκε τελειοῦσθαι; ἔστι δὲ βραδυτόκα τὰ μακρόβια. οὐ μέντοι τὰ μάλιστα, οἷον ἵππος ἀνθρώπου βραδυτοκώτερον μέν, ὀλιγοχρονιώτερον δέ. τούτου δὲ αἴτιον ἡ σκληρότης τῶν ὑστερῶν· ὥσπερ γὰρ ἡ ξηρὰ γῆ οὐ ταχὺ ἐκτρέφει, οὕτω καὶ ἡ τοῦ ἵππου ὑστέρα.

10 Διὰ τί τοῖς ἄλλοις ζῴοις τὰ ἔκγονα μᾶλλον τὰς φύσεις ὁμοιοῦται ἢ τοῖς ἀνθρώποις; ἢ ὅτι ὁ μὲν ἄνθρωπος πολλαχῶς διατίθεται τὴν ψυχὴν κατὰ τὴν ὁμιλίαν, καθὼς δ' ἂν ὁ πατὴρ καὶ ἡ μήτηρ διατεθῶσιν, οὕτω ποικίλλεται καὶ τὰ τικτόμενα. τὰ δὲ ἄλλα ζῷα τὰ μὲν πλεῖστα πρὸς αὐτὸ τοῦτό εἰσιν. ἔτι δὲ οὐ πληροῦται ὡς ἐπὶ τὸ πολὺ διὰ ταύτην τὴν ἐπιθυμίαν.

1. οἰδήματα K^a. ‖ πολυώματα X^a. ‖ 3. προσκόψοντα X^a. ‖ 4. ὑγρῶν Y^a, τῶν ὑγρῶν C^a. ‖ 7. ὅσα ἐν ἐπιτομῇ φυσικῶν x. ‖ 15. φλέγες X^a. ‖ 21. σὰρξ ὑπὸ σάρκα μετ. $C^a X^a Y^a$. ‖ 22. ταύτην Y^a. ‖ τὸ δέρμα om $C^a X^a Y^a$. ‖ ἀφεστὼς X^a, ἐφεστὼς C^a, ἐφεστὸς Y^a. ‖ 23. δευτέραν $C^a X^a Y^a$. ‖ 24. προεστώς $C^a X^a$. ‖ 28. ἡ om C^a. ‖ 31. τῶν σαρκῶν X^a. ‖ 32. καὶ τὰ τῶν X^a. ‖ 34. post μορίων $C^a Y^a$ τὸ σῶμα. ‖ 35. ὁ ἄνθρωπος X^a.

4. ἀμελγόμενα C^a. ‖ 7. δὲ ante πρ. om X^a. ‖ 8. περιγενόμενον $C^a X^a$. ‖ 10. πλείω $C^a Y^a$. ‖ 11. πλείω Y^a. ‖ 15. δὲ ante διὰ om C^a. ‖ 18. οὐ] οὔτε $C^a X^a Y^a$. ‖ 19. αὐτὸ Y^a. ‖ 19 et 32. ἔγγονα $C^a Y^a$. ‖ 21. ὡς] ὥσπερ C^a. ‖ 25. τῶν ζώων τὰ μὲν ταχυτόκα C^a. ‖ 27. δὲ] δὲ τὰ C^a. ‖ 29. μέν] μὲν μάλιστα X^a. ‖ 35. ὁ] ὅ τε $X^a Y^a$. ‖ 36. καὶ τὰ] κατὰ X^a.

11 Διὰ τί οἱ λευκοὶ ἄνθρωποι καὶ ἵπποι ὡς ἐπὶ τὸ πολὺ γλαυκοί; ἢ διότι τριῶν χρωμάτων ὄντων τοῖς ὄμμασι, μέλανος καὶ αἰγωποῦ καὶ γλαυκοῦ, τῷ τοῦ σώματος χρώματι καὶ τὸ τοῦ ὀφθαλμοῦ χρῶμα ἀκολουθεῖ, τοῦτο δέ ἐστι γλαυκότης.

12 Διὰ τίνα αἰτίαν οἱ νάνοι γίνονται; ἔτι δὲ μᾶλλον καθόλου, διὰ τί τὰ μὲν ὅλως μεγάλα, τὰ δὲ μικρά; εἶτα οὕτω σκεπτέον. δύο δὴ τὰ αἴτια· ἢ γὰρ ὁ τόπος ἢ ἡ τροφή. ὁ μὲν οὖν τόπος, ἐὰν ᾖ στενός, ἡ δὲ τροφή, ἐὰν ᾖ ὀλίγη, ὥσπερ καὶ ἤδη γεγενημένων πειρῶνται μικροὺς ποιεῖν, οἷον οἱ τὰ κυνίδια τρέφοντες ἐν τοῖς ὀρτυγοτροφείοις. ὅσοις μὲν οὖν ὁ τόπος αἴτιος, οὗτοι πυγμαῖοι γίνονται. τὰ μὲν γὰρ πλάτη καὶ τὰ μήκη ἔχοντες γίνονται κατὰ τὸ τῶν τεκόντων μέγεθος, μικροὶ δὲ ὅλως. τούτου δὲ αἴτιον, ὅτι διὰ τὴν στενότητα τοῦ τόπου συγκλώμεναι αἱ εὐθεῖαι καμπύλαι γίνονται. ὥσπερ οὖν οἱ ἐπὶ τῶν καπηλείων γραφόμενοι μικροὶ μέν εἰσι, φαίνονται δ' ἔχοντες πλάτη καὶ βάθη, ὁμοίως συμβαίνει καὶ τοῖς πυγμαίοις. ὅσοι δὲ διὰ τροφῆς ἔνδειαν ἀτελεῖς γίνονται, οὗτοι καὶ παιδαριώδη τὰ μέλη ἔχοντες φαίνονται. καὶ ἐνίους ἰδεῖν ἐστι μικροὺς μὲν σφόδρα, συμμέτρους δέ, ὥσπερ τὰ Μελιταῖα κυνίδια. αἴτιον δὲ ὅτι οὐχ ὡς ὁ τόπος ἡ φύσις ποιεῖ.

13 Διὰ τί τῶν ζῴων τὰ μὲν ἐξ ἀλλήλων γίνεται, τὰ δ' ἔκ τινων συγκρινομένων ὁμοίως τῆς ἐξ ἀρχῆς γενέσεως αὐτοῖς ὑπαρξάσης; καθάπερ οἱ περὶ φύσεως λέγοντες λέγουσι καὶ τὴν ἐξ ἀρχῆς γένεσιν τῶν ζῴων γενέσθαι, διὰ τὰς μεταβολὰς καὶ μετακινήσεις τοῦ κόσμου καὶ τοῦ παντὸς οὕτω μεγάλας· καὶ νῦν εἴπερ μέλλει πάλιν ἔσεσθαι, τοιαύτας τινὰς ὑπάρξαι δεῖ κινήσεις; ἡ μὲν γὰρ ἀρχὴ παντὸς ἔργου μέγιστον· ἥμισυ γάρ· τὸ δὲ σπέρμα ἀρχή. τῶν μὲν οὖν μικρῶν ὅσα γίνεται μὴ ἐξ ἀλλήλων, αἴτιον τοιαῦτα γενέσθαι ὥσπερ ἐξ ἀρχῆς ἐγεννήθησαν ἡ τοῦ σπέρματος μικρότης· τοῦ γὰρ ἐλάττονος καὶ ἡ ἀρχὴ ἐλάττων. ὥστε ἱκαναὶ καὶ αἱ τούτου μεταβολαὶ πρὸς τὸ γεννῆσαι αὐτῷ τὸ σπέρμα. ὅπερ συμβαίνει· γίνονται γὰρ ἐν ταῖς μεταβολαῖς μάλιστα. τοῖς δὲ μείζοσι μείζονος δεῖ καὶ μεταβολῆς.

14 Διὰ τί τὰ μὲν πολύτεκνα τῶν ζῴων, οἷον ὗς, κύων, λαγώς, τὰ δὲ οὔ, οἷον ἄνθρωπος, λέων; ἢ ὅτι τὰ μὲν πολλὰς μήτρας καὶ τόπους ἔχει, ἃς καὶ πίμπλασθαι ἐπιθυμεῖ καὶ εἰς ἃ σχίζεται ἡ γονή, τὰ δὲ τοὐναντίον.

Διὰ τί ἐλάχιστον διάστημα τῶν ὀμμάτων ὁ ἄνθρω- 15
πος ἔχει τῶν ζῴων κατὰ μέγεθος; ἢ διότι μάλιστα κατὰ φύσιν ἔχει τῶν ἄλλων, ἡ δὲ αἴσθησις φύσει τὸ ἔμπροσθεν· ἐφ' ὃ γὰρ ἡ κίνησις, τοῦτο δεῖ προορᾶν. ὅσῳ δ' ἂν ᾖ πλεῖον τὸ διάστημα τῶν ὀμμάτων, τοσούτῳ μᾶλλον αἱ ὄψεις ἔσονται ἐν τῷ πλαγίῳ. εἰ οὖν ἔχειν δεῖ κατὰ φύσιν, ὅτι ὀλίγιστον δεῖ τὸ διάστημα εἶναι· οὕτω γὰρ εἰς τὸ πρόσθεν μάλιστα πορεύσεται. ἔτι δὲ τοῖς ἄλλοις ζῴοις, ἐπεὶ χεῖρας οὐκ ἔχουσιν, ἀναγκαῖον παροράν εἰς τὰ πλάγια. διὸ πλεῖον διέστηκε τὰ ὄμματα αὐτῶν, καὶ μάλιστα τῶν προβάτων, διὰ τὸ μάλιστα ποιεῖσθαι τὴν πορείαν κύπτοντα.

Διὰ τί τὰ ἄλλα ζῷα τὰ μὲν οὐκ ἐξονειρώττει, τὰ δὲ 16
ὀλιγάκις; πότερον ὅτι οὐδὲν ὕπτιον κατάκειται, ἐξονειρώττει δὲ οὐδὲν μὴ ὕπτιον; ἢ ὅτι οὐκ ἐνυπνιάζει τὰ ἄλλα ὁμοίως, ὁ δὲ ἐξονειρωγμὸς μετὰ φαντασίας γίνεται.

Διὰ τί τῶν ζῴων τὰ μὲν κινεῖ τὴν κεφαλήν, τὰ δ' 17
οὐ κινεῖ; ἢ ὅτι ἔνια οὐκ ἔχει αὐχένα; διὸ ταῦτα οὐ κινεῖ τὴν κεφαλήν.

Διὰ τί ἄνθρωπος πτάρνυται τῶν ζῴων μάλιστα; πό- 18
τερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει δι' ὧν τὸ πνεῦμα καὶ ὀσμὴ εἰσέρχεται; τούτοις γὰρ πνεύματος πληρουμένοις πτάρνυται. ὅτι δὲ εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ἄλλων ζῴων· ἀκριβέστεροι δὲ οἱ λεπτότεροι. εἰ οὖν εἰς μὲν τοὺς εὐρεῖς πλέον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου ὁ πταρμὸς γίνεται, τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνοιντο εἰκότως. ἢ ὅτι ἐλάχιστοι κατὰ τὸ μῆκος οἱ μυκτῆρες, ὥστε τὸ θερμανθὲν ὑγρὸν ταχὺ δύναται πνεῦμα γίνεσθαι. ἐν δὲ τοῖς ἄλλοις διὰ μῆκος καταψύχεται πρότερον.

Διὰ τί ἡ γλῶττα οὐδενὸς πιερὰ τῶν ζῴων; ἢ ὅτι τὸ 19
πῖον πυκνόν, ἡ δὲ γλῶττα ἀραιὰ φύσει ἐστίν, ὅπως τοὺς χυμοὺς γνωρίζῃ;

Διὰ τί τὰ θήλεα συντάσει οὐρεῖ, τὰ δὲ ἄρρενα οὔ; 20
ἢ ὅτι πορρώτερόν ἐστιν ἡ κύστις ἡ τῶν θηλειῶν, καὶ εἰς βάθος καὶ εἰς μῆκος; μεταξὺ γὰρ αὐτῶν ἡ μήτρα τῆς ἕδρας καὶ

6. νάνοι C^a. ‖ 10. ᾖ om Y^a. ‖ καὶ ὥσπερ καὶ C^a. ‖ μικροῦ Y^a. ‖ 11. ὀρτυγοτροφίοις C^aX^a. ‖ 13. τὰ om C^aY^a. ‖ 16. καπηλίων X^a. ‖ 18. τοὺς πυγμαίους X^a. ‖ ὅσοις Y^a. ‖ 27. κινήσεις C^a. ‖ 29. τινὰς om C^a. ‖ 31. ὅσα] καὶ ὅσα X^aY^a. ‖ 32. ἐγεννήθησαν Y^a. ‖ 36. μείζοσι om X^a. ‖ καὶ om C^a.

1. λαγώς om C^a. ‖ 2. ἃς] ἴσους C^aY^a. ‖ 7. δεῖ] δὲ C^aY^a. ‖ 8. πλεῖστον C^a. ‖ ἔσονται αἱ ὄψεις C^a. ‖ 23. εὐχρεῖς C^a, εὐχερεῖς Y^a. ‖ 24. πληρουμένοις πνεύματος C^a. ‖ 25. ὅτι post σημεῖον om C^a. ‖ 27. τὸ om X^aY^a. ‖ πνευματουμένοις Y^a. ‖ 30. ἐλάχιστον X^aY^a. ‖ 31. γενέσθαι C^a. ‖ 37. ἡ alterum om C^a. ‖ 38. εἰς om C^aY^a.

κύστεως. ὥςε δεῖται βίας πλείονος τὸ ἐκπεμπόμενον γε τὴν ἀπόςασιν τῆς μήτρας. βιάζεται δὲ συντεῖνον πνεύματι.

Διὰ τί τῶν ζῴων ὅσα μὴ πέτεται, πάντα ἀποβάλλει χειμερινὰς τρίχας, πλὴν ὑός; καὶ γὰρ κύων ἀποβάλ- καὶ βοῦς. ἢ ὅτι θερμότατον ἡ ὗς ἐςί, καὶ ἐκ θερμοῦ ύκασιν αἱ τρίχες αὐτῇ; τοιοῦτον γάρ ἐςι τὸ λιπαρόν. μὲν ὖν ἄλλων ἢ διὰ τὸ ἀποψύχεσθαι τὸ ὑγρὸν ἀπο- τουσιν, ἢ πέττειν τροφὴν οὐ δυναμένης τῆς οἰκείας θερμότητος, ἢ διὰ τὸ μηδὲν πάσχειν τὴν ὑγρότητα τὴν ἐν ῇ, διὰ τὸ πέττεσθαι καλῶς τὴν τροφήν, ὐκ ἀποβάλλει τρίχας. ὁπότε γὰρ ἡ αἰτία τῆς ἀποβολῆς ἐςίν, ἱκανὴ ιότης κωλῦσαι. πρόβατα δὲ καὶ ἄνθρωποι διὰ πλῆθος πυκνότητα τῆς τριχὸς ἀπαθῆ ἐςιν· οὐ γὰρ διικνεῖται ῦξις εἰς βάθος, ὥςε πῆξαι τὴν ὑγρότητα ἢ πέψαι ῦσαι τὴν θερμότητα.

Διὰ τί τῶν μὲν προβάτων μαλακώτεραι αἱ τρίχες φύονται τιλλόμεναι, τῶν δὲ ἀνθρώπων σκληρότεραι; τι τῶν μὲν προβάτων ἐκ τῦ ἐπιπολῆς πεφύκασιν; διὸ ἀλύπως ἐκσπῶνται, μενούσης τῆς ἀρχῆς τῆς τροφῆς ιφόρου, ἥ ἐςιν ἐν σαρκί. τὰ μὲν οὖν περιττώματα χθέντων ἐξατμίζει μᾶλλον, τὸ δὲ ἔριον σαρκὸς οἰκείαν φὴν λαμβάνει· σὰρξ δὲ μαλακοῖς καὶ γλυκέσι τρέ- αι. αἱ δὲ τῶν ἀνθρώπων τρίχες ἐκ βάθυς πεφυκυῖαι καὶ μετ' ἀλγηδόνος ἐκσπῶνται. δῆλον δέ· ἐπισπῶν- γὰρ αἷμα. τραυματιζομένου ὖν τῦ τόπου συμβαίνει ὸν καὶ οὐλοῦσθαι. διὸ τέλος μὲν συμβαίνει γίνεσθαι ; τιλλομένοις· ἕως δ' ἂν ἀνίωσι τρίχες, σκληρὰς ἀνιέ- διὰ τὸ τὴν μὲν τροφώδη τῆς σαρκὸς ἐκλελοιπέναι ταν τροφήν, ἐκ περιττωμάτων δ' αὐτὰς γίνεσθαι. ση- ον δέ· τῶν μὲν γὰρ πρὸς μεσημβρίαν πάντων σκληραί ν αἱ τρίχες διὰ τὸ τὸ ἐκτὸς θερμὸν εἰς βάθος διικνούνον ἐξατμίζειν τὴν εὔπεπτον τροφήν, τῶν δὲ ὑπὸ τὰς κτους μαλακαί· τούτοις γὰρ ἐπιπολῆς μᾶλλόν ἐςι τό αἷμα καὶ οἱ γλυκεῖς χυμοί· διὸ καὶ εὔχροοί εἰσιν.

Διὰ τί αἱ μὲν τῶν προβάτων τρίχες ὅσῳ ἂν μακρό- αι ὦσι, σκληρότεραι γίνονται, αἱ δὲ τῶν ἀνθρώπων λακώτεραι; ἢ ὅτι αἱ τῶν προβάτων, οἷαν εἴρηται τρο- ν ἔχουσαι, μακρὰν τῆς ἀρχῆς ἀπαρτώμεναι ἀτροφώ- αί εἰσι, καὶ ῥᾳδίως ἐξ αὐτῶν ἐξατμίζεται ὑπὸ τοῦ θερμοῦ ἡ ἐνυπάρχουσα τροφὴ δι' εὐπεψίαν; ξηραινόμεναι δὲ ξηρότεραι γίνονται· τὸ γὰρ ὑγρὸν μαλακόν. αἱ δὲ τῶν ἀνθρώπων ἐλάττω μέν, μᾶλλον δὲ τῆς ἀρχῆς. πέττεται δὲ αὐταῖς μᾶλλον διὰ τὸ ἐλάττω εἶναι· πεττομένη δὲ μαλακωτέραν ποιεῖ τὴν τρίχα· πάντα γὰρ τὰ πεπεμμένα τῶν ἀπέπτων μαλακώτερά ἐστιν. ἐκ περιττώματος γὰρ πλείςου ἡ τῦ ἀνθρώπου θρὶξ ἢ ἡ τοῦ προβάτου. σημεῖον δέ· τὰ γὰρ νέα πρόβατα τῶν παλαιῶν μαλακώτερα ἔχει τὰ ἔρια.

Διὰ τί οἱ ἄνθρωποι καὶ οἱ ὄρνιθες οἱ δασεῖς λάγνοι 24
εἰσίν; ἢ ὅτι θερμοὶ καὶ ὑγροὶ τὴν φύσιν εἰσί, δεῖ δὲ ἀμφοῖν πρὸς τὴν ὀχείαν. τὸ μὲν γὰρ θερμὸν ἐκκρίνει, τὸ δὲ ὑγρὸν ἐκκρίνεται. διὰ τὸ αὐτὸ δὲ καὶ οἱ χωλοὶ ἄνδρες· ἡ γὰρ τροφὴ αὐτοῖς ὀλίγη μὲν κάτω ἀφικνεῖται διὰ τὴν ἀναπηρίαν τῶν σκελῶν, εἰς δὲ τὸν ἐπάνω τόπον ἔρχεται πολλή, καὶ εἰς σπέρμα συγκρίνεται.

Διὰ τί ὁ ἄνθρωπος χαίτην οὐκ ἔχει; ἢ διότι πώγωνα 25
ἔχει, ὥςε ἡ ἐκεῖ ἀπελθῦσα τροφὴ τῆς τοιαύτης περιττώσεως εἰς τὰς σιαγόνας ἔρχεται;

Διὰ τί πάντα τὰ ζῷα ἀρτίους τὺς πόδας ἔχει; ἢ ὅτι 26
ὐκ ἐνδέχεται κινεῖσθαι μὴ ἑςηκότος τινός, ἂν μὴ ἅλληται; ἐπεὶ τοίνυν ἐκ δυοῖν τινοῖν κίνησιν ἀνάγκη τῇ πορείᾳ εἶναι, ἔκ τε κινήσεως καὶ ςάσεως, ταῦτα δὲ δύο, καὶ ἄρτια ἤδη. καὶ τετράποδα, διότι πλείυς· τὺς μὲν γὰρ δύο κινεῖ, οἱ δὲ δύο ἑςήκασιν. καὶ οἱ ἕξ· καὶ τὰ ἄλλα δὲ δύο ἔτι· τύτων δὲ τὸ μὲν κινεῖται, τὸ δὲ ἕςηκεν.

Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν 27
φύονται τρίχες, τοῖς δὲ ἀνθρώποις ὔ; ἢ διότι τοῖς μὲν ἄλλοις ζῴοις ἐςὶ τὸ δέρμα μέρος τῆς σαρκός, ἀνθρώπῳ δὲ καθάπερ πάθος σαρκός; δοκεῖ γὰρ αὐτῆς τὸ ἐπιπολῆς καταψυχόμενον ςερεώτερον γίνεσθαι, καθάπερ τῶν ἑφθῶν ἀλεύρων αἱ γραῖαι καλύμεναι. ἐπεὶ ὖν κἀκεῖναί εἰσιν ἄλευρον ἑφθόν, καὶ τὸ τοῦ ἀνθρώπυ καλύμενον δέρμα σὰρξ ἂν εἴη. τραυματισθέντος δὲ ἢ τριβέντος ἀνθρώπου μὲν τὴν σάρκα συμβαίνει πυκνῦσθαι· διὸ ἠλλοιωμένης τῆς ἐπιπολῆς σαρκὸς οὐ τὴν αὐτὴν φύσιν λαμβάνει τὰ τραύματα ἥπερ καὶ ἐκ γενετῆς· ἀλλοιωθείσης δ' αὐτῆς μὴ γίνεσθαι ἔτι τὸ ἐξ αὐτῆς ὐθὲν ἄτοπον, καθάπερ καὶ ἐκ τῶν ἀλωπεκιῶν καλυμένων· καὶ γὰρ αὗται τῆς ἐπιπολῆς σαρκὸς φθοραὶ καὶ ἀλλοιώσεις εἰσίν. τῶν δὲ ὑποζυγίων τριβέντων καὶ ὑγιαζο-

4. πέττεται C^a. ‖ 6. ὁ C^aX^a. ‖ 7. αὐτῷ C^aX^a. ‖ 9. ἢ διαπέττειν C^a. ‖ 11. αὐτῇ διαπέττεσθαι C^a. ‖ 16. κωλύει C^a. ‖ 20. τῆς ῆς om C^a. ‖ 21. ἀδιαφόρου X^a. ‖ 32. alterum τὸ om C^aX^a. ‖ 33. ἐξετάζειν C^aY^a.

6. τῶν om C^a. ‖ 14. κάτω μὲν $C^aX^aY^a$. ‖ 15. ἀπειρίαν X^a. ‖ 29. καθάπερ τὸ πάθος X^a. ‖ 30. αὐτοῖς C^aX^a. ‖ 32. γραῖαι] αι $C^aX^aY^a$. ‖ 36. καὶ om C^a. ‖ 37. ἀλλ. μὴ γίνεσθαι δ' αὐτὴν ἔτι X^a.

μένων πάλιν ἀναπληροῦται τὰ νενοσηκότα μέρη τοῦ σώματος τῶν αὐτῶν μέν, ἀσθενεστέρων δ' ἢ ἐξ ἀρχῆς ἦν. ἐπεὶ δ' ἐστὶ καὶ τὸ δέρμα μέρος αὐτῶν, γίνοιτό τε ἂν καὶ φύοιντο τρίχες (ἐκ δέρματος γὰρ φύονται τρίχες), λευκαὶ δὲ φύονται διὰ τὸ τὸ δέρμα ἀσθενέστερον γεγονέναι τοῦ ἐξ ἀρχῆς, καὶ τὴν λευκὴν ἀσθενεστάτην εἶναι τρίχα.

28 Διὰ τί ἐν μὲν τοῖς ἄλλοις ζῴοις διαμένει ὁμοίως τὰ δίδυμα θήλεα καὶ ἄρρενα ὄντα, ἐν δὲ τοῖς ἀνθρώποις οὔ; ἢ διότι τούτῳ ἀσθενῆ μάλιστα τὰ δίδυμα· μονοτόκον γάρ ἐστιν. ἐν δὲ τοῖς διδύμοις παρὰ φύσιν τὸ θῆλυ γίνεσθαι καὶ ἄρρεν, ὥστε ὃ μάλιστά ἐστι παρὰ φύσιν, τοῦτο καὶ ἀσθενέστατον.

29 Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δὲ ἀνθρώποις οὔ; ἢ διότι ἡ οὐλὴ κωλύει διὰ τὴν πύκνωσιν ἢ διὰ τὸ φθείρειν τὴν τροφήν; τοῖς μὲν οὖν ἀνθρώποις παντελῶς κωλύει διὰ τὴν ἀσθένειαν τῆς τριχός, τοῖς δὲ ἵπποις οὐκ ἐκώλυσε, διέφθειρε δέ.

30 Διὰ τί τοῖς ζῴοις ἄρτιοι πόδες; ἢ ὅτι παντὸς μὲν τοῦ κινουμένου ἀνάγκη τι ἠρεμεῖν, συνέβαινε δὲ περιττῶν ὄντων μὴ γίνεσθαι τοῦτο· ὅπερ κατὰ τὴν ἀντιστοιχίαν τῶν ποδῶν ἦν ἡ κίνησις.

31 Διὰ τί ἐλάττω χρόνον τὰ ζῷα καθεύδει ἢ ἐγρήγορεν, οὐ συνεχῶς δέ; ἢ διὰ τὸ μὴ ἅμα πᾶσαν πέττεσθαι τὴν περίττωσιν; ἀλλ' ὅταν τι πεφθῇ, κουφισθὲν διεγείρεται. καὶ πλεονάκις δ' ἐγείρονται, ὅσοις ψυχρὸς ὁ τόπος ὁ πέττων ἐστὶ τὴν περίττωσιν· ταχὺ γὰρ παύεται καὶ πολλάκις, ἡ δὲ διάπαυσις ἔγερσίς ἐστιν. ἡδὺ δέ, οὐδὲ εἰκός, διὰ τὸ ἀνάπαυσιν εἶναι φαίνεται. ἀλλ' οὐδ' ἐνταῦθα πλείω χρόνον ἡ ἀνάπαυσις γίνεται τῶν κατὰ φύσιν ἔργων· οὐδ' εἰ τὸ ἐσθίειν ἥδιον τοῦ μή, ὅμως πλείω χρόνον ἐσθίουσιν ἢ ἀσιτοῦσιν.

32 Διὰ τί τῶν ζῴων τὰ μὲν εὐθὺς ἀκολουθεῖ τοῖς γεννήσασι, τὰ δ' ὀψέ, οἷον ἄνθρωπος, ἢ μόλις, ἢ οὐδέποτε; ἢ διότι τὰ μὲν ταχὺ ἀπολαμβάνει τὸ γνωρίζειν, τὰ δ' ὀψέ; καὶ τὰ μὲν ἀναίσθητα τοῦ ὠφελοῦντος, τὰ δὲ ἔχει αἴσθησιν. ὅσα μὲν οὖν ἄμφω ἔχει ταῦτα (λέγω δ' οἷον καὶ αἴσθησιν τοῦ ὠφελοῦντος καὶ ἐπιτέλεσιν τοῦ σώματος), ἀκολουθεῖ, τὰ δὲ μὴ ἄμφω οὐ ποιεῖ τοῦτο· δεῖ γὰρ δύνασθαι καὶ διαισθάνεσθαι.

33 Διὰ τί λεύκη οὐ γίνεται τοῖς ἄλλοις ζῴοις; πότερον ὅτι τοῖς μὲν ἄλλοις νόσημα, τοῖς δὲ ἀνθρώποις γίνεται διάλευκα τὰ δέρματα καὶ αἱ τρίχες αὐτῶν; ἀλλ' ὅμως ἀπορήσειεν ἄν τις διὰ τί ὕστερον οὐ γίνεται· ἀλλ' ἐκ γενετῆς ἡ ποικιλία. ἢ ὅτι τὰ δέρματα τῶν ἄλλων ζῴων σκληρά, ἄνθρωπος δὲ φύσει λεπτοδερμότατον; ἡ δὲ λεύκη πνεύματός ἐστιν ἔκκρισις, ὃ κωλύεται διὰ τὴν πυκνότητα ἐξιέναι τοῖς ἄλλοις ζῴοις τοῦ δέρματος.

Διὰ τί ἐν μὲν τῇ λεύκῃ πολιαὶ γίνονται, ὅτε δὲ πο- 34
λιαί, οὐκ ἀεὶ λεύκη; ἢ διότι αἱ τρίχες ἐκ τοῦ δέρματος εἰσίν, ἡ δὲ πολιὰ ὥσπερ σαπρότης τις τῶν τριχῶν ἐστίν. ὅταν μὲν οὖν τὸ δέρμα κάμνῃ, ἀνάγκη καὶ τὴν τρίχα ἐξ ἐκείνου οὖσαν κάμνειν· ὅταν δὲ ἡ θρίξ, οὐκ ἀνάγκη τὸ δέρμα.

Διὰ τί τῶν ζῴων τὰ μὲν χαλεπά ἐστι μετὰ τὸν τόκον, 35
οἷον κύων καὶ ὗς, τὰ δὲ οὐδὲν ἐπιδήλως, οἷον γυνή, πρόβατον; ἢ ὅτι ὅσα μὲν περιττωματικὰ πραέα; ἀπέρχεται γὰρ ἐν τῷ τόκῳ τὰ λυποῦντα. τούτοις δὲ ἀπὸ τῶν εὖ ἐχόντων γίνεται ἡ ἀφαίρεσις, ὥστε ἡ ἰσχνότης ποιεῖ διὰ τὴν ἕξιν τὴν ὀργήν, ὥσπερ καὶ αἱ ἀλεκτορίδες οὐ τεκοῦσαι χαλεπαί, ἀλλ' ἐπῳάζουσαι, διὰ τὴν ἀσιτίαν.

Διὰ τί οἱ εὐνοῦχοι τὰ μὲν ἄλλα εἰς τὸ θῆλυ διαφθει- 36
ρόμενοι μεταβάλλουσι· καὶ γὰρ φωνὴν θηλυκὴν ἴσχουσι καὶ ὀξύτητα καὶ ἀναρθρίαν, καὶ οὕτω σφόδρα μεταπίπτουσιν ὥς καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὰ ἐκτεμνόμενα. ἐναντίως δ' οἱ ταῦροι καὶ οἱ κριοὶ τὰ κέρατα ἴσχουσι, διότι καὶ τὰ θήλεα ἐναντίως αὐτῶν ἔχει. διὸ οἱ μὲν μείζω ἐκτεμνόμενοι ἴσχουσιν, οἱ δὲ ἐλάττω. τὸ δὲ μέγεθος μόνον οἱ εὐνοῦχοι εἰς τὸ ἄρρεν μεταβάλλουσιν· μείζους γὰρ γίνονται. ἔστι δὲ τοῦτο τοῦ ἄρρενος· τὰ γὰρ θήλεα ἐλάττω ἐστὶ τῶν ἀρρένων. ἢ οὐδὲ τοῦτο εἰς τὸ ἄρρεν, ἀλλ' εἰς τὸ θῆλυ; οὐ γὰρ εἰς πᾶν τὸ μέγεθος, ἀλλ' εἰς τὸ μῆκος μόνον, τὸ δὲ ἄρρεν καὶ εἰς πλάτος καὶ εἰς βάθος· τότε γὰρ τετελείωται. ἔτι δὲ ὡς ἔχει τὸ θῆλυ πρὸς τὸ ἄρρεν, οὕτως αὐτοῦ τοῦ θήλεος ἡ παρθένος πρὸς τὴν γυναῖκα· ἡ μὲν γὰρ ἤδη γενναία, ἡ δὲ οὔ. εἰς τὴν τούτων οὖν μεταβάλλει· ἐπὶ μῆκος γὰρ ταύταις ἡ αὔξησις. διὸ καὶ Ὅμηρος εὖ τὸ "μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή," ὡς διὰ τὴν παρθενίαν, ὃ εἶχε, δυναμένης δοῦναι. οὔκουν εἰς τὸ ἄρρεν κατὰ τὸ μέγεθος μεταβάλλει. οὐ γὰρ εἰς τὸ τέλειον μεταβάλλει. οἱ δὲ εὐνοῦχοι εἰς μέγεθος τὸ μῆκος ἐπιδεδόασιν.

Διὰ τί οἱ εὐνοῦχοι ἢ ὅλως οὐκ ἴσχουσιν ἢ ἧττον ἰξίας; 37

1. μέλη C^a. ‖ 4. ἐκ — τρίχες om C^a. ‖ 5. alterum τὸ om C^a. ‖ 6. ἀσθένειαν C^a. ‖ 8. θήλεα καὶ ἄρσενα ὄντα X^a, θήλεος καὶ ἄρσενος ὄντος Y^a. ‖ 9. τούτων C^a, om X^a. ‖ 11. ἀσθενέστερον C^a. ‖ 24. ἐγείρεται X^a. ‖ 27. φαίνεσθαι X^a. ‖ ἡ ἀνάπαυσις — 29. χρόνον om C^a. ‖ 30. γεννήμασι $X^a Y^a$. ‖ 32. τὸ] τοῦτο X^a. ‖ 34. ἔχει ἄμφω X^a. ‖ 39. ἀνθρώποις οὐ γίνεται X^a.

3. τῶν] αὐτῶν τῶν X^a. ‖ ζῴων om C^a. ‖ 7. γίνεται C^a. ‖ 9. σαπρότης ὥσπερ πολιά $C^a X^a Y^a$. ‖ 10. οὖσαν om X^a. ‖ 12. τὸν om C^a. ‖ 13. οἷον — ἐπιδήλως om C^a. ‖ δὲ om X^a. ‖ 15. τούτοις] ὅσοις $X^a Y^a$, quorum X^a in margine ἴσως λείπει ταῦτα χαλεπά. ‖ 21. ὀξύτητα] ἀμορφίαν X^a. ‖ 25. ἐλάττω ἀνίσχυροί εἰσι. τὸ $X^a Y^a$. ‖ 34. εὖ τὸ] εὖτε X^a.

ἢ ὅτι μεταβάλλουσι τὴν φύσιν ἐν τῇ ἐκτμήσει εἰς τὰ ἄγονα; τοιαῦτα δὲ παῖς καὶ γυνή, ὧν οὐδέτερον ἴσχει ἰξίας, εἰ μή τι σπάνιον γυνή.

38 Διὰ τί μᾶλλον ἄνθρωπος πολλὰς φωνὰς ἀφίησι, τὰ δὲ ἄλλα μίαν, ἀδιάφορα ὄντα τῷ εἴδει; καὶ τοῦ ἀνθρώπου μία φωνή, ἀλλὰ διάλεκτοι πολλαί.

39 Διὰ τί δὲ αὐτὴ ἄλλη, τοῖς δὲ ἄλλοις οὔ; ἢ ὅτι οἱ μὲν ἄνθρωποι γράμματα πολλὰ φθέγγονται, τῶν δὲ ἄλλων τὰ μὲν οὐδέν, ἔνια δὲ δύο ἢ τρία τῶν ἀφώνων; ταῦτα δὲ ποιεῖ μετὰ τῶν φωνηέντων τὴν διάλεκτον. ἔστι δὲ ὁ λόγος οὐ τὸ τῇ φωνῇ σημαίνειν, ἀλλὰ τοῖς πάθεσιν αὐτῆς, καὶ μὴ ὅτι ἀλγεῖν χαίρει. τὰ δὲ γράμματα πάθη ἐστὶ τῆς φωνῆς. ὁμοίως δὲ οἵ τε παῖδες καὶ τὰ θηρία δηλοῦσιν· οὐ γάρ πω οὐδὲ τὰ παιδία φθέγγονται τὰ γράμματα.

40 Διὰ τί μόνον τῶν ζῴων ἄνθρωπος γίνεται ἰσχνόφωνον; πότερον ὅτι καὶ ἐνεόν, ἡ δὲ ἰσχνοφωνία ἐνεότης ἐστίν; ἀλλὰ δὴ καὶ οὐδ' ὅλως πεπλήρωται τοῦτο τὸ μόριον. ἢ ὅτι κοινωνεῖ μᾶλλον λόγου, τὰ δ' ἄλλα φωνῆς; ἔστι δὲ ἡ ἰσχνοφωνία οὐ κατὰ τὸ ὄνομα ἓν ἢ οὐ συνεχῶς διεξιέναι.

41 Διὰ τί ἄνθρωπος γίνεται ἐκ γενετῆς χωλὸς μάλιστα τῶν ἄλλων ζῴων; πότερον ὅτι ἰσχυρὰ τῶν ἄλλων ἐστὶ σκέλη τῶν ζῴων; ὀστώδη γὰρ καὶ νευρώδη καὶ τετράποδα καὶ ὄρνιθες ἔχουσιν, οἱ δὲ ἄνθρωποι σαρκώδη· διὰ τὴν ἁπαλότητα οὖν θᾶττον πηροῦνται ἐν τῇ κινήσει. ἢ διότι μόνον τῶν ζῴων πολλοὺς ἔχει χρόνους τῆς γενέσεως; καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα καὶ δεκάμηνα γίνεται. τοῖς δ' ἄλλοις εἷς χρόνος τῆς τελειώσεως γέγονεν οὐ διατρίψας· τοῖς δ' ἀνθρώποις πολὺς ὁ χρόνος γίνεται τῆς ἐν πλήθει διατριβῆς, ὥστε κινουμένων διὰ τὸ ἁπαλὰ εἶναι καὶ θραύεται τὰ ἀκρωτήρια ἐν τῷ πλείονι χρόνῳ πλείω.

42 Διὰ τί οἱ εὐνοῦχοι ἑλκώδεις τὰς κνήμας ἴσχουσι καὶ σαπράς; πότερον ὅτι καὶ αἱ γυναῖκες, οἱ δ' εὐνοῦχοι γυναικικοί; ἢ τοῦτο μὲν συμβέβηκεν, αἴτιον δὲ καὶ ταῖς γυναιξὶν ὅτι ἡ θερμότης κάτω ὁρμᾷ. δηλοῖ δὲ τὰ γυναικεῖα. διὸ οὔτε οἱ εὐνοῦχοι οὔτε γυναῖκες δασεῖς γίνονται, διὰ πολλὴν ὑγρότητα.

43 Διὰ τί τῶν ζῴων οὐθὲν λιθιᾷ ἀλλ' ἢ ἄνθρωπος; ἢ ὅτι τῶν μὲν ὑποζυγίων καὶ τῶν πολυωνύχων οἱ πόροι τῆς κύστεως εὐρεῖς εἰσίν; ὅσα δὲ μὴ τὸ πρῶτον, ὕστερον δὲ ζῳοτοκεῖ ἐν αὐτοῖς, οἷον ἔνιοι τῶν ἰχθύων, τούτων δὲ οὐδὲν κύστιν ἔχει, ἀλλ' εἰς τὴν κοιλίαν αὐτοῖς ἡ τοιαύτη συνθλίβεται ὑπόστασις, οἷον καὶ τοῖς ὄρνισιν, ὥστε ταχὺ καὶ διεξέρχεται κατὰ τὴν ἕδραν. ὁ δὲ ἄνθρωπος κύστιν τε ἔχει καὶ στενὸν τὸν καυλὸν ὡς κατὰ μέγεθος. διὰ μὲν οὖν τὸ ἔχειν τοῦτο τὸ μόριον συνθλίβεται τὸ γεῶδες εἰς τὴν κύστιν (διὸ καὶ χρώζονται αἱ ἀμίδες ὑπ' αὐτοῦ), διὰ δὲ τὴν θερμότητα τοῦ τόπου συμπέττεται καὶ παχύνεται μᾶλλον, ἐμμένει δὲ καὶ αὐξάνεται διὰ τὴν στενότητα τοῦ οὐρητῆρος· οὐ γὰρ δυνάμενα τὰ γεώδη ὑποστήματα ῥᾳδίως ὑπεξιέναι, πρὸς ἄλληλα ὑποστρεφόμενα λίθος γίνεται.

44 Διὰ τί οὐκ ἐρεύγεται τὰ ὑποζύγια, οὐδὲ οἱ βόες καὶ τὰ κερατοφόρα, οὐδὲ οἱ ὄρνιθες; ἢ διὰ ξηρότητα τῆς κοιλίας; ταχὺ γὰρ ἀναλίσκεται τὸ ὑγρὸν καὶ διηθεῖται· ἐμμένοντος δὲ καὶ πνευματουμένου γίνεται ὁ ἐρευγμός. τοῖς δὲ λοφούροις διὰ μῆκος τοῦ αὐχένος εἰς τὸ κάτω ὁρμᾷ τὸ πνεῦμα, διὸ καὶ ἀποψοφοῦσι μάλιστα. οἱ ὄρνιθες δὲ καὶ τὰ κερατοφόρα οὐ ποιεῖ οὐδέτερον. οὐδὲ ἐρεύγονται δὲ ὅσα μηρυκάζει, διὰ τὸ πολλὰς ἔχειν κοιλίας καὶ τὸν καλούμενον κεκρύφαλον· διὰ πολλῶν οὖν γίνεται καὶ ἄνω καὶ κάτω τῷ πνεύματι ἡ πορεία, καὶ φθάνει ἀναλισκόμενον τὸ ὑγρὸν πρὶν ἐκπνευματωθῆναι καὶ ποιῆσαι ἢ ἐρυγεῖν ἢ ψοφῆσαι.

45 Διὰ τί, ὅσα μὲν ἥμερα τῶν ζῴων ἐστί, πάντως καὶ ἄγρια, ὅσα δὲ ἄγρια, οὐ πάντως ἥμερα; καὶ γὰρ ἄνθρωποί που φαίνονται ἄγριοι ὄντες καὶ κύνες ἐν Ἰνδοῖς καὶ ἵπποι ἄλλοθι, ἀλλ' οὐ λέοντες ἥμεροι οὐδὲ παρδάλεις οὐδ' ἔχεις οὐδ' ἄλλα πολλά. ἢ ὅτι ῥᾷον τὸ φαῦλον καὶ γενέσθαι ἐξ ἀρχῆς καὶ μεταβαλεῖν εἰς αὐτό; ἡ γὰρ φύσις οὐχ ἡ πρώτη ἀλλ' ἡ ἐν τέλει ἐργώδης τυχεῖν εὐθύς. διὸ πάντα καὶ τὰ ἥμερα ἄγρια γίνονται τὸ πρῶτον μᾶλλον ἢ ἥμερα, οἷον παιδίον ἢ ἀνὴρ παμφάγον καὶ τῷ θυμῷ ζῶν· ἀλλ' ἀσθενέστερα. ὥσπερ οὖν καὶ ἐπὶ τῶν τῆς τέχνης ἔργων, οὕτως ἔχει καὶ ἐπὶ τῶν τῆς φύσεως ἔργων. καὶ γὰρ ἐπὶ τούτων πάντ' ἐστὶ φαύλως εἰργασμένα, καὶ πλείω τὰ φαῦλα, κλίνη καὶ ἱμάτιον καὶ ἄλλ' ὁτιοῦν. καὶ ὃ μέν ἐστι καλόν, λαβεῖν ἔστιν ἅπαν καὶ φαῦλον, ὃ δὲ φαῦλον, οὐ πᾶν καὶ καλόν, οἷον εἴ τις ἐπὶ τῶν ἀρχαίων γραφέων καὶ ἀνδριαντοποιῶν σκοπεῖ τὰ ἔργα· οὐ γὰρ ἦν πώποτε οὐδαμῇ γραφὴ σπουδαία οὐδὲ ἀνδριάς, φαῦλα δὲ ἦν. ὁμοίως δὲ καὶ ἡ φύσις φαῦλα μὲν πάντα

1. ἢ om C^a. ‖ 2. ἔχει C^a. ‖ 3. ἡ γυνή C^aX^a. ‖ 10. τῶν om C^a. ‖ 12. ἀλγεῖ ἢ χαίρει? ‖ δὲ om X^a. ‖ 15. τῶν ἄλλων ζώων X^a Y^a. ‖ 18. ἡ om X^a. ‖ 19. ἢ οὐ] ἢ οὐδὲ C^aY^a. ‖ 20. τί] τί ὁ C^a. ‖ 22. καὶ post γὰρ om C^a. ‖ καὶ οἱ ὄρνιθες C^aY^a. ‖ 28. ὁ om X^a. ‖ 29. τὰ] καὶ τὰ C^a. ‖ 30. πλέονι C^aY^a. ‖ 34. τὰ] καὶ τὰ X^a. ‖ 35. οὐδὲ — οὐδὲ codices. ‖ δασεῖς om C^aX^a. ‖ 38. πολυονύχων C^a.
7. διά τε X^a. ‖ 9. δυνάμεθα C^a. ‖ 11. γίνεται λίθος X^aY^a. ‖ 12. καὶ] οὐδὲ C^a. ‖ 17. καὶ ante ἀπ. om C^aY^a. ‖ 26. ἀλλαχόθι C^a, καὶ ἄλλοθι X^aY^a. ‖ 27. γίνεσθαι X^a. ‖ 32. τῆς τέχνης τῶν ἔργων X^a. ‖ 33. γὰρ om X^a. ‖ 37. ἔσκοπει Y^a.

ποιεῖ, καὶ πλείυς καὶ πλείω, σπουδαῖα δ' ἐλάττω, καὶ οὐ πάντα δύναται. τὸ δὲ ἥμερον βέλτιον, τὸ δὲ ἄγριον φαῦλον. φύσει δὲ οὐ τῇ ἐξ ἀρχῆς, ἀλλ' ἐφ' ἣν οἶμαι ῥᾷον, ποιεῖ σπυδαῖα καὶ ἥμερα. τὰ δὲ ἐναντία ἢ ὐδέποτε ἢ μόλις, καὶ ἔν τισι τόποις καὶ ἐν χρόνοις, ἢ ἀρτίυ, ἢ ποτὲ ἔν τινι κράσει τῦ ὅλυ, γίνονται ἥμερα τὰ ζῷα πάντα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν χυτῶν πάντων ἐςίν· ὅσα μὲν γὰρ ἥμερα, καὶ ἄγρια, ὐ πάντα δὲ δύναται ἡμερῦσθαι, ἀλλ' ὅμως εἰσὶν ἐν ἰδίᾳ χώρᾳ πρὸς πολλὰ ἰδίως ἐχύσῃ, ὥςε ἠμελημένα καὶ ἄγρια κρείττω καὶ ἡμερώτερα φύεσθαι τῶν ἐν ἄλλῃ γεωργυμένων.

46 Διὰ τί τοῖς μὲν ἀνθρώποις οἱ ὀμφαλοὶ μεγάλοι γίνονται, τοῖς δ' ἄλλοις ζῴοις οὐ φανεροί; ἢ διότι τοῖς μὲν διὰ τὸ πολὺν χρόνον εἴσω μένειν ἀφαυαίνονται καὶ εὐθὺ τείνονται, ὅλον δ' ἐπανοιδῦσι τὰ ἕλκη, διὸ ἔνιοι τῶν ὀμφαλῶν καὶ αἰσχίυς εἰσίν· ὁ δὲ ἄνθρωπος ἀτελὴς ἐξέρχεται, ὥςε ἔφυγροι καὶ ἄναιμοι οἱ ὀμφαλοὶ ἀκολυθοῦσιν. ὅτι δὲ τὰ μὲν τετελειωμένα τὰ δὲ ἀτελῆ ἐξέρχεται, σημεῖον ὅτι τὰ μὲν εὐθὺς δύναται ζῆν, τὰ δὲ παιδία ἐπιμελείας δεῖται.

47 Διὰ τί τὰ μὲν τῶν ζῴων ἅπαξ ὀχεύεται, τὰ δὲ πολλάκις, καὶ τὰ μὲν ὥρᾳ ἔτους, τὰ δ' ὅτε ἔτυχεν, ἄνθρωπος μὲν ἀεί, τὰ δὲ ἄγρια οὐ πολλάκις, καὶ ὗς μὲν ἄγριος ἅπαξ, ἥμερος δὲ πολλάκις; ἢ διὰ τὴν τροφὴν καὶ ἀλέαν καὶ πόνον; ἐν πλησμονῇ γὰρ Κύπρις. ἔπειτα τὰ αὐτὰ ἄλλοθι μὲν ἅπαξ τίκτει, ἄλλοθι δὲ πλεονάκις, οἷον τὰ πρόβατα ἐν Μαγνησίᾳ καὶ Λιβύῃ τίκτει δίς. τὸ δ' αἴτιον ἡ πολυχρονία τῦ τόκυ· ὐ γὰρ ἐπιθυμεῖ ὅταν πλησθῇ, ὥσπερ οὐδὲ τροφῆς τὰ πλήρη. τὰ δὲ κυοῦντα ἧττον ὀχείας ἐπιθυμεῖ διὰ τὸ μὴ γίνεσθαι τὴν κάθαρσιν.

48 Διὰ τί τῶν ἀνθρώπων οἱ ἀραιὺς ἔχοντες τὺς ὀδόντας βραχύβιοι ὡς ἐπὶ τὸ πολύ; ἢ ὅτι σημεῖον τοῦ τὸ ὀςοῦν πυκνὸν εἶναι; ὡς ὁ ἐγκέφαλος ἀσθενὴς ὐκ εὐπνοῶν, ὥστε ὑγρὸς ὢν τὴν φύσιν ταχὺ σήπεται. καὶ γὰρ τὰ ἄλλα μὴ κινύμενα καὶ ἀπατμίζοντα. διὸ καὶ ἄνθρωπος τὴν κεφαλὴν δασύτατον, καὶ τὸ ἄρρεν τῦ θήλεος μακροβιώτερον διὰ τὰς ῥαφάς. δεῖ δὲ ἰδεῖν καὶ ἐπὶ τῶν ἄλλων.

49 Διὰ τί δέ, ὅσοι τὴν διὰ τῆς χειρὸς τομὴν ἔχυσι δι' ὅλης, μακροβιώτεροι; ἢ διότι τὰ ἄναρθρα βραχυβιώτατα, ὡς τὰ ἔνυγρα; εἰ δὲ τὰ ἄναρθρα βραχύβια, δῆλον ὅτι τὰ ἠρθρωμένα τοὐναντίον. τοιαῦτα δὲ ὧν καὶ τὰ φύσει ἄναρθρα μάλιςα ἤρθρωται· τῆς δὲ χειρὸς τὸ εἴσω ἀναρθρότατον.

Διὰ τί τῶν ζῴων ἄνθρωπος ἢ μόνον ἢ μάλιςα διαςρέφεται; ἢ ὅτι ἢ μόνον ἢ μάλιςα ληπτὸν ἐν τῇ νηπιότητι γίνεται, ὅτε καὶ διαςρέφεσθαι συμβαίνει πᾶσιν. 50

Διὰ τί τῶν ζῴων ἄνθρωπος μάλιστα καπνίζεται; ἢ ὅτι μάλιςα δακρύει, ἡ δὲ κάπνισις μετὰ δακρύυ; 51

Διὰ τί ἵππος ἵππῳ χαίρει καὶ ἐπιθυμεῖ, ἄνθρωπος δὲ ἀνθρώπῳ, καὶ ὅλως δὲ τὰ συγγενῆ τοῖς συγγενέσι καὶ ὁμοίοις; ὐ γὰρ δὴ ὁμοίως ὅτι πᾶν ζῷον καλόν, ἡ δὲ ἐπιθυμία τοῦ καλοῦ. ἔδει οὖν τὸ καλὸν ἥδιον εἶναι. νῦν δὲ μᾶλλον οὐ πᾶν κάλλος ἡδύ, τὸ καλὸν καὶ τὸ ἡδύ. ἀλλὰ πᾶσιν ἡ ἡδονὴ ἢ τὸ καλὸν ἡδύ, οἷον φαγεῖν ἢ πιεῖν ἐςὶν ἥδιον ἑτέρῳ καὶ ἀφροδισιάσαι ἄλλῳ. διότι μὲν ὖν ἥδιςον τῷ συγγενεῖ μιγνύμενον μάλιςα καὶ ἥδιςα ἀφροδισιάζει, ἄλλο πρόβλημα· ὅτι δὲ καὶ κάλλιςον, ὐκέτι ἀληθές. ἀλλὰ ἡμεῖς τὸ εἰς τὴν συνυσίαν ἡδύ, ὅτι ὁ μὲν καλόν, ὅτι ἐπιθυμοῦντες χαίρομεν ὁρῶντες. καίτοι καὶ ἐπὶ τῶν ἄλλων ἐπιθυμιῶν ἔχει ὁμοίως· διψῶντες γὰρ ἥδιον ὁρῶσι τὸ πόμα. τὸ μὲν οὖν πρὸς χρείαν τινὰ καλόν, οὗ καὶ μάλιςα ἐπιθυμοῦμεν, τοῦτο δοκεῖ ἥδιςον εἶναι, τὸ δὲ καθ' αὐτὸ ὐκέτι ὕτως. σημεῖον δὲ τύτυ· δοκῦσι γὰρ ἡμῖν καὶ ἄνδρες καλοὶ εἶναι, πρὸς τὴν συνυσίαν βλέψασιν. ἆρ' ὖν ὕτως ὥςε καὶ ἡσθῆναι ὁρῶσι μᾶλλον τῶν εἰς συνυσίαν; ὐδέν γε κωλύει, εἰ μὴ ἐπιθυμῦντες τύχοιμεν. ὕτω δὲ πόμα κάλλιον· εἰ γὰρ διψῶντες τύχοιμεν, ἥδιον ὀψόμεθα. 52

Διὰ τί ποτε τῦ μὲν ἀνθρώπυ τὰ ἔμπροσθεν δασύτερα τῶν ὄπισθέν ἐστι, τῶν δὲ τετραπόδων τὰ ὄπισθεν; ἢ ὅτι πάντα τὰ δίποδα τὰ ἔμπροσθεν ἔχει δασύτερα; εἰ γὰρ ὄρνιθες τὸν αὐτὸν τρόπον τοῖς ἀνθρώποις ἔχουσιν. ἢ τὰ ἀσθενέςερα μᾶλλον ἀεὶ σκεπάζειν ἡ φύσις εἴωθεν, ἀσθενὲς δὲ ἕκαςόν ἐςί τινα τρόπον. τῶν δὲ τετραπόδων ἁπάντων τὰ ὄπισθεν ἀσθενέςερά ἐςι τῶν ἔμπροσθεν διὰ τὸν τόπον· ὑπὸ γὰρ τῶν ψυχῶν καὶ καυμάτων μᾶλλον δυνατά ἐςι πάσχειν· τῶν δὲ ἀνθρώπων τὰ ἔμπροσθεν ἀσθενέςερά ἐςι καὶ τὸ αὐτὸ πέπονθεν. 53

7. γὰρ om C^a. ‖ 9. ἔχυσαι X^aY^a. ‖ 14. ἐμμένειν N^aY^a. ‖ ἀφαναίνονται καὶ C^a, ἀφαναί καὶ N^a, ἀναφαίνονται καὶ X^a. ‖ 15. ὅλου Y^a. ‖ ἐπανοδῦσι C^a. ‖ 18. τετελωμένα X^a. ‖ 24. τὰ om C^aY^a. ‖ 28. δοκοῦντα X^a. ‖ 31. τὸ] τοῦτο C^a. ‖ 32. πυκνὸν om C^a. ‖ 34. ἀποτμίζοντα C^a. ‖ 36. ςροφάς pr X^a, τροφάς C^aY^a. ‖ 37. τῆς et δι' om C^a.

1. ἔνυδρα X^a. ‖ ἢ X^a. ‖ 2. ὧν] ὄντα C^a. ‖ 3. ἀναρθρότερον X^a. ‖ 9. κάπνησις C^a. ‖ 11. τὰ συγγενῆ post ὁμοίοις X^a. ‖ 12. πᾶν K^aO^as: ceteri σύ. ‖ 13. ἴδιον X^a. ‖ 14. οὐ πᾶν K^aO^as: ceteri λύπαις. ‖ καλὸς Y^a, καλὸν K^aQ^a. ‖ τὸ τὸ κ. Y^a. ‖ 15. πᾶσιν QY^a: ceteri πᾶσα. ‖ 19. καλόν om C^a. ‖ 25. βλέψωσιν C^a. ‖ 29. ἔμπροσθε Y^a.

See the same question p. 892. a. 23

54 Διὰ τί ἄνθρωπος τῶν ζώων μάλιστα πτάρνυται; ἢ ὅτι καὶ κορυζᾷ μάλιστα; τούτου δ' αἴτιόν ἐστιν ὅτι τοῦ θερμοῦ ὄντος περὶ τὴν καρδίαν καὶ πεφυκότος ἄνω φέρεσθαι τοῖς μὲν ἄλλοις ζώοις ἡ κατὰ φύσιν αὐτοῦ φορά ἐστιν ἐπὶ τοὺς ὤμους, ἐντεῦθεν δὲ ἐξ ἀνακλάσεως σχιζόμενον τὸ μὲν ἐπὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν φέρεται αὐτοῦ, τὸ δὲ εἰς τὴν ῥάχιν καὶ τὴν ὀσφύν, διὰ τὸ ἐπὶ τῆς αὐτῆς εὐθείας εἶναι ταῦτα πάντα καὶ παρὰ τὴν βάσιν. φερόμενον δὲ ὁμοίως τὸ σῶμα καὶ τὰ ὑγρὰ μερίζει εἰς αὐτὰ ὁμαλῶς· ἕπεται γὰρ τὰ ὑγρὰ τῷ θερμῷ. διὸ οὐδὲ πάνυ κορυζᾷ τὰ τετράποδα ζῷα, οὐδὲ πτάρνυται· ὁ γὰρ πταρμὸς ἢ πνεύματος ἀθρόου φορά ἐστιν, ὑγρῶν ἐξατμιζόντων τι μᾶλλον τοῦ σώματος, ἢ ὑγρῶν ἀπέπτων. διὸ πρὸ τῶν κατάρρων γίνεται, ἃ οὐ συμβαίνει τοῖς ἄλλοις ζώοις, διὰ τὸ τὴν τοῦ θερμοῦ φορὰν ὁμαλίζειν ἐν αὐτῷ εἰς τὸ πρόσθεν καὶ ὄπισθεν. τοῦ δὲ ἀνθρώπου πρὸς ὀρθῇ πεφυκότος τῇ βάσει, καθάπερ τὰ φυτά, συμβαίνει τοῦ θερμοῦ φορὰν ἐπὶ τὴν κεφαλὴν γίνεσθαι πλείστην καὶ σφοδροτάτην. φερόμενόν τε ἐνταῦθα ἀραιοῖ καὶ θερμαίνει τοὺς περὶ αὐτὴν πόρους. ὄντες δὲ τοιοῦτοι δεκτικοὶ γίνονται τῶν ὑγρῶν μᾶλλον ἢ οἱ κάτω τῆς καρδίας πόροι. ὅταν οὖν συμβῇ ἐξυγρανθῆναι μᾶλλον τοῦ δέοντος καὶ καταψυγῆναι, ἔξωθεν συμβαίνει τὸ θερμόν, τροφήν τε ἔχον καὶ συστελλόμενον ἐντός, αὔξεσθαι, αὐξανόμενον δὲ φέρεσθαι ἐπὶ τὴν κεφαλὴν καὶ τοὺς ἐν αὐτῇ πόρους· εἰς οὓς ἀκολουθοῦντα τὰ ὑγρά, ὄντα λεπτὰ καὶ ἄπεπτα, πληροῖ αὐτοὺς καὶ τοὺς κατάρρους ποιεῖ, καὶ πταρμοὺς ὁμοίως. ἐν γὰρ ταῖς ἀρχαῖς τῶν κατάρρων τὸ θερμὸν προαναφερόμενον τοῦ ὑγροῦ, καὶ πνευματοῦν τοὺς πόρους, τῇ τ' ἐκβολῇ τοῦ πνεύματος τοὺς πταρμοὺς ποιεῖ καὶ τῇ πρὸ τῶν ὑγρῶν ἀναγωγῇ, ἅ ἐστι λεπτὰ καὶ δριμέα. διὸ καὶ συμβαίνει μετὰ τῶν τῆς κορύζης πταρμῶν ὑδατώδη ἀπομύττεσθαι. πάντων δὲ τούτων ὁρμησάντων τὰ συνεχῆ καὶ πάθος ἔχοντα ὑγρὰ ἐφίσταται αὐτοῖς, καὶ ἐμφράττει τοὺς περὶ τὴν κεφαλὴν καὶ τὴν ῥῖνα πόρους· ὀγκηρότερα γὰρ γινόμενα καὶ διατείνοντα ποιεῖ τοὺς περὶ τὴν κεφαλὴν πόρους. σημεῖον δὲ τὸ μήτ' ἐκτὸς ἢ δι' αὐτῶν πνεῦμα ἀφεῖσθαι. διὸ οὔτε πτάρνυνται οὔτε ὀσφραίνονται οἱ κορυζῶντες. οἱ δὲ ἄνευ κορύζης γινόμενοι διὰ μὲν τὰς αὐτὰς αἰτίας γίνονται, μικρὰς δε καὶ ἐλαφρὰς ἀρχὰς λαβόντες. ὥστε συναχθέντα τὰ ὑγρὰ τῷ θερμῷ, ἐκπνευματούμενα ὑπ' αὐτοῦ δι' ὀλιγότητα, εἰσπίπτει κατὰ τὰς ῥῖνας. ποιεῖ δὲ τὸν ψόφον τοῦ πνεύματος οὐχ ἧττον ἡ βία τῆς φορᾶς ἢ τὸ πλῆθος αὐτοῦ. ἐνεχθέντος γὰρ τοῦ θερμοῦ πρὸς ὀρθὴν πρὸς τὸν ἐγκέφαλον καὶ προσπεσόντος αὐτῷ, ἀνακλᾶται ἐπὶ τὰς ῥῖνας διὰ τὸ τοὺς ταύτῃ πόρους ἐκτὸς ἀπὸ τοῦ ἐγκεφάλου διατείνειν. παρὰ φύσιν οὖν τῆς ἐκτὸς κλάσεως φορᾶς γινομένης ἐπὶ τὰς ῥῖνας τῷ πνεύματι, σφοδρὰν συμβαίνει γίνεσθαι· διὸ ποιεῖ τοὺς ψόφους. τῶν δὲ ἄλλων ζώων συμβαίνει μάλιστα κορυζᾶν τοὺς ὄρνιθας διὰ τὸ μάλιστα ὁμοιόσχημον εἶναι ἀνθρώπῳ· ἧττον δὲ ἢ ἄνθρωπος πάσχει αὐτό, ὅτι τὰ πολλὰ κάτω ἔχει τὴν κεφαλὴν διὰ τὸ τὴν νομὴν ἀπὸ τῆς γῆς εἶναι.

Διὰ τί τὰ θαλάττια ζῷα τῶν ἐν τῇ γῇ μείζω καὶ 55
εὐτραφέστερά ἐστιν; ἢ ὅτι ὁ ἥλιος καταδαπανῶν τὰ περιέχοντα τὴν γῆν ἀφαιρεῖται τὴν τροφήν; διὸ καὶ τὰ κατακεκλειμένα εὐτραφέστερά ἐστιν. πάντων οὖν τούτων ἀπήλλακται τὰ θαλάττια ζῷα.

Διὰ τί ποτε τὰ μὲν ἄλλα ζῷα πλεονάκις τὴν ξηρὰν 56
τροφὴν ἢ τὴν ὑγρὰν προσάγεται, ὁ δὲ ἄνθρωπος τὴν ὑγρὰν ἢ τὴν ξηράν; ἢ ὅτι φύσει ὁ ἄνθρωπος θερμότατον; πλείστης οὖν καταψύξεως δεῖται.

Διὰ τί οἱ εὐνοῦχοι οὐ γίνονται φαλακροί; ἢ ὅτι πολὺν 57
ἔχουσι τὸν ἐγκέφαλον; τοῦτο δὲ συμβέβηκεν αὐτοῖς διὰ τὸ μὴ συγγίνεσθαι ταῖς γυναιξίν· ἡ γὰρ γονή ἐστιν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα διὰ τῆς ῥάχεως. διὰ τοῦτο δὲ οὐ δοκοῦσι καὶ οἱ βόες οἱ ἐκτομίαι μεγάλα τὰ κέρατα ἴσχειν, ὅταν ἐκτμηθῶσιν. δοκεῖ δὲ ἡ αὐτὴ αἰτία εἶναι καὶ ὅτι αἱ γυναῖκες καὶ οἱ παῖδες οὐκ εἰσὶ φαλακροί.

Διὰ τί τὰ μὲν εὐθὺς δύνανται δι' αὐτῶν τρέφεσθαι 58
μετὰ τὴν γένεσιν, τὰ δὲ οὔ; ἢ ὅσα ὀλιγοχρονιώτερα τῶν μνήμης δεκτικῶν; διὸ ἅπαντα καὶ τελευτᾷ θᾶττον.

Διὰ τί ποτε ὁ μὲν ἄνθρωπος πλείω τὴν ὑποχώρησιν 59
ποιεῖται τὴν ὑγρὰν τῆς ξηρᾶς, οἱ δὲ ἵπποι καὶ οἱ ὄνοι τὴν ξηράν; ἢ διότι ταῦτα μὲν τὰ ζῷα πλείονι τροφῇ χρῆται τῇ ξηρᾷ, ὁ δὲ ἄνθρωπος ὑγρᾷ μᾶλλον ἢ τῇ ξηρᾷ; πᾶσα δὲ περίττωσις ἀπὸ τῆς τροφῆς ἐστί, καὶ ἀπὸ τῆς πλείονος πλείω. τὰ μὲν οὖν τῇ ὑγρᾷ μᾶλλον, τὰ δὲ τῇ ξηρᾷ πλείονι τροφῇ χρῆται· διότι τὰ μὲν τῶν ζώων ἐστὶ φύσει

1. ὁ ἄνθρωπος C^a. ‖ τῶν ἄλλων ζώων C^a. ‖ μᾶλλον X^a, μάλιστα ante τῶν C^a. ‖ 6. τὴν κεφαλὴν καὶ τὸν τράχηλον αὐτοῦ φέρεται C^a. ‖ 8. πάντα ταῦτα X^aY^a. ‖ 14. οὐ om X^a. ‖ τὸ om C^a. ‖ 16. τε Y^a. ‖ ὀρθὴν C^a. ‖ 21. ἐξυγρασθῆναι Y^a. ‖ 22. καταψυχθῆναι C^a. ‖ 34. καὶ τὴν — 35. κεφαλὴν om C^a. ‖ 35. πόρους X^a.

3. τὸν om C^a. ‖ 6. τοὺς om C^aY^a. ‖ 15 et 17. εἰσιν C^a. ‖ 15. ἥλιος καὶ τὰ δαπανῶντα π. Y^a. ‖ 16. κατακεκλιμένα C^aY^a, κατακλεισμένα X^a. ‖ 21. διότι C^a. ‖ 26. δὲ om C^aX^a. ‖ 27. τὰ om C^a. ‖ ἔχειν C^aX^a. ‖ 30. δυνῶνται C^a. ‖ 34. τῆς ξηρᾶς τὴν ὑγρὰν X^a. ‖ 35 et 39. πλείονι τῇ τροφῇ X^a. ‖ 35. χρῆται om $C^aX^aY^a$.

ξηρά, τὰ δὲ ὑγρά. τὰ μὲν ὖν τῇ φύσει ξηρὰ τῆς ὑγρᾶς μᾶλλον ἐπιθυμεῖ (ταύτης γὰρ ἐνδεέςερά εἰσι), τὰ δὲ τῇ φύσει ὑγρὰ τῆς ξηρᾶς· ταύτης γὰρ ἐνδεέςερα καθέςηκεν.

60 Διὰ τί ὄρνιθες καὶ ἄνθρωποι καὶ τῶν ζῴων τὰ ἀνδρεῖα σκληρότερα; ἢ ὅτι ὁ θυμὸς μετὰ θερμότητος; ὁ γὰρ φόβος κατάψυξις. ὅσων οὖν τὸ αἷμα ἔνθερμόν ἐςι, καὶ ἀνδρεῖα καὶ θυμοειδῆ· τὸ δὲ αἷμα τροφή. ὅσα δὲ θερμῷ ἄρδεται τῶν φυομένων, σκληρότερα πάντα.

61 Διὰ τί τέρατα τίκτουσι μάλιστα τὰ τετράποδα τὰ μὴ μεγάλα, ἄνθρωπος δὲ καὶ τὰ μεγάλα ἧττον, οἷον ἵπποι καὶ ὄνοι; ἢ ὅτι πολύγονα ταῦτα, οἷον κύνες καὶ ὕες καὶ αἶγες καὶ πρόβατα, πολὺ μᾶλλον τῶν μεγάλων, ἐκείνων δὲ τὰ μὲν ὅλως μονοτόκα, τὰ δὲ ὡς ἐπὶ τὸ πολύ. τὰ δὲ τέρατα γίνεται ἐπαλλαττόντων τῶν σπερμάτων ἀλλήλοις καὶ συγχεομένων ἐν τῇ ἐξόδῳ τῆς γονῆς ἢ ἐν τῇ μίξει τῇ ἐν τῇ ὑστέρᾳ τῆς θηλείας. διὸ καὶ ὄρνιθες αὐτὰ ποιοῦσιν· τὰ γὰρ ᾠὰ δίδυμα τίκτυσι, τὰ δὲ τέρατα ἐκ τῶν διδύμων γίνεται, ὧν ἡ λέκιθος τῷ ὑμένι ὐ διαιρεῖται.

62 Διὰ τί ἡ κεφαλὴ δασεῖα τῶν ἀνθρώπων μᾶλλον τῦ ἄλλυ σώματος καὶ οὐ κατὰ λόγον, τοῖς δὲ ἄλλοις ζῴοις τὐναντίον; ἢ ὅτι καὶ τῶν ἄλλων τὰ μὲν εἰς ὀδόντας ἐκδίδωσι καθ' ὑπερβολὴν τῆς τροφῆς, τὰ δὲ εἰς κέρατα, τὰ δὲ εἰς τρίχας; ὅσα μὲν εἰς κέρατα, ἧττον τὴν κεφαλὴν ἔχει δασεῖαν· ἐκεῖ γὰρ ἀνήλωται· ὅσα δὲ εἰς ὀδόντας, μᾶλλον μὲν τῶν κερατοφόρων (ἔχει γὰρ λοφιάν), ἧττον δὲ τῶν τοιούτων, οἷον ὀρνέων. ἔχουσι γὰρ ταῦτα καὶ τὴν τῶν ἀνθρώπων· ὃ ἐκείνοις πολλαχῇ διὰ πλῆθος, τοῦτο εἰς κεφαλὴν ἐκδίδωσιν· ὐδὲ γὰρ ὐδὲν ἔχει, οὐδὲ πολὺ οὕτως ὥςε πανταχῇ.

63 Διὰ τί ἄνθρωπος μόνος τῶν ζῴων πολιὰς ἔχει; ἢ ὅτι τὰ μὲν πλεῖςα τῶν ζῴων ῥυάδα τὴν τρίχα ἀνὰ πᾶν ἔτος ἔχει, οἷον ἵππος, βοῦς, ἔνια δὲ ῥυάδα μὲν οὐκ ἔχει, βραχύβια δέ εἰσι, καθάπερ πρόβατον καὶ ἄλλα· οὗ ἡ θρὶξ ὥσπερ οὐ γηράσκυσα οὐδὲ πολιῦται. ὁ δὲ ἄνθρωπος οὔτε ῥυάδα ἔχει τὴν τρίχα, μακρόβιόν τέ ἐςιν, ὥςε ὑπὸ τῦ χρόνυ πολιῦται.

64 Διὰ τί, ὅσοις τὰ ἀπὸ τῦ ὀμφαλοῦ κάτω μείζονα ἢ τὰ πρὸς τὰ στήθη, βραχύβιοι καὶ ἀσθενεῖς; ἢ ὅτι ἡ κοιλία ψυχρὰ διὰ μικρότητα, ὥςε ὐ πεπτικὴ ἀλλὰ περιττωματική; οἱ δὲ τοιῦτοι νοσακεροί.

Διὰ τί τὰ μὲν γίνεται τῶν ζῴων ὐ μόνον ἐξ ἀλλή- 65
λων ἀλλὰ καὶ αὐτόματα, τὰ δ' ἐξ ἀλλήλων μόνον, οἷον ἄνθρωπος καὶ ἵππος; ἢ κἂν εἰ καὶ μὴ δι' ἑτέρας αἰτίας, ἀλλ' ὅτι τοῖς μὲν ὀλίγος ὁ χρόνος τῆς γενέσεως, ὥστε ἡ γεννητικὴ ὥρα ὑπερτείνει καὶ ἐνδέχεται γενέσθαι ἐν τῇ μεταβολῇ τῶν ὡρῶν, τῶν δὲ πολὺ ἡ γένεσις ὑπερτείνει. ἐνιαύσιοι γὰρ ἢ δεκάμηνοί εἰσιν· ὥςε ἀνάγκη γίνεσθαι ἢ ἐξ ἀλλήλων γίνεσθαι.

Διὰ τί τῶν Αἰθιόπων οἱ μὲν ὀδόντες λευκοί, καὶ λευ- 66
κότεροι ἢ τῶν ἄλλων, οἱ δὲ ὄνυχες ὐκέτι; ἢ οἱ μὲν ὄνυχες, ὅτι καὶ τὸ δέρμα μέλαν, καὶ μελάντερον ἢ τῶν ἄλλων, οἱ δὲ ὄνυχες ἐκ τῦ δέρματος φύονται. οἱ δὲ ὀδόντες λευκοὶ διὰ τί; ἢ ὅτι ἐξ ὧν τὸ ὑγρὸν ἐξάγει ὁ ἥλιος ἀπὸ τῦ ἐπιβάπτειν, λευκαίνεται, οἷον καὶ τὸν κηρόν; τὸ μὲν τὸ δέρμα ἐπιβάπτει, τὺς δὲ ὀδόντας ὐκ ἐπιβάπτει, ἀλλὰ τὸ ὑγρὸν διὰ τὴν ἀλέαν ἐξατμίζεται ἐξ αὐτῶν.

Διὰ τί τὰ μὲν ἀφαιρυμένης τῆς κεφαλῆς ἀποθνή- 67
σκει εὐθὺς ἢ ταχύ, τὰ δὲ ὔ; ἢ ὅσα ἄναιμα καὶ ὀλιγότροφα, τοῦτο πάσχει; οὔτε τροφῆς γὰρ δεῖται ταχύ, ἔτι ἐγχεῖται αὐτῶν τὸ θερμὸν ἐν τῷ ὑγρῷ, ὧν ἄνευ ὐχ οἷόν τε ζῆν τοῖς ἐναίμοις. τύτοις δὲ οἷόν τέ ἐςιν· ἄπνευςὶ ζῆν γὰρ δύνανται πολὺ μᾶλλον. ἡ δὲ αἰτία ἐν ἑτέροις εἴρηται.

ΙΑ. ΟΣΑ ΠΕΡΙ ΦΩΝΗΣ.

Διὰ τί τῶν αἰσθήσεων ἐκ γενετῆς μάλιςα τὴν ἀκοὴν πηρῦνται; ἢ ὅτι ἀπὸ τῆς αὐτῆς ἀρχῆς εἶναι δόξειεν ἂν ἥ τε ἀκοὴ καὶ ἡ φωνή; ῥᾷςα δὲ δοκεῖ διαφθείρεσθαι ἡ διάλεκτος ὖσα εἶδος φωνῆς, καὶ χαλεπώτατα ἐπιτελεῖσθαι. σημεῖον δὲ ὅτι μετὰ τὸ γενέσθαι πολὺν χρόνον ἐνεοί ἐσμεν· τὸ μὲν γὰρ πρῶτον ὅλως ὐδὲ λαλῦμεν ὐδέν, εἶτα ὀψέ ποτε ψελλίζομεν. διά τε τὸ τὴν διάλεκτον εὔφθαρτον εἶναι, τὴν αὐτὴν δὲ ἀρχὴν ἀμφοτέρων εἶναι καὶ τῆς διαλέκτυ (φωνὴ γάρ τις καὶ τῆς ἀκοῆς ὥσπερ καὶ εἰ συμβεβηκότος), ῥᾷςα τῶν αἰσθήσεων φθείρεται, καὶ ὐ καθ' αὐτήν, ἡ ἀκοή. τεκμήριον δὲ ἔςι καὶ ἐκ τῶν ἄλλων ζῴων λαβεῖν, ὅτι παν-

2. γὰρ] δὲ C^a. ‖ τῇ om C^aY^a. ‖ 5. ὅτι om C^a. ‖ 6. ὅσω C^a. ‖ 14. γίνονται X^aY^a. ‖ ἐπ' ἐλαττόνων σπ. C^a. ‖ 16. τῇ ante ὑςέρᾳ om C^aY^a. ‖ ὑςέρᾳ om $C^aX^aY^a$. ‖ 17. δίδυμα om $C^aX^aY^a$. ‖ 18. λέκυθος C^aX^a. ‖ 19. ὐ om C^a. ‖ 25. ἐκεῖθεν C^a. ‖ 28. τούτῳ Y^a. ‖ 29. οὐδὲ — οὐδὲ] malim ὔτε — ὔτε. ‖ 36. codices ὐδὲ. ‖ 36. φυάδα C^aY^a. ‖ 37. παλαιῦται C^aY^a.

3. νοσάκαιροι C^aY^a, νοσεροί X^a. ‖ 6. καὶ post εἰ om C^a. ‖ 7. ὀλίγοις $C^aX^aY^a$. ‖ 9. μερῶν C^a. ‖ πολλὴ C^a. ‖ 13. ἢ εἰ τῇ X^a. ‖ 16. ὧν] ὧν μὲν C^a. ‖ ὁ ἥλιος τὸ ὑγρὸν ἐξάγει X^a. ‖ ἐπιβλάπτειν C^a. ‖ 33. εἶτα — 34. ψελλίζομεν post ἐσμεν X^a. ‖ 35. αὐτὴν om X^ar, αὐτὴν — εἶναι om C^a. ‖ 37. καὶ om C^a. ‖ 38. ὅτι — 899a 2. ζῴων om C^a.

τελῶς εὔφθαρτός ἐςιν ἡ ἀρχὴ τῆς διαλέκτου· λαλεῖ γὰρ οὐθὲν τῶν ἄλλων ζῴων πλὴν ἀνθρώπου, καὶ ὗτοι δὲ ὀψέ ποτε, καθάπερ εἴρηται.

2 Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; ἢ διὰ τὸ ἐγγὺς τῦ εἶναι ἐνεὺς εἶναι; οἱ δὲ ἐνεοὶ λαλοῦσι διὰ τῶν ῥινῶν· ταύτῃ γὰρ αὐτῶν ἐκπίπτει τὸ πνεῦμα διὰ τὸ τῷ ςόματι μεμυκέναι. μεμύκασι δέ, ὅτι ὐθὲν εἰς φωνὴν χρῶνται τῇ γλώττῃ.

3 Διὰ τί μεγαλόφωνοι πάντες εἰσὶν οἱ θερμοὶ τὴν φύσιν; ἢ ὅτι ἀνάγκη καὶ ἀέρα πολὺν καὶ ψυχρὸν ἐν τύτοις εἶναι; ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν πρὸς ἑαυτὸ καὶ ἀέρα, καὶ πλείω τὸ πλεῖον. ἡ δὲ μεγάλη φωνὴ γίνεται ἐν τῷ πολὺν ἀέρα κινεῖν, καὶ ὀξεῖα ἐν τῷ ταχέως· βαρεῖα δὲ ἡ ἐν τῷ βραδέως.

4 Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; ἢ διὰ τὸ βιαιότερον πνεῖν τοὺς κωφούς; ἐγγὺς γὰρ τοῦ ἐνεοὶ εἶναι εἰσίν. διίςαται ὖν τῶν μυκτήρων ὁ πόρος ὑπὸ τῦ πνεύματος· οἱ τοιῦτοι δὲ διὰ ῥινῶν φθέγγονται.

5 Διὰ τί εὐηκοώτερα τὰ τῆς νυκτός; ἢ ὅτι μᾶλλον ἠρεμία διὰ τὴν τῦ θερμοτάτυ ἀπυσίαν; διὸ καὶ ὡς ἐπὶ τὸ πολὺ ἀταρακτότερα. ὁ γὰρ ἥλιος ὁ κινῶν.

6 Διὰ τί πόρρωθεν αἱ φωναὶ ὀξύτεραι δοκοῦσιν εἶναι; οἱ γοῦν μιμύμενοι τὺς σφόδρα πόρρω ὄντας καὶ βοῶντας ὀξὺ φθέγγονται καὶ ὅμοιον τοῖς ἀπηχῦσιν, καὶ τῆς ἠχῦς ὀξύτερος φαίνεται ὁ ψόφος. ἔστι δὲ πόρρω· ἀνακλᾶται γάρ. οὖν ἐπεὶ ὀξὺ μὲν ἐν ψόφῳ τὸ ταχύ, βαρὺ δὲ τὸ βραδύ, ἔδει βαρυτέρας πόρρωθεν φαίνεσθαι τὰς φωνάς. τὰ γὰρ αὖ φερόμενα πάντα βραδύτερον φέρεται ὅσῳ ἂν ἀπέχῃ τῆς ἀρχῆς πλεῖον, καὶ τέλος πίπτει. πότερ' ὖν ὅτι οἱ μιμύμενοι ἀμενηνῇ τῇ φωνῇ μιμῦνται, καὶ λεπτὴν τὴν πόρρωθεν φωνήν; λεπτὴ δὲ βαρεῖα ὐκ ἔςιν, ὐδὲ μικρὸν καὶ ἀμενηνὸν φθέγγεσθαι βαρὺ ἀλλ' ὀξὺ ἀνάγκη. ἢ οὐ μόνον οἱ μιμύμενοι διὰ τῦτο μιμῦνται, ἀλλὰ καὶ οἱ ψόφοι αὐτοὶ ὀξύτεροι γίνονται; αἴτιον δὲ ὅτι ὁ ἀὴρ ὁ φερόμενος ποιεῖ τὸν ψόφον· καὶ ὥσπερ τὸ πρῶτον ψοφεῖ τὸ κινῆσαν τὸν ἀέρα, οὕτω δεῖ πάλιν ποιῆσαι τὸν ἀέρα ἀεὶ ἄλλον κινοῦντα εἶναι, τὸ δὲ κινύμενον. διὸ ὁ ψόφος συνεχής, ὅτι ἀεὶ ἐκδέχεται κινῦντα κινῶν, ἕως ἂν ἀπομαρανθῇ, ὃ ἐπὶ τῶν σωμάτων ἐςὶ τὸ πεσεῖν, ὅταν μηκέτι δύνηται ὠθεῖν ὁ ἀὴρ ἔνθα μὲν τὸ βέλος ἔνθα δὲ τὸν ἀέρα. ἡ μὲν γὰρ φωνὴ γίνεται ἡ συνεχὴς ἀέρος ὠθυμένυ ὑπ' ἀέρος, τὸ δὲ βέλος φέρεται σώματος ὑπ' ἀέρος κινυμένυ. ἐνταῦθα μὲν ὖν ἀεὶ τὸ αὐτὸ φέρεται σῶμα, ἕως ἂν καταπέσῃ, ἐκεῖ δὲ ἀεὶ ἕτερος ἀήρ. καὶ πρῶτον ἐλάττω θᾶττον μὲν κινεῖται, ἐπ' ὀλίγον δέ. διὸ πόρρω ὀξύτεραι καὶ λεπτότεραι αἱ φωναί. τὸ γὰρ θᾶττον ὀξύ, ὥσπερ καὶ διηπόρηται. ὥσπερ ἡ αὐτὴ αἰτία δι' ἣν καὶ οἱ μὲν παῖδες καὶ οἱ κάμνοντες ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες καὶ οἱ ὑγιαίνοντες βαρύ. τὸ δὲ τοῖς ἐγγὺς μὴ ἐπίδηλον εἶναι τὴν φωνὴν ἢ βαρυτέραν ἢ ὀξυτέραν γινομένην, καὶ ὅλως μὴ ὁμοίως ἔχειν τοῖς ῥιπτομένοις βάρεσιν, αἴτιον ὅτι τὸ μὲν ῥιφθὲν ἓν φέρεται ἀεὶ τὸ αὐτό, ὁ δὲ ψόφος ἀήρ ἐςιν ὠθύμενος ὑπὸ ἀέρος. διὸ καὶ τὸ μὲν εἰς ἓν πίπτει, ἡ δὲ φωνὴ πανταχῇ, ὥσπερ ἂν εἰ τὸ ῥιφθὲν ἅμα φερόμενον ἀπείρως θρυφθείη, καὶ ἔτι εἰς τὔπισθεν.

Διὰ τί αἱ νεηλιφεῖς οἰκίαι μᾶλλον ἠχοῦσιν; ἢ ὅτι 7
μᾶλλον ἀνάκλασις γίνεται διὰ τὴν λειότητα; λειότεραι δὲ διὰ τὸ ἀρραγὲς καὶ τὸ συνεχές. δεῖ δὲ μὴ παντελῶς ὑγρὰν ἀλλ' ἤδη ξηρὰν λαμβάνειν· ἀπὸ πηλοῦ γὰρ ὐκ ἔςιν ἀνάκλασις. διὰ ταῦτα γὰρ καὶ τὰ κονιάματα μᾶλλον ἠχεῖ. συμβάλλεται δὲ ἴσως καὶ ἡ ἀκινησία τῦ ἀέρος· ἀθρόος γὰρ ἰὼν μᾶλλον ἀποπλήττεται τὸν προσπίπτοντα.

Διὰ τί, ἐάν τις πίθον καὶ κεράμια κενὰ κατορύξῃ καὶ 8
πωμάσῃ, μᾶλλον ἠχεῖ τὰ οἰκήματα, καὶ ἐὰν φρέαρ ἢ λάκκος ᾖ ἐν τῇ οἰκίᾳ; ἢ ὅτι ἐπεὶ ἀνάκλασις ἡ ἠχώ, δεῖ περιειλημμένον ἀθρόον εἶναι τὸν ἀέρα, καὶ ἔχειν πρὸς ὃ ἀνακλασθήσεται, προσπῖπτον πυκνὸν καὶ λεῖον; ὕτω γὰρ μάλιστα ἦχος γίνεται. τὸ μὲν ὖν φρέαρ καὶ ὁ λάκκος ἔχει τὴν ςενότητα καὶ τὴν ἄθροισιν, οἱ δὲ πίθοι καὶ τὰ κεράμια καὶ τὴν πυκνότητα τῶν περιεχόντων, ὥςε ἐξ ἀμφοτέρων τὸ συμβαῖνον. καὶ γὰρ τὰ κοῖλα μᾶλλον ἠχεῖ· διὰ τῦτο καὶ ὁ χαλκὸς μάλιςα τῶν ἄλλων. ὅτι δὲ κατορωρυγμένα, ὐθὲν ἄτοπον· ἡ γὰρ φωνὴ φέρεται κάτω οὐχ ἧττον. ὅλως δὲ πανταχῇ δοκεῖ καὶ κύκλῳ φέρεσθαι.

Διὰ τί δὲ μᾶλλον, ἐὰν κατορύξῃ τις, ἠχεῖ, ἢ ἐὰν μή; 9

5. καλοῦσι X^a. ‖ 6. ἐμπίπτει C^a. ‖ 9. πάντες εἰσὶν om Y^a. ‖ φύσιν ὄντες ἢ Y^a. ‖ 10. καὶ ante ψ. om Y^a. ‖ ἐν τύτοις ante ἀέρα Y^a. ‖ 11. τὸ πν. τὸ θ.] θερμὸν καὶ πνεῦμα $C^aX^aY^a$. ‖ πρὸς — ἀέρα om Y^a. ‖ αὐτὸ X^a, ἑαυτῷ C^a. ‖ 12. πλείω τὸ πλεῖον] ποιεῖ πλείω Y^a. ‖ 13. καὶ ὀξεῖα] ὀξεῖα δὲ Y^a. ‖ ἡ om Y^a. ‖ 14. βραδέως v: ceteri βαρέως. ‖ 17. τῦ om r. ‖ 21. ἀταραχώτερα v. ‖ 26. βραχὺ δὲ τὸ βαρύ C^aX^aYr. ‖ 27. βραδυτέρας codices ‖ 28. φαίνεται C^a. ‖ 31. μικρὸν] λεπτὸν C^a. ‖ 34. ὁ post ἀὴρ om X^a. ‖ 35. ψοφοῖ X^a, ψοφῇ C^a. ‖ 36. δὴ C^a. ‖ 37. τὸν C^ar.

1. κινῶντι $C^aX^aY^a$. ‖ 7. μὲν om C^a. ‖ ὀλίγον] ἐλάττω X^a. ‖ 8. τὸ] τοῖς X^ar. ‖ 9. ὥςε? ‖ 13. ῥιπτυμένοις C^aY^a. ‖ 14 et 16. ῥιφὲν C^a. ‖ 14. ἓν] αἴτιον X^a. an forte ἔν τι ὄν? ‖ 16. πανταχῦ X^a. ‖ 20. τὸ post καὶ om r. ‖ 22. γὰρ] δὲ Y^a et rc X^a. ‖ 23. ἀθρόον X^a. ‖ 27. ἢ om $C^aX^aY^a$. ‖ 30. ὁ om C^a. ‖ 35. δὲ] δὲ καὶ C^a.

ἢ ὅτι περιϛεγόμενα μᾶλλον εἰς αὐτὰ δέχεται καὶ κατέχει τὸν ἀέρα; συμβαίνει δὲ καὶ τὴν πληγὴν σφοδροτέραν γίνεσθαι.

10 Διὰ τί τὸ ὕδωρ τὸ ψυχρὸν ἐκ τȣ͂ αὐτȣ͂ ἀγγείȣ ἐκχεόμενον ὀξύτερον ποιεῖ τὸν ψόφον; ἢ ὅτι θάττων ἡ φορά; βαρύτερον γάρ. ἡ δὲ θάττων ὀξύτερον ποιεῖ τὸν ψόφον. τὸ δὲ θερμὸν καὶ τῇ μανότητι καὶ τῇ ἀναφορᾷ κουφίζει. παρόμοιον δὲ ὅτι καὶ αἱ δᾷδες καιόμεναι ἀσθενεϛέραν τὴν πληγὴν ποιȣ͂σιν.

11 Διὰ τί τοῖς ἠγρυπνηκόσιν ἡ φωνὴ τραχυτέρα; ἢ διότι ὑγρότερον τὸ σῶμα διὰ τὴν ἀπεψίαν, καὶ οὐχ ἥκιϛα περὶ τὸν ἄνω τόπον, διὸ καὶ βάρος ἐν τῇ κεφαλῇ· ὑγρότητός τε περὶ τὸν βρόγχον οὔσης ἀνάγκη καὶ τραχυτέραν εἶναι τὴν φωνήν. ἡ μὲν γὰρ τραχύτης διὰ τὴν ἀνωμαλίαν, ἡ δὲ βαρύτης διὰ τὴν ἔμφραξιν· βαρυτέρα γὰρ ἡ φορά.

12 Διὰ τί μετὰ τὰ σιτία τάχιϛα ἀπορρήγνυται ἡ φωνή; ἢ ὅτι κοπτόμενος μὲν ὁ τόπος ἐκθερμαίνεται, θερμαινόμενος δὲ ἕλκει τὴν ὑγρότητα; πλείων δὲ αὕτη καὶ ἑτοιμοτέρα διὰ τὴν προσφοράν.

13 Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; ἢ ὅτι οἱ μὲν ὀλίγον κινȣ͂σι πνεῦμα δι' ἀσθένειαν, οἱ δὲ σφοδρῶς, ὃ ποιεῖ ταχὺ φέρεσθαι τὸ πνεῦμα; τὸ δὲ ταχὺ ὀξύ· καὶ γὰρ ἀπὸ συντόνȣ τοῦ σώματος ῥιπτȣ́μενον ταχὺ φέρεται. ὁ δὲ γελῶν τȣ̓ναντίον διαλελυμένως· οἱ δὲ ἀσθενεῖς ὀξύ· ὀλίγον γὰρ ἀέρα κινȣ͂σιν· οἱ δὲ ἐπιπολῆς. ἔτι οἱ μὲν γελῶντες θερμὸν τὸ πνεῦμα ἀφιᾶσιν, οἱ δὲ κλαίοντες, ὥσπερ καὶ ἡ λύπη κατάψυξίς ἐϛι τȣ͂ τόπȣ τȣ͂ περὶ τὰ ϛήθη, καὶ τὸ πνεῦμα ψυχρότερον ἀφιᾶσιν. τὸ μὲν ȣ͂ν θερμὸν πολὺν ἀέρα κινεῖ, ὥϛε βραδέως φέρεσθαι, τὸ δὲ ψυχρὸν ὀλίγον. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν αὐλῶν· οἱ γὰρ θερμοὶ τῷ πνεύματι αὐλȣ͂ντες πολὺ βαρύτερον αὐλȣ͂σιν.

14 Διὰ τί οἱ παῖδες καὶ τὰ ἄλλα τῶν ζῴων τὰ νέα ὀξύτερον φθέγγονται τῶν τελείων, καὶ ταῦτα τῆς ὀξύτητος σφοδρότητος ȣ̓́σης; ἢ ἡ φωνή ἐϛιν ἀέρος κίνησις, καὶ ἡ θάττων ὀξυτέρα; ῥᾷον δὲ καὶ θᾶττον ὁ ὀλίγος τοῦ πολλοῦ κινεῖται ἀήρ. κινεῖται δὲ ἢ συγκρινόμενος ἢ διακρινόμενος ὑπὸ θερμοῦ. ἐπεὶ δὲ ἡ μὲν εἰσπνοή ἐϛι ψυχρȣ͂ εἰσαγωγή, συγκρίνοιτ' ἂν ἐν αὐτῇ ὁ ἐν ἡμῖν ἀήρ· ἡ δὲ ἐκπνοή, θερμοῦ κινήσαντος ἀέρα, γίνοιτ' ἂν ἡ φωνή· ἐκπνέοντες γάρ, οὐκ εἰσπνέοντες φωνȣ͂μεν. ἐπεὶ δὲ τὰ νέα θερμότερά ἐϛι τῶν πρεσβυτέρων καὶ τȣ̀ς ἐν αὐτοῖς πόρȣς ϛενωτέρȣς ἔχει, ἐλάττω ἂν ἀέρα ἔχοι ἐν ἑαυτοῖς. ὄντος δὲ τȣ͂ τε κινȣμένȣ ἐλάττονος καὶ τȣ͂ κινȣ͂ντος θερμȣ͂ πλείονος ἐν αὐτοῖς, θᾶττον ἂν δι' ἄμφω ἡ κίνησις γένοιτο τοῦ ἀέρος· ἡ δὲ θάττων ὀξυφωνοτέρα ἂν εἴη διὰ τὰ προειρημένα.

Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες 15 βαρύ; ἢ ὅτι οἱ μὲν κλαίοντες συντείνοντες καὶ συνάγοντες τὸ στόμα φωνοῦσιν; τῇ τε δὴ συντονίᾳ κινεῖται ταχὺ ὁ ἐν αὐτοῖς ἀήρ, καὶ τῷ διὰ ϛενȣ͂ τȣ͂ ϛόματος φέρεσθαι θᾶττον φέρεται· δι' ἄμφω ȣ͂ν ὀξεῖα γίνεται ἡ φωνή. οἱ δὲ γελῶντες ἀνέντες τὸν τόνον γελῶσι καὶ κεχηνότες. ἐκπέμποντες ȣ͂ν διὰ τȣ͂τ' εὐρέως καὶ βραδέως τὸν ἀέρα εἰκότως βαρυφωνοῦσιν.

Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες, γυναῖκες, καὶ οἱ ἤδη 16 γέροντες καὶ οἱ εὐνȣ͂χοι, ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες βαρύ; ἢ καθάπερ ἡ γραμμὴ καὶ τὰ ἄλλα λεπτὰ ἓν διάστημα ἔχει, τὰ δὲ παχέα πλείω, οὕτω καὶ ἡ λεπτὴ φωνὴ ἓν ἂν ἔχοι διάϛημα. ῥᾷον δὲ καὶ ποιῆσαι καὶ κινῆσαι ἐϛὶν ἓν ἢ πλείω. ἐχόντων ȣ͂ν τῶν προειρημένων πνεῦμα ἀσθενές, καὶ αὐτῷ ἀέρα ὀλίγον. ἐλάχιϛος δέ ἐϛιν ὁ ἓν διάϛημα ἔχων, ὃς ἔϛαι λεπτὸς διὰ τὰ προειρημένα. καὶ ἡ ἀπ' αὐτȣ͂ φωνὴ γινομένη τοιαύτη· ἡ δὲ λεπτὴ φωνὴ ὀξεῖά ἐϛιν. οἱ μὲν ȣ͂ν ἄγονοι διὰ ταῦτα ὀξύφωνοί εἰσιν· οἱ δὲ ἄνδρες ἰσχύοντες τῷ πνεύματι πολὺν ἀέρα κινȣ͂σι, πολὺς δὲ ὢν βραδέως ἂν κινοῖτο καὶ βαρεῖαν φωνὴν ποιεῖ. ἐποίει γὰρ ἥ τε λεπτὴ καὶ ἡ ταχεῖα κίνησις ὀξεῖαν φωνήν, ὧν ȣ̓δέτερον ἐπὶ τȣ͂ ἀνδρὸς συμβαίνει γίνεσθαι.

Διὰ τί αἱ φωναὶ βαρύτεραι ἡμῖν εἰσὶ τοῦ χειμῶνος; 17 ἢ ὅτι παχύτερος ὁ ἀήρ ἐϛι τότε, καὶ ὁ ἐν ἡμῖν καὶ ὁ ἐκτός; παχυτέρȣ δὲ ὄντος βραδυτέρα ἡ κίνησις γίνεται, ὥϛε ἡ φωνὴ βαρυτέρα. ἔτι ὑπνωτικώτεροί ἐσμεν τȣ͂ χειμῶνος ἢ τȣ͂ θέρους, καὶ καθεύδομεν πλείω χρόνον· ἐκ δὲ τῶν ὕπνων βαρύτεροί ἐσμεν. ἐν ᾧ ȣ͂ν πλείονα χρόνον καθεύδομεν ἢ ἐγρηγόραμεν (οὗτος δέ ἐϛιν ὁ χειμών), ἐν τȣ́τῳ ἂν εἴημεν βαρυφωνότεροι ἢ ἐν ᾧ τȣ̓ναντίον. τȣ͂ γὰρ μεταξὺ τῆς ἐγέρσεως ὄντος ὀλίγου χρόνȣ, ἡ ἐν τῷ ὕπνῳ ἕξις γενομένη διαμένει πρὸς τὴν καθύπνωσιν.

Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τοῖς ψυ- 18

5. θᾶττον $C^a X^a Y^a$. ‖ 6. θᾶττον $C^a X^a$. ‖ δὲ om X^a. ‖ 15. φωνή v. ‖ 23. πνεύματος $X^a r$. ‖ 26. τὸ om X^a. ‖ 31. βραδύτερον codices. ‖ 33. σφοδροτάτης X^a. ‖ 37. δὴ $C^a X^a Y^a$.

3. ἔχοιεν $C^a X^a$. ‖ αὐτοῖς X^a. ‖ 4. πλέονος Y^a. ‖ 5. θᾶττον X^a. ‖ 10. τὸ $C^a X^a$. ‖ σώματος $X^a r$. ‖ 11. φαίνεται C^a. ‖ 13. εὐρέος $C^a Y^a$. ‖ βραδίος C^a. ‖ 17. ἢ] καὶ C^a. ‖ καθάπου $K^a O^a$. ‖ 18. οὕτω] ὥϛε $C^a K^a O^a X^a Y^a uw$. ‖ 21. αὐτὸ O^a. ‖ ἐλάχιϛον $Q X^a Y^a r$. ‖ 23. ȣ͂ν om x. ‖ 24. εἰσιν om C^a. ‖ 31. βαρυτέρα codices. ‖ 37. γινομένη Y^a.

χεσι βαρύτερον φθέγγονται; ἢ διὰ τὴν ἔμφραξιν τȣ̃ φάρυγγος τὴν γινομένην ὑπὸ τȣ̃ φλέγματος; ἐπικατασπᾷ γὰρ ῥευμάτιον εἰς αὐτόν· καὶ τοῖς μὲν ὁ ἔμετος ἢ ὁ πότος, τοῖς δὲ ἡ ὥρα καὶ τὸ συμπλήρωμα στενώτερον ποιεῖ τὸν φάρυγγα, ὥςε βραδυτέρα γίνεται ἡ φορὰ τοῦ πνεύματος. ἡ δὲ βραδεῖα φορὰ βαρεῖαν ποιεῖ τὴν φωνήν.

19 Διὰ τί ἐγγύθεν μὲν ἡ βαρυτέρα μᾶλλον ἐξακούεται, πόρρωθεν δὲ ἧττον; ἢ διότι ἡ βαρυτέρα φωνὴ πλείω μὲν ἀέρα κινεῖ, ȣ̓κ εἰς μῆκος δέ; πόρρωθεν μὲν ȣ̓̃ν ἧττον ἀκούομεν, διότι ἐπ' ἔλαττον κινεῖται, ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων ἡμῖν ἀὴρ πρὸς τὸ αἰσθητήριον προσπίπτει. ἡ δὲ ὀξεῖα πόρρω ἀκούεται, ὅτι λεπτοτέρα ἐστί, τὸ δὲ λεπτὸν τὴν εἰς μῆκος αὔξησιν ἔχει. λέγοι δ' ἄν τις ὅτι καὶ θάττων ἐςὶν ἡ ποιȣ̃σα αὐτὴν κίνησις. εἴη δ' ἂν τȣ̃το, εἰ πυκνὸν μὲν ςενὸν δ' εἴη τὸ κινȣ̃ν πνεῦμα τὸν ἀέρα. ὅ τε γὰρ ὀλίγος εὐκινητότερός ἐςιν ἀήρ (κινεῖται γὰρ ὀλίγος ὑπὸ τȣ̃ ςενȣ̃), καὶ τὸ πυκνὸν πλείους πληγὰς ποιεῖ, αἳ τὸν ψόφον ποιȣ̃σιν. ἰδεῖν δ' ἔστι τοῦτο ἐπὶ τῶν ὀργάνων· αἱ γὰρ λεπτότεραι χορδαὶ ὀξύτεραί εἰσι, τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων αὐταῖς.

20 Διὰ τί ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακροτέραν ἀφεςηκόσι, τȣ̃ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι; τὸ δὲ μακροτέρω φερόμενον βραδύτερον κινεῖται. ἢ ὅτι ἡ ὀξύτης τῆς φωνῆς ȣ̓ μόνον ἐςὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ λεπτότατον ψόφον γίνεσθαι· τοῖς δὲ μακροτέραν ἀφεστηκόσιν ἀεὶ λεπτοτέρα ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τȣ̃ ἀέρος τȣ̃ κινȣμένȣ. μαραίνεται γὰρ ἡ κίνησις, μαραινόμενος δὲ ὁ ἀριθμὸς μὲν εἰς τὸ ἓν τελευτᾷ, σῶμα δὲ εἰς διάστημα ἕν, ὅ ἐστιν ἐν σώματι λεπτότης. ὁμοίως δὲ [καὶ] ἐν φωνῇ.

21 Διὰ τί καὶ οἱ γεγυμνασμένοι καὶ οἱ ἀσθενεῖς ὀξὺ φθέγγονται; ἢ ὅτι οἱ μὲν ἀσθενεῖς ὀλίγον ἀέρα κινȣ̃σιν, ὁ δὲ ὀλίγος τȣ̃ πλείονος θᾶττον φέρεται· οἱ δὲ γεγυμνασμένοι ἰσχυρῶς κινȣ̃σι τὸν ἀέρα, ὁ δὲ ἰσχυρῶς κινȣ́μενος ἀὴρ θᾶττον φέρεται. τὸ δὲ ταχὺ ἐν φορᾷ ἐν φωνῇ ὀξύ ἐςιν.

22 Διὰ τί τοῖς μετὰ τὰ σιτία κεκραγόσιν ἡ φωνὴ διαφθείρεται; καὶ πάντας ἂν ἴδοιμεν τȣ̀ς φωνασκȣ̃ντας, οἷον ὑποκριτὰς καὶ χορευτὰς καὶ τȣ̀ς ἄλλȣς τȣ̀ς τοιȣ́τȣς, ἕωθέν τε καὶ νήςεις ὄντας τὰς μελέτας ποιȣμένȣς. ἢ τὸ διαφθείρεσθαι τὴν φωνὴν ȣ̓θὲν ἕτερόν ἐςιν ἢ τὸν τόπον διαφθείρεσθαι καθ' ὃν τὸ πνεῦμα διεξέρχεται; διὸ καὶ οἱ βραγχιῶντες διαφθείρονται τὰς φωνάς, οὐ τῷ τὸ πνεῦμα γίνεσθαι χεῖρον, ὃ ποιεῖ τὴν φωνήν, ἀλλὰ τῷ τετραχύνθαι τὴν ἀρτηρίαν. ὑπὸ δὲ τῆς θερμασίας τῆς σφοδρᾶς μάλιςα τραχύνεσθαι πέφυκεν ὁ τόπος ȣ̓̃τος. διὸ καὶ ȣ̓θ' οἱ πυρέττοντες ȣ̓́τε οἱ σφόδρα πεπυρεχότες εὐθὺς μετὰ τὴν ἄνεσιν τȣ̃ πυρετȣ̃ ᾄδειν δύνανται· τετράχυνται γὰρ ὁ φάρυγξ αὐτοῖς διὰ τὴν θερμασίαν. ἀπὸ δὲ τῶν σιτίων εἰκὸς εἶναι τὸ πνεῦμα καὶ πολὺ καὶ θερμόν· τὸ δὲ τοιȣ̃τον εὔλογόν ἐςι διεξιὸν ἑλκȣ̃ν τε καὶ τραχύνειν τὴν ἀρτηρίαν· τȣ́τȣ δὲ συμβαίνοντος εἰκότως ἡ φωνὴ διαφθείρεται.

Διὰ τί, εἴπερ ἡ φωνή ἐςιν ἀήρ τις ἐσχηματισμένος καὶ φερόμενος, διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δὲ ἠχώ, ἣ γίνεται πληγέντος τȣ̃ τοιȣ́τȣ πρός τι ςερεόν, ȣ̓ διαλύεται αὕτη, ἀλλὰ σαφῶς ἀκȣ́ομεν αὐτῆς; ἢ ὅτι ἀνάκλασίς ἐςιν, ἀλλ' ȣ̓ κατάκλασις; ȣ̔́τω δὲ τό θ' ὅλον διαμένει, καὶ δύο μέρη ὁμοιοσχήμονα ἐξ αὐτοῦ γίνεται· πρὸς ὁμοίαν γὰρ γωνίαν ἐστὶν ἡ ἀνάκλασις. διὸ καὶ ὁμοία γίνεται ἡ τῆς ἠχȣ̃ς φωνὴ τῇ ἐξ ἀρχῆς. 23

Διὰ τί τῶν μὲν ἄλλων ζῴων τὰ νέα καὶ νήπια ὀξύτερον φθέγγονται τῶν τελείων, οἱ δὲ μόσχοι βαρύτερον τῶν τελείων βοῶν; ἢ ὅτι ἐν ἑκάςῳ γένει τὸ νήπιον ὅμοιόν ἐςι τῷ ἐν αὐτῷ θήλει; τῶν βοῶν δὲ αἱ θήλειαι βαρύτερον φθέγγονται τῶν ἀρρένων, οἱ δὲ μόσχοι ταύταις ὁμοιότεροί εἰσιν ἢ τοῖς ἄρρεσιν· τὰ δὲ ἄλλα τȣ̓ναντίον. 24

Διὰ τί, ὅταν ἀχυρωθῶσιν αἱ ὀρχῆςραι, ἧττον οἱ χοροὶ γεγώνασιν; ἢ διὰ τὴν τραχύτητα προσπίπτȣσα ἡ φωνὴ οὐ πρὸς λεῖον τὸ ἔδαφος ἧττον γίνεται μία, ὥστ' ἐλάττων; οὐ γὰρ συνεχής. ὥσπερ καὶ τὸ φῶς ἐπὶ τῶν λείων μᾶλλον [φαίνει] διὰ τὸ μὴ διαλαμβάνεσθαι τοῖς ἐμποδίζουσιν. 25

3. καὶ om $C^a X^a Y^a$. ‖ 6. φορὰ καὶ βαρεῖαν $X^a Y^a$, φορὰ καὶ βραδεῖαν r. ‖ τὴν om $X^a Y^a$. ‖ 7. μὲν om C^a. ‖ 12. πόρρωθεν X^a. ‖ λευκὸν C^a. ‖ τὴν om C^a. ‖ 13. θᾶττον $C^a X^a Y^a$. ‖ 14. εἰ] εἰς C^a. ‖ 20. τί] τί ποτε Y^a. ‖ μακρότερον $C^a Y^a$, μακροτέρω ἂν X^a. ‖ 22. μακρότερον $C^a Y^a y$. ‖ φερόμενον om y. ‖ βραχύτερον $X^a Y^a$. ‖ ὅτι ἡ om y. ‖ 23. τῆς φωνῆς et ἐςὶν om y. ‖ 24. λεπτότατον] ἐλάττω τὸν y. ‖ μακρότερον $C^a y$, μακροτέρω X^a. ‖ 25. λεπτοτέρα] ἐλάττων y. ‖ 26. μαραίνεται — 29. φωνῇ om y. ‖ 27. εἰς τὸ ἓν μὲν $C^a X^a$.

1. πάντες $X^a Y^a$, πάντ' v. ‖ φωνȣ̃ντας C^a. ‖ 3. τὰς δὲ μελέτας C^a. ‖ 6. τὸ om v. ‖ 9. ȣ̔̃τος ὁ τόπος C^a. ‖ 10. ȣ̓δὲ codices. ‖ 17. ἣ] ἡ X^a. ‖ δὲ et 18. ἡ om $C^a X^a Y^a y$. ‖ 18. οὐ] ἡ C^a, καὶ y. ‖ 19. ἀκούομεν — 23. ἀρχῆς] ἀκούεται; ἢ διότι ἀνάκλασις, οὐ κατάκλασίς ἐστιν. τοῦτο δὲ ὅλον ἀφ' ὅλου εἰς τὸ πάθος ἀφομοιοῦται· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται καὶ τοῦ ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου y. ‖ 31. γεγόνασιν $C^a X^a Y^a$. ‖ 32. τὸ δὲ ἔδαφος — μιᾷ $C^a X^a Y^a$. ‖ ὡς $C^a Y^a$. ‖ ἐλάττω X^a. ‖ 34. μᾶλλον διὰ τὸ λαμβάνεσθαι $C^a X^a Y^a$.

26 Διὰ τί ποτε ὁ αὐλός, ὅταν εἰς τὸν [illegible], ψοφεῖ; ἢ ὅτι ὁ αὐλὸς ὑγρὸν ἔχει οὐ πολύ, ὃ ὑπὸ τοῦ θερμοῦ ἐκπνευματούμενον καὶ βίᾳ ἐκπῖπτον σχίζει τὸν αὐλόν; τὸ δὲ σχιζόμενον ἅπαν ψοφεῖ.

27 Διὰ τί ποτε τῶν παίδων ἔνια, πρὶν ἢ ἔχειν τὴν ἡλικίαν ἐν ᾗ σαφηνίζειν ὥρα αὐτοῖς, φθεγξάμενα καὶ σαφῶς εἰπόντα πάλιν ὁμοίως διάγουσιν, ἕως ἂν ἔλθῃ ὁ εἰωθὼς χρόνος; ἃ δὴ πολλοὶ τέρατα νομίζουσιν εἶναι. ἤδη δ' ἔνια λέγεται καὶ εὐθὺς γενόμενα φθέγξασθαι. ἢ ὅτι ὡς μὲν ἐπὶ πολὺ τὰ πλείω τε τῶν γινομένων γίνεται κατὰ φύσιν, διὸ ὀλίγοις τοῦτο συμβαίνει, καὶ φύσει ἅμα κατάλληλα τελειοῦται· διὸ καὶ ἀκούει τε ἅμα καὶ φωνεῖ καὶ ξυνίησι κατὰ τὴν ἀκοὴν καὶ λέγει καὶ σαφηνίζει. οὐ μὴν ἀλλὰ πολλάκις οὐκ ἀπαντίζει τὰ αὐτά, ἀλλὰ τὰ μὲν ξυνίησι πρότερον ἢ τοῦτο τὸ μέσον ἀπολύηται ᾧ διαλέγεται, τοῖς δὲ τοὐναντίον. ταῦτα μὲν οὖν οὐκ ἂν διαλεχθείη συνετῶς (ἃ γὰρ ἂν ἀκούσωσι, διαλέγονται)· ἀλλ' ὅταν ἔχῃ καιροὺς ἀμφοῖν, ἀποδιδόασι τὸ κατὰ φύσιν. ὅτῳ δὲ ἔμπροσθεν ἡ κατὰ τὴν ἀκοὴν αἴσθησις διακεκόσμηται ἐν τῇ ψυχῇ, ᾧ πρώτῳ ποιεῖ τὴν φωνὴν καὶ ποιεῖ λέγειν, τούτοις οὔπω γίνεται ἤδη ξυνιεῖσι πολλὰ καὶ δύναμίς τις τοῦ μεσοῦ καὶ ἀπόλυσις, μάλιστα μὲν μετὰ ὕπνον ποσά (τούτου δ' αἴτιον ὅτι ὁ ὕπνος καὶ τὰ σώματα νωθρότερα ποιεῖ καὶ τὰ μέσα ἀναπαύοντας), εἰ δὲ μή, καὶ ἄλλην μεταβολὴν λαβόντα τοιαύτην. πολλὰ δὲ ἔχομεν τοιαῦτα ποιεῖν, ἃ μακροῦ δεῖται καιροῦ· κἄπειτα οὐκέτι ὁμοίως ἔχει, ὅταν οὕτω τύχῃ τὸ μέσον ἔχον καὶ ἀπολυθέν· ὅταν ἐπιπολῆς ᾖ ἐν τῇ αἰσθήσει ὧν ἐκινήθη διάνοια, κατὰ τὴν ἀκοὴν τοῦτο ἐπανῆλθε καὶ ἐφθέγξατο. πολλάκις δὲ καὶ μέλη καὶ ῥήματα ἐπέρχεται οὐκ ἐκ προαιρέσεως ἡμῖν· ἀλλ' ἐὰν τὸ πρῶτον προελόμενοι εἴπωμεν, ὕστερον ἄνευ προαιρέσεως λέγομεν ἢ ᾄδομεν, καὶ οὐ δύναται ἐκ τοῦ στόματος ἐξελθεῖν. οὕτω καὶ τοῖς παιδίοις, ὅταν συμβῇ τοῦτο λεπτόν, εἶτα πάλιν κατασχῇ εἰς τὴν φύσιν ἐκεῖνο τὸ μέριον, ἕως ἂν ἡ ὥρα ἔλθῃ, ἴσχεται αὐτὸ καὶ ἀποκλείεται.

28 Διὰ τί ἔνια ψοφεῖ καὶ κτυπεῖται ἐξαίφνης, οἷον τὰ κιβώτια, οὐδενὸς αἰσθητοῦ κτύποντος; καίτοι κρεῖττον γέγονε τὸ κτύπον τοῦ κτυπουμένου. ὁ δὲ αὐτὸς λόγος καὶ φθορᾶς καὶ γήρως· ὑπὸ ἀναισθήτου γὰρ φθείρεται τὰ λεγόμενα ὑπὸ τοῦ χρόνου πάντα. ἢ ἔοικεν οὕτω τοῖς σταλαγμοῖς καὶ τοῖς ὑπὸ τῶν ἐκφυομένων αἰρομένοις λίθοις; οὐ γὰρ τὸ τελευταῖον αἴρει ἢ ποιεῖ, ἀλλὰ τὸ συνεχές. ἐπὶ δὲ τούτου συνέβη ἀναισθήτου ὄντος αἰσθητὸν γίνεσθαι τὸν κτύπον. οὕτω δὲ καὶ τὸ περιεχόμενον αἰσθητοῖς χρόνοις κινεῖται καὶ διαφθείρεται εἰς ἀναίσθητα, τῷ δὲ παντὶ καὶ συνεχεῖ ἐκίνησε καὶ διέφθειρεν. συνεχὲς δέ ἐστιν οὐκ ἐν τῷ νῦν, ἀλλ' ἐν τῷ ὡρισμένῳ χρόνῳ ὑπὸ τοῦ νῦν.

Διὰ τί οἱ χασμώμενοι ἧττον ἀκούουσιν; ἢ ὅτι τοῦ 29
ἐξιόντος πνεύματος ἐν τῇ χάσμῃ πολὺ καὶ εἰς τὰ ὦτα χωρεῖ ἔσωθεν, ὥστε καὶ τῇ αἰσθήσει ἐπίδηλον εἶναι τὴν κίνησιν ἣν ποιεῖ περὶ τὴν ἀκοήν, μάλιστα δ' ἐκ τῶν ὕπνων; ὁ δὲ ψόφος ἀὴρ ἢ πάθος ἀέρος ἐστίν. ἀντιπνέοντος οὖν τοῦ ἔσωθεν εἰσέρχεται ὁ ἔξωθεν ψόφος, καὶ ὑπὸ τῆς κινήσεως καὶ τοῦ ἔξωθεν ψόφου ἐκκρούεται ἡ κίνησις.

Διὰ τί ἰσχνόφωνοι παῖδες ὄντες μᾶλλον ἢ ἄνδρες; 30
ἢ ὥσπερ καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν οὐκ ἔστιν κρατοῦσι παῖδες ὄντες, καὶ ὅσοι ἐλάττους οὐ δύνανται βαδίζειν, ὁμοίως καὶ τῆς γλώττης οἱ νεώτεροι οὐ δύνανται; ἐὰν δὲ παντάπασι μικροὶ ὦσιν, οὐδὲ φθέγγεσθαι δύνανται ἀλλ' ἢ ὥσπερ τὰ θηρία, διὰ τὸ μὴ κρατεῖν. εἴη δ' ἂν οὐ μόνον ἐπὶ τοῦ ἰσχνοφώνου, ἀλλὰ καὶ τραυλοὶ καὶ ψελλοί. ἡ μὲν γὰρ τραυλότης τῷ γράμματός τινος μὴ κρατεῖν, καὶ τοῦτο οὐ τὸ τυχόν, ἡ δὲ ψελλότης τῷ ἐξαιρεῖν τι, ἢ γράμμα ἢ συλλαβήν, ἡ δὲ ἰσχνοφωνία ἀπὸ τοῦ μὴ δύνασθαι ταχὺ συνάψαι τὴν ἑτέραν συλλαβὴν πρὸς τὴν ἑτέραν. ἅπαντα δὲ δι' ἀδυναμίαν· τῇ γὰρ διανοίᾳ οὐχ ὑπηρετεῖ ἡ γλῶττα. ταὐτὸ δὲ τοῦτο καὶ οἱ μεθύοντες πάσχουσι καὶ οἱ πρεσβῦται· ἧττον δὲ πάντα συμβαίνει.

Διὰ τί ἡ φωνὴ τρέμει καὶ τῶν ἀγωνιώντων καὶ τῶν δεδιότων; ἢ ὅτι σείεται ἡ καρδία τοῦ θερμοῦ ἐξιόντος; ἀμφοτεράκις δὲ πάσχουσι τοῦτο· καὶ γὰρ τοῖς ἀγωνιῶσι συμβαίνει καὶ τοῖς φοβουμένοις. σειομένης δὲ οὐ γίνεται μία ἡ πληγὴ ἀλλὰ πλείους, ὥσπερ ἡ τῶν παρανενευρισμένων χορδῶν.

Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστε ὀλίγον ἀέρα κινοῦσιν; ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ·

1. ὁ om X^a. | 2. ὁ om C^a. | 3. ἐμπῖπτον C^a. | δὲ om X^a. | 6. ἐν om X^a. | φθεγγόμενα X^a. | 9. φθέγγεσθαι C^a. | 10. γινομένων codices. | 16. ἂν om C^aY^a. | 23. πολλάκις C^aY^a. | 26. καιροῦ δεῖται C^aY^a. | 29. καὶ post δὲ om C^a. | 32. ᾄδομεν codices. | δύναται X^a. | ἐκ τοῦ] ἐκτὸς C^a, ἐκ X^a. | 33. ἐκεῖ C^aY^a.
2. λίθοις αἰρομένοις οὕτω γὰρ C^a. | 7. ἔρχεται X^aY^a. | 17. ἢ om $C^aX^aY^a$. | 19. ἐὰν — 20. δύνανται om C^a. | 23. τῷ] τὸ X^a. | 27. γλῶσσα X^aY^a. | 31. δεδιότων C^a. | 34. ἡ] αἱ C^a.

δὲ ἄνω φέρεται τὸ θερμόν, ὥσπερ τοῖς αἰσχυνομένοις· δι' αἰσχύνην γὰρ καὶ ἀγωνιῶσιν. τοῖς δὲ αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον· σημεῖον δὲ ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγονται· ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται· τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν.

33 Διὰ τί εὐηκοωτέρα ἡ νὺξ τῆς ἡμέρας ἐστίν; πότερον ὥσπερ Ἀναξαγόρας φησί, διὰ τὸ τῆς μὲν ἡμέρας σίζειν καὶ ψοφεῖν τὸν ἀέρα θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, τῆς δὲ νυκτὸς ἡσυχίαν ἔχειν ἅτε ἐκλελοιπότος τοῦ θερμοῦ, εἶναι δὲ μᾶλλον ἀκουστὸν μηθενὸς ὄντος ψόφου; ἢ ὅτι διὰ τοῦ κενωτέρου μᾶλλον ἀκουστόν ἐστιν ἢ διὰ τοῦ πλήρους; ἔστι δὲ τῆς μὲν ἡμέρας ὁ ἀὴρ πυκνὸς ἅτε πεπληρωμένος ὑπὸ τοῦ φωτὸς καὶ τῶν ἀκτίνων, τῆς δὲ νυκτὸς ἀραιότερος διὰ τὸ ἀπεληλυθέναι ἐξ αὐτοῦ τὸ πῦρ καὶ τὰς ἀκτῖνας, σώματα ὄντα. ἢ ὅτι τῆς μὲν ἡμέρας τὰ σώματα πρὸς πολλὰ τὴν διάνοιαν ἕλκει· διὸ οὐκ εὐκρινές ἐστι πρὸς τὴν ἀκοήν. καὶ τῷ πράττειν ἡμᾶς πάντα μᾶλλον ἐν τῇ ἡμέρᾳ ἢ τῇ νυκτί, καὶ αὐτὰ περὶ τὰς πράξεις ἐστίν. χωρισθεῖσα δὲ αἴσθησις διανοίας καθάπερ ἀναίσθητον πόνον ἔχει, ὥσπερ εἴρηται τὸ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. νυκτὸς δὲ τῆς ὄψεως ἀργούσης καὶ τῆς διανοίας μᾶλλον ἠρεμούσης ὁ τῆς ἀκοῆς πόρος μᾶλλον ἀνεῳγμένος, καθάπερ τῆς ἡμέρας, δεκτικὸς μέν ἐστι τῶν ἤχων ὁμοίως, ἐξαγγελτικὸς δὲ μᾶλλον τῇ διανοίᾳ διὰ τὸ μήτε αὐτὴν ἐνεργεῖν μήθ' ὑπὸ τῆς ὄψεως παρενοχλεῖσθαι, καθάπερ καὶ τῆς ἡμέρας.

34 Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες καὶ γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι, ὀξὺ φθέγγονται, οἱ δὲ ἄνδρες βαρύτερον; ἢ δι' ἀσθένειαν τοῦ κινοῦντος μορίου τὸν ἀέρα; ὀλίγον γὰρ τὸ ἀσθενὲς κινεῖ, ὁ δὲ ὀλίγος ταχὺ φέρεται, τὸ δὲ ταχὺ φερόμενον ὀξύ. ἢ διότι ὁ πόρος ὁ πρῶτος, δι' οὗ ἡ φωνὴ φέρεται, τοῖς μὲν ἀγόνοις μικρός, ὥστε ὀλίγον ἐξ αὐτοῦ τὸ ὠθοῦν τὸν ἀέρα, ὀλίγος δὲ ὢν ταχὺ φέρεται δι' εὐρέος τοῦ ἄνω φάρυγγος· ἀκμάζουσι δὲ καὶ ἀνδρουμένοις διίσταται οὗτος, ὥσπερ καὶ ἐπὶ τοὺς ὄρχεις, ὥστε καὶ πλείων ἐστὶν ὁ ὠθούμενος. βραδύτερον οὖν διιὼν βαρὺς γίνεται.

35 Διὰ τί οἱ ἰσχνόφωνοι οὐ δύνανται διαλέγεσθαι μικρόν; ἢ ὅτι ἴσχονται τοῦ φωνεῖν, ἐμποδίζοντός τινος; οὐκ ἴσης δὲ ἰσχύος οὐδ' ὁμοίας κινήσεως, μὴ ἐμποδίζοντός τε τὴν κίνησιν μηδενὸς καὶ ἐμποδίζοντος, βιάσασθαι δεῖ. ἡ δὲ φωνὴ κίνησίς ἐστι· μεῖζον δὲ φθέγγονται μᾶλλον οἱ τῇ ἰσχύϊ χρώμενοι. ὥστ' ἐπεὶ ἀνάγκη ἀποβιάζεσθαι τὸ κωλῦον, ἀνάγκη μεῖζον φθέγγεσθαι τοὺς ἰσχνοφώνους.

Διὰ τί δὲ ἀγωνιῶντες μὲν μᾶλλον ἰσχνόφωνοι γίνον- 36
ται, ἐν δὲ ταῖς μέθαις ἧττον; ἢ ὅτι ἀποπληξίᾳ ὅμοιόν ἐστι τὸ πάθος μέρους τινὸς τῶν ἐντός, ὃ ἀδυνατοῦσι κινεῖν, ἐμποδίζοντος διὰ τὴν κατάψυξιν; ὁ μὲν οὖν οἶνος φύσει θερμὸς ὢν λύει τὴν κατάψυξιν μᾶλλον, ἡ δὲ ἀγωνία ποιεῖ· φόβος γάρ τις ἡ ἀγωνία, ὁ δὲ φόβος κατάψυξις.

Διὰ τί ἔξωθεν εἰς τὰς οἰκίας εἰσακούεται μᾶλλον ἢ 37
ἔσωθεν ἔξω; ἢ ὅτι ἔσωθεν ὁ ψόφος διὰ τὸ ἀχανὲς εἶναι διασπᾶται, ὥστε οὐχ ἱκανὸν ἕκαστον μέρος ἀκουσθῆναι, ἢ ἧττον; ἔξωθεν δὲ ἔσω εἰς ἐλάττω τόπον καὶ ἀέρα ἑστῶτα ἡ φωνὴ βαδίζουσα ἀθρόα ἔρχεται, ὥστε μείζων οὖσα ἀκούεται μᾶλλον.

Διὰ τί οἱ ἰσχνόφωνοι μελαγχολικοί; ἢ ὅτι τὸ τῇ 38
φαντασίᾳ ἀκολουθεῖν ταχέως τὸ μελαγχολικὸν εἶναι ἐστίν, οἱ δὲ ἰσχνόφωνοι τοιοῦτοι· προτερεῖ γὰρ ἡ ὁρμὴ τοῦ λέγειν τῆς δυνάμεως αὐτοῖς, ὡς θᾶττον ἀκολουθούσης τῆς ψυχῆς τῷ φανέντι. καὶ οἱ τραυλοὶ δὲ ὡσαύτως· βραχύτερα γὰρ τὰ μόρια ταῦτα τοῖς τοιούτοις. σημεῖον δέ· οἰνωμένοι γὰρ τοιοῦτοι γίνονται, ὅτε μάλιστα τοῖς φαινομένοις ἀκολουθοῦσι, καὶ οὐ τῷ οἴνῳ.

Διὰ τί τὰ πράσα συμφέρει πρὸς εὐφωνίαν, ἐπεὶ καὶ 39
τοῖς πέρδιξιν; ἢ ὅτι καὶ τὰ σκόροδα ἑφθὰ λεαίνει, τὰ δὲ πράσα γλισχρότητα ἔχει τινά; ῥυπτικὸν δὲ τοῦ φάρυγγος.

Διὰ τί τὰ μὲν ἄλλα ὀξύτερον φθέγγεται σφοδρό- 40
τερα ὄντα, ὁ δὲ ἄνθρωπος ἀσθενῶν; ἢ διότι ἐλάττω κινεῖ ἀέρα, οὗτος δὲ ταχὺ διέρχεται, τὸ δὲ ταχὺ ὀξὺν ποιεῖ τὸν ψόφον.

Διὰ τί ἀκούουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα ἢ 41
ἐκπνέοντες; διὸ καὶ ἐν ταῖς θήραις παραγγέλλουσιν ἑαυτοῖς μὴ πνευστιᾶν. πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται αἰρομένων τῶν φλεβῶν; καθευδόντων γὰρ κάτω· διὸ καὶ μᾶλλόν τε ἐκπνέουσι καθεύδοντες ἢ εἰσπνέουσι, καὶ ἀνήκοοί εἰσιν.

2. καὶ om $C^a Y^a$ v. ‖ 5. φθέγγεται Y^a. ‖ 6. βραδύ C^a. ‖ 10. ἄγειν ὥστε C^a. ‖ 11. ὅτι] διότι X^a. ‖ 17. τὸ X^a. ‖ 20. ἀναίσθητον τὸν πόνον C^a. ‖ 22. μᾶλλον πόρος C^a. ‖ 24. τῇ] ἢ τῇ $X^a Y^a$, καὶ τῇ C^a. ‖ 29. ἢ om $C^a X^a Y^a$. ‖ 36. βαρύτερον X^a. ‖ 38. ἰσχόφωνοι Sylburgius.

2. δὲῖ] δὲ δεῖ Y^a. ‖ 3. ἐμπ. εἰς τὸ β.? ‖ 7. δὲ om v. ‖ μὲν om C^a. ‖ 8. ἀποπληξίας X^a. ‖ 9. μέρος X^a. ‖ 13. ἔσωθεν C^a. ‖ εἴσω ἀκούεται $C^a Y^a$. ‖ 14. ἰέναι Y^a. ‖ 24. τοῖς τοιούτοις ταῦτα X^a. ‖ 25. φοβουμένοις C^a. ‖ 27 et 28. πράσσα Y^a. ‖ 30. φθέγγονται C^a. ‖ 32. παχὺ X^a. ‖ 35. ἐκπίνοντες Y^a. ‖ καὶ om Y^a. ‖ θύραις X^a. ‖ αὐτοῖς X^a. ‖ 36. ἔρχεται τῶν φλεβῶν συναιρουμένων ἀραιουμένων καθευδόντων κάτω, διὸ καὶ μᾶλλον ἐκπνέουσιν Y^a, omissis καθεύδοντες — 38. εἰσιν. ‖ 38. ἐμπνέουσι C^a, εἰσπνέοντες $X^a Y^a$.

ἢ καὶ τὸ αἷμα ἀνέρχεται ἐκπεπνευκότος, ὥςε κενοῦται τὰ ἄνω; ἀκϐουσι δὲ τῷ κενῷ. ἢ ὅτι ὁ φυσιασμὸς ψόφος τίς ἐςιν, οὗτος δὲ ἐν τῷ ἐκπνεῖν γινόμενος κωλύει ἀκϐειν.

42 Διὰ τί θᾶττον μὲν ψοφοῦσι καὶ πηδῶσιν οἱ μικροὶ ἅλες, μεῖζω δὲ ψοφοῦσι καὶ πηδῶσιν οἱ μεγάλοι; ἢ διότι οἱ μὲν ταχὺ σχίζονται (οὐ γὰρ πολὺ ὃ δεῖ διελθεῖν τῷ πυρί) διὰ τὴν μικρότητα, οἱ δὲ βραδέως· μεῖζον γὰρ ἔργον τὸ μεῖζον διασχίσαι ἢ τὸ μικρόν. ψοφεῖ δὲ ὁ μὲν μικρὸς μικρόν, ἡ γὰρ πληγὴ μικρά, ὁ δὲ μείζων μεγάλα, μεγάλη γὰρ ἡ πληγή· ὁ δὲ ψόφος πληγή ἐςιν. καὶ πηδᾷ δὲ μᾶλλον τὸ ἰσχυρότερον, ἂν πληγῇ· ἧττον γὰρ ἐνδίδωσιν.

43 Διὰ τί, ἐὰν εἰς πολὺ πῦρ ἐμβάλλῃ τις τὸ αὐτὸ μέγεθος ἁλός, ἧττον ψοφεῖ ἢ οὐ ψοφεῖ; ἢ ὅτι φθάνει κατακαυθεὶς πρὶν σχισθῆναι; καίεται μὲν γὰρ τῷ τὸ ὑγρὸν ἀναλωθῆναι, ψοφεῖ δὲ τῷ σχισθῆναι.

44 Διὰ τί οἱ χασμώμενοι ἧττον ἀκούουσιν; ἢ ὅτι τὸ πνεῦμα ἐναπολαμβάνϐσιν, τὸ δὲ ἀπολαμβανόμενον πνεῦμα περὶ τὰ ὦτα ἀθροίζεται. σημεῖον δέ· ἐν γὰρ τοῖς ὠσὶ ψόφος γίνεται ὅταν χασμησώμεθα. τὸ δὲ ἀπολαμβανόμενον πνεῦμα κωλύει ἀκϐειν. ἔτι δὲ καὶ φωνή τις γίνεται τῶν χασμωμένων· τϐτο δὲ κωλυτικὸν τϐ ἀκϐειν. καὶ συμπιέζεσθαι ἀναγκαῖον τὰς ἀκοὰς διασπωμένϐ τϐ στόματος.

45 Διὰ τί τῆς φωνῆς, ἐπειδὴ ῥύσις τίς ἐςι, φύσιν ἐχϐσης ἄνω φέρεσθαι, μᾶλλόν ἐςιν εὐήκοος ἄνωθεν κάτω ἢ κάτωθεν ἄνω; ἢ ὅτι ἡ φωνὴ ἀήρ τίς ἐςι μεθ' ὑγρϐ· βαρυνόμενος οὖν οὗτος ὑπὸ τϐ ὑγροῦ φέρεται κάτω καὶ ϐκ ἄνω· τϐ γὰρ ὑγροῦ κατὰ φύσιν ἡ κάτω φορά. διὸ τοῖς κάτω μᾶλλον ἀκούεται. ἢ τοῦτο μὲν ὑπὸ τῆς τοῦ ζῴου φωνῆς μόνον γίνεται (αὕτη γὰρ μεθ' ὑγρϐ), τὸ δὲ συμβαῖνόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων ψόφων; καθάπερ οὖν ἡ ὄψις, ἐὰν μὲν ἄνωθεν κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δὲ ἄνω προσπεσοῦσα ἀνεκλάσθη κάτω, τὸν αὐτὸν τρόπον ἡ φωνὴ ἡ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι, βιάζεσθαι μὲν ϐ δύναται πλείονα ὄντα καὶ βαρύτερον, ἀνακλασθεὶς δὲ ὁ κινηθεὶς ἀὴρ ἐπὶ τοὐναντίον ἠνέχθη κάτω, διὸ καταχεόμενος ἀκούεται κάτω μᾶλλον. τοιϐτο δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνον ἐστίν, ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.

46 Διὰ τί μεθυόντων μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ ἢ νηφόντων; ἢ διὰ τὸ πεπληρῶσθαι ταχέως ἀπορρηγνύασι τὴν φωνήν; σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίςϐ ϐτε οἱ ὑποκριταί, ἀλλὰ νήςεις ὄντες. ἐν δὲ τῇ μέθῃ πληρέςεροι ὄντες εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.

47 Διὰ τί ποτε τῶν ὀξυτέρων φωνῶν πορρώτερον ἀκϐουσιν; ἢ διότι τὸ ὀξὺ ἐν φωνῇ ταχύ ἐςι, θᾶττον δὲ κινεῖται τὰ βίᾳ μᾶλλον φερόμενα, τὰ δὲ σφοδρότερον φερόμενα ἐπὶ πλέον φέρεται.

48 Διὰ τί κατέχοντες τὸ πνεῦμα μᾶλλον ἀκούομεν; ἢ ὅτι ἡ ἀνάπνευσις ψόφον τινὰ παρέχει. εἰκότως οὖν τότε μᾶλλον ἀκούομεν, ὅταν ἥττων ὁ ψόφος ᾖ· ἥττων γὰρ ὁ ψόφος, ὅταν κατέχωμεν τὸ πνεῦμα.

49 Διὰ τί τὸ μὲν φῶς οὐ διέρχεται διὰ τῶν πυκνῶν, λεπτότερον ὂν καὶ πόρρω ὂν καὶ θᾶττον, ὁ δὲ ψόφος διέρχεται; ἢ διότι τὸ μὲν φῶς κατ' εὐθεῖαν φέρεται, ὥςε ἂν ἀντιφράζῃ τι τὴν εὐθυωρίαν, ὅλως ἀποκέκλεισται, ὁ δὲ ψόφος φέρεται καὶ οὐκ εὐθὺ διὰ τὸ πνεῦμα εἶναι; διὸ πανταχόθεν ψοφοῦντες ἀκούομεν, καὶ οὐ μόνον τῶν κατ' εὐθυωρίαν τοῖς ὠσίν.

50 Διὰ τί ποτε οἱ μὲν γελῶντες βαρὺ φθέγγονται, οἱ δὲ κλαίοντες ὀξύ; ἢ διότι ἀπὸ τῶν συντόνων ὀξεῖα ἡ φωνή, τὸ δὲ ὀξύ ἐςιν ἀσθενές; ἄμφω δὲ ταῦτα μᾶλλον τοῖς κλαίϐσιν ὑπάρχει· καὶ γὰρ συντέτανται μᾶλλον οἱ κλαίοντες καὶ ἀσθενέςεροί εἰσιν.

51 Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τις ἐσχηματισμένος ἐςί, φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δὲ ἠχώ, ἣ γίνεται πληγέντος τϐ τοιϐτϐ πρός τι ςερεόν, οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούομεν; ἢ διότι ἀνάκλασίς ἐςιν, οὐ κατάκλασις; τοῦτο δὲ ὅλον ἀφ' ὅλου. εἶτα τὸ πάθος ἀφ' ὁμοίου· ἀπὸ γὰρ τϐ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τϐ κοίλϐ.

52 Διὰ τί ἑνός τε καὶ πολλῶν φθεγγομένων ἅμα οὔτε ἴσος ὁ φθόγγος, οὔτε ἐπὶ πλεῖον γεγωνόσιν ὡς κατὰ λόγον εἰς τὸ πόρρω; ἢ ὅτι ἕκαςος τὸν καθ' αὑτὸν ἀέρα προωθεῖ, ἀλλ' ϐ τὸν αὐτόν, πλὴν ἐπὶ μικρόν; ὅμοιον δὴ συμβαίνει ὥσπερ ἂν εἰ πολλοὶ μὲν εἶεν οἱ βάλλοντες, ἕκαςος μέντοι λίθῳ ἑτέρῳ, ἢ οἵ γε πλεῖςοι. οὔτε γὰρ ἐκεῖ πόρρω

1. ἀπέρχεται καταπεπνευκότων Y^a. ‖ 2. φυστασμὸς C^a, φύσει ὁ ἀσθμὸς Y^a. ‖ 3. ἐςιν om Y^a. ‖ πνεῖν Y^a. ‖ γενόμενος C^aY^a. ‖ 4. οἱ ἅλες οἱ μικροὶ X^a. ‖ 5. ψοφῶσι X^aY^a. ‖ 12. ἐμβάλῃ QC^aY^a. ‖ 19. δὴ Y^a. ‖ 22. σώματος X^aY^a, πνεύματος pr C^a. ‖ 24. ἄνωθεν QX^a. ‖ 31. μὴ C^a. ‖ 37. κάτω om C^a.

2. διότι τῷ Y^a. ‖ ἀπορρήγνυσι C^aX^aY^aνγ. ‖ 3. οὔτε] ὅτε ν. ‖ 4. ϐτε οἱ] ϐχ γ. ‖ 5. πληρέςατοι γ. ‖ 13. ἧττον — ἧττον Y^a. ‖ 18. ἀποκέκλειται Y^a. ‖ 23. συνόντων X^a. ‖ 27. ἐςί, καὶ φ. C^aX^aY^a. ‖ 28. ἡ] ἢ C^a, ἢ ἡ Y^a. ‖ δὲ om C^aY^a. ‖ ἢ om Y^a. ‖ 35. γεγονόσιν Y^a. ‖ 38. μὲν om C^a. ‖ 39. πόρρωθεν X^a.

οὐδὲν ἀφίξεται βέλος, ἢ οὐ κατὰ λόγον, οὔτε ἐνταῦθα. οὐ γὰρ ἑνὸς ἡ τοσαύτη φωνὴ ἀλλὰ πολλῶν. ἐγγύθεν μὲν οὖν κατὰ λόγον πολλὴ φαίνεται ἡ φωνή (καὶ γὰρ τὰ βέλη πλείω τεύξεται τοῦ αὐτοῦ), πόρρωθεν δὲ οὐκέτι.

53 Διὰ τί ἀγωνιῶντες μὲν βαρύτερον φθέγγονται, φοβούμενοι δὲ ὀξύτερον; καίτοι καὶ ἡ αἰδὼς φόβος τίς ἐστιν. ἢ διαφέρει πολὺ τὸ πάθος; οἱ μὲν γὰρ αἰδούμενοι ἐρυθριῶσιν (ἡ δὲ ἀγωνία αἰσχύνη τίς ἐστιν), οἱ δὲ φοβούμενοι ὠχριῶσιν. φανερὸν οὖν ὅτι τοῖς μὲν φοβουμένοις ἐκλείπει ἄνωθεν τὸ θερμόν, ὥστε κινεῖ ἀσθενὲς ὂν ὀλίγον ἀέρα τὸ πνεῦμα, τὸ δὲ ὀλίγον ταχὺ φέρεται, τὸ δὲ ταχὺ ἐν φωνῇ τὸ ὀξύ· τοῖς δὲ αἰδουμένοις ἄνω ἔρχεται τὸ θερμὸν περὶ τὰ στήθη. σημεῖον δὲ ὅτι γίνονται ἐξέρυθροι. πολὺν δὲ κινεῖ ἀέρα ἡ πολλὴ δύναμις, τὸ δὲ πολὺ βραδέως φέρεται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ.

54 Διὰ τί ἰσχνόφωνοι γίνονται; ἢ αἴτιον ἡ κατάψυξις τοῦ τόπου ᾧ φθέγγονται, ἢ ὥσπερ ἀποπληξία τοῦ μέρους τούτου ἐστίν; διὸ καὶ θερμαινόμενοι ὑπὸ οἴνου καὶ τοῦ λέγειν συνεχῶς ῥᾷον συνείρουσι τὸν λόγον.

55 Διὰ τί μόνον τῶν ἄλλων ζῴων ἄνθρωπος γίνεται ἰσχνόφωνον; ἢ ὅτι λόγου κοινωνεῖ μόνον, τὰ δὲ ἄλλα φωνῆς; οἱ δὲ ἰσχνόφωνοι φωνοῦσι μέν, λόγον δὲ οὐ δύνανται συνείρειν.

56 Διὰ τί τοῦ μὲν χειμῶνος ὀξύτερον φθέγγονται καὶ νήφοντες, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; ἢ ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ταχυτέρα δέ ἐστιν ἡ ἀπὸ συντεταμένου φωνή; τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μᾶλλον ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.

57 Διὰ τί ἡ φωνὴ ὕστατον τελειοῦται τοῖς ἀνθρώποις τῶν φθεγγομένων; ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη; τὰ γὰρ ἄλλα ζῷα ἢ οὐθὲν γράμμα ἢ ὀλίγα διαλέγονται. τὸ δὲ ποικιλώτατον καὶ πλείστας ἔχον διαφορὰς ἀνάγκη ἐν πλείστῳ χρόνῳ ἀποτελεῖσθαι.

58 Διὰ τί ἡ μὲν ὄψις οὐ διέρχεται διὰ τῶν στερεῶν, ἡ δὲ φωνὴ διέρχεται; ἢ ὅτι τῆς μὲν ὄψεως μία φορὰ ἡ κατ' εὐθεῖαν (σημεῖον δὲ αἵ τε τοῦ ἡλίου ἀκτῖνες, καὶ ὅτι ἐξ ἐναντίας μόνον ὁρῶμεν), τῆς δὲ φωνῆς πολλαί; ἀκούομεν γὰρ πανταχόθεν. ὅταν οὖν κωλυθῇ κατ' εὐθεῖαν ἐκπίπτειν διὰ τὸ μὴ κατ' ἀλλήλους εἶναι τοὺς πόρους, ἀδυνατεῖ διορᾶν. ὁ δὲ ἀὴρ καὶ ἡ φωνή, ἅτε πανταχοῦ φερομένη, διὰ παντὸς διαπίπτει καὶ ἀκούεται. ἐν δὲ τοῖς ὑγροῖς αἱ μὲν ὄψεις διορῶσιν, αἱ δὲ φωναὶ οὐκ ἀκούονται ἢ μόλις, λεπτοτέρου ὄντος τοῦ ὑγροῦ ἢ τῆς γῆς, ὅτι οἱ πόροι μικροὶ καὶ πυκνοὶ καὶ κατ' ἀλλήλους, ὥστε οὐ κωλύεται ἡ ὄψις εὐθυπορεῖν. διὰ τοῦτο καὶ διὰ μὲν τῆς ὑέλου διορᾶται πυκνῆς οὔσης, διὰ δὲ τοῦ νάρθηκος ἀραιοῦ ὄντος οὐ διορᾶται. ἔτι τῆς μὲν οἱ πόροι κατάλληλοι, τῶν δὲ παραλλάττοντες· οὐδὲν δ' ὄφελος εἶναι μεγάλους, ἐὰν μὴ κατ' εὐθεῖαν ὦσιν. ἡ δὲ φωνὴ οὐκ ἀκούεται, ὅτι ἐλάττω τὰ διάκενα τὰ ἐν τῷ ὕδατι τοῦ ἀέρος, ὥστε οὐ δύναται δέχεσθαι, οὐδὲ μεῖναι τὴν φωνήν, ἀλλὰ μόλις ἡ μετὰ φωνῆς. ἡ γὰρ φωνὴ ἀήρ τις. οὐ γὰρ ἅπαν τὸ μανότερον διιτικώτερον, ἂν μὴ καὶ οἱ πόροι ὦσιν ἁρμόττοντες τῷ διιόντι. ὥστ' οὐδὲ συνιτικώτερον εἰς αὐτό, ἂν μὴ δεκτικοὶ ὦσιν οἱ πόροι τῶν σωμάτων. καίτοι τὸ μανὸν μαλακὸν καὶ δυνάμενον εἰς αὐτὸ συνιέναι. ἀλλ' ἔνια κωλύεται διὰ τὴν μικρότητα τῶν πόρων, οἷον ἡ ὕελος· ταύτης γὰρ οὐ συνάγονται, μανοτέρας οὔσης τοῦ νάρθηκος, διὰ τὴν εἰρημένην αἰτίαν. ὁμοίως δὲ καὶ τὸ ὕδωρ καὶ εἴ τι ἄλλο τοιοῦτον. ὥστε καὶ τόδε φανερόν, διότι τοῦ μανοῦ καὶ μαλακοῦ ἢ αὐτοῦ ὄντος ἢ παραπλησίου τὴν φύσιν, οὐ τὸ μανότερον μᾶλλον συνάγεται εἰς αὐτό· ἡ γὰρ αὐτὴ αἰτία πάντων.

Διὰ τί γίνεται ἐλάττων μὲν ἡ φωνὴ ἐξαιρουμένων, ὁμοία δὲ τὸν χαρακτῆρα; ἢ ὅτι ἐμέμικτο αὐτοῖς; τὸ δὲ μεμιγμένον οὐ τῇ μέν ἐστι τῇ δὲ οὔ, ἀλλὰ πάντῃ. ὁμοίως οὖν πανταχόθεν ἐξαιρουμένων συνέρχεται ὁμοίως, ὥστ' ἔλαττόν τε ἀνάγκη καὶ ὅμοιον εἶναι. 59

Διὰ τί ἰσχνόφωνοι γίνονται; πότερον διὰ θερμότητα προπετέστεροί εἰσιν, ὥστε προσπταίοντες ἐπίσχουσιν, ὥσπερ οἱ ὀργιζόμενοι; καὶ γὰρ οὗτοι πλήρεις ἄσθματος γίνονται. πολὺ μὲν οὖν τὸ πνεῦμα συμβαίνει. ἢ διὰ τὴν ζέσιν τοῦ θερμοῦ ἀσθμαίνουσιν, διὰ τὸ πολὺ εἶναι καὶ μὴ φθάνειν ὑπεξιὸν τῷ τῆς ἀναπνοῆς καιρῷ; ἢ μᾶλλον τοὐναντίον κατάψυξις ἢ θερμότης τοῦ τόπου ᾧ φθέγγονται, ὥσπερ ἀποπληξία τοῦ μέρους τούτου; διὸ καὶ θερμαινόμενοι ὑπὸ οἴνου καὶ τοῦ λέγειν συνεχῶς ῥᾷον συνείρουσι τὸν λόγον. 60

Διὰ τί τοῦ χειμῶνος αἱ φωναὶ βαρύτεραι; ἢ ὅτι παχύτερος ὁ ἀήρ, παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνησις, ὥσθ' ἡ φωνὴ βαρυτέρα. ἢ διότι διὰ τῶν στέρνων βραδύ- 61

6. καὶ om C^a. ‖ 11. τρέφεται τὸ δὲ ἐν φωνῇ ταχὺ X^a. ‖ 16. ἢ] καὶ ἡ X^a. ‖ 17. φθέγγεται $Y^a v$. ‖ ἢ] καὶ $C^a X^a v$. ‖ 22. λόγου $C^a Y^a$. ‖ 24. καὶ νήφοντες om X^a. ‖ 25. τοῦ δὲ θέρους X^a.

6. εὐθυωρεῖν X^a. ‖ 10. οὐκ — 12. φωνὴ om C^a. ‖ 13. διικτικώτερον X^a. ‖ 14. διιέντι codices. ‖ συνετικώτερον $C^a Y^a v$, συνεκτικώτερον X^a. ‖ 17. σμικρότητα C^a. ‖ 32. συμβαίνοι Y^a. ‖ ἢ om $C^a X^a Y^a$. ‖ 33. θυμοῦ $C^a Y^a$. ‖ 35. φθέγγεται $C^a Y^a$. ‖ 38. τί χειμῶνος ἔπος αἱ y. ‖ 40. ὡς y. ‖ ὅτι y. ‖ στενῶν y.

τερον χωρεῖ ὁ ἀήρ, συμφράττεται δὲ τὸ περὶ τὸν φάρυγγα ὑπό τε τȣ̃ ψυχρȣ̃ καὶ τȣ̃ ἐπιρρέοντος φλέγματος.

62 Διὰ τί τὰ παιδία καὶ αἱ γυναῖκες καὶ οἱ εὐνοῦχοι καὶ οἱ γέροντες φθέγγονται ὀξύ; ἢ ὅτι θάττων κίνησίς ἐϛιν ἡ ὀξυτέρα; ἔϛι δὲ τὸ αὐτὸ πλείονος δυσκινητότερον, ὥϛε οἱ ἐν ἀκμῇ πλείω συνεπισπῶνται τὸν ἀέρα· ȣ̔̃τος ȣ̓̃ν βραδύτερον ἰὼν βαρυτέραν παρασκευάζει τὴν φωνήν. ἐν δὲ τοῖς παιδίοις καὶ εὐνȣ́χοις διὰ τὸ ἐλάττω ἔχειν ἐναντίως. τρέμειν δὲ τοὺς πρεσβύτας οὐ δυναμένȣς κρατεῖν, ὥσπερ τοῖς ἀδυνάτοις καὶ παιδίοις, ὅταν μακρὸν ξύλον λάβωσιν ἀπ᾽ ἄκρου, τὸ ἕτερον ἄκρον σείεται διὰ τὸ μὴ κρατεῖν. διὰ τοῦτο καὶ οἱ πρεσβῦται τρέμουσιν. τὸ αὐτὸ δὲ ὑποληπτέον καὶ ἐπὶ τῶν ἀγωνιώντων καὶ φοβουμένων καὶ ῥιγώντων αἴτιον τȣ̃ τρόμου τῆς φωνῆς. τȣ̃ γὰρ ἔχοντος τὴν φωνὴν τοιαύτην, τῶν τοιούτων παθῶν εἴσω περιεϛηκότος τοῦ πλείϛου, λοιπὸν ὀλίγον ὂν οὐ δύναται κρατεῖν τῆς φωνῆς· διὸ καὶ σείεται καὶ τρέμει. διὸ καὶ οἱ τεχνικοὶ τῶν συνειδότων ὅτι ἀγωνιῶσι μικρὸν διαλέγονται ἀπ᾽ ἀρχῆς, καὶ ἄχρι οὗ ἂν καταϛῶσιν· μικρᾶς γὰρ οὔσης τῆς φωνῆς ῥᾷον κρατοῦσιν.

ΙΒ. ΟΣΑ ΠΕΡΙ ΤΑ ΕΥΩΔΗ.

Διὰ τί τῶν θυμιαμάτων ἧττον αἰσθάνονται πλησίον ὄντες; πότερον ὅτι ἀκρατεϛέρα κερασθεῖσα ἡ ἀπόρροια τῷ ἀέρι ἡδίων, ὥσπερ ἡ σμύρνη τῶν ἰατρῶν; ἢ καὶ τȣ̓ναντίον εἴη ἄν, ὥϛε ἀφαιρεῖσθαι τὸ πῦρ τὴν ὀσμὴν διὰ τὸ καίειν; ἡ γὰρ ὀσμὴ θυμιωμένων. διὸ καὶ ἐπὶ τῶν ἀνθράκων οὐκ ὄζει, πορρώτερον δὲ καθαρώτερον φαίνεται καὶ λεπτότατον τοῦτο.

2 Διὰ τί αἱ ὀσμαὶ ἧττον εὐώδεις τῶν θυμιαμάτων καὶ τῶν ἀνθῶν ἐκ τοῦ ἐγγύς; πότερον ὅτι συναπέρχεται τῇ ὀσμῇ καὶ γῆς μόρια, ἃ προκαταφέρεται διὰ βάρος, ὥϛε καθαρὰ πορρώτερον γίνεται ἡ ὀσμή; ἢ οὔτε ἐγγὺς οὔσης τῆς ἀρχῆς πλεῖϛον γίνεται τὸ ῥέον, ȣ̓́τε λίαν πόρρω; τὸ μὲν γὰρ ȣ̓́πω πολύ, τὸ δὲ διασπᾶται.

3 Λέγεται γὰρ ὡς εὐώδη γίνεται τὰ δένδρα εἰς ἅπερ ἂν ἡ ἶρις κατασκήψῃ. πότερον ȣ̓̃ν ἀληθές ἐϛιν ἢ ψεῦδος; καὶ εἰ ἀληθές, διὰ τίν᾽ αἰτίαν εἴη τὸ συμβαῖνον; ὅτι μὲν οὖν οὔτε πάντα ȣ̓́τε ἀεί, δῆλον· πολλάκις γὰρ ἡ ἶρις μὲν γέγονε, τὰ δὲ δένδρα ȣ̓θὲν ἐπίδηλα φαίνεται. ὅταν τε γένηται τȣ̃το, ȣ̓κ ἐν πάσῃ γίνεται ὕλῃ, ἐπεὶ συμβαίνει γέ ποτε· διὸ καὶ λέγεται. τὸ δ᾽ αἴτιον κατὰ συμβεβηκὸς τῇ ἴριδι ἀποδοτέον, ἄλλως τε καὶ εἰ μή ἐϛί τις φύσις ἡ ἶρις, ἀλλὰ τῆς ὄψεως πάθος ἀνακλωμένης. γίνεται δέ, ὥσπερ ἐλέχθη, ȣ̓χ ὁπωσȣ̃ν ἐχȣ́σης τῆς ὕλης τὸ πάθος· ȣ̓́τε γὰρ ἐν τοῖς χλωροῖς δένδροις οὔτε ἐν τοῖς αὔοις, ἀλλ᾽ ἐν τῇ ἐμπεπρησμένῃ ὕλῃ φασὶν οἱ νομεῖς μετὰ τὰ ἐπὶ τῇ ἴριδι ὕδατα γίνεσθαι ἐπίδηλον τὴν εὐωδίαν, καὶ μάλιϛα οὗ ἂν ἀσπάλαθος ᾖ καὶ ῥάμνος καὶ ὧν τὰ ἄνθη εὐώδη ἐστίν. αἴτιον δὲ τῆς εὐωδίας ἐστίν, ὅπερ καὶ ἐπὶ τῆς γῆς· διαθέρμου γὰρ καὶ διακεκαυμένης οὔσης, ὃ ἂν ἐκφύσῃ, τὸ πρῶτον εὐῶδες ὄζει. τὰ γὰρ πυρȣ́μενά πως τῶν ὑγρότητα ἐχόντων ὀλίγην εὐώδη γίνεται· πέττει γὰρ τὸ θερμὸν ταύτην. διὸ καὶ τῆς ὅλης γῆς εὐωδέϛερα τὰ πρὸς τὸν ἥλιον τῶν πρὸς ἄρκτον ἐϛίν. τȣ́των δὲ τὰ πρὸς ἕω τῶν πρὸς μεσημβρίαν, ὅτι γεώδης μᾶλλον ὁ τόπος ὁ περὶ τὴν Συρίαν καὶ Ἀραβίαν ἐστίν, ἡ δὲ Λιβύη ἀμμώδης καὶ ἄνικμος. δεῖ γὰρ μήτε πολλὴν εἶναι τὴν ἰκμάδα, ἄπεπτος γάρ ἐϛιν ἡ πολλή, μήτε ἄνικμον, ȣ̓ γὰρ γίνεται ἀτμίς. ὃ συμβαίνει καὶ περὶ τὴν νεόκαυϛον ὕλην καὶ τὸ γένος τοιαύτην ὥϛε ἔχειν εὐωδίαν σὺν αὐτῇ. δηλοῖ δὲ τοῖς ἄνθεσιν· ἀφίησι γὰρ ἐν τȣ́τοις τὴν ὀσμήν. δοκεῖ δὲ ἐν οἷς ἂν ἐνσκήψῃ ἡ ἶρις γίνεσθαι, ὅτι ȣ̓δὲν ἄνευ ὕδατος οἷόν τε γίνεσθαι· βραχεῖσά τε γὰρ ἡ ὕλη καὶ τῷ ἐνόντι θερμῷ πέψασα τὴν ἐν αὐτῇ γινομένην ἀτμίδα ἀφίησιν. ȣ̓́τε πολὺ τὸ ὕδωρ δεῖ εἶναι· ἐκκλύζει γὰρ τὸ πολὺ λίαν, καὶ σβέννυσι τὴν θερμότητα τὴν ἐνυπάρχȣσαν ἀπὸ τῆς πυρώσεως. τὰ δὲ μετὰ τὴν ἶριν ὕδατα ȣ̓ πολλὰ γίνεται ἀλλὰ μέτρια ὡς εἰπεῖν. καὶ ἐὰν πολλαὶ γίνωνται ἴριδες, ȣ̓ πολὺ γίνεται, ἀλλὰ πολλάκις μὲν ὀλίγον δέ. διὸ εἰκότως τȣ́τȣ γινομένȣ, ȣ̓θὲν ἄλλο ὁρῶντες διάφορον πλὴν τὴν ἶριν, ταύτῃ τὴν αἰτίαν προσέθεσαν τῆς εὐωδίας.

4 Διὰ τί τὰ ἄνθη καὶ τὰ θυμιώμενα πόρρωθεν μᾶλλον ἥδιον ὄζει, ἐγγύθεν δὲ τὰ μὲν ποωδέϛερον τὰ δὲ καπνωδέϛερον; ἢ ὅτι ἡ ὀσμὴ θερμότης τίς ἐϛι καὶ τὰ εὐώδη θερμά, τὸ δὲ θερμὸν κȣ̃φον, ὥϛε διὰ μὲν τȣ̃το πορρωτέρω

1. συμφράττονται δὲ τὰ y. ‖ 2. ὑπό τε] τῇ ποιότητι y. ‖ 5. ἡ om $C^a Y^a$. ‖ 6. βραδύτερος $C^a X^a$. ‖ 7. βραδυτέραν codices. ‖ 9. ὥσπερ — 11. κρατεῖν om C^a. ‖ 12. πρεσβύτεροι $K^a O^a sw$. ‖ post τρέμουσιν $Q K^a N^a O^a Y^a swx$ addunt διὰ τὸ μὴ κρατεῖν. ‖ 31. ἐκ τοῦ ἐγγύς om $C^a X^a Y^a$. ‖ 33. ἡ ὀσμή om C^a. ‖ 35. ȣ̔́τω X^a. ‖ 36. λέγεται — 37. κατασκήψῃ] haec post 38. συμβαῖνον ponunt $C^a X^a Y^a$. ‖ 37. ἂν om C^a. ‖ 38. διὰ τίν᾽] δι᾽ $C^a X^a Y^a$.

2. ἐπίδηλον X^a. ‖ 8. τοῖς ante χλ. om X^a. ‖ 9. πεπρησμένῃ C^a. ‖ ἴριδι δ᾽ ὕδατα X^a. ‖ 10. οἷ $C^a Y^a$, ἴσως ὅπȣ margo X^a, οὗ ἂν $K^a X^a s$. ‖ 16. τά πρὸς τὸν ἥλιον εὐωδέϛερα $X^a Y^a$. ‖ 17. εἰσι Y^a. ‖ 18. γαιώδης et συρρίαν C^a. ‖ 19. ἀρραβίαν $C^a X^a$. ‖ 21. ἡ πολλή ἐϛι C^a. ‖ 22. νεόκαυτον Y^a. ‖ 27. praestat ȣ̓δὲ. ‖ 28. ἐκλύζει $C^a Y^a$. ‖ 30. μετρίως ὡς $C^a X^a$. ‖ 33. πρὶν C^a. ‖ 38. τȣ̃το] τȣ̃ C^a.

διόντων ἀμιγεστέρα γίνεται ἡ ὀσμὴ τῶν συμπαρεπομένων ὀσμῶν ἀπὸ τῶν φύλλων καὶ τοῦ καπνοῦ, ὄντος ὑδατώδους ἀτμοῦ, πλησίον δὲ ὄντων τὰ μεμιγμένα αὐτοῖς συνόζει ἐν οἷς ἐστίν.

5 Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; ἢ ὅτι ἀναπίμπλησι πλείω ἀέρα ἢ ἡσυχάζοντα; διαπέμπεται οὖν ἡ ὀσμὴ θᾶττον οὕτω πρὸς τὴν αἴσθησιν ἡμῖν.

6 Διὰ τί τοῦ χειμῶνος ἧττον ὀσφραινόμεθα, καὶ ἐν τοῖς πάγεσιν ἥκιστα; ἢ ὅτι ὁ ἀὴρ ἀκινητότερός ἐστιν ἐν τῷ ψύχει; οὐκουν ἀφικνεῖται ὁμοίως ἡ κίνησις ἡ ἀπὸ τοῦ σώματος τοῦ τὴν ὀσμὴν ἔχοντος διὰ τὴν δυσκινησίαν τῆς ἀπορροῆς καὶ τοῦ ἀέρος ἐν ᾧ ἐστίν.

7 Διὰ τί δριμύτερον ὄζει τῶν ἀρωμάτων ἐπὶ τέφρας θυμιωμένων ἢ ἐπὶ τοῦ πυρός, καὶ μᾶλλον καὶ πλείω χρόνον τὴν αὐτῶν ὀσμὴν ἔχει ἐπὶ τῆς τέφρας θυμιώμενα; ἢ ὅτι ἀπεπτοτέρα ἐστὶν ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας· διὸ καὶ πλείων. τὸ δὲ πῦρ ταχὺ πέττον αὐτῶν τὴν δύναμιν, ἀλλοιοῖ τὴν ὀσμήν· ἡ γὰρ πέψις ἀλλοίωσίς ἐστι τοῦ πεττομένου.

8 Διὰ τί ἥδιον ὄζει τῶν ῥόδων ὧν ὁ ὀμφαλὸς τραχύς ἐστιν ἢ ὧν λεῖος; ἢ ὅτι μᾶλλον ὄζει ἡδὺ ὅσα τὴν φύσιν ἀπείληφε τὴν αὐτῶν; ἀκανθῶδες δὲ φύσει τὸ ῥόδον ἐστί, διὸ μᾶλλον ἔχον τὰ κατὰ φύσιν ἥδιστα ὄζει.

9 Διὰ τί αἱ ὀσμαὶ ἐγγύθεν ἧττον εὐώδεις καὶ θυμιαμάτων καὶ ἀνθῶν; ἢ ὅτι πλησίον μὲν συναποφέρεται τὸ γεῶδες, ὥστε κεραννύμενον ἀσθενεστέραν ποιεῖ τὴν δύναμιν, εἰς δὲ τὸ πόρρω καταφέρεται ἡ ὀδμή. διὰ ταῦτα δὲ καὶ τριφθέντα τὰ ἄνθη ἀπόλλυσι τὴν ὀσμήν.

10 Πότερον αἱ ὀσμαὶ καπνὸς ἢ ἀὴρ ἢ ἀτμίς; διαφέρει γάρ, ᾗ τὸ μὲν ὑπὸ τοῦ πυρός, τὸ δὲ καὶ ἄνευ τούτου γίνεται. καὶ πότερον ἀπὸ τῆς αἰσθήσεώς τι πρὸς ἐκεῖνα ἢ ἀπ' ἐκείνων πρὸς τὴν αἴσθησιν ἀφικνεῖται, ἀεὶ κινοῦν τὸν πλησίον ἀέρα; καὶ εἰ ἀπ' ἐκείνων ἀπορρεῖ, ἔδει ἔλαττον γίνεσθαι· καίτοι τὰ εὐωδέστατα ὁρῶμεν μάλιστα διαμένοντα.

11 Διὰ τί δριμύτερον ὄζει μᾶλλον τῶν ἀρωμάτων ἐπὶ τέφρας θυμιωμένων ἢ ἐπὶ τοῦ πυρός; ἢ διότι ἀπεπτοτέρα ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας· διὸ καὶ πλείων; πολὺ οὖν καὶ τοῦ γεώδους συναναθυμιᾶται καὶ γίνεται καπνός· τὸ δὲ πῦρ φθάνει ἐκκαῖον τὸ γεῶδες αὐτῶν, ὥστε ἡ ὀσμὴ καθαρωτέρα καὶ εἰλικρινὴς ἀφικνεῖται ἄνευ τοῦ καπνοῦ. διὸ καὶ τριβόμενα ἧττον εὐώδη τὰ ἄνθη· τὸ γὰρ γεῶδες καὶ ἡ τρῖψις κινεῖ, καὶ ἡ βραδεῖα θερμότης οὐ φθείρει.

Διὰ τί τὰ εὐώδη οὐρητικὰ καὶ σπέρματα καὶ φυτά; 12
ἢ ὅτι θερμὰ καὶ λεπτά, τὰ δὲ τοιαῦτα οὐρητικά; ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι τηκτικά. θερμὰ δὲ τὰ εὐώδη σπέρματα, διότι ὅλως ἡ ὀσμὴ διὰ θερμότητα γίνεται. ἀλλὰ τὰ δυσώδη ἄπεπτά ἐστιν· δεῖ δὲ μὴ μόνον θερμὰ εἶναι ἀλλὰ καὶ εὔπεπτα, εἰ ἔσται οὐρητικά, ὅπως συγκατιόντα λεπτύνῃ τὰ ὑγρά.

Διὰ τί ποτε οἱ κεκραμένοι τῶν οἴνων θᾶττον τῶν ἀκρά- 13
των ὄζουσιν; ἢ ὅτι ὁ κεκραμένος ἀσθενέστερος τοῦ ἀκράτου ἐστίν; τὸ δὲ ἀσθενέστερον ὑπὸ πάντων ἐξίσταται τοῦ ἰσχυροτέρου. εἶτα ὁ κεκραμένος ἐστὶν εὐπετέστερος τοῦ ἀκράτου. εὐπετέστερον δέ ἐστιν ὑπάρξαι ᾡτινιοῦν, καὶ ἐκλαβεῖν τι τῶν μὴ ὑπαρχόντων. ὁ μὲν οὖν ἄκρατος ὀσμώδης ἐστίν, ὁ δὲ κεκραμένος ἄνοσμος.

ΙΓ. ΟΣΑ ΠΕΡΙ ΤΑ ΔΥΣΩΔΗ.

Διὰ τί τὸ μὲν οὖρον, ὅσῳ ἂν χρονίζηται ἐν τῷ σώματι, δυσωδέστερον γίνεται, ἡ δὲ κόπρος ἧττον; ἢ ὅτι ἡ μὲν ξηραίνεται μᾶλλον χρονιζομένη (τὸ δὲ ξηρὸν ἀσηπτότερον), τὸ δὲ οὖρον παχύνεται, πρόσφατόν τε ὂν ὁμοιότερον τῷ ἐξ ἀρχῆς ἐστὶ πόματι.

Διὰ τί τὰ δυσώδη τοῖς ἐδηδοκόσιν οὐ δοκεῖ ὄζειν; ἢ 2
διὰ τὸ συντετρῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανὸν πλήρης ἡ αἴσθησις γίνεται ταχύ, καὶ τῆς τε ἔσω οὐκέθ' ὁμοίως αἰσθάνεται (τὸ γὰρ πρῶτον αἰσθάνονται πάντες, ὅταν δὲ ἅψωνται, οὐκέτι, ὥσπερ συμφυοῦς) καὶ ἡ ἔξωθεν ἡ ὁμοία ἀφανίζεται ὑπὸ τῆς ἔσω.

Διὰ τί τριβόμενα τὰ ἄνθη δυσωδέστερα; ἢ διότι συμ- 3
μίγνυται τῇ ὀσμῇ τὸ γεῶδες τὸ ἐν τῷ ἄνθει.

Διὰ τί τῶν μὲν ζῴων οὐθὲν εὐῶδές ἐστιν ἔξω τῆς παρ- 4
δάλεως (αὕτη δὲ καὶ αὐτοῖς τοῖς θηρίοις· φασὶ γὰρ αὐτῆς τὰ θηρία ἡδέως ὀσμᾶσθαι), φθειρόμενα δὲ καὶ δυσώδη ἐστίν, τῶν δὲ φυτῶν πολλὰ καὶ φθειρόμενα καὶ αὐαινόμενα ἔτι μᾶλλον εὐώδη γίνεται; πότερον ὅτι τῆς δυσωδίας αἴτιον

3. πλησίων C^a X^a. ‖ 5. πάντων Y^a. ‖ ἀναπίπλησι C^a Y^a. ‖ 6. συχάζοντα X^a. ‖ 7. οὕτω] ὥσπερ C^a. ‖ ἡμῶν Y^a. ‖ 17. πλείω C^a Y^a. ‖ 22. φύσει δὲ Y^a. ‖ τὸ δὲ ῥόδον C^a. ‖ 23. ἔχοντα C^a. ‖ ὄζει ἥδιον Y^a. ‖ 28. ἀπολλύουσι C^a Y^a. ‖ 29. πότερον] διατί C^a. ‖ ὀδμαὶ C^a Y^a. ‖ 30. ἡ Y^a, ἢ C^a, εἰ X^a. ‖ γίνεται om C^a. ‖ 32. τὴν om C^a. ‖ κινοῦντος C^a. ‖ 33. γίνεσθαι] κινεῖσθαι X^a. ‖ 38. συναναθυμιᾶσθαι X^a. ‖ 39. ἐκκᾶον Y^a.

15. ἐπὶ? ‖ 24. ξηρότερον X^a. ‖ 34. γαιῶδες C^a. ‖ 35. παρδάλεος C^a. ‖ 36. αὐτοῖς X^a Y^a. ‖ 37. καὶ om C^a. ‖ 38. πολλὰ καὶ] codices πολλάκις.

ἀπεψία τις περιττώματος; διὸ καὶ οἱ ἱδρῶτες ἐνίοις καὶ ἐνίοτε τοιȣ̃τοί εἰσι, μάλιστα δὲ οἷς μὴ ἀεὶ τοιȣ̃τοι ἐκ τῶν νόσων γίνονται. καὶ αἱ φῦσαι δὲ καὶ οἱ ἐρυγμοὶ οἱ τῶν ἀπέπτων δυσώδεις εἰσίν. τὸ αὐτὸ δὲ αἴτιον καὶ τȣ̃ ἐν ταῖς σαρξὶ καὶ τῷ ἀνάλογον· λέγω δὲ ἀνάλογον τὸ ἀντὶ σαρκὸς τοῖς ἄλλοις ἐνυπάρχον ζῴοις. ἔστι γὰρ καὶ ἐνταῦθα περίττωμα ἐνίοις ἄπεπτον· τȣ̃το ȣ̓̃ν ζώντων τε αἴτιον τῆς δυσωδίας ἐστὶ καὶ φθειρομένων σηπόμενον. διὸ καὶ τὰ πίονα καὶ ὀςᾶ καὶ τρίχες ȣ̓ δυσώδη ἐςίν, ὅτι τὰ μὲν πέττεται, τὰ δὲ οὐκ ἔχει ὑγρότητα. τοῖς δὲ φυτοῖς οὐκ ἔνι περίττωμα. ἢ ἔστι μέν τι καὶ τȣ́τοις, ἀλλ' ὅτι ξηρὰ καὶ θερμὰ τὰ φυτὰ τὴν φύσιν ἐςίν, ὥςε εὐπεπτοτέρα ἡ ἰκμὰς καὶ ȣ̓ πηλώδης ἐςὶν αὐτῶν; δηλοῖ δὲ καὶ τῆς γῆς ἡ ἐν τοῖς θερμοῖς εὐώδης οὖσα, Συρία καὶ Ἀραβία, καὶ τὰ εὐώδη τἀκεῖθεν, ὅτι ξηρὰ καὶ θερμά ἐςιν· τὰ δὲ τοιαῦτα ἄσηπτα. τὰ δὲ ζῷα ȣ̓ τοιαῦτά ἐςι καὶ θερμά, ὥςε αἵ τε περιττώσεις ἄπεπτοι καὶ δυσώδεις αὐτῶν εἰσί, καὶ διαφυσήσεις ὁμοίως· καὶ διαφθειρομένων σήπεται ἡ ὑγρότης, τῶν δὲ ȣ̓̃· ȣ̓ γὰρ ἔχȣσιν.

5 Διὰ τί τὰ δυσώδη θερμὰ ὄντα μᾶλλον δυσώδη ἐςὶν ἢ ἐψυγμένα; ἢ ὅτι ἐςὶν ἡ ὀσμὴ ἀτμὸς καὶ ἀπορροή τις; ὅ τ' ȣ̓̃ν ἀτμὸς ὑπὸ θερμȣ̃ γίνεται καὶ ἡ ἀπορροή· κίνησις γάρ τίς ἐςι, τὸ δὲ θερμὸν κινητικόν. τὸ δὲ ψυχρὸν τȣ̓ναντίον στατικὸν καὶ συςαλτικὸν καὶ φορὸν δὲ κάτω, τὸ δὲ θερμὸν καὶ αἱ ὀσμαὶ πᾶσαι ἀνωφερεῖς διὰ τὸ ἐν ἀέρι τε εἶναι καὶ τὸ αἰσθητήριον αὐτῶν ἄνω εἶναι, μὴ κάτω· πρὸς γὰρ ἐγκέφαλον περαίνȣσα ἡ ὀσμὴ αἴσθησιν ποιεῖ.

6 Διὰ τί, ἐάν τις σκόροδα φάγῃ, τὸ ȣ̓̃ρον ὄζει, ἄλλων δὲ ἐχόντων ἰσχυρὰν ὀσμὴν οὐκ ὄζει ἐδεσθέντων; πότερον, ὥσπερ τινὲς τῶν ἡρακλειτιζόντων φασὶν ὅτι ἀναθυμιᾶται, ὥσπερ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ σώματι, εἶτα πάλιν ψυχθὲν συνίςαται ἐκεῖ μὲν ὑγρόν, ἐνταῦθα δὲ ȣ̓̃ρον, ἡ ἐκ τῆς τροφῆς ἀναθυμίασις, ἐξ οὗ ἐγένετο αὕτη συμμιγνυμένη, ποιεῖ τὴν ὀσμήν; αὕτη γάρ ἐςιν, ὅταν μεταβάλλῃ. ἢ ἔδει καὶ τὰ ἄλλα τȣ̃το ποιεῖν, ὅσα ἰσχυρὰς ὀσμὰς ἔχει· νῦν δὲ οὐ ποιεῖ. ἔτι συγκρινόμενα ἐκ τῆς ἀτμίδος οὐκ εἰς τὸ ἀρχαῖον ἔρχεται, οἷον οἶνος ἐξ οἴνȣ, ἀλλ' οὐχ ὕδωρ, ὥστε καὶ τοῦτο ψεῦδος. ἀλλ' ὅτι μόνον φυσητικὸν τῆς κάτω κοιλίας τῶν ὀσμὴν ἐχόντων ἰσχυρὰν ἅμα καὶ οὐρητικόν, τὰ δὲ ἄλλα ἄνω ποιεῖ, οἷον ἡ ῥάφανος, καὶ τὰ πνεύματα ἢ οὐκ οὐρητικά. κάτω δὲ τρία ὑπάρχει ταῦτα· καὶ γὰρ ȣ̓ρητικόν, καὶ πνεῦμα ποιεῖ, καὶ τȣ̃το κάτω. ὁ δὲ τόπος ὁ πέριξ τὰ αἰδοῖα καὶ τὴν κύςιν τῶν τοιȣ́των ἀπολαύει διὰ τὴν γειτνίασιν, καὶ ὅτι πνευματικός ἐςιν· δηλοῖ δὲ ἡ συντονία τȣ̃ αἰδοίȣ. δῆλον ȣ̓̃ν ὅτι ἀφικνεῖται τὸ περίττωμα εἰς τὴν κύςιν αὐτȣ̃ μάλιςα τῶν τοιȣ́των ἅμα τῷ πνεύματι, ὃ μιγνύμενον ποιεῖ τȣ̃ ȣ̓́ρȣ τὴν ὀσμήν.

Διὰ τί τὰ ςόματα μηδὲν ἐδηδοκότων ἀλλὰ νηςευσάντων ὄζει μᾶλλον (ὃ καλεῖται νηςείας ὄζειν), φαγόντων δὲ ȣ̓κέτι, ὅτε ἔδει μᾶλλον; ἢ ὅτι κινȣμένης τῆς κοιλίας θερμότερος ὁ ἀὴρ γινόμενος διὰ τὴν ἀκινησίαν σήπει τὸ πνεῦμα καὶ τὰ φλεγματώδη περιττώματα; ὅτι δὲ θερμότερος γίνεται, σημεῖον ὅτι καὶ δίψαν ποιεῖ ἡ νηςεία μᾶλλον. φαγόντων δὲ διὰ τὸ ἐλάττων εἶναι ἡ ὀσμὴ τῆς τῶν σιτίων παύεται· κρατεῖ γὰρ τῆς θερμότητος ἡ τῶν σιτίων θερμότης, ὥςε μηθὲν πάσχειν. 7

Διὰ τί ἡ μασχάλη δυσωδέςατον τῶν τόπων; πότερον ὅτι ἀπνȣ́ςατός ἐςιν; ἔςι δὲ ἡ δυσωδία ἐν τοῖς τοιούτοις μάλιστα, διὰ τὸ σῆψιν γίνεσθαι ὑπὸ τῆς ἡσυχίας τῆς ὑγρότητος· ἢ διότι ἀκίνητος καὶ ἀγύμναςος. 8

Διὰ τί οἱ τȣ̃ γράσȣ ὄζοντες, ὅταν ἀλείφωνται μύρῳ, δυσωδέστεροι γίνονται; ἢ διότι τοῦτο ἐπὶ πολλῶν γίνεται, οἷον ὀξὺ καὶ γλυκὺ συμμιχθὲν τὸ ὅλον γλυκύτερον ἐγένετο. εἶτα ἱδρώσαντες πάντες δυσωδέςεροί εἰσι, τὸ δὲ μύρον θερμαντικόν ἐςιν· ἱδρῶτας ȣ̓̃ν παρασκευάζει. 9

Διὰ τί τῶν ἐγκύρτων καὶ κυφοτέρων δυσοσμοτέρα καὶ βαρυτέρα ἡ ὀσμὴ τȣ̃ πνεύματος; ἢ διότι συγκέκλειςαι ὁ τόπος ὁ περὶ τὸν πνεύμονα καὶ ἀνέσπαςαι ἐκ τῆς εὐθυωρίας, ὥςε ȣ̓κ εὔπνȣς, ἀλλὰ σήπεται ἡ ἰκμὰς καὶ τὸ πνεῦμα μᾶλλον εἴσω ἐγκατακλειόμενον; 10

Διὰ τί τὰ πολλὰ τῶν μύρων συνεξιδρῶσαι δυσώδη, ἔνια δὲ ἡδίω ἢ ȣ̓ χείρω; ἢ ὅσα μὲν τῇ κινήσει ἢ τῇ τρίψει μεταβάλλοντα, χείρω τὰ τοιαῦτα, ὅσα δὲ μή, τȣ̓ναντίον; ἔςι δὲ ἔνια τοιαῦτα, ὥσπερ καὶ τῶν ἀνθῶν, ἐξ ὧν γίνε- 11

5. καὶ] κατὰ X^a. ‖ τὸ $C^a X^a$. ‖ 6. γὰρ] δὲ C^a. ‖ 11. τι] τοι X^a, om C^a. ‖ θερμὰ καὶ ξηρὰ τὴν φύσιν ἐςὶ τὰ φυτὰ X^a. ‖ 14. ἀρραβία $C^a X^a$. ‖ 15. τὰ ἐκεῖθεν $C^a X^a$. ‖ 16. ȣ̓ om C^a. ‖ 24. φορῶν margo X^a, φορὰν Y^a. ‖ 25. θερμὸν] φορὸν C^a. ‖ 28. ῥέδα C^a.
1. φυσιτικὸν C^a. ‖ 2. καὶ οὐρητικὴν ἅμα X^a. ‖ 7. δὲ και ἡ X^a. ‖ 9. τὴν om $C^a Y^a$. ‖ 11. ςόματα τῶν μηδὲν C^a. ‖ 12. ὄζει $C^a Y^a$. ‖ 13. ȣ̓ $C^a Y^a$. ‖ 20. δυσωδέςατος τῶν ἄλλων τόπων y. ‖ 21. δὲ δυσωδία μάλιςα ἐν τοῖς τοιούτοις y. ‖ 23. ὑγρότητος y: ceteri κινήτητος. ‖ ἢ om y. ‖ διότι] ὅτι καὶ X^a. ‖ 24. πράσȣ C^a. ‖ ἀλείψωνται y. ‖ 25. γίνονται] εἰσι y. ‖ ἐπὶ πολλῶν τοῦτο y. ‖ 62. οἷον om y. ‖ καὶ — 27. εἶτα] ἢ ὅτι πάλιν y. ‖ 27. ἱδρώσαντες ante εἶτα X^a, post πάντες $C^a Y^a$. ‖ 31. ἀνέσπαρται $C^a X^a Y^a$. ‖ 33. εἴσω μᾶλλον X^a. ‖ κατακλειόμενον C^a, ἐγκατακεκλεισμένον X^a. ‖ 35. τῇ post ἢ et 36. τὰ om $X^a Y^a$. ‖ 36 ὅσα — 37. τοιαῦτα om C^a.

εὐωδίαι, τὰ μὲν τριβόμενα ἢ θερμαινόμενα ἢ ξη-
να φαῦλα, οἷον τὰ λευκόϊα, τὰ δὲ ὅμοια, οἷον τὰ
ϲαὶ τῶν μύρων δὴ ὅσα ἐκ τοιύτων ἐςί, μεταβάλ-
δὲ ὔ· διὸ τὸ ῥόδινον ἥκιςα. καὶ δυσώδη δὲ φαί-
άλλον, ὅσων οἱ ἱδρῶτες δυσώδεις, καὶ διὰ τὸ μί-
τῷ ἐναντίῳ, ὥσπερ τὸ μέλι μετὰ τῦ ἁλὸς ὐ μᾶλ-
υκὺ ἀλλ' ἧττον.
ιὰ τί πάντα μᾶλλον ὄζει κινύμενα; ἢ διότι ἀνα-
ησι τὸν ἀέρα; διαπέμπεται ὖν θᾶττον ἡ ὀσμὴ πρὸς
θησιν.

ΙΔ. ΟΣΑ ΠΕΡΙ ΚΡΑΣΕΙΣ.

ιὰ τί θηριώδεις τὰ ἔθη καὶ τὰς ὄψεις οἱ ἐν ταῖς
λαῖς ὄντες ἢ ψύχυς ἢ καύματος; ἢ διὰ τὸ αὐτό;
άρίςη κρᾶσις καὶ τῇ διανοίᾳ συμφέρει, αἱ δὲ ὑπερ-
ἐξιςᾶσι, καὶ ὥσπερ τὸ σῶμα διαςρέφυσιν, ὕτω καὶ
διανοίας κρᾶσιν.
ιὰ τί ἐν τῷ Πόντῳ ὁ σῖτος ἐαθεὶς ἐν τῷ ψύχει
ἔτη γίνεται ἄκοπος; ἢ ὅτι ἐξικμάζεται τὸ ἀλλό-
γρὸν μετὰ τοῦ θερμοῦ, ὥσπερ ἐν ταῖς σταφυλαῖς;
ν γὰρ ὑπὸ τῦ ψυχρῦ, ἔνια δὲ ἅμα τῷ θερμῷ.
ιὰ τί ἐν τῇ ψυχροτάτῃ χώρᾳ οἱ καῦσοι μᾶλλον
; ἢ διότι ἀντιπεριίςησι τὸ ψῦχος εἴσω τὴν θερμό-
ν δὲ τῷ θέρει τὐναντίον συμβαίνει, τὰ εἴσω ψυχρό-
δὲ καῦσος πυρετὸς τῶν ἔξω κατεψυγμένων τὰ
μότητι ὑπερβάλλει.
ιὰ τί οἱ Αἰθίοπες καὶ οἱ Αἰγύπτιοι βλαισοί εἰσιν;
ὑπὸ θερμῦ, ὥσπερ καὶ τὰ ξύλα διαςρέφεται ξη-
να, ὕτω καὶ τὰ τῶν ζῴων σώματα; δηλῦσι δὲ καὶ
ες· ὐλοτέρας γὰρ ἔχυσιν, ἡ δὲ ὐλότης ἐςὶν ὥσπερ
της τῶν τριχῶν.
ιὰ τί ἐν τοῖς νοτίοις μᾶλλον θηλυτοκῦσιν αἱ ὀχεῖαι; ἢ
λεῖον ὑγρὸν βραδύτερον παχύνεται; ἐν δὲ τοῖς νοτίοις
ὑγρότητα τῆς κράσεως ὑγρότερον τὸ σπέρμα γίνεται.
ιὰ τί ἐν τοῖς ἑλώδεσι τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη
γιάζεται, τὰ δὲ ἐν ταῖς κνήμαις μόλις; ἢ ὅτι βα-
ὑγρότης διὰ τὸ γεώδης εἶναι, τὰ δὲ βαρέα εἰς τὸ
ποχωρεῖ; τὰ μὲν ὖν ἄνω εὔπεπτα διὰ τὸ ὑποκε-
ναι εἰς τὸ κάτω, τὰ δὲ κάτω πολλῆς γέμει τῆς
σεως καὶ εὐσήπτυ.

Διὰ τί οἱ μὲν ἐν τοῖς εὐπνόοις τόποις βραδέως γη- 7
ράσκυσιν, οἱ δὲ ἐν τοῖς κοίλοις καὶ ἑλώδεσι ταχέως; ἢ τὸ
γῆρας σηπεδών τίς ἐςι, σήπεται δὲ τὸ ἠρεμῦν· τὸ δὲ ἐν
κινήσει ὂν ἢ ὅλως ἀσαπὲς ἢ ἧττον τῦτο πάσχει, οἷον τὸ
ὕδωρ. ἐν μὲν ὖν τοῖς ὑψηλοῖς διὰ τὴν εὔπνοιαν ὁ ἀὴρ ἐν
κινήσει ἐςίν, ἐν δὲ τοῖς κοίλοις μένει. ἔτι δὲ ἐκεῖ μὲν διὰ
τὴν κίνησιν ἀεὶ καθαρὸς ὁ ἀὴρ καὶ ἕτερος γίνεται, ἐν δὲ
τοῖς ἑλώδεσι μένει.

Διὰ τί οἱ μὲν ἐν τοῖς θερμοῖς τόποις δειλοί εἰσιν, οἱ 8
δὲ ἐν τοῖς ψυχροῖς ἀνδρεῖοι; ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ (p. 910. a. 2…)
ταῖς ὥραις ἡ φύσις ἔχει, διὰ τὸ ὁμοίως ἐχόντων ἀνάγκη
διακαίεσθαι ταχέως. ἀνδρεῖοι δέ εἰσιν οἱ τὴν φύσιν θερμοί,
δειλοὶ δὲ οἱ κατεψυγμένοι. συμβαίνει δὲ τὺς μὲν ἐν τοῖς
θερμοῖς ὄντας κατεψῦχθαι, τὺς δὲ ἐν τοῖς ψυχροῖς ἐκτε-
θερμάνθαι τὴν φύσιν. μεγάλοι δὲ ἄμφω εἰσίν, οἱ μὲν ἐν
τοῖς ψυχροῖς διὰ τὴν ἐν αὐτοῖς σύμφυτον θερμότητα, οἱ
δ' ἐν τοῖς θερμοῖς διὰ τὴν ἐν τῷ τόπῳ· ἐν γὰρ τοῖς θερ-
μοῖς καὶ ὑπὸ τῦ θερμῦ αὐξάνονται. τὸ δὲ ψῦχος πιλη-
τικόν ἐςιν. ἅτε ὖν τῶν μὲν ἐν αὐτοῖς ἐχόντων τὴν ἀρχὴν
τῆς αὐξήσεως σφοδράν, τῶν δὲ οὐ κωλυομένων ὑπὸ τῆς
ἔξωθεν ψυχρότητος, εἰκότως ἐπὶ πολὺ τὴν αὔξησιν ἐπιδέ-
χονται. οἱ δὲ περὶ ἡμᾶς ἧττον διὰ τὸ ἐλάττω τε ἔχειν
τὴν ἀρχὴν ἐν αὐτοῖς, καὶ διὰ τὸ τὺς ἐν τοῖς ψυχροῖς συμ-
πιλεῖσθαι.

Διὰ τί μακρόβιοι μᾶλλόν εἰσιν οἱ ἐν τοῖς θερμοῖς τό- 9
ποις οἰκῦντες; ἢ διὰ τὸ ξηροτέραν ἔχειν τὴν φύσιν, τὸ δὲ
ξηρότερον ἀσαπέςερον εἶναι καὶ πολυχρονιώτερον, τὸν δὲ
θάνατον οἷον σῆψίν τινα εἶναι; ἢ διότι ὁ μὲν θάνατός ἐςι
ψύξις τοῦ ἐντὸς θερμοῦ, καταψύχεται δὲ πᾶν ὑπὸ τοῦ
περιέχοντος καὶ ψυχροτέρυ; ἔςι δὲ ὁ περιέχων ἀὴρ ἐν
μὲν τοῖς ἀλεεινοῖς τόποις θερμός, ἐν δὲ τοῖς ψυχροῖς
ψυχρός, ὥςε θᾶττον καὶ μᾶλλον φθείρει τὸ ἐν αὐτοῖς
θερμόν.

Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις μακροβιώτεροι; ἢ 10
ὅτι μᾶλλον τὸ θερμὸν καὶ τὸ ὑγρὸν σώζυσιν; ὁ γὰρ θά-
νατος ἡ τύτων φθορά.

Διὰ τί ἐν τοῖς ἑλώδεσι τόποις ὑπνωδέςεροι γινόμεθα; 11
ἢ διότι κατεψυγμένοι μᾶλλον ἐν αὐτοῖς ἐσμέν, ἡ δὲ κα-
τάψυξις ἡσυχία τις ὖσα παρασκευάζει ὕπνον, ὁ δὲ ὕπνος
ἐν τῷ ἡσυχάζειν παραγίνεται.

αἱ om Cᵃ. ‖ 3. δὲ Cᵃ. ‖ ἐκ τῶν τούτων Xᵃ. ‖ 4. διὰ Cᵃ. ‖ ῥόδιον Xᵃ. ‖ δὲ om Xᵃ. ‖ 8. ἀναπίπλησι Cᵃ. ‖ 16. ἐξιςῶσι
9. τῆς om CᵃYᵃ. ‖ 40. περιπτώσεως Xᵃ.
βραδέως — 9. τόποις om Cᵃ. ‖ 5. ὁ om Yᵃ. ‖ 9. εἰσίν om Cᵃ. ‖ 9 et 16. οἱ δὲ ἐν] ἐν δὲ Xᵃ. ‖ 14. δὲ om Cᵃ. ‖ 18.
Cᵃ. ‖ 23. συμπιλοῦσθαι CᵃYᵃ. ‖ 27. εἶναι om Cᵃ. ‖ 32. θᾶττον] μᾶλλον Cᵃ. ‖ 35. τὸ post καὶ om Xᵃ. ‖ 38. ὅτι Xᵃ.

12 Διὰ τί οἱ ἐν τοῖς πλοίοις εὔχροοι, ἐπὶ ὕδατος διαιτώμενοι, μᾶλλον τῶν ἐν τοῖς ἕλεσιν; ἢ ἡ ὥρα καὶ τὸ εὔπνουν αἴτιον; ὠχροὺς δὲ τὸ ὕδωρ ποιεῖ, ὅταν σήπηται, ὃ πάσχει δι' ἀκινησίαν· διὸ ἐν τοῖς ἑλώδεσιν ὕπωχροι.

13 Διὰ τί ἐν τοῖς χειμερινοῖς χωρίοις πνίγη σφοδρὰ γίνεται πολλά, καὶ μᾶλλον ἢ ἐν τοῖς ἀλεεινοῖς; πότερον διὰ τὴν ὑγρότητα τοῦ ἀέρος; ἀπὸ γὰρ τῆς αὐτῆς θερμότητος ὕδωρ θερμότερον γίνεται τοῦ ἀέρος, ὥστε καὶ ὁ ἀὴρ ὑγρότερος τοῦ θερμοῦ. ἢ οὐδὲ ἔστι ξηρότερος ὁ ἀὴρ ἐν τοῖς τόποις τοῖς τοιούτοις, ἀλλὰ φαίνεται παρὰ τὸ ἐναντίον, ὥσπερ ὁ ἐκ νεφέλης ἥλιος παρὰ τὸ ἐκ τῆς σκιᾶς θιγγάνεσθαι.

14 Διὰ τί οἱ πρὸς μεσημβρίαν οἰκοῦντες μᾶλλόν εἰσι μελανόφθαλμοι; ἢ γλαυκὰ μέν ἐστι τὰ ὄμματα δι' ὑπερβολὴν τοῦ ἐντὸς θερμοῦ, μέλανα δὲ διὰ τὴν τούτου ἀπουσίαν, ὥσπερ καὶ Ἐμπεδοκλῆς φησίν. καθάπερ οὖν τῶν πρὸς ἄρκτον οἰκούντων γλαυκὰ τὰ ὄμματά ἐστι τῷ τὸ ἐντὸς θερμὸν κωλύεσθαι διεκπίπτειν διὰ τὸ ἐκτὸς ψυχρόν, οὕτω τῶν πρὸς μεσημβρίαν οἰκούντων τὸ μὲν ὑγρὸν διὰ τὸ περιέχον θερμὸν οὐκ ἐκπίπτει, τὸ δὲ θερμὸν μηδενὸς ἀντιφράττοντος ἐκπίπτει, τὸ δὲ λειπόμενον ὑγρὸν μέλαν ποιεῖ· τῇ γὰρ τοῦ φωτὸς ἀπουσίᾳ τὸ λειπόμενόν ἐστι σκοτῶδες. ἢ τοῖς τοῦ λοιποῦ σώματος χρώμασιν ὁμοιοῦται τὸ ἐν τῷ ὀφθαλμῷ χρῶμα; διὸ τῶν πρὸς ἄρκτον λευκῶν ὄντων γλαυκὰ τὰ ὄμματα (τοῦ γὰρ λευκοῦ τοῦτο ἐγγὺς τὸ χρῶμα), καὶ τῶν πρὸς μεσημβρίαν μελάνων ὄντων μέλανα καὶ τὰ ὄμματα.

15 Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις σοφώτεροί εἰσιν ἢ ἐν τοῖς ψυχροῖς; πότερον διὰ τὸ αὐτὸ δι' ὅπερ καὶ οἱ γέροντες τῶν νέων; οἱ μὲν γὰρ διὰ τὴν ψυχρότητα τοῦ τόπου ἐπανιούσης τῆς φύσεως αὐτῶν θερμότεροί εἰσι πολύ, ὥστε λίαν μεθύουσιν ἐοίκασι, καὶ οὐκ εἰσὶ ζητητικοὶ ἀλλὰ ἀνδρεῖοι καὶ εὐέλπιδες· οἱ δὲ ἐν τοῖς ἀλεεινοῖς νήφουσι διὰ τὸ κατεψῦχθαι. πανταχοῦ δὲ οἱ φοβούμενοι τῶν θαρρούντων μᾶλλον ἐπιχειροῦσι ζητεῖν, ὥστε καὶ εὑρίσκουσι μᾶλλον. ἢ διὰ τὸ πολυχρονιώτερον τὸ γένος εἶναι τοῦτο, τοὺς δὲ ὑπὸ τοῦ κατακλυσμοῦ ἀπολέσθαι, ὥστε εἶναι καθάπερ νέους πρὸς γέροντας τοὺς ἐν τοῖς ψυχροῖς τόποις πρὸς τοὺς ἐν τοῖς θερμοῖς οἰκοῦντας.

16 Διὰ τί οἱ μὲν ἐν τοῖς θερμοῖς τόποις δειλοί εἰσιν, οἱ δὲ ἐν τοῖς ψυχροῖς ἀνδρεῖοι; ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ ταῖς ὥραις ἡ φύσις ἔχει, διὰ τὸ ὁμοίως ἐχόντων διακαίεσθαι ἂν ταχέως; ἀνδρεῖοι δέ εἰσιν οἱ τὴν φύσιν θερμοί, δειλοὶ δὲ οἱ κατεψυγμένοι. συμβαίνει δὴ τοὺς μὲν ἐν τοῖς θερμοῖς ὄντας καταψύχεσθαι (ἀραιοῦ γὰρ ὄντος αὐτοῖς τοῦ σώματος τὸ θερμὸν αὐτῶν ἔξω διεκπίπτει), τοὺς δ' ἐν τοῖς ψυχροῖς ἐκτεθερμάνθαι τὴν φύσιν διὰ τὸ ἐκ τοῦ ἐκτὸς ψύχους πυκνοῦσθαι τὴν σάρκα, πυκνουμένης δὲ ἐντὸς συστέλλεσθαι τὸ θερμόν.

ΙΕ. ΟΣΑ ΜΑΘΗΜΑΤΙΚΗΣ ΜΕΤΕΧΕΙ ΘΕΩΡΙΑΣ.

Διὰ τί διάμετρος καλεῖται μόνη τῶν δίχα διαιρουσῶν τὰ εὐθύγραμμα ἡ ἐκ γωνίας εἰς γωνίαν ἀχθεῖσα γραμμή; ἢ ὅτι διάμετρος δίχα διαιρεῖ, καθάπερ τοὔνομα ὑποσημαίνει, οὐ φθείρουσα τὸ μετρούμενον; ἡ μὲν οὖν κατὰ τὰς συνθέσεις διαιροῦσα (λέγω δὲ τὰς γωνίας) διάμετρος ἔσται· οὐ γὰρ φθείρει ἀλλὰ διαιρεῖ, καθάπερ οἱ τὰ στρατιωτικὰ σκεύη διαιροῦντες. ἡ δὲ κατὰ τὰς γραμμὰς σύνθετα τέμνουσα φθείρει· σύγκειται γὰρ τὸ εὐθύγραμμον κατὰ τὰς γωνίας.

2 Διὰ τί διάμετρος καλεῖται; ἢ διότι δίχα μόνη διαιρεῖ; ὥσπερ οὖν εἴ τις εἴποι διχάμετρός ἐστιν. καὶ διὰ τί μόνη τῶν δίχα τοῦτο καλεῖται. ἢ ὅτι κατὰ μέλη ᾗ κέκαμπται μόνη διαιρεῖ, αἱ δὲ ἄλλαι κατὰ πλευράς;

3 Διὰ τί πάντες ἄνθρωποι, καὶ βάρβαροι καὶ Ἕλληνες, εἰς τὰ δέκα καταριθμοῦσι, καὶ οὐκ εἰς ἄλλον ἀριθμόν, οἷον β', γ', δ', ε', εἶτα πάλιν ἐπαναδιπλοῦσιν, ἓν πέντε, δύο πέντε, ὥσπερ ἕνδεκα, δώδεκα; οὐδ' αὖ ἐξωτέρω παυσάμενοι τῶν δέκα, εἶτα ἐκεῖθεν ἐπαναδιπλοῦσιν; ἔστι μὲν γὰρ ἕκαστος τῶν ἀριθμῶν ὁ ἔμπροσθεν καὶ ἓν ἢ δύο, καὶ οὗτος ἄλλος τις, ἀριθμοῦσι δ' ὅμως ὁρίσαντες ἄχρι τῶν δέκα. οὐ γὰρ δὴ ἀπὸ τύχης γε αὐτὸ ποιοῦντες φαίνονται καὶ ἀεί· τὸ δὲ ἀεὶ καὶ ἐπὶ πάντων οὐκ ἀπὸ τύχης, ἀλλὰ φυσικόν. πότερον ὅτι τὰ δέκα τέλειος ἀριθμός; ἔχων γὰρ πάντα τὰ τοῦ ἀριθμοῦ εἴδη, ἄρτιον περιττόν, τετράγωνον κύβον, μῆκος ἐπίπεδον, πρῶτον σύνθετον. ἢ ὅτι ἀρχὴ ἡ δεκάς; ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέτταρα γίνεται δεκάς. ἢ ὅτι τὰ φερόμενα σώματα ἐννέα; ἢ ὅτι ἐν δέκα ἀναλογίαις τέτταρες κυβικοὶ ἀριθμοὶ ἀποτελοῦνται, ἐξ ὧν φασὶν ἀριθμῶν οἱ Πυθαγόρειοι τὸ πᾶν συνεστάναι; ἢ ὅτι πάντες ὑπῆρξαν ἄνθρωποι ἔχοντες δέκα δακτύλους; οἷον οὖν ψήφους ἔχοντες τοῦ οἰκείου

1. ἐπὶ] οἱ ἐν τῷ C^a. ‖ 2. ἢ] καὶ C^aY^a. ‖ 3. σήπεται X^a. ‖ 9. τοῖς om X^a. ‖ 16. τὰ om codices. ‖ 17. ἐντὸς X^a. ‖ 19. τὸ δὲ — 20. ἐκπίπτει om pr Y^a. ‖ 24. τοῦ — 25. ὄμματα om C^a. ‖ 29. αὐτοῦ C^aY^a. ‖ 31. νήφουσι post 32. θαρρούντων C^a. ‖ 32. καταψεψύχθαι C^a.

1. διακναίεσθαι C^aY^a. ‖ 2. ἀνδρεῖοι δὲ] διότι ἀνδρεῖοι v. ‖ 3. ἐν om Y^a. ‖ 6. ἐκ τοῦ om C^a. ‖ ἐντὸς C^aY^a. ‖ 12. γωνίας X^a. ‖ 19. ὅτι C^aY^a. ‖ μόνον X^a. ‖ 20. διάμετρος codices. ‖ διὰ τί] διότι codices. ‖ 21. ὅτι ἢ κατὰ μέρη X^a. ‖ ᾗ] ὡς C^a. ‖ κέκαπται X^a. ‖ 24. εἰς τὰ] ἐς τὰ C^aX^a. ‖ 28. οὕτως? ‖ 30. ποιοῦντες πάντες φ.? ‖ 34. διχάς Y^a. ‖ καὶ om C^a. ‖ 36. τέσσαρες X^a.

ἀριθμοῦ, τούτῳ τῷ πλήθει καὶ τἆλλα ἀριθμοῦσιν. μόνοι δὲ ἀριθμοῦσι τῶν Θρᾳκῶν γένος τι εἰς τέτταρα, διὰ τὸ ὥσπερ τὰ παιδία μὴ δύνασθαι μνημονεύειν ἐπὶ πολύ, μηδὲ χρῆσιν μηδενὸς εἶναι πολλοῦ αὐτοῖς.

4 ὅτι ἡ γῆ κέντρον· ἀεὶ γὰρ ὅμοια τὰ φαινόμενα ἡμῖν σχήματα. δοκεῖ τοῦτο εἶναι, ἐὰν μὴ ἀπὸ τοῦ μέσου τις θεωρῇ, ἀλλ' ὁτὲ μὲν τρίγωνα ὁτὲ δὲ τραπέζια ὁτὲ δὲ ἀλλοῖα ἐδόκει ἡ γῆ μέσον ἡμῖν, εἰ ἀπὸ τούτων ἔνι ἡμᾶς θεωρεῖν. οὔσης γὰρ σφαιροειδοῦς τῆς γῆς ταὐτὸ κέντρον τούτου καὶ τῆς γῆς ἔσται. ἡμεῖς δὲ ἐπάνω τῆς γῆς οἰκοῦμεν, ὥστε οὐκ ἀπὸ τούτου, ἀλλὰ τὸ ἥμισυ τῆς διαμέτρου ἀφεστῶσιν ἡμῖν τοιαῦτα φαίνεται. τί οὖν κωλύει πλέονος γενομένου τοῦ διαστήματος διαμένειν τὴν τῶν σχημάτων φαντασίαν;

5 Διὰ τί τοῦ ἡλίου ὁμοτόνως φερομένου ἐν τῷ ἴσῳ χρόνῳ, οὐχ ἡ αὐτὴ αὔξησις καὶ φθίσις τῶν σκιῶν; ἢ ὅτι ἴσαι γίνονται αἱ γωνίαι πρὸς τὰ ὁρώμενα, αἱ ἀπὸ τῶν ἀκτίνων ὑπὸ ταῖς ἴσαις περιφερείαις; εἰ δ' αὗται καὶ ἐμβαλλόμεναι ποιοῦσιν ἀκτῖνας ἐν τῷ τριγώνῳ, ὅπερ ἔχεται ὑπό τε τῆς πρώτης ἀκτῖνος καὶ τοῦ ὁρωμένου καὶ τῆς σκιᾶς. εἰ δ' αἱ γωνίαι ἴσαι, ἀνάγκη τὴν πορρωτέρω γραμμὴν τοῦ ὁρωμένου μείζω εἶναι τῆς ἐγγυτέρω· τοῦτο γὰρ ἴσμεν. διῃρήσθω οὖν ἡ περιφέρεια εἰς ἴσα ὁσαοῦν πλήθει, ὁράσθω δὲ τὸ Θ. ὅταν οὖν ὁ ἥλιος ἐπὶ τοῦ Α προσλαβὼν τὸ Θ ποιήσῃ τινὰ σκιὰν ἐν τῷ Θ Α, ἀνάγκη δὴ τὴν ἀκτῖνα ἐπὶ τὸ Α πίπτειν. ὅταν δ' ἔλθῃ ἐπὶ τὸ Β, ἡ ἀπὸ τοῦ Β ἀκτὶς ἐντὸς τῆς Θ Α πεσεῖται, καὶ ὅταν πάλιν ἐπὶ τὸ Γ μεταβῇ, ὡσαύτως· εἰ δὲ μή, εὐθεῖα εὐθείας δίχῃ ἅψεται. ἐπεὶ οὖν ἴση ἡ Α Β τῇ Β Γ, καὶ αἱ γωνίαι αἱ ὑπὸ ταύτης αἱ πρὸς τῷ Δ ἴσαι ἔσονται· πρὸς τῷ κέντρῳ γάρ. εἰ δὲ τῇ τοῦ Δ, καὶ ἐν τῷ τριγώνῳ· κατὰ κορυφὴν γὰρ ταύταις. ὥστ' ἐπεὶ εἰς ἴσα διαιρεῖται ἡ γωνία, μείζων ἔσται ἡ Δ Ε τῆς Ε Ζ τῇ Δ Θ. ὁμοίως δὲ καὶ αἱ ἄλλαι ἃς ποιοῦσιν αἱ ἀπὸ τῆς περιφερείας ἀκτῖνες. ἅμα δὲ δῆλον καὶ ὅτι κατὰ μεσημβρίαν ἐλαχίστην ἀναγκαῖον εἶναι τὴν σκιάν, καὶ ὅτι αἱ ἐπιδόσεις τότε ἐλάχισται. μάλιστα γὰρ καθ' ἡμᾶς ὁ ἥλιος τῆς μεσημβρίας ἐστί, καὶ πνῖγος γίνεται διά τε τὴν εἰρημένην αἰτίαν, καὶ ὅτι ἀπνεύματος· ὅταν γὰρ διακρίνῃ τὸν πρὸς τῇ γῇ ἀέρα, πνεῦμα γίνεται. εἰ οὖν ἅμα ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις, εἰκότως ἂν αἱ μέσαι νύκτες καὶ ἡ μεσημβρία ἀπνεύματοι εἶεν.

Διὰ τί ὁ ἥλιος διὰ τῶν τετραπλεύρων διέχων οὐκ εὐθύ- 6
γραμμα ποιεῖ τὰ σχήματα ἀλλὰ κύκλους, οἷον ἐν ταῖς ῥιψίν; ἢ ὅτι ἡ τῶν ὄψεων ἔκπτωσις κῶνός ἐστι, τοῦ δὲ κώνου κύκλος ἡ βάσις, ὥστε πρὸς ὃ ἂν προσπίπτωσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, κυκλοτερεῖς φαίνονται. ἀναγκαῖον μὲν γάρ ἐστι καὶ τὸ ὑπὸ τοῦ ἡλίου σχῆμα ὑπ' εὐθειῶν περιέχεσθαι, εἴπερ αἱ ἀκτῖνες εὐθεῖαι. ὅταν γὰρ εὐθεῖαι πρὸς εὐθεῖαν προσπίπτωσιν, εὐθύγραμμον ποιοῦσιν. ἐπὶ δὲ τῶν ἀκτίνων συμβαίνει τοῦτο· πρὸς εὐθεῖαν γὰρ προσπίπτουσι τὴν τοῦ ῥιπὸς γραμμήν, ἢ δι' οὗ λάμπουσι, καὶ αὐταὶ εὐθεῖαί εἰσιν, ὥστε πρὸς εὐθεῖαν ἔσται ἡ ἔκπτωσις. ἀλλὰ διὰ τὸ ἀσθενεῖς εἶναι τὰς ἀποσχιζομένας ἀπὸ τῶν ὄψεων πρὸς τὰ ἄκρα τῶν εὐθειῶν, οὐχ ὁρᾶται τὰ ἐν ταῖς γωνίαις· ἀλλ' ὅσον μὲν τῆς εὐθείας ἐνυπάρχει ἐν τῷ κώνῳ, ποιεῖ αὐτήν, τὸ δὲ λοιπὸν οὐ ποιεῖ, ἀλλὰ λανθάνουσιν αἱ ὄψεις ἐπιπίπτουσαι. πολλὰ γὰρ οὐχ ὁρῶμεν ἐφ' ἃ διικνεῖται ἡ ὄψις, οἷον τὰ ἐν τῷ σκότει. ὅμοιον δὲ τούτῳ καὶ τὸ τὸ τετράγωνον πολυγωνοειδὲς φαίνεσθαι, ἐὰν δὲ πλέον ἀφιστῇ, κύκλον. ὄντος γὰρ κώνου τῆς τῶν ὄψεων ἐκπτώσεως, ἀφισταμένου τοῦ σχήματος εἰς τὸ πόρρω αἱ μὲν εἰς τὰς γωνίας ἀποσχιζόμεναι τῶν ὄψεων διὰ τὸ ἀσθενεῖς εἶναι καὶ ὀλίγαι οὐχ ὁρῶσι, πλέονος τοῦ ἀποστήματος γινομένου, αἱ δὲ εἰς τὸ μέσον προσπίπτουσαι, ἀθρόαι καὶ ἰσχυραὶ οὖσαι, διαμένουσιν. ἐγγὺς μὲν οὖν ὄντος τοῦ σχήματος δύνανται καὶ τὰ ἐν ταῖς γωνίαις ὁρᾶν, πόρρω δὲ αὐτοῦ γινομένου ἀδυνατοῦσιν. διὸ καὶ ἡ περιφερὴς ἀπαγομένη εὐθεῖα φαίνεται. καὶ ἡ σελήνη ὑπὸ εὐθειῶν δοκεῖ περιέχεσθαι τῇ ὀγδόῃ, ἐὰν μὴ κατὰ τὸ πλάτος ἀλλὰ κατὰ τὴν περιέχουσαν γραμμὴν αἱ ὄψεις προσπίπτωσιν. ἐγγὺς μὲν γὰρ οὔσης τῆς περιφερείας δύνανται διακρίνειν αἱ ὄψεις, ὅσῳ ἐγγύτερόν ἐστι θάτερον θατέρου μέρους τῆς περιφερείας· πόρρω δὲ γινομένης οὐ διαισθάνεται, ἀλλὰ δοκεῖ αὐτῇ ἐξ ἴσου εἶναι. διὸ καὶ εὐθεῖα φαίνεται.

Διὰ τί τῆς σελήνης σφαιροειδοῦς οὔσης εὐθεῖαν ὁρῶμεν, 7
ὅταν ᾖ διχότομος; ἢ ὅτι ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἡ ὄψις γίνεται καὶ ἡ τοῦ κύκλου περιφέρεια, ἣν ὁ ἥλιος ποιεῖ προσβάλλων τῇ σελήνῃ; ὅτε δὲ τοῦτο γένοιτο, εὐθεῖα γραμμὴ ἐφαί-

7. παρατραπέζια X^a. ‖ 8. μέσον ὕδωρ ἡμῖν εἰ ἀπὸ τούτου X^a. ‖ 9. γῆς alterum om X^a. ‖ 11. ἀφεστῶσαν C^a, ἀφεστᾶσιν X^a. ‖ 12. οὖν] οὐ $C^a Y^a$. ‖ κωλύσει C^a. ‖ 16. ὑπὸ $C^a X^a Y^a$. ‖ 25. ἐκτὸς $C^a Y^a$. ‖ 26. Γ] = C^a. ‖ 28. τὸ $C^a X^a$. ‖ 31. ἡ Δ Ε] τῇ δ ε X^a. ‖ 32. αἱ ante ἀπὸ om C^a. ‖ 35. ποτὲ $C^a Y^a$.

4. ῥύψεσιν codices. ‖ 5. ἡ om X^a. ‖ 6. πίπτωσιν C^a. ‖ 9. εὐθεῖα X^a. ‖ 11. συμπίπτουσι C^a. ‖ 12. ἢ X^a. ‖ αὗται codices. ‖ πρὸς τὴν εὐθεῖαν C^a. ‖ 13. ἀσθενὲς Y^a. ‖ 16. ἐνυπάρχον C^a. ‖ 17. ἐκπίπτουσαι C^a. ‖ 19. τούτου X^a. ‖ τὸ alterum om $C^a X^a$. ‖ 21. τὰ C^a. ‖ 25. δύναται $C^a X^a Y^a$. ‖ 26. πόρρω] πλεῖον $C^a Y^a$ et pr X^a, πλείονος rc X^a. ‖ αὐτῶν Y^a. ‖ γενομένου $X^a Y^a$. ‖ 28. ἀπὸ C^a. ‖ περιέχεσθαι δοκεῖ $X^a Y^a$. ‖ 29. τὴν περιφέρειαν περιέχουσαν C^a. ‖ 30. προσπίπτουσιν X^a. ‖ 31. διακρίνεσθαι C^a. ‖ 33. εἶναι om X^a. ‖ 38. ὅτι $C^a X^a$.

νετο ὁ ἥλιος. ἐπεὶ γὰρ ἀνάγκη τὸ προσβάλλον τὰς ὄψεις πρὸς τὴν σφαῖραν κύκλον ὁρᾶν, ἡ δὲ σελήνη σφαιροειδής, καὶ ὁ ἥλιος ὁρᾷ αὐτήν, κύκλος ἂν εἴη ὁ ὑπὸ τȣ͂ ἡλίȣ γινόμενος. οὗτος οὖν ὅταν μὲν ἐξ ἐναντίας ἡμῖν γένηται, ὅλος φαίνεται καὶ δοκεῖ πανσέληνος εἶναι· ὅταν δὲ παραλλάττῃ διὰ τὴν τȣ͂ ἡλίου μετάβασιν, ἡ περιφέρεια αὐτȣ͂ κατὰ τὴν ὄψιν γίνεται, ὥςε εὐθεῖα φαίνεται. τὸ δὲ ἕτερον μέρος περιφερές, ὅτι ἐξ ἐναντίας κεῖται τῇ ὄψει ἡμισφαίριον. τὸ δὲ τοιοῦτο ἐφαίνετο ἡμικύκλιον. ἀεὶ γὰρ ἡ σελήνη κατ' ἀντικρύ ἐςι τῆς ὄψεως. ἀλλ' ὅταν ὁ ἥλιος ἐπιβάλλῃ, ȣ̓χ ὁρῶμεν, καὶ ἀναπληρȣ͂ται μετὰ τὴν ὀγδόην ἐκ τȣ͂ μέσȣ, ὅτι ἐπιπαρεξιὼν ὁ ἥλιος ἐκκλινέςερον ἡμῖν ποιεῖ τὸν κύκλον. ȣ̔́τω δὲ τιθέμενος πρὸς τὴν ὄψιν ὁ κύκλος κώνου τομῇ ἐμφερὴς ἐγένετο. μηνοειδὴς δὲ φαίνεται, ὅταν ὁ ἥλιος μεταβῇ. ὅταν γὰρ κατὰ τὰ ἔσχατα σημεῖα, καθ' ἃ διχότομος φαίνεται, ὁ κύκλος ὁ τȣ͂ ἡλίȣ γένηται, περιφέρεια φαίνεται ἡ τȣ͂ κύκλȣ. οὐ γὰρ ἔτι κατ' εὐθεῖάν ἐστι τῇ ὄψει, ἀλλὰ παραλλάττει. τȣ́τȣ δὲ γινομένȣ, καὶ διὰ τῶν αὐτῶν σημείων τȣ͂ κύκλȣ ὄντος, ἀνάγκη μηνοειδῆ φαίνεσθαι. μέρος γάρ τι τȣ͂ κύκλου κατὰ τὴν ὄψιν εὐθύς ἐςι, τȣ͂ προτέρȣ ἐξ ἐναντίας ὄντος, ὥςε τȣ͂ λαμπρȣ͂ ἀποτέμνεται· εἶθ' ȣ̔́τως καὶ τὰ ἄκρα μένȣσιν ἐν τῷ αὐτῷ, ὥςε ἀνάγκη μηνοειδῆ φαίνεσθαι. μᾶλλον δὲ καὶ ἧττον διὰ τὴν τȣ͂ ἡλίȣ κίνησιν. μεταβαίνοντος γὰρ τȣ͂ ἡλίȣ καὶ ὁ κύκλος ὃν ὁρᾷ ἐπιςρέφεται, ἐν τοῖς αὐτοῖς σημείοις ὤν· ἀπείρȣς γὰρ ἐγκλίσεις ἐγχωρεῖ αὐτὸν κλιθῆναι, εἴπερ γραφῆναι τȣ̀ς μεγίςȣς κύκλȣς διὰ τῶν αὐτῶν σημείων ἀπείρȣς ἐνδέχεται.

8 Διὰ τί ὁ ἥλιος καὶ ἡ σελήνη σφαιροειδῆ ὄντα ἐπίπεδα φαίνεται; ἢ ὅτι πάντων ὅσων τὸ ἀπόστημα ἄδηλον, ὅτε πλεῖον ἢ ἔλαττον ἀφέςηκεν, ἐξ ἴσȣ φαίνονται; ὥςε καὶ ἐφ' ἑνὸς μὲν μόρια δ' ἔχοντος, ἂν μὴ τῇ χρόᾳ διαφέρῃ, ἀνάγκη τὰ μόρια ἐξ ἴσȣ φαίνεσθαι. τὸ δ' ἐξ ἴσȣ ὁμαλὸν καὶ ἐπίπεδον ἀνάγκη δοκεῖν εἶναι.

9 Διὰ τί τὰς σκιὰς ποιεῖ ὁ ἥλιος ἀνίσχων καὶ δύνων μακράς, αἰρόμενος δὲ ἐλάττȣς, ἐπὶ τῆς μεσημβρίας δ' ἐλαχίςας; ἢ ὅτι ἀνίσχων τὸ μὲν πρῶτον παράλληλον ποιήσει τὴν σκιὰν τῇ γῇ, καὶ ἄπειρον ὡς ἄνισον ὑπερτείνει, ἔπειτα μακράν· ἀεὶ δ' ἐλάττω διὰ τὸ ἀεὶ τὴν ἀπὸ τȣ͂ ἀνωτέρȣ σημείȣ εὐθεῖαν ἐντὸς πίπτειν. γνώμων τὸ ΑΒ, ἥλιος ȣ̔͂ τὸ Γ καὶ οὗ τὸ Δ· ἡ δὲ ἀπὸ τοῦ Γ ἀκτίς, ἐφ' ἧς τὸ ΓΖ, ἐξωτέρω ἔςαι τῆς ΓΕ. ἔςι δὲ σκιὰ ἡ μὲν ΒΕ ἀνωτέρω ὄντος τȣ͂ ἡλίȣ, ἡ δὲ ΒΖ κατωτάτω· ἐλαχίςη δέ, ὅσῳ ἀνωτάτω, ἢ καὶ ὑπὲρ τῆς κεφαλῆς.

10 Διὰ τί αἱ ἀπὸ τῆς σελήνης σκιαὶ μείζȣς τῶν ἀπὸ τȣ͂ ἡλίȣ, ὅταν ἀπὸ τῆς αὐτῆς ὦσι καθέτȣ; ἢ διότι ἀνώτερος ὁ ἥλιος τῆς σελήνης; ἀνάγκη ȣ̓͂ν ἐντὸς πίπτειν τὴν ἀπὸ τȣ͂ ἀνωτέρω ἀκτῖνα. γνώμων ἐφ' ᾧ ΑΔ, σελήνη Β, ἥλιος Γ. ἡ μὲν ȣ̓͂ν ἀπὸ τῆς σελήνης ἀκτὶς ΒΖ, ὥστε ἔσται σκιὰ ἡ τὸ ΔΖ· ἡ δὲ ἀπὸ τȣ͂ ἡλίȣ ἡ τὸ ΓΕ, ὥςε ἔςαι σκιὰ ἐξ ἀνάγκης ἥττων· ἔςαι γὰρ τὸ ΔΕ.

11 Διὰ τί ἐν ταῖς τȣ͂ ἡλίου ἐκλείψεσιν, ἐάν τις θεωρῇ διὰ κοσκίνου ἢ φύλλων, οἷον πλατάνου ἢ ἄλλου πλατυφύλλȣ, ἢ τȣ̀ς δακτύλους τῆς ἑτέρας χειρὸς ἐπὶ τὴν ἑτέραν ἐπιζεύξας, μηνίσκοι αἱ αὐγαὶ ἐπὶ τῆς γῆς γίνονται; ἢ ὅτι ὥσπερ δι' ὀπῆς ἐὰν λάμπῃ εὐγωνίου τὸ φῶς, ςρογγύλον καὶ κῶνος γίνεται; αἴτιον δὲ ὅτι δύο γίνονται κῶνοι, ὅ τε ἀπὸ τȣ͂ ἡλίου πρὸς τὴν ὀπὴν καὶ ὁ ἐντεῦθεν πρὸς τὴν γῆν, καὶ συγκόρυφοι. ὅταν οὖν ἐχόντων οὕτως ἄνωθεν κύκλῳ ἀποτέμνηται, ἔςαι μηνίσκος ἐξ ἐναντίας ἐπὶ τῆς γῆς τοῦ φωτός. ἀπὸ τȣ͂ μηνίσκου γὰρ τῆς περιφερείας γίνονται αἱ ἀκτῖνες, αἱ δὲ ἐν τοῖς δακτύλοις καὶ κοσκίνοις οἷον ὀπαὶ γίνονται· διὸ ἐπιδηλότερον γίνεται ἢ διὰ μεγάλων ὀπῶν. ἀπὸ δὲ τῆς σελήνης οὐ γίνονται, οὔτε ἐκλειπούσης οὔτε ἐν αὐξήσει ȣ̓́σης ἢ φθίσει, διὰ τὸ μὴ ἀκριβεῖς τὰς ἀπὸ τῶν ἄκρων αὐγὰς εἶναι, ἀλλὰ τῷ μέσῳ φαίνειν· ὁ δὲ μηνίσκος μικρὸν τὸ μέσον ἔχει.

12 Διὰ τί παρήλιος οὐ γίνεται οὔτε μεσουρανοῦντος τοῦ ἡλίου ȣ̓́θ' ὑπὲρ τὸν ἥλιον ȣ̓́θ' ὑπὸ τὸν ἥλιον, ἀλλ' ἐκ πλαγίων μόνον; ἢ διότι παρήλιος γίνεται κλωμένης τῆς ὄψεως πρὸς τὸν ἥλιον, αὕτη δὲ τοῦ ἀέρος ἡ ςάσις, ἐφ' ἧς ἀνακλᾶται ἡ ὄψις, ȣ̓́τ' ἐγγὺς ἂν γένοιτο τȣ͂ ἡλίου ȣ̓́τε πόρρω. ἐγγὺς μὲν γὰρ ȣ̓͂σαν ὁ ἥλιος διαλύσει, πόρρω δὲ οὔσης ἡ ὄψις ȣ̓κ ἀνακλασθήσεται· ἀπὸ γὰρ μικροῦ ἐνόπτρȣ πόρρω ἀνατεινομένη ἀσθενὴς γίνεται. διὸ καὶ ἅλως οὐ γίνεται. ἐξ ἐναντίας τοῦ ἡλίου μὲν οὖν ἐὰν γίνηται καὶ ἐγγύς, διαλύσει ὁ ἥλιος, ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις προσπεσεῖται. ἐὰν δὲ ἐν τῷ πλαγίῳ, ἔςι τοσȣ͂τον ἀποςῆναι τὸ ἔνοπτρον ὥςε μήτε τὸν ἥλιον διαλῦσαι μήτε τὴν ὄψιν ἀθρόαν ἀνελθεῖν, διὰ τὸ ὑπὸ τὴν γῆν φέρεσθαι. ὑπὸ δὲ τὸν ἥλιον οὐ γίνεται διὰ τὸ πλησίον μὲν τῆς γῆς ὄντος διαλύεσθαι ἂν ὑπὸ

4. οὖν om Cᵃ. ‖ 11. ἀναπληρȣ͂ντα Cᵃ. ‖ 13. ἐγίνετο Yᵃ. ‖ 22. ὥςε om CᵃXᵃYᵃ. ‖ 29. ὅτι CᵃYᵃ. ‖ 31. ἀνάγκη γὰρ τὰ Cᵃ. ‖ 32. ὁμαλὲς Yᵃ. ‖ 33. δοκεῖ XᵃYᵃ. ‖ 36. παραλλήλας CᵃXᵃYᵃ. ‖ 37. ὑπερτείνῃ CᵃYᵃ. ‖ 38. ἐλάττων XᵃYᵃ.

3. ἢ Yᵃ, ἡ Cᵃ. ‖ 6. ἀνωτέρου CᵃXᵃ. ‖ 8. ȣ̓͂ν om Xᵃ. ‖ 10. ἥττων om CᵃXᵃYᵃ. ‖ 12. φύλλȣ CᵃXᵃ. ‖ 16. τε om pr Xᵃ. ‖ 22. διὰ τῶν μεγάλων Xᵃ. ‖ 34. ἅλω CᵃYᵃ, ἄλλως Xᵃ. ‖ γίνονται Yᵃ. ‖ 36. ἐλάττω Yᵃ. ‖ 37. ἔνοπτον Xᵃ. ‖ 40. ἐντὸς CᵃYᵃ.

τοῦ ἡλίου, ἄνω δὲ μεσουρανίου τὴν ὄψιν διασπᾶσθαι. καὶ ὅλως οὐδὲ ἐκ πλαγίας μεσουρανίου γίνεται, ὅτι ἡ ὄψις ὑπὸ τὴν γῆν ἐὰν λίαν φέρηται, ὀλίγη ἥξει εἰς τὸ ἔνοπτρον, ὥϛε ἀνακλωμένη πᾶν ἔϛαι ἀσθενής.

13 Διὰ τί τῆς σκιᾶς τὸ ἄκρον τοῦ ἡλίου τρέμειν φαίνεται; οὐ γὰρ δὴ διὰ τὸ φέρεσθαι τὸν ἥλιον· ἀδύνατον γὰρ κινεῖσθαι εἰς τἀναντία, ὁ δὲ τρόμος τοιοῦτος. ἔτι δὲ ἄδηλος ἡ μετάβασις, ὥσπερ καὶ τοῦ ἡλίου αὐτοῦ. ἢ διὰ τὸ κινεῖσθαι τὰ ἐν τῷ ἀέρι; καλεῖται δὲ ξύσματα. φανερὰ δὲ ἔϛαι ἐν ταῖς ἀκτῖσι ταῖς διὰ τῶν θυρίδων· ταῦτα γὰρ κινεῖται κἂν νηνεμίᾳ. ἔκ τε οὖν τῆς σκιᾶς εἰς τὸ φῶς ἔκ τε τοῦ φωτὸς εἰς τὴν σκιὰν φερομένων ἀεί, καὶ ὁ ὅρος ὁ κοινὸς τοῦ φωτὸς καὶ τῆς σκιᾶς φαίνεται κινούμενος παρεγγύς. ᾗ γὰρ οἷον σκιὰν ποιοῦσιν, ᾗ δὲ φῶς, ἑκατέρωθεν μεταβάλλονται ταῦτα. ὥϛε ἡ σκιὰ φαίνεται κινεῖσθαι, οὐ κινουμένη αὐτὴ οὕτως, ἀλλ' ἐκεῖναι.

ΙϚ. ΟΣΑ ΠΕΡΙ ΤΑ ΑΨΥΧΑ.

Διὰ τί αἱ μὲν βάσεις τῶν πομφολύγων λευκαὶ ἐν τοῖς ὕδασι· καὶ ἐὰν ἐν ἡλίῳ τεθῶσι, σκιὰν οὐ ποιοῦσιν, ἀλλ' ἡ μὲν ἄλλη πομφόλυξ σκιὰν ποιεῖ, ἡ δὲ βάσις οὐ ποιεῖ, ἀλλ' ἡλίωται κύκλῳ. τὸ δὲ ἔτι θαυμασιώτερον, ὅτι οὐδ' ἐάν τι τεθῇ ξύλον εἰς τὸ ὕδωρ ἐν τῷ ἡλίῳ, τέμνεται ὑπὸ τοῦ ὕδατος ταῦτα. ἢ οὐ γίνεται σκιά, ἀλλ' ἡλίῳ διῄρηται ἡ σκιά; εἰ οὖν σκιά ἐϛι τὸ μὴ ὁρώμενον, καὶ ὑπὸ τοῦ ἡλίου κύκλῳ ἂν ὁρῷτο ὁ ὄγκος. τοῦτο δὲ ὅτι ἀδύνατον, δείκνυται ἐν τοῖς ὀπτικοῖς· οὐδὲ γὰρ τὸ ἐλάχιϛον ὑπὸ τοῦ μεγίϛου ἐνδέχεται ὅλον περιοφθῆναι.

2 Διὰ τί αἱ πομφόλυγες ἡμισφαίρια; ἢ διὰ τὸ ὡς ἀπὸ κέντρου πρὸς τὸν ἀέρα φέρεσθαι ἄνω ὁμοίως πάντῃ; ἀνάγκη δὲ τοῦτο ἡμισφαίριον εἶναι. τὸ κάτω δὲ ἡμισφαίριον ἀποτέμνεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ ὑδατώδους, ἐν ᾧ τὸ κέντρον ἐϛίν.

3 Διὰ τί τοῖς ἄνισον τὸ βάθος ἔχουσι μεγέθεσιν, ἐάν τις τὸ κουφότερον κινῇ, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀϛραγάλοις συμβαίνει, ἄν τις βάλλῃ τὸ κουφότερον πρὸς αὐτὸν ϛρέψας μέρος; ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κουφοτέρῳ, ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν; ἐπεὶ δὲ ἀνάγκη μὲν πάμπαν κινεῖσθαι, ἐξ ἴσου δὲ ἀδύνατον, ὁμοταχῶς μὲν φερόμενα τὴν αὐτὴν οἰσθήσεται γραμμήν, θᾶττον δὲ θατέρου φερομένου κύκλον ἀνάγκη φέρεσθαι, ἐπειδὴ ἐν τούτῳ μόνῳ τῷ σχήματι ταῦτα ἀεὶ κατάλληλα ὄντα σημεῖα ἐν ταὐτῷ χρόνῳ ἀνίσους διέρχεται γραμμάς.

Διὰ τί τὰ πίπτοντα ἐπὶ τὴν γῆν καὶ ἀφαλλόμενα 4
ὁμοίας γωνίας ποιεῖ πρὸς τὸ ἐπίπεδον ἐφ' ἑκάτερα τοῦ σημείου ᾧ ἥψατο τοῦ ἐπιπέδου; ἢ ὅτι πάντα μὲν φύσει φέρεται πρὸς ὀρθήν; τὰ μὲν οὖν εἰς ὁμαλὲς πεσόντα, τῇ καθέτῳ καὶ τῇ διαμέτρῳ προσκρούσαντα τῷ ἐπιπέδῳ, τοσαύτας ποιεῖ γωνίας ἀφαλλόμενα διὰ τὸ τὴν μὲν διάμετρον ἴσα διαιρεῖν· τὰ δὲ εἰς τὰ πλάγια πίπτοντα, οὐ τῇ καθέτῳ προσκρούοντα τῷ χωρίῳ ἀλλὰ τῷ ἀνωτέρω τῆς καθέτου σημείῳ, συμβαίνει πάλιν ἀνωσθέντα ὑπὸ τοῦ πληγέντος τόπου εἰς τοὐναντίον φέρεσθαι, τὰ μὲν ϛρογγύλα, ὅτι ἐν αὐτῷ φερόμενα εἰς τοὐναντίον τῆς ἀπώσεως ἐξελίττεται, ἐάν τε ἠρεμῇ τὸ μέσον αὐτῶν ἐάν τε καὶ τόπον διαλλάττῃ· τὰ δ' εὐθύγραμμα διά τε τὴν κάθετον αὐτὴν εἰς τοὔμπροσθεν προσηνέχθη ἐκκρούεσθαι, καθάπερ τοῖς τε ξυρουμένοις τὰ σκέλη συμβαίνει, καὶ ὧν τοὺς κολύθρους ὑφαρπάζουσιν. πάντες γὰρ οὗτοι εἰς τοὐναντίον καὶ ὄπισθεν ἐπιπίπτουσι, διὰ τὸ ἰσάζειν αὐτὰ τὴν κάθετον, μετέωρόν τε εἶναι καὶ εἰς τοὔμπροσθεν ἐκκρούεσθαι· τὰ γὰρ ἐναντία δηλονότι αὐτῆς ὄπισθέν τε καὶ κάτω συμβαίνει γίνεσθαι, κάτω δὲ φερόμενα βαρύτερα ἂν εἴη. ὃ οὖν τούτοις πτῶμα, τοῖς ἀφαλλομένοις φορὰν συμβαίνει γίνεσθαι. πρὸς ὀρθὴν μὲν οὖν οὐδέτερα αὐτῶν ἀφάλλεται διὰ τὸ τὴν μὲν κάθετον δίχα τῷ βάρει διαιρεῖν τὰ φερόμενα, καθέτους δὲ πλείους πρὸς ταὐτὸ ἐπίπεδον μὴ γίνεσθαι τεμνούσας αὐτάς· ὃ τούτοις συμβήσεται καθέτου γινομένης κατὰ τὴν ἔφαλσιν, ᾗ προσέκρουσε τῷ ἐπιπέδῳ τὸ φερόμενον, διχοτομεῖσθαι πάλιν ὑπ' αὐτῆς αὐτὸ συμβήσεται, ὥστε ἀναγκαῖον τέμνεσθαι ὑπ' αὐτῆς τὴν πρώτην κάθετον ὑφ' ἧς ἐφέρετο. ἐπεὶ δ' εἰς τοὐναντίον μὲν οἰσθήσεται, πρὸς ὀρθὴν δὲ οὐκ οἰσθήσεται, λοιπὸν ὀξεῖαν γίνεσθαι γωνίαν τὴν ἐπὶ θατέρῳ τοῦ προσπεσόντος τῷ ἐπιπέδῳ σημείου· ὅρος γάρ ἐϛιν ἡ ὀρθὴ τῶν ἐναντίων γωνιῶν.

Διὰ τί ὁ μὲν κύλινδρος ὠσθεὶς εἰς εὐθύ τε φέρεται 5
καὶ γράφει εὐθείας τοῖς ὁρίζουσιν αὐτὸν κύκλοις, ὁ δὲ κῶνος κύκλῳ περιφέρεται, τῆς κορυφῆς μενούσης, καὶ γράφει

3. ὀλίγη om *Xᵃ*. ‖ ἔσωπτρον *Xᵃ*. ‖ 4. πάντως *Cᵃ*. ‖ 10. ἀνηνεμίᾳ, omisso κἂν, *Xᵃ*. ‖ 20. ἐν τῷ ἡλίῳ *Cᵃ*. ‖ 22. θαυμαστότερον *Xᵃ*. ‖ 31. δὲ κάτω *Xᵃ*. ‖ 34. τὸ om *Cᵃ*. ‖ 39. ῥιφὲν *Xᵃ*.

6. σφαλλόμενα ὁμοίως *CᵃXᵃ*. ‖ 9. οὖν ἰσομαλὲς *CᵃYᵃ*. ‖ 10. τῇ *CᵃYᵃ*. ‖ 14. συμβαίνειν codices. 18. εὐθυγράμματα *Cᵃ*. ‖ αὐτῶν *Yᵃ*. ‖ 19. ξηρουμένοις *Xᵃ*. ‖ 24. ὄπισθέ *Yᵃ*. ‖ συμβήσεται *Yᵃ*. ‖ 29. συμβήσεται τούτοις *Xᵃ*. ‖ 31. ὑπ' — 32. τέμνεσθαι om *Cᵃ*. ‖ 33. ὑφ' *Yᵃ*. ‖ 35. θατέρου *XᵃYᵃ*. ‖ 36. ἡ om *Cᵃ*. ‖ 38. κύκλος κώνω *Xᵃ*.

τὸν κύκλον τῷ ὁρίζοντι; κύκλῳ μὲν ἀμφότερα φέρεται, γράφει δ' ἐν τῷ ἐπιπέδῳ ὁ μὲν κύλινδρος εὐθείας, ὁ δὲ κῶνος κύκλους, διὰ τὸ τὺς μὲν ἐν τῷ κώνῳ ἀνίσους εἶναι κύκλους, φέρεσθαι δὲ ἀεὶ θᾶττον τὸν μείζονα τῶν περὶ τὸ αὐτὸ κέντρον. φερομένων δὲ ἀνίσως πάντων ἅμα τῶν ἐν τῷ κώνῳ κύκλων, συμβαίνει τοὺς ἐξωτάτω πλεῖστον ἐν ταὐτῷ χρόνῳ τόπον καὶ γραμμὴν φέρεσθαι· διὸ καὶ κύκλῳ φέρονται. γράφονταί τε γὰρ πάντες τῇ αὐτῇ εὐθείᾳ, καὶ τῆς εὐθείας κύκλῳ μὲν φερομένης οὐ πάντα τὰ ἐν αὐτῇ σημεῖα ἴσην ἐν ταὐτῷ χρόνῳ γράφει γραμμήν, εἰς εὐθὺ δὲ φέρει τὴν ἴσην. τῦ δὲ κυλίνδρυ πάντων ἴσων ὄντων τῶν κύκλων καὶ περὶ ταὐτὸ κέντρον, συμβαίνει τὰ ἅμα τοῦ ἐπιπέδυ ἐν αὐτοῖς πάνθ' ἁπτομένοις σημεῖα, φέρεσθαί τε ἰσοταχεῖς κυλιομένυς διὰ τὸ τοὺς κυλίνδρυς ἴσους εἶναι, καὶ ἥκειν ἐπὶ τὸ ἐπίπεδον πάλιν ἅμα ἐκκυλισθέντα ἕκαςον τὸν αὐτῦ κύκλον, ὥςε καὶ τὰς ἐν τῷ ἐπιπέδῳ εὐθείας ἴσας γίνεσθαι· τῇ γὰρ αὐτῶν ἀφῇ αὐτὰς ἔγραψαν, ὄντες ἴσοι τε καὶ ἰσοταχεῖς. ἐγίνοντο δὲ εὐθεῖαι αἱ ὑπὸ τῆς αὐτῆς γραφεῖσαι γραμμῆς εἰς εὐθὺ φερομένης, ὥςε διὰ ταύτας εἰς εὐθὺ ἀναφέροιτο ὁ κύλινδρος. διαφέρει γὰρ οὐθέν, ᾗ ἡ πρώτη ἥψατο ὁ κύλινδρος τοῦ ἐπιπέδου γραμμῇ, ταύτῃ ἕλκειν ἐν τῷ ἐπιπέδῳ, ἢ ἐγκυλίειν αὐτό· ἀεὶ γὰρ ἴσην καὶ ὁμοίαν γραμμὴν τῶν ἐν τῷ κυλίνδρῳ συμβήσεται ἅπτεσθαι τῦ ἐπιπέδου, ἑλκομένου τε καὶ κυλιομένου τῦ κυλίνδρυ.

6 Διὰ τί τῶν βιβλίων ἡ τομὴ οὖσα ἐπίπεδος καὶ εὐθεῖα, ἐὰν μέν τις τέμῃ παρὰ τὴν βάσιν, γίνεται εὐθεῖα ἀνελιττομένη, ἐὰν δὲ ἐγκλίνας, σκολιά; ἢ ὅτι συμβαίνει τῶν ἐν τῇ ἑτέρᾳ τομῇ κύκλων ἐν ταὐτῷ ἐπιπέδῳ ὄντων τὴν ἐγκεκλιμένην τομὴν μὴ παρακειμένην εἶναι, ἀλλ' ἐν τῇ μὲν πλεῖον τῇ δὲ ἔλαττον αὐτῆς ἀπέχειν, ὥςε ἐξελιττομένου οἱ μὲν ἐν ταὐτῷ ἐπιπέδῳ ὄντες κύκλοι, καὶ τὴν ἀρχὴν ἔχοντες ἐν ταὐτῷ ἐπιπέδῳ, τὴν ἐξ αὐτῶν ποιήσυσι γραμμὴν ἐξελιττόμενοι. ἔστι γὰρ ἡ γιγνομένη γραμμὴ ἐκ τῶν κύκλων οἳ εἰσιν ἐν ταὐτῷ ἐπιπέδῳ· ὥςε καὶ εὐθεῖα οὖσα ἐν ἐπιπέδῳ. ἥ τε τῆς λοξῆς τομῆς ἐξελιττομένη γραμμὴ οὐκ ὖσα παρὰ τὴν πρώτην, ἀλλὰ τῇ μὲν πλέον τῇ δὲ ἔλαττον αὐτῆς διεστηκυῖα διὰ τὸ καὶ τὴν τομὴν οὕτως ἔχειν πρὸς αὐτήν, οὐκ ἐν ἐπιπέδῳ ἔσται, ὥςε οὐδ' εὐθεῖα· τῆς γὰρ εὐθείας ὐκ ἔςι τὸ μὲν ἐν ἄλλῳ τὸ δὲ ἐν ἄλλῳ ἐπιπέδῳ.

7 Διὰ τί διαιρύμενα τὰ μεγέθη ἐλάττω φαίνεται πάντα τῦ ὅλου; ἢ ὅτι διαιρύμενα μὲν ἀριθμὸν ἔχει πάντα, μεγέθει δὲ ἐλάττω ἐςὶ τοῦ ἑνός; τὸ μὲν γὰρ μέγα τῷ κατὰ συνέχειαν εἶναι καὶ ποσόν τι μέγα λέγεται, ὁ δὲ ἀριθμός τε πᾶς παντὸς μεγέθους ἀριθμοῦ μείζων. διόπερ εἰκὸς τὸ ὅλον διαιρεθέντων τῶν μερῶν μεῖζον φαίνεσθαι· τῶν αὐτῶν γὰρ ὄντων αὐτῶν τὸ μὲν ὅλον τὴν τῦ μεγέθους ἔχει μᾶλλον φύσιν, συνεχὲς ὄν, τὰ δὲ μέρη τὴν τῦ ἀριθμῦ.

8 Τῶν περὶ τὴν κλεψύδραν συμβαινόντων τὸ μὲν ὅλον ἔοικεν εἶναι αἴτιον καθάπερ Ἀναξαγόρας λέγει· ὁ γὰρ ἀὴρ ἐςιν αἴτιος, ἐναπολαμβανόμενος ἐν αὐτῇ, τοῦ μὴ εἰσιέναι τὸ ὕδωρ ἐπιληφθέντος τῦ αὐλοῦ. ὐ μὴν ἁπλῶς γε αἴτιος· κἂν γάρ τις αὐτὴν πλαγίαν ἐνῇ εἰς τὸ ὕδωρ, ἐπιλαβὼν τὸν αὐλόν, εἴσεισι τὸ ὕδωρ. διόπερ οὐ λέγεται ὑπ' αὐτοῦ ἱκανῶς ᾗ αἴτιόν ἐςιν. ἔςι δὲ αἴτιον μέν, καθάπερ εἴρηται, ὁ ἀήρ· οὗτος δὲ ὠθούμενός τε καὶ καθ' ἑαυτὸν φερόμενος καὶ μὴ βιαζόμενος ἐπ' εὐθείας πέφυκε φέρεσθαι, καθάπερ καὶ ἄλλα ςοιχεῖα. πλαγίας μὲν οὖν βαφείσης τῆς κλεψύδρας, διὰ τῶν ἐναντίων τοῖς ἐν τῷ ὕδατι τρυπημάτων ἐπ' εὐθείας μένων ὑπὸ τοῦ ὕδατος ἐξέρχεται, ὑποχωρῦντος δὲ αὐτῦ τὸ ὕδωρ εἰσέρχεται· ὀρθῆς δὲ εἰς τὸ ὕδωρ βαφείσης τῆς κλεψύδρας, οὐ δυνάμενος πρὸς ὀρθὴν ὑποχωρεῖν διὰ τὸ πεφρᾶχθαι τὰ ἄνω, μένει περὶ τὰ πρῶτα τρυπήματα· ἄττεσθαι γὰρ εἰς αὐτὸν ὐ πέφυκεν. σημεῖον δ' ἐςὶ τῦ εἴργειν δύνασθαι τὸ ὕδωρ ἀκινητίζοντα τὸν ἀέρα τὸ ἐπ' αὐτῆς γινόμενον τῆς κλεψύδρας. ἐὰν γάρ τις αὐτῆς αὐτὴν τὴν κωδίαν ἐμπλήσας ὕδατος, ἐπιλαβὼν τὸν αὐλόν, καταςρέψῃ ἐπὶ τὸν αὐλόν, οὐ φέρεται τὸ ὕδωρ διὰ τοῦ αὐλοῦ ἐπὶ στόμα. ἀνοιχθέντος δὲ τοῦ στόματος οὐκ εὐθὺς ἐκρεῖ κατὰ τὸν αὐλόν, ἀλλὰ μικροτέρῳ ὕςερον, ὡς οὐκ ὂν ἐπὶ τῷ ςόματι τοῦ αὐλῦ, ἀλλ' ὕςερον διὰ τούτου φερόμενον ἀνοιχθέντος. πλήρους τε καὶ ὀρθῆς οὔσης τῆς κλεψύδρας, ἀνοιχθέντος τῦ αὐλῦ εὐθὺς ῥεῖ διὰ τῦ ἠθμῦ, διὰ τὸ ἐκείνυ μὲν ἅπτεσθαι, τῶν δὲ ἄκρων τῦ αὐλῦ μὴ ἅπτεσθαι. οὐκ εἰσέρχεται μὲν ὖν τὸ ὕδωρ εἰς τὴν κλεψύδραν διὰ τὴν προειρημένην αἰτίαν, ἐξέρχεται δὲ ἀνοιχθέντος τῦ αὐλῦ διὰ τὸ τὸν ἐν αὐτῷ ἀέρα κινύμενον ἄνω καὶ κάτω πολλὴν κένωσιν ποιεῖν τῦ ἐν τῇ κλεψύδρᾳ ὕδατος. ὠθύμενον δὲ κάτω καὶ αὐτὸ ῥέπον εἰς αὐτὸ εἰκότως ἐκρεῖ, βιαζόμενον τὸν ἐκτὸς

1. ὁρίζοντι κύκλῳ κύκλῳ Y^a. ‖ 4. τὸ αὐτὸ τὸ κ. Y^a. ‖ 7. τόπον — 10. γράφει] γράφειν C^a. ‖ 11. ἴσον X^a. ‖ 16. αὐτὸν C^a. ‖ 20. διαφέρει — 21. κύλινδρος om C^a. ‖ 21. ταύτην Y^a. ‖ 25. καὶ εὐθεῖα om C^a. ‖ 29. μὴ] καὶ C^a. ‖ 36. πλεῖον X^a. ‖ 37. καὶ om pr X^a. ‖ 39. ἄλλῳ ἐπιπέδῳ τὸ δ' ἐν ἄλλῳ X^a.

6. οἷον et μείζω $C^a X^a Y^a$. ‖ φαίνεται $C^a Y^a$. ‖ 8. τὴν] τῶν Y^a. ‖ 10. αἴτιον εἶναι $X^a Y^a$. ‖ 13. ἐνῇ εἰς Sylburgius: codices ἐνεὶς ‖ ἐπιλαβὸν $X^a Y^a$. ‖ 25. ἀκινητίζον X^a. ‖ 26. γάρ om C^a. ‖ 27. κωδύαν Y^a, κώδυιαν C^a. ‖ ἐπιλαβὼν γὰρ τὸν C^a. ‖ 30. μικρότερον C^a. ‖ 33. ἰσθμῦ X^a. ‖ 39. ἐκτὸς] ἐκ C^a.

τῆς κλεψύδρας ἀέρα κινȣ́μενόν τε καὶ ὄντα ἴσον τῇ δυνάμει τῷ ἐπωθȣ̃ντι αὐτὸν ἀέρι, τῇ δὲ ἀντερείσει ἀσθενέςερον ἐκείνȣ διὰ τὸ διὰ ςενȣ̃ αὐτὸν τȣ̃ αὐλȣ̃ ῥέοντα θᾶττον καὶ σφοδρότερον ῥεῖν, καὶ προσπίπτειν τῷ ὕδατι. τȣ̃ δὲ πωμασθέντος τȣ̃ αὐλȣ̃ μὴ συρρεῖν τὸ ὕδωρ αἴτιον, ὅτι τὸ ὕδωρ εἰσιὸν εἰς τὴν κλεψύδραν ἐξωθεῖ βίᾳ τὸν ἀέρα ἐξ αὐτῆς. σημεῖον δέ ἐςι τὸ γινόμενον ἐν ταύτῃ πνεῦμα καὶ ἐρυγμός. εἰσιόντος δὲ τȣ̃ ὕδατος, βίᾳ ὠθȣ̃ν συνεισπίπτει εἰς τὸν αὐλὸν αὐτȣ̃, καθάπερ τὰ ἐκπιεςὰ ξύλα ἢ χαλκὸς τῇ διαιρέσει πιεζȣ́μενος, μένει ἄνευ παντὸς ἄλλȣ συνδέσμȣ... ἐκκρȣσθῇ ἐκ τȣ̃ ἐναντίȣ, καθάπερ τȣ̀ς κατεαγότας ὀπιȣ́ρους ἐν τοῖς ξύλοις ἐκκρȣ́ȣσιν. συμβαίνει δὲ τοῦτο ἀνοιχθέντος τοῦ αὐλȣ̃ γίνεσθαι διὰ τὰ προειρημένα. ἢ ȣ̓̃ν διὰ ταῦτα εἰκός ἐςιν αὐτὸν μὴ ἐκρεῖν, ἢ ἐξιόντος βιαίȣ ἀέρος καὶ πνευματουμένου. δηλοῖ δὲ ὁ ψόφος ἐπισπᾶσθαι τῷ πνεύματι τὸ ὕδωρ ἄνω, ὥσπερ ἐπὶ πολλῶν συμβαίνει γίνεσθαι. ἐπισπώμενον δὲ καὶ συνεχὲς ὂν αὐτῷ πᾶν τὸ ὕδωρ μένει πιεζȣ́μενον ὑπὸ τȣ̃ ἀέρος, ἕως ἂν ἀπωσθῇ πάλιν ὑπ᾽ αὐτȣ̃. τῆς δὲ ἀρχῆς μενȣ́σης, καὶ τὸ ἄλλο ἐξ αὐτῆς κρέμαται ὕδωρ ἓν καὶ συνεχές. εὔλογον δὲ τȣ̃το γίνεσθαι· τȣ̃ γὰρ αὐτȣ̃ ἐςὶ κινῆσαί τε ἐκ τῆς οἰκείας χώρας τι, καὶ τȣ̃το ἴσχειν, ὡς ἐκείνης, ἐν πλείονι δὲ χρόνῳ, ἐὰν ᾖ ὅμοια τῇ δυνάμει τό τε ἔχον καὶ τὸ ἐχόμενον, ἢ τὸ ἴσον κρεῖττον, ὅπερ ἐνταῦθα συμβαίνει· πνεῦμα γὰρ ὕδατός ἐςι κρεῖττον τῇ δυνάμει.

9 Διὰ τί τὰ μόρια τῶν φυτῶν καὶ τῶν ζῴων, ὅσα μὴ ὀργανικά, πάντα περιφερῆ, τῶν μὲν φυτῶν τὸ ςέλεχος καὶ οἱ πτόρθοι, τῶν δὲ ζῴων κνῆμαι, μηροί, βραχίονες, θώραξ· τρίγωνον δὲ ȣ̓δὲ πολύγωνον ȣ̓́τε ὅλον ȣ̓́τε μόριόν ἐςιν; πότερον, ὥσπερ Ἀρχύτας ἔλεγε, διὰ τὸ ἐν τῇ κινήσει τῇ φυσικῇ ἐνεῖναι τὴν τȣ̃ ἴσȣ ἀναλογίαν (κινεῖσθαι γὰρ ἀνάλογον πάντα), ταύτην δὲ μόνην εἰς αὐτὴν ἀνακάμπτειν, ὥςε κύκλȣς ποιεῖν καὶ ςρογγύλα, ὅταν ἐγγένηται;

10 Διὰ τί ἐν τοῖς ἐσχάτοις ἀεὶ γίνεται περιφερῆ; ἢ ὅτι ἡ φύσις ἐκ τῶν ἐνδεχομένων πάντα ποιεῖ ὡς δυνατὸν ἄριςα καὶ κάλλιςα, τὸ δὲ σχῆμα τȣ̃το κάλλιςον, τὸ αὐτὸ αὐτῷ ὁμοιότατον.

11 Διὰ τί, ἐὰν κύκλος ῥιφθῇ, τὸ μὲν πρῶτον εὐθεῖαν γράφει, παυόμενος δὲ ἕλικα, ἕως ἂν πέσῃ; ἢ εὐθεῖαν μὲν τὸ πρῶτον, ὅτι ὁμοίως ἔνθεν καὶ ἔνθεν ὁ ἀὴρ ἀπορθοῖ; ἴσης ȣ̓̃ν ȣ̓́σης τῆς ῥοπῆς ἔνθεν καὶ ἔνθεν, ἀνάγκη καὶ τὴν γραμμὴν τοιαύτην εἶναι, ἣ ἴσον διαιρεῖ τὸν τόπον ἔνθεν καὶ ἔνθεν· τοιαύτη δέ ἐςιν εὐθεῖα. ὅταν δὲ βρίσῃ ἐπὶ θάτερον μέρος δι᾽ ἀνωμαλίαν τȣ̃ περιιςαμένȣ ἀέρος, ȣ̓κέτι ἴσην γράφει τό τε ἐντὸς καὶ τὸ ἐκτὸς μέρος, ἀλλ᾽ ἀνάγκη περιφερῆ.

Διὰ τί τοῖς ἄνισον τὸ βάθος ἔχȣσι μεγέθεσιν, ἐάν τις 12
κȣφότερον κινῇ τῶν μερῶν, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀστραγάλοις συμβαίνει, ἐάν τις βάλλῃ τὸ κȣφότερον πρὸς αὐτὸν ςρέψας μέρος; ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κȣφοτέρῳ ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν; ἐπεὶ δὲ ἀνάγκη μὲν κινεῖσθαι, ἐξ ἴσȣ δὲ καὶ ἐπ᾽ εὐθείας ἀδύνατον, ἀνάγκη εἰς τὸ ἐντὸς φερόμενον κύκλῳ φέρεσθαι· οἷον εἰ ὅλως τι ἦν αὐτȣ̃ ἀκίνητον διὰ βάρος ἐν μέσῳ, τὸ μὲν πρὸς τῷ ἀφιέντι εἰς τὸ πρόσθεν ἂν ἐκινήθη αὐτοῦ μέρος, τὸ δὲ ὑπ᾽ ἐκεῖνα πρὸς τὸν ἀφιέντα. ἐπεὶ δὲ κινεῖται μὲν τὸ πᾶν, ἔχει δὲ ἐν μέσῳ τὸ βάρος φερόμενον, ἀνάγκη ταὐτὸ τȣ̃το ποιεῖν.

Διὰ τί τὰ φερόμενα ὅταν ἀντιπέσῃ, ἀφάλλεται εἰς 13
τȣ̓ναντίον ᾗ πέφυκε φέρεσθαι, καὶ πρὸς ὁμοίας γωνίας; ἢ ὅτι ȣ̓ μόνον ἐκείνην φέρεται τὴν φορὰν ἣν φέρεται κατὰ τὸ οἰκεῖον μέρος, ἀλλὰ καὶ τὴν ὑπὸ τȣ̃ ἀφιέντος γινομένην; ἡ μὲν ȣ̓̃ν οἰκεία παύεται, ὅταν εἰς τὸν οἰκεῖον ἔλθῃ τόπον (ἅπαν γὰρ ἠρεμεῖ ἐλθὸν εἰς ὃν φέρεται τόπον κατὰ φύσιν), καθ᾽ ἣν δ᾽ ἔχει ἀλλοτρίαν, ἀνάγκη ἔτι κινεῖσθαι, ȣ̓κ εἰς τὸ πρόσθεν δὲ διὰ τὸ κωλύεσθαι, ἀλλ᾽ ἢ εἰς τὸ πλάγιον ἢ εἰς τὸ ὀρθόν. ἅπαντα δὲ ἀποπηδᾷ πρὸς ὁμοίας γωνίας διὰ τὸ φέρεσθαι μὲν ἐνταῦθα ȣ̃ ἡ κίνησις φέρει, ἣν ἐποίησεν ὁ ἀφείς· ἐκεῖ δὲ πρὸς ὀξεῖαν ἢ πρὸς ὀρθὴν φέρεσθαι συμβαίνει. ἐπεὶ ȣ̓̃ν τὸ ἀντικρȣ̃σαν κωλύει τὴν εἰς εὐθὺ κίνησιν, ὁμοίως κωλύει τὸ φερόμενον καὶ τὴν φορὰν αὐτȣ̃. ὥσπερ ȣ̓̃ν ἐν τοῖς κατόπτροις τὸ ἄκρον τῆς εὐθείας ȣ̃ ξυνέπεσεν ἡ ὄψις φαίνεται, καὶ ἐν τοῖς φερομένοις ȣ̓́τω τὸ ἐναντίον γίνεται· τοσαύτην γὰρ γωνίαν ἀπέωςαι ὅση γίνεται ἡ κατὰ κορυφήν. δεῖ γὰρ νοῆσαι μετακινȣμένην τὴν γωνίαν καὶ τὴν φοράν. τȣ́τȣ δὲ γενομένȣ φανερὸν ὅτι πρὸς ὁμοίας γωνίας ἀνάγκη ἀφάλλεσθαι.

ΙΖ. ΟΣΑ ΠΕΡΙ ΕΜΨΥΧΑ.

Διὰ τί οἱ ἀσύμμετροι παρ᾽ ἀλλήλȣς θεωρȣ́μενοι μείζȣς φαίνονται ἢ καθ᾽ αὐτȣ̀ς μόνȣς; ἢ ὅτι τὸ σύμμετρόν ἐςιν

3. διὰ post τὸ om $C^aX^aY^a$. ‖ αὐτὸ $C^aX^aY^a$. ‖ 9. ἐμπιεςὰ Y^a, πιεςὰ C^a. ‖ πιεζόμενος X^a, πιεζȣ́μενον Y^a. ‖ 13. εἰ $C^aX^aY^a$. ‖ 14. ἐξιόντος οὐ βιαίȣ C^a. ‖ δῆλον $C^aX^aY^a$. ‖ 17. πιεζόμενον C^a, πιεζομένου X^a. ‖ 18. ἀποςῇ X^a. ‖ 19. κρέμμαται C^a, κρέμαται τὸ X^a. ‖ 20. τε] τὸ X^a. ‖ 28. ȣ̓δὲ μ. X^aY^a. ‖ 29. τῇ post ἐν om C^a. ‖ 34. ὡς δυνατόν om C^a. ‖ 35. καλὰ C^a. ‖ 38. εὐθεῖα $C^aX^aY^a$.

2. ἢ X^a. ‖ 4. τῷ $C^aX^aY^a$. ‖ 5. τῷ ἐκτὸς μέρει C^aY^a. ‖ 7. τῶν μερῶν om C^a. ‖ 9. βάλῃ C^a. ‖ 15. ἀφέντα C^a. ‖ 17. ἀνάγκη καὶ ταυτὸ X^a. ‖ 19. ᾗ X^aY^a. ‖ 25. τὸ ante ὀρθὸν om C^aY^a. ‖ 29. εἰς om C^a. ‖ 30. ȣ̓̃ν om C^a. ‖ 31. ξυνεξέπεσεν Y^a. ‖ 32. ἀπέωςαι X^a. ‖ 33. ὅσην C^aY^a. ‖ ἡ om X^a. ‖ 35. ὅτι ὁμοίως πρὸς γωνίας ἀφάλλεσθαι X^a.

ἕν, καὶ ἡ συμμετρία ὅτι μάλιςα ἓν ποιεῖ, τὸ δὲ ἓν ἀδιαίρετον βούλεται εἶναι, τὸ δὲ ἀδιαίρετον ἔλαττόν ἐστιν, ἡ δὲ συμμετρία κατὰ τὴν διαφορὰν πολλὰ ποιεῖ. καθ' αὑτὰ μὲν ὖν θεωρύμενα μᾶλλον λανθάνει ποῖα ἄττα τὰ μεγέθη ἐςί, παρ' ἄλληλα δὲ ὔ. τὸ μὲν ὖν ἀδιαίρετον ἓν φαίνεται, καὶ ἡ θεωρία μία ἐστὶν αὐτοῦ διὰ τὴν συμμετρίαν· τὸ δὲ ἀσύμμετρον ὡς πολλὰ ὂν θεωρίαν ποιεῖ πλείω, καὶ μείζω φαίνεται τῷ ἓν ὂν πολλὰ φαίνεσθαι· ἔχει γὰρ τήν τε τῦ μεγέθυς κατὰ τὴν συνέχειαν φύσιν, καὶ τὴν τῦ ἀριθμῦ κατὰ τὸ ἀνώμαλον τῶν μερῶν, διόπερ εἰκότως τὴν ἐξ ἀμφοῖν αὔξην ἔχον μεῖζον φαίνεται παρὰ τὸ ἁπλῦν καὶ ἕν.

2 Διὰ τί ἐπὶ μῆκος μᾶλλον τὰ ζῷα καὶ τὰ φυτὰ φύεται; ἢ ὅτι τὸ μῆκος μὲν τρὶς αὔξεται, τὸ δὲ πλάτος δίς, τὸ δὲ βάθος ἅπαξ; ἔςι γὰρ μῆκος τὸ ἀπὸ τῆς ἀρχῆς πρῶτον, ὥςε μόνον τε αὔξεται, καὶ ἅμα τῷ πλάτει πάλιν γινόμενον, καὶ τρίτον ἅμα τῷ βάθει. τὸ δὲ πλάτος δίς, καθ' ἑαυτό τε καὶ ἅμα τῷ μεγέθει.

3 Πῶς τὸ πρότερον καὶ τὸ ὕστερον δεῖ λαβεῖν; πότερον ὥσπερ ἡμῶν οἱ ἐπὶ Τροίας καὶ ἐκείνων οἱ πρὸ αὐτῶν καὶ ἀεὶ οἱ ἐπάνω πρότεροί εἰσιν; ἢ εἴπερ ἀρχή τίς ἐςι καὶ μέσον καὶ τέλος τῦ παντός, καὶ ὅταν γηράσκων τις ἐπὶ τὸ πέρας ἔλθῃ καὶ πάλιν ἐπαναςρέψῃ ἐπὶ τὴν ἀρχήν, τὰ δὲ ἐγγυτέρω τῆς ἀρχῆς πρότερα, τί κωλύει ἡμᾶς ἐν τῷ πρὸς τὴν ἀρχὴν εἶναι μᾶλλον; εἰ δὲ τῦτο, κἂν πρότεροι εἴημεν. ὥσπερ ἐπὶ τῦ ὑρανῦ καὶ ἑκάςυ τῶν ἄςρων φορᾷ κύκλος τίς ἐςι, τί κωλύει καὶ τὴν γένεσιν καὶ τὴν ἀπώλειαν τῶν φθαρτῶν τοιαύτην εἶναι, ὥςε πάλιν ταῦτα γίνεσθαι καὶ φθείρεσθαι; καθάπερ καὶ φασὶ κύκλον εἶναι τὰ ἀνθρώπινα. τὸ μὲν δὴ τῷ ἀριθμῷ τὺς αὐτὺς ἀξιῦν εἶναι ἀεὶ τὺς γινομένυς εὔηθες, τὸ δὲ τῷ εἴδει μᾶλλον ἄν τις ἀποδέξαιτο· ὥςε κἂν αὐτοὶ πρότεροι εἴημεν, καὶ θείη ἄν τις τὴν τῦ εἱρμῦ τάξιν τοιαύτην εἶναι ὡς πάλιν ἐπανακάμπτειν ἐπὶ τὴν ἀρχὴν καὶ συνεχὲς ποιεῖν καὶ ἀεὶ κατὰ ταὐτὰ ἔχειν. τὺς γὰρ ἀνθρώπυς φησὶν Ἀλκμαίων διὰ τῦτο ἀπόλλυσθαι, ὅτι ὐ δύνανται τὴν ἀρχὴν τῷ τέλει προσάψαι, κομψῶς εἰρηκώς, εἴ τις ὡς τύπῳ φράζοντος αὐτοῦ ἀποδέχοιτο καὶ μὴ διακριβοῦν ἐθέλοι τὸ λεχθέν. εἰ δὴ κύκλος ἐστί, τῦ δὲ κύκλυ μήτε ἀρχὴ μήτε πέρας, οὐδ' ἂν πρότεροι εἶεν τῷ ἐγγυτέρω τῆς ἀρχῆς εἶναι, ὔθ' ἡμεῖς ἐκείνων ὔτ' ἐκεῖνοι ἡμῶν.

ΙΗ. ΟΣΑ ΠΕΡΙ ΦΙΛΟΛΟΓΙΑΝ.

Διὰ τί τοὺς μέν, ἐὰν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβάνει καὶ μὴ βυλομένυς, τὺς δὲ βυλομένυς προσεγρηγορέναι, ὅταν λάβωσι τὸ βιβλίον; ἢ ὅσοις μέν εἰσι πνευματικαὶ κινήσεις διὰ ψυχρότητα φύσεως ἢ μελαγχολικῶν χυμῶν, δι' ὓς περίττωμα γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τούτοις ὅταν μὲν κινῆται ἡ διάνοια καὶ μὴ νοῇ ἐπιςήσασά τι, ἐκκρούεται τῇ ἑτέρᾳ κινήσει ὔσῃ καταψυκτικῇ, διὸ μᾶλλον καθεύδυσιν. ὅταν δὲ ἐρείσωσι πρός τι ἐν τῇ διανοίᾳ, ὅπερ ἡ ἀνάγνωσις ποιεῖ, κινῦνται ὑπὸ τῆς θερμαντικῆς κινήσεως ὐκ ἐκκρυομένης ὑπ' ὐδενός, ὥςε ὐ δύνανται καθεύδειν. τῶν δὲ κατὰ φύσιν ἐχόντων ὅταν ςῇ πρὸς ἓν ἡ διάνοια καὶ μὴ μεταβάλλῃ πολλαχῇ ἰσχυροτάτη ὖσα, ἴσχεται καὶ τὰ ἄλλα ὅσα ἐςὶ περὶ τὸν τόπον τῦτον, ὧν ἠρέμησις ὁ ὕπνος ἐςίν. ὅταν δὲ ςῇ καὶ οἷον κοπιάσῃ ὁ νῦς, βαρύνει τὴν κεφαλὴν ὢν ἐν αὐτῇ καὶ ποιεῖ τὸν ὕπνον. κινυμένης δὲ τῆς ψυχῆς κατὰ φύσιν ὐ καθεύδει· ζῇ γὰρ τότε μάλιςα. τὸ δ' ἐγρηγορέναι τοῦ ζῆν αἴτιόν ἐστιν ἢ τὸ καθεύδειν.

Διὰ τί οἱ ἐριςικοὶ λόγοι γυμναςικοί εἰσιν; ἢ ὅτι ἔχυσι 2
τὸ νικᾶν ἢ ἡττᾶσθαι πυκνόν. φιλονείκυς ὖν εὐθὺς ποιῦσιν· καὶ γὰρ νικῶντες διὰ τὸ χαίρειν προάγονται μᾶλλον ἐρίζειν καὶ ἡττώμενοι ὡς ἀναμαχούμενοι. καὶ οἱ ἐν τοῖς ἄλλοις ἀγῶσι ταὐτό· διὸ καὶ μαχόμενοι καὶ ἥττυς ὄντες πολλάκις ὐ βύλονται διαλύεσθαι.

Διὰ τί τοῖς παραδείγμασι χαίρυσιν ἄνθρωποι ἐν ταῖς 3
ῥητορείαις καὶ τοῖς λόγοις μᾶλλον τῶν ἐνθυμημάτων; ἢ ὅτι τῷ τε μανθάνειν χαίρυσι καὶ τῷ ταχύ, ῥᾷον δὲ διὰ τῶν παραδειγμάτων καὶ τῶν λόγων μανθάνυσιν· ἃ γὰρ ἴσασιν, ἔστι ταῦτα καὶ ἐπὶ μέρους, τὰ δὲ ἐνθυμήματα ἀπόδειξίς ἐςιν ἐκ τῶν καθόλυ, ἃ ἧττον ἴσμεν ἢ τὰ μέρη. ἔτι οἷς ἂν μαρτυρῶσι πλείυς, μᾶλλον πιςεύομεν, τὰ δὲ παραδείγματα καὶ οἱ λόγοι μαρτυρίαις ἐοίκασιν· αἱ δὲ διὰ τῶν μαρτύρων ῥᾴδιοι πίςεις. ἔτι τὸ ὅμοιον μανθάνυσιν ἡδέως, τὸ δὲ παράδειγμα καὶ οἱ μῦθοι τὸ ὅμοιον δεικνύυσιν.

Διὰ τί ῥήτορα μὲν καὶ ςρατηγὸν καὶ χρηματιςὴν λέγομεν δεινόν, αὐλητὴν δε καὶ ὑποκριτὴν ὐ λέγομεν; ἢ ὅτι τῶν μὲν ἡ δύναμις ἄνευ πλεονεξίας (ἡδονῆς γὰρ ςοχαςική ἐςι), τῶν δὲ πρὸς τὸ πλεονεκτεῖν· ῥήτωρ γὰρ καὶ ςρατηγὸς

1. ὅτι] ἐςὶν ἓν ὅτι X^a. ‖ 5. ὐ om $C^a X^a Y^a$. ‖ ὖν om $C^a Y^a$. ‖ 8. τὸ X^a. ‖ 11. αὔξησιν X^a. ‖ 13. αὐξάνεται C^a. ‖ δίς — 16. πλάτος om C^a. ‖ 19. ἐπὶ τῆς τροίας C^a. ‖ 22. ἐγγύτερα C^a. ‖ 24. δὲ πρὸς τῦτο X^a. ‖ 25. τί om C^a. ‖ 27. ταῦτα πάλιν X^a. ‖ 28. ...περ om C^a. ‖ 31. πρότερον Y^a. ‖ ἐρμῦ X^a. ‖ 33. ποιεῖ C^a.

3. προεγρηγορέναι $C^a X^a v$. ‖ 4. τὸ addidit C^a. ‖ 16. ὢν] τὰ X^a. ‖ 24. τοῦτο $C^a X^a Y^a v$. ‖ 25. ὐ om v. ‖ 26. χαίρυσιν οἱ ἄνθρωποι $X^a Y^a v$. ‖ 28. σιαίρυσι v. ‖ 31. αἷς $C^a X^a Y^a v$. ‖ 32. μαρτυροῦσι C^a. ‖ 34. ὅμοιον μὲν μανθάνουσιν v. ‖ 36. χρηματιστὴν καὶ ςρατηγὸν X^a.

καὶ χρηματιστὴς ἀγαθός ἐστιν ὁ δυνάμενος πλέον ἔχειν, ἡ δὲ δεινότης μάλιστα ἐν τῷ πλεονεκτεῖν ἐστίν.

5 Διὰ τί τὸν φιλόσοφον τοῦ ῥήτορος οἴονται διαφέρειν; ἢ ὅτι ὁ μὲν τί ἐστιν ἀδικία, ὁ δὲ ὡς ἄδικος ὁ δεῖνα, καὶ ὁ μὲν ὅτι τύραννος, ὁ δὲ οἷον ἡ τυραννίς.

6 Διὰ τί, ἅπερ ἂν τίνες προέλωνται, ἐνδιατρίβουσι τούτοις ἐνίοτε φαύλοις οὖσι μᾶλλον ἢ ἐν τοῖς σπουδαιοτέροις, οἷον θαυματοποιὸς ἢ μῖμος ἢ συρικτὴς μᾶλλον ἢ ἀστρονόμος ἢ ῥήτωρ εἶναι ἂν βούλοιτο ὁ ταῦτα προελόμενος. ἢ ὅτι βούλονται μὲν ἔνιοι τὰ σπουδαιότατα μεταχειρίζεσθαι, διὰ δὲ τὸ μὴ πιστεύειν ἑαυτοῖς ὡς δυνησομένοις, διὰ τοῦτο οὐ πράττουσιν; ἢ ὅτι ἐν οἷς οἴεται ἕκαστος κρατιστεύειν, ταῦτα προαιρεῖται· ὃ δὲ αἱρεῖται, καὶ ἐπὶ τοῦτ' ἐπείγεται, νέμων τὸ πλεῖστον ἡμέρας αὐτῷ μέρος, ἵνα αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ὤν. ὅ τι δὲ ἄν τινες ἐξ ἀρχῆς προέλωνται καὶ οἷς ἂν συνεθισθῶσιν, οὐδὲ κρίνειν ἔτι δύνανται τὰ βελτίω· διέφθαρται γὰρ ἡ διάνοια διὰ φαύλας προαιρέσεις.

7 Διὰ τί τοὺς μέν, ἂν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβάνει καὶ μὴ βουλομένους, τοὺς δὲ οὐ βουλομένους ποιεῖ δύνασθαι, ὅταν λάβωσι βιβλίον; ἢ ὅσοις μέν εἰσι πνευματικαὶ κινήσεις διὰ ψυχρότητα φύσεως ἢ μελαγχολικῶν χυμῶν, δι' οὓς περίττωμα γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τούτοις ὅταν μὲν κινῆται ἡ διάνοια καὶ μὴ νοῇ ἐπιστήσασά τι, ἐκκρούεται ἡ ἑτέρα κίνησις, διὸ μᾶλλον μεταβάλλοντες πολὺ τὴν διάνοιαν καθεύδουσιν· ἡττᾶται γὰρ ἡ πνευματική. ὅταν δὲ ἐρείσωσι πρός τι τὴν διάνοιαν, ὅπερ ἡ ἀνάγνωσις ποιεῖ, κινοῦνται ὑπὸ τῆς πνευματικῆς κινήσεως, οὐκ ἐκκρουομένης ὑπ' οὐδενός, ὥστε οὐ δύνανται καθεύδειν. τῶν δὲ κατὰ φύσιν ἐχόντων ὅταν στῇ πρὸς ἓν ἡ διάνοια καὶ μὴ μεταβάλλῃ πολλαχῇ, ἵσταται καὶ τὰ ἄλλα ὅσα περὶ τὸν τόπον, ὧν ἠρέμησις ὁ ὕπνος ἐστίν. ἑνὸς γὰρ κυρίου στάντος, ὥσπερ ἐν τροπῇ, καὶ τὰ ἄλλα μόρια ἵστασθαι πέφυκεν. φύσει γὰρ ἄνω τὸ κοῦφον φέρεται, τὸ δὲ βαρὺ κάτω. ὅταν οὖν ἡ ψυχὴ κινῆται κατὰ φύσιν, οὐ καθεύδει· οὕτω γὰρ ἔχει. ὅταν δὲ στῇ καὶ οἷον κοπιάσῃ, ὁ μὲν νοῦς μεταβάλλει, καὶ ἄνω τὰ σωματώδη πρὸς τὴν κεφαλὴν ἰόντα ποιεῖ τὸν ὕπνον. δόξειε δ' ἂν ἡ ἀνάγνωσις κωλύειν καθεύδειν. ἔστι δὲ οὐ διὰ τὸ νοεῖν (ὥρισται γὰρ τότε μᾶλλον ἡ ψυχή) ἀλλὰ διὰ τὸ μεταβάλλειν ἡ ἀγρυπνία, ἐπεὶ καὶ νοήσεις αἱ τοιαῦται ἄγρυπνοί εἰσιν, ἐν αἷς ζητεῖ ἡ ψυχὴ καὶ ἀπορεῖ, ἀλλ' οὐκ ἐν αἷς ἀεὶ θεωρεῖ· ἐκεῖναι μὲν γὰρ ἀοριστεῖν ποιοῦσιν, αὗται δὲ οὔ.

Διὰ τί ἐν τοῖς ἐριστικοῖς οὐκ ἔνεστιν ἀδολεσχία; ἢ ὅτι 8
συλλογισμός ἐστι φαινόμενος, ἐν ὀλίγοις δὲ ὁ συλλογισμός· καὶ ἐὰν μηκύνῃ, χρόνου γινομένου ὁ παραλογισμὸς δῆλος, καὶ ἔστιν ὃ ἔδωκεν ἀναλαβεῖν.

Διὰ τί ποτε τῶν ἱστοριῶν ἥδιον ἀκούομεν τῶν περὶ ἓν 9
συνεστηκυιῶν ἢ τῶν περὶ πολλὰ πραγματευομένων; ἢ διότι τοῖς γνωριμωτέροις μᾶλλον προσέχομεν καὶ ἥδιον αὐτῶν ἀκούομεν· γνωριμώτερον δέ ἐστι τὸ ὡρισμένον τοῦ ἀορίστου. τὸ μὲν οὖν ἓν ὥρισται, τὰ δὲ πολλὰ τοῦ ἀπείρου μετέχει.

Διὰ τί ἡδόμεθα ἀκούοντες τὰ μήτε λίαν παλαιὰ μήτε 10
κομιδῇ νέα; ἢ διότι τοῖς μὲν πόρρω ἀφ' ἡμῶν ἀπιστοῦμεν, ἐφ' οἷς δὲ ἀπιστοῦμεν, οὐχ ἡδόμεθα· τὰ δὲ ὥσπερ ἔτι αἰσθανόμεθα, καὶ περὶ τούτων ἀκούοντες οὐχ ἡδόμεθα.

ΙΘ. ΟΣΑ ΠΕΡΙ ΑΡΜΟΝΙΑΝ.

Διὰ τί οἱ πονοῦντες καὶ οἱ ἀπολαύοντες αὐλοῦνται; ἢ ἵνα οἱ μὲν ἧττον λυπῶνται, οἱ δὲ μᾶλλον χαίρωσιν.

Διὰ τί πορρωτέρω ὁ αὐτὸς τῇ αὐτῇ φωνῇ γεγωνεῖ 2
μετ' ἄλλων ᾄδων καὶ βοῶν ἢ μόνος; ἢ ὅτι τὸ ἀθρόως τι ποιεῖν ἢ θλίβειν ἢ ὠθεῖν οὐ τοσαυταπλάσιόν ἐστιν ὅσος ὁ ἀριθμός, ἀλλ' ὥσπερ ἡ γραμμὴ ἡ δίπους οὐ διπλάσιον ἀλλὰ τετραπλάσιόν τι γράφει, οὕτω τὰ συντιθέμενα πλέον ἰσχύει κατὰ τὸν ἀριθμὸν ἢ ὅταν ᾖ διῃρημένα. ἀθρόων οὖν ὄντων μία γίνεται ἡ τῆς φωνῆς ἰσχὺς καὶ ἅμα ὠθεῖ τὸν ἀέρα, ὥστε πολλαπλάσιον προϊέναι· καὶ γὰρ ἡ ἐκ πάντων φωνὴ μιᾶς ἑκάστης πολλαπλάσιος.

Διὰ τί τὴν παρυπάτην ᾄδοντες μάλιστα ἀπορρήγνυν- 3
ται, οὐχ ἧττον ἢ τὴν νήτην καὶ τὰ ἄνω, μετὰ δὲ διαστάσεως πλείονος; ἢ ὅτι χαλεπώτατα ταύτην ᾄδουσι, καὶ αὕτη ἀρχή; τὸ δὲ χαλεπὸν διὰ τὴν ἐπίτασιν καὶ πίεσιν τῆς φωνῆς· ἐν τούτοις δὲ πόνος· πονοῦντα δὲ μᾶλλον διαφθείρεται.

Διὰ τί δὲ ταύτην χαλεπῶς, τὴν δὲ ὑπάτην ῥᾳδίως; 4
καίτοι δίεσις ἑκατέρας. ἢ ὅτι μετ' ἀνέσεως ἡ ὑπάτη, καὶ ἅμα μετὰ τὴν σύστασιν ἐλαφρὸν τὸ ἄνω βάλλειν; διὰ ταὐτὸ δὲ ἔοικε καὶ τὰ πρὸς μίαν λεγόμενα πρὸς ταύτην ἢ παρανήτην. δεῖ γὰρ μετὰ συννοίας καὶ καταστάσεως οἰκειο-

4. ὡς om C^a. ‖ 8. μῖκος ἢ συρρικτὴς pr C^a. ‖ 10. σπουδαιότερα v. ‖ 11. οὐ om C^a. ‖ 13. ὃ δὲ αἱρεῖται in margine v. ‖ 14. τυγχάνῃ codices. ‖ κράτιστος v. ‖ 16. βούλονται C^a. ‖ 21. φύσεως om C^a. ‖ 28. ἐκκρουομένοις X^a. ‖ 32. καὶ] στάντα C^aX^a. ‖ πέφυκεν ἵστασθαι X^a. ‖ 35. καὶ post μετ. om X^a. ‖ 37. δ' om v. ‖ 38. ἡ ψυχὴ τότε μᾶλλον C^aY^av.

9. πεπραγματευμένων Y^a. ‖ 12. ἓν om v. ‖ 14. ὅτι C^a. ‖ 15. ἔστι X^a. ‖ 21. πορρώτερον C^aX^a. ‖ 23. τοσαῦτα πλησίον codices. ‖ οὐ om pr Y^a. ‖ 25. ἰσχύει ἢ κατὰ C^aY^a. ‖ 28. ἐκ τῶν π. X^a. ‖ 32. αὐτὴ C^a, αὕτη ἡ X^a. ‖ 34. δὲ ὁ πόνος C^a. ‖ 36. αἰνέσεως Y^a. ‖ 39. οἰκειοτάτη X^aY^a.

τάτης τῷ ἤθει πρὸς τὴν βύλησιν. τῦ δὲ δὴ μετὰ συμφωνίας τίς ἡ αἰτία;

5 Διὰ τί ἥδιον ἀκύυσιν ᾀδόντων ὅσα ἂν προεπιςάμενοι τυγχάνωσι τῶν μελῶν, ἢ ὧν μὴ ἐπίστανται; πότερον ὅτι μᾶλλον δῆλος ὁ τυγχάνων ὥσπερ σκοπῦ, ὅταν γνωρίζωσι τὸ ᾀδόμενον; τῦτο δὲ ἡδὺ θεωρεῖν. ἢ ὅτι ἡδὺ τὸ μανθάνειν; τύτυ δὲ αἴτιον ὅτι τὸ μὲν λαμβάνειν τὴν ἐπιςήμην, τὸ δὲ χρῆσθαι καὶ ἀναγνωρίζειν ἐστίν. ἔτι καὶ τὸ σύνηθες ἡδὺ μᾶλλον τῦ ἀσυνήθυς.

6 Διὰ τί ἡ παρακαταλογὴ ἐν ταῖς ᾠδαῖς τραγικόν; ἢ διὰ τὴν ἀνωμαλίαν; παθητικὸν γὰρ τὸ ἀνωμαλὲς καὶ ἐν μεγέθει τύχης ἢ λύπης. τὸ δὲ ὁμαλὲς ἔλαττον γοῶδες.

7 Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδυς ποιῦντες ἁρμονίας τὴν ὑπάτην ἀλλ᾽ ὐ τὴν νήτην κατέλιπον; πότερον τῦτο ψεῦδος (ἀμφοτέρας γὰρ κατέλιπον, τὴν δὲ τρίτην ἐξῄρουν) ἢ οὔ; ἀλλ᾽ ὅτι ἡ βαρυτέρα ἰσχύει τὸν τῆς ὀξυτέρας φθόγγον, ὥςε μᾶλλον ἡ ὑπάτη ἀπεδίδυ τὸ ἀντίφωνον ἢ ἡ νήτη, ἐπεὶ τὸ ὀξὺ δυνάμεως μᾶλλον, τὸ δὲ βαρὺ ῥᾷον φθέγξασθαι.

8 Διὰ τί ἡ βαρεῖα τὸν τῆς ὀξείας ἰσχύει φθόγγον; ἢ ὅτι μεῖζον τὸ βαρύ; τῇ γὰρ ἀμβλείᾳ ἔοικε, τὸ δὲ τῇ ὀξείᾳ γωνίᾳ.

9 Διὰ τί ἥδιον τῆς μονῳδίας ἀκούομεν, ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; καίτοι πρὸς χορδὰς καὶ τὸ αὐτὸ μέλος ᾄδυσιν ἀμφοτέρως· εἰ γὰρ ἔτι μᾶλλον τὸ αὐτό, πλέον ἔδει πρὸς πολλὺς αὐλητάς, καὶ ἔτι ἥδιον εἶναι. ἢ ὅτι τυγχάνων δῆλος τῦ σκοπῦ μᾶλλον, ὅταν πρὸς αὐλὸν ἢ λύραν; τὸ δὲ πρὸς πολλὺς αὐλητὰς ἢ λύρας πολλὰς ὐχ ἥδιον, ὅτι ἀφανίζει τὴν ᾠδήν.

10 Διὰ τί, εἰ ἥδιον ἡ ἀνθρώπυ φωνή, ἡ ἄνευ λόγυ ᾄδοντος ὐχ ἡδίων ἐςίν, οἷον τερετιζόντων, ἀλλ᾽ αὐλὸς ἢ λύρα; ἢ ὐδ᾽ ἐκεῖ, ἐὰν μὴ μιμῆται, ὁμοίως ἡδύ; ὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἔργον αὐτό. ἡ μὲν γὰρ φωνὴ ἡδίων ἡ τῦ ἀνθρώπυ, κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος. διὸ ἥδιον ἀκύειν ἢ τερετίζειν.

11 Διὰ τί ἡ ἀπηχοῦσα ὀξυτέρα; ἢ ὅτι ἔλαττον, ἀσθενεςέρα γινομένη;

12 Διὰ τί τῶν χορδῶν ἡ βαρυτέρα ἀεὶ τὸ μέλος λαμβάνει; ἂν γὰρ δέηται ᾆσαι τὴν παραμέσην σὺν ψιλῇ τῇ μέσῃ, γίνεται τὸ μέσον ὐθὲν ἧττον· ἐὰν δὲ τὴν μέσην δέον ἄμφω, ψιλὰ ὐ γίνεται. ἢ ὅτι τὸ βαρὺ μέγα ἐςίν, ὥςε κρατερόν; καὶ ἔνεςιν ἐν τῷ μεγάλῳ τὸ μικρόν· καὶ τῇ διαλήψει δύο νῆται ἐν τῇ ὑπάτῃ γίνονται.

13 Διὰ τί ἐν τῇ διὰ πασῶν τῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ βαρύ, τύτυ δὲ τὸ ὀξὺ ὔ; ἢ ὅτι μάλιςα μὲν ἐν ἀμφοῖν ἐστὶ τὸ ἀμφοῖν μέλος, εἰ δὲ μή, ἐν τῷ βαρεῖ· μεῖζον γάρ.

14 Διὰ τί λανθάνει τὸ διὰ πασῶν, καὶ δοκεῖ ὁμόφωνον εἶναι, οἷον ἐν τῷ φοινικίῳ καὶ ἐν τῷ ἀνθρώπῳ; τὰ γὰρ ἐν τοῖς ὀξέσιν ὄντα οὐχ ὁμόφωνα, ἀλλ᾽ ἀνάλογον ἀλλήλοις διὰ πασῶν. ἢ ὅτι ὥσπερ ὁ αὐτὸς εἶναι δοκεῖ φθόγγος, διὰ τὸ ἀνάλογον ἰσότης ἐπὶ φθόγγων; τὸ δὲ ἴσον τῦ ἑνός. ταὐτὸ δὲ τῦτο καὶ ἐν ταῖς σύριγξιν ἐξαπατῶνται.

15 Διὰ τί οἱ μὲν νόμοι ὐκ ἐν ἀντιςρόφοις ἐποιῦντο, αἱ δ᾽ ἄλλαι ᾠδαὶ αἱ χορικαί; ἢ ὅτι οἱ μὲν νόμοι ἀγωνιςῶν ἦσαν, ὧν ἤδη μιμεῖσθαι δυναμένων καὶ διατείνεσθαι ἡ ᾠδὴ ἐγίνετο μακρὰ καὶ πολυειδής; καθάπερ ὖν καὶ τὰ ῥήματα, καὶ τὰ μέλη τῇ μιμήσει ἠκολύθει ἀεὶ ἕτερα γινόμενα. μᾶλλον γὰρ τῷ μέλει ἀνάγκη μιμεῖσθαι ἢ τοῖς ῥήμασιν. διὸ καὶ οἱ διθύραμβοι, ἐπειδὴ μιμητικοὶ ἐγένοντο, ὐκέτι ἔχυσιν ἀντιςρόφυς, πρότερον δὲ εἶχον. αἴτιον δὲ ὅτι τὸ παλαιὸν οἱ ἐλεύθεροι ἐχόρευον αὐτοί· πολλὺς ὖν ἀγωνιςικῶς ᾄδειν χαλεπὸν ἦν, ὥςε ἐναρμόνια μέλη ἐνῇδον. μεταβάλλειν γὰρ πολλὰς μεταβολὰς τῷ ἑνὶ ῥᾷον ἢ τοῖς πολλοῖς, καὶ τῷ ἀγωνιςῇ ἢ τοῖς τὸ ἦθος φυλάττυσιν. διὸ ἁπλύστερα ἐποίυν αὐτοῖς τὰ μέλη. ἡ δὲ ἀντίστροφος ἁπλῦν· ἀριθμὸς γάρ ἐστι καὶ ἑνὶ μετρεῖται. τὸ δ᾽ αὐτὸ αἴτιον καὶ διότι τὰ μὲν ἀπὸ τῆς σκηνῆς οὐκ ἀντίστροφα, τὰ δὲ τῦ χορῦ ἀντίςροφα· ὁ μὲν γὰρ ὑποκριτὴς ἀγωνιςὴς καὶ μιμητής, ὁ δὲ χορὸς ἧττον μιμεῖται.

16 Διὰ τί ἥδιον τὸ ἀντίφωνον τῦ συμφώνυ; ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ; ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν, ὥςε δύο πρὸς μίαν φωνὴν γινόμεναι ἀφανίζυσι τὴν ἑτέραν.

17 Διὰ τί πέντε ὐκ ᾄδυσιν ἀντίφωνα; ἢ ὅτι ὐχ ἡ αὐτὴ ἡ σύμφωνος τῇ συμφωνίᾳ, ὥσπερ ἐν τῷ διὰ πασῶν; ἐκείνη γὰρ ἐν τῷ βαρεῖ ἀνάλογον, ὡς ἡ ὀξεῖα ἐν τῷ ὀξεῖ. ὥσπερ ὖν ἡ αὐτή ἐςιν ἅμα καὶ ἄλλη. αἱ δὲ ἐν τῷ διὰ πέντε καὶ διὰ τεττάρων οὐκ ἔχουσιν ὕτως, ὥςε ὐκ ἐμφαίνεται ὁ τῆς ἀντιφώνυ φθόγγος· ὐ γάρ ἐςιν ὁ αὐτός.

18 Διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγα-

3. ἂν om $C^a X^a$. ‖ 7. τῦτο $C^a Y^a$. ‖ ὅτι om $C^a X^a Y^a$. ‖ 12. δὲ om X^a. ‖ ὁμαλὸν Y^a. ‖ 13. ἁρμονίας ποιῦντες X^a. ‖ 23. [illegible] X^a. ‖ μέρος $C^a X^a Y^a$. ‖ 29. ἡδίων Y^a. ‖ ἡ ἀνθρ.] τῆς ἀνθρ. C^a. ‖ 31. μὴ om C^a.

2. νῆτται C^a. ‖ 4. ἢ om $C^a X^a Y^a$. ‖ 5. ἐν] ὐ $C^a X^a Y^a$. ‖ 8. ἀτρόπῳ margo X^a. ‖ 12. σύριξιν C^a. ‖ 17. γινόμενα om X^a. ‖ 19. ἐγίνοντο C^a. ‖ 22. ἐν ἁρμονίᾳ $C^a X^a$. ‖ μεταβάλλει X^a. ‖ 23. ἢ τοῖς] ἤτοι $C^a X^a Y^a$. ‖ 24. ἐποιῦντο X^a. ‖ 37. ἡ om Y^a. ‖ ἐςιν ἐν τῷ ἅμα X^a. ‖ 38. τεσσάρων X^a.

γὰρ ταύτην, ἄλλην δὲ ὐδεμίαν. ἢ ὅτι μόνη ἐξ ἀν-
ων ἐςὶ χορδῶν, ἐν δὲ τοῖς ἀντιφώνοις καὶ τὴν ἑτέραν
δῃ, τὸ αὐτὸ ποιεῖ; ἡ γὰρ μία τρόπον τινὰ τὰς ἀμ-
ων ἔχει φωνάς, ὥςε καὶ μιᾶς ᾀδομένης ἐν ταύτῃ τῇ
ωνίᾳ ᾄδεται ἡ συμφωνία, καὶ ἄμφω ᾄδοντες· ἢ τῆς
δομένης τῆς δὲ αὐλȣμένης ὥσπερ μίαν ἄμφω ᾄδȣσιν.
όνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς φωνὴν τὰ ἀν-
α.

Διὰ τί δὲ ταῖς ἀντιφώνοις τοῦτο μόναις ὑπάρχει; ἢ
όναι ἴσον ἀπέχȣσι τῆς μέσης; ἡ ȣ̃ν μεσότης ὁμοιότητά
ποιεῖ τῶν φθόγγων, καὶ ἔοικεν ἡ ἀκοὴ λέγειν ὅτι ἡ
καὶ ὅτι ἀμφότεραι ἔσχαται.

Διὰ τί, ἐὰν μέν τις τὴν μέσην κινήσῃ ἡμῶν, ἁρμόσας
λλας χορδάς, καὶ χρῆται τῷ ὀργάνῳ, ȣ̓ μόνον ὅταν
τὸν τῆς μέσης γένηται φθόγγον, λυπεῖ καὶ φαίνεται
οςον, ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μελῳδίαν· ἐὰν δὲ
χανὸν ἢ τινα ἄλλον φθόγγον, τότε φαίνεται διαφέ-
όνον, ὅταν κἀκείνῃ τις χρῆται; ἢ εὐλόγως τȣ̃το συμ-
; πάντα γὰρ τὰ χρηστὰ μέλη πολλάκις τῇ μέσῃ
, καὶ πάντες οἱ ἀγαθοὶ ποιηταὶ πυκνὰ πρὸς τὴν μέ-
παντῶσι, κἂν ἀπέλθωσι, ταχὺ ἐπανέρχονται, πρὸς
λην ȣ̔́τως ȣ̓δεμίαν. καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαι-
ων συνδέσμων, ȣ̓κ ἔςιν ὁ λόγος Ἑλληνικός, οἷον τὸ τέ
καί, ἔνιοι δὲ ȣ̓θὲν λυπȣ̃σι διὰ τὸ τοῖς μὲν ἀναγκαῖον
χρῆσθαι πολλάκις, εἰ ἔσται λόγος, τοῖς δὲ μή, οὕτω
ῶν φθόγγων ἡ μέση ὥσπερ σύνδεσμός ἐστι, καὶ μά-
τῶν καλῶν, διὰ τὸ πλειςάκις ἐνυπάρχειν τὸν φθόγ-
ὐτῆς.

Διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον ᾄδοντες τῶν ὀξὺ
ων, ἐὰν ἀπᾴδωσι, μᾶλλον κατάδηλοι γίνονται; ὁμοίως
τῷ ῥυθμῷ οἱ ἐν τῷ βαρυτέρῳ πλημμελȣ̃ντες κατά-
μᾶλλον. πότερον ὅτι πλείων ὁ χρόνος ὁ τȣ̃ βαρέος,
δὲ μᾶλλον αἰσθητός; ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω
ιν παρέχει, τὸ δὲ ταχὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ
.

Διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδοντες τὸν ῥυθμὸν σώζȣσιν
λίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέ-
καὶ βαρύτερον ἄρχονται, ὥςε ῥᾷον τȣ̃ αὐτȣ̃ τυγχά-
ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων.

Διὰ τί διπλασία ἡ νήτη τῆς ὑπάτης; ἢ πρῶτον μὲν 23
ὅτι ἐκ τοῦ ἡμίσεος ἡ χορδὴ ψαλλομένη καὶ ὅλη συμφωνȣ̃σα διὰ πασῶν; ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῶν συρίγγων· ἡ γὰρ διὰ τȣ̃ μέσȣ τῆς σύριγγος τρήματος φωνὴ τῇ δι' ὅλης τῆς σύριγγος συμφωνεῖ διὰ πασῶν. ἔτι ἐν τοῖς ἄλλοις τῷ διπλασίῳ διαστήματι λαμβάνεται τὸ διὰ πασῶν, καὶ οἱ αὐλοτρῦπαι ȣ̔́τω λαμβάνȣσιν. ὁμοίως δὲ καὶ τὸ διὰ πέντε τῷ ἡμιολίῳ, ὅτι οἱ τὰς σύριγγας ἁρμοττόμενοι εἰς μὲν τὴν ὑπάτην ἄκραν τὸν κηρὸν ἐμπλάττȣσι, τὴν δὲ νήτην μέχρι τȣ̃ ἡμίσεος ἀναπληρȣ̃σιν. ὁμοίως δὲ καὶ τὴν διὰ πέντε τῷ ἡμιολίῳ καὶ τὴν διὰ τεττάρων τῷ ἐπιτρίτῳ διαστήματι λαμβάνȣσιν. ἔτι οἱ ἐν τοῖς τριγώνοις ψαλτηρίοις τῆς ἴσης ἐπιτάσεως γινομένης συμφωνȣ̃σι διὰ πασῶν, ἡ μὲν διπλασία ȣ̓̃σα, ἡ δὲ ἡμίσεια τῷ μήκει.

Διὰ τί, ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη 24
μόνη δοκεῖ ἀντηχεῖν; ἢ ὅτι συμφυὴς μάλιςα γίνεται τῷ φθόγγῳ ὁ ἀπὸ ταύτης ἦχος διὰ τὸ σύμφωνος εἶναι; τῷ ȣ̓̃ν συναυξάνεσθαι τῷ ὁμοίῳ φαίνεται μόνος, οἱ δὲ ἄλλοι διὰ μικρότητα ἀφανεῖς.

Διὰ τί μέση καλεῖται ἐν ταῖς ἁρμονίαις, τῶν δὲ ὀκτὼ 25
ȣ̓κ ἔστι μέσον; ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δὲ ἑπτὰ ἔχει μέσον.

Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖςοι; πότερον ὅτι 26
ῥᾷον ὀξὺ ᾆσαι ἢ βαρύ; ἢ ὅτι χεῖρον τοῦ βαρέος; ἁμαρτία δέ ἐςι τȣ̃ χείρονος πρᾶξις.

Διὰ τί τὸ ἀκȣςὸν μόνον ἦθος ἔχει τῶν αἰσθητῶν; καὶ 27
γὰρ ἐὰν ᾖ ἄνευ λόγου μέλος, ὅμως ἔχει ἦθος· ἀλλ' οὐ τὸ χρῶμα οὐδὲ ἡ ὀσμὴ οὐδὲ ὁ χυμὸς ἔχει. ἢ ὅτι κίνησιν ἔχει μόνον οὐχί, ἣν ὁ ψόφος ἡμᾶς κινεῖ; τοιαύτη μὲν γὰρ καὶ τοῖς ἄλλοις ὑπάρχει· κινεῖ γὰρ καὶ τὸ χρῶμα τὴν ὄψιν· ἀλλὰ τῆς ἑπομένης τῷ τοιούτῳ ψόφῳ αἰσθανόμεθα κινήσεως. αὕτη δὲ ἔχει ὁμοιότητα ἔν τε τοῖς ῥυθμοῖς καὶ ἐν τῇ τῶν φθόγγων τάξει τῶν ὀξέων καὶ βαρέων, ȣ̓κ ἐν τῇ μίξει. ἀλλ' ἡ συμφωνία οὐκ ἔχει ἦθος. ἐν δὲ τοῖς ἄλλοις αἰσθητοῖς τοῦτο οὐκ ἔςιν. αἱ δὲ κινήσεις αὗται πρακτικαί εἰσιν, αἱ δὲ πράξεις ἤθους σημασία ἐςίν.

Διὰ τί νόμοι καλȣ̃νται οὓς ᾄδȣσιν; ἢ ὅτι πρὶν ἐπίςα- 28
σθαι γράμματα, ᾖδον τοὺς νόμους, ὅπως μὴ ἐπιλάθωνται,

, ὥσπερ καὶ μίαν X^a. ‖ 7. τὰ ἀντίφωνα φωνὴν X^a. ‖ 13. τὴν μέσην om C^a. ‖ 14. καὶ χρῆται] κέχρηται $C^aX^aY^a$. ‖ ὅταν κατὰ]
omisso mox γένηται. ‖ 15. φθίνεται ἐνάρμοσον X^a. ‖ 25. εἰ] οὐκ pr X^a. ‖ 38. ῥᾴδιον $C^aX^aY^a$.
. ἡμίσεως Y^a. ‖ συμφωνȣ̃σι Y^a. ‖ 8. εἰς] ὅτι εἰς C^a. ‖ 10. διὰ τὴν C^aY^a. ‖ 12. οἱ] εἰ C^aY^a. ‖ 15. ψιλὰς C^a. ‖ ἐπιβάλῃ C^a
βάλλῃ X^aν. ‖ 17. ὁ om C^a. ‖ 18. συναύξεσθαι C^a. ‖ φαίνεται ὅτι μόνος C^a. ‖ 23. ἐπᾴδȣσιν X^a. ‖ 26. ἦθος om C^aX^a et pr
31. τὴν] καὶ τὴν X^a. ‖ 32. ὁμοιότατα Y^a.

ὥσπερ ἐν Ἀγαθύρσοις ἔτι εἰώθασιν; καὶ τῶν ὑςέρων ὠδῶν τὰς πρώτας τὸ αὐτὸ ἐκάλεσαν ὅπερ τὰς πρώτας.

29 Διὰ τί οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ ὖσα ἤθεσιν ἔοικεν, οἱ δὲ χυμοὶ ὔ, ἀλλ' ὐδὲ τὰ χρώματα καὶ αἱ ὀσμαί; ἢ ὅτι κινήσεις εἰσὶν ὥσπερ καὶ αἱ πράξεις; ἤδη δὲ ἡ μὲν ἐνέργεια ἠθικὸν καὶ ποιεῖ ἦθος, οἱ δὲ χυμοὶ καὶ τὰ χρώματα ὐ ποιῦσιν ὁμοίως.

30 Διὰ τί ὐδὲ ὑποδωριςὶ ὐδὲ ὑποφρυγιςὶ ὐκ ἔςιν ἐν τραγῳδίᾳ χορικόν; ἢ ὅτι ὐκ ἔχει ἀντίςροφον. ἀλλ' ἀπὸ σκηνῆς· μιμητικὴ γάρ.

31 Διὰ τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τραγῳδίαις τῶν μέτρων;

32 Διὰ τί διὰ πασῶν καλεῖται, ἀλλ' οὐ κατὰ τὸν ἀριθμὸν δι' ὀκτώ, ὥσπερ καὶ διὰ τεττάρων καὶ διὰ πέντε; ἢ ὅτι ἑπτὰ ἦσαν αἱ χορδαὶ τὸ ἀρχαῖον, εἶτ' ἐξελὼν τὴν τρίτην Τέρπανδρος τὴν νήτην προσέθηκε, καὶ ἐπὶ τύτυ ἐκλήθη διὰ πασῶν ἀλλ' ὐ δι' ὀκτώ· δι' ἑπτὰ γὰρ ἦν.

33 Διὰ τί εὐαρμοστότερον ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ἢ ἀπὸ τῦ βαρέος ἐπὶ τὸ ὀξύ; πότερον ὅτι τὸ ἀπὸ τῆς ἀρχῆς γίνεται ἄρχεσθαι; ἡ γὰρ μέση καὶ ἡγεμὼν ὀξυτάτη τοῦ τετραχόρδυ. τὸ δὲ ὐκ ἀπ' ἀρχῆς ἀλλ' ἀπὸ τελευτῆς. ἢ ὅτι τὸ βαρὺ ἀπὸ τῦ ὀξέος γενναιότερον καὶ εὐφωνότερον;

34 Διὰ τί δὶς μὲν δι' ὀξειῶν καὶ δὶς διὰ τεττάρων ὐ συμφωνεῖ, δὶς διὰ πασῶν δέ; ἢ ὅτι ἡ δὶς δι' ὀξειῶν οὐ δὶς διὰ τεττάρων ἐςίν, τὸ δὲ διὰ τεττάρων καὶ διὰ πέντε.

35 Διὰ τί ἡ διὰ πασῶν καλλίστη συμφωνία; ἢ ὅτι ἐν ὅλοις ὅροις οἱ ταύτης λόγοι εἰσίν, οἱ δὲ τῶν ἄλλων οὐκ ἐν ὅλοις; ἐπεὶ γὰρ διπλασία ἡ νήτη τῆς ὑπάτης, οἷα ἡ νήτη δύο, ἡ ὑπάτη ἕν, καὶ οἷα ἡ ὑπάτη δύο, ἡ νήτη τέσσαρα, καὶ ἀεὶ οὕτως. τῆς δὲ μέσης ἡμιόλια. τὸ γὰρ διὰ πέντε ἡμιόλιον ὐκ ἐν ὅλοις ἀριθμοῖς ἐςίν· οἷον γὰρ ἓν τὸ ἔλαττον, τὸ μεῖζον τοσοῦτον δὲ καὶ ἔτι τὸ ἥμισυ. ὥςε οὐχ ὅλα πρὸς ὅλα συγκρίνεται, ἀλλ' ἔπεςι μέρη. ὁμοίως δὲ καὶ ἐν τῷ διὰ τεττάρων ἔχει· τὸ γὰρ ἐπίτριτόν ἐςιν ὅσον τεμεῖν ὃ καὶ ἔτι ἓν τῶν τεττάρων ἐπίτριτόν ἐςιν. ἢ ὅτι τελεωτάτη ἐξ ἀμφοτέρων ὖσα, καὶ ὅτι μέτρον τῆς μελῳδίας διὰ παντὸς τῦ φερομένυ ἡ κατὰ μέσον κίνησις σφοδροτάτη, ἀρχομένυ δὲ καὶ λήγοντος μαλακωτέρα; ὅτε δὲ σφοδροτάτη ἡ κίνησις, καὶ ἡ φωνὴ ὀξυτέρα τῦ φερομένυ. διὸ καὶ χορδαὶ ἐπιτεινόμεναι ὀξύτερον φθέγγονται· θᾶττον γὰρ ἡ κίνησις γίνεται. ἡ δὲ φωνὴ ἢ ἀέρος ἢ ἄλλυ τινὸς φορά· τὴν ἀνὰ μέσον τὸν πόρον ὀξυτάτην δεῖ γίνεσθαι. ὥςε εἰ τῦτο μὴ συμβαίνει, ὐκ ἂν εἴη φορά τινος.

36 Διὰ τί, ἐὰν μὲν ἡ μέση κινηθῇ, καὶ αἱ ἄλλαι χορδαὶ ἠχῦσι φθεγγόμεναι, ἐὰν δὲ αὖ ἡ μὲν μένῃ τῶν δ' ἄλλων τις κινηθῇ, κινηθεῖσα μόνη φθέγγεται; ἢ ὅτι τὸ ἡρμόσθαι ἐςὶν ἁπάσαις, τὸ δὲ ἔχειν πως πρὸς τὴν μέσην ἁπάσαις, καὶ ἡ τάξις ἡ ἑκάςης ἤδη δι' ἐκείνην; ἀρθέντος ὖν τῦ αἰτίυ τοῦ ἡρμόσθαι καὶ τῦ συνέχοντος οὐκέτι ὁμοίως φαίνεται ὑπάρχειν. μιᾶς δὲ ἀναρμόςυ ὔσης, τῆς δὲ μέσης μενούσης, εὐλόγως τὸ κατ' αὐτὴν ἐκλειπόμενον· ταῖς γὰρ ἄλλαις ὑπάρχει τὸ ἡρμόσθαι.

37 Διὰ τί τοῦ ἐν φωνῇ ὀξέος ὄντος κατὰ τὸ ὀλίγον, τοῦ δὲ βαρέος κατὰ τὸ πολύ (τὸ μὲν γὰρ βαρὺ διὰ τὸ πλῆθος βαρύ, τὸ δὲ ὀξὺ δι' ὀλιγότητα ταχύ), ἔργον μᾶλλον ᾄδειν τὰ ὀξέα ἢ τὰ βαρέα, καὶ ὀλίγοι τὰ ἄνω δύνανται ᾄδειν, καὶ οἱ νόμοι ὄρθιοι καὶ οἱ ὀξεῖς χαλεποὶ ᾆσαι διὰ τὸ ἀνατεταμένοι εἶναι; καίτοι ἔλαττον ἔργον τὸ ὀλίγον κινεῖν ἢ τὸ πολύ, ὥςε καὶ ἀέρα. ἢ ὐ ταὐτό γε ὀξύφωνον εἶναι φύσει καὶ τὸ ὀξὺ ᾄδειν, ἀλλὰ φύσει μὲν ὀξύφωνα ἅπαντα δι' ἀσθένειαν, τῷ μὴ δύνασθαι πολὺν κινεῖν ἀέρα ἀλλ' ὀλίγον, ὁ δ' ὀλίγος ταχὺ φέρεται, ἐν δὲ τῷ ᾄδειν τὸ ὀξὺ δυνάμεως σημεῖον. τὸ μὲν γὰρ σφοδρῶς φερόμενον ταχὺ φέρεται, διὸ τὸ ὀξὺ δυνάμεως σημεῖον. διὸ καὶ οἱ ἑκτικοὶ ὀξύφωνοι. καὶ ἔργον τὰ ἄνω ᾄδειν· τὰ δὲ βαρέα κάτω.

Διὰ τί ῥυθμῷ καὶ μέλει καὶ ὅλως ταῖς συμφωνίαις χαίρυσι πάντες; ἢ ὅτι ταῖς κατὰ φύσιν κινήσεσι χαίρομεν κατὰ φύσιν; σημεῖον δὲ τὸ τὰ παιδία εὐθὺς γενόμενα χαίρειν αὐτοῖς. διὰ δὲ τὸ ἔθος τρόποις μελῶν χαίρομεν· ῥυθμῷ δὲ χαίρομεν διὰ τὸ γνώριμον καὶ τεταγμένον ἀριθμὸν ἔχειν, καὶ κινεῖν ἡμᾶς τεταγμένως· οἰκειοτέρα γὰρ ἡ τεταγμένη κίνησις φύσει τῆς ἀτάκτου, ὥςε καὶ κατὰ φύσιν μᾶλλον. σημεῖον δέ· πονοῦντες γὰρ καὶ πίνοντες καὶ ἐσθίοντες τεταγμένα σώζομεν καὶ αὔξομεν τὴν φύσιν καὶ τὴν δύναμιν, ἄτακτα δὲ φθείρομεν καὶ ἐξίσταμεν αὐτήν·

1. γαθύρσοις C^a. ‖ 12. τὸ om C^a. ‖ τῶν μέτρων τραγῳδίαις X^a. ‖ 15 et 24 et 26 et 35 et 36. τεσσάρων X^a. ‖ 17. νήτην C^a. ‖ τύτω X^a. ‖ 19. ἀπὸ τῦ ὀξέος om $C^a X^a Y^a$. ‖ 21. γίνεσθαι C^a. ‖ 22. παραχόρδυ $C^a X^a Y^a$. ‖ 23. ὑπὸ X^a. ‖ 25. οὐ] οὐδὲ $C^a X^a Y^a$. ‖ 28. ἄλλοις C^a. ‖ οἱ] οὐ X^a. ‖ ταύτης om $C^a X^a Y^a$. ‖ 29. ἡ νήτη διπλασία X^a. ‖ ὅσα $C^a X^a Y^a$. ‖ 31. γὰρ] δὲ X^a. ‖ 33. δὲ] τε? ‖ τὸ om $C^a Y^a$. ‖ 36. τεμεῖν ὃ] τ' ἐκεῖνο? ‖ 37. ἐξ] ἡ ἐξ Y^a.

2. φαινομένυ X^a. ‖ 5. τὸν πόνον Y^a, τῶν πόνων C^a. ‖ 6. τινὸς φορά X^a. ‖ 9. κινηθῇ om X^a. ‖ 10. πως om C^a. ‖ 22. τε $C^a Y^a$. ‖ 24. κινεῖν πολὺν C^a. ‖ 25. δ' ὀλίγος] δὲ λόγος C^a. ‖ ἐν — 28. ὀξύφωνοι om C^a. ‖ 27. εὐκτικοὶ $X^a Y^a$. ‖ 30. ἢ om $C^a Y^a$. ‖ 34. τεταγμένοι X^a.

ρ νόσοι τῆς τȣ̃ σώματος ȣ̓ κατὰ φύσιν τάξεως κινή- ισίν. συμφωνίᾳ δὲ χαίρομεν, ὅτι κρᾶσίς ἐςι λόγον ων ἐναντίων πρὸς ἄλληλα. ὁ μὲν ȣ̓̃ν λόγος τάξις, ὃ σει ἡδύ. τὸ δὲ κεκραμένον τοῦ ἀκράτου πᾶν ἥδιον, ς τε κἂν αἰσθητὸν ὂν ἀμφοῖν τοῖν ἄκροιν ἐξ ἴσου τὴν ιν ἔχοι ἐν τῇ συμφωνίᾳ ὁ λόγος.

Διὰ τί ἥδιόν ἐςι τὸ σύμφωνον τȣ̃ ὁμοφώνου; ἢ καὶ ν ἀντίφωνον σύμφωνόν ἐςι διὰ πασῶν; ἐκ παίδων έων καὶ ἀνδρῶν γίνεται τὸ ἀντίφωνον, οἳ διεςᾶσι τοῖς ὡς νήτη πρὸς ὑπάτην. συμφωνία δὲ πᾶσα ἡδίων ῦ φθόγγου (δι' ἃ δέ, εἴρηται), καὶ τȣ́των ἡ διὰ πα- δίςη· τὸ ὁμόφωνον δὲ ἁπλοῦν ἔχει φθόγγον. μα- ουσι δὲ ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὅτι καθάπερ ἐν έτροις οἱ πόδες ἔχουσι πρὸς αὑτοὺς λόγον ἴσον πρὸς δύο πρὸς ἓν ἢ καί τινα ἄλλον, οὕτω καὶ οἱ ἐν τῇ ωνίᾳ φθόγγοι λόγον ἔχουσι κινήσεως πρὸς αὑτούς. ὲν οὖν ἄλλων συμφωνιῶν ἀτελεῖς αἱ θατέρου κατα- ί εἰσιν, εἰς ἥμισυ τελευτῶσαι· διὸ τῇ δυνάμει οὐκ ισίν. οὖσαι δὲ ἄνισοι, διαφορὰ τῇ αἰσθήσει, καθάπερ χοροῖς, ἐν τῷ καταλύειν μεῖζον ἄλλων φθεγγο- ἐςίν. ἔτι δὲ ὑπάτῃ συμβαίνει τὴν αὐτὴν τελευτὴν τοῖς φθόγγοις περιόδων ἔχειν. ἡ γὰρ δευτέρα τῆς πληγὴ τοῦ ἀέρος ὑπάτη ἐςίν. τελευτώσαις δ' εἰς ν, οὐ ταὐτὸν ποιούσαις, ἓν καὶ κοινὸν τὸ ἔργον συμ- γίνεσθαι, καθάπερ τοῖς ὑπὸ τὴν ᾠδὴν κρούȣσιν· καὶ ῦτοι τὰ ἄλλα οὐ προσαυλοῦντες, ἐὰν εἰς ταὐτὸν κα- έφωσιν, εὐφραίνουσι μᾶλλον τῷ τέλει ἢ λυποῦσι πρὸ τοῦ τέλους διαφοραῖς, τῷ τὸ ἐκ διαφόρων τὸ , ἥδιστον ἐκ τοῦ διὰ πασῶν γίνεσθαι. τὸ δὲ μαγα- ἐξ ἐναντίων φωνῶν. διὰ ταῦτα ἐν τῇ διὰ πασῶν δίζουσιν.

Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόντων ὅσα ἂν προεπιστά- τύχωσι τῶν μελῶν, ἢ ἐὰν μὴ ἐπιστῶνται; πότερον ᾶλλον δῆλός ἐςιν ὁ τυγχάνων ὥσπερ σκοπȣ̃, ὅταν ζωσι τὸ ᾀδόμενον; γνωριζόντων δὲ ἡδὺ θεωρεῖν. ἢ ὅτι αθής ἐςιν ὁ ἀκροατὴς τῷ τὸ γνώριμον ᾄδοντι; συνᾴδει αὐτῷ. ᾄδει δὲ πᾶς γεγηθὼς ὁ μὴ διά τινα ἀνάγκην τοῦτο.

41 Διὰ τί δὶς μὲν δι' ὀξειῶν ἢ δὶς διὰ τεττάρων ȣ̓ συμφωνεῖ, δὶς διὰ πασῶν δέ; ἢ ὅτι τὸ μὲν διὰ πέντε ἐςὶν ἐν ἡμιολίῳ λόγῳ, τὸ δὲ διὰ τεττάρων ἐν ἐπιτρίτῳ; ὄντων δὲ ἡμιολίων τριῶν ἑξῆς ἀριθμῶν ἢ ἐπιτρίτων, οἱ ἄκροι πρὸς ἀλλήλȣς ȣ̓δένα λόγον ἕξȣσιν· ȣ̓́τε γὰρ ἐπιμόριοι ȣ̓́τε πολλαπλάσιοι ἔσονται. τὸ δὲ διὰ πασῶν ἐπειδή ἐςιν ἐν διπλασίῳ λόγῳ, δὶς τȣ́τȣ γινομένȣ ἐν τετραπλασίῳ λόγῳ ἂν εἶεν οἱ ἄκροι πρὸς ἀλλήλους. ὥστ' ἐπεὶ συμφωνία εὔλογον ἐχόντων φθόγγων πρὸς ἀλλήλους ἐςί, λόγον δὲ οἱ μὲν τὸ δὶς διὰ πασῶν διάλειμμα ἔχοντες πρὸς ἀλλήλȣς φθόγγοι ἔχουσιν, οἱ δὲ τὸ δὶς διὰ τεττάρων ἢ δὶς διὰ πέντε οὐκ ἔχουσιν, οἱ μὲν δὶς διὰ πασῶν σύμφωνοι εἶεν ἄν, οἱ δ' ἕτεροι ȣ̓́, διὰ τὰ εἰρημένα.

42 Διὰ τί, ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ὑπηχεῖν; ἢ ὅτι ἡ νεάτη λήγουσα καὶ μαραινομένη ὑπάτη γίνεται; σημεῖον δὲ τὸ ἀπὸ τῆς ὑπάτης τὴν νεάτην δύνασθαι ᾄδειν· ὡς γὰρ οὔσης αὐτῆς ᾠδῆς νεάτης, τὴν ὁμοιότητα λαμβάνουσιν ἀπ' αὐτῆς. ἐπεὶ δὲ καὶ ἠχὼ ᾠδή τίς ἐςιν, ἀφή ἐςι φωνῆς τῆς νεάτης ληγούσης, ἦχος ὢν ὁ αὐτὸς τῷ τῆς ὑπάτης φθόγγῳ κινεῖ, εἰκότως τῇ ὁμοιότητι τὴν ὑπάτην ἡ νήτη δοκεῖ κινεῖν. τὴν μὲν γὰρ νεάτην ἴσμεν οὐ κινεῖται ἐπιληφθεῖσα· τὴν δὲ ὑπάτην αὐτὴν ὁρῶντες ἀκατάληπτον οὖσαν, καὶ φθόγγου αὐτῆς ἀκȣ́οντες, ταύτην οἰόμεθα ἠχεῖν· ὅπερ ἐπὶ πολλῶν ἡμῖν συμβαίνει, ἐφ' ὧν μήτε τῷ λογισμῷ μήτε τῇ αἰσθήσει δυνάμεθα εἰδῆσαι τὸ ἀκριβές. ἔτι εἰ πληγείσης τῆς νεάτης μάλιστα ἐντεταμένης συμβαίνει τὸν ζυγὸν κινεῖσθαι, οὐθὲν ἂν εἴη θαυμαςόν. κινηθέντος δὲ πάσας τὰς χορδὰς συγκινεῖσθαι καί τιν' ἦχον ποιεῖν ȣ̓κ ἄλογον. ταῖς μὲν ȣ̓̃ν ἄλλαις ὁ τῆς νεάτης φθόγγος ἀλλότριός ἐςι καὶ λήγων καὶ ἀρχόμενος, τῇ δὲ ὑπάτῃ λήγων ὁ αὐτός. ȣ̓̃ προστεθέντος τῇ ἰδίᾳ αὐτῆς κινήσει, ἐκείνης δόξαι πάντ' αὐτὸν εἶναι οὐθὲν ἄτοπον. ἔςαι δὲ μείζων ἢ ὁ κοινὸς τῶν λοιπῶν χορδῶν ἦχος, ὅτι αἱ μὲν ὑπὸ τῆς νεάτης καθάπερ ὠσθεῖσαι μαλακῶς ἤχησαν, ἡ δὲ νεάτη πάσῃ τῇ αὐτῆς δυνάμει, ȣ̓̃σα αὐτῶν σφοδροτάτη. ὥστε εἰκότως καὶ τὸ δευτερεῖον αὐτῆς κρεῖττον ἂν εἴη ἢ τὸ τῶν ἄλλων· ὥστε καὶ βραχείας κινεῖσθαι, ὡς αὐτῆς τȣ γεγενημένης.

. αἱ] καὶ C^a. ‖ κυήσεις X^aY^a. ‖ 5. ἐξ ἴσου τὴν] ἐξιοῦσι δὲ C^a. ‖ 6. ἐν om C^a. ‖ ὁ om $C^aX^aY^a$. ‖ 7. τὸ] τὴν Y^a. ‖ 9. οἱ] . ‖ 10. πρὸς τὴν ὑπάτην X^a. ‖ 12. δὲ om $C^aX^aY^a$. ‖ 16. πρὸς τοὺς αὐτούς X^a. ‖ 19. διαφθορὰ C^a, διαφθορὰν Y^a. ‖ 20. ἄλ- X^a. ‖ 22. δευτέρα] θατέρα C^a. ‖ 23. τελευτῶσα $C^aX^aY^a$. ‖ 29. τὴν C^aY^a. ‖ μαγιδεῖν X^aY^a, μαδιδεῖν C^a. ‖ 38. τȣ̃το ποιῶν X^a. . ἢ] ἢ καὶ C^a. ‖ 5. οὐδὲν ἄλογον C^a. ‖ 7. τετραπλασίονι X^a. ‖ 9. φθόγγων X^aY^a. ‖ 14. ψιλὰς C^av, ἴσως λήψας X^a. ‖ post ῃ $QC^aO^aY^a$vx ἢ ὑπάτην ἐπιλάβῃ. ‖ 17. δύνασθαι — 18. λαμβάνουσιν] δύνουσι C^a. ‖ 21. κινεῖν δοκεῖ X^a. ‖ 22. εὐ C^a. ‖ 26. εἰ] X^aY^a. ‖ 31. οὐ $C^aX^aY^a$. ‖ 37. αὐταῖς Y^a.

43 Διὰ τί ἥδιον τῆς μονῳδίας ἐςὶν ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; ἢ ὅτι πᾶν τὸ ἥδιον μιχθὲν ἡδίονι ἕν ἐςιν; ὁ δὲ αὐλὸς ἡδίων τῆς λύρας, ὥςε καὶ ἡ ᾠδὴ τύτῳ μιχθεῖσα ἢ λύρα ἡδίων ἂν εἴη, ἐπεὶ τὸ μεμιγμένον τῦ ἀμίκτου ἥδιόν ἐςιν, ἐὰν ἀμφοῖν ἅμα τὴν αἴσθησίν τις λαμβάνῃ. οἶνος γὰρ ἡδίων τῦ ὀξυμέλιτος διὰ τὸ μεμῖχθαι μᾶλλον αὐτοῖς τὰ ὑπὸ τῆς φύσεως μιχθέντα ἢ ὑφ' ἡμῶν. ἔςι γὰρ καὶ ὁ οἶνος μικτὸς ἐξ ὀξέος καὶ γλυκέος χυμῦ. δηλῦσι δὲ καὶ αἱ οἰνώδεις ῥοαὶ καλούμεναι. ἡ μὲν οὖν ᾠδὴ καὶ ὁ αὐλὸς μίγνυνται αὐτοῖς δι' ὁμοιότητα (πνεύματι γὰρ ἄμφω γίνεται)· ὁ δὲ τῆς λύρας φθόγγος, ἐπειδὴ ὐ πνεύματι γίνεται ἢ ἧττον αἰσθητὸν ἢ ὁ τῶν αὐλῶν, ἀμικτότερός ἐςι τῇ φωνῇ· ποιῶν δὲ διαφορὰν τῇ αἰσθήσει ἧττον ἡδύνει, καθάπερ ἐπὶ τῶν χυμῶν εἴρηται. ἔτι ὁ μὲν αὐλὸς πολλὰ τῷ αὐτῦ ἤχῳ καὶ τῇ ὁμοιότητι συγκρύπτει τῶν τῦ ᾠδῦ ἁμαρτημάτων, οἱ δὲ τῆς λύρας φθόγγοι ὄντες ψιλοὶ καὶ ἀμικτότεροι τῇ φωνῇ, καθ' ἑαυτὺς θεωρύμενοι καὶ ὄντες αὐτοῖς συμφανῆ ποιῦσι τὴν τῆς ᾠδῆς ἁμαρτίαν, καθάπερ κανόνες ὄντες αὐτῶν. πολλῶν δὲ ἐν τῇ ᾠδῇ ἁμαρτανομένων, τὸ κοινὸν ἐξ ἀμφοῖν ἀναγκαῖον χεῖρον γίνεσθαι.

44 Διὰ τί τῶν μὲν ἑπτὰ μέση καλεῖται, τῶν δὲ ὀκτὼ ὐκ ἔςι μέσον; ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δὲ ἑπτὰ ἔχει μέσον; ἔτι ἐπειδὴ τῶν μεταξὺ τῶν ἄκρων τὸ μέσον μόνον ἀρχή τίς ἐςιν (ἔςι γὰρ τῶν θάτερον τῶν ἄκρων νευόντων ἔν τινι διαςήματι ἀνὰ μέσον ὂν ἀρχή), τοῦτ' ἔςαι μέσον. ἐπεὶ δ' ἔσχατα μέσον ἐςὶν ἁρμονίας νεάτη καὶ ὑπάτη, τύτων δὲ ἀνὰ μέσον οἱ λοιποὶ φθόγγοι, ὧν ἡ μέση καλουμένη μόνη ἀρχή ἐςι θατέρου τετραχόρδυ, δικαίως μέση καλεῖται. τῶν γὰρ μεταξύ τινων ἄκρων τὸ μέσον ἦν ἀρχὴ μόνον.

45 Διὰ τί οἱ πολλοὶ ᾄδοντες σῴζυσι μᾶλλον τὸν ῥυθμὸν ἢ οἱ ὀλίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι, καὶ βραδύτερον ἄρχονται, ὥςε ῥᾷον τῦ αὐτῦ τυγχάνυσιν; ἐν μὲν γὰρ τῷ τάχει πλείων γίνεται ἡ ἁμαρτία, συμβαίνει δὲ τῷ ἡγεμόνι προσέχειν τὺς πολλύς· ἰδιαζόμενος δὲ οὐδεὶς ἂν αὐτῶν διαλάμψειεν ὑπεράρας τὸ πλῆθος. ἐν δὲ τοῖς ὀλίγοις μᾶλλον διαλάμπυσιν· διὸ καθ' αὑτὺς ἐν αὐτοῖς μᾶλλον ἀγωνίζονται ἢ πρὸς τὸν ἡγεμόνα.

46 Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖςοι; ἢ ὅτι ῥᾷον ὀξὺ ᾆσαι ἢ βαρύ; ᾄδυσι γῦν ὀξὺ μᾶλλον, καὶ ἐν [illegible] σιν, ἁμαρτάνουσιν.

Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες τὰς [illegible] νίας τὴν ὑπάτην ἀλλ' οὐ τὴν νήτην κατέλιπον; ἢ [illegible] ὑπάτην ἀλλὰ τὴν νῦν παραμέσην καλουμένην ἀφῄ[illegible] τὸ τονιαῖον διάςημα; ἐχρῶντο δὲ τῇ ἐσχάτῃ μέσ[illegible] τὸ ὀξὺ πυκνῦ· διὸ καὶ μέσην αὐτὴν προσηγόρευσα[illegible] ἦν τῦ μὲν ἄνω τετραχόρδου τελευτή, τοῦ δὲ κάτω [illegible] καὶ μέσον εἶχε λόγον τόνῳ τῶν ἄκρων;

Διὰ τί οἱ ἐν τραγῳδίᾳ χοροὶ ὔθ' ὑποδωριςὶ [illegible] φρυγιςὶ ᾄδυσιν; ἢ ὅτι μέλος ἥκιςα ἔχουσιν αὗται [illegible] μονίαι, οὗ δεῖ μάλιςα τῷ χορῷ; ἦθος δὲ ἔχει ἡ μ[illegible] φρυγιςὶ πρακτικόν, διὸ καὶ ἔν τε τῷ Γηρυόνῃ ἡ ἐξ[illegible] ἡ ἐξόπλισις ἐν ταύτῃ πεποίηται, ἡ δὲ ὑποδωριςὶ μ[illegible] πρεπὲς καὶ ςάσιμον, διὸ καὶ κιθαρῳδικωτάτη ἐςὶ [illegible] μονιῶν. ταῦτα δ' ἄμφω χορῷ μὲν ἀνάρμοςα, τ[illegible] σκηνῆς οἰκειότερα. ἐκεῖνοι μὲν γὰρ ἡρώων μιμ[illegible] ἡγεμόνες τῶν ἀρχαίων μόνοι ἦσαν ἥρωες, οἱ [illegible] θρωποι, ὧν ἐςὶν ὁ χορός. διὸ καὶ ἁρμόζει αὐτῷ [illegible] καὶ ἡσύχιον ἦθος καὶ μέλος· ἀνθρωπικὰ γὰρ [illegible] ἔχυσιν αἱ ἄλλαι ἁρμονίαι, ἥκιςα δὲ αὐτῶν ἡ ὑπ[illegible] ἐνθουσιαςικὴ γὰρ καὶ βακχική. κατὰ μὲν ὖν τ[illegible] σχομέν τι· παθητικοὶ δὲ οἱ ἀσθενεῖς μᾶλλον τ[illegible] εἰσί, διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς· κατὰ [illegible] δωριςὶ καὶ ὑποφρυγιςὶ πράττομεν, ὃ ὐκ οἰκεῖον ἐςι [illegible] ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· εὔνοιαν γὰρ [illegible] παρέχεται οἷς πάρεςιν.

Διὰ τί τῶν τὴν συμφωνίαν ποιύντων φθόγ[illegible] βαρυτέρῳ τὸ μαλακώτερον; ἢ ὅτι τὸ μέλος τῇ [illegible] φύσει μαλακόν ἐςι καὶ ἠρεμαῖον, τῇ δὲ τῦ [illegible] τραχὺ καὶ κινητικόν; ἐπεὶ δὲ ὁ μὲν βαρὺς φθόγγ[illegible] λακὸς καὶ ἠρεμαῖός ἐςιν, ὁ δὲ ὀξὺς κινητικός, [illegible] ταὐτὸ μέλος ἐχόντων εἴη ἂν μαλακώτερος ὁ βαρύτ[illegible] ταὐτῷ μέλει μᾶλλον· ἦν γὰρ τὸ μέλος αὐτῷ μαλ[illegible]

Διὰ τί ἴσων πίθων καὶ ὁμοίων ἐὰν μὲν ὁ ἕτερος [illegible] ᾖ, ὁ δὲ ἕτερος εἰς τὸ ἥμισυ διάμεςος, διὰ πασῶν συ[illegible] ἡ ἠχώ; ἢ ὅτι διπλασία γίνεται καὶ ἡ ἐκ τοῦ ἡμίσ[illegible] ἐκ τῦ κενῦ; τί γὰρ διαφέρει τῦτο ἢ ἐπὶ τῶν συρίγγ[illegible] κεῖ γὰρ ἡ θάττων κίνησις ὀξυτέρα εἶναι, ἐν δὲ τα[illegible]

1. ἐςὶν] ἀκύομεν X^a. ‖ τις om $C^a X^a Y^a$. ‖ ἢ] καὶ Y^a. ‖ 3. ἡδίω $C^a X^a Y^a$. ‖ 8. ὁ οἶνος ὁ C^a, οἶνος ὁ $X^a Y^a$. ‖ 9. αἱ om [illegible] 12. τῶν] τῶν αἰσθητῶν C^a. ‖ 17. κατ' αὐτὺς $X^a Y^a$.

5. καλουμένην παραμέσην X^a. ‖ 6. τῇ ἐσχάτῃ τῇ μέσῃ C^a. ‖ 12. ἔχει om $C^a X^a Y^a$. ‖ 23. δὲ] γὰρ C^a. ‖ 29. τὸ post [illegible] X^a. ‖ 34. αὐτὸ C^a.

ιον ὁ ἀὴρ ἀπαντᾷ, καὶ ἐν τοῖς διπλασίοις τοσύτῳ, ιῖς ἄλλοις ἀνάλογον. συμφωνεῖ δὲ διὰ πασῶν καὶ ΄ίων ἀσκὸς πρὸς τὸν ἥμισυν.

ΟΣΑ ΠΕΡΙ ΘΑΜΝΟΤΣ ΚΑΙ ΛΑΧΑΝΩΔΗ.

; τί τὸ ἁλυκὸν ὕδωρ τὰ μὲν σέλινα δέχεται, τὸ ιν ὔ; ἢ ὅτι τῦ μὲν ἀσθενεῖς αἱ ῥίζαι, τῦ δὲ ἰσχυ- δὲ ἰσχυρότερον ἀπαθέςερον.

ὶ τί λέγεται "μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε μήτε ' ἢ ὅτι καταψύχει τὰ σώματα; δηλοῖ δὲ ἡ τοῦ ις φθορά. τοῦτο δὲ ὑπεναντίον πρὸς ἀνδρείαν καὶ ὑτὸν ὂν τῷ γένει.

; τί ἔνια ἄνθος ἔχοντα ἄκαρπά ἐςιν, οἷον σίκυος κυνθα καὶ ῥόα; ἢ ὐκ ἄκαρπα, ἀλλὰ ταῦτα καρ- ; περικάρπιον γῦν ἐςὶ τὸ ἀνθῦν, ὁ δὲ σίκυος περι-

; τί τῶν φυομένων τὰ μὲν ἑψανά, τὰ δὲ ὠμὰ ἢ ὅσων οἱ χυμοὶ μὴ εὐθὺς ἐδώδιμοι, τύτων πυρω- λυκύτεροι γίνονται ὑπὸ τῦ θερμῦ, ὅσων δὲ εὐθύς, ἐδώδιμα;

τί τὰ μὲν ἑψανά, τὰ δὲ ὀπτανά; ἢ ὅτι τὰ μὲν ὐ τοσῦτον, τὰ δὲ ξηρότερα ὐ μᾶλλον ξηρανθῆναι ιενα δὲ πάντα ὑγρότερα καὶ μαλακώτερα. τὰ δὲ ιὰ ἂν πυρωθῇ, γίνεται ξηρά.

τί δὲ τὰ μὲν ἄβρωτά ἐςι τὰ δὲ βρωτά; ἢ διὰ ίς; ὅσα γὰρ καὶ ὠμὰ ἀπέπτυς ἔχει καὶ πυρύμενα βάλλει, ἄβρωτα. ὅσων δὲ βρωτὸς μὲν ὁ χυμὸς ρος δέ, ταῦτα ἡδύσματά ἐςιν· τὰ γὰρ ἐν μικρῷ ολλὴν δύναμιν τῶν βρωτῶν ἡδυντικὰ τῶν ἐν πολλῷ.

τίνα αἰτίαν τὰ μὲν μέχρι σπέρματος τῶν φυτῶν ἐνεγκόντα αὐαίνεται, οἷον ἡ πόα καὶ τὰ καλού- χανα, τὰ δὲ ὔ, ἀλλὰ πολλάκις φέρει; καὶ τῶν τέρματος ζώντων τὰ μὲν πολλὰ ἐπέτεια, τὸ δὲ ον τῷ ὑςέρῳ ἔτει φέρει καρπόν, καὶ ἐνέγκαν ἐξ- ; ἢ ἅπαντα μὲν μέχρι τύτου ἀκμάζει, ἕως ἂν σπέρμα ἀκμάζῃ; ἐπεὶ καὶ οἱ ἄνθρωποι μέχρι ἐτῶν ἐπιδιδόασιν, ὁτὲ μὲν τῷ πλήθει ὁτὲ δὲ τῇ . ὅταν δὲ μηκέτι δύνηται φέρειν, ὥσπερ ἐκεῖ, αὐαίνεται καὶ καταγηράσκει· τὰ δὲ βραδέως καὶ κατὰ λόγον. δι' ἣν μὲν ὖν αἰτίαν τὰ μὲν βραχύβια τὰ δὲ μακρόβιά ἐςιν, ἄλλος ἔςω λόγος· ἐπεὶ δ' ἔςι πᾶσιν ὅρος ἡ τῦ σπέρματος τελείωσις, ἀνάγκη τοῖς μὲν βραχυβίοις ἅπαξ ἢ ὀλιγάκις ἐνεγκεῖν καρπόν, τοῖς δὲ μακροβίοις πολλάκις, ὥςε τὰ μὲν ἀσθενέςατα ἅπαξ ἐνέγκοι (διὸ ἀνάγκη αὐαίνεσθαι)· καὶ τύτων τὰ μὲν δυνάμενα ἐνιαυτῷ ἐπέτεια εἶναι, τὰ δέ, ὥσπερ τὸ ἱπποσέλινον, τῷ ὑςέρῳ ἔτει, ὥσπερ τὰ δένδρα καὶ τὰ φυτά.

Διὰ τί σελίνου, ἐάν τις περιορύξας μέχρι κάτω πρὸς 8
τὰς ῥίζας περιβάλλῃ τῶν καχρυδίων, εἶτα ἄνωθεν τὴν γῆν, καὶ ὕτως ἄρδῃ, παμμεγέθεις γίνονται αἱ ῥίζαι; ἢ διότι τὸ καχρύδιον θερμὸν ὂν καὶ σομφὸν κατέχει μὲν σύνολκον τὴν τροφὴν καὶ ὐ προΐεται ἄνω, πέττει δὲ θερμὸν ὄν, ὥςε πολλὴν τὴν αὔξησιν γίνεσθαι;

Διὰ τί, ἐάν τις τὰς κολοκύνθας εὐθὺς μικρὰς οὔσας 9
κρύψῃ τῇ γῇ ἢ τὺς σικύους, μείζυς γίνονται; ἢ διότι τὰ πνεύματα καὶ ὁ ἥλιος ξηραίνοντα ἀφαιρῦνται τὴν αὔξησιν, καὶ τὺς ὄγκους ἐλάττους μὲν ποιῦσι πάντων, ςιφροτέρους δέ, ὥσπερ καὶ τῶν δένδρων τά τε ἐν προσηνέμοις καὶ ἑλώδεσι καὶ τὰ ἐν κοίλοις καὶ ἐφύδροις (τὰ μὲν γὰρ μεγάλα γίνονται καὶ σομφά, τὰ δὲ μικρὰ καὶ πυκνά)· ἐν δὲ τῇ γῇ κρυφθέντα ἐναντία πάσχοντα ἐναντίως ἀποβαίνει. ὁμοίως δὲ καὶ τὰ εἰς ἀγγεῖα τιθέμενα, σίκυοι εἰς νάρθηκας κοίλους ἢ καλυπτῆρας καὶ ῥοιαὶ καὶ μῆλα εἰς χύτρας, τὰ μὲν μεγάλα σομφὰ δέ, οἱ δὲ μικροὶ ςερροὶ αὐξανόμενοι, μὴ εἰς ἀντίτυπον. αἰτία δὲ ἡ τροφὴ πλείων γινομένη διὰ τὸ μήτε ἀποπνεῖσθαι μήτε ξηραίνεσθαι· τὸ γὰρ ἀποςέγον κωλύει ταῦτα πάσχειν.

Διὰ τί τὰ σπέρματα τῶν δριμέων φυτῶν δριμύτερά 10
ἐςιν ἢ αἱ ῥίζαι καὶ τὰ φύλλα; ἢ διότι ἐκ τῦ σπέρματος γίνεται ἅπαντα, καὶ εἰς τὰ ἄλλα δίδοται μέρη ἐκ τύτυ, οἱονεὶ ἐνυπάρχοντα, ὥς φασί τινες, καὶ οἱ χυμοὶ καὶ αἱ ὀσμαί, ἐπεὶ καὶ αἱ ὀσμαὶ ἴδιοι γίνονται ἅμα τοῖς σπέρμασιν ἅπασιν. εἰ ὖν ἐκ τύτυ καὶ τοῖς ἄλλοις ἡ δριμύτης ὑπάρχει, εὔλογον καὶ αὐτὸ ὑπάρχειν μάλιςα.

Διὰ τί αἱ ῥαφανῖδες αἱ λεπταὶ δριμύτεραι; ἢ ὅτι 11
αἱ μείζυς διὰ τὸν χρόνον πεπεμμέναι μᾶλλον;

το C°. ‖ 3. διπλασίω C°Y°. ‖ 6. σέληνα X°. ‖ 11. ἀνδρίαν Y°. ‖ 13. σικυὸς C°. ‖ 17. ὠμὰ καὶ βρωτά C°. ‖ 18. ἐδώδι- X°. ‖ 29. τῶν ἐν πολλῷ] πολλῷ X°, πολλῶν C°Y°. ‖ 31. εὐανεγκόντα x. ‖ ἀναίνεταί C°Y°. ‖ 33. ἐπέτια QK°N°O°X°, Y°. ‖ 35. ἂν καὶ κατὰ QK°N°O°Y°x.

γάκις τὸ ἐνεγκεῖν C°X°Y°. ‖ 7. ἐφέτια C°Y°. ‖ 8. τὸ om C°. ‖ 11. περιβάλῃ C°Y°. ‖ 12. ἄρδην Y°, ἄρδειν X°. ‖ 14. C°X°Y°. ‖ ὂν om C°. ‖ 18. ἀφαίρονται C°. ‖ 20. ἐν om C°X°Y°. ‖ 24. ἀγγεῖον Y°. ‖ τιθέμεθα X°. ‖ 25. καλυπτῖρας C°Y°. ‖ 26. κύθρας C°Y°. ‖ 27. πλείω C°. ‖ 29. γὰρ] δὲ X°. ‖ 31. τῦ om X°. ‖ 34. ἤδιοι C°Y°.

43 Διὰ τί ἥδιον τῆς μονῳδίας ἐςὶν ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; ἢ ὅτι πᾶν τὸ ἥδιον μιχθὲν ἡδίονι ἓν ἐςιν; ὁ δὲ αὐλὸς ἡδίων τῆς λύρας, ὥςε καὶ ἡ ᾠδὴ τούτῳ μιχθεῖσα ἢ λύρα ἡδίων ἂν εἴη, ἐπεὶ τὸ μεμιγμένον τοῦ ἀμίκτου ἥδιόν ἐςιν, ἐὰν ἀμφοῖν ἅμα τὴν αἴσθησίν τις λαμβάνῃ. οἶνος γὰρ ἡδίων τοῦ ὀξυμέλιτος διὰ τὸ μεμῖχθαι μᾶλλον αὐτοῖς τὰ ὑπὸ τῆς φύσεως μιχθέντα ἢ ὑφ' ἡμῶν. ἔςι γὰρ καὶ ὁ οἶνος μικτὸς ἐξ ὀξέος καὶ γλυκέος χυμοῦ. δηλοῦσι δὲ καὶ αἱ οἰνώδεις ῥοαὶ καλούμεναι. ἡ μὲν οὖν ᾠδὴ καὶ ὁ αὐλὸς μίγνυνται αὑτοῖς δι' ὁμοιότητα (πνεύματι γὰρ ἄμφω γίνεται)· ὁ δὲ τῆς λύρας φθόγγος, ἐπειδὴ οὐ πνεύματι γίνεται ἢ ἧττον αἰσθητὸν ἢ ὁ τῶν αὐλῶν, ἀμικτότερός ἐςι τῇ φωνῇ· ποιῶν δὲ διαφορὰν τῇ αἰσθήσει ἧττον ἡδύνει, καθάπερ ἐπὶ τῶν χυμῶν εἴρηται. ἔτι ὁ μὲν αὐλὸς πολλὰ τῷ αὑτοῦ ἤχῳ καὶ τῇ ὁμοιότητι συγκρύπτει τῶν τοῦ ᾠδοῦ ἁμαρτημάτων, οἱ δὲ τῆς λύρας φθόγγοι ὄντες ψιλοὶ καὶ ἀμικτότεροι τῇ φωνῇ, καθ' ἑαυτοὺς θεωρούμενοι καὶ ὄντες αὐτοῖς συμφανῆ ποιοῦσι τὴν τῆς ᾠδῆς ἁμαρτίαν, καθάπερ κανόνες ὄντες αὐτῶν. πολλῶν δὲ ἐν τῇ ᾠδῇ ἁμαρτανομένων, τὸ κοινὸν ἐξ ἀμφοῖν ἀναγκαῖον χεῖρον γίνεσθαι.

44 Διὰ τί τῶν μὲν ἑπτὰ μέση καλεῖται, τῶν δὲ ὀκτὼ οὐκ ἔςι μέσον; ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δὲ ἑπτὰ ἔχει μέσον; ἔτι ἐπειδὴ τῶν μεταξὺ τῶν ἄκρων τὸ μέσον μόνον ἀρχή τίς ἐςιν (ἔςι γὰρ τῶν θάτερον τῶν ἄκρων νευόντων ἔν τινι διαςήματι ἀνὰ μέσον ὂν ἀρχή), τοῦτ' ἔςαι μέσον. ἐπεὶ δ' ἔσχατα μέσον ἐςὶν ἁρμονίας νεάτη καὶ ὑπάτη, τούτων δὲ ἀνὰ μέσον οἱ λοιποὶ φθόγγοι, ὧν ἡ μέση καλουμένη μόνη ἀρχή ἐςι θατέρου τετραχόρδου, δικαίως μέση καλεῖται. τῶν γὰρ μεταξύ τινων ἄκρων τὸ μέσον ἦν ἀρχὴ μόνον.

45 Διὰ τί οἱ πολλοὶ ᾄδοντες σώζουσι μᾶλλον τὸν ῥυθμὸν ἢ οἱ ὀλίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι, καὶ βραδύτερον ἄρχονται, ὥςε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσιν; ἐν μὲν γὰρ τῷ τάχει πλείων γίνεται ἡ ἁμαρτία, συμβαίνει δὲ τῷ ἡγεμόνι προσέχειν τοὺς πολλούς· ἰδιαζόμενος δὲ οὐδεὶς ἂν αὐτῶν διαλάμψειεν ὑπεράρας τὸ πλῆθος. ἐν δὲ τοῖς ὀλίγοις μᾶλλον διαλάμπουσιν· διὸ καθ' αὑτοὺς ἐν αὑτοῖς μᾶλλον ἀγωνίζονται ἢ πρὸς τὸν ἡγεμόνα.

46 Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖςοι; ἢ ὅτι ῥᾷον ὀξὺ ᾆσαι ἢ βαρύ; ᾄδουσι γοῦν ὀξὺ μᾶλλον, καὶ ἐν ᾧ ᾄδουσιν, ἁμαρτάνουσιν.

Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες τὰς ἁρμο- 47
νίας τὴν ὑπάτην ἀλλ' οὐ τὴν νήτην κατέλιπον; ἢ οὐ τὴν ὑπάτην ἀλλὰ τὴν νῦν παραμέσην καλουμένην ἀφῄρουν καὶ τὸ τονιαῖον διάςημα; ἐχρῶντο δὲ τῇ ἐσχάτῃ μέσῃ τοῦ ἐπὶ τὸ ὀξὺ πυκνοῦ· διὸ καὶ μέσην αὐτὴν προσηγόρευσαν. ἢ ὅτι ἦν τοῦ μὲν ἄνω τετραχόρδου τελευτή, τοῦ δὲ κάτω ἀρχή, καὶ μέσον εἶχε λόγον τόνῳ τῶν ἄκρων;

Διὰ τί οἱ ἐν τραγῳδίᾳ χοροὶ οὔθ' ὑποδωριςὶ οὔθ' ὑπο- 48
φρυγιςὶ ᾄδουσιν; ἢ ὅτι μέλος ἥκιςα ἔχουσιν αὗται αἱ ἁρμονίαι, οὗ δεῖ μάλιςα τῷ χορῷ; ἦθος δὲ ἔχει ἡ μὲν ὑποφρυγιςὶ πρακτικόν, διὸ καὶ ἔν τε τῷ Γηρυόνῃ ἡ ἔξοδος καὶ ἡ ἐξόπλισις ἐν ταύτῃ πεποίηται, ἡ δὲ ὑποδωριςὶ μεγαλοπρεπὲς καὶ ςάσιμον, διὸ καὶ κιθαρῳδικωτάτη ἐςὶ τῶν ἁρμονιῶν. ταῦτα δ' ἄμφω χορῷ μὲν ἀνάρμοςα, τοῖς δὲ ἀπὸ σκηνῆς οἰκειότερα. ἐκεῖνοι μὲν γὰρ ἡρώων μιμηταί· οἱ δὲ ἡγεμόνες τῶν ἀρχαίων μόνοι ἦσαν ἥρωες, οἱ δὲ λαοὶ ἄνθρωποι, ὧν ἐςὶν ὁ χορός. διὸ καὶ ἁρμόζει αὐτῷ τὸ γοερὸν καὶ ἡσύχιον ἦθος καὶ μέλος· ἀνθρωπικὰ γάρ. ταῦτα δ' ἔχουσιν αἱ ἄλλαι ἁρμονίαι, ἥκιςα δὲ αὐτῶν ἡ ὑποφρυγιστί· ἐνθουσιαςικὴ γὰρ καὶ βακχική. κατὰ μὲν οὖν ταύτην πάσχομέν τι· παθητικοὶ δὲ οἱ ἀσθενεῖς μᾶλλον τῶν δυνατῶν εἰσί, διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς· κατὰ δὲ τὴν ὑποδωριςὶ καὶ ὑποφρυγιςὶ πράττομεν, ὃ οὐκ οἰκεῖόν ἐςι χορῷ. ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· εὔνοιαν γὰρ μόνον παρέχεται οἷς πάρεςιν.

Διὰ τί τῶν τὴν συμφωνίαν ποιούντων φθόγγων ἐν τῷ 49
βαρυτέρῳ τὸ μαλακώτερον; ἢ ὅτι τὸ μέλος τῇ μὲν αὐτοῦ φύσει μαλακόν ἐςι καὶ ἠρεμαῖον, τῇ δὲ τοῦ ῥυθμοῦ μίξει τραχὺ καὶ κινητικόν; ἐπεὶ δὲ ὁ μὲν βαρὺς φθόγγος μαλακὸς καὶ ἠρεμαῖός ἐςιν, ὁ δὲ ὀξὺς κινητικός, καὶ τῶν ταὐτὸ μέλος ἐχόντων εἴη ἂν μαλακώτερος ὁ βαρύτερος ἐν ταὐτῷ μέλει μᾶλλον· ἦν γὰρ τὸ μέλος αὐτῷ μαλακόν.

Διὰ τί ἴσων πίθων καὶ ὁμοίων ἐὰν μὲν ὁ ἕτερος κενὸς 50
ᾖ, ὁ δὲ ἕτερος εἰς τὸ ἥμισυ διάμεςος, διὰ πασῶν συμφωνεῖ ἡ ἠχώ; ἢ ὅτι διπλασία γίνεται καὶ ἡ ἐκ τοῦ ἡμίσεος τῆς ἐκ τοῦ κενοῦ; τί γὰρ διαφέρει τοῦτο ἢ ἐπὶ τῶν συρίγγων; δοκεῖ γὰρ ἡ θάττων κίνησις ὀξυτέρα εἶναι, ἐν δὲ τοῖς μείζοσι

1. ἐςὶν] ἀκούομεν X[a]. ‖ τις om C[a]X[a]Y[a]. ‖ ἢ] καὶ Y[a]. ‖ 3. ἡδίω C[a]X[a]Y[a]. ‖ 8. ὁ οἶνος ὁ C[a], οἶνος ὁ X[a]Y[a]. ‖ 9. αἱ om C[a]Y[a]. ‖ 12. τῶν] τῶν αἰσθητῶν C[a]. ‖ 17. κατ' αὐτοὺς X[a]Y[a].

5. καλουμένην παραμέσην X[a]. ‖ 6. τῇ ἐσχάτῃ τῇ μέσῃ C[a]. ‖ 12. ἔχει om C[a]X[a]Y[a]. ‖ 23. δὲ] γὰρ C[a]. ‖ 29. τὸ post ὅτι om X[a]. ‖ 34. αὐτὸ C[a].

βραδύτερον ὁ ἀὴρ ἀπαντᾷ, καὶ ἐν τοῖς διπλασίοις τοσούτῳ, καὶ ἐν τοῖς ἄλλοις ἀνάλογον. συμφωνεῖ δὲ διὰ πασῶν καὶ ὁ διπλασίων ἀσκὸς πρὸς τὸν ἥμισυν.

Κ. ΟΣΑ ΠΕΡΙ ΘΑΜΝΟΥΣ ΚΑΙ ΛΑΧΑΝΩΔΗ.

Διὰ τί τὸ ἁλυκὸν ὕδωρ τὰ μὲν σέλινα δέχεται, τὸ δὲ πράσον οὔ; ἢ ὅτι τοῦ μὲν ἀσθενεῖς αἱ ῥίζαι, τοῦ δὲ ἰσχυραί; τὸ δὲ ἰσχυρότερον ἀπαθέστερον.

2 Διὰ τί λέγεται "μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε μήτε φύτευε;" ἢ ὅτι καταψύχει τὰ σώματα; δηλοῖ δὲ ἡ τοῦ σπέρματος φθορά. τοῦτο δὲ ὑπεναντίον πρὸς ἀνδρείαν καὶ θυμὸν ταὐτὸν ὂν τῷ γένει.

3 Διὰ τί ἔνια ἄνθος ἔχοντα ἄκαρπά ἐστιν, οἷον σίκυος καὶ κολόκυνθα καὶ ῥόα; ἢ οὐκ ἄκαρπα, ἀλλὰ ταῦτα καρπός ἐστιν; περικάρπιον γοῦν ἐστὶ τὸ ἀνθοῦν, ὁ δὲ σίκυος περικάρπιον.

4 Διὰ τί τῶν φυομένων τὰ μὲν ἑψανά, τὰ δὲ ὠμὰ βρωτά; ἢ ὅσων οἱ χυμοὶ μὴ εὐθὺς ἐδώδιμοι, τούτων πυρωθέντων γλυκύτεροι γίνονται ὑπὸ τοῦ θερμοῦ, ὅσων δὲ εὐθύς, καὶ ὠμὰ ἐδώδιμα;

5 Διὰ τί τὰ μὲν ἑψανά, τὰ δὲ ὀπτανά; ἢ ὅτι τὰ μὲν ὑγρότερα οὐ τοσοῦτον, τὰ δὲ ξηρότερα οὐ μᾶλλον ξηρανθῆναι δεῖ; ἑψόμενα δὲ πάντα ὑγρότερα καὶ μαλακώτερα. τὰ δὲ ἧττον ὑγρὰ ἂν πυρωθῇ, γίνεται ξηρά.

6 Διὰ τί δὲ τὰ μὲν ἄβρωτά ἐστι τὰ δὲ βρωτά; ἢ διὰ τοὺς χυμούς; ὅσα γὰρ καὶ ὠμὰ ἀπέπτους ἔχει καὶ πυρούμενα μὴ μεταβάλλει, ἄβρωτα. ὅσων δὲ βρωτὸς μὲν ὁ χυμὸς ἰσχυρότερος δέ, ταῦτα ἡδύσματά ἐστιν· τὰ γὰρ ἐν μικρῷ ἔχοντα πολλὴν δύναμιν τῶν βρωτῶν ἡδυντικὰ τῶν ἐν πολλῷ.

7 Διὰ τίνα αἰτίαν τὰ μὲν μέχρι σπέρματος τῶν φυτῶν ζῇ, εἶτα ἐνεγκόντα αὐαίνεται, οἷον ἡ πόα καὶ τὰ καλούμενα λάχανα, τὰ δὲ οὔ, ἀλλὰ πολλάκις φέρει; καὶ τῶν μέχρι σπέρματος ζώντων τὰ μὲν πολλὰ ἐπέτεια, τὸ δὲ ἱπποσέλινον τῷ ὑστέρῳ ἔτει φέρει καρπόν, καὶ ἐνέγκαν ἐξαυαίνεται; ἢ ἅπαντα μὲν μέχρι τούτου ἀκμάζει, ἕως ἂν κατὰ τὸ σπέρμα ἀκμάζῃ; ἐπεὶ καὶ οἱ ἄνθρωποι μέχρι τριάκοντα ἐτῶν ἐπιδιδόασιν, ὁτὲ μὲν τῷ πλήθει ὁτὲ δὲ τῇ παχύτητι. ὅταν δὲ μηκέτι δύνηται φέρειν, ὥσπερ ἐκεῖ, αὐαίνεται καὶ καταγηράσκει· τὰ δὲ βραδέως καὶ κατὰ λόγον. δι' ἣν μὲν οὖν αἰτίαν τὰ μὲν βραχύβια τὰ δὲ μακρόβιά ἐστιν, ἄλλος ἔστω λόγος· ἐπεὶ δ' ἐστὶ πᾶσιν ὅρος ἡ τοῦ σπέρματος τελείωσις, ἀνάγκη τοῖς μὲν βραχυβίοις ἅπαξ ἢ ὀλιγάκις ἐνεγκεῖν καρπόν, τοῖς δὲ μακροβίοις πολλάκις, ὥστε τὰ μὲν ἀσθενέστατα ἅπαξ ἐνέγκοι (διὸ ἀνάγκη αὐαίνεσθαι)· καὶ τούτων τὰ μὲν δυνάμενα ἐνιαυτῷ ἐπέτεια εἶναι, τὰ δέ, ὥσπερ τὸ ἱπποσέλινον, τῷ ὑστέρῳ ἔτει, ὥσπερ τὰ δένδρα καὶ τὰ φυτά.

8 Διὰ τί σελίνου, ἐάν τις περιορύξας μέχρι κάτω πρὸς τὰς ῥίζας περιβάλλῃ τῶν καχρυδίων, εἶτα ἄνωθεν τὴν γῆν, καὶ οὕτως ἄρδῃ, παμμεγέθεις γίνονται αἱ ῥίζαι; ἢ διότι τὸ καχρύδιον θερμὸν ὂν καὶ σομφὸν κατέχει μὲν σύνολκον τὴν τροφὴν καὶ οὐ προΐεται ἄνω, πέττει δὲ θερμὸν ὄν, ὥστε πολλὴν τὴν αὔξησιν γίνεσθαι;

9 Διὰ τί, ἐάν τις τὰς κολοκύνθας εὐθὺς μικρὰς οὔσας κρύψῃ τῇ γῇ ἢ τοὺς σικύους, μείζους γίνονται; ἢ διότι τὰ πνεύματα καὶ ὁ ἥλιος ξηραίνοντα ἀφαιροῦνται τὴν αὔξησιν, καὶ τοὺς ὄγκους ἐλάττους μὲν ποιοῦσι πάντων, στιφροτέρους δέ, ὥσπερ καὶ τῶν δένδρων τά τε ἐν προσηνέμοις καὶ ἑλώδεσι καὶ τὰ ἐν κοίλοις καὶ ἐφύδροις (τὰ μὲν γὰρ μεγάλα γίνονται καὶ σομφά, τὰ δὲ μικρὰ καὶ πυκνά)· ἐν δὲ τῇ γῇ κρυφθέντα ἐναντία πάσχοντα ἐναντίως ἀποβαίνει. ὁμοίως δὲ καὶ τὰ εἰς ἀγγεῖα τιθέμενα, σίκυοι εἰς νάρθηκας κοίλους ἢ καλυπτῆρας καὶ ῥοιαὶ καὶ μῆλα εἰς χύτρας, τὰ μὲν μεγάλα σομφὰ δέ, οἱ δὲ μικροὶ στερροὶ αὐξανόμενοι, μὴ εἰς ἀντίτυπον. αἰτία δὲ ἡ τροφὴ πλείων γινομένη διὰ τὸ μήτε ἀποπνεῖσθαι μήτε ξηραίνεσθαι· τὸ γὰρ ἀποστέγον κωλύει ταῦτα πάσχειν.

10 Διὰ τί τὰ σπέρματα τῶν δριμέων φυτῶν δριμύτερά ἐστιν ἢ αἱ ῥίζαι καὶ τὰ φύλλα; ἢ διότι ἐκ τοῦ σπέρματος γίνεται ἅπαντα, καὶ εἰς τὰ ἄλλα δίδοται μέρη ἐκ τούτου, οἱονεὶ ἐνυπάρχοντα, ὥς φασί τινες, καὶ οἱ χυμοὶ καὶ αἱ ὀσμαί, ἐπεὶ καὶ αἱ ὀσμαὶ ἴδιοι γίνονται ἅμα τοῖς σπέρμασιν ἅπασιν. εἰ οὖν ἐκ τούτου καὶ τοῖς ἄλλοις ἡ δριμύτης ὑπάρχει, εὔλογον καὶ αὐτὸ ὑπάρχειν μάλιστα.

11 Διὰ τί αἱ ῥαφανῖδες αἱ λεπταὶ δριμύτεραι; ἢ ὅτι αἱ μείζους διὰ τὸν χρόνον πεπεμμέναι μᾶλλον;

1. τοῦτο C^a. ‖ 3. διπλασίω C^aY^a. ‖ 6. σέλητα X^a. ‖ 11. ἀνδρίαν Y^a. ‖ 13. σικυὸς C^a. ‖ 17. ὠμὰ καὶ βρωτά C^a. ‖ 18. ἐδώδιμοι εὐθὺς X^a. ‖ 29. τῶν ἐν πολλῷ] πολλῷ X^a, πολλῶν C^aY^a. ‖ 31. εὐαινεγκόντα x. ‖ ἀναίνεταί C^aY^a. ‖ 33. ἐπέτια $QK^aN^aO^aX^a$, ἐφέτια C^aY^a. ‖ 35. ἂν καὶ κατὰ $QK^aN^aO^aY^ax$.

5. ὀλιγάκις τὸ ἐνεγκεῖν $C^aX^aY^a$. ‖ 7. ἐφέτια C^aY^a. ‖ 8. τὸ om C^a. ‖ 11. περιβάλη C^aY^a. ‖ 12. ἄρδην Y^a, ἄρδειν X^a. ‖ 14. προσίεται $C^aX^aY^a$. ‖ ὂν om C^a. ‖ 18. ἀφαίρονται C^a. ‖ 20. ἐν om $C^aX^aY^a$. ‖ 24. ἀγγεῖον Y^a. ‖ τιθέμεθα X^a. ‖ 25. καλυπτῖρας X^a. ‖ ῥοαὶ C^aY^a. ‖ 26. κύθρας C^aY^a. ‖ 27. πλείω C^a. ‖ 29. γὰρ] δὲ X^a. ‖ 31. τοῦ om X^a. ‖ 34. ἤδιοι C^aY^a.

12 Διὰ τί ἡ κάππαρις οὐκ ἐθέλει ῥᾳδίως ἐν τοῖς ἐργασίμοις γίνεσθαι χωρίοις (πολλοὶ γὰρ πεπείρανται καὶ ῥίζας μεταφέροντες καὶ σπέρματα καταβάλλοντες· ἐνιαχοῦ γὰρ λυσιτελεῖ μᾶλλον τῶν ῥόδων), ἀλλὰ φύεται μάλιστα ἐπὶ τῶν τάφων, ὅτι ἀβατώτατος ὁ τόπος ἐστίν. περὶ δὲ δὴ τούτου καὶ ὅσα ἄλλα τοιαῦτα, δεῖ λαβεῖν ὅτι οὐχ ἅπαντα ἐκ τῆς αὐτῆς ὕλης γίνεται οὐδ' αὔξεται, ἀλλ' ἔνια ἐξ ἄλλων φθορᾶς καὶ ἐξ ἀρχῆς γίνεται καὶ αὐξάνεται, οἷον οἱ φθεῖρες καὶ αἱ τρίχες ἐν τῷ σώματι διαφθειρομένης τῆς τροφῆς, καὶ ἀεὶ τὸ χεῖρον ἔχοντος. ὥσπερ οὖν καὶ τῶν ἐν σώματι ἔνια γίνεται ἐκ περιττώματος τροφῆς, τοῦτο δ' ἐστὶν ἀπεψία, καὶ οὗ μὴ ἐδύνατο κρατῆσαι ἡ φύσις, τὰ μὲν προχειρότατα εἰς κύστιν καὶ κοιλίαν ἀποκρίνεται, ἐξ ἐνίων δὲ ζῷα γίνεται, διὸ καὶ αὐξάνονται ταῦτα ἐν γήρᾳ καὶ νόσοις, οὕτως ἐν τῇ γῇ τὰ μὲν ἐκ πεπεμμένης τῆς τροφῆς γίνεται καὶ αὐξάνεται, τὰ δὲ ἐκ περιττωμάτων καὶ ἐναντίως ἐχόντων. ἡ δὲ γεωργία πέττει καὶ ἐνεργὸν ποιεῖ τὴν τροφήν· ἐξ ἧς συνίστανται οἱ ἥμεροι καρποί. ἃ μὲν οὖν ἐκ τοιαύτης γίνεται ἡμερότητος, ἥμερα καλεῖται διὰ τὸ ἀπὸ τέχνης ὠφελεῖσθαι ὥσπερ παιδευόμενα· ὅσα δὲ μὴ δύναται ἢ καὶ ἐξ ἐναντίως ἔχοντος συνίσταται, ταῦτα ἄγριά ἐστι καὶ οὐκ ἐθέλει γίνεσθαι ἐν γεωργησίμῳ. ἡ γὰρ γεωργία φέρει αὐτὰ παιδεύουσα· ἐκ γὰρ φθορᾶς γίνεται. ὧν καὶ ἡ κάππαρίς ἐστιν.

13 Διὰ τί, ἐάν τις ῥαφανίδων, ὅταν μάλιστα ἀκμάζωσι τοῦ χειμῶνος, ἀποτεμὼν τὰ φύλλα περισάξῃ τὴν γῆν καὶ καταπατήσῃ ὥστε ἀποστέγειν τὸ ὕδωρ, αὗται ἐν τῷ θέρει γίνονται ἄπλετοι τὸ πάχος; ἢ ὅτι τοῦ μὲν μὴ φθείρεσθαι τὸ περισεσάχθαι αἴτιον, κωλῦον τὸ ὕδωρ σήπειν; ἡ δὲ τροφή, ἣν ἄνω ἀφίει εἰς τὸν βλαστόν, εἰσέρχεται εἰς αὐτήν, ὥστε ἀνάγκη αὐτὴν μείζω γίνεσθαι ἢ ἀφιέναι παραβλαστάνουσαν ἄλλας ῥίζας, ὥσπερ τὰ κρόμμυα; καὶ γὰρ ταῦτα, ἐὰν μή τις ἐκτίλῃ ἐπέτεια ἀλλ' ἐάσῃ τὸν χειμῶνα, πολλαπλάσια γίνεται. τὰ μὲν οὖν κρόμμυα τῶν παραβλαστανόντων ἐστίν, ἡ δὲ ῥάφανος οὔ, ὥστε ἀνάγκη αὐτὴν γίνεσθαι παχεῖαν διὰ τὸ πᾶσαν λαμβάνειν τὴν τροφήν.

14 Διὰ τί, ἐάν τις σικύους ἢ κολοκύνθας περὶ φρέαρ φυτεύσας, ὅταν ὡραῖοι ὦσι, καθεὶς εἰς τὸ φρέαρ ἀποστεγάσῃ, γίνονται δι' ἔτους χλωροί; ἢ διότι ἥ τε ἀπὸ τοῦ ὕδατος ἀτμὶς ψύχουσα κωλύει ξηραίνεσθαι καὶ παρέχει θάλλοντα, καὶ τὸ ἀποστέγειν τούτους καὶ τὰ πνεύματα τρέφει τὰ ηὐξημένα; τοῦ δὲ διαμένειν αἴτιον τὸ ἔχειν τροφὴν ἐρρωμένων τῶν ῥιζῶν. καὶ γὰρ ἐάν τις ἀφελὼν τὴν βλάστην, ὅταν καρποφορήσωσι, καὶ ἀποτεμὼν περισάξῃ καὶ καταπατήσῃ τὴν γῆν περὶ τὰς ῥίζας, πρωΐμους οἴσει σικύους, ὡς δυναμένων σώζεσθαι τῶν ῥιζῶν· οὐ γὰρ ἔσται σίκυος τῶν προετείων. θᾶττον δὲ αὐτοὶ τῶν σπειρομένων οἴσουσι καρπὸν διὰ τὸ πολὺ προϋπάρχειν τοῦ ἔργου τῇ φύσει τὰς ῥίζας, τοῖς δὲ σπειρομένοις δεῖν γίνεσθαι τοῦτο πρῶτον, ἐν ᾗ περισάξεις ἀλέαν ποιεῖν, ὥστε σώζεσθαι καὶ θᾶττον ἐνιέναι βλαστόν. διὸ καὶ ἐάν τις χειμῶνος φυτεύσῃ σπέρμα σικύου ἐν ταλαρίσκοις καὶ ἄρδηται θερμῷ καὶ εἰς τὸν ἥλιον ἐκφέρῃ καὶ παρὰ πυρὶ τιθῇ, πρώϊμοι σφόδρα ἔσονται, ἐὰν ὡς ἔχει ἐν τοῖς ταλάροις εἰς τὴν ἱκνουμένην ὥραν εἰς τὴν γῆν φυτεύσῃ.

15 Διὰ τί ἀρδεύουσιν ἕωθεν ἢ νυκτὸς ἢ δείλης; πότερον ἵνα μὴ ὁ ἥλιος ἀναλώσῃ; ἢ ὅτι, ἐὰν ᾖ θερμὸν τὸ ὕδωρ, διαφθείρει τὰ ἀρδόμενα;

16 Διὰ τί τὰ εὐώδη οὐρητικά, καὶ σπέρματα καὶ φυτά; ἢ ὅτι θερμὰ καὶ εὔπεπτα, τὰ δὲ τοιαῦτα οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι συντηκτικά. θερμὰ δὲ τὰ εὐώδη σπέρματα, διότι ὅλως ἡ ὀδμὴ διὰ θερμότητά τινα γίνεται· ἀλλὰ τὰ δυσώδη ἄπεπτά ἐστιν. δεῖ δὲ μὴ μόνον εἶναι θερμὰ ἀλλὰ καὶ εὔπεπτα, εἰ ἔσται οὐρητικά, ὅπως συγκατιόντα λεπτύνῃ τὰ ὑγρά.

17 Διὰ τί θᾶττον ἐκκαυλεῖ τῶν λαχάνων τὰ ἐκ παλαιοτέρου σπέρματος, οἷον τριετοῦς ἢ διετοῦς, ἢ τὰ ἐκ τῶν προσφάτων; ἢ ὅτι ὡς ἐπὶ τῶν ζῴων θᾶττον σπέρμα φέρει τὸ ἀκμάζον, οὕτω καὶ τῶν σπερμάτων τὰ μὲν λίαν παλαιὰ ἐξικμασται τὴν δύναμιν, τὰ δὲ ἀσθενέστερα διὰ τὸ ἔτι ἔχειν περίττωμα μὴ οἰκεῖον, τὰ δὲ μέσα τῷ χρόνῳ ἰσχυρότατα ἀπεληλυθότος τοῦ ὑγροῦ· θᾶττον οὖν σπέρμα φέρει. τὸ δ' ἐκκαυλεῖν τοῦτό ἐστιν· ἐκ γὰρ τοῦ καυλοῦ τὸ σπέρμα.

18 Διὰ τί πήγανον κάλλιστον καὶ πλεῖστον γίνεται, ἐάν τις ἐκφυτεύσῃ εἰς συκῆν; ἐκφυτεύεται δὲ περὶ τὸν φλοιὸν καὶ περιπλάττεται πηλῷ. ἢ ὅτι θερμότητος δέονται αἱ ῥίζαι τοῦ πηγάνου καὶ ἀλέας (διὸ καὶ τὴν τέφραν ἐάν τις περιβάλλῃ, ὀνίνανται), ἡ δὲ συκῆ θερμή ἐστιν. δηλοῖ δὲ καὶ ὁ

2. γενέσθαι $C^a Y^a$. ‖ 3. σπέρμα Y^a. ‖ 10. ἔχοντες X^a. ‖ τῶν om C^a. ‖ 17. εὐεργὸν Y^a. ‖ 19. ἡμέτερα C^a. ‖ 20. καὶ om C^a. ‖ 21. συνίσανται $C^a Y^a$. ‖ οὐ θέλει $C^a Y^a$. ‖ 27. ἄπλετον X^a. ‖ 32. ἐκτίλλῃ C^a. ‖ ἐφέτια $C^a Y^a$. ‖ 33. κρόμυα C^a.

6. ἐστι C^a. ‖ προετίων Y^a, προαιτίων C^a. ‖ 8. τῇ om C^a. ‖ 11. σικίου X^a, σικυοῦ C^a. ‖ 13. ἔχῃ $C^a X^a$. ‖ ἐν] σὺν $C^a Y^a$. ‖ εἰς] εἰ X^a. ‖ 17. ἀρδευόμενα X^a. ‖ 23. τινα om C^a. ‖ 29. ἢ] καὶ $C^a Y^a$. ‖ 33. οὖν ante τοῦ C^a. ‖ 36. τις] δὲ C^a. ‖ 38. περιβάλῃ $C^a Y^a$. ‖ 39. καὶ om Y^a. ‖ ὁ om X^a.

πάντων δριμύτατος ὤν, καὶ ὁ πολὺς καπνός. ἔχει αύτην θερμότητα καὶ ἰκμάδα οἵαν καὶ ἡ τέφρα, ὥςε νην ὀνίνησιν, ἀναγκαῖον καὶ ἐν τῇ συκῇ μάλιςα εὐσθε- ίσῳ ἡ μὲν τέφρα ὐκ ἐπιρρεῖ, τὸ δ' ἀπὸ τῆς συκῆς ἀεὶ ῖ, ὐκ ἀναλισκομένυ τῦ ὑγρῦ τῇ συκῇ.

Διὰ τί ἔνια τῶν φυτῶν ἀεὶ κενὸν φέρει τὸν καυλόν; ἀνάγκη ἄλλο φύειν

Διὰ τί ἐν τῇ Ἀττικῇ οἱ μὲν ἄλλοι καρποὶ γλυκύτα- ίνονται, τὸ δὲ θύμον δριμύτατον; καίτοι καὶ τῦτο καρ- ιός ἐςιν ... ὥστε οὐ πολὺ ὑγρὸν τὰ φυόμενα ἔχει. ιὲν ὖν φύσει γλυκέα ἐςί, διὰ μετριότητα τῦ ἐνυπάρ- ς ὑγροῦ, ὅταν ἀπάγῃ ὁ ἥλιος τὸ πλεῖςον, τὸ ὑπολει- ον ῥᾳδίως πέττεται· τὸ γὰρ πολὺ ἔργον πεπάνθαι, τὸ τριον ῥᾷον. ὥςε γίνονται οἱ φύσει γλυκεῖς γλυκύτε- ν δὲ τοῖς φύσει ξηροῖς τε καὶ μὴ γλυκέσι καρποῖς αι δι' ὀλιγότητα τὸ οἰκεῖον, τῦτο δ' ἐςὶν ἥκιςα γλυκύ· εῖται γὰρ ὁ ἥλιος τὸ γλυκύτατον καὶ κουφότατον· ὲ ὐκ ἔχυσι περιττὸν ὑγρόν, ὥσπερ οἱ ἄλλοι καρποί.

Διὰ τί γλήχων καὶ τὰ λείρια καὶ τὰ κρόμμυα τὰ μενα ὑπὸ τὰς τροπὰς ἀνθεῖ; ἢ ἐνυπάρχει αὐτοῖς ἄπεπτος, ἢ τοῦ μὲν χειμῶνος οὐ πέττεται διὰ τὸ ς, ὑπὸ δὲ τὰς τροπὰς πεττομένης διὰ τὴν ὥραν ἡ ις γίνεται; αὕτη δὲ διὰ τὸ μὴ ἔχειν ἐπίρρυσιν ταχὺ νεται. οὐ γάρ τινα ἔχουσα ἀρχὴν ὐδέ τινα ἐπίρρυσιν ραίνεται, ὥσπερ Σκύθαις διὰ τὸ πολλὴν τὴν χιόνα αι συμβαίνει τὸν σῖτον μένειν καὶ ταχὺ ἀνατρέχειν.

Διὰ τί τὸ κρόμμυον μόνον οὕτως περιττῶς δάκνει τὼ μώ (διὸ καὶ τὔνομά φασι τοῦτ' ἔχειν αὐτό, ὡς τὴν ποιεῖν συμμύειν), ἡ δὲ ὀρίγανος οὔ, ὐδ' ἄλλα δριμέα καὶ γὰρ τὸ ἀνάρρινον μᾶλλον δάκνον ὐ ποιεῖ ὁμοίως ειν προσφερόμενον, τὸ δὲ προσφερόμενον καὶ κατα- μενον. ἢ ὅτι διαφοραὶ πολλαὶ ἀκολουθοῦσιν ἑκάςοις ριμέων, ἃ ποιεῖ τὴν ἰδίαν ἑκάςυ δύναμιν; τὸ μὲν οὖν νον διὰ τὸ θερμότερον εἶναι ξηραντικώτερόν ἐστι τῆς ένης ὑπ' αὐτοῦ συντήξεως, ἐπεὶ ποιεῖ γε δάκρυον τι· προσφερόμενον δὲ ὔ, ὅτι ὐκ ἀπατμίζει ἀπ' αὐτοῦ ν τι· ξηρότερον γάρ ἐςι καὶ θερμότερον. ἡ δὲ ὀρίγα-νος καὶ τὰ τοιαῦτα θερμὰ ξηρά ἐστιν ἠρέμα. δεῖ δὲ τὸ μέλλον δάκρυον ποιήσειν δηκτικὸν καὶ ὑγρὸν εἶναι καὶ γλί-σχρον. διὸ καὶ τὸ ἔλαιον ποιεῖ δακρύειν, ἀσθενῆ ἔχον δῆ-ξιν· διὰ γλισχρότητα γὰρ καὶ λεπτότητα παραδῦνον ποιεῖ τὸν πόνον, καὶ τὴν σύντηξιν διὰ τὸν πόνον. τὸ δὲ κρόμμυον τοιαύτην ἔχει τὴν δύναμιν ὥςε καὶ τὸ ὑγρὸν καὶ τὴν ἀτ-μίδα αὐτοῦ θερμὴν καὶ λεπτὴν καὶ γλίσχραν εἶναι. ὥστε προσφερόμενον μέν, διὰ τὸ τὴν ἀτμίδα τοιαύτην εἶναι καὶ συναφιέναι ὑγρότητα λεπτήν, ποιεῖ δακρύειν, ἐσθιομένυ δὲ ἡ ἀναθυμίασις διιῦσα ... τὸ δὲ σκόροδον θερμὸν μὲν καὶ δριμύ ἐςι καὶ ὑγρότητα ἔχει, ἀλλ' ὐ γλίσχρον· διὸ οὐ ποιεῖ δα-κρύειν.

Διὰ τί τὰ μύρτα ἐν τῇ χειρὶ θλιβέντα γλυκύτερα 23
ἡμῖν δοκεῖ εἶναι τῶν μὴ τεθλιμμένων; ἢ καθάπερ καὶ αἱ ῥᾶγες τετρυγημέναι τῶν βοτρύων γλυκύτεραί εἰσι τῶν ἀτρυ-γήτων; ὑπὸ γὰρ τῦ γλεύκυς ὄντος φύσει ἡδέος αἱ μὲν τε-τρυγημέναι ῥᾶγες ὥσπερ ἐοίκασιν ἡδυσμέναι (ἀνάπλεῳ γάρ εἰσι καὶ ἔξωθεν), αἱ δ' ἐπὶ τῶν βοτρύων ἀνήδυντοι. ὁμοίως ὖν καὶ ἐπὶ τῶν μύρτων φύσει γλυκέων καὶ τὴν γλυκύτητα ἐχόντων ἐντός. ὥσπερ αἱ ῥᾶγες ὖν, ὅταν θλιφθῇ, ἀναπίμ-πλαται ἀπὸ τῆς ἐντὸς γλυκύτητος καὶ ἔξωθεν διαφαίνεται γλυκύτερα ὄντα.

Διὰ τί τῶν τε μύρτων τὰ ἐλάττω ἀπυρηνότερά ἐστι, 24
καὶ ἐν τοῖς φοίνιξι καὶ ἐπὶ τῶν βοτρύων, ἔνθα δ' αἱ μικραὶ ῥᾶγες ὐκ ἔχυσιν ἢ ἐλάττυς πυρῆνας; ἢ διὰ τὸ ἀτελέστερα εἶναι οὐκ ἔχει ἀποκεκριμένον; τέλος γὰρ ὁ πυρὴν ἔχει τὸ σπέρμα. διὰ τῦτο δὲ καὶ ἐλάττυς εἰσίν, ὡς ὄντα παραφυά-δες καὶ ἀτελῆ. καὶ ἧττον δὲ γλυκέα τῶν ἐχόντων πυρῆνας· ἀπεπτότερα γάρ ἐςιν, ἡ δὲ πέψις τελείωσίς ἐςιν.

Διὰ τί τῶν περικαρπίων τὰ μὲν πικρότερα τὰ πρὸς 25
τὴν ῥίζαν ἔχει, οἷον σίκυοι, τὰ δὲ πρὸς τὸ ἄκρον τὸ ἄνω, οἷον αἱ βάλανοι; ἢ ὅτι τῶν μὲν ταύτῃ ἄπεπτος ἡ τροφὴ διὰ τὸ ἐπιρρεῖν κατὰ τὴν ῥίζαν ἀεί· τὰ δὲ ξηρὰ φύσει ἐςίν, ὥςε ἀπαγομένυ τῦ γλυκέος ἐκ τοῦ ἄκρου καὶ πεπεμμένου ἤδη ξηραίνεται, καὶ λείπεται τὸ πικρὸν ὥσπερ οἱ ἅλες; ξη-ραινόμενον δὲ μᾶλλον πικρὸν γίνεται, καθάπερ ἐλαῖαι καὶ βάλανοι παλαιύμεναι πικραὶ γίνονται.

. δριμύτερος C^a. ‖ 4. τὸ δ' — 5. ἐπιρρεῖ om C^a. ‖ 10. post ἐςιν x lacunam litterarum ferme triginta, margo X^a ἴσως λεί- ὅτι ἀγρὸς ἐκεῖνος λεπτός τε καὶ ξηρός ἐςι. ‖ πολὺ τὸ ὑγρὸν C^a. ‖ 12. τὸ alterum om C^a. ‖ 17. γὰρ] δὲ X^a, om $QC^aO^aY^a$. ‖ ήχων C^a. ‖ 20. κρεμμάμενα C^a. ‖ 22. τὰς om Y^a. ‖ 30. καὶ] οὐ $C^aX^aY^a$. ‖ ἀνακόρινον C^a. ‖ 31. τρωγόμενον C^aY^a. ‖ 32. ἢ] . ‖ 36. ὐ om $C^aX^aY^a$. ‖ 37. ὀριγανὶς C^a, ὀρίγανις Y^a.

. ποιῆσαι K^a. ‖ 7. αὐτοῦ om K^a. ‖ ὥςε] ὅπερ K^a. ‖ 11. γλίσχρην X^a. ‖ 14. δοκεῖ ἡμῖν C^aY^a. ‖ 15. εἰσι τῶν] εἰσιν ἢ Y^a. ‖ ἰέος φύσει X^a, φύσει ἡδοῦς C^a, φύσει ἡδεῖς Y^a. ‖ 18. ἀνήδιςοι X^a. ‖ 20. ὅταν ὖν C^aY^a. ‖ θλιβῆ C^a. ‖ ἀναπίπλαται Y^a. ‖ 21. . ‖ 28. καὶ ante ἧττον om C^a. ‖ 30. μικρότερα ἔχει τὰ πρὸς τὴν ῥίζαν C^aY^a. ‖ 32. τῶν] τὰ C^aY^a. ‖ 33. δὲ ὅτι ξηρὰ C^aX^a 36. καὶ om C^aY^a.

26 Διὰ τί ἔνια βλαστάνει οὐκ ἐν τῇ γῇ ὄντα ἀλλ' ἐκτετμημένα, τὰ δὲ κείμενα, οἷον οἱ τῶν κρίνων καυλοὶ καὶ σκόροδα καὶ κρόμμυα; ἢ ὅτι ἔχουσι τροφὴν ἅπαντα ἐν αὑτοῖς, ἀλλ' οὐκ ἐν ἀφωρισμένῳ τόπῳ οὐθὲν φυτόν; ἡ περιουσία οὖν ἐστὶ τῆς τροφῆς ἡ ποιοῦσα βλαστάνειν. δῆλον δέ· καὶ γὰρ καὶ αἱ σκίλλαι καὶ οἱ βολβοὶ ταὐτὸ ποιοῦσιν. αὔξεται δ' ἕκαστον οὐ τῷ ἔχειν, ἀλλ' ὅταν πεφθῇ καὶ διανεμηθῇ. ἔχει μὲν οὖν καὶ ἔμπροσθεν, αὔξεται δέ, ὅταν ἡ ὥρα ἔλθῃ ἐν ᾗ τοῦτο γίνεται πεττούσης ὥρας, οἷον καὶ τὰ τῶν κροκοδείλων ᾠά. συνεχὲς δὲ οὐκέτι, ὅτι οὐκ ἐπιρρεῖ ἄλλη τροφή.

27 Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα ὅσῳ ἂν ξηρότερα φυτεύηται, τοσούτῳ βελτίω γίνεται, τὰ δὲ ἄλλα χείρω; ἢ ὅτι πάντα τὰ τοιαῦτα μάλιστα ὑγρασίας ἐστὶ πλήρη; εὔκρατα οὖν γίνεται τοῦτον τὸν τρόπον φυτευθέντα. καὶ ὅτι ἧττον σήπεται, ὅταν ξηρανθέντα φυτευθῇ.

28 Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα μόνα τῶν φυτῶν κείμενα βλαστάνει; ἢ διότι ὑγρασίας ἐστὶ πλήρη καὶ τροφῆς; ἡ περιουσία οὖν ἐστὶ τῆς τροφῆς ἡ ποιοῦσα βλαστάνειν. δῆλον δέ· καὶ γὰρ αἱ σκίλλαι καὶ οἱ βολβοὶ ταὐτὸ ποιοῦσιν. αὔξεται δέ, ὅταν ἡ ὥρα ἔλθῃ ἑκάστῳ.

29 Διὰ τί τὰ τῷ ψυχρῷ ὕδατι ἀρδόμενα γλυκύτερα ἢ τὰ τῷ θερμῷ; πότερον ὅτι ἐγκατακλειόμενον τὸ θερμὸν ἁλμυρώτερον, ὥσπερ καὶ τὸ ἁλμυρώτερον θερμότερον, τὸ δὲ γλυκὺ ἐναντίον, ὥσπερ ψυχρόν. τροφὴ δὲ τοῖς λαχάνοις τὸ ὑγρόν, καὶ οἱ χυμοὶ ἐντεῦθεν.

30 Διὰ τί τὰ σκόροδα ὄζει μᾶλλον ἐγκαυλοῦντα ἢ νέα ὄντα; ἢ ὅτι νέων μὲν ὄντων ἔτι πολὺ ὑγρὸν ἀλλότριον ἐνὸν ἀφαιρεῖται τὴν δύναμιν αὐτῶν; ὅταν δὲ πεπανθῇ, ἐκκεκριμένου ἤδη τούτου, τότε τὴν οἰκείαν ἔχει ὀδμήν. αὕτη δέ ἐστι φύσει. ὁμοίως δε καὶ οἱ ἄλλοι καρποὶ οἱ πρόσφατοι ὄντες ὑδαρέστεροι. διὸ καὶ τὰ κρόμμυα ἧττον δριμέα τὰ νεώτερα.

31 Διὰ τί τῶν μυρρινῶν μὲν μὴ τεταριχευμένων τὰ μύρτα ἀπορρεῖ μᾶλλον τῶν φύλλων, ταριχευομένων δὲ τῷ φύκει τὰ μὲν φύλλα ἀπορρεῖ, τὰ δὲ μύρτα οὐκ ἀπορρεῖ; ἢ ἀταριχεύτων μὲν ὄντων οὕτως ἔχει διὰ τὴν φύσιν; ὅταν γὰρ πεπανθῇ, ἀπορρεῖν πέφυκε τὰ μύρτα. τοῦτο δὲ οὐ συμβαίνει κειμένων, ἀλλὰ μόνον κωλύει ἡ ἰκμὰς τοῦ φύκους μεταβάλλειν τὸ ἐν τῷ μύρτῳ ὑγρόν. τὰ δὲ φύλλα ἀποπίπτει τοὐναντίον αὐτῶν ξηραινομένων, τὸ δὲ φῦκος ξηραίνει ἁλμυρὸν ὄν. οὐ ταὐτὸ οὖν συμβαίνει ἐπί τε τῆς μυρρίνης οὖσι καὶ κειμένοις τοῖς φύλλοις.

Διὰ τί οἱ σίκυοι πέπονες ἄριστοι γίνονται ἐν τοῖς ἑλώδεσι πεδίοις, οὖσιν ἐνύγροις, οἷον περὶ Ὀρχομενὸν καὶ ἐν Αἰγύπτῳ; δοκεῖ δ' ἔνυδρος αὕτη ἡ χώρα εἶναι. ἔστι δὲ τὰ ἑλώδη ἔνυδρα· οἱ δὲ σίκυοι αὐτοὶ ὑγρότεροι· διὸ καὶ οἱ κηπαῖοι φαῦλοι εἰσίν. πότερον ὅτι εἰς βάθος διὰ σκληρότητα τῆς γῆς ἀναγκάζονται φυτεύεσθαι; ἡ γὰρ πηλώδης καὶ πεδιὰς μάλιστα γίνεται σκληρά, οἱ δὲ εἰς βάθος φυτευθέντες βελτίους. ἢ διότι ξηρὰν δεῖ εἶναι τὴν γῆν διὰ τὸ αὐτὸ εἶναι ὑγρὸν φύσει; οὕτω γὰρ ἀντισπώμενον ἐπὶ τὸ μέσον ἥξει. ἡ δὲ ἑλωδεστέρα μὲν βαθεῖα δὲ τροφὴν ἴσχει καὶ διὰ τὸ βάθος τῆς γῆς καὶ διὰ τὸν τόπον, καὶ οὐχ ὑπερβάλλουσαν διὰ τὸ ξηραίνεσθαι τὴν γῆν πάλιν. 32

Διὰ τί τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων; ἢ ὅτι ὅσων ἐν τῇ ὀσμῇ βαρύτης ἔνι καὶ δριμύτης, ταῦτα κεραννύμενα ταῖς περιττωματικαῖς ὑγρότησι κακωδεστέραν ποιεῖ τὴν ὀσμήν; 33

Διὰ τί τὸ πήγανον βασκανίας φασὶ φάρμακον εἶναι; ἢ διότι βασκαίνεσθαι δοκοῦσι λάβρως ἐσθίοντες; ἢ ὑφορώμενοί τινας δυσχερείας καὶ περὶ τὰ προσφερόμενα ὑπόπτως ἔχοντες; ἐπιλέγουσι γοῦν, ὅταν τῆς αὐτῆς τραπέζης ἰδίᾳ τι προσφέρωνται, μεταδιδόντες, "ἵνα μὴ βασκάνῃς με." ἅπαντες οὖν μετὰ ταραχῆς τῶν βρωμάτων προσοίσονται τὸ διδόμενον ὑγρὸν ἢ σιτίον, ὑφ' ὧν ἢ καταλαμβανομένων ἢ ἀπομυομένων μετεωρισθέντα τὰ σιτία συνεξέπεσε καὶ τὰ πνεύματα ὑπὸ τῶν ὑγρῶν πόνους καὶ στρόφους παρέχει. τὸ πήγανον οὖν προεδεσθέν, θερμαντικὸν ὂν τῇ φύσει, ἠραίωσε τὸ δεχόμενον ἀγγεῖον τὰ σιτία καὶ τὸ ἄλλο σῶμα. διὸ ἔξωθεν τὸ ἐγκαταλαμβανόμενον πνεῦμα συμβαίνει. 34

Διὰ τί ἡ ὀρίγανος ἐμβαλλομένη τῷ γλεύκει γλυκὺν ποιεῖ τὸν οἶνον; ἐμβάλλονται δὲ δύο κοτύλαι εἰς τὸν ἀμφορέα. ἢ ὅτι ἐξαίρει δι' ὧν ἡ αὐστηρότης γίνεται, τὸ ὑδατῶδες καὶ τὸ τρυγῶδες ἀναδεχομένη τῇ ξηρότητι εἰς αὑτήν; σημεῖον δὲ ὅτι ἐκ τούτων τὸ αὐστηρόν· οἱ γὰρ οἶνοι ἧττον μαλακοί, ἐὰν ὕδωρ παραχεθῇ, καὶ ἐὰν ἐν τῇ τρυγὶ πλείω χρόνον ἐάσῃ τις. καὶ ὅταν ποιῶσι γλυκύ, ἡλιῶσι τὰς σταφυλὰς πολὺν χρόνον, καὶ ὁ ἥλιος ἀφαιρεῖ τὸ ὑδατῶδες καὶ 35

2. τὰ δὲ κείμενα om C^a. ‖ καὶ σκόροδα om C^aY^a. ‖ 3. καὶ ἅπαντα κρόμμυα X^a. ‖ 4. ἡ — 6. ποιοῦσιν om C^aY^a. ‖ 7. πεμφθῇ X^a. ‖ 15. ξηρανθῇ ἢ φυτευθῇ C^aY^a. ‖ 17. βλαστάνει κείμενα C^a. ‖ 19. οἱ om X^a. ‖ 30. οἱ post καὶ om X^a. ‖ 33. μυρίνων C^a. ‖ 37. οὐ om C^a. ‖ 38. κείμενον X^a. ‖ ἡ om C^aY^a.

2. μυρίνης C^a. ‖ 4. συκιοὶ C^a. ‖ 6. ἔτι Y^a. ‖ 7. σίκυες $C^aX^aY^a$. ‖ 11. αὐτὸν Y^a. ‖ 12. τὸ om X^a. ‖ 25. γοῦν C^aY^a. ‖ 26. ἀποτεμνομένων C^a. ‖ 27. καὶ om X^a. ‖ 28. ὑγρῶν καὶ πόνους καὶ C^aY^a. ‖ 32. ὀρίγανις X^a. ‖ 35. ἑαυτήν Y^a. ‖ 37. τῷ X^aY^a.

τὸ λοιπὸν συμπέττει. ταὐτὸ δὲ τȣ̃το ποιεῖ καὶ ἡ ὀρίγανος· ξηρὰ γὰρ καὶ θερμή, ὥϛε εἰκότως διαμένει.

36 Διὰ τί αἱ μέλαιναι μυρρίναι πυκνοφυλλότεροί εἰσι τῶν λευκῶν μυρρινῶν; ἢ ὅτι ἀγριώτεραι τὸ γένος; σημεῖον δὲ ὅτι γίνονται ἐν τοῖς ἀγροῖς καὶ ἥκιστα μεταβάλλουσιν ὑπὸ τῆς ἐπιμελείας. τὰ δὲ ἄγρια πάντα πυκνοφυλλότερα· διὰ γὰρ τὸ ἧττον πέττειν τὸν καρπὸν εἰς τὰ φύλλα ἡ τροφὴ τρέπεται.

ΚΑ. ΟΣΑ ΠΕΡΙ ΑΛΦΙΤΑ ΚΑΙ ΜΑΖΑΝ ΚΑΙ ΤΑ ΟΜΟΙΑ.

Διὰ τί ἡ πτισάνη καὶ τὸ ἄλευρον ἐλαίου ἐπιχεομένου λευκότερα γίνεται; καίτοι τὸ ἔλαιον πυρρόν. ἢ ὅτι πέφυκε μιγνύμενον τῷ ὑγρῷ ἀφρίζειν; τȣ̃το δὲ ἡ λευκότης. ἡ δὲ μῖξις τρίψει καὶ κινήσει. μίγνυται δὲ μᾶλλον τοῖς σωματικοῖς· ἐν δὲ τοῖς ἑψήμασι τȣ̃το συμβαίνει, διὸ καὶ λευκότερα ποιεῖ.

2 Διὰ τί ἡ ἐκ τοῦ πυροῦ τροφὴ μάλιστα ἁρμόττει τοῖς σώμασι καὶ μᾶλλον τρόφιμος ἢ ἡ ἐκ τῶν κριθῶν; ἢ διότι μετρίαν ἔχει γλισχρότητα; δεῖ δὲ τὴν τροφὴν ἔχειν τȣ̃το· προσφῦναι γὰρ δεῖ καὶ προσκολληθῆναι τῷ σώματι· οὗ αἴτιον τὸ γλίσχρον. ἀλλὰ ψαθυρώτερον· διὸ αἱ τετριμμέναι σφόδρα μᾶζαι τροφιμώτεραι τῶν ἀτρίπτων.

3 Διὰ τί τῶν μὲν ἀλεύρων τὰ πρῶτα, τῶν δὲ ἀλφίτων τὰ τελευταῖα λαμπρότερα; ἢ διότι τὸ μὲν καπυρὸν ὂν περιθραύεται, τὸ δὲ μαλακὸν ἐνθλίβεται; λαμπρότερον δὲ ἐν ἀμφοτέροις τὸ ἐντός.

4 Διὰ τί οἱ ἄρτοι λευκότεροι φαίνονται ψυχροὶ ὄντες ἢ θερμοί; ἢ διὰ τὴν αὐτὴν αἰτίαν τρόπον τινὰ καὶ τὸ ἔλαιον λευκότερον τȣ̃ προσφάτȣ τὸ παλαιόν; αἴτιον γὰρ τῆς μελανίας τὸ ὕδωρ, τȣ̃το δὲ ἐν ἀμφοτέροις πλεῖον προσφάτοις ȣ̉̃σιν· χρονιζομένοις δὲ διὰ τὸ ἐξατμίζειν λείπεται ἔλαττον τὸ ἐπιπολῆς. ἐξατμίζει δὲ τȣ̃ μὲν ἐλαίȣ ἢ ὁ χρόνος ἢ ὁ ἥλιος· ἐκ δὲ τῶν ἄρτων ψυχομένων τὸ θερμὸν ἐξιὸν ψυχρῶν μὲν ὄντων ἐξελήλυθεν, ἐν δὲ θερμοῖς ȣ̉̃σιν ἔτι ἔνεϛιν.

5 Διὰ τί οἱ ἄναλοι ἄρτοι πλείονα ϛαθμὸν ἔχουσι τῶν ἡλισμένων, τῶν ἁλῶν αὐτοῖς ἴσων ὑπαρχόντων; εἰκὸς δὲ ἦν τȣ̉ναντίον· οἱ γὰρ ἅλες πρόσκεινταί τε καὶ βαρύτεροι τȣ̃ ὕδατός εἰσιν. ἢ ὅτι ξηραίνουσιν οἱ ἅλες; διὸ καὶ σώζεται ἄσηπτα τὰ τεταριχευμένα· ἀναλίσκεται γὰρ καὶ ξηραίνεται τὸ ὑγρὸν ὑπ' αὐτῶν, ὃ σήπεται ὑπὸ τοῦ θερμοῦ. καὶ ἐν τῷ ἄρτῳ ȣ̉̃ν ἀναλίσκεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἁλός, καὶ ἀποπνεῖ ἔξω. διὸ καὶ οἱ ἕωλοι ἄρτοι κουφότεροί εἰσι τῶν θερμῶν, ψυχρότεροι ὄντες. ἐν δὲ τοῖς μὴ ἡλισμένοις τȣ̃το τὸ ὑγρὸν πλεῖον ἐνυπάρχον ποιεῖ βαρυτέρȣς αὐτȣ́ς.

Διὰ τί οἱ μὲν ψυχροὶ ἄρτοι ἂν βρεχθέντες ἅψωνται ἀλλήλων, οὐ συνέχονται, οἱ δὲ θερμοί; ἢ ὅτι οἱ μὲν ψυχροὶ μετὰ τῆς ἀτμίδος ἀφιᾶσι τὸ ἐν αὐτοῖς γλίσχρον ὑγρόν, ȣ̃ ἐξελθόντος ȣ̉ κολλῶνται (τὸ γὰρ ὕδωρ ᾧ ἐβρέχθησαν, ψαθυρώτερόν ἐστιν), οἱ δὲ θερμοὶ ἔχουσί τινα γλισχρότητα. ὅταν μὲν ȣ̉̃ν βεβρεγμένων αὐτῶν ἡ ἀτμὶς ἐξίῃ, τὸ μὲν θερμὸν διαπνεῖ διὰ λεπτότητα, τὸ δὲ κολλῶδες συνεξιὸν αὐτῷ καὶ μιγνύμενον τῷ ὑγρῷ προσέρχεσθαι ποιεῖ ἐν αὐτοῖς. 6

Διὰ τί τῶν ἀλεύρων τὰ ἄλφιτα λαμπρότερά ἐστι, 7
τῶν δὲ ἀλφίτων τὰ τελευταῖα; ἢ ὅτι τὸ μὲν ἄλφιτον καπυρὸν ὂν περιθραύεται, οἷον μάλιστα πάσχει πλεῖστον χρόνον κοπτόμενον, τὸ δὲ μαλακὸν καὶ λεπτὸν ἄλευρον, ὅ ἐϛιν ἐντὸς τȣ̃ πυρȣ̃, ἐκθλίβεται πρῶτον. λαμπρότατον δέ ἐϛιν ἐν ἀμφοτέροις τὸ ἐντός.

Διὰ τί ἡ μὲν μᾶζα ὅσῳ ἂν μᾶλλον τριφθῇ, δυσ- 8
διαχωρητοτέρα γίνεται, ὁ δὲ ἄρτος εὐδιαχωρητότερος; ἢ διὰ τὸ τριφθῆναι σφόδρα τὸ ϛαῖς μικρότερον γίνεται; τὸ δὲ γλίσχρον τοιȣ̃τόν ἐϛιν, ὑπὸ δὲ τȣ̃ πυρὸς πάντοθεν ἐξήρηται τὸ ὑγρὸν τȣ̃ ἄρτȣ, ὥϛε ψαθυρώτερον γίνεται τȣ̃ ὑγρȣ̃ ἐξαιρεθέντος ὅλως, ὅσῳ ἂν μᾶλλον τριφθῇ, διὰ τὸ ἐν τῇ τρίψει μικρομερέϛερον γεγονέναι· τὸ δὲ ψαθυρὸν εὐπεπτότερόν ἐϛιν. ἡ δὲ μᾶζα ὅσῳ ἂν μᾶλλον τριφθῇ, γλισχροτέρα γίνεται τοῦ ὑγροῦ μεμιγμένου· τὸ δὲ γλίσχρον οὐκ εὐδιαίρετον. τὰ δὲ τοιαῦτα δύσπεπτά ἐστιν· δεῖ γὰρ τὸ πεφθησόμενον διαιρεθῆναι εἰς μικρά.

Διὰ τί ἡ μὲν μᾶζα τριβομένη ἐλάττων γίνεται, τὸ 9
δὲ ϛαῖς μεῖζον; ἢ ὅτι τὸ μὲν ἄλφιτον βρεχθὲν καὶ τριβόμενον συνίζει τῇ τȣ̃ ὑγρȣ̃ κολλήσει διὰ τὸ ἀραιὸν εἶναι καὶ χονδρόν, τὸ δὲ ἄλευρον μετεωρίζεται διὰ τὸ πυκνὸν εἶναι σφόδρα; τὰ γὰρ πυκνὰ τριβόμενα θερμαίνεται, θερμαινόμενα δὲ καὶ πνευματούμενα μετεωρίζεται, καθάπερ καὶ ἡ σάρξ.

Διὰ τί δὲ πυρούμενον τὸ σταῖς μεῖζον γίνεται ἢ ἡ 10

1. ὀρέγχης $X^a Y^a$, ὀργανίς C^a. ‖ 3. μυρίναι C^a. ‖ 6. ἀργὰ $C^a Y^a$. ‖ 7. καρπὸν καὶ εἰς C^a. ‖ 11. πτισσάνη $C^a X^a$. ‖ 12. λευκότερον Y^a. ‖ 18. ὅτι C^a. ‖ 24. λαπρότερα C^a. ‖ 25. δὲ τὸ ἄλευρον μαλακὸν X^a. ‖ λαμπρότατον $C^a Y^a$. ‖ 36. δὲ] μὲν C^a. ‖ 39. ταριχευόμενα $C^a Y^a$. ‖ ἀναξηραίνεται $X^a Y^a$.

4. δὲ om C^a. ‖ 5. πλεῖϛον ἐνυπάρχον βαρυτέρȣς αὐτȣ̀ς ποιεῖ X^a. ‖ 6. ἄρτοι ἀναβρεχθέντες ἅψωνται Y^a, ἄρτοι ἀναβρεχθέντες εἰ ἅψονται X^a. ‖ 11. αὐτῶν om X^a. ‖ 15. λαμπρότατα $X^a Y^a$. ‖ 21. δυσχωρητοτέρα C^a. ‖ 22. ἢ om C^a. ‖ 23. μικρότερος Y^a. ‖ 24. δὲ γλ.] γὰρ γλ. $C^a Y^a$. ‖ 27. μικροτερέϛερον C^a. ‖ 34. ἀραιὸν Y^a, ut solet. ‖ 36. σφόδρα εἶναι $X^a Y^a$. ‖ 38. καὶ om C^a.

μᾶζα; ἢ ὅτι ἔχει ὑγρὸν οὐ κεχωρισμένον, ὥστε ἐξιέναι θερμαινόμενον διὰ τὴν τρῖψιν· ἐξ οὗ θερμαινομένου πνεῦμα γίνεται, ἐκ δὲ τοῦ πλείονος ὑγροῦ ἀνάγκη γίνεσθαι πλεῖον πνεῦμα.

11 Διὰ τί τοῦ μέλιτος κολλητικωτέρου ὄντος ἢ τοῦ ὕδατος, τὸ τῷ μελικράτῳ φυραθὲν ἄλευρον ψαθυρώτερον γίνεται, ὅταν ἑψηθῇ ἢ ὀπτηθῇ, ἢ τὸ τῷ ὕδατι; ἢ διότι τὸ μὲν ὑπὸ τοῦ πυρὸς πήγνυται καὶ συνίσταται, τὸ ὕδωρ, τὸ δὲ μέλι συνιστᾷ μὲν ἀλλ' ἐπιξηραίνει, διὸ μᾶλλον ψαθυρὸν ποιεῖ· ἡ γὰρ ψαθυρότης ὑπὸ ξηρασίας γίνεται.

12 Διὰ τί οἱ δίπυροι ἄρτοι ψυχθέντες οὐ γίνονται σκληροί; ἢ ὅτι ἔχει τινὰ ἐν αὑτῷ ὁ πυρὸς γλυκὺν καὶ γλίσχρον χυμόν, ὅς ἐστιν αὐτοῦ καθάπερ ψυχή; σημεῖον δέ· ξηραινόμενος μὲν γὰρ ὅλως κενοῦται, νοτιῶν δὲ ἐκφύεται. τοῦ οὖν χυμοῦ τούτου ἐνυπάρχοντος καὶ ἐν τῷ ἀλεύρῳ καὶ μάλιστα τῷ καθαρωτάτῳ, σταιτὸς γενομένου τοῦ ἀλεύρου καὶ τριβομένου συμβαίνει αὐτό. σημεῖον δέ· ἑψόμενον γὰρ διαχωρητικώτερον γίνεται. ὀπτωμένου μὲν οὖν τὸ πρῶτον τοῦ ἄρτου, τὸ ψαθυρὸν καὶ ἐλαφρὸν τοῦ δὲ ὑγροῦ τοῦ ἐκ τοῦ ἄρτου ἀπατμίζει, καὶ τοῦ ἀλεύρου τὸ ἀχυρωδέστατον ἀποκαίεται. ἐξαιρεθέντος δὲ καὶ τριβομένου πάλιν τοῦ σταιτός, τό τε τοῦ ἀλεύρου λειότατον καὶ τοῦ ὑγροῦ γλισχρότατον λειπόμενα μίγνυται μᾶλλον ἑαυτοῖς, διά τε τὸ τοιαῦτα καὶ μᾶλλον γεγονέναι, καὶ διὰ τὴν πύρωσιν· βαφῇ γὰρ ἡ μῖξις αὐτῶν ὁμοία γίνεται, ὥστε γίνεσθαι τὸ ὕστερον τριφθὲν σταῖς ὅμοιον τῷ ἑψομένῳ ἀλεύρῳ. καὶ γὰρ ἐκεῖνο, τριφθέντος τοῦ σταιτὸς καὶ λειφθέντος τοῦ λεπτοτάτου ἀλεύρου καὶ τοῦ γλισχροτάτου ὑγροῦ, πυρωθὲν κολλῶδες γίνεται καὶ ἀνεξίκμαστον· τό τε γὰρ γλίσχρον δυσδιαίρετον, καὶ τὸ πυκνὸν οὐθὲν δι' αὐτοῦ προΐεται. ὑγρότατον οὖν τοῦτο, καὶ διὰ πυρὸς πάσχει ἄρτος διὰ τὰ εἰρημένα· ἔχων δὲ ἀεὶ ὑγρότητα οὐ γίνεται σκληρός.

13 Διὰ τί τῆς τροφῆς καὶ τῆς ξηρᾶς καὶ τῆς ὑγρᾶς ἐνίοις δυνάμεθα πολὺν χρόνον χρῆσθαι, οἷον τῇ γινομένῃ τροφῇ ἐξ ἀλφίτων καὶ ἀλεύρων καὶ τοῖς οἴνοις τοῖς αὐστηροῖς καὶ ὕδατι, τοῖς δὲ οὐ δυνάμεθα, καὶ ταῦτα ἡδίοσιν οὖσιν; ἢ ὅτι τὰ μέν ἐστι τῶν προσφερομένων ἐπιπολαστικὰ καὶ τρόφιμα, ὥστε καὶ ὅταν κενωθῶσι, τῆς πρώτης τροφῆς ἀναλωθείσης ἔτι ἔνεστιν ἐν τῷ σώματι πολλὴ δύναμις, ὡς μὲν πρὸς τὴν πρώτην ἐργασίαν τοῦ σώματος πεφθεῖσα, ὡς δὲ πρὸς τὸ τέλος καὶ τὴν ἐκ διαδοχῆς γινομένην ἄπεπτος; τοιαῦτα δέ ἐστι καὶ τῶν ἡδέων τὰ πλεῖστα. τὰ μὲν γὰρ λιπαρὰ καὶ γλυκέα καὶ πίονα ἥδιστα δοκεῖ εἶναι γευομένοις ἡμῖν, ταῦτα δέ ἐστι πάντα τὰ τρόφιμα καὶ οὐκ ἄπεπτα καὶ ἐπιπολαστικά, ἐν ᾗ ἂν ᾖ διαφορᾷ· ὥστε ἔναυλον εἶναι τὴν δύναμιν, ἐάν τις αὐτῶν πληρωθῇ καὶ μὴ ταχὺ ἐκλίπῃ τὴν αἴσθησιν. οὐ γὰρ μόνον ἐν τῇ κοιλίᾳ ἐνόντων γίνεται ἡ πλήρωσις, ἀλλὰ καὶ διαδοθείσης τῆς τροφῆς ἐν ἄλλοις μέρεσιν. ἢ οὐ μόνον τοῦτο αἴτιον, ἀλλὰ καὶ τὸ τῇ φύσει ἔνια σύμμετρα εἶναι καὶ οἰκεῖα ἡμῖν; πάντα γὰρ τὰ τοιαῦτα διὰ τὸ κατὰ φύσιν εἶναι μᾶλλον προσίεται τὰ σώματα, τὰ δὲ παρὰ φύσιν ἧττον. ἄλλα τε ἄλλῃ κράσει ἁρμόττει, οἷον τὸ μέλι ταῖς μελίτταις κατὰ φύσιν ἐστὶν ὥστε προσφέρεσθαι μόνον· καίτοι ἀσθενεῖς γέ εἰσι τὴν δύναμιν. ὥστε δεῖ λείπειν τὸ ἀναλισκόμενον, ἀλλ' εἶναι ἀνάλογον τὸ πλῆθος πρὸς τὴν ἰσχὺν τὴν ἀπὸ τῶν ἀνθρώπων· ὥστε ὅσα τῶν ἡδέων τοιαῦτά ἐστι, διὰ μὲν τὸ ἐν τῇ φύσει ἧττον ὑπάρχειν ἡδέα φαίνεται, ὀλίγον δὲ χρόνον· εἶτα πληροῖ ταχύ. τῶν δὲ κατὰ φύσιν ἀεὶ δέονται, ὥστε καὶ προσφερομένων συνεχῶς δι' αὐτὰ οὐ τῶν ἡδίστων, ἀλλ' ἑτέρων ἧττον πληροῦνται.

14 Διὰ τί τὰ αὐτὰ συνεθιζομένοις τε ἡδέα φαίνεται καὶ λίαν συνεχῶς προσφερομένοις οὐχ ἡδέα; τὸ δὲ ἔθος ἐστὶ τὸ πολλάκις καὶ συνεχῶς τι ποιεῖν. ἢ ὅτι τὸ μὲν ἔθος ἕξιν δεκτικήν τινος ἐν ἡμῖν ποιεῖ, οὐ πλήρωσιν, τὸ δὲ συνεχῶς προσφέρεσθαί τι πληροῖ τὴν ἐπιθυμίαν, καὶ καθάπερ αἴτιον; ἔστι γάρ τι καὶ ἡ ἐπιθυμία. αἱ μὲν οὖν ἕξεις γυμναζόμεναι αὔξονται καὶ ἐπιδιδόασιν· τὰ δὲ ἀγγεῖα σαττόμενα οὐδὲν μείζω γίνεται. διόπερ τὸ μὲν ἔθος ὂν γυμνάσιον αὔξει τὴν δεκτικὴν ἕξιν· τὸ δὲ συνεχῶς προσφερόμενον σάττει μὲν καὶ πληροῖ τὴν ἐπιθυμίαν, ἧς πληρωθείσης οὐκέτι προσιέμεθα, αὔξει δὲ οὐθὲν αὐτὴν διὰ τὰ προειρημένα ἐπὶ τῆς σάξεως. ἔτι τὸ ἔθος οὐ τῷ ἀεὶ ἡδύνειν ἡδύ ἐστι (λυπεῖ γὰρ καὶ τὰ τοιαῦτα, ἐάν τις συνεχῶς ποιῇ) ἀλλὰ τῷ τὴν ἀρχὴν τοῦ ἔργου ἡδέως ἡμᾶς προσίεσθαι, καὶ πλείω χρόνον δύνασθαι ταὐτὸν ποιεῖν ἢ ἀσυνήθεις ὄντας. ἐν ᾧ οὖν καὶ τοῦτο λυπεῖ ἡδὺ ὄν, ἐν ταὐτῷ καὶ τὰ ἄλλα ἡδέα. συνεχῶς γὰρ γινόμενα ἢ προσφερόμενα ἀμφότερα λυπεῖ.

6. γίνεται ἢ ὅταν X^a. ‖ 7. ἢ ante τὸ om X^a. ‖ 11. διάπυροι C^a. ‖ 12. ἐν αὐτῷ τινὰ K^aO^a. ‖ 13. ἐστιν] τις X^a. ‖ καθάπερ K^aO^a. ‖ 15. τούτου] τοῦτ' $C^aX^aY^a$. ‖ 18. οὖν om X^a. ‖ 20. ἀχυρωδέστερον C^a. ‖ 23. λειπόμενον C^aX^a. ‖ τὰ $C^aX^aY^a$. ‖ 24. βαφὴ C^a. ‖ 25. ὁμοία ante ἡ X^a, post μῖξις Y^a. ‖ γενέσθαι X^a. ‖ 26. ἑψομένῳ] ὑγρῷ C^a. ‖ 28. πυρωθὲν καὶ κολλῶδες C^a. ‖ 36. ἥδιον codices.

1. πεμφθεῖσα X^a. ‖ 6. διαφορά C^a. ‖ 8. ἐκλείπῃ X^a. ‖ 9. καὶ om C^a. ‖ 14. ἁρμόζει X^a. ‖ 16. τε $C^aX^aY^a$. ‖ 18. ὑπὸ C^aY^a. ‖ 20. πληροῦσι C^a. ‖ 21. διὰ τὰ Y^a. ‖ 26. οὐχὶ X^a. ‖ 28. τις C^aY^a. ‖ 34. ἔθος οὕτως (οὕτω Y^a) ἂν εἰ ἡδύνει $C^aX^aY^a$. ‖ 36. τὸ $C^aX^aY^a$.

αἴτιον δὲ τὸ μὴ ἀπείρους ἡμᾶς ἐν αὐτοῖς δυνάμεις ἔχειν τὰς δεκτικὰς καὶ ποιητικάς, ἀλλὰ πεπερασμένας, αἳ τυγχάνουσαι τοῦ συμμέτρου αὐταῖς (τοῦτο γὰρ συνεχῶς ἐστὶν αἰσθητὸν εἰς ἐπίδοσιν) αἱ μὲν πληροῦνται, αἱ δὲ ἀδυνατοῦσιν ἐνεργεῖν.

15 Διὰ τί τὸ μὲν σταῖς γίνεται τριβόμενον λευκόν, ἡ δὲ μᾶζα μελαντέρα; πότερον ὅτι ξηραίνεται μᾶλλον τὸ ἐπιπολῆς ἐν τῷ ἀλφίτῳ, οἷον ἐν ὑγρῷ θερμόν, ὃ ποιεῖ τὴν λευκότητα; ἢ διὰ τὸ πεπυρῶσθαι ἕλκει τὸ ὑγρὸν εἰς αὐτό, μεγαλομερέστερον ὄν.

16 Διὰ τί τὰ ἄλφιτα μᾶλλον τῷ ὕδατι συμμένει φυρόμενα ἢ τῷ ἐλαίῳ, ὄντι γλισχροτέρῳ; καίτοι κολλητικώτερον τὸ γλίσχρον, τὸ δὲ ἔλαιον τοῦ ὕδατος γλισχρότερον. ἢ ὅτι λεπτότερον τὸ ὕδωρ, ὥστε εἰσέρχεται εἰς ἅπαν καὶ μαλακὰ ποιεῖ, συμφύεταί τε μᾶλλον καὶ συνθλίβεται πρὸς ἄλληλα, καίτοι θλιβόμενα καὶ χωρὶς τῆς τρίψεως.

17 Διὰ τί οἱ ἄτριπτοι ἄρτοι καὶ οἱ σφόδρα τετριμμένοι ῥήγνυνται; ἢ ὅτι οἱ μὲν ἄτριπτοι διὰ τὸ ἀσύνδετοι εἶναι; ἡ γὰρ τρῖψις συνδεῖ· προωδοποίηνται οὖν τὸ ῥήγνυσθαι. ἔτι ἀμιγὲς καὶ πολὺ ἔχουσι τὸ ὑγρόν. οἱ δὲ τετριμμένοι σφόδρα λίαν εἰσὶ ξηροὶ διὰ τὸ ὀλίγον ἔχειν ὑγρόν· θερμαινομένων γὰρ πᾶν ἐξέρχεται. ὥστε ἄμφω διὰ τὸ πολὺ ὑγρὸν ἐξιέναι ῥήγνυνται· πολὺ γὰρ ἐν μὲν τοῖς ἀτρίπτοις ἁπλῶς ἔνεστιν, ἐν δὲ τοῖς τετριμμένοις πρὸς τὸ ὑπόλοιπον.

18 Διὰ τί κουφότερον τὸ φύραμα γίνεται ἢ ἄμφω, τό τε ὑγρὸν καὶ τὸ ἄλφιτον; πότερον ὅτι μιγνυμένων πνεῦμα συγκατακλείεται; ἢ ὅτι ὑπὸ τοῦ θερμοῦ τοῦ ἐν τοῖς ἀλφίτοις ἐξατμίζεται τοῦ ὕδατος, ὥστε ἔλαττον γίνεται τὸ μεμιγμένον; ὁ δὲ ἀήρ, εἰ καὶ μίγνυται, οὐθὲν ἂν κουφότερον ποιοῖ· ἔχει γὰρ βάρος καὶ ὁ ἀὴρ ἐν τῷ ἀέρι.

19 Διὰ τί μετὰ τοῦ ἀλφίτου πινόμενον τὸ γάλα καὶ ὁ γλυκὺς φαίνεται γλυκύτερα; πότερον παρὰ τὸ μὴ γλυκὺ μᾶλλον φαίνεται; τὸ γὰρ ἄλφιτον οὐ γλυκύ. ἢ ὅτι ἐνδιατρίβει τὸ ἄλφιτον ἔχον γλυκύτητα, ὥστε πλείονι χρόνῳ ἡ αἴσθησις.

20 Διὰ τί ἧττον ἄκρατον φαίνεται τὸ αὐτὸ πόμα μετὰ τοῦ ἀλφίτου πινόμενον; πότερον ἢ ὅτι κεράννυσιν ἄλλο ἔχον μετ' ἄλλου; ἢ ὅτι ἀντιφράττει τῷ πόματι καὶ ἀφανίζει, ἀντισπῶν εἰς αὐτό;

Διὰ τί ὁ χόνδρος πλεῖον ὕδωρ δέχεται ἢ οἱ πυροὶ ἐξ 21 ὧν ὁ τοιοῦτος ἐγένετο χόνδρος; ἢ ὅτι ἄλευρά πώς ἐστιν ὁ χόνδρος, τὰ δὲ ἄλευρα πλεῖον δέχεται. καὶ γὰρ γίνεται ὁ ὄγκος πλείων ἢ ὁ τῶν πυρῶν· σέσακται γὰρ καὶ τὰ ἐν τοῖς πυροῖς. τὰ δὲ πλείω χωρεῖ πλεῖον. καὶ τοῦτο καὶ ὅτι ἔχει θερμότητα καὶ τὰ ἄλευρα καὶ ὁ χόνδρος. τὸ δὲ θερμὸν καὶ ἕλκει μᾶλλον τὸ ὑγρόν, καὶ ἐξαναλίσκει ἐξατμίζον.

Διὰ τί τὸ ἄλευρον τριβόμενον μεῖζον πολὺ γίνεται ἢ 22 τὸ ἄλφιτον κατὰ λόγον; ἢ ὅτι τὸ μὲν πολὺ ὕδωρ δέχεται, τὸ δὲ ὀλίγον; διὰ τί δὲ δέχεται πλεῖον; μᾶλλον γὰρ εἰκὸς τὸ ἄλφιτον· πεπύρωται γάρ, τὸ δὲ ἄπυρον· μᾶλλον δὲ ξηρὸν τὸ πεπυρωμένον. ἢ διότι τρῖψιν μᾶλλον δέχεται τὸ ἄλευρον; τούτου δὲ αἴτιον τὸ μικρομερέστερον εἶναι. ὥσπερ οὖν ὁσαπλάσιόν ἐστι δυνάμει τῇ μικρότητι, τοσαυταπλάσιον δέχεται τὸ ὕδωρ. κόλλῃ γὰρ χρῆται τῷ ὕδατι, ὥσπερ καὶ Ἐμπεδοκλῆς μετήνεγκεν ἐν τοῖς Περσικοῖς εἰπὼν "ἄλφιτον ὕδατι κολλήσας." καὶ ἀναλίσκει πολὺ διὰ τοῦτο.

Διὰ τί δὲ καὶ πεπυρωμένον τὸ σταῖς μεῖζον γίνεται ἢ 23 ἡ μᾶζα; ἢ ὅτι ἔχει ὑγρὸν οὐ κεχωρισμένον, ὥστε ἐξιέναι θερμαινόμενον, οὐ πνεῦμα γινόμενον, καὶ οὐ δυνάμενον ἐξιέναι ὁμοίως καὶ ἐν τῇ μάζῃ διὰ τὴν πυκνότητα τοῦ σταιτός; πυκνὸν γὰρ τὸ ἐκ μικρομερεστέρων. αἴρει οὖν, καὶ ποιεῖ τὸν ὄγκον. ἔτι δὲ καὶ πλεῖον ἔχει τὸ ὑγρόν, ἐξ οὗ θερμαινομένου πνεῦμα γίνεται· ἐκ δὲ τοῦ πλείονος ἀνάγκη γίνεσθαι πλεῖον.

Διὰ τί οἱ περὶ τὴν τῶν σιτίων ἐργασίαν, οἱ μὲν περὶ 24 τὰς κριθὰς ἄχροοι γίνονται καὶ καταρροϊκοί, οἱ δὲ περὶ τοὺς πυροὺς εὐεκτικοί; ἢ διότι εὐπεπτότερος ὁ πυρὸς τῆς κριθῆς, διόπερ καὶ αἱ ἀπόρροιαι;

Διὰ τί ὁ ἄρτος, ἐὰν μέν τις αὐτὸν ὀπτᾷ, σκληρότερος 25 γίνεται, ἐὰν δέ τις αὐτὸν χλιαίνῃ, ὑγρότερος ἄχρι τινός; ἢ ὅτι ὀπτωμένου αὐτοῦ τὸ ὑγρὸν ἐκπορεύεται; σκληρότερος οὖν γίνεται· ἐπιθερμαινομένου δὲ τὸ ὑγρὸν συσταθὲν διαχεῖται ὑπὸ τοῦ πυρός, διὸ ὑγρότεροι γίνονται.

Διὰ τί τὰ μὲν ἄλευρα ψυχόμενα ἧττον σάττεται, τὰ 26 δὲ ἄλφιτα μᾶλλον; ἢ ὅτι τὰ μὲν μικρομερῆ οὐ διαλείπει χώραν, καὶ τὰ βαρέα τῇ θλίψει τὰ πλείω ἐλάττω κατέχει τὸ ἴσον; τὰ μὲν οὖν ἄλφιτα ἁδρά ἐστιν. ψυχόμενα οὖν ἐλάττω γίνεται, ὥστε τὸ ἔλαττον συμπιέζει τὸ πλέον. τὰ

1. δὲ διὰ τὸ C^aY^a. ‖ 2. τυγχάνουσι C^a. ‖ 8. ὃ] ὂν C^a, om Y^a. ‖ 11. συμβαίνει C^a. ‖ φυρώμενα Y^a. ‖ 15. τε om C^aY^a. ‖ 16. καὶ om C^a. ‖ 18. ὅτι om X^aY^a. ‖ τριπτοὶ $C^aX^aY^a$. ‖ 19. προωδοποίηνται οὖν τῷ C^aY^a. ‖ 21. ὑγρόν om Y^a. ‖ 25. τε om C^a. ‖ 28. τοῦ om X^a. ‖ 29. ποιῇ codices. ‖ 32. πότερα X^a, πότερα οὖν C^a, πότερον οὖν Y^a. ‖ 33. ἐνδιατρίψει C^a. ‖ 34. πλείω C^a, πλέω Y^a. ‖ 39. ἀνασπῶν Y^a.

3. πλείω C^a. ‖ 10. διὰ τί] αἰτία Y^a. ‖ 14. ὅσα πλησίον $C^aX^aY^a$. ‖ δυνάμει ἐστὶ X^aY^a. ‖ 15. κόλλης X^a. ‖ 22. οὖν om C^aY^a. ‖ 24. ἐκ τοῦ C^a, ἑκάστου Y^a. ‖ 26. σίτων Y^a. ‖ 27. ἄχυροι C^aY^a. ‖ καταρροϊτικοί Y^a, καταρροητικοί C^aX^a. ‖ 35. ψυχώμενα C^a.

δὲ ἄλευρα ὑπάρχει μὲν μικρομερῆ ὄντα, ὥςε οὐ διὰ τῦτο ψύχεται, ἀλλ' ἵνα ᾖ κουφότερα καὶ μὴ σάττηται διὰ τὴν θλῖψιν· βαρύτερον γὰρ φύσει τὸ ἄλευρον τῦ ἀλφίτυ ἐςίν.

ΚΒ. ΟΣΑ ΠΕΡΙ ΟΠΩΡΑΝ.

Διὰ τί τὴν ὀπώραν ὕστερον ἢ πρότερον φαγοῦσιν οὐκ ἀνάλογον τοῖς αὐτοῖς ὁ ὄγκος τῆς πληρώσεως γίνεται; ἢ ὅτι βαρυτέρα ἐςὶν ἡ ὀπώρα τῶν σιτίων πολύ. δηλοῖ δὲ καὶ τὰ σῦκα, ἐὰν ὕςατα βρωθῇ· τελευταῖα γὰρ ἐμεῖται. ἐὰν μὲν οὖν πρῶτα, διὰ βάρος κάτω πορευόμενα εὐρυχωρίαν ἄνω ποιεῖ, ὥστε ῥᾳδίως δέχεσθαι τὸν ὄγκον τῶν σιτίων. ἀνάπαλιν δὲ εἰσελθόντα τὰ σιτία, διὰ τὸ μὴ κάτω φέρεσθαι, ταχὺ τῦ ἄνω κενῦ προσλαμβάνει.

2 Διὰ τί τῶν γλυκέων ὄντων ὁμοιοτέρων ἡμῖν ἢ τῶν δριμέων, θᾶττον πληρούμεθα ὑπὸ τῶν γλυκέων; εἰκὸς δὲ ἦν ἧττον· ὑπὸ γὰρ τῶν ὁμοίων ἧττον ἦν εἰκὸς πληροῦσθαι. ἢ ὅτι ὐχ ὁμοίως τό τε ἀγγεῖον πληρῦται ταχύ, ἐξ ῦ πληρύμεθα, καὶ τὸ τρεφόμενον, ἀλλ' ἐνίοτε ἡ μὲν κοιλία πλήρης ἐςίν, οἷον τῶν διψώντων, τὸ δὲ δίψος οὐδὲν ἧττόν ἐστιν. οὐ γὰρ τῷ ταύτην εἶναι πλήρη παυόμεθα διψῶντες, ἀλλὰ τῷ ἕκαςον τῶν τοῦ σώματος τὸ αὑτῷ οἰκεῖον ἐσπακέναι, καὶ ὅταν ἐκεῖνα ἀπολάβῃ ἱκανῶς, τότε παυόμεθα διψῶντες. καὶ πεινῶντες δὲ ὡσαύτως.

3 Διὰ τί θᾶττον πληρύμεθα ἀπὸ τῶν γλυκέων ἢ ἀπὸ τῶν δριμέων; ἢ ὅτι θᾶττον παυόμεθα ἐπιθυμῦντες τῶν γλυκέων; ἢ ὡς μὲν ἡ κοιλία πληρῦται, ὕτω καὶ ἡμεῖς ὑπὸ τῶν γλυκέων; οὐχ ὁμολογεῖται· ὅτι δὲ ἡ ἐπιθυμία θᾶττον ὑπ' αὐτῶν πληρῦται, τῦτ' ἂν εἴη λεκτέον. ἢ ὅτι ἡ μὲν ἐπιθυμία ὡς ἁπλῶς εἰπεῖν ἔςι μὲν ἔνδεια, καὶ ὅταν μηκέτι ἔχωμεν τροφὴν ἢ ὀλίγην; τὰ μὲν ὖν δριμέα ὐκ ἔςι τρόφιμα, ἀλλὰ τροφὴν μὲν ὀλίγην ἔχει, τὸ δὲ περίττωμα πολύ. εἰκότως οὖν πολλὰ ταῦτα ζητοῦμεν ἐσθίειν, καὶ οὐκ ἐμπιπλάμεθα αὐτῶν τὴν ἐπιθυμίαν, διὰ τὸ ἔτι προσδεῖσθαι τροφῆς, ταῦτα δὲ μὴ ἔχειν τροφήν. τὰ δὲ γλυκέα ἅπαντά ἐστι τροφή, καὶ ἀπὸ μικρῶν τοιύτων πολλὴν λαμβάνει τὸ σῶμα. ὅταν οὖν ἀπολάβῃ πολλὴν τροφήν, ὐκετι δύναται ἐσθίειν διὰ τὸ μὴ ὑποφέρειν. εἰκότως οὖν θᾶττον ὑπὸ τῶν γλυκέων πληρύμεθα.

4 Διὰ τί τὰ περικάρπια καὶ τὰ κρέα, καὶ ὅσα τοιαῦτα, ἐν τοῖς ἀσκοῖς ἄσηπτα γίνεται, ὅταν σφόδρα φυσηθῶσι, καὶ τὰ ἐν τοῖς ἀκριβῶς περιπωματιζομένοις ὡσαύτως; ἢ διότι σήπεται μὲν κινύμενα πάντα, τὰ δὲ πλήρη ἀκίνητα· ἀδύνατον γὰρ ἄνευ κενῦ κινηθῆναι, ταῦτα δὲ πλήρη.

Διὰ τί μετὰ τὰ σαπρὰ τῶν περικαρπίων ὁ οἶνος πι- 5
κρὸς φαίνεται πινόμενος; ἢ ὅτι τὴν πικρότητα ἔχει ἡ σαπρότης ἡ τοιαύτη; τὸ οὖν ἐπιμένον ἐπὶ τῇ γλώττῃ, μιγνύμενον τῷ πόματι καὶ διαχεόμενον, πικρὸν ποιεῖ τὸ πόμα. αὐτὸ δὲ καθ' αὑτὸ ἧττον φαίνεται ἐσθιόμενον διὰ τὸ πολλῶν ἅπτεσθαι καὶ εἰς μικρὰ διανενεμῆσθαι τὸν τοιοῦτον χυμόν.

Διὰ τί τὰ τραγήματα ἐδεςέον; ἢ ἕνεκα τῦ πιεῖν ἱκα- 6
νόν; ὐ γὰρ μόνον ποτέον τῆς δίψης χάριν τῆς ἐπὶ τοῖς σιτίοις, ἀλλὰ καὶ μετὰ τὸ σιτίον.

Διὰ τί τὰ ὀπτὰ κάρυα ψυχθέντα χείρω γίνεται, καὶ 7
ὁ ἄρτος δὲ καὶ ὁ βάλανος καὶ πολλὰ τῶν τοιούτων, θερμανθέντα δὲ πάλιν βελτίω; ἢ διότι ψυχθέντος μὲν πέπηγεν ὁ χυμός, ἀναχλιανθέντος δὲ πάλιν χεῖται; ἡ δὲ ἡδονὴ γίνεται διὰ τὸν χυμόν.

Διὰ τί ἐπὶ τῇ ἀπολαύσει τῆς ὀπώρας, οἷον σύκων καὶ 8
τῶν τοιύτων, ἢ οἶνον ἄκρατον δεῖ ἐπιπίνειν ἢ ὕδωρ; ταῦτα δὲ ἐναντία. ἢ ὅτι ἡ ὀπώρα καὶ θερμή ἐςι καὶ ὑγρὰ διὰ τὴν γένεσιν; ἔχει γὰρ πολὺ πῦρ καὶ ὑγρότητα, ὥςε διὰ μὲν τὸ πῦρ οἷον ζέσιν ποιεῖ ὁ χυμὸς εἴσω, ὅπερ ἔξω τὸ γλεῦκος ποιεῖ. ἧττον δὲ ἔχει δύναμιν καὶ τὰ ἄλλα τὰ ἀκρόδρυα. τὸ δὲ τῆς ὑγρότητος πλῆθος ἀπεψίαν ποιεῖ. τὸ μὲν ὖν ὕδωρ διὰ τὴν ψυχρότητα σβεννύει τὴν ζέσιν, ὁ δὲ οἶνος διὰ τὴν θερμότητα ὡς ἐπὶ τὸ πολύ· ὥσπερ γὰρ τὸ πῦρ ἐνίοτε πυρός, ἐὰν ᾖ ἔλαττον, ἀφαιρεῖται τὴν ἰσχύν. μᾶλλον δὲ τῇ θερμότητι πεπτικός ἐςι τῆς ὑγρότητος, καὶ διὰ βάρος κατακρατεῖ τὸν τῆς ζέσεως ἐπιπολασμόν.

Διὰ τί τῶν ἰσχάδων γλυκύταται αἱ δίχα ἐσχισμέ- 9
ναι, οὔτε δὲ αἱ πολυσχιδεῖς οὔτε αἱ ἀσχιδεῖς; ἢ διότι ἐκ μὲν τῶν πολυσχιδῶν διαπέπνευκε καὶ ἐξίκμακε μετὰ τοῦ ὑγρῦ τὸ πλεῖςον τῦ γλυκέος, ἐν δὲ ταῖς μεμυκυίαις πολὺ τὸ ὑδατῶδές ἐςι διὰ τὸ μὴ ἠτμικέναι. αἱ δ' ἐσχισμέναι μέν, μὴ εἰς πολλὰ δέ, ἀμφοτέρων τούτων ἐκτός εἰσι τῶν παθημάτων.

Διὰ τί ταῖς καμίνοις ξηραινόμενα τὰ σῦκα σκληρό-

7. ἀνάλογος $C^a Y^a$. ‖ 8. πολὺ τῶν σιτίων $X^a Y^a$. ‖ καὶ om $C^a Y^a$. ‖ 14. ὁμοιομερῶν C^a. ‖ 15. ἦν om $C^a Y^a$. ‖ 16. ἦν om Y^a. ‖ 18. κοινωνία C^a. ‖ 21. αὐτὸ C^a. ‖ 22. ἀπολαύῃ $C^a X^a$. ‖ 26. ἢ om $C^a X^a Y^a$. ‖ 28. ἢ om $C^a Y^a$. ‖ 30. ἔτι X^a. ‖ 36. ἀπολάβῃ X^a. ‖ δύνανται $C^a Y^a$.

2. περιπτωματιζομένοις X^a, περιττωματιζομένοις Y^a. ‖ 6. ἢ om X^a. ‖ 7. οὖν ἐπὶ μὲν τῇ γλώσσῃ C^a. ‖ 8. πώματι Y^a. ‖ 18. χυμός, ἀναχλιαθέντος δὲ χεῖται C^a. ‖ 31. κρατεῖ C^a. ‖ τῶν τῆς ζέσεως ἐπιπολασμῶν X^a. ‖ 33. οὔτε αἱ] οὐδὲ αἱ $C^a Y^a$. ‖ ἢ om C^a. ‖ 35. πλεῖον $C^a Y^a$. ‖ 36. ἠτμηκέναι $C^a Y^a$, ἰτμικέναι X^a. ‖ 37. εἰς om $C^a Y^a$. ‖ 39. ψυχόμενα $C^a X^a Y^a$. ‖ τὰ om $C^a Y^a$.

γίνεται, ἐὰν ψυχθῇ ἐν τῇ καμίνῳ, ἢ ἂν ἐξαιρεθέντα θῇ; ἢ ὅτι ἐν μὲν τῇ καμίνῳ ἐξατμίζει πᾶν τὸ ὑγρὸν τȣ͂ θερμοῦ, ἔξω δὲ περιεςηκὼς ὁ ἀὴρ ψύχων κωλύει ρὸν ἐξιέναι καὶ συνίςασθαι; μᾶλλον γὰρ ἐξατμίζει. ε τὰ μὲν ξηρὰ σκληρά, τὰ δὲ ὑγρὰ μαλακά.

Διὰ τί παρὰ τὰ ςρυφνὰ ὁ οἶνος καὶ τὸ ὕδωρ φαίνε- λυκύτερα, οἷον ἐάν τις βαλάνους ἢ μύρτα ἤ τι τῶν ων διατράγῃ; ἢ εἰκότως, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων; γὰρ τὸ αὐτὸ παρὰ τὸ ἐναντίον μᾶλλον φαίνεται, οἱ ῶν ἐναντίων χυμοὶ ἀντικείμενοί πώς εἰσιν. ἢ ὅτι, κα- ο ἐπὶ τῶν βαπτομένων, ὑπὸ τῶν ςρυφνῶν ἡ γλῶττα εργάζεται καὶ τοὺς πόρους ἀνοίγεται, ὥστε μᾶλλον ι τὸ γλυκύ; καὶ γὰρ τὰ βαπτόμενα τούτου ἕνεκεν ιέχουσιν ἐν τοῖς ςρυφνοῖς, τῷ διεργασθὲν μᾶλλον δέ- ι τὴν βαφήν.

Διὰ τί τὰ γλυκέα ἧττον δοκεῖ γλυκέα εἶναι θερμὰ ἢ ὅταν ψυχθῇ; πότερον ὅτι ἅμα δύο αἰσθήσεις γίνον- μφοῖν, ὥςε ἡ τȣ͂ θερμοῦ ἐκκρούει τὴν ἑτέραν; ἢ ὅτι ὸ γλεῦκος θερμόν· ὥσπερ ȣ͂ν πῦρ γίνεται ἐπὶ πῦρ. ει οὖν ἡ θερμότης. ἢ ὅτι τὸ πῦρ ἀφαιρεῖται τὰς δυνά- ἁπάντων διὰ τὸ κινητικὸν εἶναι. ἐγγυτέρω ȣ͂ν τȣ͂ με- λλειν ἐςὶ θερμὰ ὄντα, ἀποψυχθέντα δὲ ἔςηκεν.

Διὰ τί ποτε τὰ ἄχυρα τὰ μὲν σκληρὰ πέττει, τὰ πεμμένα οὐ σήπει; ἢ ὅτι τὰ ἄχυρα θερμόν τε καὶ ἐςιν; τῇ μὲν ȣ͂ν θερμότητι πέττει, τῷ δὲ ὁλκὸν εἶναι χῶρα τὸν σηπόμενον δέχεται, διὸ ȣ̓ σήπει.

Διὰ τί τὰ σῦκα μαλακὰ καὶ γλυκέα ὄντα λυμαίνε- ȣ̀ς ὀδόντας; ἢ διὰ τὴν γλισχρότητα προσέρχεται τοῖς , καὶ παρεμπίπτει διὰ τῶν ὀδόντων εἰς τὰ διὰ μέσου ὸ μαλακὰ εἶναι, καὶ σῆψιν ποιεῖ ταχέως ἅτε θερμὰ τάχα δὲ ἴσως καὶ διὰ τὴν σκληρότητα τῶν κεγχρα- ἐν τῇ τȣ́των κατεργασίᾳ πονȣ͂σι ταχέως οἱ ὀδόντες.

ΟΣΑ ΠΕΡΙ ΤΟ ΑΛΜΥΡΟΝ ΥΔΩΡ ΚΑΙ ΘΑΛΑΤΤΑΝ.

Διὰ τί τὸ κῦμα ȣ̓κ ἐπιγελᾷ ἐν τοῖς βαθέσι πελάγεσιν ἐν τοῖς μικροῖς καὶ βραχέσιν; ἢ ὅτι τὸ μικρὸν ὑγρὸν ιενον μᾶλλον διαιρεῖται ὑπὸ τȣ͂ πνεύματος ἢ τὸ πολύ;

Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; πρὸς τῇ ἀρχῇ τοῦ πνεύματος ἡ θάλαττα ὠσθεῖσα πρώτη τὴν ἐχομένην ἀεὶ ταὐτὸν ποιεῖ; διόπερ οὔσης αὐτῆς συνεχȣ͂ς καθάπερ μιᾷ πληγῇ συνεχεῖ πάσαις γίνεται. τὸ δὲ ἐν ἑνὶ χρόνῳ γίνεται, ὥςε συμβαίνει τήν τε πρώτην καὶ τὴν ἐσχάτην ἅμα κινεῖσθαι. ὁ δὲ ἀὴρ ȣ̓ πάσχει τȣ͂το, ὅτι ȣ̓κ ἔςιν ἓν σῶμα συνεχές, τῷ πολλὰς πάντοθεν ἀντικρȣ́σεις λαμβάνειν, αἳ πολλάκις κωλύουσι τὴν πρώτην καὶ νεανικωτάτην κίνησιν, τήν τε θάλασσαν οὐ ποιοῦσι τοῦτο διὰ τὸ βαρυτέραν καὶ δυσκινητοτέραν αὐτȣ͂ εἶναι.

Διὰ τί τὰ πλοῖα γέμειν δοκεῖ μᾶλλον ἐν τῷ λιμένι 3 ἢ ἐν τῷ πελάγει, καὶ θεῖ δὲ θᾶττον ἐκ τȣ͂ πελάγους πρὸς τὴν γῆν ἢ ἀπὸ τῆς γῆς εἰς τὸ πέλαγος; ἢ ὅτι τὸ πλέον ὕδωρ ἀντερείδει μᾶλλον ἐκ τȣ͂ ὀλίγου, ἐν δὲ τῷ ὀλίγῳ δέδυκε, διὰ τὸ κρατεῖν αὐτοῦ μᾶλλον; ὠθεῖ γὰρ κάτω τὸ ὕδωρ ἄνωθεν. ἐν μὲν οὖν τῷ λιμένι ὀλίγη ἐςὶν ἡ θάλασσα, ἐν δὲ τῷ πελάγει βαθεῖα. ὥςε καὶ ἄγειν πλέον δόξει ἐν τῷ λιμένι καὶ κινήσεται χαλεπώτερον διὰ τὸ δεδυκέναι μᾶλλον καὶ ἧττον ἀντερείδειν τὸ ὕδωρ. ἐν τῷ πελάγει δὲ τἀναντία τȣ́των ἐςίν.

Διὰ τί, ὅταν τι ῥιφθῇ εἰς τὴν θάλατταν κυμαίνȣσαν, 4 οἷον ἡ ἄγκυρα, γαλήνη γίνεται; ἢ διότι ἵςαται ἡ θάλαττα τῷ φερομένῳ, μεθ' ȣ̔ ἀὴρ συγκαταφέρεται, ὃς ἐπ' εὐθείας κάτω φερόμενος καὶ ἐνταῦθα ἐπισπασθεὶς συνεπισπᾶται τὸ ἐκ πλαγίου κινȣ͂ν τὴν θάλατταν; ὁ δὲ κλύδων τῆς θαλάττης οὐκ ἄνωθεν κάτω γίνεται ἀλλ' ἐπιπολῆς· οὗ λήξαντος γαλήνη γίνεται. ἔτι συνιȣ͂σα ἡ θάλασσα εἰς τὰ διαςάντα τῷ φερομένῳ δίνην ποιεῖ. ἡ δὲ δίνη κύκλῳ φέρεται. ἐπεὶ δὲ ἡ εὐθεῖα τȣ͂ κύκλου κατὰ σημεῖον ἅπτεται, τὰ δὲ κύματα ἐπ' εὐθείας λοξῆς φέρεται, συμβαίνοι ἂν αὐτὰ τοῦ ἐξωτάτου τῆς δίνης κατὰ σημεῖον ἅπτεσθαι, διά τε τὰ εἰρημένα καὶ διὰ τὴν τῆς δίνης φοράν, ἣ προσιȣ͂σα ἀπωθεῖται αὐτά. ἀκύμου δὲ ὄντος τοῦ κατ' αὐτὴν τόπου, γαλήνην ἐν τῇ ῥήξει αὐτῆς συμβαίνει γίνεσθαι, ὅτι συγκαταβὰς ὁ ἀὴρ τῷ ἐνεχθέντι κάτω, ἀναφερόμενος καὶ ὠθῶν ἄνω τὴν θάλατταν ὥσπερ πομφολυγοῖ αὐτήν· ἡ γὰρ πομφόλυξ ὑγρȣ͂ ὑπ' ἀέρος κάτωθεν ἀνωθουμένου ἐςίν. πομφόλυξ δὲ πᾶσα λεία καὶ γαληνός ἐςιν. σημεῖα δὲ τῶν εἰρημένων ἐςί· μετέωρος γὰρ ἡ κατὰ τὸ ἐνεχθὲν κάτω θάλαττα τῆς πέριξ γίνεται μικρὸν ὕςερον.

Διὰ τί ἐνίοτε πλοῖα θέοντα ἐν τῇ θαλάττῃ εὐδίας κα- 5

. ὁ om $C^a Y^a$. ‖ 4. ἀτμίζει C^a. ‖ 13. διέναι X^a. ‖ 20. ἢ om X^a. ‖ 21. ἐγγύτερον X^a. ‖ τὸ $C^a Y^a$. ‖ 28. τὴν om C^a. ‖ ι τῶν] καὶ διὰ τῶν C^a. ‖ 31. κεγχραμύδων X^a. ‖ 39. θάλασσα X^a.

. ἅμα καὶ κινεῖσθαι $C^a X^a Y^a$, ἅμα κεκινῆσθαι rc Y^a. ‖ 8. εἶναι αὐτȣ͂ X^a. ‖ 11. πρὸς X^a. ‖ 13. κάτωθεν Y^a. ‖ 14. ἄνω $C^a Y^a$, X^a. ‖ 19. τι om $C^a X^a Y^a$. ‖ θάλασσαν $X^a Y^a$. ‖ 23. πελαγίου Y^a. ‖ θαλάσσης Y^a. ‖ 27 et 29. κατὰ τὸ σημεῖον C^a. ‖ 28. . ‖ 31. γαλήνη $C^a Y^a$. ‖ 33. ὁ om $X^a Y^a$. ‖ 34. καθάπερ $X^a Y^a$.

ταπίνεται καὶ ἀφανῆ γίνεται, ὥστε μηδὲ ναυάγιον ἀναπλεῖν; ἢ ὅταν ἀντρώδης τόπος ἐν τῇ ὑπὸ τὴν θάλατταν γῇ ῥαγῇ, ἅμα εἰς τὴν θάλατταν καὶ ἔσω ἀκολουθεῖ τῇ τοῦ πνεύματος φορᾷ; ὁμοίως δὲ καὶ πάντῃ φερομένη κύκλῳ φέρεται κάτω. τῦτο δ᾽ ἐςὶ δῖνος. τὰ δὲ περὶ Μεσήνην ἐν τῷ πορθμῷ πάσχει μὲν τῦτο διὰ τὸν ῥῦν (γίνονται γὰρ αἱ δῖναι ὑπὸ τῦτου) καὶ καταπίνεται εἰς βυθὸν διὰ ταῦτά τε, καὶ ὅτι θάλαττά τε βαθεῖα καὶ γῆ ὕπαντρος μέχρι πόρρω. φέρουσιν οὖν εἰς ταῦτα ἀποβιαζόμεναι αἱ δῖναι· διὸ οὐκ ἀναπλεῖ αὐτόθι τὰ ναυάγια. ὁ δὲ ῥῦς γίνεται, ὅταν παυσαμένου τῦ προτέρου ἀντιπνεύσῃ ἐπὶ τῆς θαλάττης ῥεούσης τῷ προτέρῳ πνεύματι, μάλιςα δὲ ὅταν νότος ἀντιπνεύσῃ. ἀντιπνέοντα γὰρ ἀλλήλοις τὰ ῥεύματα παρεκθλίβεται ὥσπερ ἐν τοῖς ποταμοῖς, καὶ γίνονται αἱ δῖναι. φέρεται δὲ ἑλιττομένη ἡ ἀρχὴ τῆς κινήσεως ἄνωθεν ἰσχυρὰ ὖσα. ἐπεὶ ὖν εἰς πλάγιον οὐκ ἔςιν ὁρμᾶν (ἀντωθεῖται γὰρ ὑπ᾽ ἀλλήλων), ἀνάγκη εἰς βάθος ὠθεῖσθαι, ὥςε καὶ ὃ ἂν ληφθῇ ὑπὸ τῆς δίνης, ἀνάγκη συγκαταφέρεσθαι. διὸ ἀνάσιμα τὰ πλοῖα ποιοῦνται· ἤδη γὰρ ὀρθόν ποτε μινημονεύεται καταποθέν.

6 Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ Πόντῳ ἢ ἡ ἐν τῷ Αἰγαίῳ; πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τὴν γινομένην ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα; ὁ μὲν γὰρ περὶ τὸν Πόντον ἀὴρ παχὺς καὶ λευκός, ὥςε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται, ὁ δὲ ἐν τῷ Αἰγαίῳ κυανῦς διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός, ὥστε καὶ ἡ θάλαττα ἀνταυγοῦσα τοιαύτη φαίνεται. ἢ ὅτι πᾶσαι αἱ λίμναι λευκότεραι τῆς θαλάττης; ὁ δὲ Πόντος ἐςὶ λιμνώδης διὰ τὸ πολλῦς ποταμῦς εἰς αὐτὸν ῥεῖν. αἱ δὲ λίμναι διαλευκότεραι τῆς θαλάττης καὶ τῶν ποταμῶν· γράφυσι γῦν οἱ γραφεῖς τῦς μὲν ποταμῦς ὠχρῦς, τὴν δὲ θάλατταν κυανέαν. ἢ ὅτι διὰ μὲν τῦ ποτίμου διέρχεται ταχὺ ἡ ὄψις, καὶ ὖκ ἀνακλᾶται πρὸς τὸν ἀέρα, ἀπὸ δὲ τῆς θαλάσσης οὔ; ὖτ᾽ ἄνω ἀνακλᾶται διὰ τὸ μὴ λεῖον εἶναι τὸ ὕδωρ· κάτω δὲ ἀποκάμνει βαδίζυσα· διὸ μέλαινα φαίνεται. ἐν δὲ τοῖς λιμνώδεσιν ἐπιπολῆς ὄντος τῦ ποτίμυ, κάτω δὲ τῦ ἁλμυρῦ, ὐ διέρχεται, ἀλλ᾽ ἀνακλᾶται πρὸς τὴν αὐγήν· διὸ φαίνεται λευκὴ ἡ ἐπιφάνεια αὐτῆς.

7 Διὰ τί ἡ θάλαττα τῦ ποτίμυ ὕδατος ἧττον ψυχρά, καὶ τὰ ἁλυκὰ τῶν γλυκέων; πότερον ὅτι πυκνότερον ἡ θάλαττα καὶ μᾶλλον σῶμα; τὰ δὲ τοιαῦτα ἧττον ψύχεται, ὥσπερ καὶ θερμαίνεται μᾶλλον· σωςικωτέρα γὰρ τοῦ θερμοῦ διὰ τὴν πυκνότητα. ἢ ὅτι λιπαρωτέρα ἡ θάλαττα; διὸ καὶ οὐ σβέννυσι τὴν φλόγα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ λιπαρώτερον θερμότερον. ἢ ὅτι γῆς πολὺ ἔχει, ὥςε ξηρότερον; τὸ δὲ ξηρότερον θερμότερον.

8 Διὰ τί ἡ θάλαττα εὐδιοπτοτέρα τῦ ποτίμυ, παχυτέρα ὖσα; λεπτότερον γὰρ τὸ πότιμον τῦ ἁλμυρῦ. ἢ οὐ τὸ λεπτὸν αἴτιον, ἀλλ᾽ εὐθυωρίαι τῶν πόρων πλεῖςαι καὶ μέγιςαί εἰσιν; τὸ μὲν ὖν πότιμον πυκνὸν διὰ λεπτομέρειάν ἐςι, τὸ δὲ ἁλμυρὸν μεγάλα ἔχει τὰ διάκενα. ἢ ὅτι καθαρώτερον ἡ θάλαττα; γῆ μὲν γὰρ ὐκ ἔςιν, ἡ δὲ ἄμμος βαρεῖα ὖσα ὑφίςαται. τὰ δὲ πότιμα γεώδη. αὐτὴ δὲ ἐν τῷ μεταξὺ φερομένη ἀναθολῦται ταχύ.

9 Διὰ τί ἐν τοῖς βορείοις εὐδιοπτοτέρα ἡ θάλαττα ἢ ἐν τοῖς νοτίοις; ἢ ὅτι ἐν τῇ γαλήνῃ χρῶμα ἔχει ἡ θάλαττα; λιπαρὸν γὰρ ἔνεςιν ἐν τῷ ἁλμυρῷ χυμῷ. σημεῖον δέ· ἐκκρίνεται γὰρ ἔλαιον ἐν ταῖς ἀλέαις. εὐδίας οὖν ὖσης καὶ ἀλεεινοτέρας τῆς θαλάττης διὰ κουφότητα, ἐπανθεῖ ἄνω ὁ τοιῦτος χυμός. τοῖς δὲ βορείοις ἧττον διὰ τὸ ψῦχος. ἔςι δὲ τὸ ὕδωρ εὐδιοπτότερον τοῦ ἐλαίου· τὸ γὰρ ἔλαιον χρῶμα ἔχει, τὸ δὲ ὕδωρ ἄχροον παρεμφαινόμενον σαφεςέραν ποιεῖ τὴν ἔμφασιν.

10 Διὰ τί λουσάμενοι τῇ θαλάττῃ θᾶττον ξηραίνονται, βαρυτέρᾳ οὔσῃ τῶν ποτίμων; ἢ ὅτι παχυτέρα καὶ γεώδης ἡ θάλαττα; ὀλίγον οὖν ἔχουσα τὸ ὑγρὸν ξηραίνεται θᾶττον.

11 Διὰ τί τὰ κύματα ἀνεμώδη; ἢ ὅτι σημεῖά ἐςι πνεύματος ἐσομένου; ἔστι γὰρ τὸ πνεῦμα σύνωσις ἀέρος. ἢ διὰ τὸ ἀεὶ προωθεῖσθαι γίνεται; προωθεῖ δὲ ὐ συνεχὲς ὂν τὸ πνεῦμα, ἀλλὰ ἀρχόμενον. τὸ μὲν δὴ πρῶτον ὥσπερ προεμαράνθη, ἄλλο δὲ τῦτο προέωσε καὶ ἄλλην πυκνότητα ἤγαγεν καὶ ἀπεμαράνθη. ὥςε δῆλον, ὅταν ἤδη τὸ προωθούμενον παρῇ, ὅτι ἥξει καὶ τὸ κινῦν· ἀρχόμενον γὰρ τῦτο ποιεῖ.

12 Διὰ τί τὸ κῦμα προεκπίπτει τοῦ πνεύματος; ἢ ὅτι οὐχ ἅμα παύεται τὸ πνεῦμα [τὸ] πνέον καὶ ἡ θάλαττα κυμαίνουσα, ἀλλ᾽ ὕςερον ἡ θάλαττα, ἐνδέχεται τὸ κα-

2. τὴν om C^a. ‖ 4. πᾶν τῇ X^a. ‖ κύκλον C^aY^a. ‖ 5. μέσην X^aY^a. ‖ 6. γὰρ] δὲ C^a. ‖ 8. ὅτι ἡ θ. C^aY^a. ‖ βαθεῖά τε $C^aX^aY^a$. ‖ καὶ ἡ γῆ C^aY^a. ‖ 11. πρότερον Y^a, πότερον C^a. ‖ θαλάσσης X^aY^a. ‖ 12. νόσος C^a. ‖ 18. ἀνάσημα C^a. ‖ 21. ἡ post ἢ om X^a. ‖ 22. αἰγίῳ C^aY^a, αἰγιαλῷ QK^as. ‖ 24. θαλάσσης Y^a. ‖ 30. ὖν C^aK^a. ‖ 31. κυαναίαν C^a. ‖ 32. ποτίμυ ὐ δ. X^a. ‖ 34. κλᾶται C^a. ‖ 39. ἧττων C^aY^a.

3. ὥςε C^a. ‖ 5. καὶ om C^a. ‖ δὲ om C^aY^a. ‖ 11. πυκνὸν om C^a. ‖ λεπτοτέρειαν C^a. ‖ 16. ἡ om Y^a. ‖ 18. ἐςιν C^a. ‖ 22. ἴςαι C^a. ‖ 26. οὖσα C^a. ‖ τῷ ποτίμῳ $C^aX^aY^a$.

νῆσαν πνεῦμα φθαρῆναι πρὸ τοῦ γενέσθαι αἰσθητόν. ὥστε οὐ πρότερον τὸ κῦμα πνεύματος, ἀλλὰ τὸ μὲν λανθάνει τὸ δὲ οὔ. ἢ οὐχὶ τὰ πνεύματα ἅμα πανταχοῦ πνεῖ, ἀλλ' ὅθεν ἡ ἀρχὴ πρότερον; ἅμα δὲ πνεῖ καὶ τὴν πλησίον θάλατταν κινεῖ, αὕτη δὲ τὴν ἐχομένην· καὶ οὕτως ἂν ἐνδέχοιτο πρότερον τὸ κῦμα ἐκπίπτειν. ὑπὸ γὰρ τῆς θαλάσσης καὶ οὐχ ὑπὸ τοῦ πνεύματος ἡ κίνησις ἡ θάττων τοῦ ἀέρος ἢ τῆς θαλάττης.

13 Διὰ τί ἐν τῇ θαλάττῃ μᾶλλον νεῖν δύνανται ἢ ἐν τοῖς ποταμοῖς; ἢ ὅτι ὁ νέων ἀεὶ ἐπιστηριζόμενος ἐν τῷ ὕδατι νεῖ, ἐν δὲ τῷ σωματωδεστέρῳ μᾶλλον ἀποστηρίζεσθαι δυνάμεθα, σωματωδέστερον δέ ἐστι τὸ θαλάττιον ὕδωρ τοῦ ποταμίου· παχύτερον γάρ ἐστι καὶ μᾶλλον ἀντερείδειν δυνάμενον.

14 Διὰ τί ποτε ἐν τῇ θαλάττῃ πλείω χρόνον διατελεῖν δύνανται ἢ ἐν τῷ ποταμῷ; ἢ διότι τὸ ποτάμιον ὕδωρ λεπτόν ἐστιν; μᾶλλον οὖν παρεισδυόμενον πνίγει.

15 Διὰ τί ἡ μὲν θάλαττα κάεται, τὸ δὲ ὕδωρ οὔ; ἢ κάεται μὲν κἀκεῖνο, ἡ δὲ θάλαττα ἧττον σβέννυσι τὸ πῦρ διὰ τὸ λιπαρωτέρα εἶναι; σημεῖον δὲ ὅτι λιπαρωτέρα· ἀπὸ γὰρ τῶν ἁλῶν ἔλαιον ἀφαιρεῖται. ἢ καὶ ἧττον δύνανται οἱ πόροι ἁρμόττειν τῷ πυρὶ διὰ τὸ παχύτεροι εἶναι, καὶ μᾶλλόν γε δή, ἅτε καὶ τῶν ἁλῶν ἐνυπαρχόντων; ὥσπερ οὖν τὸ ξηρὸν τοῦ ὑγροῦ ἧττον σβεστικόν, καὶ τὸ ξηρὸν μᾶλλον κατὰ λόγον καυστικόν ἐστι, καὶ ἕτερον ἑτέρου μᾶλλον, τῷ ἐγγυτέρω τοῦ θερμοῦ εἶναι, τὸ ξηρότερον δὲ τῇ θαλάττῃ· ἄμφω δὲ ταῦτα μᾶλλον ὑπάρχει.

16 Διὰ τί ἀπὸ μὲν τῆς θαλάττης οὐκ ἀποπνεῖ ἕωθεν ψυχρόν, ἀπὸ δὲ τῶν ποταμῶν; ἢ ὅτι ἡ μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τόποις, οἱ δὲ ποταμοὶ ἐν στενοῖς; ἡ μὲν οὖν ἀπὸ τῆς θαλάττης αὔρα εἰς πολὺν τόπον σκίδναται, ὥστε εἶναι ἀσθενής, ἡ δὲ ἀπὸ τῶν ποταμῶν ἀθρόως φέρεται καὶ μᾶλλον ἰσχύει, διὸ μᾶλλον εἰκότως φαίνεται ψυχρά. ἢ οὐ τοῦτό ἐστιν αἴτιον, ἀλλ' οἱ μὲν ποταμοὶ ψυχροί εἰσιν, ἡ δὲ θάλαττα οὔτε θερμὴ οὔτε ψυχρά; γίνεται δὲ ἡ αὔρα καὶ ἡ ἀναπνοὴ θερμαινομένων ἢ ψυχομένων τῶν ὑγρῶν· ὁπότερον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦται, ἐξαερουμένου δὲ τοῦ ὕδατος ὁ ἀὴρ ὁ γινόμενος φέρεται, ὅ ἐστιν αὔρα. τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν ψυχρὸν εἰκότως ἀποπνεῖ, τὸ δὲ ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέον ψύχεται καὶ γίνεται ψυχρόν. τοὺς μὲν οὖν ποταμοὺς ψυχροὺς ἅπαντας εὕροι τις ἄν, ἡ δὲ θάλαττα οὔτε ψυχρὰ οὔτε θερμὴ σφόδρα ἐστίν. οὔτε οὖν τὸ ἀποπνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστί, διὰ τὸ μὴ ψυχρὰν εἶναι, οὔτε ψύχεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα.

17 Διὰ τί ἐν τοῖς μείζοσι πελάγεσι βραδύτερον καθίσταται κύματα ἢ ἐν τοῖς βραχέσιν; ἢ ὅτι ἐκ τῆς πολλῆς κινήσεως βραδύτερον καθίσταται πᾶν ἢ ἐκ τῆς ὀλίγης; ἐν δὲ τοῖς μεγάλοις πελάγεσι πλείων ἡ ἄμπωτις γίνεται ἢ ἐν τοῖς βραχέσιν. οὐθὲν οὖν ἄλογον τὸ πλεῖον βραδύτερον καθίστασθαι.

18 Διὰ τί τὸ ἁλμυρὸν ὕδωρ ψυχρὸν μὲν οὐ πότιμον, θερμαινόμενον δὲ μᾶλλον γίνεται πότιμον, καὶ θερμὸν δὲ ὂν καὶ ἀποψυχόμενον; ἢ διότι εἰς τὸ ἐναντίον ἀπὸ τοῦ ἐναντίου πέφυκε μεταβάλλειν; ἔστι δὲ τὸ πότιμον τῷ ἁλμυρῷ ἀντικείμενον· καὶ θερμαινομένου μὲν ἀφέψεται τὸ ἁλμυρόν, ψυχομένου δὲ ὑφίσταται.

19 Διὰ τί τὰ πρὸς τῇ θαλάττῃ ὡς ἐπὶ τὸ πολὺ ὕδατα γλυκέα [ὕδατα] ἀλλ' οὐχ ἁλμυρά; ἢ διὰ τὸ ποτιμώτερα διηθούμενα γίνεσθαι; διηθεῖται δὲ τὸ ἐγγύτερον τῆς θαλάττης μᾶλλον.

20 Διὰ τί τὸ ἁλμυρὸν ὕδωρ οὐκ ἀπόρρυτόν ἐστιν; ἢ διότι τὸ μὲν βαρὺ στάσιμον, τὸ δὲ ἁλμυρὸν βαρύ; διὸ καὶ τὰ θερμὰ μόνα τῶν ἁλμυρῶν ὑδάτων ἀπόρρυτά ἐστιν. ἔχει γὰρ κουφότητα ἐν αὐτοῖς, ἣ κρατεῖ τῆς κατὰ τὴν ἁλμυρίδα βαρύτητος· τὸ γὰρ θερμὸν κουφότερόν ἐστιν. ἔτι τὰ μὲν ἀπόρρυτα διηθεῖται διὰ τῆς γῆς· ἠθουμένων δὲ ἀεὶ μάλιστα ὑφίσταται τὸ παχύτατον καὶ βαρύτατον, ἐκκρίνεται δὲ τὸ κοῦφον καὶ καθαρόν· ἔστι γὰρ τὸ μὲν ἁλμυρὸν βαρύ, τὸ δὲ γλυκὺ κοῦφον. διόπερ ἐστὶ γλυκέα τὰ ἀπόρρυτα. τὸ δ' αὐτὸ αἴτιόν ἐστι καὶ διὰ τί τὸ ἁλμυρὸν ὕδωρ κινούμενον καὶ μεταβάλλον γλυκύτερον γίνεται· κουφότερον γὰρ καὶ ἀσθενέστερον διὰ τὴν κίνησιν γίνεται.

21 Διὰ τί ἐν τῇ Λιβύῃ ἐὰν ὀρύξῃ τις παρὰ τὴν θάλατταν, τὸ πρῶτον πότιμον, εἶθ' ἁλμυρὸν γίνεται ταχύ, ἐν δὲ τοῖς ἄλλοις τόποις ἧττον ποιεῖ τοῦτο; πότερον ὅτι τὸ μὲν πρῶτον τὸ ὑπάρχον ὕδωρ ἐν τῷ τόπῳ καὶ τὸ πεπεμμένον ὑπὸ τῆς γῆς ἐστίν, ὅταν δὲ χρονισθῇ, ἡ θάλαττα προσδιηθουμένη διὰ τὸ πρόσφατον εἶναι ποιεῖ ἁλμυρώτερον; ἐν δὲ τοῖς ἄλλοις ἢ οὐκ ἔχει ἢ πολὺ ὕδωρ διὰ τὸ μὴ ξηραίνεσθαι τὸν τόπον.

9. δύναται X^a. ‖ 12. σωματωδέστερον μᾶλλον δὲ X^a. ‖ 16. οὖν] δὲ X^a. ‖ παρεισδυνόμενον C^a. ‖ 22. ἄλλων C^a. ‖ 26. δὲ om C^aY^a. ‖ 29. ἐν post ἐστιν et 30. οὖν et 33. οὐ om C^a. ‖ 35. ἢ ψυχομένων om X^a. ‖ 38. ψυχρὸν om $C^aX^aY^a$. ‖ 40. ἅπαντας ψυχροὺς X^a.

1. εὕροι om C^a. ‖ 5. βραδυτέρα X^a. ‖ 9. πλεῖον om $C^aX^aY^a$. ‖ 13. ὑπὸ $C^aX^aY^a$. ‖ 16. ἐφίσταται C^a. ‖ 21. τί δὲ τὸ X^a. ‖ 24. ἢ X^a. ‖ 26. διηθουμένων X^a. ‖ 38. πρόφατον C^a.

22 Διὰ τί τοὺς ἅλας θᾶττον τήκει τὸ ἁλμυρὸν ὕδωρ ἢ τὸ πότιμον; ἢ διότι τὸ μὲν τήκεσθαί ἐςι τὸ ὑπὸ τοῦ ὑγροῦ θερμοῦ εἰσιόντος διαιρεῖσθαι, ὥςε ὑγρὸν εἶναι; οὐ τήκει δὲ ἢ τὰ ὅλως μὴ δυνάμενα εἰσιέναι, ἢ τὰ οὕτως ὥςε μὴ θιγγάνειν. μόλις δὲ τήκει τὰ ῥαδίως διεξιόντα· τὰ δ' ἐπιόντα βιαζόμενα, ταῦτα τάχιςα διαιρεῖ. οὐκ εἰσέρχεται δὲ τὰ λίαν μεγαλομερῆ· ὑπερέχει γὰρ τῶν πόρων. τὰ δὲ μικρομερέςερα διέρχεται οὐ ψαυόμενα. ἔςι δὲ τὸ μὲν πότιμον λεπτόν, τὸ δὲ ἁλμυρὸν παχύτερον. ὥςε τὸ μὲν ῥαδίως διὰ τὴν λεπτότητα διαδῦνον μόλις τήκει, τὸ δὲ εἰσέρχεται μὲν ἧττον δὲ διὰ τὸ μεγαλομερέςερον εἶναι διαιρεῖ, καὶ βιάζεται θᾶττον.

23 Διὰ τί τὸ ὕδωρ ἧττον φαίνεται λευκόν, ἐὰν κινῆται, οἷον καὶ ἡ φρίκη; διὸ καὶ Ὅμηρος ἀρχομένου φησὶ τοῦ πνεύματος "μελάνει δέ τε πόντος ὑπ' αὐτοῦ." ἢ διὰ δύο αἰτίας, ἐγγύθεν μὲν τῆς ὄψεως οὔσης, διὰ τὸ διιέναι τὴν ὄψιν μᾶλλον ἠρεμοῦντος, κινουμένου δὲ μὴ εὐθυπορεῖν· τὸ δὲ διαφανὲς λευκὸν φαίνεται. δι' οὗ γὰρ μὴ διέρχεται ἡ ὄψις, μέλαν φησὶν εἶναι. διὸ καὶ ὁ ἀὴρ πόρρωθεν μέλας φαίνεται, ὁ δὲ ἐγγὺς λευκός, καὶ θαλάττης τὸ μὲν ἐγγὺς λευκόν, τὸ δὲ πόρρωθεν κυανοῦν καὶ μέλαν. πόρρωθεν δέ, κινουμένης πως τῆς ὄψεως, καὶ τῷ διανακλᾶσθαι ἀθρόον τὴν ὄψιν, ἐὰν ἠρεμῇ πρὸς τὸ φῶς, κινουμένου δὲ μὴ δύνασθαι.

24 Διὰ τί ἐν τοῖς βαθέσι πελάγεσι τὸ κῦμα οὐκ ἐπιγελᾷ, ἀλλ' ἐν τοῖς μικροῖς; πότερον ὅτι τὸ μικρὸν φερόμενον ὕδωρ διαιρεῖται ὑπὸ τοῦ ἀέρος μᾶλλον ἢ τὸ πολύ; διὸ θραύεται πατάξαν μᾶλλον. ἐν μὲν οὖν τῷ βαθεῖ πολὺ τὸ κινούμενον, ἐν δὲ τῷ βραχεῖ ὀλίγον.

25 Διὰ τί οἱ πρὸς νότον τόποι ἀλυκώτερα τὰ ὕδατα ἔχουσιν; ἢ διὰ τὸ τὴν θάλατταν ὑπὸ νότου ὠθεῖσθαι ὑπὸ τὴν γῆν κεράννυται;

26 Διὰ τί τῶν ὑδάτων τὸ ἁλμυρὸν ἐπὶ τῷ γλυκεῖ οἴνῳ μᾶλλον ἐπιπολάζει ἢ ἐπὶ τῷ αὐςηρῷ; πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς, ὥσπερ ἡ ἀςαφίς; ἢ ὅτι βαρύτερος καὶ γλισχρότερος ὁ γλυκύς, ὥσθ' ἧττον μίγνυται, μὴ μιγνύμενος δὲ ἐφίςαται.

27 Διὰ τί ὅλως ἐφίςαται γεῶδες ὄν; ἡ γὰρ οἰκεία φορὰ κάτω. πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς; ἢ διὰ τὴν θερμότητα, καθάπερ οἱ ἅλες; ὅμοιον γὰρ ἐξανθήματι. ἢ δι' ἄλλην αἰτίαν; εἰ γὰρ οὐ διὰ τοῦτο καὶ ἐπὶ τῷ γλυκεῖ μᾶλλον, οὐκ ἄλογον· θερμότατος γάρ.

28 Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; ἢ διότι καὶ τελευτᾷ ὕςερον; τὸ γὰρ πρῶτον πνεῦμα ὡσανεὶ προδιαλύεται τοῦ ὠσθέντος κύματος· ἀφικνεῖται δὲ οὐκ αὐτὸ τὸ πρῶτον ὠσθέν, ἀλλ' ἀεὶ ἡ ὦσις γίνεται τοῦ ἐχομένου.

29 Διὰ τί αἱ κυματωδέςεραι γαῖ ςερραὶ γίνονται πολλάκις οὕτω σφόδρα ὥσπερ ἠδαφισμέναι; καὶ ἡ μὲν κυματώδης γῆ ςερρά, ἡ δὲ ἄποθεν χαῦνος. ἢ διότι ἡ μικρὰ ἄμμος οὐ πόρρωθεν ἐκβάλλεται ὑπὸ τοῦ κύματος, ἀλλὰ ἡ μείζων μᾶλλον; ὥσπερ καὶ τῇ χειρὶ βάλλειν πόρρω οὐ τὸ ἐλάχιςον μάλιςα δυνατόν. ἔπειτα πολλῶν κυκωμένων τὰ ἐλάχιςα ἐμπίπτοντα πυκνοῖ. ἡ δὲ τοῦ κύματος λωφῶντος κίνησις ἐδαφίζει, κινεῖ δὲ οὐκέτι. διὰ μὲν οὖν τὸ τὰ μικρότατα μὴ πόρρω δύνασθαι πηδᾶν, ἐκ μικρῶν σφόδρα συντέθειται· διὰ δὲ τὸ πολλάκις κινεῖσθαι συνεχὴς γίνεται πιπτούσης ἄμμου, ἕως ἂν συναρμόσῃ· διὰ δὲ τὸ κῦμα τὸ τελευταῖον ἐδαφίζεται, καὶ τὸ ἠρέμα ὑγρὸν συγκολλᾷ. ἡ δὲ πόρρω ξηρά τε οὖσα διίςαται, καὶ ἐκ μειζόνων ἐςὶ λιθιδίων καὶ ἀνεδάφιςος.

30 Διὰ τί τῆς θαλάσσης τὰ ἄνω τῶν ἐν τῷ βάθει ἁλμυρώτερα καὶ θερμότερα; ὁμοίως δὲ καὶ ἐν τοῖς φρέασι τοῖς ποτίμοις τὸ ἐπιπολῆς ἁλμυρώτερον τοῦ εἰς βάθος· καίτοι ἔδει τὸ κατωτέρω· βαρύτερον γὰρ τὸ ἁλμυρόν. ἢ διότι ὁ ἥλιος καὶ ὁ ἀὴρ ἀνάγει ἀεὶ τὸ ἐλαφρότατον ἀπὸ τῶν ὑγρῶν; τὸ δὲ ποτιμώτερον ἀεὶ κουφότερον, μᾶλλον δὲ ἀπάγει ἀπὸ τῶν ἐγγυτέρω τόπων. ὥςε καὶ τῆς θαλάττης ἀπὸ τῶν ἐπιπολῆς καὶ τῶν ποτίμων ἀνάγκη τὸ λειπόμενον ἁλμυρώτερον εἶναι, ἀφ' ὧν ἀνῆκται, ἢ ἀφ' ὧν μηθὲν ἢ ἔλαττον τὸ γλυκύ. διὰ τοῦτο δὲ καὶ θερμότερα τὰ ἄνω· τὸ γὰρ ἁλμυρὸν θερμότερον τοῦ ποτίμου. διὸ καὶ φασί τινες τῶν ἡρακλειτιζόντων ἐκ μὲν τοῦ ποτίμου ξηραινομένου καὶ πηγνυμένου λίθους γίνεσθαι καὶ γῆν, ἐκ δὲ τῆς θαλάττης τὸν ἥλιον ἀναθυμιᾶσθαι.

31 Διὰ τί τῆς θαλάττης τὰ πρὸς τῇ γῇ γλυκύτερά ἐςιν; ἢ διότι ἐν τῇ κινήσει μᾶλλόν ἐςιν; κινούμενον δὲ τὸ ἁλμυρὸν γλυκύτερον γίνεται. ἢ ὅτι καὶ ἐν τῷ βάθει ἁλμυ-

2. ὑγροῦ ἢ θερμοῦ $C^a Y^a$. ‖ 6. τάχιςα δὲ διαιρεῖ C^a. ‖ 10. τὴν om $C^a Y^a$. ‖ 11. δὲ καὶ διὰ X^a. ‖ 15. μελαίνει $C^a X^a Y^a$. ‖ 17. μὴ] διὰ τὸ μὴ C^a. ‖ 22. τὸ $C^a Y^a$. ‖ 30. πρὸς τὸν νότον C^a. ‖ 34. μᾶλλον om $C^a Y^a$. ‖ ἐμπίπλαται $C^a X^a Y^a$. ‖ 36. μὴ om C^a. ‖ 37. μιγνύμενον $X^a Y^a$. ‖ 39. ὅτι — ἢ om $C^a Y^a$.

2. ἢ $C^a X^a Y^a$. ‖ 9. γαῖαι C^a. ‖ 11. ςερεά, ἡ δὲ ἄπωθεν Y^a. ‖ 12. πόρρω C^a. ‖ 15. λοφῶντος X^a. ‖ 17. τὰ μακρότατα μὴ X^a, μὴ τὰ μακρότατα Y^a, μὴ τὰ μικρότατα C^a. ‖ 22. ἀνεφίδαςος C^a. ‖ 26. τῷ κ. $X^a Y^a$. ‖ 29. βαθύτερον codices. ‖ ἐγγυτέρω codices. ‖ 32. θερμότατα ἄνω X^a. ‖ 35. γενέσθαι $C^a Y^a$.

ἐν ἐςι τὸ ὕδωρ, τὰ δὲ πρὸς τῇ γῇ ἧττόν ἐςι βαθέα. αὶ τἀγχιβαθῆ ἁλμυρά ἐςι καὶ ὐχ ὁμοίως γλυκέα. δ' αἴτιον ὅτι βαρὺ ὂν τὸ ἁλμυρὸν φέρεται μᾶλλον ἰθος.

Διὰ τί ἡ θάλαττα μόνον τῶν ὑδάτων κάεται, τὰ δὲ α καὶ ποτάμια ὔ; πότερον ὅτι γῆν πολλὴν ἔχει; δη- δὲ οἱ ἅλες. ἢ διότι λιπαρά; δηλοῖ δὲ τὸ ἐν τοῖς ιν ὑφιςάμενον ἔλαιον.

Διὰ τί ἐν ταῖς λίμναις ἄμμος ὐ γίνεται ἢ ἧττον ἢ θαλάττῃ καὶ τοῖς ποταμοῖς; ἢ ὅτι ἐν τῇ θαλάττῃ ι γίνονται, καὶ ἡ γῆ ἐκκέκαυται μάλιςα; ἡ δὲ ἄμ- ςὶ πέτρα ἐψηγμένη εἰς μικρὰ καὶ ἐλάχιςα μόρια. ται δὲ διὰ τὴν πληγὴν τῶν κυμάτων. ἐν δὲ ταῖς λίμ- ὐ γίνονται ὁμοίως πέτραι καθαραί, οὐδὲ θραύονται διὰ τὸ μὴ γίνεσθαι κύματα ὁμοίως. ἐν δὲ τοῖς οῖς μᾶλλον, ὅτι τὴν μὲν γῆν καταφέρουσι, τὰς δὲ ς τῇ πληγῇ θραύυσιν.

Διὰ τί, ὅταν ἡ λίμνη ἢ κοπάσῃ ἢ ξηρὰ γένηται, εται ὁ σῖτος ἐν τῷ πεδίῳ μᾶλλον; πότερον ὅτι τὸ τὸ ἐν τῇ λίμνῃ ἀπατμίζον τῇ ἀτμίδι θερμαίνει τὸν ὥςε ἐλάττυς καὶ ἀσθενεςέρυς ποιεῖ τὺς πάγυς ἢ ἐν οίλοις καὶ προσελώδεσι τόποις; ἢ ἐκ τῆς γῆς, ὥσπερ ι, τὰ ψύχη ἄρχεται καὶ λανθάνει εἰσδυόμενα; ξη- υσης τῆς λίμνης, διὰ πλείονος τόπου ἡ ψυχρότης προσπίπτυσα πήγνυσι καὶ ἀποκάει μᾶλλον. ἐν δὲ οιαύταις χώραις τὰ ψύχη κάτωθεν γίνεται, ὥσπερ οκεῖ. καίτοι ἡ γῆ θερμὴ τῦ χειμῶνος· ἀλλὰ διὰ τὸ ον εἶναι κατέψυκται τὸ ἐπιπολῆς θερμὸν τὸ ἐν τῇ τὸ γὰρ ὑγρὸν ὔτε ὕτω πόρρω ἐςὶν ὥςε μὴ ψύχεσθαι, ἢν ἐνῦσαν θερμότητα ἐν τοῖς ὑγροῖς, ὔτε ὕτως ὀλίγον ιηθὲν ἰσχύειν, διὰ τὸ διάβροχον εἶναι τὴν γῆν. οἷον ὶ τὴν ψύξιν αὐτῦ συμβαίνει ἐπὶ κρυςάλλυ περιπα- αὶ οἰκεῖν.

Διὰ τί ἡ θάλαττα ἁλμυρὰ καὶ πικρά ἐςιν; ἢ ὅτι θαλάττῃ πλείυς εἰσὶν οἱ χυμοί; καὶ γὰρ τὸ ἁλμυ- ὶ τὸ πικρὸν ἅμα φαίνεται.

Διὰ τί τὰ ἐν τῇ θαλάττῃ ὄςρακα καὶ λίθοι ςρογ- γίνεται; ἢ ὅτι ὁμοίως περιθραυόμενα τὰ ἔσχατα εἰς τὸ ςρογγύλον σχῆμα ἔρχεται; τούτου γὰρ τὸ ἔσχατον ὅμοιον, ἡ δὲ θάλαττα πάντῃ κινῦσα ὁμοίως περιθραύει.

Διὰ τί ἐνιαχῦ, ἐάν τις ὀρύξῃ παρὰ τὴν θάλατταν, τὸ μὲν πρῶτον πότιμόν ἐςιν ὕδωρ, εἶθ' ἁλμυρὸν γίνεται; ἢ ὅτι αὐτῆς ἐςὶ τῆς θαλάττης τῆς διηθύσης ὑπὸ τὴν γῆν τὸ ὕδωρ; εἰκότως ὖν τὸ πρῶτόν ἐςι γλυκύ· ἐλαφρότερον γάρ ἐςι τὸ γλυκὺ τοῦ ἁλμυροῦ, καὶ ἡ θάλαττα ἔχει τι τοῦ γλυκέος, ὃ μιχθὲν τῇ γῇ μᾶλλον ἐπιπολάζει. τὸ δὲ ἁλμυρὸν διὰ τὸ βάρος καὶ διὰ τὸ τμητικὸν εἶναι κάτω φέρεται. εἴτε ὖν ὕτως εἴτε κατὰ τὰς φλέβας ἐκ τῆς ἠπείρυ ῥεῖ ἐπὶ τὴν θάλατταν τὸ γλυκὺ ὕδωρ, εἰκότως ἂν ἐπιπολῆς εἴη τῆς θαλάττης, ἢ μίγνυται αὐτῇ. ἀνοιχθέντων δὲ τῶν πόρων, ὕςερον διὰ πλῆθος τὸ ἀλυκὸν κρατοῦν τοιῦτο πᾶν ποιεῖ. συμβαίνει γὰρ πεφραγμένων τῶν ἄνω πόρων ἄλλην ὁδὸν ζητεῖν τὸ ἐπιρρέον· ἀνοιχθέντων δὲ ἐνταῦθα πᾶν φέρεται, καθάπερ ἐπὶ τῶν τῦ σώματος φλεβῶν. 37

Διὰ τί ἡ θάλαττα ὖσα βαρυτέρα τῦ ποτίμυ ὕδατος μᾶλλόν ἐςιν εὐδίοπτος; πότερον ὅτι λιπαρωτέρα; τὸ δὲ ἔλαιον ἐπιχυθὲν ποιεῖ μᾶλλον εὐδίοπτον. ἔχουσα δὲ ἐν αὑτῇ λίπος εἰκότως μᾶλλον εὐδίοπτός ἐςιν. ἢ ὐχ ἅπαν τὸ ἐλαφρότερον καὶ εὐδιοπτότερον; αὐτὸ γὰρ τὸ ἔλαιον ἐλαφρότερον τῦ ὕδατος, εὐδιοπτότερον δὲ ὔ. ἢ οὐκ εὐδιοπτότερόν ἐςιν, ἀλλὰ φαίνεται; τὸ γὰρ πότιμον ὕδωρ ἀπὸ τῆς γῆς ἢ ἀπὸ ῥευμάτων ἐςίν, ἡ δὲ πηγὴ συναφίησι μετὰ τῦ ὕδατος καὶ γῆν, ὥςε τῷ μὴ καθαρὰ εἶναι τὰ ῥεύματα συγκατάγει τὴν γῆν καὶ ἰλύν. αὕτη ὖν ἐςὶν ἡ αἰτία τοῦ ἧττον εἶναι εὐδίοπτον. 38

Διὰ τί οἱ νέοντες ἐν τῇ θαλάττῃ λαπαροὶ γίνονται; εἰ γὰρ ὅτι πονῦσι, καὶ οἱ τροχιζόμενοι ἰσχυρὸν πονῦσι πόνον καὶ ὐ λαπάττονται. ἢ ὅτι ὐ πᾶς πόνος ποιεῖ λάπαξιν, ἀλλ' ὁ μὴ ποιῶν σύντηξιν; ἡ δὲ ἐν τῇ θαλάττῃ διατριβὴ καὶ ὅλως δοκεῖ βρωτικωτέρυς ποιεῖν καὶ λαπαρύς· θερμή τε γάρ ἐςι καὶ ξηρὰ ἡ ἀπ' αὐτῆς ἀτμίς. 39

Διὰ τί Πᾶσα λίμνη πότιμος ὖσα πλύνει καὶ ῥύπτει τὰ ἱμάτια; πλύνει μὲν γὰρ τὸ γλυκύ, ῥύπτει δὲ τὸ πικρόν, ἅμα δὲ οὐχ οἷόν τε ἔχειν ταῦτα. ἢ οὐ τῷ πικρὸν εἶναι ὐθὲν ῥύπτει, ἀλλ' ἡ γλισχρότης ῥυπτικόν; διὸ καὶ τὰ ἀκροκώλια καὶ ὅσα μυξώδη τοιαῦτα. ὥςε καὶ τῶν πι- 40

. γλυκεῖα C°Y°. ‖ 5. μόνη C°X°. ‖ 7. δὲ καὶ οἱ C°. ‖ τὸ om X°. ‖ 8. ἅλεσιν C°Y°. ‖ ἐφιςάμενον Y°. ‖ 14. οὐ] οὐδὲ C°X° 19. ἀποκαίεται et 25. ἀποκαίει C°, qui ita solet. ‖ 20. τῇ ἀτμίδι] τῷ ἀτμίδι C°. ‖ 21. τὺς πάγυς ποιεῖ X°. ‖ 29. ὐδὲ codices. ‖ βροχον C°X°. ‖ 34. ὑγρά C°. ‖ 35. οἱ om C°Y°. ‖ 36. φαίνονται Y°. ‖ 38. γίνονται X°.

. περὶ C°X°. ‖ 7. ἀλυκοῦ C°Y°. ‖ 8. ἀλυκὸν C°Y°. ‖ 12. δὲ] οὖν X°. ‖ 13. διὰ τὸ πλ. X°. ‖ ἀλυκοῦν C°. ‖ τῦτο X°Y°. ‖ ἂν om C°. ‖ πόρων ἄνω X°. ‖ 18. εὐδίοπτός ἐςιν C°. ‖ 19. ἐπιψυχθὲν C°. ‖ 24. γῆς] γὰρ X°. ‖ 26. ὑλήν C°. ‖ 28. λιπαροὶ . λιπαρύς C°X°Y°. ‖ 29. εἰ] οἱ X°. ‖ τροχαζόμενοι X°.

κρῶν ὅσα τούτου μετέχει. ἐν δὲ τῇ λίμνῃ ταύτῃ συμβέβηκε τοῦτο, ὥστε τῆς νιτρώδους δυνάμεως τὸ μὲν πικρὸν ἐκκεκαῦσθαι, ἐμμένειν δὲ τὸ λιπαρὸν καὶ γλίσχρον. τούτῳ μὲν οὖν ῥύπτει, πλύνει δὲ τῷ ποτίμῳ αὐτῆς.

41 Διὰ τί τὸ γαληνίζον τῆς θαλάττης λευκὸν φαίνεται, τὸ δὲ κατάφορον μέλαν; ἢ ὅτι τὸ ἧττον ὁρώμενον μελάντερον μᾶλλον φαίνεται; ἧττον δὲ φαίνεται τὸ κινούμενον τοῦ ἠρεμοῦντος. ἢ διότι τὸ μὲν διαφαινόμενον λευκόν, τὸ δὲ μὴ διαφαινόμενον μέλαν; ἧττον δὲ διαφαίνεται τὸ κινούμενον.

ΚΔ. ΟΣΑ ΠΕΡΙ ΤΑ ΘΕΡΜΑ ΥΔΑΤΑ.

Διὰ τί τὸ θερμὸν ὕδωρ, ἐὰν ἐπικεχρισμένοι ὦσιν ἐλαίῳ, ἧττον θερμόν ἐστι καταχεόμενον, τοῦ ἐλαίου θερμοῦ ὄντος; ἢ διὰ τὸ λεαίνειν ὀλισθαίνει καὶ ἧττον ἐνδύνει;

2 Διὰ τί τὰ ὕδατα ἐν τοῖς φρέασι μετὰ μεσημβρίαν γίνεται τοῦ θέρους θερμά; ἢ διότι τηνικαῦτα ἤδη κεκράτηκε τὸ θερμὸν τὸν ἀέρα; πρὸ μεσημβρίας δὲ τὸ θερμὸν λύει τὸ ψυχρὸν καὶ παύει· οὐχ ἅμα δὲ πέπαυται καὶ κρατεῖ, ἀλλ' ὅταν ἐπιχρονίσῃ.

3 Διὰ τί τὸ ὕδωρ θερμότερον ἐνίοτε τῆς φλογὸς γινόμενον οὐ κατακάει τὰ ξύλα, ἡ δὲ φλὸξ κατακάει; ἢ ὅτι ἡ μὲν φλὸξ λεπτομερές, καὶ τὸ ἀπ' αὐτῆς πνεῦμα, τὸ δὲ ὕδωρ μεγαλομερές, ὥστε οὐκ εἰσδύεται; ἡ δὲ φλὸξ καὶ τὸ ἀπὸ τῶν ἀνθράκων διὰ λεπτότητα εἰσιὸν διαλύει.

4 Διὰ τί τὸ μὲν ὕδωρ τὸ ζέον οὐ τήκει, ἡ δὲ κοιλία τήκει; πότερον ὅτι τὸ μὲν θερμὸν τὸ ἐν τῇ κοιλίᾳ εἰσέρχεται διὰ λεπτότητα, τὸ δὲ ὕδωρ οὐκ εἰσέρχεται διὰ παχύτητα; ἢ διότι καὶ τὰ ἄλλα κωλύει τήκεσθαι τὸ ὑγρόν; οὐθὲν γὰρ ἐν ὑγρῷ τήκεται. ἐν δὲ τῇ κοιλίᾳ τὸ ὑγρὸν εἰς τὴν κύστιν ὑπονοστοῦν οὕτω λύει.

5 Διὰ τί τῶν ἀγγείων ὁ πυθμὴν οὐ κάει ἐνόντος τοῦ ὕδατος καὶ ζέοντος, ἀλλὰ καὶ φέρουσι τοῦ πυθμένος ἐχόμενοι, ἐξαιρεθέντος δὲ κάει; ἢ ὅτι σβέννυται τὸ ἐγγινόμενον θερμὸν ἐν τῷ πυθμένι ὑπὸ τοῦ ὕδατος; διὸ καὶ οὐ τήκεται τὰ τηκτά, ἂν μὴ ψόφος ἐμπέσῃ.

6 Διὰ τί οὐχ ὑπερζεῖ τοῦ χειμῶνος ὁμοίως καὶ τοῦ θέρους τὸ ὕδωρ, οὐ μόνον ὁμοίως θερμαινόμενον, ἀλλὰ καὶ μᾶλλον καὶ ὁμοίως θερμὸν ὄν, καὶ ἔτι μᾶλλον; ἢ διότι ἡ ὑπέρζεσίς ἐστιν ἡ ἀναβολὴ τῶν πομφολύγων; τὸ μὲν οὖν ὕδωρ αὐτὸ θερμαίνεται τότε οὐθὲν ἧττον ἢ τοῦ ψύχους, αἱ δὲ πομφόλυγες αἴρεσθαι οὐ δύνανται ὁμοίως διὰ τὸ τὸν περιέχοντα ἀέρα εἶναι ψυχρόν, ἀλλ' ἐλάττους τε τὰ μεγέθη αἴρονται ὑπὸ τοῦ ψύχους θλιβόμεναι, καὶ διακόπτοντος τοῦ ἀέρος ταχὺ διαπίπτουσιν. ὥστε ἐλάττους τε τῷ ὄγκῳ καὶ τῷ πλήθει γίνονται τοῦ χειμῶνος, τοῦ δὲ θέρους τοὐναντίον. ἡ δὲ ὑπέρζεσις γίνεται διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τοῦ ἀφροῦ.

Διὰ τί τὸ μὲν θερμὸν ὕδωρ ῥυτιδοῖ, τὸ δὲ πῦρ θερ- 7
μὸν ὂν οὔ; ἢ ὅτι τὸ μὲν πῦρ ποιεῖ πνεῦμα, ὥστε ὀγκοῖ· περιτείνεται γὰρ τὰ δέρμα. ἡ δὲ κάμψις ῥυτίς ἐστιν.

Διὰ τί τῶν ἀγγείων οἱ πυθμένες θερμαινομένου τοῦ 8
ὕδατος, ἕως ἂν ᾖ ψυχρὸν τὸ ὕδωρ, θερμότεροί εἰσιν; ἢ διότι ψυχροῦ μὲν ἔτι ὄντος τοῦ ὕδατος ἐγκατακλείεται τὸ θερμὸν καὶ ἀντιπερίσταται εἴσω, κωλυόμενον ἐξιέναι, ὅταν δὲ διαθερμανθῇ τὸ ἐνὸν ὕδωρ, οὐκέτι ἀποστέγοντος ἀλλὰ διαπνέοντος καὶ ἐλάττονος γινομένου τοῦ πυρὸς ψυχρότερος γίνεται ὁ πυθμήν, ὁμοίως ὥσπερ καὶ τὰ βαλανεῖα· καὶ γὰρ ταῦτα τοῦ χειμῶνος θερμότερα ἢ τοῦ θέρους διὰ τὸ ἐγκατακλείεσθαι τὸ θερμὸν ἐν τῷ χειμῶνι μᾶλλον ἢ ἐν τῷ θέρει ὑπὸ τοῦ περιέχοντος ἀέρος ὄντος ψυχροῦ.

Διὰ τί τὸ μὲν ὕδωρ ζέον οὐκ ἐκπαφλάζει, τὸ δὲ 9
ἔτνος καὶ ἡ φακῆ; καίτοι κουφότερον τὸ ὕδωρ τούτων, τὰ δὲ κοῦφα ῥᾷον ῥῖψαι πόρρω. ποιεῖ δὲ καὶ τὸ ἀργύριον ταὐτό, καὶ τοῦτο καθαιρόμενον· διὸ οἱ ἐν τῷ ἀργυροκοπείῳ καλλύνοντες κερδαίνουσιν· τὸ γὰρ διαρριπτούμενον συγκαλλύνοντες λαμβάνουσι τὰ λείψανα. ἢ διότι ποιεῖ μὲν τὸν ἐκπαφλασμὸν τὸ θερμὸν ἐξατμίζον καὶ βιαζόμενον τὰ ἀντικρούοντα τῇ κατὰ φύσιν αὐτοῦ φορᾷ; τὸ μὲν οὖν ὕδωρ διὰ κουφότητα καὶ λεπτότητα οὐκ ἀποβιάζεται, ὥστε οὐκ ἀθροίζεται πολὺ θερμόν, ἀλλὰ πρὶν ἀλισθῆναι φθάνει διακόψαν τὸ ἀεὶ προσελθόν. τὰ δὲ ἔχοντα ἐν αὐτοῖς σῶμα, οἷον τὰ ῥοφήματα ἢ ὁ ἄργυρος, διὰ βάρος τὸ σωματοειδὲς ἔχοντα πολύ, καὶ ἀνταπωθοῦντα διὰ τὸ ἀποβιάζεσθαι βίᾳ, ἐξιόντος ἀποσφαιρίζεται ᾗ ἂν κρατήσῃ τὸ θερμόν· οὐ γὰρ δίεισι διὰ πυκνότητα, ἀλλὰ κρατεῖ, ἕως ἂν ὑπὸ τοῦ ἐπιρρέοντος θερμοῦ ἀπορριφθῇ. γίνεται δὲ πληγή, οὐκ ὦσις, διὰ τὸ ταχὺ φέρεσθαι τὸ θερμὸν κάτωθεν ἄνω.

5. γίνεται C^a. ‖ 6. κατάφερον X^aY^a, καταφερόμενον C^a. ‖ 8. ὅτι C^a. ‖ 19. τε X^aY^a. ‖ 21. φλεβὸς X^a. ‖ 22. τὰ] μᾶλλον τὰ X^a. ‖ 32. οὐκ ἀεὶ C^a. ‖ 35. καὶ om C^a. ‖ 37. ὑπερζῇ X^a. ‖ 38. καὶ om C^a. ‖ 39. ἡ om C^a.

1. ἀνατολὴ X^a. ‖ 3. τὸ om C^a. ‖ 4. ἀλλ'] ἀλλὰ καὶ X^a, ἀλλὰ καὶ τὸ margo X^a. ‖ ἐλάττους τε] ἐλαττοῦσθαι $C^aX^aY^a$. ‖ τῷ μεγέθει X^a. ‖ 6. ἐλαττοῦσθαι τῷ C^aY^a. ‖ 7. δὲ om C^aY^a. ‖ 18. διαπνεύοντος X^a. ‖ 19. ὁμοίως om C^a. ‖ 20. ἢ ἐκ τοῦ X^a. ‖ 23. ἐμπαφλάζει C^a. ‖ 27. καλύναντες C^a. ‖ συγκαλύοντες C^a. ‖ 38. ἀπορριφῇ C^a.

10 Διὰ τί τὰ μὲν ὀλίγον χρόνον ἐν τῷ θερμῷ βρεχόμενα ἀνοιδεῖ, τὰ δὲ πολὺν συμπίπτει καὶ γίνεται ῥυσά; ἢ διότι τὸ θερμὸν ἐκ πεπηγότος ὑγρὸν ποιεῖ, ἐκ δὲ ὑγρȣ̃ πνεῦμα, τὰ δὲ πυκνὰ ἀραιοῖ; τὸ μὲν ȣ̓̃ν πρῶτον θερμαῖνον τὰ πεπηγότα ὑγρότερα ποιεῖ, καὶ ἐξ ὑγρῶν πνευματοποιȣ̃ν ὀγκηρὰ ποιεῖ διαχέον· ὅταν δὲ μᾶλλον θερμαίνῃ τὸ πέριξ, ἀραιὸν ποιεῖ, ὥϛε ἀποπνεῖται ἡ ἀτμίς, καὶ τὸ ὑγρὸν ξηραινόμενον συμπίπτειν ποιεῖ τȣ̀ς ὄγκους. συμπιπτόντων δὲ ῥυσȣ̃ται τὸ πέριξ δέρμα πάντων. ᾗ δὲ ἀνωμάλως, ταύτῃ ῥυσὸν γίνεται.

11 Διὰ τί ὑπὸ τῶν θερμῶν ὑδάτων μᾶλλον ἢ ὑπὸ τῶν ψυχρῶν πήγνυνται λίθοι; πότερον ὅτι τῇ τȣ̃ ὑγρȣ̃ ἐκλείψει γίνεται λίθος, μᾶλλον δὲ ὑπὸ τȣ̃ θερμȣ̃ ἢ τȣ̃ ψυχρȣ̃ ἐκλείπει τὸ ὑγρόν, καὶ ἀπολιθȣ̃ται δὴ διὰ τὸ θερμόν, καθάπερ καὶ Ἐμπεδοκλῆς φησὶ τάς τε πέτρας καὶ τȣ̀ς λίθους καὶ τὰ θερμὰ τῶν ὑδάτων γίνεσθαι. ἢ τὸ θερμὸν ἀπολιθοῖ· καὶ ὑπὸ τȣ̃ ψυχρȣ̃ δὲ λιθȣ̃ται διὰ τὸ τὴν ὑπερβολὴν τȣ̃ πάγȣ τὸ ὑγρὸν ἀναλίσκȣσαν σκληρύνειν; δῆλον ȣ̓̃ν ἐκ τῆς ὑπερβολῆς καὶ τὸ ἁπλῶς.

12 Διὰ τί ἐν τῷ θερμῷ ὕδατι ἐὰν τὸν πόδα ἔχῃ τις, ἠρεμȣ̃ντος μὲν ἧσσον δοκεῖ εἶναι θερμόν, ἐὰν δὲ κινηθῇ, θερμότερον; ἢ ὥσπερ καὶ ἐπὶ τοῦ σώματος, ἐὰν ἐν τῷ πνεύματι τροχάζῃ τις, ἀεὶ ὁ προϊϛάμενος ἀὴρ ψυχρότερος· εἰς δὲ τὸ πορρώτερον εἰσιὼν μᾶλλον ἀσθάνεται.

13 Διὰ τί ἐν τῷ ἡλίῳ μᾶλλον ἢ τῇ σκιᾷ τὰ θερμὰ ψύχεται; πότερον ὅτι τὸ θερμὸν τὸ ἔλαττον ὑπὸ τȣ̃ πλείονος φθείρεται; ἢ ὅτι ἐν μὲν τῇ σκιᾷ τὸ ψυχρὸν περιεϛηκὸς θλίβει τὸ ἐνὸν θερμὸν καὶ ȣ̓κ ἐᾷ ἐπεξιέναι, ὥσπερ καὶ τοῖς θνήσκουσι ποιεῖ τὸ ψυχρὸν προσχεόμενον· ἐγκατακλείει γὰρ τὸ θερμὸν καὶ κωλύει ἐξιέναι· καὶ ὅλως τοῦ χειμῶνος ἅπασι συμβαίνει τὰ ἔσωθεν θερμότερα· ἐν δὲ τῷ ἡλίῳ οὐδενὸς ἀντιφράττοντος φέρεται καὶ θᾶττον ἀπολείπει.

14 Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμαινόμενον ὕδωρ ὥϛε λȣ́εσθαι ȣ̓κ ἔϛιν ὑγιεινότερον; πότερον ὅτι διὰ τὸ ψύχεσθαι; καὶ ἔτι ἐπεὶ τὸ σωμάτιον φρίττειν ποιεῖ; ἢ ποιεῖ μὲν καὶ τοῦτο, ἀλλὰ κἂν πολλάκις λούηταί τις, νοσερόν ἐϛιν; τὸ μὲν γὰρ θερμὸν ὅλως πεπτικόν ἐϛι καὶ ξηραντικόν, τὸ δὲ ψυχρὸν ϛαλτικόν, ὥϛε ἄμφω ποιεῖ τι ἀγαθόν. διὸ καὶ τὸ ὕδωρ καὶ τὸ ψυχρὸν λȣομένοις καὶ τὸ θερμὸν τὸ ὑπὸ τοῦ πυρὸς χρήσιμον· τὸ δὲ ὑπὸ τȣ̃ ἡλίου διὰ τὴν ἀσθένειαν τῆς θερμότητος ȣ̓δέτερον τȣ́των ποιεῖ, ἀλλὰ ὑγραίνει ὥσπερ τὸ τῆς σελήνης φῶς.

15 Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμανθὲν ὕδωρ οὐκ ἀγαθόν; ἢ ὅτι τὰ ψυχόμενα ῥιγȣ̃ν ποιεῖ;

16 Διὰ τί τὰ ἐν Μαγνησίᾳ καὶ τὰ ἐν Ἀταρνεῖ θερμὰ πότιμά ἐϛιν; ἢ διότι ἐμβάλλει ὕδωρ πλεῖον ἀπορρέοντι τῷ θερμῷ, οὗ ἡ μὲν ἁλμυρότης ἀφανίζεται, ἡ δὲ θερμότης διαμένει;

17 Διὰ τί ἐν Μαγνησίᾳ τὰ θερμὰ τȣ̃ μὲν θερμὰ εἶναι ἐπαύσατο, ἁλμυρὸν δὲ ἦν τὸ ὕδωρ; ἢ πλεῖον ἐπεχύθη ἅμα ψυχρὸν ἐπὶ τὰς πηγὰς ἀλλότριον, καὶ ἐναπέσβεσε τὴν θερμότητα; ἡ δὲ γῆ ἁλμυρὰ μὲν ἦν, θερμὴ δὲ ȣ̓, διὰ τὸ πλῆθος τȣ̃ ὕδατος τȣ̃ ἐμβάλλοντος. ὅμοιον ȣ̓̃ν συνέβη τῷ διὰ τῆς τέφρας ὕδατι ἠθȣμένῳ· καὶ γὰρ τȣ̃το διὰ θέρμης ἠθȣ́μενον ἐκείνην μὲν καταψύχει, καὶ αὐτὸ ψυχρὸν γίνεται, ἁλμυρόν τε καὶ πικρὸν διὰ τὴν τέφραν ἐϛίν. ἐπεὶ δὲ τὸ προσιὸν ἠλλοτριωμένον ἐϛί, δι' ἄλλην αἰτίαν ἐκράτησεν ἡ θερμότης ἐνȣ̃σα ἐν τῇ γῇ τῆς ψυχρότητος τȣ̃ ὕδατος δι' ὀλιγότητα, καὶ ἐγένετο πάλιν θερμά.

18 Διὰ τί τὰ ὅλα τῶν θερμῶν ὑδάτων ἁλμυρά; ἢ διότι τὰ πολλὰ διὰ γῆς ἠθεῖται ϛυπτηριώδȣς (δηλοῖ δὲ ἡ ὀσμὴ αὐτῶν) κεκαυμένης δέ; ἡ δὲ τέφρα πάντων ἁλμυρὰ καὶ θείȣ ὄζει. διὸ καὶ συγκάει ȣ̓́τως ὥσπερ ὁ κεραυνός. πολλὰ ȣ̓̃ν θερμά ἐϛιν ἀπὸ ἐπισημάνσεως κεραυνῶν.

19 Διὰ τί τὰ θερμὰ λȣτρὰ ἱερά; ἢ ὅτι ἀπὸ τῶν ἱερωτάτων γίνονται, θείȣ καὶ κεραυνȣ̃;

ΚΕ. ΟΣΑ ΠΕΡΙ ΤΟΝ ΑΕΡΑ.

Διὰ τί ἐν τοῖς ἀσκοῖς τοῖς πεφυσημένοις ἐναπολαμβανόμενα τὰ μέλη πόνον παρέχει; πότερον διὰ τὴν πίεσιν τȣ̃ ἀέρος; ὥσπερ γὰρ οὐδὲ τοῖς ἔξωθεν πιέζȣσι τὸν ἀσκὸν ἐνδίδωσιν ὁ ἀήρ, ἀλλ' ἀπωθεῖ, οὕτω καὶ τὰ ἐντὸς ἐναπολαμβανόμενα θλίβει ὁ ἀήρ. ἢ διότι βίᾳ κατέχεται καὶ πεπίληται; ἔξω ȣ̓̃ν πάντῃ ὁρμῶν κατὰ φύσιν προσαπερείδεται πρὸς τὸ ἐντὸς ἀπειλημμένον σῶμα.

2 Διὰ τί ἐν τοῖς ἕλεσι τοῖς παρὰ τȣ̀ς ποταμȣ̀ς γίνονται οἱ καλούμενοι βȣ́μυκοι, οὓς μυθολογȣ̃σι ταύρȣς ἱερούς

3. ἐκ τοῦ πεπηγότος X^{a}. ‖ 9. πέθιξ C^{a}. ‖ δέρματα X^{a}. ‖ ᾗ] ὡς C^{a}. ‖ 12. ψυχῶν X^{a}. ‖ 14. δὴ — 17. λιθȣ̃ται om C^{a}. ‖ 18. ξηραίνειν C^{a}. ‖ 21. εἶναι δοκεῖ C^{a}. ‖ 22. ἐὰν δὲ ἐν X^{a}. ‖ 24. εἰσιὼν om C^{a}. ‖ 28. τὸ — 29. ποιεῖ om C^{a}. ‖ 30. τὸ om X^{a}. ‖ 31. ἐν — 32. ἀπολείπει om pr Y^{a}. ‖ 32. καὶ et 34. τὸ om C^{a}.

1. λȣομένȣς Y^{a}. ‖ 4. τὸ om X^{a}. ‖ 7. τὰ ἐναρτάνει $C^{a}Y^{a}$. ‖ 11. τȣ̃] τὰ X^{a}. ‖ 13. καὶ ἐὰν ἀπέσβεσε $C^{a}Y^{a}$. ‖ 15. συμβαίνει C^{a}. ‖ 16. ἠθȣμένου $C^{a}X^{a}Y^{a}$. ‖ 18. τε] δὲ C^{a}. ‖ 23. διηθεῖται X^{a}. ‖ 25. συγκαίει $C^{a}X^{a}$. ‖ 28. θείȣ καὶ κεραυνȣ̃ om C^{a}, καὶ om Y^{a}. ‖ 32. παρέχουσι X^{a}. ‖ 38. περὶ $C^{a}X^{a}$.

εἶναι τοῦ θεοῦ; ἔςι δὲ τὸ γινόμενον ψόφος ὅμοιος φωνῇ ταύρꙋ, ὥςε αἱ βόες ὕτω διατίθενται ἀκύσαι ὥσπερ ταύρꙋ μυκωμένꙋ. ἢ ὅτι ὅσοι ποταμοὶ λιμνάζꙋσιν εἰς ἕλη, ἢ ὅσα ἕλη λιμνάζονται, ἢ ὑπὸ θαλάττης ἀντικρούονται, ἢ τὸ πνεῦμα ἀφιᾶσιν ἀθροώτερον, ἐν τοῖς τοιύτοις γίνεται τῦτο; αἴτιον δὲ ὅτι αἱ κοιλίαι τῆς γῆς γίνονται. ὕτως οὖν κλυζόμενον τὸ ὕδωρ, διὰ τὸ ἐνεῖναι ῥεῦμα ἐν τῇ τοιαύτῃ λιμνασίᾳ, ἀπωθεῖται τὸν ἀέρα διὰ ςενοῦ εἰς εὐρυτέραν κοιλίαν, οἷον εἴ τις εἰς ἀμφορέα κενὸν κατὰ τὸ ςόμιον ποιοῖ ψόφον, μυκήματι ὅμοιον γίνεται· καὶ γὰρ ἡ μύκησις διὰ τῦτο γίνεται τὸ σχῆμα τοῖς βꙋσίν. πολλὰς δὲ καὶ ἀτόπꙋς φωνὰς ποιῦσι τὰ σχήματα τῶν κοιλιῶν ἀνώμαλα ὄντα, ἐπεὶ καὶ ἀμφορέως τὸν πύνδακα ἐάν τις ἀφελὼν διὰ τῦ πυθμένος τρίβῃ ἕλκων ἔσω καὶ ἔξω, εἰ τρίψει διὰ τῦ καταδήματος, ψόφον ποιεῖ, ὥςε φεύγειν τὰ θηρία, ὅταν οἱ ὀπωροφύλακες κατασκευάσωσιν αὐτό.

3 Διὰ τί ὁ ἀὴρ ὐχ ὑγρός, ἁπτόμενος τῦ ὕδατος; τῶν γὰρ ἄλλων ὐθὲν ὅ τι οὐχ ὑγρόν, ἂν ἅψηται. ἢ διότι τὸ ἔσχατον αὐτῶν ἅμα, τὸ δὲ ἐπίπεδον ἑκατέρου ὐχ ἕτερον; τὰ μὲν ὖν ἄλλα βαρύτερα, ὁ δὲ ἀὴρ ὐ ῥέπει κατωτέρω τῦ ἐσχάτꙋ. ἅπτεται μὲν ὖν, ὅτι ὐθὲν μεταξύ, ὐ βρέχεται δέ, ὅτι ἀεὶ ἄνωθεν τῦ ὕδατος.

4 Διὰ τί μέσων νυκτῶν καὶ μεσημβρίας μάλιςα εὐδία γίνεται; ἢ διότι ἡ νηνεμία ἐςὶν ἀέρος στάσις, ἕστηκε δὲ μάλιςα, ὅταν κρατῇ ἢ κρατῆται, μαχόμενος δὲ κινεῖται. κρατεῖ μὲν οὖν μάλιςα μέσων νυκτῶν, κρατεῖται δὲ μεσημβρίας· τότε μὲν γὰρ ὁ ἥλιος πορρωτάτω, τότε δὲ ἐγγυτάτω γίνεται. ἔτι ἄρχεται τὰ πνεύματα ἢ περὶ ἕω ἢ περὶ δυσμάς, λήγει δὲ τὸ μὲν ἕωθεν, ὅταν κρατηθῇ, τὸ δὲ ἀπὸ δυσμῶν, ὅταν παύσηται κρατῶν. συμβαίνει οὖν τὰ μὲν μεσημβρίας παύεσθαι, τὰ δὲ μέσων νυκτῶν.

5 Διὰ τί ὑποφωσκύσης ἕω καὶ ἤδη πρωῒ μᾶλλόν ἐςι ψῦχος ἢ τῆς νυκτός, ἐγγυτέρω ὄντος τῦ ἡλίου ἡμῶν; ἢ ὅτι πρὸς ἡμέραν δρόσος καὶ πάχνη πίπτει, ταῦτα δέ ἐςι ψυχρά· ὥσπερ ὖν ῥανθέντος τῦ παντὸς τόπꙋ ὑγρῷ ψυχρῷ γίνεται κατάψυξις.

6 Διὰ τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιςα καὶ πνίγη; ἢ διὰ τὴν παχύτητα τῦ ἀέρος; τῦ μὲν γὰρ χειμῶνος οὐ δύναται διαθερμαίνεσθαι, τοῦ δὲ θέρους, ὅταν θερμανθῇ, κάει διὰ τὴν παχύτητα. ἡ δὲ αὐτὴ αἰτία καὶ διότι τὰ ἑλώδη τῦ μὲν χειμῶνος ψυχρά, τῦ δὲ θέρους θερμά. ἢ διὰ τὴν τοῦ ἡλίου φοράν; τοῦ μὲν γὰρ χειμῶνος πόρρω γίνεται, τῦ δὲ θέρους ἐγγύς.

Διὰ τί τῆς νυκτὸς αἰθρία μᾶλλον ἢ μεθ' ἡμέραν; 7
ἢ καὶ τοῦ πνεύματος καὶ τῆς ταραχῆς ὁ ἥλιος αἴτιος; ταῦτα γὰρ κινήσεώς τινος γενομένης συμβαίνει γίνεσθαι. αἴτιον τοίνυν τὸ θερμόν. ὅταν οὖν τῦτο μὴ παρῇ, ἠρεμεῖ τὸ πᾶν, καὶ αἰρομένꙋ τῦ ἡλίꙋ μᾶλλον ἢ τοὐναντίον· καὶ τὸ "μήποτ' ἀπ' ἠπείρꙋ" τῦτ' ἐςίν, ὅτι ὖ πλείςη κίνησις, ἐκεῖ ἥκιςα ἄν τι μένοι καὶ συςαίη, μὴ ὁμαλῦ ὄντος καὶ κρατῦντος τῦ συνιςαμένꙋ. τῦ μὲν δὴ χειμῶνος ἡ θάλαττα τοιῦτον, τῦ δὲ θέρꙋς ἡ γῆ.

Διὰ τί, ὅταν διαχυθῇ τὸ ὑγρὸν εἰς ἀσκύς, οὐ μόνον 8
τὸ ὑγρὸν δέχεται ὁ πίθος μετὰ τῶν ἀσκῶν, ἀλλὰ καὶ ἄλλο προσλαμβάνει; ἢ ὅτι ἐν τῷ ὑγρῷ ἐνυπάρχει ὁ ἀήρ; ὗτος ὖν ὅταν μὴ ἐν τῷ πίθῳ ἐνῇ, ὐ δύναται ἐκκρίνεσθαι διὰ τὸ μέγεθος τῦ πίθꙋ· ἐκ γὰρ τῦ μείζονος χαλεπώτερον ἐκθλῖψαι ὁτιῦν καὶ ὑγρὸν καὶ πνεῦμα, ὥσπερ καὶ ἐκ τῶν σπόγγων. ὅταν δὲ μερίζηται εἰς μικρά, ἐκθλίβεται ἐκ τῦ ἀσκῦ μετὰ τῦ ἐνόντος, ὥσθ' ἡ τῦ ἀέρος χώρα κενὴ γίνεται, διὸ καὶ τꙋ̀ς ἀσκꙋ̀ς καὶ ἔτι ἄλλο ὑγρὸν δέχεται ὁ πίθος. καὶ μᾶλλον ἐπὶ τῦ οἴνꙋ τῦτο γίνεται, ὅτι πλείων ἀὴρ ἐν τῷ οἴνῳ ἔνεστιν ἢ ἐν τῷ ὕδατι. ὅμοιον δὲ τούτῳ καὶ τὸ ταὐτὸ ἀγγεῖον τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον. ἔοικε γὰρ πολλὰ εἶναι τὰ διάκενα τῆς τέφρας. ἅτε ὖν λεπτότερον τὸ ὕδωρ διαδύνει μᾶλλον καὶ συσσάττει ἤδη ὥςε πυκνῦσθαι, καὶ διὰ τὸ παρ' ἕκαςον τῶν μερῶν εἶναι τὴν σάξιν (μᾶλλον γὰρ σάττεται κατὰ μικρὸν σαττόμενον ἅπαν ἢ ἀθρόον), τύτου δὲ γινομένꙋ ὑποκαταβαίνειν τὴν κονίαν· ἅμα δὲ καὶ ἡ τέφρα εἰς αὐτὴν δέχεται τὸ ὑγρὸν διὰ τὸ ἔχειν κοιλίας. ἡ δὲ βαλλομένη τέφρα εἰς τὸ ὕδωρ θερμὴ ὖσα τέμνει αὐτὸ καὶ ἐξαεροῖ. καὶ πρότερον δὲ ὕδατος ἐγχυθέντος καὶ ὕςερον κονίας ἐμπιπτύσης τὸ αὐτὸ γίνεται, ὥςε καὶ τὸ ὕδωρ ἔχοι ἂν κοιλίας καὶ διάκενα αὐτὸ ἐν αὐτῷ. ἢ ὐ τὸ ὕδωρ τὸ δεχόμενον τὴν κονίαν, ἀλλ' ἡ κονία τὸ ὕδωρ; τὸ γὰρ λεπτομερέςερον εἰκὸς εἶναι τὸ εἰσιόν. ἔτι καὶ ἐκ τῆς τέφρας δῆλον. ὅταν γὰρ ἐπιπάττηται ἡ τέφρα, καθ' ὃν ἂν

1. ὁμοίως φωνὴ C^a. ‖ 2. βοαὶ C^aY^a. ‖ ἀκύυσιν C^aX^a. ‖ 4. ἕλη] ἰλ X^aY^a. ‖ ἀντικρύεται C^aY^a. ‖ 5. ἐν δὲ τοῖς C^a. ‖ 9. ποιεῖ C^aX^a. ‖ 13. πύνδυκα C^a. ‖ ἂν X^a. ‖ 14. εἰ] καὶ C^a. ‖ 19. δὲ om C^a. ‖ 26. κρατεῖ C^a. ‖ 31. παύεται X^a. ‖ 32. ὑποφασκούσης Y^a. ‖ 37. ψύχει et πνίγει C^a. ‖ 38. γὰρ om C^a. ‖ 39. θέρους δὲ C^aY^a.

6. τῆς om C^a. ‖ 10. ὖ ἀπλήςη C^a. ‖ 11. ἄν τι μένει Y^a, ἄν τι μενεῖ X^a, ἀντιμένοι C^a. ‖ 16. διότι X^a. ‖ ὁ om Y^a. ‖ 17. ἐν C^a, ἐπὶ Y^a, ἐν ᾗ X^a. ‖ 18. ἐκθλίβεται C^a. ‖ 19. καὶ ante ἐκ om C^a. ‖ 23. πλείων ὁ ἀὴρ X^a. ‖ 27. τὸ ὕδωρ om C^a. ‖ 28. συσάττει Y^a. ‖ 36. ἔχει C^a. ‖ 39 et 939 a 1. ἐπιτάττηται C^a.

τόπον ἐπιπάττηται, εἰς τοῦτον συρρεῖ τὸ ἄλλο ὕδωρ· ἔδει δὲ τὸ ἐναντίον, εἴπερ ἦν τὸ ὕδωρ τὸ δεχόμενον. ἢ οὐ συμβαίνει τοῦτο, ἐὰν πρότερον ἐγχυθῇ τὸ ὕδωρ καὶ σφόδρα διαμεστώσῃ· ἀλλ' ἐὰν ὁτιοῦν ἐπιβληθῇ, ὑπερχεῖται. ἐὰν δ' ἅπαξ ὑπερχυθῇ καὶ ἐπιπέσῃ ἡ τέφρα, ἤδη συμβαίνει· ἡ γὰρ τέφρα ἦν δεχομένη. ταὐτὸ δὲ τοῦτο καὶ ὅτι οἱ βόθυνοι τὴν ἐκβληθεῖσαν ἐξ αὐτῶν γῆν οὐ δέχονται· ἔοικε γὰρ δὴ ἀήρ τις προκαταλαμβάνων τὸν τόπον καὶ διὰ τοῦτο μὴ δέχεσθαι.

9 Διὰ τί ὁ ἀὴρ παχύτερος ὢν τοῦ φωτὸς διέρχεται διὰ τῶν στερεῶν; ἢ διότι τὸ μὲν φῶς κατ' εὐθεῖαν φέρεται μόνον, διὸ καὶ διὰ τῶν ἀραιῶν οὐ διορᾷ ἡ ὄψις, οἷον κισήριδος; ἐπαλλάττουσι γὰρ οἱ πόροι· ἀλλ' οὐκ ἐν τῇ ὑάλῳ. ὁ δὲ ἀὴρ οὐ κωλύεται διὰ τὸ μὴ εὐθυπορεῖν οὗ διέρχεται.

10 Διὰ τί ὁ ἀὴρ ψυχρὸς μὲν γίνεται διὰ τὸ ἅπτεσθαι τοῦ ὕδατος, δίυγρος δὲ οὔ, κἂν σφόδρα τις φυσᾷ εἰς τὸ ὕδωρ ὥστε κυμαίνειν; ὅτι δὲ ψυχρός, δηλοῖ μεθιστάμενος· ψύχει γὰρ ἀπὸ τῶν ὑδάτων. ἢ ὅτι ψυχρὸς μὲν πέφυκεν εἶναι καὶ θερμός, ὥστε μεταβάλλει τῇ ἀφῇ οὗ ἄν τινος ἅπτηται, ὑγρὸς δὲ οὐκέτι διὰ τὸ κουφότερος εἶναι· καὶ οὐδέ ποτε εἰς τὸ βάθος τοῦ ὕδατος ἔρχεται, ἀλλ' ἀεὶ τοῦ ἐπιπέδου ἅπτεται, κἂν βιάζηται κάτω· καὶ τὸ ὕδωρ ἔτι κατωτέρω φέρεται, ὥστε μήποτε εἰς βάθος ἰέναι.

11 Διὰ τί ὁ ἐκ τῶν πομφολύγων καὶ κάτωθεν ἀνιὼν οὐ διερὸς ἐξέρχεται; ἢ διότι οὐκ ἐπιμένει τὸ ὑγρόν, ἀλλ' ὀλισθαίνει τὸ ὕδωρ; τὸ δ' ἐπὶ τῇ πομφόλυγι καὶ ἔλαττόν ἐστιν ἢ ὥστε διαιρεῖν.

12 Διὰ τί ὁ ἀὴρ οὐκ ἀναπίμπλησι, τὸ δὲ ὕδωρ; καὶ εἰς τὸν ἀέρα γὰρ μετατιθέμενον διερόν. ἢ ὅτι ὥσπερ οὐδὲ ὁ λίθος; οὐ γὰρ πᾶν ἐστιν ἀναπληστικόν, ἀλλὰ τὸ γλίσχρον ἢ ὑγρόν.

13 ἢ ὅτι ὁ ἀὴρ ἄνω φέρεται; ὁ γὰρ ἀσκὸς ὅταν μὲν κενὸς ᾖ, κάτω φέρεται, ὅταν δὲ φυσηθῇ, ἄνω ἐπιμένει διὰ τὸ τοῦτον ἀναφέρειν. εἰ δὲ ὁ ἀὴρ ἀνακουφίζει καὶ κωλύει κάτω φέρεσθαι, διὰ τί βαρύτεροι γίνονται φυσηθέντες; καὶ πῶς, ὅτε μὲν βαρύτερός ἐστιν, ἐπιμένει, κουφότερος δὲ γενόμενος καταφέρεται;

14 Διὰ τί ὁ ἀὴρ οὐκ ἄνω φέρεται; εἰ γὰρ τὰ πνεύματα τούτου κινουμένου ὑπὸ τοῦ θερμοῦ γίνεται, πέφυκε δὲ τὸ πῦρ ἄνω φέρεσθαι, καὶ τὸ πνεῦμα εἰς τὸ ἄνω ἐβάδιζεν, εἴπερ τό τε κινοῦν εἰς τὸ ἄνω θεῖ καὶ τὸ κινούμενον οὕτω πέφυκε φέρεσθαι. νῦν δὲ φαίνεται λοξὴν τὴν φορὰν ποιούμενος.

15 Διὰ τί τὸ ἀφ' ἕω ψυχρότερον ἢ τὸ ἀφ' ἑσπέρας; ἢ ὅτι τὸ μὲν ἐγγύτερον μέσων νυκτῶν, τὸ δὲ μεσημβρίας; ἔστι δὲ ἡ μεσημβρία θερμότατον διὰ τὸ εἶναι ἐγγύτατον ἡλίου, αἱ δὲ μέσαι νύκτες ψυχρότεραι διὰ τὸ ἐναντίον.

16 Διὰ τί αἱ νύκτες τῶν ἡμερῶν ἐν ταῖς ἀλέαις πνιγηρότεραι; ἢ διὰ τὴν ἄπνοιαν; οἱ γὰρ ἐτησίαι καὶ πρόδρομοι τὰς νύκτας ἧττον πνέουσιν.

17 Διὰ τί τὰ ἐν τοῖς ἀσκοῖς ἄσηπτα φυσηθεῖσι, καὶ ἐν τοῖς περιπωματιζομένοις; ἢ διότι σήπεται μὲν κινούμενα, ἅπαντα δὲ τὰ πλήρη ἀκίνητα, ταῦτα δὲ πλήρη.

18 Διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται ἢ ἐπινεφέλων ὄντων; τὰ δὲ ἄστρα καὶ ὁ οὐρανὸς θερμός. ἢ ὅτι οὐθὲν ἀποστέγει ἐν τῇ αἰθρίᾳ τὴν ἀτμίδα, ἀλλὰ διαχεῖται· ἐν δὲ τοῖς ἐπινεφέλοις ἀποστέγεται; καὶ βορείων γε ἢ νοτίων διὰ τὸ αὐτό· ὁ μὲν γὰρ νότος ἄγει τὸ τοιοῦτον, ὁ δὲ ἀπωθεῖ. καὶ ἀτμίζειν δὲ φαίνεται βορείοις μᾶλλον ἢ νοτίοις, καὶ χειμῶνος ἢ θέρους. ἢ παρὰ τὸ ἀνόμοιον; ἢ ὅτι θερμοῦ ψυχομένου ἐστὶν ἡ ἀτμίς;

19 Διὰ τί ἀὴρ ὁ ἐλάττων θερμότερος τοῦ πλείονος; αἱ γὰρ στενοχωρίαι ἀλεεινότεραι. ἢ διότι κινεῖται μᾶλλον ὁ πολύς, ἡ δὲ κίνησις ποιεῖ ψυχρόν; σημεῖον δὲ τούτου, ὅτι κινούμενα ψύχεται τὰ θερμά.

20 Διὰ τί ὕδωρ μὲν καὶ γῆ σήπεται, ἀὴρ δὲ καὶ πῦρ οὐ σήπεται; ἢ ὅτι θερμότατον γίνεται τὸ σηπόμενον ἅπαν, πυρὸς δὲ οὐθὲν θερμότερον; ἢ ὅτι ψυχθῆναι δεῖ πρότερον, τὸ δὲ πῦρ ἀεὶ θερμόν, ὁ δὲ ἀὴρ πυρὸς πλήρης. σήπεται δὲ οὐθὲν θερμόν, ἀλλὰ ψυχθέν· γῆ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ θερμὰ καὶ ψυχρὰ γίνεται.

21 Διὰ τί τὰ ἐπινέφελα ἀλεεινότερα τῶν αἰθρίων; πότερον ὡς οἱ ἀρχαῖοι ἔλεγον, ὅτι τὰ ἄστρα ψυχρά; ἢ λίαν τοῦτό γε ἄτοπον, ἀλλὰ διότι ἀτμίζει; ἐπισημαντέον δὲ ὅτι ἐν νηνεμίᾳ ἡ δρόσος καὶ ἡ πάχνη γίνεται. ὅταν μὲν οὖν αἰθρία ᾖ, διαπνεῖ τὸ θερμόν, ὑφ' οὗ ἀνάγεται τὸ ὑγρόν, ὥστε ψυχρὸς ὁ ἀήρ· διὸ καὶ δροσίζει ἀφιέμενον τὸ ὑγρὸν ἀπὸ τοῦ θερμοῦ. ὅταν δὲ ἐπινέφελον ᾖ, ἀποστέγεται, διὸ οὐ

1. τοῦτο $C^a Y^a$. ‖ 2. τὸ post ὕδωρ om $X^a Y^a$. ‖ 3. ἐὰν πρότερον om C^a. ‖ 10. ὁ om $C^a Y^a$. ‖ 13. κισσήριδος X^a, κισσίριδος C^a. ‖ τοῦ C^a. ‖ 16. τὸ] τὸ μὴ $C^a X^a Y^a$. ‖ 23. κατώτερον C^a. ‖ 24. εἰσιέναι C^a. ‖ 25. ἰὼν οὐ δι' ἀέρος C^a. ‖ 26. ὀλισθάνει Y^a. ‖ 28. διερεῖν Y^a. ‖ 30. ὁ om C^a. ‖ 33. γάρ] δὲ C^a.

1. τούτου] τοῦ $C^a Y^a$. ‖ 3. τε om X^a. ‖ 8. τοῦ ἡλίου C^a. ‖ 10. ἐτήσιοι C^a. ‖ 18. γε] τε C^a. ‖ 19. μὲν om C^a. ‖ 23. ὁ ἀὴρ ἐλάττων C^a. ‖ 31. καὶ ὕδωρ om $C^a Y^a$. ‖ 37. ἀφ' C^a.

εἶναι τοῦ θεοῦ; ἔστι δὲ τὸ γινόμενον ψόφος ὅμοιος φωνῇ ταύρου, ὥστε αἱ βόες οὕτω διατίθενται ἀκούσαι ὥσπερ ταύρου μυκωμένου. ἢ ὅτι ὅσοι ποταμοὶ λιμνάζουσιν εἰς ἕλη, ἢ ὅσα ἕλη λιμνάζονται, ἢ ὑπὸ θαλάττης ἀντικρούονται, ἢ τὸ πνεῦμα ἀφιᾶσιν ἀθροώτερον, ἐν τοῖς τοιούτοις γίνεται τοῦτο; αἴτιον δὲ ὅτι αἱ κοιλίαι τῆς γῆς γίνονται. οὕτως οὖν κλυζόμενον τὸ ὕδωρ, διὰ τὸ ἐνεῖναι ῥεῦμα ἐν τῇ τοιαύτῃ λιμνασίᾳ, ἀπωθεῖται τὸν ἀέρα διὰ στενοῦ εἰς εὐρυτέραν κοιλίαν, οἷον εἴ τις εἰς ἀμφορέα κενὸν κατὰ τὸ στόμιον ποιοῖ ψόφον, μυκήματι ὅμοιον γίνεται· καὶ γὰρ ἡ μύκησις διὰ τοῦτο γίνεται τὸ σχῆμα τοῖς βουσίν. πολλὰς δὲ καὶ ἀτόπους φωνὰς ποιοῦσι τὰ σχήματα τῶν κοιλιῶν ἀνώμαλα ὄντα, ἐπεὶ καὶ ἀμφορέως τὸν πύνδακα ἐάν τις ἀφελὼν διὰ τοῦ πυθμένος τρίβῃ ἕλκων ἔσω καὶ ἔξω, εἰ τρίψει διὰ τοῦ καταδήματος, ψόφον ποιεῖ, ὥστε φεύγειν τὰ θηρία, ὅταν οἱ ὀπωροφύλακες κατασκευάσωσιν αὐτό.

3 Διὰ τί ὁ ἀὴρ οὐχ ὑγρός, ἁπτόμενος τοῦ ὕδατος; τῶν γὰρ ἄλλων οὐθὲν ὅ τι οὐχ ὑγρόν, ἂν ἅψηται. ἢ διότι τὸ ἔσχατον αὐτῶν ἅμα, τὸ δὲ ἐπίπεδον ἑκατέρου οὐχ ἕτερον; τὰ μὲν οὖν ἄλλα βαρύτερα, ὁ δὲ ἀὴρ οὐ ῥέπει κατωτέρω τοῦ ἐσχάτου. ἅπτεται μὲν οὖν, ὅτι οὐθὲν μεταξύ, οὐ βρέχεται δέ, ὅτι ἀεὶ ἄνωθεν τοῦ ὕδατος.

4 Διὰ τί μέσων νυκτῶν καὶ μεσημβρίας μάλιστα εὐδία γίνεται; ἢ διότι ἡ νηνεμία ἐστὶν ἀέρος στάσις, ἕστηκε δὲ μάλιστα, ὅταν κρατῇ ἢ κρατῆται, μαχόμενος δὲ κινεῖται. κρατεῖ μὲν οὖν μάλιστα μέσων νυκτῶν, κρατεῖται δὲ μεσημβρίας· τότε μὲν γὰρ ὁ ἥλιος πορρωτάτω, τότε δὲ ἐγγυτάτω γίνεται. ἔτι ἄρχεται τὰ πνεύματα ἢ περὶ ἕω ἢ περὶ δυσμάς, λήγει δὲ τὸ μὲν ἕωθεν, ὅταν κρατηθῇ, τὸ δὲ ἀπὸ δυσμῶν, ὅταν παύσηται κρατῶν. συμβαίνει οὖν τὰ μὲν μεσημβρίας παύεσθαι, τὰ δὲ μέσων νυκτῶν.

5 Διὰ τί ὑποφωσκούσης ἕω καὶ ἤδη πρωῒ μᾶλλόν ἐστι ψῦχος ἢ τῆς νυκτός, ἐγγυτέρω ὄντος τοῦ ἡλίου ἡμῶν; ἢ ὅτι πρὸς ἡμέραν δρόσος καὶ πάχνη πίπτει, ταῦτα δέ ἐστι ψυχρά· ὥσπερ οὖν ῥανθέντος τοῦ παντὸς τόπου ὑγρῷ ψυχρῷ γίνεται κατάψυξις.

6 Διὰ τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιστα καὶ πνίγη; ἢ διὰ τὴν παχύτητα τοῦ ἀέρος; τοῦ μὲν γὰρ χειμῶνος οὐ δύναται διαθερμαίνεσθαι, τοῦ δὲ θέρους, ὅταν θερμανθῇ, κάει διὰ τὴν παχύτητα. ἡ δὲ αὐτὴ αἰτία καὶ διότι τὰ ἑλώδη τοῦ μὲν χειμῶνος ψυχρά, τοῦ δὲ θέρους θερμά. ἢ διὰ τὴν τοῦ ἡλίου φοράν; τοῦ μὲν γὰρ χειμῶνος πόρρω γίνεται, τοῦ δὲ θέρους ἐγγύς.

7 Διὰ τί τῆς νυκτὸς αἰθρία μᾶλλον ἢ μεθ' ἡμέραν; ἢ καὶ τοῦ πνεύματος καὶ τῆς ταραχῆς ὁ ἥλιος αἴτιος; ταῦτα γὰρ κινήσεώς τινος γενομένης συμβαίνει γίνεσθαι. αἴτιον τοίνυν τὸ θερμόν. ὅταν οὖν τοῦτο μὴ παρῇ, ἠρεμεῖ τὸ πᾶν, καὶ αἰρομένου τοῦ ἡλίου μᾶλλον ἢ τοὐναντίον· καὶ τὸ "μήποτ' ἀπ' ἠπείρου" τοῦτ' ἐστίν, ὅτι οὗ πλείστη κίνησις, ἐκεῖ ἥκιστα ἄν τι μένοι καὶ συσταίη, μὴ ὁμαλοῦ ὄντος καὶ κρατοῦντος τοῦ συνισταμένου. τοῦ μὲν δὴ χειμῶνος ἡ θάλαττα τοιοῦτον, τοῦ δὲ θέρους ἡ γῆ.

8 Διὰ τί, ὅταν διαχυθῇ τὸ ὑγρὸν εἰς ἀσκούς, οὐ μόνον τὸ ὑγρὸν δέχεται ὁ πίθος μετὰ τῶν ἀσκῶν, ἀλλὰ καὶ ἄλλο προσλαμβάνει; ἢ ὅτι ἐν τῷ ὑγρῷ ἐνυπάρχει ὁ ἀήρ; οὗτος οὖν ὅταν μὴ ἐν τῷ πίθῳ ἐνῇ, οὐ δύναται ἐκκρίνεσθαι διὰ τὸ μέγεθος τοῦ πίθου· ἐκ γὰρ τοῦ μείζονος χαλεπώτερον ἐκθλῖψαι ὁτιοῦν καὶ ὑγρὸν καὶ πνεῦμα, ὥσπερ καὶ ἐκ τῶν σπόγγων. ὅταν δὲ μερίζηται εἰς μικρά, ἐκθλίβεται ἐκ τοῦ ἀσκοῦ μετὰ τοῦ ἐνόντος, ὥσθ' ἡ τοῦ ἀέρος χώρα κενὴ γίνεται, διὸ καὶ τοὺς ἀσκοὺς καὶ ἔτι ἄλλο ὑγρὸν δέχεται ὁ πίθος. καὶ μᾶλλον ἐπὶ τοῦ οἴνου τοῦτο γίνεται, ὅτι πλείων ἀὴρ ἐν τῷ οἴνῳ ἔνεστιν ἢ ἐν τῷ ὕδατι. ὅμοιον δὲ τούτῳ καὶ τὸ ταὐτὸ ἀγγεῖον τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον. ἔοικε γὰρ πολλὰ εἶναι τὰ διάκενα τῆς τέφρας. ἅτε οὖν λεπτότερον τὸ ὕδωρ διαδύνει μᾶλλον καὶ συσσάττει ἤδη ὥστε πυκνοῦσθαι, καὶ διὰ τὸ παρ' ἕκαστον τῶν μερῶν εἶναι τὴν σάξιν (μᾶλλον γὰρ σάττεται κατὰ μικρὸν σαττόμενον ἅπαν ἢ ἀθρόον), τούτου δὲ γινομένου ὑποκαταβαίνειν τὴν κονίαν· ἅμα δὲ καὶ ἡ τέφρα εἰς αὐτὴν δέχεται τὸ ὑγρὸν διὰ τὸ ἔχειν κοιλίας. ἡ δὲ βαλλομένη τέφρα εἰς τὸ ὕδωρ θερμὴ οὖσα τέμνει αὐτὸ καὶ ἐξαεροῖ. καὶ πρότερον δὲ ὕδατος ἐγχυθέντος καὶ ὕστερον κονίας ἐμπιπτούσης τὸ αὐτὸ γίνεται, ὥστε καὶ τὸ ὕδωρ ἔχοι ἂν κοιλίας καὶ διάκενα αὐτὸ ἐν αὑτῷ. ἢ οὐ τὸ ὕδωρ τὸ δεχόμενον τὴν κονίαν, ἀλλ' ἡ κονία τὸ ὕδωρ; τὸ γὰρ λεπτομερέστερον εἰκὸς εἶναι τὸ εἰσιόν. ἔτι καὶ ἐκ τῆς πείρας δῆλον. ὅταν γὰρ ἐπιπάττηται ἡ τέφρα, καθ' ὃν ἂν

1. ὁμοίως φωνῇ C^a. ‖ 2. βοαὶ C^aY^a. ‖ ἀκούουσιν C^aX^a. ‖ 4. ἕλη] ἰλ X^aY^a. ‖ ἀντικρύεται C^aY^a. ‖ 5. ἐν δὲ τοῖς C^a. ‖ 9. ποιεῖ C^aX^a. ‖ 13. πύνδυκα C^a. ‖ ἂν X^a. ‖ 14. εἰ] καὶ C^a. ‖ 19. δὲ om C^a. ‖ 26. κρατεῖ C^a. ‖ 31. παύεται X^a. ‖ 32. ὑποφασκούσης Y^a. ‖ 37. ψύχει et πνίγει C^a. ‖ 38. γὰρ om C^a. ‖ 39. θέρους δὲ C^aY^a.

6. τῆς om C^a. ‖ 10. οὐ ἀπλήστη C^a. ‖ 11. ἄν τι μένει Y^a, ἄν τι μενεῖ X^a, ἀντιμένοι C^a. ‖ 16. διότι X^a. ‖ ὁ om Y^a. ‖ 17. ἔτι C^a, ἔτι Y^a, ἐν ᾗ X^a. ‖ 18. ἐκθλίβεται C^a. ‖ 19. καὶ ante ἐκ om C^a. ‖ 23. πλείων ὁ ἀὴρ X^a. ‖ 27. τὸ ὕδωρ om C^a. ‖ 28. συνσάττει Y^a. ‖ 36. ἔχει C^a. ‖ 39 et 939 a 1. ἐπιτάττηται C^a.

τόπον ἐπιπάττηται, εἰς τοῦτον συρρεῖ τὸ ἄλλο ὕδωρ· ἔδει δὲ τὸ ἐναντίον, εἴπερ ἦν τὸ ὕδωρ τὸ δεχόμενον. ἢ οὐ συμβαίνει τοῦτο, ἐὰν πρότερον ἐγχυθῇ τὸ ὕδωρ καὶ σφόδρα διαμεστώσῃ· ἀλλ᾽ ἐὰν ὁτιοῦν ἐπιβληθῇ, ὑπερχεῖται. ἐὰν δ᾽ ἅπαξ ὑπερχυθῇ καὶ ἐπιπέσῃ ἡ τέφρα, ἤδη συμβαίνει· ἡ γὰρ τέφρα ἦν δεχομένη. ταὐτὸ δὲ τοῦτο καὶ ὅτι οἱ βόθυνοι τὴν ἐκβληθεῖσαν ἐξ αὐτῶν γῆν οὐ δέχονται· ἔοικε γὰρ δὴ ἀήρ τις προκαταλαμβάνων τὸν τόπον καὶ διὰ τοῦτο μὴ δέχεσθαι.

9 Διὰ τί ὁ ἀὴρ παχύτερος ὢν τοῦ φωτὸς διέρχεται διὰ τῶν στερεῶν; ἢ διότι τὸ μὲν φῶς κατ᾽ εὐθεῖαν φέρεται μόνον, διὸ καὶ διὰ τῶν ἀραιῶν οὐ διορᾷ ἡ ὄψις, οἷον κισήριδος; ἐπαλλάττουσι γὰρ οἱ πόροι· ἀλλ᾽ οὐκ ἐν τῇ ὑάλῳ. ὁ δὲ ἀὴρ οὐ κωλύεται διὰ τὸ μὴ εὐθυπορεῖν οὗ διέρχεται.

10 Διὰ τί ὁ ἀὴρ ψυχρὸς μὲν γίνεται διὰ τὸ ἅπτεσθαι τοῦ ὕδατος, δίυγρος δὲ οὔ, κἂν σφόδρα τις φυσᾷ εἰς τὸ ὕδωρ ὥστε κυμαίνειν; ὅτι δὲ ψυχρός, δηλοῖ μεθιστάμενος· ψύχει γὰρ ἀπὸ τῶν ὑδάτων. ἢ ὅτι ψυχρὸς μὲν πέφυκεν εἶναι καὶ θερμός, ὥστε μεταβάλλει τῇ ἁφῇ οὗ ἄν τινος ἅπτηται, ὑγρὸς δὲ οὐκέτι διὰ τὸ κουφότερος εἶναι· καὶ οὐδέ ποτε εἰς τὸ βάθος τοῦ ὕδατος ἔρχεται, ἀλλ᾽ ἀεὶ τοῦ ἐπιπέδου ἅπτεται, κἂν βιάζηται κάτω· καὶ τὸ ὕδωρ ἔτι κατωτέρω φέρεται, ὥστε μήποτε εἰς βάθος ἰέναι.

11 Διὰ τί ὁ ἐκ τῶν πομφολύγων καὶ κάτωθεν ἀνιὼν οὐ διερὸς ἐξέρχεται; ἢ διότι οὐκ ἐπιμένει τὸ ὑγρόν, ἀλλ᾽ ὀλισθαίνει τὸ ὕδωρ; τὸ δ᾽ ἐπὶ τῇ πομφόλυγι καὶ ἔλαττόν ἐστιν ἢ ὥστε διαιρεῖν.

12 Διὰ τί ὁ ἀὴρ οὐκ ἀναπίμπλησι, τὸ δὲ ὕδωρ; καὶ εἰς τὸν ἀέρα γὰρ μετατιθέμενον διερόν. ἢ ὅτι ὥσπερ οὐδὲ ὁ λίθος; οὐ γὰρ πᾶν ἐστὶν ἀναπληστικόν, ἀλλὰ τὸ γλίσχρον ἢ ὑγρόν.

13 ἢ ὅτι ὁ ἀὴρ ἄνω φέρεται; ὁ γὰρ ἀσκὸς ὅταν μὲν κενὸς ᾖ, κάτω φέρεται, ὅταν δὲ φυσηθῇ, ἄνω ἐπιμένει διὰ τὸ τοῦτον ἀναφέρειν. εἰ δὲ ὁ ἀὴρ ἀνακουφίζει καὶ κωλύει κάτω φέρεσθαι, διὰ τί βαρύτεροι γίνονται φυσηθέντες; καὶ πῶς, ὅτε μὲν βαρύτερός ἐστιν, ἐπιμένει, κουφότερος δὲ γενόμενος καταφέρεται;

14 Διὰ τί ὁ ἀὴρ οὐκ ἄνω φέρεται; εἰ γὰρ τὰ πνεύματα τούτου κινουμένου ὑπὸ τοῦ θερμοῦ γίνεται, πέφυκε δὲ τὸ πῦρ ἄνω φέρεσθαι, καὶ τὸ πνεῦμα εἰς τὸ ἄνω ἐβάδιζεν, εἴπερ τό τε κινοῦν εἰς τὸ ἄνω θεῖ καὶ τὸ κινούμενον οὕτω πέφυκε φέρεσθαι. νῦν δὲ φαίνεται λοξὴν τὴν φορὰν ποιούμενος.

15 Διὰ τί τὸ ἀφ᾽ ἕω ψυχρότερον ἢ τὸ ἀφ᾽ ἑσπέρας; ἢ ὅτι τὸ μὲν ἐγγύτερον μέσων νυκτῶν, τὸ δὲ μεσημβρίας; ἔστι δὲ ἡ μεσημβρία θερμότατον διὰ τὸ εἶναι ἐγγύτατον ἡλίου, αἱ δὲ μέσαι νύκτες ψυχρότεραι διὰ τὸ ἐναντίον.

16 Διὰ τί αἱ νύκτες τῶν ἡμερῶν ἐν ταῖς ἀλέαις πνιγηρότεραι; ἢ διὰ τὴν ἄπνοιαν; οἱ γὰρ ἐτησίαι καὶ πρόδρομοι τὰς νύκτας ἧττον πνέουσιν.

17 Διὰ τί τὰ ἐν τοῖς ἀσκοῖς ἄσηπτα φυσηθεῖσι, καὶ ἐν τοῖς περιπωματιζομένοις; ἢ διότι σήπεται μὲν κινούμενα, ἅπαντα δὲ τὰ πλήρη ἀκίνητα, ταῦτα δὲ πλήρη.

18 Διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται ἢ ἐπινεφέλων ὄντων; τὰ δὲ ἄστρα καὶ ὁ οὐρανὸς θερμός. ἢ ὅτι οὐθὲν ἀποστέγει ἐν τῇ αἰθρίᾳ τὴν ἀτμίδα, ἀλλὰ διαχεῖται· ἐν δὲ τοῖς ἐπινεφέλοις ἀποστέγεται; καὶ βορείων γε ἢ νοτίων διὰ τὸ αὐτό· ὁ μὲν γὰρ νότος ἄγει τὸ τοιοῦτον, ὁ δὲ ἀπωθεῖ. καὶ ἀτμίζειν δὲ φαίνεται βορείοις μᾶλλον ἢ νοτίοις, καὶ χειμῶνος ἢ θέρους. ἢ παρὰ τὸ ἀνόμοιον; ἢ ὅτι θερμοῦ ψυχομένου ἐστὶν ἡ ἀτμίς;

19 Διὰ τί ἀὴρ ὁ ἐλάττων θερμότερος τοῦ πλείονος; αἱ γὰρ στενοχωρίαι ἀλεεινότεραι. ἢ διότι κινεῖται μᾶλλον ὁ πολύς, ἡ δὲ κίνησις ποιεῖ ψυχρόν; σημεῖον δὲ τούτου, ὅτι κινούμενα ψύχεται τὰ θερμά.

20 Διὰ τί ὕδωρ μὲν καὶ γῆ σήπεται, ἀὴρ δὲ καὶ πῦρ οὐ σήπεται; ἢ ὅτι θερμότατον γίνεται τὸ σηπόμενον ἅπαν, πυρὸς δὲ οὐθὲν θερμότερον; ἢ ὅτι ψυχθῆναι δεῖ πρότερον, τὸ δὲ πῦρ ἀεὶ θερμόν, ὁ δὲ ἀὴρ πυρὸς πλήρης. σήπεται δὲ οὐθὲν θερμόν, ἀλλὰ ψυχθέν· γῆ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ θερμὰ καὶ ψυχρὰ γίνεται.

21 Διὰ τί τὰ ἐπινέφελα ἀλεεινότερα τῶν αἰθρίων; πότερον ὡς οἱ ἀρχαῖοι ἔλεγον, ὅτι τὰ ἄστρα ψυχρά; ἢ λίαν τοῦτό γε ἄτοπον, ἀλλὰ διότι ἀτμίζει; ἐπισημαντέον δὲ ὅτι ἐν νηνεμίᾳ ἡ δρόσος καὶ ἡ πάχνη γίνεται. ὅταν μὲν οὖν αἰθρία ᾖ, διαπνεῖ τὸ θερμόν, ὑφ᾽ οὗ ἀνάγεται τὸ ὑγρόν, ὥστε ψυχρὸς ὁ ἀήρ· διὸ καὶ δροσίζει ἀφιέμενον τὸ ὑγρὸν ἀπὸ τοῦ θερμοῦ. ὅταν δὲ ἐπινέφελον ᾖ, ἀποστέγεται, διὸ οὐ

1. τοῦτο $C^a Y^a$. ‖ 2. τὸ post ὕδωρ om $X^a Y^a$. ‖ 3. ἐὰν πρότερον om C^a. ‖ 10. ὁ om $C^a Y^a$. ‖ 13. κισσήριδος X^a, κισσίριδος C^a. ‖ τοῦ C^a. ‖ 16. τὸ] τὸ μὴ $C^a X^a Y^a$. ‖ 23. κατώτερον C^a. ‖ 24. εἰσιέναι C^a. ‖ 25. ἰὼν οὐ δι᾽ ἀέρος C^a. ‖ 26. ὀλισθάνει Y^a. ‖ 28. διερεῖν Y^a. ‖ 30. ὁ om C^a. ‖ 33. γὰρ] δὲ C^a.

1. τούτου] τοῦ $C^a Y^a$. ‖ 3. τε om X^a. ‖ 8. τοῦ ἡλίου C^a. ‖ 10. ἐτήσιοι C^a. ‖ 18. γε] τε C^a. ‖ 19. μὲν om C^a. ‖ 23. ὁ ἀὴρ ἐλάττων C^a. ‖ 31. καὶ ὕδωρ om $C^a Y^a$. ‖ 37. ἀφ᾽ C^a.

γίνεται δρόσος ἐδὲ πάχνη ὄντων ἐπινεφέλων. περὶ ἓν τὴν γῆν ὑπομένον τὸ θερμὸν ποιεῖ τὴν ἀλέαν.

22 Διὰ τί ἐν τοῖς ὑψηλοῖς τῶν οἴκων ὁ ἀὴρ διευριπίζει, καὶ μάλιςα ταῖς εὐδίαις; ἢ διότι ὁ ἀὴρ πολύκενός τίς ἐςι τὴν σύγκρισιν. ὅταν οὖν ἄρξηται εἴσω ῥεῖν, συγχωρεῖ ὁ ἐν τῷ οἰκήματι ἀὴρ καὶ συςέλλεται. τούτε δὲ συμπίπτοντος τῷ χρόνῳ πολυκενώτερος γίνεται ὁ ἔξωθεν, καὶ χώραν πολλὴν ἴσχει. εἰς ταύτην ἐν τὴν χώραν πίπτει ὁ ἐκ τῦ οἰκήματος ἀήρ, ὢν πλησίον, καὶ φέρεται εἰς ταύτην τὴν χώραν διὰ τὸ κρέμασθαι καὶ τὴν τῦ κενῦ φύσιν μὴ δύνασθαι ἀντιςηρίζειν. κατὰ πολλὰ δὲ αὐτῦ μέρη τύτου συμβαίνοντος, ἕπεται αὐτῷ ὁ πλησίον· διὰ τὴν πρόσοψιν· εἶτα πολλῦ ἔξωθεν φερομένε ὁ μὲν ἔσω τόπος πολύκενος γίνεται, ὁ δὲ ἔξω πυκνότερος, καὶ πάλιν ἔξωθεν εἴσω φέρεται. καὶ ταῦτα ἀλλάσσονται.

ΚϚ. ΟΣΑ ΠΕΡΙ ΤΟΥΣ ΑΝΕΜΟΥΣ.

Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ' ἑαυτὸν ἄγει τὰ νέφη; ἢ ὅτι ἀφ' ὑψηλοτέρων τόπων πνεῖ; ἔςι γὰρ τὰ πρὸς ἕω ὑψηλότερα τῶν πρὸς ἑσπέραν· σημεῖον δὲ τὸ τῆς πρὸς ἑσπέραν θαλάττης μέγεθος καὶ βάθος. πνέων δὲ ἄνωθεν εἰς τὐναντίον γραμμὴν ποιεῖ τῇ φορᾷ τὰ κοῖλα πρὸς τὴν γῆν ἔχουσαν. προσπίπτων δέ, ὡς εἴρηται, τοῖς πρὸς ἑσπέραν τῆς γῆς τόποις, καὶ συςέλλων τὰ νέφη διὰ τὸ τῆς γραμμῆς σχῆμα, τῇ ἐκεῖθεν ἀνακλάσει ἐπ' αὐτὸν ὠθεῖ αὐτά. ποιεῖ δὲ μόνος τῦτο τῶν λοιπῶν τῷ τὲς μὲν ὑψηλοτέρες τὲς δ' ἐναντίες εἶναι τόπες, πρὸς ὓς ἐκ τῦ κάτωθεν ἢ ἐπ' εὐθείας τὴν φορὰν γίνεσθαι συμβαίνει, τὰ κυρτὰ πρὸς τὴν γῆν ἐχούσης, ὥστε ἀνάκλασιν μὴ γίνεσθαι τοῦ πνεύματος τῷ μὴ πρὸς τὴν γῆν ἐχούσης ἀέρα ἔχειν τὴν τελευτὴν τῆς φορᾶς, ἐν ᾧ οὐδὲ νέφη ἐστὶ περὶ τὴν γῆν· τοῖς δὲ ἧττον κοίλοις καὶ τῷ ἀπηλιώτῃ τῷ μὴ εἶναι ὑγρόν. ὥςε ἐ συνιςὰς ἧττον καταφανής ἐςιν αὐτῦ ποιῶν τῦτο ὃ ποιεῖ.

2 Διὰ τί Βορέαι μὲν ἐτήσιοι γίνονται, νότοι δὲ οὔ; ἢ γίνονται μὲν καὶ νότοι, ἀλλ' ἐ συνεχεῖς, ὅτι πόρρω ἡμῶν ἡ ἀρχὴ τοῦ νότου ἐςίν, ὑπὸ δὲ τῷ Βορέᾳ οἰκῦμεν; ἔτι οἱ μὲν ἐτησίαι Βορέαι καθεςηκότος τοῦ ἀέρος πνέουσι (θέρους γὰρ πνέυσιν), οἱ δὲ νότοι ἦρος, ὅθ' ἧττον ἕςηκε τὰ περὶ τὸν ἀέρα. πρὸς δὲ τούτοις ὁ μὲν νότος ὑγρός, τῷ δ' ὑγρῷ ὁ ἄνω τόπος ἀλλότριός ἐστιν· διὸ ταχὺ διαλύεται τὰ ἐν αὐτῷ συνιστάμενα ὑγρά. καὶ τὰ ὑγρὰ πλανητικά ἐστιν, ὥςε οὐ μένων ἐν ταὐτῷ τόπῳ συμμεθίστησι καὶ τὴν τοῦ ἀέρος κίνησιν. κινεμένε δὲ μὴ ἐν ταὐτῷ πνεύματα ἄλλα συμβαίνει γίνεσθαι· ἔςι γὰρ πνεῦμα ἀέρος κίνησις.

Διὰ τί νότος πνεῖ μετὰ πάχνην; ἢ διότι ἡ μὲν 3 πάχνη γίνεται πέψεως γινομένης, μετὰ δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν ἡ μεταβολὴ εἰς τὐναντίον γίνεται; ἐναντίον δὲ τῷ Βορρᾷ νότος ἐςίν. διὰ ταὐτὸ δὲ καὶ μετὰ τὴν χιόνα πνεῖ νότος. ὅλως δὲ καὶ ἡ χιὼν καὶ ἡ χάλαζα καὶ τὸ ὕδωρ καὶ πᾶσα ἡ τοιαύτη ἀποκάθαρσις πέψεως σημεῖόν ἐστιν. διὸ καὶ μετὰ τὸν ὑετὸν καὶ τὰς τοιαύτας χειμασίας πίπτει τὰ πνεύματα.

Διὰ τί αἱ τροπαὶ πνέυσιν; ἢ διὰ τὸ αὐτὸ ὃ καὶ οἱ εὔριποι ῥέυσιν; μέχρι γὰρ τῦ ῥεῖν καὶ ἡ θάλαττα φέρεται καὶ ὁ ἀήρ· εἶθ' ὅταν ἀντιπέσῃ καὶ μηκέτι δύνηται τὰ ἀπόγεια προάγειν διὰ τὸ μὴ ἰσχυρὰν ἔχειν τὴν ἀρχὴν τῆς κινήσεως καὶ φορᾶς, πάλιν ἀνταποδίδωσιν.

Διὰ τί αἱ τροπαὶ ἐκ τῆς θαλάττης εἰσίν; ἢ ὅτι ἡ 5 θάλαττα πλησίον; ἢ ὅτι ἐναντίον ἐςὶ τῇ ἀπογείᾳ ἡ τροπαία, καὶ ἔςιν ἡ τροπαία οἷον ἀναςροφὴ ἀπογείας. ἡ δὲ ἀπογεία τὸ ἐκ τῆς γῆς πρὸς τὴν θάλατταν πνεῦμα γινόμενον, ἡ δὲ τροπαία ἡ τύτε παλίρροια. ὥςε ἀνάγκη ἐκ θαλάττης εἶναι. [ἢ ἡ θαλαττά ἐστι] διὰ τὸ εἰς τὴν θάλατταν ἀθροισθῆναι τὸν ῥυέντα ἀέρα; τῦ δὲ μὴ εἰς τὴν γῆν τῦτο συνίςασθαι καὶ τῦ ἀνακάμπτειν ἀπιὸν αἴτιον, ὅτι ἡ θάλαττα ἐν κοίλῳ ἐςίν· ὁ δὲ ἀήρ, ὥσπερ τὸ ὕδωρ, ῥεῖ ἀεὶ εἰς τὸ κοιλότατον.

Διὰ τί οἱ ἐκνεφίαι ὕδατος γενομένε θᾶττον παύονται; ἢ ὅτι αἱ κοιλίαι συμπίπτυσι τῦ νέφυς, ὕδατος γενομένου, ἐν αἷς ἡ ἀρχὴ τῦ πνεύματος συνίςαται;

Διὰ τί ἐχ οἱ αὐτοὶ ἄνεμοι πανταχῦ ὑέτιοί εἰσιν; ἢ ὅτι ἐχ οἱ αὐτοὶ πανταχῦ πρὸς ὄρη ἀντιπνέυσιν, ἀλλ' ἕτεροι κεῖνται πρὸς ἕτερα ὄρη; οἷον γὰρ πρὸς ἀνάντη μᾶλλον ῥεόντων, ἐνταῦθα ὑφίςαται μᾶλλον τὰ νέφη, οὗ ἀδυνατεῖ ἔτι προωθεῖν αὐτὰ ἄνεμος. ὑφιςάμενα δὲ καὶ πιεζόμενα ῥήγνυται.

13. εἴσω X^a. ‖ 21. θαλάσσης s. ‖ 22. τῇ δὲ φορᾷ C^a. ‖ 26. μόνον s. ‖ τῷ om C^a et pr Y^a. ‖ 28. τὴν φορὰν om C^a. ‖ 30. ἔχει C^a. ‖ 31. οὐδὲ νεφέλη s, οὐδὲν ἔφη C^a. ‖ περὶ] πρὸς X^a. ‖ 33. συνιςὰν s. ‖ ὃ] ὃ οὐ Y^as, ἢ οὐ C^a. ‖ 36. νότιοι ἀλλ' ἐδὲ C^a. ‖ 37. τὸν Βορέαν C^a. ‖ ἔτι] ὅτι X^a. ‖ 38. ἐτησίοι C^as. ‖ θέρους γὰρ πνέυσιν om s.

5. μένον C^a. ‖ 6. ἄλλα πνεύματα C^a. ‖ 9. τὴν om s. ‖ 12. καὶ post δὲ om X^a. ‖ 14. τὸν om $X^a Y^a$. ‖ 17. καὶ om X^a. ‖ θάλασσα s. ‖ 21. θαλάσσης Y^as. ‖ ὅτι] ὅτι ὅταν s, ὅτι ἅπαν X^a, ὅταν $C^a Y^a$. ‖ 22. θάλασσα C^as. ‖ ἢ] ἢ C^a. ‖ 23. ἀπογέας Y^a, ἀπογαίας C^a. ‖ 24. θάλασσαν s et 25. θάλασσης et ubique similiter. ‖ 26. ἢ ἡ θάλαττά ἐςι om C^a. ‖ 28. αἴτιον om $C^a X^a$s. ‖ 29. κοιλότερον C^a. ‖ 30. γινομένε C^a. ‖ 31. ἢ om $C^a X^a Y^a$. ‖ 33. ὑέτιοί — 34. πανταχῦ om C^a. ‖ 37. πιεζούμενα Y^as.

Διὰ τί αἱ μὲν καθαραὶ δύσεις εὔδιεινὸν σημεῖον, αἱ τεταραγμέναι χειμερινόν; ἢ ὅτι χειμὼν γίνεται συνι- ιένυ καὶ πυκνυμένυ τοῦ ἀέρος; ὅταν μὲν οὖν κρατῇ ὁ ς, διακρίνει καὶ αἰθριάζει αὐτόν, ὅταν δὲ κρατῆται, εφῆ ποιεῖ. ἐὰν μὲν οὖν ἰσχυρὰ ᾖ ἡ σύστασις, εὐθὺς ιας γίνεται χειμών· ἐὰν δὲ ἀσθενεστέρα, μὴ παντά- ι δὲ κρατυμένη, τὸ συνιστάμενον ἐξωθεῖται πρὸς τὰς εις. ἐνταῦθα δὲ μένει διὰ τὸ παχύτατον εἶναι τὸν περὶ γῆν ἀέρα τοῦ χειμῶνος. ταχὺ δὲ συνίςαται καὶ ὁ λος διὰ τὸ ἔχειν ἀρχὴν καὶ ἔρεισμα, ὃ δέξεται καὶ ίσει τὸ προσιὸν καθάπερ ὄρθρος· ὥσπερ γὰρ ἐν τροπῇ ἀντιςάντος καὶ οἱ ἄλλοι μένουσιν, οὕτω καὶ ἐπὶ τοῦ ς. διὸ ταχὺ καὶ ἐξαίφνης ἐνίοτε γίνεται καὶ ἐπινέ- α. ὅταν ὖν αἱ δύσεις τεταραγμέναι ὦσι, σημεῖόν ἐςιν ιρὸν ὅτι οὐ κεκράτηκεν ὁ ἥλιος τῆς συςάσεως, πολὺν ιον ἐναντιύμενος αὐτῇ, ὥςε εἰκότως ἔςι συςῆναι πλέον. ἧττον δέ ἐστι φοβερόν, ὅταν προχειμάσαντος ἢ ὅταν ὐδίας τοῦτο συμβῇ. ἐκείνως μὲν γὰρ ἔοικεν ὥσπερ λειμμά τι εἶναι, ὕτω δὲ ἀρχὴ συςάσεως.

Διὰ τί λέγεται "ὗ ποτε νυκτερινὸς Βορέας τρίτον ἵκετο γος;" ἢ διότι ἀσθενῆ τὰ πνεύματα τὰ ἀπὸ τῆς ἄρκτυ, ἢ νυκτερινά; σημεῖον γὰρ ὅτι ὐ πολὺς ὁ κινηθεὶς ἀήρ, ηνικαῦτα πνεῦσαι, ὅτε ὀλίγη θερμότης ὑπῆρχεν· ἡ δὲ η ὀλίγον ἐκίνει ἀέρα. τελευτᾷ δὲ ἐν τρισὶ πάντα, τὰ ἐλάχιστα ἐν τῇ πρώτῃ τριάδι, ὥςε καὶ τοῦτο τὸ ιμα.

Διὰ τί ὁ Βορέας πυκνότερον πνεῖ ἢ ὁ νότος; ἢ ὅτι ὁ Βορέας γειτνιῶν τῇ οἰκυμένῃ ὐ λανθάνει ὀλιγοχρόνιος (ἅμα γὰρ πνεῖ καὶ πάρεςιν), ὁ δὲ νότος ὐκ ἀφικνεῖ- διὰ τὸ πόρρωθεν πνεῖν.

Διὰ τί ὁ νότος ἧττον μετὰ χειμερινὰς νύκτας πνεῖ εθ' ἡμέρας; ἢ ὅτι καὶ τῆς νυκτὸς ὁ ἥλιος ἐγγύς ἐςι τῇ νότον χώρᾳ, καὶ ἀλεεινότεραι αἱ νύκτες ἐκεῖ ἢ πρὸς τον αἱ ἡμέραι; ὥστε πολὺς κινεῖται ὁ ἀήρ, καὶ οὐθὲν των ἢ μεθ' ἡμέραν· ἀλλ' αἱ θερμότεραι ἡμέραι κω- τι μᾶλλον πνεῖν, ξηραίνυσαι τὰς ὑγρότητας.

Διὰ τί ἐπὶ κυνὶ ὁ νότος πνεῖ, καὶ τῦτο ὥσπερ τι ἄλλο ται τεταγμένως; ἢ διότι θερμὰ τὰ κάτω, τῦ ἡλίυ πόρρω ;, ὥςε πολλὴ ἡ ἀτμὶς γίνεται; καὶ πολλοὶ δὴ ἔπνεον, εἰ μὴ διὰ τοὺς ἐτησίας. νῦν δὲ οὗτοι κωλύουσιν. ἢ ὅτι ἐπὶ πᾶσι μὲν σημαίνει τοῖς ἄςροις δυομένοις ἢ ἐπιτέλλυσιν, ὐχ ἥκιςα δὲ ἐπὶ τύτῳ; δῆλον ὖν ὅτι πνεύματα μάλιςα ἐπὶ τύτῳ καὶ μετ' αὐτόν. ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπ' αὐτῷ τὰ θερμότατα κινεῖται· ὁ δὲ νότος θερμός ἐςιν. ἐπεὶ δὲ εἴθιςαι μάλιςα ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν, πρὸ κυνὸς δὲ οἱ πρόδρομοι πνέυσιν ὄντες βορέαι, εἰκότως μετὰ κύνα νότος πνεῖ, ἐπειδὴ ἐπισημαίνει μέν, ἐπιτέλλυσι δὲ τοῖς ἄςροις. τὸ δὲ ἐπισημαίνειν ἐςὶ μεταβολὴν τοῦ ἀέρος ποιεῖν· μεταβάλλει δὲ πάντα εἰς τοὺς ἐναντίυς ἢ τὺς ἐπὶ δεξιὰ ἀνέμυς τὰ πνεύματα. ἐπεὶ δὲ Βορέας εἰς τοὺς ἐπιδεξίυς μεταβάλλει, εἴη ἂν αὐτῷ λοιπὸν εἰς νότον μεταβάλλειν. ἔςι δὲ καὶ ἡ μετὰ τὰς χειμερινὰς τροπὰς πεντεκαιδεκάτη νότιος, διὰ τὸ τὰς μὲν τροπὰς ἀρχήν τινα εἶναι, κινεῖν δὲ τὸν κατ' αὐτὴν μάλιςα ἀέρα τὸν ἥλιον, εἶναι δὲ ἐν ταύταις ταῖς τροπαῖς πρὸς νότον. καθάπερ ὖν καὶ τὰ ἀπ' ἀνατολῆς κινῶν ἀπηλιώτας ἀνέμυς ἤγειρεν, ὕτω καὶ τὰ ἀπὸ μεσημβρίας κινῶν νότυς ἐγείρει. οὐκ εὐθὺ δὲ ἀπὸ τροπῶν ποιεῖ τῦτο διὰ τὸ βραχυτάτας ποιεῖσθαι τὰς μεταςάσεις τότε, ἀλλ' ἐν τῇ πεντεκαιδεκάτῃ διὰ τὸ τὸν χρόνον τῦτον συμμέτρως ἔχειν τῇ κατὰ τὴν μετάςασιν πρώτῃ φαντασίᾳ· ὅλου γάρ ἐςι μέρος εὐσημότατον ὁ εἰρημένος χρόνος.

Διὰ τί ἐπὶ Ὠρίωνι γίνονται αἰόλοι μάλιςα αἱ ἡμέραι καὶ ἀκαιρίαι τῶν πνευμάτων; ἢ ὅτι ἐν μεταβολῇ ἀεὶ πάντα ἀοριστεῖ μάλιστα, ὁ δ' Ὠρίων ἀνατέλλει μὲν ἐν ἀρχῇ ὀπώρας, δύνει δὲ χειμῶνος, ὥςε διὰ τὸ μήπω καθεςάναι μίαν ὥραν, ἀλλὰ τὴν μὲν γίνεσθαι τὴν δὲ παύεσθαι, διὰ ταῦτα ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάςατα εἶναι διὰ τὸ ἐπαμφοτερίζειν τὰ ἐξ ἑκατέρας. καὶ χαλεπὸς δὴ λέγεται καὶ δύνων καὶ ἀνατέλλων ὁ Ὠρίων διὰ τὴν ἀοριςίαν τῆς ὥρας· ἀνάγκη γὰρ ταραχώδη εἶναι καὶ ἀνώμαλον. 13

Διὰ τί ὁ νυκτερινὸς Βορέας τριταῖος λήγει; πότερον ὅτι ἀπὸ μικρᾶς καὶ ἀσθενῦς ἀρχῆς, ἡ τρίτη δὲ κρίσιμος; ἢ ὅτι ἀθρόος ἡ ἔκχυσις, ὥσπερ τῶν ἐκνεφιῶν; ταχεῖα ὖν ἡ παῦλα. 14

Διὰ τί βορέαι πλεῖςοι πνέυσι τῶν ἀνέμων; ἢ διὰ τὸ πρὸς τύτῳ τὴν οἰκυμένην τῷ τόπῳ ὑποκεῖσθαι ὄντι ὑψηλῷ 15

1. ῥέσεις C^a. ‖ εὔδιινὸν Y^a. ‖ 7. δὲ om C^a. ‖ 11. καθά που s. ‖ 13. διὸ] διὸ καὶ C^a. ‖ 17. προχειμάσαντα s. ‖ 18. μὲν om X^a. ‖ Βορρέας C^a. ‖ 21. φθέγγος s. ‖ 23. ὀλίγη om X^a. ‖ 27. ὁ βορέας — ὅτι om $C^aX^aY^a$s. ‖ 31. διὰ — ἡμέρας ἢ om $C^aX^aY^a$s. ‖ πολὺ X^a. ‖ δὲ X^a.

1. ἐτησίους s. ‖ δὲ om C^a. ‖ ἢ — 23. χρόνος] haec cap. 32 ponunt codices. ‖ 6. ἤθιςαι C^aX^a. ‖ μάλιςα om s. ‖ 7. δρόμοι 14. νότος C^a. ‖ 17. ἀνατολῶν s. ‖ ἀπηλιώτης X^a. ‖ 23. εὐσημότερον s. ‖ 24. ὠρίων C^a. ‖ μάλιςα αἰόλοι C^a. ‖ αἱ om s. ‖ 26. C^a. ‖ 28. γενέσθαι s. ‖ 31. δὲ X^a.

καὶ ἔξω τροπῶν καὶ πλήρει χιόνος, ἢ οὐδέποτε ἔνια ὄρη λείπει; τὸ πολὺ ὃν ὑγραινομένων τῶν πεπηγότων πολλάκις πνεῦμα γίνεται. τοῦτο δέ ἐςι βορέας, τὸ ἐκ τῶν ἀπὸ τῆς ἄρκτυ τόπων πνεῦμα.

16 Διὰ τί οἱ νότοι πνέυσι μὲν χειμῶνος καὶ ἔαρος ἀρχομένυ καὶ μετοπώρυ λήγοντος, εἰσὶ δὲ κυματοειδεῖς καὶ συνεςραμμένοι, καὶ τοῖς ἐν Λιβύῃ ὁμοίως ψυχροὶ ὡς οἱ βορέαι ἐνταῦθα; ἢ διότι πλησίον τοῦ ἡλίου ὄντος ἀνάγκη κινεῖσθαι τὰ πνεύματα; ὁ δὲ ἥλιος τῦ χειμῶνος πρὸς νότον φέρεται, καὶ τῦ μὲν ἔαρος ἀρχομένυ τῦ δὲ μετοπώρυ τελευτῶντος ἤδη θερμαίνει, τὸ δὲ θέρος πρὸς βορέαν φέρεται, ἐκείνυς δὲ ἀπολείπει τὺς τόπυς. θερμὸς δέ ἐςι διὰ τὸ μίγνυσθαι τὸ πνεῦμα τῷ κατὰ Λιβύην ἀέρι θερμῷ ὄντι· καὶ διὰ τοῦτο μεγαλοκύμων νοτίζειν ποιεῖ τὸ θέρος, ἐμπίπτων εἰς τὴν θάλατταν.

17 Διὰ τί ὁ νότος δυσώδης; ἢ ὅτι ὑγρὰ καὶ θερμὰ ποιεῖ τὰ σώματα, ταῦτα δὲ σήπεται μάλιστα; οἱ δὲ ἐκ τῆς θαλάττης νότοι ἀγαθοὶ φυτοῖς· ἐκ θαλάττης γὰρ αὐτοῖς προσπίπτει. καὶ τῆς Ἀττικῆς τῷ Θριασίῳ πεδίῳ αἴτιον, διότι ἀπεψυγμένος ἀφικνεῖται. αἱ δ' ἐρυσίβαι γίνονται ὑπὸ ὑγρότητος θερμῆς μὲν ἀλλοτρίας δέ.

18 Διὰ τί ἄνεμος γίνεται πρὸ τῶν ἐκλείψεων ὡς τὰ πολλά, ἀκρόνυχον μὲν πρὸ τῶν μεσονυκτίων ἐκλείψεων, μεσονύκτιον δὲ πρὸ τῶν ἑώων; ἢ διότι ἀμαυρῦται τὸ θερμὸν τὸ ἀπὸ τῆς σελήνης διὰ τὸ πλησίον ἤδη φορὰν εἶναι, ἐν ᾧ γενομένῳ ἔςαι ἡ ἔκλειψις; ἀνιεμένου οὖν ᾧ κατείχετο ὁ ἀὴρ καὶ ἠρέμει, πάλιν κινεῖται καὶ γίνεται πνεῦμα τῆς ὀψιαίτερον ἐκλείψεως ὀψιαίτερον.

19 Διὰ τί ὁ νότος οὐκ ἀρχόμενος ἀλλὰ λήγων ὕέτιος; πότερον ὅτι πόρρωθεν συνάγει τὸν ἀέρα; γίνεται δὲ συνιστάντος τὸ ὕδωρ, συνίσταται δὲ ὕςερον ἢ ἄρχεται. ἢ ὅτι ἀρχομένυ θερμός ἐςιν ὁ ἀὴρ ἔτι διὰ τὸ ἐκ τοιύτυ ἐληλυθέναι, ἐπιχρονιζόμενος δὲ ψυχθεὶς συνίσταται μᾶλλον εἰς ὕδωρ.

20 Διὰ τί ὁ νότος, ὅταν μὲν ἐλάττων ᾖ, αἴθριός ἐστιν, ὅταν δὲ μέγας, νεφώδης καὶ χρονιώτερος; πότερον, ὥσπερ τινὲς λέγυσι, διὰ τὴν ἀρχήν; ἐὰν μὲν γὰρ ἀπ' ἐλάττονος, αἴθριος, ἐὰν δὲ ἀπὸ πλείονος ὁρμήσῃ, νεφελώδης. ἢ ὅτι ἐλάττων ἀρχόμενός ἐστιν, ὥστε οὐ πολὺν ἀέρα ὠθεῖ, ἐπὶ τέλει δὲ εἴωθε γίνεσθαι μέγας. διὸ καὶ παροιμι "ἀρχομένυ γε νότυ καὶ λήγοντος βορέαο."

Διὰ τί προΐεται τῦ χειμῶνος ἀπὸ τῆς ἕω τὰ ματα, τῦ θέρους δὲ καὶ ἀφ' ἑσπέρας; ἢ ὅτι ὅταν κρατῇ ὁ ἥλιος, ἀφιέμενος ὁ ἀὴρ ῥεῖ; δύνων τε οὖν λείπει νέφη, ἀφ' ὧν οἱ ζέφυροι· καὶ ὅσον ἂν ἐπ ἐκείνοις τοῖς ἐν τῷ κάτω ἡμισφαιρίῳ οἰκοῦσιν, πνεῦμα γίνεται. τἀναντία δέ, ὅταν δύνῃ ἐν τῷ μέρει, ἐκείνοις τε ζεφύρους ποιήσει καὶ ἐνταῦθα πνεῦμα ἀπὸ τοῦ ἑπομένυ ἀέρος αὐτῷ. διὰ τῦτο κ ταλάβῃ ἄλλον ἄνεμον, μείζων γίνεται αἱρομένι προσέθηκεν.

Διὰ τί οἱ κύνες τὰ ἴχνη ἥκιστα εὑρίσκουσι ζ πνέοντος; ἢ διότι μάλιστα συγχεῖ διὰ τὸ συνεχ εἶναι τῶν ἀνέμων καὶ μάλιςα ὑπὸ τὴν γῆν πνεῖν;

Διὰ τί, ὅταν ἀςέρες διάττωσιν, ἀνέμυ σημεῖον ὑπὸ τοῦ πνεύματος φέρονται, καὶ πρότερον ἐκεῖ πνεῦμα ἢ παρ' ἡμῖν; διὸ καὶ ἀφ' ὗ ἂν τόπυ φέρω ἀςέρες, ἐν τύτῳ καὶ τὸ πνεῦμα γίνεται.

Διὰ τί μεγίςας νεφέλας τῶν ἀνέμων ὁ ζέφυρο ἢ διότι ἐκ πελάγυς πνεῖ καὶ κατὰ τὴν θάλατταν; ἐ λοῦ ὂν καὶ συνάγει.

Διὰ τί οἱ ἐπὶ τέλει ἄνεμοι μέγιςοι; ἢ ὅτι ὅταν ἐκπνεύσωσιν, ὀλίγον τὸ θερμόν;

Διὰ τί, ἐὰν περὶ ἰσημερίαν λὶψ πνεύσῃ, ὕδω ται; ἢ ὅτι καθ' ὃν ἂν ᾖ ὁ ἥλιος τόπον τῦ κόσμυ, τεῦθεν πνεύματα κινεῖ; διὸ καὶ ἡ τῶν πνευμάτων σις κατὰ τὴν τῦ ἡλίυ φορὰν γίνεται. ἐπεὶ δ' ἡ ἰσ μεθόριόν ἐςι χειμῶνος καὶ θέρους, ὅταν συμβῇ τὸν κατὰ τὴν ἡμῖν φαινομένην ἰσημερίαν ὑπερβεβλ ἐκλείπειν τῦ ἀκριβῦς ὅρυ καὶ εἶναι μᾶλλον ἐν τοῖς ρίοις, συμβαίνει τὺς ἐκ τύτυ τοῦ μέρους ἀνέμυς πν ἐςὶ πρῶτος λίψ, ὢν ὑγρὸς φύσει. ὄντος δὲ τῦ ἡλίυ λον ἐν τῷ χειμερίῳ μέρει τοῦ κόσμυ, καὶ κινῦντος αὐτῷ πνεύματα, τὰ χειμῶνος ἔργα συμβαίνει γί τούτων δέ ἐστιν ὁ ὄμβρος. ἔτι δὲ ἐπειδὴ ἡ ἰσημερί καθάπερ χειμὼν καὶ θέρος ἰσοκρατής, ἐὰν ὁποτερῳοῦν τι προστεθῇ, εὔσημον τὴν ῥόπην ποιεῖ, καθάπερ ἐ

1. ἢ $C^a X^a$. ‖ 2. λείπεται X^a. ‖ ὑγραινόμενον X^a. ‖ 6. δὲ] δὲ καὶ X^a. ‖ 7. ἐν τῇ λιβύῃ C^a. ‖ 8. ὄντος om Y^a. ‖ 13. $X^a Y^a$s. ‖ 19. θρασίῳ Y^a. ‖ 25. τῆς om C^a. ‖ 26. γενομένῳ $X^a Y^a$s. ‖ 31. τὸ ὕδωρ] τὸν ἀέρα s. ‖ 32. ἐκ] ἐκ τοῦ X^a. ἐπ' s.

4. δὲ om Y^a. ‖ ὅτι om C^a. ‖ 5. οὖν om s. ‖ καταλιπῇ C^a, καταλειπεῖν Y^a. ‖ 6. ὧν] οὗ $C^a Y^a$. ‖ 9. ἐκεί C^a. ‖ ποι ταῦτα X^a. ‖ 14. ὅτι C^a. ‖ 16. ἢ om $C^a X^a Y^a$s. ‖ 18. τόπῳ s. ‖ 21. καὶ om X^a. ‖ 23. ὅτι om C^as. ‖ 24. τὸ om C^a. om s. ‖ ἐνταῦθα C^a. ‖ 28. ἐπειδὴ ἰσημερία C^a. ‖ 34. τὰ et 36. ἡ om C^a. ‖ 37 et 38. καθάπου s. ‖ 37. ἰσοκρατές Y^as. ‖ ρος οὖν s.

ἰσαζόντων ζυγῶν. ἐπεὶ δὲ ὁ λὶψ ἔκ τε τῆς χειμερίου τάξεώς ἐστι καὶ ὑγρὸς φύσει, προστεθεὶς ἐν τῇ ἰσημερίᾳ ῥοπὴν χειμῶνος ἐποίησε καὶ ὄμβρον· ὁ γὰρ ὄμβρος χειμών ἐστιν οἰκειότατος τῷ πνεύσαντι πνεύματι.

27 Διὰ τί ὁ νότος καὶ ὁ εὖρος θερμότεροι ὄντες τῶν ἐναντίων, ὁ μὲν τοῦ βορέου, ὁ δὲ τοῦ ζεφύρου, ὑδατωδέστεροί εἰσιν; καίτοι διὰ ψυχρότητα ὕδωρ ἐξ ἀέρος γίνεται. οὐ γὰρ διὰ τὸ ἀπωθεῖν τὸν βορέαν ἐντεῦθεν γίνεται τὰ νέφη· ὁ γὰρ ζέφυρος καὶ ὁ εὖρος ἀπάγουσιν ἄμφω (ὁμοίως γὰρ πλάγιοι), καὶ οἱ ἄλλοι δὲ πάντες, ὅθεν πνέουσιν. πότερον ὅτι ἀντιπεριίσταται τὸ ψυχρὸν εἴσω μᾶλλον, ὅταν ᾖ ἔξω τὸ θερμὸν μᾶλλον; ἢ ἔστι μέν τι καὶ διὰ τὸ ὅθεν πνέουσιν, αἰθρίους εἶναι; καὶ γὰρ εὖρος ἀπ' ἠοῦς ἐστίν. ἥδε δὲ ἡ χώρα πρὸς ἑσπέραν κεῖται, καὶ ζέφυρος. ἀλλὰ καὶ διότι πρότερον θερμαινόμενος ὁ ἀήρ, ὥσπερ καὶ τὰ ὕδατα, τάχιστα καὶ μάλιστα ψύχεται. φέρεται οὖν ὁ μὲν ἀπὸ τοῦ εὔρου ἀπ' ἀνατολῆς ἀὴρ θερμός, ὁ δὲ ἀπὸ τοῦ νότου ἀπὸ μεσημβρίας. ὅταν οὖν ἔλθωσιν εἰς τὸν ψυχρότερον τόπον, ταχὺ πήγνυνται καὶ συνίστανται εἰς ὕδωρ. καὶ μᾶλλον ὁ εὖρος ποιεῖ ὕδωρ, ὅτι ἀπὸ τοῦ ἡλίου μᾶλλον φέρει τὸν ἀέρα, καὶ ὁμοίως θερμόν. ὁ δὲ νότος λήγων ὑδατώδης, ὅτι ψυχρὸς ὁ πρῶτος φερόμενος ἀὴρ ἀπὸ τῆς θαλάττης, ὁ δὲ τελευταῖος διάθερμος ὢν ἀπὸ τῆς γῆς κομίζει. ἢ οὐ μόνον τοῦτ' αἴτιον, ἀλλ' ὅτι καὶ μείζων λήγων ὁ νότος γίνεται; διὸ καὶ ἡ παροιμία εἰς αὐτὸν "ἀρχομένου τε νότου." οἱ δὲ μείζους ψυχρότεροι. ὥστε πηγνύει ὕστερον τὰ νέφη. ἢ διὰ τοῦτο ὑδατωδέστερος ἢ ἀρχόμενος;

28 Διὰ τί οἱ ἄνεμοι ξηραίνουσι ψυχροὶ ὄντες; ἢ διότι ἀτμίζειν ποιοῦσιν οἱ ψυχρότεροι; διὰ τί δὲ μᾶλλον ἢ ὁ ἥλιος; ἢ διότι ἀπάγουσι τὴν ἀτμίδα, ὁ δὲ ἥλιος καταλείπει; ὑγραίνει μὲν οὖν μᾶλλον, ξηραίνει δὲ ἧττον.

29 Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ' ἑαυτὸν ἄγει τὰ νέφη, ὥσπερ καὶ ἡ παροιμία λέγει "ἕλκων ἐφ' αὑτὸν ὥσπερ καικίας νέφος." οἱ γὰρ ἄλλοι, ὅθεν ἂν πνέωσιν, ἐνταῦθα ἀναστέλλουσιν. πότερον αἴτιον ὅτι ἅμα ὁ ἐναντίος πνεῖ; ἢ οὐκ ἂν ἐλάνθανεν, ἀλλὰ πέφυκε τὸ πνεῦμα κύκλου γραμμὴν φέρεσθαι; οἱ μὲν οὖν ἄλλοι περὶ τὴν γῆν πνέουσιν· τοῦτο δὲ τὸ κοῖλον τῆς γραμμῆς πρὸς τὸν οὐρανὸν καὶ οὐκ ἐπὶ τὴν γῆν ἐστίν, ὥστε ἐπὶ τὴν ἀρχὴν πνέων ἐφ' ἑαυτὸν τὰ νέφη ἄγει.

Διὰ τί ἀπὸ μὲν τῆς θαλάττης οὐκ ἀποπνεῖ ἕωθεν 30
ψυχρόν, ἀπὸ δὲ τῶν ποταμῶν; ἢ ὅτι ἡ μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τόποις, οἱ δὲ ποταμοὶ ἐν στενοῖς; ἡ οὖν ἀπὸ τῆς θαλάττης αὔρα εἰς πολὺν τόπον σκίδναται, ὥστε εἶναι ἀσθενής, ἡ δὲ ἀπὸ τῶν ποταμῶν ἀθρόως φέρεται καὶ μᾶλλον ἰσχύει, διὸ μᾶλλον εἰκότως φαίνεται ψυχρά. ἢ οὐ τοῦτ' ἐστὶν αἴτιον, ἀλλ' οἱ μὲν ποταμοὶ ψυχροί εἰσιν, ἡ δὲ θάλαττα οὔτε θερμὴ οὔτε ψυχρά; γίνεται δὲ ἡ αὔρα καὶ ἀποπνοὴ θερμαινομένων ἢ ψυχομένων· ὁπότερον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦται, ἐξαερουμένου δὲ τοῦ ὕδατος ὁ ἀὴρ γινόμενος φέρεται, ὅ ἐστιν αὔρα. τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν ψυχρὸν εἰκότως ἀποπνεῖ, τὰ δὲ ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέοντα ψύχεται καὶ γίνεται ψυχρά. τοὺς μὲν οὖν ποταμοὺς ψυχροὺς ἅπαντας εὕροι τις ἄν, ἡ δὲ θάλαττα οὔτε ψυχρὰ οὔτε θερμὴ σφόδρα ἐστίν. οὔτε οὖν τὸ ἀποπνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστί, διὰ τὸ μὴ ψυχρὰν εἶναι σφόδρα, οὔτε ψύχεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα.

Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιστος δοκεῖ εἶναι τῶν 31
ἀνέμων, καὶ οἷον καὶ Ὅμηρος ἐν τῷ Ἠλυσίῳ πεδίῳ, "ἀλλ' αἰεὶ ζεφύροιο διαπνείουσιν ἀῆται;" ἢ πρῶτον μὲν ὅτι ἔχει τὴν τοῦ ἀέρος κρᾶσιν; οὔτε γὰρ θερμὸς ὥσπερ οἱ ἀπὸ μεσημβρίας καὶ ἕω, οὔτε ψυχρὸς ὥσπερ οἱ ἀπὸ τῆς ἄρκτου, ἀλλ' ἐν μεθορίῳ ἐπὶ τῶν ψυχρῶν καὶ θερμῶν πνευμάτων· γειτνιῶν δὲ ἀμφοῖν τῆς δυνάμεως αὐτῶν κοινωνεῖ, διὸ καὶ εὔκρατός ἐστι καὶ πνεῖ ἔαρος μάλιστα. ἔτι τὰ πνεύματα περιίσταται ἢ εἰς τἀναντία ἢ εἰς τὰ δεξιά. μετὰ οὖν τὸν βορέαν πνέων (ἐπὶ δεξιὰ γὰρ ὁ τόπος) εὐδοκιμεῖ, ὥσπερ παρὰ χαλεπὸν πρᾶος. καὶ ἅμα ὅταν ἀποχειμάσῃ, εὐδία εἴωθε γίνεσθαι ὡς ἐπὶ τὸ πολύ. ὁ δὲ βορέας χειμέριος ἄνεμος. [καὶ ὁ ἀπηλιώτης δὲ ἐν τῷ μέσῳ ὢν τῶν θερμῶν καὶ τῶν ψυχρῶν πνευμάτων ἧττον αὐτοῖς κοινωνεῖ. ἀπηλιώτης μὲν γὰρ πνέων τὰ πρὸς νότου πνεύματα κινεῖ (ἐνταῦθα γὰρ ἡ μετάστασις αὐτοῦ ἐστίν), κινῶν δὲ οὐ μίγνυται αὐτοῖς. ὁ δὲ ζέφυρος καὶ κινεῖται ὑπὸ τῶν νοτίων, καὶ

1. τῆς om C^a. ‖ 8. ἐντεῦθεν τὰ νέφη C^aY^a, ἐντεῦθεν τὰ νέφη ἐξ ἀέρος γίνεται s. ‖ 10. ὅθεν] ὅσοι C^a. ‖ 12. διὰ om $C^aX^aY^a$s. ‖ 13. ἤδη] ἡ C^a. ‖ ἡ] ἡ γῆ X^a. ‖ 14. κινεῖται s. ‖ πρότερος Y^as. ‖ 15. ὁ om C^a. ‖ 17. ἀὴρ] ὁ ἀὴρ C^a. ‖ 18. ψυχρότατον C^as. ‖ 25. γε C^aX^a. ‖ 26. ψυχροτέρου s. ‖ ἀποπηγνύει C^a. ‖ 29. ἢ om Y^as. ‖ 31. μὲν om C^a. ‖ 33. αὐτῶν s. ‖ 34. ὥσπερ ὁ καικίας C^a. ‖ ὖ] δὲ s.

1. nonne τούτου? ‖ καὶ om s. ‖ 2. ἐφ' αὑτὸν Y^a, ἐπ' αὐτὸν C^a. ‖ 6. ὁ δὲ ποταμὸς C^aY^a. ‖ στεροῖς C^a. ‖ 10. οὐ om C^as. ‖ 12. καὶ] καὶ ἡ s. ‖ 18. οὐδὲ ψ. οὐδὲ codices. ‖ 19. ψυχρὸν C^aX^a, ψυχρὸς s. ‖ σφόδρα om C^as. ‖ 22. καὶ ante οἷον om C^a. ‖ 23. ἀεὶ Y^as. ‖ διαπνείουσιν s. ‖ ἀϋτμαί C^a. ‖ 24. θερμὸς s. ‖ 26. ἀλλ' — 28. ἐστι om C^aX^as. ‖ 28. καὶ] διὸ καὶ $C^aX^aY^a$s. ‖ 29. εἰς τὰ] ἐπὶ τὰ Y^a. ‖ 30. πνέον s. ‖ τύπος X^a. ‖ ὥσπου περὶ s. ‖ 33. καὶ ὁ — 944 a 3. εἶναι om $C^aX^aY^a$s.

πνέων κινεῖ τὰ βόρεια· τελευτᾷ γὰρ ἐνταῦθα ἡ περίοδος τῶν πνευμάτων. διὸ τῶν μὲν τὴν τελευτὴν τῶν δὲ τὴν ἀρχὴν ἔχων ἐν αὑτῷ δικαίως ἡδύς ἐστι καὶ δοκεῖ εἶναι.]

32 Διά τί ἐπὶ κυνὶ νότος πνεῖ; ἢ ὅτι ἐπὶ πᾶσι μὲν σημαίνει τοῖς ἄστροις δυομένοις ἢ ἐπιτέλλουσιν, οὐχ ἥκιστα δὲ ἐπὶ τούτῳ; δῆλον οὖν ὅτι πνεύματα μάλιστα ἐπὶ τούτῳ καὶ μετ' αὐτόν. ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπ' αὐτῷ τὰ θερμότατα κινεῖται· ὁ δὲ νότος θερμός ἐστιν. ἐπεὶ δὲ — χρόνος. (p. 941 *b* 4 — 23.)

33 Διὰ τί ὁ ζέφυρος πρὸς τὴν δείλην πνεῖ, πρωῒ δὲ οὔ; ἢ αἴτιος μέν ἐστιν ὡς ἐπὶ τὸ πολὺ τῶν πνευμάτων ὁ ἥλιος ἀνατέλλων καὶ δύνων; ὅταν γὰρ ὑγρὸν ὄντα τὸν ἀέρα διαθερμαίνων πέττῃ καὶ διακρίνῃ, εἰς πνεῦμα διακρίνει· ἐὰν δὲ ᾖ πνευματώδης ὁ ἀήρ, ἔτι μᾶλλον ἐκπνευματοῦται ὑπὸ τοῦ ἡλίου. ὅταν μὲν οὖν ἐπ' ἀνατολῇ ᾖ ὁ ἥλιος, πόρρω ἐστὶ τοῦ ζεφύρου· ἀπὸ γὰρ δυσμῶν πνεῖ. ὅταν δὲ περὶ τὸ δύνειν ἤδη, τότε διακεκριμένον ἐστὶ τὸ πνεῦμα τελέως. ἀπὸ δὲ μέσου ἡμέρας καὶ πρὸς τὴν δείλην συμμετρότατα ἔχει πρὸς τὸ διαθερμᾶναι καὶ διακρῖναι. διὰ ταῦτα δὲ καὶ ὁ ἀπηλιώτης πρωῒ ἄρχεται πνεῖν· τοῦ γὰρ ὑπὲρ γῆς ἀέρος τῆς νυκτὸς ἐξυγραινομένου καὶ τῇ γῇ πλησιάσαντος διὰ βάρος, ἕωθεν διακρίνων αὐτὸν ὁ ἥλιος τὸν καθ' αὑτὸν κινεῖ πρῶτον. τὸ δὲ ἀπὸ τοῦ ἡλίου πνεῦμα ἀνατέλλοντος ἐντεῦθεν ἀπηλιώτης καλεῖται.

34 Διὰ τί αἰρομένου τοῦ ἡλίου καὶ αὐξάνεται καὶ πίπτει τὰ πνεύματα; ἢ ὅτι τὸ πνεῦμά ἐστιν ἤτοι τοῦ ἀέρος ἢ τοῦ ἀναχυθέντος ὑγροῦ κίνησις; αὕτη δὲ ὅταν μὲν ἐλάττων ᾖ, ταχὺ καταναλίσκεται ὑπὸ τοῦ ἡλίου, ὥστε οὐ γίνεται πνεῦμα· ὅταν δὲ πλείων, κινεῖται μᾶλλον τοῦ ἡλίου ἀνατείλαντος· ὁ γὰρ ἥλιος ἀρχὴ τῶν κινήσεών ἐστιν.

35 Διὰ τί ὁ ζέφυρος τῆς δείλης πνεῖ; ἢ ἅπαντα τὰ πνεύματα τοῦ ἡλίου διαχέοντος τὸ ὑγρὸν γίνεται; τότε γὰρ συνεστηκός, ὅταν ἡ τοῦ θερμοῦ δύναμις πλησιάζῃ, ἐξάπτει. ὁ δὲ ζέφυρος ἀφ' ἑσπέρας πνεῖ. εἰκότως οὖν τῆς δείλης γίνεται· τότε γὰρ ὁ ἥλιος εἰς τὸν τόπον αὐτοῦ ἀφικνεῖται. καὶ ὁ βορέας καὶ ὁ νότος διὰ τοῦτο πλειστάκις πνέουσιν, ὅτι τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου κρατούμενον κατ' εὐθυωρίαν ἥκιστα δύναται διαμένειν, ἀλλὰ μᾶλλον ἐκ τοῦ πλαγίου. ὁ μὲν οὖν νότος καὶ βορέας ἐκ τῶν ἐφ' ἑκάτερα τόπων τῆς τοῦ ἡλίου φορᾶς πνέουσιν, οἱ δὲ ἄλλοι μᾶλλον ἐκ τοῦ κατ' ἀντικρύ.

Πότερον τὸ πνεῦμα ἀπὸ πηγῆς τινὸς φέρεται ὥσπερ 36
τὸ ὕδωρ, καὶ ταύτης οὐκ ἔστιν ἀνωτέρω αὐτὸ ἐνεχθῆναι, ἢ οὔ; καὶ πότερον ἀπὸ ἑνὸς σημείου ἢ ἀπὸ πλείονος τόπου; ἔνια μὲν οὖν ἐστὶν ὅμοια ἃ καὶ ἐπὶ τῶν ὑδάτων συμβαίνει γίνεσθαι. τό τε γὰρ ὕδωρ, ὅταν εἰς τὸ κάταντες φέρηται, θᾶττον ῥεῖ ἢ ὅταν ἐν τῷ ἐπιπέδῳ καὶ ὁμαλῷ λιμνάζῃ. ὁμοίως δὲ καὶ τὰ πνεύματα· ἐπὶ μὲν γὰρ τοῖς ἄκροις καὶ τοῖς ὑψηλοῖς ἀεὶ ἐν κινήσει ὁ ἀήρ, ἐν δὲ τοῖς κοίλοις ἠρεμεῖ πολλάκις καὶ ἄπνοια γίνεται. ἔτι ἐπὶ τοῖς σφόδρα ὑψηλοῖς ὄρεσιν οὐ γίνεται τὰ πνεύματα, οἷον ἐπὶ τῷ Ἄθῳ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. σημεῖον δέ· ἃ γὰρ ἂν καταλείπωσιν οἱ τῷ προτέρῳ ἔτει θύοντες, εὑρίσκεσθαί φασι διαμένοντα τῷ ὑστέρῳ. δῆλον οὖν ὅτι ὥσπερ ἀπὸ πηγῆς τινὸς καὶ ἡ τοῦ πνεύματος φορὰ γίνεται. εἰς τὸ ἄνω οὖν οὐκέτι δύναται διικνεῖσθαι. διὰ τοῦτο οὖν ἐπὶ τοῖς ὑψηλοῖς τοῦτο συμβαίνει. ὁμοίως δ' ἂν καὶ ἐπὶ τοῦ ὕδατος εἴη· οὔτε γὰρ ὕδωρ λάβρον οὔτε πνεῦμα ἐξαίσιον ἐν τοῖς ὑψηλοῖς φαίνεται γίνεσθαι.

Διὰ τί ποτε τοῦ μὲν νότου πνέοντος ἡ θάλαττα κυανέα 37
γίνεται, τοῦ δὲ βορέου ζοφώδης; ἢ ὅτι ὁ βορέας ἧττον τὴν θάλατταν ταράττει, τὸ δὲ ἀτακτότερον ἅπαν μέλαν φαίνεται.

Διὰ τί οἱ νότοι μικρὰ μὲν πνέοντες οὐ ποιοῦσιν ἐπίνεψιν 38
[ἤτοι συννέφειαν], μεγάλοι δὲ γενόμενοι ἐπινεφοῦσιν; ἢ διότι μικροὶ μὲν πνέοντες οὐ δύνανται πολλὰ νέφη ποιεῖν; ὀλίγον οὖν τόπον κατίσχουσιν. ὅταν δὲ μεγάλοι γίνωνται, πολλὰ ἀπωθοῦσι, διὸ καὶ δοκοῦσι μᾶλλον ἐπινεφεῖν.

Διὰ τί ὁ μὲν βορέας ἀρχόμενος μέγας, λήγων δὲ μι- 39
κρός, ὁ δὲ νότος ἀρχόμενος μὲν μικρός, λήγων δὲ μέγας; ἢ ὅτι ὁ μὲν βορέας ἐγγὺς ἡμῶν, ὁ δὲ νότος πόρρω; ὁ μὲν οὖν ὅταν ἄρξηται, εὐθὺς παρ' ἡμῖν, τοῦ δὲ ἅτε διὰ πολλοῦ χρόνου ἡ ἀρχὴ διασκεδάννυται, καὶ πρὸς ἡμᾶς μικρὸν ἐξικνεῖται αὐτῆς τὸ πρῶτον· τῆς δὲ τελευτῆς τοῦ μὲν αἰσθανόμεθα, τοῦ δὲ ὅλως οὐκ αἰσθανόμεθα. ὥστε εἰκότως ὁ μὲν ἀσθενὴς παυόμενος (ἀσθενὴς γὰρ ἡ τελευτὴ πάντων), ὁ δὲ οὔ· τῆς γὰρ τελευτῆς οὐκέτι αἰσθανόμεθα αὐτοῦ.

8. θερμότερα s. ‖ 16. δύνον X^as. ‖ 18. συμμετρώτατα C^aY^a, συμμετριότητα s. ‖ 19. θερμάναι s. ‖ 21. πλησιάσαντα s. ‖ 22. αὐτὸν διακρίνων s. ‖ 27. ἐλάττω C^a. ‖ 29. πλείω C^a. ‖ κινῆται X^aY^as. ‖ 32. τότε] πότερον $C^aX^aY^a$s. ‖ 38. πλησίου X^a.

1. ἑκάτερον s. ‖ 7. καὶ om s. ‖ συμβαίνει γίνεσθαι] φαίνεται συμβαίνειν Y^as. ‖ 8. ποτε Y^a, πότερον X^as. ‖ 9. ὁμαλεῖ Y^a. ‖ λιμνίζῃ s. ‖ 11. πολλάκις ἠρεμεῖ Y^a. ‖ 14. καταλίπωσιν s. ‖ 15. τῷ ὑστέρῳ διαμένοντες s. ‖ 16. ὥσπου s. ‖ 17. εἰς] καὶ εἰς s. ‖ 20. φαίνεσθαι γίνεται Y^as. ‖ 21. θάλασσα et 23. θάλασσαν s. ‖ 23. ἀτακτότατον s. ‖ 25. μὲν om s. ‖ 26. ἤτοι συνάφειαν X^a, om Y^a, qui in margine ἀντὶ τοῦ συννέφειαν. ‖ 27. μικρὰ s. ‖ 28. γίνονται Y^as.

40 Διὰ τί οὗ μὲν κόλποι εἰσί, τροπαῖαι γίνονται, οὗ δὲ ἀναπεπταμένα πελάγη, οὐ γίνονται; ἢ διότι εἰς μὲν τοὺς κόλπους ῥέον οὐ διασπᾶται τὸ πνεῦμα μᾶλλον, ἀλλ' ἀθρόον ἐπὶ πολὺ φέρεται, ἐν δὲ τοῖς ἀναπεπταμένοις ἐξ ἀρχῆς τε αἱ ἀπογέαι εὐθὺς διασπῶνται μᾶλλον, καὶ ὅταν ῥέωσι, ταὐτὸ πάσχουσι διὰ τὸ πολλαχῇ ἐξεῖναι ὁρμῆσαι· ἔστι γὰρ ἡ τροπαία ἀπόγεος ἀνάκλασις.

41 Διὰ τί λέγεται "ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο;" ἢ διότι ὁ μὲν βορέας, διὰ τὸ ὑπείκειν ἡμᾶς αὐτῷ καὶ εἶναι τὴν οἴκησιν πρὸς ἄρκτον, εὐθὺς μέγα πνεῖ; ἅμα γὰρ ἄρχεται καὶ πάρεστιν. διὸ παυόμενος ἡδὺ πνεῖ· τότε γὰρ ἀσθενὴς πνεῖ. ὁ δὲ νότος διὰ τὸ πόρρωθεν ὕστερον μείζων ἀφικνεῖται.

42 Διὰ τί ἐν τοῖς νοτίοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; ἢ διότι ἐξ ὀλίγου πολὺ ὑγρὸν γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ· εἶτα ἡ δύναμις ἀτονεῖ.

43 Διὰ τί ἐν τοῖς βορείοις βρωτικώτεροι ἢ ἐν τοῖς νοτίοις; ἢ διότι ψυχρότερα τὰ βόρεια;

44 Διὰ τί ὁ νότος οὐ πνεῖ κατ' αὐτὴν τὴν Αἴγυπτον τὰ πρὸς θάλατταν, οὐδ' ὅσον ἡμέρας δρόμον καὶ νυκτός· τὰ δὲ ὑπὲρ Μέμφεως καὶ ἀποσχόντι δρόμον ἡμέρας καὶ νυκτὸς λαμπρός· καὶ πρὸς ἑσπέραν οὐ πνεῖ, ὅσον δύο ἡμερῶν καὶ νυκτῶν δρόμον, τὰ δὲ πρὸς ἕω λίβες πνέουσιν; ἢ διότι κοίλη τὰ κάτω ἡ Αἴγυπτός ἐστι, διὸ ὑπερπίπτει αὐτῆς, ἄνω δὲ καὶ πόρρω ὑψηλότεροι οἱ τόποι.

45 Διὰ τί ὁ νότος ἀρχόμενος μὲν μικρός ἐστι, λήγων δὲ μείζων γίνεται, ὁ δὲ βορέας ἀνάπαλιν, διὸ καὶ ἡ παροιμία λέγει εὖ πλεῖν ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο; ἢ διότι πρὸς ἄρκτον μᾶλλον ἢ πρὸς μεσημβρίαν οἰκοῦμεν, πνεῖ δὲ ὁ μὲν βορέας ἀπὸ τῆς ἄρκτου, ὁ δὲ νότος ἀπὸ τῆς μεσημβρίας. εἰκότως οὖν ὁ μὲν ἀρχόμενος εὐθὺς σφοδρὸς πρόσκειται τοῖς πλησίον τόποις μᾶλλον, καὶ μετὰ ταῦτα μεταλλάττει τὸ σφοδρὸν πρὸς ἐκείνους. ὁ δὲ νότος τοὐναντίον ἀρχόμενος μὲν τοῖς πρὸς μεσημβρίαν οἰκοῦσιν ἔγκειται, ἐπειδὰν δὲ παραλλάξῃ, τοῖς πρὸς ἄρκτον λαμπρὸς καταπνεῖ.

46 Διὰ τί λέγεται "εἰ δ' ὁ νότος βορέαν προκαλέσσεται, αὐτίκα χειμών;" ἢ διότι ὁ νότος τοιοῦτός ἐστιν οἷος νεφέλας καὶ ὕδωρ πολὺ συναίρειν; ὅταν οὖν τοιαύτης τῆς καταστάσεως οὔσης ἐπιπνεύσῃ ὁ βορέας, πολλῆς αὐτῷ ὕλης ὑπαρχούσης πήγνυσι καὶ χειμῶνα ποιεῖ. διὸ λέγεται "εἰ βορρᾶς πηλὸν καταλήψεται, αὐτίκα χειμών." ὁ δὲ πηλὸς καὶ ὅλως τὰ ὕδατα ὑπὸ τοῦ νότου ἢ μάλιστα ἢ πλειστάκις γίνεται.

Διὰ τί ἐπὶ μὲν τῷ νότῳ ταχὺς ὁ βορέας, ἐπὶ δὲ τούτῳ 47
ὁ νότος οὐ ταχὺς ἐπιπίπτει; ἢ ὅτι τῷ μὲν ἐγγύθεν τῷ δὲ πόρρωθεν ἡ ἄφιξις; ἡ γὰρ οἴκησις πρὸς βορέαν ἡμῶν.

Διὰ τί τὰ πνεύματα ψυχρά ἐστιν, ὄντα ἀπὸ τῆς τοῦ 48
θερμοῦ συγκινήσεως; ἢ οὐ πάντως ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις θερμὴ γίνεται, ἐὰν μὴ τρόπον τινὰ γίνηται; ἀλλ' ἐὰν μὲν ἀθρόως ἐμπίπτῃ, καίει αὐτὸ τὸ ἀφιὲν θερμή· ἐὰν δὲ διὰ στενοῦ καὶ κατὰ μικρόν, αὐτὴ μὲν θερμή, ὁ δὲ ὑπὸ τούτου κινούμενος ἀήρ, οἷος ἄν ποτε τυγχάνῃ προϋπάρχων, τοιαύτην καὶ τὴν κίνησιν ἀπετέλεσεν, ὥσπερ καὶ ἐπὶ τοῦ σώματος. φασὶ γὰρ ἐκ τοῦ αὐτοῦ θερμὸν καὶ ψυχρὸν ἡμᾶς πνεῖν, τοῦτο δὲ οὐκ ἀληθές, ἀλλὰ τὸ μὲν ἐξιὸν θερμὸν ἀεί. σημεῖον δὲ τὸ ἐγγὺς προσαγαγόντι τοιοῦτον φαίνεσθαι. διαφέρει δὲ ἡ ἔκπτωσις αὐτοῦ. ἐὰν μὲν γὰρ διὰ πολλοῦ ἀφίωμεν χανόντες, θερμὸν φαίνεται διὰ τὸ αὐτοῦ αἰσθάνεσθαι, ἐὰν δὲ διὰ στενοῦ, σφοδρότερον γινόμενον ὠθεῖ τὸν πλησίον ἀέρα, κἀκεῖνος τὸν ἐχόμενον. ψυχροῦ δὲ ὄντος τοῦ ἀέρος καὶ ἡ κίνησις αὐτοῦ ψυχρὰ γίνεται. μήποτε δὲ καὶ ἐπὶ τῶν πνευμάτων τὸ αὐτὸ συμβαίνει, καὶ διὰ στενοῦ ἡ πρώτη κίνησις· εἶτ' ἐκεῖνον μὲν διήνεγκεν, ἕτερος δὲ ἀὴρ ἐπιρρεῖ. διὸ καὶ τοῦ μὲν θέρους θερμά, τοῦ δὲ χειμῶνος ψυχρὰ τὰ πνεύματα, ὅτι ἐν ἑκατέρῳ τοιοῦτος ὁ ἀὴρ ὁ προϋπάρχων· ἐπεὶ ὅτι γε οὔτε αὐτὸς ὑφ' ἑαυτοῦ κινούμενος ὁ ἀὴρ οὔτε ὑπὸ τοῦ θερμοῦ κρατούμενος φέρεται ταύτην τὴν φοράν, δῆλον οὐ μόνον τούτῳ ὅτι θερμαίνει τὰ πνεύματα πλείονος τοῦ θερμοῦ ἐνόντος, ἀλλὰ καὶ ἄνω ἐφέρετο. τὸ γὰρ πῦρ τοιοῦτον, τὸ δὲ ψυχρὸν κάτω πέφυκε φέρεσθαι. τὰ δὲ πνεύματα πλάγια εἰκότως· ἐπεὶ γὰρ τὸ μὲν ἄνω τὸ δὲ κάτω βιάζεται, καὶ οὐδέτερον κρατεῖ, μένειν δὲ οὐχ οἷόν τε, λοξὴν τὴν φορὰν εἰκότως γίνεσθαι.

Διὰ τί οἱ νότοι ἐν τῇ Λιβύῃ ψυχροί, ὥσπερ παρ' 49
ἡμῖν οἱ βορέαι; ἢ πρῶτον μὲν διὰ τὸ ἐγγυτέρω εἶναι ἡμῖν τε κἀκείνοις τὰς ἀρχὰς τῶν πνευμάτων. εἰ γάρ, ὥσπερ εἴπομεν, διὰ στενοῦ γίνεται τὰ πνεύματα, τοῖς ἐγγυτέρω ψυχρότερα ἔσται διὰ τὴν σφοδρότητα τῆς κινήσεως· εἰς

2. ἢ om $X^a Y^a$s. ‖ εἰς μὲν om Y^a. ‖ 3. ῥέων $X^a Y^a$s. ‖ οὐ om s. ‖ ἀλλ' om Y^a. ‖ ἐπὶ τὸ πολὺ Y^a. ‖ 6. πολλαχοῖ Y^a. ‖ 7. ἀπόγειος s. ‖ 21. θάλασσαν s. ‖ 22. μέμφεος s. ‖ 23. ὅσον] οὐδ' ὅσον s. ‖ 26. οἱ τόποι ὑψηλότεροι X^a. ‖ 27. ἐστι μικρός s. ‖ 29. λέγεται Y^a. ‖ 32. σφοδρῶς $X^a Y^a$. ‖ 33. πλησίοις s. ‖ καὶ om Y^as. ‖ μετὰ δὲ ταῦτα s. ‖ 37. προσκαλέσσεται X^a, προσκαλέσεται Y^a. ‖ 38. ὅτι X^a. ‖ νεφέλοις s.

2. βορρᾶν s. ‖ 5. τούτου X^as. ‖ 10. ἐὰν πρότερόν τινα s. ‖ 13. οἷον s. ‖ τυγχάνειν s. ‖ 17. δὲ καὶ ἡ X^a. ‖ 18. τυγχάνοντες X^a. ‖ 23. ἐκείνων s. ‖ 24. μὲν δ.] μηδὲν δ. X^a. ‖ 29. θέρμαι s. ‖ 35. λυβύῃ X^a. ‖ 36. ἢ om $X^a Y^a$s. ‖ 39. ψυχρότερον s.

γὰρ τὸ πόρρω προϊούσης διαχεῖται. διὸ καὶ παρ' ἡμῖν οἱ Βορέαι ψυχροί, ὅτι ἐγγυτέρω καὶ παντελῶς πρὸς τῇ ἄρκτῳ οἰκῦμεν.

50 Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις πυρετώδεις; ἢ ὅτι ὑγρότητα θερμὴν ἀλλοτρίαν ἐμποιῦσι τοῖς σώμασιν; εἰσὶ γὰρ ὑγροὶ καὶ θερμοὶ φύσει, τῦτο δ' ἐςὶ πυρετῶδες· ὁ γὰρ πυρετὸς ὑπ' ἀμφοτέρων τύτων ἐςὶν ὑπερβολῆς. ὅταν μὲν οὖν ὑπὸ τοῦ ἡλίου ἄνευ ὕδατος πνέωσι, ταύτην τὴν τάξιν, ὅταν δὲ ἅμα τῷ ὕδατι, τὸ ὕδωρ καταψύχει.

51 Διὰ τί οἱ ἐτησίαι ταύτην δὴ τὴν ὥραν ἀεὶ καὶ τοσῦτοι πνέουσιν; καὶ διὰ τί ληγούσης τῆς ἡμέρας λήγουσι καὶ τῆς νυκτὸς ὐ πνέουσιν; ἢ τῦτο μὲν διὰ τὸ τὴν χιόνα τηκομένην παύεσθαι ὑπὸ τῦ ἡλίου πρὸς ἑσπέραν καὶ τὴν νύκτα; ὅλως δὲ πνέουσιν, ὅταν ὁ ἥλιος κρατεῖν καὶ λύειν ἄρξηται τὸν πρὸς Βορέαν πάγον. ἀρχομένου μὲν οὖν οἱ πρόδρομοι, ἤδη δὲ λυομένου οἱ ἐτησίαι.

52 Διὰ τί ὁ ζέφυρος λειότατός τε τῶν ἀνέμων καὶ ψυχρός, καὶ δύο ὥρας πνεῖ μάλιςα, ἔαρ τε καὶ μετόπωρον, καὶ πρὸς ἑσπέραν τῆς ἡμέρας, καὶ ἐπὶ τὴν γῆν μάλιστα; ἢ ψυχρὸς μὲν διὰ τὸ πνεῖν ἀπὸ τῆς θαλάττης καὶ πεδίων ἀναπεπταμένων; ἧττον μὲν οὖν ψυχρὸς τῦ Βορέου διὰ τὸ ἀφ' ὕδατος πνευματουμένυ καὶ μὴ χιόνος πνεῖν, ψυχρὸς δὲ διὰ τὸ μετὰ χειμῶνα, ἄρτι τῦ ἡλίου κρατῦντος, πνεῖν. καὶ μετοπώρου, ὅτι οὐκέτι κρατεῖ ὁ ἥλιος· ὐ γὰρ ὥσπερ ἐν γῇ ὑπομένει τὴν ὕλην, ἀλλὰ πλανᾶται διὰ τὸ ἐφ' ὑγρῦ βεβηκέναι. καὶ ὁμαλὸς διὰ τὸ αὐτό· οὐ γὰρ ἀπὸ ὀρέων πνεῖ, ὐδὲ βίᾳ τηκομένου, ἀλλὰ ῥᾳδίως ὥσπερ δι' αὐλῶνος ῥέων. τὰ μὲν γὰρ πρὸς Βορέαν καὶ νότον ὀρεινά· πρὸς ἑσπέραν δὲ ὔτε ὄρος ὔτε γῆ ἐςίν, ἀλλὰ τὸ Ἀτλαντικὸν πέλαγος, ὥςε ἐπὶ τῆς γῆς φέρεται. καὶ πρὸς ἑσπέραν δὲ τῆς ἡμέρας πνεῖ διὰ τὸν τόπον· τότε γὰρ ὁ ἥλιος πλησιάζει τῷ τόπῳ. καὶ τῆς νυκτὸς παύεται διὰ τὸ ἐκλείπειν τὴν τῦ ἡλίυ κίνησιν.

53 Διὰ τί, ὅταν ὁ εὖρος πνεῖ, μείζω φαίνεται τὰ πάντα; ἢ ὅτι ζοφωδέςατον τὸν ἀέρα ποιεῖ;

54 Διὰ τί τὸν μὲν χειμῶνα πρωῒ ἀπὸ τῆς ἕω τὰ πνεύματα πνεῖ, τὸ δὲ θέρος δείλης καὶ ἀπὸ δυσμῶν ἡλίου; ἢ ὅτι ἃ ἡμῖν συμβαίνει τῦ θέρυς, ταῦτα τῦ χειμῶνος τοῖς τὸ ἐναντίον τῆς γῆς ἡμισφαίριον οἰκῦσιν, ἡμῖν δὲ τῦ χειμῶνος πρωῒ καὶ ἀφ' ἕω τὰ πνεύματα πνεῖ διὰ τὸ τὸν ἀέρα κάθυγρον ἐν τῇ νυκτὶ διακρίνεσθαι καὶ κινεῖσθαι τὸ πρωῒ ὑπὸ τῦ ἡλίυ, καὶ πρῶτον τὸν ἔγγιςα τῦ ἡλίου. ποιεῖ δὲ τῦτο ὁ ἥλιος καὶ πρὸ ἀνατολῆς· διὸ αὖραι οὐχ ἧττον πρὸ ἀνατολῆς πνέουσιν. ἐπειδὴ ὖν καὶ ἐφ' ἑαυτὸν ἕλκει ὁ ἥλιος τὰ ὑγρὰ καὶ κινεῖ πρὸ ἀνατολῆς τῦ χειμῶνος ὑγρὸν ὄντα τὸν παρ' ἡμῖν ἀέρα, δῆλον ὡς καὶ ἐφ' ἑαυτὸν ἂν ἕλκοι, ἂν ἐν τῷ κάτω ἡμισφαιρίῳ, καὶ δείλη ἐκείνοις ὃ ἡμῖν ἐςὶν ὄρθρος. ὥςε συμβαίνοι ἂν τὸν ὑπὸ τοῦ ἡλίου πρὸ ἀνατολῆς παρ' ἡμῶν ἐφ' ἑαυτὸν ἑλκόμενον ἀέρα, τοῦτον τοῖς κάτω γενέσθαι ζέφυρον καὶ δείλης πνεῖν. ὃ δὲ ἐν τῷ παρ' ἡμῖν χειμῶνι, τῆς ἕω ἐκείνοις συμβαίνει, ὃ δὲ ἐν τῷ θέρει, τῆς δείλης ἡμῖν. ὅτε γὰρ παρ' ἡμῖν θέρος, ἐκεῖ χειμών ἐστι, καὶ ἡ ἡμετέρα δείλη ἐκείνοις ὄρθρος. καθ' ἣν ἐκείνοις μὲν αὔρας ἐξ ἑώας συμβαίνει πνεῖν, ἡμῖν δὲ ζεφύρυς διὰ ταὐτὰ τοῖς προειρημένοις. τῦ δὲ θέρους καὶ ἑῷαι μὲν οὐ πνέουσιν, ὅτι εἰς ξηρότερον ἔτι τὸν παρ' ἡμῖν ἀέρα ὁ ἥλιος ἀνατέλλει διὰ τὸ ὀλίγον χρόνον αὐτοῦ ἀπογεγονέναι· ζέφυροι δὲ οὐ πνέουσι δείλης τῦ χειμῶνος, ὅτι ὐδ' ἐν τῷ κάτω ἡμισφαιρίῳ ἑῷοι ταύτην τὴν ὥραν διὰ τὰ προειρημένα, ὅθεν ὁ ἥλιος ἐφ' ἑαυτὸν ἕλκων τὰ ὑγρὰ τὸν παρ' ἡμῖν ζέφυρον ποιεῖ.

Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιςος δοκεῖ εἶναι τῶν 55
ἀνέμων; ἢ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν θερμῶν καὶ ψυχρῶν πνευμάτων, γειτνιῶν δὲ ἀμφοῖν τῆς δυνάμεως αὐτῶν κοινωνεῖ· διὸ εὔκρατός ἐςιν. ὁ δὲ ἀπηλιώτης ἧττον κεκοινώνηκεν, ὢν ἐν τῷ μέσῳ τῶν αὐτῶν. ἀπηλιώτης μὲν γὰρ πνέων τὰ πρὸς νότον πνεύματα κινεῖ (ἐνταῦθα γὰρ ἡ μετάςασις αὐτῶ ἐςίν), κινῶν δὲ ὐ μίγνυται αὐτοῖς. ὁ δὲ ζέφυρος καὶ κινεῖται ὑπὸ τῶν νότων καὶ πνέων κινεῖ τὰ βόρεια· τελευτᾷ γὰρ ἐνταῦθα ἡ περίοδος τῶν πνευμάτων. διὸ τῶν μὲν τὴν τελευτὴν τῶν δὲ τὴν ἀρχὴν ἔχων ἐν ἑαυτῷ δικαίως ἴσος ἐςι καὶ δοκεῖ εἶναι.

Διὰ τί ἄλλοις ἄλλοι τῶν ἀνέμων ὑέτιοι, οἷον ἐν μὲν 56
τῇ Ἀττικῇ καὶ ταῖς νήσοις ὁ Ἑλλησποντίας, ἐν Ἑλλησπόντῳ δὲ ὁ Βορέας καὶ ἐν Κυρήνῃ, περὶ Λέσβον δὲ νότοι; ἢ ὅπου ἂν ἄθροισις νεφῶν, ἐνταῦθα ὕδωρ; ἐνταῦθα γὰρ ἡ πύκνωσις ἀθροίζεται, ὅπου ἂν προκαθίζεσθαι ἔχῃ. διὸ καὶ ἐν τοῖς ὄρεσι μᾶλλον ὕει ἢ ὅπου ἂν τὸ πλῆθος ὑπεξάγειν δύνηται· περικαταλαμβανόμενον γὰρ πυκνοῦται· δεῖ δὲ τοῦτο γενέσθαι. καὶ ἐν ταῖς εὐδίαις μᾶλλον ὕει. ἐν Ἑλ-

2. πρὸς] καὶ πρὸς X^a. ‖ 5. ὑγρότατοι s. ‖ 6. ἐςὶ] ἐςὶ φύσει X^a. ‖ 10. ἐτήσιοι X^a. ‖ τοσῦτον s. ‖ 17. ψυχρότατος X^a. ‖ 20. θαλάσσης s. ‖ 22. ψυχροὶ s. ‖ 24. ὐ] ὐδὲ s. ‖ 25. ἴλην Y^as. ‖ 27. γὰρ om X^a. ‖ ὀρεινά· πρὸς] ὀρεινά· τὰ πρὸς X^a. ‖ 37. ὅτε X^a.

3. πρὸ τῆς ἀνατολῆς X^a. ‖ 6 et 9. αὐτὸν Y^a. ‖ 6. ἀνέλκει X^as. ‖ 7. δείλης $X^a$$Y^a$s. ‖ 8. συμβαίνει s, συμβαίνειν X^a. ‖ τὸν] αὐτὸν X^a. ‖ 13. ἡ om X^a. ‖ 14. αὔροις s. ‖ ταῦτα Y^as. ‖ 17. αὐτοῦ χρόνον Y^as. ‖ 20. πνεῖ Y^a. ‖ 22. ψυχρῶν καὶ θερμῶν X^a. ‖ 23. αὐτῷ Y^a. ‖ 26. μετάβασις X^a. ‖ 30. αὐτῷ Y^a. ‖ 34. δὲ λέσβον X^a. ‖ 36. προκαθίζεσθαι Y^a. ‖ ἔχοι X^as. ‖ 38. γὰρ] μὲν γὰρ Y^a.

λησπόντῳ μὲν οὖν ἄνωθεν ὁ βορέας πολλὰ συνωθεῖ νέφη, πρὸς δὲ τὴν Ἀττικὴν καὶ τὰς νήσους ὁ Ἑλλησποντίας, ὥσπερ ὕλην ἔχων· καὶ γὰρ περιΐσταται τὰ πολλὰ ἐκ τοῦ βορέου. περὶ δὲ Λέσβον ὁ εὖρος καὶ ὁ νότος ἐκ τοῦ πελάγους φέροντες πολλὰ νέφη προσβάλλει τῇ χώρᾳ. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων.

57 Διὰ τί λέγεται "μή ποτ' ἀπ' ἠπείρου δείσῃς νέφος ἀλλ' ἀπὸ πόντου χειμῶνος, θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης;" ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα, ὥστε εἴ τι συνέστη, δῆλον ὅτι ἀπ' ἀρχῆς ἰσχυρᾶς συνέστηκεν· ἐλύθη γὰρ ἂν διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον. τοῦ δὲ θέρους ἡ μὲν θάλαττα ψυχρά, καὶ τὰ πόντια πνεύματα, ἡ δὲ γῆ θερμή, ὥστε εἴ τι ἀπὸ τῆς γῆς φέρεται, διὰ μείζονος ἀρχῆς συνέστη· διελύθη γὰρ ἄν, εἰ ἀσθενὲς ἦν.

58 Διὰ τί ἐν τῇ Ἀρκαδίᾳ ὑψηλῇ οὔσῃ τὰ μὲν πνεύματα οὐθὲν ψυχρότερα τῶν παρὰ τοῖς ἄλλοις, ὅταν δὲ νηνεμία ᾖ καὶ ἐπινέφελα, ψυχρά, ὥσπερ ἐν τοῖς ὁμαλέσι τοῖς ἑλώδεσιν; ἢ ὅτι καὶ ἡ Ἀρκαδία ὁμοία γίνεται τοῖς ἑλώδεσιν· οὐ γὰρ ἔχει ἐξόδους τοῖς ὕδασιν εἰς θάλατταν, διὸ καὶ βάραθρα πολλὰ αὐτόθι ἐστίν. ὅταν μὲν οὖν ᾖ ἄνεμος, ἀπορριπίζει τὴν ἐκ τῆς γῆς ἀναθυμίασιν, οὖσαν ψυχράν· αὐτὰ δὲ τὰ πνεύματα οὐ ψυχρὰ διὰ τὸ ἀπὸ τῆς θαλάττης προσβάλλειν· ἐν δὲ ταῖς νηνεμίαις ἀνιοῦσα ἡ ἀτμὶς ἀπὸ τοῦ ἐμμένοντος ὕδατος ποιεῖ τὸ ψῦχος.

59 Διὰ τί, ἂν ἕωθεν πνεῖν ἄρξηται, διημερεύει μᾶλλον; ἢ διότι ἀρχομένου τοῦ ἡλίου σφοδροτάτη ἡ φορά, διὸ ἐκτείνεται τοιαύτη οὖσα. σημεῖον δὲ ὅτι ἰσχυρὰ ἡ σύστασις.

60 Διὰ τί βορέας τὴν ἡμέραν μὲν λαμπρός, τὴν δὲ νύκτα πίπτει; ἢ διότι γίνεται ἀπὸ πεπηγότος ὑετοῦ, ὅταν ἀναθυμιᾶται διὰ τὸν ἥλιον; πίπτει δὲ νυκτός, ὅτι οὐχ ἡ αὐτὴ γένεσις, ἀλλὰ τοὐναντίον ποιεῖ· τὰς γὰρ νύκτας ἐκπνεῖ, τὰς δὲ ἡμέρας ἧττον.

61 Διὰ τί τὰ ἀράχνια τὰ πολλὰ ὅταν φέρηται, πνεύματός ἐστι σημεῖα; πότερον ὅτι ἐργάζεται ὁ ἀράχνης ἐν ταῖς εὐδίαις, φέρεται δὲ διὰ τὸ ψυχόμενον τὸν ἀέρα συνιέναι πρὸς τὴν γῆν, τὸ δὲ ψύχεσθαι ἀρχὴ χειμῶνος· σημεῖον οὖν ἡ φορὰ τῶν ἀραχνίων. ἢ ὅτι μετὰ τὰ ὕδατα καὶ τοὺς χειμῶνας γίνεται τῶν ἀραχνίων ἀθρόα ἡ φορά, ἐν ταῖς εὐδίαις ἐργαζομένων, διὰ τὸ ἐν τῷ χειμῶνι μὴ φαίνεσθαι; δύσριγον γὰρ τόδε. καὶ φερόμενοι ὑπὸ τοῦ πνεύματος πολὺ ἐκπηνίζονται. μετὰ δὲ τὰ ὕδατα εἴωθε πνεύματα γίνεσθαι ὡς τὰ πολλά.

62 Διὰ τί οἱ βορέαι μεγάλοι τοῦ χειμῶνος ἐν τοῖς ψυχροῖς τόποις ἐπινέφελοι, ἔξω δὲ αἴθριοι; ἢ ὅτι ἅμα ψυχροί εἰσι καὶ μεγάλοι, ἐγγὺς δὲ μᾶλλον ψυχροί, ὥστε φθάνουσι πηγνύντες πρὶν ἀπῶσαι τὰ νέφη· ὅταν δὲ παγῇ, μένουσι διὰ βάρος. ἔξω δὲ τῷ μεγέθει ἐργάζονται μᾶλλον ἢ τῷ ψυχρῷ.

ΚΖ. ΟΣΑ ΠΕΡΙ ΦΟΒΟΝ ΚΑΙ ΑΝΔΡΕΙΑΝ.

Διὰ τί οἱ φοβούμενοι τρέμουσιν; ἢ διὰ τὴν κατάψυξιν; ἐκλείπει γὰρ τὸ θερμὸν καὶ συστέλλεται· διὸ καὶ αἱ κοιλίαι λύονται τοῖς πολλοῖς.

2 Διὰ τί οὖν καὶ διψῶσιν ἔνιοι, καθάπερ οἱ μέλλοντες κολάζεσθαι; οὐ γὰρ ἔδει καταψυχομένων. ἢ οὐκ ἐν ταὐτῷ τόπῳ ἡ κατάψυξις καὶ ἡ θερμότης, ἀλλ' ἡ μὲν ἐν τῷ ἐπιπολῆς, ἔνθεν ἐκλείπει τὸ θερμόν, ἡ δὲ ἐν τῷ ἐντός, ὥστε ἐκθερμαίνει; σημεῖον δὲ καὶ τὸ λύεσθαι τὰς κοιλίας. ἀναξηραινομένου δὴ τοῦ κυρίου τόπου τὸ δίψος. ὅμοιον δὲ ἔοικεν ὥσπερ τοῖς ἠπιαλοῦσιν, οἳ ἅμα τῷ ῥιγοῦν διψῶσιν· οὐδὲ γὰρ ὁ αὐτὸς οὐδ' ἐκεῖ τόπος ψύχεται καὶ θερμαίνεται.

3 Διὰ τί ἐν μὲν τοῖς θυμοῖς εἰς τὸ ἐντὸς ἀθροιζομένου τοῦ θερμοῦ διάθερμοι καὶ θαρραλέοι, ἐν δὲ τοῖς φόβοις ἀνάπαλιν; ἢ οὐκ εἰς τὸν αὐτὸν τόπον, ἀλλὰ τοῖς μὲν ὀργιζομένοις περὶ τὴν καρδίαν, διὸ καὶ θαρρητικοὶ καὶ ἐν ἐρυθήματι καὶ πνεύματος πλήρεις, ἄνω τῆς φορᾶς οὔσης, τοῖς δὲ φοβουμένοις κάτω συμφευγόντων τοῦ αἵματος καὶ τοῦ θερμοῦ, διὸ καὶ ἡ λύσις τῶν κοιλιῶν· ἐπεὶ καὶ ἡ τῆς καρδίας πήδησις οὐχ ὁμοία, ἀλλὰ τοῖς μὲν ὡς ἂν διὰ τὴν ἔκλειψιν πυκνὴ καὶ νυγματώδης, τοῖς δὲ ὡς ἂν ἀθροιζομένου πλείονος θερμοῦ· διὸ καὶ τὸ ἀναζεῖν καὶ τὸ ὀρίνεσθαι τὸν θυμὸν καὶ ταράττεσθαι, καὶ ὅσα τοιαῦτα λέγουσιν οὐ κακῶς ἀλλ' οἰκείως. ἆρ' οὖν καὶ διὰ τοῦτο τὸ δίψος, ἐπεὶ τό γε ξηρὸν πτύειν καὶ ὁ σαυσαρισμὸς καὶ τὰ τοιαῦτα γίνεται διὰ τὴν ἀναφορὰν τοῦ πνεύματος ἅμα καὶ θερμοῦ. καὶ τὸ δίψος δὲ δῆλον ὡς ἐκθερμαινομένου τοῦ σώματος. πῶς οὖν ὁ αὐτὸς τόπος ἀναξηραίνεται ἀμφοῖν, ᾧ διψῶμεν, καὶ τῷ φοβουμένῳ καὶ τῷ ὀργιζομένῳ; ὁ δὲ φόβος ὅτι διψητικόν, καὶ

7. ἠπείροιο X^as. ‖ νέφος om X^aY^as. ‖ 8. θέρους X^aY^a. ‖ 9 et 12. θάλασσα, 19. θάλασσαν, 22. θαλάσσης s. ‖ 10. τι codices. ‖ 12. τὰ om X^a. ‖ 13. διὰ τὸ μείζονος s. ‖ 14. εἰ ante διελύθη X^a. ‖ 16. περὶ s. ‖ ἢ καὶ ἐπινέφελα ᾖ ψ. s. ‖ 26. διὸ] διότι s. ‖ 29. ἀπὸ τοῦ πεπ. X^a. ‖ 38. ἐν δὲ ταῖς s. ‖ 39. ἐργαζομένου Y^a. ‖ μὴ om Y^a.

1. πολὺν X^aY^a. ‖ 2. πνεῦμα s. ‖ 5. ἐπινεφέλοις X^a, ἐπὶ νεφέλαις Y^as. ‖ 11. ἀνδρίαν Y^a. ‖ 19. τὰς] καὶ τὰς Y^a. ‖ κοίλας s. ‖ 21. οἱ] ἢ s. ‖ διψιῶσιν s. ‖ 24. θυμοῦ s. ‖ 26. καὶ ἐρυθήματος margo r. ‖ 38. ἄμφω X^aY^as.

οἱ ἐν ταῖς τροπαῖς δηλοῦσιν· οὐδαμοῦ γὰρ οὕτω διψῶσιν. καὶ οἱ ἀγωνιῶντες δὲ σφόδρα· διὸ καὶ διακλύζονται καὶ ἐπιρροφοῦσι, καθάπερ Παρμένων ὁ ὑποκριτής. ἢ τούτοις μὲν οὐκ ἔστι δίψος, ἀλλὰ ξηρότης πεφευγότος τοῦ αἵματος, ὅθεν καὶ ὠχροί; σημεῖον δὲ τὸ μὴ πίνειν πολύ, ἀλλὰ καὶ βροχθίσαι. οἱ δ' ἐν ταῖς τροπαῖς μετὰ πόνου. διὸ διψῶσι καὶ οἱ μέλλοντες κολάζεσθαι· καὶ οὐθὲν ἄτοπον. ἐν δὲ τοῖς πολεμικοῖς ἔνιοι καὶ τῶν ἀνδρείων, ὅταν διασκευασθῶσι, καὶ τρέμουσιν οὐκ ἐξεστηκότες ἀλλὰ θαρροῦντες· ὧν εἰώθασι μαστιγοῦν τὸ σῶμα πλατεῖ νάρθηκι, εἰ δὲ μή, ταῖς χερσὶν ἀναθερμανθέντες. ἔοικε δὴ διὰ τὴν ὀξύτητα καὶ τὴν φορὰν τοῦ θερμοῦ ἀνωμαλία τις εἶναι περὶ τὸ σῶμα ταραχώδης.

4 Διὰ τί οἱ ἀνδρεῖοι ὡς ἐπὶ τὸ πολὺ φίλοινοι; ἢ ὅτι οἱ ἀνδρεῖοι θερμοί, ἡ δὲ θερμότης περὶ τὰ στήθη. ἐνταῦθα γὰρ καὶ ὁ φόβος φαίνεται, γινόμενος κατάψυξίς τις. ὥστε περὶ τὴν καρδίαν ἧττον μὲν μένει, τοῖς δὲ πηδᾷ ψυχομένη. ὅσοι οὖν τὸν πνεύμονα ἔχουσιν ἔναιμον, θερμὸν ἔχουσι τοῦτον ὥσπερ οἰνωμένοι, ὥστε οὐ ψύχει ἡ φαντασία τοῦ δεινοῦ. οἱ δὲ τοιοῦτοι καὶ φιλοπόται. ἥ τε γὰρ τοῦ ποτοῦ ἐπιθυμία διὰ τὴν τούτου τοῦ μορίου θερμότητά ἐστιν (εἴρηται δὲ περὶ αὐτοῦ ἐν ἄλλοις) καὶ τοῦ παυστικοῦ ἡ ἐπιθυμία. ὁ δὲ οἶνος θερμὸς μὲν τὴν φύσιν, παύει δὲ τὴν δίψαν μᾶλλον τοῦ ὕδατος, καὶ μάλιστα τῶν αὐτῶν· δι' ἣν αἰτίαν, εἴρηται ἐν ἄλλοις. διὸ καὶ οἱ ἐν τῇ περιπνευμονίᾳ καὶ οἱ μαινόμενοι ἀμφότεροι ἐπιθυμοῦσιν οἴνου· καίτοι τῶν μὲν διὰ τὴν θερμασίαν θερμὸς ὁ πνεύμων, τῶν δὲ διὰ τὴν ταραχήν. ἐπεὶ οὖν οἱ αὐτοὶ ὡς ἐπὶ τὸ πολὺ τῷ γένει διψητικοὶ καὶ ἀνδρεῖοι, οἴνου δὲ οἱ διψητικοὶ ἐπιθυμητικοί, οἱ δὲ τοιοῦτοι φιλοπόται, ἀναγκαῖον ὡς ἐπὶ τὸ πολὺ παρακολουθεῖν ἀλλήλοις τὰς φύσεις. διὸ καὶ οἱ οἰνωμένοι ἀνδρειότεροι τῶν μή.

5 Διὰ τί μάλιστα τὴν ἀνδρείαν τιμῶσιν αἱ πόλεις, οὐ βελτίστην οὖσαν τῶν ἀρετῶν; ἢ ὅτι διατελοῦσιν ἢ πολεμοῦντες ἢ πολεμούμενοι, αὕτη δὲ ἐν ἀμφοῖν χρησιμωτάτη ἐστίν. τιμῶσι δὲ οὐ τὰ βέλτιστα, ἀλλὰ τὰ αὐτοῖς βέλτιστα.

6 Διὰ τί οἱ φοβούμενοι μάλιστα τρέμουσι τὴν φωνὴν καὶ τὰς χεῖρας καὶ τὸ κάτω χεῖλος; ἢ διότι ἔκλειψίς ἐστι τὸ πάθος θερμοῦ ἐκ τῶν ἄνω τόπων; διὸ καὶ ὠχριῶσιν. διὰ μὲν οὖν τὸ ἐκ τοῦ στήθους ἡ φωνὴ τρέμει, ψυχομένου ᾧ κινεῖται. ὁμοίως δὲ καὶ αἱ χεῖρες· ἐκ τοῦ στήθους γὰρ ἤρτηνται. τὸ δὲ κάτω χεῖλος, ἀλλ' οὐ τὸ ἄνωθεν, κάτω κρέμαται ᾗ ῥέπει· τὸ δὲ κάτωθεν ἄνω παρὰ φύσιν, ἀλλ' ὑπὸ τοῦ θερμοῦ ἄνω ἠρεμεῖ· οὗ ὑφαιρουμένου διὰ τὸ ψύχεσθαι τρέμει. καὶ ἐν τοῖς θυμοῖς δὲ διὰ τὸ αὐτὸ ἀποκρεμάννυται τὸ χεῖλος. δῆλον δὲ ἐπὶ τῶν παιδίων· συνθεῖ γὰρ εἰς τὴν καρδίαν τὸ θερμόν.

7 Διὰ τί οἱ φοβούμενοι τρέμουσι, καὶ μάλιστα τὴν φωνὴν καὶ τοῦ σώματος τὰς χεῖρας καὶ τὸ κάτω χεῖλος; ἢ διότι ἐκ τούτου τοῦ τόπου ἐκλείπει τὸ θερμὸν ἐν ᾧ ἡ φωνή; τὸ δὲ χεῖλος καὶ τὰς χεῖρας, ὅτι εὐκινητότατα καὶ ἥκιστα ἔναιμα. καὶ προΐενται μὲν τὴν χολήν, συσπῶσι δὲ τὰ αἰδοῖα, προΐενται μὲν διὰ τὸ συντήκειν τὸ καταβαῖνον θερμόν, ἀνασπῶσι δέ, ὅτι ἔξωθεν φόβος· εἰς τοὐναντίον οὖν ἡ φυγή.

8 Διὰ τί οἱ φοβούμενοι καὶ διψῶσι καὶ ῥιγῶσιν; ταῦτα δὲ ἐναντία τὰ πάθη. ἢ ῥιγοῦσι μὲν ψυχόμενοι, διψῶσι δὲ θερμαινόμενοι; διότι ἐν τῷ φοβεῖσθαι τὸ θερμὸν ἐκλείπει καὶ τὸ ὑγρὸν ἐκ τῶν ἄνω τόπων. δηλοῖ δὲ τὸ χρῶμα καὶ αἱ κοιλίαι· τὸ μὲν γὰρ πρόσωπον ὠχρόν, αἱ δὲ κοιλίαι ἐνίοτε λύονται. διὰ μὲν οὖν τὸ ἐκλείπειν τὸ θερμὸν ἐκ τῶν ἄνωθεν τὸ ῥῖγος γίνεται, διὰ δὲ τὸ ὑγρὸν ἡ δίψα.

9 Διὰ τί τοῦ τε φόβου λύπης τινὸς ὄντος καὶ τῆς ἀλγηδόνος, οἱ μὲν ἀλγοῦντες ἀναβοῶσιν, οἱ δὲ φοβούμενοι σιωπῶσιν; ἢ οἱ μὲν ἀλγοῦντες κατέχουσι τὸ πνεῦμα (διὸ ἀθρόον ἐξιὸν μετὰ φωνῆς ἐξέρχεται), τῶν δὲ φοβουμένων κατέψυκται τὸ σῶμα καὶ τὸ θερμὸν κάτω ἐνήνεκται, ὃ ποιεῖ πνεύματα. ᾗ οὖν ἐνήνεκται μάλιστα, ἐνταῦθα καὶ ποιεῖ αὐτά. διὸ καὶ ἀποψοφοῦσιν οἱ φοβούμενοι. ἡ δὲ φωνή ἐστι φορὰ πνεύματος ἄνω πως καὶ διά τινων γινομένη. τοῦ δὲ τοὺς ἀλγοῦντας κατέχειν τὸ πνεῦμα αἴτιον, ὅτι ταῖς ἐνυπαρχούσαις ἡμῖν βοηθείαις φύσει εὐθὺς πάντες παθόντες ἄνευ λογισμοῦ χρώμεθα, καθάπερ καὶ τὰ ἄλλα ζῷα· τὰ μὲν γὰρ κέρασι, τὰ δὲ ὀδοῦσι, τὰ δὲ ὄνυξιν ἀμύνεται. πρὸς δὲ τὰ ἀλγήματα πάντα ἢ τὰ πλεῖστα βοηθεῖ ἡ θερμότης. ὃ ποιεῖ ὁ κατέχων τὸ πνεῦμα· θερμαίνει γὰρ καὶ ἐκπέττει τὸ ἄλγημα, συστέλλων ἐντὸς τὸ θερμὸν τῷ πνεύματι.

10 Διὰ τί τοῖς φοβουμένοις αἱ κοιλίαι λύονται καὶ οὐρητιῶσιν; ἢ τὸ θερμὸν τὸ ἐν ἡμῖν ἐστὶν ὥσπερ ζῷον; τοῦτ' οὖν φεύγει ὅ τι ἂν φοβηθῇ. ἔξωθεν οὖν γινομένων τῶν τε ὑπὸ τῆς ἀγωνίας φόβων καὶ τῶν τοιούτων, καὶ ἐκ τῶν ἄνωθεν εἰς τὰ κάτω καὶ ἐκ τῶν ἐπιπολῆς εἰς τὰ ἐντός, ἐκθερμαινόμεναι

3. οὐδ' Y^a. ‖ 5. ὠχρός X^a, ἴσως ὠχριῶσι margo X^a. ‖ βροχίσαι s. ‖ 6. διψιῶσι s. ‖ 7. τοῖς om s. ‖ 9. μαστιγεῖ s. ‖ 10. νάρθηκι s. ‖ 11. δὲ s. ‖ 16. ψυχομένοις s. ‖ 20. τούτου s. ‖ 23. ἐν ἄλλοις εἴρηται s. ‖ 29. οἱ om Y^a. ‖ 36. τὰς add t.

1. ἢ X^aY^astu. ‖ 2. περὶ s. ‖ 5. συνωθεῖ s. ‖ 6. καὶ μάλιστα τρέμουσι X^a. ‖ 7. τὰς om X^a. ‖ 9. εὐκινητότατος s. ‖ 10. δὲ καὶ τὰ X^as. ‖ 12. ἔξω s, omisso φόβος. ‖ 13. διψιῶσι καὶ ῥιγῶσι s, ῥιγῶσι καὶ διψῶσι X^a. ‖ 18. οὖν om X^aY^as. ‖ 21. οἱ δὲ] οὐδὲ s. ‖ 23. βοῆς X^a. ‖ 27. τόνων X^a. ‖ γινομένων s. ‖ 29. εὐθὺ X^a. ‖ μαθόντες s. ‖ 30. καθάπερ s. ‖ 31. γὰρ om X^a. ‖ κέρατι s. ‖ 34. συστέλλον X^a. ‖ 37. ὅτε X^as. ‖ οὖν om K^aO^as. ‖ 38. καὶ ante ἐκ om QK^as. ‖ 39. τὸ s. ‖ κάτω — τὰ om Q.

δὲ οἱ περὶ τὴν κοιλίαν τόποι καὶ τὴν κύστιν διαλύονται, καὶ ποιοῦσιν αὐτὰς εὐτρεπεῖς. καὶ γὰρ τὰ ἄνηθα καὶ τὰ ἀψίνθια, καὶ ὅσα οὐρητικά, θερμαντικά. ὁμοίως δὲ καὶ τὰ πρὸς τὴν κοιλίαν φάρμακα, τὰ κάτω θερμαντικά· καὶ τὰ μὲν τῶν εἰσενεχθέντων μόνων λυτικά, τὰ δὲ καὶ ἑτέραν σύντηξιν ποιεῖ, οἷον τὸ σκόροδον εἰς τὸ οὖρον. τὸ αὐτὸ δὲ τοῖς τοιούτοις ἡ ἐκ τῶν ἐπιπολῆς θερμασία εἰς τούτους τοὺς τόπους συνιοῦσα δρᾷ.

11 Διὰ τί οἱ φοβούμενοι συσπῶσι τὰ αἰδοῖα; εἰκὸς γὰρ ἦν τοὐναντίον, τοῦ θερμοῦ εἰς τοῦτον τὸν τόπον ἀθροιζομένου τῶν φοβουμένων, ἀνίεσθαι αὐτά. ἢ οἱ φοβούμενοι σχεδὸν ἅπαντες ὥσπερ ῥιγοῦντές εἰσιν; ἐκλελοιπότος οὖν ἐκ τῶν ἐπιπολῆς τοῦ θερμοῦ συσπῶσιν. διὸ καὶ βομβυλιάζουσιν οἱ δεινῶς δεδιότες. δοκεῖ δὲ συσπᾶν τὸ ἐπιπολῆς καὶ τὸ δέρμα τῶν ῥιγούντων, ἅτε τοῦ θερμοῦ ἐκκεκριμένου· διὸ καὶ φρίττουσιν. συσπᾶται δὲ καὶ ἡ ὀσχέα τοῦ αἰδοίου ἄνω, καὶ συνεφέλκονται καὶ οἱ ὄρχεις αὐτοῖς συστελλομένων. θᾶττον δὲ φαίνεται ἐπὶ τῶν ἀφροδισίων· ὁ γὰρ φόβος ἐκκρίνει, καὶ πολλοῖς τῶν ἀγωνιώντων καὶ τῶν περιφόβων συγκινεῖ ἡ τῆς γονῆς πρόεσις.

ΚΗ. ΟΣΑ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΝ ΚΑΙ ΑΚΟΛΑΣΙΑΝ, ΚΑΙ ΕΓΚΡΑΤΕΙΑΝ ΚΑΙ ΑΚΡΑΣΙΑΝ.

Διὰ τί ἔνιοι κάμνουσιν, ὅταν ἐθισθέντες ἀκολάστως ζῆν μὴ ἀκολάστως διαιτῶνται, οἷον Διονύσιος ὁ τύραννος, ἐπεὶ ἐν τῇ πολιορκίᾳ ἐπαύσατο πίνων ὀλίγον τινὰ χρόνον, εὐθὺς ἐφθισίασεν, ἕως πάλιν εἰς τὴν μέθην μετέβαλεν. ἢ μέγα μέν τι καὶ τὸ ἔθος ἐστὶν ἑκάστοις· φύσις γὰρ ἤδη γίνεται. καθάπερ ἂν ἰχθὺς ἐν ἀέρι ἢ ἄνθρωπος ἐν ὕδατι διατελῶν φαύλως ἂν ἴσχοι, οὕτω καὶ οἱ τὰ ἔθη μεταβάλλοντες χαλεπῶς ἀπαλλάττουσιν, καὶ τὸ πάλιν εἰς τὰ εἰωθότα ἐλθεῖν σωτηρία γίνεται αὐτοῖς ὥσπερ εἰς φύσεως κατάστασιν. ἔτι δὲ καὶ συντηκτικοὶ γίνονται, εἰωθότες τροφῇ χρῆσθαι δαψιλεῖ τῇ ἰδίᾳ· μὴ λαμβάνοντες γὰρ τὴν εἰωθυῖαν ὥσπερ ὅλως μὴ λαμβάνοντες διατίθενται. οὐ μὴν ἀλλὰ καὶ τὰ περιττώματα τροφῇ μεμιγμένα πολλῇ ἀφανίζεται, αὐτὰ δὲ ἐπιπολάζει μόνα ὄντα, καὶ φέρεται εἰς ὄμματα ἢ πνεύμονα· προσενεγκαμένοις δὲ τροφὴν κατακεραννύμενα ὑδαρῆ γίνεται καὶ ἀβλαβῆ. γίνεται δὲ τοῖς ἀκολάστως ζῶσι πλείω τὰ περιττώματα ἄχρι τινὸς λήξασι τοῦ εἰωθότος βίου, διὰ τὸ πολλὴν ἀκαταχώριστον ἐν αὐτοῖς ὕλην ὑπάρχειν ἐκ τοῦ προτέρου βίου, ἧς τηκομένης ὑπὸ τοῦ συμφύτου θερμοῦ, καθάπερ χιόνος πολλῆς, ῥεύματα ἁδρὰ συμβαίνει γίνεσθαι.

Διὰ τί κατὰ δύο μόνας αἰσθήσεις ἀκρατεῖς λέγομεν, 2
οἷον ἁφὴν καὶ γεῦσιν; ἢ διὰ τὰς ἀπὸ τούτων γινομένας ἡδονὰς ἡμῖν καὶ τοῖς ἄλλοις ζῴοις; ἅτε οὖν κοιναὶ οὖσαι ἀτιμόταταί εἰσι, διὸ καὶ μάλιστα ἢ μόναι ἐπονείδιστοί εἰσιν. ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον ψέγομεν καὶ ἀκρατῆ καὶ ἀκόλαστον εἶναι φαμέν, διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι.

Διὰ τί ἀκρατεῖς λέγονται κατὰ τὰς ἐπιθυμίας μόνον, 3
οὔσης τῆς ἀκρασίας καὶ περὶ τὴν ὀργήν; ἢ ὅτι ἀκρατὴς μέν ἐστιν ὁ παρὰ τὸν λόγον τι πράττων καὶ ἀκρασία ἡ παρὰ τὸν λόγον ἀγωγή, εἰσὶ δὲ αἱ μὲν ἐπιθυμίαι ὡς ἐπίπαν εἰπεῖν παρὰ τὸν λόγον, αἱ δὲ ὀργαὶ μετὰ λόγου, οὐχ ὡς κελεύσαντος τοῦ λόγου, ἀλλ' ὡς δηλώσαντος τὸν προπηλακισμὸν ἢ τὴν αἰτίαν.

Διὰ τί τὴν μὲν ἐγκράτειαν καὶ τὴν σωφροσύνην ἐπὶ 4
τῶν νέων καὶ πλουσίων μάλιστα ἐξετάζομεν, τὴν δὲ δικαιοσύνην ἐπὶ τῶν πενήτων; ἢ ὅτι οὗ μάλιστα δεῖταί τις, εἰ τούτου ἀπέχεται, μᾶλλον θαυμάζοιτ' ἂν ἢ τῶν ἐναντίων; ὁ μὲν οὖν πένης εὐπορίας δεῖται, ὁ δὲ νέος καὶ πλούσιος ἀπολαύσεως.

Διὰ τί ἧττον ἀνέχονται διψῶντες ἢ πεινῶντες; πότερον 5
ὅτι λυπηρότερον; σημεῖον δὲ τοῦ λυπηροτέρου, ὅτι ἥδιον τὸ διψῶντα πιεῖν ἢ πεινῶντα φαγεῖν. τὸ δὲ ἐναντίον τῷ ἡδεῖ λυπηρότερον. ἢ διότι μᾶλλον δεῖται τὸ θερμὸν τοῦ ὑγροῦ ἢ τὸ ξηρὸν ᾧ ζῶμεν; ἢ ὅτι δυοῖν ἡ δίψα ἐπιθυμία, ποτοῦ καὶ τροφῆς, ἡ δὲ πεῖνα ἑνὸς μόνου, τροφῆς;

Διὰ τί ἧττον καρτεροῦμεν διψῶντες ἢ πεινῶντες; ἢ 6
διότι λυπούμεθα μᾶλλον; σημεῖον δὲ τῆς λύπης ἡ ἡδονὴ σφοδροτέρα. εἶτα ὁ μὲν διψῶν δυοῖν ἐνδεής, τροφῆς τε καὶ καταψύξεως (ἄμφω γὰρ ἔχει τὸ ποτόν), ὁ δὲ πεινῶν θατέρου μόνον.

Διὰ τί οἱ κατὰ τὴν τῆς ἁφῆς ἢ γεύσεως ἡδονήν, οὗ 7
ἂν ὑπερβάλλωσιν, ἀκρατεῖς λέγονται; οἵ τε γὰρ περὶ τὰ

2. εὐτροπεῖς QK^a, εὐτροπῆς s. ‖ ἄνιθα x et margo X^a, ἄμσα QY^a, ἄμησσα K^aO^as, ἄνοσα t. ‖ 3. ὑρ. καὶ θερμ. $QK^aO^aY^a$. ‖ 5. μόνον X^aY^a. ‖ 7. ἐπιπολῶν θερμάνει s. ‖ τοὺς om X^a. ‖ τρόπους X^a. ‖ 10. εἰς τοῦτον τὸν τόπον τοῦ θερμοῦ X^a. ‖ ἀθροιζόμενοι s. ‖ 13. βομβυλίζουσιν Y^a. ‖ 16. ὀχεία X^a. ‖ 20. προαίεσις s. ‖ 27. μεγέθην s. ‖ μετέβαλλεν v. ‖ 28. τοι X^a. ‖ 29. καθαπερανεὶ X^as. ‖ τελῶν s. ‖ 30. ἴσχει X^a. ‖ 31. εἰωθότως s. ‖ 32. αὐτοῖς γίνεται s. ‖ 34. ἰδίᾳ] ἡδεία X^a.

6. μόνας δύο X^a. ‖ 10. τὸ Y^av. ‖ 13. λέγεται s. ‖ μετὰ Y^av. ‖ 14. τῆς om s. ‖ 15. περὶ τὸν λογισμόν s. ‖ καὶ] καὶ ἡ X^a Y^asv. ‖ 16 et 17. περὶ s. ‖ 17. αἱ δὲ αἱ ὀργαὶ s. ‖ 20. τὴν post καὶ om Y^asv. ‖ 22. εἰ] ἐπὶ s. ‖ 26. πότερον s. ‖ 27. σῆμα s. ‖ 28. διψῶντες s. ‖ ποιεῖν v. ‖ πεινῶντες s. ‖ 29. δεῖται μᾶλλον s. ‖ 31. μόνον Y^a. ‖ 34. δυεῖν Y^av. ‖ τε om Y^as. ‖ 38. λεκτέον s.

ἀφροδίσια ἀκόλαστοι, οἵ τε περὶ τὰς τῆς τροφῆς ἀπολαύσεις. τῶν δὲ κατὰ τὴν τροφὴν ἀπ' ἐνίων μὲν ἐν τῇ γλώττῃ τὸ ἡδύ, ἀπ' ἐνίων δὲ ἐν τῷ λάρυγγι, διὸ καὶ Φιλόξενος γεράνου φάρυγγα ηὔχετο ἔχειν. οἱ δὲ κατὰ τὴν ὄψιν καὶ τὴν ἀκοὴν οὐκέτι. ἢ διὰ τὸ τὰς ἀπὸ τούτων γινομένας ἡδονὰς κοινὰς εἶναι ἡμῖν καὶ τοῖς ἄλλοις ζῴοις; ἅτε οὖν οὖσαι κοιναὶ ἀτιμόταταί εἰσι καὶ μάλιστα ἢ μόναι ἐπονείδιστοι, ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον ψέγομεν καὶ ἀκρατῆ καὶ ἀκόλαστον λέγομεν διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι. οὐσῶν δὲ τῶν αἰσθήσεων πέντε, τά τε ἄλλα ζῷα ἀπὸ δύο μόνων τῶν προειρημένων ἥδεται, κατὰ δὲ τὰς ἄλλας ἢ ὅλως οὐχ ἥδεται ἢ κατὰ συμβεβηκὸς τοῦτο πάσχει. ὁρῶν μὲν γὰρ ὁ ὁρῶν, ἢ καὶ ὀσφραινόμενος, χαίρει ὅτι ἀπολαύει· καὶ ὅταν πληρωθῇ, οὐδὲ τὰ τοιαῦτα ἡδέα αὐτῷ, ὥσπερ οὐδὲ ἡμῖν ἡ τοῦ ταρίχου ὀδμή, ὅταν ἄδην ἔχωμεν τοῦ φαγεῖν. ὅταν δὲ ἐνδεεῖς ὦμεν, ἡδέα. ἡ δὲ τοῦ ῥόδου ἀεὶ ἡδεῖα.

8 Διὰ τί ἧττον κατέχουσι τὸν γέλωτα παρόντων τῶν γνωρίμων; ἢ ὅταν σφόδρα ἐξηρτημένον ᾖ τι, εὐκίνητόν ἐστιν; ἡ δ' εὔνοια εἰπεῖν μᾶλλον γελοῖον, ὥστε κινεῖ.

ΚΘ. ΟΣΑ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΝ ΚΑΙ ΑΔΙΚΙΑΝ.

Διὰ τί μείζονος ὄντος ἀδικήματος, ἐάν τις βλάπτῃ εἰς τὸ μεῖζον ἀγαθόν, τῆς δὲ τιμῆς οὔσης μείζονος ἀγαθοῦ, ἡ τῶν χρημάτων ἀδικία μᾶλλον δοκεῖ, καὶ οἱ ἄδικοι μᾶλλον εἶναι δοκοῦσι περὶ τὰ χρήματα; ἢ διότι αἱροῦνται τὰ χρήματα μᾶλλον τῆς τιμῆς, καὶ πᾶσίν ἐστι κοινότατον, ἡ δὲ τιμὴ ὀλίγοις, καὶ ὀλιγάκις συμβαίνει ἡ χρῆσις αὐτῆς.

2 Διὰ τί παρακαταθήκην δεινότερον ἀποστερεῖν ἢ δάνειον; ἢ ὅτι αἰσχρὸν ἀδικεῖν φίλον. ὁ μὲν οὖν τὴν παρακαταθήκην ἀποστερῶν φίλον ἀδικεῖ· οὐδεὶς γὰρ παρακατατίθεται μὴ πιστεύων. οὐ δὲ τὸ χρέος, οὐ φίλος· οὐ γὰρ δανείζει, ἐὰν ᾖ φίλος, ἀλλὰ δίδωσιν. ἢ ὅτι μεῖζον τὸ ἀδίκημα· πρὸς γὰρ τῇ ζημίᾳ καὶ τὴν πίστιν παραβαίνει, δι' ἥν, εἰ καὶ μηδὲν ἕτερον, δεῖ ἀπέχεσθαι τοῦ ἀδικεῖν. ἔτι τὸ μὴ τοῖς ἴσοις ἀμύνεσθαι φαῦλον· ὁ μὲν οὖν ἔδωκεν ὡς φίλῳ, ὁ δὲ ἀπεστέρησεν ὡς ἐχθρόν· ὁ δὲ δανείζων οὐχ ὡς φίλος ἔδωκεν. ἔτι τῶν μὲν ἡ δόσις φυλακῆς καὶ ἀποδόσεως χάριν, τῶν δὲ καὶ ὠφελείας· ἧττον δὲ ἀγανακτοῦμεν ἀποβάλλοντες, εἰ κέρδος θηρεύομεν, οἷον οἱ ἁλιεῖς τὰ δελέατα· προφανὴς γὰρ ὁ κίνδυνος. ἔτι παρακατατίθενται μὲν ὡς ἐπὶ τὸ πολὺ οἱ ἐπιβουλευόμενοι καὶ ἀτυχοῦντες, δανείζουσι δὲ οἱ εὐποροῦντες· δεινότερον δέ ἐστι τὸν ἀτυχοῦντα ἢ τὸν εὐτυχοῦντα ἀδικεῖν.

Διὰ τί ἐνίοις δικαστηρίοις τοῖς γένεσι μᾶλλον ἢ ταῖς 3 διαθήκαις ψηφίζονται; ἢ ὅτι γένους μὲν οὐκ ἔστι καταψεύσασθαι, ἀλλὰ τὸ ὂν ἀποφαίνειν· διαθῆκαι δὲ πολλαὶ ψευδεῖς ἤδη ἐξηλέγχθησαν οὖσαι.

Διὰ τί ἡ πενία παρὰ τοῖς χρηστοῖς τῶν ἀνθρώπων 4 μᾶλλον ἢ παρὰ τοῖς φαύλοις ἐστίν; ἢ διὰ τὸ ὑπὸ πάντων μισεῖσθαι καὶ ἐξελαύνεσθαι πρὸς τοὺς ἐπιεικεῖς καταφεύγει, οἰομένη μάλιστα παρὰ τούτοις σωτηρίας τυχεῖν καὶ διαμεῖναι· εἰ δὲ πρὸς πονηροὺς ἔλθοι, οὐκ ἂν διαμεῖναι ἐν τῇ αὐτῇ δυνάμει αὐτούς, ἀλλ' ἢ κλέπτειν ἢ λῃΐζεσθαι, ὧν γινομένων οὐκ ἂν ἔτι εἶναι αὐτὴν παρ' αὐτοῖς. ἢ ὅτι τοὺς ἐπιεικεῖς οἴεται τῶν ἀνθρώπων ἄριστα ἂν αὐτῇ χρῆσθαι, καὶ ἥκιστα ἂν ὑβρισθῆναι ὑπ' αὐτῶν. καθάπερ οὖν τὰς τῶν χρημάτων παρακαταθήκας πρὸς τοὺς ἐπιεικεῖς τιθέμεθα, οὕτω καὶ αὐτὴ ὑπὲρ αὐτῆς διατάττεται. ἢ ὅτι θήλεια οὖσα ἀπορωτέρα ἐστίν, ὥστε τῶν ἐπιεικῶν δεῖται. ἢ ὅτι αὐτὴ κακὸν οὖσα πρὸς τὸ κακὸν οὐκ ἂν ἔλθοι· εἰ γὰρ τὸ κακὸν ἕλοιτο, παντάπασιν ἂν δυσίατον εἴη.

Διὰ τί οὐχ ὁμοίως αἱ ἀδικίαι μείζους περὶ τὰ ῥήματα 5 καὶ τὰ ἄλλα, οἷον ὁ μικρὸν εἰπὼν οὐκ ἂν καὶ τὸ ἀπόρρητον εἴποι, ἀλλ' ὁ ἕνα προδοὺς καὶ πόλιν, ὥσπερ ὁ ὀβολὸν ἀποστερήσας καὶ τάλαντον; ἢ ὅτι ἀπὸ μείζονος ἀδικίας ἔνια ἐλάττω ἐστὶ δι' ἀδυναμίαν.

Διὰ τί παρακαταθήκην αἰσχρὸν ἀποστερῆσαι μικρὰν ἢ 6 πολὺ δανεισάμενον; ἢ ὅτι ὁ τὴν παρακαταθήκην ἀποστερῶν τὸν ὑπολαβόντα εἶναι αὐτὸν ἐπιεικῆ ἐξαπατᾷ; ἢ ὅτι ὁ τοῦτο κἂν ἐκεῖνο ποιήσειεν;

Διὰ τί ἄνθρωπος μάλιστα παιδείας μετέχων ζῴων 7 ἁπάντων ἀδικώτατόν ἐστιν; ἢ ὅτι πλείστου λογισμοῦ κεκοινώνηκεν; μάλιστα οὖν τὰς ἡδονὰς καὶ τὴν εὐδαιμονίαν ἐξήτακεν· ταῦτα δ' ἄνευ ἀδικίας οὐκ ἔστιν.

Διὰ τί ὁ πλοῦτος ὡς ἐπὶ τὸ πολὺ παρὰ τοῖς φαύλοις 8 μᾶλλον ἢ τοῖς ἐπιεικέσιν ἐστίν; ἢ διότι τυφλὸς ὢν τὴν διάνοιαν οὐ δύναται κρίνειν οὐδὲ αἱρεῖσθαι τὸ βέλτιστον;

3. δὲ] τε Y^av. ‖ 4. ηὔχετο s, εὔχεται v. ‖ κατὰ] καὶ $X^a Y^a$sv. ‖ 6. οὖν om Y^av. ‖ οὐσῶν κοινῶν $X^a Y^a$v. ‖ 7. ὡς v. ‖ 10. τὰς αἰσθήσεις s. ‖ ἀπὸ δύο μηνῶν s, ἀποδύομεν Y^a, ἀπὸ δύο μόνον margo X^a. ‖ 12. ὁρῶν μὲν s, ὁρῶ μὲν QY^av. ‖ ὁ om X^a. ‖ 13. καὶ post ἢ om QY^asv. ‖ 18. ἐξηρμένον Y^as. ‖ 19. ἔννοια Y^a. ‖ 31. δανίζει s. ‖ 37. τῶ Y^a et margo X^a.

1. οἱ] εἰ s. ‖ 2. ὡς om Y^as. ‖ 5. an ἐν ἐνίοις et mox ψηφίζονται? ‖ 9. ἐπὶ s. ‖ 10 et 12. περὶ s. ‖ 13. πονηρίας s. ‖ διὸ X^av. ‖ 20. τῶν om s. ‖ 23. περὶ χρήματα Y^a. ‖ 25. εἴποιεν Y^a. ‖ προδιδοὺς X^a. ‖ ὁ] καὶ ὁ s. ‖ 30. τῷ ὑπολαβόντι pr X^a. ‖ ἐξαπατᾶται codices. ‖ 31. καὶ codices. ‖ 37. μᾶλλον om $X^a Y^a$s.

9 Διὰ τί δικαιότερον εἶναι νενόμισται τοῖς τετελευτηκόσιν ἢ τοῖς ζῶσιν ἐπαμύνειν; ἢ ὅτι οἱ μὲν ζῶντες δύναιντ' ἂν αὐτοῖς ἐπαρκέσαι, ὁ δὲ τετελευτηκὼς οὐκέτι;

10 Διὰ τί ὑγιαίνοντι μὲν ὁ συνὼν οὐδὲν ὑγιέστερος γίνεται, οὐδὲ ἰσχυρῷ ἢ καλῷ εἰς τὰς ἕξεις ἐπιδίδωσιν οὐθέν, δικαίῳ δὲ καὶ σώφρονι καὶ ἀγαθῷ; ἢ διότι τὰ μὲν ἀμίμητα τὰ δὲ μιμητὰ τῇ ψυχῇ; ἀγαθὸς δὲ τῇ ψυχῇ, ὑγιὴς δὲ τῷ σώματι· ἐθίζεται οὖν χαίρειν ὀρθῶς καὶ λυπεῖσθαι. ὁ δὲ ὑγιεῖ συνὼν οὐκέτι· οὐ γὰρ ἐν τῷ τισὶ χαίρειν ἢ μὴ ὁ ὑγιής· οὐθὲν γὰρ τούτων ποιεῖ ὑγίειαν.

11 Διὰ τί δεινοτερον γυναῖκα ἀποκτεῖναι ἢ ἄνδρα; καίτοι βέλτιον τὸ ἄρρεν τοῦ θήλεος φύσει. ἢ διότι ἀσθενέστερον, ὥστε ἐλάττω ἀδικεῖ. ἢ ὅτι οὐ νεανικὸν τὸ ἰσχυρίζεσθαι πρὸς τὸ πολὺ ἧττον;

12 Διὰ τί ποτε τῷ φεύγοντι ἐν τῷ δικαστηρίῳ τὴν δεξιὰν στάσιν διδόασιν; ἢ διότι ἐπανισοῦν βούλονται; πλεονεκτοῦντος οὖν τοῦ διώκοντος τὴν στάσιν τῷ φεύγοντι διδόασιν. εἶθ' ὡς ἐπὶ τὸ πολὺ οἱ φεύγοντες παραφυλάττονται· ἐπὶ δεξιὰ δὲ ἡ φυλακὴ γίνεται, ἐὰν ὁ φεύγων ἔχῃ τὴν ἐν δεξιᾷ στάσιν.

13 Διὰ τί ποτε, ὅταν τῷ φεύγοντι καὶ τῷ διώκοντι φαίνωνται αἱ ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ; ἢ ὅτι ὁ μὲν φεύγων ἐν τῷ ἀγῶνι μόνον ἀκήκοεν αὐτοῦ πρὸς ἃ δεῖ αὐτὸν ἀπηγορεῖσθαι, καὶ τοὺς μάρτυρας παρασχέσθαι πρὸς τὰ κατηγορημένα ἔχεσθαι, εἴ τι μέλλουσιν ὠφεληθῆναι; οὐ ῥᾴδιον δὲ τὸ μαντεύσασθαί τινα ὧν δεῖ αὐτὸν παρασκευάσασθαι ἢ μάρτυρας ἢ ἄλλο τεκμήριον ὅτι οὐθὲν ἀδικεῖ. τῷ δὲ διώκοντι ἔστιν ὅπως βούλεται, καὶ πρὸ τοῦ τὴν δίκην κλητεύσασθαι, ἐνστήσασθαι τὸ πρᾶγμα, καὶ ἤδη κεκληκότα, πλασάμενον ὅ τι βούλεται πιθανόν, κατηγορεῖν αὐτοῦ. ὁρῶν δὴ κατὰ πάντα ταῦτα ἐλαττούμενον ὁ νομοθέτης τὸν φεύγοντα, προσέθετο τῷ φεύγοντι ὅ τι ἂν οἱ δικασταὶ ἀμφιδοξήσωσιν. ἀλλὰ μὴν καὶ τοῦτ' ἄν τις ἴδοι. ἐν γὰρ τοῖς φόβοις ὄντες πολλὰ παραλιμπάνουσιν ὧν αὐτοὺς ἔδει εἰπεῖν ἢ πρᾶξαι, οἱ δὲ φεύγοντες ἀεὶ ἐν μείζοσι κινδύνοις ὡς ἐπὶ τὸ πολὺ τυγχάνουσιν ὄντες, ὥστ' εἰ παραλιμπάνουσιν ὧν δεῖ αὐτούς, εἴπερ ἐξισοῦνται τοῖς δικαίοις, δῆλον ὅτι εἰ μὴ παρελίμπανον, ἐκράτουν ἄν. ἔτι δὲ ἕκαστος ἡμῶν μᾶλλον ἂν προέλοιτο τοῦ ἀδικοῦντος ἀποψηφίσασθαι ὡς οὐκ ἀδικεῖ ἢ τοῦ μὴ ἀδικοῦντος καταψηφίσασθαι ὡς ἀδικεῖ, οἷον εἴ τις φεύγει δουλείας ἢ ἀνδροφονίας. τούτων γὰρ ἑκάστου ὄντων, ἃ κατηγορεῖ αὐτῶν, μᾶλλον ἂν ἀποψηφίσασθαι ἑλοίμεθα ἢ μὴ ὄντων καταψηφίσασθαι. ἔστι γάρ, ὅταν τις ἀμφιδοξῇ, τὰ ἐλάττω τῶν ἁμαρτημάτων αἱρετέον. δεινὸν γὰρ καὶ τὸ τοῦ δούλου ὡς ἐλεύθερός ἐστι καταγνῶναι· πολὺ δὲ δεινότερον, ὅταν τις τοῦ ἐλευθέρου ὡς δούλου καταψηφίσηται. ἔτι δὲ ἐὰν ὁ μὲν τύχῃ ἐγκαλῶν ὁ δὲ ἀμφισβητῶν ὑπὲρ ὁτουοῦν, οὐκ εὐθὺς οἰόμεθα δεῖν ἀποδοῦναι τῷ ἐγκαλοῦντι, ἀλλὰ νέμεσθαι τὸν κεκτημένον, ἕως ἂν κριθῇ. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν πλειόνων, ὅταν ἰσάζῃ τὸ πλῆθος τῶν τε φασκόντων ἀδικεῖν καὶ τῶν μὴ ὁμολογούντων, ὥσπερ ὅτε ἐξ ἀρχῆς ὁ μὲν ἐνεκάλει ὁ δὲ ἀπηρνεῖτο, οὐκ οἰόμεθα δεῖν τὸν νομοθέτην προστιθέναι τῷ ἐγκαλοῦντι, ἀλλὰ τὸν φεύγοντα κύριον εἶναι, ἕως ἂν ὑπεροχήν τινα ἔχῃ ὁ ἀδικῶν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν κριτῶν, ἐπειδὴ οὐδεμίαν ὑπεροχὴν ἰσασθεισῶν τῶν ψήφων, κατὰ χώραν εἴασεν ὁ νομοθέτης ἔχειν. ἔτι δὲ τῶν μὲν ἀξιολόγων ἁμαρτημάτων μεγάλαι καὶ αἱ κολάσεις εἰσίν, ὥστε ἀδίκως μὲν καταψηφισαμένοις καὶ μὴ γνοῦσιν οὐκ ἔστιν ἐπανορθοῦσθαι καιρὸν λαβόντας· ἀπολύσασι δὲ παρὰ τὸ προσῆκον, εἰ μὲν οὕτως εὐλαβῶς ὥστε μηθὲν ἔτι ποτὲ ἁμαρτεῖν, τί ἂν καὶ μέγα ἡμαρτηκότες οἱ κριταὶ εἴησαν, τοιοῦτον ἄνθρωπον ἀπολύσαντες θανάτου; εἰ δέ τι ἐξ ὑστέρου ἁμαρτάνοι, δι' ἀμφότερα ἂν αὐτὸν κολάζεσθαι ἀξιοῖ. ἢ ὅτι ἀδικωτέρου μέν ἐστιν ἀνδρὸς ταῦτα ἀδικεῖν ἃ ἧττον εἰκός ἐστιν ἀδίκως ἐγκαλεῖσθαι; τὸ μὲν γὰρ ἀδικεῖν καὶ δι' ὀργὴν καὶ διὰ φόβον καὶ δι' ἐπιθυμίαν καὶ δι' ἄλλα πολλὰ γίνεται, καὶ οὐ μόνον ἐκ προνοίας· τὸ δὲ ἀδίκως ἐγκαλεῖν ὡς τὸ πολὺ ἐκ προνοίας ἐστίν. ὥστε ἐπεὶ ἴσαι αἱ ψῆφοι γεγόνασι, τὸ δὲ ἀδίκως τὸν ἐγκαλοῦντα ἐγκαλεῖν καὶ τὸν φεύγοντα ἀδικεῖν, φαύλου κριθέντος τοῦ ἀδίκως ἐγκαλοῦντος τὸ νικᾶν τῷ φεύγοντι ὁ νομοθέτης ἀπένειμεν. ἔτι δὲ καὶ αὐτοὶ οὕτως ἔχομεν πρὸς τοὺς θεράποντας, ὥστε ὅταν ὑποπτεύσωμέν τι αὐτοὺς ἡμαρτηκέναι καὶ μηθὲν ἀκριβὲς ἔχωμεν, ἀλλ' ὅμως αὐτοὺς ὑπολαμβάνωμεν πεπραχέναι, οὐκ εὐθὺς ἐπὶ τὸ κολάζειν ἐρχόμεθα· καὶ ἐὰν μηθὲν μᾶλλον

3. ἑαυτοῖς Y^a, om s. ‖ 4. ὑγιαίνοντα s. ‖ 5. καλλίω Y^a, καλλίονι s. ‖ 8. ὀρθῶς χαίρειν s. ‖ 10. τούτων γὰρ X^av. ‖ 13. ὅτι] ἔτι $X^a Y^a$s. ‖ 16. ὅτι $X^a Y^a$s. ‖ 18. τὸ om Y^a. ‖ περιφυλάττονται s. ‖ 20. ποτε om s. ‖ ὅταν] ὅταν καὶ $X^a Y^a$v. ‖ 21. αἱ om X^av. ‖ 24. ἢ $X^a Y^a$s. ‖ ὠφεληθήσεσθαι Y^as, ὠφεληθήσεται X^a. ‖ 25. μαντεύεσθαί X^a. ‖ δὴ s. ‖ 29. βούληται s. ‖ 30. ταῦτα om X^a. ‖ 31. ὅτε X^as. ‖ 32. εἴδη s. ‖ 33. δεῖ s. ‖ 37. δὴ Y^as. ‖ τοῦ — b 1. ἢ om X^a.

1. οὐκ om s. ‖ ἢ — 2. ἀδικεῖ om s. ‖ 1. μὴ om $X^a Y^a$. ‖ 4. ἑλόμεθα Y^a: ceteri ἑλώμεθα. ‖ 9. ἐντύχῃ $X^a Y^a$s. ‖ ὑπὲρ τοῦ ὁτιοῦν s. ‖ 13. ἐκάλει s. ‖ 16. ἔχει s. ‖ 20. καὶ μηνύουσιν Y^a. ‖ 21. τὸ om Y^as. ‖ 23. οἱ κριταὶ ἡμαρτηκότες s. ‖ 24. ἁμαρτάνει δι' ἀμφοτέρων s. ‖ 25. αὐτὸν νῦν κολ. $X^a Y^a$. ‖ ὅτι] ἔτι codices. ‖ ἀδικώτερον X^as. ‖ 33. ἀπένεμεν Y^a. ‖ 36. ὁμοίως $X^a Y^a$s. ‖ ὑπολαμβάνομεν X^a.

δυνώμεθα ἐξετάσαι, ἀφίεμεν ταύτης τῆς αἰτίας. ἔτι μείζω μὲν ἀδικεῖ ὁ ἐκ προνοίας ἀδικῶν ἢ ὁ μὴ ἐκ προνοίας. ὁ μὲν δὴ συκοφαντῶν ἀεὶ ἐκ προνοίας ἀδικεῖ, ὁ δὲ ἕτερόν τι ἀδικῶν τὰ μὲν δι' ἀνάγκην τὰ δὲ δι' ἄγνοιαν, τὰ δὲ ὅπως ἔτυχεν ἀδικεῖν αὐτῷ συμπίπτει. ὅταν δὲ ἴσαι γένωνται αἱ ψῆφοι, ὁ μὲν διώκων κέκριται ὑπὸ τῶν ἡμίσεων ἐκ προνοίας ἀδικεῖν, ὁ δὲ φεύγων ὑπὸ τῶν λοιπῶν αὖ ἀδικεῖν μὲν οὐ μέντοι γε ἐκ προνοίας, ὥστε ἐπεὶ ἀδικεῖν μείζω κέκριται ὁ διώκων τοῦ φεύγοντος, εἰκότως ὁ νομοθέτης νικᾶν ἔκρινε τὸν τὰ ἐλάττω ἀδικοῦντα. ἔτι δὲ ἀεὶ μὲν ἀδικώτερός ἐστιν ὁ μὴ οἰόμενος λανθάνειν ὃν ἀδικεῖ καὶ ὅμως ἀδικῶν, ἢ ὁ οἰόμενος λανθάνειν. ὁ μὲν γὰρ ἀδίκως τινὶ ἐγκαλῶν οὐκ οἴεται λανθάνειν τοῦτον ὃν συκοφαντεῖ, οἱ δ' ἄλλο τι ἀδικοῦντες ὡς ἐπὶ τὸ πολὺ οἰόμενοι λανθάνειν ὃν ἀδικοῦσιν ἐπιχειροῦσιν ἀδικεῖν, ὥστε ἀδικώτεροι ἂν κρίνοιντο οἱ διώκοντες ἢ οἱ φεύγοντες.

14 Διὰ τί ποτε, ἐὰν μέν τις ἐκ βαλανείου κλέψῃ ἢ ἐκ παλαίστρας ἢ ἐξ ἀγορᾶς ἢ τῶν τοιούτων τινός, θανάτῳ ζημιοῦται, ἐὰν δέ τις ἐξ οἰκίας, διπλοῦν τῆς ἀξίας τοῦ κλέμματος ἀποτίνει; ἢ ὅτι ἐν μὲν ταῖς οἰκίαις φυλάξαι ὁπωσοῦν ἐστιν· καὶ γὰρ ὁ τοῖχος ἰσχυρὸς καὶ κλεῖς ἐστί, καὶ οἰκέταις τοῖς ἐν τῇ οἰκίᾳ πᾶσιν ἐπιμελές ἐστιν ὅπως σώζηται τὰ ἐνόντα. ἐν δὲ τῷ βαλανείῳ, καὶ ἐν τοῖς οὕτω κοινοῖς οὖσιν ὥσπερ τὸ βαλανεῖον, ῥᾴδιον τῷ βουλομένῳ κακουργεῖν· οὐδὲν γὰρ ἰσχυρὸν ἔχουσι πρὸς τὴν φυλακὴν οἱ τιθέντες ἀλλ' ἢ τὸ αὐτῶν ὄμμα, ὥστε ἂν μόνον τις παραβλέψῃ, ἐπὶ τῷ κλέπτοντι ἤδη γίνεται. διὸ ὁ νομοθέτης οὐχ ἱκανοὺς ὄντας ἡγησάμενος εἶναι φύλακας, τὸν νόμον αὐτοῖς ἐπέστησεν ἀπειλοῦντα σφοδρῶς ὡς οὐ βιωσομένοις ἐάν τι σφετερίζωνται τῶν ἀλλοτρίων. ἔτι δὲ εἰς μὲν τὴν οἰκίαν ἐπὶ τῷ κεκτημένῳ ἐστὶν ὅν τινα ἂν βούληται εἰσδέχεσθαι, καὶ ᾧ μὴ πιστεύει εἰσφέρεσθαι· τῷ δὲ ἐν τῷ βαλανείῳ θεμένῳ τι οὐκ ἔξεστιν οὐθένα κωλῦσαι οὔτε εἰσιέναι, οὔτε εἰσελθόντα μὴ παρὰ κλέπτην τὸ αὑτοῦ ἱμάτιον θέσθαι ἀποδύντα ἄν· ἀλλ' ὡς οὐ βούλεται, ἐν τῷ αὐτῷ ἥ τε τοῦ κλέπτου ἐσθὴς καὶ ἡ τοῦ μέλλοντος ἀπολλύναι ἀναμεμιγμέναι κεῖνται. διὸ ὁ νομοθέτης τῷ μὲν ἑκόντι εἰσδεξαμένῳ τὸν κλέπτην καὶ αὐτῷ ἡμαρτηκότι οὐ λίαν μεγάλαις τιμωρίαις βεβοήθηκεν, τοῖς δὲ ἐξ ἀνάγκης κοινωνοῦσι τῆς εἰς τὸ βαλανεῖον εἰσόδου καὶ τῆς ἀναμίξεως μεγάλας τιμωρίας φανερός ἐστι καθιστὰς τοῖς κλέπτουσιν. ἔτι δὲ οἱ μὲν ἐν τοῖς οὕτω κοινοῖς οὖσι τῷ βουλομένῳ εἰσιέναι κλέπτοντες καταφανεῖς ἅπασι γίνονται ὅτι φανεροί εἰσιν, ὥστε περιγενόμενοι οὐδὲ καρπισμοῦ ἔτι χάριν ἐπιεικεῖς εἶναι δοκεῖν βούλονται, ὡς μάτην αὐτοῖς ὂν πρὸς τοὺς γνόντας πλάττεσθαι ὅτι ἐπιεικεῖς εἰσίν· καταφανῶς οὖν ἤδη πονηροὶ διατελοῦσιν ὄντες. οἱ δὲ ἑνὶ μόνῳ φανεροὶ γενόμενοι πρὸς τοὺς ἄλλους ἐπιχειροῦσι πείθειν, ἀποτίσαντές τι, ὅπως μὴ καταφανεῖς αὐτοὺς ποιήσῃ· διὸ οὐ παντελῶς ἂν εἶεν πονηροὶ διὰ τέλους, ἀνθ' ὧν ὁ νομοθέτης ἐλάττω αὐτοῖς τὰ ἐπιζήμια ἐποίησεν. ἔτι δὲ τῶν ἁμαρτιῶν μάλιστα αἰσχύνουσι τὴν πόλιν αἱ ἐν τοῖς κοινοτάτοις συλλόγοις τε καὶ συνόδοις γινόμεναι, ὥσπερ καὶ τιμὴν φέρουσι πολὺ μάλιστα αἱ ἐν τῷ κοινῷ εὐταξίαι· καταφανεῖς γὰρ μάλιστα διὰ τῶν τοιούτων καὶ αὐτοῖς καὶ τοῖς ἄλλοις. συμβαίνει οὖν οὐ μόνον ἰδίᾳ τὸν ἀπολέσαντα βλάπτεσθαι ἐκ τῶν τοιούτων τινός, ἀλλὰ καὶ πρὸς τὴν πόλιν λοιδορίας γίνεσθαι. διὸ καὶ τὸν κλέψαντα ταῖς μείζοσι ζημίαις ἐκόλασε τῶν ἐξ οἰκίας τινὸς ἀφελομένων. ἔτι δὲ καὶ ὁ ἐξ οἰκίας τινὸς ἀπολέσας ἐν τοιούτῳ τόπῳ τυγχάνει ὤν, ὅθεν ῥᾴδιον μήτε παθόντα μήτε χλευασθέντα ὑπό τινων, οἴκοι ὄντα τὸ ἀτύχημα φέρειν. τῷ δ' ἥ τε ἀποχώρησις ἐργώδης γεγυμνωμένῳ, προσέτι δὲ χλευάζεσθαι ὑπό τινων ὑπάρχει τοῖς πολλοῖς, ὃ πολὺ δυσχερέστερόν ἐστι τῆς ἀπωλείας. διὸ καὶ ὁ νομοθέτης μείζους αὐτοῖς ζημίας ἐνέγραψεν. ἔτι δὲ παραπλήσια τούτοις πολλὰ φαίνονται νενομοθετηκότες, οἷον καὶ ἐὰν μέν τις ἄρχοντα κακῶς εἴπῃ, μεγάλα τὰ ἐπιτίμια, ἐὰν δέ τις ἰδιώτην, οὐδὲ καὶ καλῶς· οἴεται γὰρ τότε οὐ μόνον εἰς τὸν ἄρχοντα ἐξαμαρτάνειν τὸν κακηγοροῦντα, ἀλλὰ καὶ εἰς τὴν πόλιν ὑβρίζειν. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν ἐν τῷ λιμένι κλέπτοντα οὐ μόνον τὸν ἰδιώτην βλάπτειν, ἀλλὰ καὶ τὴν πόλιν αἰσχύνειν. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις, οὗ κοινῇ που συν-χόμεθα.

Διὰ τί ἐν τοῖς δικαστηρίοις ἐὰν ἴσαι γένωνται ψῆφοι 15
τοῖς ἀντιδίκοις, ὁ φεύγων νικᾷ; ἢ ὅτι ὁ φεύγων ὑπὸ τοῦ

1. δυνάμεθα s. ‖ 8. ἐπεὶ om Y^a. ‖ 12. ὁ μὲν γάρ] ὅμως γε Y^a. ‖ 13. ἄλλοι Y^a. ‖ 15. ἂν] καὶ ἂν Y^as, δὲ καὶ ἂν X^a. ‖ κρίνοιεν X^aY^a. ‖ 20. ἀποτείνει N^aY^as. ‖ 22. σώζῃ s. ‖ 23. δὲ om s. ‖ βαλείῳ X^a. ‖ 25. πρὸς τὴν φυτικὴν ἔχουσιν s. ‖ 26. ἐπιβλέψῃ N^a Y^a. ‖ 29. ἀπειλοῦντι s. ‖ 30. εἰς] εἰ s. ‖ 33. εἰσελθόντι s. ‖ περικλέπτην X^a, περικλέπτειν s. ‖ 34. ἱματίῳ s. ‖ ἀποδύντα s. ‖ 36. ἀναμεμιγμένα s.

6. περιγινόμενοι οὐδὲ καρπισκοῦ s. ‖ 9. γινόμενοι s. ‖ 10. ὅπως] ὡς ἂν s, ἂν X^a. ‖ 17. καὶ ante τοῖς om s. ‖ 18. ἀπελάσαντα N^a. ‖ 21. ἐν τῷ τοιούτῳ X^as. ‖ 22. μηδὲ N^aY^a. ‖ μή ποτε K^aX^a. ‖ 24. γεγυμνωμένον s. ‖ 26. ἀπαθείας N^a. ‖ διὸ — 957 a 1. χεῖρον ἢ τὴν om N^aY^a, quorum N^a illa Λ. ΟΣΑ — καθεύδειν (953 a 10 — 957 a 35) alio loco (fol. 205.) habet ab alia manu addita. 27. τε X^a. ‖ περιπλήσια s. ‖ πολλὰ ἂν φαίνωνται X^a. ‖ 29. ἰδιώτην om s. ‖ 30. οἴηται s. ‖ 31. κατηγοροῦντα s.

διώκοντος οὐθὲν πέπονθεν, ἀλλ' ἐν τοῖς ἴσοις αὐτῷ ἤδη ἔμελλε νικᾶν;

16 Διὰ τί ἐπὶ μὲν κλοπῇ θάνατος ἡ ζημία, ἐπὶ δὲ ὕβρει, μείζονι οὔσῃ ἀδικίᾳ, τίμησις τί χρὴ παθεῖν ἢ ἀποτῖσαι; ἢ διότι τὸ μὲν ὑβρίζειν ἀνθρώπινόν ἐστι πάθος, καὶ πάντες πλέον ἢ ἔλαττον αὐτοῦ μετέχουσι, τὸ δὲ κλέπτειν οὐ τῶν ἀναγκαίων; καὶ ὅτι ὁ κλέπτειν ἐπιχειρῶν καὶ ὑβρίζειν ἂν προέλοιτο.

Λ. ΟΣΑ ΠΕΡΙ ΦΡΟΝΗΣΙΝ ΚΑΙ ΝΟΥΝ ΚΑΙ ΣΟΦΙΑΝ.

Διὰ τί πάντες ὅσοι περιττοὶ γεγόνασιν ἄνδρες ἢ κατὰ φιλοσοφίαν ἢ πολιτικὴν ἢ ποίησιν ἢ τέχνας φαίνονται μελαγχολικοὶ ὄντες, καὶ οἱ μὲν οὕτως ὥστε καὶ λαμβάνεσθαι τοῖς ἀπὸ μελαίνης χολῆς ἀρρωστήμασιν, οἷον λέγεται τῶν τε ἡρωϊκῶν τὰ περὶ τὸν Ἡρακλέα. καὶ γὰρ ἐκεῖνος ἔοικε γενέσθαι ταύτης τῆς φύσεως, διὸ καὶ τὰ ἀρρωστήματα τῶν ἐπιληπτικῶν ἀπ' ἐκείνου προσηγόρευον οἱ ἀρχαῖοι ἱερὰν νόσον. καὶ ἡ περὶ τοὺς παῖδας ἔκστασις καὶ ἡ πρὸ τῆς ἀφανίσεως ἐν Οἴτῃ τῶν ἑλκῶν ἔκφυσις γενομένη τοῦτο δηλοῖ· καὶ γὰρ τοῦτο γίνεται πολλοῖς ἀπὸ μελαίνης χολῆς. συνέβη δὲ καὶ Λυσάνδρῳ τῷ Λάκωνι πρὸ τῆς τελευτῆς γενέσθαι τὰ ἕλκη ταῦτα. ἔτι δὲ τὰ περὶ Αἴαντα καὶ Βελλεροφόντην, ὧν ὁ μὲν ἐκστατικὸς ἐγένετο παντελῶς, ὁ δὲ τὰς ἐρημίας ἐδίωκεν, διὸ οὕτως ἐποίησεν Ὅμηρος "αὐτὰρ ἐπεὶ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν, ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο, ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων." καὶ ἄλλοι δὲ πολλοὶ τῶν ἡρώων ὁμοιοπαθεῖς φαίνονται τούτοις. τῶν δὲ ὕστερον Ἐμπεδοκλῆς καὶ Πλάτων καὶ Σωκράτης καὶ ἕτεροι συχνοὶ τῶν γνωρίμων. ἔτι δὲ τῶν περὶ τὴν ποίησιν οἱ πλεῖστοι. πολλοῖς μὲν γὰρ τῶν τοιούτων γίνεται νοσήματα ἀπὸ τῆς τοιαύτης κράσεως τῷ σώματι, τοῖς δὲ ἡ φύσις δήλη ῥέπουσα πρὸς τὰ πάθη. πάντες δ' οὖν ὡς εἰπεῖν ἁπλῶς εἰσί, καθάπερ ἐλέχθη, τοιοῦτοι τὴν φύσιν. δεῖ δὴ λαβεῖν τὴν αἰτίαν πρῶτον ἐπὶ παραδείγματος προχειρισαμένους. ὁ γὰρ οἶνος ὁ πολὺς μάλιστα φαίνεται παρασκευάζειν τοιούτους οἵους λέγομεν τοὺς μελαγχολικοὺς εἶναι, καὶ πλεῖστα ἤθη ποιεῖν πινόμενος, οἷον ὀργίλους, φιλανθρώπους, ἐλεήμονας, ἰταμούς· ἀλλ' οὐχὶ τὸ μέλι οὐδὲ τὸ γάλα οὐδὲ τὸ ὕδωρ οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν. ἴδοι δ' ἄν τις ὅτι παντοδαποὺς ἀπεργάζεται, θεωρῶν ὡς μεταβάλλει τοὺς πίνοντας ἐκ προσαγωγῆς· παραλαβὼν γὰρ ἀπεψυγμένους ἐν τῷ νήφειν καὶ σιωπηλοὺς μικρῷ μὲν πλείων ποθεὶς λαλιστέρους ποιεῖ, ἔτι δὲ πλείων ῥητορικοὺς καὶ θαρραλέους, προϊόντας δὲ πρὸς τὸ πράττειν ἰταμούς, ἔτι δὲ μᾶλλον πινόμενος ὑβριστάς, ἔπειτα μανικούς, λίαν δὲ πολὺς ἐκλύει καὶ ποιεῖ μωρούς, ὥσπερ τοὺς ἐκ παίδων ἐπιλήπτους ἢ καὶ ἐχομένους τοῖς μελαγχολικοῖς ἄγαν. ὥσπερ οὖν ὁ εἷς ἄνθρωπος μεταβάλλει τὸ ἦθος πίνων καὶ χρώμενος τῷ οἴνῳ ποσῷ τινί, οὕτω καθ' ἕκαστον τὸ ἦθος εἰσί τινες ἄνθρωποι. οἷος γὰρ οὗτος μεθύων νῦν ἐστίν, ἄλλος τις τοιοῦτος φύσει ἐστίν, ὁ μὲν λάλος, ὁ δὲ κεκινημένος, ὁ δὲ ἀρίδακρυς· ποιεῖ γάρ τινας καὶ τοιούτους, διὸ καὶ Ὅμηρος ἐποίησε "καί μέ φησι δάκρυ πλώειν βεβαρημένον οἴνῳ." καὶ γὰρ ἐλεήμονές ποτε γίνονται καὶ ἄγριοι καὶ σιωπηλοί· ἔνιοι γὰρ αὖ ἀποσιωπῶσι, καὶ μάλιστα τῶν μελαγχολικῶν ὅσοι ἐκστατικοί. ποιεῖ δὲ καὶ φιλητικοὺς ὁ οἶνος· σημεῖον δὲ ὅτι προάγεται ὁ πίνων καὶ τῷ στόματι φιλεῖν, οὓς νήφων οὐδ' ἂν εἷς φιλήσειεν ἢ διὰ τὸ εἶδος ἢ διὰ τὴν ἡλικίαν. ὁ μὲν οὖν οἶνος οὐ πολὺν χρόνον ποιεῖ περιττόν, ἀλλ' ὀλίγον, ἡ δὲ φύσις ἀεί, ἕως τις ἂν ᾖ· οἱ μὲν γὰρ θρασεῖς, οἱ δὲ σιωπηλοί, οἱ δὲ ἐλεήμονες, οἱ δὲ δειλοὶ γίνονται φύσει. ὥστε δῆλον ὅτι διὰ τὸ αὐτὸ ποιεῖ ὅ τε οἶνος καὶ ἡ φύσις ἑκάστου τὸ ἦθος· πάντα γὰρ κατεργάζεται τῇ θερμότητι ταμιευόμενα. ὅ τε δὴ χυμὸς καὶ ἡ κρᾶσις ἡ τῆς μελαίνης χολῆς πνευματικά ἐστιν· διὸ καὶ τὰ πνευματώδη πάθη καὶ τὰ ὑποχόνδρια μελαγχολικὰ οἱ ἰατροί φασιν εἶναι. καὶ ὁ οἶνος δὲ πνευματώδης τὴν δύναμιν. διὸ δή ἐστι τὴν φύσιν ὅμοια ὅ τε οἶνος καὶ ἡ κρᾶσις. δηλοῖ δὲ ὅτι πνευματώδης ὁ οἶνός ἐστιν ὁ ἀφρός· τὸ μὲν γὰρ ἔλαιον θερμὸν ὂν οὐ ποιεῖ ἀφρόν, ὁ δὲ οἶνος πολύν, καὶ μᾶλλον ὁ μέλας τοῦ λευκοῦ, ὅτι θερμότερος καὶ σωματωδέστερος. καὶ διὰ τοῦτο ὅ τε οἶνος ἀφροδισιαστικοὺς ἀπεργάζεται, καὶ ὀρθῶς Διόνυσος καὶ Ἀφροδίτη λέγονται μετ' ἀλλήλων εἶναι, καὶ οἱ μελαγχολικοὶ οἱ πλεῖστοι λάγνοι εἰσίν. ὅ τε γὰρ ἀφροδισιασμὸς πνευματώδης. σημεῖον δὲ τὸ αἰδοῖον, ὡς ἐκ μικροῦ ταχεῖαν ποιεῖται τὴν αὔξησιν διὰ τὸ ἐμφυσᾶσθαι. καὶ ἔτι πρὶν δύνασθαι προΐεσθαι σπέρμα, γίνεταί τις ἡδονὴ ἐπὶ παισὶν οὖσιν, ὅταν ἐγγὺς ὄντες τοῦ ἡβᾶν ξύωνται τὰ αἰδοῖα δι' ἀκολασίαν· γίνεται δὲ δῆλον διὰ τὸ πνεῦμα διεξιέναι διὰ τῶν πόρων, δι' ὧν ὕστερον τὸ ὑγρὸν φέρεται. ἥ τε ἔκχυσις τοῦ

3. κλόπων *s.* ‖ 13. μελαίνης om *t.* ‖ λέγονται *t.* ‖ 18. Οἴτῃ] τῇ *X*°*t.* ‖ 21. βελλεροφῶντα *X*°. ‖ 23. κεῖνος] οὗτος *t.* ‖ 24. ὃν *t.* ‖ 25. κατέδει *t.* ‖ καὶ οἱ ἄλλοι *t.* ‖ 26. ἡρωϊνῶν *t.* ‖ 27. ὑστέρων *t.* ‖ 28. δὲ om *t.* ‖ 29. γίνονται *X*°. ‖ 30. δείλη *t.* ‖ 34. τίνες *t.* ‖ 35. ποιεῖ *X*°. ‖ 37. τὸ alterum et οὐδὲ τὸ ὕδωρ om *t.*

2. πλείω — πλείω *X*°*t.* ‖ 4. ὀταμοὺς *t.* ‖ 5. ἐκ om *t.* ‖ 7. πίνων — 8. ἦθος om *t.* ‖ 9. ἄλλος — 10. ἐστίν om *t.* ‖ 9. τις om *X*°. ‖ 12. πλύνειν βεβαρυμένον *X*°. ‖ 14. γὰρ αὖ] οὖν *X*°. ‖ 15. δὲ ante καὶ om *t.* ‖ 16. ὧς *t.* ‖ 17. φιλήσει *t.* ‖ 25. ὑποχονδριακὰ *X*°. ‖ 31. ἀφροδισιαστικὸς *X*°. ‖ 36. τις] τῆς *t.*

σπέρματος ἐν ταῖς ὁμιλίαις καὶ ἡ ῥῖψις ὑπὸ τοῦ πνεύματος ὠθοῦντος φανερὸν γίνεσθαι. ὥστε καὶ τῶν ἐδεσμάτων καὶ ποτῶν εὐλόγως ταῦτ' ἐστὶν ἀφροδισιαστικά, ὅσα πνευματώδη τὸν περὶ τὰ αἰδοῖα ποιεῖ τόπον. διὸ καὶ ὁ μέλας οἶνος·οὐδενὸς ἧττον τοιούτους ἀπεργάζεται, οἷοι καὶ οἱ μελαγχολικοὶ πνευματώδεις. δῆλοι δ' εἰσὶν ἐπ' ἐνίων· σκληροὶ γὰρ οἱ πλείους τῶν μελαγχολικῶν, καὶ αἱ φλέβες ἐξέχουσιν· τούτου δ' αἴτιον οὐ τὸ τοῦ αἵματος πλῆθος, ἀλλὰ τοῦ πνεύματος. διότι δὲ οὐδὲ πάντες οἱ μελαγχολικοὶ σκληροὶ οὐδὲ μέλανες, ἀλλ' οἱ μᾶλλον κακόχυμοι, ἄλλος λόγος· περὶ οὗ δὲ ἐξ ἀρχῆς προειλόμεθα διελθεῖν, ὅτι ἐν τῇ φύσει εὐθὺς ὁ τοιοῦτος χυμὸς ὁ μελαγχολικὸς κεράννυται· θερμοῦ γὰρ καὶ ψυχροῦ κρᾶσίς ἐστιν· ἐκ τούτων γὰρ τῶν δυοῖν ἡ φύσις συνέστηκεν. διὸ καὶ ἡ μέλαινα χολὴ καὶ θερμότατον καὶ ψυχρότατον γίνεται. τὸ γὰρ αὐτὸ πάσχειν πέφυκε ταῦτ' ἄμφω, οἷον καὶ τὸ ὕδωρ ὂν ψυχρόν, ὅμως ἐὰν ἱκανῶς θερμανθῇ, οἷον τὸ ζέον, τῆς φλογὸς αὐτῆς θερμότερόν ἐστι, καὶ λίθος καὶ σίδηρος διάπυρα γενόμενα μᾶλλον θερμὰ γίνεται ἄνθρακος, ψυχρὰ ὄντα φύσει. εἴρηται δὲ σαφέστερον περὶ τούτων ἐν τοῖς περὶ πυρός. [καὶ ἡ χολὴ δὲ ἡ μέλαινα φύσει ψυχρὰ καὶ οὐκ ἐπιπολαίως οὖσα, ὅταν μὲν οὕτως ἔχῃ ὡς εἴρηται, ἐὰν ὑπερβάλλῃ ἐν τῷ σώματι, ἀποπληξίας ἢ νάρκας ἢ ἀθυμίας ποιεῖ ἢ φόβους, ἐὰν δὲ ὑπερθερμανθῇ, τὰς μετ' ᾠδῆς εὐθυμίας καὶ ἐκστάσεις καὶ ἐκζέσεις ἑλκῶν καὶ ἄλλα τοιαῦτα. τοῖς μὲν οὖν πολλοῖς ἀπὸ τῆς καθ' ἡμέραν τροφῆς ἐγγινομένη οὐδὲν τὸ ἦθος ποιεῖ διαφόρους, ἀλλὰ μόνον νόσημά τι μελαγχολικὸν ἀπειργάσατο. ὅσοις δὲ ἐν τῇ φύσει συνέστη κρᾶσις τοιαύτη, εὐθὺς οὗτοι τὰ ἤθη γίνονται παντοδαποί, ἄλλος κατ' ἄλλην κρᾶσιν· οἷον ὅσοις μὲν πολλὴ καὶ ψυχρὰ ἐνυπάρχει, νωθροὶ καὶ μωροί, ὅσοις δὲ λίαν πολλὴ καὶ θερμή, μανικοὶ καὶ εὐφυεῖς καὶ ἐρωτικοὶ καὶ εὐκίνητοι πρὸς τοὺς θυμοὺς καὶ τὰς ἐπιθυμίας, ἔνιοι δὲ καὶ λάλοι μᾶλλον. πολλοὶ δὲ καὶ διὰ τὸ ἐγγὺς εἶναι τοῦ νοεροῦ τόπου τὴν θερμότητα ταύτην νοσήμασιν ἁλίσκονται μανικοῖς ἢ ἐνθουσιαστικοῖς, ὅθεν Σίβυλλαι καὶ Βάκιδες καὶ οἱ ἔνθεοι γίνονται πάντες, ὅταν μὴ νοσήματι γένωνται ἀλλὰ φυσικῇ κράσει. Μαρακὸς δὲ ὁ Συρακούσιος καὶ ἀμείνων ἦν ποιητής, ὅτ' ἐκσταίη. ὅσοις δ' ἂν ἐπανθῇ τὴν ἄγαν θερμότητα πρὸς τὸ μέσον, οὗτοι μελαγχολικοὶ μέν εἰσι, φρονιμώτεροι δέ, καὶ ἧττον μὲν ἔκτοποι, πρὸς πολλὰ δὲ διαφέροντες τῶν ἄλλων, οἱ μὲν πρὸς παιδείαν, οἱ δὲ πρὸς τέχνας, οἱ δὲ πρὸς πολιτείαν. πολλὴν δὲ καὶ εἰς τοὺς κινδύνους ποιεῖ διαφορὰν ἡ τοιαύτη ἕξις τοῦ ἐνίοτε ἀνωμάλους εἶναι μὲν τοῖς φόβοις πολλοὺς τῶν ἀνδρῶν. ὡς γὰρ ἂν τύχωσι τὸ σῶμα ἔχοντες πρὸς τὴν τοιαύτην κρᾶσιν, διαφέρουσιν αὐτοὶ αὑτῶν. ἡ δὲ μελαγχολικὴ κρᾶσις, ὥσπερ καὶ ἐν ταῖς νόσοις ἀνωμάλους ποιεῖ, οὕτω καὶ αὐτὴ ἀνώμαλός ἐστιν· ὁτὲ μὲν γὰρ ψυχρά ἐστιν ὥσπερ ὕδωρ, ὁτὲ δὲ θερμή. ὥστε φοβερόν τι ὅταν εἰσαγγελθῇ, ἐὰν μὲν ψυχροτέρας οὔσης τῆς κράσεως τύχῃ, δειλὸν ποιεῖ· προωδοπεποίηκε γὰρ τῷ φόβῳ, καὶ ὁ φόβος καταψύχει. δηλοῦσι δὲ οἱ περίφοβοι· τρέμουσι γάρ. ἐὰν δὲ μᾶλλον θερμή, εἰς τὸ μέτριον κατέστησεν ὁ φόβος, καὶ ἐν αὑτῷ καὶ ἀπαθῆ. ὁμοίως δὲ καὶ πρὸς τὰς καθ' ἡμέραν ἀθυμίας· πολλάκις γὰρ οὕτως ἔχομεν ὥστε λυπεῖσθαι, ἐφ' ὅτῳ δέ, οὐκ ἂν ἔχοιμεν εἰπεῖν· ὁτὲ δὲ εὐθύμως, ἐφ' ᾧ δ', οὐ δῆλον. τὰ δὴ τοιαῦτα πάθη καὶ τὰ παλαιὰ λεχθέντα κατὰ μέν τι μικρὸν πᾶσι γίνεται· πᾶσι γὰρ μέμικταί τι τῆς δυνάμεως· ὅσοις δ' εἰς βάθος, οὗτοι δ' ἤδη ποιοί τινές εἰσι τὰ ἤθη. ὥσπερ γὰρ τὸ εἶδος ἕτεροι γίνονται οὐ τῷ πρόσωπον ἔχειν, ἀλλὰ τῷ ποιόν τι τὸ πρόσωπον, οἱ μὲν καλόν, οἱ δὲ αἰσχρόν, οἱ δὲ μηθὲν ἔχοντες περιττόν, οὗτοι δὲ μέσοι τὴν φύσιν, οὕτω καὶ οἱ μὲν μικρὰ μετέχοντες τῆς τοιαύτης κράσεως μέσοι εἰσίν, οἱ δὲ πλήθους ἤδη ἀνόμοιοι τοῖς πολλοῖς. ἐὰν μὲν γὰρ σφόδρα κατακορὴς ᾖ ἡ ἕξις, μελαγχολικοί εἰσι λίαν, ἐὰν δέ πως κραθῶσι, περιττοί. ῥέπουσι δ', ἂν ἀμελῶσιν, ἐπὶ τὰ μελαγχολικὰ νοσήματα, ἄλλοι περὶ ἄλλο μέρος τοῦ σώματος· καὶ τοῖς μὲν ἐπιληπτικὰ ἀποσημαίνει, τοῖς δὲ ἀποπληκτικά, ἄλλοις δὲ ἀθυμίαι ἰσχυραὶ ἢ φόβοι, τοῖς δὲ θάρρη λίαν, οἷον καὶ Ἀρχελάῳ συνέβαινε τῷ Μακεδονίας βασιλεῖ. αἴτιον δὲ τῆς τοιαύτης δυνάμεως ἡ κρᾶσις, ὅπως ἂν ἔχῃ ψύξεώς τε καὶ θερμότητος. ψυχροτέρα μὲν γὰρ οὖσα τοῦ καιροῦ δυσθυμίας ποιεῖ ἀλόγους· διὸ αἵ τ' ἀγχόναι μάλιστα τοῖς νέοις, ἐνίοτε δὲ καὶ πρεσβυτέροις. πολλοὶ δὲ καὶ μετὰ τὰς μέθας διαφθείρουσιν ἑαυτούς. ἔνιοι δὲ τῶν μελαγχολικῶν ἐκ τῶν πότων ἀθύμως διάγουσιν· σβέννυσι γὰρ ἡ τοῦ οἴνου θερμότης τὴν φυσικὴν θερμότητα. τὸ δὲ θερμὸν τὸ πρὸς

4. μέγας t. ‖ 5. ἧττον ποιεῖ τοιούτους ἀπ. X^a. ‖ οἵους X^a s. ‖ 10. σκληφροὶ t. ‖ κατακώχιμοι X^a. ‖ 11. διεξελθεῖν X^a. ‖ 15. θερμοτάτη καὶ ψυχροτάτη X^a. ‖ 20. δὲ] καὶ t. ‖ 23. ἀποπληξίαν t. ‖ 30 et 31 et 39. ὅσας t. ‖ 35. ἱεροῦ t. ‖ 36. Βάκχιδες X^a. ‖ 38. μαλακὸς t.

2. ἔκτοπος t. ‖ 3. παιδείας X^a. ‖ 9. αὐτοὶ t. ‖ 10. γὰρ om t. ‖ 19. γίνονται X^a. ‖ 20. δ' om X^a. ‖ 21. δ' om t. ‖ 2[illegible] ἕτεροί τινες γίνονται X^a. ‖ 32. τῷ τῆς μακεδονίας X^a.

τὸν τόπον ᾧ φρονοῦμεν καὶ ἐλπίζομεν ποιεῖ εὐθύμους. καὶ διὰ τοῦτο πρὸς τὸ πίνειν εἰς μέθην πάντες ἔχουσι προθύμως, ὅτι πάντας ὁ οἶνος ὁ πολὺς εὐέλπιδας ποιεῖ, καθάπερ ἡ νεότης τοὺς παῖδας· τὸ μὲν γὰρ γῆρας δύσελπί ἐστιν, ἡ δὲ νεότης ἐλπίδος πλήρης. εἰσὶ δέ τινες ὀλίγοι οὓς πίνοντας δυσθυμίαι λαμβάνουσι, διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν καὶ μετὰ τοὺς πότους ἐνίους. ὅσοις μὲν οὖν μαραινομένου τοῦ θερμοῦ αἱ ἀθυμίαι γίνονται, μᾶλλον ἀπάγχονται. διὸ καὶ οἱ νέοι ἢ καὶ οἱ πρεσβῦται μᾶλλον ἀπάγχονται· τὸ μὲν γὰρ γῆρας μαραίνει τὸ θερμόν, τῶν δὲ τὸ πάθος φυσικὸν ὂν καὶ αὐτὸ τὸ μαραινόμενον θερμόν. ὅσοις δὲ σβεννυμένου, ἐξαίφνης οἱ πλεῖστοι διαχρῶνται ἑαυτούς, ὥστε θαυμάζειν πάντας διὰ τὸ μηθὲν ποιῆσαι σημεῖον πρότερον. ψυχροτέρα μὲν οὖν γινομένη ἡ κρᾶσις ἡ ἀπὸ τῆς μελαίνης χολῆς, ὥσπερ εἴρηται, ποιεῖ ἀθυμίας παντοδαπάς, θερμοτέρα δὲ οὖσα εὐθυμίας. διὸ καὶ οἱ μὲν παῖδες εὐθυμότεροι, οἱ δὲ γέροντες δυσθυμότεροι. οἱ μὲν γὰρ θερμοί, οἱ δὲ ψυχροί· τὸ γὰρ γῆρας κατάψυξίς τις. συμβαίνει δὲ σβέννυσθαι ἐξαίφνης ὑπό τε τῶν ἐκτὸς αἰτιῶν, ὡς καὶ παρὰ φύσιν τὰ πυρωθέντα, οἷον ἄνθρακα ὕδατος ἐπιχυθέντος. διὸ καὶ ἐκ μέθης ἔνιοι ἑαυτοὺς διαχρῶνται· ἡ γὰρ ἀπὸ τοῦ οἴνου θερμότης ἐπείσακτός ἐστιν, ἧς σβεννυμένης συμβαίνει τὸ πάθος. καὶ μετὰ τὰ ἀφροδίσια οἱ πλεῖστοι ἀθυμότεροι γίνονται, ὅσοι δὲ περίττωμα πολὺ προΐενται μετὰ τοῦ σπέρματος, οὗτοι εὐθυμότεροι· κουφίζονται γὰρ περιττώματός τε καὶ πνεύματος καὶ θερμοῦ ὑπερβολῆς. ἐκεῖνοι δὲ ἀθυμότεροι πολλάκις· καταψύχονται γὰρ ἀφροδισιάσαντες διὰ τὸ τῶν ἱκανῶν τι ἀφαιρεθῆναι· δηλοῖ δὲ τοῦτο τὸ μὴ πολλὴν τὴν ἀπορροὴν γεγονέναι. ὡς οὖν ἐν κεφαλαίῳ εἰπεῖν, διὰ μὲν τὸ ἀνώμαλον εἶναι τὴν δύναμιν τῆς μελαίνης χολῆς ἀνώμαλοί εἰσιν οἱ μελαγχολικοί· καὶ γὰρ ψυχρὰ σφόδρα γίνεται καὶ θερμή. διὰ δὲ τὸ ἠθοποιὸς εἶναι (ἠθοποιὸν γὰρ τὸ θερμὸν καὶ ψυχρὸν μάλιστα τῶν ἐν ἡμῖν ἐστίν) ὥσπερ ὁ οἶνος πλείων καὶ ἐλάττων κεραννύμενος τῷ σώματι ποιεῖ τὸ ἦθος ποιοὺς τινας ἡμᾶς. ἄμφω δὲ πνευματικά, καὶ ὁ οἶνος καὶ ἡ μέλαινα χολή. ἐπεὶ δ' ἔστι καὶ εὔκρατον εἶναι τὴν ἀνωμαλίαν καὶ καλῶς πως ἔχειν, καὶ ὅπου δεῖ θερμοτέραν εἶναι τὴν διάθεσιν καὶ πάλιν ψυχράν, ἢ τοὐναντίον διὰ τὸ ὑπερβολὴν ἔχειν, περιττοὶ μέν εἰσι πάντες οἱ μελαγχολικοί, οὐ διὰ νόσον, ἀλλὰ διὰ φύσιν.

Διὰ τί κατ' ἐνίας μὲν τῶν ἐπιστημῶν ἕξιν ἔχειν λέ- 2
γομεν, κατ' ἐνίας δὲ οὔ; ἢ καθ' ὅσας εὑρετικοί ἐσμεν, ἕξιν ἔχειν λεγόμεθα; τὸ γὰρ εὑρίσκειν ἀπὸ ἕξεως.

Διὰ τί τῶν ζῴων ὁ ἄνθρωπος φρονιμώτατον; πότερον 3
ὅτι μικροκεφαλώτατον κατὰ λόγον τοῦ σώματος; ἢ ὅτι ἀνωμάλως ἐλάχιστον; διὰ γὰρ τοῦτο καὶ μικροκέφαλον, καὶ αὐτῶν οἱ τοιοῦτοι μᾶλλον τῶν μεγαλοκεφάλων φρονιμώτεροι.

Διὰ τί δοκεῖ ἡμῖν πλείων εἶναι ἡ ὁδός, ὅταν μὴ εἰδό- 4
τες πόση τίς ἐστι βαδίζωμεν, μᾶλλον ἢ ὅταν εἰδότες, ἐὰν τὰ ἄλλα ὁμοίως τύχωμεν ἔχοντες; ἢ ὅτι τὸ εἰδέναι [πόση] ἐστὶν εἰδέναι τὸν ἀριθμόν; τὸ γὰρ ἄπειρον καὶ ἀναρίθμητον ταὐτόν, καὶ πλέον ἀεὶ τὸ ἄπειρον τοῦ ὡρισμένου. ὥσπερ οὖν εἰ ᾔδει ὅτι τοσήδε ἐστί, πεπερασμένην αὐτὴν ἀνάγκη εἶναι, οὕτως εἰ μὴ οἶδε πόση τίς ἐστιν, ὡς ἀντιστρέφοντος παραλογίζεται ἡ ψυχή, καὶ φαίνεται αὕτη εἶναι ἄπειρος, ἐπεὶ τὸ ποσὸν ὡρισμένον ἐστὶ καὶ τὸ ὡρισμένον ποσόν. ὅταν τοίνυν μὴ φαίνηται ὡρισμένον, ὥσπερ ἄπειρον δόξει εἶναι, διὰ τὸ τὸ πεφυκὸς ὡρίσθαι, ἂν μὴ ᾖ ὡρισμένον, ἄπειρον εἶναι, καὶ τὸ φαινόμενον μὴ ὡρίσθαι φαίνεσθαι ἀνάγκη πως ἀπέραντον.

Διὰ τί πρεσβύτεροι μὲν γινόμενοι μᾶλλον νοῦν ἔχομεν, 5
νεώτεροι δὲ ὄντες θᾶττον μανθάνομεν; ἢ ὅτι ὁ θεὸς ὄργανα ἐν ἑαυτοῖς ἡμῖν δέδωκε δύο, ἐν οἷς χρησόμεθα τοῖς ἐκτὸς ὀργάνοις, σώματι μὲν χεῖρα, ψυχῇ δὲ νοῦν. ἔστι γὰρ καὶ ὁ νοῦς τῶν φύσει ἐν ἡμῖν ὥσπερ ὄργανον ὑπάρχων· αἱ δὲ ἄλλαι ἐπιστῆμαι καὶ τέχναι τῶν ὑφ' ἡμῶν ποιητῶν εἰσίν, ὁ δὲ νοῦς τῶν φύσει. καθάπερ οὖν τῇ χειρὶ οὐκ εὐθὺς γενόμενοι χρώμεθα βέλτιστα, ἀλλ' ὅταν ἡ φύσις αὐτὴν ἐπιτελέσῃ (προϊούσης γὰρ τῆς ἡλικίας ἡ χεὶρ μάλιστα δύναται ἀποτελεῖν τὸ ἑαυτῆς ἔργον), τὸν αὐτὸν τρόπον καὶ ὁ νοῦς τῶν φύσει οὐ εὐθὺς ἀλλ' ἐπὶ γήρως ἡμῖν μάλιστα παραγίνεται καὶ τότε ἀποτελεῖται μάλιστα, ἂν μὴ ὑπό τινος πηρωθῇ, καθάπερ καὶ τὰ ἄλλα τὰ φύσει ὑπάρχοντα. ὕστερον δὲ τῆς τῶν χειρῶν δυνάμεως ὁ νοῦς παραγίνεται ἡμῖν, ὅτι καὶ τὰ τοῦ νοῦ ὄργανά ἐστι τῶν τῆς χειρός. ἔστι γὰρ νοῦ μὲν ὄργανον ἐπιστήμη (τούτῳ γάρ ἐστι χρήσιμος, καθάπερ αὐλοὶ αὐλητῇ), χειρῶν δὲ πολλὰ τῶν φύσει ὄντων· ἡ δὲ φύσις αὐτή τε ἐπιστήμης πρότερον, καὶ τὰ ὑπ' αὐτῆς γινόμενα. ὧν δὲ τὰ ὄργανα πρότερα, καὶ τὰς δυνάμεις πρότερον εἰκὸς

9. εἰ om t. ‖ 23. τὰ om t. ‖ 28. δὲ] καὶ t. ‖ 36. εὔκρατος] ἀνώμαλον t. ‖ 37. πως] περ t.

4. φρονιμώτατος t. ‖ 5. μακροκεφαλώτατος t. ‖ 11. πόση om $X^a t$. ‖ 13. τὸ δὲ ἄπειρον X^a. ‖ 14. ᾔδει] εἰδῇ X^a. ‖ ὅτι om $X^a t$. ‖ 16. εἶναι] οἷον t. ‖ 17. ὅταν om X^a. ‖ 19. τὸ alterum om $X^a t$. ‖ πεφυκεῖ t. ‖ 21. ἀπέρατον X^a. ‖ 27. ἐστίν t. ‖ 33. βέλτιστα t. ‖ 39. γε $X^a t$.

ἐγγίνεσθαι ἡμῖν· τούτοις γὰρ χρώμενοι ἕξιν λαμβάνομεν, καὶ ἔχει ὁμοίως τὸ ἑκάστου ὄργανον πρὸς αὐτό· καὶ ἀνάπαλιν, ὡς τὰ ὄργανα πρὸς ἄλληλα, οὕτω τὰ ὄργανα πρὸς αὐτά. ὁ μὲν οὖν νοῦς διὰ ταύτην τὴν αἰτίαν πρεσβυτέροις οὖσιν ἡμῖν μᾶλλον ἐγγίνεται. μανθάνομεν δὲ θᾶττον νεώτεροι ὄντες διὰ τὸ μηδέν πω ἐπίστασθαι. ὅταν δὲ ἐπιστώμεθα, οὐκέτι ὁμοίως δυνάμεθα. δυνάμεθα δὲ ἔχεσθαι, καθάπερ καὶ μνημονεύομεν μᾶλλον οἷς ἂν ἕωθεν πρῶτον ἐντυγχάνωμεν, ἔπειτα προϊούσης τῆς ἡμέρας οὐκέτι ὁμοίως διὰ τὸ πολλοῖς ἐντετυχηκέναι.

6 Διὰ τί ἀνθρώπῳ πιστέον μᾶλλον ἢ ἄλλῳ ζῴῳ; πότερον ὥσπερ Πλάτων Νεοκλεῖ ἀπεκρίνατο, ὅτι ἀριθμεῖν μόνον ἐπίσταται τῶν ἄλλων ζῴων; ἢ ὅτι θεοὺς νομίζει μόνον; ἢ ὅτι μιμητικώτατον; μανθάνειν γὰρ δύναται διὰ τοῦτο.

7 Διὰ τί οὐ χαίρομεν θεώμενοι οὐδὲ ἐλπίζοντες ὅτι τὸ τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐθέν, εἰ μὴ τῇ θεωρίᾳ, αὕτη δὲ ὁμοίως ἐστὶν ἡδεῖα κἂν εἰ τρισὶν ὀρθαῖς ἢ πλείοσιν ἴσας ἔσχεν. ἀλλ᾽ ὅτι Ὀλυμπίᾳ ἐνικῶμεν, καὶ περὶ τῆς ναυμαχίας τῆς ἐν Σαλαμῖνι, χαίρομεν καὶ μεμνημένοι καὶ ἐλπίζοντες τοιαῦτα, ἀλλ᾽ οὐ τἀναντία τοῖς τοιούτοις. ἢ ὅτι ἐπὶ μὲν τοῖς τοιούτοις χαίρομεν ὡς γενομένοις ἢ οὖσιν, ἐπὶ δὲ τοῖς κατὰ φύσιν ὡς κατὰ ἀλήθειαν θεωρίας ἡδονήν, ὡς ἔχει, μόνην ἡμῖν ποιεῖν, τὰς δὲ πράξεις τὴν ἀπὸ τῶν συμβαινόντων ἀπ᾽ αὐτῶν. ἀνομοίων οὖν οὐσῶν τῶν πράξεων, καὶ τὰ ἀποβαίνοντα ἀπ᾽ αὐτῶν γίνεται τὰ μὲν λυπηρὰ τὰ δὲ ἡδέα· φεύγομεν δὲ καὶ διώκομεν καθ᾽ ἡδονὴν καὶ λύπην ἅπαντα.

8 Διὰ τί μέχρι ὑγείας πραγματεύονται οἱ ἰατροί; ἰσχναίνει γάρ, εἶτα ἐκ τούτου ξηραίνει, εἶτα ὑγείαν ἐποίησεν, εἶτα ἐνταῦθα ἔστη. πότερον οὐκ ἔστι δυνατὸν ἐκ τούτου γενέσθαι ἄλλο; ἢ εἰ δυνατόν, ἄλλης ἐπιστήμης, καὶ ἔσται ὅ τις ἐξ ὑγείας ποιήσει ἄλλο τι; εἰ δὴ γίνεται ἐκ τῶν ἐναντίων καὶ τῶν μεταξύ, δῆλον ὅτι ἀρρωστεῖ, ἢ ξηρότερος ἢ ὑγρότερος ἤ τι τοιοῦτον. ποιεῖ δὴ ἐκ ψύχους ἧττον σφόδρα, καὶ τέλεον ὡδὶ θερμὸν καὶ ὡδὶ ξηρὸν ἢ ὑγρὸν μεταβαῖνον ἐκ τῶν ἐναντίων, ἢ μεταξύ, ἕως ἂν ἔλθῃ εἰς τὸ οὕτως ἔχειν, ὃ ἦν τοῦ ὑγιαίνειν· ἔκ τε τούτου οὐ πέφυκεν ἄλλο τι ὂν ἢ τὸ μεταξύ. δύναται μὲν οὖν ποιῆσαι ὁ ἔχων. ὡς γὰρ ἦλθεν, ἀναλῦσαι δύναται καὶ ἀπελθεῖν, οὐ μὴν ἥ γε τέχνη τούτου ἐστίν. ἀεὶ γὰρ βέλτιον. ὥστε οὐδὲ ἄλλη, οὔτε αὐτὴ ποιήσει ἐξ ὑγείας ἄλλο τι· οὐθὲν γὰρ ἐγίνετο ἢ τὸ ἐναντίον τούτου, εἴπερ ἡ αὐτὴ ἐπιστήμη. οὕτω καὶ ἐπὶ οἰκίας οὐδὲν ποιήσειεν ἂν τοὐναντίον· οὐκ ἔστιν ἐν ἄλλῃ τέχνῃ ἐκ τούτου ποιήσουσα, πλὴν ὡς μέρους, οἷον ἡ σκυτικὴ ὑπόδημα ἐκ προσχίσματος. ἐξ ἑκατέρου γὰρ γίνεται διττῶς, ἢ συντιθεμένου ἢ φθειρομένου.

9 Διὰ τί τὸν φιλόσοφον τοῦ ῥήτορος οἴονται διαφέρειν; ἢ ὅτι ὁ μὲν φιλόσοφος περὶ αὐτὰ τὰ εἴδη τῶν πραγμάτων διατρίβει, ὁ δὲ περὶ τὰ μετέχοντα, οἷον ὁ μὲν τί ἐστιν ἀδικία, ὁ δὲ ὡς ἄδικος ὁ δεῖνα, καὶ ὁ μὲν τί ἡ τυραννίς, ὁ δὲ οἷόν τι ὁ τύραννος.

10 Διὰ τί οἱ Διονυσιακοὶ τεχνῖται ὡς ἐπὶ τὸ πολὺ πονηροί εἰσιν; ἢ ὅτι ἥκιστα λόγου σοφίας κοινωνοῦσι διὰ τὸ περὶ τὰς ἀναγκαίας τέχνας τὸ πολὺ μέρος τοῦ βίου εἶναι, καὶ ὅτι ἐν ἀκρασίαις τὸ πολὺ τοῦ βίου εἰσίν, τὰ δὲ καὶ ἐν ἀπορίαις; ἀμφότερα δὲ φαυλότητος παρασκευαστικά.

11 Διὰ τί οἱ ἐξ ἀρχῆς τῆς μὲν κατὰ τὸ σῶμα ἀγωνίας ἆθλόν τι προὔταξαν, σοφίας δὲ οὐθὲν ἔθηκαν; ἢ ὅτι ἐπιεικεῖς δεῖ τοὺς κριτάς, ἃ παρὰ διάνοιάν ἐστιν, ἢ μηθὲν χείρους τῶν ἀγωνιστῶν εἶναι ἢ κρείττους; εἰ δὲ ἔδει σοφίᾳ τοὺς πρωτεύοντας ἀγωνίζεσθαι καὶ ἆθλον προὐτέτακτο, κριτῶν ἂν ἠπόρει αὐτοῖς. ἐπὶ δὲ τῶν γυμνικῶν ἀγώνων ἅπαντός ἐστι κρῖναι, τῇ ὄψει μόνῃ θεασάμενον. ἔτι δὲ ὁ ἐξ ἀρχῆς κατασκευάζων οὐκ ἐβούλετο τοιαύτην ἀγωνίαν προθεῖναι τοῖς Ἕλλησιν, ἐξ ὧν ἔμελλον στάσεις καὶ ἔχθραι μεγάλαι ἔσεσθαι· οἷον οἱ ἄνθρωποι, ὅταν τις ἢ ἐκκριθῇ ἢ προσδεχθῇ εἴς τι τῶν κατὰ τὸ σῶμα ἀθλημάτων, οὐ πάντῃ χαλεπῶς φέρουσιν οὐδ᾽ εἰς ἔχθραν καθίστανται τοῖς κρίνουσιν, ὑπὲρ δὲ τοῦ φρονιμωτέρους ἢ μοχθηροτέρους εἶναι τοῖς κρίνουσι μάλιστα ὀργίζονται καὶ ἀγανακτοῦσιν. στασιῶδες δὲ καὶ μοχθηρὸν τὸ τοιοῦτόν ἐστιν. ἔτι δὲ δεῖ τῆς ἀγωνίας τὸ ἆθλον κρεῖττον εἶναι. ἐπὶ μὲν γὰρ τῶν γυμνικῶν ἀθλημάτων τὸ ἆθλον αἱρετώτερον καὶ βέλτιον τῆς ἀγωνίας· σοφίας δὲ τί ἂν ἆθλον βέλτιον γένοιτο;

12 Διὰ τί ἄλλο νοεῖ καὶ ποιεῖ ἄνθρωπος μάλιστα; ἢ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη; ἢ ὅτι ὁ μὲν νοῦς πολλῶν ἐστίν, ἡ δὲ ὄρεξις ἑνός; ὁ μὲν οὖν ἄνθρωπος τῷ νῷ τὰ πλεῖστα ζῇ, τὰ δὲ θηρία ὀρέξει καὶ θυμῷ καὶ ἐπιθυμίᾳ.

13 Διὰ τί φρόνιμοί τινες κτώμενοι οὐ χρώμενοι διατελοῦσιν; πότερον ὅτι τῷ ἔθει χρῶνται; ἢ διὰ τὸ ἐν ἐλπίδι ἡδύ;

14 ὅτι ἡ αἴσθησις καὶ ἡ διάνοια τῷ ἠρεμεῖν τὴν ψυχὴν ἐνεργεῖ· ὃ καὶ ἡ ἐπιστήμη δοκεῖ εἶναι, ὅτι τὴν ψυχὴν ἵστησιν·

2. τὸ] καὶ τὸ X^a. ‖ 6. πως codices. ‖ 11. πιστέον X^a. ‖ 16. ὀρθὰς t. ‖ 17. τῇ] τις x. ‖ 18. ἡδεῖα margo X^a, ἰδία X^artux. ‖ 21. οὐ om t. ‖ 22. ὅπως t. ‖ 25. ἀνομοίων — 26. αὐτῶν om t. ‖ 29. ἐκ τοῦ τούτου t. ‖ 31. τις] τῆς t. ‖ 34. δὲ X^a. ‖ 35. τέλεον] τέθεν t.

2. οἰλίας t. ‖ ἂν om t. ‖ 4. προσχήματος X^a. ‖ 6. διαφέρον t. ‖ 13. τὸ om t. ‖ 21. αὐτοῦ t. ‖ 22. ὁ om t. ‖ 24. γίνεσθαι X^a. ‖ 30. ἀγωνίσεως t. ‖ 34. ἢ — 35. ἐστίν om X^at. ‖ 35. ἑνός] ἐνίοις X^at. ‖ 36. καὶ ante θυμῷ om X^at. ‖ 39. ὅτι] λείπει ἡ ἀρχὴ τοιαύτη. Διὰ τί οἱ βαθέως καὶ ἥδιστα καθεύδοντες οὐδὲν ἐνύπνιον ὁρῶσιν; ἢ margo X^a.

κινουμένης γὰρ καὶ φερομένης οὔτε αἰσθέσθαι οὔτε διανοηθῆναι δυνατόν. διὸ καὶ τὰ παιδία καὶ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι ἀνόητοι· διὰ γὰρ τὸ πλῆθος τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος πλείστη κίνησις αὐτοῖς καὶ σφοδροτάτη συμβαίνει, ληγούσης δὲ ταύτης ἐμφρονέστεροι γίνονται· ἀταράχου γὰρ οὔσης τῆς διανοίας μᾶλλον ἐφιστάναι δύνανται αὐτήν. οἵ τ' ἐν τῷ καθεύδειν ἐνυπνιαζόμενοι ἱσταμένης τῆς διανοίας, καὶ καθ' ὅσον ἠρεμεῖ, ὀνειρώττουσιν. μάλιστα γὰρ ἐν τοῖς ὕπνοις ἡ ψυχὴ κινεῖται. περιισταμένου γὰρ τοῦ θερμοῦ ἐκ τοῦ ἄλλου σώματος εἰς τὸν ἐντὸς τόπον, τότε πλείστη καὶ σφοδροτάτη κίνησις ὑπάρχει, οὐχ ὥσπερ οἱ πολλοὶ ὑπολαμβάνουσι τότε ἠρεμεῖν καὶ καθ' αὑτὴν εἶναι, καὶ μάλιστα ὅταν μηδὲν ἴδωσιν ἐνύπνιον. συμβαίνει δὲ τοὐναντίον· διὰ γὰρ τὸ ἐν πλείστῃ κινήσει εἶναι καὶ μηδὲ κατὰ μικρὸν ἠρεμεῖν, οὐδὲ διανοεῖσθαι δύναται. ἐν πλείστῃ δὲ κινήσει, ὅταν ἥδιστα καθεύδῃ, εἰκότως ἐστίν, ὅτι τότε μάλιστα καὶ πλεῖστον θερμὸν ἀθροίζεται εἰς τὸν εἴσω τόπον. ὅτι δὲ ἐν τῇ κινήσει οὖσα ἡ ψυχὴ οὐ μόνον ὕπαρ ἀλλ' οὐδ' ἐν τοῖς ὕπνοις δύναται διανοεῖσθαι, κἀκεῖνο σημεῖον· ἐν γὰρ τοῖς μετὰ τὴν πρόσεσιν τῶν σιτίων ὕπνοις ἥκιστα ἔστιν ἐνύπνια ὁρᾶν. τότε δὲ μάλιστα συμβαίνει κινεῖσθαι αὐτὴν διὰ τὴν ἐπεισενεχθεῖσαν τροφήν. τό τε ἐνύπνιόν ἐστιν, ὅταν διανοουμένοις καὶ πρὸ ὀμμάτων τιθεμένοις ὕπνος ἐπέλθῃ. διὸ καὶ ταῦτα μάλιστα ὁρῶμεν ἃ πράττομεν ἢ μέλλομεν ἢ βουλόμεθα· περὶ γὰρ τούτων μάλιστα πλειστάκις λογισμοὶ καὶ φαντασίαι ἐπιγίνονται. καὶ οἱ βελτίους βελτίω τὰ ἐνύπνια ὁρῶσι διὰ ταῦτα, ὅτι καὶ ἐγρηγορότες περὶ βελτιόνων διανοοῦνται, οἱ δὲ χεῖρον ἢ τὴν διάνοιαν ἢ τὸ σῶμα διακείμενοι χείρω. καὶ γὰρ ἡ τοῦ σώματος διάθεσις πρὸς τὴν τῶν ἐνυπνίων φαντασίαν συμβλητικόν· τοῦ γὰρ νοσοῦντος καὶ αἱ τῆς διανοίας προθέσεις φαῦλαι, καὶ ἔτι διὰ τὴν ἐν τῷ σώματι ταραχὴν ἐνοῦσαν ἡ ψυχὴ οὐ δύναται ἠρεμεῖν. οἱ δὲ μελαγχολικοὶ διὰ τοῦτο ἐξάττουσιν ἐν τοῖς ὕπνοις, ὅτι πλείονος τῆς θερμασίας οὔσης μᾶλλον τοῦ μετρίου ἡ ψυχὴ ἐν κινήσει, σφοδροτέρας δὲ τῆς κινήσεως οὔσης οὐ δύνανται καθεύδειν.

ΛΑ. ΟΣΑ ΠΕΡΙ ΟΦΘΑΛΜΟΥΣ.

Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; ἢ ὅτι ἀναπνοὴ ταύτῃ γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τὴν τρῖψιν· ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγροῦ. ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος; ὁ δὲ ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί. διὰ τοῦτο δὲ κἄν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.

Διὰ τί τῷ ἑνὶ ὀφθαλμῷ ἀκριβέστερον ὁρῶσιν ἢ τοῖν δυοῖν; ἢ ὅτι πλείους οὖσαι κινήσεις τοῖν δυοῖν γίνονται, οἷον τοῖς διεστραμμένοις; οὐκουν μία ἡ κίνησις, τοῦ δὲ ἑνὸς ἁπλῆ. ἧττον οὖν ὁρῶσιν ἀκριβέστερον. 2

Διὰ τί ὀργιζόμενοι μὲν τοὺς ὀφθαλμοὺς μᾶλλον ἐπιδιδόασι πρὸς τὸ ἐρυθριᾶν, αἰσχυνόμενοι δὲ τὰ ὦτα; ἢ διότι οἱ μὲν καταψύχονται ἐν τῇ αἰδοῖ (ἐν ὀφθαλμοῖς γὰρ αἰδώς) ἀντιβλέπειν οὐ δύνανται; καὶ ἡ δειλία κατάψυξίς τίς ἐστιν ἐνταῦθα. μεθίσταται δὲ εἰς τοὐναντίον τῷ ἔμπροσθεν τὸ ὄπισθεν. τὰ δὲ ὦτα ἀντίκειται· διὸ καὶ μάλιστα ἐρυθριῶσιν αἰσχυνόμενοι. ἐν δὲ τῷ κνήθεσθαι ἐπὶ τὸ αἰσθητικώτερον καὶ κινητικώτερον ἡ βοήθεια ὡς ἀδικουμένου· φοβουμένοις γὰρ ἐνταῦθα ἐκλείπει μάλιστα. 3

Διὰ τί θατέρου καταληφθέντος ὀφθαλμοῦ ὁ ἕτερος ἀτενίζει μᾶλλον; ἢ διότι ἐκ ταὐτοῦ ἤρτηνται αἱ ἀρχαὶ τῶν ὀφθαλμῶν; θατέρου οὖν κινουμένου καὶ ἡ κοινὴ ἀρχὴ κινεῖται, ἐκείνης δὲ κινουμένης καὶ ὁ ἕτερος. ληφθέντος οὖν θατέρου ἡ κίνησις κινήσει αὐτόν, ὥστε δύναται ἀτενίζειν μᾶλλον. 4

Διὰ τί οἱ ἐκ γενετῆς τυφλοὶ οὐ γίνονται φαλακροί; ἢ ὅτι πημαίνει τὰ ὄμματα ὑγρότης οὖσα πολλὴ ἐν τῷ περὶ τὴν κεφαλὴν τόπῳ; διὸ τῶν ῥευματικῶν εἰς τοὺς ὀφθαλμοὺς τάς τε περὶ τοὺς κροτάφους φλέβας καίουσι, πυκνοῦντες τοὺς τῶν ὑγρῶν πόρους, καὶ ξύουσι τὴν κεφαλήν, διατέμνοντες τὸ ἐν αὐτῇ δέρμα. ἐπεὶ οὖν πημαίνει τοὺς ὀφθαλμοὺς τὸ ἐν αὐτῇ περίττωμα γινόμενον, κωλύοι ἂν αὐτοὺς ταὐτὸ τοῦτο ἐξ ἀρχῆς γίνεσθαι, πλέον συνιστάμενον ἐν αὐτῇ. ἐπεὶ δὲ ἐκ περιττωμάτων θρὶξ φύεται, τοῦτο δὲ ἐν τῇ τῶν τυφλῶν κεφαλῇ ἐκ γενετῆς ἐστὶ πολύ, εἰκότως οὐκ εἰσὶ φαλακροί. 5

Διὰ τί οἱ ἐξόφθαλμοι καπνίζονται μᾶλλον; ἢ ὅτι τάχιστα προσπίπτει πρὸς τὰ προέχοντα; 6

Διὰ τί εἰς μὲν τὰ δεξιὰ ἀμφοτέρας τὰς ὄψεις ἅμα διαστρέφειν δυνάμεθα, καὶ εἰς τὰ ἀριστερὰ καὶ πρὸς τὴν ῥῖνα, καὶ εἰς τὸ ἀριστερὸν δὲ ἢ τὸ δεξιὸν τὴν ἑτέραν, ἅμα δὲ εἰς τὸ δεξιὸν καὶ ἀριστερὸν ἀδυνατοῦμεν; ὁμοίως δὲ καὶ εἰς τὸ κάτω καὶ εἰς τὸ ἄνω· ἅμα μὲν γὰρ ἐπὶ ταὐτὸ δυνάμεθα, χωρὶς δὲ οὔ. ἢ ὅτι αἱ ὄψεις δύο οὖσαι ὁμοίως ἐξ ἑνὸς συνήρ- 7

1. οὔτε δ.] οὐδὲ δ. $X^a t$. ‖ 3. τὸ om t. ‖ 12. ὅτε codices. ‖ 19. πρόεσιν $X^a t$. ‖ 26. καὶ εἰ ἐγρ. $X^a t$. ‖ 35. οὔσης om X^a. ‖ δύναται $X^a Y^a$.

1. τὸ add v. ‖ 3. τρίψῃ om t. ‖ 7. μία] μᾶλλον t. ‖ 9. μάλιστα $X^a Y^a t$. ‖ 11. τῷ αἰδοίῳ $Y^a t$. ‖ 12. δύναται X^a. ‖ τις om tv. ‖ 14. ἀντίκεινται X^a. ‖ 15. κνήθεσθαι] ὀργίζεσθαι v. ‖ 16. κινητικώτατον Y^a. ‖ φοβούμενος v. ‖ 23. ἢ om $X^a Y^a t$. ‖ 34. προπίπτει t. ‖ 37. δὲ ante εἰς om t. ‖ 38. ἀριστερὸν καὶ δεξιὸν $X^a t$.

τηνται; ὅσα δὲ τοιαῦτα, ἄκρυ θατέρυ κινυμένυ ἀνάγκη θάτερον ἀκολουθεῖν ἐπὶ ταὐτό. τῷ γὰρ ἑτέρῳ ἄκρῳ ἡ ἀρχὴ θάτερον ἄκρον. εἰ ὖν τὸ ἓν ἀδύνατον ἅμα εἰς τἀναντία κινεῖσθαι, ἀδύνατον καὶ τὰς ὄψεις. τὰ μὲν γὰρ ἄκρα εἰς τἀναντία ἂν κινοῖτο, εἰ τὸ μὲν ἄνω τὸ δὲ κάτω κινοῖτο, ἡ δὲ ἀρχὴ ἀμφοῖν ἂν ἀκολυθοίη· ὅπερ ἀδύνατον. ἡ δὲ διαςροφή ἐςι τῶν ὀμμάτων διὰ τὸ ἀρχὴν ἔχειν τὰς σφαίρας, καὶ μέχρι τῦ ςρέφεσθαι εἰς τὰ ἄνω καὶ κάτω καὶ εἰς πλάγιον. ὅταν ὖν ἔχυσαι ὡς ἂν ὁμοίως ἔχοιεν τῇ θέσει ἀλλήλαις, καὶ ἐν μέσῳ τῦ ἐπὶ τὸ ἄνω καὶ κάτω κινεῖσθαι, καὶ εἰς πλάγιον ἐπὶ τοῦ αὐτῦ σημείυ ἑαυτῶν λάβωσι τὴν ὄψιν, αὗται μὲν ἀδιάστροφοί τε καὶ μάλιστα ἀκίνητοι τῇ θέσει· ὅσαι δὲ ἐπὶ ταὐτῦ σημείυ λάβωσι τὰς ὄψεις, ἀδιάςροφοι μέν εἰσι, διαφέρυσι δὲ ἀλλήλων. καίτοι κρύπτεται τῦ μέλανός τι καὶ τοῖς ἄνω βάλλυσι τὰ λευκά, οἷον μελλέπταρμοι· ἕτεροι δὲ εἰς τὸ πλάγιον, ὥσπερ οἱ μανικοί, οἱ δὲ εἰς τὺς μυκτῆρας, ὥσπερ τὰ τραγικὰ πρόσωπα καὶ οἱ ςρυφνοί· σύννυν γὰρ τὸ βλέμμα. ὅσοι δὲ μήθ' ὁμοίως κειμένων τῶν σφαιρῶν ἐπὶ ταὐτῷ σημείῳ ἔχυσι τὰς ὄψεις, ἢ ὁμοίως μὲν κειμένων μὴ ἐπὶ τῷ αὐτῷ δέ, οὗτοι διεςραμμένοι εἰσίν· διὸ ὑποβλέπυσι καὶ συνάγυσι τὰ ὄμματα. πειρῶνται γὰρ ἐπὶ ταὐτὸν καταςῆσαι σχῆμα τὴν σφαῖραν. ὥςε τὸν μὲν ἐῶσι, τὸν δὲ σχηματίζουσι τῶν ὀφθαλμῶν. ἐὰν γὰρ μὴ κατ' αὐτὸ σημεῖον τεθῶσιν αἱ ὄψεις, ἀνάγκη διεστράφθαι. ὥσπερ γὰρ τοῖς ὑποβάλλυσιν ὑπὸ τὸν ὀφθαλμὸν [τὸ ἓν] δύο φαίνεται (καὶ γὰρ ἐκείνοις κεκίνηται ἡ ἀρχή), καὶ τούτοις ὁμοίως. ἐὰν μὲν οὖν ἄνω κινηθῇ ὁ ὀφθαλμός, τὸ πέρας κάτω τῆς ὄψεως γίνεται, ἐὰν δὲ κάτω, ἄνω τὸ πέρας. ἐν ἑνὶ δὲ ὀφθαλμῷ μεθισταμένῳ κινεῖσθαι μὲν τὸ ὁρώμενον δοκεῖ διὰ ταῦτα ἄνω ἢ κάτω, ὅτι καὶ ἡ ὄψις, δύο δὲ οὐ φαίνεται, ἂν μὴ δύο αἱ ὄψεις ὦσι, καὶ διαστρέφει. τοιαύτη μὲν τῷ ἑτεροφθάλμῳ γίνεται, ὥστε δύο φαίνεσθαι· κατὰ τὴν θέσιν δὲ γίνεται τῷ μὴ κατὰ μέσον τοῦ ὄμματος κεῖσθαι.

8 Διὰ τί οἱ μύωπες μικρὰ γράμματα γράφουσιν; ἄτοπον γὰρ τὸ μὴ ὀξὺ ὁρῶντας ποιεῖν ἔργον ὀξὺ ὁρώντων. πότερον ὅτι μεγάλα φαίνεται τὰ μικρά, ἐὰν ᾖ ἐγγύς· οἱ δὲ προσάγοντες γράφυσιν; ἢ διὰ τὸ συνάγοντας τὰ βλέφαρα γράφειν; δι' ἀσθένειαν γὰρ τῆς ὄψεως, ἂν μὲν ἀναπεπταμένοις γράφωσι τοῖς ὄμμασι, διασπωμένη ἡ ὄψις ἀμβλὺ ὁρᾷ, ὗτω δὲ ἀθρόως προσπίπτει· γωνίαν δὲ μικρὰν ποιῦσα ἐξ ἀνάγκης ποιεῖ μικρὰ γράφειν.

9 Διὰ τί ὀφθαλμιάσαντες ἔνιοι ὀξύτερον ὁρῶσιν; ἢ διὰ τὸ ἀποκεκαθάρθαι τὰ ὄμματα; πολλάκις γὰρ ἡ ἔξω πυκνότης ἀποστέγει τὴν ὄψιν, ἀποδακρύσαντι δὲ λύεται. διὸ καὶ τὸ ἀποδάκνεσθαι συμφέρει, οἷον κρόμμυον· θάτερον δὲ πολέμιον, οἷον ὀρίγανον.

10 Διὰ τί τῇ μιᾷ ὄψει ἀπαθέστεροι; ἢ διότι ἔλαττον ἡ ψυχὴ πάσχει, ὥςε ἔλαττον τὸ πάθος.

11 Διὰ τί τοῖς διισταμένοις δύο φαίνεται; ἢ διότι οὐκ ἀφικνεῖται ἐπὶ τὸ αὐτὸ σημεῖον ἑκατέρου τῶν ὀμμάτων ἡ κίνησις; ὥσπερ οὖν δύο ὁρᾶν τὸ δὶς ὁρᾶν οἴεται ἡ ψυχή. ὅμοιον καὶ ἐπὶ τῶν δακτύλων τῆς ἐπαλλάξεως· δύο γὰρ τὸ ἓν δοκεῖ ὡς δὶς ἁπτομένῃ ἑνί.

12 Διὰ τί οὐ διαφέρουσιν αἱ αἰσθήσεις αἱ ἐν τοῖς δεξιοῖς τῶν ἀριστερῶν, ἐν δὲ τοῖς ἄλλοις πᾶσι κρείττω τὰ δεξιά; πότερον διὰ τὸ ἔθος, ὅτι εὐθὺς ὁμοίως ἀμφοῖν ἐθιζόμεθα αἰσθάνεσθαι; τὰ δὲ δεξιὰ τῷ ἔθει δοκεῖ διαφέρειν, ἐπεὶ ἀσκηθεῖσιν ἀμφιδέξιοι γίνονται. ἢ ὅτι τὸ μὲν αἰσθάνεσθαι πάσχειν τί ἐστι, τὰ δὲ δεξιὰ διαφέρει τῷ ποιητικώτερα εἶναι καὶ ἀπαθέςερα τῶν ἀριςερῶν.

13 Διὰ τί ἐν μὲν τοῖς ἄλλοις κρείττω τὰ δεξιά, ἐν δὲ ταῖς αἰσθήσεσιν ὅμοια; ἢ διότι ταῦτα μὲν ὁμοίως ἐθιζόμεθα κατ' ἀμφότερα τῷ ἔθει; ἔτι τὸ μὲν αἰσθάνεσθαι πάσχειν τί ἐςιν, ἡ δὲ τῶν δεξιῶν διαφορὰ τῷ εἰς τὸ ποιεῖν καὶ οὐκ εἰς τὸ πάσχειν.

14 Διὰ τί τὸ γυμνάζεσθαι ἀσύμφορον πρὸς ὀξυωπίαν; ἢ ὅτι ξηρὸν ποιεῖ τὸ ὄμμα ἡ γυμνασία, ὥσπερ καὶ τὸ ἄλλο σῶμα; ἡ δὲ ξηρότης σκληρύνει τὸ δέρμα πᾶν, ὥςε καὶ τὸ ἐπὶ τῇ κόρῃ. διὸ καὶ οἱ πρεσβῦται ὐκ ὀξὺ ὁρῶσιν· καὶ γὰρ τῶν γερόντων σκληρόδερμα, ἅμα δὲ καὶ ῥυσά, ὥςε ἐπικαλύπτεται ἡ ὄψις.

15 Διὰ τί οἱ μύωπες βλέπυσι μὲν ὐκ ὀξύ, γράφουσι δὲ μικρά; καίτοι τὸ μικρὸν ὀξὺ βλέποντος καθορᾶν ἐστίν. ἢ διότι ἀσθενῆ ἔχοντες τὴν ὄψιν συνάγουσι τὰ βλέφαρα εἰς μικρόν; ἀθρόα γὰρ ἐξιῦσα ἡ ὄψις μᾶλλον ὁρᾷ, ἀναπεπταμένυ δὲ τῦ ὄμματος διασπᾶται. διὰ μὲν ὖν τὴν ἀσθένειαν συνάγουσι τὸ βλέφαρον, διὰ δὲ τὸ ἐκ μικροῦ ὁρᾶν μικρὰ

2. ταυτῷ *t*, τὸ αὐτὸ *X*[a]. ‖ 4. καὶ om *X*[a]. ‖ 5. ἂν κινοῖτο] ἀντικινοῖτο codices. ‖ 6. ἀκολυθῇ *t*. ‖ 8. εἰς post καὶ om *X*[a]. ‖ πλάγια *X*[a]*t*. ‖ 12. κάλλιστα *t*. ‖ ἀκίνητὰ *t*, ἀκίνηται *X*[a]. ‖ 14. τῦ] τὸ *t*. ‖ 20. μὴ] καὶ *X*[a]. ‖ 22. ταὐτὸ *Y*[a], ταυτῷ *t*. ‖ 23. μὴ γὰρ *Y*[a]. ‖ 25. ὑπὸ] τῦ *X*[a]. *Y*[a] quid habeat, non liquet. ‖ τὸν om *t*. ‖ τὸ ἓν om *X*[a]*Y*[a]*t*. ‖ 27. ὁ om *Y*[a]. ‖ 30. ταὐτὸ *Y*[a]*t*. ‖ 31. ἐὰν *X*[a]. ‖ 33. δὲ] καὶ *t*. ‖ 36. τὸ] τὺς *X*[a]*t*.

2. προσπίπτειν *X*[a]. ‖ μακρὰν *X*[a]. ‖ 4. ὀφθαλμόσαντες *v*. ‖ 5. ἀποκεκάρθαι *X*[a], κεκάρθαι *t*. ‖ 12. ἐπεὶ *X*[a]. ‖ 13. ὁρᾶν ante τὸ om *X*[a]. ‖ 24. ἐθιζόμεθα ὁμοίως *X*[a]. ‖ 29. αἷμα *X*[a]. ‖ 30. σκληρότης *X*[a]*Y*[a]*t**v*.

μέγεθος ὁρῶσιν. ὅσον δὲ ὁρῶσι μέγεθος, τοσοῦτον καὶ γράφουσιν.

16 Διὰ τί οἱ μύωπες συνάγοντες τὰ βλέφαρα ὁρῶσιν; ἢ δι' ἀσθένειαν τῆς ὄψεως, ὥσπερ καὶ οἱ πρὸς τὰ πόρρω τὴν χεῖρα προσάγοντες, οὕτω καὶ τὰ βλέφαρα πρὸς τὰ ἐγγὺς προστίθενται ὥσπερ χεῖρα; τοῦτο δὲ ποιοῦσιν, ἵνα ἀθροωτέρα ἡ ὄψις ἐξίῃ, δι' ἐλάττονος ἐξιοῦσα, καὶ μὴ εὐθὺς ἐξ ἀναπεπταμένου ἐξιοῦσα διασπασθῇ. ὁρᾷ δὲ ἡ πλείων μεῖζον.

17 Διὰ τί εἰς τὸ πλάγιον κινοῦσι τὸν ὀφθαλμὸν οὐ φαίνεται δύο τὸ ἕν; ἢ ὅτι ἐπὶ τῆς αὐτῆς γίνεται γραμμῆς ἡ ἀρχή; δύο δὲ φαίνεται ταύτης μεταβαλλούσης ἄνω ἢ κάτω. εἰς δὲ πλάγιον οὐδὲν διαφέρει, ἐὰν μὴ ἅμα καὶ ἄνω. τί δὴ ἐπὶ μὲν τῆς ὄψεως ἔστιν ὥστε φαίνεσθαι τὸ ἓν δύο, ἄν πως τεθῶσιν οἱ ὀφθαλμοὶ πρὸς ἀλλήλους, ἐπὶ δὲ τῶν ἄλλων αἰσθήσεων οὐκ ἔστιν; ἢ καὶ ἐπὶ τῆς ἁφῆς γίνεται τῇ ἐπαλλάξει τῶν δακτύλων τὸ ἓν δύο; ἐπὶ δὲ τῶν ἄλλων οὐ γίνεται, ὅτι οὔτε ἔξω ἀποτεινομένων αἰσθάνεται, οὐδὲ δύο. γίνεται δὲ διὰ τοῦτο διόπερ καὶ ἐπὶ τῶν δακτύλων· μιμεῖται γὰρ τὴν ὄψιν.

18 Διὰ τί τοῦ μὲν ἄλλου σώματος τὰ ἀριστερὰ ἀσθενέστερα, τῶν δὲ ὀφθαλμῶν οὔ, ἀλλ' ὁμοίως ὀξύ; ἢ ὅτι τὰ μὲν δεξιὰ τῷ ποιητικὰ εἶναι διαφέρουσι, τῷ δὲ παθητικὰ οὐ διαφέρουσιν; αἱ δὲ ὄψεις παθητικαί.

19 Διὰ τί τῇ ὄψει πρὸς μὲν τὰ ἄλλα ἀτενίζοντες χεῖρον διατιθέμεθα, πρὸς δὲ τὰ χλωρὰ καὶ ποώδη, οἷον λάχανα καὶ τὰ τούτοις ὅμοια, βέλτιον; ἢ ὅτι πρὸς μὲν τὸ λευκὸν καὶ μέλαν ἥκιστα δυνάμεθα ἀτενίζειν (ἄμφω γὰρ λυμαίνεται τὴν ὄψιν), τὰ δὲ τοιαῦτα τῶν χρωμάτων μέσον ἔχει τούτων· διὸ μετρίως τῆς ὄψεως διατιθεμένης οὐδὲ ἐξαδυνατοῦμεν αὐτῇ, βέλτιον δὲ διατιθέμεθα. τάχα δὲ ἴσως καθάπερ ἐπὶ τῶν σωμάτων σφοδρότερον πονοῦντες χεῖρον ἔχομεν, τὸ μέσον δὲ βέλτιστα διατίθησι, τὸν αὐτὸν τρόπον καὶ τὴν ὄψιν. πρὸς μὲν γὰρ στερεὰ ἀτενίζοντες πονοῦμεν αὐτήν, πρὸς δὲ τὰ ὑγρὰ μηδενὸς ἀντιφράττοντος οὐ διαπονοῦμεν. τὰ δὲ χλωρὰ στερεά τε μετρίως, καὶ ὑγρὸν ἐν αὐτοῖς ἱκανόν. διὸ βλάπτει τε οὐδέν, καὶ διαναγκάζει τὴν ὄψιν πρὸς τούτοις εἶναι διὰ τὸ τὴν τοῦ χρώματος κρᾶσιν σύμμετρον ἔχειν πρὸς τὴν ὄψιν.

20 Διὰ τί τὰ μὲν ἄλλα ἀμφοτέροις τοῖς ὀφθαλμοῖς μᾶλλον ὁρῶμεν, τὸ δὲ εὐθὺ τὸ ἐπὶ τῶν στίχων τῷ ἑνὶ προσάγοντες πρὸς τὰ γράμματα μᾶλλον καθορῶμεν; ἢ ἀμφότεραι μὲν αἱ ὄψεις συμπίπτουσαι, καθάπερ λέγουσιν οἱ περὶ τὰ ὀπτικά, ταραχὴν παρέχουσιν, ἐπειδὰν δὲ τῇ μιᾷ θεωρῶμεν, πρὸς εὐθεῖαν τὴν ὄψιν, ὥσπερ πρὸς κανόνα, μᾶλλον φαίνεται τὸ εὐθύ.

Διὰ τί ὁ καπνὸς τοὺς ὀφθαλμοὺς μᾶλλον δάκνει; ἢ 21 ὅτι μόνοι ἀσθενέστατοι; ἀεὶ γὰρ τὰ ἔσω τοῦ σώματος ἀσθενέστατα. σημεῖον δὲ ὅτι καὶ τὸ ὄξος καὶ ἕκαστον τῶν δριμέων τὴν μὲν ἔξω σάρκα οὐ δάκνει, τὴν δὲ ἐντός, ὅτι ἀραιοτάτη τοῦ σώματος καὶ μάλιστ' ἔχει πόρους· αἱ γὰρ ὄψεις διά τινων πόρων ἐκπίπτουσιν, ὥστε τὸ ἔσω δηκτικώτατον ἀπὸ τῆς σαρκὸς ἀποπίπτει. ὁμοίως δὲ καὶ τὸ κρόμμυον, καὶ ὅσα ἄλλα δάκνει τοὺς ὀφθαλμούς. τὸ δὲ ἔλαιον μάλιστα τῶν ὑγρῶν, ὅτι λεπτομερέστατον· τοιοῦτον δ' ὂν εἰσδύνει διὰ τῶν πόρων· τὸ δ' ὄξος ἐν φαρμάκῳ τῇ ἄλλῃ σαρκί.

Διὰ τί ὁ ὀφθαλμὸς μόνον τοῦ σώματος, ἀσθενέστατος 22 ὤν, οὐ ῥιγοῖ; ἢ ὅτι πίων ἐστὶν ὁ ὀφθαλμός, σαρκὸς δὲ οὐθέν; τὰ δὲ τοιαῦτα ἄριγά ἐστιν. οὐ γὰρ δὴ ὅτι γε πῦρ ἐστὶν ἡ ὄψις, διὰ τοῦτο οὐ ῥιγοῖ· οὐ γὰρ τοιοῦτόν γέ ἐστι τὸ πῦρ ὥστε θερμαίνειν.

Διὰ τί δάκρυα, ἐὰν μὲν κλαίοντες ἀφίωμεν, θερμά 23 ἐστιν, ἐὰν δὲ πονοῦντες τοὺς ὀφθαλμοὺς δακρύωμεν, ψυχρά; ἢ ὅτι τὸ μὲν ἄπεπτον ψυχρόν, τὸ δὲ πεπεμμένον θερμόν; ἡ δὲ μαλακία ὅλως πᾶσά ἐστιν ἐξ ἀπεψίας, καὶ τῶν τοὺς ὀφθαλμοὺς πονούντων ἄπεπτόν ἐστι τὸ δάκρυον· διὸ ψυχρόν. διὰ τοῦτο καὶ οἱ ἰατροὶ οἴονται σημεῖον εἶναι μεγάλης νόσου τοὺς ψυχροὺς ἱδρῶτας, τοὺς δὲ θερμοὺς τοὐναντίον ἀπαλλακτικούς. ὅταν μὲν γὰρ ᾖ τὸ περίττωμα πολύ, οὐ δύναται τὸ ἐντὸς θερμὸν πέττειν, ὥστε ἀνάγκη ψυχρὸν εἶναι· ὅταν δὲ ὀλίγον, κρατεῖ. γίνονται δὲ ἐκ τῶν περιττωμάτων αἱ ἀρρωστίαι.

Διὰ τί ποτε εὐκινήτων ὄντων τῶν δεξιῶν μερῶν ὁ 24 ὀφθαλμὸς ὁ ἀριστερὸς μᾶλλον τοῦ δεξιοῦ συνάγεται; ἢ ὅτι τὰ ἀριστερὰ πάντα ὑγρότερα τῶν δεξιῶν ἐστί, τὰ δὲ ὑγρότερα μᾶλλον συνάγεσθαι πέφυκεν· εἶτα εἰς τὸ δεξιὸν μᾶλλον ἀποτελεῖν δύναται, τοῦ ἀριστεροῦ δυναμένου καὶ καθ' αὑτό.

Διὰ τί ἀμφότεροι κατὰ ἀσθένειάν τινα τῶν ὀφθαλ- 25 μῶν διακείμενοι, ὅ τε μύωψ καὶ ὁ πρεσβύτης, ὁ μὲν ἐγγὺς προσάγει, ἄν τι βούληται ἰδεῖν, ὁ δὲ πόρρω ἀπάγει; ἢ ὅτι οὐχ ὁμοία ἡ ἀσθένεια παρέπεται αὐτοῖς; ὁ μὲν γὰρ πρεσ-

8. διεξιοῦσα διασπᾶσθαι $X^a t$. ‖ 9. τὸ om *s*. ‖ 12. ἅμα] κάτω X^a. ‖ 16. ἐξαλλάξει codices. ‖ 18. διόπερ Y^a. ‖ 26. τὰ om *t*. ‖ 29. οὐδὲν $X^a t$. ‖ 31. σφοδρότερα $Y^a t v$. ‖ ἔχωμεν *v*. ‖ 37. κρίσιν $Y^a t v$. ‖ 39. τὸ δὲ] τὰ δὲ Y^a. ‖ προσαγάγοντες *t*.

4. φαίνεται om $X^a Y^a t$. ‖ 8. ἀραιότατον $Y^a s t$. ‖ 9. αἱ γὰρ ὄψεις om *t*. ‖ 10. πόρρω ἐκπ. ὥστε ὅτι ἔξω *t*. ‖ 11. καὶ post δὲ om *t*. ‖ 15. ὁ om $Y^a v$. ‖ ἀσθενέστατος om X^a. ‖ 18. τοιοῦτό Y^a. ‖ 24. διότι *v*.

βύτης αὐτὸ ἰδεῖν ἀδύνατός ἐστιν· οὗ δὴ συμπίπτει ἡ ὄψις αὐτῷ, ἀπάγει τὸ θεώμενον, ἅτε καὶ μάλιςα μέλλων ὄψεσθαι· πόρρω δὲ συμπίπτει. ὁ δὲ αὐτὸ μὲν ὁρᾷ, ποῖα δὲ κοῖλα καὶ ποῖα ἐξέχοντα τῦ ὁρωμένυ, ὐκέτι δύναται κρίνειν, ἀλλὰ περὶ ταῦτα ἀπατᾶται. τὰ δὲ κοῖλα καὶ τὰ ἐξέχοντα μάλιστα τῇ αὐγῇ κρίνεται. πόρρωθεν μὲν ὖν ὐ δύναται τῇ αὐγῇ καταμαθεῖν πῶς ἐπιβάλλει ἐπὶ τὸ ὁρατόν· ἐγγύθεν δὲ μᾶλλον καταφανής ἐςιν.

26 Διὰ τί τῶν ζῴων ἄνθρωπος ἢ μόνον ἢ μάλιστα διαστρέφεται; ἢ ὅτι ἢ μόνον ἢ μάλιστα ἐπίληπτον ἐν τῇ νεότητι γίνεται, ὅτε καὶ διαςρέφεσθαι συμβαίνει πᾶσιν;

27 Διὰ τί οἱ ἄνθρωποι μόνοι τῶν ἄλλων ζῴων τὰ ὄμματα διαστρέφονται; πότερον διὰ τὸ ἐλάχιστον διάστημα εἶναι τῶν ὀμμάτων, καὶ ἐπ' εὐθείας, ὥστε εὔδηλον σφόδρα γίνεται τὸ μὴ κατωρθωμένον. ἢ διότι τῶν ἄλλων μονόχροα τὰ ὄμματά ἐςι μᾶλλον· εἰ δ' ἦν ἓν χρῶμά τι τῦ ὄμματος, ὐκ ἦν διαςροφή. ἢ διότι μόνοι ἐν τῷ γένει ἐπίληπτοι γίνονται τῶν ζῴων, ἡ δ' ἐπίληψις διαστροφὴν ποιεῖ, ὅταν γένηται, ὥσπερ καὶ τῶν ἄλλων μορίων· ἀλλ' ἐνίοις ὀψὲ παντελῶς γίνεται ἡ διαςροφή, ὅσοις τὸ ἀρρώςημα.

28 Διὰ τί πρὸς τὸν λύχνον καὶ πρὸς τὸν ἥλιον προςησάμενοι τὴν χεῖρα πρὸ τοῦ φωτὸς μᾶλλον ὁρῶμεν; ἢ ὅτι τὸ ἀπὸ τῦ ἡλίου καὶ λύχνου φῶς προσπῖπτον μὲν ἡμῶν πρὸς τὴν ὄψιν ἀσθενεςέραν ποιεῖ δι' ὑπερβολήν; φθείρει γὰρ αὐτὰ καὶ τὰ συγγενῆ τῇ ὑπερβολῇ. εἰρχθέντα δὲ ὑπὸ τῆς χειρὸς τὴν μὲν ὄψιν οὐ πημαίνει, τὸ δὲ ὁρώμενον ὁμοίως ἐςὶν ἐν φωτί. διὸ ἡ μὲν μᾶλλον ὁρᾷ, τὸ δὲ ὁρώμενον ὐδὲν ἧττον ὁρᾶται.

29 Διὰ τί χεὶρ μὲν καὶ τὺς διαφορὰν ἔχει πρὸς τὰ δεξιὰ τὰ ἀριςερά, ὄμμα δὲ καὶ ἀκοὴ οὔ; ἢ ὅτι τὰ ςοιχεῖα τὰ εἰλικρινῆ ἀδιάφορα, ἐν δὲ τοῖς ἐκ τῶν ςοιχείων ἡ διαφορά; αὗται δὲ αἱ αἰσθήσεις εἰσὶν ἐξ εἰλικρινῶν, ἡ μὲν ὄψις πυρός, ἡ δ' ἀκοὴ ἀέρος.

ΛΒ. ΟΣΑ ΠΕΡΙ ΩΤΑ.

Διὰ τί τὰ ὦτα ὄντα ἀναιμότατα τοῦ προσώπυ, ὅταν αἰσχύνωνται, ἐρυθριᾷ μάλιστα; πότερον ὅτι εἰς τὸ κενὸν μάλιςα πορεύεσθαι πέφυκε τὸ ἀλλότριον ὑγρόν, ὥςε ὅταν διαλυθῇ ὑπὸ τῆς θερμότητος, ἣ γίνεται αἰσχυνομένοις, συνέρχεται εἰς ταῦτα; ἢ διότι ἐπὶ τοῖς κροτάφοις ἐπίκεινται, εἰς οὓς τὸ ὑγρὸν ἀθροίζεται μάλιςα; αἰσχυνομένων δὲ εἰς τὸ πρόσωπον ἔρχεται ἡ ὑγρότης· διὸ καὶ ἐρυθριῶσιν. τῦ δὲ προσώπυ ἥκιςα βάθος ἔχει τὰ ὦτα· καὶ φύσει θερμότατα καὶ εὔχροα, ἐὰν μὴ ἀπηρτημένα πόρρωθεν ᾖ τῷ ψύχει. διὸ καὶ εὐχρύςατον τῶν ἐν τῷ προσώπῳ μορίων. ὥςε ὅταν σκεδασθῇ ἡ θερμότης, μάλιςα ἐπιπολῆς ὖσα ἐν τύτοις ποιεῖ ἐρυθριᾶν.

2 Διὰ τί τὰ ὦτα ἐν τῇ θαλάττῃ ῥήγνυται τοῖς κολυμβῶσιν; πότερον διὰ τὸ κατέχειν τὸ πνεῦμα πληρύμενον βιάζεται; ἢ εἰ τῦτ' αἴτιον, ἔδει καὶ ἐν τῷ ἀέρι. ἢ ὅτι μὴ ὑπεῖκον διακόπτεται θᾶττον, καὶ ἀπὸ σκληροτέρυ ἢ μαλακοῦ; τὸ ὖν πεφυσημένον ἧττον ὑπείκει. τὰ δὲ ὦτα, ὥσπερ εἴρηται, ὑπὸ τοῦ κατέχεσθαι τὸ πνεῦμα ἐμφυσᾶται, ὥστε τὸ ὕδωρ, σκληρότερον ὂν τῦ ἀέρος, προσπῖπτον διακόπτει.

3 Διὰ τί οἱ κολυμβηταὶ σπόγγους περὶ τὰ ὦτα καταδοῦνται; ἢ ἵνα ἡ θάλαττα βίᾳ ἰοῦσα μὴ ῥηγνύῃ τὰ ὦτα. ὕτω μὲν γὰρ ὐ γίνεται, ὥσπερ ἀφῃρημένων, πλήρη.

4 Διὰ τί ὁ ἐν τοῖς ὠσὶ ῥύπος πικρός ἐςιν; ἢ διότι ἱδρώς ἐςι σαπρός; ἔςιν οὖν ἁλμυρὸν σαπρόν. τὸ δὲ σαπρὸν ἁλμυρὸν πικρόν.

5 Διὰ τί οἱ σπογγεῖς διατέμνονται τὰ ὦτα καὶ τοὺς μυκτῆρας; ἢ ὅπως εὐπνύςεροι ὦσι; ταύτῃ γὰρ ἐξιέναι δοκεῖ τὸ πνεῦμα. ἀνατέμνουσι δὲ καὶ τὸν τόπον καὶ πρὸς εὔπνοιαν· πονεῖν γὰρ δή φασι μᾶλλον αὐτοὺς ἐν τῇ δυσπνοίᾳ, τῷ μὴ δύνασθαι προΐεσθαι θύραζε· ὅταν δὲ ὥσπερ ἐξεράσωσι, κυφίζονται. ἄτοπον ὖν εἰ μὴ δύνανται τυγχάνειν ἀναπνοῆς καταψύξεως χάριν· ἀλλ' ἔοικε τοῦτο ἀναγκαιότερον εἶναι. ἢ εὐλόγως ὁ πόνος πλείων κατεχόντων, ἐγκυμένων καὶ διατεινομένων; φαίνεται δὲ καὶ αὐτόματός τις εἶναι φορὰ τοῦ πνεύματος ἔξω· εἰ δὲ καὶ εἴσω, σκεπτέον. ἔοικε δέ· ὁμοίως γὰρ ἀναπνοὴν ποιοῦσι τοῖς κολυμβηταῖς λέβητα καταφέντες. οὐ πίμπλαται γὰρ οὗτος τῦ ὕδατος, ἀλλὰ τηρεῖ τὸν ἀέρα. μετὰ βίας γὰρ ἡ κάθεσις. ἐὰν γὰρ ὁτιῦν παρεγκλιθὲν εἰσρεῖ.

Διὰ τί ἔνιοι τὰ ὦτα σκαλεύοντες βήττυσιν; ἢ ὅτι ἐκ τῦ αὐτῦ πόρυ τῷ πνεύμονι καὶ τῇ ἀρτηρίᾳ ἡ ἀκοή; σημεῖον δέ, ὅτι ἀναπηρῦνται καὶ γίνονται ἐνεοί. θερμαινομένυ ὑπὸ τῆς τρίψει συντήκεται ἐπὶ τὴν ἀρτηρίαν ἀπὸ τοῦ πόνυ κάτωθεν ὑγρόν· ὃ ποιεῖ τὴν βῆχα.

Διὰ τί τὸ ἀριςερὸν οὖς θᾶττον συμφύεται ὡς ἐπὶ τὸ

1. ἀδύνατόν X^a. ‖ 4. καὶ] ἢ Y^a. ‖ 7. ἐπιβάλλει om t. ‖ 10. ἢ post μόνον om Y^a. ‖ 13. διαστρέφεται t. ‖ 14. εἶναι] εἶεν t. ‖ 21. προςαμένοι t. ‖ 25. καὶ τὰ om t. ‖ δὲ om Y^at. ‖ 29. τὰ om Y^av. ‖ 30. ὄμματα X^a. ‖ 31. διάφορα t. ‖ 39. ἢ X^a.

3. θερμότητα X^at. ‖ 6. τύτους Y^a. ‖ 7. ἐρυθρά $X^a Y^a$t. ‖ 18. ὁ ἱδρώς codices. ‖ 23. καὶ om t. ‖ τῶν τόπων Y^arsu, τὸν τόπον t. ‖ 31. γὰρ om $X^a Y^a$t. ‖ 34. παρεγκλιθῇ Y^at. ‖ 37. ἀναπληρῦνται Y^a. ‖ ἐνεοί t.

5 Διὰ τί λύγγα παύει πταρμὸς καὶ πνεύματος ἐπίσχεσις καὶ ὄξος; ἢ ὅτι ὁ μὲν πταρμός, διότι ἀντιπερίστασίς ἐστι τοῦ κάτω πνεύματος, ὥσπερ αἱ ἄνω φαρμακεῖαι πρὸς τὴν κάτω κοιλίαν; ἡ δὲ ἀπνευστία τὰς ἀσθενεῖς λύγγας, ὅτι ἡ μικρὰ ὁρμὴ τοῦ πνεύματος ἡ ἀνιοῦσα, ὥσπερ περὶ τὴν βῆχα, ἐάν τις κατάσχῃ, παύεται, οὕτω καὶ ἐνταῦθα καὶ κατέσπασε καὶ κατέπνιξε καὶ συναπεβιάσατο. τὸ δὲ ὄξος παύει, ὅτι τὸ περιεστὸς ὑγρὸν καὶ κωλῦον ἀπερυγεῖν ἐπνευμάτωσε τῇ θερμασίᾳ. ἐστι γὰρ ἐρυγμὸς μέν, ὅταν πνευματωθῇ τὸ ἐν τῇ ἄνω κοιλίᾳ ὑγρὸν καὶ πεφθῇ, ἡ δὲ λύγξ, ὅταν ὑπὸ ὑγροῦ κατέχηται πνεῦμα περιττὸν περὶ τὸν πνευματικὸν τόπον. τοῦτο γὰρ ὁρμῶν καὶ μὴ δυνάμενον διακόψαι σπασμὸν ποιεῖ, ὁ δὲ σπασμὸς οὗτος καλεῖται λύγξ. καὶ διὰ τοῦτο ῥιγώσαντας λὺγξ λαμβάνει, ὅτι τὸ ψῦχος τὸ ὑγρὸν ποιεῖ συστὰν ἐκ τοῦ πνεύματος ἔτι· περιλαμβανόμενον δὲ τὸ ἄλλο πηδᾷ· οὗ ἡ κίνησις λυγμός ἐστιν.

6 Διὰ τί ἐνίοις ὕδωρ ψυχρὸν προσχέομεν [καὶ] πρὸς τὸ πρόσωπον, ἡνίκα αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων; ἢ ἀντιπεριίσταται εἴσω τὸ θερμόν; ἂν οὖν ἐπιπολῆς τύχῃ αἷμα, ἐξυγραίνει μᾶλλον.

7 Διὰ τί τὸν μὲν πταρμὸν θεὸν ἡγούμεθα εἶναι, τὴν δὲ βῆχα ἢ τὴν κόρυζαν οὔ; ἢ διότι ἐκ τοῦ θειοτάτου τῶν περὶ ἡμᾶς τῆς κεφαλῆς, ὅθεν ὁ λογισμός ἐστι, γίνεται; ἢ ὅτι τὰ μὲν ἄλλα ἀπὸ νοσούντων γίνεται, τοῦτο δὲ οὔ;

8 Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; ἢ ὅτι ἀνάπνοια ταύτῃ γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τρῖψιν, ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγρότητος. ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος, ὁ δὲ ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί. διὰ ταῦτα δὲ κἄν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.

9 Διὰ τί τῶν μὲν ἄλλων πνευμάτων αἱ ἔξοδοι, οἷον φύσης καὶ ἐρυγμοῦ, οὐχ ἱεραί, ἡ δὲ τοῦ πταρμοῦ ἱερά; πότερον ὅτι τριῶν τόπων ὄντων, κεφαλῆς καὶ θώρακος καὶ τῆς κάτω κοιλίας, ἡ κεφαλὴ θειότατον; ἔστι δὲ φῦσα μὲν ἀπὸ τῆς κάτω κοιλίας πνεῦμα, ἐρυγμὸς δὲ τῆς ἄνω, ὁ δὲ πταρμὸς τῆς κεφαλῆς. διὰ τὸ ἱερώτατον οὖν εἶναι τὸν τόπον καὶ τὸ πνεῦμα τὸ ἐντεῦθεν ὡς ἱερὸν προσκυνοῦσιν. ἢ ὅτι ἅπαντα τὰ πνεύματα σημαίνει τοὺς εἰρημένους τόπους βέλτιον ἔχειν ὡς ἐπὶ τὸ πολύ; μὴ διαχωρούντων γὰρ κουφίζει τὸ πνεῦμα διεξιόν, ὥστε καὶ ὁ πταρμὸς τὸν περὶ τὴν κεφαλὴν τόπον, ὅτι ὑγιαίνει καὶ δύναται πέττειν. ὅταν γὰρ κρατήσῃ ἡ ἐν τῇ κεφαλῇ θερμότης τὴν ὑγρότητα, τὸ πνεῦμα τότε γίνεται πταρμός. διὸ καὶ τοὺς ἐκθνήσκοντας κινοῦσι πταρμικῷ, ὡς ἐὰν μὴ τούτῳ δύνωνται πάσχειν, ἀσώτους ὄντας. ὥστε ὡς σημεῖον ὑγείας τοῦ ἀρρώστου καὶ ἱερωτάτου τόπου προσκυνοῦσιν ὡς ἱερόν, καὶ φήμην ἀγαθὴν ποιοῦνται.

Διὰ τί ἄνθρωπος πτάρνυται μάλιστα τῶν ἄλλων ζῴων; 10 πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει, δι' ὧν τὸ πνεῦμα καὶ ἡ ῥύμη εἰσέρχεται; τούτοις γὰρ πληρουμένοις πνεύματος πτάρνυται. ὅτι δ' εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ζῴων. ἀκριβέστεροι δὲ οἱ λεπτοὶ πόροι. εἰ οὖν εἰς μὲν τοὺς εὐρεῖς πλεῖον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου ὁ πταρμὸς γίνεται, τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνυντο εἰκότως, ὅσοις ἐλάχιστοι οἱ μυκτῆρες, ὥστε τὸ θερμανθὲν ὑγρὸν ταχὺ ἐξιέναι δύναται πνεῦμα γενόμενον· ἐν δὲ τοῖς ἄλλοις διὰ μῆκος καταψύχεται πρότερον.

Διὰ τί οἱ μὲν ἀπὸ μέσων νυκτῶν ἄχρι μέσης ἡμέρας 11 οὐκ ἀγαθοὶ πταρμοί, οἱ δὲ ἀπὸ μέσης ἡμέρας ἄχρι μέσων νυκτῶν; ἢ ὅτι ο μὲν πταρμὸς μᾶλλον δοκεῖ ἐπισχεῖν τοὺς ἀρχομένους καὶ ἐν τῇ ἀρχῇ; διὸ ὅταν μέλλωσιν ἀρχομένοις συμβῆναι, μάλιστα ἀποτρεπόμεθα τοῦ πράττειν. ἡ μὲν οὖν ἠὼς καὶ τὸ ἀπὸ μέσων νυκτῶν οἷον ἀρχή τις· διὸ εὐλαβούμεθα πτάρειν, μὴ κωλύσωμεν ὡρμημένον. πρὸς δείλης δὲ καὶ ἐπὶ μέσας νύκτας οἷον τελευτή τις καὶ ἐναντίον ἐκείνῃ, ὥστε ἐν τῷ ἐναντίῳ ταὐτὸν αἱρετέον.

Διὰ τί οἱ πρεσβῦται χαλεπῶς πτάρνυνται; πότερον οἱ 12 πόροι συμπεπτώκασι δι' ὧν τὸ πνεῦμα; ἢ ὅτι αἴρειν τὰ ἄνω οὐκέτι δυνάμενοι ῥᾳδίως, εἶτα βίᾳ ἀφιᾶσι κάτω;

Διὰ τί, ἐάν τις ἀπνευστιάζῃ, ἡ λὺγξ παύεται; ἢ διότι 13 ἡ μὲν ὑπὸ καταψύξεως γίνεται (διὸ καὶ οἱ φοβούμενοι καὶ οἱ ῥιγοῦντες λύζουσιν), κατεχόμενον δὲ τὸ πνεῦμα ἐκθερμαίνει τὸν ἐντὸς τόπον;

Διὰ τί οἱ κωφοὶ ἐκ τῶν μυκτήρων διαλέγονται ὡς ἐπὶ 14 τὸ πολύ; ἢ ὅτι ὁ πνεύμων ἐστὶ τούτοις πεπονηκώς; τοῦτο γάρ ἐστιν ἡ κωφότης, πλήρωσις τοῦ τόπου τοῦ πνευμονικοῦ. οὐκέτι ῥᾳδίως ἡ φωνὴ φέρεται, ἀλλ' ὥσπερ τὸ πνεῦμα τῶν πνευστιώντων ἢ ἀσθμαινόντων δι' ἀδυναμίαν ἀθρόον, οὕτως [illegible] ἡ φωνή. βιάζεται οὖν καὶ διὰ τῶν μυκτήρων. βιαζομένη

1. πταρμὴ *t*. ‖ 2. ὅτι om *Y*ᵃ. ‖ ἔτι *Y*ᵃ*t*. ‖ 4. τοὺς *Y*ᵃ. ‖ 15. συνιστὰν *Y*ᵃ. ‖ 21. μὲν om *t*. ‖ 30. δὴ *Y*ᵃ.
2. πέττει *X*ᵃ. ‖ 8. τί ὁ ἄνθρωπος μᾶλλον πτάρνυται τῶν ἀλόγων ζῴων *y*. ‖ 11. τῶν ἄλλων ζῴων *y*. ‖ 12. γὰρ οἱ λεπτοπόροι *y*. ‖ 21. οὖν om *y*. ‖ 15. ἔχοντες *y*. ‖ ὅσοις] ἢ ὅτι *y*. ‖ 17. δύνασθαι *y*. ‖ 20. μέσου *Y*ᵃ*t*. ‖ 23. οὖν] οὖν καὶ ἠὼς *X*ᵃ*Y*ᵃ*t*. ‖ 31. λύγγα *Y*ᵃ. ‖ 32. ἡ μὲν om *Y*ᵃ. ‖ 33. δὲ] καὶ *t*. ‖ 37. κουφότης *X*ᵃ. ‖ 39. ἐκείνως *X*ᵃ*Y*ᵃ.

δὲ τῇ τρίψει ποιεῖ τὸν ἦχον. ἔστι γὰρ ἡ διὰ τῶν ῥινῶν διάλεκτος γινομένη, ὅταν τὸ ἄνω τῆς ῥινὸς εἰς τὸν οὐρανόν, ᾗ συντέτρηται, κοῖλον γένηται· ὥσπερ κώδων γὰρ ὑπηχεῖ, τοῦ κάτωθεν στενοῦ ὄντος.

15 Διὰ τί μόνον ὁ πταρμὸς ἡμῖν καθεύδουσιν οὐ γίνεται, ἀλλ' ὡς εἰπεῖν ἅπαντα ἐγρηγορόσιν; ἢ ὅτι ὁ μὲν πταρμὸς γίνεται καὶ ὑπὸ θερμοῦ τινὸς κινήσαντος τὸν τόπον τοῦτον ἀφ' οὗ γίνεται· διὸ καὶ ἀνακύπτομεν πρὸς τὸν ἥλιον, ὅταν βουλώμεθα πτάρειν· ὅτι καθευδόντων ἡμῶν ἀντιπεριίσταται τὸ θερμὸν ἐντός. διὸ καὶ γίνεται τὰ κάτω θερμὰ τῶν καθευδόντων, καὶ τὸ πνεῦμα τὸ πολὺ αἴτιόν ἐστι τοῦ ἐξονειρώττειν ἡμᾶς. εἰκότως οὖν οὐ πταρνύμεθα· ἀπαλλαγέντος γὰρ τοῦ θερμοῦ τοῦ ἐκ τῆς κεφαλῆς, ὃ κινεῖν πέφυκε τὸ ἐνταῦθα ὑγρόν, οὗ ἐξαερουμένου γίνεται ὁ πταρμός, καὶ τὸ συμβαῖνον πάθος εἰκὸς μὴ γίνεσθαι. ἀποψοφοῦσι δὲ μᾶλλον ἢ πτάρνυνται, καὶ ἐρεύγονται καθεύδοντες ἢ ἐγρηγορότες, ὅτι ἐκθερμαινομένου τοῦ περὶ τὴν κοιλίαν τόπου ἐν τοῖς ὕπνοις μᾶλλον ἐκπνευματοῦσθαι συμβαίνει τὰ περὶ αὐτὴν ὑγρά, πνευματούμενα δὲ εἰς τοὺς ἔγγιστα τόπους φέρεσθαι. ἐνταῦθα γὰρ καὶ συναπωθεῖται ὑπὸ τοῦ ἐν τῷ ὕπνῳ γινομένου πνεύματος. καθεκτικώτερος γάρ ἐστιν ἢ προετικώτερος ὁ καθεύδων τοῦ πνεύματος, διὸ καὶ συστέλλει τὸ θερμὸν ἐντός. ὁ δὲ κατέχων τὸ πνεῦμα ὠθεῖ κάτω αὐτό· παρὰ φύσιν γάρ ἐστι τῷ πνεύματι ἡ κάτω φορά, διὸ καὶ χαλεπόν ἐστι κατέχειν τὸ πνεῦμα. τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ καθεύδειν ἡμῖν ἐστίν. οὔσης γὰρ τῆς ἐγρηγόρσεως κινήσεως, ταύτης δ' ἐν τοῖς αἰσθητηρίοις ἡμῶν γινομένης μάλιστα ἐν τῷ ἐγρηγορέναι ἡμᾶς, δῆλον ὡς καὶ ἠρεμούντων ἡμῶν καθεύδοιμεν ἄν. ἐπεὶ δὲ τὸ μὲν πῦρ κινητικόν ἐστι τῶν ἐν ἡμῖν μορίων, τοῦτο δ' ἐν τῷ ὕπνῳ ἐντὸς περιίσταται, λιπὸν τὸν περὶ τὴν κεφαλὴν τόπον οὗ ἐστὶ τὸ αἰσθητήριον, ἠρεμοίη ἂν μάλιστα ἡμῶν τότε τὰ αἰσθητήρια· ὃ εἴη ἂν αἴτιον τοῦ καθεύδειν.

16 Διὰ τί πτάραντες καὶ οὐρήσαντες φρίττουσιν; ἢ ὅτι κενοῦνται αἱ φλέβες ἀμφοτέροις τούτοις τοῦ πρότερον ἐνυπάρχοντος ἀέρος θερμοῦ, κενωθέντων δὲ ἄλλος ἀὴρ ἔξωθεν εἰσέρχεται ψυχρότερος τοῦ προϋπάρχοντος ἐν ταῖς φλεψίν· τοιοῦτος δ' εἰσιὼν ποιεῖ φρίττειν.

17 Διὰ τί τοὺς λυγμοὺς οἱ πταρμοὶ παύουσιν; ἢ ὅτι ὁ λυγμὸς οὐχ ὥσπερ οἱ ἐρυγμοὶ ἀπὸ τῆς τὰ σιτία δεχομένης κοιλίας ἐστὶν ἀλλ' ἀπὸ τοῦ πνεύματος, συμβαίνει δὲ μάλιστα ἀπὸ καταψύξεως ἐκ ῥίγους καὶ λύπης καὶ φαρμακείας τῆς ἄνω μάλιστα γίνεσθαι. θερμὸς γὰρ ὢν φύσει ὁ τόπος, ὅταν καταψυχθῇ, οὐ προσίεται τὸ πνεῦμα πᾶν, ἀλλ' ὥσπερ πομφόλυγας ποιεῖ· διὸ καὶ τὸ πνεῦμα κατασχοῦσι παύεται (ἐκθερμαίνεται γὰρ ὁ τόπος), καὶ τὸ ὄξος, θερμαντικὸν ὄν, προσφερόμενον. τοῦ δὴ θερμοῦ συμβαίνοντος ἀπὸ θερμασίας καὶ τοῦ ἐγκεφάλου, τῶν ἄνω τόπων εἰς τὸν πνεύμονα συντετρημένων, θερμοῦ τοῦ πνεύμονος ὄντος, ἥ τε πρὸ τοῦ πταρμοῦ κατοχὴ καὶ ἡ ἄνωθεν κατάκρουσις λύει τὸ πάθος.

Διὰ τί οἱ οὐλότριχες, καὶ οἷς ἐπέστραπται τὸ τρίχιον, 18
ὡς ἐπὶ τὸ πολὺ σιμότεροι; ἢ εἴπερ ἡ οὐλότης ἐν παχύτητι, ἡ δὲ παχύτης μετὰ σκληρότητος, σκληρὸν δ' ὂν τὸ αἷμα θερμόν, ἡ δὲ θερμότης οὐ ποιεῖ περίττωσιν, τὸ δὲ ὀστοῦν ἐκ περιττώματος, ὁ δὲ χόνδρος ὀστοῦν, εὐλόγως ἂν ἔκλειψις εἴη τοῦ μορίου; σημεῖον δὲ τὸ τὰ παιδία πάντα εἶναι σιμά.

ΛΔ. ΟΣΑ ΠΕΡΙ ΤΟ ΣΤΟΜΑ ΚΑΙ ΤΑ ΕΝ ΑΥΤΩ.

Διὰ τί οἱ μανοὺς ἔχοντες τοὺς ὀδόντας οὐ μακρόβιοι; ἢ ὅτι τὰ μακρόβια πλείους ἔχουσιν, οἷον τὰ ἄρσενα τῶν θηλειῶν, ἄνδρες γυναικῶν, πρόβατα προβάτων. οἱ οὖν ἀραιώδοντες ὥσπερ ἂν ἐλάττονας ἔχουσιν ὀδόντας ἐοίκασιν.

Διὰ τί οἱ ὀδόντες ἰσχυρότεροι τῶν σαρκῶν ὄντες ὅμως 2
τοῦ ψυχροῦ αἰσθάνονται μᾶλλον; ἢ ὅτι ἐπὶ τοὺς πόρους προσπεφύκασιν, ἐν οἷς ὀλίγον ὂν τὸ θερμὸν ταχὺ ὑπὸ τοῦ ψυχροῦ κρατούμενον ποιεῖ τὴν ἀλγηδόνα;

Διὰ τί τοῦ ψυχροῦ μᾶλλον αἰσθάνονται οἱ ὀδόντες ἢ 3
τοῦ θερμοῦ, ἡ δὲ σὰρξ τοὐναντίον; πότερον ὅτι ἡ μὲν σὰρξ τοῦ μέσου καὶ εὔκρατος, οἱ δὲ ὀδόντες ψυχροί, ὥστε τοῦ ἐναντίου μᾶλλον αἰσθητικοί; ἢ διότι λεπτῶν πόρων εἰσίν, ἐν οἷς μικρὸν τὸ θερμόν, ὥστε ταχὺ πάσχουσιν ὑπὸ τοῦ ἐναντίου; ἡ δὲ σὰρξ θερμόν, ὥστε οὐδὲν πάσχει ὑπὸ τοῦ ψυχροῦ, τοῦ δὲ θερμοῦ ταχὺ αἰσθάνεται· ὥσπερ γὰρ πῦρ ἐπὶ πυρὶ γίνεται.

Διὰ τί ἡ γλῶττα σημαντικὸν πολλῶν; καὶ γὰρ τῶν 4
πυρετῶν ἐν τοῖς ὀξέσι νοσήμασι, καὶ ἐὰν χάλαζαι ἐνῶσιν· καὶ τῶν ποικίλων προβάτων ποικίλαι. ἢ ὅτι ὑγρότητος δεκτικόν, καὶ ἐπὶ τῷ πνεύμονι ἐπίκειται, οὗ ἡ ἀρχὴ ἐπὶ τῶν πυρετῶν. πολύχροα δὲ πάντα διὰ τὴν πολυχροίαν τῶν ὑγρῶν· βάπτεται δὲ πρῶτον δι' οὗ πρῶτον ἠθεῖται· ἡ δὲ γλῶττα τοιοῦτον. αἵ τε χάλαζαι δια τὸ σομφὴν εἶναι συλλέγονται· ἔστι γὰρ ἡ χάλαζα οἱονεὶ ἴονθος ἄπεπτος ἐν τοῖς ἐντός.

2. εὐρανίσκον $X^a t$. ‖ 11. τὸ alterum om $X^a t$. ‖ 14. ἐξαιρουμένου codices. ‖ 20. συναθεῖται X^a. ‖ 21. προσεκτικώτερος $Y^a r t u$. ‖ 25. αὐτὸ δ' $X^a t$. ‖ 30. λεῖπον Y^a. ‖ 34. προτέρου codices. ‖ 39. περ om t. ‖ 40. εἰσὶν $X^a Y^a t$.

3. πομπόλυγας Y^a. ‖ 10. οὐλότριχοι X^a. ‖ 14. δὲ om t. ‖ 20. ἀραιοὶ ὀδόντες codices. ‖ 21. ἔχωσιν $X^a u$. ‖ 23. πεφύκασιν u. ‖ 31. θερμὴ Y^a. ‖ 33. αἱ γλῶτται Y^a. ‖ 34. ἐν] καὶ ἐν u, καὶ γὰρ $X^a Y^a$. ‖ 36. πνεύμονι om u. ‖ οὗ] ὧν u. ‖ 40. ὄνθος $X^a Y^a t$.

5 Διὰ τί ἡ γλῶττα γλυκεῖα μὲν οὐ γίνεται, πικρὰ δὲ καὶ ἁλμυρὰ καὶ ὀξεῖα; ἢ ὅτι διαφθοραὶ ταῦτ' ἐςί, τῆς δὲ φύσεως ὐκ αἰσθάνεται;

6 Διὰ τί, ὅσας ἂν χρόας ἔχῃ τὸ δέρμα, τοσαύτας ἔχει καὶ ἡ γλῶττα; πότερον ὅτι ἐν μέρος ἐστὶν ὥσπερ ἄλλο τι τῶν ἔξωθεν, ἀλλ' ἐντὸς περιείληπται; διὰ δὲ τὸ λεπτὸν εἶναι ταύτῃ τὸ δέρμα καὶ ἡ μικρὰ ποικιλία ἐμφαίνεται. ἢ διότι τὸ ὕδωρ ἐςὶν ὃ ποιεῖ μεταβάλλειν τὰς χρόας; ἡ δὲ γλῶττα μάλιςα πάσχει ὑπὸ τῦ πόματος.

7 Διὰ τί ἐκ τῦ ςόματος καὶ θερμὸν καὶ ψυχρὸν πνέυσιν; φυσῶσι μὲν γὰρ ψυχρόν, ἀάζουσι δὲ θερμόν. σημεῖον δὲ ὅτι θερμαίνει, ἐὰν πλησίον προσάγῃ τις τὴν χεῖρα τοῦ στόματος. ἢ ἀμφοτέρως ὁ ἀὴρ κινούμενος ψυχρός· ὁ δὲ φυσῶν κινεῖ τὸν ἀέρα ὐκ ἀθρόως, ἀλλὰ διὰ ςενῦ τῦ ςόματος· ὀλίγον ὖν ἐκπνέων πολὺν κινεῖ τὸν θύραθεν, ἐν ᾧ τὸ θερμὸν ὂν τὸ ἐκ τῦ ςόματος ὐ φαίνεται δι' ὀλιγότητα. ὁ δὲ ἀάζων ἀθρόον ἐκπνεῖ· διὸ θερμόν. ἔςι γὰρ φυσασμοῦ τῷ διαφέρειν τῇ συςροφῇ· ὁ δ' ἀασμὸς ἀθρόυ ἔκπνευσις.

8 Διὰ τί, ἐὰν σφόδρα καὶ ἀθρόον ἐκπνεύσωσιν, ἀδυνατῦσι πάλιν ἐκπνεῦσαι; ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῦ ἀναπνεῦσαι· ἀδυνατῦσι γὰρ δὶς ἐφεξῆς ποιεῖν αὐτό. ἢ ὅτι τὸ μὲν δίωσίς τίς ἐστι, τὸ δὲ συναγωγὴ τόπου· ἃ ἄχρι τινός ἐστι δυνατὰ γίνεσθαι. φανερὸν οὖν ὅτι ἐναλλὰξ ἀνάγκη ἄμφω γίνεσθαι, καὶ ἀδύνατον δὶς ἐφεξῆς.

9 Διὰ τί ἑτέρυ τόπυ ὄντος ᾗ τὰ σῖτα καὶ τὸ ποτὸν διεξέρχεται καὶ ᾗ ἀναπνέομεν, ἐὰν μείζω ψωμὸν καταπίωμεν, πνιγόμεθα; ὐδὲν δὴ ἄτοπον· ὐ γὰρ μόνον ἐάν τι ἐμπέσῃ εἰς τὸν τόπον τῦτον, ἀλλὰ κἂν ἔτι φραχθῇ, ὕτω μᾶλλον πνιγόμεθα. ταῦτα δὲ παράλληλά ἐστι, καθ' ὅ τε τὰ σιτία δεχόμεθα καὶ καθ' ὃ ἀναπνέομεν. ὅταν οὖν ἐμπέσῃ μείζων ψωμός, καὶ ἡ ἀναπνοὴ συμφράττει, ὥςε μὴ εἶναι τῷ πνεύματι ἔξοδον.

10 Διὰ τί, ὅσοι τὴν διὰ χειρὸς τομὴν ἔχυσι δι' ὅλης, μακροβιώτατοι; ἢ διότι τὰ ἄναρθρα βραχύβια καὶ ἀσθενῆ; σημεῖον δὲ τῆς μὲν ἀσθενείας τὰ νέα, τῆς δὲ βραχυβιότητος τὰ ἔνυγρα. δῆλον ἄρα ὅτι τὰ ἠρθρωμένα τὐναντίον. τοιαῦτα δέ, ὧν καὶ τὰ φύσει ἄναρθρα μάλιστα ἤρθρωται. τῆς δὲ χειρὸς τὸ ἔσω ἀναρθρότατον.

11 Διὰ τί ἐν τῷ μακρὸν ἀναπνεῖν ἑλκόντων μὲν εἴσω τὸ πνεῦμα συμπίπτει ἡ κοιλία, ἐκπνεόντων δὲ πληρῦται; πιθανὸν δ' ἐςὶ τὐναντίον συμβαίνειν. ἢ ὅτι τῶν μὲν ἀναπνεόντων συμπιεζυμένη ταῖς πλευραῖς κάτω, καθάπερ αἱ φῦσαι, προσογκεῖν φαίνεται;

Διὰ τί ἀναπνέομεν; ἢ καθάπερ τὸ ὑγρὸν εἰς πνεῦμα διαλύεται, ὕτω καὶ τὸ πνεῦμα εἰς τὸ πῦρ; τὸ τῆς φύσεως ὖν θερμὸν ὅταν τὸ πολὺ τῦ πνεύματος πῦρ ποιήσῃ, ἀλγηδόνα ἐμποιεῖ, τοῖς δὲ πόροις καὶ ὄγκον· διόπερ ἐξωθοῦμεν τὸ πῦρ μετὰ τῦ πνεύματος. ὅταν δὲ ἐξέλθῃ τὸ πνεῦμα καὶ τὸ πῦρ, συμπιπτόντων τῶν πόρων καὶ καταψυχομένων ἀλγηδόνες γίνονται· ἕλκομεν ὖν τὸ πνεῦμα πάλιν. εἶτα ἀνοίξαντες τοῦ σώματος τὺς πόρυς καὶ βοηθήσαντες, πάλιν γίνεται τὸ πῦρ, καὶ πάλιν ἀλγῦντες ἐκπέμπομεν, καὶ διὰ τέλυς τῦτο πράττομεν, καθάπερ καὶ σκαρδαμύσσομεν κατὰ τὸ καταψύχεσθαι τὸ περὶ τὸν ὀφθαλμὸν σῶμα καὶ ξηραίνεσθαι. καὶ βαδίζομεν ὖν προσέχοντες τῇ βαδίσει τὸν νοῦν, κυβερνωμένης δὲ τῆς διανοίας αὐτοῖς.... τοῦτον οὖν τὸν τρόπον καὶ τὰ περὶ τὴν ἀναπνοὴν ποιοῦμεν· μηχανώμεθα γὰρ τὸν ἀέρα ἕλκειν ἀναπνέομεν, καὶ πάλιν ἕλκομεν.

ΛΕ. ΟΣΑ ΠΕΡΙ ΤΑ ΥΠΟ ΤΗΝ ΑΦΗΝ.

Διὰ τί μᾶλλον φρίττομεν ἑτέρυ θιγόντος πως ἢ αὐτοὶ ἡμῶν; ἢ ὅτι αἰσθητικωτέρα ἡ ἁφὴ τοῦ ἀλλοτρίου ἢ ἡ τοῦ οἰκείου; τὸ γὰρ συμφυὲς ἀναίσθητον. καὶ φοβερώτερον τὸ λάθρᾳ καὶ ἐξαπιναίως γινόμενον, ὁ δὲ φόβος κατάψυξις· ἡ δὲ ἀλλοτρία ἁφὴ πρὸς τὴν οἰκείαν ἄμφω ταῦτα ἔχει. καὶ ὅλως δὲ παθητικὸν ἕκαςον πέφυκεν ἢ μᾶλλον ἢ μόνον ὑπ' ἄλλου ἢ ὑφ' αὐτοῦ, οἷον καὶ ἐπὶ τοῦ γαργαλίζεσθαι συμβαίνει.

Διὰ τί γαργαλίζονται τὰς μασχάλας καὶ τὰ ὑπὸ τῶν ποδῶν; ἢ διὰ τὴν λεπτότητα τοῦ δέρματος; καὶ ὖν ἀσυνήθης ἡ ἁφή, οἷον τύτων καὶ τῦ ὠτός;

Διὰ τί φρίττυσιν ὐκ ἐπὶ τοῖς αὐτοῖς πάντες; ἢ ὅτι ὐδ' ἐπὶ τοῖς αὐτοῖς πάντες ἡδόμεθα, ὥσπερ οὐδὲ λυπύμεθα ἐπὶ τοῖς αὐτοῖς πάντες; ὁμοίως δὴ ὐ φρίττομεν ἐπὶ τοῖς αὐτοῖς· ἔςι γὰρ ἡ αὐτὴ κατάψυξίς τις. διὸ οἱ μὲν τῦ ἱματίυ διαιρυμένυ φρίττυσιν, οἱ δὲ πρίονος ἀκονυμένυ ἢ ἑλκομένου, οἱ δὲ κισήρεως τεμνομένης, οἱ δὲ ὄνυ λίθον ἀλῦντος.

Διὰ τί τῦ μὲν θέρυς ὄντος θερμῦ, τῦ δὲ χειμῶνος ψυ-

12. προσαγάγη τις τοῦ στόματος τὴν χεῖρα. ἀμφοτέρως Y^a. ‖ 15. πολὺ codices. ‖ τὸ $X^a t$. ‖ 22. τίς om Y^a. ‖ ἃ om $X^a Y^b u$. ‖ 26. ᾗ om Y^a. ‖ ζωμὸν et 31. ζωμὸς u. ‖ 27. τις $X^a Y^a u$. ‖ 31. ἀναπνεομένη Y^a.

3. συμπιεζομένη $X^a u$. ‖ 4. προογκεῖν Y^a. ‖ 6. καὶ om Y^a. ‖ 12. πνεύματος $X^a Y^a$. ‖ βοήσαντες $X^a Y^a u$. ‖ 15. πυρὶ u. ‖ 16. προσχόντες $X^a u$. ‖ 27. μόνον ἐςὶν ὑπ' Y^a. ‖ 28. ὑφ' om $X^a Y^a u$. ‖ 33. ὐδ] ὐτ' codices. ‖ 35. δὲ $X^a u$. ‖ φρ. ἂν ἐπὶ $X^a Y^a$. ‖ 37. ἢ ἑλκομένου om u. ‖ 38. κισσήρεως $X^a u$.

ὰ σώματα θιγγανόντων ψυχεινότερά ἐστι τοῦ θέρους ἢ ῶνος; πότερον ὅτι ὁ ἱδρὼς καὶ ἡ ἴδισις καταψύχει ατα, τοῦτο δ' ἐν μὲν τῷ θέρει γίνεται, ἐν δὲ τῷ ὔ. ἢ ὅτι ἀντιπεριίσταται ἐναντίως τὸ ψυχρὸν καὶ ὸν τῇ ὥρᾳ, καὶ ἔσω φεύγει ἐν τῷ θέρει, διὸ καὶ ἀνίησιν· ἐν δὲ τῷ χειμῶνι ἀποστέγει τὸ ψῦχος καὶ τὸ σῶμα ὥσπερ ἡ γῆ;

ιὰ τί φρίττουσιν αἱ τρίχες ἐν τῷ δέρματι; ἢ ὅταν ι τὸ δέρμα, εἰκότως ἐξανέστησαν; συσπῶσι δὲ καὶ ως καὶ ὑπ' ἄλλων παθῶν.

ὰ τί αὐτὸς αὑτὸν οὐθεὶς γαργαλίζει; ἢ ὅτι καὶ ου ἧττον, ἐὰν προαίσθηται, μᾶλλον δ', ἂν μὴ ὁρᾷ; ιστα γαργαλισθήσεται, ὅταν μὴ λανθάνῃ τοῦτο πά- ἔστι δὲ ὁ γέλως παρακοπή τις καὶ ἀπάτη. διὸ καὶ ενοι εἰς τὰς φρένας γελῶσιν· οὐ γὰρ ὁ τυχὼν τό- ῳ γελῶσιν. τὸ δὲ λαθραῖον ἀπατητικόν. διὰ τοῦτο εται ὁ γέλως καὶ οὐ γίνεται ὑπ' αὐτοῦ.

ὰ τί ποτε τὰ χείλη μάλιστα γαργαλιζόμεθα; ἢ ὶ τὸ γαργαλιζόμενον μὴ πρόσω τοῦ αἰσθητικοῦ εἶναι; τὰ χείλη περὶ τὸν τόπον τοῦτον μάλιστα. διὰ τοῦτο ραλίζεται τὰ χείλη τῶν περὶ τὴν κεφαλὴν τόπων, εὔσαρκα. εὐκινητότατα οὖν μάλιστά ἐστιν.

ὰ τί, ἐὰν τις τὸν περὶ τὰς μασχάλας τόπον κνήσῃ, τιν, ἐὰν δέ τινα ἄλλον, οὔ; ἢ διὰ τί πτερῷ τὰς νήσαντες πτάρνυνται; ἢ τόποι εἰσὶ τῶν φλεβίων, αψυχομένων ἢ τοὐναντίον πασχόντων ὑγραίνονται; νεῦμα ἐκ τοῦ ὑγροῦ διαλύεται; ὥσπερ ἐὰν τὰς ἐπὶ υχήλου πιέσῃ τις φλέβας, καθεύδουσιν. ἡ μὲν ἡδονὴ ία τίς ἐστιν· τοῦτο δέ, ὅταν πλέον τὸ πνεῦμα ἐγγέ- ἀθρόον ἔξω ἀφίεμεν. ὡσαύτως καὶ ἐπὶ πταρμῷ ρῷ διαθερμάναντες καὶ κινήσαντες διελύσαμεν εἰς πλέονος δὲ γενομένου ἐξεώσαμεν.

ὰ τί μετὰ τὰ σιτία φρίττομεν πολλάκις; ἢ ὅτι εἰσπορευόμενα ἀπὸ πρώτης κρατεῖ μᾶλλον τοῦ φυ- ομοῦ ἢ κρατεῖται;

ὰ τί τὸ περιαγόμενον ἐναλλὰξ τοῖς δακτύλοις δύο ι; ἢ διότι δυσὶν αἰσθητηρίοις ἁπτόμεθα; τοῖς γὰρ ῶν δακτύλων, κατὰ φύσιν ἔχοντες τὴν χεῖρα, ἀμ- ; οὐ δυνατὸν εἰπεῖν.

ΛϚ. ΟΣΑ ΠΕΡΙ ΠΡΟΣΩΠΟΝ.

Διὰ τί τοῦ προσώπου τὰς εἰκόνας ποιοῦνται; πότερον ὅτι τοῦτο δηλοῖ ποιοί τινες; ἢ ὅτι μάλιστα γινώσκεται;

Διὰ τί τὸ πρόσωπον ἰδίουσι μάλιστα, ἀσαρκότατον ὄν; 2 ἢ διότι εὐίδρωτα μὲν ὅσα ὕφυγρα καὶ ἀραιά, ἡ δὲ κεφαλὴ τοιαύτη; ὑγρότητα γὰρ οἰκείαν ἔχει πλείστην. δηλοῦσι δ' αἱ φλέβες τείνουσαι ἐντεῦθεν, καὶ οἱ κατάρροι γινόμενοι ἐξ αὐτῆς, καὶ ὁ ἐγκέφαλος ὑγρός, καὶ οἱ πόροι πολλοί· σημεῖον δ' αἱ τρίχες, ὅτι πολλοὶ πόροι εἰσὶ περαίνοντες ἔξω. οὔκουν ἐκ τῶν κάτω ὁ ἱδρώς, ἀλλ' ἐκ τῆς κεφαλῆς γίνεται. διὸ ἰδίουσι καὶ πρῶτον μάλιστα τὸ μέτωπον· ὑπόκειται γὰρ τὸ πρῶτον. τὸ δ' ὑγρὸν κάτω ῥεῖ, ἀλλ' οὐκ ἄνω.

Διὰ τί ἐν τῷ προσώπῳ μάλιστα οἱ ἴονθοι; ἢ διότι 3 μανὸς ὁ τόπος καὶ ὑγρότητα ἔχει; σημεῖον δὲ ἥ τε τῶν τριχῶν ἔκφυσις καὶ ἡ τῶν αἰσθήσεων δύναμις· ὁ δὲ ἴονθος ὥσπερ ἐξάνθημα ὑγρότητός τινος ἀπέπτου.

ΛΖ. ΟΣΑ ΠΕΡΙ ΟΛΟΝ ΤΟ ΣΩΜΑ.

Διὰ τί ἀεὶ τοῦ σώματος ῥέοντος, καὶ τῆς ἀπορροῆς γινομένης ἐκ τῶν περιττωμάτων, οὐ κουφίζεται τὸ σῶμα, ἐὰν μὴ ἰδίῃ; ἢ διότι ἐλάττων ἡ ἔκκρισις γίνεται; ὅταν γὰρ ἐξ ὑγροῦ μεταβάλλῃ εἰς ἀέρα, πλέον γίνεται ἐξ ἐλάττονος· τὸ γὰρ διακρινόμενον πλέον, ὥστε ἐν πλείονι χρόνῳ ἡ ἔκκρισις.

Διὰ τί δὲ τοῦτο; ἢ διότι δι' ἐλαττόνων πόρων ἡ ἔξο- 2 δός ἐστιν; τὸ γὰρ γλίσχρον καὶ τὸ κολλῶδες μετὰ μὲν τοῦ ὑγροῦ ἐκκρίνεται διὰ τὴν κατάμιξιν, μετὰ δὲ τοῦ πνεύματος ἀδυνατεῖ. μάλιστα δὲ τοῦτ' ἐστὶ τὸ λυποῦν. διὸ καὶ οἱ ἔμετοι τῶν ἱδρώτων κουφίζουσι μᾶλλον, ὅτι συνεξάγουσι τοῦτο, ἅτε παχύτεροι καὶ σωματωδέστεροι ὄντες. ἢ καὶ ὅτι τῇ μὲν σαρκὶ πόρρω οὗτος ὁ τόπος, ἐν ᾧ τὸ γλίσχρον καὶ κολλῶδες, ὥστε ἔργον μεταστῆσαι, τῇ δὲ κοιλίᾳ ἐγγύς; ἢ γὰρ ἐν ταύτῃ γίνεται ἢ πλησίον· διὸ καὶ δυσεξάγωγος ἄλλως.

Διὰ τί αἱ τρίψεις σαρκοῦσιν; ἢ ὅτι αὐξητικώτατον 3 τῶν ἐν τῷ σώματι τὸ θερμόν ἐστιν; τοῦ μὲν γὰρ ἐνυπάρχοντος μείζους οἱ ὄγκοι γίνονται διὰ τὸ ἀεὶ αὐτὸ ἐν κινήσει εἶναι καὶ εἰς τὸ ἄνω φέρεσθαι καὶ πνευματοῦν τὰ ἐν

ψυχινώτερά Y^a. ‖ 2. ἴδησις $X^a Y^a u$. ‖ 4. ἀντιπεριΐστανται X^a. ‖ 11. ἧττον καὶ ὑπ' ἄλλου $X^a u$. ‖ 19. δεῖ om *t*. ‖ πρόσω τοῦ σως πρόσω τόπου margo X^a, προσώπου *u* et pr $X^a Y^a$. ‖ 20. τοῦτον — 21. τόπων om *u*. ‖ 22. οὐ Y^a. ‖ 23. κνήσῃ et κνήσαν- urgius: codices κινήσῃ et κινήσαντες. ‖ 24. πτερῷ τὰς ῥ. κν. om $X^a Y^a u$. ‖ 26. ὑγραίνεται Y^a. ‖ 30. ἀφίομεν Y^a. ‖ 31. εν $X^a Y^a u$. ‖ 32. πλέον $X^a u$.

πρότερον *u*. ‖ 4. εὐσαρκώτατον X^a. ‖ 7. κατάρροοι et 14. ὄνθοι et 16. ὄνθος $X^a Y^a u$. ‖ 17. ἀπέπτου] οὐκ ἄπεπτον $X^a Y^a u$. ‖ 22. ἔλαττον X^a . μεταβάλῃ Y^a. ‖ 26. δι' et ἡ om $X^a u$. ‖ 32. καὶ] καὶ τὸ Y^a. ‖ 34. γὰρ ἂν ἐν $X^a u$. ‖ 37. τοῦ] τὸ X^a. ‖ 39. πνευματοῦνται $X^a u$.

ἡμῖν ὑγρά, ὃ ἐν τῇ τρίψει γίνεται· ἐκλείποντος δὲ φθίνει καὶ ἐλαττῦται τὸ σῶμα. ἢ ὅτι ὀγκοτέρα τῆς τροφῆς γίνεται ἡ σὰρξ διὰ τὴν θερμασίαν; ἅπαν γὰρ τὸ θερμὸν ἐπισπαςικὸν τῦ ὑγρῦ ἐςίν, ἡ δ' εἰς τὴν σάρκα διαδιδομένη τροφὴ ὑγρά ἐςι, καὶ ἐπιδέχεται τὴν τροφὴν μᾶλλον διὰ τὴν ἀραίωσιν· ἀραιοτέρα γὰρ γινομένη μᾶλλον δύναται δέχεσθαι ὥσπερ σπογγιά. ἡ δὲ τρῖψις εὔπνυν καὶ ἀραιὰν ποιεῖ τὴν σάρκα, καὶ κωλύει συςάσεις γίνεσθαι κατὰ τὸ σῶμα. τούτου δὲ μὴ ὄντος οὐδὲ συντήξεις γίνονται· αἱ γὰρ ἀτροφίαι καὶ αἱ συντήξεις ἐκ τῶν ἀθροισθέντων εἰσίν. εὐπνούστερα δὲ καὶ ἀραιότερα καὶ ὁμαλέστερα γινόμενα εἰκὸς μᾶλλον ὀγκῦσθαι. τῆς τε γὰρ τροφῆς δεκτικώτερα καὶ τῶν ἐκκρίσεων προετικώτερα γίνεται, ὅτι ὐ δεῖ πυκνῦν τὴν σάρκα πρὸς ὑγίειαν, ἀλλ' ἀραιῦν· ὥσπερ γὰρ πόλις ὑγιεινή ἐςι καὶ τόπος εὔπνυς (διὸ καὶ ἡ θάλαττα ὑγιεινή), ὕτω καὶ σῶμα τὸ εὔπνυν μᾶλλον ὑγιεινόν ἐςι τοῦ ἐναντίως ἔχοντος. δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηδέν, ἢ τύτυ ὡς τάχιστα ἀπαλλάττεσθαι· καὶ δεῖ οὕτως ἔχειν τὸ σῶμα ὥςε λαμβάνον εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει ἀεὶ καὶ μηδέποτε ἠρεμεῖν. τὸ μὲν γὰρ μένον σήπεται, ὥσπερ καὶ ὕδωρ τὸ μὴ κινούμενον· σηπόμενον δὲ νόσον ποιεῖ· τὸ δὲ ἐκκρινόμενον πρὸ τῦ διαφθαρῆναι χωρίζεται. τοῦτο οὖν πυκνυμένης μὲν τῆς σαρκὸς ὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιυμένης δὲ συμβαίνει. διὸ καὶ ὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν (συνίςαται γὰρ ἡ σὰρξ καὶ κομιδῇ ἀποσαρκῦται· τὸ μὲν γὰρ ἐντὸς ὑγρὸν διαμένει, τὸ δ' ἐπιπολῆς ἀπαλλάττεται ἐξατμιζόμενον, ὥσπερ καὶ τὰ κρέα τὰ ὀπτὰ τῶν ἑφθῶν μᾶλλον τὰ ἐντὸς ὑγρά ἐστιν) οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν ἐν ἡλίῳ (ἀπὸ γὰρ τῶν ἄριςα ᾠκοδομημένων τῦ σώματος ὁ ἥλιος φέρει, ὃ ἥκιςα δεῖται ἀφαιρέσεως), ἀλλὰ μᾶλλον τὰ ἐντὸς ξηραντέον. ἐκεῖθεν μὲν ὖν διὰ τὸ πόρρω εἶναι, ἐὰν μὴ μετὰ πόνυ, ὐκ ἔςιν ἱδρῶτα ἄγειν· ἀπὸ τύτων δὲ διὰ τὸ πρόχειρα εἶναι ῥᾴδιον ἀναλῶσαι τὸ ὑγρόν.

4 Διὰ τί ψυχθέντες ἀπὸ τῆς αὐτῆς θερμασίας καιόμεθα μᾶλλον καὶ ἀλγοῦμεν; πότερον διὰ τὴν πυκνότητα στέγει ἡ σὰρξ τὸ προσπῖπτον θερμόν; διὸ μόλιβδος ἐρίου θερμότερος. ἢ βίαιος γίνεται τοῦ θερμοῦ ἡ δίοδος διὰ τὸ πεπηγέναι ὑπὸ ψυχρῦ τὸ σῶμα;

Διὰ τί αἱ ξηροτριβίαι ςερεὰν τὴν σάρκα παρα ζυσιν; ἢ ὅτι διὰ τὴν τρῖψιν τῆς θερμασίας ἐπιγι τὸ ὑγρὸν καταναλίσκεται. πρὸς δὲ τούτοις ἡ σὰρξ μένη πυκνῦται· ἅπαντα δὲ ὅσα πλείονος τρίψεως νει πυκνῦται καὶ ςερεὰ γίνεται. θεωρῆσαι δὲ τὸ ἔςιν ἐπὶ πολλῶν· τὸ γὰρ σταῖς ἢ πηλὸς ἢ ἄλλο τοιύτων, ἐὰν μὲν ὕδωρ ἐπιχέας ἕλκῃς, ὑγρὰ καὶ κλ διαμένει, ἐὰν δὲ πλείω τρῖψιν προσάγῃς, πυκνῦται ςερεῦται ταχέως καὶ γλίσχρα γίνεται.

Διὰ τί αἱ τρίψεις μᾶλλον σαρκῦσι τῶν δρό ὅτι οἱ μὲν δρόμοι περιψύχυσι τὴν σάρκα καὶ ὐ τροφῆς παρασκευάζουσιν, ἀλλὰ τὰ μὲν συσσείεται τὰ δ' ἐπὶ πολλῦ τῦ φυσικῦ θερμῦ ἐπιτελουμένυ π λεπτυνόμενα εἰς πνεῦμα διακρίνεται; ἡ δὲ παλα τρίψει τὴν σάρκα ἀραιὰν καὶ δεκτικὴν αὐτῆς παρα ζει. καὶ ἡ ἔξωθεν δὲ ἁφὴ ἐναντιυμένη διὰ τῆς π τῇ φορᾷ αὐτὸν συνέχει μᾶλλον, καὶ ἀνάκλασιν τῆ κὸς ποιεῖται.

ΛΗ. ΟΣΑ ΠΕΡΙ ΧΡΟΑΝ.

Διὰ τί τὸν μὲν κηρὸν καὶ τὔλαιον λευκαίνει τὴν δὲ σάρκα μελαίνει; ἢ ὅτι τὰ μὲν λευκαίνει τὸ ὕδωρ (φύσει γὰρ τὸ ὑγρὸν μέλαν διὰ τὴν μῖ γεώδους ὕδατος), τὴν δὲ σάρκα ἐπικαίει;

Διὰ τί οἱ ἁλιεῖς καὶ πορφυρεῖς καὶ ἁπλῶς θάλατταν ἐργαζόμενοι πυρροί εἰσιν; πότερον ὅτι ἡ θ θερμὴ καὶ αὐχμώδης ἐςὶ διὰ τὴν ἅλμην; τὸ δὲ πυρρὰς ποιεῖ τὰς τρίχας, καθάπερ ἥ τε κονία καὶ σενικόν. ἢ τὰ μὲν ἐκτὸς γίνονται θερμότεροι, τὰ δ περιψύχονται διὰ τὸ βρεχομένων αὐτῶν ἀεὶ ξηρα ὑπὸ τῦ ἡλίυ τὰ πέριξ; τύτων δὲ τῦτο πασχόντων χες ξηραινόμεναι λεπτύνονται καὶ πυρρῦνται. καὶ δὲ οἱ πρὸς ἄρκτον πυρρότριχες καὶ λεπτότριχές εἰσ

Διὰ τί οἱ μὲν ἐν ἱματίῳ δρόμοι καὶ ἡ τῦ ἐλ ἱμάτιον χρῖσις εὔχρυς ποιεῖ, οἱ δὲ γυμνοὶ δρόμοι ἢ ὅτι ἡ μὲν εὔπνοια εὔχροιαν ποιεῖ, ἡ δὲ κατάπνι ναντίον. διὰ δὴ τὸ συνθερμαινόμενον τὸ ἐπιπολῆς μὴ διαψύχεσθαι ἄχροιαν ποιεῖ. ἄμφω δὲ ταὐτὸν ἡ ἐν τῷ ἱματίῳ ἴδισις καὶ ἡ εἰς τὸ ἱμάτιον ἄλειψ

13. καὶ om $X^a u$. ‖ προεκτικώτερα $X^a Y^a u$. ‖ 16. τὸ om $X^a u$. ‖ 17. τῦτο X^a. ‖ 18. τὸ σῶμα om u. ‖ 24. γὰρ] κ
28. κρέατα ὀπτὰ X^a. ‖ 31. φέρεται u. an ἀφαιρεῖ? ‖ 36. πρότερον u. ‖ 38. τοῦ om $X^a Y^a u$.

6. γὰρ] δὲ u. ‖ 7. μὲν] μὴ $X^a u$. ‖ 8. προσαγαγῇς Y^a. ‖ τε καὶ ςερεῦται om u. ‖ 10. ἢ om $X^a Y^a u$. ‖ 16. δὲ Y^a. ‖ 2 δους om u. ‖ ὕδατος om X^a. ‖ 29. τὰ δ'] τὸ δ' Y^a. ‖ 32. πυρῦνται et 33. πυρότριχες $X^a u$. ‖ 34. καὶ om u. ‖ 35. ἄχρου οἱ — ἄχρυς om $Y^a u$. ‖ 36. κατάπνιξιν X^a. ‖ 39. ἴδησις $X^a u$.

κλείεται γὰρ ἡ θερμότης. οἱ δὲ γυμνοὶ δρόμοι ἄχρουν ι διὰ τοὐναντίον, ὅτι καταψύχει ὁ ἀὴρ τὰς συνιστα-ς ἐκκρίσεις καὶ διαπνεῖ τὸ σῶμα. ἔτι τὸ ἔλαιον ὑγρὸν ὶ λεπτόν, ὑπαλειφθὲν καὶ τοὺς πόρους ἐμφρᾶττον, τὸ ἐκ τοῦ σώματος ὑγρὸν καὶ πνεῦμα ἔξω ῥεῖν ἐᾷ, τὸ ἐκτὸς πνεῦμα ἐντός. διὸ καταπνιγόμενα ἐν τῷ ατι ὑγρὰ περιττώματα σηπόμενα ἄχροιαν ποιεῖ.

Διὰ τί ἡ εὔπνοια εὔχρους ποιεῖ; ἢ ὅτι ἄχροια ἔοικεν οἷον σῆψίς τις χρωτός; ὅταν οὖν τὸ ἐπιπολῆς ὑγρὸν θερμὸν ᾖ, τοῦτο συμβαίνει χλωρὸν γίνεσθαι, ἐὰν μὴ θῇ καὶ ἀποπνεύσῃ τὸ θερμόν.

Διὰ τί οἱ μὲν ἱδρώσαντες ἐκ τῶν γυμνασίων εὔχροοί εὐθύς, οἱ δὲ ἀθληταὶ ἄχροοι; ἢ διότι ὑπὸ μὲν τοῦ ὐ πόνου τὸ θερμὸν ἐκκάεται καὶ ἐπιπολάζει, ὑπὸ δὲ πολλῶν ἐξηθεῖται μετὰ τοῦ ἱδρῶτος καὶ τοῦ πνεύματος, σμένου τοῦ σώματος ἐν τῷ πονεῖν; ὅταν μὲν οὖν ἐπιπο- τὸ θερμόν, εὔχροοι γίνονται, καθάπερ οἵ τε θερμαι-οι καὶ αἰσχυνόμενοι· ὅταν δὲ ἐκλίπῃ, ἄχροοι. οἱ μὲν ιῶται μέτρια γυμνάζονται, οἱ δὲ ἀθληταὶ πολλά.

Διὰ τί μᾶλλον καίονται ὑπὸ τοῦ ἡλίου οἱ καθεζόμενοι γυμναζομένων; ἢ ὅτι οἱ ἐν κινήσει ὄντες ὥσπερ ῥιπί-ι ὑπὸ τοῦ πνεύματος διὰ τὸ κινεῖν τὸν ἀέρα, οἱ δὲ μενοι οὐ πάσχουσι τοῦτο;

Διὰ τί ὁ μὲν ἥλιος ἐπικάει, τὸ δὲ πῦρ οὔ; ἢ διότι ότερός ἐστιν ὁ ἥλιος, καὶ μᾶλλον δύναται διαδύεσθαι εἰς άρκα; τὸ δὲ πῦρ, ἐὰν καὶ ἐπικαύσῃ, ἄνω μόνον ποιεῖ ρῶμα, τὰς φοῖδας καλουμένας· εἴσω δὲ οὐκ εἰσδύεται.

Διὰ τί τὸ πῦρ οὐ ποιεῖ μέλανας, ὁ δὲ ἥλιος ποιεῖ· 8 τὸν δὲ κέραμον ποιεῖ, ὁ δὲ ἥλιος οὔ; ἢ οὐχ ὁμοίως ἑκάτερον ποιεῖ, ἀλλ' ὁ μὲν ἐπικάων τὴν χρόαν μελαίνει, τὸ δὲ πῦρ τὸν κέραμον ἀναπιμπλᾷ, ἢ ἀναφέρει ἀσβόλῳ. τοῦτο δ' ἐστὶ λεπτῆς μαρίλης, ἀποθραυομένων ἅμα καὶ καομένων τῶν ἀνθράκων. τοὺς δ' ἀνθρώπους ὁ μὲν ἥλιος μελαίνει, τὸ δὲ πῦρ οὔ, ὅτι τοῦ μὲν μαλθακὴ ἡ θερμότης, καὶ διὰ μικρομέρειαν δύναται τὸ δέρμα αὐτὸ κάειν· ὥστε διὰ μὲν τὸ τῆς σαρκὸς μὴ ἅπτεσθαι οὐκ ἀλγεινόν, διὰ δὲ τὸ κάειν μέλαν ποιεῖ. τὸ δὲ πῦρ ἢ οὐχ ἅπτεται ἢ εἴσω διέρχεται, ἐπεὶ μέλανα καὶ τὰ πυρίκαυστα γίνεται, ἀλλ' οὐ μόνον ἐκεῖνον τὸν τόπον κάει οὗ ἡ χροιά.

Διὰ τί οἱ γηράσκοντες μελάντεροι γίνονται; ἢ ὅτι 9 πᾶν σηπόμενον μελάντερον γίνεται, πλὴν εὐρῶτος; τοῦτο δ' ἐστὶ γῆρας καὶ σαπρότης. ἔτι ἐπειδὴ τὸ αἷμα ξηραινόμενον μελάντερον γίνεται, εἰκότως ἂν μελάντεροι εἶεν οἱ πρεσβύτεροι· τοῦτο γάρ ἐστι τὸ χρῷζον ἡμῶν τὰ σώματα φυσικῶς.

Διὰ τί περὶ τὴν τῶν σιτίων ἐργασίαν, οἱ μὲν περὶ 10 τὰς κριθὰς ἄχροοι γίνονται καὶ καταρροϊκοί, οἱ δὲ περὶ τοὺς πυροὺς εὐεκτικοί; ἢ διότι εὐπεπτότερος ὁ πυρὸς τῆς κριθῆς, ὥστε καὶ αἱ ἀπόρροιαι;

Διὰ τί ὁ μὲν ἥλιος τὸ μὲν ἔλαιον λευκαίνει, τὴν δὲ 11 σάρκα μελαίνει; ἢ ὅτι τοῦ μὲν ἐλαίου ἀπάγει τὸ γεῶδες; τοῦτο δὲ ἦν τὸ μέλαν, ὥσπερ τὸ γεῶδες τοῦ οἴνου. τὴν δὲ σάρκα μελαίνει, ὅτι κάει· τὸ γὰρ γεῶδες καόμενον ἅπαν γίνεται μέλαν.

1. εὔχρων *Y*ᵃ. ‖ 5. οὐδὲ codices. ‖ 8. εὔπνους *X*ᵃ*Y*ᵃ*u*. ‖ ἢ om *X*ᵃ*u*. ‖ 10. συμβαίνει καὶ χλωρὸν *Y*ᵃ*u*. ‖ μὴ om *X*ᵃ*u*. ‖ 14. εται *X*ᵃ*u*. ‖ 15. μετὰ om *X*ᵃ. ‖ τοῦ post μετὰ om *u*. ‖ 17. ὅτε *X*ᵃ*u*. ‖ 19. οὖν om *u*. ‖ 21. ῥιπτίζονται *u*. ‖ 23. οὐ om *u*. ‖ πικαίει *X*ᵃ*u*.

4. ἀσκώλῳ *t*, ἀσβόλην *Y*ᵃ*u*. ‖ 10. οὐκ ἅπτεται *u*. ‖ 11. πυρίκαυτα *Y*ᵃ. ‖ 12. ἐκεῖνον τὸν τόπον add *X*ᵃ*Y*ᵃ. ‖ 19. σίτων *Y*ᵃ. ‖ 21. ᵃ*u*. ‖ 24. ἢ] οἱ *u*.

ΠΕΡΙ ΑΤΟΜΩΝ ΓΡΑΜΜΩΝ.

Ἀρά γ' εἰσὶν ἄτομοι γραμμαί, καὶ ὅλως ἐν ἅπασι τοῖς ποσοῖς ἐςί τι ἀμερές, ὥσπερ ἔνιοί φασιν; εἰ γὰρ ὁμοίως ὑπάρχει τό τε πολὺ καὶ τὸ μέγα καὶ τὰ ἀντικείμενα τύτοις, τό τε ὀλίγον καὶ τὸ μικρόν, τὸ δ' ἀπείρυς σχεδὸν διαιρέσεις ἔχον ὐκ ἔςιν ὀλίγον ἀλλὰ πολύ, φανερὸν ὅτι πεπερασμένας ἕξει τὰς διαιρέσεις τὸ ὀλίγον καὶ τὸ μικρόν· εἰ δὲ πεπερασμέναι αἱ διαιρέσεις, ἀνάγκη τι εἶναι ἀμερὲς μέγεθος, ὥςε ἐν ἅπασιν ἐνυπάρξει τι ἀμερές, ἐπείπερ καὶ τὸ ὀλίγον καὶ τὸ μικρόν. ἔτι εἰ ἔςιν ἰδέα γραμμῆς, ἡ δ' ἰδέα πρώτη τῶν συνωνύμων, τὰ δὲ μέρη πρότερα τῦ ὅλυ τὴν φύσιν, διαιρετὴ ἂν εἴη αὐτὴ ἡ γραμμή, τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τετράγωνον καὶ τὸ τρίγωνον καὶ τὰ ἄλλα σχήματα, καὶ ὅλως ἐπίπεδον αὐτὸ καὶ σῶμα· συμβήσεται γὰρ πρότερ' ἄττα εἶναι τούτων. ἔτι εἰ σώματός ἐστι ςοιχεῖα, τῶν δὲ ςοιχείων μηδὲν πρότερον, τὰ δὲ μέρη τῦ ὅλυ πρότερα, ἀδιαίρετον ἂν εἴη τὸ πῦρ καὶ ὅλως τῶν τῦ σώματος στοιχείων ἕκαςον, ὥς' οὐ μόνον ἐν τοῖς νοητοῖς ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς ἐςί τι ἀμερές. ἔτι δὲ κατὰ τὸν Ζήνωνος λόγον ἀνάγκη τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένῳ χρόνῳ ἀπείρων ἅψασθαι, καθ' ἕκαςον ἁπτόμενον, ἀνάγκη δ' ἐπὶ τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινύμενον, τῦ δὲ μὴ ἀμερῦς πάντως ἔςιν ἥμισυ. εἰ δὲ καὶ ἅπτεται τῶν ἀπείρων ἐν πεπερασμένῳ χρόνῳ τὸ ἐπὶ τῆς γραμμῆς φερόμενον, τὸ δὲ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον διανύει, ταχίςη δ' ἡ τῆς διανοίας κίνησις, κἂν ἡ διάνοια τῶν ἀπείρων ἐφάπτοιτο καθ' ἕκαςον ἐν πεπερασμένῳ χρόνῳ, ὥςε εἰ τὸ καθ' ἕκαςον ἅπτεσθαι τὴν διάνοιαν ἀριθμεῖν ἐστίν, ἐνδέχεται ἀριθμεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ. εἰ δὲ τῦτο ἀδύνατον, εἴη ἄν τις ἄτομος γραμμή. ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγυσιν, εἴη ἄν τις ἄτομος γραμμή, ὡς φασίν, εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι· ὅσαι δ' εἰσὶ σύμμετροι, πᾶσαί εἰσι μετρύμεναι. εἴη γὰρ ἄν τι μῆκος ᾧ πᾶσαι μετρηθήσονται. τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι. εἰ γὰρ διαιρετόν, καὶ τὰ μέρη μέτρου τινὸς ἔςαι· σύμμετρα γὰρ τῷ ὅλῳ. ὥςε μέρυς τινὸς εἴη διπλασία τὴν ἡμίσειαν, ἐπειδὴ τῦτ' ἀδύνατον ἂν εἴη μέτρον. ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' αὐτῦ, ὥσπερ πᾶσαι αἱ ἐκ τῦ μέτρυ σύνθετοι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται. τὸ δ' αὐτὸ συμβήσεται κἀν τοῖς ἐπιπέδοις· πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις, ὥςε ἔςαι τὸ μέτρον αὐτῶν ἀμερές. ἀλλὰ μὴν εἴ τι τμηθήσεται μέτρον τινὰ τεταγμένην καὶ ὡρισμένην γραμμήν, ὐκ ἔςαι ὔτε ῥητὴ ὔτ' ἄλογος, ὔτε τῶν ἄλλων ὐδεμία ὧν νῦν δὴ εἴρηται, οἷον ἀποτομὴν ἐκ δυοῖν ὀνομάτοιν· ἀλλὰ καθ' αὑτὰς μὲν ὐδέ τινας ἕξυσι φύσεις, πρὸς ἀλλήλας δὲ ἔσονται ῥηταὶ καὶ ἄλογοι. ἢ πρῶτον μὲν ὐκ ἀνάγκη τὸ ἀπείρυς ἔχον διαιρέσεις μὴ εἶναι μικρὸν καὶ ὀλίγον· καὶ γὰρ τόπον καὶ μέγεθος καὶ ὅλως τὸ συνεχὲς μικρὸν μὲν λέγομεν, καὶ ἐφ' ὧν μὲν ἁρμόττει τὸ ὀλίγον, οὐ μὴν ἀλλ' ἀπείρους διαιρέσεις φαμὲν ἔχειν. ἔτι δ' εἰ ἐν τῷ συνθέτῳ γραμμαί, κατὰ τύτων τῶν ἀτόμων λέγεται

Codices LNPQH^{a}U^{a}W^{a}Z^a, quorum W^a in margine: τὸ πρωτότυπον λίαν ἐσφαλμένον. καὶ μή τις μοι μεμφέτω· καθὼς γὰρ ὁρῶ, ὔτω γράφω. Tit. ΓΡΑΜΜΩΝ] addit Q λόγος εἷς.

2. περ om W^a. ‖ εἰ] ἢ LQH^a, ἡ U^a. ‖ 3. πολὺ — 4. τό τε] haec add N. ‖ 4. ἀπείρως L. ‖ 5. ἔχον ante 4. σχεδὸν LPQH^{a}U^{a}W^{a}Z^a. ‖ 5. πολύ] add LPQH^{a}U^{a}W^{a}Z^a καὶ (καὶ τὸ Z^a) μέγα τὰ (τὰ τὰ Z^a) ἀντικείμενα τύτων (τύτοις PW^{a}Z^a) τότε. ‖ ὅτε Z^a. ‖ 6. ἔχει W^a. ‖ 7. τι] τὸ LNPH^{a}W^a, τοῦ Z^a. ‖ 8. ἅπαντι NP. ‖ ὑπάρξει W^a, ὑπάρχει Z^a. ‖ τὸ W^a. ‖ 9. ἔςιν add NZ^a. ‖ ἰδέα Z^a. ‖ ἡ] εἰ N. ‖ 10. τῦ ὅλυ πρότερα LPQH^{a}U^{a}W^{a}Z^a. ‖ 11. αὕτη LPQH^{a}U^{a}W^a, om N. ‖ 14. ἄττα om N. ‖ σώματα LPQH^{a}U^{a}W^{a}Z^a. ‖ 15. οὐδὲν W^a. ‖ 16. πρότερα τὴν φύσιν ἀδ. W^a. ‖ 18. τι om PW^{a}Z^a. ‖ 19. τὸν τοῦ ζήνωνος NZ^a. ‖ τε L. ‖ 21. τῷ P. ‖ 22. ἀμερῶς W^a. ‖ πάντη N. ‖ ἔςαι LH^{a}U^a. ‖ 24. χρόνῳ om LNPH^{a}U^{a}W^{a}Z^a. ‖ 25. διαφέρει H^a, om QU^a. ‖ δ' ἡ] δὴ N.

2. ἐνδ. ἂν ἀρ. N. ‖ 3. χρόνον U^a. ‖ 4. τις om LH^{a}Z^a. ‖ 5. γραμμή om LNPH^{a}U^{a}W^a. ‖ 7. μετρύμεναι, πᾶσαί εἰσι σύμμετροι N. ‖ 8. πᾶσαι μετρηθήσονται N: ceteri μετρηθήσονται πᾶσαι. ‖ τοῦτο] τοῦ W^a. ‖ 9. μέρη] μέρη τύτου οὐ QZ^a. ‖ 10. εἴη] εἶναι W^a. ‖ 11. διπλασίαν rc N, διπλάσιον LW^a. ‖ 12. αὐτῆς N. ‖ 14. τὸ αὐτὸ δὲ W^a. ‖ 17. μέτρυ LPH^{a}U^{a}W^a. ‖ ὡρισμένην καὶ τεταγμένην W^a. ‖ 19. νῦν δὴ N: ceteri δὴ νῦν. ‖ 21. ῥητοὶ P. ‖ ἢ] αἱ LNPH^{a}W^a. ‖ πρῶται LNPH^a. ‖ 22 et 25. ἀπείρως LH^a. ‖ 23. ὅλον N. ‖ 24. ὦ P. ‖ 26. post συνθέτῳ lacunam PW^a, paulo ampliorem L. N horum τῷ συνθέτῳ loco τοῖς συμμέτροις, deinde γραμμαί εἰσι γραμμαί. ‖ τῶν om NPW^a.

τὸ μικρόν, καὶ ἄπειροι ϛιγμαὶ ἐνυπάρχȣσιν. ᾗ δὲ γραμμή, διαίρεσις κατὰ ϛιγμήν, καὶ ὁμοίως καθ' ὁποιανȣ̃ν ἀπείρȣς ἂν ἔχοι διαιρέσεις ἅπασα ἡ μὴ ἄτομος. ἔνιαι δὲ τούτων εἰς μακρὰ καὶ ἄπειροι οἱ λόγοι. πᾶσαν δὲ τμηθῆναι τὸν ἐπιταχθέντα δυνατὸν τὴν μὴ ἄτομον. ἔτι εἰ τὸ μέγα ἐκ μικρῶν τινῶν σύγκειται, ἢ ȣ̓θὲν ἔϛαι τὸ μέγα, ἢ τὸ πεπερασμένας ἔχον διαιρέσεις οὐ μέγα ἔσται. τὸ γὰρ ὅλον τὰς τῶν μερῶν ἔχει διαιρέσεις ὁμοίως. εὔλογον δ' ἐϛὶ τό τε σμικρὸν πεπερασμένας ἔχειν διαιρέσεις καὶ τὸ μέγα ἀπείρους, ȣ̔́τως ἀξιȣ̃σιν. ὥϛε φανερὸν ὅτι ȣ̓κ ἐν τȣ́τῳ λέγοιτο τὸ μέγα καὶ τὸ μικρόν, τῷ πεπερασμένας ἔχειν καὶ ἀπείρους διαιρέσεις. εἰ δ' ὅτι καὶ ἐν ἀριθμοῖς τὸ ὀλίγον πεπερασμένας ἔχει διαιρέσεις, καὶ ἐν γραμμαῖς τις ἀξιοίη τὸ μικρόν, εὔηθες. ἐκεῖ μὲν γὰρ ἐξ ἀμερῶν τε ἡ γένεσις, καὶ ἔϛι τι ὃ τῶν ἀριθμῶν ἀρχή ἐϛι, καὶ πᾶς ὁ μὴ ἄπειρος πεπερασμένας ἔχει διαιρέσεις· ἐπὶ δὲ τῶν μεγεθῶν ȣ̓χ ὁμοίως. οἱ δ' ἐν τοῖς εἴδεσι τὰς ἀτόμȣς κατασκευάζοντες τȣ̓́λαττον ἴσως ἀξίωμα λαμβάνȣσι τȣ̃ προκειμένȣ, τὸ τιθέναι τȣ́των ἰδέας· καὶ τρόπον τινὰ ταῦτ' ἀναιρȣ̃σι δι' ὧν δεικνύȣσιν. καὶ γὰρ διὰ τȣ́των τῶν λόγων ἀναιρεῖται τὰ εἴδη. πάλιν δὲ τῶν σωματικῶν ϛοιχείων εὔηθες τὸ ἀμερῆ ἀξιȣ̃ν. εἰ γὰρ αὖ καὶ ἀποφαίνονταί τινες ȣ̔́τως, ἀλλὰ πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς λαμβάνȣσιν. μᾶλλον δὲ ὅσῳ μᾶλλον τὸ ἐξ ἀρχῆς δόξειαν ἀναλαμβάνεσθαι, τόσῳ μᾶλλον δοκεῖ διαιρετὸν εἶναι σῶμα καὶ μῆκος καὶ τοῖς ὄγκοις καὶ τοῖς διαϛήμασιν. ὁ δὲ τȣ̃ Ζήνωνος λόγος ȣ̓ συμβιβάζει ȣ̓ συμπεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅπτεσθαι τὸ φερόμενον ὡδὶ τὸν αὐτὸν τρόπον. ὁ γὰρ χρόνος καὶ τὸ μῆκος ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ τόσας ἔχει διαιρέσεις. ȣ̓δὲ δὴ τὸ καθ' ἕκαϛον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν ȣ̓κ ἔϛιν ἀριθμεῖν, εἰ ἄρα τις καὶ νοήσειεν οὕτως ἐφάπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν. ὅπερ ἴσως ἀδύνατον· οὐ γὰρ ἐν συνεχέσι καὶ ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἡ τῶν φερομένων. εἰ δ' ȣ̓̃ν καὶ ἐγχωρεῖ κινεῖσθαι ȣ̔́τως, οὐκ ἔϛι τοῦτο ἀριθμεῖν· τὸ γὰρ ἀριθμεῖν ἐϛὶ τὸ μετὰ ἐπιϛάσεως. ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον δȣλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτȣ̀ς μείζους ἀπάτας, βοηθȣ̃ντας τῇ ἀδυναμίᾳ. τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινὶ καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· ȣ̓́τε γὰρ ὑποτίθενται ȣ̔́τως, ȣ̓́τε χρήσιμον αὐτοῖς ἐστίν. ἅμα δὲ καὶ ἐναντίον πᾶσαν μὲν γραμμὴν σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν μέτρον εἶναι ἀξιȣ̃ν. ὥϛε γελοῖον τὸ κατὰ τὰς ἐκείνων δόξας καὶ ἐξ ὧν αὐτοὶ λέγουσι φάσκοντες δείξειν, εἰς ἐριϛικὸν ἅμα καὶ σοφιστικὸν ἐκκλίνειν λόγον, καὶ ταῦθ' οὕτως ἀσθενῆ. πολλαχῇ γὰρ ἀσθενής ἐϛι καὶ πάντα τρόπον διαφυγεῖν καὶ τὰ παράδοξα καὶ τȣ̀ς ἐλέγχους. ἔτι δ' ἄτοπον ἂν εἴη διὰ μὲν τὸν Ζήνωνος λόγον παραπεπεῖσθαί τινας ἀτόμους ποιεῖν γραμμάς, τῷ μὴ ἔχειν ἀντειπεῖν, διὰ δὲ τῆς εὐθείας εἰς τὴν ἡμιόλιον κίνησιν, ἣν ἀναγκαῖον εὐθὺς τέμνειν ἀπείρων μεταξὺ πιπτȣσῶν περιφερειῶν καὶ διαϛημάτων ὄντων, καὶ πάλιν διὰ τὴν τῶν ἴσων κύκλων εὔπειστον, ὅτι ἀνάγκη ἂν ὅτι κινηθῇ, μεῖζον ἡμικύκλιον κινεῖσθαι, καὶ ὅσα ἄλλα τοιαῦτα τεθεώρηται περὶ τὰς γραμμὰς μὴ οἷόν τε ἐνδέχεσθαι τοιαύτην δή τινα γενέσθαι κίνησιν ὥϛ' ἐφ' ἑκάϛην τῶν μεταξὺ μὴ πίπτειν πρότερον· πολὺ γὰρ ταῦτα μᾶλλον ὁμολογȣ́μενα ἐκείνων. ὅτι μὲν οὖν ἔκ γε τῶν εἰρημένων λόγων οὔτ' ἀναγκαῖον ἀτόμους εἶναι γραμμὰς ȣ̓́τε πιθανόν, φανερόν. ἔτι δὲ καὶ ἐκ τῶνδε γένοιτ' ἂν φανερώτερον. πρῶτον μὲν ἐκ τῶν ἐν τοῖς μαθήμασι δεικνυμένων καὶ τιθεμένων, ἃ ȣ̓ δίκαιον ἢ πιϛοτέροις λόγοις κινεῖν. ȣ̓́τε γὰρ ὁ τῆς γραμμῆς οὔτε ὁ τῆς εὐθείας ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ διὰ τὸ μήτε μεταξύ τινῶν εἶναι μήτ' ἔχειν μέσον. ἔπειτα πᾶσαι αἱ γραμμαὶ

1. ᾗ] εἶναι *N*. ‖ 2. ἀπείρως H^a. ‖ 3. ἡ] ὡς ἡ H^a, ἂν ἡ *N*. ‖ ἄτομος] ἄτομος ἂν *P*, ἄτομον ἂν W^a. ‖ τούτων] τῶν W^a. ‖ 4. μικρὰ *L*, μικρὰν NH^a. ‖ οἱ λόγοι] ὀλίγον LPH^aW^a. ‖ τὸν ἐπιταχθέντα post 5. ἄτομον *N*. ‖ 5. τὴν μὴ] τομὴν τὴν H^a. ‖ εἰ om *LNP* H^aW^a. ‖ 8. μερῶν] μεγάλων LH^a. ‖ ἔχειν H^a. ‖ ἐϛὶ] ἂν *N*. ‖ 9. μικρὸν W^a. ‖ ἔχον LPH^a. ‖ 10. ἀπείρως W^a. ‖ 13. ἀξιοῖ *N*. ‖ 15. ὃ — ἐϛι om $LNPH^aW^a$. ‖ 17. τȣ̀ς *P*. ‖ 19. οὐ $LNPH^aW^a$. ‖ 20. διὰ γὰρ *N*. ‖ τῷ λόγῳ LPH^a. ‖ τῷ εἴδει LH^a. ‖ 23. λαμβάνȣσιν om *LNP*, λαμβάνȣσι — 24. ἀρχῆς om H^aW^a. ‖ 24. μᾶλλον ante τὸ om *N*. ‖ τȣ̃ *LN*. ‖ δόξειεν LPW^a. ‖ 25. εἶναι] γὰρ *N*. ‖ καὶ om $LNPH^aW^a$. ‖ 26. μήκους LNH^aW^a. ‖ 27. λόγος] λέων pr *L*. ‖ 28. ἅπτεται $LNPW^a$. ‖ 29. γὰρ] δὲ *LN* PW^a. ‖ 30. τοσαύτας NPW^a. ‖ 32. ἄρα] ἔϛαι *N*. ‖ τῶν ἀπείρων om *N*.

2. τοῦτο] τὸ W^a. ‖ 3. ἐπιϛασίας LPW^a. ‖ 8. κατὰ τὴν ἐν τοῖς μαθήμασιν ὑπόθεσιν *N*. ‖ 10. μὲν] μὲν γὰρ *N*. ‖ 11. σύμμετρον] τε *N*, om LPW^a. ‖ 12. εἶναι] ἔτι LPW^a et ante κοινὸν *N*. ‖ τὸ om W^a. ‖ κατὰ] καὶ *N*. ‖ 14. ἐγκλίνειν LPW^a, ἐγκλῖναι *N*. ‖ 15. πολλαχῶς LPW^a. ‖ 17. πεπεῖσθαι *N*. ‖ 18. τινα et τὸ W^a. ‖ 19. ἡμιο *P*, ἡμικύκλιον *N*. ‖ 20. περιφερῆ *N*. ‖ 21. κύκλων ἐπιστ *L*, κεφαλαίων ἐπιϛήμην *N*. ‖ 22. κἂν *L*. ‖ κινηθῆναι *N*. ‖ ἡμικύκλον *P*. ‖ 23. τοιαῦτα om *N*. ‖ θεωρεῖται *P*. ‖ παρὰ PW^a. ‖ 24. οἷόν τε] οἴονται *P*. ‖ δέ $LNPW^a$. ‖ 25. ὡς τῇ ἐφ' ἕκαϛον LPW^a. ‖ μὴ om *N*. ‖ 26. μᾶλλον om *N*. ‖ 27. γε] τε LPW^a. ‖ λόγων *L*. ‖ 28. καὶ om *P*. ‖ τῶνδ' ἂν γένοιτο φανερόν *N*. ‖ 30. δεικνυμάτων *N*. ‖ ȣ̓ om $LNPW^a$. ‖ ἢ] ἢ μένειν ἢ *N*. ‖ 32. ὅρος om *N*.

σύμμετροι ἔσονται. πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται, αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει. αἱ δὲ ἄτομοι σύμμετροι πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει. εἰ δὲ τοῦτο, διαιρετὸν ἔσται τὸ τετράγωνον. ἔτι εἰ ἡ περὶ τὴν μείζω τὸ πλάτος ποιεῖ παραβαλλομένη, τὸ ἴσον τῶν ἀπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας παραβαλλομένων περὶ τὴν δίπουν ἔλαττον ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ἔλαττον τὸ περὶ τῆς ἀτόμου. ἔτι εἰ ἐκ τριῶν δοθεισῶν εὐθειῶν συνίσταται τρίγωνον, καὶ ἐκ τῶν ἀτόμων συσταθήσεται. ἐν ἅπαντι δὲ ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ μέσην πίπτει, ὥστε καὶ ἐπὶ τὴν ἄτομον. ἔτι εἰ τὸ τετράγωνον τῶν ἀμερῶν διὰ μέσου ἐμπεσούσης καὶ καθέτου ἀχθείσης, ἡ τοῦ τετραγώνου πλευρὰ τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου, ὥστε οὐκ ἐλαχίστη. οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς διαμέτρου χωρίον ἔσται τοῦ ἀπὸ τῆς ἀτόμου. ἀφαιρεθέντος γὰρ τοῦ ἴσου ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς. εἰ γὰρ ἴσως τετραπλάσιον ἂν ἔγραψεν ἡ διάμετρος, ἄλλα δ' ἄν τις καὶ ἕτερα τοιαῦτα συνάγοι· πᾶσι γὰρ ὡς εἰπεῖν ἐναντιοῦται τοῖς ἐν τοῖς μαθήμασιν. πάλιν τοῦ μὲν ἀμεροῦς μία ἡ σύναψις, γραμμῆς δὲ δύο· καὶ γὰρ ὅλη ὅλης ἅπτεται, καὶ κατὰ τὸ πέρας ἐξ ἐναντίας. ἔτι γραμμὴ προστεθεῖσα οὐ ποιεῖ μείζω τὴν ὅλην· τὰ γὰρ ἀμερῆ συντιθέμενα οὐ ποιήσει μεῖζον. ἔτι ἐκ δυοῖν ἀμεροῖν μηδὲν γίνεσθαι συνεχὲς διὰ τὸ πλείους διαιρέσεις ἔχειν ἅπαν τὸ συνεχές· ἅπασα δὲ γραμμὴ παρὰ τὴν ἄτομον συνεχὴς οὐκ ἂν εἴη γραμμὴ ἄτομος. ἔτι εἰ ἅπασα γραμμὴ παρὰ τῆς ἀτόμου καὶ ἴσα καὶ ἄνισα διαιρεῖται, καὶ μὴ ἐκ τριῶν ἀτόμων καὶ ὅλως περιττῶν, ὥστ' ἀδιαίρετος ἡ ἄτομος. ὁμοίως δὲ κἂν εἰ δίχα τέμνεται· πᾶσα γὰρ ἡ ἐκ τῶν περιττῶν. εἰ δὲ δίχα μὲν μὴ πᾶσα τέμνεται ἀλλ' ἡ ἐκ τῶν ἀρτίων, τὴν δὲ δίχα διαιρουμένην καὶ ὅσα δυνατὸν τέμνειν, διαιρεθήσεται καὶ οὕτως ἡ ἄτομος, ὅταν ἡ ἐκ τῶν ἀρτίων εἰς ἄνισα διαιρῆται. πάλιν εἰ τὸ κεκινημένον ἐν ᾧ χρόνῳ κινεῖται τὴν ὅλην ἐν τῷ ἡμίσει τὴν ἡμίσειαν κινηθήσεται, καὶ ἐν τῷ ἐλάττονι ἔλαττον ἢ τὴν ἡμίσειαν, ὥστ' εἰ μὲν περιττῶν σύγκειται τῶν ἀτόμων τὸ μῆκος, ἀναιρεθήσεται ἡ μέση τομὴ τῶν ἀτόμων, εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισιν· ὁμοίως γὰρ ὅ τε χρόνος καὶ ἡ γραμμὴ τμηθήσεται. ὥστε οὐδεμία τῶν συγκειμένων τμηθήσεται εἰς ἴσα καὶ ἄνισα, οὐδ' ὁμοίως τοῖς χρόνοις τμηθήσονται. οὐκ ἔσονται ἄτομοι γραμμαί. τὰ δὲ τοῦ αὐτοῦ λόγου ἐστί, καθάπερ ἐλέχθη, τὸ πάντα ταῦτα ποιεῖν ἐξ ἀμερῶν. ἔτι ἅπασα ἡ μὴ ἄπειρος δύο ἔχει πέρατα· γραμμὴ γὰρ ὥρισται τούτοις. ἡ δὲ ἄτομος οὐκ ἄπειρος, ὥστε ἕξει πέρας. διαιρετὴ ἄρα· τὸ γὰρ πέρας ἄλλο καὶ οὗ πέρας. ἢ ἔσται τις οὔτ' ἄπειρος οὔτε πεπερασμένη γραμμὴ παρὰ ταύτας. ἔτι οὐκ ἐν ἁπάσῃ γραμμῇ στιγμὴ ἔσται. ἐν μὲν γὰρ τῇ ἀτόμῳ οὐκ ἔστιν· εἰ μὲν γὰρ μία μόνη, ὑπάρξει γραμμή, εἶτα στιγμή· εἰ δὲ πλείους, διαιρετὴ ἡ γραμμή. εἰ μὲν οὖν ἐν τῇ ἀτόμῳ μὴ ἐνυπάρχει στιγμή, οὐδ' ὅλως ἐν γραμμῇ ἔσται· αἱ γὰρ ἄλλαι ἐκ τῶν ἀτόμων. ἔτι ἢ μηθὲν τῶν στιγμῶν ἔσται μεταξὺ ἢ γραμμή· εἰ δὲ μεταξὺ γραμμή, ἐν ἁπάσαις δὲ πλείους στιγμαί, οὐκ ἔσται ἄτομος. ἔτι οὐχ ἁπάσης ἔσται γραμμῆς τετράγωνον· ἕξει γὰρ μῆκος καὶ πλάτος, ὥστε διαιρετόν, ἐπεὶ τὸ μέν, τὸ δέ τι. εἰ δὲ τὸ τετράγωνον, καὶ ἡ γραμμή. ἔτι τὸ πέρας τῆς γραμμῆς στιγμὴ ἔσται, ἀλλ' οὐ γραμμή. πέρας μὲν γάρ, τὸ ἔσχατον δὲ ἡ ἄτομος. εἰ γὰρ στιγμή, τὸ πέρας τῇ ἀτόμῳ ἔσται στιγμή, καὶ ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων. εἰ δ' ἐνυπάρχει τῇ ἀτόμῳ ἡ στιγμή, διὰ τὸ ταὐτὸ πέρας τῶν συνεχουσῶν γραμμῶν, ἔσται τι πέρας τῆς ἀμεροῦς. ὅλως τε τί διοίσει στιγμὴ γραμμῆς; οὐδὲν γὰρ ἴδιον ἕξει ἡ ἄτομος γραμμὴ παρὰ τὴν στιγμὴν πλὴν τοὔνομα. ἔτι ὁμοίως μένει ἐπίπεδον καὶ σῶμά ἐστιν ἄτομον. ἑνὸς γὰρ ὄντος ἀδιαιρέτου καὶ τἆλλα συνακολουθήσει διὰ τὸ θάτερον διῃρῆσθαι κατὰ θάτερον. σῶμα οὐκ ἔσται ἀδιαίρετον διὰ τὸ

1. πᾶσα et μετρηθήσεται *L.* ‖ τοῦ ἀτόμου *N.* ‖ 3. πᾶσαι om *N.* ‖ 4. ἔσται] ἐστι *NPW*ᵃ. ‖ ἡ om *N.* ‖ 5. παρὰ *PW*ᵃ. ‖ περιβαλλομένη *LP*, παραλαμβανόμενον *N.* ‖ 6. τῶν] τὸ *LPW*ᵃ, τῆς *N.* ‖ παραβαλλόμενον *LPW*ᵃ, παραλαμβανόμενον *N.* ‖ 7. ἐλάττω *N.* ‖ 8. παρὰ *PW*ᵃ. ‖ 9. συσταθήσεται] συσταίη ἂν *L.* ‖ 10. μέσον *N.* ‖ 11. τετράγωνον in lacuna om *LPW*ᵃ. ‖ 13. πλευρὰ om *L.* ‖ 15. ἀμέτρου *W*ᵃ. ‖ τῆς] τοῦ *PW*ᵃ. ‖ 17. ἴση *N.* ‖ 19. ἐν τοῖς] τοιούτοις *L.* ‖ 20. γραμμὴ *LPW*ᵃ. ‖ δευτέρας *N.* ‖ ὅλως *P.* ‖ 21. [illegible] et 22. ποιήσει *LP.* ‖ 22. συντεθειμένα οὐ ποιεῖ *W*ᵃ. ‖ 23. μείζω *N.* ‖ 24. διαιρέσεις om *LPW*ᵃ. ‖ 25. ἅπασα — 26. ἄτομος om *N.* ‖ 26. εἰ] ἡ *W*ᵃ. ‖ περὶ *LNP* ‖ 27. ἴσα] εἰς ἴσα *L.* ‖ 28. ὅλη περιττοῦ *W*ᵃ. ‖ 29. διχῆ *LP.* ‖ τέμνηται *LNP.* ‖ 30. πᾶσα δὲ τέμνεται *NW*ᵃ. ‖ 32. αὕτη *N.* ‖ ἡ ante ἐκ om *LP.* ‖ 33. διαιρεῖται *PW*ᵃ.

3. τὸ — 4. ἀτόμων om *W*ᵃ. ‖ 5. ὁμοίως bis ponit *W*ᵃ. ‖ 7. ἄνισα καὶ ἴσα *NW*ᵃ. ‖ 9. ταῦτα πάντα *LP.* ‖ 11. γραμμαὶ *N.* ‖ τούτων *LPW*ᵃ. ‖ 12. ἄρα] ἔσται *N.* ‖ ἄλλου codices. ‖ 14. περὶ ταῦτα *LP.* ‖ 15. ἔσται *LW*ᵃ. ‖ μὲν] μὴ *L.* ‖ μία] μάλιστα *LP.* ‖ 16. εἶτα — γραμμή om *W*ᵃ. ‖ 18. ἢ] εἰ *LP.* ‖ 19. μεταξὺ τῶν στιγμῶν ἔσται *NZ*ᵃ. ‖ ἢ] ἢ *L.* ‖ 21. ἁπάσῃ ἔσται γραμμῇ τετράγωνον *N.* ‖ 22. διαιρετέον *NPW*ᵃ. ‖ 23. τὸ post δὲ om *N.* ‖ 24. ἐστιν *N.* ‖ 25. εἰ] ἡ *LPW*ᵃ. ‖ 26. γραμμῆς στιγμῇ] στιγμὴ *N.* ‖ 27. ἐνυπάρχει *W*ᵃ. ‖ ταυτὸν *Z*ᵃ. ‖ 28. συνεχῶν *N.* ‖ ἔστι *W*ᵃ. ‖ τι] τὸ *LW*ᵃ. ‖ 29. δὲ *N.* ‖ τί om *L.* ‖ 30. ἔτι] ἔτι εἰ *N.* ‖ 32. συνακολουθεῖ *L.* ‖ 33. ἐστιν *N.*

ἐν αὐτῷ βάθος καὶ πλάτος, οὐδ' ἂν γραμμὴ εἴη
ετος· σῶμα μὲν γὰρ κατ' ἐπίπεδον, ἐπίπεδον δὲ
γραμμήν. ἐπεὶ δὲ οἵ τε λόγοι δι' ὧν ἐπιχειροῦσι
ἀσθενεῖς εἰσί, καὶ ψευδεῖς ἐναντίαι δόξαι πᾶσαι τοῖς
τι πρὸς πίστιν, φανερὸν ὅτι οὐκ ἂν εἴη γραμμὴ ἄτομος.
δ' ἐκ τούτων ὅτι οὐδ' ἂν ἐκ στιγμῶν εἴη γραμμή. σχε-
ὰρ οἱ πλεῖστοι τῶν λόγων οἱ αὐτοὶ ἁρμόσουσιν. ἀνάγκη
ιαιρεῖσθαι τὴν στιγμήν, ὅταν ἢ ἐκ περιττῶν τέμνηται
ἐξ ἀρτίων τὰ ἄνισα. καὶ τὸ τῆς γραμμῆς μέρος μὴ
γραμμήν, μηδὲ τὸ τοῦ ἐπιπέδου ἐπίπεδον. καὶ γραμμὴ
αμμῆς στιγμῇ εἶναι μείζων· ἐξ ὧν γὰρ σύγκειται,
καὶ ὑπερέξει. τοῦτο δ' ὅτι ἀδύνατον, ἔκ τε τῶν ἐν
αθήμασι δῆλον, καὶ ἔτι συμβήσεται τὴν στιγμὴν ἐν
δὴ εἶναι τὸ φερόμενον, εἴπερ τὴν μείζω μὲν ἐν
ι χρόνῳ, τὴν δ' ἴσην ἐν ἴσῳ, ἡ δὲ τοῦ χρόνου ὑπε-
χρόνος. ἀλλ' ἴσως καὶ ὁ χρόνος ἐστὶν ἐκ τῶν νῦν,
ου αὐτοῦ λόγου λέγειν ἄμφω. εἰ δὴ τὸ νῦν ἀρχὴ καὶ
τοῦ χρόνου καὶ ἡ γραμμὴ στιγμῆς, μή ἐστι δὲ συ-
ἡ ἀρχὴ καὶ τὸ πέρας ἀλλ' ἔχουσί τι μεταξύ, οὐκ
οὔτε τὰ νῦν οὔτε στιγμαὶ ἀλλήλοις συνεχεῖς. ἔτι ἡ
ραμμὴ μέγεθός τι, ἡ δὲ τῶν στιγμῶν σύνθεσις οὐδὲν
μεγέθος διὰ τὸ μηδ' ἐπὶ πλείω τόπον ἔχειν. ὅταν
πὶ γραμμὴν γραμμὴ τεθῇ καὶ ἐφαρμόσῃ, οὐδὲν γί-
μεῖζον τὸ πλάτος. ἐν δὲ τῇ γραμμῇ καὶ στιγμαὶ
ρχουσιν, οὐδ' ἂν αἱ στιγμαὶ πλείω κατέχοιεν τόπον,
κ ἂν ποιοῖεν μέγεθος. ἔτι εἰ ἅπαντα ἅπτεται παν-
ὅλον ὅλου ἢ τινὶ τινὸς ἢ ὅλον τινός, ἡ δὲ στιγμὴ
ς ὅλως ἅπτοιτο. τὸ δ' ὅλον ὅλου ἁπτόμενον ἀνάγκη
αι. εἰ γάρ τι ἐστὶν ἢ θάτερον μή ἐστιν, οὐκ ἂν ὅλον
ἅπτοιτο. εἰ δ' ἅμα ἐστὶ τὰ ἀμερῆ, τὸν αὐτὸν κα-
τόπον πλείων ὂν καὶ πρότερον τὸ ἕν· τῶν γὰρ ἅμα

ὄντων καὶ μὴ ἐχόντων ἐπέκτασιν κατὰ ταὐτὰ ὁ αὐτὸς ἀμφοῖν τόπος. τὸ δ' ἀμερὲς οὐκ ἔχει διάστασιν, ὥστ' οὐκ ἂν εἴη μέγεθος συνεχὲς ἐξ ἀμερῶν. οὐκ ἄρα οὔθ' ἡ γραμμὴ ἐκ στιγμῶν οὔθ' ὁ χρόνος ἐκ τῶν νῦν. ἔτι εἰ ἔστιν ἐκ στιγμῶν, ἅψεται στιγμὴ στιγμῆς· ἐὰν οὖν ἐκ τοῦ Κ ἐκβληθῇ ἡ Α Β καὶ Γ Δ, ἅψεται τοῦ Κ καὶ ἡ ἐν τῇ Κ Δ στιγμή. ὥστε καὶ ἄλλῳ τινί· τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἐφάπτεται. ὥστε τὸν αὐτὸν ἐφέξει τόπον τοῦ Κ, καὶ ἁπτόμεναι στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ ἀλλήλαις. εἰ δ' ἐν τῷ αὐτῷ, καὶ ἅπτονται· τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ὄντα πρῶτα ἅπτεσθαι ἀναγκαῖον, εἶθ' οὕτως εὐθεῖα εὐθείας ἅψεται κατὰ δύο στιγμάς. ἡ γὰρ ἐν τῇ Α Κ στιγμὴ καὶ τῇ Κ Γ καὶ ἑτέρας ἅπτεται στιγμῆς. ὥστε ἡ ἐκ τῆς Γ Δ κατὰ πλείους ἅπτεται στιγμάς. ὁ αὐτὸς δὲ λόγος καὶ εἰ μὴ δι' ἀλλήλων ἀλλ' ὁπωσοῦν ἥψατο γραμμῆς. ἔτι καὶ ἡ τοῦ κύκλου τῆς εὐθείας ἅψεται κατὰ πλείω. τῆς γὰρ συναφῆς καὶ ἡ ἐν τῷ κύκλῳ καὶ ἡ ἐν τῇ εὐθείᾳ ἅπτεται καὶ ἀλλήλων. εἰ δὲ τοῦτο μὴ δυνατόν, οὐδὲ τὸ ἅπτεσθαι στιγμὴν στιγμῆς· εἰ δὲ μὴ ἅπτεσθαι, οὐδ' εἶναι τὴν γραμμὴν στιγμήν· οὐδὲ γὰρ ἅπτεσθαι ἀναγκαῖον. ἔτι πῶς ποτὲ ἔσται εὐθεῖα γραμμὴ καὶ περιφερής; οὐδὲν γὰρ διοίσει ἡ σύναψις τῶν στιγμῶν ἐν τῇ εὐθείᾳ καὶ τῇ περιφερεῖ. τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἅπτεται, καὶ οὐκ ἔστιν ὅλως ἅπτεσθαι. εἰ οὖν αἱ μὲν γραμμαὶ διάφοροι, ἡ δὲ σύναψις ἀδιάφορος, οὐκ ἔσται δὴ γραμμὴ ἐκ τῆς συνάψεως, ὥστ' οὐδ' ἐκ στιγμῶν. ἔτι ἀναγκαῖον ἢ ἅπτεσθαι ἢ μὴ ἅπτεσθαι τὰς στιγμὰς ἀλλήλων. εἰ μὲν οὖν τὸ ἐφεξῆς ἅπτεσθαι ἀνάγκη, ὁ αὐτὸς ἔσται λόγος· εἰ δὲ ἐνδέχεται ἐφεξῆς τι εἶναι μὴ ἁπτόμενον, τὸ δὲ συνεχὲς οὐδὲν ἄλλο λέγομεν ἢ τὸ ἐξ ὧν ἐστὶν ἁπτομένων· ὥστε καὶ οὕτως ἀνάγκη τὰς στιγμὰς ἅπτεσθαι ἀλλήλων, ἢ εἶναι γραμμὴν συνεχῆ.

. γὰρ om *L*. ‖ ἐπίπεδον δὲ] αὐτὸ δὲ *L*U^a. ‖ 3. γε *N*. ‖ 4. δόξαι] δὲ δόξαι *N*. ‖ πᾶσι *P*. ‖ 6. ἐκ τούτων et οὐδ' ἂν om *LP*. ‖ στιγμῶν εἴη ἡ γραμμή Z^a. ‖ γραμμή] γραμμὴ ἄτομος. δῆλον δὲ ἐκ στιγμῶν εἴη γραμμή *N*. ‖ 7. τῶν om *LP*. ‖ 9. μέτρος W^a. ‖ et ἐπίπεδον om W^a. ‖ 11. στιγμὴ W^a, στιγμῆς *N*. ‖ 12. τούτου *L*, τούτων *P*W^a. ‖ καὶ om *P*. ‖ ὅτι om *LP*W^a. ‖ ἔκ τε] *N*. ‖ 15. ἴσην] ἴσως *P*. ‖ 16. ἐστὶν] ἐστι τι *LP*, ἐστὶ τὸ W^a. ‖ 17. λέγει *P*. ‖ 18. ἡ στιγμὴ γραμμῆς W^a, ἡ στιγμὴ γραμμὴ γραμ- ‖ ἐστι om W^a. ‖ 19. ἡ] ὥσπερ ἡ *LP*. ‖ τι] τὸ *LP*. ‖ 20. τὰ νῦν] γραμμαὶ *N*W^a. ‖ ἀλλήλαις *LP*. ‖ 23. γραμμὴ] μὴ *P*. ‖ 24. στιγμῇ *N*. ‖ 25. ἐνυπάρχουσαι *P*. ‖ πλεῖον *P*. ‖ κατέχειε *N*W^a, κατέχουσι *LP*. ‖ 26. ποιεῖεν *NP*, ποιεῖ ἐν 28. ὅλως] ὅλης *P*W^a. ‖ 29. ἐν om *N* in lacuna. ‖ τις *N*. ‖ 30. ἀμερῆ] ἀμέσως *L*. ‖ κατέχοι *N*W^a. ‖ 31. πλείω *N*W^a. ‖ *LP*.

. ταῦτα *LP*W^a. ‖ 3. συνεχὲς om *N*W^a. ‖ ἄρα] ἔσται *N*. ‖ 5. ἅψηται W^a. ‖ οὖν om *LP*. ‖ 6. τὸ *L*. ‖ καὶ] δὲ W^a. ‖ Κ Δ] ἡ ἐν τῇ κδ *P*. ‖ 7. ἄλλων *N*. ‖ τινί om *N*W^a. ‖ ὅλου] ὅλῳ *N*W^a. ‖ 8. τόπον et 10. αὐτῷ alterum om *LP*. ‖ 10. τύπῳ 11. πρῶτον ἅπτ. ἀναγκαίω W^a. ‖ 12 et 13. ἡ] εἰ *N*W^a. ‖ 13. καὶ] καὶ τῆς *N*W^a. ‖ ἅπτηται *N*. ‖ τοῦ *LP*. ‖ 14. λόγος] ‖ 15. δι'] δὲ *N*. ‖ 16. κατὰ] τὰ W^a. ‖ 18. καὶ om W^a. ‖ 20. ποτὲ] τε W^a. ‖ 21. ἐστιν εὐθεῖα *N*, εὐθεῖα ἔσται *L*, εὐθεῖά εὐθεῖά ἐστιν εὐθεῖα W^a. ‖ παραφερές *NP*. ‖ οὐδὲ *N*W^a. ‖ 22. τῇ post καὶ om *LP*W^a. ‖ περιφερεία *LP*. ‖ 23. ἐφάπτεται W^a, *N*. ‖ 24. ὅπως W^a. ‖ διάφορον et 25. ἀδιάφορον *L*. ‖ 26. μὴ ἅπτεσθαι ἢ ἅπτεσθαι *P*. ‖ 27. ἐφεξῆς ἂν ἅπτ. *LNP*W^a. ‖ 28. *LP*. ‖ 29. τι] τὸ *L*. ‖ εἶναι om W^a. ‖ 31. ἢ] ὃ *N*. ‖ συνεχῶς *N*W^a.

ἔτι εἰ ἄτοπον ςιγμὴ ἐπὶ ςιγμῆς, ἵν᾽ ᾖ γραμμὴ καὶ ἐπὶ ςιγμῇ, ἐπεὶ ἡ γραμμὴ ἐπίπεδον, ἀδύνατον τὰ εἰρημένα εἶναι. εἴτε γὰρ ἐφεξῆς αἱ στιγμαί εἰσι, τμηθήσεται ἡ γραμμὴ κατ᾽ οὐδετέραν τῶν στιγμῶν, ἀλλ᾽ ἀνὰ μέσον· εἴθ᾽ ἅπτονται, γραμμὴ ἔσται τῆς μιᾶς στιγμῆς χώρα. τῦτο δ᾽ ἀδύνατον. ἔτι διαιροῖτ᾽ ἂν ἅπαντα καὶ ἀναλύοιτο εἰς ςιγμάς, καὶ ἡ ςιγμὴ μέρος σώματος, εἴπερ τὸ μὲν σῶμα ἐξ ἐπιπέδων, τὸ δ᾽ ἐπίπεδον ἐκ γραμμῶν, αἱ δὲ γραμμαὶ ἐκ ςιγμῶν. εἰ δ᾽ ἐξ ὧν πρώτων ἐνυπαρχόντων ἕκαςά ἐςι, ςοιχεῖά ἐςι ταῦτα, αἱ ςιγμαὶ ἂν εἴησαν ςοιχεῖα σωμάτων. ὥςε συνώνυμα ςοιχεῖα ὐδέτερα τῷ εἴδει. φανερὸν ὖν ἐκ τῶν εἰρημένων ὅτι ὐκ ἔςι γραμμὴ ἐκ στιγμῶν. ἀλλ᾽ ὐδ᾽ ἀφαιρεθῆναι οἷόν τε ςιγμὴν ἀπὸ γραμμῆς. εἰ γὰρ ἐνδέχεται ἀφαιρεθῆναι, καὶ προστεθῆναι δυνατόν· προστεθέντος δέ τινος τὸ προστεθὲν μεῖζον ἔςαι τῦ ἐξ ἀρχῆς, ἐὰν τοιοῦτον ᾖ τὸ προστιθέμενον ὥστε ἓν ὅλον ποιεῖν. ἔςαι γραμμὴ γραμμῆς ςιγμῇ μείζων. τοῦτο δ᾽ ἀδύνατον. ἀλλὰ καθ᾽ ἑαυτὴν μὲν ὐχ οἷόν τε, κατὰ συμβεβηκὸς δ᾽ ἐνδέχεται ςιγμὴν ἀπὸ γραμμῆς ἀφελεῖν, τῷ ἐνυπάρχειν ἐν τῇ ἀφαιρυμένῃ γραμμῇ. εἰ τῦ ὅλυ ἀφαιρυμένυ καὶ ἡ ἀρχὴ καὶ τὸ πέρας ἀφαιρεῖται, γραμμῆς δ᾽ ἦν ἡ ἀρχὴ καὶ τὸ πέρας ςιγμή, καὶ γραμμῆς ἐγχωρεῖ ἀφαιρεῖν καὶ ςιγμὴν ἐνδέχοιτο. αὕτη δ᾽ ἡ ἀφαίρεσις κατὰ συμβεβηκός. εἰ δὲ τὸ πέρας ἅπτεται, ὔτε πέρας ἂ αὐτῦ ἢ τῶν ἐκείνυ τινός. ἡ δὲ ςιγμή, ᾗ πέρας γραμμῆς, ἅπτεται. ᾗ μὲν οὖν γραμμῆς ἔςαι ςιγμὴ μείζων, ἡ δὲ ςιγμὴ ἐκ ςιγμῶν· τῶν γὰρ ἁπτομένων ὐδὲν ἀνὰ μέσον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς τομῆς, εἰ ἡ τομὴ ςιγμῆς καὶ ἡ τομὴ ἅπτεταί τινος καὶ ἐπὶ ςερεῦ καὶ ἐπιπέδου· ὡσαύτως δὲ καὶ τὸ στερεὸν ἐξ ἐπιπέδων καὶ γραμμῶν. οὐκ ἀληθὲς δὲ κατὰ ςιγμὴν εἰπεῖν, ὐδ᾽ ὅτι ἐλάχιςον τῶν ἐκ γραμμῆς εἰς τὸ ἐλάχιστον τῶν ἐνυπαρχόντων εἴρηται. τὸ δὲ ἐλάχιστον, ὧν ἐςὶν ἐλάχιστον, καὶ ἔλαττόν ἐστιν.

ἐν δὲ τῇ γραμμῇ ὐδὲν ἄλλο ἢ ςιγμαὶ καὶ γραμμαὶ ἐνυπάρχυσιν. ἡ δὲ γραμμὴ τῆς ςιγμῆς ὐκ ἔςι μείζων· ὐδὲ γὰρ αὖ τὸ ἐπίπεδον τῆς γραμμῆς. ὥς᾽ ὐκ ἔςαι στιγμὴ τὸ ἐν γραμμῇ ἐλάχιστον. εἰ δὲ συμβλητὸν τῇ γραμμῇ ἡ ςιγμή, τὸ δὲ ἐλάχιςον ἐν τρισὶ προσώποις, ὐκ ἔςαι ἡ ςιγμὴ τῶν ἐν τῇ γραμμῇ ἐλάχιςον. καὶ ἄλλ᾽ ἄττα ἐνυπάρχει παρὰ τὰς ςιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει· ὐ γὰρ ἐκ ςιγμῶν. εἰ δὲ τὸ ἐν τόπῳ ὂν ἡ ςιγμὴ μῆκος ἢ ἐπίπεδον ἢ ςερεὸν ἐκ τύτων τι, ἐξ ὧν δ᾽ ἐςὶν ἡ γραμμή, ἐκεῖνα ἐν τόπῳ (καὶ γὰρ ἡ γραμμή), καὶ μήτε σῶμα μήτ᾽ ἐπίπεδον μήτε ἐκ τύτων τι ἐνυπάρχει τῇ γραμμῇ, ὐκ ἔςαι ὐθὲν ὅλως παρὰ τὰς ςιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει. ἔτι εἰ τῦ ἐν τόπῳ ὄντος τὸ μεῖζον λεγόμενον μῆκος ἡ ἐπιφάνεια ςερεόν, ἡ δὲ ςιγμὴ ἐν τόπῳ, τὸ δ᾽ ἐν τῷ μήκει ὑπάρχον παρὰ τὰς ςιγμὰς καὶ τὰς γραμμὰς οὐθὲν τῶν προειρημένων, ὥς᾽ ὐκ ἔςαι ἡ ςιγμὴ τῶν ἐνυπαρχόντων ἐλάχιςον. ἔτι εἰς ὃ ἐλάχιςόν τι τῶν ἐν τῇ οἰκίᾳ, μήτε τῆς οἰκίας συμβαλλομένης πρὸς αὐτὸ λέγεται· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὐδὲ τὸ ἐν γραμμῇ ἐλάχιςον πρὸς γραμμὴν συγκρινόμενον ἔςαι. ὥςε ὐχ ἀφαιρήσει τὸ ἐλάχιςον, ἐπεὶ τὸ μὴ ὂν ἐν τῇ οἰκίᾳ μή ἐςι τῶν ἐν τῇ οἰκίᾳ ἐλάχιστον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐνδέχεται γὰρ ςιγμὴν αὐτὴν καθ᾽ αὑτὴν εἶναι. ὐκ ἔστιν κατὰ ταύτης ἀληθὲς εἰπεῖν ὅτι τὸ ἐν γραμμῇ ἐλάχιςον, ὅτι ὐκ ἔςιν ἡ ςιγμὴ ἄρθρον ἀδιαίρετον. τὸ μὲν γὰρ ἄρθρον ἀεὶ δυοῖν ὅρος, ἡ δὲ ςιγμὴ καὶ μιᾶς γραμμῆς ὅρος ἐςίν. ἔτι ἡ μὲν πέρας, τὸ δὲ διαίρεσίς ἐςι μᾶλλον. ἔτι ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον ἄρθρα ἔσονται· ἀνάλογον γὰρ ἔχυσιν, ὅτι τὸ ἄρθρον διάφορόν πως ἐςίν, διὸ καὶ Ἐμπεδοκλῆς ἐποίησε διὸ δεῖ ὀρθῶς. ἡ δὲ ςιγμὴ καὶ τὸ ἐν τοῖς ἀκινήτοις. ἔτι ὐδεὶς ἔχει ἄπειρα ἄρθρα ἐν τῷ σώματι ἢ τῇ χειρί, ςιγμὰς δ᾽ ἀπείρους. ἔτι λίθου ἄρθρον ὐκ ἴσως ὐδ᾽ ἔχει, ςιγμὰς δὲ ἔχει.

1. ᾗ P. ‖ ἐπὶ ςιγμῇ] ἐπιςήμης NWa. ‖ 5. γραμμαὶ NWa. ‖ 6. τῦτο δ᾽] τῦτ᾽ L. ‖ 8. ἐξ ἐπιπέδων] ἐπίπεδον LNPWa. ‖ αἱ — 9. ςιγμῶν om LNPWa. ‖ 10. ἐςι ταῦτα] ἔςαι ταῦτα NWa ‖ ἦσαν NWa. ‖ 11. συνώνυμος L. ‖ ςοιχεῖα δὲ ὐδ᾽ ἕτερα Wa. ‖ 13. οἷόν P, οἷόν τε ἐςὶ NWa. ‖ 14. φανερωθῆναι LP. ‖ 15. προστεθήτω L. ‖ 17. ςιγμὴ LN. ‖ 18. αὐτὴν P. ‖ οἷ N, omissis in lacuna ὄν τι. ‖ 22. ἂν Wa. ‖ ἡ om NWa. ‖ ςιγμὴν codices. ‖ καὶ] καὶ εἰ N. ‖ ἐγχωρεῖ] ἐνδέχοιτο NWa. ‖ 23. αὐτήν. εἰ δ᾽ ἀφαίρεσις NWa. ‖ 25. ἡ] ᾗ N. ‖ ᾗ — 26. ςιγμὴ om Wa. ‖ 26. ἡ μὲν οὖν γραμμὴ ἔςαι ςιγμῆς N. ‖ 27. γὰρ om LP. ‖ μέσον] κ N. ‖ 28. ὁ] ὁ δ᾽ NWa. ‖ λέγει L. ‖ καὶ] καὶ ὁ LP. ‖ εἴη τὸ μὴ Wa. ‖ 29. καὶ ante ἐπὶ om P. ‖ 30. καὶ γρ.] ἐκ γρ. om P. καὶ NWa. ‖ 31. ἐλαχίςη L, καὶ ἐλαχίςη P, καὶ ἐλάχιςον Wa. ‖ 32. τὸ om L. ‖ 33. ἐλάχιστόν ἐστι LP.

1. ἄλλω P. ‖ ςιγμαὶ] ςιγμαὶ καὶ γραμμὴ LN, ςιγμὴ καὶ γραμμὴ P, γραμμὴ καὶ ςιγμὴ Wa. ‖ ἐνυπάρχυσαι Wa. ‖ 3. αὖ om LP. ‖ ὡς LP. ‖ 4. ἡ δὲ τῇ N. ‖ 7. περὶ NWa. ‖ τὰς post καὶ om NWa. ‖ 9. ςερεῶν et 10. ἡ γὰρ Wa. ‖ 11. τι ἐκ τύτω LP. ‖ 12. περὶ N. ‖ 14. τῶ Wa. ‖ 15. περὶ NWa. ‖ 17. ἔτι εἰς ὃ ἐλάχιςον om Wa. ‖ 18. συλλαβομένης NWa. ‖ 19. ὐδὲ τὸ ἐν] ἐνδέχεται P. ‖ 21. ἐπὶ P. ‖ ἐςι τῶν] ἔςαι Wa. ‖ 23. γὰρ] δὲ NWa. ‖ ςιγμὴν αὐτὴν] αὐτὴν γραμμὴν LP. ‖ 24. ταύτης Wa: ceteri ταύτην. ‖ 25. ὅτι δ᾽ ὐκ et 26. ὅροιν NWa. ‖ 27. ἡ δὲ διαίρεσις μᾶλλον LP. ‖ ἔτι] εἰ et 28. ἔσονται] εἰσιν et 29. ὅτι] ἔτι Wa. ‖ 29. διαφορά NWa. ‖ 30. δεῖ] δὴ Za. ‖ 31. ἔτι δ᾽ ὐδεὶς Wa. ‖ ςόματι margo L. ‖ ἢ ἐν τῇ Wa. ‖ 32. ἀπείθους L. ‖ 33. ὐκ Za.

ΑΝΕΜΩΝ ΘΕΣΕΙΣ ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΑΙ.

ΕΚ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

ᾶς. οὗτος ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ
ῶν μεγάλων καὶ ὀρῶν διπλῶν παρ' ἄλληλα κειμέ-
ὰ καλεῖται Παγρικά. ἐν δὲ Καύνῳ Μέσης. ἐν δὲ
Καυνίας· πνεῖ γὰρ ἀπὸ Καύνου, ἐνοχλῶν τὸν λι-
αὐτῶν τὸν ἀκανίαν. ἐν δὲ Ὀλβίᾳ τῇ κατὰ Μύγα-
ῆς Παμφυλίας Γαυρεύς· πνεῖ γὰρ ἀπὸ νήσȣ ἣ κα-
Γαυρίς. τινὲς δὲ αὐτὸν Βορρᾶν οἴονται εἶναι, ἐν οἷς
υρναντεῖς οἱ κατὰ Φασηλίδα. Καικίας. ȣ῟τος ἐν
έσβῳ καλεῖται Θηβάνας· πνεῖ γὰρ ἀπὸ Θήβης πε-
ὑπὲρ τὸν Ἐλαιατικὸν κόλπον τῆς Μυσίας, ἐνοχλεῖ
Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα·
δὲ αἰκαυνίαις, ὃν ἄλλοι Βορρᾶν οἴονται εἶναι.
ιώτης. ȣ῟τος ἐν μὲν Τριπόλει τῆς Φοινίκης Ποταμεὺς
ται, πνεῖ δὲ ἐκ πεδίȣ ὁμοίȣ ἅλωνι μεγάλῃ, περιεχο-
ὑπό τε τοῦ Λιβάνȣ καὶ τȣ῀ Βαπύρȣ ὄρȣς· παρὸ καὶ
μεὺς καλεῖται. ἐνοχλεῖ δὲ τὸ Ποσειδώνειον. ἐν δὲ
σικῷ κόλπῳ καὶ περὶ Ῥωσσὸν Συριάνδος· πνεῖ δὲ
τῶν Συρίων πυλῶν, ἃς διέστηκεν ὅ τε Ταῦρος καὶ
όσια ὄρη. ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεύς,
Μάρσȣ κώμης. ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τέῳ καὶ ἐν
η καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ Ἑλλησποντίας. μάλιςα δὲ
λεῖ τόν τε τῆς Εὐβοίας Καφηρέα καὶ τὸν Κυρηναῖον
α, καλȣ́μενον δὲ Ἀπολλωνίαν· πνεῖ δὲ ἀφ' Ἑλλη-
ου. ἐν δὲ Σινώπῃ Βερεκυντίας ἀπὸ τῶν κατὰ Φρυ-
τόπων πνέων. ἐν δὲ Σικελίᾳ Καταπορθμίας, πνέων

ἀπὸ τοῦ πορθμοῦ. τινὲς δὲ αὐτὸν Καικίαν οἴονται εἶναι, Θηβάναν προσαγορεύοντες. Εὖρος. ȣ῟τος ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν Σκοπελεὺς καλεῖται ἀπὸ τοῦ Ῥωσίων σκοπέλȣ, ἐν δὲ Κυρήνῃ Κάρβας ἀπὸ τῶν Καρβανῶν τῶν κατὰ Φοινίκην· διὸ καὶ τὸν αὐτὸν Φοινικίαν καλȣ῀σί τινες. εἰσὶ δὲ οἳ καὶ Ἀπηλιώτην νομίζȣσιν εἶναι. Ὀρθόνοτος. τȣ῀τον οἱ μὲν Εὖρον, οἱ δὲ Ἀμνέα προσαγορεύȣσιν. Νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται· τὸ δὲ ὄνομα διὰ τὸ νοσώδη εἶναι· ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον. Λευκόνοτος ὁμοίως· τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος· λευκαίνεται γὰρ... Λίψ. καὶ ȣ῟τος τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ. Ζέφυρος. καὶ ȣ῟τος τόδε τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν. ἡ δὲ ἑσπέρα... Ἰάπυξ. ȣ῟τος ἐν Τάραντι Σκυλητῖνος ἀπὸ χωρίȣ Σκυλαντίμȣ. κατὰ δὲ οραλεοντο Φρυγίας. ὑπὸ δέ τινων Φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Πηγαῖον. παρὰ πολλοῖς δὲ Ἀργέστης. Θρακίας κατὰ μὲν Θρᾴκην Στρυμονίας (πνεῖ γὰρ ἀπὸ τȣ῀ Στρυμόνος ποταμȣ῀), κατὰ δὲ τὴν Μεγαρικὴν Σκίρρων ἀπὸ τῶν Σκιρρωνίδων πετρῶν, ἐν δὲ Ἰταλίᾳ καὶ Σικελίᾳ Κίρκας διὰ τὸ πνεῖν ἀπὸ τοῦ Κιρκαίου. ἐν δὲ Εὐβοίᾳ καὶ Λέσβῳ Ὀλυμπίας, τὸ δὲ ὄνομα ἀπὸ τȣ῀ Πιερικοῦ Ὀλύμπου· ὀχλεῖ δὲ Πυρραίȣς. ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσιν.

odex K^{o}.
0. ἐλαϊτικὸν K^{o}. ‖ 12. αἰκαυνίαις] τοῖς καυνίαις K^{o}. ‖ βορέαν K^{o}. ‖ 19. κόλπῳ ὁ μ. K^{o}. ‖ 24. βερεκυπτίας K^{o}.
. φοινίκων K^{o}. ‖ 21. ὀλαμπίας K^{o}.

ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ, ΠΕΡΙ ΖΗΝΩΝΟΣ, ΠΕΡΙ ΓΟΡΓΙΟΥ.

ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ.

Ἀΐδιον εἶναί φησιν εἴ τί ἐστιν, εἴπερ μὴ ἐνδέχεται γενέσθαι μηδὲν ἐκ μηδενός. εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα ἀΐδι' ἀμφοτέρως. ἐξ οὐδενὸς γὰρ αὐτῶν ἂν γινόμενα. ἁπάντων τε γὰρ γινομένων οὐδὲν προϋπάρχειν· εἴτ' ὄντων τινῶν ἀεὶ ἕτερα προσγίνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ἓν γεγονέναι. ᾧ δὴ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός· τῷ γὰρ ἐλάττονι τὸ πλέον, ἢ δ' ἐν τῷ μικροτέρῳ τὸ μεῖζον οὐχ ὑπάρχειν. ἀΐδιον δὲ ὂν ἄπειρον εἶναι, ὅτι οὐκ ἔχει ἀρχὴν ὅθεν ἐγένετο, οὐδὲ τελευτὴν εἰς ὃ γινόμενον ἐτελεύτησέ ποτε· πᾶν δὲ καὶ ἄπειρον ὂν εἶναι. εἰ γὰρ πλέον ἢ δύο εἴη, πέρατ' ἂν εἶναι ταῦτα πρὸς ἄλληλα. ἓν δὲ ὅμοιον εἶναι πάντα· εἰ γὰρ ἀνόμοια πλείω ὄντα, οὐκ ἂν ἔτι ἓν θεῖναι ἀλλὰ πολλά. ἀΐδιον δὲ ὂν μέτριόν τε καὶ ὅμοιον πάντῃ ἀκίνητον εἶναι τὸ ἕν. οὐ γὰρ ἂν κινηθῆναι μὴ ἔς τι ὑποχωρῆσαν. ὑποχωρῆσαι δὲ ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ἰὸν ἢ κενόν. τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι τὸ πλῆρες, τὸ δὲ οὐκ εἶναι οὐδὲν [ἢ] τὸ κενόν. τοιοῦτο δὲ ὂν τὸ ἓν ἀνώδυνόν τε καὶ ἀνάλγητον ὑγιές τε καὶ ἄνοσον εἶναι, οὔτε μετακοσμούμενον θέσει, οὔτε ἑτεροιούμενον εἴδει, οὔτε μιγνύμενον ἄλλῳ. κατὰ πάντα γὰρ ταῦτα πολλά τε τὸ ἓν γίνεσθαι καὶ τὸ μὴ ὂν τεκνοῦσθαι καὶ τὸ ὂν φθείρεσθαι ἀναγκάζεσθαι. ταῦτα δὲ ἀδύνατα εἶναι. καὶ γὰρ εἰ τὸ μεμῖχθαί τι ἓν ἐκ πλειόνων λέγοιτο, καὶ εἴη πολλὰ κινούμενα εἰς ἄλληλα τὰ πράγματα, καὶ ἡ μῖξις ἢ ὡς ἐν ἑνὶ σύνθεσις εἴη τῶν πλειόνων, ἢ τῇ ἀπαλλάξει οἷον ἐπιπρόσθησις γίνοιτο τῶν μιχθέντων, ἐκείνως μὲν ἂν δι' ἀλλήλων χωριζόντων εἶναι τὰ μιχθέντα, ἐπιπροσθήσεως δ' οὔσης ἐν τῇ τρίψει γίνεσθαι ἂν ἕκαστον φανερόν, ἀφαιρουμένων τῶν πρώτων τὰ ὑπ' ἄλληλα τεθέντα τῶν μιχθέντων· ὧν οὐδέτερον συμβαίνειν. διὰ τοῦτον δὲ τὸν τρόπον κἂν εἶναι πολλὰ κἂν ἡμῖν, ὡς τὸ φαίνεσθαι μόνως. ὥστ' ἐπειδὴ οὐχ οἷόν θ' οὕτως, οὐδὲ πολλὰ δυνατὸν εἶναι τὰ ὄντα, ἀλλὰ ταῦτα δοκεῖν οὐκ ὀρθῶς. πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὴν αἴσθησιν φαντάζεσθαι ἅπασαν. λόγον δ' οὔτ' ἀναιρεῖ τὰ αὐτὰ γίνεσθαι, οὔτε πολλὰ εἶναι τὸ ὄν, ἀλλ' ἀΐδιόν τε καὶ ἄπειρον καὶ πάντῃ ὅμοιον αὐτὸ αὑτῷ. ἆρ' οὖν δεῖ πρῶτον μὲν μὴ πᾶσαν λαβόντα δόξαν ἄρχεσθαι, ἀλλ' ἀεὶ μάλιστα ὂν βέβαιον. ὥστ' εἰ μὲν ἅπαντα τὰ δοκοῦντα μὴ ὀρθῶς ὑπολαμβάνεται, οὐθὲν ἴσως προσήκει οὐδὲ τούτῳ προχρῆσθαι τῷ δόγματι, οὐκ ἄν ποτε οὐδὲν γένοιτο ἐκ μηδενός. μία γάρ τίς ἐστι δόξα καὶ αὕτη τῶν οὐκ ὀρθῶν, ἣν ἐκ τοῦ αἰσθάνεσθαί πως ἐπὶ πολλῶν ὄντες ὑπειλήφαμεν. εἰ δὲ μὴ πάντα ἡμῖν ψευδῆ τὰ φαινόμενα, ἀλλά τινές εἰσι καὶ τούτων ὀρθαὶ ὑπολήψεις ἢ ἐπιδεῖξαι τὰς τοιαύτας ποιότητας μάλιστα δοκούσας ὀρθάς, ταύτας ληπτέον, ἃς ἀεὶ βεβαιοτέρας εἶναι δεῖ ἢ αἳ μέλλουσιν ἐξ ἐκείνων τῶν λόγων δειχθήσεσθαι. εἰ γὰρ καὶ εἶεν δύο δόξαι ὑπεναντίαι ἀλλήλαις, ὥσπερ οἴεται, εἰ μὴ πολλὰ γενέσθαι φησίν, ἀνάγκη εἶναι ἐκ μὴ ὄντων. εἰ δὲ τοῦτο μὴ οἷόν τε, οὐκ εἶναι τὰ ὄντα πολλά. γένοιτο γὰρ ἂν ὄν, ὅτι ἔστιν ἄπειρον εἶναι. εἰ δ' οὕτως, καὶ ἕν. ὁμοίως μὲν δὴ ἡμῖν ὁ ἀμφοτέρων π οὐδὲν μᾶλλόν τι ἕν, ἢ ὅτι πολλὰ δείκνυται. εἰ δὲ βέβαιος μᾶλλον ἡ ἑτέρα, ἀπὸ ταύτης ξυμπερανθέντα μᾶλλον δέδεικται. τυγχανόμενα δέ, ἔχοντος ἀμφοτέρας τὰς ὑπολήψεις ταύτας, καὶ κινούμενα μέν ἐστι τὰ ὄντα. ἀμφοῖν δὲ πιστὴ μᾶλλον αὕτη, καὶ θᾶττον ἂν προεῖντο πάντες ταύτην ἐκείνης τὴν δόξαν. ὥστ' εἰ καὶ συμβαίνει ἐναντίας

Codices $B^aR^aV^a$ et nonnullis locis $QN^aO^aZ^a$. Tit. ΠΕΡΙ] θεοφράστου περὶ R^a, ἀριστοτέλους περὶ δοξῶν Q, ἀριστοτέλους κατὰ τὰς δόξας τῶν φιλοσόφων B^a. ‖ περὶ ante Ζήνωνος om Q.

1. ΠΕΡΙ Ξ.] περὶ Ζήνωνος R^aV^a, om QB^aN^a. ‖ 4. ἀΐδια ἀμφοτέρως codex Lipsiensis: ceteri δι' ἀμφοτέρων. ‖ 5. εἴτ' ὄντων] εἰ τὸν τῶν $N^aO^aR^aV^a$, V^a post lacunam; εἶτον τῶν QB^a. Z^a haec εἴτ' — 9. ὑπάρχειν om. ‖ 8. ἔλαττον $QB^aO^aR^aV^a$. ‖ ἢ δ'] οὐδ' $QB^aN^aO^aR^aV^a$. ‖ 12. πέρατ' ἂν] πέραιαν R^a, περαιὰν $B^aN^aO^a$, περ αἰὰν QZ^a, περ ἐὰν V^a. ‖ 13. ὅμοιον] ὃ μόνον codices. ‖ εἰ] ἢ codices. ‖ 14. ἔτι ἐνθεῖναι Z^a, ἔτι ἓν εἶναι Sylburgius. ‖ ἄμετρόν codices. ‖ 15. ἂν κινηθῇ $QB^aN^aO^aR^aV^a$, ἀκινηθῇ Z^a. ‖ 16. ἔς τι Lps: ceteri ἐστίν. ‖ 17. ὂν codices. ‖ δέξασθαι N^aO^a. ‖ 18. τοιοῦτο — ἄνοσον Lps: ceteri τοιούτων (τοιοῦτον R^a) δὲ ὄντων ἀνωδύνων τε καὶ ἀναλγήτων ὑπες (ὑπίσῃ QN^aO^a) καὶ ἄνοθεν (ἄνοθεν Q). ‖ 22. ἓν] εἰ $QB^aN^aR^aV^aZ^a$, μὴ ὂν O^a. ‖ 26. οἷον] ονον $QN^aR^aZ^a$, ὄνον B^a, μόνον V^a. ‖ ἐπιπρόσθεσις Q, ἐπιπρόθεσις N^a, ἐπιπροσθέσεις $B^aR^aV^aZ^a$. ‖ 27. γίγνοιτο R^aV^a. ‖ 28. ἐπιπροσθέσεως codices.

5. ταῦτα Z^a: ceteri ταὐτά. ‖ 6. οὔτ' ἀναιρεῖ] οὔται κειναιρεῖ $B^aR^aZ^a$, οὔτ' ἐκεῖνα δεῖ V^a. ‖ 15. μὴ] μὴν $B^aR^aV^aZ^a$. iidem 16. ἐπιδεῖξαντα τοιαύτην. ‖ 18. τὸν λόγον Z^a. ‖ 25. ξυμπεραθέντα V^a. ‖ 27. post ταύτας Lps καὶ ὡς ἂν οὐ γένοιτ' ἂν οὐδὲν ἐκ μηδενός, πολλὰ δέ. ‖ 29. συμβαίνοιεν ἄν τις V^a, συμβαίνειεν ἄν τις ceteri. correctum e Lps.

εἶναι τὰς φάσεις, καὶ ἀδύνατον γίνεσθαί τε ἐκ μὴ ὄντος καὶ μὴ πολλὰ εἶναι τὰ πράγματα, ἐλέγχοιτο μὲν ἂν ὑπ' ἀλλήλων ταῦτα, ἀλλὰ τί μᾶλλον ὅτως ἂν ἔχοι; ἴσως τε κἂν φαίη τις τούτοις τἀναντία. οὔτε γὰρ δείξας ὅτι ὀρθὴ δόξα ἀφ' ἧς ἄρχεται, οὔτε μᾶλλον βέβαιον ἢ περὶ ἧς δείκνυσι λαβών, διελέχθη. μᾶλλον γὰρ λαμβάνεται εἰκὸς εἶναι γίνεσθαι ἐκ μὴ ὄντος ἢ μὴ πολλὰ εἶναι. λέγεταί τε καὶ σφόδρα ὑπὲρ αὐτῶν γίγνεσθαί τε τὰ μὴ ὄντα, καὶ μὴ γεγονέναι πολλὰ ἐκ μὴ ὄντων, καὶ ὅχ ὅτι οἱ τυγχάνοντες, ἀλλὰ καὶ τῶν δοξάντων εἶναι σοφῶν τινὲς εἰρήκασιν. αὐτίκα δ' Ἡσίοδος "πρῶτον μὲν πάντων" φησὶ "χάος ἐγένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύςερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί, ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν." τὰ δ' ἄλλα φησὶ γενέσθαι, ταῦτα δ' ἐξ ὅδενός. πολλοὶ δὲ καὶ ἕτεροι εἶναι μὲν ὅδέν φασι, γίγνεσθαι δὲ πάντα, λέγοντες ἐξ ὅκ ὄντων γίνεσθαι τὰ γινόμενα. ὥςε τῦτο μὲν δῆλον, ὅτι ἐνίοις γε δοκεῖ καὶ ἐξ οὐκ ὄντων ἂν γενέσθαι.

2 Ἀλλ' ἆρα εἰ μὲν δυνατά ἐστιν ἢ ἀδύνατα ἃ λέγει, ἐατέον. τὸ δὲ πότερον συμπεραίνεται αὐτὸ ἐξ ὧν λαμβάνει, ἢ ὅδὲν κωλύει καὶ ἄλλως ἔχειν, ἱκανῶς σκέψασθαι· ἕτερον γὰρ ἄν τι τῦτ' ἴσως ἐκείνυ εἴη. καὶ πρῶτον τεθέντος, ὃ πρῶτον λαμβάνει, μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος, ἆρα ἀνάγκη ἀγέννητα πάντα εἶναι, ἢ οὐδὲν κωλύει γεγονέναι ἕτερα ἐξ ἑτέρων, καὶ τοῦτο εἰς ἄπειρον ἰέναι; ἢ καὶ ἀνακάμπτει κύκλῳ, ὥςε τὸ ἕτερον ἐκ τῦ ἑτέρυ γεγονέναι, ἀεί τε οὕτως ὄντος τινός, καὶ ἀπειράκις ἑκάςυ γεγενημένυ ἐξ ἀλλήλων. ὥςε οὐδὲν ἂν κωλύοιτο ἅπαντα γεγονέναι, κειμένου τοῦ μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος, καὶ ἄπειρα ὄντα πρὸς ἐκεῖνον προσαγορεῦσαι οὐδὲν κωλύει τῶν τῷ ἑνὶ ἑπομένων ὀνομάτων. ἅπαντα γὰρ εἶναι καὶ λέγεσθαι καὶ ἐκεῖνος τῷ ἀπείρῳ προσάπτει. ὅδέν τε κωλύει, καὶ μὴ ἀπείρων ὄντων, κύκλῳ αὐτῶν εἶναι τὴν γένεσιν. ἔτι εἰ ἅπαντα γίγνεσθαι, ἔςι δὲ οὐδέν, ὥς τινες λέγυσιν, πῶς ἓν ἀΐδια εἴη; ἀλλὰ γὰρ τοῦ μὲν εἶναι ἕν τι ὡς ὄντος καὶ κειμένου διαλέγεται. εἰ γάρ, φησί, μὴ ἐγένετο, ἔστω δὲ ἀΐδια, ὡς δέον ὑπάρχειν τὸ εἶναι τοῖς πράγμασιν. ἔτι εἰ καὶ ὅτι μάλιςα μήτε τὸ μὴ ὂν ἐνδέχεται γενέσθαι μήτε ἀπολέσθαι τὸ μὴ ὄν, ὅμως τί κωλύει τὰ μὲν γενόμενα αὐτῶν εἶναι, τὰ δ' ἀΐδια, ὡς καὶ Ἐμπεδοκλῆς λέγει; ἅπαντα γὰρ κἀκεῖνος ταὐτὰ ὁμολογήσας, ὅτι ἔκ τε μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυςον καὶ ἄπρηκτον, ἀεὶ γὰρ θήσεσθαι ὅπῃ κέ τις αἰὲν ἐρείδῃ, ὅμως τῶν ὄντων τὰ μὲν ἀΐδια εἶναί φησι, πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, τὰ δ' ἄλλα γίνεσθαί τε καὶ γεγονέναι ἐκ τύτων. ὅδεμία γὰρ ἑτέρα, ὡς οἴεται, γένεσίς ἐςι τοῖς ὅσιν, ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων ἐςίν· φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν. τὴν δὲ γένεσιν προσιῦσαν τοῖς ἀϊδίοις καὶ τῷ ὅτι γίνεσθαι λέγει, ἐπεὶ τοῦτό γε ἀδύνατον ᾤετο. πῶς γάρ, φήσει, καὶ ἔπαρξις ἴετο, παντί τε καὶ ποθὲν ἐλθόν; ἀλλὰ μισγομένων τε καὶ συντιθεμένων πυρὸς καὶ τῶν μετὰ πυρὸς γίγνεσθαι τὰ πολλά, διαλλαττομένων τε καὶ διακρινομένων φθείρεσθαι πάλιν, καὶ εἶναι τῇ μὲν μίξει πολλά τε καὶ τῇ διακρίσει, τῇ δὲ φύσει τέτταρ' ἄνευ τῶν αἰτίων, ἢ ἕν· ἢ εἰ καὶ ἄπειρα εὐθὺς εἴη ταῦτα, ἐξ ὧν συντιθεμένων γίγνεται, διακρινομένων δὲ φθείρεται, ὡς καὶ τὸν Ἀναξαγόραν φασί τινες λέγειν ἐξ ἀεὶ ὄντων καὶ ἀπείρων τὰ γινόμενα γίνεσθαι. κἂν ὅτως, ὅκ ἂν εἴη ἀΐδια πάντα, ἀλλὰ καὶ γιγνόμενα ἄττα καὶ γενόμενά τ' ἐξ ὄντων καὶ φθειρόμενα εἰς ὅσίας τινὰς ἄλλας. ἔτι ὅδὲν κωλύει μίαν τινὰ οὐσίαν τὸ πᾶν μορφήν, ὡς καὶ ὁ Ἀναξίμανδρος καὶ ὁ Ἀναξιμένης λέγουσιν, ὁ μὲν ὕδωρ εἶναι φάμενος τὸ πᾶν, ὁ δέ, ὁ Ἀναξιμένης, ἀέρα, καὶ ὅσοι ἄλλοι οὕτως εἶναι τὸ πᾶν ἓν ἠξιώκασιν. τῦτο ἤδη σχήμασί τε καὶ πλήθεσι καὶ ὀλιγότητι, καὶ τῷ μανὸν ἢ πυκνὸν γίνεσθαι, πολλὰ καὶ ἄπειρα ὄντα τε καὶ γιγνόμενα ἀπεργάζεται τὸ ὅλον. φησὶ δὲ καὶ ὁ Δημόκριτος τὸ ὕδωρ τε καὶ τὸν ἀέρα ἕκαςόν τε τῶν πολλῶν, τῦτο ὄν, ῥυθμῷ διαφέρειν. τί δὴ κωλύει καὶ οὕτως τὰ πολλὰ γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, ἐξ ὄντος ἀεὶ ἐς ὂν μεταβάλλοντος ταῖς εἰρημέναις διαφοραῖς τοῦ ἑνός, καὶ ὅδὲν ὅτε πλέονος οὔτε ἐλάττονος γιγνομένου τοῦ ὅλου; ἔτι τί κωλύει ποτὲ μὲν ἐξ ἄλλων τὰ σώματα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι πάλιν; εἰ δὲ καὶ ταῦτά τις συγχωροίη, καὶ εἴη τι καὶ ἀγένητον, τί μᾶλλον ἄπειρον δείκνυται; ἄπειρον γὰρ εἶναί φησιν, εἰ ἔστι μέν, μὴ γεγονέναι. πέρατα γὰρ εἶναι τὴν τῆς γενέσεως ἀρχήν τε καὶ τελευτήν. καίτοι τί κωλύει ἀγένητον ὂν ἔχειν πέρας ἐκ τῶν εἰρημένων; εἰ γὰρ ἐγένετο, ἀρχὴν ἔχειν ἀξιοῖ ταύ-

13. αἰείδερος $B^aR^aV^a$. ‖ 16. post γινόμενα Lps: ὅδὲ γὰρ ἂν ἔτι αὐτοῖς ἅπαντα γίγνοιτο. ‖ 17. ἐνίοις] ἐν οἷς codices. ‖ 21. τοῦτ' ἴσως] τούτοις ὡς V^a. ‖ 23. ἀγένητα B^a. ‖ 27. κωλύει τὸ B^a. ‖ κειμένου Lps: ceteri κινυμένυ. ‖ 29. τῶν τῷ Lps: ceteri τῶν ἐν τῷ. ‖ 30. ἅπαντα] τὰ ἅπαντα B^aV^a. ‖ 31. προσάπτειν QB^aV^a. ‖ 33. γίγνεται rc V^a. ‖ 36. post ἀΐδια R^a νεικ, N^aO^az lacunam.

1. ταῦτα V^a. ‖ ἔκ τε μὴ ὄντος] ἐκτέμνοντες B^aV^a. ‖ 3. τι B^a. ‖ 4. ἐρεῖ δὲ $B^aR^aV^a$. ‖ 8. ἐςί] ἐςὶ τοῖς ὅσι V^a. ‖ 10. ἐπὶ R^a V^a. ‖ ᾤετο. πῶς γὰρ Lps: ceteri ὥςε τὸ πᾶς γ' ἄν. ‖ 12. συντιθεμένων — 13. τε καὶ om V^a. ‖ 14. πάλιν Lps: vulgo πλὴν. ‖ 16. ταυτά B^a. ‖ 25. ἓν om V^a. ‖ 29. κωλύειν $B^aR^aV^a$. ‖ 35. τί Lps: εἴη τι $B^aR^aV^a$.

την ὅθεν γίγνοιτο, εἰ γιγνόμενα. τί δὴ κωλύει, καὶ εἰ μὴ ἐγένετο, ἔχειν ἀρχήν; οὐ μέντοι γε ἐξ ἧς γε ἐγένετο, ἀλλὰ καὶ ἑτέραν, καὶ εἶναι περαίνοντα πρὸς ἄλληλα ἀΐδια ὄντα. ἔτι τί κωλύει τὸ μὲν ὅλον ἀγέννητον ὂν ἄπειρον εἶναι, τὰ δ' ἐν αὐτῷ γιγνόμενα πεπεράνθαι, ἔχοντ' ἀρχὴν καὶ τελευτὴν γενέσεως; ἔτι καὶ ὡς ὁ Παρμενίδης φησί, τί κωλύει καὶ τὸ πᾶν ἓν ὂν καὶ ἀγένητον ὅμως πεπεράνθαι, καὶ εἶναι πάντοθεν ἐγκύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον εἶναι μέχρι ὄν ἐστι τῇ ἢ τῇ. ἔχον δὲ μέσον καὶ ἔσχατα, πέρας ἔχει ἀγέννητον ὄν, ἐπεὶ εἰ καί, ὡς αὐτὸς λέγει, ἕν ἐστι, καὶ τοῦτο σῶμα, ἔχει ἄλλα ἑαυτοῦ μέρη, εἰ τάδε ὅμοια πάντα. καὶ γὰρ ὅμοιον οὕτω λέγει τὸ πᾶν εἶναι οὐ .. ἄλλῳ τινὶ ὃ περανθῆναι ὁρᾷς, ἐλέγχει εἴ τι ὅμοιον τὸ ἄπειρον. τό γε ὅμοιον ἑτέρῳ ὅμοιον, ὥστε δύο ἢ πλείω ὄντα οὐκ ἂν ἓν οὐδ' ἄπειρον εἶναι. ἀλλ' ἴσως τὸ ὅμοιον πρὸς αὐτὸ λέγει, καὶ φησὶν αὐτὸ ὅμοιον εἶναι πᾶν, ὅτι ὁμοιομερὲς ὕδωρ ὂν ἅπαν ἢ γῆ ἢ εἴ τι τοιοῦτον ἄλλο. δῆλος γὰρ οὗτος ἀξιῶν εἶναι ἓν τῶν διμερῶν ἕκαστον σῶμα ὄν, οὐκ ἄπειρόν ἐστιν. τὸ γὰρ ὅλον ἄπειρον, ὥστε ταῦτα περαίνει πρὸς ἄλληλα ἀγέννητα ὄντα. ἔτι εἰ ἀΐδιόν τε καὶ ἄπειρόν ἐστι, πῶς ἂν εἴη ἓν σῶμα ὄν; εἰ μὲν γὰρ ἀνομοίων ἀμερῶν εἴη, πολλά, καὶ αὐτὸς οὕτω γ' εἶναι ἀξιοῖ. εἰ δὲ ἅπαν ὕδωρ ἢ ἅπαν γῆ ἢ ὅ τι δὴ τὸ ὂν τοῦτ' ἐστί, πολλὰ ἂν ἔχοι μέρη, ὡς καὶ Ζήνων ἐπιχειρεῖ ὂν δεικνύναι τὸ οὕτως ὂν ἕν. εἴη οὖν ἂν καὶ πλείονα αὐτοῦ μέρη ἐλαττόνων τε καὶ μικροτέρων, ἀλλά τε πάντῃ ἂν ταύτῃ ἀλλοῖον εἴη οὐδενὸς προσγιγνομένου σώματος οὐδ' ἀπογιγνομένου. εἰ δὲ μήτε σῶμα μήτε πλάτος μήτε μῆκος ἔχον μηδέν, πῶς ἂν ἄπειρον ἂν εἴη; τί κωλύει πολλὰ καὶ ἐνάριθμα τοιαῦτα εἶναι; τί κωλύει καὶ πλείω ὄντα ἑνὸς μεγέθει ἄπειρα εἶναι; ὡς καὶ Ξενοφάνης ἄπειρον τό τε βάθος τῆς γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι. δηλοῖ δὲ καὶ ὁ Ἐμπεδοκλῆς· ἐπιτιμᾷ γὰρ ὡς λεγόντων τινῶν τοιαῦτα ἀδύνατα εἶναι, οὕτως ἐχόντων ξυμβαίνειν αὐτά, εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὃς διὰ πολλῶν δὴ βροτέων ῥηθέντα ματαίως ἐκκέχυται στομάτων, ὀλίγον τοῦ παντὸς ἰδόντων. ἔτι ὂν ἓν οὐδὲν ἄτοπον εἰ μὴ πάντῃ ὅμοιόν ἐστιν. εἰ γάρ ἐστιν ὕδωρ ἅπαν ἢ πῦρ ἢ ὅ τι δὴ ἄλλο τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνός, εἰ δὴ δι' ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῷ. καὶ γὰρ μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος ἐν τῷ μανῷ κενοῦ. οὐδὲν κωλύειν γάρ, τῷ μανῷ οὐκ ἔστιν ἐν τισι μέρεσι χωρὶς ἀποκεκριμένον τὸ κενόν, ὡς τὸ τοῦ ὅλου, τὸ μὲν εἶναι πυκνόν, καὶ τουτὶ δέ ἐστι μανὸν τὸ πᾶν οὕτως ἔχον· ἀλλ' ὁμοίως ἅπαν πλῆρες ὄν, ὁμοίως ἧττον πλῆρές ἐστι τοῦ πυκνοῦ. εἰ δὲ καὶ ἔστιν, ἀγέννητόν ἐστιν, καὶ διὰ τοῦτο δοθείη ἄπειρον εἶναι, καὶ μηδὲ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι. διὰ τοῦτο καὶ ἐν τούτῳ ἤδη προσαγορευτέον καὶ ἀδύνατον· πῶς γὰρ ἂν τὸ ἄπειρον ὅσον ἢ τὸ κενὸν μὴ ὅλον ἂν οἷόν τε εἶναι; ἀκίνητον δ' εἶναι φησίν, εἰ κενὸν μή ἐστιν· ἅπαντα γὰρ κινεῖσθαι τῷ ἀλλάττειν τόπον. πρῶτον μὲν οὖν τοῦτο πολλοῖς οὐ συνδοκεῖ, ἀλλ' εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δὲ χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν. τοιοῦτον δέ τι καὶ τὸ κενὸν οἷον ἀγγεῖόν τι ἀνὰ μέσον εἶναι ζητοῦμεν. ἀλλὰ δὴ καὶ εἰ μή ἐστι κενόν, μηδέ τι ἧσσον ἂν κινοῖτο, ἐπεὶ καὶ Ἀναξαγόρας τὸ πρὸς αὐτὸ πραγματευθείς, καὶ οὐ μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα, οὐκ ὄντος κενοῦ. ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκινούμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι λέγων ὡς τοῦ παντός, οὐδὲ κενεόν. πόθεν οὖν τί κ' ἐπέλθοι; ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ, ὡς ἓν εἶναι, οὐδέν φησι τό γε κενεὸν πέλει οὐδὲ περισσόν. τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι ἅμα ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον, ἄλλου μεταβάλλοντος ἀεί. ἔτι καὶ τὴν ἐν τῷ αὐτῷ μένοντος τοῦ πράγματος τόπῳ τοῦ εἴδους μεταβολήν, ἣν ἀλλοίωσιν οἵ τ' ἄλλοι κἀκεῖνος λέγει, [οὐδὲν] ἐκ τῶν εἰρημένων αὐτῷ κωλύει κινεῖσθαι τὰ πράγματα, ὅταν ἐκ λευκοῦ μέλαν ἢ ἐκ πικροῦ γένηται γλυκύ. οὐδὲν γὰρ τὸ μὴ εἶναι κενὸν ἢ μὴ δέχεσθαι τὸ πλῆρες ἀλλοιοῦσθαι κωλύει. ὥστε οὔτε ἅπαντα ἀΐδια οὔθ' ἓν οὔτ' ἄπειρον ἀνάγκη εἶναι, ἀλλ' ἄπειρα πολλά. οὔτε ἕν θ' ὅμοιον, οὔτ' ἀκίνητον, οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. τούτων δὲ κειμένων καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν κωλύει ἐκ τῶν ὑπ' ἐκείνῳ εἰρημέ-

8. ἐναλίγγιον *B*ᵉ*R*ᵉ. ‖ 9. ἰσοπλευρὲς *QB*ᵉ*R*ᵉ*V*ᵉ. ‖ γὰρ οὔτε] γαρ ὅτε *B*ᵉ*R*ᵉ*V*ᵉ. ‖ βαιβεέτερον *R*ᵉ, βεβαιότερον *B*ᵉ*V*ᵉ. ‖ 10. εἶναι μέχρι ὄν] πελέμεν χρεών? ‖ ἐστι] δὲ *V*ᵉ. ‖ ἢ τῇ om *B*ᵉ in lacuna. ‖ ἔχοντα *Q*. ‖ 12. εἰ om *B*ᵉ*V*ᵉ. ‖ 14. περαθῆναι *R*ᵉ*V*ᵉ. ‖ 18. γῆ Lps, uou γῆν. ‖ ἢ ante εἴ om *B*ᵉ*V*ᵉ. ‖ 22. post ἓν lacunam *R*ᵉ. ‖ 24. ἅπαν γῆ Lps: ceteri ἅπασαν γῆν. ‖ 26. ὄν· ἓν *B*ᵉ*R*ᵉ*V*ᵉ. ‖ 31. μεγέθη *B*ᵉ*R*ᵉ*V*ᵉ. ‖ 34. τινῶν τὰ τοιαῦτα *V*ᵉ. ‖ 35. ξυμβαίνει *R*ᵉ. ‖ 37. ὀλίγον add Lps. ‖ 38. εἰ γάρ] εἴς γάρ *B*ᵉ*R*ᵉ.

3. ἐν Lps: ceteri τοῦ. ‖ 6. δή *R*ᵉ*V*ᵉ. ‖ 8. ἀγένητόν *B*ᵉ. ‖ 10. τοῦτο *R*ᵉ. ‖ εἴδη *B*ᵉ. ‖ 11. ἢ] ἡ *B*ᵉ. ‖ 13. μή] μέν codices. ‖ 15. τοῦτό] τό *R*ᵉ. ‖ 18. ἧσσον Lps, ἴσος *B*ᵉ, ἢ σος *V*ᵉ, ἴσως *R*ᵉ. ‖ 23. μὲν ἀεὶ om *V*ᵉ. ‖ συγκινόμενα *B*ᵉ, συγκοινόμενα *R*ᵉ. ‖ 31. ἣν] ἡ *B*ᵉ*V*ᵉ. ‖ οὐδὲν om *B*ᵉ*R*ᵉ*V*ᵉ. ‖ 34. κενεὸν *B*ᵉ. ‖ 38. τὰ ὄντα add Lps. ‖ οὐδένα codices.

νων, καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου οὐδενὸς προσγιγνομένου. εἴ δ' ἄρα τινός, οὐ τοῦ σώματος, καὶ εἰ πολλὰ συμμισγομένων καὶ συνδιακρινομένων ἀλλήλοις. τὴν γὰρ μῖξιν οὔτ' ἐπιπρόσθεσιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκὸς οἵαν λέγειν. ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καὶ ἀποστρεφθέντος ἐπίπροσθεν ἕτερα ἑτέρων φέρεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτω συγκεῖσθαι ταχθέντα ὥστε ὁτιοῦν μιγνυμένου παρ' ὁτιοῦν ᾧ μίγνυσθαι μέρος, οὕτως ὡς μὴ ἀναληφθῆναι συγκείμενα, ἀλλὰ μεμιγμένα, μηδ' ὁποιαοῦν αὐτῷ μέρη. ἐπεὶ γὰρ οὐκ ἔστι σῶμα τὸ ἐλάχιστον, ἅπαν ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον.

ΠΕΡΙ ΖΗΝΩΝΟΣ.

3 Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ. ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίων ἢ ἐξ ἀνομοίων γενέσθαι τὸ γενόμενον. δυνατὸν δὲ οὐδέτερον. οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταὐτὰ γὰρ ἅπαντα τοῖς γε ἴσοις ἢ ὁμοίοις ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον γενέσθαι. εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι· ὅπερ ἀδύνατον. ἀΐδιον μὲν οὖν διὰ ταῦτ' εἶναι τὸν θεόν. εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτόν προσήκειν εἶναι. εἰ γὰρ δύο ἢ ἔτι πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ἂν θεὸς τῶν πολλῶν ὅμοιος ὢν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντα κρατεῖσθαι εἶναι. ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεὸν φύσιν δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε βέλτιον οὔτε χεῖρον εἶναι τοῦ ἴσου. ὥστ' εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο. οὐδὲ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων ἕνα εἶναι μόνον. ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντη, ὁρᾶν τε καὶ ἀκούειν, τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντη. εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ ὄντα· ὅπερ ἀδύνατον. πάντη δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μὲν τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντη. ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ οὔτ' ἄπειρον οὔτε πεπεράσθαι. ἄπειρον ὂ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν, τοιοῦτον δ' εἶναι τὸ ἄπειρον. οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν, περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἶεν. τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὁμοιοῦσθαι· ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ τι περανεῖ. τὸ δὲ τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε κινητὸν εἶναι. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός. ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῇ εἶναι. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω αὐτὸν εἶναι ἑνός. διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ ἓν οὔτε ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι. κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, οὔτε ἠρεμεῖν οὔτε ἀκίνητον εἶναι.

Πρῶτον μὲν οὖν λαμβάνει καὶ οὗτος τὸ γιγνόμενον γίγνεσθαι ἐξ ὄντος, ὥσπερ ὁ Μέλισσος. καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος; ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγέννητος ἢ καὶ τἆλλα πάντα, εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἀνομοίου γέγονεν· ὅπερ ἀδύνατον. ὥστε ἢ οὐδέν ἐστι παρὰ τὸν θεόν, ἢ καὶ τἆλλα ἀΐδια πάντα. ἔτι κράτιστον τὸν θεὸν λαμβάνει, τοῦτο δυνατώτατον καὶ βέλτιστον λέγων. οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν νόμον, ἀλλὰ πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί. οὐκ οὖν ἐκ τοῦ δοκοῦντος εἴληφε ταύτην κατὰ τοῦ θεοῦ τὴν ὁμολογίαν. τό τε κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνων λέγεται ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὐτοῦ διάθεσιν, ἐπεί τοί γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὐτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν. θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐκλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῷ· ἅμα γὰρ ἴσως ἔχοντι κἀκεῖνο ἂν συμβαίη. οὕτω δὲ διακεῖσθαι καὶ πλείους αὐτοὺς ὄντας οὐδὲν κωλύει, ἅπαντας ὡς

3. συμμιγομένων V^a. ‖ 6. ἑταίρων R^a. ‖ 8. ὁτιοῦν τοῦ μιγν. B^a. ‖ 13. ξενοφάνους $Q B^a O^a R^a V^a$ z. ‖ 15. ὁμοίων $B^a R^a$. ‖ 18. ταῦτα $B^a V^a$. ‖ 19. τὸ Lps: vulgo οὔτ'. ‖ 22. ὂν et ἂν add Lps. ‖ 24. εἶναι add Lps. ‖ δύο] δὴ $B^a R^a V^a$. ‖ 29. κρείττων Lps: vulgo κρεῖττον. ‖ 32. φύσιμος $B^a R^a V^a$. ‖ 33. χέριον R^a. ‖ 35. βούλοιτο. οὐ R^a. ‖ 38. ἂν om V^a.

1. τῇ μὲν τῇ V^a. ‖ 8. ὁμοιῶσθαι et 10. ἀνόητον $B^a R^a V^a$. ‖ 12. δεῖ V^a. ‖ 13. εἰς] εἰ $R^a V^a$. ‖ 16. δὲ καὶ Lps: ceteri γάρ. ‖ 18. ἔχεις $B^a R^a V^a$. ‖ 23. ὁμοίας $B^a R^a$. ‖ 24. ἢ Lps pro εἰ. ‖ 29. πολλῷ V^a. ‖ 32. τοιαύτη] τοῦ αὐτὴ $B^a R^a V^a$. ‖ 33. τοί γε Lps: τοῦ γὰρ $B^a R^a V^a$. ‖ 35. θέλει $B^a V^a$. ‖ 38. ἂν om V^a. ‖ συμβαίνει $B^a V^a$. ‖ 39. οὐδένα $B^a R^a V^a$.

οἷόν τε ἄριςα διακειμένυς, καὶ κρατίςυς τῶν ἄλλων, οὐχ αὐτῶν ὄντας. ἔςι δ', ὡς ἔοικε, καὶ ἄλλα. κράτιςον γὰρ εἶναι τὸν θεόν φησι, τοῦτο δέ τινι εἶναι ἀνάγκη, ἕνα τὰ πάντα ὁρᾶν καὶ ἀκύειν ὐδὲν προσήκει· ὐ γὰρ εἰ μὴ καὶ τῇδ' ὁρᾷ, χεῖρον ὁρᾷ ταύτῃ, ἀλλ' οὐχ ὁρᾷ. ἀλλ' ἴσως τῦτο βύλεται τὸ πάντῃ αἰσθάνεσθαι, ὅτι ὕτως ἂν βέλτιςα ἔχοι, ὅμοιος ὢν πάντῃ. ἔτι τοιῦτος ὢν διὰ τί σφαιροειδὴς ἂν εἴη, ἀλλ' οὐχ ὅτι ἑτέραν τινὰ μᾶλλον ἔχων ἰδέαν, ὅτι πάντῃ ἀκούει καὶ πάντῃ κρατεῖ; ὥσπερ γὰρ ὅταν λέγωμεν τὸ ψιμμύθιον ὅτι πάντα ἐςὶ λευκόν, ὐδὲν ἄλλο τι σημαίνομεν ἢ ὅτι ἐν ἅπασιν αὐτοῦ τοῖς μέρεσιν ἐγκέχρωσται ἡ λευκότης· τί δὴ κωλύει οὕτω κἀκεῖ τὸ πάντῃ ὁρᾶν καὶ ἀκούειν καὶ κρατεῖν λέγεσθαι, ὅτι ἅπαν ὃ ἄν τις αὐτοῦ λαμβάνῃ μέρος, τοῦτ' ἔσται πεπονθός; ὥσπερ δὲ οὐδὲ τὸ ψιμμύθιον, ὐδὲ τὸν θεὸν ἀνάγκη διὰ τῦτο εἶναι σφαιροειδῆ. ἔτι μήτε ἄπειρον μήτε πεπεράνθαι σῶμα γε ὂν καὶ ἔχον μέγεθος πῶς οἷόν τε, εἴπερ τοῦτ' ἐςὶν ἄπειρον ὃ ἂν μὴ ἔχῃ πέρας δεκτικὸν ὂν πέρατος. πέρας δ' ἐν μεγέθει καὶ πλήθει ἐγγίνεται, καὶ ἐν ἅπαντι τῷ ποσῷ, ὥςε ἂν μὴ ἔχῃ πέρας μέγεθος ὄν, ἄπειρόν ἐςιν. ἔτι δὲ σφαιροειδῆ ὄντα ἀνάγκη πέρας ἔχειν. ἔσχατα γὰρ ἔχει, εἴπερ μέσον ἔχει αὑτῦ τῦ πλεῖςον ἀπέχειν. μέσον δ' ἔχει, σφαιροειδὲς ὂν τῦτο γάρ ἐςι σφαιροειδὲς ὃ ἐκ τοῦ μέσυ ὁμοίως πρὸς τα ἔσχατα. σῶμα ἔσχατα ἢ πέρατα ἔχειν, οἷον διαφορεῖ. εἰ γὰρ καὶ τὸ μὴ ὂν ἀπλῦν, οὐκ ἂν καὶ τὸ ὂν ἄπειρον. τί γὰρ κωλύει ἔνια ταὐτὰ λεχθῆναι κατὰ τῦ ὄντος καὶ μὴ ὄντος; τό τε γὰρ ὂν ὐκ ὂν ὐδεὶς νῦν αἰσθάνεται, καὶ ὂν δέ τις ὐκ ἂν αἰσθάνοιτο νῦν· ἄμφω δὲ λεκτά, ὅπως διανοητά. ὐ λευκὸν δὲ τὸ μὴ ὄν· εἰ ὖν διὰ τῦτο τὰ ὄντα πάντα λευκά, ὅπως μή τι ταὐτὸ κατὰ τῦ ὄντος σημαίνωμεν καὶ μὴ ὄντος, ἢ ὐδὲν κωλύει καὶ τῶν ὄντων τι μὴ ὂν εἶναι λευκόν; ὕτω δὲ καὶ ἄλλην ἂν ἀπόφασιν δέξαιτο τὸ ἄπειρον, εἰ μὴ τὸ πάλαι λεχθέντι μᾶλλον, παρὰ τὸ μὴ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἅπαν. ὥςε καὶ τὸ ὂν ἢ ἄπειρον ἢ πέρας ἔχον ἐςίν. ἴσως δὲ ἄτοπον καὶ τὸ προσάπτειν τῷ μὴ ὄντι ἀπειρίαν. ὐ γὰρ πᾶν, εἰ μὴ ἔχει πέρας, ἄπειρον λέγομεν, ὥσπερ ὐδ' ἄνισον ὐκ ἂν φαῖμεν εἶναι τὸ μὴ ὄν. ἔτι ὐκ ἂν ἔχοι ὁ θεὸς πέρας εἷς ὤν, ἀλλ' ὐ πρὸς θεόν. εἰ δὲ ἓν μόνον ἐςίν, ὁ θεὸς ἂν εἴη μόνον καὶ τὰ τῦ θεῦ μέρη. ἐπεὶ καὶ τοῦτ' ἄτοπον, εἰ τοῖς πολλοῖς συμβέβηκε πεπεράνθαι πρὸς ἄλληλα, διὰ τοῦτο τὸ ἓν μὴ ἔχειν πέρας. πολλὰ γὰρ τοῖς πολλοῖς καὶ τῷ ἑνὶ ὑπάρχει ταὐτά, ἐπεὶ καὶ τὸ εἶναι κοινὸν αὐτοῖς ἐςίν. ἄτοπον οὖν ἴσως ἂν εἴη, εἰ διὰ τῦτο μὴ φαῖμεν εἶναι τὸν θεόν, εἰ τὰ πολλά ἐςιν, ὅπως μὴ ὅμοιον ἔςαι αὐτοῖς ταύτῃ. ἔτι τί κωλύει πεπεράνθαι καὶ ἔχειν πέρατα ἓν ὄντα τὸν θεόν; ὡς καὶ ὁ Παρμενίδης λέγει ἓν ὂν εἶναι αὐτὸν πάντοθεν εὐκύκλυ σφαίρας ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλές. τὸ γὰρ πέρας τινὸς μὲν ἀνάγκη ἴσως εἶναι, ὐ μέντοι πρός τι γε, ὐδὲ ἀνάγκη τὸ ἔχον πέρας πρός τι ἔχειν πέρας, ὡς πεπερασμένον πρὸς τὸ μὴ ἐφεξῆς ἀπείρου, ἀλλ' ἐστὶ τὸ πεπεράνθαι ἔσχατα ἔχειν, ἔσχατα δ' ἔχον οὐκ ἀνάγκη πρός τι ἔχειν. ἐνίοις μὲν ὖ συμβαίνει πᾶν καὶ πεπεράνθαι. πάλιν περὶ τῦ ἀκίνητον εἶναι τὸ ἓν καὶ τὸ ὄν, ὅτι καὶ τὸ ὂν κινεῖται, ἴσως ὁμοίως τοῖς ἔμπροσθεν ἄτοπον. καὶ ἔτι ἆρά γε ὐ ταὐτὸ ἄν τις ὑπολάβοι τὸ μὴ κινεῖσθαι καὶ τὸ ἀκίνητον εἶναι, ἀλλὰ τὸ μὲν ἀπόφασιν τῦ κινεῖσθαι, ὥσπερ τὸ μὴ ἴσον, ὅπερ καὶ κατὰ τοῦ μὴ ὄντος, εἴπερ ἀληθές, τὸ δὲ ἀκίνητον τῷ ἔχειν πως ἤδη λέγεσθαι, ὥσπερ τὸ ἄνισον, καὶ ἐπὶ τῷ ἐναντίῳ τοῦ κινεῖσθαι τῷ ἠρεμεῖν, ὡς καὶ σχεδὸν οἱ ἀπὸ τῦ α ἀποφάσεις ἐπὶ ἐναντίοις λέγονται. τὸ μὲν οὖν μὴ κινεῖσθαι ἀληθὲς ἐπὶ τῦ μὴ ὄντος, τὸ δὲ ἠρεμεῖν οὐχ ὑπάρχει τῷ μὴ ὄντι. ὁμοίως δὲ οὐδὲ ἀκίνητον εἶναι σημαίνει ταὐτόν. ἀλλ' ὗτος ἐπὶ τῷ ἠρεμεῖν αὐτῷ χρῆται, καὶ φησὶ τὸ μὴ ὂν ἠρεμεῖν, ὅτι οὐκ ἔχει μετάβασιν. ὅπερ τε καὶ ἐν τοῖς ἄνω εἴπομεν, ἄτοπον ἴσως, εἴ τι τῷ μὴ ὄντι προσάπτομεν, τῦτο μὴ ἀληθὲς εἶναι κατὰ τῦ ὄντος εἰπεῖν, ἄλλως τε κἂν ἀπόφασις ᾖ τὸ λεχθέν, τὸ καὶ τὸ μὴ κινεῖσθαι μηδὲ μεταλαμβάνειν ἐςίν. πολλὰ γὰρ ἄν, καθάπερ καὶ ἐλέχθη, ἀφαιροῖτο τῶν ὄντων κατηγορεῖ. ὐδὲ γὰρ ἂν πολλὰ ἀληθὲς εἰπεῖν εἴη μὴ ἕν, εἴπερ καὶ τὸ μὴ ὂν ἐςὶ μὴ ἕν, εἶτε ἐπ' ἐνίων τἀναντία ξυμβαίνειν δοκεῖ κατὰ τοσαύτας ἀποφάσεις· ὧν ἀνάγκη ἢ ἴσον ἢ ἄνισον, ἄν τι πλῆθος ᾖ, καὶ μὴ ὡς ἢ καὶ ἄρτιον ἢ περιττόν, ἂν ἀριθμὸς ᾖ. ὁμοίως δὲ ὡς καὶ τὸ ἠρεμεῖν ἢ κινεῖσθαι ἀνάγκη, ἂν σῶμα ᾖ. ἔτι εἰ καὶ διὰ τοῦτο μὴ κινεῖται ὁ θεός τε καὶ τὸ ἕν, ὅτι τὰ πολλὰ κινεῖται τῷ

1. οἴονται $B^aR^aV^a$. ‖ 3. τινῶν B^aV^a. ‖ 4. εἰ μὴ] εἰμί, 7. διότι, 11. ἐγκέχρησται, 14. λαμβάνει $B^aR^aV^a$. ‖ 16. ἔχων et 17. ἔχει R^a. ‖ 18. λεκτικὸν et 22. ἀπέχειν] ἀπέχει $B^aR^aV^a$. ‖ 20. ὂν Lps pro ὅσον. ‖ τοῦτο γάρ ἐςι σφαιροειδὲς ὃ om B^aV^a. ‖ 23. πορὲς codices. ‖ 28. ὅπου R^aV^a. ‖ δὲ] τε B^aV^a. ‖ 31. τι μὴ ὂν] τίμιον $B^aR^aV^a$. ‖ 32. ὖν ἀπόφασιν δέξονται codices. ‖ 35. τὸ post 34. δὲ $B^aR^aV^a$. ‖ 36. ἔχοι et 37. φαμεν V^a. ‖ 37. ἔχει B^aV^a. ‖ 38. ἂν] ἓν ἂν V^a.

4. ταῦτα $B^aR^aV^a$. ‖ 6. εἶτα B^a. ‖ 7. τί] τε V^a. ‖ 9. ὄγκῳ] ὂν τῷ $B^aR^aV^a$. ‖ 10. ἶσον R^a. ‖ 15. post πεπεράνθαι Lps πρός τι συνάπτειν, τοῖς δὲ πεπεράνθαι μέν, μὴ μέντοι πρός τι πεπεράνθαι. ‖ ἓν] ὂν $B^aR^aV^a$. ‖ ὂν] μὴ ὂν V^a. ‖ 16. καὶ τὸ ὂν om B^a. ‖ 17. τι B^aR^a. ‖ 19. τὸ μὴ ἴσον, ὅπερ Lps: ceteri μὴ τὸ ἴσον ὥσπερ. ‖ 21. τῶν ἐναντίων τὸ V^a. ‖ 27. τε add Lps. ‖ 30. μεταλαμβάνει B^a. ‖ 36. ἢ] καὶ V^a. ‖ 37. ἢ B^aR^a. ‖ 35. τὰ om V^a.

εἰς ἄλληλα ἰέναι, τί κωλύει καὶ τὸν θεὸν κινεῖσθαι εἰς ἄλλο; οὐδα τι μόνον, ἀλλ' ὅτι εἷς μόνος θεός. εἰ δὲ καὶ αὐτός, τί κωλύει εἰς ἄλληλα κινουμένων τῶν μερων τοῦ ...κύκλῳ φε...θεόν; οὐ γὰρ δὴ τὸ τοιοῦτον ἕν, ὥσπερ ὁ Ζήνων πολλὰ εἶναι φύσει. αὐτὸς γὰρ σῶμα λέγει εἶναι τὸν θεόν, εἴτε τόδε τὸ πᾶν, εἴτε ὅ τι δήποτε αὐτὸ λέγων. ἀσώματος γὰρ ὢν πῶς ἂν σφαιροειδὴς εἴη ἐπιμόνως, ὅταν οὕτως οὔτ' ἂν κινοῖτο οὔτ' ἂν ἠρεμοῖ μηδαμοῦ γε ὤν; ἐπεὶ δὲ σῶμά ἐστι, τί ἂν αὐτὸ κωλύοι κινεῖσθαι ὡς ἐλέχθη;

ΠΕΡΙ ΓΟΡΓΙΟΥ.

5 Οὐκ εἶναί φησιν οὐδέν· εἰ δ' ἔστιν, ἄγνωστον εἶναι· εἰ δὲ καὶ ἔστι καὶ γνωστόν, ἀλλ' οὐ δηλωτὸν ἄλλοις. καὶ ὅτι μὲν οὐκ ἔστι, συνθεὶς τὰ ἑτέροις εἰρημένα, ὅσοι περὶ τῶν ὄντων λέγοντες τἀναντία, ὡς δοκοῦσιν, ἀποφαίνονται αὐτοῖς, οἱ μὲν ὅτι ἓν καὶ οὐ πολλά, οἱ δὲ αὖ ὅτι πολλὰ καὶ οὐχ ἕν, καὶ οἱ μὲν ὅτι ἀγένητα, οἱ δ' ὡς γενόμενα ἐπιδεικνύντες ταῦτα, συλλογίζεται κατ' ἀμφοτέρων. ἀνάγκη γάρ, φησίν, εἴ τί ἐστι, μήτε ἓν μήτε πολλὰ εἶναι, μήτε ἀγένητα μήτε γενόμενα, οὐδὲν ἂν εἴη. εἰ γὰρ μὴ εἴη τι, τούτων ἂν θάτερα εἴη. ὅτι οὐκ ἔστιν οὔτε ἓν οὔτε πολλά, οὔτε ἀγέννητα οὔτε γενόμενα, τὰ μὲν ὡς Μέλισσος, τὰ δὲ ὡς Ζήνων ἐπιχειρεῖ δεικνύειν μετὰ τὴν πρώτην ἴδιον αὐτοῦ ἀπόδειξιν, ἐν ᾗ λέγει ὅτι οὐκ ἔστιν οὔτε εἶναι οὔτε μὴ εἶναι. εἰ μὲν γὰρ τὸ μὴ εἶναι ἔστι μὴ εἶναι, οὐδὲν ἂν ἧττον, τὸ μὴ ὂν τοῦ ὄντος εἴη. τό τε γὰρ μὴ ὄν ἐστι μὴ ὄν, καὶ τὸ ὂν ὄν, ὥστε οὐδὲν μᾶλλον ἢ εἶναι ἢ οὐκ εἶναι τὰ πράγματα. εἰ δ' ὅμως τὸ μὴ εἶναί ἐστι, τὸ εἶναι, φησίν, οὐκ ἔστι τὸ ἀντικείμενον. εἰ γὰρ τὸ μὴ εἶναί ἐστι, τὸ εἶναι [ἢ] μὴ εἶναι προσήκει. ὥστε οὐκ ἂν οὕτως, φησίν, οὐδὲν ἂν εἴη, εἰ μὴ ταὐτόν ἐστιν εἶναί τε καὶ μὴ εἶναι. εἰ δὲ ταὐτό, καὶ οὕτως οὐκ ἂν εἴη οὐδέν· τό τε γὰρ μὴ ὂν οὐκ ἔστι καὶ τὸ ὄν, ἐπείπερ ταὐτὸ τῷ μὴ ὄντι. οὗτος μὲν οὖν ὁ αὐτὸς λόγος ἐκείνου.

6 Οὐδαμόθεν δὲ συμβαίνει ἐξ ὧν εἴρηκεν, μηδὲν εἶναι. ἃ γὰρ καὶ ἀποδείκνυσιν, οὕτως διαλέγεται. εἰ τὸ μὴ ὂν ἔστιν ἢ ἔστιν, ἁπλῶς εἰπεῖν εἴη, καὶ ἔστιν ὅμοιον μὴ ὄν. τοῦτο δὲ οὔτε φαίνεται οὕτως οὔτε ἀνάγκη, ἀλλ' ὡσπερεὶ δυοῖν, ὄντος, τοῦ δ' οὐκ ὄντος, τὸ μὲν ἔστι, τὸ δ' οὐκ ἀληθές, ὅτι ἐστὶ τὸ μὲν μὴ ὄν. διότι οὖν οὐκ ἔστιν, οὔτε εἶναι οὔτε μὴ εἶναι τὰ ἄμφω οὔθ' ἕτερον οὐκ ἔστιν. οὐδὲν γάρ, φησίν, εἴη ἂν τὸ μὴ εἶναι τοῦ εἶναι, εἴπερ εἴη τι καὶ τὸ μὴ εἶναι. οὐδείς φησιν εἶναι τὸ μὴ εἶναι οὐδαμῶς. εἰ δὲ καὶ ἔστι τὸ μὴ ὂν μὴ ὄν, οὐδ' οὕτως ὁμοίως ἂν εἴη τὸ μὴ ὂν τῷ ὄντι· τὸ μὲν γάρ ἐστι μὴ ὄν, τὸ δὲ καὶ ἔστιν ἔτι. εἰ δὲ καὶ ἁπλῶς εἰπεῖν ἀληθές, ὡς δὴ θαυμάσιόν τ' ἂν εἴη τὸ μὴ ὂν ἔστιν. ἀλλ' εἰ δὴ οὕτω, πότερον μᾶλλον ξυμβαίνει τὰ πάντα εἶναι ἢ μὴ εἶναι; αὐτὸ γὰρ οὕτω γε τοὐναντίον ἔοικε γίνεσθαι. εἰ γὰρ τό τε μὴ ὂν ἐστι καὶ τὸ ὂν ὄν ἐστιν, ἅπαντά ἐστιν. καὶ γὰρ τὰ ὄντα καὶ τὰ μὴ ὄντα ἐστίν. οὐκ ἀνάγκη γάρ, εἰ τὸ μὴ ὂν ἐστι, καὶ τὸ ὂν μὴ εἶναι. εἰ δὴ καὶ οὕτω τις ξυγχωρεῖ, καὶ τὸ μὲν μὴ ὂν εἴη, τὸ δὲ ὂν μὴ εἴη, ὅμως οὐδὲν ἧττον εἴη ἄν· τὰ γὰρ μὴ ὄντα εἴη κατὰ τὸν ἐκείνου λόγον. εἰ δὲ ταὐτόν ἐστι καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι, οὐδ' οὕτως μᾶλλον οὐκ [εἴη] ἄν τι εἴη. ὡς γὰρ κἀκεῖνος λέγει, ὅτι εἰ ταὐτὸν μὴ ὂν καὶ ὄν, τό τε ὂν οὐκ ἔστι καὶ τὸ μὴ ὄν. ὥστε οὐδέν ἐστιν, ἀντιστρέψαντι ἔστιν ὁμοίως φάναι ὅτι πάντα ἐστίν. τό τε γὰρ μὴ ὂν ἐστι καὶ τὸ ὄν, ὥστε πάντα ἐστίν. μετὰ δὲ τοῦτον τὸν λόγον φησίν· εἰ δὲ ἔστιν, ἤτοι ἀγέννητον ἢ γενόμενον εἶναι. καὶ εἰ μὲν ἀγένητον, ἄπειρον αὐτὸ τοῖς τοῦ Μελίσσου ἀξιώμασι λαμβάνει· τὸ δ' ἄπειρον οὐκ ἂν εἶναί ποτε. οὔτε γὰρ ἐν αὑτῷ οὔτ' ἂν ἐν ἄλλῳ εἶναι· δύο γὰρ ἂν οὕτως ἢ πλείω εἶναι, τό τε ἑνὸν καὶ τὸ ἐν ᾧ, μηδαμοῦ δὲ ὂν οὐδὲ εἶναι κατὰ τὸν Ζήνωνος λόγον περὶ τῆς χώρας. ἀγέννητον μὲν οὖν διὰ ταῦτ' οὐκ εἶναι, οὐ μὴν οὐδὲ γενόμενον. γενέσθαι γοῦν οὐδὲν ἂν οὔτ' ἐξ ὄντος οὔτ' ἐκ μὴ ὄντος. εἰ γὰρ τὸ ὂν μεταπέσοι, οὐκ ἂν ἔτ' εἶναι τὸ ὄν, ὥσπερ γ' εἰ καὶ τὸ μὴ ὂν γένοιτο, οὐκ ἂν ἔτι εἴη μὴ ὄν. οὐδὲ μὴν οὐδ' ἐξ ὄντος ἂν γενέσθαι. εἰ μὲν γὰρ μή ἐστι τὸ μὴ ὄν, οὐδὲν ἂν ἐκ μηδενὸς ἂν γενέσθαι· εἰ δ' ἔστι τὸ μὴ ὄν, δι' ἅπερ οὐδ' ἐκ τοῦ ὄντος, διὰ ταῦτα οὐδ' ἐκ τοῦ μὴ ὄντος γενέσθαι. εἰ οὖν ἀνάγκη μέν, εἴπερ ἔστι τι, ἤτοι ἀγέννητον εἶναι ἢ γενόμενον, ταῦτα δὲ ἀδύνατόν τι καὶ εἶναι. ἔτι εἴπερ ἔστιν, ἓν ἢ πλείω, φησίν, ἐστίν· εἴτε μήτε ἓν μήτε πολλά, οὐδὲν ἂν εἴη. καὶ ἓν μὲν... καὶ ὅτι ἀσώματον ἂν εἴη τὸ ἓν η ἐνσχονμέν γε τῷ τοῦ Ζήνωνος λόγου. ἑνὸς δὲ ὄντος οὐδ' ἂν...εἶναι οὐδὲ μὴ...μήτε πολλά. εἰ γὰρ μήτε ἓν μήτε

1. κινᾶσθαι R^a. ‖ 4. κύκλω θε ὂν V^a, κύκλω θεόν R^a. ‖ 5. φήσει et 9. κωλύει $B^aR^aV^a$. ‖ 11. Titulum om $QB^aO^aR^aV^az$. ‖ 13. ἄλλως $QB^aR^aV^a$. ‖ 16. αὖ ἔτι] οὐ ἔτι οὐ $QB^aR^aV^a$. ‖ 17. ἂν γένηται $QB^aR^aV^a$. ‖ 18. κατ'] τ' QB^aV^a. ‖ 24. ἔστιν] ἔστιν οὔτε ἓν οὔτε πολλά, οὔτε ἀγέννητα οὔτε γενόμενα V^a. ‖ 25. ἔστι] ἢ ἐστι $QB^aN^aO^aR^aV^a$. ‖ 31. ἐστιν εἶναί] ἐστι ναί B^aR^a. ‖ εἰ Lps: ceteri ἔστι. ‖ 35. καὶ om R^a. ‖ εἰ] ἢ R^a. ‖ 36. εἴη] εἴη καὶ ἔστιν εἴη B^aV^a. ‖ 37. ὥσπερ V^a, ὡς περὶ R^a. ‖ 38. ὄντος, τοῦ] τοῦ μὲν ὄντος τοῦ V^a. ‖ τὸ μὲν] τὰ μὲν B^aR^a.

1. οὖν] ὂν V^a. ‖ 3. ὥσπερ V^a. ‖ 5. εἴη ἂν B^aR^a. ‖ τῷ] τῷ μὴ $B^aR^aV^a$. ‖ 10. μὴ ὄν] μὴ ὂν μὴ ὂν margo V^a. ‖ 21. ἢ] ἢ μὴ $B^aR^aV^a$. ‖ 24. τό τε ἑνὸν] τοῦτο ἓν ὂν $B^aR^aV^a$. ‖ 27. γοῦν Lps: ceteri τόν. ‖ 29. γ'] γὰρ B^a. ‖ ὂν] οὖν B^a. ‖ 30. μὴν] μὲν B^aR^a. ‖ 33. ἤτοι] ἢ τὸ $B^aR^aV^a$. ‖ 35. μήτε ἓν] μὴ ἓν R^a. ‖ 37. ἔσχομεν V^a, σχοῖμεν Q, ἔχομεν Lps. ‖ 38. οὐδὲ μὴ] οὐδὲν οὐδὲ V^a. ‖ ante μήτε lacunam R^a.

πολλά ἐςιν, οὐδ᾽ ἂν κινηθῆναί φησιν. οὐδενὶ γὰρ κινηθείη, ἢ οὐκ ἂν ἔτι, ἢ ὡσαύτως ἔχον, ἀλλὰ τὸ μὲν οὐκ ἂν εἴη, τὸ δ᾽ οὐκ ὂν γεγονὸς εἴη. ἔτι δὲ ἢ κινεῖ ἢ κινεῖται, καὶ εἰ μεταφέρεται οὐ συνεχὲς ὄν, διήρηται τὸ ὄν, οὔτε τι ταύτῃ· ὥςε πάντῃ κινεῖται, πάντῃ διήρηται. εἰ δ᾽ οὕτως, πάντα οὐκ ἔςιν. ἐκλιπὲς γὰρ ταύτῃ, φησίν, ᾗ διήρηται, τοῦ ὄντος, ἀντὶ τοῦ κενοῦ τὸ διῃρῆσθαι λέγων, καθάπερ ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις γέγραπται. εἰ μὲν οὖν οὐδέν, τὰς ἀποδείξεις λέγειν ἅπαντα. δεῖ γὰρ τὰ φρονούμενα εἶναι, καὶ τὸ μὴ ὄν, εἴπερ μή ἐςι, μηδὲ φρονεῖσθαι. εἰ δ᾽ οὕτως, οὐδὲν ἂν εἶναι ψεῦδος οὐδείς φησιν, οὐδ᾽ εἰ ἐν τῷ πελάγει φαίη ἁμιλλᾶσθαι ἅρματα. πάντα γὰρ ἂν ταῦτα εἴη. καὶ γὰρ τὰ ὁρώμενα καὶ ἀκουόμενα διὰ τοῦτό ἐςιν, ὅτι φρονεῖται ἕκαςα αὐτῶν· εἰ δὲ μὴ διὰ τοῦτο, ἀλλ᾽ ὥσπερ οὐδὲν μᾶλλον ἃ ὁρῶμεν ἐςίν, οὕτω μᾶλλον ἃ ὁρῶμεν ἢ διανοούμεθα. καὶ γὰρ ὥσπερ ἐκεῖ πολλοὶ ἂν ταῦτα ἴδοιεν, καὶ ἐνταῦθα πολλοὶ ἂν ταῦτα διανοηθείημεν. τὸ οὖν μᾶλλον δὴ τοιάδ᾽ ἐςί, ποῖα δὲ τἀληθῆ, ἄδηλον. ὥςε καὶ εἰ ἔςιν, ἡμῖν γε ἄγνωςα εἶναι τὰ πράγματα. | εἰ δὲ καὶ γνωςά, πῶς ἄν τις, φησί, δηλώσειεν ἄλλῳ; ὃ γὰρ εἶδε, πῶς ἄν τις, φησί, τοῦτο εἴποι λόγῳ; ἢ πῶς ἂν ἐκείνῳ δῆλον ἀκούσαντι γίγνοιτο, μὴ ἰδόντι; ὥσπερ γὰρ οὐδὲ ἡ ὄψις τοὺς φθόγγους γιγνώσκει, οὕτως οὐδὲ ἡ ἀκοὴ τὰ χρώματα ἀκούει, ἀλλὰ φθόγγους· καὶ λέγει ὁ λέγων, ἀλλ᾽ οὐ χρῶμα οὐδὲ πρᾶγμα. ὃ οὖν τις μὴ ἐννοεῖ, πῶς αἰτεῖ παρ᾽ ἄλλου λόγῳ ἢ σημείῳ τινὶ ἑτέρου πράγματος ἐννοήσειεν, ἀλλ᾽ ἢ ἐὰν μὲν χρῶμα ἰδών, ἐὰν δὲ μος. ἀρχὴν γὰρ οὐ λέγε γοει δὲ χρῶμα, ἀλλὰ λόγον, ὥς᾽ οὐδὲ διανοεῖσθαι χρῶμα ἔςιν, ἀλλ᾽ ὁρᾶν, οὐδὲ ψόφον, ἀλλ᾽ ἀκούειν. εἰ δὲ καὶ ἐνδέχεται, γινώσκει τε καὶ ἀναγινώσκει λέγων. ἀλλὰ πῶς ὁ ἀκούων τὸ αὐτὸ ἐννοήσει; οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ἅμα ἐν πλείοσι καὶ χωρὶς οὖσιν εἶναι· δύο γὰρ ἂν εἴη τὸ ἕν. εἰ δὲ καὶ εἴη, φησίν, ἐν πλείοσι καὶ ταὐτόν, οὐδὲν κωλύει μὴ ὅμοιον φαίνεσθαι αὐτοῖς, μὴ πάντῃ ὁμοίοις ἐκείνοις οὖσιν καὶ ἐν τῷ αὐτῷ, εἴ τι ἐν τοιούτου εἴησαν, ἀλλ᾽ οὐ δύο εἶεν. φαίνεται δὲ οὐδ᾽ αὐτὸς αὑτῷ ὅμοια αἰσθανόμενος ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλ᾽ ἕτερα τῇ ἀκοῇ καὶ τῇ ὄψει, καὶ νῦν τε καὶ πάλαι διαφόρως. ὥστε σχολῇ ἄλλῳ πᾶν ταὐτὸ αἴσθοιτό τις. οὕτως οὐκ ἔςιν, ἓν ἐςι γνωςόν, οὐδεὶς ἂν αὐτὸ ἑτέρῳ δηλώσειεν, διά τε τὸ μὴ εἶναι τὰ πράγματα λεκτά, καὶ ὅτι οὐδεὶς ἕτερον ἑτέρῳ ταὐτὸν ἐννοεῖ. ἅπαντες δὲ καὶ οὕτως ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι, ὥστε ἐν τῇ περὶ ἐκείνων σκέψει καὶ ταῦτα ἐξεταςέον.

ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ Α.

Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δ᾽ ἡ τῶν αἰσθήσεων ἀγάπησις· καὶ γὰρ χωρὶς τῆς χρείας ἀγαπῶνται δι᾽ αὑτάς, καὶ μάλιστα τῶν ἄλλων ἡ διὰ τῶν ὀμμάτων. οὐ γὰρ μόνον ἵνα πράττωμεν, ἀλλὰ καὶ μηθὲν μέλλοντες πράττειν τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων ὡς εἰπεῖν τῶν ἄλλων. αἴτιον δ᾽ ὅτι μάλιςα ποιεῖ γνωρίζειν τι ἡμᾶς αὕτη τῶν αἰσθήσεων, καὶ πολλὰς δηλοῖ διαφοράς. φύσει μὲν οὖν αἴσθησιν ἔχοντα γίνεται τὰ ζῷα, ἐκ δὲ τῆς αἰσθήσεως τοῖς μὲν αὐτῶν οὐκ ἐγγίγνεται μνήμη, τοῖς δ᾽ ἐγγίγνεται. καὶ διὰ τοῦτο ταῦτα φρονιμώτερα καὶ μαθητικώτερα τῶν μὴ δυναμένων μνημονεύειν ἐςίν. φρόνιμα μὲν ἄνευ τοῦ μανθάνειν, ὅσα μὴ δύναται τῶν ψόφων ἀκούειν, οἷον μέλιττα, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ζῴων ἐςίν· μανθάνει δ᾽ ὅσα πρὸς τῇ μνήμῃ καὶ ταύτην ἔχει τὴν αἴσθησιν. τὰ μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ καὶ ταῖς μνήμαις, ἐμπειρίας δὲ μετέχει μικρόν· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ τέχνῃ καὶ λογισμοῖς. γίγνεται δ᾽ ἐκ τῆς μνήμης ἐμπειρία τοῖς ἀνθρώποις· αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγματος

15. ἃ prius add Lps. ‖ 17. α τοιαδ᾽ R^a. ‖ 18. εἰ καὶ V^a. ‖ γε ἄγνωςα Lps: ceteri γνωςά. ‖ 21. δῆλον om V^a. ‖ ἀκουσθέντι V^a.
1. γὰρ οὐδὲ] γὰρ εἶδεν $B^a R^a$, γὰρ εἶδεν V^a. ‖ 4. ante παρ᾽ lacunam V^a. ‖ ὅλου B^a. ‖ 6. λόγον] λόγου $R^a V^a$. ‖ 16. σχολῇ Lps pro σχολήν. ‖ πάντ᾽ αὐτὸ $B^a V^a$. ‖ 19. λεκτά] λόγους Lps. ‖ 20. οὗτος $B^a V^a$. ‖ 21. margo $B^a V^a$: τὸ πρωτότυπον λίαν ἐσφαλμένον, καὶ μή τις μοι μεμφέτω· καθὼς γὰρ ὁρῶ, οὕτω γράφω.
Codices $E Q S T H^a A^b B^b C^b D^b E^b F^b G^b H^b I^b f$. Tit. Α $E A^b$, α τὸ μεῖζον plerique, α μεῖζον QT, μεῖζον α f, α μέγα E^b.
23. ἑαυτὰς $H^a E^b f$. ‖ 25. θέλοντες $H^a E^b f$. ‖ 26. τι om $E A^b E^b f$. ‖ 28. τῆς αἰσθήσεως] ταύτης $A^b D^b$. ‖ 29. δ᾽ ἐγγίγνεται $A^b D^b$ et rc E^b: ceteri δὲ γίγνεται.
21. ταῦτα φρονιμώτερα $A^b D^b$: ceteri τὰ μὲν φρόνιμα. ‖ καὶ μαθητικώτερα $A^b D^b$, τὰ δὲ μαθητικώτερα $E B^b E^b F^b$: ceteri τὰ δὲ μαθηματικώτερα. ‖ 22. μὴ om S. ‖ μὲν] μὲν οὖν T. ‖ 23. δύναται $A^b D^b E^b$: ceteri δυνατά. ‖ 25. ὅσα] ὃ $A^b D^b$.

τος μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσιν. καὶ δοκεῖ σχεδὸν ἐπιςήμῃ καὶ τέχνῃ ὅμοιον εἶναι ἡ ἐμπειρία. ἀποβαίνει δ' ἐπιστήμη καὶ τέχνη διὰ τῆς ἐμπειρίας τοῖς ἀνθρώποις· ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὡς φησὶ Πῶλος, ὀρθῶς λέγων, ἡ δ' ἀπειρία τύχην. γίνεται δὲ τέχνη, ὅταν ἐκ πολλῶν τῆς ἐμπειρίας ἐννοημάτων μία καθόλου γένηται περὶ τῶν ὁμοίων ὑπόληψις. τὸ μὲν γὰρ ἔχειν ὑπόληψιν ὅτι Καλλίᾳ κάμνοντι τηνδὶ τὴν νόσον τοδὶ συνήνεγκε καὶ Σωκράτει καὶ καθ' ἕκαςον οὕτω πολλοῖς, ἐμπειρίας ἐστίν· τὸ δ' ὅτι πᾶσι τοῖς τοιοῖσδε κατ' εἶδος ἓν ἀφορισθεῖσι, κάμνουσι τηνδὶ τὴν νόσον, συνήνεγκεν, οἷον τοῖς φλεγματώδεσιν ἢ χολώδεσιν ἢ πυρέττουσι καύσῳ, τέχνης. πρὸς μὲν ὖν τὸ πράττειν ἐμπειρία τέχνης ὐδὲν δοκεῖ διαφέρειν, ἀλλὰ καὶ μᾶλλον ἐπιτυγχάνοντας ὁρῶμεν τὺς ἐμπείρυς τῶν ἄνευ τῆς ἐμπειρίας λόγον ἐχόντων. αἴτιον δ' ὅτι ἡ μὲν ἐμπειρία τῶν καθ' ἕκαςόν ἐςι γνῶσις, ἡ δὲ τέχνη τῶν καθόλυ, αἱ δὲ πράξεις καὶ αἱ γενέσεις πᾶσαι περὶ τὸ καθ' ἕκαστόν εἰσιν· οὐ γὰρ ἄνθρωπον ὑγιάζει ὁ ἰατρεύων, πλὴν ἀλλ' ἢ κατὰ συμβεβηκός, ἀλλὰ Καλλίαν ἢ Σωκράτην ἢ τῶν ἄλλων τινὰ τῶν ὕτω λεγομένων, ᾧ συμβέβηκε καὶ ἀνθρώπῳ εἶναι. ἐὰν οὖν ἄνευ τῆς ἐμπειρίας ἔχῃ τις τὸν λόγον, καὶ τὸ μὲν καθόλυ γνωρίζῃ, τὸ δ' ἐν τύτῳ καθ' ἕκαςον ἀγνοῇ, πολλάκις διαμαρτήσεται τῆς θεραπείας· θεραπευτὸν γὰρ τὸ καθ' ἕκαστον μᾶλλον. ἀλλ' ὅμως τό γε εἰδέναι καὶ τὸ ἐπαΐειν τῇ τέχνῃ τῆς ἐμπειρίας ὑπάρχειν οἰόμεθα μᾶλλον, καὶ σοφωτέρους τοὺς τεχνίτας τῶν ἐμπείρων ὑπολαμβάνομεν, ὡς κατὰ τὸ εἰδέναι μᾶλλον ἀκολουθοῦσαν τὴν σοφίαν πᾶσιν. τῦτο δ', ὅτι οἱ μὲν τὴν αἰτίαν ἴσασιν, οἱ δ' ὔ. οἱ μὲν γὰρ ἔμπειροι τὸ ὅτι μὲν ἴσασι, διότι δ' ὐκ ἴσασιν· οἱ δὲ τὸ διότι καὶ τὴν αἰτίαν γνωρίζυσιν. διὸ καὶ τοὺς ἀρχιτέκτονας περὶ ἕκαςον τιμιωτέρυς καὶ μᾶλλον εἰδέναι νομίζομεν τῶν χειροτεχνῶν καὶ σοφωτέρους, ὅτι τὰς αἰτίας τῶν ποιουμένων ἴσασιν, τὺς δ' ὥσπερ καὶ τῶν ἀψύχων ἔνια, ποιεῖν μέν, ὐκ εἰδότα δὲ ποιεῖν ἃ ποιεῖ, οἷον καίει τὸ πῦρ. τὰ μὲν οὖν ἄψυχα φύσει τινὶ ποιεῖν τύτων ἕκαςον, τὺς δὲ χειροτέχνας δι' ἔθος, ὡς οὐ κατὰ τὸ πρακτικὺς εἶναι σοφωτέρους ὄντας, ἀλλὰ κατὰ τὸ λόγον ἔχειν αὐτὺς καὶ τὰς αἰτίας γνωρίζειν. ὅλως τε σημεῖον τῦ εἰδότος τὸ δύνασθαι διδάσκειν ἐςίν, καὶ διὰ τῦτο τὴν τέχνην τῆς ἐμπειρίας οἰόμεθα μᾶλλον ἐπιςήμην εἶναι· δύνανται γάρ, οἱ δὲ οὐ δύνανται διδάσκειν. ἔτι δὲ τῶν αἰσθήσεων ὐδεμίαν ἡγύμεθα εἶναι σοφίαν· καίτοι κυριώταταί γ' εἰσὶν αὗται τῶν καθ' ἕκαςα γνώσεις· ἀλλ' οὐ λέγουσι τὸ διὰ τί περὶ οὐδενός, οἷον διὰ τί θερμὸν τὸ πῦρ, ἀλλὰ μόνον ὅτι θερμόν. τὸν μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν εὑρόντα τέχνην παρὰ τὰς κοινὰς αἰσθήσεις θαυμάζεσθαι ὑπὸ τῶν ἀνθρώπων, μὴ μόνον διὰ τὸ χρήσιμον εἶναί τι τῶν εὑρεθέντων, ἀλλ' ὡς σοφὸν καὶ διαφέροντα τῶν ἄλλων. [πλειόνων δ' εὑρισκομένων τεχνῶν, καὶ τῶν μὲν πρὸς τἀναγκαῖα τῶν δὲ πρὸς διαγωγὴν ὐσῶν, ἀεὶ σοφωτέρυς τοὺς τοιούτυς ἐκείνων ὑπολαμβάνομεν, διὰ τὸ μὴ πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν. ὅθεν ἤδη πάντων τῶν τοιούτων κατεσκευασμένων αἱ μὴ πρὸς ἡδονὴν μηδὲ πρὸς τἀναγκαῖα τῶν ἐπιςημῶν εὑρέθησαν, καὶ πρῶτον ἐν τύτοις τοῖς τόποις ὗπερ ἐσχόλασαν. διὸ περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι συνέςησαν· ἐκεῖ γὰρ ἀφείθη σχολάζειν τὸ τῶν ἱερέων ἔθνος. εἴρηται μὲν ὖν ἐν τοῖς Ἠθικοῖς τίς διαφορὰ τέχνης καὶ ἐπιςήμης καὶ τῶν ἄλλων τῶν ὁμογενῶν· οὗ δ' ἕνεκα νῦν ποιύμεθα τὸν λόγον, τοῦτ' ἐςίν, ὅτι τὴν ὀνομαζομένην σοφίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς ὑπολαμβάνυσι πάντες, ὥςε, καθάπερ εἴρηται πρότερον, ὁ μὲν ἔμπειρος τῶν ὁποιανῦν ἐχόντων αἴσθησιν εἶναι δοκεῖ σοφώτερος, ὁ δὲ τεχνίτης τῶν ἐμπείρων, χειροτέχνυ δὲ ἀρ-

2. ὅμοιον εἶναι ἐμπειρία $H^a f$, ὅμοιον εἶναι καὶ ἐμπειρία $A^b D^b$, καὶ ἐμπειρία ὅμοιον εἶναι H^b. ‖ 3. δι' ἐμπειρίας Q. ‖ 4. ὀρθῶς λέγων om $A^b D^b$. ‖ 5. ἡνίκα ἐκ πολλῶν νοημάτων τῆς ἐμπειρίας H^b. ‖ 6. μία καθόλου $A^b D^b$: ceteri καθόλου μία, H^b quidem post ὁμοίων, περὶ τῶν ὁμοίων καθόλου μία ὑπόληψις γένηται. ‖ 8. νοσοῦντι H^b. ‖ τήνδε $H^a F^b$. ‖ τόδε $A^b D^b$. ‖ 9. σωκράτη E^b. ‖ πολλῆς D^b. ‖ 10. δέ τι E^b. ‖ 11. οἷον — 12. καύσῳ om $A^b D^b$. ‖ 12. πυρώδεσι T. ‖ 13. δοκεῖ διαφέρειν] διήνεγκεν $A^b D^b F^b$, om H^b. ‖ 14. ἐπιτυγχάνουσιν οἱ ἔμπειροι $A^b D^b$. ‖ 16. ἕκαςα $H^a E^b$. ‖ 18. πλὴν om $A^b D^b H^b$. ‖ 19. ἀλλὰ] ἀλλ' ἢ D^b. ‖ σωκράτη E. ‖ τινα τῶν ἄλλων T. ‖ 20. τῶν ante ὕτω add $EQTA^b D^b$. ‖ καὶ add $A^b D^b$ et rc E^b. ‖ 21. ἔχοι H^a, ἔχει E^b. ‖ τὸν om H^b. ‖ τὸ om Q. ‖ μὲν καθόλυ H^b: ceteri καθόλυ μὲν. ‖ 22. γνωρίζει $H^a E^b$. ‖ 24. μᾶλλον om A^b. ‖ τὸ om H^b. ‖ 26. ἐμπειρικῶν E. ‖ 29. τὸ ante ὅτι om E. ‖ 31. τιμιωτέρους μᾶλλον καὶ μ. T.

2. τὺς $ETH^a E^b$ et rc A^b (pr enim cum D^b haec τὺς — 5. δι' ἔθος om): ceteri οἱ. ‖ 2 et 3. ποιεῖν $ETH^a A^b E^b$: ceteri ποιεῖ. ‖ 3. ἃ ποιεῖ add $EQH^a E^b$ et rc A^b. ‖ 4. ποιεῖ E. ‖ 6. τὸ] τὸ τὸν D^b, τὸ τινὰ H^b. ‖ αὐτὺς ἔχειν $A^b D^b$. ‖ 7. τε] δὲ A^b. ‖ εἰδότος] εἰδότος καὶ μὴ εἰδότος E: ceteri (praeter $QTA^b D^b$) εἰδότος καὶ. ‖ ἐςίν· καὶ διὰ τῦτο] νομίζομεν· διὸ $A^b D^b$. ‖ 8. ἡγύμεθα $A^b D^b$. ‖ 12. λέγει $H^a E^b$. ‖ 13. ἀλλὰ — θερμόν om A^b. ‖ τὸν μὲν] τὸ μὲν F^b. ‖ 14. εὑρίσκοντα F^b. ‖ παρὰ $EQTA^b F^b H^b$: ceteri περὶ. ‖ 19. ἐκείνων τοὺς τοιούτυς $H^a E^b$. ‖ ὑπολαμβάνεσθαι EH^a. ‖ 21. αἱ] ὅσαι A^b. ‖ 22. ἐν add $EQH^a A^b E^b$. ‖ 23. ὗπερ] ὐ πρῶτον A^b et rc E^b. ‖ 24. τέχναι om $H^a E^b$. ‖ ἀφείθη $ETH^a A^b E^b$: vulgo ἠφείθη. ‖ 26. τῶν post ἄλλων om H^a. ‖ 27. οὗ δ'] ὧν οὖν F^b. ‖ νῦν] καὶ νῦν $H^a E^b$, om F^b. ‖ 29. ὥςε] δι' A^b. ‖ 30. ὁ] ὅτι ὁ codices praeter $EQTA^b$. ‖ ὁποιαντινῦν $ETH^a E^b$. ‖ 31. δὲ ὁ ἀρχ. A^b et rc E^b.

χιτέκτων, αἱ δὲ θεωρητικαὶ τῶν ποιητικῶν μᾶλλον. ὅτι μὲν οὖν ἡ σοφία περί τινας αἰτίας καὶ ἀρχάς ἐστιν ἐπιστήμη, δῆλον.

2 Ἐπεὶ δὲ ταύτην τὴν ἐπιστήμην ζητοῦμεν, τοῦτ' ἂν εἴη σκεπτέον, ἡ περὶ ποίας αἰτίας καὶ περὶ ποίας ἀρχὰς ἐπιςήμη σοφία ἐςίν. εἰ δὴ λάβοι τις τὰς ὑπολήψεις ἃς ἔχομεν περὶ τȣ̃ σοφȣ̃, τάχ' ἂν ἐκ τȣ́τȣ φανερὸν γένοιτο μᾶλλον. ὑπολαμβάνομεν δὴ πρῶτον μὲν ἐπίςασθαι πάντα τὸν σοφὸν ὡς ἐνδέχεται, μὴ καθ' ἕκαστον ἔχοντα ἐπιστήμην αὐτῶν· εἶτα τὸν τὰ χαλεπὰ γνῶναι δυνάμενον καὶ μὴ ῥᾴδια ἀνθρώπῳ γινώσκειν, τοῦτον σοφόν (τὸ γὰρ αἰσθάνεσθαι πάντων κοινόν, διὸ ῥᾴδιον, καὶ οὐδὲν σοφόν)· ἔτι τὸν ἀκριβέςερον καὶ τὸν διδασκαλικώτερον τῶν αἰτίων σοφώτερον εἶναι περὶ πᾶσαν ἐπιςήμην. καὶ τῶν ἐπιςημῶν δὲ τὴν αὑτῆς ἕνεκεν καὶ τοῦ εἰδέναι χάριν αἱρετὴν οὖσαν μᾶλλον εἶναι σοφίαν ἢ τὴν τῶν ἀποβαινόντων ἕνεκεν, καὶ τὴν ἀρχικωτέραν τῆς ὑπηρετούσης μᾶλλον εἶναι σοφίαν· οὐ γὰρ δεῖν ἐπιτάττεσθαι τὸν σοφὸν ἀλλ' ἐπιτάττειν, καὶ οὐ τȣ̃τον ἑτέρῳ πείθεσθαι, ἀλλὰ τȣ́τῳ τὸν ἧττον σοφόν. τὰς μὲν ȣ̃ν ὑπολήψεις τοιαύτας καὶ τοσαύτας ἔχομεν περὶ τῆς σοφίας καὶ τῶν σοφῶν, τȣ́των δὲ τὸ μὲν πάντα ἐπίςασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν· οὗτος γὰρ οἶδέ πως πάντα τὰ ὑποκείμενα. σχεδὸν δὲ καὶ χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις, τὰ μάλιστα καθόλȣ· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐςιν. ἀκριβέςαται δὲ τῶν ἐπιςημῶν αἳ μάλιστα τῶν πρώτων εἰσίν· αἱ γὰρ ἐξ ἐλαττόνων ἀκριβέςεραι τῶν ἐκ προσθέσεως λαμβανομένων, οἷον ἀριθμητικὴ γεωμετρίας. ἀλλὰ μὴν καὶ διδασκαλική γε ἡ τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· ȣ̂τοι γὰρ διδάσκȣσιν οἱ τὰς αἰτίας λέγοντες περὶ ἕκαςον. τὸ δ' εἰδέναι καὶ τὸ ἐπίςασθαι αὐτῶν ἕνεκα μάλισθ' ὑπάρχει τῇ τȣ̃ μάλιςα ἐπιςητȣ̃ ἐπιςήμῃ. ὁ γὰρ τὸ ἐπίςασθαι δι' ἑαυτὸ αἱρȣ́μενος τὴν μάλιςα ἐπιςήμην μάλιςα αἱρήσεται, τοιαύτη δ' ἐςὶν ἡ τȣ̃ μάλιςα ἐπιςητȣ̃, μάλιςα δ' ἐπιςητὰ τὰ πρῶτα καὶ τὰ αἴτια· διὰ γὰρ ταῦτα καὶ ἐκ τȣ́των τἆλλα γνωρίζεται, ἀλλ' ȣ̓ ταῦτα διὰ τῶν ὑποκειμένων. ἀρχικωτάτη δὲ τῶν ἐπιστημῶν, καὶ μᾶλλον ἀρχικὴ τῆς ὑπηρετούσης, ἡ γνωρίζȣσα τίνος ἕνεκεν ἐςὶ πρακτέον ἕκαςον· τȣ̃το δ' ἐςὶ τἀγαθὸν ἐν ἑκάςοις, ὅλως δὲ τὸ ἄριςον ἐν τῇ φύσει πάσῃ. ἐξ ἁπάντων ȣ̓̃ν τῶν εἰρημένων ἐπὶ τὴν αὐτὴν ἐπιςήμην πίπτει τὸ ζητȣ́μενον ὄνομα· δεῖ γὰρ ταύτην τῶν πρώτων ἀρχῶν καὶ αἰτιῶν εἶναι θεωρητικήν· καὶ γὰρ τἀγαθὸν καὶ τὸ ȣ̂ ἕνεκα ἓν τῶν αἰτίων ἐςίν. ὅτι δ' ȣ̓ ποιητική, δῆλον καὶ ἐκ τῶν πρώτων φιλοσοφησάντων. διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν, ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν ȣ̓́τω προϊόντες καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περί τε τῶν τῆς σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ περὶ ἄςρων καὶ περὶ τῆς τȣ̃ παντὸς γενέσεως. ὁ δ' ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν. διὸ καὶ φιλόμυθος ὁ φιλόσοφός πώς ἐςιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. ὥς' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίςασθαι ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. μαρτυρεῖ δὲ αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ πρὸς ῥᾳςώνην καὶ διαγωγὴν ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι. δῆλον ȣ̓̃ν ὡς δι' ȣ̓δεμίαν αὐτὴν ζητȣ̃μεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός φαμεν ἐλεύθερος ὁ αὑτȣ̃ ἕνεκα καὶ μὴ ἄλλȣ ὤν, οὕτω καὶ αὕτη μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν· μόνη γὰρ αὐτὴ αὑτῆς ἕνεκέν ἐςιν. διὸ καὶ δικαίως ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο αὐτῆς ἡ κτῆσις· πολλαχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐςίν, ὥστε κατὰ Σιμωνίδην θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας, ἄνδρα δ' ȣ̓κ ἄξιον μὴ ȣ̓ ζητεῖν τὴν καθ' αὑτὸν ἐπιςήμην. εἰ δὴ λέγουσί τι οἱ ποιηταὶ καὶ πέφυκε φθονεῖν

2. ἀρχὰς καὶ αἰτίας A^bH^b. ‖ 4. δὲ] δὲ καὶ *T*. ‖ 5. ἡ add $ETH^aA^bE^b$. ‖ ποίας αἰτίας καὶ ποίας ἀρχὰς E^b, ποίας ἀρχὰς καὶ ποίας αἰτίας H^a, ποίας ἀρχὰς A^b. ‖ 6. ἐςὶ σοφία A^b. ‖ δὲ H^a. ‖ ἔχομεν $TA^bE^bH^b$: ceteri εἴχομεν. ‖ 7. τȣ̀ς σοφȣ̀ς A^b. ‖ τȣ́των H^a E^b. ‖ γένηται H^b. ‖ 8. μὲν om H^aE^b. ‖ πάντα A^bF^b: ceteri μάλιςα πάντα. ‖ 10. τὸν om H^a. ‖ τὰ om A^b. ‖ 11. τὸ — 12. σοφόν om TH^a et pr E^b. ‖ 13. τὸν om $H^aA^bF^b$. ‖ 15. ἑαυτῆς A^b. ‖ μᾶλλον om H^a et pr E^b. ‖ 17. εἶναι om A^b. ‖ 18. τὸν om pr *E*. ‖ οὐκ αὐτὸν A^b et rc E^b. ‖ 19. τίθεσθαι pr A^b. ‖ 20. τοσαύτας καὶ τοιαύτας H^a. om καὶ τοσαύτας A^b. ‖ τῆς om A^b. ‖ 21. ἅπαντα A^b, om F^b. ‖ 22. καθόλου] κατὰ πάντων F^b. ‖ 23. πως] πῶς ἔχει A^b. ‖ ἅπαντα EH^aE^b. ‖ δὲ] γὰρ *T*. ‖ 24. ταῦτα add $ETH^aA^bE^b$. cum iisdem omisi ἐςὶ ante τὰ. ‖ 26. τε A^bF^b. ‖ 27. προθέσεως codices. ‖ λαμβανομένων A^b: ceteri λεγομένων. ‖ 30. ἑκάςου EH^a. ‖ τὸ δ'] τότε A^b. ‖ 32. αὐτὸ A^bF^b.

1. μᾶλλον αἱρ. *T*. ‖ 2. τὰ post καὶ om A^b. ‖ 5. ἕνεκα EF^b. ‖ 6. πρακτέον ἕκαςόν ἐςι F^b, ἐςι πρακτέον ἕκαςον $H^aA^bE^b$. ‖ ἐν ἑκάςοις A^b et rc E^b: ceteri ἑκάςου. ‖ 7. δὲ om H^a. ‖ 9. αὐτὴν A^b. ‖ 10. ἓν om F^b. ‖ 11. ποιητικὴν H^a. ‖ καὶ om *T*. ‖ 14. ἀπόρων A^b. ‖ προϊέντες H^a. ‖ 15. μειζόνων οὕτω διαπορήσαντες H^a. ‖ τε et τῆς om H^a. ‖ 16. περὶ ἄςρων A^b: ceteri ἄςρα. ‖ 18. ὁ om A^b. ‖ 22. δὲ] δὲ καὶ *T*. ‖ 26. ἑαυτȣ̃ A^b. ‖ ὢν om *T*. ‖ 27. αὐτὴ ἐλευθέρα μόνη οὖσα H^a, αὐτὴν ὡς μόνην οὖσαν ἐλευθέραν A^b. ‖ 28. ἑαυτῆς A^b. ‖ ἂν] μὴ *E*, om H^aE^b. ‖ 31. ἔχοι τὸ γέρας omnes praeter A^b. ‖ μὴ] τὸ μὴ A^b. idem add ȣ̓. ‖ 32. δὴ A^b: ceteri δὲ. ‖ τι οἱ] τῃ *E*.

τὸ θεῖον, ἐπὶ τούτου συμβαίνειν μάλιστα εἰκὸς καὶ δυστυχεῖς εἶναι πάντας τοὺς περιττούς. ἀλλ᾽ οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν. ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη· τοιαύτη δὲ διχῶς ἂν εἴη μόνον· ἥν τε γὰρ μάλιστ᾽ ἂν ὁ θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστί, κἂν εἴ τις τῶν θείων εἴη. μόνη δ᾽ αὕτη τούτων ἀμφοτέρων τετύχηκεν· ὅ τε γὰρ θεὸς δοκεῖ τῶν αἰτίων πᾶσιν εἶναι καὶ ἀρχή τις, καὶ τὴν τοιαύτην ἢ μόνος ἢ μάλιστ᾽ ἂν ἔχοι ὁ θεός. ἀναγκαιότεραι μὲν οὖν πᾶσαι ταύτης, ἀμείνων δ᾽ οὐδεμία. δεῖ μέντοι πως καταστῆναι τὴν κτῆσιν αὐτῆς εἰς τοὐναντίον ἡμῖν τῶν ἐξ ἀρχῆς ζητήσεων. ἄρχονται μὲν γάρ, ὥσπερ εἴπομεν, ἀπὸ τοῦ θαυμάζειν πάντες εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τοῦ ἡλίου τροπὰς ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν· θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσιν, εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖται. δεῖ δὲ εἰς τοὐναντίον καὶ τὸ ἄμεινον κατὰ τὴν παροιμίαν ἀποτελευτῆσαι, καθάπερ καὶ ἐν τούτοις ὅταν μάθωσιν· οὐθὲν γὰρ ἂν οὕτω θαυμάσειεν ἀνὴρ γεωμετρικὸς ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή. τίς μὲν οὖν ἡ φύσις τῆς ἐπιστήμης τῆς ζητουμένης, εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον.

3 Ἐπεὶ δὲ φανερὸν ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιστήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν), τὰ δ᾽ αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι (ἀνάγεται γὰρ τὸ διὰ τί εἰς τὸν λόγον ἔσχατον, αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον), ἑτέραν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, τὸ οὗ ἕνεκα καὶ τἀγαθόν· τέλος γὰρ γενέσεως καὶ κινήσεως πάσης τοῦτ᾽ ἐστίν. τεθεώρηται μὲν οὖν ἱκανῶς περὶ αὐτῶν ἡμῖν ἐν τοῖς περὶ φύσεως, ὅμως δὲ παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς ἐπίσκεψιν τῶν ὄντων ἐλθόντας καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. δῆλον γὰρ ὅτι κἀκεῖνοι λέγουσιν ἀρχάς τινας καὶ αἰτίας· ἐπελθοῦσιν οὖν ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν· ἢ γὰρ ἕτερόν τι γένος εὑρήσομεν αἰτίας, ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν. τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ᾠήθησαν ἀρχὰς εἶναι πάντων· ἐξ οὗ γὰρ ἔστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων, καὶ διὰ τοῦτο οὔτε γίγνεσθαι οὐθὲν οἴονται οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης, ὥσπερ οὐδὲ τὸν Σωκράτην φαμὲν οὔτε γίγνεσθαι ἁπλῶς, ὅταν γίγνηται καλὸς ἢ μουσικός, οὔτε ἀπόλλυσθαι, ὅταν ἀποβάλλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον τὸν Σωκράτην αὐτόν. οὕτως οὐδὲ τῶν ἄλλων οὐδέν· δεῖ γὰρ εἶναί τινα φύσιν μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται τἆλλα σωζομένης ἐκείνης. τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας ὕδωρ εἶναί φησιν (διὸ καὶ τὴν γῆν ἐφ᾽ ὕδατος ἀπεφήνατο εἶναι), λαβὼν ἴσως τὴν ὑπόληψιν ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν (τὸ δ᾽ ἐξ οὗ γίγνεται, τοῦτ᾽ ἐστὶν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν, τὸ δ᾽ ὕδωρ ἀρχὴν τῆς φύσεως εἶναι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως οἴονται περὶ τῆς φύσεως ὑπολαβεῖν· Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ᾽ αὐτῶν Στύγα τῶν ποιητῶν· τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. εἰ μὲν οὖν

1. τούτῳ H^a. ‖ συμβαίνειν A^b: ceteri συμβῆναι. ‖ 2. ἐνδέχεται φθονερὸν F^b. ‖ 3. καὶ add A^b. ‖ πολλοὶ H^a. ‖ 6. μόνη A^b. ‖ τε] τινα T. ‖ ὁ om A^b. ‖ ἔχει H^a. ‖ 7. ἥτις E. ‖ ἐστὶ A^b. ‖ μόνον E^b. ‖ 9. πάντων H^a. ‖ 10. ἂν ἔχοι] ἔχει H^a. ‖ ὁ om TA^b. ‖ ταύτης A^b: ceteri αὐτῆς. ‖ 11. πως post καταστῆναι H^a, om A^b. ‖ τάξιν T$H^a E^b$. ‖ 12. κτήσεων E. ‖ 13. πάντως H^a. ‖ 15. ἢ τὴν] ἢ περὶ τὴν A^b. ‖ 17. τῶν ἐλαχίστων H^a, τῶν οὐκ ἐλαχίστων ETE^b, quorum E in margine γρ. τῷ ἐλαχίστῳ, καὶ ταύτην μᾶλλον τὴν γραφὴν οἶδεν Ἀλέξανδρος. ‖ μὴ] οὐ H^a. ‖ δὴ A^b. ‖ 19. ἂν om H^a. ‖ θαυμάσειεν οὕτως ET$H^a E^b$. ‖ 20. εἰ] εἰ μὴ T. ‖ 21. τῆς ἐπ. τῆς ζητ. $A^b F^b$: ceteri τῆς ζητουμένης ἐπιστήμης. ‖ 28. εἰς] πρῶτον εἰς omnes praeter A^b. ‖ 29. ἑτέραν A^b: ceteri μίαν. ‖ 30. δὲ] δὲ τὴν T. ‖ 31. τὸ] καὶ τὸ ET$H^a E^b$. ‖ ἕνεκεν T. ‖ 33. τεθεώρηται μὲν A^b et γρ. E, τεθεωρημένον TH^a: ceteri τεθεωρημένων. ‖ οὖν om H^a. ‖ ἡμῖν add A^b.

1. δὲ add $A^b E^b$ et γρ. E. ‖ 2. ὄντων] αὐτῶν H^a. ‖ 5. τι om TH^a. ‖ 6. πρῶτον E$H^a E^b$. ‖ 7. μόνον εἴδει $H^a E^b$. ‖ 9. πρῶτον H^a. ‖ 11. ταῦτα τὴν E^b, ταύτην τὴν TH^a. ‖ 12. οὔτε om T. ‖ 13 et 16. σωκράτη ETH^a. ‖ 15. ἀποβάλῃ A^b. ‖ 17. μίαν A^b: ceteri ἢ μίαν. ‖ 20. μὲν om T. ‖ 21. εἶναί φησιν A^b: ceteri φησὶν εἶναι. ‖ 22. ἀπεφαίνετο A^b. ‖ 24. καὶ] καὶ τὸ ζῷον ET$H^a E^b$. ‖ ζῇν F^b. ‖ γίγνεταί τι τοῦτ᾽ H^a. ‖ 27. ἀρχὴ τ. φ. ἐστὶ ET$H^a E^b$. ‖ τῶν ὑγρῶν T. ‖ 28. πάνυ παλαιοὺς E^b, πάλαι παλαιοὺς T, παλαιοὺς A^b. ‖ 30. διαλαβεῖν T. ‖ τε om T. ‖ 31. τῶν ὅρκων E^b. ‖ 32. στύγα ὑπ᾽ αὐτῶν $H^a E^b$. ‖ μὲν om T.

ἀρχαία τις αὕτη καὶ παλαιὰ τετύχηκεν οὖσα περὶ τῆς φύσεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη, Θαλῆς μέντοι λέγεται οὕτως ἀποφήνασθαι περὶ τῆς πρώτης αἰτίας· Ἵππωνα γὰρ οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας. Ἀναξιμένης δὲ ἀέρα καὶ Διογένης πρότερον ὕδατος καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν ἁπλῶν σωμάτων, Ἵππασος δὲ πῦρ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος, Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα, πρὸς τοῖς εἰρημένοις γῆν προστιθεὶς τέταρτον· ταῦτα γὰρ ἀεὶ διαμένειν καὶ οὐ γίγνεσθαι ἀλλ' ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα εἰς ἕν τε καὶ ἐξ ἑνός. Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. ἐκ μὲν οὖν τούτων μόνην τις αἰτίαν νομίσειεν ἂν τὴν ἐν ὕλης εἴδει λεγομένην. προϊόντων δ' οὕτως, αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν· εἰ γὰρ ὅτι μάλιστα πᾶσα φθορὰ καὶ γένεσις ἔκ τινος ἑνὸς ἢ καὶ πλειόνων ἐστίν, διὰ τί τοῦτο συμβαίνει καὶ τί τὸ αἴτιον; οὐ γὰρ δὴ τό γε ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό· λέγω δ' οἷον οὔτε τὸ ξύλον οὔτε ὁ χαλκὸς αἴτιος τοῦ μεταβάλλειν ἑκάτερον αὐτῶν, οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην ὁ δὲ χαλκὸς ἀνδριάντα, ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς αἴτιον. τὸ δὲ τοῦτο ζητεῖν ἐστὶ τὸ τὴν ἑτέραν ἀρχὴν ζητεῖν, ὡς ἂν ἡμεῖς φαίημεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. οἱ μὲν οὖν πάμπαν ἐξ ἀρχῆς ἁψάμενοι τῆς μεθόδου τῆς τοιαύτης καὶ ἓν φάσκοντες εἶναι τὸ ὑποκείμενον οὐθὲν ἐδυσχέραναν ἑαυτοῖς, ἀλλ' ἔνιοί γε τῶν ἓν λεγόντων, ὥσπερ ἡττηθέντες ὑπὸ ταύτης τῆς ζητήσεως, τὸ ἓν ἀκίνητόν φασιν εἶναι καὶ τὴν φύσιν ὅλην οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν (τοῦτο μὲν γὰρ ἀρχαῖόν τε καὶ πάντες ὡμολόγησαν) ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μεταβολὴν πᾶσαν· καὶ τοῦτο αὐτῶν ἴδιόν ἐστιν. τῶν μὲν οὖν ἓν φασκόντων εἶναι τὸ πᾶν οὐθενὶ συνέβη τὴν τοιαύτην συνιδεῖν αἰτίαν, πλὴν εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον ὅσον οὐ μόνον ἓν ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας εἶναι. τοῖς δὲ δὴ πλείω ποιοῦσι μᾶλλον ἐνδέχεται λέγειν, οἷον τοῖς θερμὸν καὶ ψυχρὸν ἢ πῦρ καὶ γῆν· χρῶνται γὰρ ὡς κινητικὴν ἔχοντι τῷ πυρὶ τὴν φύσιν, ὕδατι δὲ καὶ γῇ καὶ τοῖς τοιούτοις τοὐναντίον. μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχάς, ὡς οὐχ ἱκανῶν οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, πάλιν ὑπ' αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι τὴν ἐχομένην ἐζήτησαν ἀρχήν. τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ' ἄλλο τῶν τοιούτων οὐθὲν οὔτ' εἰκὸς αἴτιον εἶναι οὔτ' ἐκείνους οἰηθῆναι· οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς εἶχεν. νοῦν δή τις εἰπὼν ἐνεῖναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης οἷον νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς πρότερον. φανερῶς μὲν οὖν Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων, αἰτίαν δ' ἔχει πρότερον Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν. οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες ἅμα τοῦ καλῶς τὴν αἰτίαν ἀρχὴν εἶναι τῶν ὄντων ἔθεσαν, καὶ τὴν τοιαύτην ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς οὖσιν. ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦ- 4
τον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν, οἷον καὶ Παρμενίδης· οὗτος γὰρ κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν "πρώτιστον μέν" φησιν "ἔρωτα θεῶν μητίσατο πάντων," Ἡσίοδος δὲ "πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύστερνος, ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν," ὡς δέον ἐν τοῖς οὖσιν ὑπάρχειν τιν' αἰτίαν ἥτις κινήσει καὶ συνάξει τὰ πράγματα. τούτους μὲν οὖν πῶς χρὴ διανεῖμαι περὶ τοῦ τίς πρῶτος, ἐξέστω κρίνειν ὕστερον· ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις καὶ

1. ἐτύγχανεν H^a. ‖ 3. οὕτως A^bF^b: ceteri τοῦτον τὸν τρόπον. ‖ γὰρ] μὲν γὰρ ETH^aE^b, δ' οὖν F^b. ‖ 6. πρῶτον H^aE^b. ‖ 7. ὁ alterum om A^b. ‖ 9. προσθεὶς $ETH^aE^bF^b$. ‖ 10. ἢ om A^b. ‖ 12. τούτων H^a. ‖ 13. φησι om F^b. ‖ 16. μένειν A^b. ‖ 17. μόνον H^a. ‖ νοήσειεν H^aE^b, εἶναι νομίσειεν T. ‖ ἂν ante αἰτίαν F^b, om A^b. ‖ 18. λεγ.] προαγομένην H^a. ‖ 20. γένεσις καὶ φθορὰ A^b. ‖ 21. τε A^b. ‖ 23. αἴτιον H^aE^b. ‖ 25. ἴδιον H^a. ‖ 28. τῆς τοιαύτης μεθόδου H^a. γρ. καὶ ταύτης, ἤτοι τῆς φυσικῆς margo E. ‖ 29. ἐδυσχ. ἐν ἑαυτοῖς A^bF^b. ‖ 30. γε om H^b. ‖ ὑπ' αὐτῆς F^b. ‖ 32. τοῦτο — 33. ὡμολόγησαν om A^bF^b. ‖ 32. τε om T. ‖ 33. ἄλλην om H^aE^b.

1. ἅπασαν A^b. ‖ καὶ — ἐστιν om A^b. ‖ ἓν] ἓν μόνον ETH^aE^b. ‖ 2. ἰδεῖν A^bF^b. ‖ 3. εἰ ἄρα] ἐπὶ H^a, ἐπὶ παρὰ E^b. ‖ 5. δὴ add $A^bC^bF^b$. ‖ ἐνδέχεται μᾶλλον H^a. ‖ τοῖς] τὸ T. ‖ 8. ἐναντίον H^a. ‖ 9. οὐσῶν om T. ‖ πάλιν] πάντες E^b. ‖ ἐπ' H^a. ‖ 11. post ἀρχήν A^b: τουτέστι τὴν ποιητικὴν τούτων εὖ ἔχειν καὶ καλῶς. ‖ γὰρ] μὲν H^a. ‖ 13. ἄλλο τι τῶν A^b. ‖ ἐκείνους εἰκὸς οἰηθῆναι ETH^aE^b. ‖ 14. τῇ add A^b. ‖ 15. ἔχειν $ESTH^aB^bC^b$. ‖ δ' εἴ τις E^b. γρ. καὶ νοῦν δ' εἴ τις margo E. ‖ ἐνεῖναι ETA^b, ἐν εἶναι rc E^b: ceteri εἶναι. ‖ 16. τοῖς om ESB^bC^b. ‖ τὸ A^b. ‖ τοῦ A^b: ceteri καὶ τοῦ. ‖ 17. πάσης om H^a. ‖ εἰκῇ S. ‖ 18. μὲν om T. ‖ 19. αἴτιον E. ‖ δ' ἂν ἔχῃ H^aE^b. ‖ ὁ κλαζομένιος ἑρμότιμος S. ‖ 21. τοῦ H^a. ‖ τὴν om H^a. ‖ 22. γρ. καὶ ἔθεσαν τὴν τοιαύτην, εἶτα ὅθεν ἡ κίνησις margo E. ‖ 25. οὗτος γὰρ A^b, καὶ γὰρ οὕτως E^b: ceteri καὶ γὰρ οὗτος. ‖ 26. πρῶτον $EH^aA^bE^b$. ‖ 27. δὲ] μὲν H^a. ‖ 28. αὐτὸ H^a. ‖ γέα γαῖα E. ‖ 29. ἔρως H^aA^b. ‖ 30. τὴν H^aA^b. ‖ συνέξει ET. ‖ 31. τούτοις A^b. ‖ παρὰ H^a. ‖ 32. ἐπειδὴ H^b.

2. Evil — how accounted for —

τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, οὕτως ἄλλος τις φιλίαν εἰσήνεγκε καὶ νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τούτων. εἰ γάρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ νεῖκος τῶν κακῶν· ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τἀγαθόν ἐστι καὶ τῶν κακῶν τὸ κακόν. οὗτοι μὲν οὖν, ὥσπερ λέγομεν, καὶ μέχρι τούτου δυοῖν αἰτίαιν ἐφήψαντο ὧν ἡμεῖς διωρίσαμεν ἐν τοῖς περὶ φύσεως, τῆς τε ὕλης καὶ τοῦ ὅθεν ἡ κίνησις, ἀμυδρῶς μέντοι καὶ οὐθὲν σαφῶς, ἀλλ' οἷον ἐν ταῖς μάχαις οἱ ἀγύμναστοι ποιοῦσιν· καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι τύπτουσι πολλάκις καλὰς πληγάς, ἀλλ' οὔτε ἐκεῖνοι ἀπὸ ἐπιστήμης οὔτε οὗτοι ἐοίκασιν εἰδόσι λέγειν ὅ τι λέγουσιν· σχεδὸν γὰρ οὐθὲν χρώμενοι φαίνονται τούτοις ἀλλ' ἢ κατὰ μικρόν. Ἀναξαγόρας τε γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν, καὶ ὅταν ἀπορήσῃ διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε παρέλκει αὐτόν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν. καὶ Ἐμπεδοκλῆς ἐπὶ πλέον μὲν τούτου χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον. πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος συγκρίνει. ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διίστηται τὸ πᾶν ὑπὸ τοῦ νείκους, τό τε πῦρ εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· ὅταν δὲ πάλιν πάντα ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. Ἐμπεδοκλῆς μὲν οὖν παρὰ τοὺς πρότερον πρῶτος ταύτην τὴν αἰτίαν διελὼν εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν τῆς κινήσεως ἀρχὴν ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. ἔτι δὲ τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν· οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι μόνοις, πυρὶ μὲν καθ' αὑτό, τοῖς δ' ἀντικειμένοις ὡς μιᾷ φύσει, γῇ τε καὶ ἀέρι καὶ ὕδατι. λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. οὗτος μὲν οὖν, ὥσπερ λέγομεν, οὕτω τε καὶ τοσαύτας εἴρηκεν ἀρχάς· Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, λέγοντες τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν τὸ ὄν, τὸ δὲ κενόν γε καὶ μανὸν τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος), αἴτια δὲ τῶν ὄντων ταῦτα ὡς ὕλην. καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν τἆλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τῶν παθημάτων, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει. περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως ἀφεῖσαν. περὶ μὲν οὖν τῶν δύο αἰτιῶν, ὥσπερ λέγομεν, ἐπὶ τοσοῦτον ἔοικεν ἐζητῆσθαι παρὰ τῶν πρότερον.

Ἐν δὲ τούτοις καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς ᾠήθησαν εἶναι πάντων. ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς, ἕτερον δὲ καιρὸς καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως· ἔτι δὲ τῶν ἁρμονικῶν ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη καὶ τοὺς λόγους, ἐπειδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν, οἱ

Empedocles — wrote in verse

Leucippus & Democritus admitted special ἀρχὴ κινήσεως

Pythagorean mathematics

3. καὶ τὸ νεῖκος ἑκάτερον ἑκατέρῳ H^a. ‖ 4. λαμβάνει H^aA^b. ‖ 6. οὖσαν om H^aE^b. ‖ 7. ὡς H^a. ‖ καὶ λέγειν καὶ om H^a. ‖ 9. πάντων A^b. ‖ 10. αὐτοῦ *T*. ‖ καὶ — κακόν om A^b. ‖ 11. δυοῖν A^b: vulgo δυεῖν. ‖ ἐφήψαντο om A^b, qui ἡμμένοι φαίνονται post φύσεως. ‖ ὡς *T*. ‖ 16. αὐτοὶ *T*. ‖ εἰδέναι, omisso λέγειν, A^b. ‖ ὅ τι] ἃ H^a. ‖ 18. ἢ om F^b. ‖ γὰρ om H^a. ‖ 19. καὶ ὅταν ἀπορήσῃ] ὅταν γὰρ ἀπορήσει H^a, ὅταν ἀπορήσῃ γὰρ *ET*. ‖ διὰ — 20. ἐστί om A^b et margo *E*. ‖ 20. ἕλκει TH^aE^b et pr *E*. ‖ 22. ἐπὶ] δὴ ἐπὶ *T*, μὲν πρὸς H^a. ‖ χρῆται τούτου A^b, τούτῳ χρῆται H^a. ‖ 23. ἐξευρίσκει A^b. ‖ 25. διίσταται H^a. ‖ 26. τότε τὸ *ET*. ‖ εἰς ἓν om *T*. ‖ 27. πάλιν om H^a. ‖ πάντα om EE^b. ‖ 28. ἐξ om H^a. ‖ 29. τοὺς] τὸ A^b. ‖ 31. τῆς] τε *T*. ‖ 33. μόνον H^aE^b.

2. καὶ post τε om H^aE^b. ‖ 3. οὕτως *T*. ‖ 4. τοιαύτας H^a. ‖ 6. λέγοντες τὸ A^b: ceteri λέγοντες οἷον τό. ‖ 7. τε *E*, om $H^aA^bE^b$. ‖ καὶ μανὸν om A^b. ‖ 9. ταῦτά γε ὡς A^b, ταῦτά ante τῶν *T*. ‖ 10. ὕλη H^aE^b. ‖ 11. αὐτοῖς E^b. ‖ 12. πυκνούμενοι H^a. ‖ τῶν παθημάτων ante ἀρχὰς A^b. ‖ 15. διαφέρει EH^aE^b. ‖ φησι EH^a. ‖ ῥοισμῷ A^b. ‖ διαθηγῇ ETE^b. ‖ 16. ῥοισμὸς A^b. ‖ 17. γὰρ om H^a. ‖ 20. ἀφῆσαν E^b. ‖ 21. οὖν τούτων τῶν F^b. ‖ 22. παρὰ τῶν add A^b. ‖ 24. πρῶτον TH^aA^b. ‖ ταῦτά τε πρ. A^bC^b. ‖ προῆγον ETH^aE^b. ‖ 25. τῶν] τὰς *S*. τῶν ὄντων ἀρχὰς om A^b. ‖ 27. τοῖς ἀριθμοῖς] τούτοις A^b. ‖ 30. ψυχή τε καὶ A^b. ‖ 31. ἀρμονιῶν $SH^aB^bC^bE^b$. ‖ 32. τὰ πάθη] καὶ τὰ πάθη H^a. ‖ 33. ἐφαίνοντο A^b. ‖ τὴν φύσιν om SB^bC^b. ‖ ἀφομοιῶσθαι A^b, ἀφομοιωθῆναι ESB^bC^b. ‖ πᾶσιν ESH^aB^b.

30 — Empedocles admitted two ἀρχὰς κινήσεως — φιλίαν & νεῖκος, & 4 στοιχεῖα.

δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον. κἂν εἴ τί που διέλειπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. λέγω δ' οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. διώρισται δὲ περὶ τούτων ἐν ἑτέροις ἡμῖν ἀκριβέστερον. ἀλλ' οὗ δὴ χάριν ἐπερχόμεθα, τοῦτό ἐστιν, ὅπως λάβωμεν καὶ παρὰ τούτων τίνας εἶναι τιθέασι τὰς ἀρχὰς καὶ πῶς εἰς τὰς εἰρημένας ἐμπίπτουσιν αἰτίας. φαίνονται δὴ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τούτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων (καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν), τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανόν. ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας, πέρας καὶ ἄπειρον, περιττὸν καὶ ἄρτιον, ἓν καὶ πλῆθος, δεξιὸν καὶ ἀριστερόν, ἄρρεν καὶ θῆλυ, ἠρεμοῦν καὶ κινούμενον, εὐθὺ καὶ καμπύλον, φῶς καὶ σκότος, ἀγαθὸν καὶ κακόν, τετράγωνον καὶ ἑτερόμηκες. ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ' ἐκείνων ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν λόγον τοῦτον· καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ ὥσπερ οὗτοι διωρισμένας ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν μέλαν, γλυκὺ πικρόν, ἀγαθὸν κακόν, μικρὸν μέγα. οὗτος μὲν οὖν ἀδιορίστως ἐπέρριψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσιν. πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν οὐ διήρθρωται παρ' ἐκείνων, ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. τῶν μὲν οὖν παλαιῶν καὶ πλείω λεγόντων τὰ στοιχεῖα τῆς φύσεως ἐκ τούτων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν· εἰσὶ δέ τινες οἳ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης φύσεως ἀπεφήναντο, τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες, οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ τὴν φύσιν. εἰς μὲν οὖν τὴν νῦν σκέψιν τῶν αἰτίων οὐδαμῶς συναρμόττει περὶ αὐτῶν ὁ λόγος· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν φυσιολόγων ἓν ὑποθέμενοι τὸ ὂν ὅμως γεννῶσιν ὡς ἐξ ὕλης τοῦ ἑνός, ἀλλ' ἕτερον τρόπον οὗτοι λέγουσιν· ἐκεῖνοι μὲν γὰρ προστιθέασι κίνησιν, γεννῶντές γε τὸ πᾶν, οὗτοι δὲ ἀκίνητον εἶναί φασιν. οὐ μὴν ἀλλὰ τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει. Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας (ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής) οὐθὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν. οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος· Παρμενίδης δὲ μᾶλλον βλέπων ἔοικέ που λέγειν· παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐθέν (περὶ οὗ σαφέστερον ἐν τοῖς περὶ φύσεως εἰρήκαμεν), ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων· του-

2. ὑπέλαβον εἶναι A^b. ‖ 3. εἶχεν SA^bC^b. ‖ 4. δεικνύναι om A^b. ‖ 5. ἄλλην TH^aE^b. ‖ 6. που om A^b. ‖ 7. διέλιπε SC^bE^b, διέλιπον T. ‖ προσεπεγλίχοντο E. ‖ συνηρημένην SB^bC^b, συνηρμοσμένην E^b. ‖ εἶναι πᾶσαν αὐτοῖς T, αὐτοῖς πᾶσαν εἶναι H^a. ‖ 8. οἷον om H^a. ‖ 9. εἶναι — φύσιν om A^b. ‖ 10. καὶ τὰ φ.] καταφερόμενα S. ‖ 11. μόνων EH^aA^b, μὲν μόνον C^b. ‖ 16. δὲ A^bE^b. ‖ 18. τε add A^b. ‖ ἄπειρον τὸ δὲ πεπερασμένον A^b. ‖ 20. καὶ — περιττόν om A^b. ‖ 21. ἀριθμὸν S. ‖ 23. συστοιχείαν TA^b. ‖ 23 — 26. καὶ add A^b. ‖ 29. ἐγίνετο C^b. ἐγένετο τὴν ἡλικίαν et 30. ἐπὶ γέροντι Πυθαγόρᾳ et δὲ om A^b. ‖ 31. λέγω C^b. ‖ 32. διωρισμένως SB^b. ‖ 34. μέγα μικρόν A^b. ‖ οὕτως E^b. ‖ οὖν om E^b. ‖ ἀπέρριψε C^bE^b.

2. ἀμφοῖν μὲν τοσοῦτον A^b. ‖ 3. τὸ — 4. ἑτέρων om A^b. ‖ 4. περὶ E^b. ‖ 5. συναγαγεῖν A^b: ceteri συνάγειν. ‖ 8. φησὶ TC^b. ‖ 9. τὰ στοιχεῖα λεγόντων $ESTH^aE^b$. ‖ 11. φύσεως om S, τῆς φύσεως T. ‖ 12. τὴν om H^aE^b. ‖ 17. γε om STA^b. ‖ 19. γὰρ om S. ‖ τὸν om $TH^aA^bE^b$. ‖ 22. παρμενίδης ὃς τούτου ETE^b. ‖ διεσάφησεν T. ‖ 23. οὔτε A^b. ‖ τούτων post ἔοικε A^b. ‖ θιγεῖν ante ἔοικε SB^bC^b. ‖ 24. ὅλον τὸν E^b. ‖ τὸν θεόν om A^b. ‖ 25. οὕτω T. ‖ ἀφετείναντο SB^b, ἀπεφήναντο C^b. ‖ παροῦσαν add A^b. ‖ 28. βλέπων om E. ‖ που λέγειν ἔοικε E^b. ‖ 30. σαφέστερον TA^b. ‖ 32. τὸν om T. ‖ ὑπολαβὼν A^b. ‖ 33. τὰς ante ἀρχὰς om A^b. ‖ τίθησι πάλιν SB^bC^b.

των δὲ κατὰ μὲν τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν. ἐκ μὲν οὖν τῶν εἰρημένων καὶ παρὰ τῶν συνηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν τοσαῦτα παρειλήφαμεν, παρὰ μὲν τῶν πρώτων σωματικήν τε τὴν ἀρχήν (ὕδωρ γὰρ καὶ πῦρ καὶ τὰ τοιαῦτα σώματά ἐστιν), καὶ τῶν μὲν μίαν τῶν δὲ πλείους ἀρχὰς τὰς σωματικάς, ἀμφοτέρων μέντοι ταύτας ὡς ἐν ὕλης εἴδει τιθέντων, παρὰ δέ τινων ταύτην τε τὴν αἰτίαν τιθέντων καὶ πρὸς ταύτῃ τὴν ὅθεν ἡ κίνησις, καὶ ταύτην παρὰ τῶν μὲν μίαν παρὰ τῶν δὲ δύο. μέχρι μὲν οὖν τῶν Ἰταλικῶν καὶ χωρὶς ἐκείνων μετριώτερον εἰρήκασιν οἱ ἄλλοι περὶ αὐτῶν, πλὴν ὥσπερ εἴπομεν, δυοῖν τε αἰτίαιν τυγχάνουσι κεχρημένοι, καὶ τούτων τὴν ἑτέραν οἱ μὲν μίαν οἱ δὲ δύο ποιοῦσι, τὴν ὅθεν ἡ κίνησις· οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον, τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις, οἷον πῦρ ἢ γῆν ἤ τι τοιοῦτον ἕτερον, ἀλλ' αὐτὸ τὸ ἄπειρον καὶ αὐτὸ τὸ ἓν οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται, διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων. περί τε τούτων οὖν τοῦτον ἀπεφήναντο τὸν τρόπον, καὶ περὶ τοῦ τί ἐστιν ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι, λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμιζον, ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον. ἀλλ' οὐ ταὐτὸν ἴσως ἐστὶ τὸ εἶναι διπλασίῳ καὶ δυάδι· εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται, ὃ κἀκείνοις συνέβαινεν. παρὰ μὲν οὖν τῶν πρότερον καὶ τῶν ἄλλων τοσαῦτα ἐστι λαβεῖν.

6 Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν. ἐκ νέου τε γὰρ συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν· Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γινόμενον καὶ οὐ τῶν αἰσθητῶν τινός· ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων. οὗτος μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν. τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν, ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ ζητεῖν. ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον. ἐπεὶ δ' αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τἀκείνων στοιχεῖα πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι ἀρχάς, ὡς δ' οὐσίαν τὸ ἕν· ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη εἶναι τοὺς ἀριθμούς. τὸ μέντοι γε ἓν οὐσίαν εἶναι, καὶ μὴ ἕτερόν γέ τι ὂν λέγεσθαι ἕν, παραπλησίως τοῖς Πυθαγορείοις ἔλεγε, καὶ τὸ τοὺς ἀριθμοὺς αἰτίους εἶναι τοῖς ἄλλοις τῆς οὐσίας ὡσαύτως ἐκείνοις· τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι καὶ τὸ ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τοῦτ' ἴδιον· καὶ ὅτι ὁ μὲν τοὺς ἀριθμοὺς παρὰ τὰ αἰσθητά, οἱ δ' ἀριθμοὺς εἶναί φασιν αὐτὰ τὰ πράγματα, καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων οὐ τιθέασιν. τὸ μὲν οὖν τὸ ἓν καὶ τοὺς ἀριθμοὺς παρὰ τὰ πράγματα ποιῆσαι, καὶ μὴ ὥσπερ οἱ Πυθαγόρειοι, καὶ ἡ τῶν εἰδῶν εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἐγένετο σκέψιν (οἱ γὰρ πρότεροι διαλεκτικῆς οὐ μετεῖχον), τὸ δὲ δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν διὰ τὸ τοὺς ἀριθμοὺς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι, ὥσ-

1. κατὰ μὲν A^b: ceteri τὸ μὲν κατὰ. ‖ 2. περὶ E^b. ‖ συνεδρευκότων A^b. ‖ 3. τοσαῦτα A^b: vulgo ταῦτα. ‖ 6. πλ. τὰς ἀρχὰς τὰς A^bE^b. ‖ 7. ὥσπερ ὕλης εἴδη T. ‖ 8. τὴν ante αἰτίαν om T. ‖ 9. παρ' ὧν μὲν μίαν παρ' ὧν A^b. ‖ 10. μαλακώτερον A^bF^b et γρ E. ‖ 11. περὶ τῶν αὐτῶν $ESTB^bC^b$. ‖ δυεῖν T. ‖ τε om F^b. ‖ 15. δὲ om T. ‖ ἐστιν αὐτῶν A^b: vulgo αὐτῶν ἐστίν. ‖ 16. καὶ τὸ ἓν om $ESTB^bC^bE^b$. ‖ 17. φύσεις εἶναι E^b. ‖ 19. πάντων A^b. ‖ 20. ἀπεφήναντο τοῦτον A^b. ‖ 22. τε om T. ‖ πρώτως A^b. ‖ ὑπάρξειν T. ‖ 23. ἐνόμιζον A^b: ceteri ἐνόμισαν. ‖ 25. ὅτι S. ‖ δύο A^b. ‖ 26. ἐστὶ om E^b, ante ἴσως ponit A^b. ‖ 28. προτέρων E^bF^b. ‖ 29. ἐγίνετο S. ‖ 32. τε om A^b. ‖ συνήθης γενόμενος A^b: ceteri συγγενόμενος.

1. οὗτος E, οὔτε B^b. ‖ 2. μέντοι] δὲ A^b. ‖ 4. ἐκείνων E^b. ‖ 5. γινομένων καὶ οὐ περὶ τῶν αἰσθητῶν. ἀδύνατον A^b. ‖ 6. ὅρον] λόγον $ESB^bC^bE^b$. ‖ 7. οὕτως $SA^bC^bE^b$. ‖ τὰ μὲν οὖν A^b. ‖ 10. συνωνύμων τοῖς A^bF^b et γρ E: ceteri συνωνύμων ὁμώνυμα τοῖς. ‖ 11. μετέβαλλεν T, μετέλαβεν A^bF^b, μεταβάλλων E^b. ‖ μίμησιν T. ‖ 12. τοὔνομα μεταβαλών om A^b. ‖ 13. γε om A^b. ‖ ἥτις] τίς E^b. ‖ 14. ἀφῆσαν A^b. ‖ ἐκ κοινῶν SB^bC^b. ‖ 15. φασι E^b. ‖ 17. ἄττα] τὰ A^b, om F^b. ‖ 19. ἁπάντων τῶν ὄντων ᾠήθη A^b. ‖ 21. γὰρ τὰ κατὰ T. ‖ 23. γε add A^bF^b. ‖ ὂν] τὸ ὂν E. ‖ ἓν $A^bE^bF^b$, om T: ceteri εἶναι. ‖ 24. ὅλοις T. γρ τῆς ὅλης οὐσίας E. ‖ 26. καὶ τὸ A^b: ceteri τὸ δ'. ‖ 27. ὅτι A^b: ceteri ἔτι. ‖ 29. τὸν ἀριθμὸν A^bH^b. ‖ 31. πυθαγορικοὶ F^b. ‖ 33. τὴν] καὶ τὴν S.

περ ἔκ τινος ἐκμαγείου. καίτοι συμβαίνει γ' ἐναντίως· οὐ γὰρ εὔλογον οὕτως. οἱ μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιοῦσιν, τὸ δ' εἶδος ἅπαξ γεννᾷ μόνον, φαίνεται δ' ἐκ μιᾶς ὕλης μία τράπεζα, ὁ δὲ τὸ εἶδος ἐπιφέρων εἷς ὢν πολλὰς ποιεῖ. ὁμοίως δ' ἔχει καὶ τὸ ἄρρεν πρὸς τὸ θῆλυ· τὸ μὲν γὰρ θῆλυ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δ' ἄρρεν πολλὰ πληροῖ· καίτοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ἐστίν. Πλάτων μὲν οὖν περὶ τῶν ζητουμένων οὕτω διώρισεν· φανερὸν δ' ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν μόνον κέχρηται, τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην·(τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δ' εἴδεσι τὸ ἕν.) καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη, καθ' ἧς τὰ εἴδη μὲν ἐπὶ τῶν αἰσθητῶν τὸ δ' ἓν ἐν τοῖς εἴδεσι λέγεται, ὅτι αὕτη δυάς ἐστι, τὸ μέγα καὶ τὸ μικρόν. ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν, ὥσπερ φαμὲν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας φιλοσόφων, οἷον Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν.

7 Συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς ἐπεληλύθαμεν τίνες τε καὶ πῶς τυγχάνουσιν εἰρηκότες περί τε τῶν ἀρχῶν καὶ τῆς ἀληθείας· ὅμως δὲ τοσοῦτόν γ' ἔχομεν ἐξ αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας οὐθεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων εἴρηκεν, ἀλλὰ πάντες ἀμυδρῶς μὲν ἐκείνων δέ πως φαίνονται θιγγάνοντες. οἱ μὲν γὰρ ὡς ὕλην τὴν ἀρχὴν λέγουσιν, ἄν τε μίαν ἄν τε πλείους ὑποθῶσι, καὶ ἐάν τε σῶμα ἐάν τε ἀσώματον τιθῶσιν, οἷον Πλάτων μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγων, οἱ δ' Ἰταλικοὶ τὸ ἄπειρον, Ἐμπεδοκλῆς δὲ πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα, Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν. οὗτοί τε δὴ πάντες τῆς τοιαύτης αἰτίας ἡμμένοι εἰσί, καὶ ἔτι ὅσοι ἀέρα ἢ πῦρ ἢ ὕδωρ ἢ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον· καὶ γὰρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο μόνον, ἕτεροι δέ τινες ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον ὅσοι φιλίαν καὶ νεῖκος ἢ νοῦν ἢ ἔρωτα ποιοῦσιν ἀρχήν. τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν σαφῶς μὲν οὐθεὶς ἀπέδωκε, μάλιστα δ' οἱ τὰ εἴδη τιθέντες λέγουσιν· οὔτε γὰρ ὡς ὕλην τοῖς αἰσθητοῖς τὰ εἴδη καὶ τὰ ἐν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς κινήσεως γιγνομένην ὑπολαμβάνουσιν (ἀκινησίας γὰρ αἴτια μᾶλλον καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν), ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι τὸ ἕν. τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις, τρόπον μέν τινα λέγουσιν αἴτιον, οὕτω δὲ οὐ λέγουσιν, οὐδ' ὅνπερ πέφυκεν. οἱ μὲν γὰρ νοῦν λέγοντες ἢ φιλίαν ὡς ἀγαθὸν μέν τι ταύτας τὰς αἰτίας τιθέασιν, οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὂν ἢ γιγνόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων τὰς κινήσεις οὔσας λέγουσιν. ὡς δ' αὔτως καὶ οἱ τὸ ἓν ἢ τὸ ὂν φάσκοντες εἶναι τὴν τοιαύτην φύσιν, τῆς μὲν οὐσίας αἴτιόν φασιν εἶναι, οὐ μὴν τούτου γε ἕνεκα ἢ εἶναι ἢ γίγνεσθαι. ὥστε λέγειν τε καὶ μὴ λέγειν πως συμβαίνει αὐτοῖς τἀγαθὸν αἴτιον· οὐ γὰρ ἁπλῶς ἀλλὰ κατὰ συμβεβηκὸς λέγουσιν. ὅτι μὲν οὖν ὀρθῶς διώρισται περὶ τῶν αἰτίων, καὶ πόσα καὶ ποῖα, μαρτυρεῖν ἐοίκασιν ἡμῖν καὶ οὗτοι πάντες, οὐ δυνάμενοι θιγεῖν ἄλλης αἰτίας. πρὸς δὲ τούτοις, ὅτι ζητητέαι αἱ ἀρχαὶ ἢ οὕτως ἅπασαι ἢ τινὰ τρόπον τούτων, δῆλον. πῶς δὲ τούτων ἕκαστος εἴρηκε, καὶ πῶς ἔχει περὶ τῶν ἀρχῶν, τὰς ἐνδεχομένας ἀπορίας μετὰ τοῦτο διέλθωμεν περὶ αὐτῶν.

Ὅσοι μὲν οὖν ἕν τε τὸ πᾶν καὶ μίαν τινὰ φύσιν ὡς ὕλην τιθέασι, καὶ ταύτην σωματικὴν καὶ μέγεθος ἔχουσαν, δῆλον ὅτι πολλαχῶς ἁμαρτάνουσιν. τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δ' ἀσωμάτων οὔ, ὄντων καὶ ἀσωμάτων. καὶ περὶ γενέσεως καὶ φθορᾶς ἐπιχειροῦντες τὰς αἰτίας λέγειν, καὶ περὶ πάντων φυσιολογοῦντες, τὸ τῆς κινήσεως αἴτιον ἀναιροῦσιν. ἔτι δὲ τὸ τὴν οὐσίαν μηθενὸς αἰτίαν τιθέναι, μηδὲ τὸ τί ἐστι, καὶ πρὸς τούτοις τὸ ῥᾳδίως τῶν ἁπλῶν σωμάτων λέγειν ἀρχὴν ὁτιοῦν πλὴν γῆς, οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν πῶς ποιοῦνται, λέγω δὲ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα· τὰ μὲν γὰρ συγκρίσει τὰ δὲ διακρίσει ἐξ ἀλλήλων γίγνεται. τοῦτο δὲ πρὸς τὸ πρότερον εἶναι καὶ ὕστερον διαφέρει πλεῖστον· τῇ μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων ἐξ οὗ γίγνονται συγκρί-

1. γε συμβαίνει T. ‖ 2. οἱ A^b: ceteri νῦν. ‖ 6. θῆλυ add A^b. ‖ 8. διώριζε A^b. ‖ 9. κέχρηται A^b, κεχρημένος T et, addito ἐστι ante μόνον, ceteri. ‖ 12. μὲν] τὰ μὲν omnes praeter A^b. ‖ 13. ὅτι — 14. μικρὸν om A^b. ‖ 13. δυὰς αὕτη T. ‖ 14. δὴ] τε καὶ F^b. ‖ 15. ὥσπερ A^bF^b: ceteri ὅπερ μᾶλλον. ‖ 16. φιλοσόφων A^bF^b: vulgo φιλοσόφους. ‖ 19. τῶν ἀρχῶν om S. ‖ 20. τούτων S. ‖ γ' om F^bH^b. ‖ 22. περὶ τῆς φύσεως SB^bC^b. ‖ 24. ἐάν — ἐάν T. ‖ 25. ἀσωμάτους ET, ἀσωμάτως SC^b. ‖ 27. ἀέρα καὶ ὕδωρ E^b. ‖ 32. μόνον om E^b. ‖ 34. ἢ νοῦν] καὶ νοῦν ESB^bC^b. ‖ 35. ἀποδίδωκε ESB^bC^b.

1. ὕλη A^b. ‖ 3. αἴτια E, αἰτία E^b: ceteri αἰτίαν, T post μᾶλλον. ‖ 8. πέφυκε τρόπον. εἰ E. ‖ ἢ] καὶ A^b. ‖ 9. τι] τοι E^b, om A^b. ‖ τὰς αἰτίας ταύτας SB^bC^b. ‖ 11. οὔσας A^b, τούτων εἶναι SB^bC^b, ceteri εἶναι τούτων. ‖ 12. ὂν ἢ τὸ ἓν A^b. ‖ 13. οὐσίας μὲν $ESB^bC^bE^b$. ‖ φασιν αἴτιον E^b. ‖ ἢ ante εἶναι om A^b. ‖ 14. τε om T. ‖ 15. αἴτιον] τοιοῦτον SB^bC^b. ‖ ἀλλὰ καὶ κατὰ C^b. ‖ συμβεβηκὸς εἶναι λέγουσιν rc E^b. ‖ 17. πόσαι καὶ ποῖαι E^b. ‖ 19. τοῦτον S. ‖ 22. τι H^b. ‖ μίαν εἶναί τινα $ESTH^aB^bC^bE^b$. ‖ 25. ὄντων καὶ ἀσωμάτων om A^b. ‖ 27. ἁπάντων A^b. ‖ 30. λέγειν] εἶναι E^b. ‖ 32. καὶ post πῦρ om B^b. ‖ γῆν καὶ ὕδωρ A^b. ‖ 34. τῇ A^b, πῇ E, γῇ SB^bC^b, πῦρ TE^b: vulgo deest. margo E γρ τί μὲν καὶ νῦν μέν, ἔστιν ὅτε καὶ τῇ μέν.

ρώτυ, τοιῦτον δὲ τὸ μικρομερέςατον καὶ λεπτότατον ἂν ν σωμάτων. διόπερ ὅσοι πῦρ ἀρχὴν τιθέασι, μάλιςα γυμένως ἂν τῷ λόγῳ τύτῳ λέγοιεν. τοιοῦτον δὲ καὶ λλων ἕκαςος ὁμολογεῖ τὸ ςοιχεῖον εἶναι τὸ τῶν σω- ν. οὐθεὶς γῦν τῶν ὕςερον ἠξίωσε καὶ ἓν λεγόντων γῆν ςοιχεῖον, δηλονότι διὰ τὴν μεγαλομέρειαν. τῶν δὲ τριῶν ίων ἕκαςον εἴληφε κριτήν τινα· οἱ μὲν γὰρ πῦρ, οἱ δ' οἱ δ' ἀέρα τῦτ' εἶναί φασιν. καίτοι διὰ τί ποτ' ὐ καὶ ῆν λέγουσιν, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων; πάντα εἶναί φασι γῆν. φησὶ δὲ καὶ Ἡσίοδος τὴν γῆν πρώ- γενέσθαι τῶν σωμάτων· οὕτως ἀρχαίαν καὶ δημοτι- υμβέβηκεν εἶναι τὴν ὑπόληψιν. κατὰ μὲν οὖν τοῦ- ὸν λόγον οὔτ' εἴ τις τούτων τι λέγει πλὴν πυρός, ἴ τις ἀέρος μὲν πυκνότερον τοῦτο τίθησιν ὕδατος δὲ τερον, οὐκ ὀρθῶς ἂν λέγοι. εἰ δ' ἔστι τὸ τῇ γενέσει ον τῇ φύσει πρότερον, τὸ δὲ πεπεμμένον καὶ συγκε- νον ὕςερον τῇ γενέσει, τοὐναντίον ἂν εἴη τούτων, ὕδωρ έρος πρότερον, γῆ δὲ ὕδατος. περὶ μὲν οὖν τῶν μίαν νων αἰτίαν οἵαν εἴπομεν, ἔστω ταῦτ' εἰρημένα· τὸ δ' κἂν εἴ τις ταῦτα πλείω τίθησιν, οἷον Ἐμπεδοκλῆς τέτ- φησιν εἶναι σώματα τὴν ὕλην. καὶ γὰρ τύτῳ τὰ μὲν τὰ δ' ἴδια συμβαίνειν ἀνάγκη. γιγνόμενά τε γὰρ ἐξ λων ὁρῶμεν ὡς ὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τῦ σώματος (εἴρηται δὲ ἐν τοῖς περὶ φύσεως περὶ αὐτῶν)· ερὶ τῆς τῶν κινυμένων αἰτίας, πότερον ἓν ἢ δύο θετέον, θῶς ὔτε εὐλόγως οἰητέον εἰρῆσθαι παντελῶς. ὅλως τε ωσιν ἀναιρεῖσθαι ἀνάγκη τοῖς ὔτω λέγυσιν· ὐ γὰρ ἐκ ψυχρὸν ὐδὲ ἐκ ψυχρῦ θερμὸν ἔςαι. τί γὰρ ἂν αὐτὰ οι τἀναντία, καὶ τίς ἂν εἴη μία φύσις ἡ γιγνομένη καὶ ὕδωρ; ὃ ἐκεῖνος οὔ φησιν. Ἀναξαγόραν δ' εἴ τις βοι δύο λέγειν στοιχεῖα, μάλις' ἂν ὑπολάβοι κατὰ ὃν ἐκεῖνος αὐτὸς μὲν ὐ διήρθρωσεν, ἠκολύθησε μέντ' ἀνάγκης τοῖς ἐπάγυσιν αὐτόν. ἀτόπυ γὰρ ὄντος καὶ ς τοῦ φάσκειν μεμῖχθαι τὴν ἀρχὴν πάντα, καὶ διὰ τὸ συμβαίνειν ἄμικτα δεῖν προϋπάρχειν, καὶ διὰ τὸ μὴ πεφυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν, πρὸς δὲ τύτοις ὅτι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζοιτ' ἂν τῶν ὐσιῶν (τῶν γὰρ αὐτῶν μῖξίς ἐςι καὶ χωρισμός), ὅμως εἴ τις ἀκολουθήσειε συνδιαρθρῶν ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη καινοπρεπεστέρως λέγων. ὅτε γὰρ οὐθὲν ἦν ἀποκεκριμένον, δῆλον ὡς οὐθὲν ἦν ἀληθὲς εἰπεῖν κατὰ τῆς οὐσίας ἐκείνης, λέγω δ' οἷον ὅτι οὔτε λευκὸν οὔτε μέλαν ἢ φαιὸν ἢ ἄλλο χρῶμα, ἀλλ' ἄχρων ἦν ἐξ ἀνάγκης· εἶχε γὰρ ἄν τι τύτων τῶν χρωμάτων. ὁμοίως δὲ καὶ ἄχυμον, καὶ τῷ αὐτῷ λόγῳ τύτῳ ὐδὲ ἄλλο τι τῶν ὁμοίων ὐθέν· ὔτε γὰρ ποιόν τι οἷόν τε αὐτὸ εἶναι οὔτε ποσὸν οὔτε τί. τῶν γὰρ ἐν μέρει τι λεγομένων εἰδῶν ὑπῆρχεν ἂν αὐτῷ, τῦτο δὲ ἀδύνατον μεμιγμένων γε πάντων· ἤδη γὰρ ἂν ἀπεκέκριτο, φησὶ δ' εἶναι μεμιγμένα πάντα πλὴν τῦ νῦ, τῦτον δὲ ἀμιγῆ μόνον καὶ καθαρόν. ἐκ δὴ τούτων συμβαίνει λέγειν αὐτῷ τὰς ἀρχὰς τό τε ἕν (τῦτο γὰρ ἁπλῦν καὶ ἀμιγές) καὶ θάτερον, *Unum et ali[a]* οἷον τίθεμεν τὸ ἀόριςον πρὶν ὁρισθῆναι καὶ μετασχεῖν εἴδυς τινός. ὥςε λέγεται μὲν ὔτ' ὀρθῶς ὔτε σαφῶς, βύλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕςερον λέγυσι καὶ τοῖς νῦν φαινομένοις μᾶλλον. ἀλλὰ γὰρ ὔτοι μὲν τοῖς περὶ γένεσιν λόγοις καὶ φθορὰν καὶ κίνησιν οἰκεῖοι τυγχάνουσι μόνον· σχεδὸν γὰρ περὶ τῆς τοιαύτης ὐσίας καὶ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ζητῦσι μόνον. ὅσοι δὲ περὶ μὲν ἁπάντων τῶν ὄντων ποιῦνται τὴν θεωρίαν, τῶν δ' ὄντων τὰ μὲν αἰσθητὰ τὰ δ' ὐκ αἰσθητὰ τιθέασι, δῆλον ὡς περὶ ἀμφοτέρων τῶν γενῶν ποιῦνται τὴν ἐπίσκεψιν· διὸ μᾶλλον ἄν τις ἐνδιατρίψειε περὶ αὐτῶν, τί καλῶς ἢ μὴ καλῶς λέγουσιν εἰς τὴν τῶν νῦν ἡμῖν προκειμένων σκέψιν. οἱ μὲν ὖν καλύμενοι Πυθαγόρειοι ταῖς μὲν *Pythagorei[a]* ἀρχαῖς καὶ τοῖς ςοιχείοις ἐκτοπωτέρως χρῶνται τῶν φυσιολόγων. τὸ δ' αἴτιον ὅτι παρέλαβον αὐτὰς ὐκ ἐξ αἰσθητῶν· τὰ γὰρ μαθηματικὰ τῶν ὄντων ἄνευ κινήσεώς ἐστιν, ἔξω τῶν περὶ τὴν ἀςρολογίαν. διαλέγονται μέντοι καὶ πραγματεύονται περὶ φύσεως πάντα· γεννῶσί τε γὰρ τὸν οὐρανόν,

. ἕκαςοι ὡμολογεῖτο A^b. ‖ τὸ alterum om A^b. ‖ 5. γὰρ B^bE^b. ‖ τῶν ὕς. ἠξίωσε καὶ] ἠξίωσε τῶν A^b. ‖ 7. ἕκαςον ςοιχείων E ἕκαςοι ςοιχεῖον SB^bE^b. ‖ τινα om A^b. ‖ γὰρ τὸ πῦρ E^b. ‖ 8. καὶ] δὲ A^b. ‖ 10. φασι τὴν γῆν TB^bE^b. ‖ 11. γεγενῆσθαι 12. συμβέβηκεν εἶναι] εἶχε A^b. ‖ 13. τι post λέγει A^b, om E^b. ‖ 16. πρότερον τῇ φύσει ὕςερον $A^bF^bH^b$. ‖ πεπεμένον T. ‖ λείω ταῦτα S. ‖ 25. κινύντων A^b: ceteri κινυμένων. ‖ 26. ὔτ'] ὃ ὔτ' A^b. ‖ ἀλόγως $STB^bC^bE^b$ et pr E. ‖ ὅλως — 30. φησιν . ‖ 28. ἐςι STB^b. ‖ αὐτὰ ἂν ETE^b. ‖ 29. εἴη ἂν ESB^bC^b. ‖ 31. ὑπολαμβάνει F^b. ‖ 32. ὐ] ὐ σαφῶς A^b. ‖ διήρθρωκεν 33. ἐπάγυσιν A^b: ceteri λέγυσιν.

. ἀποκεκρυμμένον S. ‖ 7. ἐκείνοις C^b. ‖ 8. οἷον add A^b. ‖ ἢ ἄλλο χρῶμα om A^b. ‖ 9. ἄχροον STB^bC^b, ἄχρωον E^b, ἀχρώμα- . ‖ ἦν om A^b. ‖ τῶν χρωμάτων τύτων A^b. ‖ 10. καὶ ante τῷ add A^b. ‖ 11. τῦτο T. ‖ ἄλλο om T. ‖ τι ante τῶν add 12. γὰρ] δὲ E^b. ‖ τι λεγομένων om T. ‖ 13. αὐτό E^b. ‖ τύτω C^b. ‖ 16. δὴ] δὲ H^b, μὲν δὴ F^b. ‖ 17. θάτερον, καθάπερ ὄν, SB^bC^b. ‖ 20. τι et νῦν om F^b. ‖ 23. τῆς] τε E^b, τε τῆς TC^b. ‖ 24. μόνης A^b. ‖ 25. ποιῦσι EST. ‖ 30. τὴν φυσιολογίαν 34. πάντα περὶ φύσεως A^b. ‖ τε om T.

καὶ περὶ τὰ τούτου μέρη καὶ τὰ πάθη καὶ τὰ ἔργα διατηρῦσι τὸ συμβαῖνον, καὶ τὰς ἀρχὰς καὶ τὰ αἴτια εἰς ταῦτα καταναλίσκυσιν, ὡς ὁμολογῦντες τοῖς ἄλλοις φυσιολόγοις ὅτι τό γε ὂν τῦτ' ἐςὶν ὅσον αἰσθητόν ἐςι, καὶ περιείληφεν ὁ καλούμενος οὐρανός. τὰς δ' αἰτίας καὶ τὰς ἀρχάς, ὥσπερ εἴπομεν, ἱκανὰς λέγουσιν ἐπαναβῆναι καὶ ἐπὶ τὰ ἀνωτέρω τῶν ὄντων, καὶ μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας. ἐκ τίνος μέντοι τρόπου κίνησις ἔσται, πέρατος καὶ ἀπείρου μόνον ὑποκειμένων καὶ περιττῦ καὶ ἀρτίου, οὐθὲν λέγυσιν, ἢ πῶς δυνατὸν ἄνευ κινήσεως καὶ μεταβολῆς γένεσιν εἶναι καὶ φθορὰν ἢ τὰ τῶν φερομένων ἔργα κατὰ τὸν ὐρανόν. ἔτι δὲ εἴτε δῴη τις αὐτοῖς ἐκ τύτων εἶναι τὸ μέγεθος εἴτε δειχθείη τῦτο, ὅμως τίνα τρόπον ἔςαι τὰ μὲν κῦφα τὰ δὲ βάρος ἔχοντα τῶν σωμάτων; ἐξ ὧν γὰρ ὑποτίθενται καὶ λέγυσιν, ὐθὲν μᾶλλον περὶ τῶν μαθηματικῶν λέγουσι σωμάτων ἢ περὶ τῶν αἰσθητῶν· διὸ περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων τῶν τοιύτων σωμάτων ὐδ' ὁτιῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν (οἶμαι) λέγοντες ἴδιον. ἔτι δὲ πῶς δεῖ λαβεῖν αἴτια μὲν εἶναι τὰ τῦ ἀριθμῦ πάθη καὶ τὸν ἀριθμὸν τῶν κατὰ τὸν οὐρανὸν ὄντων καὶ γιγνομένων καὶ ἐξ ἀρχῆς καὶ νῦν, ἀριθμὸν δ' ἄλλον μηθένα εἶναι παρὰ τὸν ἀριθμὸν τῦτον ἐξ ῦ συνέςηκεν ὁ κόσμος; ὅταν γὰρ ἐν τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν ἀδικία καὶ κρίσις ἢ μῖξις, ἀπόδειξιν δὲ λέγωσιν ὅτι τύτων μὲν ἓν ἕκαστον ἀριθμός ἐςι, συμβαίνει δὲ κατὰ τὸν τόπον τῦτον ἤδη πλῆθος εἶναι τῶν συνιςαμένων μεγεθῶν διὰ τὸ τὰ πάθη ταῦτα ἀκολουθεῖν τοῖς τόποις ἑκάςοις, πότερον οὗτος ὁ αὐτός ἐστιν ἀριθμὸς ὁ ἐν τῷ ὐρανῷ, ὃν δεῖ λαβεῖν ὅτι τούτων ἕκαςόν ἐςιν, ἢ παρὰ τοῦτον ἄλλος; ὁ μὲν γὰρ Πλάτων ἕτερον εἶναί φησιν· καίτοι κἀκεῖνος ἀριθμὺς οἴεται καὶ ταῦτα εἶναι καὶ τὰς τύτων αἰτίας, ἀλλὰ τὺς μὲν νοητὺς αἰτίυς, τύτυς δὲ αἰσθητύς.

9 Περὶ μὲν ὖν τῶν Πυθαγορείων ἀφείσθω τὰ νῦν· ἱκανὸν γὰρ αὐτῶν ἅψασθαι τοσοῦτον. οἱ δὲ τὰς ἰδέας αἰτίας τιθέμενοι πρῶτον μὲν ζητῦντες τωνδὶ τῶν ὄντων λαβεῖν τὰς αἰτίας ἕτερα τύτοις ἴσα τὸν ἀριθμὸν ἐκόμισαν, ὥσπερ εἴ τις ἀριθμῆσαι βυλόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ δυνήσεσθαι, πλείω δὲ ποιήσας ἀριθμοίη· σχεδὸν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἴδη ἐςὶ τύτων περὶ ὧν ζητῦντες τὰς αἰτίας ἐκ τύτων ἐπ' ἐκεῖνα προῆλθον· καθ' ἕκαςον γὰρ ὁμώνυμόν τι ἐςι, καὶ παρὰ τὰς ὐσίας τῶν τε ἄλλων ὧν ἐςὶν ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις. ἔτι καθ' ὓς τρόπυς δείκνυμεν ὅτι ἔςι τὰ εἴδη, κατ' ὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ ὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τύτων εἴδη γίγνεται. κατά τε γὰρ τὺς λόγυς τὺς ἐκ τῶν ἐπιςημῶν εἴδη ἔςαι πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τύτων ἐςίν. ἔτι δὲ οἱ ἀκριβέςεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν. ὅλως τε ἀναιρῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ἃ μᾶλλον εἶναι βύλονται οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι· συμβαίνει γὰρ μὴ εἶναι τὴν δυάδα πρώτην ἀλλὰ τὸν ἀριθμόν, καὶ τὸ πρός τι τῦ καθ' αὑτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολυθήσαντες ταῖς περὶ τῶν ἰδεῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς. ἔτι δὲ κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἣν εἶναί φαμεν τὰς ἰδέας, ὐ μόνον τῶν ὐσιῶν ἔςαι εἴδη ἀλλὰ πολλῶν καὶ ἑτέρων (καὶ γὰρ τὸ νόημα ἓν ὐ μόνον περὶ τὰς ὐσίας ἀλλὰ καὶ κατὰ τῶν ἄλλων ἐςί, καὶ ἐπιςῆμαι οὐ μόνον τῆς ὐσίας εἰσὶν ἀλλὰ καὶ ἑτέρων, καὶ ἄλλα δὲ μυρία συμβαίνει τοιαῦτα)· κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ τὰ εἴδη, τῶν ὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου μετέχειν, ᾗ μὴ καθ' ὑποκειμένου λέγεται. λέγω δ' οἷον, εἴ τι αὐτοδιπλασίου μετέχει, τῦτο καὶ ἀϊδίυ μετέχει, ἀλλὰ κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊδίῳ εἶναι. ὥστ' ἔσται οὐσία τὰ εἴδη· ταὐτὰ δὲ ἐνταῦθα

1. τὰ ante ἔργα om A^b. ‖ 6. ἱκανὰς ὡς λέγουσι καὶ ἐπ. SC^b. ‖ ἀνώτερα T. ‖ 9. μόνων E. ‖ 12. εἶτι ST. ‖ τὸ add A^bF^b. ‖ 13. εἶτα S. ‖ ὁμοίως $SB^bC^bE^b$. ‖ 16. περὶ post ἢ om A^b. ‖ 18. δὲ] καὶ F^b. ‖ 19. εἶναι om T. ‖ 20. τῶν οὐρανῶν SE^b. ‖ 23. ἢ αὐτοῖς T. ‖ 24. ἀνικία E^bH^b. ‖ διάκρισις $ESTB^bC^b$. ‖ 25. μὲν om A^b. ‖ ἓν om ST. ‖ τὸν τρόπον τοῦτον ST, τοῦτον τὸν τόπον A^bF^b. ‖ 27. πότερον] πότερον δὲ A^b, πότερον οὖν E^b. ‖ 28. ὁ αὐτὸς post ἐςιν B^bC^b, om E^b. ‖ ἀριθμός ἐςιν A^b. ‖ 33. περὶ μὲν οὖν] καὶ περὶ μὲν F^b. ‖ τὸ $ESTB^bC^b$. ‖ 34. τοσοῦτον] μόνον F^b. ‖ αἰτίας om $ESB^bC^bE^bH^b$.

1. τῶν διὰ τῶν S. ‖ 5. ἐςὶ τὰ εἴδη τύτοις A^b. ‖ 6. ἐπ' et 7. τε om A^b. ‖ 7. ὧν A^b, ἃ F^b et margo E: ceteri om. ‖ ἐπὶ πολλῶν ἓν $ESTB^bC^bE^b$. ‖ 8. καθ'] δὲ καθ' SB^bC^b, δὲ καὶ καθ' ETE^b. ‖ τρόπυς δείκνυται A^b, δείκνυμεν τρόπυς SB^bC^b. ‖ 9. ἐξ om F^b. ‖ ἔςι om TC^bE^b. ‖ 11. τε] γε A^b. ‖ 12. ἐκ et 14. τι om A^b. ‖ 14. φθαρέντος] φθαρέντων $STB^bC^bE^bH^b$. ‖ 15. τῶν TB^b. ‖ οἱ om E^b. ‖ ἀκριβέςατοι $ESB^bC^bE^b$. ‖ 16. φασιν E^b. ‖ 18. ἰδεῶν F^b. ‖ βυλόμεθα $ESTB^bC^bE^b$. ‖ 21. τῦ] τῶν A^b. ‖ 22. εἰδῶν $ESTB^bC^bE^b$. ‖ δὲ om A^b. ‖ 23. μὲν om E^b. ‖ 24. ἔσονται A^bE^b. ‖ 25. τῶν ὐσιῶν SB^bC^b. ‖ κατὰ om SB^bC^b. ‖ 26. καὶ αἱ ἐπις. TA^b. ‖ 29. τὰ add STA^b. ‖ 30. δὴ E^b. ‖ ἕκαστον H^b. ‖ 31. εἰ H^b et rc B^bC^b. ‖ 32. αὐτῦ τῦ διπλασίυ STB^bC^b. ‖ 33. συμβέβηκε — 34. εἶναι om A^b. ‖ 34. ταυτὰ F^b: vulgo ταῦτα. ‖ δὲ ἐνταῦθα] γὰρ ἐνταῦθά τε F^b.

ἰαν σημαίνει κἀκεῖ· ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ τα, τὸ ἓν ἐπὶ πολλῶν; καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ φθαρτῶν δυάδων, καὶ τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ ς εἶναι ἓν καὶ ταὐτόν, ἢ ἐπὶ ταύτης καὶ τῆς τινός; εἰ μὴ τὸ αὐτὸ εἶδος, ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ εἴ τις καλοῖ ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, εμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. πάντων δὲ μάλιϛα ορήσειεν ἄν τις, τί ποτε συμβάλλεται τὰ εἴδη τοῖς ίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ φθειρομένοις· γὰρ κινήσεως ὔτε μεταβολῆς ὐδεμιᾶς ἐϛὶν αἴτια αὐτοῖς. ὰ μὴν ὔτε πρὸς τὴν ἐπιϛήμην ὐθὲν βοηθεῖ τὴν τῶν ἄλ- (ὐδὲ γὰρ ὐσία ἐκεῖνα τύτων· ἐν τύτοις γὰρ ἂν ἦν), ὔτε τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχυσιν· οὕτω μὲν ἂν ἴσως αἴτια δόξειεν εἶναι ὡς τὸ λευκὸν μεμιγμένον λευκῷ. ἀλλ' ὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀνα- όρας μὲν πρῶτος, Εὔδοξος δ' ὕστερον, καὶ ἄλλοι τινὲς ον· ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τοιαύτην δόξαν. ἀλλὰ μὴν ὐδ' ἐκ τῶν εἰδῶν ἐϛι τἆλλα οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν ιδείγματα αὐτὰ εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κε- γεῖν ἐϛὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐϛι ργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεταί τε εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν καὶ μὴ εἰκαζόμενον ἐκεῖνο, ὥϛε καὶ ὄντος Σωκράτυς καὶ μὴ ὄντος γένοιτ' οἷόσπερ Σωκράτης. ὁμοίως δὲ δῆλον ὅτι κἂν εἰ ἦν ὁ κράτης ἀΐδιος, ἔϛαι τε πλείω παραδείγματα τῦ αὐτοῦ, καὶ εἴδη, οἷον τῦ ἀνθρώπυ τὸ ζῷον καὶ τὸ δίπυν, ἅμα καὶ τὸ αὐτοάνθρωπος. ἔτι ὐ μόνον τῶν αἰσθητῶν παρα- ματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν τῶν ἰδεῶν, οἷον τὸ γέ- ὡς γένος εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ

εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι χωρὶς τὴν ὐσίαν καὶ ὗ ἡ ὐσία· ὥϛε πῶς ἂν αἱ ἰδέαι ὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; ἐν δὲ τῷ Φαίδωνι οὕτως λέγεται, ὡς καὶ τοῦ εἶναι καὶ τῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐϛίν. καίτοι τῶν εἰδῶν ὄντων ὅμως ὐ γίγνεται τὰ μετέχοντα, ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν ὔ φαμεν εἴδη εἶναι· ὥϛε δῆλον ὅτι ἐνδέχεται καὶ τἆλλα καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας οἵας καὶ τὰ ῥηθέντα νῦν. ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτιοι ἔσονται; πότερον ὅτι ἕτεροι ἀριθμοί εἰσι τὰ ὄντα, οἷον ὁδὶ μὲν ἀριθμὸς ἄνθρωπος, ὁδὶ δὲ Σωκράτης, ὁδὶ δὲ Καλλίας; τί ὖν ἐκεῖνοι τύτοις αἴτιοί εἰσιν; ὐδὲ γὰρ εἰ οἱ μὲν ἀΐδιοι οἱ δὲ μή, ὐθὲν διοίσει. εἰ δ' ὅτι λόγοι ἀριθμῶν τἀνταῦθα, οἷον ἡ συμφωνία, δῆλον ὅτι ἐϛιν ἕν γέ τι ὧν εἰσὶ λόγοι. εἰ δή τι τῦτο, ἡ ὕλη, φανερὸν ὅτι καὶ αὐτοὶ οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρυ πρὸς ἕτερον. λέγω δ' οἷον, εἰ ἔϛιν ὁ Καλλίας λόγος ἐν ἀριθμοῖς πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος, ἄλλων τινῶν ὑποκειμένων ἔσται, καὶ ἡ ἰδέα ἀριθμός· καὶ αὐτοάνθρωπος, εἴτ' ἀριθμός τις ὢν εἴτε μή, ὅμως ἔϛαι λόγος ἐν ἀριθμοῖς τινῶν, καὶ ὐκ ἀριθμός, ὐδ' ἔϛαι τις διὰ ταῦτα ἀριθμός. ἔτι ἐκ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς γίνεται, ἐξ εἰδῶν δὲ ἓν εἶδος πῶς; εἰ δὲ μὴ ἐξ αὐτῶν ἀλλ' ἐκ τῶν ἐναρίθμων, οἷον ἐν τῇ μυριάδι, πῶς ἔχουσιν αἱ μονάδες; εἴτε γὰρ ὁμοειδεῖς, πολλὰ συμβήσεται ἄτοπα, εἴτε μὴ ὁμοειδεῖς, μήτε αἱ αὐταὶ ἀλλήλαις μήτε αἱ ἄλλαι πᾶσαι πάσαις· τίνι γὰρ διοίσουσιν ἀπαθεῖς οὖσαι; οὔτε γὰρ εὔλογα ταῦτα ὔτε ὁμολογύμενα τῇ νοήσει. ἔτι δ' ἀναγκαῖον ἕτερόν τι γένος ἀριθμοῦ κατασκευάζειν, περὶ ὃ ἡ ἀριθμητικὴ καὶ πάντα τὰ μεταξὺ λεγόμενα ὑπό τινων ἁπλῶς· ἢ ἐκ τίνων ἐστὶν ἀρχῶν; ἢ διὰ τί τὰ μεταξὺ τῶν δεῦρό τ' ἔσται καὶ αὐτῶν; ἔτι αἱ μονάδες αἱ ἐν τῇ δυάδι ἑκατέρα ἔκ τινος

1. τί] ἔτι H^b. ‖ 3. μᾶλλον om S. ‖ 4. τῶν π.] τῶν δυάδων τῶν π. F^b, δυάδων τῶν π. TA^bE^b. ‖ 5. εἶναι om TEE^b. ‖ 6. ὁμωνυμία C^bE^b. ‖ 7. καλοῖ E: ceteri καλοίη. ‖ 8. μηδ. δὲ κ. B^bC^b. ‖ 9. ἂν om A^b. ‖ ποτε om T. ‖ εἴδη ἢ τοῖς F^b. ‖ 10. καὶ τοῖς φθ. $TB^bC^bE^b$. ‖ 12. ὔτε] ὐδὲ et 13. ὐδὲ] ὔτε codices. ‖ 13. ὐσίαν ἐκεῖνα C^b, ἐκεῖνα ὐσία E^b. ‖ 14. γε om $ESTB^bC^b$. ‖ μὲν om ‖ 15. αἴτιον T. ‖ ὡς om ET. ‖ 17. ὕϛερον] δεύτερος H^b. ‖ 18. ἔλεγον om SB^bC^b. ‖ 19. ἰδεῶν F^b. ‖ 21. ταῦτά H^b, om ‖ 23. ἀποβλέπον πρὸς τὰς ἰδέας H^b, πρὸς τὰς ἰδέας ἀποβλέπειν T. ‖ τε A^b, δὲ F^b: ceteri γάρ. ‖ 24. ὁτιοῦν ante ὅμοιον H^b, F^b. ‖ 25. γίγνοιτ' ESB^bC^b. ‖ 26. εἰ om E^b. ‖ 27. τε om H^b. ‖ 29. τοῦ A^b, ὁ H^b. ‖ αὐτοανθρώπου A^b. ‖ ἔτι δὲ ὐ H^b. ‖ ἔσονται παρ. H^b. ‖ 30. τὰ εἴδη] αἱ ἰδέαι H^b, εἴδη (omisso τὰ) SB^bC^b. ‖ τῶν ἰδεῶν add F^bH^b. ‖ 31. ὡς T.

3. λέγομεν F^bH^b. ‖ 4. τὰ εἴδη αἴτια F^b. ‖ 5. ἐὰν ETE^b. ‖ 8. διὰ] διὰ τὰς T, καὶ διὰ SB^bC^b. ‖ 9. εἰσὶν] εἶεν F^b. ‖ 10. εἰσιν καὶ T. ‖ 11. ἄνθρωπος ἀριθμὸς A^b. ‖ 13. ὐθὲν om T. ‖ 14. ἔϛαι SB^bC^b. ‖ δέ B^bC^b. ‖ εἰσὶν οἱ λόγοι SE^b. ‖ τι om STA^b. ‖ εἰ om T. ‖ 17. καὶ ἀέρος om $ESB^bC^bE^b$. ‖ 18. ἄλλων — ἀριθμὸς καὶ om $STB^bC^bE^b$. ‖ 19. ὁ αὐτὸς ἄνθρωπος TC^bE^b. ‖ ὐδ' $A^bF^bH^b$: ceteri καὶ ὐκ. ‖ ταῦτα ὁ ἀριθμός T. ‖ 21. ἔτι δ' ἐκ ESB^bC^b. ‖ 22. μηδ' STB^bC^b. ‖ ἐκ om A^b. ‖ ἀριθμῶν ἐν τῷ ἀριθμῷ A^b. γρ. ἀλλὰ ἐκ τῶν ἀριθμῶν. τὸ δὲ ἐνάριθμον ἀντὶ τοῦ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ margo E. ‖ 23. εἰ E^b. ‖ 24. ἄτοπα συμβήσεται $ESTB^bC^bE^b$. ‖ 25. μηδὲ αἱ αὐταὶ $A^bF^bH^b$, μήτε αὐταὶ S. ‖ ἄλλαι αἱ πᾶσαι EE^b. ‖ 27. δ'] τε A^b. ‖ 28. τι om ‖ ὂν A^b. ‖ 29. ἁπλῶς] ἃ πῶς A^b. ‖ 30. τὰ om A^b. ‖ δεῦρό] δὲ A^b. ‖ τ' om C^b. ‖ 31. ἑκατέρων A^b. ‖ τινος ἔτι προτέρας δυάδος A^b.

προτέρας δυάδος· καίτοι ἀδύνατον. ἔτι διὰ τί ἓν ὁ ἀριθμὸς συλλαμβανόμενος; ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰσὶν αἱ μονάδες διάφοροι, ἐχρῆν ὕτω λέγειν ὥσπερ καὶ ὅσοι τὰ ςοιχεῖα τέτταρα ἢ δύο λέγυσιν· καὶ γὰρ τύτων ἕκαςος οὐ τὸ κοινὸν λέγει ςοιχεῖον, οἷον τὸ σῶμα, ἀλλὰ πῦρ καὶ γῆν, εἴτ' ἔςι τι κοινὸν τὸ σῶμα εἴτε μή. νῦν δὲ λέγεται ὡς ὄντος τῦ ἑνὸς ὥσπερ πυρὸς ἢ ὕδατος ὁμοιομερῦς· εἰ δ' ὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί, ἀλλὰ δῆλον ὅτι, εἴπερ ἐςί τι ἓν αὐτὸ καὶ τῦτό ἐςιν ἀρχή, πλεοναχῶς λέγεται τὸ ἕν· ἄλλως γὰρ ἀδύνατον. βυλόμενοι δὲ τὰς ὑσίας ἀνάγειν εἰς τὰς ἀρχὰς μήκη μὲν τίθεμεν ἐκ μακροῦ καὶ βραχέος, ἔκ τινος μικροῦ καὶ μεγάλου, καὶ ἐπίπεδον ἐκ πλατέος καὶ στενοῦ, σῶμα δ' ἐκ βαθέος καὶ ταπεινῦ. καίτοι πῶς ἕξει ἢ τὸ ἐπίπεδον γραμμὴν ἢ τὸ στερεὸν γραμμὴν καὶ ἐπίπεδον; ἄλλο γὰρ γένος τὸ πλατὺ καὶ τὸ ςενὸν καὶ βαθὺ καὶ ταπεινόν· ὥσπερ ὖν ὐδ' ἀριθμὸς ὑπάρχει ἐν αὐτοῖς, ὅτι τὸ πολὺ καὶ ὀλίγον ἕτερον τούτων, δῆλον ὅτι οὐδ' ἄλλο οὐθὲν τῶν ἄνω ὑπάρξει τοῖς κάτω. ἀλλὰ μὴν ὐδὲ γένος τὸ πλατὺ τῦ βαθέος· ἦν γὰρ ἂν ἐπίπεδόν τι τὸ σῶμα. ἔτι αἱ ςιγμαὶ ἐκ τίνος ἐνυπάρξουσιν; τούτῳ μὲν οὖν τῷ γένει καὶ διεμάχετο Πλάτων ὡς ὄντι γεωμετρικῷ δόγματι, ἀλλ' ἐκάλει ἀρχὴν γραμμῆς, τῦτο δὲ πολλάκις ἐτίθει τὰς ἀτόμυς γραμμάς. καίτοι ἀνάγκη τύτων εἶναί τι πέρας· ὥς' ἐξ ὗ λόγυ γραμμὴ ἐςι, καὶ ςιγμή ἐςιν. ὅλως δὲ ζητύσης τῆς σοφίας περὶ τῶν φανερῶν τὸ αἴτιον, τῦτο μὲν εἰάκαμεν (οὐθὲν γὰρ λέγομεν περὶ τῆς αἰτίας ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς), τὴν δ' οὐσίαν οἰόμενοι λέγειν αὐτῶν ἑτέρας μὲν ὑσίας εἶναι φαμέν, ὅπως δ' ἐκεῖναι τύτων ὑσίαι, διὰ κενῆς λέγομεν· τὸ γὰρ μετέχειν, ὥσπερ καὶ πρότερον εἴπομεν, οὐθέν ἐςιν. οὐδὲ δὴ ὅπερ ταῖς ἐπιστήμαις ὁρῶμεν ὂν αἴτιον, διὸ καὶ πᾶς νοῦς καὶ πᾶσα φύσις ποιεῖ, οὐδὲ ταύτης τῆς αἰτίας ἥν φαμεν εἶναι μίαν τῶν ἀρχῶν, ὐθὲν ἅπτεται τὰ εἴδη, ἀλλὰ γέγονε τὰ μαθήματα τοῖς νῦν ἡ φιλοσοφία, φασκόντων τῶν ἄλλων χάριν αὐτὰ δεῖν πραγματεύεσθαι. ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης ἢ ὕλην, οἷον τὸ μέγα καὶ τὸ μικρόν, ὥσπερ καὶ οἱ φυσιολόγοι φασὶ τὸ μανὸν καὶ τὸ πυκνόν, πρώτας τῦ ὑποκειμένυ φάσκοντες εἶναι διαφορὰς ταύτας· ταῦτα γάρ ἐςιν ὑπεροχή τις καὶ ἔλλειψις. περί τε κινήσεως, εἰ μὲν ἔςαι ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν; ὅλη γὰρ ἡ περὶ φύσεως ἀνῄρηται σκέψις. ὅ τε δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι ἓν ἅπαντα, ὐ γίγνεται· τῇ γὰρ ἐκθέσει ὐ γίγνεται πάντα ἓν ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα, καὶ ὐδὲ τῦτο, εἰ μὴ γένος δώσει τὸ καθόλυ εἶναι· τοῦτο δ' ἐν ἐνίοις ἀδύνατον. ὐθένα δ' ἔχει λόγον ὐδὲ τὰ μετὰ τοὺς ἀριθμὺς μήκη καὶ ἐπίπεδα καὶ ςερεά, ὔτε ὅπως ἔςιν ἢ ἔςαι, ὔτ' εἴ τιν' ἔχει δύναμιν· ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι (οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (μαθηματικὰ γὰρ ἐκεῖνα) ὔτε τὰ φθαρτά, ἀλλὰ πάλιν τέταρτον ἄλλο φαίνεται τῦτό τι γένος. ὅλως τε τὸ τῶν ὄντων ζητεῖν ςοιχεῖα μὴ διελόντας, πολλαχῶς λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλλως τε καὶ τῦτον τὸν τρόπον ζητῦντας ἐξ οἵων ἐςὶ ςοιχείων. ἐκ τίνων γὰρ τὸ ποιεῖν ἢ πάσχειν, ἢ τὸ εὐθύ, ὐκ ἔςι λαβεῖν, ἀλλ' εἴπερ, τῶν ὐσιῶν μόνον ἐνδέχεται· ὥςε τὸ τῶν ὄντων ἁπάντων τὰ ςοιχεῖα ἢ ζητεῖν ἢ οἴεσθαι ἔχειν ὐκ ἀληθές. πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα; δῆλον γὰρ ὡς ὐθὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότερον. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι ἄλλα μὲν ἐνδέχεται προειδέναι, ὧν δὲ ἡ ἐπιστήμη καὶ περὶ ὧν μέλλει μανθάνειν ὐθὲν προγιγνώσκει, οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων. ὥς' εἴ τις τῶν πάντων ἐςὶν ἐπιςήμη, ὥς τινές φασιν, οὐθὲν ἂν προϋπάρχοι γνωρίζων οὗτος. καίτοι πᾶσα μάθησις διὰ προγιγνωσκομένων ἢ πάντων ἢ τινῶν ἐςί, καὶ ἡ δι' ἀποδείξεως ἢ δι' ὁρισμῶν· δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμὸς προειδέναι καὶ εἶναι γνώριμα. ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς. ἀλλὰ μὴν

1. καίτοι ἀδύνατον om T. ‖ ὁ ἀριθμὸς ἓν E^b. ‖ 3. γε ἀδιάφοροι F^b. ‖ 4. καὶ γὰρ καὶ τύτων T. ‖ 6. τι om TA^bE^b. ‖ 8. εἶναι] εἰπεῖν SB^bC^b. ‖ 11. τίθενται SB^bC^b. ‖ βραχέος καὶ μακροῦ A^b. ‖ 13. τοι om F^b. ‖ ἢ om A^b. ‖ 15. τὸ πλ.] καὶ τὸ πλ. TE^b. ‖ τὸ post καὶ om A^b. ‖ 16. ἐν om A^b. ‖ 17. ὅτι om E^b. ‖ 19. ἂν om T. ‖ 20. ἐνυπάρχυσι $ESTB^bC^bH^b$. ‖ 24. φιλοσοφίας A^b. ‖ 26. πόθεν A^b. ‖ 27. μὲν add EA^bH^b. ‖ 29. καὶ τὸ πρότερον STB^bC^b. ‖ ὃ περὶ τὰς ἐπιστήμας A^b. ‖ 31. οὐδὲ] τὸ δὲ A^b. ‖ 33. τῆς S. ‖ τῶν add A^b.

4. ἢ ὕλην add A^bF^b. ‖ καὶ ante φ. om SB^bC^b. ‖ 5. τὸ μανὸν] καὶ μανὸν S. ‖ τῆς ὑποκειμένης E^b. ‖ 6. ταύτας om A^b. ‖ γὰρ] δέ STH^b. ‖ 7. καὶ ἔλλειψις om A^b. ‖ δὲ A^b. ‖ ἔςι E^bH^b. ‖ 9. σκέψις ἀνῄρηται A^b. ‖ ὃ δὲ T, καὶ ὃ EH^b. ‖ 10. ἓν τὰ πάντα H^b. ‖ ὐ] ἐκ τῆς ἐκθέσεως ὐ A^b, omissis τῇ γὰρ ἐκθέσει ὐ γίγνεται. ‖ 11. γ. τὰ πάντα H^b. ‖ 12. εἰ et δώσει A^bF^b: ceteri ἐὰν et δῷ. ‖ 13. ἐν om A^b. ‖ ἐνίοις τε ἀδ. H^b. ‖ τὰ om S. ‖ 14. μήκη τε καὶ ἐπίπεδα A^b. ‖ ὐδὲ A^b. ‖ 15. εἴ om A^b. ‖ 16. μαθ.] τὰ μαθ. ETB^bC^b. ‖ 17. πάλιν γε τ. B^b. ‖ ἄλλο τέταρτον E^b. ‖ τῦτο φαίνεται γένος A^b. ‖ 18. ὄντων] ὅλων T. ‖ 19. διελόντα E^b. ‖ λεγόμενα A^b. ‖ 20. ὧν A^b. ‖ 21. εὐθύ] εὖ A^b. ‖ 23. ὄντων om TA^b. ‖ ἢ ante ζητεῖν om A^b. ‖ 26. τὸ T. ‖ γεωμέτρῃ γεωμετρεῖν A^b. ‖ 28. δὲ E^b, δεῖ ESB^bC^b. ‖ 29. εἴ] ἢ SB^bC^b. ‖ ἁπάντων A^bE^b. ‖ οἷαν δή τινες A^b. ‖ 33. εἶναι] εἰδὼς E^b.

τυγχάνει σύμφυτος οὖσα, θαυμαςὸν πῶς λανθάνο- ;οντες τὴν κρατίςην τῶν ἐπιςημῶν. ἔτι πῶς τις γνω- τίνων ἐςί, καὶ πῶς ἔςαι δῆλον; καὶ γὰρ τοῦτ' ἔχει ν· ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας βάς· οἱ μὲν γὰρ τὸ σμα ἐκ τȣ͂ σ καὶ μ καὶ α φα- ι, οἱ δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι καὶ ȣ̓θένα ωρίμων. ἔτι δὲ ὧν ἐςὶν αἴσθησις, ταῦτα πῶς ἄν τις ιν τὴν αἴσθησιν γνοίη; καίτοι ἔδει, εἴγε πάντων ταῦτα ί ἐςιν ἐξ ὧν, ὥσπερ αἱ σύνθετοι φωναί εἰσιν ἐκ τῶν ςοιχείων.

Ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ἐοίκασι πάντες, καὶ τȣ́των ἐκτὸς ȣ̓δεμίαν ἔχοιμεν ἂν δῆλον καὶ ἐκ τῶν πρότερον εἰρημένων. ἀλλ' ἀμυδρῶς · καὶ τρόπον μέν τινα πᾶσαι πρότερον εἴρηνται, τρό- τινα οὐδαμῶς. ψελλιζομένῃ γὰρ ἔοικεν ἡ πρώτη φία περὶ πάντων, ἅτε νέα τε κατ' ἀρχὰς οὖσα καὶ ῖτον, ἐπεὶ καὶ Ἐμπεδοκλῆς ὀστοῦν τῷ λόγῳ φησὶν τȣ͂το δ' ἐςὶ τὸ τί ἦν εἶναι καὶ ἡ ȣ̓σία τȣ͂ πράγματος. μὴν ὁμοίως ἀναγκαῖον καὶ σαρκὸς καὶ τῶν ἄλλων εἶναι τὸν λόγον, ἢ μηθενός· διὰ τȣ͂το γὰρ καὶ σὰρξ ȣ̓ν ἔςαι καὶ τῶν ἄλλων ἕκαςον, καὶ ȣ̓ διὰ τὴν ὕλην, ῖνος λέγει πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. ἀλλὰ ἄλλȣ μὲν λέγοντος συνέφησεν ἂν ἐξ ἀνάγκης, σα- ȣ̓κ εἴρηκεν. περὶ μὲν ȣ̓͂ν τῶν τοιȣ́των δεδήλωται καὶ ιν· ὅσα δὲ περὶ τῶν αὐτῶν τȣ́των ἀπορήσειεν ἄν τις, θωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμέν ; τὰς ὕςερον ἀπορίας.

Α ΕΛΑΤΤΟΝ.

Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ σημεῖον δὲ τὸ μήτ' ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς, μήτε πάντας ἀποτυγχάνειν, ἀλλ' ἕκαςον λέγειν τι περὶ τῆς φύσεως, καὶ καθ' ἕνα μὲν μηθὲν ἢ μικρὸν ἐπιβάλλειν αὐτῇ, ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγεθος. ὥς' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; ταύτῃ μὲν ἂν εἴη ῥᾳδία· τὸ δ' ὅλον τι ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς. ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο τρόπȣς, οὐκ ἐν τοῖς πράγμασιν ἀλλ' ἐν ἡμῖν τὸ αἴτιόν ἐςιν αὐτῆς. ὥσπερ γὰρ καὶ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, ȣ̓́τω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νȣ͂ς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις ὧν ἄν τις κοινώσαιτο ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἐπιπολαιοτέρως ἀποφηναμένοις· καὶ γὰρ ȣ̓͂τοι συνεβάλοντό τι· τὴν γὰρ ἕξιν προήσκησαν ἡμῶν. εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν ȣ̓κ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν περὶ τῆς ἀληθείας ἀποφηναμένων· παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας, οἱ δὲ τοῦ γενέσθαι τȣ́τȣς αἴτιοι γεγόνασιν. ὀρθῶς δ' ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιςήμην τῆς ἀληθείας. θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον· καὶ γὰρ ἐὰν τὸ πῶς ἔχει σκοπῶσιν, οὐ τὸ ἀΐδιον ἀλλὰ πρός τι καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων, καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον· καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος· ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑςέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ȣ̓́ντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεςάτας· ȣ̓ γάρ ποτε ἀληθεῖς, οὐδ' ἐκείναις αἴτιόν τί ἐςι τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις, ὥσθ' ἕκαστον ὡς ἔχει τοῦ εἶναι, ȣ̓́τω καὶ τῆς ἀληθείας.

εἰ καὶ τυγχάνοι B^bF^b. ‖ 2. γνωρίσει F^b, γνωρίσειεν $ESTB^bC^b$. ‖ 4. ἐπὶ S. ‖ 5. ὁ T. ‖ σῶμα E^b. ‖ 6. δὲ τὸν ἕτερον τρόπον ι A^b. ‖ 7. δὲ et ἐςὶν om F^b. ‖ κ' αἴσθησις E^b. ‖ 8. γνοίη] ἔχοι F^b. ‖ δεῖ A^b. ‖ 12. ἔχομεν $A^bE^bF^b$, A^bF^b omisso ἂν. ‖ κσαι SB^bC^b, αἱ πᾶσαι T. ‖ 16. ἁπάντων A^b. ‖ τε] τε καὶ S, om A^bF^b. ‖ 19. ἀναγκαῖον ὁμοίως T. ‖ σάρκα TE^b, σάρκας 20. ἕκαςον codices. ‖ μηδὲ ἓν $ESTB^bC^bF^b$. ‖ τȣ͂το ἄρα καὶ ἡ σὰρξ A^b. ‖ 21. ἔςι $STB^bC^bF^b$. ‖ 22. λέγει om T. ‖ καὶ ν om S. ‖ καὶ post γῆν et 23. μὲν om SB^bC^b. ‖ 24. ȣ̓κ om S. ‖ ȣ̓͂ν om F^b. ‖ τȣ́των A^b. ‖ 25. δὲ] δὲ καὶ S. ‖ 26. ιμεν SC^b. ‖ 27. τι] τοι E^b, om A^bF^b. ‖ 29. α τὸ ἔλαττον ST, ἔλαττον α f, β E, βιβλίον β Q. addunt $EQSB^bC^b$: τοῦτο ίον οἱ πλείους φασὶν εἶναι Πασικλέους τοῦ Ῥοδίου, ὃς ἦν ἀκροατὴς Ἀριςοτέλους, υἱὸς δὲ Βοηθοῦ τοῦ Εὐδήμου ἀδελφȣ͂. Ἀλέξανδρος δὲ ὁ ιεὺς φησιν εἶναι αὐτὸ τοῦ Ἀριςοτέλους. ‖ 30. ἡ] ὅτι ἡ rc H^b. ‖ 31. μηδένα om T. ‖ ȣ̓τυχεῖν A^b.

τῆς om T. ‖ μὲν] μὲν ἢ E. ‖ 6. τι $A^bE^bF^b$: ceteri τ'. ‖ 8. ἐςιν add A^b. ‖ 9. καὶ om EQE^b. ‖ 10. τὸ μεθ'] πρὸς Q. ‖] καὶ ȣ̓́τως ὧν E^b. ‖ κοινώσαιτο E^b, κοινωνήσαιτο ETA^b, κινήσαιτο F^b: ceteri κοινωνήσαι. ‖ 13. τοῖς] τοῖς ἔτι omnes praeter A^b. ‖ ιότερον A^bE^b. ‖ 14. συνεβάλοντό A^b: ceteri συμβάλλονταί. ‖ ἤσκησαν A^b. ‖ 16. φρένις E^b. ‖ 17. δὲ om S. ‖ τῶν περὶ τῆς] περὶ E^b. ‖ 19. τȣ́τοις rc E^b. ‖ δὴ ET. ‖ ἔχει om A^bF^b. ‖ καλέσαι $ESTB^bC^b$. ‖ 20. τὴν κατὰ φ. A^b. idem post ἀληθείας addit ήν. ‖ 21. ἂν A^bE^b. ‖ 22. ἔχῃ EQS. ‖ οὐ τὸ αἴτιον EQS, οὐ γὰρ αἴτιον T, οὗ τὸ αἴτιον οὐ E^b. addunt omnes καθ' αὐτό, prae- . ‖ 24. καθὼς S. ‖ 28. αἰεὶ QT. ‖ 29. ἐκείνων A^bE^b. ‖ ἐςὶ om A^b.

2 Ἀλλὰ μὴν ὅτι γ' ἐστὶν ἀρχή τις καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων, οὔτ' εἰς εὐθυωρίαν οὔτε κατ' εἶδος, δῆλον. ὔτε γὰρ ὡς ἐξ ὕλης τόδ' ἐκ τῦδε δυνατὸν ἰέναι εἰς ἄπειρον, οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δ' ἐξ ἀέρος, ἀέρα δ' ἐκ πυρός, καὶ τῦτο μὴ ἵςασθαι· οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον τὸν μὲν ἄνθρωπον ὑπὸ τῦ ἀέρος κινηθῆναι, τῦτον δ' ὑπὸ τοῦ ἡλίυ, τὸν δὲ ἥλιον ὑπὸ τῦ νείκυς, καὶ τύτυ μηδὲν εἶναι πέρας. ὁμοίως δὲ ὐδὲ τὸ ὗ ἕνεκα εἰς ἄπειρον οἷόν τε ἰέναι, βάδισιν μὲν ὑγιείας ἕνεκεν, ταύτην δ' εὐδαιμονίας, τὴν δ' εὐδαιμονίαν ἄλλυ, καὶ ὕτως ἀεὶ ἄλλο ἄλλυ ἕνεκεν εἶναι. καὶ ἐπὶ τῶν τί ἦν εἶναι δ' ὡσαύτως. τῶν γὰρ μέσων, ὧν ἐςὶν ἔξω τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον αἴτιον τῶν μετ' αὐτό. εἰ γὰρ εἰπεῖν ἡμᾶς δέοι τι τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐρῦμεν· οὐ γὰρ δὴ τόγ' ἔσχατον, ὐδενὸς γὰρ τὸ τελευταῖον· ἀλλὰ μὴν οὐδὲ τὸ μέσον, ἑνὸς γάρ. οὐθὲν δὲ διαφέρει ἓν ἢ πλείω εἶναι, ὐδ' ἄπειρα ἢ πεπερασμένα· τῶν δ' ἀπείρων τῦτον τὸν τρόπον καὶ ὅλως τῦ ἀπείρυ πάντα τὰ μόρια μέσα ὁμοίως μέχρι τοῦ νῦν· ὥστ' εἴπερ μηθέν ἐστι πρῶτον, ὅλως αἴτιον ὐθέν ἐςιν. ἀλλὰ μὴν ὐδ' ἐπὶ τὸ κάτω οἷόν τ' εἰς ἄπειρον ἰέναι, τῦ ἄνω ἔχοντος ἀρχήν, ὥς' ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ τύτυ γῆν, καὶ ὕτως ἀεὶ ἄλλο τι γίγνεσθαι γένος. διχῶς γὰρ γίγνεται τόδε ἐκ τοῦδε, ἢ ὡς τόδε λέγεται μετὰ τόδε, οἷον ἐξ Ἰσθμίων Ὀλύμπια, ἢ ὐχ ὕτως ἀλλ' ὡς ἐκ παιδὸς ἀνὴρ μεταβάλλοντος, ἢ ἐξ ὕδατος ἀήρ. ὡς μὲν οὖν ἐκ παιδὸς ἄνδρα γίγνεσθαί φαμεν, ὡς ἐκ τοῦ γιγνομένυ τὸ γεγονὸς ἢ ἐκ τῦ ἐπιτελυμένυ τὸ τετελεσμένον· ἀεὶ γάρ ἐςι μεταξύ, ὥσπερ τῦ εἶναι καὶ μὴ εἶναι γένεσις, οὕτω καὶ τὸ γιγνόμενον τοῦ ὄντος καὶ μὴ ὄντος. ἔστι δ' ὁ μανθάνων γιγνόμενος ἐπιστήμων, καὶ τοῦτ' ἐςὶν ὃ λέγεται, ὅτι γίγνεται ἐκ μανθάνοντος ἐπιςήμων. τὸ δ' ὡς ἐξ ἀέρος ὕδωρ, φθειρομένυ θατέρυ. διὸ ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει εἰς ἄλληλα, ὐδὲ γίγνεται ἐξ ἀνδρὸς παῖς· ὐ γὰρ γίγνεται ἐκ τῆς γενέσεως τὸ γιγνόμενον, ἀλλ' ἔςι μετὰ τὴν γένεσιν. ὕτω γὰρ καὶ ἡμέρα ἐκ τῦ πρωΐ, ὅτι μετὰ τῦτο· διὸ ὐδὲ τὸ πρωῒ ἐξ ἡμέρας. θάτερα δὲ ἀνακάμπτει. ἀμφοτέρως δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι. τῶν μὲν γὰρ ὄντων μεταξὺ ἀνάγκη τέλος εἶναι, τὰ δ' εἰς ἄλληλα ἀνακάμπτει· ἡ γὰρ θατέρυ φθορὰ θατέρυ ἐςὶ γένεσις. ἅμα δὲ καὶ ἀδύνατον τὸ πρῶτον ἀΐδιον ὂν φθαρῆναι· ἐπεὶ γὰρ ὐκ ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω, ἀνάγκη, ἐξ ὗ φθαρέντος πρώτυ τι ἐγένετο, μὴ ἀΐδιον εἶναι. ἔτι δὲ τὸ ὗ ἕνεκα τέλος, τοιῦτον δὲ ὃ μὴ ἄλλυ ἕνεκα, ἀλλὰ τἆλλα ἐκείνου· ὥστ' εἰ μὲν ἔσται τοιοῦτον τὸ ἔσχατον, ὐκ ἔςαι ἄπειρον, εἰ δὲ μηθὲν τοιῦτον, ὐκ ἔςαι τὸ ὗ ἕνεκα. ἀλλ' οἱ τὸ ἄπειρον ποιῦντες λανθάνυσιν ἐξαιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν. καίτοι οὐθεὶς ἂν ἐγχειρήσειεν οὐδὲν πράττειν μὴ μέλλων ἐπὶ πέρας ἥξειν. οὐδ' ἂν εἴη νοῦς ἐν τοῖς τοιύτοις· ἕνεκα γάρ τινος ἀεὶ πράττει ὅ γε νῦν ἔχων· τῦτο γάρ ἐςι πέρας· τὸ γὰρ τέλος πέρας ἐςίν. ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν εἶναι ἐνδέχεται ἀνάγεσθαι εἰς ἄλλον ὁρισμὸν πλεονάζοντα τῷ λόγῳ. ἀεί τε γάρ ἐςιν ὁ ἔμπροσθεν μᾶλλον, ὁ δ' ὕςερος ὐκ ἔςιν· ὗ δὲ τὸ πρῶτον μὴ ἔςιν, ὐδὲ τὸ ἐχόμενόν ἐςιν. ἔτι τὸ ἐπίςασθαι ἀναιρῦσιν οἱ ὕτως λέγοντες· οὐ γὰρ οἷόν τε εἰδέναι πρὶν ἢ εἰς τὰ ἄτομα ἐλθεῖν. καὶ τὸ γιγνώσκειν οὐκ ἔστιν· τὰ γὰρ ὕτως ἄπειρα πῶς ἐνδέχεται νοεῖν; ὐ γὰρ ὅμοιον ἐπὶ τῆς γραμμῆς, ἣ κατὰ τὰς διαιρέσεις μὲν ὐχ ἵςαται· νοῆσαι δ' ὐκ ἔςι μὴ ςήσαντα· διόπερ ὐκ ἀριθμήσει τὰς τομὰς ὁ τὴν ἄπειρον διεξιών. ἀλλὰ καὶ τὴν ὕλην ἐν κινυμένῳ νοεῖν ἀνάγκη, καὶ ἀπείρῳ ὐθενὶ ἔςιν εἶναι· εἰ δὲ μή, ὐκ ἄπειρόν γ' ἐςὶν τὸ ἀπείρῳ εἶναι. ἀλλὰ μὴν καὶ εἰ ἄπειρά γ' ἦσαν πλήθει τὰ εἴδη τῶν αἰτίων, οὐκ ἂν ἦν οὐδ' οὕτω τὸ γιγνώσκειν· τότε γὰρ εἰδέναι οἰόμεθα, ὅταν τὰ αἴτια γνωρίσωμεν· τὸ δ' ἄπειρον κατὰ τὴν πρόσθεσιν ὐκ ἔςιν ἐν πεπερασμένῳ διεξελθεῖν.

Αἱ δ' ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσιν· ὡς γὰρ

1. τις ἀρχὴ F^b. ‖ 2. ἐπ' A^bE^b. ‖ εὐθεωρίαν E^b. ‖ 3. εἶναι ἐπ' $EQSTE^b$. ‖ 8. ὐδὲ] καὶ A^b. ‖ ἄπ. οὐχ οἷόν τε εἶναι A^b. ‖ 9. ἕνεκεν A^b: ceteri ἕνεκα. ‖ δ'] δι' T. ‖ 10. ἄλλυ ἕνεκεν καὶ A^b. ‖ 11. ἔξω τι om A^bF^b. τι ἔξω T. ‖ 13. τῶ ET. ‖ μεθ' αὐτὸ A^b, μέσων F^b. ‖ ἡμᾶς εἰπεῖν A^b. ‖ 14. γε τὸ A^b. ‖ τὸ] τότε Q, τόγε EB^bC^b. ‖ 16. ἢ πεπ.] ὐδὲ πεπ. E^b. ‖ 17. ὅλως] ἄλλως τε H^b. ‖ 18. ὁμοίως om H^b. ‖ ἔστι τὸ πρῶτον $STB^bC^bE^b$. ‖ 20. εἰς A^b, ἐπ' F^b: ceteri ἐστὶν ἐπ'. ‖ ἀπιέναι A^b, προϊέναι F^b. ‖ ἔχοντι τῦ ἄνω F^b. ‖ 21. τύτυ] τῦ ὕδατος H^b. ‖ 22. γίγνεται] λέγεται μετὰ Q. ‖ ἢ ETA^bE^b: vulgo μή. ‖ 23. ἢ ὐχ ὕτως ἀλλ' ὡς A^b, ἢ ἀλλ' ὡς S, ἄλλως E^b: ceteri ἢ. ‖ 24. μεταβάλλοντος ἀνὴρ E^b. ‖ ἢ ὡς ἐξ A^b. ‖ 25. μὲν — φαμεν om E. ‖ ἀνὴρ QSC^bE^b. ‖ γενέσθαι F^b. ‖ 26. ἐκ om F^b. ‖ 27. μεταξύ] τι μεταξύ H^b, μεταξύ τι STB^bC^b. ‖ 28. δ'] γὰρ A^b. ‖ 29. καὶ — ἐπιςήμων om A^b. ‖ 30. ὅτι γίγνεται om T. ‖ 31. οὐκ ἀνακάμπτει μὲν ἐκεῖνα Q. ‖ 32. εἰς] πρὸς SB^bC^b. ‖ γὰρ] δὲ A^b.

1. ἔςι om F^bH^b. ‖ 2. καὶ ἡ ἡμέρα T. ‖ τὸ om A^b. ‖ 3. θάτερον A^b. ‖ ἀμφοτέρας E^b. ‖ 4. γὰρ om E^b. ‖ 5. ἀνακάμπτει A^b. ‖ 6. γένεσίς ἐςιν ‖ 7. πρῶτον αἴτιον ἀΐδιον F^b. ‖ ἐπεὶ — 9. εἶναι om pr E^b: ἐπειδὴ rc E^b. ‖ 7. ἡ om A^b. ‖ 9. ἔτι] ἐπεὶ A^bF^b. ‖ 13. ἐγχειρίσειεν S. ‖ 14. πράσσειν EE^b. ‖ 15. τοῖς om E. ‖ τοιύτοις] ὖσιν A^b. ‖ 16. πέρας τέλος SA^b. ‖ 17. εἶναι Q. ‖ 18. τε om T. ‖ 20. ἐςιν om A^b. ‖ 21. ἢ om TA^b. ‖ ἔλθῃ A^b. ‖ 23. ἢ SE^b. ‖ 25. ἀριθμεῖ A^b. ‖ 26. ὐδὲν $STA^bB^bC^bE^b$. ‖ 27. γ'] δ' A^b. ‖ τοῦ E^b. ‖ 28. εἰ om S. ‖ 30. πρόθεσιν SA^b. ‖ 32. συμβαίνουσαι F^b.

, οὕτως ἀξιοῦμεν λέγεσθαι, καὶ τὰ παρὰ ταῦτα οὐχ αίνεται ἀλλὰ διὰ τὴν ἀσυνήθειαν ἀγνωστότερα καὶ ρα· τὸ γὰρ σύνηθες γνωριμώτερον. ἡλίκην δὲ ἰσχὺν σύνηθες οἱ νόμοι δηλοῦσιν, ἐν οἷς τὰ μυθώδη καὶ ώδη μεῖζον ἰσχύει τοῦ γινώσκειν περὶ αὐτῶν διὰ τὸ μὲν οὖν, ἐὰν μὴ μαθηματικῶς λέγῃ τις, οὐκ ἀποδέ- τῶν λεγόντων, οἱ δ', ἂν μὴ παραδειγματικῶς, οἱ υρα ἀξιοῦσιν ἐπάγεσθαι ποιητήν. καὶ οἱ μὲν πάντα , τοὺς δὲ λυπεῖ τὸ ἀκριβὲς ἢ διὰ τὸ μὴ δύνασθαι ἢ διὰ τὴν μικρολογίαν· ἔχει γάρ τι τὸ ἀκριβὲς , ὥστε καθάπερ ἐπὶ τῶν συμβολαίων, καὶ ἐπὶ τῶν ἀνελεύθερον εἶναί τισι δοκεῖ. διὸ δεῖ πεπαιδεῦσθαι στα ἀποδεκτέον, ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην τον ἐπιστήμης· ἔστι δ' οὐδέτερον ῥᾴδιον λαβεῖν. τὴν ολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτη- λ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. διόπερ οὐ φυσικὸς ὁ ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην. διὸ σκεπτέον τί ἐστιν ἡ φύσις· οὕτω γὰρ καὶ περὶ τίνος ἡ φυσικὴ αι, καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων τὰ αἴτια καὶ ὰς θεωρῆσαί ἐστιν.

B.

άγκη πρὸς τὴν ζητουμένην ἐπιστήμην ἐπελθεῖν ἡμᾶς περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· ταῦτα δ' ἐστὶν ὅσα αὐτῶν ἄλλως ὑπειλήφασί τινες, κἂν εἴ τι χωρὶς υγχάνοι παρεωραμένον. ἔστι δὲ τοῖς εὐπορῆσαι βου- προὔργου τὸ διαπορῆσαι καλῶς· ἡ γὰρ ὕστερον λύσις τῶν πρότερον ἀπορουμένων ἐστί, λύειν δ' οὐκ νοοῦντας τὸν δεσμόν. ἀλλ' ἡ τῆς διανοίας ἀπορία το περὶ τοῦ πράγματος· ᾗ γὰρ ἀπορεῖ, ταύτῃ πα- ον πέπονθε τοῖς δεδεμένοις· ἀδύνατον γὰρ ἀμφοτέ- λθεῖν εἰς τὸ πρόσθεν. διὸ δεῖ τὰς δυσχερείας τε- ι πάσας πρότερον, τούτων τε χάριν καὶ διὰ τὸ τοὺς ἄνευ τοῦ διαπορῆσαι πρῶτον ὁμοίους εἶναι τοῖς ποῖ ζειν ἀγνοοῦσι, καὶ πρὸς τούτοις οὐδ' εἴ ποτε τὸ ζητούμενον εὕρηκεν ἢ μὴ γινώσκειν· τὸ γὰρ τέλος τούτῳ μὲν οὐ δῆλον, τῷ δὲ προηπορηκότι δῆλον. ἔτι δὲ βέλτιον ἀνάγκη ἔχειν πρὸς τὸ κρῖναι τὸν ὥσπερ ἀντιδίκων καὶ τῶν ἀμφισβητούντων λόγων ἀκηκοότα πάντων. ἔστι δ' ἀπορία πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν, πότερον μιᾶς ἢ πολλῶν ἐπιστημῶν θεωρῆσαι τὰς αἰτίας, καὶ πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσιν ἅπαντες, οἷον πότερον ἐνδέχεται ταὐτὸ καὶ ἓν ἅμα φάναι καὶ ἀποφάναι ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. εἴτ' ἔστι περὶ τὴν οὐσίαν, πότερον μία περὶ πάσας ἢ πλείονές εἰσι, καὶ εἰ πλείονες, πότερον ἅπασαι συγγενεῖς, ἢ τὰς μὲν σοφίας τὰς δ' ἄλλο τι λεκτέον αὐτῶν. καὶ τοῦτο δ' αὐτὸ τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι, πότερον τὰς αἰσθητὰς οὐσίας εἶναι μόνον φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας, καὶ πότερον μοναχῶς ἢ πλείονα γένη τῶν οὐσιῶν, οἷον οἱ ποιοῦντες τά τε εἴδη καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων τε καὶ τῶν αἰσθητῶν. περί τε τούτων οὖν, καθάπερ φαμέν, ἐπισκεπτέον, καὶ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ ταῖς οὐσίαις. πρὸς δὲ τούτοις περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου καὶ ταυτότητος καὶ ἐναντιότητος, καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων, περὶ ὅσων οἱ διαλεκτικοὶ πειρῶνται σκοπεῖν ἐκ τῶν ἐνδόξων μόνον ποιούμενοι τὴν σκέψιν, τίνος ἐστὶ θεωρῆσαι περὶ πάντων. ἔτι δὲ τούτοις αὐτοῖς ὅσα καθ' αὑτὰ συμβέβηκεν· καὶ μὴ μόνον τί ἐστι τούτων ἕκαστον, ἀλλὰ καὶ ἆρα ἓν ἑνὶ ἐναντίον· καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα ἕκαστον· καὶ εἰ τὰ γένη, πότερον ὅσα ἐπὶ τοῖς ἀτόμοις λέγεται τελευταῖα ἢ τὰ πρῶτα, οἷον πότερον ζῷον ἢ ἄνθρωπος ἀρχή τε καὶ μᾶλλόν ἐστι παρὰ τὸ καθ' ἕκαστον. μάλιστα δὲ ζητητέον καὶ πραγματευτέον, πότερον ἔστι τι παρὰ τὴν ὕλην αἴτιον καθ' αὑτὸ ἢ οὔ, καὶ τοῦτο χωριστὸν ἢ οὔ, καὶ πότερον ἓν ἢ πλείω τὸν ἀριθμόν. καὶ πότερον ἔστι τι παρὰ τὸ σύνολον (λέγω δὲ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης) ἢ οὐθέν, ἢ τῶν μὲν τῶν δ' οὔ, καὶ ποῖα ταῦτα τῶν ὄντων.

ξῶμεν ἔτι τὸ λ. F^b. ‖ 2. ἀγνωριστότερα T. ‖ 3. γνώριμον A^b. ‖ 4. τὰ] περὶ τὰ A^b. ‖ 5. διὰ om A^b. ‖ 8. μετάγεσθαι Q. ‖ όλων E^b. ‖ 12. δοκεῖ τισι A^b. ‖ πεπαιδεῦθαι E. ‖ 14. δὲ θάτερον A^bF^b. ‖ 17. λόγος F^b. ‖ 18. ἡ om EQS. ‖ τίνων A^b . ζητουμένην A^b: ceteri ἐπιζητουμένην. ‖ ἀπελθεῖν F^b. ‖ 25. πρῶτον ante περὶ om A^bF^b. ‖ 27. τυγχάνη $ESTA^bB^bC^b$. ‖ 29. ν ἀπόρων F^b. ‖ δ'] γὰρ F^b. ‖ 30. ἀγνοοῦντα $ESTB^bC^b$. ‖ 31. ἡ γὰρ ἀπορία A^b. ‖ 36. οὐδέποτε τὸ ζητούμενον εἰ εὕρηκεν A^b. καλῶς προηπορηκότι SB^bC^b. ‖ δὲ post ἔτι om A^b. ‖ 5. πεπροοιμιασμένοις E. ‖ 6. πολλῶν ἐστιν ἐπιστ. STB^bC^b. ‖ 8. πάντες ‖ 9. καὶ ἀποφάναι om E. ‖ 11. εἰσι om F^b. ‖ 12. καὶ G^bI^b: ceteri κἂν. ‖ 16. πλεοναχῶς τὰ γ. A^b. ‖ 19. περὶ] ἐπὶ G^b ον ἡ θεωρία F^b. ‖ 21. καὶ ταυτότητος] καὶ ἐναντίου TF^b, om $EA^bG^bI^b$. ‖ 24. μόνων A^b. ‖ 27. ἆρα EA^b: ceteri εἰ ἆρα. ‖ nte γένη om G^bI^b. ‖ 29. εἰ om E. ‖ 31. τὸν G^bI^b. ‖ μᾶλλον A^b. ‖ 32. τι om G^bI^b. ‖ 33. αἴτια F^b. ‖ καθ' αὑτὸ ἢ οὔ ‖ καὶ τοῦτο χωριστὸν om E. ‖ 36. ταῦτα G^bI^b: ceteri τοιαῦτα.

ἔτι αἱ ἀρχαὶ πότερον ἀριθμῷ ἢ εἴδει ὡρισμέναι, καὶ αἱ ἐν τοῖς λόγοις καὶ αἱ ἐν τῷ ὑποκειμένῳ· καὶ πότερον τῶν φθαρτῶν καὶ ἀφθάρτων αἱ αὐταὶ ἢ ἕτεραι· καὶ πότερον ἄφθαρτοι πᾶσαι, ἢ τῶν φθαρτῶν φθαρταί. ἔτι δὲ τὸ πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον, πότερον τὸ ὂν καὶ τὸ ἕν, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων ἔλεγεν, οὐχ ἕτερόν τί ἐστιν ἀλλ' οὐσία τῶν ὄντων, ἢ οὔ, ἀλλ' ἕτερόν τι τὸ ὑποκείμενον, ὥσπερ Ἐμπεδοκλῆς φησὶ φιλίαν, ἄλλος δέ τις πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ ἀέρα. καὶ πότερον αἱ ἀρχαὶ καθόλου εἰσὶν ἢ ὡς τὰ καθ' ἕκαστα τῶν πραγμάτων, καὶ δυνάμει ἢ ἐνεργείᾳ. ἔτι πότερον ἄλλως ἢ κατὰ κίνησιν· καὶ γὰρ ταῦτα ἀπορίαν ἂν παράσχοι πολλήν. πρὸς δὲ τούτοις πότερον οἱ ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα καὶ αἱ στιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ, κἂν εἰ οὐσίαι, πότερον κεχωρισμέναι τῶν αἰσθητῶν ἢ ἐνυπάρχουσαι ἐν τούτοις. περὶ γὰρ τούτων ἁπάντων οὐ μόνον χαλεπὸν τὸ εὐπορῆσαι τῆς ἀληθείας, ἀλλ' οὐδὲ τὸ διαπορῆσαι τῷ λόγῳ ῥᾴδιον καλῶς.

2 Πρῶτον μὲν οὖν περὶ ὧν πρῶτον εἴπομεν, πότερον μιᾶς ἢ πλειόνων ἐστὶν ἐπιστημῶν θεωρῆσαι πάντα τὰ γένη τῶν αἰτίων. μιᾶς μὲν γὰρ ἐπιστήμης πῶς ἂν εἴη μὴ ἐναντίας οὔσας τὰς ἀρχὰς γνωρίζειν; ἔτι δὲ πολλοῖς τῶν ὄντων οὐχ ὑπάρχουσι πᾶσαι. τίνα γὰρ τρόπον οἷόν τε κινήσεως ἀρχὴν εἶναι τοῖς ἀκινήτοις ἢ τὴν τἀγαθοῦ φύσιν, εἴπερ ἅπαν, ὃ ἂν ᾖ ἀγαθὸν καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, τέλος ἐστὶν καὶ οὕτως αἴτιον, ὅτι ἐκείνου ἕνεκα καὶ γίγνεται καὶ ἔστι τἆλλα, τὸ δὲ τέλος καὶ τὸ οὗ ἕνεκα πράξεώς τινός ἐστι τέλος, αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως· ὥστ' ἐν τοῖς ἀκινήτοις οὐκ ἂν ἐνδέχοιτο ταύτην εἶναι τὴν ἀρχὴν οὐδ' εἶναί τι αὐτοαγαθόν. διὸ καὶ ἐν τοῖς μαθήμασιν οὐθὲν δείκνυται διὰ ταύτης τῆς αἰτίας, οὐδ' ἔστιν ἀπόδειξις οὐδεμία διότι βέλτιον ἢ χεῖρον, ἀλλ' οὐδὲ τὸ παράπαν μέμνηται οὐθεὶς οὐθενὸς τῶν τοιούτων. ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινὲς οἷον Ἀρίστιππος προεπηλάκιζεν αὐτάς· ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ ταῖς βαναύσοις, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθηματικὰς οὐθένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν καὶ κακῶν. ἀλλὰ μὴν εἴ γε πλείους ἐπιστῆμαι τῶν αἰτίων εἰσὶ καὶ ἕτεραι ἑτέρας ἀρχῆς, τίνα τούτων φατέον εἶναι τὴν ζητουμένην, ἢ τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων αὐτάς; ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τοὺς τῶν αἰτίων ὑπάρχειν, οἷον οἰκίας, ὅθεν μὲν ἡ κίνησις, ἡ τέχνη καὶ ὁ οἰκοδόμος, οὗ δ' ἕνεκα, τὸ ἔργον, ὕλη δὲ γῆ καὶ λίθοι, τὸ δ' εἶδος ὁ λόγος. ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων τίνα χρὴ καλεῖν τῶν ἐπιστημῶν σοφίαν, ἔχει λόγον ἑκάστην προσαγορεύειν. ᾗ μὲν γὰρ ἀρχικωτάτη καὶ ἡγεμονικωτάτη, καὶ ᾗ ὥσπερ δούλας οὐδ' ἀντειπεῖν τὰς ἄλλας ἐπιστήμας δίκαιον, ἡ τοῦ τέλους καὶ τἀγαθοῦ τοιαύτη (τούτου γὰρ ἕνεκα τἆλλα)· ᾗ δὲ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιστα ἐπιστητοῦ διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη τοιαύτη. πολλαχῶς γὰρ ἐπισταμένων τὸ αὐτὸ μᾶλλον μὲν εἰδέναι φαμὲν τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα ἢ τῷ μὴ εἶναι, αὐτῶν δὲ τούτων ἕτερον ἑτέρου μᾶλλον, καὶ μάλιστα τὸν τί ἐστιν, ἀλλ' οὐ τὸν πόσον ἢ ποῖον ἢ τί ποιεῖν ἢ πάσχειν πέφυκεν. ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις τὸ εἰδέναι ἕκαστον, καὶ ὧν ἀποδείξεις εἰσί, τότ' οἰόμεθα ὑπάρχειν, ὅταν εἰδῶμεν τί ἐστιν, οἷον τί ἐστι τὸ τετραγωνίζειν, ὅτι μέσης εὕρεσις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. περὶ δὲ τὰς γενέσεις καὶ τὰς πράξεις καὶ περὶ ἅπασαν μεταβολήν, ὅταν εἰδῶμεν τὴν ἀρχὴν τῆς κινήσεως· τοῦτο δ' ἕτερον καὶ ἀντικείμενον τῷ τέλει· ὥστ' ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον. ἀλλὰ μὴν καὶ περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν, πότερον μιᾶς ἐστὶν ἐπιστήμης ἢ πλειόνων, ἀμφισβητήσιμόν ἐστιν. λέγω δὲ ἀποδεικτικὰς τὰς κοινὰς δόξας, ἐξ ὧν ἅπαντες δεικνύουσιν, οἷον ὅτι πᾶν ἀναγκαῖον ἢ φάναι ἢ ἀποφάναι, καὶ ἀδύνατον ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ ὅσαι ἄλλαι τοιαῦται προτάσεις, πότερον μία τούτων ἐπιστήμη καὶ τῆς οὐσίας ἢ ἑτέρα, κἂν εἰ μὴ μία, ποτέραν χρὴ προσαγορεύειν τὴν ζητουμένην νῦν. μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι· τί γὰρ μᾶλλον γεωμετρίας ἢ ὁποιασοῦν περὶ τούτων ἐστὶν ἴδιον τὸ ἐπαΐειν; εἴπερ οὖν ὁμοίως μὲν ὁποιασοῦν ἐστίν, ἁπασῶν δὲ μὴ ἐνδέχεται

1. αἱ post ἔτι om A^b. ‖ 2. αἱ add $EB^bC^bG^bI^b$. ‖ 3. αἱ om S. ‖ 4. ἐστι G^bI^b. ‖ τὸ] τῶν I^b. ‖ 5. πότερον om F^b. ‖ τὸ] καὶ τὸ G^b. ‖ 6. ἔλεγον G^bI^b, om F^b. ‖ 7. τι ante ἐστιν om I^b. ‖ 8. τὸ om B^bC^b. ‖ φησὶ om I^b. ‖ 9. ὁ δὲ ἀέρα A^b: [illegible] ἀέρα. ‖ 10. καὶ δυνάμει ἢ ἐνεργείᾳ om A^b. ‖ 12. ἂν om F^b. ‖ 14. εἰ οὐσίαι] εἰ οὐσία A^b. ‖ 15. ἐνυπάρχουσαι add A^b. ‖ 19. [illegible] A^b. ‖ 21. οὔσης G^b. ‖ 22. ὑπ. πᾶσι πᾶσαι ES. ‖ οἷόν τε τρόπον G^bI^b. ‖ 23. ἀγαθοῦ SA^b. ‖ ὅπερ S. ‖ ὃ] ἢ T. ‖ 25. ἔστι καὶ [illegible] A^b. ‖ 31. οὐθενὸς om T. ‖ 34. βαναύσοις αὐταῖς οἷον $SA^bB^bC^b$.

1. καλῶν A^b. ‖ 2. πλείους εἴγε F^b. ‖ ἕτεραι] ἑτέρα ET. ‖ 4. τοῦ ζητουμένου om A^b. ‖ 5. τοὺς ante τῶν add EA^b. ‖ 9. [illegible] G^bI^b: ceteri οὐδαμῶς ἔχει. ‖ 10. ᾗ EG^b: vulgo ἡ. ‖ ἡ γενικωτάτη A^b. ‖ 11. δούλας om G^bI^b. ‖ ἀντιτείνειν I^b. ‖ 12. ᾗ G^b ‖ [illegible] A^b. ‖ τούτου $EA^bG^bI^b$: ceteri τούτων. ‖ 13. ᾗ EG^bI^b: ceteri ἡ. ‖ 15. μὲν om F^b. ‖ 17. τὸν E, τὸ G^b, τὸν τὸ I^b: vulgo τὸ. ‖ [illegible] τὸν EG^bI^b: ceteri τῶν. ‖ 19. καὶ ἐν] κἂν ἐν G^bI^b. ‖ 20. οἷον τί ἐστι om T. ‖ 23. πᾶσαν $A^bG^bI^b$. ‖ 24. ἂν ἄλλης T. ‖ 26. [illegible] om F^b. ‖ 28. τὰς EA^bI^b: ceteri καὶ τάς. ‖ 29. πᾶν] τὸ G^b. ‖ 32. κἂν εἰ] καὶ ἂν εἴη A^b. ‖ 33. νῦν add $ETA^bG^bI^b$. ‖ 34. τῶν περὶ A^b. ‖ ἴδιόν ἐστι G^bI^b. ‖ 35. μὴ] μηδὲ G^b.

γ. 21 - Κοιναὶ δόξαι
Β. 13.

οὐδὲ τῶν ἄλλων οὕτως ὐδὲ τῆς γνωριζὐσης τὰς
ἐςι τὸ γινώσκειν περὶ αὐτῶν. ἅμα δὲ καὶ τίνα
ι αὐτῶν ἐπιστήμης; τί μὲν γὰρ ἕκαστον τούτων
ν καὶ νῦν γνωρίζομεν· χρῶνται γοῦν ὡς γιγνω-
ὐτοῖς καὶ ἄλλαι τέχναι. εἰ δὲ ἀποδεικτικὴ περὶ
, δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν
' ἀξιώματ' αὐτῶν. περὶ πάντων γὰρ ἀδύνατον
ἶναι· ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ
ἀπόδειξιν· ὥςε συμβαίνει πάντων εἶναι γένος ἕν
κνυμένων· πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται
ασιν. ἀλλὰ μὴν εἰ ἑτέρα ἡ τῆς ὐσίας καὶ ἡ περὶ
ρα κυριωτέρα καὶ προτέρα πέφυκεν αὐτῶν; κα-
μάλιςα καὶ πάντων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν.
τῦ φιλοσόφυ, τίνος ἔςαι περὶ αὐτῶν ἄλλου τὸ
ὸ ἀληθὲς καὶ τὸ ψεῦδος; ὅλως τε τῶν ὐσιῶν πό-
τασῶν ἐςὶν ἢ πλείους ἐπιστῆμαι; εἰ μὲν οὖν μὴ
ὐσίας θετέον τὴν ἐπιςήμην ταύτην; τὸ δὲ μίαν
εὔλογον· καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ πάν-
ν συμβεβηκότων, εἴπερ πᾶσα ἀποδεικτικὴ περί
ενον θεωρεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκ τῶν
ῶν. περὶ ὖν τὸ αὐτὸ γένος τὰ συμβεβηκότα καθ'
αὐτῆς ἐςὶ θεωρῆσαι ἐκ τῶν αὐτῶν δοξῶν. περί τε
μιᾶς, καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλ-
καὶ τὰ συμβεβηκότα, εἴτ' αὐταὶ θεωρήσουσιν,
των μία. ἔτι δὲ πότερον περὶ τὰς οὐσίας μόνον
ςὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα ταύταις· λέγω
τὸ στερεὸν οὐσία τίς ἐστι καὶ γραμμαὶ καὶ ἐπί-
ερον τῆς αὐτῆς ταῦτα γνωρίζειν ἐπιστήμης καὶ
ηκότα περὶ ἕκαστον γένος, περὶ ὧν αἱ μαθημα-
ύουσιν, ἢ ἄλλης. εἰ μὲν γὰρ τῆς αὐτῆς, ἀπο-
ς ἂν εἴη καὶ ἡ τῆς οὐσίας· οὐ δοκεῖ δὲ τοῦ τί
ξις εἶναι. εἰ δ' ἑτέρας, τίς ἔςαι ἡ θεωρῦσα περὶ
τὰ συμβεβηκότα; τοῦτο γὰρ ἀποδῦναι παγχά-
δὲ πότερον τὰς αἰσθητὰς ὐσίας μόνας εἶναι φα-
παρὰ ταύτας ἄλλας· καὶ πότερον μοναχῶς ἢ

πλείω γένη τετύχηκεν ὄντα τῶν ὐσιῶν, οἷον οἱ λέγοντες τά τε εἴδη καὶ τὰ μεταξύ, περὶ ἃ τὰς μαθηματικὰς εἶναί φασιν ἐπιστήμας. ὡς μὲν οὖν λέγομεν τὰ εἴδη αἴτιά τε καὶ ὐσίας εἶναι καθ' αὑτὰς εἴρηται ἐν τοῖς πρώτοις λόγοις περὶ αὐτῶν· πολλαχῇ δ' ἐχόντων δυσκολίαν, ὐθενὸς ἧττον ἄτοπον τὸ φάναι μὲν εἶναί τινας φύσεις παρὰ τὰς ἐν τῷ ὐρανῷ, ταύτας δὲ τὰς αὐτὰς φάναι τοῖς αἰσθητοῖς πλὴν ὅτι τὰ μὲν ἀΐδια τὰ δὲ φθαρτά. αὐτὸ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ ἵππον καὶ ὑγίειαν, ἄλλο δ' οὐδέν, παραπλήσιον ποιοῦντες τοῖς θεοὺς μὲν εἶναι φάσκυσιν, ἀνθρωποειδεῖς δέ· ὔτε γὰρ ἐκεῖνοι ὐθὲν ἄλλο ἐποίυν ἢ ἀνθρώπυς ἀϊδίους, οὔθ' ὗτοι τὰ εἴδη ἀλλ' ἢ αἰσθητὰ ἀΐδια. ἔτι δὲ εἴ τις παρὰ τὰ εἴδη καὶ τὰ αἰσθητὰ τὰ μεταξὺ θήσεται, πολλὰς ἀπορίας ἕξει. δῆλον γὰρ ὡς ὁμοίως γραμμαί τε παρ' αὐτὰς καὶ τὰς αἰσθητὰς ἔσονται καὶ ἕκαςον τῶν ἄλλων γενῶν· ὥστ' ἐπείπερ ἡ ἀςρολογία μία τύτων ἐςίν, ἔςαι τις καὶ οὐρανὸς παρὰ τὸν αἰσθητὸν οὐρανὸν καὶ ἥλιός τε καὶ σελήνη καὶ τἆλλα ὁμοίως τὰ κατὰ τὸν ὐρανόν. καίτοι πῶς δεῖ πιςεῦσαι τύτοις; οὐδὲ γὰρ ἀκίνητον εὔλογον εἶναι, κινούμενον δὲ καὶ παντελῶς ἀδύνατον. ὁμοίως δὲ καὶ περὶ ὧν ἡ ὀπτικὴ πραγματεύεται καὶ ἡ ἐν τοῖς μαθήμασιν ἁρμονική· καὶ γὰρ ταῦτα ἀδύνατον εἶναι παρὰ τὰ αἰσθητὰ διὰ τὰς αὐτὰς αἰτίας· εἰ γάρ ἐςιν αἰσθητὰ μεταξὺ καὶ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα ἔσονται μεταξὺ αὐτῶν τε καὶ τῶν φθαρτῶν. ἀπορήσειε δ' ἄν τις καὶ περὶ ποῖα τῶν ὄντων δεῖ ζητεῖν ταύτας τὰς ἐπιςήμας. εἰ γὰρ τύτῳ διοίσει τῆς γεωδαισίας ἡ γεωμετρία μόνον, ὅτι ἡ μὲν τύτων ἐστὶν ὧν αἰσθανόμεθα ἡ δ' ὐκ αἰσθητῶν, δῆλον ὅτι καὶ παρ' ἰατρικὴν ἔςαι τις ἐπιςήμη καὶ παρ' ἑκάςην τῶν ἄλλων μεταξὺ αὐτῆς τε ἰατρικῆς καὶ τῆσδε τῆς ἰατρικῆς. καίτοι πῶς τῦτο δυνατόν; καὶ γὰρ ἂν ὑγιείν' ἄττα εἴη παρὰ τὰ αἰσθητὰ καὶ αὐτὸ τὸ ὑγιεινόν. ἅμα δὲ οὐδὲ τοῦτο ἀληθές, ὡς ἡ γεωδαισία τῶν αἰσθητῶν ἐστὶ μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθειρομένων. ἀλλὰ μὴν ὐδὲ τῶν αἰσθητῶν ἂν εἴη μεγεθῶν ὐδὲ περὶ τὸν ὐρανὸν ἡ ἀςρολογία τόνδε. ὔτε γὰρ αἱ αἰσθη-

ς] ὥσπερ T. ‖ 4. γοῦν ETA^bI^b: ceteri οὖν. ‖ 5. εἰ] ἢ T. ‖ 7. ἀπόδειξιν εἶναι ἀδύνατον G^bI^b. ‖ 9. ἓν om A^b. ‖ 15. τὸ
$EB^bC^bI^b$. ‖ 17. ῥητέον G^bI^b. ‖ 18. πάντων ἂν εἴη A^b. ‖ 19. τῶν καθ' αὑτὸ συμβ. SB^bC^b. ‖ 20. θεωρεῖται καθ' T. ‖
ἐςι A^b. ‖ 23. τὸ ὅτι] ὃ A^bF^b. ‖ ἄλλοις C^b, τῆς ἄλλης F^bG^b. ‖ 24. θεωροῦσιν A^bF^b. ‖ 25. ἡ θεωρία μόνον omnes prae-
26. καὶ om C^b. ‖ περὶ om F^b. ‖ 27. ὐσίαι τι T. ‖ 28. γνωρίζειν ἐςὶν ἐπις. A^b. ‖ 32. ἐςιν S. ‖ 33. χαλεπόν G^b. ‖ 34.

m A^b. ‖ 3. καὶ] τῆς G^b. ‖ 5. πολλὰς δ' ἐχόντων δυσκολίας F^b. ‖ 7. ὅτι] τί A^b. ‖ 9. καὶ αὐτὸ ἵππον T. ‖ παραπλήσιον μὲν
‖ 10. δέ] δ' εἶναι A^b. ‖ 11. ποιῦσιν I^b. ‖ 13. τὰ post αἰσθητὰ om F^b. ‖ τίθεται F^b. ‖ 14. παρὰ ταύτας A^b. ‖ 17. τε
‖ 21. μαθηματικοῖς T. ‖ 22. ἀδύνατα S. ‖ περὶ G^b. ‖ 25. παρὰ E. ‖ 26. γεωδεσίας G^b. ‖ 27. ἃ $ESTB^bC^bG^bI^b$. ‖
ὅτι καὶ SB^b, δῆλον καὶ G^b. ‖ ἔςαι] ὐκ ἔςαι G^b. ‖ 29. ἑκάςης G^b. ‖ αὐτῆς] τῆς G^bI^b. ‖ 30. τῆσδε] τῆς τε G^b. ‖ τῆς
1. ἂν om T. ‖ ἄττα] τὰ A^b. ‖ περὶ G^b. ‖ 32. οὐδὲ add $ESTA^bF^bG^b$. ‖ ἡ om T. ‖ 34. ὐδ' αἰσθητῶν A^b. ‖ 35. ὐδ'
ανὸν ἀςρολογία A^bG^b. ‖ αἱ om A^b.

ται γραμμαὶ τοιαῦταί εἰσιν οἵας λέγει ὁ γεωμέτρης· οὐθὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν ὕτως ὐδὲ ςρογγύλον· ἅπτεται γὰρ τῦ κανόνος ὐ κατὰ ςιγμὴν ὁ κύκλος, ἀλλ᾽ ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχων τὺς γεωμέτρας, ὐθ᾽ αἱ κινήσεις καὶ ἕλικες τῦ ὐρανῦ ὅμοιαι, περὶ ὧν ἡ ἀςρολογία ποιεῖται τοὺς λόγους, οὔτε τὰ σημεῖα τοῖς ἄςροις τὴν αὐτὴν ἔχει φύσιν. εἰσὶ δέ τινες οἵ φασιν εἶναι μὲν τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν, ὐ μὴν χωρίς γε τῶν αἰσθητῶν ἀλλ᾽ ἐν τούτοις· οἷς τὰ συμβαίνοντα ἀδύνατα πάντα μὲν πλείονος λόγυ διελθεῖν, ἱκανὸν δὲ καὶ τὰ τοιαῦτα θεωρῆσαι. οὔτε γὰρ ἐπὶ τύτων εὔλογον ἔχειν ὕτω μόνον, ἀλλὰ δῆλον ὅτι καὶ τὰ εἴδη ἐνδέχοιτ᾽ ἂν ἐν τοῖς αἰσθητοῖς εἶναι· τῦ γὰρ αὐτῦ λόγυ ἀμφότερα ταῦτά ἐςιν. ἔτι δὲ δύο ςερεὰ ἐν τῷ αὐτῷ ἀναγκαῖον εἶναι τόπῳ, καὶ μὴ εἶναι ἀκίνητα ἐν κινουμένοις γε ὄντα τοῖς αἰσθητοῖς. ὅλως δὲ τίνος ἕνεκ᾽ ἄν τις θείη εἶναι μὲν αὐτά, εἶναι δ᾽ ἐν τοῖς αἰσθητοῖς; ταὐτὰ γὰρ συμβήσεται ἄτοπα τοῖς προειρημένοις· ἔςαι γὰρ ὐρανός τις παρὰ τὸν οὐρανόν, πλήν γ᾽ οὐ χωρὶς ἀλλ᾽ ἐν τῷ αὐτῷ τόπῳ· ὅπερ ἐςὶν ἀδυνατώτερον.

3 Περί τε τύτων ὖν ἀπορία πολλὴ πῶς δεῖ θέμενον τυχεῖν τῆς ἀληθείας, καὶ περὶ τῶν ἀρχῶν πότερον δεῖ τὰ γένη στοιχεῖα καὶ ἀρχὰς ὑπολαμβάνειν ἢ μᾶλλον ἐξ ὧν ἐνυπαρχόντων ἐστὶν ἕκαστον πρῶτον, οἷον φωνῆς ςοιχεῖα καὶ ἀρχαὶ δοκῦσιν εἶναι ταῦτ᾽ ἐξ ὧν σύγκεινται αἱ φωναὶ πᾶσαι πρώτων, ἀλλ᾽ ὐ τὸ κοινὸν ἡ φωνή· καὶ τῶν διαγραμμάτων ταῦτα ςοιχεῖα λέγομεν, ὧν αἱ ἀποδείξεις ἐνυπάρχυσιν ἐν ταῖς τύτων ἀποδείξεσιν ἢ πάντων ἢ τῶν πλείςων. ἔτι δὲ τῶν σωμάτων καὶ οἱ πλείω λέγοντες εἶναι στοιχεῖα καὶ οἱ ἕν, ἐξ ὧν σύγκειται καὶ ἐξ ὧν συνέςηκεν ἀρχὰς λέγυσιν εἶναι, οἷον Ἐμπεδοκλῆς πῦρ καὶ ὕδωρ καὶ τὰ μετὰ τύτων ςοιχεῖά φησιν εἶναι ἐξ ὧν ἔςι τὰ ὄντα ἐνυπαρχόντων, ἀλλ᾽ οὐχ ὡς γένη λέγει ταῦτα τῶν ὄντων. πρὸς δὲ

τούτοις καὶ τῶν ἄλλων εἴ τις ἐθέλει τὴν φύσιν ἀθρ[...] κλίνην ἐξ ὧν μορίων συνέστηκε καὶ πῶς συγκειμένο[...] γνωρίζει τὴν φύσιν αὐτῆς. ἐκ μὲν ὖν τύτων τῶν λ[...] ἂν εἴησαν αἱ ἀρχαὶ τὰ γένη τῶν ὄντων· ἧ δ᾽ ἕκας[...] γνωρίζομεν διὰ τῶν ὁρισμῶν, ἀρχαὶ δὲ τὰ γένη τῶν [...] εἰσίν, ἀνάγκη καὶ τῶν ὁριςῶν ἀρχὰς εἶναι τὰ γέ[...] εἰ ἔςι τὴν τῶν ὄντων λαβεῖν ἐπιςήμην τὸ τῶν εἰδῶ[...] καθ᾽ ἃ λέγονται τὰ ὄντα, τῶν γε εἰδῶν τὰ γένη ἀρχ[...] φαίνονταί δέ τινες καὶ τῶν λεγόντων ςοιχεῖα τῶν [...] ἓν ἢ τὸ ὂν ἢ τὸ μέγα καὶ τὸ μικρὸν ὡς γένεσιν αὐτ[...] σθαι. ἀλλὰ μὴν οὐδὲ ἀμφοτέρως γε οἷόν τε λέ[...] ἀρχάς. ὁ μὲν γὰρ λόγος τῆς ὐσίας εἷς· ἕτερος δ᾽ [...] διὰ τῶν γενῶν ὁρισμὸς καὶ ὁ λέγων ἐξ ὧν ἔςιν ἐνυπ[...] των. πρὸς δὲ τύτοις εἰ καὶ ὅτι μάλιςα ἀρχαὶ τὰ γ[...] πότερον δεῖ νομίζειν τὰ πρῶτα τῶν γενῶν ἀρχὰ[...] ἔσχατα κατηγορύμενα ἐπὶ τῶν ἀτόμων; καὶ γὰρ τ[...] ἀμφισβήτησιν. εἰ μὲν γὰρ ὅτι τὰ καθόλυ μᾶλλο[...] φανερὸν ὅτι τὰ ἀνωτάτω τῶν γενῶν· ταῦτα γὰρ [...] κατὰ πάντων. τοσαῦται ὖν ἔσονται ἀρχαὶ τῶν ὄντ[...] περ τὰ πρῶτα γένη, ὥς᾽ ἔςαι τό τε ὂν καὶ τὸ ἓν ἀρ[...] ὐσίαι· ταῦτα γὰρ κατὰ πάντων μάλιςα λέγεται τῶ[...] ὐχ οἷόν τε δὲ τῶν ὄντων οὔτε τὸ ἓν οὔτε τὸ ὂν εἶνα[...] ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάςου γένυς καὶ εἶ[...] μίαν εἶναι ἑκάςην, ἀδύνατον δὲ κατηγορεῖσθαι ἢ τὰ γένυς ἐπὶ τῶν οἰκείων διαφορῶν, ἢ τὸ γένος ἄνευ τῶ[...] εἰδῶν· ὥς᾽ εἴπερ τὸ ἓν γένος ἢ τὸ ὄν, ὐδεμία διαφο[...] ὂν ὔτε ἓν ἔςαι. ἀλλὰ μὴν εἰ μὴ γένη, ὐδ᾽ ἀρχαὶ [...] εἴπερ ἀρχαὶ τὰ γένη. ἔτι καὶ τὰ μεταξὺ συλλα[...] μενα μετὰ τῶν διαφορῶν ἔσται γένη μέχρι τῶν ἀ[...] νῦν δὲ τὰ μὲν δοκεῖ τὰ δ᾽ ὐ δοκεῖ. πρὸς δὲ τύτοις ἔτι [...] λον αἱ διαφοραὶ ἀρχαὶ ἢ τὰ γένη· εἰ δὲ καὶ αὗται [...] ἄπειροι ὡς εἰπεῖν ἀρχαὶ γίγνονται, ἄλλως τε κἄν

2. ὔτε G^b. || 4. τὺς γεωμέτρας ἐλέγχων T. || καὶ] καὶ αἱ ES. || 5. τῦ ὐρανῦ om S. || ὅμοιαι et ἡ om A^b. || 6. τὰ om φύσιν ἔχει S. || 7. ταῦτα τὰ λεγόμενα S. || 8. γε χωρὶς F^b. || 9. οἷς] οἱ pr E. || συμβεβηκότα T. || 11. ὕτω om SB^bC^b. νων G^bI^b. || 13. τε E. || 14. ἀναγκαῖον ἐν τῷ αὐτῷ G^bI^b. || 15. γε] τε T. || δὲ] δὲ καὶ T. || 17. γὰρ καὶ συμβήσεται G^b. πον SB^b. || εἰρημένοις G^b. || γὰρ] γῦν T. || 19. περ om A^b. || 20. ὖν om A^b. || 21. πότερα E. || 22. ὑπαρχόντων A^b. || 23 F^b. || πρώτων rc I^b. || 24. ταῦτ᾽ om G^bI^b. || σύγκειται G^b. || πᾶσαι om A^bG^b. || 25. πρῶτον TA^b, αὐτῶν G^b. || 26. τοιαῦτα ἐνυπάρχοντα A^b. || 27. τύτων A^b: ceteri τῶν ἄλλων. || 28. δὲ καὶ τῶν G^b. || 29. σύγκειται G^bI^b: ceteri σύγκεινται. || 30. μετὰ μεταξὺ A^b, τοιαῦτα S. || 32. ταῦτα λέγει T.

1. ἐθέλει TG^bI^b, θέλει A^b. || 2. συνέστηκε A^b: ceteri ἐςί. || συγκειμένων καὶ τότε A^b. || 4. ᾗ] εἰ A^bG^b. || 6. κἂν] καὶ F^b 7. τὴν om F^bG^b. || τὸ] τῶ F^b. || 8. καθὸ λέγονται SA^b. || τὰ γένη ἀρχαὶ A^b: ceteri ἀρχαὶ τὰ γένη. || 10. ἓν ἢ] ἓν καὶ TA post καὶ om $ESA^bG^bI^b$. || 11. γε om F^b. || 12. γὰρ] γὰρ ὁ I^b. || ἐςὶν pr I^b. || 13. γενῶν ὁ ὁρισμὸς ETA^b. || 14. καὶ καὶ F^b. || 15. πότερον $A^bG^bI^b$: vulgo πότερα. || 16. ἐπὶ om G^b. || 17. εἰ] ἢ E. || ὅτι] δεῖ A^b. || ἀρχὰς A^b. || 19. ἀρχαὶ G^bI^b. || 20. ἓν καὶ τὸ ὂν F^b. || 21. μάλιςα λέγεται κατὰ πάντων F^b. || 22. τῶν ὄντων om A^b. || ὔτε τὸ ἓν — γένος A^b: c εἶναι γένος ὔτε τὸ ἓν ὔτε τὸ ὄν. || 24. ἑκάςην εἶναι T. || δὲ] γὰρ G^bI^b. || εἴδη ἄνευ τῦ EG^bI^b. || 25. ἐπὶ A^b, καὶ EG^bI^b. || ἄνευ τῶν A^bI^b. || 26. ὡς I^b. || οὔτε ἓν οὔτε ὂν $ESTB^bC^b$. || 27. οὐκ F^b. || 28. τὰ post καὶ om T. || 31. αὐταὶ E.

πρῶτον γένος ἀρχὴν τιθῇ. ἀλλὰ μὴν καὶ εἰ μᾶλλόν γε ἀρχοειδὲς τὸ ἕν ἐστιν, ἓν δὲ τὸ ἀδιαίρετον, ἀδιαίρετον δὲ ἅπαν ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ εἶδος, πρότερον δὲ τὸ κατ' εἶδος, τὰ δὲ γένη διαιρετὰ εἰς εἴδη, μᾶλλον ἂν ἓν τὸ ἔσχατον εἴη κατηγορούμενον· οὐ γάρ ἐστι γένος ὁ ἄνθρωπος τῶν τινῶν ἀνθρώπων. ἔτι ἐν οἷς τὸ πρότερον καὶ ὕστερόν ἐστιν, οὐχ οἷόν τε τὸ ἐπὶ τούτων εἶναί τι παρὰ ταῦτα· οἷον εἰ πρώτη τῶν ἀριθμῶν ἡ δυάς, οὐκ ἔσται τις ἀριθμὸς παρὰ τὰ εἴδη τῶν ἀριθμῶν· ὁμοίως δὲ οὐδὲ σχῆμα παρὰ τὰ εἴδη τῶν σχημάτων. εἰ δὲ μὴ τούτων, σχολῇ τῶν γε ἄλλων ἔσται τὰ γένη παρὰ τὰ εἴδη· τούτων γὰρ δοκεῖ μάλιστα εἶναι γένη. ἐν δὲ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δ' ὕστερον. ἔτι ὅπου τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, ἀεὶ τὸ βέλτιον πρότερον· ὥστ' οὐδὲν τούτων ἂν εἴη γένος. ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἐπὶ τῶν ἀτόμων κατηγορούμενα ἀρχαὶ εἶναι τῶν γενῶν. πάλιν δὲ πῶς αὖ δεῖ ταύτας ἀρχὰς ὑπολαβεῖν οὐ ῥᾴδιον εἰπεῖν. τὴν μὲν γὰρ ἀρχὴν δεῖ καὶ τὴν αἰτίαν εἶναι παρὰ τὰ πράγματα ὧν ἀρχή, καὶ δύνασθαι εἶναι χωριζομένην αὐτῶν· τοιοῦτον δέ τι παρὰ τὸ καθ' ἕκαστον εἶναι διὰ τί ἄν τις ὑπολάβοι, πλὴν ὅτι καθόλου κατηγορεῖται καὶ κατὰ πάντων; ἀλλὰ μὴν εἰ διὰ τοῦτο, τὰ μᾶλλον καθόλου μᾶλλον θετέον ἀρχάς· ὥστε ἀρχαὶ τὰ πρῶτ' ἂν εἴησαν γένη.

4 Ἔστι δ' ἐχομένη τε τούτων ἀπορία καὶ πασῶν χαλεπωτάτη καὶ ἀναγκαιοτάτη θεωρῆσαι, περὶ ἧς ὁ λόγος ἐφέστηκε νῦν. εἴτε γὰρ μὴ ἔστι τι παρὰ τὰ καθ' ἕκαστα, τὰ δὲ καθ' ἕκαστα ἄπειρα, τῶν δ' ἀπείρων πῶς ἐνδέχεται λαβεῖν ἐπιστήμην; ᾗ γὰρ ἕν τι καὶ ταὐτόν, καὶ ᾗ καθόλου τι ὑπάρχει, ταύτῃ πάντα γνωρίζομεν. ἀλλὰ μὴν εἰ τοῦτο ἀναγκαῖόν ἐστι, καὶ δεῖ τι εἶναι παρὰ τὰ καθ' ἕκαστα, ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα· τοῦτο δ' ὅτι ἀδύνατον ἄρτι διηπορήσαμεν. ἔτι εἰ ὅτι μάλιστα ἔστι τι παρὰ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης, πότερον, εἰ ἔστιν εἶδός τι, παρὰ πάντα δεῖ εἶναί τι, ἢ παρὰ μὲν ἔνια εἶναι παρὰ δ' ἔνια μὴ εἶναι, ἢ παρ' οὐθέν; εἰ μὲν οὖν μηθέν ἐστι παρὰ τὰ καθ' ἕκαστα, οὐθὲν ἂν εἴη νοητὸν ἀλλὰ πάντα αἰσθητὰ καὶ ἐπιστήμη οὐθενός, εἰ μή τις εἶναι λέγει τὴν αἴσθησιν ἐπιστήμην. ἔτι δ' οὐδ' ἀΐδιον οὐθὲν οὐδ' ἀκίνητον· τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐστίν. ἀλλὰ μὴν εἴ γε ἀΐδιον οὐθέν ἐστιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γιγνόμενον καὶ ἐξ οὗ γίγνεται καὶ τούτων τὸ ἔσχατον ἀγέννητον, εἴπερ ἵσταταί τε καὶ ἐκ μὴ ὄντος γενέσθαι ἀδύνατον. ἔτι δὲ γενέσεως οὔσης καὶ κινήσεως ἀνάγκη καὶ πέρας εἶναι· οὔτε γὰρ ἄπειρός ἐστιν οὐδεμία κίνησις ἀλλὰ πάσης ἐστὶ τέλος, γίγνεσθαί τε οὐχ οἷόν τε τὸ ἀδύνατον γενέσθαι· τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν. ἔτι δ' εἴπερ ἡ ὕλη ἐστὶ διὰ τὸ ἀγέννητος εἶναι, πολὺ ἔτι μᾶλλον εὔλογον εἶναι τὴν οὐσίαν ὁπότε ἐκείνη γίγνεται· εἰ γὰρ μήτε τοῦτο ἔσται μήτε ἐκείνη, οὐθὲν ἔσται τὸ παράπαν. εἰ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον τὴν μορφὴν καὶ τὸ εἶδος. εἰ δ' αὖ τις τοῦτο θήσει, ἀπορία ἐπὶ τίνων τε θήσει τοῦτο καὶ ἐπὶ τίνων οὔ. ὅτι μὲν γὰρ ἐπὶ πάντων οὐχ οἷόν τε, φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ τὰς τινὰς οἰκίας. πρὸς δὲ τούτοις πότερον ἡ οὐσία μία πάντων ἔσται, οἷον τῶν ἀνθρώπων; ἀλλ' ἄτοπον· ἓν γὰρ ἅπαντα ὧν ἡ οὐσία μία. ἀλλὰ πολλὰ καὶ διάφορα; ἀλλὰ καὶ τοῦτο ἄλογον. ἅμα δὲ καὶ πῶς γίγνεται ἡ ὕλη τούτων ἕκαστον καὶ ἔστι τὸ σύνολον ἄμφω ταῦτα; ἔτι δὲ περὶ τῶν ἀρχῶν καὶ τόδε ἀπορήσειεν ἄν τις. εἰ μὲν γὰρ εἴδει εἰσὶν ἕν, οὐθὲν ἔσται ἀριθμῷ ἕν, οὐδ' αὐτὸ τὸ ἓν καὶ τὸ ὄν. καὶ τὸ ἐπίστασθαι πῶς ἔσται, εἰ μή τι ἔσται ἓν ἐπὶ πάντων; ἀλλὰ μὴν εἰ ἀριθμῷ ἓν καὶ μία ἑκάστη τῶν ἀρχῶν, καὶ μὴ ὥσπερ ἐπὶ τῶν αἰσθητῶν ἄλλαι ἄλλων, οἷον τῆσδε τῆς συλλαβῆς τῷ εἴδει τῆς αὐτῆς οὔσης καὶ αἱ ἀρχαὶ εἴδει αἱ αὐταί· καὶ γὰρ αὗται ὑπάρχουσιν ἀριθμῷ ἕτεραι· εἰ δὲ μὴ οὕτως, ἀλλ' αἱ τῶν ὄντων ἀρχαὶ ἀριθμῷ ἕν εἰσιν, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα οὐθὲν ἕτερον· τὸ γὰρ ἀριθμῷ ἓν ἢ τὸ καθ' ἕκαστον λέγειν διαφέρει οὐθέν· οὕτω γὰρ λέγομεν τὸ καθ' ἕκαστον

1. τιθῇ ὡς ἀρχήν G^bI^b. || γε om F^b. || 3. τὸ om I^b. || κατ' εἶδος A^b. || 4. διαιρεῖται I^b. || ἓν ἂν εἴη τὸ ἔσχατον T. ἓν τὸ om G^b. || 5. ἐστι] ἐστι τὸ E, om F^b. || ὁ add $A^bG^bI^b$. || 6. τὸ om C^b. || 7. ἐστι ante 6. τὸ F^b. || 8. ἔστι S. || 9. τῶν] τὰ τῶν A^b, τούτων τῶν G^b. || οὐδὲ om A^b. || σχήματα T. || 13. τὸ βέλτιον ἀεὶ S. || 14. οὐδὲ ESA^b. || 15. ἀρχὰς F^b. || 16. ταῦτα C^bG^b. || ὑπολαβεῖν ἀρχὰς A^b. || 17. εἰπεῖν om A^b. || 18. εἶναι ante 17. δεῖ A^b. || 20. διὸ $C^bG^bI^b$. || 24. τε om F^b. || 26. εἰ A^b. || τὰ δὲ 27. ἄπειρα om S. || 28. ταυτό A^b. || ᾗ om S. || 30. ἕκαστα] addunt vulgo ἀναγκαῖον ἂν εἴη τὰ γένη εἶναι παρὰ τὰ καθ' ἕκαστα. || ει] δ' A^b, om F^b. || τι om A^b. || 33. κατηγορηθήσης τῆς G^b. || εἶδος om E. || τι om S.

3. λέγοι I^b. || δ' add A^b. || 5. μηθέν EI^b. || 7. τοῦτο G^b. || 8. γίγνεσθαι F^b. || ὅτι δὲ ἐκ γενέσεως S. || 9. καὶ ante πέρας om 12. ὅτε τὸ πρῶτον G^bI^b. || 13. μᾶλλον ἔτι SB^bC^b. || 14. ὅ ποτε E. || γίγνεται] γίγνεται εἶναι TA^bG^b. || εἰ — 15. παράπαν om 15. ἐκεῖνο G^b. || 16. τι om TF^b. || τὴν] τι τὴν T. || 17. αὖ τις] αὖθις TG^b. || τοῦτο θήσει T. || 21. ἓν γὰρ G^bI^b: ceteri οὐ ... || πάντα I^b. || ἡ om A^b. || 22. τούτοις A^b. || 23. ἡ] ποτε ἡ A^b. || τούτων] τούτων ἓν G^bI^b. || ἑκάστη T. || 24. περὶ — 25. om A^b. || 25. τόδε] τοῦτο F^b. || εἴδη F^b. || 26. αὐτὸ] αὖ I^b. || τὸ om EG^b. || τὸ ante ὂν om ST. || 27. ὅπως F^b. || 29. ἐπὶ add ESA^b. || 30. αἱ add A^b. || αἱ om T. || 32. ἀρχαὶ add A^b. || ἓν om ESA^b.

τὸ ἀριθμῷ ἕν, καθόλου δὲ τὸ ἐπὶ τούτων. ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, ἀναγκαῖον ἦν τοσαῦτα εἶναι τὰ πάντα γράμματα ὅσαπερ τὰ στοιχεῖα, μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλειόνων.

Οὐθενὸς δ' ἐλάττων ἀπορία παραλέλειπται καὶ τοῖς νῦν καὶ τοῖς πρότερον, πότερον αἱ αὐταὶ τῶν φθαρτῶν καὶ τῶν ἀφθάρτων ἀρχαί εἰσιν ἢ ἕτεραι. εἰ μὲν γὰρ αἱ αὐταί εἰσι, πῶς τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα, καὶ διὰ τίν' αἰτίαν; οἱ μὲν οὖν περὶ Ἡσίοδον καὶ πάντες ὅσοι θεολόγοι μόνον ἐφρόντισαν τοῦ πιθανοῦ τοῦ πρὸς αὐτούς, ἡμῶν δ' ὠλιγώρησαν· θεοὺς γὰρ ποιοῦντες τὰς ἀρχὰς καὶ ἐκ θεῶν γεγονέναι, τὰ μὴ γευσάμενα τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας θνητὰ γενέσθαι φασίν, δῆλον ὡς ταῦτα τὰ ὀνόματα γνώριμα λέγοντες αὑτοῖς. καίτοι περὶ αὐτῆς τῆς προσφορᾶς τῶν αἰτίων τούτων ὑπὲρ ἡμᾶς εἰρήκασιν. εἰ μὲν γὰρ χάριν ἡδονῆς αὐτῶν θιγγάνουσιν, οὐθὲν αἴτια τοῦ εἶναι τὸ νέκταρ καὶ ἡ ἀμβροσία· εἰ δὲ τοῦ εἶναι, πῶς ἂν εἶεν ἀΐδιοι δεόμενοι τροφῆς; ἀλλὰ περὶ μὲν τῶν μυθικῶς σοφιζομένων οὐκ ἄξιον μετὰ σπουδῆς σκοπεῖν· παρὰ δὲ τῶν δι' ἀποδείξεως λεγόντων δεῖ πυνθάνεσθαι διερωτῶντας τί δή ποτ' ἐκ τῶν αὐτῶν ὄντα τὰ μὲν ἀΐδια τὴν φύσιν ἐστὶ τὰ δὲ φθείρεται τῶν ὄντων. ἐπεὶ δ' οὔτε αἰτίαν λέγουσιν οὔτε εὔλογον οὕτως ἔχειν, δῆλον ὡς οὐχ αἱ αὐταὶ ἀρχαὶ οὐδὲ αἰτίαι αὐτῶν ἂν εἶεν. καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὑτῷ, Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸν πέπονθεν· τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς τὸ νεῖκος, δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο γεννᾶν ἔξω τοῦ ἑνός· ἅπαντα γὰρ ἐκ τούτου τἆλλά ἐστι πλὴν ὁ θεός. λέγει γοῦν "ἐξ ὧν πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' ὅσα τ' ἔσται ὀπίσσω, δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες, θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς, καί τε θεοὶ δολιχαίωνες." καὶ χωρὶς δὲ τούτων δῆλον· εἰ γὰρ μὴ ἦν τὸ νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὥς φησιν· ὅταν γὰρ συνέλθῃ, τότε δ' ἔσχατον ἵστατο νεῖκος. διὸ καὶ συμβαίνει αὐτῷ τὸν εὐδαιμονέστατον θεὸν ἧττον φρόνιμον εἶναι τῶν ἄλλων· οὐ γὰρ γνωρίζει τὰ στοιχεῖα πάντα· τὸ γὰρ νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ. "γαίῃ μὲν γάρ," φησί, "γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον, στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ." ἀλλ' ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον. ὁμοίως δ' οὐδ' ἡ φιλότης τοῦ εἶναι· συνάγουσα γὰρ εἰς τὸ ἓν φθείρει τἆλλα. καὶ ἅμα δὲ αὐτῆς τῆς μεταβολῆς αἴτιον οὐθὲν λέγει, ἀλλ' ἢ ὅτι οὕτως πέφυκεν· "ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη, εἰς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο, ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλαται ὅρκου," ὡς ἀναγκαῖον μὲν ὂν μεταβάλλειν· αἰτίαν δὲ τῆς ἀνάγκης οὐδεμίαν δηλοῖ. ἀλλ' ὅμως τοσοῦτόν γε μόνον λέγει ὁμολογουμένως· οὐ γὰρ τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα ποιεῖ τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. ἡ δὲ νῦν λεγομένη ἀπορία ἐστὶ διὰ τί τὰ μὲν τὰ δ' οὔ, εἴπερ ἐκ τῶν αὐτῶν ἐστίν. ὅτι μὲν οὖν οὐκ ἂν εἴησαν αἱ αὐταὶ ἀρχαί, τοσαῦτα εἰρήσθω. εἰ δὲ ἕτεραι ἀρχαί, μία μὲν ἀπορία πότερον ἄφθαρτοι καὶ αὐταὶ ἔσονται ἢ φθαρταί. εἰ μὲν γὰρ φθαρταί, δῆλον ὡς ἀναγκαῖον καὶ ταύτας ἔκ τινων εἶναι· ἅπαντα γὰρ φθείρεται εἰς ταῦτ' ἐξ ὧν ἔστιν· ὥστε συμβαίνει τῶν ἀρχῶν ἑτέρας ἀρχὰς εἶναι προτέρας. τοῦτο δ' ἀδύνατον, καὶ εἰ ἵσταται καὶ εἰ βαδίζει εἰς ἄπειρον. ἔτι δὲ πῶς ἔσται τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται; εἰ δὲ ἄφθαρτοι, διὰ τί ἐκ μὲν τούτων ἀφθάρτων οὐσῶν φθαρτὰ ἔσται, ἐκ δὲ τῶν ἑτέρων ἄφθαρτα; τοῦτο γὰρ οὐκ εὔλογον, ἀλλ' ἢ ἀδύνατον ἢ πολλοῦ λόγου δεῖται. ἔτι δὲ οὐδ' ἐγκεχείρηκεν οὐδεὶς ἑτέ-

1. τὸ ἀρ.] τῷ ἀρ. *ST*. ‖ 2. φωνῆς ἐν ἀριθμῷ *ESTG*^{b}*I*^{b}. ‖ ὡρισμένα A^b. ‖ ἦν ἂν τ. *ES*. ‖ 3. ὅσαπερ — 4. πλειόνων om *T*. ‖ 3. τὰ om A^b. ‖ 8. εἰσι om A^b. ‖ ἄφθαρτα τὰ δὲ φθαρτά *ETG*^{b}. ‖ 10. τοῦ ante πρὸς om G^bI^b. ‖ 11. ἐκ τῶν θεῶν *EG*^{b}. ‖ 13. ὡς] δὲ ὡς *S*. ‖ 14. καίτοι καὶ περὶ *E*. ‖ προφορᾶς *ESTA*^{b}. ‖ 16. ἡδονῆς περὶ αὐτῶν *EST*. ‖ ἐριγγάνουσιν G^b. ‖ 17. ἀΐδιον *T*, ἀΐδια I^b. ‖ 18. δεόμενα I^b. ‖ μὲν om *S*. ‖ μυθικῶν A^b. ‖ 19. περὶ *ST*. ‖ 20. δή om *T*. ‖ 24. οὐδὲ αἱ αἰτίαι *S*. ‖ αὐτῶν ἂν A^b: ceteri ἂν αὐτῶν. ‖ 26. ταὐτὸν A^b: ceteri ταὐτό. ‖ 27. δόξειε δ' ἂν οὐθὲν] ὡς δόξειεν ἄν, οὐθὲν δὲ A^b. ‖ 28. γεννᾷ A^b. ‖ ἔξω] ἐξ αὐτοῦ G^b. ‖ τἆλλα om *T*. ‖ 30. ὅσα τ' ἔστιν A^b et margo *E*, om *SB*^{b}*C*^{b} et pr *E*. ‖ ὀπίσσω om A^b. ‖ ἀνέρες τ' ἠδὲ A^b. ‖ 32. καὶ] κἂν *STA*^{b}.

1. εἰ] εἰ μὲν *T*. ‖ μὴ ἦν τὸ νεῖκος F^b, μὴ ἐν ἦν τὸ νεῖκος G^b, μὴ ἐν ἦν *ESB*^{b}*C*^{b}, μὴ ἦν A^b, ἐνῆν *T*. ‖ 2. συνέλθωσι A^b. ‖ δ' add A^b. ‖ 3. ἵστατο A^b: ceteri ἵστη τό. ‖ διὸ] ὡ A^b. ‖ 4. θεὸν] βίον G^b. ‖ 5. τὰ στοιχεῖα om A^b. ‖ ἅπαντα A^bC^b. ‖ 7. αἰθέρι — 8. ἀΐδηλον om *ESTB*^{b}. ‖ 7. θεῖον A^b. ‖ ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον om A^b. ‖ 8. στοργῇ τε στοργὴν *STB*^{b}*C*^{b}. ‖ τι B^bC^b. ‖ 11. αἴτιον om A^b. ‖ 12. μεταβολῆς τὸ αἴτιον A^b. ‖ 13. ἢ add *ETA*^{b}*B*^{b}*C*^{b}. ‖ ὅτι om *T*. ‖ 14. εἰς] ἐπὶ G^bI^b. ‖ 15. τελειομένοις χρόνοις G^b. ‖ 16. παρελήλατο *ETC*^{b}, παρήλατο *SB*^{b}. ‖ 17. τῆς *TA*^{b}: ceteri ἐξ. ‖ 22. οὖν om *S*. ‖ 24. αὗται *E*. ‖ 25. πάντα A^b. ‖ 28. τὰ om *TA*^{b}. ‖ 30. μὲν] μὲν οὖν *S*. ‖ 32. ἢ om *T*.

ρας λέγειν, ἀλλὰ τὰς αὐτὰς ἁπάντων λέγουσιν ἀρχάς. ἀλλὰ τὸ πρῶτον ἀπορηθὲν ἀποτρώγουσιν ὥσπερ τοῦτο μικρόν τι λαμβάνοντες.

Πάντων δὲ καὶ θεωρῆσαι χαλεπώτατον καὶ πρὸς τὸ γνῶναι τἀληθὲς ἀναγκαιότατον, πότερόν ποτε τὸ ὂν καὶ τὸ ἓν οὐσίαι τῶν ὄντων εἰσί, καὶ ἑκάτερον αὐτῶν οὐχ ἕτερόν τι ὂν τὸ μὲν ἓν τὸ δὲ ὄν ἐςιν, ἢ δεῖ ζητεῖν τί ποτ᾽ ἐςι τὸ ὂν καὶ τὸ ἓν ὡς ὑποκειμένης ἄλλης φύσεως. οἱ μὲν γὰρ ἐκείνως, οἱ δ᾽ οὕτως οἴονται τὴν φύσιν ἔχειν. Πλάτων μὲν γὰρ καὶ οἱ Πυθαγόρειοι οὐχ ἕτερόν τι τὸ ὂν οὐδὲ τὸ ἕν, ἀλλὰ τοῦτο αὐτῶν τὴν φύσιν εἶναι, ὡς οὔσης τῆς οὐσίας αὐτὸ τὸ ἓν εἶναι καὶ ὄν τι. οἱ δὲ περὶ φύσεως, οἷον Ἐμπεδοκλῆς, ὡς εἰς γνωριμώτερον ἀνάγων λέγει ὅτι τὸ ἓν ὄν ἐςιν· δόξειε γὰρ ἂν λέγειν τοῦτο τὴν φιλίαν εἶναι· αἰτία γοῦν ἐςὶν αὕτη τοῦ ἓν εἶναι πᾶσιν. ἕτεροι δὲ πῦρ, οἱ δ᾽ ἀέρα φασὶν εἶναι τὸ ἓν τοῦτο καὶ τὸ ὄν, ἐξ οὗ τὰ ὄντα εἶναί τε καὶ γεγονέναι. ὡς δ᾽ αὔτως καὶ οἱ πλείω τὰ ςοιχεῖα τιθέμενοι· ἀνάγκη γὰρ καὶ τούτοις τοσαῦτα λέγειν τὸ ἓν καὶ τὸ ὂν ὅσας περ ἀρχὰς εἶναί φασιν. συμβαίνει δέ, εἰ μέν τις μὴ θήσεται εἶναί τινα οὐσίαν τὸ ἓν καὶ τὸ ὄν, μηδὲ τῶν ἄλλων εἶναι τῶν καθόλου μηθέν· ταῦτα γάρ ἐςι καθόλου μάλιστα πάντων. εἰ δὲ μὴ ἔςι τι ἓν αὐτὸ μηδ᾽ αὐτὸ ὄν, σχολῇ τῶν γε ἄλλων τι ἂν εἴη παρὰ τὰ λεγόμενα καθ᾽ ἕκαστα. ἔτι δὲ μὴ ὄντος τοῦ ἑνὸς οὐσίας, δῆλον ὅτι οὐδ᾽ ἂν ἀριθμὸς εἴη ὡς κεχωρισμένη τις φύσις τῶν ὄντων· ὁ μὲν γὰρ ἀριθμὸς μονάδες, ἡ δὲ μονὰς ὅπερ ἕν τί ἐςιν. εἰ δ᾽ ἔςι τι αὐτὸ ἓν καὶ ὄν, ἀναγκαῖον οὐσίαν αὐτῶν εἶναι τὸ ἓν καὶ τὸ ὄν· οὐ γὰρ ἕτερόν τι καθόλου κατηγορεῖται, ἀλλὰ ταῦτα αὐτά. ἀλλὰ μὴν εἴ γ᾽ ἔςαι τι αὐτὸ ὂν καὶ αὐτὸ ἕν, πολλὴ ἀπορία πῶς ἔςαι τι παρὰ ταῦτα ἕτερον, λέγω δὲ πῶς ἔςαι πλείω ἑνὸς τὰ ὄντα. τὸ γὰρ ἕτερον τοῦ ὄντος οὐκ ἔςιν, ὥςε κατὰ τὸν Παρμενίδου λόγον συμβαίνειν ἀνάγκη ἓν ἅπαντα εἶναι τὰ ὄντα καὶ τοῦτο εἶναι τὸ ὄν. ἀμφοτέρως δὲ δύσκολον· ἄν τε γὰρ μὴ ᾖ τὸ ἓν οὐσία ἄν τε ᾖ τι αὐτὸ ἕν, ἀδύνατον τὸν ἀριθμὸν οὐσίαν εἶναι. ἐὰν μὲν οὖν μὴ ᾖ, εἴρηται πρότερον δι᾽ ὅ· ἐὰν δὲ ᾖ, ἡ αὐτὴ ἀπορία καὶ περὶ τοῦ ὄντος. ἐκ τίνος γὰρ παρὰ τὸ ἓν ἔςαι αὐτὸ ἄλλο ἕν; ἀνάγκη γὰρ μὴ ἓν εἶναι· ἅπαντα δὲ τὰ ὄντα ἢ ἓν ἢ πολλά, ὧν ἓν ἕκαστον. ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν, κατὰ μὲν τὸ Ζήνωνος ἀξίωμα οὐθὲν ἂν εἴη. ὃ γὰρ μήτε προςιθέμενον μήτε ἀφαιρούμενον ποιεῖ μεῖζον μηδὲ ἔλαττον, οὔ φησιν εἶναι τοῦτο τῶν ὄντων, ὡς δῆλον ὅτι ὄντος μεγέθους τοῦ ὄντος. καὶ εἰ μέγεθος, σωματικόν· τοῦτο γὰρ πάντῃ ὄν. τὰ δὲ ἄλλα πῶς μὲν προστιθέμενα ποιήσει μεῖζον, πῶς δ᾽ οὐθέν, οἷον ἐπίπεδον καὶ γραμμή· ςιγμὴ δὲ καὶ μονὰς οὐδαμῶς. ἀλλ᾽ ἐπειδὴ οὗτος θεωρεῖ φορτικῶς, καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν τι ὥςε καὶ οὕτως καὶ πρὸς ἐκεῖνον τιν᾽ ἀπολογίαν ἔχει (μεῖζον μὲν γὰρ οὐ ποιήσει, πλεῖον δὲ προςιθέμενον τὸ τοιοῦτον)· ἀλλὰ πῶς δὴ ἐξ ἑνὸς τοιούτου ἢ πλειόνων τοιούτων ἔσται μέγεθος; ὅμοιον γὰρ καὶ τὴν γραμμὴν ἐκ στιγμῶν εἶναι φάσκειν. ἀλλὰ μὴν καὶ εἴ τις οὕτως ὑπολαμβάνει ὥςε γενέσθαι, καθάπερ λέγουσί τινες, ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου μὴ ἑνός τινος τὸν ἀριθμόν, οὐθὲν ἧττον ζητητέον διὰ τί καὶ πῶς ὁτὲ μὲν ἀριθμὸς ὁτὲ δὲ μέγεθος ἔςαι τὸ γενόμενον, εἴπερ τὸ μὴ ἓν ἡ ἀνισότης, καὶ ἡ αὐτὴ φύσις ἦν. οὔτε γὰρ ὅπως ἐξ ἑνὸς καὶ ταύτης, οὔτε ὅπως ἐξ ἀριθμοῦ τινὸς καὶ ταύτης γένοιτ᾽ ἂν τὰ μεγέθη, δῆλον.

Τούτων δ᾽ ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ 5
τὰ σώματα καὶ τὰ ἐπίπεδα καὶ αἱ ςιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ. εἰ γὰρ μή εἰσιν, διαφεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων. τὰ μὲν γὰρ πάθη καὶ αἱ κινήσεις καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις καὶ οἱ λόγοι οὐθενὸς δοκοῦσιν οὐσίαν σημαίνειν· λέγονται γὰρ πάντα καθ᾽ ὑποκειμένου τινός, καὶ οὐθὲν τόδε τι. ἃ δὲ μάλιστ᾽ ἂν δόξειε σημαίνειν οὐσίαν, ὕδωρ καὶ γῆ καὶ πῦρ καὶ ἀήρ, ἐξ ὧν

1. λέγειν add A^b. ‖ λέγουσιν ἁπάντων A^b. ‖ 4. καὶ post δὲ om G^bI^b. ‖ 5. ποτε] τε G^b. ‖ 7. τὸ μὲν ἓν om *S*. ‖ 8. ἓν καὶ τὸ ὂν F^b. ‖ 12. αὐτὸ τὸ F^b, αὐτοῦ τὸ A^b: ceteri ταυτό. ‖ ὄν] ἓν F^b. ‖ 13. τὸ ἓν ὄν] ποτε τὸ ἓν A^b. ‖ 14. τοῦτο] ὅτι τοῦτο *S*, τοῦτο τί A^b. ‖ 19. ἓν καὶ τὸ ὂν A^b: ceteri ὂν καὶ τὸ ἕν. ‖ 20. τινας οὐσίας SA^b. ‖ 22. δὲ] γὰρ A^b. ‖ 24. ὅτι G^bI^b. ‖ 25. ὅτι om G^b. ‖ συγκεχωρισμένη *S*, omisso ὡς. ‖ τις φύσις A^b: vulgo φύσις τις. ‖ 27. τι αὐτὸ] τὸ αὐτὸ G^b. ‖ καὶ] καὶ αὐτὸ TI^b. ‖ 28. εἶναι αὐτῶν G^b. ‖ ὂν καὶ τὸ ἓν *EST*. ‖ καθόλου om G^bI^b. ‖ 29. κατηγορεῖται om F^b. ‖ αὐτὰ ταῦτα F^b. ‖ 30. ἓν καὶ αὐτὸ ὂν F^b. ‖ ἐςι παρὰ ταῦτα ἕτερα F^b. ‖ 33. λόγον συμβαίνειν ἀνάγκη G^bI^b, ἀνάγκη συμβαίνειν λόγον A^b: vulgo συμβαίνειν ἀνάγκη λόγον.

1. δύσκολον *E*. ‖ ἐάν $A^bG^bI^b$. ‖ 2. τε ᾖ] τε μὴ ᾖ G^b, τις δὴ F^b. ‖ τι $A^bG^bI^b$, om F^b: ceteri τό. ‖ ἓν om F^b. ‖ 3. οὖν et ᾖ om G^b. ‖ 4. γὰρ παρὰ A^bF^b: vulgo γὰρ καὶ παρά. ‖ 5. γὰρ] δὲ G^bI^b. ‖ μὴ ἓν A^b: ceteri μηδέν. ‖ 6. ἕκαστον ἓν G^b. ‖ 7. μὲν οὖν τὸ *T*. ‖ 9. ποιεῖ μ. *EA*: ceteri ποιεῖ τι μ. ‖ μηδὲ ἔλαττον add A^b. ‖ φησιν ESA^b: vulgo φασιν. ‖ 12. προστιθεμένων A^b. ‖ 14. οὗτος *ET*: ceteri οὕτως. ‖ καὶ οὐκ ἐνδέχεται ESG^b. ‖ τι om *ES*. ‖ 15. ἀπολογίαν ἔχει A^b, ἔχειν ἀπολογίαν *S*: ceteri ἔχει ἀπολογίαν. ‖ 16. γὰρ add $ESTA^b$. ‖ 17. δεῖ G^b. ‖ τούτου G^b. ‖ τοιούτων add A^b. ‖ 20. γίνεσθαι *T*. ‖ 23. ἡ post ἓν om F^b. ‖ 24. οὔτε ὅπως — 25. ταύτης om *T*. ‖ 27. καὶ τὰ ἐπίπεδα om F^b. ‖ 28. μὴ γάρ G^bI^b. ‖ 32. ἂν μάλιστα G^b. ‖ 33. καὶ ἀὴρ add A^b.

τὰ σύνθετα σώματα συνέςηκε, τούτων θερμότητες μὲν καὶ ψυχρότητες καὶ τὰ τοιαῦτα πάθη, οὐκ οὐσίαι, τὸ δὲ σῶμα τὸ ταῦτα πεπονθὸς μόνον ὑπομένει ὥς ὄν τι καὶ οὐσία τις οὖσα. ἀλλὰ μὴν τό γε σῶμα ἧττον οὐσία τῆς ἐπιφανείας, καὶ αὕτη τῆς γραμμῆς, καὶ ἡ γραμμὴ τῆς μονάδος καὶ τῆς στιγμῆς· τούτοις γὰρ ὥρισαι τὸ σῶμα. καὶ τὰ μὲν ἄνευ σώματος ἐνδέχεσθαι δοκεῖ εἶναι, τὸ δὲ σῶμα ἄνευ τούτων εἶναι ἀδύνατον. διόπερ οἱ μὲν πολλοὶ καὶ οἱ πρότερον τὴν οὐσίαν καὶ τὸ ὂν ᾤοντο τὸ σῶμα εἶναι, τὰ δὲ ἄλλα τούτου πάθη, ὥςε καὶ τὰς ἀρχὰς τὰς τῶν σωμάτων τῶν ὄντων εἶναι ἀρχάς· οἱ δ' ὕςερον καὶ σοφώτεροι τούτων εἶναι δόξαντες ἀριθμούς. καθάπερ οὖν εἴπομεν, εἰ μὴ ἔςιν οὐσία ταῦτα, ὅλως οὐδεμία ἐςὶν οὐσία οὐδὲ ὂν οὐθέν· οὐ γὰρ δὴ τά γε συμβεβηκότα τούτοις ἄξιον ὄντα καλεῖν. ἀλλὰ μὴν εἰ τοῦτο μὲν ὁμολογεῖται, ὅτι μᾶλλον οὐσία τὰ μήκη τῶν σωμάτων καὶ αἱ ςιγμαί, ταῦτα δὲ μὴ ὁρῶμεν ποίων ἂν εἶεν σωμάτων (ἐν γὰρ τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι), οὐκ ἂν εἴη οὐσία οὐδεμία. ἔτι δὲ φαίνεται ταῦτα πάντα διαιρέσεις ὄντα τοῦ σώματος, τὸ μὲν εἰς πλάτος, τὸ δ' εἰς βάθος, τὸ δ' εἰς μῆκος. πρὸς δὲ τούτοις ὁμοίως ἔν ἐςιν ἐν τῷ ςερεῷ ὁποιονοῦν σχῆμα ἢ οὐθέν· ὥς' εἰ μηδ' ἐν τῷ λίθῳ Ἑρμῆς, οὐδὲ τὸ ἥμισυ τοῦ κύβου ἐν τῷ κύβῳ οὕτως ὡς ἀφωρισμένον. οὐκ ἄρα οὐδ' ἐπιφάνεια· εἰ γὰρ ὁποιαοῦν, κἂν αὕτη ἂν ἦν ἡ ἀφορίζουσα τὸ ἥμισυ. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ ςιγμῆς καὶ μονάδος. ὥστ' εἰ μάλιςα μὲν οὐσία τὸ σῶμα, τούτου δὲ μᾶλλον ταῦτα, μή ἐςι δὲ ταῦτα μηδ' οὐσίαι τινές, διαφεύγει τί τὸ ὂν καὶ τίς ἡ οὐσία τῶν ὄντων. πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν συμβαίνει ἄλογα. δοκεῖ μὲν γὰρ ἡ οὐσία, ἐὰν μὴ οὖσα πρότερον νῦν ᾖ ἢ πρότερον οὖσα ὕςερον μὴ ᾖ, μετὰ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι ταῦτα πάσχειν· τὰς δὲ στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐκ ἐνδέχεται οὔτε γίγνεσθαι οὔτε φθείρεσθαι, ὁτὲ μὲν οὔσας ὁτὲ δὲ οὐκ οὔσας. ὅταν γὰρ ἅπτηται ἢ διαιρῆται τὰ σώματα, ἅμα ὁτὲ μὲν μία ἁπτομένων, ὁτὲ δὲ δύο διαιρουμένων γίγνονται· ὥς' οὔτε συγκειμένων ἐςὶν ἀλλ' ἔφθαρται, διῃρημένων τέ εἰσιν αἱ πρότερον οὐκ οὖσαι. οὐ γὰρ δὴ ἥ γ' ἀδιαίρετος ςιγμὴ διῃρέθη εἰς δύο. εἴ τε γίγνονται καὶ φθείρονται, ἔκ τινος γίγνονται. παραπλησίως δ' ἔχει καὶ περὶ τὸ νῦν τὸ ἐν τῷ χρόνῳ· οὐδὲ γὰρ τοῦτο ἐνδέχεται γίγνεσθαι καὶ φθείρεσθαι, ἀλλ' ὅμως ἕτερον ἀεὶ δοκεῖ εἶναι, οὐκ οὐσία τις οὖσα. ὁμοίως δὲ δῆλον ὅτι ἔχει καὶ περὶ τὰς στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα· ὁ γὰρ αὐτὸς λόγος· ἅπαντα γὰρ ὁμοίως ἢ πέρατα ἢ διαιρέσεις εἰσίν.

Ὅλως δ' ἀπορήσειεν ἄν τις διὰ τί καὶ δεῖ ζητεῖν 6 ἄλλ' ἄττα παρά τε τὰ αἰσθητὰ καὶ τὰ μεταξύ, οἷον ἃ τίθεμεν εἴδη. εἰ γὰρ διὰ τοῦτο, ὅτι τὰ μὲν μαθηματικὰ τῶν δεῦρο ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ πόλλ' ἄττα ὁμοειδῆ εἶναι οὐθὲν διαφέρει· ὥστ' οὐκ ἔσονται αὐτῶν αἱ ἀρχαὶ ἀριθμῷ ἀφωρισμέναι, ὥσπερ οὐδὲ τῶν ἐνταῦθα γραμμάτων ἀριθμῷ μὲν πάντων οὐκ εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, εἴδει δέ, ἐὰν μὴ λαμβάνῃ τις τησδὶ τῆς συλλαβῆς ἢ τησδὶ τῆς φωνῆς· τούτων δ' ἔσονται καὶ ἀριθμῷ ὡρισμέναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ· ἄπειρα γὰρ κἀκεῖ τὰ ὁμοειδῆ. ὥς' εἰ μή ἐςι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ ἕτερ' ἄττα, οἷα λέγουσι τὰ εἴδη τινές, οὐκ ἔςαι μία ἀριθμῷ καὶ εἴδει οὐσία, οὐδ' αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονται ποσαί τινες ἀλλὰ εἴδει. εἰ οὖν τοῦτ' ἀναγκαῖον, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ τοῦτο εἶναι τιθέναι. καὶ γὰρ εἰ μὴ καλῶς διαρθροῦσιν οἱ λέγοντες, ἀλλ' ἔστι γε τοῦθ' ὃ βούλονται, καὶ ἀνάγκη ταῦτα λέγειν αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσία τις ἕκαςόν ἐςι, καὶ οὐθὲν κατὰ συμβεβηκός. ἀλλὰ μὴν εἴ γε θήσομεν τά τε εἴδη εἶναι, καὶ ἓν ἀριθμῷ τὰς ἀρχὰς ἀλλὰ μὴ εἴδει, εἰρήκαμεν ἃ συμβαίνειν ἀναγκαῖον ἀδύνατα. σύνεγγυς δὲ τούτων ἐστὶ τὸ διαπορῆσαι πότερον δυνάμει ἐςὶ τὰ ςοιχεῖα ἢ τιν' ἕτερον τρόπον. εἰ μὲν γὰρ ἄλλως, πῶς πρότερόν τι ἔςαι τῶν ἀρ-

1. τούτων δὲ θ. G^b. ‖ 4. τε A^bG^b. ‖ ἧττων E. ‖ 5. ἡ γραμμὴ A^b: vulgo αὕτη. ‖ 8. εἶναι om ES. ‖ 9. τὸ ante σῶμα add E A^b. ‖ τὰ δὲ ἄλλα A^b: vulgo τἆλλα δέ. ‖ 11. τῶν om F^b. ‖ καὶ οἱ σ. A^b. ‖ 13. οὐδεμία] οὐδὲν A^b. ‖ 14. δὴ] ἂν A^b. ‖ γε om S. ‖ 15. μᾶλλον] μᾶλλόν ἐςιν TG^b. ‖ οὐσίαι S. ‖ τῶν σωμάτων τὰ μήκη G^bI^b. ‖ 18. δὲ add $A^bG^bI^b$. ‖ 19. τοῦ om G^bI^b. ‖ 21. ἓν om F^b. ‖ ἢ οὐθὲν add $A^bG^bI^b$. ‖ 22. λίθῳ ὁ ἑρμῆς I^b. ‖ 24. αὕτη ἂν] αὐτὴ G^b. ‖ ἦν] εἴη G^bI^b. ‖ 25. καὶ ἐπὶ ς. $ESTG^b$. ‖ 30. μὲν om A^b. ‖ ἐὰν add A^b. ‖ οὖσα τὸ πρ. A^b. ‖ νῦν ᾖ Brandis, om A^b: ceteri νῦν εἶναι. ‖ 31. ᾖ add A^b. ‖ τοῦτο TG^b.

2. γίγνεται F^b. ‖ συγκειμένου A^b. ‖ 3. ἔφθαρτο E. ‖ 4. δ' S. ‖ 6. τῷ om G^bI^b. ‖ 7. δοκεῖ ante ἀεὶ G^b, post εἶναι S. ‖ εἶναι om A^b. ‖ 8. καὶ τὰ περὶ G^b. ‖ 9. γραμμὰς καὶ στιγμὰς T. τὰς add A^b. ‖ καὶ περὶ τὰ G^b. ‖ 10. διαίρεσις E. ‖ 13. ἄλλα τοιαῦτα A^bI^b, ἄλλα τὰ τοιαῦτα F^b, ἄλλα τοιαῦτα ἄλλ' ἄττα G^b. ‖ τε add $A^bG^bI^b$. ‖ τὰ post καὶ om E. ‖ 14. τίθεται μὲν G^b. ‖ [illegible] F^b. ‖ 15. πολλὰ τὰ A^b. ‖ 17. ἀφωρισμέναι ἀριθμῷ S. ‖ 18. ἀριθμῶν A^b. ‖ πάντων om F^b. ‖ 24. καὶ] καὶ τῷ F^b. ‖ 25. ἀριθμῷ [illegible] ἔσ. A^b. ‖ 26. τιθέναι add A^b. ‖ 28. γε add A^b. ‖ ταῦτα om S. ‖ αὐτούς A^b. ‖ 29. ἑκάςων TG^b. ‖ 30. τε add A^b. ‖ 31. ἐν om ES. ‖ 32. ἀδύνατα πρότερον. σύνεγγυς A^b. ‖ τούτω T.

λλο; πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας,
δυνατὸν ὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν. εἰ δ' ἐςι
ι τὰ στοιχεῖα, ἐνδέχεται μηθὲν εἶναι τῶν ὄντων·
γὰρ εἶναι καὶ τὸ μήπω ὄν· γίγνεται μὲν γὰρ τὸ
ὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων. ταύτας τε
ἀπορίας ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν ἀρχῶν, καὶ
καθόλου εἰσὶν ἢ ὡς λέγομεν τὰ καθ' ἕκαςα. εἰ
ὰρ καθόλου, ὐκ ἔσονται ὐσίαι· ὐθὲν γὰρ τῶν κοινῶν
σημαίνει, ἀλλὰ τοιόνδε, ἡ δ' ὐσία τόδε τι. εἰ δ'
όδε τι καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγορύμενον, πολλὰ
ζῷα ὁ Σωκράτης αὐτός τε καὶ ὁ ἄνθρωπος καὶ τὸ
εἴπερ σημαίνει ἕκαστον τόδε τι καὶ ἕν. εἰ μὲν οὖν
υ αἱ ἀρχαί, ταῦτα συμβαίνει· εἰ δὲ μὴ καθόλου
ς τὰ καθ' ἕκαςα, ὐκ ἔσονται ἐπιςηταί· καθόλου
ἐπιςῆμαι πάντων. ὥς' ἔσονται ἀρχαὶ ἕτεραι πρό-
ῶν ἀρχῶν αἱ καθόλυ κατηγορύμεναι, ἄνπερ μέλλῃ
αὐτῶν ἐπιςήμη.

Γ.

ςιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ
ντα καθ' αὑτό. αὕτη δ' ἐστὶν ὐδεμιᾷ τῶν ἐν μέρει
νων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ
περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτῦ τι ἀποτε-
ι περὶ τύτυ θεωρῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθη-
ι τῶν ἐπιςημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκρο-
αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς
ιῖον εἶναι καθ' αὑτήν. εἰ ὖν καὶ οἱ τὰ ςοιχεῖα τῶν
ζητῦντες ταύτας τὰς ἀρχὰς ἐζήτυν, ἀνάγκη καὶ τὰ
α τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ
διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν τὰς πρώτας αἰτίας
.
ὸ δὲ ὂν λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ
ινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως ἀλλ' ὥσπερ καὶ τὸ
ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ
εῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι δεκτικὸν αὐτῆς. καὶ τὸ ἰατρικὸν πρὸς ἰατρικήν· τὸ μὲν γὰρ τῷ ἔχειν τὴν ἰατρικὴν λέγεται ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς αὐτήν, τὸ δὲ τῷ ἔργον εἶναι τῆς ἰατρικῆς. ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα λεγόμενα τύτοις. οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι ὐσίαι, ὄντα λέγεται, τὰ δ' ὅτι πάθη ὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας, ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις ἢ ὐσίας· διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὂν φαμέν. καθάπερ ὖν καὶ τῶν ὑγιεινῶν ἁπάντων μία ἐπιςήμη ἐςίν, ὁμοίως τῦτο καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιςήμης ἐςὶ θεωρῆσαι μιᾶς, ἀλλὰ καὶ τῶν πρὸς μίαν λεγομένων φύσιν· καὶ γὰρ ταῦτα τρόπον τινὰ λέγεται καθ' ἕν. δῆλον ὖν ὅτι καὶ τὰ ὄντα μιᾶς θεωρῆσαι ᾗ ὄντα. πανταχῦ δὲ κυρίως τῦ πρώτυ ἡ ἐπιςήμη, καὶ ἐξ ὗ τὰ ἄλλα ἤρτηται, καὶ δι' ὃ λέγονται. εἰ ὖν τῦτ' ἐςὶν ἡ ὐσία, τῶν ὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον. ἅπαντος δὲ γένυς καὶ αἴσθησις μία ἑνὸς καὶ ἐπιςήμη, οἷον ἡ γραμματικὴ μία ὖσα πάσας θεωρεῖ τὰς φωνάς. διὸ καὶ τοῦ ὄντος ὅσα εἴδη θεωρῆσαι μιᾶς ἐςὶν ἐπιστήμης τῷ γένει, τά τε εἴδη τῶν εἰδῶν. εἰ δὴ τὸ ἓν καὶ τὸ ὂν ταὐτὸν καὶ μία φύσις, τῷ ἀκολυθεῖν ἀλλήλοις ὥσπερ ἀρχὴ καὶ αἴτιον, ἀλλ' ὐχ ὡς ἑνὶ λόγῳ δηλύμενα. διαφέρει δ' ὐθὲν ὐδ' ἂν ὁμοίως ὑπολάβωμεν, ἀλλὰ καὶ πρὸ ἔργου μᾶλλον. ταὐτὸ γὰρ εἷς ἄνθρωπος καὶ ὢν ἄνθρωπος καὶ ἄνθρωπος, καὶ οὐχ ἕτερόν τι δηλοῖ κατὰ τὴν λέξιν ἐπαναδιπλύμενον τὸ εἷς ἐςὶν ἄνθρωπος καὶ ἔςιν ἄνθρωπος· δῆλον δ' ὅτι ὐ χωρίζεται ὔτ' ἐπὶ γενέσεως ὔτ' ἐπὶ φθορᾶς. ὁμοίως δὲ καὶ ἐπὶ τῦ ἑνός. ὥςε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τύτοις ταὐτὸ δηλοῖ, καὶ οὐθὲν ἕτερον τὸ ἓν παρὰ τὸ ὄν. ἔτι δ' ἡ ἑκάςυ ὐσία ἕν ἐςιν ὐ κατὰ συμβεβηκός, ὁμοίως δὲ καὶ ὅπερ ὄν τι· ὥσθ' ὅσα περ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ τοῦ ὄντος ἐςίν· περὶ ὧν τὸ τί ἐςι τῆς αὐτῆς ἐπιστήμης τῷ γένει θεωρῆσαι, λέγω δ' οἷον περὶ ταὐτῦ καὶ ὁμοίυ καὶ τῶν ἄλλων τῶν τοιύτων. σχεδὸν δὲ

ἀδύνατον F^b. ‖ 5. τε om S. ‖ 10. ἐςὶ TG^b. ‖ 14. ἐπιςῆμαι A^b. ‖ 15. ἡ ἐπιςήμη A^b. ‖ 16. αἱ add A^b. ‖ καθόλου ante
. ‖ 21. αὐτῷ et 22. αὐτά F^b. ‖ 25. περὶ τῦτο θεωρῦσι ET, θεωρῦσι περὶ τῦτο SG^b. ‖ 31. ὄντας A^b, omissis διὸ — τάς. ‖ 33.
F^b. ‖ 34. καὶ add ETA^b. ‖ ἀλλ' om A^b.

τὴν add A^b. ‖ 3. τὴν ἰατρικήν A^b. ‖ 4. ὁμοίως STG^b. ‖ 5. ἀλλ' ἅπαν A^b: vulgo ἀλλὰ πᾶν. ‖ 6. ὐσία SA^bG^b. ‖ 8. φθορὰ
ς A^b. ‖ 9. τινῶν T. ‖ 10. ἀπόφασις A^b. ‖ 15. λέγονται A^b. ‖ 19. ἑνὸς αἴσθησις μία F^b. ‖ 20. ἡ add A^b. ‖ 21. ὅσα] ᾗ ὂν
τὰ F^b. ‖ 22. τε] δὲ F^b. ‖ 23. ἓν καὶ τὸ ὂν A^bF^b: vulgo ὂν καὶ τὸ ἕν. ‖ 28. τάξιν C^b. ‖ τὸ] τί E. ‖ εἷς — 29. δῆλον
lgo ἔςιν ὁ ἄνθρωπος, καὶ ἄνθρωπος, καὶ εἷς ἄνθρωπος· δῆλον. ‖ 29. ὐχ ὁρίζεται STG^b. ‖ 31. οὐδὲν ἔτι ἕτερον A^b. ‖ 33. περὶ τῦ T. ‖
τῦ ὁμοίυ SG^b. ‖ post τοιύτων SG^b καὶ τῶν τύτοις ἀντικειμένων.

πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην. τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ ἐκλογῇ τῶν ἐναντίων. καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐςὶν ὅσαι περ αἱ οὐσίαι· ὥστε ἀναγκαῖον εἶναι πρώτην τινὰ καὶ ἐχομένην αὐτῶν. ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ἓν καὶ τὸ ὄν· διὸ καὶ αἱ ἐπιστῆμαι ἀκολουθήσουσι τούτοις. ἔστι γὰρ ὁ φιλόσοφος ὥσπερ ὁ μαθηματικὸς λεγόμενος· καὶ γὰρ αὕτη ἔχει μέρη, καὶ πρώτη τις καὶ δευτέρα ἐςὶν ἐπιςήμη καὶ ἄλλαι ἐφεξῆς ἐν τοῖς μαθήμασιν. ἐπεὶ δὲ μιᾶς τἀντικείμενα θεωρῆσαι, τῷ δ' ἑνὶ ἀντίκειται πλῆθος, ἀπόφασιν δὲ καὶ ςέρησιν μιᾶς ἐστὶ θεωρῆσαι διὰ τὸ ἀμφοτέρως θεωρεῖσθαι τὸ ἕν, οὗ ἡ ἀπόφασις ἢ ἡ ςέρησις ἡ ἁπλῶς λεγομένη ὅτι οὐχ ὑπάρχει ἐκείνῳ ἤ τινι γένει· ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεςι παρὰ τὸ ἐν τῇ ἀποφάσει (ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστίν), ἐν δὲ τῇ στερήσει καὶ ὑποκειμένη τις φύσις γίγνεται, καθ' ἧς λέγεται ἡ στέρησις. τῷ δ' ἑνὶ πλῆθος ἀντίκειται, ὥστε καὶ τἀντικείμενα τοῖς εἰρημένοις, τό τε ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον, καὶ ὅσα ἄλλα λέγεται ἢ κατὰ ταῦτα ἢ κατὰ πλῆθος καὶ τὸ ἕν, τῆς εἰρημένης γνωρίζειν ἐπιςήμης· ὧν ἐστὶ καὶ ἡ ἐναντιότης· διαφορὰ γάρ τις ἡ ἐναντιότης, ἡ δὲ διαφορὰ ἑτερότης. ὥς' ἐπειδὴ πολλαχῶς τὸ ἓν λέγεται, καὶ ταῦτα πολλαχῶς μὲν λεχθήσεται, ὅμως δὲ μιᾶς ἅπαντά ἐςι γνωρίζειν· οὐ γὰρ εἰ πολλαχῶς, ἑτέρας, ἀλλ' εἰ μήτε καθ' ἓν μήτε πρὸς ἓν οἱ λόγοι ἀναφέρονται. ἐπεὶ δὲ πάντα πρὸς τὸ πρῶτον ἀναφέρεται, οἷον ὅσα ἓν λέγεται πρὸς τὸ πρῶτον ἕν, ὡσαύτως φατέον καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν ἐναντίων ἔχειν· ὥςε διελόμενον ποσαχῶς λέγεται ἕκαςον οὕτως ἀποδοτέον πρὸς τὸ πρῶτον ἐν ἑκάςῃ κατηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται· τὰ μὲν γὰρ τῷ ἔχειν ἐκεῖνα, τὰ δὲ τῷ ποιεῖν, τὰ δὲ κατ' ἄλλους λεχθήσεται τοιούτους τρόπους. φανερὸν οὖν, ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη, ὅτι μιᾶς περὶ τούτων καὶ τῆς οὐσίας ἐστὶ λόγον ἔχειν. τοῦτο δ' ἦν ἓν τῶν ἐν τοῖς ἀπορήμασιν. καὶ ἔςι τοῦ φιλοσόφου περὶ πάντων δύνασθαι θεωρεῖν. εἰ γὰρ μὴ τοῦ φιλοσόφου, τίς ἔςαι ὁ ἐπισκεψόμενος εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθήμενος, ἢ εἰ ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐςι τὸ ἐναντίον, ἢ ποσαχῶς λέγεται; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἓν καὶ τοῦ ὄντος ᾗ ὂν ταῦτα καθ' αὑτά ἐςι πάθη, ἀλλ' οὐχ ᾗ ἀριθμοὶ ἢ γραμμαὶ ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς ἐπιςήμης καὶ τί ἐςι γνωρίσαι καὶ τὰ συμβεβηκότ' αὐτοῖς. καὶ οὐ ταύτῃ ἁμαρτάνουσιν οἱ περὶ αὐτῶν σκοπούμενοι ὡς οὐ φιλοσοφοῦντες, ἀλλ' ὅτι πρότερον ἡ οὐσία, περὶ ἧς οὐθὲν ἐπαΐουσιν, ἐπεὶ ὥσπερ ἐςὶ καὶ ἀριθμοῦ ᾗ ἀριθμὸς ἴδια πάθη, οἷον περιττότης ἀρτιότης, συμμετρία ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ' αὑτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρχει τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ στερεῷ καὶ ἀκινήτῳ καὶ κινουμένῳ ἀβαρεῖ τε καὶ βάρος ἔχοντι ἔστιν ἕτερα ἴδια· οὕτω καὶ τῷ ὄντι ᾗ ὂν ἔςι τινὰ ἴδια, καὶ ταῦτ' ἐςὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι τἀληθές. σημεῖον δέ· οἱ γὰρ διαλεκτικοὶ καὶ σοφισταὶ ταὐτὸν μὲν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ (ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστί, καὶ οἱ διαλεκτικοὶ διαλέγονται περὶ ἁπάντων), κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστιν. διαλέγονται δὲ περὶ τούτων δῆλον ὅτι διὰ τὸ τῆς φιλοσοφίας εἶναι αὐτὰ οἰκεῖα. περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιςικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει. ἔςι δὲ ἡ διαλεκτικὴ πειραςικὴ περὶ ὧν ἡ φιλοσοφία γνωριςική, ἡ δὲ σοφιςικὴ φαινομένη, οὖσα δ' οὔ. ἔτι τῶν ἐναντίων ἡ ἑτέρα συςοιχία στέρησις, καὶ πάντα ἀνάγεται εἰς τὸ ὂν καὶ τὸ μὴ ὄν, καὶ ἓν καὶ πλῆθος, οἷον στάσις τοῦ ἑνός, κίνησις δὲ τοῦ πλήθους. τὰ δ' ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσιν ἐξ ἐναντίων σχεδὸν ἅπαντες συγκεῖσθαι· πάντες γοῦν τὰς ἀρχὰς ἐναντίας λέγουσιν. οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, οἱ δὲ θερμὸν καὶ ψυχρόν, οἱ δὲ πέρας καὶ ἄπειρον, οἱ δὲ φιλίαν καὶ νεῖκος. πάντα δὲ καὶ τἆλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ πλῆθος· εἰλήφθω γὰρ

1. τεθεωρήσθω A^b, θεωρείσθω F^b, ceteri τεθεώρηται. sed T haec τεθ. — 2. ἐναντίων om. ‖ 2. δὲ τοῦτο ἡμῖν F^b. ‖ 3. εἰσὶν F^b. ‖ ἴσα TF^b. ‖ 4. τινὰ πρώτην EST. ‖ 5. ἔχον A^b. ‖ ὂν καὶ τὸ ἕν $ESTG^b$. ‖ αἱ add A^b. ‖ 6. φιλ. οὕτως ὥσπερ A^b. ‖ 8. ἄλλη SG^b. ‖ 12. ἡ post ἢ om S. ‖ ἡ TA^b: vulgo ᾗ. ‖ 13. ὑπάρξει SG^b. ‖ ἐκεῖνο G^b. ‖ 17. δ' om F^b. ‖ 18. καὶ τὸ ἀνόμοιον SG^b. ‖ 19. ταὐτὰ TF^b, ταυτὰ EA^b: vulgo αὐτά. ‖ κατὰ τὸ πλ. F^b. ‖ 20. τοῖς εἰρημένοις E. ‖ ἐστὶ] ἕν τι $ESTG^b$, ESG^b addito ἐστί post ἐναντιότης ‖ 21. δὲ διαφορὰ] δὲ ἐναντιότης A^b. ‖ 22. τὸ ἓν πολλαχῶς T. ‖ 23. γνωρίζειν ἐςὶ $ESTG^b$. ‖ 25. post ἀναφέρονται ESG^b τότε ἑτέρας ‖ ἐπεὶ — 26. ἀναφέρεται om T. ‖ 26. ἀναφέρετε E, ἀναφέρονται A^b. ‖ 26. πρώτως A^b. ‖ 30. ἐκεῖνο TA^b. ‖ 32. ὅπερ — ἐλέχθη om A^b. ἔν τισι λείπει τὸ ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη margo E.

1. ἔςιν et 2. ταυτὸν F^b. ‖ 6. ᾗ ἀριθμὸς A^bF^b, οἱ ἀριθμοὶ T. ‖ γραμμὴ A^b. ‖ 12. ἑαυτοὺς plerique. ‖ 14. ἀβαρεῖ τε] καὶ ἀβαρεῖ A^b. ‖ 15. οὕτω — 16. ἴδια om A^b. ‖ 17. καὶ οἱ σοφ. F^b. ‖ 22. ταῦτα εἶναι A^b. ‖ ςρ. καὶ ἡ F^b. ‖ 23. ἡ post καὶ om E. ‖ 25. τῇ om A^b. ‖ πειρ.] ἡ πειρ. T. ‖ 27. ἅπαντα F^b. ‖ 28. τὸ post καὶ om F^b. ‖ ἓν] εἰς ἓν ESG^b, εἰς τὸ ἓν T. ‖ 30. σχεδὸν ἅπαντες ἐξ ἐναντίων F^b. ‖ 31. γοῦν om T. ‖ 33. ἅπαντα A^b. ‖ 34. φαίνεται ἀναγόμενα A^b. ‖ καὶ τὸ πλῆθος T.

ἡ ἀναγωγὴ ἡμῖν. αἱ δ' ἀρχαὶ καὶ παντελῶς αἱ παρὰ τῶν ἄλλων ὡς εἰς γένη ταῦτα πίπτουσιν. φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι. πάντα γὰρ ἢ ἐναντία ἢ ἐξ ἐναντίων, ἀρχαὶ δὲ τῶν ἐναντίων τὸ ἓν καὶ πλῆθος. ταῦτα δὲ μιᾶς ἐπιστήμης, εἴτε καθ' ἓν λέγεται εἴτε μή, ὥσπερ ἴσως ἔχει καὶ τἀληθές. ἀλλ' ὅμως εἰ καὶ πολλαχῶς λέγεται τὸ ἕν, πρὸς τὸ πρῶτον τἆλλα λεχθήσεται καὶ τὰ ἐναντία ὁμοίως. καὶ διὰ τοῦτο καὶ εἰ μή ἐστι τὸ ὂν ἢ τὸ ἓν καθόλου καὶ ταὐτὸ ἐπὶ πάντων ἢ χωριστόν, ὥσπερ ἴσως οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν πρὸς ἓν τὰ δὲ τῷ ἐφεξῆς, καὶ διὰ τοῦτο οὐ τοῦ γεωμέτρου θεωρῆσαι τί τὸ ἐναντίον ἢ τέλειον ἢ ὂν ἢ ἓν ἢ ταὐτὸν ἢ ἕτερον, ἀλλ' ἢ ἐξ ὑποθέσεως. ὅτι μὲν οὖν μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι, καὶ τὰ ὑπάρχοντα αὐτῷ ᾗ ὄν, δῆλον, καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἡ αὐτὴ θεωρητική, τῶν τε εἰρημένων καὶ περὶ προτέρου καὶ ὑστέρου, καὶ γένους καὶ εἴδους, καὶ ὅλου καὶ μέρους καὶ τῶν ἄλλων τῶν τοιούτων.

3 Λεκτέον δὲ πότερον μιᾶς ἢ ἑτέρας ἐπιστήμης περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων καὶ περὶ τῆς οὐσίας. φανερὸν δὴ ὅτι μιᾶς τε καὶ τῆς τοῦ φιλοσόφου καὶ ἡ περὶ τούτων ἐστὶ σκέψις· ἅπασι γὰρ ὑπάρχει τοῖς οὖσιν, ἀλλ' οὐ γένει τινὶ χωρὶς ἰδίᾳ τῶν ἄλλων. καὶ χρῶνται μὲν πάντες, ὅτι τοῦ ὄντος ἐστὶν ᾗ ὄν, ἕκαστον δὲ τὸ γένος ὄν. ἐπὶ τοσοῦτον δὲ χρῶνται, ἐφ' ὅσον αὐτοῖς ἱκανόν· τοῦτο δ' ἔστιν, ὅσον ἐπέχει τὸ γένος περὶ οὗ φέρουσι τὰς ἀποδείξεις. ὥστ' ἐπεὶ δῆλον ὅτι ᾗ ὄντα ὑπάρχει πᾶσι (τοῦτο γὰρ αὐτοῖς τὸ κοινόν), τοῦ περὶ τὸ ὂν ᾗ ὂν γνωρίζοντος καὶ περὶ τούτων ἐστὶν ἡ θεωρία. διόπερ οὐθεὶς τῶν κατὰ μέρος ἐπισκοπούντων ἐγχειρεῖ λέγειν τι περὶ αὐτῶν, εἰ ἀληθῆ ἢ μή, οὔτε γεωμέτρης οὔτ' ἀριθμητικός, ἀλλὰ τῶν φυσικῶν ἔνιοι, εἰκότως τοῦτο δρῶντες· μόνοι γὰρ ᾤοντο περί τε τῆς ὅλης φύσεως σκοπεῖν καὶ περὶ τοῦ ὄντος. ἐπεὶ δ' ἔστιν ἔτι τοῦ φυσικοῦ τις ἀνωτέρω (ἓν γάρ τι γένος τοῦ ὄντος ἡ φύσις), τοῦ καθόλου καὶ τοῦ περὶ τὴν πρώτην οὐσίαν θεωρητικοῦ καὶ ἡ περὶ τούτων ἂν εἴη σκέψις. ἔστι δὲ σοφία τις καὶ ἡ φυσική, ἀλλ' οὐ πρώτη. ὅσα δ' ἐγχειροῦσι τῶν λεγόντων τινὲς περὶ τῆς ἀληθείας, ὃν τρόπον δεῖ ἀποδέχεσθαι, δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν τοῦτο δρῶσιν· δεῖ γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, ἀλλὰ μὴ ἀκούοντας ζητεῖν. ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης τῆς οὐσίας θεωροῦντος ᾗ πέφυκεν, καὶ περὶ τῶν συλλογιστικῶν ἀρχῶν ἐστὶν ἐπισκέψασθαι, δῆλον. προσήκει δὲ τὸν μάλιστα γνωρίζοντα περὶ ἕκαστον γένος ἔχειν λέγειν τὰς βεβαιοτάτας ἀρχὰς τοῦ πράγματος, ὥστε καὶ τὸν περὶ τῶν ὄντων ᾗ ὄντα τὰς πάντων βεβαιοτάτας. ἔστι δ' οὗτος ὁ φιλόσοφος. βεβαιοτάτη δ' ἀρχὴ πασῶν περὶ ἣν διαψευσθῆναι ἀδύνατον· γνωριμωτάτην τε γὰρ ἀναγκαῖον εἶναι τὴν τοιαύτην (περὶ γὰρ ἃ μὴ γνωρίζουσιν, ἀπατῶνται πάντες) καὶ ἀνυπόθετον. ἣν γὰρ ἀναγκαῖον ἔχειν τὸν ὁτιοῦν ξυνιέντα τῶν ὄντων, τοῦτο οὐχ ὑπόθεσις· ὃ δὲ γνωρίζειν ἀναγκαῖον τῷ ὁτιοῦν γνωρίζοντι, καὶ ἥκειν ἔχοντα ἀναγκαῖον. ὅτι μὲν οὖν ἡ τοιαύτη πασῶν βεβαιοτάτη ἀρχή, δῆλον· τίς δ' ἔστιν αὕτη, μετὰ ταῦτα λέγομεν. τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό· καὶ ὅσα ἄλλα προσδιορισαίμεθ' ἄν, ἔστω προσδιωρισμένα πρὸς τὰς λογικὰς δυσχερείας. αὕτη δὴ πασῶν ἐστὶ βεβαιοτάτη τῶν ἀρχῶν· ἔχει γὰρ τὸν εἰρημένον διορισμόν. ἀδύνατον γὰρ ὁντινοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι, καθάπερ τινὲς οἴονται λέγειν Ἡράκλειτον· οὐκ ἔστι γὰρ ἀναγκαῖον, ἅ τις λέγει, ταῦτα καὶ ὑπολαμβάνειν. εἰ δὲ μὴ ἐνδέχεται ἅμα ὑπάρχειν τῷ αὐτῷ τἀναντία (προσδιωρίσθω δ' ἡμῖν καὶ ταύτῃ τῇ προτάσει τὰ εἰωθότα), ἐναντία δ' ἐστὶ δόξα δόξῃ ἡ τῆς ἀντιφάσεως, φανερὸν ὅτι ἀδύνατον ἅμα ὑπολαμβάνειν τὸν αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό· ἅμα γὰρ ἂν ἔχοι τὰς ἐναντίας δόξας ὁ διεψευσμένος περὶ τούτου. διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· φύσει γὰρ ἀρχὴ καὶ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων.

Εἰσὶ δέ τινες οἵ, καθάπερ εἴπομεν, αὐτοί τε ἐνδέχε- 4

1. ἡμῖν] ἡμῖν ἐν τῷ πρώτῳ περὶ ἀγαθοῦ *T.* ‖ αἱ παρὰ] καὶ παρὰ *T.* ‖ 2. εἰς γένη εἰς τ. A^b. ‖ 3. ᾗ ὂν et 4. τὸ ἓν om *T.* ‖ 5. καὶ τὸ πλῆθος *T.* ‖ δὲ καὶ μιᾶς A^b. ‖ 6. καὶ add A^b. ‖ 7. τὸ ἓν λέγεται A^b. ‖ ἄλλο *S.* ‖ 8. ἀναχθήσεται *T.* ‖ καὶ διὰ τοῦτο om A^b. ‖ καὶ om *S.* ‖ 9. ἢ καὶ τὸ A^b. ‖ 10. τὸ μὲν — τὸ δὲ *E.* ‖ 11. τῷ om *ST.* ‖ 12. ἓν ἢ ὂν *ES.* ‖ 17. καὶ ὅλου καὶ εἴδους *S.* ‖ 21. τοῦ] [illegible] *S.* ‖ 22. ἐστὶ σκέψις] ἐπίσκεψις A^b. ‖ τοῖς οὖσιν ὑπάρχει *S.* ‖ 24. ὄντως *E.* ‖ 25. οὗ *T*, ἓν A^b. ‖ 27. ὅτι om *T.* ‖ 28. τὸ ὂν] [illegible] *S.* ‖ 30. εἰ SA^b, εἰ ἢ *E*: vulgo εἰ ᾗ. ‖ ἢ] εἴτε *T.* ‖ 32. τε om A^b. ‖ 33. ἔτι om *S.* ‖ 34. τις ETA^b: ceteri τι. ‖ ἡ φύσις [illegible] *S.* ‖ 35. τοῦ post καὶ om *T.*

1. εἴη ἂν *S.* ‖ τις σοφία SA^b. ‖ 10. τὰς περὶ πάντων A^b. ‖ 13. τε om *T.* ‖ 15. γὰρ ἂν ἀναγκαῖον *T.* ‖ ξυνιόντα A^b. ‖ 16. ὑπο-[illegible] A^b. ‖ ὃ] οὐ *S.* ‖ 17. ἔχοντι *EST.* ‖ βεβαιοτάτη ἡ τοιαύτη πασῶν ἀρχὴ A^b, ἡ τοιαύτη ἀρχὴ πασῶν βεβαιοτάτη *ST.* ‖ 19. λέγωμεν *ST.* ‖ τε add A^bF^b. ‖ 20. τῷ αὐτῷ καὶ κατὰ om C^b, καὶ om *S.* ‖ 21. προδιωρισάμεθα, omisso ἄν, A^bF^b. ‖ ἔστω] οὕτω τὰ A^b. ‖ 22. δ' ἁπασῶν *EST.* ‖ 26. μὴ ἐνδέχεται μὴ ὑπάρχειν ἅμα *S.* ‖ 27. τῷ αὐτῷ ὑπάρχειν A^b. ‖ προδιωρίσθω ἡμῖν A^b. ‖ 28. ταῦτα *ST* A^b. ‖ 29. ἅμα ἀδύνατον A^b. ‖ 31. διαψευσάμενος *E.* ‖ 32. οἱ add A^bF^b.

σθαί φασι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, καὶ ὑπολαμβάνειν οὕτως. χρῶνται δὲ τῷ λόγῳ τούτῳ πολλοὶ καὶ τῶν περὶ φύσεως. ἡμεῖς δὲ νῦν εἰλήφαμεν ὡς ἀδυνάτυ ὄντος ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ διὰ τύτυ ἐδείξαμεν ὅτι βεβαιοτάτη αὕτη τῶν ἀρχῶν πασῶν. ἀξιοῦσι δὴ καὶ τοῦτο ἀποδεικνύναι τινὲς δι᾽ ἀπαιδευσίαν· ἔςι γὰρ ἀπαιδευσία τὸ μὴ γιγνώσκειν τίνων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων οὐ δεῖ. ὅλως μὲν γὰρ ἁπάντων ἀδύνατον ἀπόδειξιν εἶναι· εἰς ἄπειρον γὰρ ἂν βαδίζοι, ὥςε μηδ᾽ οὕτως εἶναι ἀπόδειξιν. εἰ δέ τινων μὴ δεῖ ζητεῖν ἀπόδειξιν, τίνα ἀξιοῦσιν εἶναι μᾶλλον τοιαύτην ἀρχὴν ὐκ ἂν ἔχοιεν εἰπεῖν. ἔςι δ᾽ ἀποδεῖξαι ἐλεγκτικῶς καὶ περὶ τύτου ὅτι ἀδύνατον, ἂν μόνον τι λέγῃ ὁ ἀμφισβητῶν· ἂν δὲ μηθέν, γελοῖον τὸ ζητεῖν λόγον πρὸς τὸν μηθενὸς ἔχοντα λόγον, ᾗ μὴ ἔχει· ὅμοιος γὰρ φυτῷ ὁ τοιῦτος ᾗ τοιῦτος ἤδη. τὸ δ᾽ ἐλεγκτικῶς ἀποδεῖξαι λέγω διαφέρειν καὶ τὸ ἀποδεῖξαι, ὅτι ὁ ἀποδεικνύων μὲν ἂν δόξειεν αἰτεῖσθαι τὸ ἐν ἀρχῇ, ἄλλυ δὲ τοῦ τοιύτυ αἰτίυ ὄντος ἔλεγχος ἂν εἴη καὶ ὐκ ἀπόδειξις. ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα ὐ τὸ ἀξιῦν ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι (τοῦτο μὲν γὰρ τάχ᾽ ἂν τις ὑπολάβοι τὸ ἐξ ἀρχῆς αἰτεῖν), ἀλλὰ τὸ σημαίνειν γέ τι καὶ αὐτῷ καὶ ἄλλῳ· τῦτο γὰρ ἀνάγκη, εἴπερ λέγοι τι. εἰ γὰρ μή, ὐκ ἂν εἴη τῷ τοιύτῳ λόγος, οὔτ᾽ αὐτῷ πρὸς αὑτὸν οὔτε πρὸς ἄλλον. ἂν δέ τις τῦτο διδῷ, ἔςαι ἀπόδειξις· ἤδη γάρ τι ἔςαι ὡρισμένον. ἀλλ᾽ αἴτιος ὐχ ὁ ἀποδεικνὺς ἀλλ᾽ ὁ ὑπομένων· ἀναιρῶν γὰρ λόγον ὑπομένει λόγον. ἔτι δὲ ὁ τῦτο συγχωρήσας συγκεχώρηκέ τι ἀληθὲς εἶναι χωρὶς ἀποδείξεως, ὥςε οὐκ ἂν πᾶν οὕτως καὶ ὐχ ὕτως ἔχοι. πρῶτον μὲν οὖν δῆλον ὡς τοῦτό γ᾽ αὐτὸ ἀληθές, ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι ἢ μὴ εἶναι τοδί· ὥς᾽ ὐκ ἂν πᾶν ὕτως καὶ ὐχ ὕτως ἔχοι. ἔτι εἰ τὸ ἄνθρωπος σημαίνει ἕν, ἔςω τῦτο τὸ ζῷον δίπυν. λέγω δὲ τὸ ἓν σημαίνειν τοῦτο· εἰ τοῦτ᾽ ἔςιν ἄνθρωπος, ἂν ᾖ τι ἄνθρωπος, τοῦτ᾽ ἔςαι τὸ ἀνθρώπῳ εἶναι. διαφέρει δ᾽ ὐθὲν οὐδ᾽ εἰ πλείω τις φαίη σημαίνειν, μόνον δὲ ὡρισμένα· τεθείη γὰρ ἂν ἐφ᾽ ἑκάστῳ τῷ λόγῳ ἕτερον ὄνομα. λέγω δ᾽ οἷον, εἰ μὴ φαίη τὸ ἄνθρωπος ἓν σημαίνειν, πολλὰ δέ, ὧν ἑνὸς μὲν εἷς λόγος, τὸ ζῷον δίπυν. εἰσὶ δὲ καὶ ἕτεροι πλείυς, ὡρισμένοι δὲ τὸν ἀριθμόν· τεθείη γὰρ ἂν ἴδιον ὄνομα καθ᾽ ἕκαςον τῶν λόγων. εἰ δὲ μὴ τεθείη ἀλλ᾽ ἄπειρα σημαίνειν φαίη, φανερὸν ὅτι ὐκ ἂν εἴη λόγος· τὸ γὰρ μὴ ἕν τι σημαίνειν ὐθὲν σημαίνειν ἐςίν, μὴ σημαινόντων δὲ τῶν ὀνομάτων ἀνῄρηται τὸ διαλέγεσθαι πρὸς ἀλλήλυς, κατὰ δὲ τὴν ἀλήθειαν καὶ πρὸς αὑτόν· ὐθὲν γὰρ ἐνδέχεται νοεῖν μὴ νοοῦντα ἕν. εἰ δ᾽ ἐνδέχεται, τεθείη ἂν ὄνομα τούτῳ τῷ πράγματι ἕν. ἔςω δή, ὥσπερ ἐλέχθη κατ᾽ ἀρχάς, σημαῖνόν τι τὸ ὄνομα καὶ σημαῖνον ἕν. ὐ δὴ ἐνδέχεται τὸ ἀνθρώπῳ εἶναι σημαίνειν ὅπερ μὴ εἶναι ἀνθρώπῳ, εἰ τὸ ἄνθρωπος σημαίνει μὴ μόνον καθ᾽ ἑνὸς ἀλλὰ καὶ ἕν. οὐ γὰρ τῦτο ἀξιοῦμεν τὸ ἓν σημαίνειν, τὸ καθ᾽ ἑνός, ἐπεὶ ὕτω γε κἂν τὸ μυσικὸν καὶ τὸ λευκὸν καὶ τὸ ἄνθρωπος ἓν ἐσήμαινεν, ὥστε ἓν ἅπαντα ἔσται· συνώνυμα γάρ. καὶ ὐκ ἔςαι εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ ἀλλ᾽ ἢ καθ᾽ ὁμωνυμίαν, ὥσπερ ἂν εἰ ὃν ἡμεῖς ἄνθρωπον καλοῦμεν, ἄλλοι μὴ ἄνθρωπον καλοῖεν. τὸ δ᾽ ἀπορούμενον ὐ τῦτό ἐςιν, εἰ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα. εἰ δὲ μὴ σημαίνει ἕτερον τὸ ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, δῆλον ὅτι καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ τῦ εἶναι ἀνθρώπῳ· ὥς᾽ ἔςαι τὸ ἀνθρώπῳ εἶναι μὴ ἀνθρώπῳ εἶναι· ἓν γὰρ ἔςαι. τοῦτο γὰρ σημαίνει τὸ εἶναι ἕν, ὡς λώπιον καὶ ἱμάτιον, εἰ ὁ λόγος εἷς. εἰ δ᾽ ἔςαι ἕν, ἓν σημαίνει τὸ ἀνθρώπῳ εἶναι καὶ μὴ ἀνθρώπῳ. ἀλλ᾽ ἐδέδεικτο ὅτι ἕτερον σημαίνει. ἀνάγκη τοίνυν, εἴ τι ἔςιν ἀληθὲς εἰπεῖν, ὅτι ἄνθρωπος ζῷον εἶναι δίπυν· τῦτο γὰρ ἦν ὃ ἐσήμαινε τὸ ἄνθρωπος. εἰ δ᾽ ἀνάγκη τῦτο, ὐκ ἐνδέχεται μὴ εἶναι τὸ αὐτὸ ζῷον δίπυν· τῦτο γὰρ σημαίνει τὸ ἀνάγκη εἶναι, τὸ ἀδύνατον εἶναι μὴ εἶναι ἄνθρωπον. οὐκ ἄρα ἐνδέχεται ἅμα ἀληθὲς εἶναι εἰπεῖν τὸ αὐτὸ ἄνθρωπον εἶναι καὶ μὴ εἶναι ἄνθρωπον. ὁ δ᾽ αὐτὸς

1. καὶ μὴ ὑπ. T. ‖ 3. ὡς add ESA^bF^b. ‖ 4. τῦτο S. ‖ 5. ἁπασῶν A^b. ‖ δὲ T. ‖ 8. πάντων A^b. ‖ ἀπόδειξιν ἀδύνατον S. ‖ 10. ἀπόδειξιν om T. ‖ μᾶλλον εἶναι T. ‖ 12. ἀδύνατον om S. ‖ 13. ζητεῖν τὸν λ. C^b. ‖ 14. μὴ ἔχει A^bF^b: ceteri μηθένα ἔχει (ἔχειν B^b) λόγον. ‖ 15. ἤδη A^b, ἤδη ἐςίν T: ceteri om. ‖ 16. ὁ om A^b. ‖ 17. αἰτῆσθαι SA^b. ‖ τοῦ om T. ‖ 18. αἰτίυ om A^b. ‖ εἴη om SB^bC^b. ‖ 19. ὐχὶ A^b. ‖ ἀξίωμα ὂν ἢ SB^bC^b. ‖ 20. τάχ᾽ om T. ‖ 21. τι om A^b. ‖ ἑαυτῷ A^b. ‖ 22. εἰ] οὐ SB^bC^b. ‖ 23. οὔτ᾽ αὐτῷ A^b: ceteri οὐθ᾽ αὐτῷ. ‖ 24. ἐὰν A^b. ‖ 26. ἔτι — 28. ἔχοι add A^b. ‖ 30. ἅπαν A^b. ‖ 31. τῦτο om T. ‖ 32. εἰ] τὸ εἰ A^b. ‖ 33. ἄνθρωπος om A^b. ‖ ᾖ] εἰ A^b. ‖ ἔςαι A^bF^b: ceteri ἐςι. ‖ 34. εἰ ἐπὶ πλείω A^b

1. τῷ add A^b. ‖ 2. τὸν ἄνθρωπον EST. ‖ 3. ὧν εἷς μὲν εἴη λόγος A^b. ‖ δίπυν om E. ‖ 4. εἶεν A^b. ‖ 5. τὸν λόγον TA^b. ‖ 7. τι om $ESTA^b$. ‖ 10. μὴ A^b: ceteri μηθὲν. ‖ 11. ἔςαι F^b. ‖ δὴ] ἄρα δὴ T, δὲ F^b. ‖ 12. ἐλέχθη καὶ κατ᾽ E. ‖ σημαῖνον τι A^b. ‖ 13. ἄνθρωπος S. ‖ σημαίνειν — 14. εἶναι] σημαίνειν ἀνθρώπῳ μὴ εἶναι A^b. ‖ 14. μὴ om S. ‖ 16. τὸ post καὶ add A^b. ‖ 17. τὸ om EST. ‖ 19. ἂν om T. ‖ 21. ἅμα τὸ αὐτὸ EST. ‖ εἶναι καὶ] καὶ εἶναι καὶ S. ‖ 25. μὴ ἀνθρώπῳ εἶναι] τὸ μὴ εἶναι ἀνθρώπῳ S. ‖ 26. τὸ εἶναι ἕν] ἓν τὸ A^b. ‖ 31. τῦτο EA^b: ceteri τότε. ‖ τὸ A^b: ceteri τότε. ‖ 34. αὐτὸς δὲ A^b.

λόγος καὶ ἐπὶ τοῦ μὴ εἶναι ἄνθρωπον· τὸ γὰρ ἀνθρώπῳ εἶναι καὶ τὸ μὴ ἀνθρώπῳ εἶναι ἕτερον σημαίνει, εἴπερ καὶ τὸ λευκὸν εἶναι καὶ τὸ ἄνθρωπον εἶναι ἕτερον· πολὺ γὰρ ἀντίκειται ἐκεῖνο μᾶλλον, ὥστε σημαίνειν ἕτερον. εἰ δὲ καὶ τὸ λευκὸν φήσει τὸ αὐτὸ καὶ ἓν σημαίνειν, πάλιν τὸ αὐτὸ ἐροῦμεν ὅπερ καὶ πρότερον ἐλέχθη, ὅτι ἓν πάντα ἐστὶ καὶ οὐ μόνον τὰ ἀντικείμενα. εἰ δὲ μὴ ἐνδέχεται τοῦτο, συμβαίνει τὸ λεχθέν, ἂν ἀποκρίνηται τὸ ἐρωτώμενον. ἐὰν δὲ προστιθῇ ἐρωτῶντος ἁπλῶς καὶ τὰς ἀποφάσεις, οὐκ ἀποκρίνεται τὸ ἐρωτώμενον. οὐθὲν γὰρ κωλύει εἶναι τὸ αὐτὸ καὶ ἄνθρωπον καὶ λευκὸν καὶ ἄλλα μυρία τὸ πλῆθος· ἀλλ' ὅμως ἐρομένου εἰ ἀληθὲς εἰπεῖν ἄνθρωπον τοῦτο εἶναι ἢ οὔ, ἀποκριτέον τὸ ἓν σημαῖνον, καὶ οὐ προσθετέον ὅτι καὶ λευκὸν καὶ μέγα. καὶ γὰρ ἀδύνατον ἄπειρά γ' ὄντα τὰ συμβεβηκότα διελθεῖν· ἢ οὖν ἅπαντα διελθέτω ἢ μηθέν. ὁμοίως τοίνυν εἰ καὶ μυριάκις ἐστὶ τὸ αὐτὸ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, οὐ προσαποκριτέον τῷ ἐρομένῳ εἰ ἔστιν ἄνθρωπος, ὅτι ἔστιν ἅμα καὶ οὐκ ἄνθρωπος, εἰ μὴ καὶ τἆλλα ὅσα συμβέβηκε προσαποκριτέον, ὅσα ἐστὶν ἢ μὴ ἐστίν· ἐὰν δὲ τοῦτο ποιῇ, οὐ διαλέγεται. ὅλως δ' ἀναιροῦσιν οἱ τοῦτο λέγοντες οὐσίαν καὶ τὸ τί ἦν εἶναι. πάντα γὰρ ἀνάγκη συμβεβηκέναι φάσκειν αὐτοῖς, καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζῴῳ εἶναι, μὴ εἶναι. εἰ γὰρ ἔσται τι ὅπερ ἀνθρώπῳ εἶναι, τοῦτο οὐκ ἔσται μὴ ἀνθρώπῳ εἶναι ἢ μὴ εἶναι ἀνθρώπῳ, καίτοι αὗται ἀποφάσεις τούτου· ἓν γὰρ ἦν ὃ ἐσήμηνε, καὶ ἦν τοῦτο τινὸς οὐσία. τὸ δ' οὐσίαν σημαίνειν ἐστὶν ὅτι οὐκ ἄλλο τι τὸ εἶναι αὐτῷ. εἰ δ' ἔσται αὐτῷ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ εἶναι ἀνθρώπῳ, ἄλλο τι ἔσται. ὥστ' ἀναγκαῖον αὐτοῖς λέγειν ὅτι οὐθενὸς ἔσται τοιοῦτος λόγος, ἀλλὰ πάντα κατὰ συμβεβηκός· τούτῳ γὰρ διώρισται οὐσία καὶ τὸ συμβεβηκός· τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ συμβέβηκεν, ὅτι ἔστι μὲν λευκὸς ἀλλ' οὐχ ὅπερ λευκόν. εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται, οὐθὲν ἔσται πρῶτον τὸ καθόλου, εἰ ἀεὶ τὸ συμβεβηκὸς καθ' ὑποκειμένου τινὸς σημαίνει τὴν κατηγορίαν. ἀνάγκη ἄρα εἰς ἄπειρον ἰέναι. ἀλλ' ἀδύνατον· οὐδὲ γὰρ πλείω συμπλέκεται δυοῖν· τὸ γὰρ συμβεβηκὸς οὐ συμβεβηκότι συμβεβηκός, εἰ μὴ ὅτι ἄμφω συμβέβηκε ταὐτῷ. λέγω δ' οἷον τὸ λευκὸν μουσικόν, καὶ τοῦτο λευκόν, ὅτι ἄμφω τῷ ἀνθρώπῳ συμβέβηκεν. ἀλλ' οὐχ ὁ Σωκράτης μουσικὸς οὕτως, ὅτι ἄμφω συμβέβηκεν ἑτέρῳ τινί. ἐπεὶ τοίνυν τὰ μὲν οὕτως τὰ δ' ἐκείνως λέγεται συμβεβηκότα, ὅσα οὕτως λέγεται ὡς τὸ λευκὸν τῷ Σωκράτει, οὐκ ἐνδέχεται ἄπειρα εἶναι ἐπὶ τὸ ἄνω, οἷον τῷ Σωκράτει τῷ λευκῷ ἕτερόν τι συμβεβηκός· οὐ γὰρ γίγνεταί τι ἓν ἐξ ἁπάντων. οὐδὲ δὴ τῷ λευκῷ ἕτερόν τι ἔσται συμβεβηκός, οἷον τὸ μουσικόν· οὐθέν τε γὰρ μᾶλλον τοῦτο ἐκείνῳ ἢ ἐκεῖνο τούτῳ συμβέβηκεν, καὶ ἅμα διώρισται ὅτι τὰ μὲν οὕτω συμβέβηκε, τὰ δ' ὡς τὸ μουσικὸν Σωκράτει· ὅσα δ' οὕτως, οὐ συμβεβηκότι συμβέβηκε τὸ συμβεβηκός, ἀλλ' ὅσα ἐκείνως, ὥστ' οὐ πάντα κατὰ συμβεβηκὸς λεχθήσεται. ἔσται ἄρα τι καὶ ὡς οὐσίαν σημαῖνον. εἰ δὲ τοῦτο, δέδεικται ὅτι ἀδύνατον ἅμα κατηγορεῖσθαι τὰς ἀντιφάσεις. ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. ἔσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος, εἰ κατὰ παντός τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. εἰ γάρ τῳ δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὅτι οὐκ ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ ἡ ἀντίφασις ἀληθής. καὶ γίγνεται δὴ τὸ τοῦ Ἀναξαγόρου, ὁμοῦ πάντα χρήματα· ὥστε μηθὲν ἀληθῶς ὑπάρχειν. τὸ ἀόριστον οὖν ἐοίκασι λέγειν, καὶ οἰόμενοι τὸ ὂν λέγειν περὶ τοῦ μὴ ὄντος λέγουσιν· τὸ γὰρ δυνάμει ὂν καὶ μὴ ἐντελεχείᾳ τὸ ἀόριστόν ἐστιν. ἀλλὰ μὴν λεκτέον γ' αὐτοῖς κατὰ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν· ἄτοπον γὰρ εἰ ἑκάστῳ ἡ μὲν αὐτοῦ ἀπόφασις ὑπάρξει, ἡ δ' ἑτέρου ὃ μὴ ὑπάρχει αὐτῷ οὐχ ὑπάρξει. λέγω δ' οἷον εἰ ἀληθὲς εἰπεῖν τὸν ἄνθρωπον ὅτι οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὐ τριήρης. εἰ μὲν οὖν ἡ κατάφασις, ἀνάγκη καὶ τὴν ἀπόφασιν· εἰ δὲ μὴ ὑπάρχει ἡ κατάφασις, ἥ γε ἀπόφασις ὑπάρξει

2. εἶναι ἀνθρώπῳ T. ‖ 4. σημαίνει A^b. ‖ 5. φησι A^b. ‖ 6. ἓν τὰ πάντα S. ‖ 9. ἐρωτῶντός τινος ἁπλῶς ST. ‖ 10. τὸ αὐτὸ εἶναι A^b. ‖ 12. ἐρωμένου E. ‖ 14. γ' om S. ‖ 15. οὖν τὰ ἄπειρα πάντα διελθετέον A^b. ‖ 17. ἐρωμένῳ E. ‖ 18. ἅμα] ἀλλὰ A^b. ‖ μὴ καὶ] καὶ μὴ S. ‖ 21. εἶναι μὴ εἶναι πάντα A^b. ‖ 22. ἢ] τὸ μὴ ἢ C^b. ἢ — 23. ἀνθρώπῳ εἶναι om E. ‖ 23. μὴ εἶναι τι ἓν εἶναι τινός. εἰ A^b. ‖ 25. ἐσήμαινε TA^b. ‖ 26. οὐσία τῆδ' οὐσία S. ‖ σημαίνειν δ' αὐτοῖς ἐστὶν A^b. ‖ 27. αὐτῷ τὸ] τί A^b. ‖ 28. ἢ add A^b. ‖ ἀνθρώπῳ μὴ A^b. ‖ 29. τι add A^b. ‖ 31. τοῦτο ST. τούτῳ — συμβεβηκός om E. ‖ 33. ἔσται S. ‖ 34. εἰ δ' ἀεὶ EST.

1. ὁ ST. ‖ 2. πλείω] δύο A^b. ‖ 4. μουσικὸν] καὶ μ. T. ‖ 6. οὗτος S. ‖ 7. ἐκείνως] ἄλλως T. ‖ 9. ἄνω] ἀνθρώπῳ T. ‖ λευκῷ καὶ ἕτ. T. ‖ 11. ἔσται ἕτερόν τι S. ‖ 12. γὰρ om T. ‖ 13. τούτῳ A^b. ‖ 15. τὸ om ES. ‖ ἐκείνῳ S. ‖ 19. κατὰ] καὶ S. ‖ 21. πάντα S. ‖ τι om A^b. ‖ 23. λόγον λέγουσιν A^b. ‖ δοκεῖν SA^b. ‖ 24. ὅτι] ὡς A^b. ‖ ἔστι] ἔσται T. ‖ 25. ἡ] ἓν ἡ A^b. ‖ 26. ἐνυπάρχειν E, ἓν ὑπάρχειν ST. ‖ 27. ἐοίκασι τῆς ὕλης λέγειν T. ‖ λέγειν τὸ ὂν A^b. ‖ 29. τοῦ T. ‖ αὐτὸς S. ‖ 33. οὐ] ἢ τριήρης ἢ οὐ A^b. ‖ 35. ἢ] εἰ ἢ E.

μᾶλλον ἐγγύτερον, εἴη γε ἄν τι ἀληθὲς οὗ ἐγγύτερον τὸ μᾶλλον ἀληθές. κἂν εἰ μή ἐστιν, ἀλλ' ἤδη γέ τι ἐστὶ βεβαιότερον καὶ ἀληθινώτερον, καὶ τοῦ λόγου ἀπηλλαγμένοι ἂν εἴημεν τοῦ ἀκράτου καὶ κωλύοντός τι τῇ διανοίᾳ ὁρίσαι.

5 Ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος, καὶ ἀνάγκη ὁμοίως ἄμφω αὐτοὺς ἢ εἶναι ἢ μὴ εἶναι. εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. καὶ εἰ τοῦτ' ἐστίν, ἀνάγκη τὰ δοκοῦντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, ἀληθεύσουσι πάντες. ὅτι μὲν οὖν ἀπὸ τῆς αὐτῆς εἰσὶ διανοίας ἀμφότεροι οἱ λόγοι, δῆλον. ἔστι δ' οὐχ ὁ αὐτὸς τρόπος πρὸς πάντας τῆς ἐντεύξεως· οἱ μὲν γὰρ πειθοῦς δέονται, οἱ δὲ βίας. ὅσοι μὲν γὰρ ἐκ τοῦ ἀπορῆσαι ὑπέλαβον οὕτως, τούτων εὐΐατος ἡ ἄγνοια· οὐ γὰρ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν ἡ ἀπάντησις αὐτῶν· ὅσοι δὲ λόγου χάριν λέγουσι, τούτων δ' ἔλεγχος ἴασις τοῦ τ' ἐν τῇ φωνῇ λόγου καὶ τοῦ ἐν τοῖς ὀνόμασιν. ἐλήλυθε δὲ τοῖς διαποροῦσιν αὕτη ἡ δόξα ἐκ τῶν αἰσθητῶν, ἡ μὲν τοῦ ἅμα τὰς ἀντιφάσεις καὶ τἀναντία ὑπάρχειν ὁρῶσιν ἐκ ταὐτοῦ γιγνόμενα τἀναντία. εἰ οὖν μὴ ἐνδέχεται γενέσθαι τὸ μὴ ὄν, προϋπῆρχεν ὁμοίως τὸ πρᾶγμα ἄμφω ὄν, ὥσπερ καὶ Ἀναξαγόρας μεμῖχθαι πᾶν ἐν παντί φησι καὶ Δημόκριτος· καὶ γὰρ οὗτος τὸ κενὸν καὶ τὸ πλῆρες ὁμοίως καθ' ὁτιοῦν ὑπάρχειν μέρος, καίτοι τὸ μὲν ὂν τούτων εἶναι, τὸ δὲ μὴ ὄν. πρὸς μὲν οὖν τοὺς ἐκ τούτων ὑπολαμβάνοντας ἐροῦμεν ὅτι τρόπον μέν τινα ὀρθῶς λέγουσι, τρόπον δέ τινα ἀγνοοῦσιν. τὸ γὰρ ὂν λέγεται διχῶς, ὥστ' ἔστιν ὃν τρόπον ἐνδέχεται γίγνεσθαί τι ἐκ τοῦ μὴ ὄντος, ἔστι δ' ὃν οὔ, καὶ ἅμα τὸ αὐτὸ εἶναι καὶ ὂν καὶ μὴ ὄν, ἀλλ' οὐ κατὰ ταὐτὸ ὄν· δυνάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία, ἐντελεχείᾳ δ' οὔ. ἔτι δ' ἀξιώσομεν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλλην τινὰ οὐσίαν εἶναι τῶν ὄντων, ᾗ οὔτε κίνησις ὑπάρχει οὔτε φθορὰ οὔτε γένεσις τὸ παράπαν. ὁμοίως δὲ καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλήλυθεν. τὸ μὲν γὰρ ἀληθὲς οὐ πλήθει κρίνεσθαι οἴονται προσήκειν οὐδὲ ὀλιγότητι, τὸ δ' αὐτὸ τοῖς μὲν γλυκὺ γευομένοις δοκεῖν εἶναι, τοῖς δὲ πικρόν· ὥστ' εἰ πάντες ἔκαμνον ἢ πάντες παρεφρόνουν, δύο δ' ἢ τρεῖς ὑγίαινον ἢ νοῦν εἶχον, δοκεῖν ἂν τούτους κάμνειν καὶ παραφρονεῖν, τοὺς δ' ἄλλους οὔ. ἔτι δὲ πολλοῖς τῶν ἄλλων ζῴων τἀναντία περὶ τῶν αὐτῶν φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὑτὸν οὐ ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν. ποῖα οὖν τούτων ἀληθῆ ἢ ψευδῆ, ἄδηλον· οὐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ, ἀλλ' ὁμοίως. διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι ἀληθὲς ἢ ἡμῖν γ' ἄδηλον. ὅλως δὲ διὰ τὸ ὑπολαμβάνειν φρόνησιν μὲν τὴν αἴσθησιν, ταύτην δ' εἶναι ἀλλοίωσιν, τὸ φαινόμενον κατὰ τὴν αἴσθησιν ἐξ ἀνάγκης ἀληθὲς εἶναί φασιν· ἐκ τούτων γὰρ καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος καὶ τῶν ἄλλων ὡς ἔπος εἰπεῖν ἕκαστος τοιαύταις δόξαις γεγένηνται ἔνοχοι. καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· "πρὸς παρεὸν γὰρ μῆτις ἐναύξεται ἀνθρώποισιν." καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι "ὅσσον ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο." καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον· "ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πολυκάμπτων, τὼς νόος ἀνθρώποισι παρίσταται. τὸ γὰρ αὐτὸ ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα." Ἀναξαγόρου δὲ καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν ὑπολάβωσιν. φασὶ δὲ καὶ τὸν Ὅμηρον ταύτην ἔχοντα φαίνεσθαι τὴν δόξαν, ὅτι ἐποίησε τὸν Ἕκτορα, ὡς ἐξέστη ὑπὸ τῆς πληγῆς, κεῖσθαι ἀλλοφρονέοντα, ὡς φρονοῦντας μὲν καὶ τοὺς παραφρονοῦντας ἀλλ' οὐ ταὐτά. δῆλον οὖν ὅτι, εἰ ἀμφότεραι φρονήσεις, καὶ τὰ ὄντα ἅμα οὕτω τε καὶ οὐχ οὕτως ἔχει. ᾗ καὶ χαλεπώτατον τὸ συμβαῖνόν ἐστίν· εἰ γὰρ οἱ μάλιστα τὸ ἐνδεχόμενον ἀληθὲς ἑωρακότες (οὗτοι δ' εἰσὶν οἱ μάλιστα ζητοῦντες αὐτὸ καὶ φιλοῦντες) οὗτοι τοιαύτας ἔχουσι τὰς δόξας καὶ ταῦτα ἀποφαίνονται περὶ τῆς ἀληθείας, πῶς οὐκ ἄξιον ἀθυμῆσαι τοὺς φιλοσοφεῖν ἐγχειροῦντας; τὸ γὰρ τὰ πετόμενα διώκειν τὸ ζητεῖν ἂν

1. τι om A^b. ‖ 7. αὐτοὺς ἄμφω A^b. ‖ 9. εἶναι post ἀνάγκη A^b. ‖ 13. πάντα εἶναι *T*. ‖ 15. ἀληθεύουσι *EST*. ‖ εἰσὶν ἀπὸ τῆς αὐτῆς δ. οἱ τοιοῦτοι λόγοι A^b. ‖ 17. ἅπαντας *EST*. ‖ 21. τ' om A^b. ‖ 24. ὑπάρξειν *ET*. ‖ 25. γίνεσθαι A^b. ‖ 26. post ἄμφω ὂν A^b τουτέστιν ὂν καὶ μὴ ὄν. ‖ 30. οὖν add EA^b. ‖ 31. ἀληθῶς *T*. ‖ 33. ὃν] ὅπως A^b. ‖ 34. καὶ ante ὂν add A^b. ‖ κατὰ om A^b. ‖ αὐτὸ *T*. ‖ 37. τινὰ add A^b.

4. δοκεῖ *EST*. ‖ 7. δὲ καὶ π. A^b. ‖ ἄλλων om A^b. ‖ ζῴων ὑγιαίνουσι τἀν. A^bF^b. ‖ περὶ τῶν αὐτῶν add A^b. ‖ 9. ψευδῆ ἢ ἀληθῆ *T*. ‖ 12. ὁμοίως A^b. ‖ 19. αὔξεται SB^bC^b. ‖ 20. μετέφην STA^b. ‖ τόσσον *E*. ‖ 22. ἑκάστω A^b, ἑκάστοτ' SB^bC^b. ‖ ἔχῃ SB^b. ‖ 23. ὡς *E*. ‖ 24. φύσις ἀνθρώποισιν om A^b. ‖ 26. καὶ om *T*. ‖ 27. τινὸς ETA^b. ‖ 28. τοιαύτην *ST*. ‖ 31. εἰ om A^b. ‖ 33. ἔχῃ *E*. ‖ ᾗ] ἢ TA^b. ‖ 37. ἀθυμεῖν *E*. ‖ 38. πετώμενα *E*.

φύσει πρότερόν ἐστι· κἂν εἰ λέγεται πρὸς ἄλληλα ταῦτα, οὐθὲν ἧττον.

6 Εἰσὶ δέ τινες οἳ ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων καὶ τῶν τοὺς λόγους τούτους μόνον λεγόντων· ζητοῦσι γὰρ τίς ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ ὅλως τὸν περὶ ἕκαστα κρινοῦντα ὀρθῶς. τὰ δὲ τοιαῦτα ἀπορήματα ὅμοιά ἐστι τῷ ἀπορεῖν πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν. δύνανται δ' αἱ ἀπορίαι αἱ τοιαῦται πᾶσαι τὸ αὐτό· πάντων γὰρ λόγον ἀξιοῦσιν οὗτοι εἶναι· ἀρχὴν γὰρ ζητοῦσι, καὶ ταύτην δι' ἀποδείξεως λαμβάνειν, ἐπεὶ ὅτι γε οὐ πεπεισμένοι εἰσί, φανεροί εἰσιν ἐν ταῖς πράξεσιν. ἀλλ' ὅπερ εἴπομεν, τοῦτο αὐτῶν τὸ πάθος ἐστίν· λόγον γὰρ ζητοῦσιν ὧν οὐκ ἔστι λόγος· ἀποδείξεως γὰρ ἀρχὴ οὐκ ἀπόδειξίς ἐστιν. οὗτοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν· ἔστι γὰρ οὐ χαλεπὸν λαβεῖν. οἱ δ' ἐν τῷ λόγῳ τὴν βίαν μόνον ζητοῦντες ἀδύνατον ζητοῦσιν· ἐναντία γὰρ εἰπεῖν ἀξιοῦσιν, εὐθὺς ἐναντία λέγοντες. εἰ δὲ μή ἐστι πάντα πρός τι, ἀλλ' ἔνιά ἐστι καὶ αὐτὰ καθ' αὑτά, οὐκ ἂν εἴη πᾶν τὸ φαινόμενον ἀληθές· τὸ γὰρ φαινόμενον τινί ἐστι φαινόμενον· ὥστε ὁ λέγων ἅπαντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἅπαντα ποιεῖ τὰ ὄντα πρός τι. διὸ καὶ φυλακτέον τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζητοῦσιν, ἅμα δὲ καὶ ὑπέχειν λόγον ἀξιοῦσιν, ὅτι οὐ τὸ φαινόμενόν ἐστιν, ἀλλὰ τὸ φαινόμενον ᾧ φαίνεται καὶ ὅτε φαίνεται καὶ ᾗ καὶ ὥς. ἂν δ' ὑπέχωσι μὲν λόγον, μὴ οὕτω δ' ὑπέχωσι, συμβήσεται αὐτοῖς τἀναντία ταχὺ λέγειν. ἐνδέχεται γὰρ τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι, τῇ δὲ γεύσει μή, καὶ τῶν ὀφθαλμῶν δυοῖν ὄντοιν μὴ ταὐτὰ ἑκατέρᾳ τῇ ὄψει, ἂν ὦσιν ἀνόμοιαι, ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάνθ' ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ· οὔτε γὰρ ἅπασι ταὐτὰ φαίνεσθαι οὔτε αὐτῷ ἀεὶ ταὐτά, ἀλλὰ πολλάκις τἀναντία κατὰ τὸν αὐτὸν χρόνον. ἡ μὲν γὰρ ἁφὴ δύο λέγει ἐν τῇ ἐπαλλάξει τῶν δακτύλων, ἡ δ' ὄψις ἕν. ἀλλ' οὔτε τῇ αὐτῇ γε καὶ κατὰ τὸ αὐτὸ αἰσθήσει καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ, ὥστε τοῦτ' ἂν εἴη ἀληθές. ἀλλ' ἴσως διὰ τοῦτ' ἀνάγκη λέγειν τοῖς μὴ δι' ἀπορίαν ἀλλὰ λόγου χάριν λέγουσιν, ὅτι οὐκ ἔστιν ἀληθὲς τοῦτο, ἀλλὰ τούτῳ ἀληθές. καὶ ὥσπερ δὴ πρότερον εἴρηται, ἀνάγκη καὶ πρός τι ποιεῖν ἅπαντα καὶ πρὸς δόξαν καὶ αἴσθησιν, ὥστ' οὔτε γέγονεν οὔτ' ἔσται οὐθὲν μηθενὸς προδοξάσαντος. εἰ δὲ γέγονεν ἢ ἔσται, δῆλον ὅτι οὐκ ἂν εἴη ἅπαντα πρὸς δόξαν. ἔτι εἰ ἕν, πρὸς ἓν ἢ πρὸς ὡρισμένον· καὶ εἰ ταὐτὸ καὶ ἥμισυ καὶ ἴσον, ἀλλ' οὐ πρὸς τὸ διπλάσιόν γε τὸ ἴσον. πρὸς δὴ τὸ δοξάζον εἰ ταὐτὸ ἄνθρωπος καὶ τὸ δοξαζόμενον, οὐκ ἔσται ἄνθρωπος τὸ δοξάζον, ἀλλὰ τὸ δοξαζόμενον. εἰ δ' ἕκαστον ἔσται πρὸς τὸ δοξάζον, ἄπειρα ἔσται τῷ εἴδει τὸ δοξάζον. ὅτι μὲν οὖν βεβαιοτάτη δόξα πασῶν τὸ μὴ εἶναι ἀληθεῖς ἅμα τὰς ἀντικειμένας φάσεις, καὶ τί συμβαίνει τοῖς οὕτω λέγουσι, καὶ διὰ τί οὕτω λέγουσι, τοσαῦτα εἰρήσθω. ἐπεὶ δ' ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι ἅμα κατὰ τοῦ αὐτοῦ, φανερὸν ὅτι οὐδὲ τἀναντία ἅμα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ. τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ ἧττον, οὐσίας δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους. εἰ οὖν ἀδύνατον ἅμα καταφάναι καὶ ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τἀναντία ὑπάρχειν ἅμα, ἀλλ' ἢ πῇ ἄμφω, ἢ θάτερον μὲν πῇ θάτερον δὲ ἁπλῶς.

Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται εἶναι 7
οὐθέν, ἀλλ' ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι ἓν καθ' ἑνὸς ὁτιοῦν. δῆλον δὲ πρῶτον μὲν ὁρισαμένοις τί τὸ ἀληθὲς καὶ ψεῦδος. τὸ μὲν γὰρ λέγειν τὸ ὂν μὴ εἶναι ἢ τὸ μὴ ὂν εἶναι ψεῦδος, τὸ δὲ τὸ ὂν εἶναι καὶ τὸ μὴ ὂν μὴ εἶναι ἀληθές, ὥστε καὶ ὁ λέγων εἶναι ἢ μὴ ἀληθεύσει ἢ ψεύσεται. ἀλλ' οὔτε τὸ ὂν λέγεται μὴ εἶναι ἢ εἶναι οὔτε τὸ μὴ ὄν. ἔτι ἤτοι τὸ μεταξὺ ἔσται τῆς ἀντιφάσεως, ὥσπερ τὸ φαιὸν μέλανος καὶ λευκοῦ, ἢ ὡς τὸ μηδέτερον ἀνθρώπου καὶ ἵππου. εἰ μὲν οὖν οὕτως, οὐκ ἂν μεταβάλλοι (ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τούτου εἰς μὴ ἀγαθόν)· νῦν δ' ἀεὶ φαίνεται. οὐ γάρ ἐστι μεταβολὴ ἀλλ' ἢ εἰς τὰ ἀντικείμενα καὶ μεταξύ. εἰ δ' ἔστι μεταξύ, καὶ οὕτως εἴη ἂν

1. λέγηται *S.* ‖ ἄλλα A^b. ‖ ταυτὰ A^b, ταῦτα αὐτὰ *ET.* ‖ 5. κρίνοντα A^b. ‖ 8. αἱ τοιαῦται] αὗται A^b. ‖ 9. λόγων *S.* ‖ εἶναι εἶπεν *ES.* ‖ 10. ἔτι γε A^b: ceteri γε ὅτι. ‖ πεπεισμένοι οὐκ A^b. ‖ 15. μόνην A^b. ‖ 16. ἐναντία γὰρ] ἐναντίον γὰρ *S.* ‖ 17. ἐστι καὶ] εἰσὶ καὶ *T.* ‖ 18. ἑαυτά *ST.* ‖ ἅπαν *E.* ‖ 20. ἀληθῆ εἶναι *T.* ‖ 24. ἐὰν et 25. ἑαυτοῖς A^b. ‖ 26. τὸ αὐτὸ *S.* ‖ 27. τῇ — 31. φαίνεσθαι om pr *S.* ‖ 27. δυεῖν *T.* ‖ 28. ταῦθ' *E.* ‖ ἐὰν *ET.* ‖ ἀνόμοια *T.* ‖ 30. ἀληθεῖς, omisso εἶναι, *S.* ‖ 32. ἑαυτῷ A^b, ταυτῷ *T.* ‖ 33. λόγον *T.* ‖ ἡ μὲν — 34. οὔτε om pr *S.* ‖ 33. ἀπαλλάξει A^b. ‖ 34. ὅ τί A^b.

2. λέγειν om *T.* ‖ 4. καὶ ante πρός om A^b. ‖ 8. ἢ] ᾗ A^b. ‖ 9. δοξάζειν *ST.* ‖ 10. ἔστιν *EST.* ‖ 11. δὲ καθ' ἕκαστον A^b. ‖ 12. ἄπειρα] πρὸς ἄπειρα A^b. ‖ 15. διὰ τί] ἂν A^b. ‖ 16. ἅμα ἀληθεύεσθαι A^b. ‖ 19. ἧττον· οὐσίας στέρησις. ἡ δὲ στέρησις ἀπ. A^b. ‖ 22. μὲν om A^b. ‖ 24. ἓν om A^b. ‖ 26. τὸ μὴ ὂν] τοῦτο *EST.* ‖ 27. τὸ post δὲ om *E.* ‖ καὶ τὸ] τὸ δὲ *ET.* ‖ 28. καὶ ὁ] ἐκεῖνο A^b. ‖ μὴ] μὴ εἶναι *S.* ‖ 29. λέγει *E.* ‖ 30. ἤτοι] εἴ τι *S.* ‖ τὸ post ἤτοι add A^b. ‖ ἐστι A^b. ‖ 34. ἀεὶ om A^b. ‖ 35. εἴη ἄν τις] ἢ ἡ ἀντίφασις A^b et omisso ἢ F^b.

μᾶλλον ἡ αὐτοῦ. εἰ οὖν κἀκείνη ὑπάρχει, ὑπάρξει καὶ ἡ τῆς τριήρους· εἰ δ' αὕτη, καὶ ἡ κατάφασις. ταῦτά τε οὖν συμβαίνει τοῖς λέγουσι τὸν λόγον τοῦτον, καὶ ὅτι οὐκ ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι. εἰ γὰρ ἀληθές ἐστιν ὅτι ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὔτ' ἄνθρωπος οὔτ' οὐκ ἄνθρωπος ἔσται· τοῖν γὰρ δυοῖν δύο ἀποφάσεις. εἰ δὲ μία ἐξ ἀμφοῖν ἐκείνη, καὶ αὕτη μία ἂν εἴη ἀντικειμένη. ἔτι ἤτοι περὶ ἅπαντα οὕτως ἔχει, καὶ ἔστι καὶ λευκὸν καὶ οὐ λευκὸν καὶ ὂν καὶ οὐκ ὄν, καὶ περὶ τὰς ἄλλας φάσεις καὶ ἀποφάσεις ὁμοιοτρόπως, ἢ οὐ ἀλλὰ περὶ μέν τινας, περί τινας δ' οὔ. καὶ εἰ μὲν μὴ περὶ πάσας, αὗται ἂν εἶεν ὁμολογούμεναι· εἰ δὲ περὶ πάσας, πάλιν ἤτοι καθ' ὅσων τὸ φῆσαι καὶ ἀποφῆσαι καὶ καθ' ὅσων ἀποφῆσαι καὶ φῆσαι, ἢ κατὰ μὲν ὧν φῆσαι καὶ ἀποφῆσαι, καθ' ὅσων δὲ ἀποφῆσαι οὐ πάντων φῆσαι. καὶ εἰ μὲν οὕτως, εἴη ἄν τι παγίως οὐκ ὄν, καὶ αὕτη βεβαία δόξα· καὶ εἰ τὸ μὴ εἶναι, βέβαιόν τι καὶ γνώριμον· γνωριμωτέρα γὰρ ἂν εἴη ἡ φάσις ἡ ἀντικειμένη. εἰ δὲ ὁμοίως καὶ ὧν ἔστιν ἀποφῆσαι κατὰ τούτων ἔςι φάναι, ἀνάγκη ἤτοι ἀληθὲς διαιροῦντα λέγειν, οἷον ὅτι λευκὸν καὶ πάλιν ὅτι οὐ λευκόν, ἢ οὔ. καὶ εἰ μὲν μὴ ἀληθὲς διαιροῦντα λέγειν, οὐ λέγει τε ταῦτα καὶ οὐκ ἔςιν οὐθέν· τὰ δὲ μὴ ὄντα πῶς ἂν φθέγξαιτο ἢ νοήσειεν; καὶ πάντα δ' ἂν εἴη ἕν, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ ταὐτὸν ἔςαι καὶ ἄνθρωπος καὶ θεὸς καὶ τριήρης καὶ αἱ ἀντιφάσεις αὐτῶν. εἰ γὰρ ὁμοίως καθ' ἑκάςου, οὐθὲν διοίσει ἕτερον ἑτέρου· εἰ γὰρ διοίσει, τοῦτ' ἔςαι ἀληθὲς καὶ ἴδιον. ὁμοίως δὲ καὶ εἰ διαιροῦντα ἐνδέχεται ἀληθεύειν, συμβαίνει τὸ λεχθέν. πρὸς δὲ τούτῳ ὅτι πάντες ἂν ἀληθεύοιεν καὶ πάντες ἂν ψεύδοιντο, καὶ αὐτὸς αὐτὸν ὁμολογεῖ ψεύδεσθαι. ἅμα δὲ φανερὸν ὅτι περὶ οὐθενός ἐστι πρὸς τοῦτον ἡ σκέψις· οὐθὲν γὰρ λέγει. οὔτε γὰρ οὕτως οὔτ' οὐχ οὕτως λέγει, ἀλλ' οὕτως τε καὶ οὐχ οὕτως. καὶ πάλιν γε ταῦτα ἀπόφησιν ἄμφω, ὅτι οὔθ' οὕτως οὔτε οὐχ οὕτως· εἰ γὰρ μή, ἤδη ἄν τι εἴη ὡρισμένον. ἔτι εἰ ὅταν ἡ φάσις ἀληθὴς ᾖ, ἡ ἀπόφασις ψευδής, κἂν αὕτη ἀληθὴς ᾖ, ἡ κατάφασις ψευδής, οὐκ ἂν εἴη τὸ αὐτὸ ἅμα φάναι καὶ ἀποφάναι ἀληθῶς. ἀλλ' ἴσως φαῖεν ἂν τοῦτ' εἶναι τὸ ἐξ ἀρχῆς κείμενον. ἔτι ἆρα ὁ μὲν ἢ ἔχειν πως ὑπολαμβάνων ἢ μὴ ἔχειν διέψευςαι, ὁ δὲ ἄμφω ἀληθεύει; εἰ γὰρ ἀληθεύει, τί ἂν εἴη τὸ λεγόμενον ὅτι τοιαύτη τῶν ὄντων ἡ φύσις; εἰ δὲ μὴ ἀληθεύει, ἀλλὰ μᾶλλον ἀληθεύει ὁ ἐκείνως ὑπολαμβάνων, ἤδη πως ἔχοι ἂν τὰ ὄντα, καὶ τοῦτ' ἀληθὲς ἂν εἴη, καὶ οὐχ ἅμα καὶ οὐκ ἀληθές. εἰ δὲ ὁμοίως ἅπαντες καὶ ψεύδονται καὶ ἀληθῆ λέγουσιν, οὔτε φθέγξασθαι οὔτ' εἰπεῖν τῷ τοιούτῳ ἔςιν· ἅμα γὰρ ταῦτά τε καὶ οὐ ταῦτα λέγει. εἰ δὲ μηθὲν ὑπολαμβάνει ἀλλ' ὁμοίως οἴεται καὶ οὐκ οἴεται, τί ἂν διαφερόντως ἔχοι τῶν πεφυκότων; ὅθεν καὶ μάλιςα φανερόν ἐςιν ὅτι οὐθεὶς οὕτω διάκειται οὔτε τῶν ἄλλων οὔτε τῶν λεγόντων τὸν λόγον τοῦτον. διὰ τί γὰρ βαδίζει Μέγαράδε ἀλλ' οὐχ ἡσυχάζει οἰόμενος βαδίζειν; οὐδ' εὐθέως ἕωθεν πορεύεται εἰς φρέαρ ἢ εἰς φάραγγα, ἐὰν τύχῃ, ἀλλὰ φαίνεται εὐλαβούμενος, ὡς οὐχ ὁμοίως οἰόμενος μὴ ἀγαθὸν εἶναι τὸ ἐμπεσεῖν καὶ ἀγαθόν; δῆλον ἄρα ὅτι τὸ μὲν βέλτιον ὑπολαμβάνει τὸ δ' οὐ βέλτιον. εἰ δὲ τοῦτο, καὶ τὸ μὲν ἄνθρωπον τὸ δ' οὐκ ἄνθρωπον καὶ τὸ μὲν γλυκὺ τὸ δ' οὐ γλυκὺ ἀνάγκη ὑπολαμβάνειν. οὐ γὰρ ἐξ ἴσου ἅπαντα ζητεῖ καὶ ὑπολαμβάνει, ὅταν οἰηθεὶς βέλτιον εἶναι τὸ πιεῖν ὕδωρ καὶ ἰδεῖν ἄνθρωπον εἶτα ζητῇ αὐτά· καίτοι γ' ἔδει, εἰ ταὐτὸν ἦν ὁμοίως καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. ἀλλ' ὅπερ ἐλέχθη, οὐθεὶς ὃς οὐ φαίνεται τὰ μὲν εὐλαβούμενος τὰ δ' οὔ. ὥςε, ὡς ἔοικε, πάντες ὑπολαμβάνουσιν ἔχειν ἁπλῶς, εἰ μὴ περὶ ἅπαντα, ἀλλὰ περὶ τὸ ἄμεινον καὶ χεῖρον. εἰ δὲ μὴ ἐπιςάμενοι ἀλλὰ δοξάζοντες, πολὺ μᾶλλον ἐπιμελητέον ἂν εἴη τῆς ἀληθείας, ὥσπερ καὶ νοσώδει ὄντι ἢ ὑγιεινῷ τῆς ὑγιείας· καὶ γὰρ ὁ δοξάζων πρὸς τὸν ἐπιςάμενον οὐχ ὑγιεινῶς διάκειται πρὸς τὴν ἀλήθειαν. ἔτι εἰ ὅτι μάλιςα πάντα οὕτως ἔχει καὶ οὐχ οὕτως, ἀλλὰ τό γε μᾶλλον καὶ ἧττον ἔνεςιν ἐν τῇ φύσει τῶν ὄντων· οὐ γὰρ ἂν ὁμοίως φήσαιμεν εἶναι τὰ δύο ἄρτια καὶ τὰ τρία, οὐδ' ὁμοίως διέψευσται ὁ τὰ τέτταρα πέντε οἰόμενος καὶ ὁ χίλια. εἰ οὖν μὴ ὁμοίως, δῆλον ὅτι ἅτερος ἧττον, ὥςε μᾶλλον ἀληθεύει. εἰ οὖν τὸ

1. ἡ] ἢ S, ἢ ἡ ET, om A^b. ‖ post αὐτοῦ T ἢ τῆς τριήρους. ‖ 4. ἢ ante φάναι om ST. ‖ ἐστιν add A^b. ‖ 7. ἀμφοτέρων EST. ‖ ἔτι] τι A^b, ἔτι εἴτι T. ‖ 8. καὶ post ἔςι om T. ‖ οὐ om S. ‖ 10. μὲν περί A^b. ‖ 12. ἤτοι] εἴτι T. ‖ 14. καθ'] καὶ καθ' T. ‖ 15. πάντως ES. ‖ 17. γὰρ add A^b. ‖ ἡ om T. ‖ 18. ἡ ἀντικειμένη] ἢ ἡ ἀντικειμένη ἀπόφασις A^b. ‖ ὧν — 19. φάναι A^b: ceteri ὅσα ἀποφῆσαι φάναι. ‖ 21. λέγειν] λέγει A^b. ‖ 23. νοήσεις A^b: ceteri βαδίσειεν. ‖ ἅπαντα A^b. ‖ 24. καὶ post ἔςαι om T. ‖ 25. γὰρ A^b: ceteri δ'. ‖ ἕκαςον ST. ‖ 26. οὐδενὶ A^b. ‖ 27. εἰ καὶ T. ‖ 28. ἀληθεύσειεν A^b. ‖ 33. ἀπόφασιν T. ‖ post οὐχ οὕτως S λέγει, ἀλλ' οὕτως τε καὶ οὐχ οὕτως. ‖ 34. εἴη] πω A^b. ‖ 35. ᾖ alterum om A^b. ‖ 36. ἅμα τὸ αὐτὸ EST.

3. γὰρ] γὰρ μὴ A^b. ‖ 5. φύσις] φύσις ἀληθεύει S. ‖ ὁ] ἢ ὁ A^b. ‖ 8. καὶ οὐκ ἀλ. E. ‖ φθέγγεσθαι S. ‖ 9. ἔςαι A^b. ‖ ταῦτά τε καὶ οὐ ταὐτὰ plerique. ‖ 11. τῶν] τί τῶν T. ‖ 15. εὐθὺς A^b. ‖ εἰς post ἢ om E. ‖ 17. τὸ om E. ‖ 21. οἰηθεὶς A^b. ‖ 23. ζητεῖ STA^b. ‖ γε δεῖ T, ἔδει γ' ES. ‖ 25. ὡς om T. ‖ 30. τὸν om S. ‖ 31. εἰ] ἢ T. ‖ 34. δύο] δύο εἶναι A^b. ‖ 35. πέντε] πάντα E.

μᾶλλον ἐγγύτερον, εἴη γε ἄν τι ἀληθὲς οὗ ἐγγύτερον τὸ μᾶλλον ἀληθές. κἂν εἰ μή ἐςιν, ἀλλ' ἤδη γέ τι ἐςὶ βεβαιότερον καὶ ἀληθινώτερον, καὶ τοῦ λόγου ἀπηλλαγμένοι ἂν εἴημεν τοῦ ἀκράτου καὶ κωλύοντος τι τῇ διανοίᾳ ὁρίσαι.

5 Ἔςι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρϐ λόγος, καὶ ἀνάγκη ὁμοίως ἄμφω αὐτὸς ἢ εἶναι ἢ μὴ εἶναι. εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζϐσιν· ὥς' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. καὶ εἰ τϐτ' ἐςίν, ἀνάγκη τὰ δοκϐντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζϐσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. εἰ ϐν ἔχει τὰ ὄντα ϐτως, ἀληθεύσϐσι πάντες. ὅτι μὲν ϐν ἀπὸ τῆς αὐτῆς εἰσὶ διανοίας ἀμφότεροι οἱ λόγοι, δῆλον. ἔστι δ' οὐχ ὁ αὐτὸς τρόπος πρὸς πάντας τῆς ἐντεύξεως· οἱ μὲν γὰρ πειθοῦς δέονται, οἱ δὲ βίας. ὅσοι μὲν γὰρ ἐκ τοῦ ἀπορῆσαι ὑπέλαβον ϐτως, τϐτων εὐΐατος ἡ ἄγνοια· ϐ γὰρ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν ἡ ἀπάντησις αὐτῶν· ὅσοι δὲ λόγϐ χάριν λέγϐσι, τϐτων δ' ἔλεγχος ἴασις τϐ τ' ἐν τῇ φωνῇ λόγϐ καὶ τϐ ἐν τοῖς ὀνόμασιν. ἐλήλυθε δὲ τοῖς διαπορϐσιν αὕτη ἡ δόξα ἐκ τῶν αἰσθητῶν, ἡ μὲν τοῦ ἅμα τὰς ἀντιφάσεις καὶ τἀναντία ὑπάρχειν ὁρῶσιν ἐκ ταὐτοῦ γινόμενα τἀναντία. εἰ οὖν μὴ ἐνδέχεται γενέσθαι τὸ μὴ ὄν, προϋπῆρχεν ὁμοίως τὸ πρᾶγμα ἄμφω ὄν, ὥσπερ καὶ Ἀναξαγόρας μεμῖχθαι πᾶν ἐν παντί φησι καὶ Δημόκριτος· καὶ γὰρ οὗτος τὸ κενὸν καὶ τὸ πλῆρες ὁμοίως καθ' ὁτιϐν ὑπάρχειν μέρος, καίτοι τὸ μὲν ὂν τϐτων εἶναι, τὸ δὲ μὴ ὄν. πρὸς μὲν ϐν τϐς ἐκ τϐτων ὑπολαμβάνοντας ἐρϐμεν ὅτι τρόπον μέν τινα ὀρθῶς λέγϐσι, τρόπον δέ τινα ἀγνοϐσιν. τὸ γὰρ ὂν λέγεται διχῶς, ὥστ' ἔστιν ὃν τρόπον ἐνδέχεται γίγνεσθαί τι ἐκ τοῦ μὴ ὄντος, ἔςι δ' ὃν οὔ, καὶ ἅμα τὸ αὐτὸ εἶναι καὶ ὂν καὶ μὴ ὄν, ἀλλ' ϐ κατὰ ταὐτὸ ὄν· δυνάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία, ἐντελεχείᾳ δ' οὔ. ἔτι δ' ἀξιώσομεν αὐτοὺς ὑπολαμβάνειν καὶ ἄλλην τινὰ ϐσίαν εἶναι τῶν ὄντων, ᾗ ϐτε κίνησις ὑπάρχει οὔτε φθορὰ ϐτε γένεσις τὸ παράπαν. ὅμοιως δὲ καὶ ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλήλυθεν. τὸ μὲν γὰρ ἀληθὲς οὐ πλήθει κρίνεσθαι οἴονται προσήκειν ϐδὲ ὀλιγότητι, τὸ δ' αὐτὸ τοῖς μὲν γλυκὺ γευομένοις δοκεῖν εἶναι, τοῖς δὲ πικρόν· ὥς' εἰ πάντες ἔκαμνον ἢ πάντες παρεφρόνϐν, δύο δ' ἢ τρεῖς ὑγίαινον ἢ νϐν εἶχον, δοκεῖν ἂν τϐτϐς κάμνειν καὶ παραφρονεῖν, τϐς δ' ἄλλϐς ϐ. ἔτι δὲ πολλοῖς τῶν ἄλλων ζῴων τἀναντία περὶ τῶν αὐτῶν φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὑτὸν οὐ ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν. ποῖα ϐν τϐτων ἀληθῆ ἢ ψευδῆ, ἄδηλον· ϐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ, ἀλλ' ὁμοίως. διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι ἀληθὲς ἢ ἡμῖν γ' ἄδηλον. ὅλως δὲ διὰ τὸ ὑπολαμβάνειν φρόνησιν μὲν τὴν αἴσθησιν, ταύτην δ' εἶναι ἀλλοίωσιν, τὸ φαινόμενον κατὰ τὴν αἴσθησιν ἐξ ἀνάγκης ἀληθὲς εἶναί φασιν· ἐκ τούτων γὰρ καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος καὶ τῶν ἄλλων ὡς ἔπος εἰπεῖν ἕκαστος τοιαύταις δόξαις γεγένηνται ἔνοχοι. καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· "πρὸς παρεὸν γὰρ μῆτις ἐναύξεται ἀνθρώποισιν." καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι "ὅσσον ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίςατο." καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον· "ὡς γὰρ ἕκαςος ἔχει κρᾶσιν μελέων πολυκάμπτων, τὼς νόος ἀνθρώποισι παρίςαται. τὸ γὰρ αὐτὸ ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα." Ἀναξαγόρου δὲ καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν ὑπολάβωσιν. φασὶ δὲ καὶ τὸν Ὅμηρον ταύτην ἔχοντα φαίνεσθαι τὴν δόξαν, ὅτι ἐποίησε τὸν Ἕκτορα, ὡς ἐξέστη ὑπὸ τῆς πληγῆς, κεῖσθαι ἀλλοφρονέοντα, ὡς φρονοῦντας μὲν καὶ τϐς παραφρονϐντας ἀλλ' ϐ ταὐτά. δῆλον ϐν ὅτι, εἰ ἀμφότεραι φρονήσεις, καὶ τὰ ὄντα ἅμα ϐτω τε καὶ οὐχ ϐτως ἔχει. ᾗ καὶ χαλεπώτατον τὸ συμβαῖνον ἐστίν· εἰ γὰρ οἱ μάλιστα τὸ ἐνδεχόμενον ἀληθὲς ἑωρακότες (οὗτοι δ' εἰσὶν οἱ μάλιςα ζητϐντες αὐτὸ καὶ φιλϐντες) ϐτοι τοιαύτας ἔχουσι τὰς δόξας καὶ ταῦτα ἀποφαίνονται περὶ τῆς ἀληθείας, πῶς οὐκ ἄξιον ἀθυμῆσαι τοὺς φιλοσοφεῖν ἐγχειροῦντας; τὸ γὰρ τὰ πετόμενα διώκειν τὸ ζητεῖν ἂν

1. τι om A^b. ‖ 7. αὐτὸς ἄμφω A^b. ‖ 9. εἶναι post ἀνάγκη A^b. ‖ 13. πάντα εἶναι *T*. ‖ 15. ἀληθεύουσι *EST*. ‖ εἰσὶν ἀπὸ τῆς αὐτῆς δ. οἱ τοιοῦτοι λόγοι A^b. ‖ 17. ἅπαντας *EST*. ‖ 21. τ' om A^b. ‖ 24. ὑπάρξειν *ET*. ‖ 25. γίνεσθαι A^b. ‖ 26. post ἄμφω ὂν A^b τουτέστιν ὂν καὶ μὴ ὄν. ‖ 30. ϐν add EA^b. ‖ 31. ἀληθῶς *T*. ‖ 33. ὃν] ὅπως A^b. ‖ 34. καὶ ante ὂν add A^b. ‖ κατὰ om A^b. ‖ αὐτὸ *T*. ‖ 37. τινὰ add A^b.

4. δοκεῖ *EST*. ‖ 7. δὲ καὶ π. A^b. ‖ ἄλλων om A^b. ‖ ζῴων ὑγιαίνουσι τἀν. A^bF^b. ‖ περὶ τῶν αὐτῶν add A^b. ‖ 9. ψευδῆ ἢ ἀληθῆ *T*. ‖ 12. ὁμοίως A^b. ‖ 19. ἀέξεται SB^bC^b. ‖ 20. μετέφυν *STA*^{b}. ‖ τόσσον *E*. ‖ 22. ἑκάςω A^b, ἑκάςοτ' SB^bC^b. ‖ ἔχῃ SB^b. ‖ 23. ὣς *E*. ‖ 24. φύσις ἀνθρώποισιν om A^b. ‖ 26. καὶ om *T*. ‖ 27. τινάς *ETA*^{b}. ‖ 28. τοιαύτην *ST*. ‖ 31. εἰ om A^b. ‖ 33. ἔχῃ *E*. ‖ ᾗ] ἡ TA^b. ‖ 37. ἀθυμεῖν *E*. ‖ 38. πετώμενα *E*.

εἴη τὴν ἀλήθειαν. αἴτιον δὲ τῆς δόξης τούτοις ὅτι περὶ τῶν ὄντων μὲν τὴν ἀλήθειαν ἐσκόπουν, τὰ δ' ὄντα ὑπέλαβον εἶναι τὰ αἰσθητὰ μόνον· ἐν δὲ τούτοις πολλὴ ἡ τοῦ ἀορίςου φύσις ἐνυπάρχει, καὶ ἡ τοῦ ὄντος οὕτως ὥσπερ εἴπομεν· διὸ εἰκότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν. οὕτω γὰρ ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην. ἔτι δὲ πᾶσαν ὁρῶντες ταύτην κινουμένην τὴν φύσιν, κατὰ δὲ τοῦ μεταβάλλοντος οὐθὲν ἀληθευόμενον, περί γε τὸ πάντῃ πάντως μεταβάλλον οὐκ ἐνδέχεσθαι ἀληθεύειν. ἐκ γὰρ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ ἀκροτάτη δόξα τῶν εἰρημένων, ἡ τῶν φασκόντων ἡρακλειτίζειν, καὶ οἵαν Κρατύλος εἶχεν, ὃς τὸ τελευταῖον οὐθὲν ᾤετο δεῖν λέγειν ἀλλὰ τὸν δάκτυλον ἐκίνει μόνον, καὶ Ἡρακλείτῳ ἐπετίμα εἰπόντι ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔςιν ἐμβῆναι· αὐτὸς γὰρ ᾤετο οὐδ' ἅπαξ. ἡμεῖς δὲ καὶ πρὸς τοῦτον τὸν λόγον ἐροῦμεν ὅτι τὸ μὲν μεταβάλλον ὅτε μεταβάλλει ἔχει τινὰ αὐτοῖς ἀληθῆ λόγον μὴ οἴεσθαι εἶναι. καίτοι ἔςι γε ἀμφισβητήσιμον· τό τε γὰρ ἀποβάλλον ἔχει τι τοῦ ἀποβαλλομένου, καὶ τοῦ γιγνομένου ἤδη ἀνάγκη τι εἶναι. ὅλως τε εἰ φθείρεται, ὑπάρξει τι ὄν· καὶ εἰ γίγνεται, ἐξ οὗ γίγνεται καὶ ὑφ' οὗ γεννᾶται, ἀναγκαῖον εἶναι, καὶ τοῦτο μὴ ἰέναι εἰς ἄπειρον. ἀλλὰ ταῦτα παρέντες ἐκεῖνα λέγωμεν, ὅτι οὐ ταὐτόν ἐςι τὸ μεταβάλλειν κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. κατὰ μὲν οὖν τὸ ποσὸν ἔςω μὴ μένον· ἀλλὰ κατὰ τὸ εἶδος ἅπαντα γιγνώσκομεν. ἔτι δ' ἄξιον ἐπιτιμῆσαι τοῖς οὕτως ὑπολαμβάνουσιν, ὅτι καὶ αὐτῶν τῶν αἰσθητῶν ἐπὶ τῶν ἐλαττόνων τὸν ἀριθμὸν ἰδόντες οὕτως ἔχοντα περὶ ὅλου τοῦ οὐρανοῦ ὁμοίως ἀπεφήναντο. ὁ γὰρ περὶ ἡμᾶς τοῦ αἰσθητοῦ τόπος ἐν φθορᾷ καὶ γενέσει διατελεῖ μόνος ὤν· ἀλλ' οὗτος οὐθὲν ὡς εἰπεῖν μόριον τοῦ παντός ἐςιν, ὥςε δικαιότερον ἂν δι' ἐκεῖνα τούτων ἀπεψηφίσαντο ἢ διὰ ταῦτα ἐκείνων κατεψηφίσαντο. ἔτι δὲ δῆλον ὅτι καὶ πρὸς τούτους ταὐτὰ τοῖς πάλαι λεχθεῖσιν ἐροῦμεν· ὅτι γὰρ ἔςιν ἀκίνητός τις φύσις δεικτέον αὐτοῖς καὶ πειςέον αὐτούς. καίτοι συμβαίνει γε τοῖς ἅμα φάσκουσιν εἶναι καὶ μὴ εἶναι ἠρεμεῖν μᾶλλον φάναι πάντα ἢ κινεῖσθαι· οὐ γὰρ ἔςιν εἰς ὅ τι μεταβάλλει· ἅπαντα γὰρ ὑπάρχει πᾶσιν. περὶ δὲ τῆς ἀληθείας, ὡς οὐ πᾶν τὸ φαινόμενον ἀληθές, πρῶτον μέν γε ὅτι οὐδ' ἡ αἴσθησις ψευδὴς τοῦ ἰδίου ἐςίν, ἀλλ' ἡ φαντασία οὐ ταὐτὸν τῇ αἰσθήσει. εἶτ' ἄξιον θαυμάσαι εἰ τοῦτ' ἀποροῦσι, πότερον τηλικαῦτά ἐστι τὰ μεγέθη καὶ τὰ χρώματα τοιαῦτα οἷα τοῖς ἄποθεν φαίνεται ἢ οἷα τοῖς ἐγγύθεν, καὶ πότερον οἷα τοῖς ὑγιαίνουσιν ἢ οἷα τοῖς κάμνουσιν, καὶ βαρύτερα πότερον ἃ τοῖς ἀσθενοῦσιν ἢ ἃ τοῖς ἰσχύουσιν, καὶ ἀληθῆ πότερον ἃ τοῖς καθεύδουσιν ἢ ἃ τοῖς ἐγρηγορόσιν. ὅτι μὲν γὰρ οὐκ οἴονταί γε, φανερόν· οὐθεὶς γοῦν ἐὰν ὑπολάβῃ νύκτωρ Ἀθήνησιν εἶναι ὢν ἐν Λιβύῃ, πορεύεται εἰς τὸ ᾠδεῖον. ἔτι δὲ περὶ τοῦ μέλλοντος, ὥσπερ καὶ Πλάτων λέγει, οὐ δήπου ὁμοίως κυρία ἡ τοῦ ἰατροῦ δόξα καὶ ἡ τοῦ ἀγνοοῦντος, οἷον περὶ τοῦ μέλλοντος ἔσεσθαι ὑγιοῦς ἢ μὴ μέλλοντος. ἔτι δὲ ἐπ' αὐτῶν τῶν αἰσθήσεων οὐχ ὁμοίως κυρία ἡ τοῦ ἀλλοτρίου καὶ ἰδίου ἢ τοῦ πλησίον καὶ τοῦ αὐτῆς, ἀλλὰ περὶ μὲν χρώματος ὄψις, οὐ γεῦσις, περὶ δὲ χυμοῦ γεῦσις, οὐκ ὄψις· ὧν ἑκάςη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ οὐδέποτέ φησιν ἅμα οὕτω καὶ οὐχ οὕτως ἔχειν. ἀλλ' οὐδ' ἐν ἑτέρῳ χρόνῳ περί γε τὸ πάθος ἠμφισβήτησεν, ἀλλὰ περὶ τὸ ᾧ συμβέβηκε τὸ πάθος. λέγω δ' οἷον ὁ μὲν αὐτὸς οἶνος δόξειεν ἂν ἢ μεταβαλὼν ἢ τοῦ σώματος μεταβαλόντος ὁτὲ μὲν εἶναι γλυκὺς ὁτὲ δὲ οὐ γλυκύς· ἀλλ' οὐ τό γε γλυκύ, οἷόν ἐςιν ὅταν ᾖ, οὐδεπώποτε μετέβαλεν, ἀλλ' ἀεὶ ἀληθεύει περὶ αὐτοῦ, καὶ ἔςιν ἐξ ἀνάγκης τὸ ἐσόμενον γλυκὺ τοιοῦτον. καίτοι τοῦτο ἀναιροῦσιν οὗτοι οἱ λόγοι ἅπαντες, ὥσπερ καὶ οὐσίαν μὴ εἶναι μηθενός, οὕτω μηδ' ἐξ ἀνάγκης μηθέν· τὸ γὰρ ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως καὶ ἄλλως ἔχειν, ὥςτ' εἴ τι ἔςιν ἐξ ἀνάγκης, οὐχ ἕξει οὕτω τε καὶ οὐχ οὕτως. ὅλως τ' εἴπερ ἐςὶ τὸ αἰσθητὸν μόνον, οὐθὲν ἂν εἴη μὴ ὄντων τῶν ἐμψύχων· αἴσθησις γὰρ οὐκ ἂν εἴη. τὸ μὲν οὖν μήτε τὰ αἰσθητὰ εἶναι μήτε τὰ αἰσθήματα ἴσως ἀληθές (τοῦ γὰρ αἰσθανομένου πάθος τοῦτό ἐςι), τὸ δὲ τὰ ὑποκείμενα μὴ εἶναι, ἃ ποιεῖ τὴν αἴσθησιν, καὶ ἄνευ αἰσθήσεως ἀδύνατον. οὐ γὰρ δὴ ἥ γ' αἴσθησις αὐτὴ ἑαυτῆς ἐςίν, ἀλλ' ἔςι τι καὶ ἕτερον παρὰ τὴν αἴσθησιν, ὃ ἀνάγκη πρότερον εἶναι τῆς αἰσθήσεως· τὸ γὰρ κινοῦν τοῦ κινουμένου

6. ἢ ξενοφάνης T. ‖ 9. πάντως πάντῃ ST. ‖ 12. λέγειν δεῖν T. ‖ 14. ὅτι add A^b. ‖ 15. τούτων E. ‖ 22. ἰέναι] εἶναι codices. ‖ λέγομεν S. ‖ 27. εἰδότες ST. ‖ 29. φορᾷ E. ‖ 30. ὡς εἰπεῖν οὐδὲν A^b. ‖ τοῦ παντὸς μόριόν SB^bC^b. ‖ 31. ἂν] εἰ A^b. ‖ τοῦτον EA^b. ‖ 32. ἢ] ἢ E, εἰ A^b. ‖ 35. γε συμβαίνει EST. ‖ 36. ἢ κινεῖσθαι πάντα A^b. ‖ 37. μεταβάλλειν A^b.

2. γε add A^b. ‖ ὅτι om TA^b. ‖ 6. ἢ om S. ‖ πότερον ἢ οἷα T. ‖ ἰσχύουσιν T. ‖ 7. ἢ om S. ‖ νοσοῦσι A^b. ‖ καὶ β. — ἰσχύουσιν om T. ‖ 7 et 8 et 9. ἃ A^b: ceteri οἷα. ‖ 8. ἰσχυροῖς A^b. ‖ 9. ἐγρηγόρωσιν E. ‖ οὐχ οἷόν τε A^b. ‖ 10. ἐὰν ὑπολάβῃ] ὑπολαβὼν A^b. ‖ 16. μὲν περὶ T. ‖ 17. οὐκ] ἀλλ' οὐκ ES. ‖ 18. ὧν καὶ ἑκάςη A^b. ‖ οὐδεπώποτε A^b. ‖ 20. γε] δὲ A^b. ‖ ἠμφισβήτει S. ‖ 22. μεταβάλλων et μεταβάλλοντος A^b. ‖ 23. γε] τε TA^b. ‖ 24. μεταβάλλει A^b. ‖ 26. πάντες A^b. ‖ 29. ἕξει om T. ‖ δὲ μηδὲ A^b, omissis mox μήτε τὰ αἰσθήματα. ‖ 35. δυνατὸν A^b. ‖ αὐτῇ E, om A^b.

φύσει πρότερόν ἐστι· κἂν εἰ λέγεται πρὸς ἄλληλα ταῦτα, οὐθὲν ἧττον.

6 Εἰσὶ δέ τινες οἳ ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων καὶ τῶν τοὺς λόγους τούτους μόνον λεγόντων· ζητοῦσι γὰρ τίς ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ ὅλως τὸν περὶ ἕκαστα κρινοῦντα ὀρθῶς. τὰ δὲ τοιαῦτα ἀπορήματα ὅμοιά ἐστι τῷ ἀπορεῖν πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν. δύνανται δ' αἱ ἀπορίαι αἱ τοιαῦται πᾶσαι τὸ αὐτό· πάντων γὰρ λόγον ἀξιοῦσιν οὗτοι εἶναι· ἀρχὴν γὰρ ζητοῦσι, καὶ ταύτην δι' ἀποδείξεως λαμβάνειν, ἐπεὶ ὅτι γε οὐ πεπεισμένοι εἰσί, φανεροί εἰσιν ἐν ταῖς πράξεσιν. ἀλλ' ὅπερ εἴπομεν, τοῦτο αὐτῶν τὸ πάθος ἐστίν· λόγον γὰρ ζητοῦσιν ὧν οὐκ ἔστι λόγος· ἀποδείξεως γὰρ ἀρχὴ οὐκ ἀπόδειξίς ἐστιν. οὗτοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν· ἔστι γὰρ οὐ χαλεπὸν λαβεῖν. οἱ δ' ἐν τῷ λόγῳ τὴν βίαν μόνον ζητοῦντες ἀδύνατον ζητοῦσιν· ἐναντία γὰρ εἰπεῖν ἀξιοῦσιν, εὐθὺς ἐναντία λέγοντες. εἰ δὲ μή ἐστι πάντα πρός τι, ἀλλ' ἔνιά ἐστι καὶ αὐτὰ καθ' αὑτά, οὐκ ἂν εἴη πᾶν τὸ φαινόμενον ἀληθές· τὸ γὰρ φαινόμενον τινί ἐστι φαινόμενον· ὥστε ὁ λέγων ἅπαντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἅπαντα ποιεῖ τὰ ὄντα πρός τι. διὸ καὶ φυλακτέον τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζητοῦσιν, ἅμα δὲ καὶ ὑπέχειν λόγον ἀξιοῦσιν, ὅτι οὐ τὸ φαινόμενόν ἐστιν, ἀλλὰ τὸ φαινόμενον ᾧ φαίνεται καὶ ὅτε φαίνεται καὶ ᾗ καὶ ὥς. ἂν δ' ὑπέχωσι μὲν λόγον, μὴ οὕτω δ' ὑπέχωσι, συμβήσεται αὐτοῖς τἀναντία ταχὺ λέγειν. ἐνδέχεται γὰρ τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι, τῇ δὲ γεύσει μή, καὶ τῶν ὀφθαλμῶν δυοῖν ὄντοιν μὴ ταὐτὰ ἑκατέρᾳ τῇ ὄψει, ἂν ὦσιν ἀνόμοιαι, ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φάσκοντας ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάνθ' ὁμοίως εἶναι ψευδῆ καὶ ἀληθῆ· οὔτε γὰρ ἅπασι ταὐτὰ φαίνεσθαι οὔτε αὐτῷ ἀεὶ ταὐτά, ἀλλὰ πολλάκις τἀναντία κατὰ τὸν αὐτὸν χρόνον. ἡ μὲν γὰρ ἁφὴ δύο λέγει ἐν τῇ ἐπαλλάξει τῶν δακτύλων, ἡ δ' ὄψις ἕν. ἀλλ' οὔτε τῇ αὐτῇ γε καὶ κατὰ τὸ αὐτὸ αἰσθήσει καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ, ὥστε τοῦτ' ἂν εἴη ἀληθές. ἀλλ' ἴσως διὰ τοῦτ' ἀνάγκη λέγειν τοῖς μὴ δι' ἀπορίαν ἀλλὰ λόγου χάριν λέγουσιν, ὅτι οὐκ ἔστιν ἀληθὲς τοῦτο, ἀλλὰ τούτῳ ἀληθές. καὶ ὥσπερ δὴ πρότερον εἴρηται, ἀνάγκη καὶ πρός τι ποιεῖν ἅπαντα καὶ πρὸς δόξαν καὶ αἴσθησιν, ὥστ' οὔτε γέγονεν οὔτ' ἔσται οὐθὲν μηθενὸς προδοξάσαντος. εἰ δὲ γέγονεν ἢ ἔσται, δῆλον ὅτι οὐκ ἂν εἴη ἅπαντα πρὸς δόξαν. ἔτι εἰ ἕν, πρὸς ἓν ἢ πρὸς ὡρισμένον· καὶ εἰ ταὐτὸ καὶ ἥμισυ καὶ ἴσον, ἀλλ' οὐ πρὸς τὸ διπλάσιόν γε τὸ ἴσον. πρὸς δὴ τὸ δοξάζον εἰ ταὐτὸ ἄνθρωπος καὶ τὸ δοξαζόμενον, οὐκ ἔσται ἄνθρωπος τὸ δοξάζον, ἀλλὰ τὸ δοξαζόμενον. εἰ δ' ἕκαστον ἔσται πρὸς τὸ δοξάζον, ἄπειρα ἔσται τῷ εἴδει τὸ δοξάζον. ὅτι μὲν οὖν βεβαιοτάτη δόξα πασῶν τὸ μὴ εἶναι ἀληθεῖς ἅμα τὰς ἀντικειμένας φάσεις, καὶ τί συμβαίνει τοῖς οὕτω λέγουσι, καὶ διὰ τί οὕτω λέγουσι, τοσαῦτα εἰρήσθω. ἐπεὶ δ' ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι ἅμα κατὰ τοῦ αὐτοῦ, φανερὸν ὅτι οὐδὲ τἀναντία ἅμα ὑπάρχειν ἐνδέχεται τῷ αὐτῷ. τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ ἧττον, οὐσίας δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους. εἰ οὖν ἀδύνατον ἅμα καταφάναι καὶ ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τἀναντία ὑπάρχειν ἅμα, ἀλλ' ἢ πῇ ἄμφω, ἢ θάτερον μὲν πῇ θάτερον δὲ ἁπλῶς.

7 Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται εἶναι οὐθέν, ἀλλ' ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι ἓν καθ' ἑνὸς ὁτιοῦν. δῆλον δὲ πρῶτον μὲν ὁρισαμένοις τί τὸ ἀληθὲς καὶ ψεῦδος. τὸ μὲν γὰρ λέγειν τὸ ὂν μὴ εἶναι ἢ τὸ μὴ ὂν εἶναι ψεῦδος, τὸ δὲ τὸ ὂν εἶναι καὶ τὸ μὴ ὂν μὴ εἶναι ἀληθές, ὥστε καὶ ὁ λέγων εἶναι ἢ μὴ ἀληθεύσει ἢ ψεύσεται. ἀλλ' οὔτε τὸ ὂν λέγεται μὴ εἶναι ἢ εἶναι οὔτε τὸ μὴ ὄν. ἔτι ἤτοι τὸ μεταξὺ ἔσται τῆς ἀντιφάσεως, ὥσπερ τὸ φαιὸν μέλανος καὶ λευκοῦ, ἢ ὡς τὸ μηδέτερον ἀνθρώπου καὶ ἵππου. εἰ μὲν οὖν οὕτως, οὐκ ἂν μεταβάλλοι (ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τούτου εἰς μὴ ἀγαθόν)· νῦν δ' ἀεὶ φαίνεται. οὐ γάρ ἐστι μεταβολὴ ἀλλ' ἢ εἰς τὰ ἀντικείμενα καὶ μεταξύ. εἰ δ' ἔστι μεταξύ, καὶ οὕτως εἴη ἂν

1. λέγηται S. ‖ ἄλλα A^b. ‖ ταυτὰ A^b, ταῦτα αὐτὰ ET. ‖ 5. κρίνοντα A^b. ‖ 8. αἱ τοιαῦται] αὗται A^b. ‖ 9. λόγων S. ‖ εἶναι εἰσὶ ES. ‖ 10. ἔτι γε A^b: ceteri γε ὅτι. ‖ πεπεισμένοι οὐκ A^b. ‖ 15. μόνην A^b. ‖ 16. ἐναντία γὰρ] ἐναντίον γὰρ S. ‖ 17. ἐστι καὶ] εἰσὶ καὶ T. ‖ 18. ἑαυτά ST. ‖ ἅπαν E. ‖ 20. ἀληθῆ εἶναι T. ‖ 24. ἐὰν et 25. ἑαυτοῖς A^b. ‖ 26. τὸ αὐτὰ S. ‖ 27. τῇ — 31. φαίνεσθαι om pr S. ‖ 27. δυεῖν T. ‖ 28. ταῦθ' E. ‖ ἐὰν ET. ‖ ἀνόμοια T. ‖ 30. ἀληθεῖς, omisso εἶναι, S. ‖ 32. ἑαυτῷ A^b, ταυτῷ T. ‖ 33. λόγον T. ‖ ἡ μὲν — 34. οὔτε om pr S. ‖ 33. ἀπαλλάξει A^b. ‖ 34. οὐ τί A^b.

2. λέγειν om T. ‖ 4. καὶ ante πρός om A^b. ‖ 8. ἢ] ἢ A^b. ‖ 9. δοξάζειν ST. ‖ 10. ἔστιν EST. ‖ 11. δὲ καθ' ἕκαστον A^b. ‖ 12. ἄπειρα] πρὸς ἄπειρα A^b. ‖ 15. διὰ τί] ἂν A^b. ‖ 16. ἅμα ἀληθεύεσθαι A^b. ‖ 19. ἧττον· οὐσίας στέρησις. ἡ δὲ στέρησις ἀπ. A^b. ‖ 22. μὴν om A^b. ‖ 24. ἓν om A^b. ‖ 26. τὸ μὴ ὂν] τοῦτο EST. ‖ 27. τὸ post δὲ om E. ‖ καὶ τὸ] τὸ δὲ ET. ‖ 28. καὶ ὁ] ἐκεῖνο A^b. ‖ μὴ] μὴ εἶναι S. ‖ 29. λέγει E. ‖ 30. ἤτοι] εἴ τι S. ‖ τὸ post ἤτοι add A^b. ‖ ἐστι A^b. ‖ 34. ἀεὶ om A^b. ‖ 35. εἴη ἄν τις] ἢ ἡ ἀντίφασις A^b et omisso ἢ F^b.

τις εἰς λευκὸν οὐκ ἐκ μὴ λευκοῦ γένεσις· νῦν δ' οὐχ ὁρᾶται. ἔτι πᾶν τὸ διανοητὸν καὶ νοητὸν ἡ διάνοια ἢ καταφήσιν ἢ ἀποφήσιν· τοῦτο δ' ἐξ ὁρισμοῦ δῆλον ὅταν ἀληθεύῃ ἢ ψεύδηται. ὅταν μὲν ὡδὶ συνθῇ φᾶσα ἢ ἀποφᾶσα, ἀληθεύει, ὅταν δὲ ὡδί, ψεύδεται. ἔτι παρὰ πάσας δεῖ εἶναι τὰς ἀντιφάσεις, εἰ μὴ λόγου ἕνεκα λέγεται· ὥστε καὶ οὔτε ἀληθεύσει τις οὔτ' οὐκ ἀληθεύσει. καὶ παρὰ τὸ ὂν καὶ τὸ μὴ ὂν ἔσται, ὥστε καὶ παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται. ἔτι ἐν ὅσοις γένεσιν ἡ ἀπόφασις τὸ ἐναντίον ἐπιφέρει, καὶ ἐν τούτοις ἔσται, οἷον ἐν ἀριθμοῖς οὔτε περιττὸς οὔτε οὐ περιττὸς ἀριθμός. ἀλλ' ἀδύνατον· ἐκ τοῦ ὁρισμοῦ δὲ δῆλον. ἔτι εἰς ἄπειρον βαδιεῖται, καὶ οὐ μόνον ἡμιόλια τὰ ὄντα ἔσται ἀλλὰ πλείω. πάλιν γὰρ ἔσται ἀποφῆσαι τοῦτο πρὸς τὴν φάσιν καὶ τὴν ἀπόφασιν, καὶ τοῦτ' ἔσται τι· ἡ γὰρ οὐσία ἐστί τις αὐτοῦ ἄλλη. ἔτι ὅταν ἐρομένου εἰ λευκόν ἐστιν εἴπῃ ὅτι οὔ, οὐδὲν ἄλλο ἀποπέφυκεν ἢ τὸ εἶναι· ἀπόφασις δὲ τὸ μὴ εἶναι. ἐλήλυθε δ' ἐνίοις αὕτη ἡ δόξα ὥσπερ καὶ ἄλλαι τῶν παραδόξων· ὅταν γὰρ λύειν μὴ δύνωνται λόγους ἐριστικούς, ἐνδόντες τῷ λόγῳ σύμφασιν ἀληθὲς εἶναι τὸ συλλογισθέν. οἱ μὲν οὖν διὰ τοιαύτην αἰτίαν λέγουσιν, οἱ δὲ διὰ τὸ πάντων ζητεῖν λόγον. ἀρχὴ δὲ πρὸς ἅπαντας τούτους ἐξ ὁρισμοῦ. ὁρισμὸς δὲ γίνεται ἐκ τοῦ σημαίνειν τι ἀναγκαῖον εἶναι αὐτούς· ὁ γὰρ λόγος, οὗ τὸ ὄνομα σημεῖον, ὁρισμὸς γίνεται. ἔοικε δ' ὁ μὲν Ἡρακλείτου λόγος, λέγων πάντα εἶναι καὶ μὴ εἶναι, ἅπαντα ἀληθῆ ποιεῖν, ὁ δ' Ἀναξαγόρου εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, ὥστε πάντα ψευδῆ· ὅταν γὰρ μιχθῇ, οὔτ' ἀγαθὸν οὔτ' οὐκ ἀγαθὸν τὸ μῖγμα, ὥστ' οὐθὲν εἰπεῖν ἀληθές.

8 Διωρισμένων δὲ τούτων φανερὸν ὅτι καὶ τὰ μοναχῶς λεγόμενα καὶ τὰ κατὰ πάντων ἀδύνατον ὑπάρχειν, ὥσπερ τινὲς λέγουσιν, οἱ μὲν οὐθὲν φάσκοντες ἀληθὲς εἶναι (οὐθὲν γὰρ κωλύειν φασὶν οὕτως ἅπαντα εἶναι ὥσπερ τὸ τὴν διάμετρον σύμμετρον εἶναι), οἱ δὲ πάντ' ἀληθῆ. σχεδὸν γὰρ οὗτοι οἱ λόγοι οἱ αὐτοὶ τῷ Ἡρακλείτου· ὁ γὰρ λέγων ὅτι πάντ' ἀληθῆ καὶ πάντα ψευδῆ, καὶ χωρὶς λέγει τῶν λόγων ἑκάτερον τούτων, ὥστ' εἴπερ ἀδύνατα ἐκεῖνα, καὶ ταῦτα ἀδύνατον εἶναι. ἔτι δὲ φανερῶς ἀντιφάσεις εἰσὶν ἃς οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι. οὐδὲ δὴ ψευδεῖς πάσας· καίτοι δόξειέ γ' ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων. ἀλλὰ πρὸς ἅπαντας τοὺς τοιούτους λόγους αἰτεῖσθαι δεῖ, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐπάνω λόγοις, οὐκ εἶναί τι ἢ μὴ εἶναι ἀλλὰ σημαίνειν τι, ὥστε ἐξ ὁρισμοῦ διαλεκτέον λαβόντας τί σημαίνει τὸ ψεῦδος ἢ τὸ ἀληθές. εἰ δὲ μηθὲν ἄλλο ἢ τὸ ἀληθὲς φάναι ἢ ἀποφάναι ψεῦδός ἐστιν, ἀδύνατον πάντα ψευδῆ εἶναι· ἀνάγκη γὰρ τῆς ἀντιφάσεως θάτερον εἶναι μόριον ἀληθές. ἔτι εἰ πᾶν ἢ φάναι ἢ ἀποφάναι ἀναγκαῖον, ἀδύνατον ἀμφότερα ψευδῆ εἶναι· θάτερον γὰρ μέρος τῆς ἀντιφάσεως ψεῦδός ἐστιν. συμβαίνει δὴ καὶ τὸ θρυλλούμενον πᾶσι τοῖς τοιούτοις λόγοις, αὐτοὺς ἑαυτοὺς ἀναιρεῖν. ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων καὶ τὸν ἐναντίον αὐτοῦ λόγον ἀληθῆ ποιεῖ, ὥστε τὸν αὐτοῦ οὐκ ἀληθῆ (ὁ γὰρ ἐναντίος οὔ φησιν αὐτὸν ἀληθῆ), ὁ δὲ πάντα ψευδῆ καὶ αὐτὸς αὐτόν. ἐὰν δ' ἐξαιρῶνται ὁ μὲν τὸν ἐναντίον ὡς οὐκ ἀληθὴς μόνος ἐστίν, ὁ δὲ τὸν αὐτὸς αὐτοῦ ὡς οὐ ψευδής, οὐθὲν ἧττον ἀπείρους συμβαίνει αὐτοῖς αἰτεῖσθαι λόγους ἀληθεῖς καὶ ψευδεῖς· ὁ γὰρ λέγων τὸν ἀληθῆ λόγον ἀληθῆ ἀληθής, τοῦτο δ' εἰς ἄπειρον βαδιεῖται. φανερὸν δ' ὅτι οὐδ' οἱ πάντα ἠρεμεῖν λέγοντες ἀληθῆ λέγουσιν, οὐδ' οἱ πάντα κινεῖσθαι. εἰ μὲν γὰρ ἠρεμεῖ πάντα, ἀεὶ ταὐτὰ ἀληθῆ καὶ ψευδῆ ἔσται, φαίνεται δὲ τοῦτο μεταβάλλον· ὁ γὰρ λέγων ποτὲ αὐτὸς οὐκ ἦν καὶ πάλιν οὐκ ἔσται. εἰ δὲ πάντα κινεῖται, οὐθὲν ἔσται ἀληθές· πάντα ἄρα ψευδῆ. ἀλλὰ δέδεικται ὅτι ἀδύνατον. ἔτι τὸ ὂν ἀνάγκη μεταβάλλειν· ἔκ τινος γὰρ εἴς τι ἡ μεταβολή. ἀλλὰ μὴν οὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖται, ποτὲ δέ, ἀεὶ δ' οὐθέν· ἔστι γάρ τι ὃ ἀεὶ κινεῖ τὰ κινούμενα, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον αὐτό.

Δ.

Ἀρχὴ λέγεται ἡ μὲν ὅθεν ἄν τις τοῦ πράγματος κινηθείη πρῶτον, οἷον τοῦ μήκους καὶ ὁδοῦ ἐντεῦθεν μὲν αὕτη

1. μὴ] μὴ οὐ *ST.* ‖ 3. ἀληθεύει ἢ ψεύδεται *S.* ‖ 6. λέγηται A^b. ‖ 7. τὸ ante μὴ om *T.* ‖ 9. γένεσις re *T.* ‖ 12. τὰ ὄντα] ταῦτα A^b. ‖ 13. ἀλλὰ καὶ πλείω *ST.* ‖ 15. ἔσται *S.* ‖ ἐρωμένου *E.* ‖ εἰ om A^b. ‖ 16. ὅτι om *T.* ‖ ἄλλο om A^b. ‖ ἀπέφηνεν *S.* ‖ 18. καὶ αἱ ἄλλαι *EST.* ‖ γὰρ om A^b. ‖ 21. λόγον ζητεῖν *EST.* ‖ 23. αὐτοὺς εἶναι *T.* ‖ 24. ἔσται A^b, γίνεται τοῦ πράγματος *S.* ‖ 27. ὅτι om A^b. ‖ 30. τὰ om *ETA*^{b}. ‖ 32. κωλύει A^b. ‖ 34. οὗτοι] αὐτοῖς *EST.* ‖ τῷ τοῦ ἡρακλείδου A^b.

3. δὴ] δεῖ *E.* ‖ πάσας om *T.* ‖ 4. γ' om *SA*^{b}. ‖ 5. πάντας A^b. ‖ 6. οὐχὶ *EST.* ‖ 7. δεῖ λεκτέον *T.* ‖ λαβόντα A^b. ‖ 8. σημαίνειν *T.* ‖ ἢ] καὶ B^b. ‖ 9. ἢ ante τὸ om A^b. ‖ ἀποφάναι om C^b. ‖ 11. ἢ φάναι om *T.* ‖ ἢ ἀποφάναι om C^b. ‖ 13. μόριον A^b. ‖ 15. τὸ A^b. ‖ 16. ἑαυτοῦ οὐκ *ST.* ‖ 17. οὔ φησιν εἶναι αὐτὸν ἀληθῆ *T*, ὃν φησιν αὐτὸς εἶναι ἀληθῆ ἐκεῖνός φησι μὴ εἶναι ἀληθῆ A^b. ‖ 18. αὐτοῖς *S.* ‖ αὐτόν A^b. ‖ 19. οὐκ om *T.* ‖ ἐστίν om A^b. ‖ αὐτὸς] αὐτὸν codices. ‖ αὐτοῦ om A^b. ‖ οὐ om *T.* ‖ 20. ἀπείρων A^b. ‖ 21. ἀληθῆ om A^b. ‖ 24. πάντα καὶ ἀεὶ A^b. ‖ 28. ἀνάγκη τὸ ὂν *EST.* ‖ 29. εἴς τι] ἐστιν A^b. ‖ 30. δέ add *EA*^{b}. ‖ τι ὅτι *T*, τιν' ὃ A^b. ‖ 31. κινεῖται κ. A^b. ‖ αὐτό] αὐτὸ ἀρχὴ λέγεται A^b. ‖ 34. ἀρχὴ δὲ λ. H^b. ‖ ἡ μὲν λέγεται *T.* ‖ τι A^b.

ἀρχή, ἐξ ἐναντίας δ' ἑτέρα· ἡ δὲ ὅθεν ἂν κάλλιστα γένοιτο ἕκαστον, οἷον καὶ μαθήσεως οὐκ ἀπὸ τοῦ πρώτου καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστ' ἂν μάθοι· ἡ δὲ ὅθεν πρῶτον γίνεται ἐνυπάρχοντος, οἷον ὡς πλοίου τρόπις καὶ οἰκίας θεμέλιος, καὶ τῶν ζῴων οἱ μὲν καρδίαν αἱ δὲ ἐγκέφαλον οἱ δ' ὅ τι ἂν τύχωσι τοιοῦτον ὑπολαμβάνουσιν· ἡ δὲ ὅθεν γίγνεται πρῶτον μὴ ἐνυπάρχοντος, καὶ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι καὶ ἡ μεταβολή, οἷον τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ ἡ μάχη ἐκ τῆς λοιδορίας· ἡ δὲ οὗ κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα καὶ μεταβάλλει τὰ μεταβάλλοντα, ὥσπερ αἵ τε κατὰ πόλεις ἀρχαὶ καὶ αἱ δυναστεῖαι καὶ αἱ βασιλεῖαι καὶ τυραννίδες. ἀρχαὶ λέγονται καὶ αἱ τέχναι, καὶ τούτων αἱ ἀρχιτεκτονικαὶ μάλιστα. ἔτι ὅθεν γνωστὸν τὸ πρᾶγμα πρῶτον· καὶ γὰρ αὕτη ἀρχὴ λέγεται τοῦ πράγματος, οἷον τῶν ἀποδείξεων αἱ ὑποθέσεις. ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται· πάντα γὰρ τὰ αἴτια ἀρχαί. πασῶν μὲν οὖν κοινὸν τῶν ἀρχῶν τὸ πρῶτον εἶναι ὅθεν ἢ ἔστιν ἢ γίγνεται ἢ γιγνώσκεται· τούτων δὲ αἱ μὲν ἐνυπάρχουσαί εἰσιν αἱ δὲ ἐκτός. διὸ ἥ τε φύσις ἀρχὴ καὶ τὸ στοιχεῖον καὶ ἡ διάνοια καὶ ἡ προαίρεσις καὶ οὐσία καὶ τὸ οὗ ἕνεκα· πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τἀγαθὸν καὶ τὸ καλόν.

2 Αἴτιον λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ γίγνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη, ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα· τοῦτο δ' ἐστὶν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τὰ τούτων γένη, οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος. ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ, καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ ἰσχνασία ἢ ἡ κάθαρσις ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι, διαφέρει δὲ ἀλλήλων ὡς ὄντα τὰ μὲν ὄργανα τὰ δ' ἔργα. τὰ μὲν οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται, συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι οὐ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος καὶ ἡ ἀνδριαντοποιικὴ καὶ ὁ χαλκὸς οὐ καθ' ἕτερόν τι ἀλλ' ᾗ ἀνδριάς· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη τὸ δ' ὡς ὅθεν ἡ κίνησις. καὶ ἀλλήλων αἴτια, οἷον τὸ πονεῖν τῆς εὐεξίας καὶ αὕτη τοῦ πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος τὸ δ' ὡς ἀρχὴ κινήσεως. ἔτι δὲ ταὐτὸ ἐνίοτε τῶν ἐναντίων ἐστίν· ὃ γὰρ παρὸν αἴτιον τουδί, τοῦτ' ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου, οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου τῆς ἀνατροπῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. ἄμφω δέ, καὶ ἡ παρουσία καὶ ἡ στέρησις, αἴτια ὡς κινοῦντα. ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ ἡ γῆ καὶ τὰ τοιαῦτα πάντα τῶν σωμάτων, καὶ τὰ μέρη τοῦ ὅλου καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστιν· τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος. τὸ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἢ στάσεως. τὰ δ' ἄλλα ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων· τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι. διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν. τὰ μὲν οὖν αἴτια ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει, τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μέν εἰσι πολλοί, κεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. λέγεται γὰρ αἴτια πολλαχῶς καὶ αὐτῶν τῶν ὁμοειδῶν, προτέρως καὶ ὑστέρως ἄλλο ἄλλο, οἷον ὑγιείας ὁ ἰατρὸς καὶ ὁ τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ἀριθμός, καὶ ἀεὶ τὰ περιέχοντα ὁτιοῦν τῶν καθ' ἕκαστα. ἔτι δ' ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον ἀνδριάντος ἄλλως Πολύκλειτος καὶ ἄλλως ἀνδριαντοποιός, ὅτι συμβέβηκε τῷ ἀν-

1. δ' ἡ ἑτέρα H^b. ‖ γένοιτο ἕκαστον A^b: ceteri ἕκαστον γένοιτο. ‖ 7. πρώτου H^b. ‖ 8. ἡ κίνησις πρῶτον T. ‖ ἡ om A^b. ‖ 10. οὗ T. ‖ 14. ἔτι] ἀρχὴ λέγεται ἔτι A^b. ‖ 15. γὰρ add A^b. ‖ 17. τῶν ἀρχῶν κοινὸν A^b. ‖ 20. τὸ om H^b. ‖ ἡ add EA^bH^b. ‖ 21. ἡ om E. ‖ 23. καλόν F^b: vulgo κακόν. ‖ 24. αἴτιον δὲ λέγεται ET. ‖ τι om T. ‖ 25. ὁ post οἷον om A^b. ‖ 27. ὁ om A^b. ‖ 28. τούτου E. ‖ 36. ἀλλ' οὐ T.

3. μὲν] μὲν ὡς E. ‖ δ'] δ' ὡς ET. ‖ 4. συμβ.] καὶ συμβ. T. ‖ 6. οὐ] καθ' αὑτὸ οὐ F^b. ‖ ἀνδριαντοποιητικὴ TA^b. ‖ 7. χαλκοῦς T. ‖ ἡ T. ‖ 9. ποιεῖ αἴτιον τῆς A^b. ‖ 12. ἐνίοτε om $A^bF^bH^b$. ‖ 13. ἀπὸν A^b: ceteri αὐτό. ‖ 14. ἀνατροπῆς τοῦ πλοίου οὗ H^b. ‖ 15. ἢ τὸ αὐτὸ καὶ A^b. ‖ 16. δὲ καὶ τὰ A^b. ‖ 19. γῆ] γῆ καὶ τὸ ὕδωρ H^b. ‖ πάντων H^b. ‖ 20. προτάσεις H^b. ‖ 25. ἄλλα om A^b F^b. ‖ 27. ἐθέλειν A^b. ‖ εἰπεῖν ἢ ἀγαθὸν ET. ‖ 28. οὖν om A^b. ‖ 30. λέγονται A^b. ‖ 31. γὰρ τὰ αἴτια F^b. ‖ 32. ἄλλου ἄλλο A^b: ceteri ἄλλο ἄλλου. ‖ ὁ post καὶ add A^b. ‖ 34. ἕκαστον A^b.

δριαντοποιῷ Πολυκλείτῳ εἶναι. καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός, οἷον ἄνθρωπος αἴτιος ἀνδριάντος, ἢ καὶ ὅλως ζῷον, ὅτι ὁ Πολύκλειτος ἄνθρωπος, ὁ δὲ ἄνθρωπος ζῷον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πρότερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος, ἀλλὰ μὴ μόνον Πολύκλειτος ἢ ἄνθρωπος. παρὰ πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ τὰ κατὰ συμβεβηκός, τὰ μὲν ὡς δυνάμενα λέγεται τὰ δ' ὡς ἐνεργοῦντα, οἷον τοῦ οἰκοδομεῖσθαι οἰκοδόμος ἢ οἰκοδομῶν οἰκοδόμος. ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια τοῖς εἰρημένοις, οἷον τοῦδε τοῦ ἀνδριάντος ἢ ἀνδριάντος ἢ ὅλως εἰκόνος, καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ ἢ ὅλως ὕλης· καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα λεχθήσεται, οἷον οὐ Πολύκλειτος οὐδὲ ἀνδριαντοποιός, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. ἀλλ' ὅμως ἅπαντά γε ταῦτ' ἐστὶ τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς· ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος αὐτοῦ, ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ ἁπλῶς λεγόμενα, ἔτι ὡς ἐνεργοῦντα ἢ κατὰ δύναμιν. διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστιν αὐτά τε καὶ ὧν αἴτια, οἷον ὅδε ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ, καὶ ὅδε ὁ οἰκοδόμος τῷδε τῷ οἰκοδομουμένῳ, τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί· φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

3 Στοιχεῖον λέγεται ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος, οἷον φωνῆς στοιχεῖα ἐξ ὧν σύγκειται ἡ φωνὴ καὶ εἰς ἃ διαιρεῖται ἔσχατα, ἐκεῖνα δὲ μηκέτ' εἰς ἄλλας φωνὰς ἑτέρας τῷ εἴδει αὐτῶν. ἀλλὰ κἂν διαιρῆται, τὰ μόρια ὁμοειδῆ, οἷον ὕδατος τὸ μόριον ὕδωρ, ἀλλ' οὐ τῆς συλλαβῆς. ὁμοίως δὲ καὶ τὰ τῶν σωμάτων στοιχεῖα λέγουσιν οἱ λέγοντες, εἰς ἃ διαιρεῖται τὰ σώματα ἔσχατα, ἐκεῖνα δὲ μηκέτ' εἰς ἄλλα εἴδει διαφέροντα· καὶ εἴτε ἓν εἴτε πλείω τὰ τοιαῦτα, ταῦτα στοιχεῖα λέγουσιν. παραπλησίως δὲ καὶ τὰ τῶν διαγραμμάτων στοιχεῖα λέγεται, καὶ ὅλως τὰ τῶν ἀποδείξεων· αἱ γὰρ πρῶται ἀποδείξεις καὶ ἐν πλείοσιν ἀποδείξεσιν ἐνυπάρχουσαι, αὗται στοιχεῖα τῶν ἀποδείξεων λέγονται· εἰσὶ δὲ τοιοῦτοι συλλογισμοὶ οἱ πρῶτοι ἐκ τῶν τριῶν δι' ἑνὸς μέσου. καὶ μεταφέροντες δὲ στοιχεῖον καλοῦσιν ἐντεῦθεν, ὃ ἂν ἓν ὂν καὶ μικρὸν ἐπὶ πολλὰ ᾖ χρήσιμον. διὸ καὶ τὸ μικρὸν καὶ ἁπλοῦν καὶ ἀδιαίρετον στοιχεῖον λέγεται. ὅθεν ἐλήλυθε τὰ μάλιστα καθόλου στοιχεῖα εἶναι, ὅτι ἕκαστον αὐτῶν ἓν ὂν καὶ ἁπλοῦν ἐν πολλοῖς ὑπάρχει ἢ πᾶσιν ἢ ὅτι πλείστοις. διὸ καὶ τὸ ἓν καὶ τὴν στιγμὴν ἀρχάς τισι δοκεῖ εἶναι. ἐπεὶ οὖν τὰ καλούμενα γένη καθόλου καὶ ἀδιαίρετα (εἷς γάρ ἐστι λόγος αὐτῶν), στοιχεῖα τὰ γένη λέγουσί τινες, καὶ μᾶλλον ἢ τὴν διαφοράν, ὅτι καθόλου μᾶλλον τὸ γένος· ᾧ μὲν γὰρ ἡ διαφορὰ ὑπάρχει, καὶ τὸ γένος ἀκολουθεῖ, ᾧ δὲ τὸ γένος, οὐ παντὶ ἡ διαφορά. ἁπάντων δὲ κοινὸν τὸ εἶναι στοιχεῖον ἑκάστου τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ.

Φύσις λέγεται ἕνα μὲν τρόπον ἡ τῶν φυομένων γένεσις, οἷον εἴ τις ἐπεκτείνας λέγοι τὸ υ, ἕνα δὲ ἐξ οὗ φύεται πρῶτον τὸ φυόμενον ἐνυπάρχοντος· ἔτι ὅθεν ἡ κίνησις ἡ πρώτη ἐν ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ ᾗ αὐτὸ ὑπάρχει. φύεσθαι δὲ λέγεται ὅσα αὔξησιν ἔχει δι' ἑτέρου τῷ ἅπτεσθαι καὶ συμπεφυκέναι ἢ προσπεφυκέναι ὥσπερ τὰ ἔμβρυα. διαφέρει δὲ σύμφυσις ἁφῆς· ἔνθα μὲν γὰρ οὐθὲν παρὰ τὴν ἁφὴν ἕτερον ἀνάγκη εἶναι, ἐν δὲ τοῖς συμπεφυκόσιν ἐστί τι ἓν τὸ αὐτὸ ἐν ἀμφοῖν, ὃ ποιεῖ ἀντὶ τοῦ ἅπτεσθαι συμπεφυκέναι καὶ εἶναι ἓν κατὰ τὸ συνεχὲς καὶ ποσόν, ἀλλὰ μὴ κατὰ τὸ ποιόν. ἔτι δὲ φύσις λέγεται ἐξ οὗ πρώτου ἢ ἔστιν ἢ γίγνεταί τι τῶν φύσει ὄντων, ἀρρυθμίστου ὄντος καὶ ἀμεταβλήτου ἐκ τῆς δυνάμεως τῆς αὐτοῦ, οἷον ἀνδριάντος καὶ τῶν σκευῶν τῶν χαλκῶν ὁ χαλκὸς ἡ φύσις λέγεται, τῶν δὲ ξυλίνων ξύλον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐκ τούτων γάρ ἐστιν ἕκαστον διασωζομένης τῆς πρώτης ὕλης· τοῦτον γὰρ τὸν τρόπον καὶ τῶν φύσει ὄντων τὰ στοιχεῖά φασιν εἶναι φύσιν, οἱ μὲν πῦρ οἱ δὲ γῆν οἱ δ' ἀέρα οἱ δ' ὕδωρ οἱ δ' ἄλλο τι τοιοῦτον λέγοντες, οἱ δ' ἔνια τούτων, οἱ δὲ πάντα ταῦτα. ἔτι δ' ἄλλον τρόπον λέγεται ἡ φύσις ἡ τῶν φύσει ὄντων οὐσία, οἷον οἱ λέγοντες τὴν φύσιν εἶναι τὴν πρώτην σύνθεσιν, ὥσπερ Ἐμπεδοκλῆς

2. ἢ] εἴη ἢ A^b. ‖ 4. ἄλλα A^bF^b: vulgo ἄλλο. ‖ πορρώτερα καὶ ἐγγύτερα A^bF^b, πορρώτερον καὶ ἐγγύτερον EH^b. ‖ 5. λέγοιτο] εἶ(;)οιτο A^b. ‖ 7. τὰ ante κατὰ om T. ‖ 9. οἷον τὸ τοῦ A^b. ‖ 11. ἢ E. ‖ 12. καὶ] ἢ ET. ‖ ἢ E. ‖ 15. ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός om T. ‖ 17. ἢ ὡς τὸ γένος αὐτοῦ om ET. ‖ 19. ἔτι] πάντα δὲ A^b. ‖ 22. αὐτά τε om A^bF^b. ‖ ὁ om A^b. ‖ 23. τὸ T. ‖ 27. εἰς ἕτερον εἶδος om F^b. ‖ 28. διαιρεῖ E. ‖ 30. κἂν] ἂν καὶ A^b. ‖ 34. διαφέροντα σώματα καὶ ET.

2. δὲ οἱ τοιοῦτοι T. ‖ ἐκ om F^b. ‖ 3. τριῶν] τριῶν μέσων A^b. ‖ 8. διὸ A^b, ὁμοίως F^b: ceteri om. ‖ 9. δοκεῖ E. ‖ 10. εἰ] ἢ A^bF^b. ‖ 11. τινες εἶναι καὶ A^b. ‖ 12. γὰρ om T. ‖ 16. φύσις δὲ λέγεται E, φύσις μὲν λέγεται T. ‖ 17. υ] γ T. ‖ 18. πρώτου [illegible] E. ‖ φαινόμενον T. ‖ 19. ᾗ αὐτῷ E: ceteri αὐτό. ‖ 21. συμπεφυκέναι ἢ om A^b. ‖ 23. περὶ T. ‖ 26. δὲ om A^b. ‖ 28. ἑαυτοῦ ET. ‖ 36. ὄντων φύσει H^b. ‖ 37. ὥσπερ] ἢ ὥσπερ EA^b.

λέγει ὅτι "φύσις οὐθενός ἐστιν ἐόντων, ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων ἐστί, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν." διὸ καὶ ὅσα φύσει ἐστὶν ἢ γίγνεται, ἤδη ὑπάρχοντος ἐξ οὗ πέφυκε γίγνεσθαι ἢ εἶναι, οὔπω φαμὲν τὴν φύσιν ἔχειν, ἂν μὴ ἔχῃ τὸ εἶδος καὶ τὴν μορφήν. φύσει μὲν οὖν τὸ ἐξ ἀμφοτέρων τούτων ἐστίν, οἷον τὰ ζῷα καὶ τὰ μόρια αὐτῶν· φύσις δὲ ἥ τε πρώτη ὕλη, καὶ αὕτη διχῶς, ἢ ἡ πρὸς αὐτὸ πρώτη ἢ ἡ ὅλως πρώτη, οἷον τῶν χαλκῶν ἔργων πρὸς αὐτὰ μὲν πρῶτος ὁ χαλκός, ὅλως δ' ἴσως ὕδωρ, εἰ πάντα τὰ τηκτὰ ὕδωρ, καὶ τὸ εἶδος καὶ ἡ οὐσία· τοῦτο δ' ἐστὶ τὸ τέλος τῆς γενέσεως. μεταφορᾷ δ' ἤδη καὶ ὅλως πᾶσα οὐσία φύσις λέγεται διὰ ταύτην, ὅτι καὶ ἡ φύσις οὐσία τίς ἐστιν. ἐκ δὴ τῶν εἰρημένων ἡ πρώτη φύσις καὶ κυρίως λεγομένη ἐστὶν ἡ οὐσία ἡ τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν αὑτοῖς ᾗ αὐτά· ἡ γὰρ ὕλη τῷ ταύτης δεκτικὴ εἶναι λέγεται φύσις, καὶ αἱ γενέσεις καὶ τὸ φύεσθαι τῷ ἀπὸ ταύτης εἶναι κινήσεις. καὶ ἡ ἀρχὴ τῆς κινήσεως τῶν φύσει ὄντων αὕτη ἐστὶν ἐνυπάρχουσά πως ἢ δυνάμει ἢ ἐντελεχείᾳ.

5 Ἀναγκαῖον λέγεται, οὗ ἄνευ οὐκ ἐνδέχεται ζῆν ὡς συναιτίου, οἷον τὸ ἀναπνεῖν καὶ ἡ τροφὴ τῷ ζῴῳ ἀναγκαῖον· ἀδύνατον γὰρ ἄνευ τούτων εἶναι. καὶ ὧν ἄνευ τὸ ἀγαθὸν μὴ ἐνδέχεται ἢ εἶναι ἢ γενέσθαι, ἤ τι κακὸν ἀποβαλεῖν ἢ στερηθῆναι, οἷον τὸ πιεῖν τὸ φάρμακον ἀναγκαῖον ἵνα μὴ κάμνῃ, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν ἵν' ἀπολάβῃ τὰ χρήματα. ἔτι τὸ βίαιον καὶ ἡ βία· τοῦτο δ' ἐστὶ τὸ παρὰ τὴν ὁρμὴν καὶ τὴν προαίρεσιν ἐμποδίζον καὶ κωλυτικόν. τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὔηνός φησι "πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ." καὶ ἡ βία ἀνάγκη τις, ὥσπερ καὶ Σοφοκλῆς λέγει "ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν." καὶ δοκεῖ ἡ ἀνάγκη ἀμετάπειστόν τι εἶναι, ὀρθῶς· ἐναντίον γὰρ τῇ κατὰ τὴν προαίρεσιν κινήσει καὶ κατὰ τὸν λογισμόν. ἔτι τὸ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν ἀναγκαῖόν φαμεν οὕτως ἔχειν. καὶ κατὰ τοῦτο τὸ ἀναγκαῖον καὶ τἆλλα λέγεταί πως ἅπαντα ἀναγκαῖα· τό τε γὰρ βίαιον ἀναγκαῖον λέγεται ἢ ποιεῖν ἢ πάσχειν τότε, ὅταν μὴ ἐνδέχηται κατὰ τὴν ὁρμὴν διὰ τὸ βιαζόμενον, ὡς ταύτην ἀνάγκην οὖσαν, δι' ἣν μὴ ἐνδέχεται ἄλλως, καὶ ἐπὶ τῶν συναιτίων τοῦ ζῆν καὶ τοῦ ἀγαθοῦ ὡσαύτως· ὅταν γὰρ μὴ ἐνδέχηται ἔνθα μὲν τὸ ἀγαθὸν ἔνθα δὲ τὸ ζῆν καὶ τὸ εἶναι ἄνευ τινῶν, ταῦτα ἀναγκαῖα καὶ ἡ αἰτία ἀνάγκη τίς ἐστιν αὕτη. ἔτι ἡ ἀπόδειξις τῶν ἀναγκαίων, ὅτι οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ ἀποδέδεικται ἁπλῶς· τούτου δ' αἴτια τὰ πρῶτα, εἰ ἀδύνατον ἄλλως ἔχειν ἐξ ὧν ὁ συλλογισμός. τῶν μὲν δὴ ἕτερον αἴτιον τοῦ ἀναγκαῖα εἶναι, τῶν δὲ οὐθέν, ἀλλὰ διὰ ταῦτα ἕτερά ἐστιν ἐξ ἀνάγκης. ὥστε τὸ πρῶτον καὶ κυρίως ἀναγκαῖον τὸ ἁπλοῦν ἐστίν· τοῦτο γὰρ οὐκ ἐνδέχεται πλεοναχῶς ἔχειν, ὥστ' οὐδὲ ἄλλως καὶ ἄλλως· ἤδη γὰρ πλεοναχῶς ἂν ἔχοι. εἰ ἄρα ἐστὶν ἄττα ἀΐδια καὶ ἀκίνητα, οὐθὲν ἐκείνοις ἐστὶ βίαιον οὐδὲ παρὰ φύσιν.

Ἓν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' 6
αὑτό, κατὰ συμβεβηκὸς μὲν οἷον Κορίσκος καὶ τὸ μουσικὸν καὶ Κορίσκος μουσικός· ταὐτὸ γὰρ εἰπεῖν Κορίσκος καὶ τὸ μουσικόν, καὶ Κορίσκος μουσικός. καὶ τὸ μουσικὸν καὶ τὸ δίκαιον, καὶ μουσικὸς δίκαιος Κορίσκος· πάντα γὰρ ταῦτα ἓν λέγεται κατὰ συμβεβηκός, τὸ μὲν δίκαιον καὶ τὸ μουσικόν, ὅτι μιᾷ οὐσίᾳ συμβέβηκεν, τὸ δὲ μουσικὸν καὶ Κορίσκος, ὅτι θάτερον θατέρῳ συμβέβηκεν. ὁμοίως δὲ τρόπον τινὰ καὶ ὁ μουσικὸς Κορίσκος τῷ Κορίσκῳ ἕν, ὅτι θάτερον τῶν μορίων θατέρῳ συμβέβηκε τῶν ἐν τῷ λόγῳ, οἷον τὸ μουσικὸν τῷ Κορίσκῳ, καὶ ὁ μουσικὸς Κορίσκος δικαίῳ Κορίσκῳ, ὅτι ἑκατέρου μέρος τῷ αὐτῷ ἑνὶ συμβέβηκεν ἕν. ὡσαύτως δὲ κἂν ἐπὶ γένους κἂν ἐπὶ τῶν καθόλου τινὸς ὀνομάτων λέγηται τὸ συμβεβηκός, οἷον ὅτι ἄνθρωπος τὸ αὐτὸ καὶ μουσικὸς ἄνθρωπος· ἢ γὰρ ὅτι τῷ ἀνθρώπῳ μιᾷ οὔσῃ οὐσίᾳ συμβέβηκε τὸ μουσικόν, ἢ ὅτι ἄμφω τῶν καθ' ἕκαστόν τινι συμβέβηκεν, οἷον Κορίσκῳ. πλὴν οὐ τὸν αὐτὸν τρόπον ἄμφω ὑπάρχει, ἀλλὰ τὸ μὲν ἴσως ὡς γένος καὶ ἐν τῇ οὐσίᾳ, τὸ δὲ ὡς ἕξις ἢ πάθος τῆς οὐσίας. ὅσα μὲν οὖν κατὰ συμβεβηκὸς λέγεται ἕν, τοῦτον τὸν τρόπον λέγεται. τῶν δὲ καθ' ἑαυτὰ ἓν λεγομένων τὰ μὲν λέγεται τῷ

2. τε om A^b. ‖ ἐστὶ καὶ φύσις A^b. ‖ τοῖς EA^b: ceteri τοῖσδ'. ‖ 3. ἐστι φύσει T. ‖ 5. ἐὰν A^b. ‖ 8. ἡ post διχῶς et ἡ ante ὅλως om A^b. ‖ 11. τούτου T. ‖ μεταφορὰ A^b. ‖ 16. καὶ γένεσις A^b. ‖ τῷ TA^b. ‖ 17. εἶναι κίνησις A^b. ‖ 18. τῶν] ἕως τῶν F^b. ‖ ἢ αὐτὴ A^b. ‖ 19. ἐνεργείᾳ F^b. ‖ 23. τι] τὸ A^b. ‖ 25. ἀπολάβῃ] μὴ ἀποβάλῃ T. ‖ 27. τὴν post καὶ om A^b. ‖ 30. λέγει et 33. τὴν om T. ‖ 33. καὶ τῇ κατὰ F^b. ‖ 36. ἀναγκαῖα] ἀναγκαῖον T.

2. ὥστ' αὐτὴν T. ‖ 4. ἐνδέχεται A^b. ‖ 6. αὐτῆς A^b. ‖ 10. δι' ἕτερον αἴτιον τὸ ἀναγκαῖον A^b. ‖ 14. ἄρα] γὰρ A^b. ‖ ἄττα καὶ ἀΐδια καὶ A^b. ‖ 15. οὐδ' ἐν E. ‖ 16. ἓν] τὸ ἓν F^b. ‖ τὸ δὲ — 17. μὲν om A^b. ‖ 18. Κορίσκος] ὁ κορίσκος T, κορίσκος καὶ A^b. ‖ ταὐτὸ — 19. μουσικός· καὶ om A^b. ‖ 20. δίκαιος om A^b. ‖ 22. τὸ — 23. συμβέβηκεν om E. ‖ 27. μέρους TA^b. ‖ τῷ om T. ‖ ἓν om A^b. adduunt ET οὐδὲν γὰρ διαφέρει ἢ Κορίσκῳ τὸ μουσικὸν συμβεβηκέναι. ‖ 28. τοῦ T. ‖ 29. ὅτι ὁ ἄνθρωπος A^b. ‖ 30. τῶν ἀτόμων T. ‖ 34. ὡς om T.

συνεχῆ εἶναι, οἷον φάκελλος δεσμῷ καὶ ξύλα κόλλῃ, καὶ γραμμὴ κἂν κεκαμμένη ᾖ, συνεχὴς δέ, μία λέγεται, ὥσπερ καὶ τῶν μερῶν ἕκαστον, οἷον σκέλος καὶ βραχίων. αὐτῶν δὲ τούτων μᾶλλον ἓν τὰ φύσει συνεχῆ ἢ τέχνῃ. συνεχὲς δὲ λέγεται, οὗ κίνησις μία καθ' αὑτὸ καὶ μὴ οἷόν τε ἄλλως· μία δ' ὧ ἀδιαίρετος, ἀδιαίρετος δὲ κατὰ χρόνον. καθ' αὑτὰ δὲ συνεχῆ ὅσα μὴ ἁφῇ ἕν· εἰ γὰρ θείης ἁπτόμενα ἀλλήλων ξύλα, ὐ φήσεις ταῦτα εἶναι ἕν, οὔτε ξύλον ὔτε σῶμα ὔτ' ἄλλο συνεχὲς οὐθέν. τά τε δὴ ὅλως συνεχῆ ἓν λέγεται, κἂν ἔχῃ κάμψιν, καὶ ἔτι μᾶλλον τὰ μὴ ἔχοντα κάμψιν, οἷον κνήμη ἢ μηρὸς σκέλυς, ὅτι ἐνδέχεται μὴ μίαν εἶναι τὴν κίνησιν τῦ σκέλυς. καὶ ἡ εὐθεῖα τῆς κεκαμμένης μᾶλλον ἕν. τὴν δὲ κεκαμμένην καὶ ἔχουσαν γωνίαν καὶ μίαν καὶ ὐ μίαν λέγομεν, ὅτι ἐνδέχεται καὶ μὴ ἅμα τὴν κίνησιν αὐτῆς εἶναι καὶ ἅμα· τῆς δ' εὐθείας ἀεὶ ἅμα, καὶ οὐθὲν μόριον ἔχον μέγεθος τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, ὥσπερ τῆς κεκαμμένης. ἔτι ἄλλον τρόπον ἓν λέγεται τῷ τὸ ὑποκείμενον τῷ εἴδει εἶναι ἀδιάφορον. ἀδιάφορα δ' ὧν ἀδιαίρετον τὸ εἶδος κατὰ τὴν αἴσθησιν· τὸ δ' ὑποκείμενον ἢ τὸ πρῶτον ἢ τὸ τελευταῖον πρὸς τὸ τέλος. καὶ γὰρ οἶνος εἷς λέγεται καὶ ὕδωρ ἕν, ᾗ ἀδιαίρετον κατὰ τὸ εἶδος· καὶ οἱ χυμοὶ πάντες λέγονται ἕν, οἷον ἔλαιον οἶνος καὶ τὰ τηκτά, ὅτι πάντων τὸ ἔσχατον ὑποκείμενον τὸ αὐτό· ὕδωρ γὰρ ἢ ἀὴρ πάντα ταῦτ' ἐστίν. λέγεται δ' ἓν καὶ ὧν τὸ γένος ἓν διαφέρον ταῖς ἀντικειμέναις διαφοραῖς. καὶ ταῦτα λέγεται ἓν πάντα, ὅτι τὸ γένος ἓν τὸ ὑποκείμενον ταῖς διαφοραῖς, οἷον ἵππος ἄνθρωπος κύων ἕν τι, ὅτι πάντα ζῷα, καὶ τρόπον δὴ παραπλήσιον, ὥσπερ ἡ ὕλη μία. ταῦτα δὲ ὁτὲ μὲν ὕτως ἓν λέγεται, ὁτὲ δὲ τὸ ἄνω γένος, ὃ ταὐτὸν λέγεται, ἂν ᾖ τελευταῖα τῦ γένυς εἴδη τὰ ἀνωτέρω τύτων, οἷον τὸ ἰσοσκελὲς καὶ τὸ ἰσόπλευρον ταὐτὸ καὶ ἓν σχῆμα, ὅτι ἄμφω τρίγωνα· τρίγωνα δ' οὐ ταὐτά. ἔτι δὲ ἓν λέγεται ὅσων ὁ λόγος ὁ τὸ τί ἦν εἶναι λέγων ἀδιαίρετος πρὸς ἄλλον τὸν δηλῦντα τί ἦν εἶναι τὸ πρᾶγμα· αὐτὸς γὰρ καθ' αὑτὸν πᾶς λόγος διαιρετός. ὕτω γὰρ καὶ τὸ ηὐξημένον καὶ φθῖνον ἕν ἐςιν, ὅτι ὁ λόγος εἷς, ὥσπερ ἐπὶ τῶν ἐπιπέδων ὁ τοῦ εἴδυς εἷς. ὅλως δὲ ὧν ἡ νόησις ἀδιαίρετος ἡ νοῦσα τὸ τί ἦν εἶναι, καὶ μὴ δύναται χωρίσαι μήτε χρόνῳ μήτε τόπῳ μήτε λόγῳ, μάλιςα ταῦτα ἕν. καὶ τύτων ὅσα ὐσίαι· καθόλυ γὰρ ὅσα μὴ ἔχει διαίρεσιν, ᾗ μὴ ἔχει, ταύτῃ ἓν λέγεται, οἷον εἰ ᾗ ἄνθρωπος μὴ ἔχει διαίρεσιν, εἷς ἄνθρωπος, εἰ δ' ᾗ ζῷον, ἓν ζῷον, εἰ δὲ ᾗ μέγεθος, ἓν μέγεθος. τὰ μὲν οὖν πλεῖστα ἓν λέγεται τῷ ἕτερόν τι ἢ ποιεῖν ἢ πάσχειν ἢ ἔχειν ἢ πρός τι εἶναι ἕν, τὰ δε πρώτως λεγόμενα ἕν, ὧν ἡ οὐσία μία. μία δὲ ἢ συνεχείᾳ ἢ εἴδει ἢ λόγῳ· καὶ γὰρ ἀριθμῦμεν ὡς πλείω ἢ τὰ μὴ συνεχῆ, ἢ ὧν μὴ ἓν τὸ εἶδος, ἢ ὧν ὁ λόγος μὴ εἷς. ἐπεὶ δ' ἔςι μὲν ὡς ὁτιοῦν ἓν φαμὲν εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές, ἔςι δ' ὡς ὔ, ἂν μή τι ὅλον ᾖ, τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἔχῃ ἕν· οἷον οὐκ ἂν φαῖμεν ὁμοίως ἓν ἰδόντες ὁπωσοῦν τὰ μέρη συγκείμενα τοῦ ὑποδήματος, ἂν μὴ διὰ τὴν συνέχειαν, ἀλλ' ἐὰν ὕτως ὥςε ὑπόδημα εἶναι καὶ εἶδός τι ἤδη ἔχειν ἕν. διὸ καὶ ἡ τῦ κύκλυ μάλιστα μία τῶν γραμμῶν, ὅτι ὅλη καὶ τέλειός ἐςιν. τὸ δὲ ἑνὶ εἶναι ἀρχῇ τινί ἐστιν ἀριθμοῦ εἶναι· τὸ γὰρ πρῶτον μέτρον ἀρχή· ᾧ γὰρ πρώτῳ γνωρίζομεν, τῦτο πρῶτον μέτρον ἑκάςυ γένυς· ἀρχὴ ὖν τοῦ γνωςοῦ περὶ ἕκαςον τὸ ἕν. οὐ ταὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν. ἔνθα μὲν γὰρ δίεσις, ἔνθα δὲ τὸ φωνῆεν ἢ ἄφωνον· βάρυς δ' ἕτερον καὶ κινήσεως ἄλλο. πανταχοῦ δὲ τὸ ἓν ἢ τῷ ποσῷ ἢ τῷ εἴδει ἀδιαίρετον. τὸ μὲν ὖν κατὰ τὸ ποσὸν καὶ ᾗ ποσὸν ἀδιαίρετον, τὸ μὲν πάντῃ καὶ ἄθετον λέγεται μονάς, τὸ δὲ πάντῃ καὶ θέσιν ἔχον ςιγμή, τὸ δὲ μοναχῇ γραμμή, τὸ δὲ διχῇ ἐπίπεδον, τὸ δὲ πάντῃ καὶ τριχῇ διαιρετὸν κατὰ τὸ ποσὸν σῶμα. καὶ ἀντιςρέψαντι δὴ τὸ μὲν διχῇ διαιρετὸν ἐπίπεδον, τὸ δὲ μοναχῇ γραμμή· τὸ δὲ μηδαμῇ διαιρετὸν κατὰ τὸ ποσὸν ςιγμὴ καὶ μονάς, ἡ μὲν ἄθετος μονάς, ἡ δὲ θετὸς στιγμή. ἔτι δὲ τὰ μὲν κατ' ἀριθμόν ἐστιν ἕν, τὰ δὲ κατ' εἶδος, τὰ δὲ κατὰ γένος, τὰ δὲ κατ' ἀναλογίαν, ἀριθμῷ μὲν ὧν ἡ ὕλη μία, εἴδει δ' ὧν ὁ λόγος εἷς, γένει δ' ὧν τὸ αὐτὸ σχῆμα τῆς κατηγορίας, κατ' ἀναλογίαν δὲ ὅσα ἔχει ὡς ἄλλο πρὸς ἄλλο. ἀεὶ δὲ τὰ ὕςερα τοῖς ἔμπροσθεν ἀκολυθεῖ, οἷον ὅσα ἀριθμῷ καὶ εἴδει ἕν, ὅσα δ' εἴδει ὐ πάντα ἀριθμῷ·

1. φάκελος *ET*, σφάκελλος *F^b*. ‖ 2. κεκλασμένη *H^b*. ‖ 3. οἷον add *A^b*. ‖ 6. κατὰ τὸν χρ. *F^bH^b*. ‖ 15. ἀεὶ] δεῖ *A^b*. ‖ 17. ἓν om *ET*. ‖ 18. ἀδιάφορον *E*. ἀδιάφορα δὲ om *A^b*. ‖ 23. ᾗ] καὶ *T*. ‖ 26. πάντα ἓν *ET*. ‖ 27. τι om *A^b*. ‖ 29. ταὐτὸ *E*, τὸ αὐτὸ *A^b*. ‖ 31. τὸ μὲν ἰσοσκελὲς *T*. ‖ 32. τρίγωνον *ET*. ‖ 33. ὁ ante τὸ om *A^b*. ‖ 34. ἦν om *T*. ‖ 35. πᾶς ὁ λ. *T*. ‖ ἀδιαίρετος *A^b*.

1. εἷς om *A^b*. ‖ 4. γὰρ] δὲ *E*. ‖ ᾗ μὴ ἔχει om *A^b*. ‖ 7. ἢ πάσχειν post ἢ ἔχειν *EA^b*. ‖ 9. γε καὶ ἀριθμῷ μόνως: καὶ ἐπεὶ δ' ἐστὶ [illegible] τὰ μὲν κτλ. margo *E*. ‖ 10. ἢ om *A^b*. ‖ ἢ ὧν μὴ — 11. εἷς om *A^b*. ‖ 11. ἐπεὶ] ἔτι *T*. ‖ ἓν om *F^b*. ‖ ἓν συνεχείᾳ *T*. ‖ 13. τὸ] τὰ *A^b*. ‖ οἷον add *EA^b*. ‖ 14. ὁπωσοῦν ἰδόντες *A^b*. ‖ 15. ἂν μὴ] ἓν *T*. ‖ 16. ἔχειν ἤδη *ET*. ‖ 17. καὶ om *T*. ‖ 18. ἓν *A^bH^b*. ‖ [illegible] *A^b*. ‖ ἀριθμῷ *ET*, ἀριθμοῦ καὶ τοῦ *H^b*. ‖ 19. μέτρον ἑκάστου γένους ἀρχή *A^b*. ‖ γνωρίζομέν τι τῦτο *F^b*. ‖ 24. καὶ ᾗ ποσὸν om *A^b*. ‖ 30. θετὴ *T*. ‖ 31. δὲ et ἐστιν om *A^b*. ‖ 33. μὲν ὖν ὧν *A^b*. ‖ εἷς om *A^b*. ‖ 35. δὴ *ET*.

ἀλλὰ γένει πάντα ἓν ὅσαπερ καὶ εἴδει· ὅσα δὲ γένει ὐ πάντα εἴδει ἀλλ' ἀναλογίᾳ· ὅσα δὲ ἓν ἀναλογίᾳ, ὐ πάντα γένει. φανερὸν δὲ καὶ ὅτι τὰ πολλὰ ἀντικειμένως λεχθήσεται τῷ ἑνί· τὰ μὲν γὰρ τῷ μὴ συνεχῆ εἶναι, τὰ δὲ τῷ διαιρετὴν ἔχειν τὴν ὕλην κατὰ τὸ εἶδος, ἢ τὴν πρώτην ἢ τὴν τελευταίαν, τὰ δὲ τῷ τὺς λόγυς πλείυς τὺς τί ἦν εἶναι, λέγονται.

7 Τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό, κατὰ συμβεβηκὸς μέν, οἷον τὸν δίκαιον μουσικὸν εἶναί φαμεν καὶ τὸν ἄνθρωπον μουσικὸν καὶ τὸν μουσικὸν ἄνθρωπον, παραπλησίως λέγοντες ὥσπερ τὸν μυσικὸν οἰκοδομεῖν, ὅτι συμβέβηκε τῷ οἰκοδόμῳ μουσικῷ εἶναι ἢ τῷ μυσικῷ οἰκοδόμῳ· τὸ γὰρ τόδε εἶναι τόδε σημαίνει τὸ συμβεβηκέναι τῷδε τόδε. οὕτω δὲ καὶ ἐπὶ τῶν εἰρημένων· τὸν γὰρ ἄνθρωπον ὅταν μυσικὸν λέγωμεν καὶ τὸν μυσικὸν ἄνθρωπον, ἢ τὸν λευκὸν μυσικὸν ἢ τοῦτον λευκόν, τὸ μὲν ὅτι ἄμφω τῷ αὐτῷ συμβεβήκασι, τὸ δ' ὅτι συμβέβηκε τῷ ὄντι· τὸ δὲ μυσικὸν ἄνθρωπον, ὅτι τύτῳ τὸ μυσικὸν συμβέβηκεν. οὕτω δὲ λέγεται καὶ τὸ μὴ λευκὸν εἶναι, ὅτι ᾧ συμβέβηκεν, ἐκεῖνό ἐστιν. τὰ μὲν οὖν κατὰ συμβεβηκὸς εἶναι λεγόμενα οὕτω λέγεται ἢ διότι τῷ αὐτῷ ὄντι ἄμφω ὑπάρχει, ἢ ὅτι ὄντι ἐκείνῳ ὑπάρχει, ἢ ὅτι αὐτό ἐστιν ᾧ ὑπάρχει ὐ αὐτὸ κατηγορεῖται. καθ' αὑτὰ δὲ εἶναι λέγεται ὅσαπερ σημαίνει τὰ σχήματα τῆς κατηγορίας· ὁσαχῶς γὰρ λέγεται, τοσαυταχῶς τὸ εἶναι σημαίνει. ἐπεὶ οὖν τῶν κατηγορυμένων τὰ μὲν τί ἐςι σημαίνει, τὰ δὲ ποιόν, τὰ δὲ ποσόν, τὰ δὲ πρός τι, τὰ δὲ ποιεῖν ἢ πάσχειν, τὰ δὲ ποῦ, τὰ δὲ πότε, ἑκάστῳ τύτων τὸ εἶναι ταὐτὸ σημαίνει. οὐθὲν γὰρ διαφέρει τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν ἢ τὸ ἄνθρωπος ὑγιαίνει, οὐδὲ τὸ ἄνθρωπος βαδίζων ἐςὶν ἢ τέμνων τοῦ ἄνθρωπος βαδίζει ἢ τέμνει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔτι τὸ εἶναι σημαίνει καὶ τὸ ἔςιν ὅτι ἀληθές, τὸ δὲ μὴ εἶναι ὅτι ὐκ ἀληθὲς ἀλλὰ ψεῦδος. ὁμοίως ἐπὶ καταφάσεως καὶ ἀποφάσεως, οἷον ὅτι ἔστι Σωκράτης μουσικός, ὅτι ἀληθὲς τῦτο, ἢ ὅτι ἔςι Σωκράτης οὐ λευκός, ὅτι ἀληθές· τὸ δ' ὐκ ἔςιν ἡ διάμετρος ἀσύμμετρος, ὅτι ψεῦδος. ἔτι τὸ εἶναι σημαίνει καὶ τὸ ὄν, τὸ μὲν δυνάμει ῥητόν, τὸ δ' ἐντελεχείᾳ τῶν εἰρημένων τύτων. ὁρῶν τε γὰρ εἶναί φαμεν καὶ τὸ δυνάμει [ῥητῶς] ὁρῶν καὶ τὸ ἐντελεχείᾳ· καὶ τὸ ἐπίςασθαι ὡσαύτως καὶ τὸ δυνάμενον χρῆσθαι τῇ ἐπιστήμῃ καὶ τὸ χρώμενον· καὶ τὸ ἠρεμοῦν καὶ ᾧ ἤδη ὑπάρχει ἠρεμία καὶ τὸ δυνάμενον ἠρεμεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν οὐσιῶν· καὶ γὰρ Ἑρμῆν ἐν τῷ λίθῳ φαμὲν εἶναι, καὶ τὸ ἥμισυ τῆς γραμμῆς, καὶ σῖτον τὸν μήπω ἁδρόν. πότε δὲ δυνατὸν καὶ πότε ὔπω, ἐν ἄλλοις διοριςέον.

8 Οὐσία λέγεται τά τε ἁπλᾶ σώματα, οἷον γῆ καὶ πῦρ καὶ ὕδωρ καὶ ὅσα τοιαῦτα, καὶ ὅλως σώματα καὶ τὰ ἐκ τούτων συνεστῶτα ζῷά τε καὶ δαιμόνια καὶ τὰ μόρια τύτων. ἅπαντα δὲ ταῦτα λέγεται ὐσία ὅτι οὐ καθ' ὑποκειμένου λέγεται, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα. ἄλλον δὲ τρόπον ὃ ἂν ᾖ αἴτιον τοῦ εἶναι, ἐνυπάρχον ἐν τοῖς τοιούτοις ὅσα μὴ λέγεται καθ' ὑποκειμένου, οἷον ἡ ψυχὴ τῷ ζῴῳ. ἔτι ὅσα μόρια ἐνυπάρχοντά ἐςιν ἐν τοῖς τοιούτοις ὁρίζοντά τε καὶ τόδε τι σημαίνοντα, ὧν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον, οἷον ἐπιπέδου σῶμα, ὥς φασί τινες, καὶ ἐπίπεδον γραμμῆς· καὶ ὅλως ὁ ἀριθμὸς δοκεῖ εἶναί τισι τοιοῦτος· ἀναιρυμένυ τε γὰρ ὐθὲν εἶναι, καὶ ὁρίζειν πάντα. ἔτι τὸ τί ἦν εἶναι ὐ ὁ λόγος ὁρισμός, καὶ τῦτο ὐσία λέγεται ἑκάςου. συμβαίνει δὴ κατὰ δύο τρόπυς τὴν οὐσίαν λέγεσθαι, τό θ' ὑποκείμενον ἔσχατον, ὃ μηκέτι κατ' ἄλλου λέγεται, καὶ ὃ ἂν τόδε τι ὂν καὶ χωριςὸν ᾖ· τοιῦτον δὲ ἑκάστου ἡ μορφὴ καὶ τὸ εἶδος.

9 Ταὐτὰ λέγεται τὰ μὲν κατὰ συμβεβηκός, οἷον τὸ λευκὸν καὶ τὸ μουσικὸν τὸ αὐτό, ὅτι τῷ αὐτῷ συμβέβηκε, καὶ ἄνθρωπος καὶ μυσικόν, ὅτι θάτερον θατέρῳ συμβέβηκεν· τὸ δὲ μυσικὸν ἄνθρωπος, ὅτι τῷ ἀνθρώπῳ συμβέβηκεν. ἑκατέρῳ δὲ τῦτο καὶ τούτῳ ἑκάτερον ἐκείνων· καὶ γὰρ τῷ ἀνθρώπῳ τῷ μυσικῷ καὶ ὁ ἄνθρωπος καὶ τὸ μουσικὸν ταὐτὸν λέγεται, καὶ τύτοις ἐκεῖνο. διὸ καὶ πάντα ταῦτα καθόλου οὐ λέγεται· οὐ γὰρ ἀληθὲς εἰπεῖν ὅτι πᾶς ἄνθρωπος ταὐτὸ καὶ τὸ μυσικόν· τὰ γὰρ καθόλου καθ' αὑτὰ ὑπάρχει, τὰ

2. ἓν om A^b. ‖ 6. τῷ] τὸ T. ‖ 8. τὸ H^b. ‖ 9. τὸν μ.] τὸ μ. T. ‖ 10. λέγεται E. ‖ ὥσπερ εἰ τὸν A^b. ‖ 12. alterum τόδε om pr E. ‖ 13. τόδε τῷδε A^b. ‖ 14. γὰρ add A^b. ‖ 15. ἢ λευκὸν τὸν ET. ‖ 16. αὐτῷ ὄντι σ. A^b. ‖ τῷ ὄντι συμβέβηκε ET. ‖ 17. τὸ δὲ – συμβέβηκεν om A^b. ‖ 18. μὴ add A^bF^b. ‖ 20. ἄμφω ὄντι A^b. ‖ 21. ὅτι om T. ‖ ἐκεῖνο A^b. ‖ ὃ T. ‖ 28. τὸ alterum om A^b. ‖ 29. οὐδὲ A^b: ceteri ἢ. ‖ ἄνθρωπον βαδίζειν ἢ τέμνειν ET. ‖ 33. οἷον et ἔστι om T. ‖ 34. ἔςι add EA^b.

1. ὂν] ὂν καὶ A^b. ‖ ῥητὸν δυνάμει A^b. γρ τὸ μὲν ῥητὸν τὸ δ' ἐντελεχείᾳ. καὶ ὕτως, τὸ μὲν δυνάμει τὸ δ' ἐντελεχείᾳ margo E. ‖ 2. ὁρῶντας γὰρ φαμεν εἶναι A^b. ‖ δυνάμει om T. ‖ 3. ῥητῶς et 5. τὸ om A^b. ‖ 5. ἤδη] δὴ A^b. ‖ 7. Ἑρμῆν om T. ‖ 16. τῶν ζώων A^b. ‖ 17. ἐνυπάρχοντά ἐςιν ἐν τοῖς τοιούτοις om A^b. ‖ ὁρίζοντά τε om T, τε om A^b. ‖ 20. τισι τοιοῦτος εἶναι A^b. ‖ 22. λόγος ἐςὶν ὁρισμός E, λόγος ἐςὶν ἀριθμός T. ‖ τῦτο] τῦτο ὃ T. ‖ 23. σημαίνει δὲ T. ‖ κατὰ om A^b. ‖ 25. ἀχώριςον T. ‖ ᾖ τοιῦτον] τοιῦτον ᾖ. τῦτο 30. A^b. ‖ τὸ – συμβέβηκεν om T. ‖ 31. τύτῳ H^b. ‖ τύτων A^bH^b. ‖ ἐκείνῳ A^b. ‖ ἀνθρώπῳ καὶ τῷ A^b. ‖ 32. τὸ μυσικὸν T. ‖ καὶ om A^b. ‖ ὃ] τὸ A^bH^b. ‖ 33. καὶ post διὸ om T. ‖ 34. οὐ ante λέγεται om T. ‖ 35. τὸ add A^b.

δὲ συμβεβηκότα οὐ καθ' αὑτὰ ἀλλ' ἐπὶ τῶν καθ' ἕκαστα ἁπλῶς λέγεται. ταὐτὸ γὰρ δοκεῖ Σωκράτης καὶ Σωκράτης εἶναι μυσικός· τὸ δὲ Σωκράτης ὐκ ἐπὶ πολλῶν, διὸ ὐ πᾶς Σωκράτης λέγεται ὥσπερ πᾶς ἄνθρωπος. καὶ τὰ μὲν ὕτως λέγεται ταὐτά, τὰ δὲ καθ' αὑτά, ὥσπερ καὶ τὸ ἕν· καὶ γὰρ ὧν ἡ ὕλη μία ἢ εἴδει ἢ ἀριθμῷ ταὐτὰ λέγεται, καὶ ὧν ἡ ὐσία μία. ὥςε φανερὸν ὅτι ἡ ταυτότης ἑνότης τίς ἐςιν ἢ πλειόνων τῦ εἶναι, ἢ ὅταν χρῆται ὡς πλείοσιν, οἷον ὅταν λέγῃ αὐτὸ αὑτῷ ταὐτόν· ὡς δυσὶ γὰρ χρῆται αὐτῷ. ἕτερα δὲ λέγεται ὧν ἢ τὰ εἴδη πλείω ἢ ἡ ὕλη ἢ ὁ λόγος τῆς ὐσίας· καὶ ὅλως ἀντικειμένως τῷ ταὐτῷ λέγεται τὸ ἕτερον. διάφορα δὲ λέγεται ὅσ' ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, μὴ μόνον ἀριθμῷ, ἀλλ' ἢ εἴδει ἢ γένει ἢ ἀναλογίᾳ. ἔτι ὧν ἕτερον τὸ γένος καὶ τὰ ἐναντία καὶ ὅσα ἔχει ἐν τῇ οὐσίᾳ τὴν ἑτερότητα. ὅμοια λέγεται τά τε πάντῃ ταὐτὸ πεπονθότα, καὶ τὰ πλείω ταὐτὸ πεπονθότα ἢ ἕτερα, καὶ ὧν ἡ ποιότης μία· καὶ καθ' ὅσα ἀλλοιῦσθαι ἐνδέχεται τῶν ἐναντίων, τύτων τὸ πλείω ἔχον ἢ κυριώτερα ὅμοιον τύτῳ. ἀντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια.

10 Ἀντικείμενα λέγεται ἀντίφασις καὶ τἀναντία καὶ τὰ πρός τι καὶ ςέρησις καὶ ἕξις καὶ ἐξ ὧν καὶ εἰς ἃ ἔσχατα, οἷον αἱ γενέσεις καὶ φθοραί· καὶ ὅσα μὴ ἐνδέχεται ἅμα παρεῖναι τῷ ἀμφοῖν δεκτικῷ, ταῦτα ἀντικεῖσθαι λέγεται, ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστίν. φαιὸν γὰρ καὶ λευκὸν ἅμα τῷ αὐτῷ ὐχ ὑπάρχει· διὸ ἐξ ὧν ἐςὶν ἀντίκειται. ἐναντία λέγεται τά τε μὴ δυνατὰ ἅμα τῷ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ γένος, καὶ τὰ πλεῖςον διαφέροντα τῶν ἐν τῷ αὐτῷ γένει, καὶ τὰ πλεῖττον διαφέροντα τῶν ἐν ταὐτῷ δεκτικῷ, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὧν ἡ διαφορὰ μεγίστη ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος. τὰ δ' ἄλλα ἐναντία λέγεται τὰ μὲν τῷ τὰ τοιαῦτα ἔχειν, τὰ δὲ τῷ δεκτικὰ εἶναι τῶν τοιύτων, τὰ δὲ τῷ ποιητικὰ ἢ παθητικὰ εἶναι τῶν τοιύτων, ἢ ποιῦντα ἢ πάσχοντα, ἢ ἀποβολαὶ ἢ λήψεις, ἢ ἕξεις ἢ ςερήσεις εἶναι τῶν τοιύτων. ἐπεὶ δὲ τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγεται, ἀκολουθεῖν ἀνάγκη καὶ τἆλλα ὅσα κατὰ ταῦτα λέγεται, ὥςε καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἐναντίον, ὥς' εἶναι ἕτερον καθ' ἑκάςην κατηγορίαν. ἕτερα δὲ τῷ εἴδει λέγεται ὅσα τε ταὐτῦ γένους ὄντα μὴ ὑπάλληλά ἐςι, καὶ ὅσα ἐν τῷ αὐτῷ γένει ὄντα διαφορὰν ἔχει, καὶ ὅσα ἐν τῇ ὐσίᾳ ἐναντίωσιν ἔχει. καὶ τὰ ἐναντία ἕτερα τῷ εἴδει ἀλλήλων, ἢ πάντα ἢ τὰ λεγόμενα πρώτως, καὶ ὅσων ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι, οἷον ἄνθρωπος καὶ ἵππος ἄτομα τῷ γένει, οἱ δὲ λόγοι ἕτεροι αὐτῶν. καὶ ὅσα ἐν τῇ αὐτῇ ὐσίᾳ ὄντα ἔχει διαφοράν. ταὐτὰ δὲ τῷ εἴδει τὰ ἀντικειμένως λεγόμενα τύτοις.

Πρότερα καὶ ὕςερα λέγεται ἔνια μὲν ὡς ὄντος τινὸς 11
πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει, τὸ ἐγγύτερον ἀρχῆς τινὸς ὡρισμένης, ἢ ἁπλῶς καὶ τῇ φύσει, ἢ πρός τι ἢ πού ἢ ὑπό τινων, οἷον τὰ μὲν κατὰ τόπον τῷ εἶναι ἐγγύτερον ἢ φύσει τινὸς τόπου ὡρισμένου, οἷον τῦ μέσου ἢ τῦ ἐσχάτυ, ἢ πρὸς τὸ τυχόν, τὸ δὲ πορρώτερον ὕστερον. τὰ δὲ κατὰ χρόνον· τὰ μὲν γὰρ τῷ πορρωτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν γενομένων (πρότερα γὰρ τὰ Τρωϊκὰ τῶν Μηδικῶν, ὅτι πορρώτερον ἀπέχει τοῦ νῦν), τὰ δὲ τῷ ἐγγυτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν μελλόντων· πρότερον γὰρ Νέμεα Πυθίων, ὅτι ἐγγύτερον τοῦ νῦν ὡς ἀρχῇ καὶ πρώτῳ χρησαμένων. τὰ δὲ κατὰ κίνησιν· τὸ γὰρ ἐγγύτερον τῦ πρώτυ κινήσαντος πρότερον, οἷον παῖς ἀνδρός· ἀρχὴ δὲ καὶ αὕτη τις ἁπλῶς. τὰ δὲ κατὰ δύναμιν· τὸ γὰρ ὑπερέχον τῇ δυνάμει πρότερον, καὶ τὸ δυνατώτερον· τοιῦτον δ' ἐςὶν ὖ κατὰ τὴν προαίρεσιν ἀνάγκη ἀκολουθεῖν θάτερον καὶ τὸ ὕςερον, ὥςε μὴ κινῦντός τε ἐκείνυ μὴ κινεῖσθαι καὶ κινῦντος κινεῖσθαι· ἡ δὲ προαίρεσις ἀρχή. τὰ δὲ κατὰ τάξιν· ταῦτα δ' ἐςὶν ὅσα πρός τι ἓν ὡρισμένον διέςηκε κατὰ τὸν λόγον, οἷον παραστάτης τριτοςάτου πρότερον, καὶ παρανήτη νήτης· ἔνθα μὲν γὰρ ὁ κορυφαῖος, ἔνθα δὲ ἡ μέση ἀρχή. ταῦτα μὲν ὖν πρότερα τοῦτον λέγεται τὸν τρόπον, ἄλλον δὲ τρόπον τὸ τῇ γνώσει πρότερον ὡς καὶ ἁπλῶς πρότερον. τύτων δὲ ἄλλως τὰ κατὰ τὸν λόγον καὶ τὰ κατὰ τὴν αἴσθησιν. κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρότερα, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα. καὶ κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον, οἷον τὸ μουσικὸν τῦ μουσικῦ ἀνθρώπου· οὐ γὰρ ἔςαι ὁ λόγος ὅλος ἄνευ τοῦ μέρους. καίτοι ὐκ ἐνδέχεται μουσικὸν εἶναι μὴ ὄντος μουσικῦ τινός. ἔτι πρότερα λέγεται τὰ τῶν προτέρων πάθη, οἷον εὐθύτης λειότητος· τὸ μὲν

2. σωκράτης εἶναι καὶ σωκράτης μ. *T*. ‖ 3. δὲ] γὰρ *ET*. ‖ 4. καὶ et 5. τὰ om A^b. ‖ αὐτὰ ὅσα ὥσπερ *E*. ‖ τὸ om A^bH^b. ‖ 8. ἢ ante πλειόνων et ὡς πλείοσιν om A^b. ‖ 9. αὑτῷ] αὐτὸ EH^b. ‖ 12. δὲ om A^b. ‖ μὴ] καὶ μὴ EF^b. ‖ 15. πάντῃ add A^bF^b. ‖ 22. οἷον om A^b. ‖ 24. ἢ ante ἐξ om *T*. ‖ 25. ἀντίκειται τύτοις. ἐναντία *ET*. ‖ 27. τῷ *E*, om *T*. ‖ 32. τὰ τοιαῦτα] ταῦτα A^b. ‖ 35. τῶν τοιύτων] τύτων A^b. ‖ λέγεται πολλαχῶς *T*.

4. ὅσα A^bH^b. ‖ 7. ὄντα om *T*. ‖ 9. τὰ πρότερα *ET*. ‖ 10. γένει om A^b. ‖ τῷ F^b. ‖ 13. τινὸς τέλος τόπου *T*. ‖ 15. τὸ πορρώτερον A^b. ‖ 16. πρότερον EA^b. ‖ 17. τὸ ἐγγύτερον *T*, τῷ ἐγγύτερον *E*. ‖ 19. χρησάμενοι A^b. ‖ 20. τὸ] τὰ A^b. ‖ 26. τὸ A^b. 28. καὶ ἡ παρανήτη *ET*. ‖ 30. τὸ] τῷ *T*. ‖ 32. τὰ om *ET*. ‖ 36. ὅλος add EA^bH^b.

γὰρ γραμμῆς καθ' αὑτὴν πάθος, τὸ δ' ἐπιφανείας. τὰ μὲν δὴ οὕτω λέγεται πρότερα καὶ ὕστερα, τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει ἐχρήσατο Πλάτων. ἐπεὶ δὲ τὸ εἶναι πολλαχῶς, πρῶτον μὲν τὸ ὑποκείμενον πρότερον, διὸ ἡ οὐσία πρότερον, ἔπειτα ἄλλως τὰ κατὰ δύναμιν καὶ κατ' ἐντελέχειαν. τὰ μὲν γὰρ κατὰ δύναμιν πρότερά ἐστι, τὰ δὲ κατὰ ἐντελέχειαν, οἷον κατὰ δύναμιν μὲν ἡ ἡμίσεια τῆς ὅλης καὶ τὸ μόριον τοῦ ὅλου καὶ ἡ ὕλη τῆς οὐσίας, κατ' ἐντελέχειαν δ' ὕστερον· διαλυθέντος γὰρ κατ' ἐντελέχειαν ἔσται. τρόπον δή τινα πάντα τὰ πρότερον καὶ ὕστερον λεγόμενα κατὰ ταῦτα λέγεται· τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι, οἷον τὸ ὅλον τῶν μορίων, τὰ δὲ κατὰ φθοράν, οἷον τὸ μόριον τοῦ ὅλου. ὁμοίως δὲ καὶ τἆλλα.

12 Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἡ ἐν ἑτέρῳ ᾗ ἕτερον, οἷον ἡ οἰκοδομικὴ δύναμίς ἐστιν ἣ οὐχ ὑπάρχει ἐν τῷ οἰκοδομουμένῳ· ἀλλ' ἡ ἰατρικὴ δύναμις οὖσα ὑπάρχοι ἂν ἐν τῷ ἰατρευομένῳ, ἀλλ' οὐχ ᾗ ἰατρευόμενος. ἡ μὲν οὖν ὅλως ἀρχὴ μεταβολῆς ἢ κινήσεως λέγεται δύναμις ἐν ἑτέρῳ ᾗ ἕτερον, ἡ δ' ὑφ' ἑτέρου ᾗ ἕτερον· καθ' ἣν γὰρ τὸ πάσχον πάσχει τι, ὁτὲ μὲν ἐὰν ὁτιοῦν δυνατὸν αὐτό φαμεν εἶναι παθεῖν, ὁτὲ δ' οὐ κατὰ πᾶν πάθος ἀλλ' ἂν ἐπὶ τὸ βέλτιον. ἔτι ἡ τοῦ καλῶς τοῦτ' ἐπιτελεῖν, ἢ κατὰ προαίρεσιν· ἐνίοτε γὰρ τοὺς μόνον ἂν πορευθέντας ἢ εἰπόντας, μὴ καλῶς δὲ ἢ μὴ ὡς προείλοντο, οὔ φαμεν δύνασθαι λέγειν ἢ βαδίζειν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν. ἔτι ὅσαι ἕξεις καθ' ἃς ἀπαθῆ ὅλως ἢ ἀμετάβλητα ἢ μὴ ῥᾳδίως ἐπὶ τὸ χεῖρον εὐμετακίνητα, δυνάμεις λέγονται· κλᾶται μὲν γὰρ καὶ συντρίβεται καὶ κάμπτεται καὶ ὅλως φθείρεται οὐ τῷ δύνασθαι, ἀλλὰ τῷ μὴ δύνασθαι καὶ ἐλλείπειν τινός· ἀπαθῆ δὲ τῶν τοιούτων ἃ μόλις καὶ ἠρέμα πάσχει διὰ δύναμιν καὶ τὸ δύνασθαι καὶ τὸ ἔχειν πῶς. λεγομένης δὲ τῆς δυνάμεως τοσαυταχῶς, καὶ τὸ δυνατὸν ἕνα μὲν τρόπον λεχθήσεται τὸ ἔχον κινήσεως ἀρχὴν ἢ μεταβολῆς (καὶ γὰρ τὸ στατικὸν δυνατόν τι ἐν ἑτέρῳ ᾗ ἕτερον), ἕνα δ' ἐὰν ἔχῃ τι αὐτοῦ ἄλλο δύναμιν τοιαύτην, ἕνα δ' ἐὰν ἔχῃ μεταβάλλειν ἐφ' ὁτιοῦν δύναμιν, εἴτ' ἐπὶ τὸ χεῖρον εἴτ' ἐπὶ τὸ βέλτιον· καὶ γὰρ τὸ φθειρόμενον δοκεῖ δυνατὸν εἶναι φθείρεσθαι, ἢ οὐκ ἂν φθαρῆναι εἰ ἦν ἀδύνατον· νῦν δὲ ἔχει τινὰ διάθεσιν καὶ αἰτίαν καὶ ἀρχὴν τοῦ τοιούτου πάθους. ὁτὲ μὲν δὴ τὸ ἔχειν τι δοκεῖ, ὁτὲ δὲ τὸ ἐστερῆσθαι τοιοῦτον εἶναι. εἰ δ' ἡ στέρησίς ἐστιν ἕξις πως, πάντα τῷ ἔχειν ἂν εἴη τι. ὁμωνύμως δὲ λεγόμενον τὸ ὄν, ὥστε τῷ ἔχειν ἕξιν τινὰ καὶ ἀρχήν ἐστι δυνατόν, καὶ τῷ ἔχειν τὴν τούτου στέρησιν, εἰ ἐνδέχεται ἔχειν στέρησιν. ἕνα δὲ τῷ μὴ ἔχειν αὐτοῦ δύναμιν ἢ ἀρχὴν ἐν ἄλλῳ ᾗ ἄλλο φθαρτικήν. ἔτι δὲ ταῦτα πάντα ἢ τῷ μόνον ἂν συμβῆναι γενέσθαι ἢ μὴ γενέσθαι, ἢ τῷ καλῶς. καὶ γὰρ ἐν τοῖς ἀψύχοις ἔνεστιν ἡ τοιαύτη δύναμις, οἷον ἐν τοῖς ὀργάνοις· τὴν μὲν γὰρ δύνασθαί φασι φθέγγεσθαι λύραν, τὴν δ' οὐθέν, ἂν ᾖ μὴ εὔφωνος. ἀδυναμία δ' ἐστὶ στέρησις δυνάμεως καὶ τῆς τοιαύτης ἀρχῆς ἄρσις τις οἵα εἴρηται, ἢ ὅλως ἢ τῷ πεφυκότι ἔχειν, ἢ καὶ ὅτε πέφυκεν ἤδη ἔχειν· οὐ γὰρ ὁμοίως ἂν φαῖμεν ἀδύνατον εἶναι γεννᾶν παῖδα καὶ ἄνδρα καὶ εὐνοῦχον. ἔτι δὲ καθ' ἑκατέραν δύναμίν ἐστιν ἀδυναμία ἀντικειμένη, τῇ τε μόνον κινητικῇ καὶ τῇ καλῶς κινητικῇ. καὶ ἀδύνατα δὴ τὰ μὲν κατὰ τὴν ἀδυναμίαν ταύτην λέγεται, τὰ δ' ἄλλον τρόπον, οἷον δυνατόν τε καὶ ἀδύνατον. ἀδύνατον μὲν οὗ τὸ ἐναντίον ἐξ ἀνάγκης ἀληθές, οἷον τὸ τὴν διάμετρον σύμμετρον εἶναι ἀδύνατον, ὅτι ψεῦδος τὸ τοιοῦτον, οὗ τὸ ἐναντίον οὐ μόνον ἀληθὲς ἀλλὰ καὶ ἀνάγκη ἀσύμμετρον εἶναι· τὸ ἄρα σύμμετρον οὐ μόνον ψεῦδος ἀλλὰ καὶ ἐξ ἀνάγκης ψεῦδος. τὸ δ' ἐναντίον τούτῳ, τὸ δυνατόν, ὅταν μὴ ἀναγκαῖον ᾖ τὸ ἐναντίον ψεῦδος εἶναι, οἷον τὸ καθῆσθαι ἄνθρωπον δυνατόν· οὐ γὰρ ἐξ ἀνάγκης τὸ μὴ καθῆσθαι ψεῦδος. τὸ μὲν οὖν δυνατὸν ἕνα μὲν τρόπον, ὥσπερ εἴρηται, τὸ μὴ ἐξ ἀνάγκης ψεῦδος σημαίνει, ἕνα δὲ τὸ ἀληθὲς εἶναι, ἕνα δὲ τὸ ἐνδεχόμενον ἀληθὲς εἶναι. κατὰ μεταφορὰν δὲ ἡ ἐν τῇ γεωμετρίᾳ λέγεται δύναμις. ταῦτα μὲν οὖν τὰ δυνατὰ οὐ κατὰ δύναμιν. τὰ δὲ λεγόμενα κατὰ δύναμιν πάντα λέγεται πρὸς

1. πάθος καθ' αὑτήν *T*. ‖ 2. πρότερα λέγεται *E*. ‖ 4. ἐχρῆτο *ET*. ‖ 7. τὰ μὲν — 10. ὕστερον om A^bF^b. ‖ 11. τρόπον] καὶ τρόπον A^bH^b. ‖ δὲ F^b. ‖ πρότερα καὶ ὕστερα F^b. ‖ 16. ἣ *ET*. ‖ ἣ *T*, ἡ ἡ *E*. ‖ ἡ om A^b. ‖ ἣ *E*. ‖ 20. ᾗ] ἢ ᾗ *E*. ‖ ᾗ] ἢ ᾗ *ET*. ‖ 21. δυνατὸν] ᾗ δυνατὸν *E*, ἢ δυνατὸν *T*, τὸ δυνατὸν A^b, δυνατὸν δυνατὸν margo *E*. ‖ 22. ἐὰν A^b, ὂν *T*. ‖ 23. ἡ] ἣ *E*. ‖ 30. κἂν A^b. ‖ 31. ἂν μόγις A^b. ‖ πάσχῃ A^b. ‖ 35. τι εἶναι ἐν *T*. ‖ ᾗ] ἢ ᾗ *ET*.

4. εἰ μὴ ἦν δυνατὸν A^b, εἰ εἴη ἀδύνατον *T*. ‖ 5. διαίρεσιν *T*. ‖ 6. εἰ δ' ἡ] ἡ δὲ *T*. ‖ 7. ἕξις om A^b. ‖ 8. ὁμωνύμως δὲ λεγόμενον τὸ ὂν *E*, ὁμωνύμως λέγομεν τὸ ὂν *T*, εἰ δὲ μὴ τῷ ἔχειν ἕξιν τινὰ καὶ ἀρχήν ἐστι δυνατὸν ὁμωνύμως A^b. ‖ τῷ] τὸ *T*, τῷ τε A^b. ‖ ἕξιν — 9. ἔχειν om A^b. ‖ 9. τὸ *T*. ‖ εἰ — 10. στέρησιν om *T*. ‖ 11. ἐν om A^b. ‖ ᾗ *T*, ἢ ᾗ *E*. ‖ ἄλλου *T*. ‖ 13. καλοῖς A^b. ‖ ἔν ἐστιν *ET* A^b. ‖ 14. φασι δύνασθαι A^b. ‖ 16. ἐστὶ om *T*. ‖ ἄρνησίς H^b. om cum τις A^b. ‖ 18. φαμεν A^b, φαίημεν H^b: ceteri φαῖεν. ‖ 19. ἢ καὶ ἄνδρα εὐνουχίαν margo *E*. ita *T*. ‖ ἑκατέραν τὴν δύναμίν A^b. ‖ 21. δὲ *ET*. ‖ 23. ἀδύνατον μὲν — 25. ἀδύνατον om *T*. ‖ 25. οὗ] καὶ οὐ *ET*. ‖ 28. ᾖ om A^b. ‖ 31. περ om *T*. ‖ 33. εἶναι] ἤδη A^bH^b. ‖ τῇ et 34. τὰ om A^b.

τὴν πρώτην [μίαν]· αὕτη δ' ἐςὶν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ᾗ ἄλλο. τὰ γὰρ ἄλλα λέγεται δυνατὰ τῷ τὰ μὲν ἔχειν αὐτῶν ἄλλο τι τοιαύτην δύναμιν, τὰ δὲ μὴ ἔχειν, τὰ δὲ ὡδὶ ἔχειν. ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥςε ὁ κύριος ὅρος τῆς πρώτης δυνάμεως ἂν εἴη ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ᾗ ἄλλο.

13 Ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον ἢ ἕκαστον ἕν τι καὶ τόδε τι πέφυκεν εἶναι. πλῆθος μὲν οὖν ποσόν τι ἂν ἀριθμητὸν ᾖ, μέγεθος δὲ ἂν μετρητὸν ᾖ. λέγεται δὲ πλῆθος μὲν τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ, μέγεθος δὲ τὸ εἰς συνεχῆ. μεγέθους δὲ τὸ μὲν ἐφ' ἓν συνεχὲς μῆκος, τὸ δ' ἐπὶ δύο πλάτος, τὸ δ' ἐπὶ τρία βάθος. τούτων δὲ πλῆθος μὲν τὸ πεπερασμένον ἀριθμός, μῆκος δὲ γραμμή, πλάτος δὲ ἐπιφάνεια, βάθος δὲ σῶμα. ἔτι τὰ μὲν λέγεται καθ' αὑτὰ ποσὰ ἄττα, τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ μὲν γραμμὴ ποσόν τι καθ' ἑαυτό, τὸ δὲ μουσικὸν κατὰ συμβεβηκός. τῶν δὲ καθ' αὑτὰ τὰ μὲν κατ' οὐσίαν ἐςίν, οἷον ἡ γραμμὴ ποσόν τι (ἐν γὰρ τῷ λόγῳ τῷ τί ἐςι λέγοντι τὸ ποσόν τι ὑπάρχει), τὰ δὲ πάθη καὶ ἕξεις τῆς τοιαύτης ἐστὶν οὐσίας, οἷον τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ μακρὸν καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν, καὶ βαρὺ καὶ κοῦφον, καὶ τἆλλα τὰ τοιαῦτα. ἔστι δὲ καὶ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸ μεῖζον καὶ ἔλαττον, καὶ καθ' αὑτὰ καὶ πρὸς ἄλληλα λεγόμενα, τοῦ ποσοῦ πάθη καθ' αὑτά· μεταφέρεται μέντοι καὶ ἐπ' ἄλλα ταῦτα τὰ ὀνόματα. τῶν δὲ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν τὸ μὲν οὕτως λέγεται ὥσπερ ἐλέχθη ὅτι τὸ μουσικὸν ποσὸν καὶ τὸ λευκὸν τῷ εἶναι ποσόν τι ᾧ ὑπάρχουσι, τὰ δὲ ὡς κίνησις καὶ χρόνος· καὶ γὰρ ταῦτα πόσ' ἄττα λέγεται καὶ συνεχῆ τῷ ἐκεῖνα διαιρετὰ εἶναι ὧν ἐςὶ ταῦτα πάθη. λέγω δὲ οὐ τὸ κινούμενον ἀλλ' ὃ ἐκινήθη· τῷ γὰρ ποσὸν εἶναι ἐκεῖνο καὶ ἡ κίνησις ποσή, ὁ δὲ χρόνος τῷ ταύτην.

14 Τὸ ποιὸν λέγεται ἕνα μὲν τρόπον ἡ διαφορὰ τῆς οὐσίας, οἷον ποιόν τι ἄνθρωπος ζῷον ὅτι δίπουν, ἵππος δὲ τετράπουν· καὶ κύκλος ποιόν τι σχῆμα ὅτι ἀγώνιον, ὡς τῆς διαφορᾶς τῆς κατὰ τὴν οὐσίαν ποιότητος οὔσης. ἕνα μὲν δὴ τρόπον τοῦτον λέγεται ἡ ποιότης διαφορὰ οὐσίας, ἕνα δὲ ὡς τὰ ἀκίνητα καὶ τὰ μαθηματικά, ὥσπερ οἱ ἀριθμοὶ ποιοί τινες, οἷον οἱ σύνθετοι καὶ μὴ μόνον ἐφ' ἓν ὄντες ἀλλ' ὧν μίμημα τὸ ἐπίπεδον καὶ τὸ ςερεόν (οὗτοι δ' εἰσὶν οἱ ποσάκις ποσοὶ ἢ ποσάκις ποσάκις ποσοί), καὶ ὅλως ὃ παρὰ τὸ ποσὸν ὑπάρχει ἐν τῇ οὐσίᾳ· οὐσία γὰρ ἑκάςου τὸ ἅπαξ, οἷον τῶν ἓξ οὐχ ὃ δὶς ἢ τρὶς εἰσὶν ἀλλ' ὃ ἅπαξ· ἓξ γὰρ ἅπαξ ἕξ. ἔτι ὅσα πάθη τῶν κινουμένων οὐσιῶν, οἷον θερμότης καὶ ψυχρότης καὶ λευκότης καὶ μελανία, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα τοιαῦτα, καθ' ἃ λέγονται καὶ ἀλλοιοῦσθαι τὰ σώματα μεταβαλλόντων. ἔτι κατ' ἀρετὴν καὶ κακίαν καὶ ὅλως τὸ κακὸν καὶ ἀγαθόν. σχεδὸν δὴ κατὰ δύο τρόπους λέγοιτ' ἂν τὸ ποιόν, καὶ τούτων ἕνα τὸν κυριώτατον· πρώτη μὲν γὰρ ποιότης ἡ τῆς οὐσίας διαφορά. ταύτης δέ τι καὶ ἡ ἐν τοῖς ἀριθμοῖς ποιότης μέρος· διαφορὰ γάρ τις οὐσιῶν, ἀλλ' ἢ οὐ κινουμένων ἢ οὐχ ᾗ κινούμενα. τὰ δὲ πάθη τῶν κινουμένων ᾗ κινούμενα, καὶ αἱ τῶν κινήσεων διαφοραί. ἀρετὴ δὲ καὶ κακία τῶν παθημάτων μέρος τι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνεργείας, καθ' ἃς ποιοῦσιν ἢ πάσχουσι καλῶς ἢ φαύλως τὰ ἐν κινήσει ὄντα· τὸ μὲν γὰρ ὡδὶ δυνάμενον κινεῖσθαι ἢ ἐνεργεῖν ἀγαθόν, τὸ δ' ὡδὶ καὶ ἐναντίως μοχθηρόν. μάλιστα δὲ τὸ ἀγαθὸν καὶ κακὸν σημαίνει τὸ ποιὸν ἐπὶ τῶν ἐμψύχων, καὶ τούτων μάλιςα ἐπὶ τοῖς ἔχουσι προαίρεσιν.

Πρός τι λέγεται τὰ μὲν ὡς διπλάσιον πρὸς ἥμισυ καὶ 15 τριπλάσιον πρὸς τριτημόριον, καὶ ὅλως πολλαπλάσιον πρὸς πολλοςημόριον καὶ ὑπερέχον πρὸς ὑπερεχόμενον· τὰ δ' ὡς τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν καὶ τὸ τμητικὸν πρὸς τὸ τμητόν, καὶ ὅλως τὸ ποιητικὸν πρὸς τὸ παθητικόν· τὰ δ' ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ ἐπιςητὸν πρὸς ἐπιςήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν. λέγεται δὲ τὰ μὲν πρῶτα κατ' ἀριθμόν, ἢ ἁπλῶς ἢ ὡρισμένως πρὸς αὐτοὺς ἢ πρὸς ἕν, οἷον τὸ μὲν διπλάσιον πρὸς ἓν ἀριθμὸς ὡρισμένος, τὸ δὲ πολλαπλάσιον κατ' ἀριθμὸν πρὸς ἕν, οὐχ ὡρισμένον δέ, οἷον τόδε

2 et 6. ᾗ] ἢ ᾗ E. ‖ 2. τὰ μὲν τῷ T. ‖ 3. μὴ] τῷ μὴ ET. ‖ 8. τε E. ‖ τι om F^bH^b. ‖ 13. τὸ om H^b. ‖ 16. αὐτό A^b. ‖ 17. αὐτὰ A^b. ‖ 19. τι om F^bH^b. ‖ ἐνυπάρχει F^b. ‖ 20. τὸ post καὶ om A^b. ‖ καὶ τὸ μακρὸν A^b. ‖ 21. καὶ πλατὺ — 22. βαρὺ om E. ‖ 21. καὶ βαθὺ καὶ ταπεινὸν om A^bH^b. ‖ 22. καὶ βαρὺ καὶ κοῦφον om F^b. ‖ τὰ om A^b. ‖ 23. τὸ alterum om T. ‖ τὸ om EA^b. ‖ καὶ τὸ ἔλαττον H^b. ‖ 25. μεταφέρονται A^b. ‖ μέντοιγε H^b. ‖ 27. λέγονται T. ‖ 28. τι ἐνυπάρχουσι T. ‖ 29. λέγεται T. ‖ 30. ταῦτα] τὰ A^b. ‖ πάθη om T. ‖ 31. δὴ H^b. ‖ 33. αἱ διαφοραὶ A^b. ‖ 34. τι] ποι T. ‖ 35. ποιοῦ T.

1. οὔσης om T. ‖ 8. ἀλλ'] ἀλλ' ὁ δὶς ἢ τρὶς T. ‖ ἓξ om A^bH^b. ‖ 11. ἃ] ὅσα A^b. ‖ καὶ om A^b. ‖ 13. δὲ T. ‖ 15. ἡ TA^b. ‖ 17. κινουμένων T. ‖ 18. αἱ om A^b. ‖ 21. ἐν τῇ κινήσει T. ‖ τὰ — δυνάμενα T. ‖ 23. καὶ τὸ κακὸν ET. ‖ 26. πρὸς τὸ ἥμισυ A^b. ‖ 27. ὅλως τὸ πολλαπλάσιον H^b. ‖ πρὸς τὸ πολλοςημόριον EH^b. ‖ 28. πρὸς τὸ ὑπερεχόμενον H^b. ‖ 29. τὸ] πρὸς τὸ A^b, om ET. ‖ τὸ secundum, tertium, quartum om T. ‖ 31. καὶ τὸ ἐπιςητὸν TH^b. ‖ 33. ὡρισμένον EA^b. ‖ αὐτὸν ἢ πρὸς ἓν H^b. ‖ 34. πρὸς — πολλαπλάσιον om T. ‖ ὡρισμένος] ὡρισμένος πρὸς ἓν A^b.

ἢ τόνδε. τὸ δὲ ἡμιόλιον πρὸς τὸ ὑφημιόλιον κατ' ἀριθμὸν πρὸς ἀριθμὸν ὡρισμένον· τὸ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατὰ ἀόριςον, ὥσπερ τὸ πολλαπλάσιον πρὸς τὸ ἕν. τὸ δ' ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριςον κατ' ἀριθμόν· ὁ γὰρ ἀριθμὸς σύμμετρος, κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται· τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοσοῦτον τέ ἐςι καὶ ἔτι· τῦτο δ' ἀόριςον· ὁπότερον γὰρ ἔτυχεν ἐςιν, ἢ ἴσον ἢ οὐκ ἴσον. ταῦτά τε οὖν τὰ πρός τι πάντα κατ' ἀριθμὸν λέγεται καὶ ἀριθμοῦ πάθη, καὶ ἔτι τὸ ἴσον καὶ ὅμοιον καὶ ταὐτὸ κατ' ἄλλον τρόπον· κατὰ γὰρ τὸ ἓν λέγεται πάντα. ταὐτὰ μὲν γὰρ ὧν μία ἡ οὐσία, ὅμοια δ' ὧν ἡ ποιότης μία, ἴσα δὲ ὧν τὸ ποσὸν ἕν. τὸ δ' ἓν τοῦ ἀριθμῦ ἀρχὴ καὶ μέτρον, ὥςε ταῦτα μὲν πάντα πρός τι λέγεται κατ' ἀριθμὸν μέν, οὐ τὸν αὐτὸν δὲ τρόπον. τὰ δὲ ποιητικὰ καὶ παθητικὰ κατὰ δύναμιν ποιητικὴν καὶ παθητικὴν καὶ ἐνεργείας τὰς τῶν δυνάμεων, οἷον τὸ θερμαντικὸν πρὸς τὸ θερμαντόν, ὅτι δύναται, καὶ πάλιν τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον, ὡς ἐνεργῦντα. τῶν δὲ κατ' ἀριθμὸν ὐκ εἰσὶν ἐνέργειαι ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται· αἱ δὲ κατὰ κίνησιν ἐνέργειαι ὐχ ὑπάρχυσιν. τῶν δὲ κατὰ δύναμιν καὶ κατὰ χρόνυς ἤδη λέγονται πρός τι, οἷον τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. οὕτω γὰρ καὶ πατὴρ υἱῦ λέγεται πατήρ· τὸ μὲν γὰρ πεποιηκός, τὸ δὲ πεπονθός τί ἐςιν. ἔτι ἔνια κατὰ ςέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα ὕτω λέγεται, οἷον τὸ ἀόρατον. τὰ μὲν ὖν κατ' ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι πάντα ἐςὶ πρός τι τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ὅ ἐστιν, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς ἐκεῖνο· τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλο πρὸς αὐτὸ λέγεσθαι πρός τι λέγονται. τό τε γὰρ διανοητὸν σημαίνει ὅτι ἐστὶν αὐτοῦ διάνοια, οὐκ ἔςι δ' ἡ διάνοια πρὸς τῦτο οὗ ἐςὶ διάνοια· δὶς γὰρ ταὐτὸν εἰρημένον ἂν εἴη. ὁμοίως δὲ καὶ τινός ἐςιν ἡ ὄψις ὄψις, ὐχ οὗ ἐστὶν ὄψις· καίτοι γ' ἀληθὲς τοῦτο εἰπεῖν· ἀλλὰ πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον. ἐκείνως δὲ δὶς ταὐτὸν λεχθήσεται, ὅτι ἔςιν ὄψις ὗ ἐςὶν ἡ ὄψις. τὰ μὲν ὖν καθ' ἑαυτὰ λεγόμενα πρός τι τὰ μὲν ὕτω λέγεται, τὰ δὲ ἂν τὰ γένη αὐτῶν ᾖ τοιαῦτα, οἷον ἡ ἰατρικὴ τῶν πρός τι ὅτι τὸ γένος αὐτῆς ἡ ἐπιστήμη δοκεῖ εἶναι τῶν πρός τι. ἔτι καθ' ὅσα τὰ ἔχοντα λέγεται πρός τι, οἷον ἰσότης ὅτι τὸ ἴσον, καὶ ὁμοιότης ὅτι τὸ ὅμοιον. τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἄνθρωπος πρός τι ὅτι συμβέβηκεν αὐτῷ διπλασίῳ εἶναι, τῦτο δ' ἐςὶ τῶν πρός τι· ἢ τὸ λευκόν, εἰ τῷ αὐτῷ συμβέβηκε διπλασίῳ καὶ λευκῷ εἶναι.

Τέλειον λέγεται ἓν μὲν ὗ μὴ ἔςιν ἔξω τι λαβεῖν μηδὲ ἓν μόριον, οἷον ὁ χρόνος τέλειος ἑκάςυ ὗτος ὗ μὴ ἔςιν ἔξω λαβεῖν χρόνον τινὰ ὃς τούτου μέρος ἐςὶ τοῦ χρόνυ. καὶ τὸ κατ' ἀρετὴν καὶ τὸ τῦ εὖ μὴ ἔχον ὑπερβολὴν πρὸς τὸ γένος, οἷον τέλειος ἰατρὸς καὶ τέλειος αὐλητής, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν ἐλλείπωσιν. ὕτω δὲ μεταφέροντες καὶ ἐπὶ τῶν κακῶν λέγομεν συκοφάντην τέλειον καὶ κλέπτην τέλειον, ἐπειδὴ καὶ ἀγαθοὺς λέγομεν αὐτύς, οἷον κλέπτην ἀγαθὸν καὶ συκοφάντην ἀγαθόν. καὶ ἡ ἀρετὴ τελείωσίς τις· ἕκαςον γὰρ τότε τέλειον καὶ οὐσία πᾶσα τότε τελεία, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν ἐλλείπῃ μόριον τῦ κατὰ φύσιν μεγέθους. ἔτι οἷς ὑπάρχει τὸ τέλος σπουδαῖον, ταῦτα λέγεται τέλεια· κατὰ γὰρ τὸ ἔχειν τὸ τέλος τέλεια. ὥς' ἐπεὶ τὸ τέλος τῶν ἐσχάτων τί ἐστι, καὶ ἐπὶ τὰ φαῦλα μεταφέροντες λέγομεν τελείως ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν μηδὲν ἐλλείπῃ τῆς φθορᾶς καὶ τοῦ κακῦ ἀλλ' ἐπὶ τῦ ἐσχάτυ ᾖ. διὸ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος, ὅτι ἄμφω ἔσχατα. τέλος δὲ καὶ τὸ ὗ ἕνεκα ἔσχατον. τὰ μὲν οὖν καθ' αὑτὰ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν τῷ κατὰ τὸ εὖ μηθὲν ἐλλείπειν μηδ' ἔχειν ὑπερβολὴν μηδὲ ἔξω τι λαβεῖν, τὰ δ' ὅλως κατὰ τὸ μὴ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει μηδ'

2. ὡρισμένως *T*. ‖ 3. ἀορίςυ A^b, ἀορίςυς *E*. ‖ 5. σύμμετρον A^b. ‖ μὴ om *T*. ‖ ἀριθμὸς οὐ A^b. ‖ 6. λέγονται EA^b. ‖ γὰρ] δὲ A^b. ‖ 7. καὶ om A^b. ‖ ἔτι] ἔτι τῦτο *T*. ‖ 8. ἢ ante ἴσον om A^b. ‖ τε om TH^b. ‖ ἅπαντα *ET*. ‖ 10. κατ' om A^b. ‖ 11. πάντα ταυτά. τὸ μὲν γὰρ ταυτὸ ὧν A^b. ‖ ἡ om A^b. ‖ ὅμοια — 12. μία post ἓν A^b. ‖ 13. μὲν add A^b, qui ταῦτα μὲν τὰ πρός τι πάντα. ‖ 15. ποιητικήν τε καὶ *T*. ‖ 17. καὶ — 18. θερμαινόμενον om H^b. ‖ 20. δύναμιν *E*. ‖ 22. πρός] τὰ πρός *T*. ‖ 23. καὶ ὁ πατὴρ *T*. ‖ 25. ἔτι δ' ἔνια H^b. ‖ 27. πρός τι ante τῷ om *T*. ‖ 28. ὅπερ H^b. ‖ ὃ] ὅπερ H^b. ‖ 29. τὸ *T*. ‖ τὸ extremum om *E T*. ‖ 30. ἄλλα H^b. ‖ πρὸς om A^b. ‖ τι ἃ λέγονται A^b. ‖ 31. ὅτι] ὃ *T*. ‖ 32. τῦτο] τὸ *E*.

1. ἐστὶν ἡ ὄψις F^bH^b. ‖ γ' add *E*. ‖ πρὸς τὸ χρῶμα F^b. ‖ 3. ὅτι om A^b. ‖ ἡ ὄψις H^b, om A^b. ‖ ἡ om F^bH^b. ‖ 5. ἡ om A^b. ‖ 7. οἷον ἡ ἰσότης A^b. ‖ 8. οἷον ὁ ἄνθρωπος A^bH^b. ‖ 10. εἰ] ἢ A^b. ‖ 12. τὸ τέλειον A^b. ‖ μηδὲν *T*, μηθὲν *E*. ‖ 13. ὁ add *ET*. ‖ 14. χρόνον ὡς τοῦτο *T*. ‖ τὸ] τὰ A^b. ‖ 15. τῦ om A^bF^b. ‖ μὴ ἔχοντι δ' A^b, om *T*. ‖ 17. ἐλλείπωσι A^b. ‖ 20. καὶ ἡ — 21. τις om A^b. ‖ 21. τέλειόν τι καὶ A^b. ‖ τότε om A^b. ‖ 24. κατὰ — 25. τέλεια om *T*. ‖ 24. τὸ post ἔχειν om *E*. ‖ 25. ἐπειδὴ *T*. ‖ 27. ἐλλίπῃ A^b. ‖ 28. τῷ ἐσχάτῳ A^bF^b, τῶν ἐσχάτων *T*. ‖ ᾖ] δ' ᾖ *E*. ‖ 31. τῷ om *T*. ‖ 33. ἐν] ἐπὶ *T*.

εἶναί τι ἔξω, τὰ δὲ ἄλλα ἤδη κατὰ ταῦτα τῷ ἢ ποιεῖν τι τοιοῦτον ἢ ἔχειν ἢ ἁρμόττειν τούτῳ ἢ ἁμῶς γέ πως λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια.

17 Πέρας λέγεται τὸ ἔσχατον ἑκάστου καὶ οὗ ἔξω μηθὲν ἔστι λαβεῖν πρώτου, καὶ οὗ ἔσω πάντα πρώτου, καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους ἢ ἔχοντος μέγεθος, καὶ τὸ τέλος ἑκάστου. τοιοῦτον δ' ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις, καὶ οὐκ ἀφ' οὗ. ὁτὲ δὲ ἄμφω καὶ ἀφ' οὗ καὶ ἐφ' ὅ, καὶ τὸ οὗ ἕνεκα, καὶ ἡ οὐσία ἡ ἑκάστου, καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· τῆς γνώσεως γὰρ τοῦτο πέρας· εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος. ὥστε φανερὸν ὅτι ὁσαχῶς τε ἡ ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας, καὶ ἔτι πλεοναχῶς· ἡ μὲν γὰρ ἀρχὴ πέρας τι, τὸ δὲ πέρας οὐ πᾶν ἀρχή.

18 Τὸ καθ' ὃ λέγεται πολλαχῶς, ἕνα μὲν τρόπον τὸ εἶδος καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷον καθὸ ἀγαθός, αὐτὸ ἀγαθόν, ἕνα δὲ ἐν ᾧ πρώτῳ πέφυκε γίγνεσθαι, οἷον τὸ χρῶμα ἐν τῇ ἐπιφανείᾳ. τὸ μὲν οὖν πρώτως λεγόμενον καθὸ τὸ εἶδός ἐστι, δευτέρως δὲ ὡς ἡ ὕλη ἑκάστου καὶ τὸ ὑποκείμενον ἑκάστῳ πρῶτον. ὅλως δὲ τὸ καθὸ ἰσαχῶς καὶ τὸ αἴτιον ὑπάρξει· κατὰ τί γὰρ ἐλήλυθεν ἢ οὗ ἕνεκα ἐλήλυθε λέγεται, καὶ κατὰ τί παραλελόγισται ἢ συλλελόγισται, ἢ τί τὸ αἴτιον τοῦ συλλογισμοῦ ἢ παραλογισμοῦ. ἔτι δὲ τὸ καθὸ τὸ κατὰ θέσιν λέγεται, καθὸ ἕστηκεν ἢ καθὸ βαδίζει· πάντα γὰρ ταῦτα θέσιν σημαίνει καὶ τόπον. ὥστε καὶ τὸ καθ' αὑτὸ πολλαχῶς ἀνάγκη λέγεσθαι. ἓν μὲν γὰρ καθ' αὑτὸ τὸ τί ἦν εἶναι ἑκάστῳ, οἷον ὁ Καλλίας καθ' αὑτὸν Καλλίας, καὶ τὸ τί ἦν εἶναι Καλλίᾳ· ἓν δὲ ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οἷον ζῷον ὁ Καλλίας καθ' αὑτόν. ἐν γὰρ τῷ λόγῳ ἐνυπάρχει τὸ ζῷον· ζῷον γάρ τι ὁ Καλλίας. ἔτι δὲ εἰ ἐν αὑτῷ δέδεκται πρώτῳ ἢ τῶν αὑτοῦ τινί, οἷον ἡ ἐπιφάνεια λευκὴ καθ' αὑτήν, καὶ ζῇ ὁ ἄνθρωπος καθ' αὑτόν· ἡ γὰρ ψυχὴ μέρος τι τοῦ ἀνθρώπου, ἐν ᾗ πρώτῃ τὸ ζῆν. ἔτι οὗ μή ἐστιν ἄλλο αἴτιον. τοῦ γὰρ ἀνθρώπου πολλὰ αἴτια, τὸ ζῷον, τὸ δίπουν· ἀλλ' ὅμως καθ' αὑτὸν ἄνθρωπος ὁ ἄνθρωπός ἐστιν. ἔτι ὅσα μόνῳ ὑπάρχει καὶ ᾗ μόνον· διὸ τὸ κεχωρισμένον καθ' αὑτό.

Διάθεσις λέγεται τοῦ ἔχοντος μέρη τάξις, ἢ κατὰ 19
τόπον ἢ κατὰ δύναμιν ἢ κατ' εἶδος· θέσιν γὰρ δεῖ τινὰ εἶναι, ὥσπερ καὶ τοὔνομα δηλοῖ ἡ διάθεσις.

Ἕξις δὲ λέγεται ἕνα μὲν τρόπον οἷον ἐνέργειά τις τοῦ 20
ἔχοντος καὶ ἐχομένου, ὥσπερ πρᾶξίς τις ἢ κίνησις· ὅταν γὰρ τὸ μὲν ποιῇ τὸ δὲ ποιῆται, ἔστι ποίησις μεταξύ. οὕτω καὶ τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτος ἔστι μεταξὺ ἕξις. ταύτην μὲν οὖν φανερὸν ὅτι οὐκ ἐνδέχεται ἔχειν ἕξιν· εἰς ἄπειρον γὰρ βαδιεῖται, εἰ τοῦ ἐχομένου ἔσται ἔχειν τὴν ἕξιν. ἄλλον δὲ τρόπον ἕξις λέγεται διάθεσις καθ' ἣν ἢ εὖ ἢ κακῶς διάκειται τὸ διακείμενον, καὶ ἢ καθ' αὑτὸ ἢ πρὸς ἄλλο, οἷον ἡ ὑγίεια ἕξις τις· διάθεσις γάρ ἐστι τοιαύτη. ἔτι ἕξις λέγεται ἂν ᾖ μόριον διαθέσεως τοιαύτης· διὸ καὶ ἡ τῶν μερῶν ἀρετὴ ἕξις τίς ἐστιν.

Πάθος λέγεται ἕνα μὲν τρόπον ποιότης καθ' ἣν ἀλ- 21
λοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα ἄλλα τοιαῦτα· ἕνα δὲ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις ἤδη. ἔτι τούτων μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις καὶ κινήσεις, καὶ μάλιστα αἱ λυπηραὶ βλάβαι. ἔτι τὰ μεγέθη τῶν συμφορῶν καὶ λυπηρῶν πάθη λέγεται.

Στέρησις λέγεται ἕνα μὲν τρόπον ἂν μὴ ἔχῃ τι τῶν 22
πεφυκότων ἔχεσθαι, κἂν μὴ αὐτὸ ᾖ πεφυκὸς ἔχειν, οἷον φυτὸν ὀμμάτων ἐστερῆσθαι λέγεται. ἕνα δὲ ἂν πεφυκὸς ἔχειν, ἢ αὐτὸ ἢ τὸ γένος, μὴ ἔχῃ, οἷον ἄλλως ἄνθρωπος ὁ τυφλὸς ὄψεως ἐστέρηται καὶ ἀσπάλαξ· τὸ μὲν κατὰ τὸ γένος, τὸ δὲ καθ' αὑτό. ἔτι ἂν πεφυκὸς καὶ ὅτε πέφυκεν ἔχειν μὴ ἔχῃ· ἡ γὰρ τυφλότης στέρησίς τις, τυφλὸς δ' οὐ κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἐν ᾗ πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ. ὁμοίως δὲ καὶ ἐν ᾧ ἂν ᾖ καὶ καθ' ὃ καὶ πρὸς ὅ, καὶ ὡς ἂν μὴ ἔχῃ πεφυκός. ἔτι ἡ βιαία ἑκάστου ἀφαίρεσις στέρησις λέγεται. καὶ ὁσαχῶς δὲ αἱ ἀπὸ τοῦ ᾱ ἀποφάσεις λέγονται, τοσαυταχῶς καὶ αἱ στερήσεις λέγονται· ἄνισον μὲν γὰρ τῷ μὴ ἔχειν ἰσότητα πεφυκὸς λέγεται, ἀόρατον δὲ καὶ τῷ ὅλως μὴ ἔχειν χρῶμα καὶ τῷ φαύλως, καὶ ἄπουν καὶ τῷ μὴ ἔχειν ὅλως πόδας καὶ τῷ φαύλους. ἔτι καὶ τῷ

1. ἔξω — ἤδη] ἐξ ὧν τὰ ἄλλα εἴδη T. ‖ καθ' αὑτὰ ET. ‖ 2. τοιούτῳ ET. ‖ ἄλλως codices. ‖ 4. τότε A^b. ‖ 5. καὶ — πρώτου om ET. ‖ 7. τοῦτο F^b. ‖ ὁτὲ] ὅτι T. ‖ 8. ἀφ'] ὑφ' T. ‖ 9. ἡ add EA^b. ‖ 18. δεύτερον A^bH^b. ‖ ἡ ὕλη ὡς A^b. ‖ 19. δὲ καὶ τὸ T. ‖ 20. ὑπάρχει F^b. ‖ ἢ om A^b. ‖ 22. τί] ὅτι ET. ‖ δὲ add EA^b. ‖ 24. τόπον σημαίνει καὶ θέσιν A^bH^b. ‖ 26. καθ' αὑτὸν καλλίας add A^b. ‖ 27. καλλίαν T. ‖ 29. ἔτι] ἐν A^b. ‖ 31. ζῷον ET. ‖ 33. ἐστι τι ἄλλο E, ἐστιν ἕν τι ἄλλο T. ‖ 35. γρ. διότι ὡρισμένον margo E

1. κατὰ τὸν τόπον A^b. ‖ 3. καὶ om EA^bH^b. ‖ 4. δὲ om H^b. ‖ 8. ἔχειν τὴν ἕξιν ET. ‖ 10. ἢ add A^b. ‖ 11. καὶ om A^b. ‖ 13. ἐὰν A^b. ‖ τοιαύτη A^b. ‖ 14. τις om T. ‖ 15. πάθος δὲ λέγεται T. ‖ 16. τὸ post καὶ om A^b. ‖ 20. βλαβεραί ET. ‖ 21. συμφορῶν] ἡδέων EA^b. ‖ 22. στέρησις μὲν λέγεται T. ‖ τῶν μὴ πεφυκότων ET. ‖ 23. ἣν E. ‖ 26. τὸ post κατὰ add ETH^b. ‖ 27. ὁ T. ‖ 30. καὶ — ᾖ om A^b. ‖ καὶ ἐὰν καθ' A^b. ‖ ἂν om A^b. ‖ 34 et 35 et 36. τῷ] τὸ A^bH^b. ‖ 34. ἰσότητα om A^b. ‖ 35. καὶ τὸ φαύλως T, om A^bF^b. ‖ 36. πόδα T.

μικρὸν ἔχειν, οἷον τὸ ἀπύρηνον· τοῦτο δ' ἐστὶ τὸ φαύλως πως ἔχειν. ἔτι τῷ μὴ ῥᾳδίως ἢ τῷ μὴ καλῶς, οἷον τὸ ἄτμητον οὐ μόνον τῷ μὴ τέμνεσθαι ἀλλὰ καὶ τῷ μὴ ῥᾳδίως ἢ μὴ καλῶς. ἔτι τῷ πάντῃ μὴ ἔχειν· τυφλὸς γὰρ οὐ λέγεται ὁ ἑτερόφθαλμος ἀλλ' ὁ ἐν ἀμφοῖν μὴ ἔχων ὄψιν. διὸ οὐ πᾶς ἀγαθὸς ἢ κακός, ἢ δίκαιος ἢ ἄδικος, ἀλλὰ καὶ τὸ μεταξύ.

23 Τὸ ἔχειν λέγεται πολλαχῶς, ἕνα μὲν τρόπον τὸ ἄγειν κατὰ τὴν αὑτοῦ φύσιν ἢ κατὰ τὴν αὑτοῦ ὁρμήν, διὸ λέγεται πυρετός τε ἔχειν τὸν ἄνθρωπον καὶ οἱ τύραννοι τὰς πόλεις καὶ τὴν ἐσθῆτα οἱ ἀμπεχόμενοι. ἕνα δ' ἐν ᾧ ἄν τι ὑπάρχῃ ὡς δεκτικῷ, οἷον ὁ χαλκὸς ἔχει τὸ εἶδος τοῦ ἀνδριάντος καὶ τὴν νόσον τὸ σῶμα. ἕνα δ' ὡς τὸ περιέχον τὰ περιεχόμενα· ἐν ᾧ γάρ ἐστι περιεχόμενόν τι, ἔχεσθαι ὑπὸ τούτου λέγεται, οἷον τὸ ἀγγεῖον ἔχειν τὸ ὑγρόν φαμεν καὶ τὴν πόλιν ἀνθρώπους καὶ τὴν ναῦν ναύτας· οὕτω δὲ καὶ τὸ ὅλον ἔχειν τὰ μέρη. ἔτι τὸ κωλῦον κατὰ τὴν αὑτοῦ ὁρμήν τι κινεῖσθαι ἢ πράττειν ἔχειν λέγεται τοῦτο αὐτό, οἷον καὶ οἱ κίονες τὰ ἐπικείμενα βάρη, καὶ ὡς οἱ ποιηταὶ τὸν Ἄτλαντα ποιοῦσι τὸν οὐρανὸν ἔχειν ὡς συμπεσόντ' ἂν ἐπὶ τὴν γῆν, ὥσπερ καὶ τῶν φυσιολόγων τινές φασιν. τοῦτον δὲ τὸν τρόπον καὶ τὸ συνέχον λέγεται ἃ συνέχει ἔχειν, ὡς διαχωρισθέντα ἂν κατὰ τὴν αὑτοῦ ὁρμὴν ἕκαστον. καὶ τὸ ἔν τινι δὲ εἶναι ὁμοιοτρόπως λέγεται καὶ ἑπομένως τῷ ἔχειν.

24 Τὸ ἔκ τινος εἶναι λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ ἐστὶν ὡς ὕλης, καὶ τοῦτο διχῶς, ἢ κατὰ τὸ πρῶτον γένος ἢ κατὰ τὸ ὕστατον εἶδος, οἷον ἔστι μὲν ὡς ἅπαντα τὰ τηκτὰ ἐξ ὕδατος, ἔστι δ' ὡς ἐκ χαλκοῦ ὁ ἀνδριάς. ἕνα δ' ὡς ἐκ τῆς πρώτης κινησάσης ἀρχῆς, οἷον ἐκ τίνος ἡ μάχη; ἐκ λοιδορίας, ὅτι αὕτη ἀρχὴ τῆς μάχης. ἕνα δ' ἐκ τοῦ συνθέτου ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη καὶ ἐκ τῆς Ἰλιάδος τὸ ἔπος καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι· τέλος μὲν γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τέλος. τὰ δὲ ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, οἷον ὁ ἄνθρωπος ἐκ τοῦ δίποδος καὶ ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου (ἄλλως γὰρ τοῦτο), καὶ ὁ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ· ἐκ τῆς αἰσθητῆς γὰρ ὕλης ἡ συνθέτη οὐσία. ἀλλὰ καὶ τὸ εἶδος ἐκ τῆς τοῦ εἴδους ὕλης. τὰ μὲν οὖν οὕτω λέγεται, τὰ δ' ἐὰν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον ἐκ πατρὸς καὶ μητρὸς τὸ τέκνον καὶ ἐκ γῆς τὰ φυτά, ὅτι ἔκ τινος μέρους αὐτῶν. ἕνα δὲ μεθ' ὃ τῷ χρόνῳ, οἷον ἐξ ἡμέρας νὺξ καὶ ἐξ εὐδίας χειμών, ὅτι τοῦτο μετὰ τοῦτο. τούτων δὲ τὰ μὲν τῷ ἔχειν μεταβολὴν εἰς ἄλληλα οὕτω λέγεται, ὥσπερ καὶ τὰ νῦν εἰρημένα, τὰ δὲ τῷ κατὰ τὸν χρόνον ἐφεξῆς μόνον, οἷον ἐξ ἰσημερίας ἐγένετο ὁ πλοῦς, ὅτι μετ' ἰσημερίαν ἐγένετο, καὶ ἐκ Διονυσίων Θαργήλια, ὅτι μετὰ τὰ Διονύσια.

Μέρος λέγεται ἕνα μὲν τρόπον εἰς ὃ διαιρεθείη ἂν τὸ ποσὸν ὁπωσοῦν· ἀεὶ γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ ᾗ ποσὸν μέρος λέγεται ἐκείνου, οἷον τῶν τριῶν τὰ δύο μέρος λέγεταί πως. ἄλλον δὲ τρόπον τὰ καταμετροῦντα τῶν τοιούτων μόνον· διὸ τὰ δύο τῶν τριῶν ἔστι μὲν ὡς λέγεται μέρος, ἔστι δ' ὡς οὔ. ἔτι εἰς ἃ τὸ εἶδος διαιρεθείη ἂν ἄνευ τοῦ ποσοῦ, καὶ ταῦτα μόρια λέγεται τούτου· διὸ τὰ εἴδη τοῦ γένους φασὶν εἶναι μόρια. ἔτι εἰς ἃ διαιρεῖταί τι, ἢ ἐξ ὧν σύγκειται τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον τὸ εἶδος, οἷον τῆς σφαίρας τῆς χαλκῆς ἢ τοῦ κύβου τοῦ χαλκοῦ καὶ ὁ χαλκὸς μέρος· τοῦτο δ' ἐστὶν ἡ ὕλη ἐν ᾗ τὸ εἶδος. καὶ ἡ γωνία μέρος. ἔτι τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον, καὶ ταῦτα μόρια τοῦ ὅλου· διὸ τὸ γένος τοῦ εἴδους καὶ μέρος λέγεται, ἄλλως δὲ τὸ εἶδος τοῦ γένους μέρος. 25

Ὅλον λέγεται οὗ τε μηθὲν ἄπεστι μέρος ἐξ ὧν λέγεται ὅλον φύσει, καὶ τὸ περιέχον τὰ περιεχόμενα ὥστε ἕν τι εἶναι ἐκεῖνα. τοῦτο δὲ διχῶς· ἢ γὰρ ὡς ἕκαστον ἕν, ἢ ὡς ἐκ τούτων τὸ ἕν. τὸ μὲν γὰρ καθόλου καὶ τὸ ὅλως λεγόμενον ὡς ὅλον τι ὄν, οὕτως ἐστὶ καθόλου ὡς πολλὰ περιέχον τῷ κατηγορεῖσθαι καθ' ἑκάστου καὶ ἓν ἅπαντα εἶναι ὡς ἕκαστον, οἷον ἄνθρωπον, ἵππον, θεόν, ὅτι ἅπαντα ζῷα. τὸ δὲ συνεχὲς καὶ πεπερασμένον, ὅταν ἕν τι ἐκ πλειόνων ᾖ ἐνυπαρχόντων, μάλιστα μὲν δυνάμει, εἰ δὲ μή, ἐνεργείᾳ. τούτων δ' αὐτῶν μᾶλλον τὰ φύσει ἢ τέχνῃ τοιαῦτα, ὥσπερ καὶ ἐπὶ τοῦ ἑνὸς λέγομεν ὡς οὔσης τῆς ὁλότητος ἑνότητός τινος. 26

1. τὸν T. ‖ τῷ T. ‖ 3. ἢ] ἢ τῷ ET. ‖ 4. τὸ ETA^bF^b. ‖ ἔχον H^b. ‖ 6. καὶ τὸ om A^b. ‖ 8. ἔχειν δὲ λέγεται H^b. ‖ τρόπον ETH^b. ‖ 9. ἄγον A^b. ‖ 13. τὰ περιέχοντα A^bF^b. ‖ 14. τὰ] καὶ A^b. ‖ περιεχόμενόν] περιέχον A^bF^b. ‖ 17. ἔχει ET. ‖ 18. αὐτό] A^b. ‖ 20. ποιοῦσιν ἄτλαντα A^bH^b. ‖ συμπεσὸν T. ‖ 21. καὶ add A^bF^b. ‖ post φασιν A^b ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης. ‖ 22. συνέχειν TH^b. ‖ λέγεται — ἔχειν] ἔχειν λέγεται A^bH^b. ‖ 24. ὁμοτρόπως ET. ‖ 29. ὥς· A^b. ‖ ὡς om ET. ‖ τοῦ κινήσαντος, omisso ἀρχῆς, A^bF^b. ‖ 30. οἷον ἐκ τῆς λοιδορίας ἡ μάχη, ὅτι A^bF^b. ‖ 31. αὐτὴ TA^b.

1. τοῦ om A^bF^b. ‖ 2. σύνθετος T. ‖ 6. εὐδείας A^bH^b. ‖ 9. ἐφεξῆς μόνον om T. ‖ 11. τὰ om A^b. ‖ 12. διαιρεθῇ H^b. ‖ 17. ἓν A^b. ‖ 19. τι om A^b ‖ 21. ἢ ὁ τοῦ A^b. ‖ 27. τὰ] ἓν καὶ τὰ A^b. ‖ 29. τὸ ὅλως] ὅλον A^b. ‖ 30. τῷ] τὸ T. ‖ 32. διότι A^b. ‖ 34. μή] μὴ καὶ T. ‖ ἐντελεχείᾳ A^b. ‖ 36. ἐλέγομεν A^b. ‖ ἑνότητος ὁλότητός T.

ἔτι τοῦ ποσῦ ἔχοντος ἀρχὴν καὶ μέσον καὶ ἔσχατον, ὅσων μὲν μὴ ποιεῖ ἡ θέσις διαφοράν, πᾶν λέγεται, ὅσων δὲ ποιεῖ, ὅλον· ὅσα δὲ ἄμφω ἐνδέχεται, καὶ ὅλα καὶ πάντα. ἔστι δὲ ταῦτα ὅσων ἡ μὲν φύσις ἡ αὐτὴ μένει τῇ μεταθέσει, ἡ δὲ μορφὴ οὔ, οἷον κηρὸς καὶ ἱμάτιον· καὶ γὰρ ὅλον καὶ πᾶν λέγεται· ἔχει γὰρ ἄμφω. ὕδωρ δὲ καὶ ὅσα ὑγρὰ καὶ ἀριθμὸς πᾶν μὲν λέγεται, ὅλος δ' ἀριθμὸς καὶ ὅλον ὕδωρ ὐ λέγεται, ἂν μὴ μεταφορᾷ. πάντα δὲ λέγεται, ἐφ' οἷς τὸ πᾶν ὡς ἐφ' ἑνί, ἐπὶ τύτοις πάντα ὡς ἐπὶ διῃρημένοις· πᾶς ὗτος ὁ ἀριθμός, πᾶσαι αὗται αἱ μονάδες.

27 Κολοβὸν δὲ λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν, ἀλλὰ μεριςόν τε δεῖ αὐτὸ εἶναι καὶ ὅλον. τά τε γὰρ δύο οὐ κολοβὰ θατέρου ἀφαιρυμένυ ἑνός (οὐ γὰρ ἴσον τὸ κολόβωμα καὶ τὸ λοιπὸν οὐδέποτ' ἐςίν), οὐδ' ὅλως ἀριθμὸς ὐδείς· καὶ γὰρ τὴν ὐσίαν δεῖ μένειν· εἰ κύλιξ κολοβός, ἔτι εἶναι κύλικα· ὁ δ' ἀριθμὸς ὐκέτι ὁ αὐτός. πρὸς δὲ τύτοις κἂν ἀνομοιομερῆ ᾖ, ὐδὲ ταῦτα πάντα· ὁ γὰρ ἀριθμὸς ἔςιν ὃς καὶ ἀνόμοια ἔχει μέρη, οἷον δυάδα, τριάδα. ἀλλ' ὅλως ὅσων μὴ ποιεῖ ἡ θέσις διαφορὰν ὐθὲν κολοβόν, οἷον ὕδωρ ἢ πῦρ, ἀλλὰ δεῖ τοιαῦτα εἶναι ἃ κατὰ τὴν οὐσίαν θέσιν ἔχει. ἔτι συνεχῆ· ἡ γὰρ ἁρμονία ἐξ ἀνομοιομερῶν μὲν καὶ θέσιν ἔχει, κολοβὸς δὲ οὐ γίνεται. πρὸς δὲ τούτοις ὐδ' ὅσα ὅλα, ὐδὲ ταῦτα ὁτυῦν μορίυ ςερήσει κολοβά. ὐ γὰρ δεῖ ὔτε τὰ κύρια τῆς ὐσίας ὔτε τὰ ὁπυῦν ὄντα· οἷον ἂν τρυπηθῇ ἡ κύλιξ, ὐ κολοβός, ἀλλ' ἂν τὸ οὖς ἢ ἀκρωτήριόν τι. καὶ ὁ ἄνθρωπος οὐκ ἐὰν σάρκα ἢ τὸν σπλῆνα, ἀλλ' ἐὰν ἀκρωτήριον, καὶ τῦτο οὐ πᾶν ἀλλ' ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον. διὰ τῦτο οἱ φαλακροὶ οὐ κολοβοί.

28 Γένος λέγεται τὸ μὲν ἐὰν ᾖ ἡ γένεσις συνεχὴς τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό, οἷον λέγεται ἕως ἂν ἀνθρώπων γένος ᾖ, ὅτι ἕως ἂν ᾖ, ἡ γένεσις συνεχὴς αὐτῶν. τὸ δὲ ἀφ' ῦ ἂν ὦσι πρώτυ κινήσαντος εἰς τὸ εἶναι· ὕτω γὰρ λέγονται Ἕλληνες τὸ γένος οἱ δ' Ἴωνες, τῷ οἱ μὲν ἀπὸ Ἕλληνος οἱ δὲ ἀπὸ Ἴωνος εἶναι πρώτυ γεννήσαντος. καὶ μᾶλλον οἱ ἀπὸ τῦ γεννήσαντος ἢ τῆς ὕλης· λέγονται γὰρ καὶ ἀπὸ τῦ θήλεος τὸ γένος, οἷον οἱ ἀπὸ Πύρρας. ἔτι δὲ ὡς τὸ ἐπίπεδον τῶν σχημάτων γένος τῶν ἐπιπέδων καὶ τὸ ςερεὸν τῶν ςερεῶν· ἕκαςον γὰρ τῶν σχημάτων τὸ μὲν ἐπίπεδον τοιονδί, τὸ δὲ ςερεόν ἐςι τοιονδί· τοῦτο δ' ἐςὶ τὸ ὑποκείμενον ταῖς διαφοραῖς. ἔτι ὡς ἐν τοῖς λόγοις τὸ πρῶτον ἐνυπάρχον, ὃ λέγεται ἐν τῷ τί ἐστι τῦτο γένος, οὗ διαφοραὶ λέγονται αἱ ποιότητες. τὸ μὲν οὖν γένος τοσαυταχῶς λέγεται, τὸ μὲν κατὰ γένεσιν συνεχῆ τῦ αὐτῦ εἴδυς, τὸ δὲ κατὰ τὸ πρῶτον κινῆσαν ὁμοειδές, τὸ δ' ὡς ὕλη· οὗ γὰρ ἡ διαφορὰ καὶ ἡ ποιότης ἐςί, τῦτ' ἐςὶ τὸ ὑποκείμενον, ὃ λέγομεν ὕλην. ἕτερα δὲ τῷ γένει λέγεται ὧν ἕτερον τὸ πρῶτον ὑποκείμενον καὶ μὴ ἀναλύεται θάτερον εἰς θάτερον μηδ' ἄμφω εἰς ταὐτόν, οἷον τὸ εἶδος καὶ ἡ ὕλη ἕτερον τῷ γένει, καὶ ὅσα καθ' ἕτερον σχῆμα κατηγορίας τοῦ ὄντος λέγεται· τὰ μὲν γὰρ τί ἐςι σημαίνει τῶν ὄντων, τὰ δὲ ποιόν τι, τὰ δ' ὡς διῄρηται πρότερον· ὐδὲ γὰρ ταῦτα ἀναλύεται οὔτ' εἰς ἄλληλα οὔτ' εἰς ἕν τι.

Τὸ ψεῦδος λέγεται ἄλλον μὲν τρόπον ὡς πρᾶγμα 29 ψεῦδος, καὶ τούτου τὸ μὲν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι, ὥσπερ λέγεται τὸ τὴν διάμετρον εἶναι σύμμετρον ἢ τὸ σὲ καθῆσθαι· τούτων γὰρ ψεῦδος τὸ μὲν ἀεί, τὸ δὲ ποτέ· ὕτω γὰρ ὐκ ὄντα ταῦτα. τὰ δὲ ὅσα ἐςὶ μὲν ὄντα, πέφυκε μέντοι φαίνεσθαι ἢ μὴ οἷά ἐςιν ἢ ἃ μή ἐςιν, οἷον ἡ σκιαγραφία καὶ τὰ ἐνύπνια· ταῦτα γὰρ ἔστι μέν τι, ἀλλ' οὐχ ὧν ἐμποιεῖ τὴν φαντασίαν. πράγματα μὲν οὖν ψευδῆ οὕτω λέγεται, ἢ τῷ μὴ εἶναι αὐτά, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν μὴ ὄντος εἶναι. λόγος δὲ ψευδὴς ὁ τῶν μὴ ὄντων ᾗ ψευδής. διὸ πᾶς λόγος ψευδὴς ἑτέρου ἢ οὗ ἐςὶν ἀληθής, οἷον ὁ τῦ κύκλου ψευδὴς τριγώνου. ἑκάςυ δὲ λόγος ἔςι μὲν ὡς εἷς ὁ τῦ τί ἦν εἶναι, ἔςι δ' ὡς πολλοί, ἐπεὶ ταὐτό πως αὐτὸ καὶ αὐτὸ πεπονθός, οἷον Σωκράτης καὶ Σωκράτης μουσικός. ὁ δὲ ψευδὴς λόγος οὐθενός ἐςιν ἁπλῶς λόγος. διὸ Ἀντισθένης ᾤετο εὐήθως μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι. ἔςι δ' ἕκαςον λέγειν οὐ μόνον τῷ αὐτῦ λόγῳ, ἀλλὰ καὶ τῷ ἑτέρου, ψευδῶς μὲν καὶ παντελῶς, ἔςι δ' ὡς καὶ ἀληθῶς

1. ἔχοντος δὲ ἀρχὴν A^b. ‖ 2. ποιεῖ ἡ] ποιῇ ἡ E. ‖ 3. πᾶν ET. ‖ 5. γὰρ om T. ‖ 7. ὅλος δὲ] ὁ δὲ πᾶς ὅλος A^b. ‖ καὶ] ἢ A^b. ‖ 8. μὴ κατὰ μεταφοράν A^b. ‖ 9. ὅσοις A^b. ‖ τύτοις τὰ πάντα A^b. ‖ 12. τε om T. ‖ δεῖ αὐτὸ om A^b. ‖ 13. ἀφῃρημένυ E. ‖ 14. λεῖπον F^b. ‖ ὅλος A^b. ‖ 15. ἔτι] ἔτι δεῖ ET. ‖ 16. ὁμοιομερῆ A^b. ‖ 17. ὁ] ὐδὲ T. ‖ ὡς TA^b. ‖ 18. ὅσων] ὧν ET. ‖ 19. ὐδὲ T. ‖ 21. ἀνομοίων A^b. ‖ 22. ὅλα] ἄλλα H^b. ‖ 23. δεῖ] δὴ A^b. ‖ 24. ὁπωσῦν T. ‖ ἐὰν A^b. ‖ 26. οὐκ ἐὰν] οὐκ ἂν A^b. ‖ ἀκρωτήριόν τι [illegible] A^b. ‖ 27. οὔτ' ἂν A^b. ‖ ἔχῃ EA^b. ‖ 29. μὲν] μὲν ἂν A^b. ‖ ᾖ om A^bH^b. ‖ 31. ὅτι ἕως] ὁτῦν A^b. ‖ ᾖ om A^b. ‖ αὐτῶν [illegible] A^b. ‖ 32. λέγονται οἱ μὲν ἕλληνες A^b. ‖ 33. τῷ] τὸ T. ‖ 36. οἱ add A^b. ‖ δὲ om A^b.

1. γένος] τὸ γένος E. ‖ 4. ὃ om A^b. ‖ 7. τὸ post κατὰ om E. ‖ 10. ὧν τε ἕτερον E. ‖ 17. ἄλλον] ἕνα H^b. ‖ 18. ψε[illegible] T. ‖ 23. καὶ τὰ ἐνύπνια] τὴν φαντασίαν T. ‖ 26. ὄντως T. ‖ 30. οἱ πολλοὶ T. ‖ 31. καὶ Σωκράτης om A^b. ‖ 32. ἀνοήτως H^b. ‖ 35. αὐτῦ T. ‖ 36. δ' ὖν ὡς T.

ὥσπερ τὰ ὀκτὼ διπλάσια τῷ τῆς δυάδος λόγῳ. τὰ μὲν οὖν οὕτω λέγεται ψευδῆ, ἄνθρωπος δὲ ψευδὴς ὁ εὐχερὴς καὶ προαιρετικὸς τῶν τοιούτων λόγων, μὴ δι' ἕτερόν τι ἀλλὰ δι' αὐτό, καὶ ὁ ἄλλοις ἐμποιητικὸς τῶν τοιούτων λόγων, ὥσπερ καὶ τὰ πράγματά φαμεν ψευδῆ εἶναι, ὅσα ἐμποιεῖ φαντασίαν ψευδῆ. διὸ ὁ ἐν τῷ Ἱππίᾳ λόγος παρακρούεται ὡς ὁ αὐτὸς ψευδὴς καὶ ἀληθής. τὸν δυνάμενον γὰρ ψεύσασθαι λαμβάνει ψευδῆ, οὗτος δ' ὁ εἰδὼς καὶ ὁ φρόνιμος· ἔτι τὸν ἑκόντα φαῦλον βελτίω. τοῦτο δὲ ψεῦδος λαμβάνει διὰ τῆς ἐπαγωγῆς (ὁ γὰρ ἑκὼν χωλαίνων τοῦ ἄκοντος κρείττων), τὸ χωλαίνειν τὸ μιμεῖσθαι λέγων, ἐπεὶ εἴγε χωλὸς ἑκών, χείρων ἴσως, ὥσπερ ἐπὶ τοῦ ἤθους, καὶ οὗτος.

Συμβεβηκὸς λέγεται ὃ ὑπάρχει μέν τινι καὶ ἀληθὲς εἰπεῖν, οὐ μέντοι οὔτ' ἐξ ἀνάγκης οὔτ' ἐπὶ τὸ πολύ, οἷον εἴ τις ὀρύττων φυτῷ βόθρον εὗρε θησαυρόν. τοῦτο τοίνυν συμβεβηκὸς τῷ ὀρύττοντι τὸν βόθρον, τὸ εὑρεῖν θησαυρόν· οὔτε γὰρ ἐξ ἀνάγκης τοῦτο ἐκ τούτου ἢ μετὰ τοῦτο, οὔθ' ὡς ἐπὶ τὸ πολὺ ἄν τις φυτεύῃ θησαυρὸν εὑρίσκει. καὶ μουσικός γ' ἄν τις εἴη λευκός· ἀλλ' ἐπεὶ οὔτε ἐξ ἀνάγκης οὔθ' ὡς ἐπὶ τὸ πολὺ τοῦτο γίνεται, συμβεβηκὸς αὐτὸ λέγομεν. ὥστ' ἐπεὶ ἔστιν ὑπάρχον τι καὶ τινί, καὶ ἔνια τούτων καὶ ποῦ καὶ ποτέ, ὅ τι ἂν ὑπάρχῃ μέν, ἀλλὰ μὴ διότι τοδὶ ἦν ἢ νῦν ἢ ἐνταῦθα, συμβεβηκὸς ἔσται. οὐδὲ δὴ αἴτιον ὡρισμένον οὐθὲν τοῦ συμβεβηκότος ἀλλὰ τὸ τυχόν· τοῦτο δ' ἀόριστον. συνέβη τῳ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἀφίκετο ὅπως ἐκεῖ ἔλθῃ, ἀλλ' ὑπὸ χειμῶνος ἐξωσθεὶς ἢ ὑπὸ λῃστῶν ληφθείς. γέγονε μὲν δὴ καὶ ἔστι τὸ συμβεβηκός, ἀλλ' οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἕτερον· ὁ γὰρ χειμὼν αἴτιος τοῦ μὴ ὅπου ἔπλει ἐλθεῖν, τοῦτο δ' ἦν Αἴγινα. λέγεται δὲ καὶ ἄλλως συμβεβηκός, οἷον ὅσα ὑπάρχει ἑκάστῳ καθ' αὑτὸ μὴ ἐν τῇ οὐσίᾳ ὄντα, οἷον τῷ τριγώνῳ τὸ δύο ὀρθὰς ἔχειν. καὶ ταῦτα μὲν ἐνδέχεται ἀΐδια εἶναι, ἐκείνων δὲ οὐθέν. λόγος δὲ τούτου ἐν ἑτέροις.

Ε.

Αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητεῖται τῶν ὄντων, δῆλον δὲ ὅτι ᾗ ὄντα. ἔστι γάρ τι αἴτιον ὑγιείας καὶ εὐεξίας, καὶ τῶν μαθηματικῶν εἰσὶν ἀρχαὶ καὶ στοιχεῖα καὶ αἴτια, καὶ ὅλως δὲ πᾶσα ἐπιστήμη διανοητικὴ ἢ μετέχουσά τι διανοίας περὶ αἰτίας καὶ ἀρχάς ἐστιν ἢ ἀκριβεστέρας ἢ ἁπλουστέρας. ἀλλὰ πᾶσαι αὗται περὶ ἕν τι καὶ γένος τι περιγραψάμεναι περὶ τούτου πραγματεύονται, ἀλλ' οὐχὶ περὶ ὄντος ἁπλῶς οὐδὲ ᾗ ὄν, οὐδὲ τοῦ τί ἐστιν οὐθένα λόγον ποιοῦνται· ἀλλ' ἐκ τούτου αἱ μὲν αἰσθήσει ποιήσασαι αὐτὸ δῆλον, αἱ δ' ὑπόθεσιν λαβοῦσαι τὸ τί ἐστιν, οὕτω τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ γένει περὶ ὅ εἰσιν ἀποδεικνύουσιν ἢ ἀναγκαιότερον ἢ μαλακώτερον. διόπερ φανερὸν ὅτι οὐκ ἔστιν ἀπόδειξις οὐσίας οὐδὲ τοῦ τί ἐστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλά τις ἄλλος τρόπος τῆς δηλώσεως. ὁμοίως δὲ οὐδ' εἰ ἔστιν ἢ μή ἐστι τὸ γένος περὶ ὃ πραγματεύονται οὐθὲν λέγουσι, διὰ τὸ τῆς αὐτῆς εἶναι διανοίας τό τε τί ἐστι δῆλον ποιεῖν καὶ εἰ ἔστιν. ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος (περὶ γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ στάσεως ἐν αὐτῇ), δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ ποιοῦντι ἡ ἀρχὴ ἢ νοῦς ἢ τέχνη ἢ δύναμίς τις, τῶν δὲ πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις· τὸ αὐτὸ γὰρ τὸ πρακτὸν καὶ τὸ προαιρετόν. ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική, ἡ φυσικὴ θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ τοιοῦτον ὂν ὅ ἐστι δυνατὸν κινεῖσθαι, καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολὺ οὐ χωριστὴν μόνον. δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστὶ μὴ λανθάνειν, ὡς ἄνευ γε τούτου τὸ ζητεῖν μηθέν ἐστι ποιεῖν. τῶν δ' ὁριζομένων καὶ τῶν τί ἐστι τὰ μὲν οὕτως ὑπάρχει ὡς τὸ σιμόν, τὰ δ' ὡς τὸ κοῖλον. διαφέρει δὲ ταῦτα ὅτι τὸ μὲν σιμὸν συνειλημμένον ἐστὶ μετὰ τῆς ὕλης· ἔστι γὰρ τὸ μὲν σιμὸν κοίλη ῥίς, ἡ δὲ κοιλότης ἄνευ ὕλης αἰσθητῆς. εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ

2. δὲ om *E*. ‖ 3. μὴ] οὐ A^b. ‖ 4. αὑτό *E*, αὐτά A^b. ‖ ὁ om *T*. ‖ 5. φαμὲν καὶ πράγματα *ET*. ‖ 6. ψευδῆ φαντασίαν A^b. ‖ ὁ codicibus deest. ‖ 9. ἑκόντα] εἰδότα A^b. ‖ τὰ φαῦλα *ET*A^b. ‖ 11. τὸ prius om A^b. ‖ 12. εἴς γε χ. *T*. ‖ 13. οὕτως A^b, τοῦτο *ET*. ‖ 15. μέντοιγε *T*. ‖ οὔτε δὲ ἐπὶ A^b. ‖ 19. γ'] δὲ A^b. ‖ 20. οὐκ — οὐδ' A^b. ‖ 22. τι om A^b. ‖ 25. ἀλλὰ om *E*. ‖ 26. τῷ] τὸ *E*A^b. ‖ 27. ἢ ὑπὸ λ. ληφθείς om $F^b$$H^b$. ‖ 28. γεγονὼς *T*. ‖ δὴ om *T*. ‖ καὶ] ᾗ A^b. ‖ ἔστι] ἐπὶ *T*. ‖ 29. αἴτιος om *T*. ‖ ὅπου] οὗ A^b. ‖ 30. ἦν] εἶναι A^b. ‖ 31. ἑκάστῳ om *T*. ‖ μὴ] καὶ μὴ *T*. ‖ 32. οἷον] ὥσπερ A^b.

3. δὴ A^b, γὰρ H^b. ‖ 4. ὑγείας *E*. ‖ 8. ὂν A^b. ‖ 17. τῆς τοιαύτης *T*. ‖ 18. τε om A^b. ‖ καὶ τὸ εἰ F^b. ‖ ἔστιν] ἔστι τοῦτο *ET*. ‖ 21. ἑαυτῇ A^b. ‖ 22. ἐν — 23. πρακτικῶν om *T*. ‖ 23. πρακτῶν *E*. ‖ 24. post γὰρ τὸ *T* τῶν δὲ πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις. τὸ αὐτὸ γάρ. ‖ τὸ post καὶ om A^b. ‖ 25. εἰ] ἡ *T*, om A^b. ‖ 26. φύσις H^b. ἡ φυσικὴ θεωρητική om A^b. ‖ τοιοῦτο *E*A^b. ‖ 28. οὐ] ὡς οὐ *ET*, καὶ οὐ F^b. ‖ 30. οὐδέν F^b. ‖ ποιεῖν ἐστιν *E*. ‖ τῶν] ἔστι δὲ τῶν $A^b$$F^b$, omisso δ'. ‖ καὶ τῶν om F^b. ‖ 31. οὕτως ὑπάρχει om A^b. ‖ 33. μὲν om *E*. ‖ 34. δὲ *T*.

It would be better ὥσπερ γὰρ ὀνο[illegible] [illegible] among the various readings below

σιμῷ λέγονται, οἷον ῥίς, ὀφθαλμός, πρόσωπον, σάρξ, ὀςῦν, ὅλως ζῷον, φύλλον, ῥίζα, φλοιός, ὅλως φυτόν (οὐθενὸς γὰρ ἄνευ κινήσεως ὁ λόγος αὐτῶν, ἀλλ' ἀεὶ ἔχει ὕλην), δῆλον πῶς δεῖ ἐν τοῖς φυσικοῖς τὸ τί ἐςι ζητεῖν καὶ ὁρίζεσθαι, καὶ διότι καὶ περὶ ψυχῆς ἐνίας θεωρῆσαι τῦ φυσικῦ, ὅση μὴ ἄνευ τῆς ὕλης ἐςίν. ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική τίς ἐςι, φανερὸν ἐκ τύτων. ἀλλ' ἔςι καὶ ἡ μαθηματικὴ θεωρητική. ἀλλ' εἰ ἀκινήτων καὶ χωριστῶν ἐστί, νῦν ἄδηλον· ὅτι μέντοι ἔνια μαθήματα ᾗ ἀκίνητα καὶ ᾗ χωριστὰ θεωρεῖ, δῆλον. εἰ δέ τί ἐστιν ἀΐδιον καὶ ἀκίνητον καὶ χωριςόν, φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι. ὐ μέντοι φυσικῆς γε (περὶ κινητῶν γάρ τινων ἡ φυσική), ὐδὲ μαθηματικῆς, ἀλλὰ προτέρας ἀμφοῖν. ἡ μὲν γὰρ φυσικὴ περὶ ἀχώριςα μὲν ἀλλ' ὐκ ἀκίνητα, τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα μὲν ὐ χωριςὰ δ' ἴσως, ἀλλ' ὡς ἐν ὕλῃ· ἡ δὲ πρώτη καὶ περὶ χωριςὰ καὶ ἀκίνητα. ἀνάγκη δὲ πάντα μὲν τὰ αἴτια ἀΐδια εἶναι, μάλιςα δὲ ταῦτα· ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων. ὥστε τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρητικαί, μαθηματική, φυσική, θεολογική. ὐ γὰρ ἄδηλον ὅτι εἴ που τὸ θεῖον ὑπάρχει, ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει· καὶ τὴν τιμιωτάτην δεῖ περὶ τὸ τιμώτατον γένος εἶναι. αἱ μὲν ὖν θεωρητικαὶ τῶν ἄλλων ἐπιςημῶν αἱρετώτεραι, αὕτη δὲ τῶν θεωρητικῶν. ἀπορήσειε γὰρ ἄν τις πότερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλυ ἐςίν, ἢ περί τι γένος καὶ φύσιν τινὰ μίαν. οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ' ἐν ταῖς μαθηματικαῖς, ἀλλ' ἡ μὲν γεωμετρία καὶ ἀςρολογία περί τινα φύσιν εἰσίν, ἡ δὲ καθόλου πασῶν κοινή. εἰ μὲν ὖν μή ἐςί τις ἑτέρα ὐσία παρὰ τὰς φύσει συνεςηκυίας, ἡ φυσικὴ ἂν εἴη πρώτη ἐπιςήμη· εἰ δ' ἐςί τις ὐσία ἀκίνητος, αὕτη προτέρα καὶ φιλοσοφία πρώτη, καὶ καθόλου οὕτως ὅτι πρώτη· καὶ περὶ τῦ ὄντος ᾗ ὄν, ταύτης ἂν εἴη θεωρῆσαι, καὶ τί ἐςι καὶ τὰ ὑπάρχοντα ᾗ ὄν.

2 Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον λέγεται πολλαχῶς, ὧν ἓν μὲν ἦν τὸ κατὰ συμβεβηκός, ἕτερον δὲ τὸ ὡς ἀληθές, καὶ τὸ μὴ ὂν ὡς τὸ ψεῦδος, παρὰ ταῦτα δ' ἐστὶ τὰ σχήματα τῆς κατηγορίας, οἷον τὸ μὲν τί, τὸ δὲ ποιόν, τὸ δὲ ποσόν, τὸ δὲ ποῦ, τὸ δὲ ποτέ, καὶ εἴ τι ἄλλο σημαίνει τὸν τρόπον τῦτον· ἔτι παρὰ ταῦτα πάντα τὸ δυνάμει καὶ ἐνεργείᾳ· ἐπεὶ δὲ πολλαχῶς λέγεται τὸ ὄν, πρῶτον περὶ τῦ κατὰ συμβεβηκὸς λεκτέον, ὅτι ὐδεμία ἐςὶ περὶ αὐτὸ θεωρία. σημεῖον δέ· οὐδεμιᾷ γὰρ ἐπιςήμῃ ἐπιμελὲς περὶ αὐτοῦ ὔτε πρακτικῇ ὔτε ποιητικῇ ὔτε θεωρητικῇ. ὔτε γὰρ ὁ ποιῶν οἰκίαν ποιεῖ ὅσα συμβαίνει ἅμα τῇ οἰκίᾳ γινομένῃ· ἄπειρα γάρ ἐστιν· τοῖς μὲν γὰρ ἡδεῖαν, τοῖς δὲ βλαβεράν, τοῖς δ' ὠφέλιμον ὐθὲν εἶναι κωλύει τὴν ποιηθεῖσαν, καὶ ἑτέραν ὡς εἰπεῖν πάντων τῶν ὄντων· ὧν οὐθενός ἐςιν ἡ οἰκοδομικὴ ποιητική. τὸν αὐτὸν δὲ τρόπον ὐδ' ὁ γεωμέτρης θεωρεῖ τὰ ὕτω συμβεβηκότα τοῖς σχήμασιν, ὐδ' εἰ ἕτερόν ἐςι τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον. καὶ τῦτο εὐλόγως συμπίπτει· ὥσπερ γὰρ ὀνόματι μόνον τὸ συμβεβηκός ἐςιν. διὸ Πλάτων τρόπον τινὰ ὐ κακῶς τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν. εἰσὶ γὰρ οἱ τῶν σοφιςῶν λόγοι περὶ τὸ συμβεβηκὸς ὡς εἰπεῖν μάλιστα πάντων, πότερον ἕτερον ἢ ταὐτὸν μουσικὸν καὶ γραμματικόν, καὶ μουσικὸς Κορίσκος καὶ Κορίσκος, καὶ εἰ πᾶν ὃ ἂν ᾖ, μὴ ἀεὶ δέ, γέγονεν, ὥς' εἰ μυσικὸς ὢν γραμματικὸς γέγονε, καὶ γραμματικὸς ὢν μυσικός, καὶ ὅσοι δὴ ἄλλοι τοιῦτοι τῶν λόγων εἰσίν· φαίνεται γὰρ τὸ συμβεβηκὸς ἐγγύς τι τῦ μὴ ὄντος. δῆλον δὲ καὶ ἐκ τῶν τοιούτων λόγων· τῶν μὲν γὰρ ἄλλον τρόπον ὄντων ἔστι γένεσις καὶ φθορά, τῶν δὲ κατὰ συμβεβηκὸς ὐκ ἔςιν. ἀλλ' ὅμως λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος ἐφ' ὅσον ἐνδέχεται, τίς ἡ φύσις αὐτοῦ καὶ διὰ τίν' αἰτίαν ἐςίν· ἅμα γὰρ δῆλον ἴσως ἔςαι καὶ διὰ τί ἐπιςήμη ὐκ ἔςιν αὐτῦ. ἐπεὶ οὖν ἐςὶν ἐν τοῖς ὖσι τὰ μὲν ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐξ ἀνάγκης, οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης ἀλλ' ἣν λέγομεν τῷ μὴ ἐνδέχεσθαι ἄλλως, τὰ δ' ἐξ ἀνάγκης μὲν ὐκ ἔςιν ὐδ' ἀεί, ὡς δ' ἐπὶ τὸ πολύ, αὕτη ἀρχὴ καὶ αὕτη αἰτία ἐστὶ τῦ εἶναι τὸ συμβεβηκός· ὃ γὰρ ἂν ᾖ μήτ' ἀεὶ μήθ' ὡς ἐπὶ τὸ πολύ, τοῦτό φαμεν συμβεβηκὸς εἶναι. οἷον ἐπὶ κυνὶ ἂν χειμὼν γένηται καὶ ψῦχος, τῦτο συμβῆναί φαμεν, ἀλλ' οὐκ ἂν πνῖγος καὶ ἀλέα, ὅτι τὸ μὲν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' οὔ. καὶ τὸν ἄνθρωπον λευκὸν εἶναι συμβέβηκεν (ὔτε γὰρ ἀεὶ ὔθ' ὡς ἐπὶ τὸ πολύ), ζῷον δ' ὐ κατὰ συμβεβηκός. καὶ τὸ ὑγιάζειν δὲ τὸν οἰκο-

1. ὀςῦν om *T*. ‖ 2. οὐδὲν ὅσον γὰρ *T*. ‖ 3. ἀεὶ et 4. δῆλον om *A*[b]. ‖ 7. τίς add *A*[b]*F*[b]. ‖ φανερὸν] δῆλον *H*[b]. ‖ 8. ἐςί] ἔτι *T*. ‖ ἄδηλον νῦν *F*[b]. ‖ 9. μέντοι] μὲν ὖν *E*. ‖ 10. τί om *F*[b]. ‖ ἀκίνητον καὶ ἀΐδιον *ET*. ‖ 12. μαθηματικῆς γε ἀλλ' ἑτέρας προτέρας *A*[b]. ‖ 15. ὡς om *T*. ‖ 17. μὲν om *F*[b]. ‖ εἶναι om *EF*[b]. ‖ 18. θείων] αἰσθητῶν *T*. ‖ 21. δεῖ] ἀεὶ *A*[b]. ‖ 25. τινὰ add *A*[b]*F*[b]. ‖ 27. ἡ] ἐκείνη *ET*. ‖ γε καὶ πᾶσι rc *E*. ‖ 30. καὶ ἡ φιλοσοφία *T*. ‖ 33. λέγεται καὶ πολλαχῶς *H*[b]. ‖ 35. τὸ post ὡς om *E*. ‖ 37. τὸ δὲ ποσὸν om *T*.

2. καὶ τὸ ἐνεργείᾳ *A*[b]. ‖ ἐπειδὴ *ET*. ‖ 3. περὶ αὐτό ἐςι *ET*. ‖ 10. δὲ om *T*. ‖ 11. θεωρεῖ post σχήμασιν *B*[b]*C*[b]*F*[b]. ‖ 12. καὶ τρίγωνον om *S*. ‖ 13. ὄνομά τι *H*[b]. ‖ 17. καὶ γρ.] ἢ γρ. *A*[b]. ‖ 18. καὶ Κορίσκος om *E*. ‖ 25. ὅσων *T*. ‖ 26. ἴσως] εἴγ' *T*, om *H*[b]. ‖ 29. τῷ] τὸ *TH*[b]. ‖ 32. εἶναι συμβεβηκός *H*[b]. ‖ 33. ψῦχος] πάγος *H*[b]. ‖ 37. καὶ τὸ τὸν οἰκοδόμον ὑγίειαν ποιῆσαι κ. *ETH*[b].

κατὰ συμβεβηκός, ὅτι ὀ πέφυκε τῦτο ποιεῖν οἰκοδό- λλ' ἰατρός, ἀλλὰ συνέβη ἰατρὸν εἶναι τὸν οἰκοδόμον. ὀψοποιὸς ἡδονῆς ςοχαζόμενος ποιήσειεν ἄν τι ὑγιεινόν, οὐ κατὰ τὴν ὀψοποιητικήν· διὸ συνέβη φαμέν, καὶ ς ποιεῖ, ἁπλῶς δ' ὄ. τῶν μὲν γὰρ ἄλλων ἐνίοτε δυ- εἰσὶν αἱ ποιητικαί, τῶν δ' ὀδεμία τέχνη ὀδὲ δύναμις ένη· τῶν γὰρ κατὰ συμβεβηκὸς ὄντων ἢ γινομένων αἴτιόν ἐςι κατὰ συμβεβηκός. ὥς' ἐπειδὴ οὐ πάντα ἐξ ἀνάγκης καὶ ἀεὶ ἢ ὄντα ἢ γινόμενα, ἀλλὰ τὰ α ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη εἶναι τὸ κατὰ συμβεβη-· οἷον ὄτ' ἀεὶ ὄθ' ὡς ἐπὶ τὸ πολὺ ὁ λευκὸς μουσικός πεὶ δὲ γίγνεταί ποτε, κατὰ συμβεβηκὸς ἔςαι. εἰ δὲ άντ' ἔςαι ἐξ ἀνάγκης. ὥςε ἡ ὕλη ἔσται αἰτία, ἡ ἐν- ένη παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἄλλως, τῦ συμβεβηκό- ρχὴν δὲ τηνδὶ ληπτέον, πότερον ὀθέν ἐςιν ὄτ' αἰεὶ ὄθ' τὸ πολύ, ἢ τοῦτο ἀδύνατον. ἔστιν ἄρα τι παρὰ τὸ ὁπότερ' ἔτυχε καὶ κατὰ συμβεβηκός. ἀλλὰ πό- τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ἀεὶ οὐθενὶ ὑπάρχει, ἢ ἔστιν ἀΐδια; περὶ μὲν οὖν τούτων ὕςερον σκεπτέον, ὅτι δ' η οὐκ ἔςι τῦ συμβεβηκότος φανερόν· ἐπιςήμη μὲν ᾶσα ἢ τοῦ ἀεὶ ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ. πῶς γὰρ ἢ εται ἢ διδάξει ἄλλον; δεῖ γὰρ ὡρίσθαι ἢ τῷ ἀεὶ ἢ ἐπὶ τὸ πολύ, οἷον ὅτι ὠφέλιμον τὸ μελίκρατον τῷ οντι ὡς ἐπὶ τὸ πολύ. τὸ δὲ παρὰ τῦτο ὀχ ἕξει λέ- ότε ὄ, οἷον νυμηνίᾳ· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ καὶ νυμηνίᾳ· τὸ δὲ συμβεβηκός ἐςι παρὰ ταῦτα. τί μὲν τὸ συμβεβηκὸς καὶ διὰ τίν' αἰτίαν, καὶ ὅτι ἐπιςήμη ν αὐτῦ, εἴρηται.

Ὅτι δ' εἰσὶν ἀρχαὶ καὶ αἴτια γεννητὰ καὶ φθαρτὰ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι, φανερόν. εἰ γὰρ μὴ ἐξ ἀνάγκης πάντ' ἔςαι, εἰ τῦ γιγνομένυ καὶ φθειρο- ὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. πότερον ται τοδὶ ἢ οὔ; ἐάν γε τοδὶ γένηται· εἰ δὲ μή, οὔ. ἄλλο. καὶ ὄτω δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου ἀπὸ πεπερασμένυ χρόνυ ἥξει ἐπὶ τὸ νῦν. ὥςε ὅδε ἀποθανεῖται νόσῳ ἢ βίᾳ, ἐάν γε ἐξέλθῃ· τοῦτο δὲ ἐὰν διψήσῃ· τῦτο δὲ ἐὰν ἄλλο· καὶ οὕτως ἥξει εἰς ὃ νῦν ὑπάρχει, ἢ εἰς τῶν γεγονότων τι· οἷον ἐὰν διψήσῃ· τοῦτο δ' εἰ ἐσθίει δριμέα· τῦτο δ' ἤτοι ὑπάρχει ἢ οὔ· ὥς' ἐξ ἀνάγκης ἀποθανεῖται ἢ ὀκ ἀποθανεῖται. ὁμοίως δὲ κἂν ὑπερπηδήσῃ τις εἰς τὰ γένομενα, ὁ αὐτὸς λόγος· ἤδη γὰρ ὑπάρχει τοῦτο ἔν τινι, λέγω δὲ τὸ γεγονός. ἐξ ἀνάγκης ἄρα πάντα ἔςαι τὰ ἐσόμενα, οἷον τὸ ἀποθανεῖν τὸν ζῶντα· ἤδη γάρ τι γέγονεν, οἷον τὰ ἐναντία ἐν τῷ αὐτῷ σώματι· ἀλλ' εἰ νόσῳ ἢ βίᾳ, οὔπω, ἀλλ' ἐὰν τοδὶ γένηται. δῆλον ἄρα ὅτι μέχρι τινὸς βαδίζει ἀρχῆς, αὕτη δ' οὐκέτι εἰς ἄλλο. ἔςαι οὖν ἡ τοῦ ὁπότερ' ἔτυχεν αὕτη, καὶ αἴτιον τῆς γενέσεως αὐτῆς ἄλλο ὀθέν. ἀλλ' εἰς ἀρχὴν ποίαν καὶ αἴτιον ποῖον ἡ ἀναγωγὴ ἡ τοιαύτη, πότερον ὡς εἰς ὕλην ἢ ὡς εἰς τὸ ὂ ἕνεκα ἢ ὡς εἰς τὸ κινῆσαν, μάλιςα σκεπτέον.

Περὶ μὲν οὖν τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀφείσθω· 4
διώρισται γὰρ ἱκανῶς. τὸ δὲ ὡς ἀληθὲς ὄν, καὶ μὴ ὂν ὡς ψεῦδος, ἐπειδὴ περὶ σύνθεσίν ἐςι καὶ διαίρεσιν, τὸ δὲ σύνολον περὶ μερισμὸν ἀντιφάσεως. τὸ μὲν γὰρ ἀληθὲς τὴν κατάφασιν ἐπὶ τῷ συγκειμένῳ ἔχει, τὴν δ' ἀπόφασιν ἐπὶ τῷ διῃρημένῳ, τὸ δὲ ψεῦδος τύτυ τῦ μερισμῦ τὴν ἀντίφασιν. πῶς δὲ τὸ ἅμα ἢ τὸ χωρὶς νοεῖν συμβαίνει, ἄλλος λόγος. λέγω δὲ τὸ ἅμα καὶ τὸ χωρὶς ὥςε μὴ τὸ ἐφεξῆς ἀλλ' ἕν τι γίγνεσθαι· ὀ γάρ ἐςι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθές, τὸ δὲ κακὸν εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ· περὶ δὲ τὰ ἁπλᾶ καὶ τὰ τί ἐςιν ὀδ' ἐν τῇ διανοίᾳ. ὅσα μὲν ὖν δεῖ θεωρῆσαι περὶ τὸ ὄτως ὂν καὶ μὴ ὄν, ὕςερον ἐπισκεπτέον. ἐπεὶ δὲ ἡ συμπλοκή ἐστιν καὶ ἡ διαίρεσις ἐν διανοίᾳ ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, τὸ δ' οὕτως ὂν ἕτερον ὂν τῶν κυρίως (ἢ γὰρ τὸ τί ἐστιν ἢ ὅτι ποιὸν ἢ ὅτι ποσὸν ἢ εἴ τι ἄλλο συνάπτει ἢ ἀφαιρεῖ ἡ διάνοια), τὸ μὲν ὡς συμβεβηκὸς καὶ τὸ ὡς ἀληθὲς ὂν ἀφετέον. τὸ γὰρ αἴτιον τοῦ μὲν ἀόριστον, τῦ δὲ τῆς

κατὰ συμβεβηκός] συμβεβηκός *E*, συμβέβηκεν *T*. ‖ 3. ἡδονῇ A^b. ‖ τινι $A^bF^bH^b$. ‖ ὑγίειαν H^b. ‖ 5. ἄλλαι TA^b. ‖ ἐνίοτε H^b. ‖ 7. γενομένων A^b. ‖ 8. ἐπεὶ A^bH^b. ‖ 11. ὄτ'] τότ' *T*. ‖ πολὺ ἀνάγκη ὁ *T*. ‖ 13. πάντες τε ἐξ *T*. ‖ ἔςαι ἡ ὕλη A^b, ςιν H^b. ‖ αἰτία post 14. συμβεβηκότος A^b. ‖ 14. τὸ post ἐπὶ om *S*. ‖ ἄλλως om A^bH^b. ‖ 15. τὴν δὲ A^bH^b. ‖ 16. ἔςιν] ‖ 19. ἐπισκεπτέον *T*. ‖ 21. πᾶσα] ὂν ἡ πᾶσα *T*. ‖ γὰρ ἂν ἢ *E*. ‖ 23. ὅτι] τί *T*. ‖ τῷ πυρέττοντι τὸ μελίκρατον *T*. ‖ 25. ὀ om ‖ 26. τὸ ante τῇ add EF^b. ‖ 28. αὐτῦ ὀκ ἔςιν *S*. ‖ 29. γενητὰ F^b. ‖ 30. καὶ φθείρεσθαι om F^b. ‖ 32. μὴ om *S*. ‖ 33. H^b. ‖ 34. γς τύτου margo *E*. ‖ ἄλλου *T*.

χρόνυ om F^b. ‖ 2. τοῦτο — διψήσῃ om A^bF^b. ‖ 3. ἂν A^b. ‖ 8. γένος *T*. ‖ 9. οἷον] ἢ *S*. ‖ 10. σώματι om A^b. ‖ 12. *T*. ‖ οὐκ ἔςιν εἰς *T*. ‖ 13. ἄλλο add A^b. ‖ 15. εἰς alteram om A^b. ‖ 18. ἱκανῶς om F^b. ‖ 19. περὶ F^bH^b: ceteri παρά. ‖ φάσεων *S*. ‖ 21. κατὰ ἐπὶ τῶν συγκειμένων *T*. ‖ 22. ὁρισμῦ *T*. ‖ 23. νοεῖν post δὲ H^b. ‖ 24. δὴ H^b. ‖ καὶ] ἢ *E*. ‖ τὸ om ‖ τῦ ESA^b. ‖ 25. ψεῦδός τε καὶ *E*. ‖ 27. εὐθὺ A^b, om *ET*. ‖ ἁπλῶς *S*. ‖ 28. τῇ om TA^b. ‖ μὲν om H^b. ‖ 29. ὄτως] H^b. ‖ 30. καὶ] ἢ *ES*, om *T*. ‖ 31. κυρίων *ET*. ‖ 32. εἴ om A^bF^b. ‖ 33. ὡς σ.] ὂν σ. *T*. ‖ ἀληθῶς A^bF^b.

question most constantly inquired into καὶ πάλαι καὶ νῦν. Τί τὸ ὄν?

διανοίας τι πάθος, καὶ ἀμφότερα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος, καὶ ὐκ ἔξω δηλῦσιν ὖσάν τινα φύσιν τοῦ ὄντος. διὸ ταῦτα μὲν ἀφείσθω, σκεπτέον δὲ τοῦ ὄντος αὐτῦ τὰ αἴτια καὶ τὰς ἀρχὰς ᾗ ὄν. φανερὸν δ' ἐν οἷς διωρισάμεθα περὶ τοῦ ποσαχῶς λέγεται ἕκαστον, ὅτι πολλαχῶς λέγεται τὸ ὄν.

Ζ.

Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς· σημαίνει γὰρ τὸ μὲν τί ἐςι καὶ τόδε τι, τὸ δὲ ὅτι ποιὸν ἢ ποσὸν ἢ τῶν ἄλλων ἕκαςον τῶν ὕτω κατηγορυμένων. τοσαυταχῶς δὲ λεγομένυ τῦ ὄντος φανερὸν ὅτι τύτων πρῶτον ὂν τὸ τί ἐςιν, ὅπερ σημαίνει τὴν ὐσίαν. ὅταν μὲν γὰρ εἴπωμεν ποῖόν τι τόδε, ἢ ἀγαθὸν λέγομεν ἢ κακόν, ἀλλ' ὐ τρίπηχυ ἢ ἄνθρωπον· ὅταν δὲ τί ἐςιν, οὐ λευκὸν ὐδὲ θερμὸν ὐδὲ τρίπηχυ, ἀλλ' ἄνθρωπον ἢ θεόν. τὰ δ' ἄλλα λέγεται ὄντα τῷ τοῦ οὕτως ὄντος τὰ μὲν ποσότητας εἶναι, τὰ δὲ ποιότητας, τὰ δὲ πάθη, τὰ δὲ ἄλλο τι τοιοῦτον. διὸ κἂν ἀπορήσειέ τις πότερον τὸ βαδίζειν καὶ τὸ ὑγιαίνειν καὶ τὸ καθῆσθαι ἕκαστον αὐτῶν ὂν ἢ μὴ ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν τοιύτων· ὐθὲν γὰρ αὐτῶν ἐςὶν οὔτε καθ' αὑτὸ πεφυκὸς οὔτε χωρίζεσθαι δυνατὸν τῆς οὐσίας, ἀλλὰ μᾶλλον, εἴπερ, τὸ βαδίζον τῶν ὄντων τι καὶ τὸ καθήμενον καὶ τὸ ὑγιαῖνον. ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον· τοῦτο δ' ἐςὶν ἡ οὐσία καὶ τὸ καθ' ἕκαςον, ὅπερ ἐμφαίνεται ἐν τῇ κατηγορίᾳ τῇ τοιαύτῃ· τὸ ἀγαθὸν γὰρ ἢ τὸ καθήμενον οὐκ ἄνευ τούτου λέγεται. δῆλον οὖν ὅτι διὰ ταύτην κἀκείνων ἕκαςόν ἐστιν. ὥςε τὸ πρώτως ὂν καὶ ὐ τὶ ὂν ἀλλ' ὂν ἁπλῶς ἡ ὐσία ἂν εἴη. πολλαχῶς μὲν ὖν λέγεται τὸ πρῶτον· ὅμως δὲ πάντων ἡ οὐσία πρῶτον καὶ λόγῳ καὶ γνώσει καὶ χρόνῳ. τῶν μὲν γὰρ ἄλλων κατηγορημάτων ὐθὲν χωριστόν, αὕτη δὲ μόνη. καὶ τῷ λόγῳ δὲ τοῦτο πρῶτον· ἀνάγκη γὰρ ἐν τῷ ἑκάςυ λόγῳ τὸν τῆς ὐσίας ἐνυπάρχειν. καὶ εἰδέναι τότ' οἰόμεθα ἕκαςον μάλιςα, ὅταν τί ἐςιν ὁ ἄνθρωπος γνῶμεν ἢ τὸ πῦρ, μᾶλλον ἢ τὸ ποιὸν ἢ τὸ ποσὸν ἢ τὸ πῦ, ἐπεὶ καὶ αὐτῶν τούτων τότε ἕκαςον ἴσμεν, ὅταν τί ἐστι τὸ ποσὸν ἢ τὸ ποιὸν γνῶμεν. καὶ δὴ καὶ τὸ πάλαι τε καὶ νῦν καὶ ἀεὶ ζητύμενον καὶ ἀεὶ ἀπορούμενον, τί τὸ ὄν, τοῦτό ἐςι τίς ἡ οὐσία. τοῦτο γὰρ οἱ μὲν ἓν εἶναί φασιν, οἱ δὲ πλείω ἢ ἕν, καὶ οἱ μὲν πεπερασμένα, οἱ δὲ ἄπειρα. διὸ καὶ ἡμῖν καὶ μάλιστα καὶ πρῶτον καὶ μόνον ὡς εἰπεῖν περὶ τῦ ὕτως ὄντος θεωρητέον τί ἐςιν.

Δοκεῖ δ' ἡ οὐσία ὑπάρχειν φανερώτατα μὲν τοῖς σώ- 2
μασιν· διὸ τά τε ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν ὐσίας εἶναί φαμεν, καὶ τὰ φυσικὰ σώματα, οἷον πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ τῶν τοιούτων ἕκαστον, καὶ ὅσα ἢ μόρια τύτων ἢ ἐκ τύτων ἐςίν, ἢ μορίων ἢ πάντων, οἷον ὅ τε ὐρανὸς καὶ τὰ μόρια αὐτῦ, ἄστρα καὶ σελήνη καὶ ἥλιος. πότερον δὲ αὗται μόναι οὐσίαι εἰσὶν ἢ καὶ ἄλλαι, ἢ τούτων μὲν οὐθὲν ἕτεραι δέ τινες, σκεπτέον. δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι, καὶ μᾶλλον ἢ τὸ σῶμα καὶ τὸ ςερεόν. ἔτι παρὰ τὰ αἰσθητὰ οἱ μὲν ὐκ οἴονται εἶναι οὐθὲν τοιῦτον, οἱ δὲ πλείω καὶ μᾶλλον ὄντα ἀΐδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ἀπὸ τῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάςης ὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς ὐσίας. ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τὺς ἀριθμὺς τὴν αὐτὴν ἔχειν φασὶ φύσιν, τὰ δὲ ἄλλα ἐχόμενα, γραμμὰς καὶ ἐπίπεδα, μέχρι πρὸς τὴν τῦ ὐρανῦ ὐσίαν καὶ τὰ αἰσθητά. περὶ δὴ τύτων τί λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ τίνες εἰσὶν ὐσίαι, καὶ πότερον εἰσί τινες παρὰ τὰς αἰσθητὰς ἢ ὐκ εἰσί, καὶ αὗται πῶς εἰσί, καὶ πότερον ἔςι τις χωριςὴ ὐσία, καὶ διὰ τί καὶ πῶς, ἢ ὐδεμία παρὰ τὰς αἰσθητάς, σκεπτέον, ὑποτυπωσαμένοις τὴν ὐσίαν πρῶτον τί ἐςιν.

Λέγεται δ' ἡ οὐσία, εἰ μὴ πλεοναχῶς, ἀλλ' ἐν τέτ- 3
ταρσί γε μάλιςα· καὶ γὰρ τὸ τί ἦν εἶναι καὶ τὸ καθόλου καὶ τὸ γένος ὐσία δοκεῖ εἶναι ἑκάςυ, καὶ τέταρτον τύτων τὸ ὑποκείμενον. τὸ δ' ὑποκείμενόν ἐςι καθ' ὖ τὰ ἄλλα λέγεται, ἐκεῖνο δὲ αὐτὸ μηκέτι κατ' ἄλλυ. διὸ πρῶτον περὶ τύ-

2. τῦ om A^b. ‖ 5. ὅτι — 6. ὂν om A^b. post ὂν *ES* σημαίνει γὰρ τὸ μὲν τί ἐςιν, *E* etiam τῦτο δοκεῖ ἀτελὲς εἶναι. ‖ 12. ἔστι[illegible] A^b. ‖ 14. τὸ om *T*. ‖ 16. καλόν A^bF^b. ‖ 18. ὄντα om F^b. ‖ τῷ] τὸ *T*. ‖ οὕτως] ὄντως *T*. ‖ 19. εἶναι ποσότητες F^b. ‖ 20. τὸ αὐτὸν om A^bF^b. ‖ καὶ TA^b. ‖ 21. ἢ μὴ ὄν] σημαίνει A^b. ‖ 25. τι om A^bF^b. ‖ 32. πάντως A^b. ‖ πρῶτον καὶ φύσει καὶ H^b. ‖ 35. ἑκάςῳ *T*. ‖ ὐσίας λόγον ἐνυπάρχειν *ET*. ‖ 36. τῦτο *T*. ‖ 37. τὸ ante πῦρ om A^b.

2. ἐστι] ἔστω ἢ *ET*. ‖ εἰδῶμεν *ET*. ‖ 3. καὶ νῦν om *E*. ‖ 4. ἡ om *T*. ‖ 8. δ' ἡ] δὴ *T*. ‖ 11. ἢ] δὴ A^b. ‖ 14. αὗται *E*. εἰσὶν οὐσίαι H^b. ‖ post ἄλλαι *ET* ἢ τούτων τινὲς ἢ καὶ ἄλλαι (vel ἄλλων), A^b τινὲς καὶ ἄλλων ἢ τούτων. ‖ 17. τῦ σῶμα ἢ τὸ *T*. 20. τρίτην — 22. ἑνὸς om pr *T*. ‖ 21. καὶ om A^b. ‖ 23. μεγεθῶν καὶ ἔπειτα *T*. ‖ 27. δὲ *ET*. ‖ 32. πρῶτον om F^b. ‖ 33. δὴ *E* δὲ A^b. ‖ 34. ἦν om *T*.

του διοριςέον· μάλιςα γὰρ δοκεῖ εἶναι ὐσία τὸ ὑποκείμενον πρῶτον. τοιῦτον δὲ τρόπον μέν τινα ἡ ὕλη λέγεται, ἄλλον δὲ τρόπον ἡ μορφή, τρίτον δὲ τὸ ἐκ τούτων. λέγω δὲ τὴν μὲν ὕλην οἷον τὸν χαλκόν, τὴν δὲ μορφὴν τὸ σχῆμα τῆς ἰδέας, τὸ δ' ἐκ τύτων τὸν ἀνδριάντα τὸ σύνολον. ὥςε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον καὶ μᾶλλον ὄν, καὶ τῦ ἐξ ἀμφοῖν πρότερον ἔςαι διὰ τὸν αὐτὸν λόγον. νῦν μὲν ὖν τύπῳ εἴρηται τί ποτ' ἐςὶν ἡ ὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου ἀλλὰ καθ' οὗ τὰ ἄλλα. δεῖ δὲ μὴ μόνον ὗτως· οὐ γὰρ ἱκανόν. αὐτό τε γὰρ τῦτο ἄδηλον, καὶ ἔτι ἡ ὕλη οὐσία γίνεται. εἰ γὰρ μὴ αὕτη ὐσία, τίς ἐςιν ἄλλη διαφεύγει. περιαιρυμένων γὰρ τῶν ἄλλων οὐ φαίνεται οὐθὲν ὑπομένον. τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη καὶ ποιήματα καὶ δυνάμεις, τὸ δὲ μῆκος καὶ πλάτος καὶ βάθος ποσότητές τινες ἀλλ' οὐκ ὐσίαι· τὸ γὰρ ποσὸν ὐκ ὐσία, ἀλλὰ μᾶλλον ᾧ ὑπάρχει ταῦτα πρώτῳ, ἐκεῖνό ἐςιν ἡ οὐσία. ἀλλὰ μὴν ἀφαιρυμένυ μήκυς καὶ πλάτυς καὶ βάθυς ὐθὲν ὁρῶμεν ὑπολειπόμενον, πλὴν εἴ τι ἔςι τὸ ὁριζόμενον ὑπὸ τύτων, ὥςε τὴν ὕλην ἀνάγκη φαίνεσθαι μόνην οὐσίαν οὕτω σκοπουμένοις. λέγω δ' ὕλην ἣ καθ' αὑτὴν μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηθὲν λέγεται οἷς ὥριςαι τὸ ὄν. ἔςι γάρ τι καθ' ὖ κατηγορεῖται τύτων ἕκαςον, ᾧ τὸ εἶναι ἕτερον καὶ τῶν κατηγοριῶν ἑκάςῃ· τὰ μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης. ὥστε τὸ ἔσχατον καθ' αὑτὸ ὔτε τὶ ὔτε ποσὸν ὔτε ἄλλο ὐθέν ἐςιν. ὐδὲ δὴ αἱ ἀποφάσεις· καὶ γὰρ αὗται ὑπάρξουσι κατὰ συμβεβηκός. ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει ὐσίαν εἶναι τὴν ὕλην. ἀδύνατον δέ· καὶ γὰρ τὸ χωριςὸν καὶ τὸ τόδε τι ὑπάρχειν δοκεῖ μάλιστα τῇ οὐσίᾳ, διὸ τὸ εἶδος καὶ τὸ ἐξ ἀμφοῖν ὐσία δόξειεν ἂν εἶναι μᾶλλον τῆς ὕλης. τὴν μὲν τοίνυν ἐξ ἀμφοῖν οὐσίαν, λέγω δὲ τὴν ἔκ τε τῆς ὕλης καὶ τῆς μορφῆς, ἀφετέον· ὑςέρα γὰρ καὶ δήλη. φανερὰ δέ πως καὶ ἡ ὕλη. περὶ δὲ τῆς τρίτης σκεπτέον· αὕτη γὰρ ἀπορωτάτη. ὁμολογοῦνται δ' οὐσίαι εἶναι τῶν αἰσθητῶν τινές, ὥςε ἐν ταύταις ζητητέον πρῶτον.

Ἐπεὶ δ' ἐν ἀρχῇ διειλόμεθα πόσοις ὁρίζομεν τὴν ὐσίαν, 4
καὶ τούτων ἕν τι ἐδόκει εἶναι τὸ τί ἦν εἶναι, θεωρητέον περὶ αὐτοῦ· πρὸ ἔργυ γὰρ τὸ μεταβαίνειν εἰς τὸ γνωριμώτερον. ἡ γὰρ μάθησις ὕτω γίνεται πᾶσι διὰ τῶν ἧττον γνωρίμων φύσει εἰς τὰ γνώριμα μᾶλλον· καὶ τῦτο ἔργον ἐςίν, ὥσπερ ἐν ταῖς πράξεσι τὸ ποιῆσαι ἐκ τῶν ἑκάςῳ ἀγαθῶν τὰ ὅλως ἀγαθὰ ἑκάςῳ ἀγαθά, ὕτως ἐκ τῶν αὐτῷ γνωριμωτέρων τὰ τῇ φύσει γνώριμα αὐτῷ γνώριμα. τὰ δ' ἑκάςοις γνώριμα καὶ πρῶτα πολλάκις ἠρέμα ἐστὶ γνώριμα, καὶ μικρὸν ἢ οὐθὲν ἔχει τῦ ὄντος· ἀλλ' ὅμως ἐκ τῶν φαύλως μὲν γνωστῶν, αὐτῷ δὲ γνωςῶν, τὰ ὅλως γνωςὰ γνῶναι πειρατέον, μεταβαίνοντας, ὥσπερ εἴρηται, διὰ τύτων αὐτῶν. καὶ πρῶτον εἴπωμεν ἔνια περὶ αὐτῦ λογικῶς, ὅτι ἔςι τὸ τί ἦν εἶναι ἕκαστον ὃ λέγεται καθ' αὑτό. οὐ γάρ ἐστι τὸ σοὶ εἶναι τὸ μουσικῷ εἶναι· οὐ γὰρ κατὰ σαυτὸν εἶ μουσικός. ὃ ἄρα κατὰ σαυτόν. οὐδὲ δὴ τῦτο πᾶν· ὐ γὰρ τὸ ὕτως καθ' αὑτὸ ὡς ἐπιφάνεια λευκόν, ὅτι οὐκ ἔστι τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι. ἀλλὰ μὴν οὐδὲ τὸ ἐξ ἀμφοῖν τὸ ἐπιφανείᾳ λευκῇ εἶναι. διὰ τί; ὅτι πρόσεστιν αὐτό. ἐν ᾧ ἄρα μὴ ἐνέςαι λόγῳ αὐτό, λέγοντι αὐτό, ὗτος ὁ λόγος τῦ τί ἦν εἶναι ἑκάςῳ. ὥς' εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐςι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν. ἐπεὶ δ' ἐστὶ καὶ κατὰ τὰς ἄλλας κατηγορίας σύνθετα (ἔςι γάρ τι ὑποκείμενον ἑκάςῳ, οἷον τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ τῷ πῦ καὶ τῇ κινήσει), σκεπτέον ἆρ' ἔςι λόγος τῦ τί ἦν εἶναι ἑκάςῳ αὐτῶν, καὶ ὑπάρχει καὶ τύτοις τὸ τί ἦν εἶναι, οἷον λευκῷ ἀνθρώπῳ τί ἦν λευκῷ ἀνθρώπῳ. ἔςω δὴ ὄνομα αὐτῷ ἱμάτιον. τί ἐστι τὸ ἱματίῳ εἶναι; ἀλλὰ μὴν ὐδὲ τῶν καθ' αὑτὸ λεγομένων ὐδὲ τῦτο. ἢ τὸ ὐ καθ' αὑτὸ λέγεται διχῶς, καὶ τύτου ἐςὶ τὸ μὲν ἐκ προσθέσεως, τὸ δὲ οὔ. τὸ μὲν γὰρ τῷ αὐτὸ ἄλλῳ προσκεῖσθαι λέγεται ὃ ὁρίζεται, οἷον εἰ τὸ λευκῷ εἶναι ὁριζόμενος λέγοι λευκοῦ ἀνθρώπου λόγον· τὸ δὲ τῷ ἄλλο αὐτῷ, οἷον εἰ σημαίνοι τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ δὲ ὁρίζοι τὸ ἱμάτιον ὡς λευκόν.

1. γὰρ] δὲ *T*. ‖ 2. δὴ *S*. ‖ φαίνεται A^bH^b. ‖ 3. λέγω δὲ et 5. τὸν om A^b. ‖ 6. τὸ A^bF^b. ‖ 9. μὴ ESA^b: vulgo οὐ. ‖ 10. τε om A^b. ‖ 11. αὐτὴ A^b. ‖ 13. ποιήματα καὶ] ποιητικαὶ *T*. ‖ 16. ταῦτα αὐτὰ πρώτως *ET*. ‖ ἡ om A^b. ‖ μὴν καὶ ἀφαιρυμένυ A^b. ‖ 19. μόνον *T*. ‖ 20. δὴ H^b. ‖ ἣ SF^b. ‖ μήτε τι] μηκέτι *S*, om H^b. ‖ 22. ᾧ] ὥςε A^b. ‖ 24. καθαυτὸν *S*. ‖ 26. ὑπάρχοι *T*. ‖ 28. τὸ om A^bH^b. ‖ 29. εἶδος] εἶδος τὸ χωριςὸν H^b. ‖ μᾶλλον εἶναι *T*. ‖ 30. τοίγε νῦν *T*. ‖ δὴ H^b. ‖ 31. τε add A^b. ‖ γὰρ] δὲ *S*. ‖ 32. καὶ ante ἡ om *T*.

1. ἐπειδὴ ἐν H^b. ‖ ὁριζόμεθα H^b. ‖ 2. δοκεῖ *ET*. ‖ 4. πᾶσι om H^b. ‖ 5. τῇ φύσει H^b. ‖ τῦτο] τὸ αὐτὸ *ET*. ‖ 6. ἐν ταῖς] ὡς A^b. ‖ ἑκάςυ H^b. ‖ 8. αὐτῷ γνώριμα om A^b. ‖ 9. ἐστὶ add A^bF^b. ‖ 10. γνωριστῶν TA^b. ‖ 11. αὐτῷ δὲ γνωςῶν om *E*. ‖ 12. μεταβαίνοντα A^b. ‖ 15. ὃ ἄρα κατὰ σαυτόν om A^b. ‖ 18. λευκὸν A^b. ‖ ἐπιφάνεια λευκή, ὅτι πρόσεστιν A^b. ‖ 19. αὐτό A^bF^b: vulgo αὐτῷ. ‖ 20. ἔνεςι F^b. ‖ αὐτό post λόγῳ om A^b. ‖ αὐτά F^b. ‖ 21. ἐπιφάνεια λευκὴ et ἐπιφάνεια εἶναι λεία A^b. ‖ 22. τὸ λευκῷ] εἶναι ἀεὶ τὸ λευκῷ *T*. ‖ ἐπειδὴ ἐστι F^b. ‖ 23. καὶ om *T*. ‖ 24. τῷ ante ποσῷ om F^b. ‖ 26. ἑκάςῳ εἶναι αὐτῶν *E*, ἑκάςῳ αὐτῶν εἶναι *T*. ‖ 27. τί ἦν λευκῷ ἀνθρώπῳ om A^b. ‖ 28. αὐτὸ A^b. ‖ 29. ὐδὲ om A^b. ‖ λεγομένων ὐδὲ τῦτο om *T*. ‖ 30. ἐςί τι τὸ *T*. ‖ 31. τῷ] τὸ *S*. ‖ 32. τῶ *ST*. ‖ 33. τῷ] τὸ F^b. ‖ σημαίνει *T*.

τὸ δὴ λευκὸς ἄνθρωπος ἔστι μὲν λευκόν, οὐ μέντοι τί ἦν εἶναι λευκῷ εἶναι, ἀλλὰ τὸ ἱματίῳ εἶναι. ἆρα ἔστι τί ἦν εἶναί τι ἢ ὅλως ἢ οὔ; ὅπερ γάρ τι ἦν εἶναι ἔστι τὸ τί ἦν εἶναι· ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστιν ὅπερ τόδε τι, οἷον ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ τόδε τι, εἴπερ τὸ τόδε τι ταῖς οὐσίαις ὑπάρχει μόνον. ὥστε τὸ τί ἦν εἶναί ἐστιν ὅσων ὁ λόγος ἐστὶν ὁρισμός. ὁρισμὸς δ' ἐστὶν οὐκ ἂν ὄνομα λόγῳ ταὐτὸ σημαίνῃ (πάντες γὰρ ἂν εἶεν οἱ λόγοι ὅροι· ἔσται γὰρ ὄνομα ὁτῳοῦν λόγῳ ταὐτόν, ὥστε καὶ ἡ Ἰλιὰς ὁρισμὸς ἔσται), ἀλλ' ἐὰν πρώτου τινὸς ᾖ· τοιαῦτα δ' ἐστὶν ὅσα λέγεται μὴ τῷ ἄλλο κατ' ἄλλου λέγεσθαι. οὐκ ἔσται ἄρα οὐθενὶ τῶν μὴ γένους εἰδῶν ὑπάρχον τὸ τί ἦν εἶναι, ἀλλὰ τούτοις μόνον· ταῦτα γὰρ δοκεῖ οὐ κατὰ μετοχὴν λέγεσθαι καὶ πάθος, οὐδ' ὡς συμβεβηκός· ἀλλὰ λόγος μὲν ἔσται ἑκάστου καὶ τῶν ἄλλων τί σημαίνει, ἐὰν ᾖ ὄνομα ὅτι τόδε τῷδε ὑπάρχει, ἢ ἀντὶ λόγου ἁπλοῦ ἀκριβέστερος· ὁρισμὸς δ' οὐκ ἔσται οὐδὲ τὸ τί ἦν εἶναι. ἢ καὶ ὁ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται· καὶ γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν καὶ τὸ τόδε τι, ἄλλον δὲ ἕκαστον τῶν κατηγορουμένων, ποσόν, ποιὸν καὶ ὅσα ἄλλα τοιαῦτα. ὥσπερ γὰρ καὶ τὸ ἔστιν ὑπάρχει πᾶσιν ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τῷ μὲν πρώτως τοῖς δ' ἑπομένως, οὕτω καὶ τὸ τί ἐστιν ἁπλῶς μὲν τῇ οὐσίᾳ πῶς δὲ τοῖς ἄλλοις· καὶ γὰρ τὸ ποιὸν ἐροίμεθ' ἂν τί ἐστιν, ὥστε καὶ τὸ ποιὸν τῶν τί ἐστι μὲν ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς φασί τινες εἶναι τὸ μὴ ὂν οὐχ ἁπλῶς ἀλλὰ μὴ ὄν, οὕτω καὶ τὸ ποιόν. δεῖ μὲν οὖν σκοπεῖν καὶ τὸ πῶς δεῖ λέγειν περὶ ἕκαστον, οὐ μὴν μᾶλλόν γε ἢ τὸ πῶς ἔχει. διὸ καὶ νῦν ἐπεὶ τὸ λεγόμενον φανερόν, καὶ τὸ τί ἦν εἶναι ὁμοίως ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ εἶτα καὶ τοῖς ἄλλοις, ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς τί ἦν εἶναι, ἀλλὰ ποιῷ ἢ ποσῷ τί ἦν εἶναι. δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι εἶναι ὄντα, ἢ προστιθέντας καὶ ἀφαιροῦντας, ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητόν, ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως φάναι μήτε ὡσαύτως, ἀλλ' ὥσπερ τὸ ἰατρικὸν τῷ πρὸς τὸ αὐτὸ μὲν καὶ ἕν, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν, οὐ μέντοι οὐδὲ ὁμωνύμως· οὐδὲ γὰρ ἰατρικὸν σῶμα καὶ ἔργον καὶ σκεῦος λέγεται οὔτε ὁμωνύμως οὔτε καθ' ἕν, ἀλλὰ πρὸς ἕν. ἀλλὰ ταῦτα μὲν ὁποτέρως τις ἐθέλει λέγειν διαφέρει οὐθέν· ἐκεῖνο δὲ φανερὸν ὅτι ὁ πρώτως καὶ ἁπλῶς ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι τῶν οὐσιῶν ἐστίν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων ὁμοίως ἐστί, πλὴν οὐ πρώτως. οὐ γὰρ ἀνάγκη, ἂν τοῦτο τιθῶμεν, τούτου ὁρισμὸν εἶναι ὃ ἂν λόγῳ τὸ αὐτὸ σημαίνῃ, ἀλλὰ τινὶ λόγῳ. τοῦτο δ' ἐὰν ἑνὸς ᾖ, μὴ τῷ συνεχεῖ ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ, ἀλλ' ἐὰν ὁσαχῶς λέγεται τὸ ἕν. τὸ δ' ἓν λέγεται ὥσπερ τὸ ὄν· τὸ δὲ ὂν τὸ μὲν τόδε τι, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν τι σημαίνει. διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος καὶ ὁρισμός· ἄλλον δὲ τρόπον καὶ τοῦ λευκοῦ καὶ οὐσίας.

Ἔχει δ' ἀπορίαν, ἐάν τις μὴ φῇ ὁρισμὸν εἶναι τὸν ἐκ προσθέσεως λόγον, τίνος ἔσται ὁρισμὸς τῶν οὐχ ἁπλῶν ἀλλὰ συνδεδυασμένων; ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν. λέγω δ' οἷον, ἔστι ῥὶς καὶ κοιλότης, καὶ σιμότης τὸ ἐκ τῶν δυοῖν λεγόμενον, τῷ τόδε ἐν τῷδε, καὶ οὐ κατὰ συμβεβηκός γε οὔθ' ἡ κοιλότης οὔθ' ἡ σιμότης πάθος τῆς ῥινός, ἀλλὰ καθ' αὐτήν· οὐδ' ὡς τὸ λευκὸν Καλλίᾳ ἢ ἀνθρώπῳ, ὅτι Καλλίας λευκὸς ᾧ συμβέβηκεν ἀνθρώπῳ εἶναι, ἀλλ' ὡς τὸ ἄρρεν τῷ ζῴῳ καὶ τὸ ἴσον τῷ ποσῷ καὶ πάνθ' ὅσα λέγεται καθ' αὐτὰ ὑπάρχειν. ταῦτα δ' ἐστὶν ἐν ὅσοις ὑπάρχει ἢ ὁ λόγος ἢ τοὔνομα, οὗ ἐστὶ τοῦτο τὸ πάθος, καὶ μὴ ἐνδέχεται δηλῶσαι χωρίς, ὥσπερ τὸ λευκὸν ἄνευ τοῦ ἀνθρώπου ἐνδέχεται, ἀλλ' οὐ τὸ θῆλυ ἄνευ τοῦ ζῴου. ὥστε τούτων τὸ τί ἦν εἶναι καὶ ὁ ὁρισμὸς ἢ οὐκ ἔστιν οὐθενὸς ἢ ἔστιν ἄλλως, καθάπερ εἰρήκαμεν. ἔστι δ' ἀπορία καὶ ἑτέρα περὶ αὐτῶν. εἰ μὲν γὰρ τὸ αὐτό ἐστι σιμὴ ῥὶς καὶ κοίλη ῥίς, τὸ αὐτὸ ἔσται τὸ σιμὸν καὶ τὸ κοῖλον· εἰ δὲ μὴ διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ πράγματος οὗ ἐστὶ πάθος καθ' αὐτό (ἔστι γὰρ τὸ σιμὸν κοιλότης ἐν ῥινί), τὸ ῥῖνα σιμὴν εἰπεῖν ἢ οὐκ ἔστιν ἢ δὶς τὸ αὐτὸ ἔσται εἰρημένον, ῥὶς ῥὶς κοίλη· ἡ γὰρ ῥὶς ἡ σιμὴ ῥὶς κοίλη ἔσται. διὸ ἄτοπον τὸ ὑπάρχειν τοῖς τοιούτοις τὸ τί ἦν εἶναι· εἰ δὲ μή, εἰς ἄπειρον εἶσιν· ῥινὶ γὰρ ῥινὶ σιμῇ ἔτι

1. δὲ T. ‖ 2. εἶναι] ἀνθρώπῳ T. ‖ ἱμάτιον F^b. ‖ 3. ἦν εἶναι ante ἔστι om A^b. ‖ 4. οἷον — 5. ὅπερ τόδε τι om TA^b. ‖ 5. τὸ om EA^b. ‖ 6. ὁ λόγος ὅσων T. ‖ 9. ταὐτόν om A^bH^b. ‖ 10. ᾖ om A^b. ‖ 11. κατ' ἄλλου om A^bF^b. ‖ 17. ὁ om F^b. ‖ [illegible] τὸ τί ἐστιν TA^b. ‖ 23. τοῖς ἄλλοις et γὰρ τὸ om A^b. ‖ 24. τῶν] τὸ S. ‖ 27. τὸ om F^b. ‖ ἑκάστου T, ἕκαστα F^b. ‖ 32. εἶναι post φάναι om F^b. ‖ 35. τὸ post πρὸς om T.

2. οὐδὲν ET. ‖ γὰρ] γὰρ τὸ F^b. ‖ καὶ ἔργον om F^b. ‖ 3. ἀλλὰ ταῦτα μὲν A^bF^b: ceteri ταῦτα μὲν οὖν. ‖ 4. θέλει ET. ‖ διαφέροι A^b. ‖ 5. πρῶτος A^b. ‖ 6. ὅμως A^b, omissis ἐστί πλὴν οὐ πρώτως. ‖ 8. ὃ ἐὰν λέγω τῷ αὐτῷ T. ‖ 9. ᾖ om A^b. ‖ ὅσαι [illegible] 10. λέγηται ES. ‖ 13. δὲ et τοῦ om A^b. ‖ 15. προθέσεως TF^b. ‖ ἔσται ὁ ὁρισμὸς A^b. ‖ 17. τοῖν T. ‖ 18. τῷ om ET. ‖ κατὰ [illegible] T. ‖ 26. ὁ om A^bF^b. ‖ 27. ἢ ἔστιν] ἢ εἰ ἔστιν T. ‖ ἀλλ' ὡς καθάπερ T, ἀλλὰ καθάπερ F^b. ‖ 28. δὲ καὶ ἑτέρα ἀπορία H^b. ‖ [illegible] F^b. ‖ ταυτὸν H^b. ‖ 31. ἔστι γὰρ] καὶ ἔστι ET. ‖ 33. εἰρημένον] εἰρημένον σιμὴ ῥὶς εἰ A^bH^b, omissis ῥὶς ῥὶς — κοίλη. ‖ 34. [illegible] T. ‖ 35. μή] καὶ T. ‖ ῥῖν A^b, ῥινῇ SB^bC^b. ‖ ῥινῇ SB^bC^b. ‖ σιμὴ A^b. ‖ ἔτι om $SA^bB^bC^b$.

ἐνέςαι. δῆλον τοίνυν ὅτι μόνης τῆς ȣσίας ἐςὶν ὁ ὁρισ- εἰ γὰρ καὶ τῶν ἄλλων κατηγοριῶν, ἀνάγκη ἐκ προσ- ς εἶναι, οἷον τȣ̃ ποιȣ̃ καὶ περιττȣ̃· ȣ̓ γὰρ ἄνευ ἀριθμȣ̃, τὸ θῆλυ ἄνευ ζῴȣ. τὸ δ' ἐκ προσθέσεως λέγω ἐν οἷς αίνει δὶς τὸ αὐτὸ λέγειν, ὥσπερ ἐν τȣ́τοις. εἰ δὲ τȣ̃το ς, οὐδὲ συνδυαζομένων ἔσται, οἷον ἀριθμοῦ περιττοῦ· λανθάνει ὅτι οὐκ ἀκριβῶς λέγονται οἱ λόγοι. εἰ δ' καὶ τούτων ὅροι, ἤτοι ἄλλον τρόπον εἰσὶν ἢ καθάπερ ἤδη πολλαχῶς λεκτέον εἶναι τὸν ὁρισμὸν καὶ τὸ τί ἦν ὥςε ὡδὶ μὲν ȣ̓θενὸς ἔςαι ὁρισμός, ȣ̓δὲ τὸ τί ἦν εἶναι ὑπάρξει πλὴν ταῖς οὐσίαις, ὡδὶ δ' ἔςαι. ὅτι μὲν οὖν ὁ ὁρισμὸς ὁ τȣ̃ τί ἦν εἶναι λόγος, καὶ τὸ τί ἦν εἶναι ἢ τῶν οὐσιῶν ἐστὶν ἢ μάλιςα καὶ πρώτως καὶ ἁπλῶς, .

Πότερον δὲ ταὐτόν ἐστιν ἢ ἕτερον τὸ τί ἦν εἶναι καὶ ον, σκεπτέον. ἔςι γάρ τι πρὸ ἔργȣ πρὸς τὴν περὶ τῆς ς σκέψιν· ἕκαστόν τε γὰρ οὐκ ἄλλο δοκεῖ εἶναι τῆς ȣσίας, καὶ τὸ τί ἦν εἶναι λέγεται εἶναι ἡ ἑκάςȣ ȣσία. μὲν δὴ τῶν λεγομένων κατὰ συμβεβηκὸς δόξειεν ἂν εἶναι, οἷον λευκὸς ἄνθρωπος ἕτερον καὶ τὸ λευκῷ ἀν- ῳ εἶναι. εἰ γὰρ τὸ αὐτό, καὶ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ ῷ ἀνθρώπῳ τὸ αὐτό· τὸ αὐτὸ γὰρ ἄνθρωπος καὶ λευ- ἄνθρωπος, ὡς φασίν, ὥςε καὶ τὸ λευκῷ ἀνθρώπῳ καὶ θρώπῳ. ἢ οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός, εἶναι ά· οὐ γὰρ ὡσαύτως τὰ ἄκρα γίγνεται ταὐτά, ἀλλ' γ' ἐκεῖνο δόξειεν ἂν συμβαίνειν, τὰ ἄκρα γίγνεσθαι ὰ κατὰ συμβεβηκός, οἷον τὸ λευκῷ εἶναι καὶ τὸ μου- εἶναι· δοκεῖ δ' οὔ. ἐπὶ δὲ τῶν καθ' αὑτὰ λεγομένων ἀνάγκη ταὐτὸν εἶναι; οἷον εἴ τινές εἰσιν ȣσίαι ὧν ἕτεραι εἰσιν ȣσίαι μηδὲ φύσεις ἕτεραι πρότεραι, οἵας φασὶ τὰς εἶναί τινες. εἰ γὰρ ἔσται ἕτερον αὐτὸ τὸ ἀγαθὸν καὶ γαθῷ εἶναι, καὶ ζῷον καὶ τὸ ζῴῳ, καὶ τὸ ὄντι καὶ τὸ ὄν, ἔσονται ἄλλαι τ' ȣσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς λεγομένας, καὶ πρότεραι οὐσίαι ἐκεῖναι, εἰ τὸ τί ἦν εἶναι οὐσίας ἐστίν. καὶ εἰ μὲν ἀπολελυμέναι ἀλλήλων, τῶν μὲν οὐκ ἔςαι ἐπιςήμη, τὰ δ' ȣ̓κ ἔςαι ὄντα. λέγω δὲ τὸ ἀπο- λελύσθαι, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ, μήτε τȣ́τῳ τὸ εἶναι ἀγαθόν. ἐπιςήμη γὰρ ἑκάςȣ ἐςὶν ὅταν τὸ τί ἦν εἶναι ἐκείνῳ γνῶμεν. καὶ ἐπὶ ἀγαθȣ̃ καὶ τῶν ἄλ- λων ὁμοίως ἔχει· ὥς' εἰ μηδὲ τῷ ἀγαθῷ εἶναι ἀγαθόν, ȣ̓δὲ τῷ ὄντι ὄν, ȣ̓δὲ τῷ ἑνὶ ἕν. ὁμοίως δὲ πάντα ἐςὶν ἢ ȣ̓θὲν τὰ τί ἦν εἶναι· ὥς' εἰ μηδὲ τὸ ὄντι ὄν, οὐδὲ τῶν ἄλλων οὐθέν. ἔτι ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι, ȣ̓κ ἀγαθόν. ἀνάγκη ἄρα ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι καὶ καλὸν καὶ καλῷ εἶναι, ὅσα μὴ κατ' ἄλλο λέγεται, ἀλλὰ καθ' αὑτὰ καὶ πρῶτα. καὶ γὰρ τȣ̃το ἱκανὸν ἐὰν ὑπάρχῃ, κἂν μὴ ᾖ εἴδη· μᾶλλον δ' ἴσως κἂν ᾖ εἴδη. ἅμα δὲ δῆλον καὶ ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι οἵας τινές φασιν, οὐκ ἔσται τὸ ὑποκείμενον οὐσία· ταύτας γὰρ οὐσίας μὲν ἀναγκαῖον εἶναι, μὴ καθ' ὑποκειμένȣ δέ· ἔσονται γὰρ κατὰ μέθεξιν. ἔκ τε δὴ τȣ́των τῶν λόγων ἓν καὶ ταὐτὸ ȣ̓ κατὰ συμβεβηκὸς αὐτὸ ἕκαςον καὶ τὸ τί ἦν εἶναι, καὶ ὅτι γε τὸ ἐπίστασθαι ἕκαςον τοῦτό ἐστι τὸ τί ἦν εἶναι ἐπίστασθαι, ὥστε καὶ κατὰ τὴν ἔκθεσιν ἀνάγκη ἕν τι εἶναι ἄμφω. τὸ δὲ κατὰ συμβεβηκὸς λεγό- μενον, οἷον τὸ μουσικὸν ἢ λευκόν, διὰ τὸ διττὸν σημαίνειν, οὐκ ἀληθὲς εἰπεῖν ὡς ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· καὶ γὰρ ᾧ συμβέβηκε λευκὸν καὶ τὸ συμβεβηκός, ὥστ' ἔστι μὲν ὡς ταὐτόν, ἔςι δὲ ὡς ȣ̓ ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· τῷ μὲν γὰρ ἀνθρώπῳ καὶ τῷ λευκῷ ἀνθρώπῳ ȣ̓ ταὐτό, τῷ πάθει δὲ ταὐτό. ἄτοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν τί ἦν εἶναι· ἔσται γὰρ καὶ παρ' ἐκεῖνο ἄλλο, οἷον τῷ τί ἦν εἶναι ἵππῳ τί ἦν εἶναι ἵππῳ ἕτερον. καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι, εἴπερ οὐσία τὸ τί ἦν εἶναι; ἀλλὰ μὴν οὐ μόνον ἕν, ἀλλὰ καὶ ὁ

1. ἄλλο ἐνέςη T, ἄλλο ἔςαι A^b, om SB^bC^b. ‖ μόνον A^b. ‖ ὁ om T. ‖ 4. τὸ θῆλυ] ὁ τȣ̃ θήλεος ET. ‖ λέγομεν A^b. ‖ 5. ἐν om ‖ 6. συνδοιαζομένων T. ‖ 7. λαμβάνει E. ‖ 8. ἤτοι] ἢ τῷ T. ‖ 9. εἶναι om T. ‖ 10. ὡδὶ] ὧδ' εἰ T. ‖ 12. ὁ post ἐςὶν add A^b post εἶναι SB^bC^b lacunam litterarum ferme quadraginta. ‖ λόγος — εἶναι om T. ‖ 13. μόνων S: ceteri μόνον. ‖ 17. τε om ‖ 20. τῷ S. ‖ 21. εἰ — εἶναι om T. ‖ 21. καὶ τὸ A^b, καὶ τῷ F^b: ceteri om. ‖ τῷ T, om E. ‖ 23. ὥςε] εἶναι A^b. ‖ 24. τῷ STH^b. ‖ 26. τ' A^b. ‖ ἂν om A^b. ‖ γενέσθαι ταὐτὰ τὰ κατὰ A^b. ‖ 28. εἶναι] εἶναι ὡς E, om SA^b. ‖ 29. ἄρ' A^bF^b, ἀνάγκη ἀεὶ SH^b: ceteri ἀεὶ ἀνάγκη. ‖ 30. πρότερον οἷον A^b. ‖ εἶναί τινες τὰς ἰδέας H^b. ‖ 32. τὸ ante ὄντι om H^b.

2. οὐσίαι] καὶ οὐσίαι A^b. ‖ 3. οὐσία A^bH^b. ‖ 4. ἔςαι ἐπιςήμη] ἔςιν ἐπιςήμη T. ‖ δὲ] δὴ H^b. ‖ 6. ἐςὶν ὅταν] αὕτη ET, sso mox γνῶμεν. ‖ 7. εἶναι ἐκεῖνο A^b: ceteri ἐκείνῳ εἶναι. ‖ 8. ἔχει] ἐπάγει T, om H^b. ‖ τὸ ES. ‖ 9. τῷ — τῷ] τὸ — τὸ E. ‖ 10. τῷ omisso ὄν, T. ‖ 12. καὶ τὸ ἀγαθῷ T. ‖ 13. ὅσα] καὶ ὅσα F^b. ‖ ἄλλο] ἄλλω T. ‖ πρῶτα καὶ καθ' αὑτά EST. ‖ 14. ἂν A^b. ‖ χει T. ‖ καὶ H^b. ‖ 15. ᾖ om A^b. ‖ 16. οἵας — 17. γὰρ] lacunam SB^bC^b. ‖ 16. φαμεν F^b. ‖ 17. οὐσία om H^b. ‖ ἀνάγκη A^b, εἶναι ἀναγκαῖον S. ‖ 18. ἔσονται] δέονται B^b. ‖ 20. γε] δὲ S. ‖ τούτων SB^bC^b. ‖ 21. καὶ add A^bF^b. ‖ 22. τι om A^b. ‖] καὶ A^b. ‖ 25. συμβαίνει A^b. ‖ λευκῷ ET, om A^b. ‖ 27. καὶ τῷ] καὶ τὸ A^b. ‖ 29. τιθεῖτο A^b. ‖ ἔσται — 30. τῷ τί ἦν εἶναι T. ‖ 30. οἷον add A^b. ‖ τῷ] τὸ E. ‖ ἵππῳ τί] τὸ γὰρ τί ESB^bC^b. ‖ 32. οὐσίαι T. ‖ οὐ] καὶ οὐ SB^bC^b.

λόγος ὁ αὐτὸς αὐτῶν, ὡς δῆλον καὶ ἐκ τῶν εἰρημένων· οὐ γὰρ κατὰ συμβεβηκὸς ἓν τὸ ἑνὶ εἶναι καὶ ἕν. ἔτι εἰ ἄλλο ἔσται, εἰς ἄπειρον εἶσιν· τὸ μὲν γὰρ ἔσται τί ἦν εἶναι τοῦ ἑνός, τὸ δὲ τὸ ἕν, ὥστε καὶ ἐπ' ἐκείνων ὁ αὐτὸς ἔσται λόγος. ὅτι μὲν οὖν ἐπὶ τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων τὸ ἑκάστῳ εἶναι καὶ ἕκαστον τὸ αὐτὸ καὶ ἕν ἐστι, δῆλον. οἱ δὲ σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην φανερὸν ὅτι τῇ αὐτῇ λύονται λύσει, καὶ εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτει εἶναι· οὐθὲν γὰρ διαφέρει οὔτε ἐξ ὧν ἐρωτήσειεν ἄν τις, οὔτε ἐξ ὧν λύων ἐπιτύχοι. πῶς μὲν οὖν τὸ τί ἦν εἶναι ταὐτὸν καὶ πῶς οὐ ταὐτὸν ἑκάστῳ, εἴρηται.

7 Τῶν δὲ γιγνομένων τὰ μὲν φύσει γίγνεται, τὰ δὲ τέχνῃ, τὰ δὲ ἀπὸ ταὐτομάτου. πάντα δὲ τὰ γιγνόμενα ὑπό τέ τινος γίγνεται καὶ ἔκ τινος καὶ τί. τὸ δὲ τί λέγω καθ' ἑκάστην κατηγορίαν· ἢ γὰρ τόδε ἢ ποσὸν ἢ ποιὸν ἢ ποῦ. αἱ δὲ γενέσεις αἱ μὲν φυσικαὶ αὗταί εἰσιν ὧν ἡ γένεσις ἐκ φύσεώς ἐστιν. τὸ δ' ἐξ οὗ γίγνεται, ἣν λέγομεν ὕλην· τὸ δ' ὑφ' οὗ, τῶν φύσει τι ὄντων· τὸ δὲ τί, ἄνθρωπος ἢ φυτὸν ἢ ἄλλο τι τῶν τοιούτων, ἃ δὴ μάλιστα λέγομεν οὐσίας εἶναι. ἅπαντα δὲ τὰ γιγνόμενα ἢ φύσει ἢ τέχνῃ ἔχει ὕλην· δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, τοῦτο δ' ἐστὶν ἐν ἑκάστῳ ὕλη. καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθὸ φύσις· τὸ γὰρ γιγνόμενον ἔχει φύσιν, οἷον φυτὸν ἢ ζῷον. καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδής· αὕτη δ' ἐν ἄλλῳ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. οὕτω μὲν οὖν γίγνεται τὰ γιγνόμενα διὰ τὴν φύσιν, αἱ δ' ἄλλαι γενέσεις λέγονται ποιήσεις. πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις ἢ ἀπὸ τέχνης ἢ ἀπὸ δυνάμεως ἢ ἀπὸ διανοίας. τούτων δέ τινες γίγνονται καὶ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης παραπλησίως ὥσπερ ἐν τοῖς ἀπὸ φύσεως γιγνομένοις· ἔνια γὰρ κἀκεῖ ταὐτὰ καὶ ἐκ σπέρματος γίγνεται καὶ ἄνευ σπέρματος. περὶ μὲν οὖν τούτων ὕστερον ἐπισκεπτέον, ἀπὸ τέχνης δὲ γίγνεται ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ. εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι ἑκάστου καὶ τὴν πρώτην οὐσίαν. καὶ γὰρ τῶν ἐναντίων τρόπον τινὰ τὸ αὐτὸ εἶδος· τῆς γὰρ στερήσεως οὐσία ἡ οὐσία ἡ ἀντικειμένη, οἷον ὑγίεια νόσου· ἐκείνης γὰρ ἀπουσίᾳ δηλοῦται ἡ νόσος, ἡ δ' ὑγίεια ὁ ἐν τῇ ψυχῇ λόγος καὶ ἐν τῇ ἐπιστήμῃ. γίγνεται δὴ τὸ ὑγιὲς νοήσαντος οὕτως· ἐπειδὴ τοδὶ ὑγίεια, ἀνάγκη, εἰ ὑγιὲς ἔσται, τοδὶ ὑπάρξαι, οἷον ὁμαλότητα, εἰ δὲ τοῦτο, θερμότητα. καὶ οὕτως ἀεὶ νοεῖ, ἕως ἂν ἀγάγῃ εἰς τοῦτο ὃ αὐτὸς δύναται ἔσχατον ποιεῖν. εἶτα ἤδη ἡ ἀπὸ τούτου κίνησις ποίησις καλεῖται, ἡ ἐπὶ τὸ ὑγιαίνειν. ὥστε συμβαίνει τρόπον τινὰ ἐξ ὑγιείας τὴν ὑγίειαν γίγνεσθαι καὶ τὴν οἰκίαν ἐξ οἰκίας, τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην· ἡ γὰρ ἰατρική ἐστι καὶ ἡ οἰκοδομικὴ τὸ εἶδος τῆς ὑγιείας καὶ τῆς οἰκίας. λέγω δ' οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι. τῶν δὲ γενέσεων καὶ κινήσεων ἡ μὲν νόησις καλεῖται ἡ δὲ ποίησις, ἡ μὲν ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ εἴδους νόησις, ἡ δ' ἀπὸ τοῦ τελευταίου τῆς νοήσεως ποίησις. ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν μεταξὺ ἕκαστον γίγνεται. λέγω δ' οἷον εἰ ὑγιανεῖ, δέοι ἂν ὁμαλυνθῆναι. τί οὖν ἐστὶ τὸ ὁμαλυνθῆναι; τοδί. τοῦτο δ' ἔσται εἰ θερμανθήσεται. τοῦτο δὲ τί ἐστι; τοδί. ὑπάρχει δὲ τοδὶ δυνάμει· τοῦτο δ' ἤδη ἐπ' αὐτῷ. τὸ δὴ ποιοῦν καὶ ὅθεν ἄρχεται ἡ κίνησις τοῦ ὑγιαίνειν, ἐὰν μὲν ἀπὸ τέχνης, τὸ εἶδός ἐστι τὸ ἐν τῇ ψυχῇ, ἐὰν δ' ἀπὸ ταὐτομάτου, ἀπὸ τούτου ὅ ποτε τοῦ ποιεῖν ἄρχει τῷ ποιοῦντι ἀπὸ τέχνης, ὥσπερ καὶ ἐν τῷ ἰατρεύειν ἴσως ἀπὸ τοῦ θερμαίνειν ἡ ἀρχή, τοῦτο δὲ ποιεῖ τῇ τρίψει· ἡ θερμότης τοίνυν ἡ ἐν τῷ σώματι ἢ μέρος τῆς ὑγιείας ἢ ἕπεταί τι αὐτῇ τοιοῦτον ὅ ἐστι μέρος τῆς ὑγιείας, ἢ διὰ πλειόνων· τοῦτο δ' ἔσχατον τὸ ποιοῦν, καὶ τὸ οὕτως μέρος ἐστὶ τῆς ὑγιείας καὶ τῆς οἰκίας οἷον οἱ λίθοι, καὶ τῶν ἄλλων. ὥστε καθάπερ λέγεται, ἀδύνατον γενέσθαι εἰ μηθὲν προϋπάρχοι. ὅτι μὲν οὖν τι μέρος ἐξ ἀνάγκης ὑπάρξει, φανερόν· ἡ γὰρ ὕλη μέρος· ἐνυπάρ-

1. καὶ om *T*. ‖ οὔτε H^b. ‖ 2. καὶ om A^b. ‖ ἔτι εἰ] εἴτι εἰ *T*. ‖ 3. ἔσται om *T*. ‖ ἔσται τὸ τί *T*. ‖ τοῦ ἑνός A^b, τοῦ ἑνὸς εἶναι F^b, τὸ ἓν εἶναι *T*: ceteri τὸ ἑνὶ εἶναι. ‖ 4. ἔσται ὁ αὐτὸς A^b. ‖ 5. post τῶν lacunam litterarum trium B^bC^b. ‖ 6. καὶ ante ἓν om A^b, καὶ ἓν om H^b. ‖ 8. εἰ] εἰς A^b. ‖ Σωκράτει] σωκράτην A^b. ‖ 9. ἐρωτηθεὶς A^b, ἐρωτηθείη H^b. ‖ 12. δὲ om A^b. ‖ γίνονται H^b. ‖ 15. ἢ ποῦ et 18. τι om H^b. ‖ 18. ὄντος *T*. ‖ τί] τι ὁ *ET*. ‖ 21. τούτῳ B^bC^b. ‖ 22. ἐν A^b, ἡ ἐν *T*: ceteri ἡ. ‖ 23. ἡ γινομένη *T*. ‖ ἡ om *S*. ‖ 24. ἐφ' F^b. ‖ ἡ post φύσις om F^b. ‖ 26. οὖν om *T*. ‖ 27. πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις om C^b. ‖ ἢ om A^b. ‖ 28. ἀπὸ ante διανοίας add A^bF^b. ‖ 30. ὑπὸ *EST*. ‖ 31. ταῦτα *S*.

1. δὴ F^b. ‖ δὲ post εἶδος om C^b. ‖ 4. ἡ] ἡ τῇ οὐσίᾳ *ET*, om $SA^bB^bC^b$. ‖ 5. δηλοῦται om A^b. ‖ καὶ ἐν τῇ] καὶ ὁ ἐν τῇ *T*, καὶ ἡ A^b. ‖ 6. δὲ STA^b. ‖ οὕτως om *S*. ‖ 7. τὸ δ' ὑγίειαν *ST*. ‖ ἔσται om A^b. ‖ ὁμαλότητι *T*. ‖ 8. εἰ δὲ τοῦτο, θερμότητα om *T*. ‖ 9. εἰς τὸ αὐτὸ δύνασθαι τὸ ἔσχατον A^b. ‖ 10. τούτου EH^b: ceteri τούτων. ‖ 11. τὴν ὑγίειαν ἐκ τῆς ὑγιείας F^b. ‖ 12. post ὕλην lacunam B^bC^b. ‖ 13. ἡ] εἰ *T*. ‖ ἐστι post οἰκοδομικὴ *T*, om F^b. ‖ ἡ add F^bH^b. ‖ τῆς ὑγιείας καὶ τῆς οἰκοδομίας *E*, τῆς οἰκίας καὶ τῆς ὑγείας εἰσι F^b. ‖ 17. τέλους F^b. ‖ καὶ ἐπὶ τῶν *ET*. ‖ 18. τῶν μεταξὺ ἕκαστον om H^b. ‖ ὑγιαίνει *T*. ‖ 19. δέοι ἂν A^b: ceteri δεῖ. ‖ 20. τί om A^b. ‖ 21. δὲ — τοῦτο om *T*. ‖ τωδὶ] γε τοδὶ *E*. ‖ 22. τὸ A^b. ‖ 24. ἄρχεται H^b, ἀρχὴ *ST*. ‖ 25. ὡς ὅπερ H^b. ‖ θερμ… H^b. ‖ 26. τοίνυν] οὖν A^b. ‖ ἡ om A^b. ‖ 27. ἢ ἕπεται — 28. ὑγιείας om TA^b. ‖ 28. ἢ διὰ — 29. ὑγιείας om B^bC^b. ‖ 28. ἔσχατον ἐστι τὸ A^bF^b. ‖ 29. καὶ τὸ οὕτως μέρος ἐστὶ] τὸ μέρος A^bH^b. ‖ 31. τι] τὸ *EST*. ‖ 32. ὑπάρξει ἐξ ἀνάγκης *T*. ‖ φανερόν om *T*.

ιὰρ καὶ γίγνεται αὕτη. ἀλλ' ἄρα καὶ τῶν ἐν τῷ
ἀμφοτέρως δὲ λέγομεν τοὺς χαλκοῦς κύκλους τί εἰσι,
ἣν ὕλην λέγοντες ὅτι χαλκός, καὶ τὸ εἶδος ὅτι σχῆμα
ε· καὶ τοῦτό ἐστι τὸ γένος εἰς ὃ πρῶτον τίθεται. ὁ δὴ
οῦς κύκλος ἔχει ἐν τῷ λόγῳ τὴν ὕλην. ἐξ οὗ δὲ ὡς
γίνεται ἔνια, λέγεται, ὅταν γένηται, οὐκ ἐκεῖνο ἀλλ'
ον, οἷον ὁ ἀνδριὰς οὐ λίθος ἀλλὰ λίθινος. ὁ δ' ἄνθρω-
ὑγιαίνων οὐ λέγεται ἐκεῖνο ἐξ οὗ· αἴτιον δ' ὅτι γίγνε-
κ τῆς στερήσεως καὶ τοῦ ὑποκειμένου ὃ λέγομεν τὴν
οἷον καὶ ὁ ἄνθρωπος καὶ ὁ κάμνων γίγνεται ὑγιής.
ον μέντοι λέγεται γίγνεσθαι ἐκ τῆς στερήσεως, οἷον ἐκ
ντος ὑγιὴς ἢ ἐξ ἀνθρώπου. διὸ κάμνων μὲν ὑγιὴς οὐ
αι, ἄνθρωπος δὲ καὶ ἄνθρωπος ὑγιής. ὧν δ' ἡ στέρησις
ς καὶ ἀνώνυμος, οἷον ἐν χαλκῷ σχήματος ὁποιουοῦν ἢ
ίνθοις καὶ ξύλοις οἰκίας, ἐκ τούτων δοκεῖ γίγνεσθαι ὡς
κ κάμνοντος. διὸ ὥσπερ οὐδ' ἐκεῖ ἐξ οὗ τοῦτο ἐκεῖνο οὐ
αι, οὐδ' ἐνταῦθα ὁ ἀνδριὰς ξύλον, ἀλλὰ παράγεται
ς, οὐ ξύλον, καὶ χαλκοῦς ἀλλ' οὐ χαλκός, καὶ λίθινος
οὐ λίθος, καὶ ἡ οἰκία πλινθίνη ἀλλ' οὐ πλίνθοι, ἐπεὶ οὐδ'
ξύλου γίγνεται ἀνδριὰς ἢ ἐκ πλίνθων οἰκία, ἐάν τις
ια ἐπιβλέπῃ, οὐκ ἂν ἁπλῶς εἴποι, διὰ τὸ δεῖν μετα-
οντος γίγνεσθαι ἐξ οὗ, ἀλλ' οὐχ ὑπομένοντος. διὰ μὲν
ο οὕτως λέγεται.

Ἐπεὶ δὲ ὑπό τινός τε γίγνεται τὸ γιγνόμενον (τοῦτο δὲ
ὅθεν ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι) καὶ ἔκ τινος (ἔστω δὲ
στέρησις τοῦτο ἀλλ' ἡ ὕλη· ἤδη γὰρ διώρισται ὃν τρό-
οῦτο λέγομεν) καὶ ὃ γίγνεται (τοῦτο δ' ἐστὶν ἢ σφαῖρα
λος ἢ ὅ τι ἔτυχε τῶν ἄλλων), ὥσπερ οὐδὲ τὸ ὑποκεί-
ποιεῖ τὸν χαλκόν, οὕτως οὐδὲ τὴν σφαῖραν, εἰ μὴ
συμβεβηκός, ὅτι ἡ χαλκῆ σφαῖρα σφαῖρά ἐστιν,
ν δὲ ποιεῖ. τὸ γὰρ τόδε τι ποιεῖν ἐκ τοῦ ὅλως ὑποκει-
τόδε τι ποιεῖν ἐστίν. λέγω δ' ὅτι τὸν χαλκὸν στρογγύ-
οιεῖν ἐστὶν οὐ τὸ στρογγύλον ἢ τὴν σφαῖραν ποιεῖν, ἀλλ'
τι, οἷον τὸ εἶδος τοῦτο ἐν ἄλλῳ. εἰ γὰρ ποιεῖ, ἐκ

τινος ἂν ποιοίη ἄλλου· τοῦτο γὰρ ὑπέκειτο. οἷον ποιεῖν χαλκῆν σφαῖραν· τοῦτο δὲ οὕτως ὅτι ἐκ τουδί, ὅ ἐστι χαλκός, τοδὶ ποιεῖ, ὅ ἐστι σφαῖρα. εἰ οὖν καὶ τοῦτο ποιεῖ αὐτό, δῆλον ὅτι ὡσαύτως ποιήσει, καὶ βαδιοῦνται αἱ γενέσεις εἰς ἄπειρον. φανερὸν ἄρα ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὁτιδήποτε χρὴ καλεῖν τὴν ἐν τῷ αἰσθητῷ μορφήν, οὐ γίγνεται, οὐδ' ἔστιν αὐτοῦ γένεσις, οὐδὲ τὸ τί ἦν εἶναι· τοῦτο γάρ ἐστιν ὃ ἐν ἄλλῳ γίγνεται ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ἢ δυνάμεως. τὸ δὲ χαλκῆν σφαῖραν εἶναι ποιεῖ. ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας· εἰς τοδὶ γὰρ τὸ εἶδος ποιεῖ, καὶ ἔστι τοῦτο σφαῖρα χαλκῆ. τοῦ δὲ σφαίρᾳ εἶναι ὅλως εἰ ἔστι γένεσις, ἔκ τινός τι ἔσται. δεήσει γὰρ διαιρετὸν εἶναι ἀεὶ τὸ γιγνόμενον, καὶ εἶναι τὸ μὲν τόδε τὸ δὲ τόδε, λέγω δ' ὅτι τὸ μὲν ὕλην τὸ δ' εἶδος. εἰ δή ἐστι σφαῖρα τὸ ἐκ τοῦ μέσου σχῆμα ἴσον, τούτου τὸ μὲν ἐν ᾧ ἔσται ὃ ποιεῖ, τὸ δ' ἐν ἐκείνῳ, τὸ δ' ἅπαν τὸ γεγονός, οἷον ἡ χαλκῆ σφαῖρα. φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν ὡς εἶδος ἢ οὐσία λεγόμενον οὐ γίγνεται, ἡ δὲ σύνοδος ἡ κατὰ ταύτην λεγομένη γίγνεται, καὶ ὅτι ἐν παντὶ τῷ γενομένῳ ὕλη ἔνεστι, καὶ ἔστι τὸ μὲν τόδε τὸ δὲ τόδε. πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους, ἢ οὐδ' ἄν ποτε ἐγίγνετο, εἰ οὕτως ἦν, τόδε τι; ἀλλὰ τὸ τοιόνδε σημαίνει, τόδε δὲ καὶ ὡρισμένον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ καὶ γεννᾷ ἐκ τοῦδε τοιόνδε· καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε. τὸ δ' ἅπαν τόδε Καλλίας ἢ Σωκράτης ἐστὶν ὥσπερ ἡ σφαῖρα ἡ χαλκῆ ἡδί, ὁ δ' ἄνθρωπος καὶ τὸ ζῷον ὥσπερ σφαῖρα χαλκῆ ὅλως. φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη, εἰ ἔστιν ἄττα παρὰ τὰ καθ' ἕκαστα, πρός τε τὰς γενέσεις καὶ τὰς οὐσίας οὐθὲν χρήσιμα· οὐδ' ἂν εἶεν διά γε ταῦτα οὐσίαι καθ' αὑτάς. ἐπὶ μὲν δή τινων καὶ φανερὸν ὅτι τὸ γεννῶν τοιοῦτον μὲν οἷον τὸ γεννώμενον, οὐ μέντοι τὸ αὐτό γε, οὐδ' ἓν τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει, οἷον ἐν τοῖς φυσικοῖς· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ἂν μή τι παρὰ φύσιν γένηται, οἷον ἵππος ἡμίονον. καὶ ταῦτα δὲ ὁμοίως· ὃ γὰρ ἂν κοινὸν εἴη ἐφ' ἵππου καὶ ὄνου,

αὐτή T. ‖ 2. χαλκοῦς $A^bF^bH^b$: ceteri πολλούς. ‖ 3. καὶ εἰ τὴν A^b. ‖ 5. χαλκὸς A^b. ‖ τὴν] καὶ τὴν H^b. ‖ δὴ F^bH^b. ‖ γίνε-
ὕλης H^b. ‖ 6. γένηται] λέγηται F^b. ‖ 7. ἐκεῖνον SC^bH^b. ‖ ὁ post οἷον om EST. ‖ 9. ἐκ om F^b. ‖ 11. ἐκ τῆς στερήσεως
ι T. ‖ 12. μὲν ὁ ὑγιὴς T. ‖ 13. καὶ] καὶ ὁ A^b. ‖ 14. συνώνυμος T. ‖ γρ ἐκ χαλκοῦ E. ‖ σχῆμα τὸ TH^b. ‖ ὁποιονοῦν TH^b,
ῦν E. ‖ 17. ἐντεῦθεν S. ‖ 19. ἐπεὶ] ὡς εἰ T. ‖ 21. ἐπιβλέπῃ σφόδρα ET. ‖ εἴπε A^b: ceteri εἴποιε. ‖ 25. δὴ T. ‖ 27. ὃ] τί
ἢ T. ‖ 31. τι om T. ‖ ποιεῖν om A^b. ‖ ὅλου T. ‖ 32. τι add A^bF^b. ‖ 33. ποιεῖν ἐστὶν] ποιῆσαι A^bH^b.
1. ποιῇ ἀλλ' οὐ T, ποιοίη ἢ ἄλλου E. ‖ ποιεῖ A^b. ‖ 2. ἐστιν ὁ χαλκὸς T. ‖ 3. τόδε A^b. ‖ ὃ] ὅτι A^b. ‖ 5. οὔτε ET. ‖ 6. οὐ om
‖ 7. εἶναι] εἶναι τοῦτο T, εἶναι τούτῳ E. ‖ 8. ἢ prius om A^b. ‖ 9. καὶ σφαίρας] σφαῖραν A^b. ‖ 10. τὸ] τοδὶ τὸ ET. ‖ 11.
A^bF^b. ‖ 12. εἶναι om T. ‖ ἀεὶ om A^b. ‖ 13. τὸ δὲ om A^b. ‖ τὸ μὲν] τὴν μὲν T. ‖ 14. δέ T. ‖ 15. ὃ] οὐ A^b. ‖ 17. ἢ]
ἢ ὡς E. ‖ 18. ἅπαντι ET. ‖ 19. ἔνεστι] ἐστὶ A^bH^b. ‖ 20. τι T. ‖ τάδε E. ‖ 21. ἀλλ' ὅτι τοιόνδε ET. ‖ 23. τόδε] δῆλον
‖ 25. ἡδί om T. ‖ 28. τὰς post καὶ add A^bH^b. ‖ χρησίμη A^b. ‖ 29. ἑαυτάς A^b. ‖ 30. καὶ om A^bH^b. ‖ 31. ἀλλ' ἐν τῷ
‖ 33. ἐὰν T.

οὐκ ὠνόμασται τὸ ἐγγύτατα γένος, εἴη δ' ἂν ἄμφω ἴσως οἷον ἡμίονος. ὥςε φανερὸν ὅτι ὐθὲν δεῖ ὡς παράδειγμα εἶδος κατασκευάζειν (μάλιστα γὰρ ἂν ἐν τούτοις ἐπεζητοῦντο· ὐσίαι γὰρ αἱ μάλιςα αὗται) ἀλλὰ ἱκανὸν τὸ γεννῶν ποιῆσαι καὶ τοῦ εἴδυς αἴτιον εἶναι ἐν τῇ ὕλῃ. τὸ δ' ἅπαν ἤδη τὸ τοιόνδε εἶδος ἐν ταῖσδε ταῖς σαρξὶ καὶ ὀστοῖς Καλλίας καὶ Σωκράτης· καὶ ἕτερον μὲν διὰ τὴν ὕλην, ἑτέρα γάρ, ταὐτὸ δὲ τῷ εἴδει· ἄτομον γὰρ τὸ εἶδος.

9 Ἀπορήσειε δ' ἄν τις διὰ τί τὰ μὲν γίγνεται καὶ τέχνῃ καὶ ἀπὸ ταὐτομάτυ, οἷον ὑγίεια, τὰ δ' ὔ, οἷον οἰκία. αἴτιον δ' ὅτι τῶν μὲν ἡ ὕλη ἡ ἄρχυσα τῆς γενέσεως ἐν τῷ ποιεῖν καὶ γίγνεσθαί τι τῶν ἀπὸ τέχνης, ἐν ᾗ ὑπάρχει τι μέρος τῦ πράγματος, ἡ μὲν τοιαύτη ἐςὶν οἵα κινεῖσθαι ὑφ' αὑτῆς, ἡ δ' ὔ, καὶ ταύτης ἡ μὲν ὡδὶ οἵα τε, ἡ δὲ ἀδύνατος· πολλὰ γὰρ δύναται μὲν ὑφ' αὑτῶν κινεῖσθαι ἀλλ' οὐχ ὡδί, οἷον ὀρχήσασθαι. ὅσων ὖν τοιαύτη ἡ ὕλη, οἷον οἱ λίθοι, ἀδύνατον ὡδὶ κινηθῆναι εἰ μὴ ὑπ' ἄλλυ, ὡδὶ μέντοι ναί· καὶ τὸ πῦρ. διὰ τῦτο τὰ μὲν ὐκ ἔςαι ἄνευ τῦ ἔχοντος τὴν τέχνην, τὰ δ' ἔςαι· ὑπὸ γὰρ τούτων κινηθήσεται τῶν οὐκ ἐχόντων μὲν τὴν τέχνην, κινεῖσθαι δὲ δυναμένων αὐτῶν, ἢ ὑπ' ἄλλων οὐκ ἐχόντων τὴν τέχνην, ἢ ἐκ μέρυς. δῆλον δ' ἐκ τῶν εἰρημένων καὶ ὅτι τρόπον τινὰ πάντα γίγνεται ἐξ ὁμωνύμυ, ὥσπερ τὰ φύσει, ἢ ἐκ μέρους ὁμωνύμου, οἷον ἡ οἰκία ἐξ οἰκίας, ἢ ὑπὸ νοῦ (ἡ γὰρ τέχνη τὸ εἶδος), ἢ ἐκ μέρους ἢ ἔχοντός τι μέρος, ἐὰν μὴ κατὰ συμβεβηκὸς γίγνηται· τὸ γὰρ αἴτιον τῦ ποιεῖν πρῶτον καθ' αὑτὸ μέρος. θερμότης γὰρ ἡ ἐν τῇ κινήσει θερμότητα ἐν τῷ σώματι ἐποίησεν· αὕτη δ' ἐστὶν ἢ ὑγίεια ἢ μέρος, ἢ ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια· διὸ καὶ λέγεται ποιεῖν, ὅτι ἐκεῖνο ποιεῖ τὴν ὑγίειαν ᾧ ἀκολυθεῖ καὶ συμβέβηκε θερμότης. ὥςε ὥσπερ ἐν τοῖς συλλογισμοῖς πάντων ἀρχὴ ἡ ὐσία (ἐκ γὰρ τοῦ τί ἐστιν οἱ συλλογισμοί εἰσιν), ἐνταῦθα δὲ αἱ γενέσεις. ὁμοίως δὲ καὶ τὰ φύσει συνιςάμενα τούτοις ἔχει. τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ τὰ ἀπὸ τέχνης· ἔχει γὰρ δυνάμει τὸ εἶδος, καὶ ἀφ' ὖ τὸ σπέρμα, ἐςί πως ὁμώνυμον. ὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπος (καὶ γὰρ γυνὴ ἐξ ἀνδρός· διὸ ἡμίονος οὐκ ἐξ ἡμιόνυ), ἀλλ' ἐὰν μὴ πήρωμα ᾖ. ὅσα δὲ ἀπὸ ταὐτομάτυ ὥσπερ ἐκεῖ γίγνεται, ὅσων ἡ ὕλη δύναται καὶ ὑφ' αὑτῆς κινεῖσθαι ταύτην τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ· ὅσων δὲ μή, ταῦτα ἀδύνατα γίγνεσθαι ἄλλως πως ἢ ἐξ αὐτῶν. οὐ μόνον δὲ περὶ τῆς οὐσίας ὁ λόγος δηλοῖ τὸ μὴ γίγνεσθαι τὸ εἶδος, ἀλλὰ περὶ πάντων ὁμοίως τῶν πρώτων κοινὸς ὁ λόγος, οἷον ποσοῦ ποιοῦ καὶ τῶν ἄλλων κατηγοριῶν. γίγνεται γὰρ ὥσπερ ἡ χαλκῆ σφαῖρα, ἀλλ' οὐ σφαῖρα οὐδὲ χαλκός, καὶ ἐπὶ χαλκοῦ, εἰ γίγνεται (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), ὔτως καὶ ἐπὶ τῦ τί ἐςι καὶ ἐπὶ τῦ ποιῦ καὶ ποσῦ καὶ τῶν ἄλλων ὁμοίως κατηγοριῶν· οὐ γὰρ γίγνεται τὸ ποιὸν ἀλλὰ τὸ ποιὸν ξύλον, ὐδὲ τὸ ποσὸν ἀλλὰ τὸ ποσὸν ξύλον ἢ ζῷον. ἀλλ' ἴδιον τῆς οὐσίας ἐκ τούτων λαβεῖν ἔςιν ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν ὐσίαν ἐντελεχείᾳ ὖσαν ἣ ποιεῖ, οἷον ζῷον, εἰ γίγνεται ζῷον· ποιὸν δ' ἢ ποσὸν οὐκ ἀνάγκη ἀλλ' ἢ δυνάμει μόνον.

Ἐπεὶ δὲ ὁρισμὸς λόγος ἐςί, πᾶς δὲ λόγος μέρη ἔχει, 10 ὡς δ' ὁ λόγος πρὸς τὸ πρᾶγμα, καὶ τὸ μέρος τῦ λόγυ πρὸς τὸ μέρος τῦ πράγματος ὁμοίως ἔχει, ἀπορεῖται ἤδη πότερον δεῖ τὸν τῶν μερῶν λόγον ἐνυπάρχειν ἐν τῷ τοῦ ὅλυ λόγῳ ἢ οὔ. ἐνίων μὲν γὰρ φαίνονται ἐνόντα, ἐνίων δ' ὔ. τῦ μὲν γὰρ κύκλυ ὁ λόγος ὐχ ἔχει τὸν τῶν τμημάτων, ὁ δὲ τῆς συλλαβῆς ἔχει τὸν τῶν στοιχείων· καίτοι διαιρεῖται καὶ ὁ κύκλος εἰς τὰ τμήματα ὥσπερ καὶ ἡ συλλαβὴ εἰς τὰ ςοιχεῖα. ἔτι δ' εἰ πρότερα τὰ μέρη τοῦ ὅλου, τῆς δ' ὀρθῆς ἡ ὀξεῖα μέρος καὶ ὁ δάκτυλος τῦ ζῴυ, πρότερον ἂν εἴη ἡ ὀξεῖα τῆς ὀρθῆς καὶ ὁ δάκτυλος τῦ ἀνθρώπυ. δοκεῖ δ' ἐκεῖνα εἶναι πρότερα· τῷ λόγῳ γὰρ λέγονται ἐξ ἐκείνων, καὶ τῷ εἶναι δὲ ἄνευ ἀλλήλων πρότερα. ἢ πολλαχῶς λέγεται τὸ μέρος, ὧν εἷς μὲν τρόπος τὸ μετρῦν κατὰ τὸ ποσόν. ἀλλὰ τοῦτο μὲν ἀφείσθω· ἐξ ὧν δ' ἡ οὐσία ὡς μερῶν, τοῦτο σκεπτέον.

1. ἐγγυτάτω T. ‖ 4. αἱ om A^b. ‖ 8. ταυτὰ A^b. ‖ τῷ εἴδει] τῳδὶ T. ‖ 9. καὶ τέχνῃ om A^b. ‖ 12. ἀπὸ τῆς τέχνης T. ‖ 14 et 15 et 17. ὧδε A^b. ‖ 15. δυνατὰ E. ‖ 17. μέντ' εἶναι A^b. ‖ 20. μὲν om A^bH^b. ‖ ἢ om A^b. ‖ 21. δ' om H^b. ‖ 22. καὶ om F^b. ‖ πάντα τρόπον τινὰ F^b, τρόπον τινὰ ἅπαντα ET. ‖ ὁμωνύμων T. ‖ 23. ὥσπερ — ὁμωνύμου om T. ‖ 24. μέρους ἢ] μέρους συνωνύμου ἢ F^b, om A^b. ‖ 25. τι] τὸ A^b. ‖ γένηται H^b. ‖ 26. αἴτιον om A^b. ‖ 28. ἢ ὑγίεια] ἤτοι ὑγίεια ET. ‖ 29. ἡ add EA^bF^b. ‖ 30. καὶ ᾧ συμβέβηκε T, om H^b. ‖ ἡ θερμότης E. ‖ 33. δὴ E. ‖ 34. τὸ E. ‖ δύναμιν A^b.

1. πως] πρῶτον A^b. ‖ 2. δὴ ζητῇ T. ‖ 3. ἀλλ' om A^b. ‖ 4. ὅσα δὲ om H^b, δὲ om F^b. ‖ 5. δύναται om A^b. ‖ 6. ἀδύνατον T. ‖ 7. αὐτοῦ H^b. ‖ 11. καὶ — 12. γίγνεται om H^b. ‖ 12. εἰ add EA^b. ‖ ἀεὶ] εἰ A^b. ‖ 17. ἀναγκαῖον A^bF^b. ‖ ἑτέραν] ἀεὶ ἑτέραν ET. ‖ ὖσαν ἐντελεχείᾳ T. ‖ 18. εἰ γίγνεται ζῷον om A^b. ‖ 19. ἢ om A^bF^b. ‖ 20. δὲ ὁρισμὸς] δὲ ὁ ὁρισμὸς F^b, δὴ ὁ ὁρισμὸς TH^b. ‖ ἔχει μέρη F^b. ‖ 21. τῦ — 22. μέρος om A^b. ‖ 23. δεῖ om T. ‖ τοῦ ὅλυ] ὅλῳ H^b. ‖ 24. ἢ οὔ om A^b. ‖ ἐπ' ἐνίων TA^b. ‖ ἐνίων ETA^b. ‖ ἐπ' ἐνίων T. ‖ 26. καίτοι] καίτοι καὶ A^b, καὶ F^b. ‖ καὶ om F^b. ‖ 28. πρότερον TA^b. ‖ τὸ μέρος A^b. ‖ 29. τῦ — 30. δάκτυλος om A^b. ‖ 30. εἶναι om T. ‖ 31. καὶ τῷ] καὶ τὸ T. ‖ 32. ἢ om F^b.

ἐστὶ τὸ μὲν ὕλη τὸ δ' εἶδος τὸ δ' ἐκ τούτων, καὶ
τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ ἐκ τȣ́των, ἔϛι μὲν ὡς
ὕλη μέρος τινὸς λέγεται, ἔϛι δ' ὡς ȣ̓, ἀλλ' ἐξ ὧν
δȣς λόγος. οἷον τῆς μὲν κοιλότητος οὐκ ἔϛι μέρος
(αὕτη γὰρ ἡ ὕλη ἐφ' ἧς γίγνεται), τῆς δὲ σιμό-
μέρος· καὶ τȣ̃ μὲν συνόλȣ ἀνδριάντος μέρος ὁ χαλ-
δ' ὡς εἴδȣς λεγομένȣ ἀνδριάντος οὔ. λεκτέον γὰρ
ς καὶ ᾗ εἶδος ἔχει ἕκαϛον, τὸ δ' ὑλικὸν οὐδέποτε
ὐτὸ λεκτέον. διὸ ὁ μὲν τȣ̃ κύκλου λόγος οὐκ ἔχει
τμημάτων, ὁ δὲ τῆς συλλαβῆς τὸν τῶν ϛοιχείων·
γὰρ ϛοιχεῖα τȣ̃ λόγȣ μέρη τȣ̃ εἴδȣς καὶ ȣ̓χ ὕλη,
τμήματα οὕτως μέρη ὡς ὕλη ἐφ' οἷς ἐπιγίγνεται·
ω μέντοι τȣ̃ εἴδȣς ἢ ὁ χαλκός, ὅταν ἐν χαλκῷ ἡ
λότης ἐγγένηται. ἔϛι δ' ὡς ȣ̓δὲ τὰ ϛοιχεῖα πάντα
λλαβῆς ἐν τῷ λόγῳ ἐνέϛαι, οἷον ταδὶ τὰ κήρινα
τῷ ἀέρι· ἤδη γὰρ καὶ ταῦτα μέρος τῆς συλλα-
ὕλη αἰσθητή. καὶ γὰρ ἡ γραμμὴ ȣ̓κ εἰ διαιρου-
ς τὰ ἡμίση φθείρεται, ἢ ὁ ἄνθρωπος εἰς τὰ ὀϛᾶ
ρα καὶ σάρκας, διὰ τȣ̃το καὶ εἰσὶν ἐκ τȣ́των ȣ̔́τως
ν τῆς ȣ̓σίας μερῶν, ἀλλ' ὡς ἐξ ὕλης, καὶ τȣ̃ μὲν
μέρη, τȣ̃ εἴδȣς δὲ καὶ ȣ̔̃ ὁ λόγος ȣ̓κέτι· διόπερ ȣ̓δ'
λόγοις. τῶν μὲν οὖν ἐνέϛαι ὁ τῶν τοιȣ́των μερῶν
τῶν δ' οὐ δεῖ ἐνεῖναι, ἂν μὴ ᾖ τοῦ συνειλημμένȣ·
ρ τοῦτο ἔνια μὲν ἐκ τούτων ὡς ἀρχῶν ἐϛὶν εἰς ἃ
ται, ἔνια δ' ȣ̓κ ἔϛιν. ὅσα μὲν ȣ̓̃ν συνειλημμένα τὸ
καὶ ἡ ὕλη ἐϛίν, οἷον τὸ σιμὸν ἢ ὁ χαλκȣ̃ς κύκλος,
μὲν φθείρεται εἰς ταῦτα καὶ μέρος αὐτῶν ἡ ὕλη·
μὴ συνείληπται τῇ ὕλῃ ἀλλ' ἄνευ ὕλης, ὧν οἱ
τοῦ εἴδους μόνον, ταῦτα δ' οὐ φθείρεται, ἢ ὅλως ἢ
ὕτω γε. ὥϛ' ἐκείνων μὲν ἀρχαὶ καὶ μέρη τὰ ὑφ'
τοῦ δ' εἴδους οὔτε μέρη ȣ̓́τ' ἀρχαὶ ταῦτα. καὶ διὰ
θείρεται ὁ πήλινος ἀνδριὰς εἰς πηλὸν καὶ ἡ σφαῖρα
λκὸν καὶ ὁ Καλλίας εἰς σάρκα καὶ ὀϛᾶ, ἔτι δὲ
ς εἰς τὰ τμήματα· ἔϛι γάρ τι ὃ συνείληπται τῇ

ὕλῃ· ὁμωνύμως γὰρ λέγεται κύκλος ὅ τε ἁπλῶς λεγόμενος καὶ ὁ καθ' ἕκαϛα, διὰ τὸ μὴ εἶναι ἴδιον ὄνομα τοῖς καθ' ἕκαϛον. εἴρηται μὲν ȣ̓̃ν καὶ νῦν τἀληθές, ὅμως δ' ἔτι σαφέϛερον εἴπωμεν ἐπαναλαβόντες. ὅσα μὲν γὰρ τȣ̃ λόγȣ μέρη καὶ εἰς ἃ διαιρεῖται ὁ λόγος, ταῦτα πρότερα, ἢ πάντα ἢ ἔνια. ὁ δὲ τῆς ὀρθῆς λόγος οὐ διαιρεῖται εἰς ὀξείας λόγον, ἀλλὰ τῆς ὀξείας εἰς ὀρθήν· χρῆται γὰρ ὁ ὁριζόμενος τὴν ὀξεῖαν τῇ ὀρθῇ· ἐλάττων γὰρ ὀρθῆς ἡ ὀξεῖα. ὁμοίως δὲ καὶ ὁ κύκλος καὶ τὸ ἡμικύκλιον ἔχουσιν· τὸ γὰρ ἡμικύκλιον τῷ κύκλῳ ὁρίζεται καὶ ὁ δάκτυλος τῷ ὅλῳ· τὸ γὰρ τοιόνδε μέρος ἀνθρώπȣ δάκτυλος. ὥσθ' ὅσα μὲν μέρη ὡς ὕλη καὶ εἰς ἃ διαιρεῖται ὡς ὕλην, ὕϛερα· ὅσα δὲ ὡς τȣ̃ λόγȣ καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον, πρότερα, ἢ πάντα ἢ ἔνια. ἐπεὶ δὲ ἡ τῶν ζῴων ψυχή (τȣ̃το γὰρ ȣ̓σία τȣ̃ ἐμψύχȣ) ἡ κατὰ τὸν λόγον ȣ̓σία καὶ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι τῷ τοιῷδε σώματι· ἕκαστον γȣ̃ν τὸ μέρος ἐὰν ὁρίζηται καλῶς, ȣ̓κ ἄνευ τȣ̃ ἔργȣ ὁριεῖται, ὃ ȣ̓χ ὑπάρξει ἄνευ αἰσθήσεως· ὥϛε τὰ ταύτης μέρη πρότερα, ἢ πάντα ἢ ἔνια, τȣ̃ συνόλȣ ζῴȣ, καὶ καθ' ἕκαϛον δὴ ὁμοίως. τὸ δὲ σῶμα καὶ τὰ τούτου μόρια ὕϛερα ταύτης τῆς οὐσίας, καὶ διαιρεῖται εἰς ταῦτα ὡς εἰς ὕλην ȣ̓χ ἡ ȣ̓σία ἀλλὰ τὸ σύνολον. τȣ̃ μὲν ȣ̓̃ν συνόλȣ πρότερα ταῦτ' ἔϛιν ὥς, ἔϛι δ' ὡς ȣ̓̃. ȣ̓δὲ γὰρ εἶναι δύναται χωριζόμενα· οὐδὲ γὰρ ὁ πάντως ἔχων δάκτυλος ζῴου, ἀλλ' ὁμώνυμος ὁ τεθνεώς. ἔνια δ' ἅμα, ὅσα κύρια καὶ ἐν ᾧ πρώτῳ ὁ λόγος καὶ ἡ ȣ̓σία, οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος· διαφέρει γὰρ ȣ̓θὲν πότερον τοιȣ̃τον. ὁ δ' ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ ȣ̔́τως ἐπὶ τῶν καθ' ἕκαϛα· καθόλȣ δ' ȣ̓κ ἔϛιν ȣ̓σία, ἀλλὰ σύνολόν τι ἐκ τȣδὶ τȣ̃ λόγȣ καὶ τησδὶ τῆς ὕλης ὡς καθόλȣ· καθ' ἕκαϛον δ' ἐκ τῆς ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐϛίν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. μέρος μὲν οὖν ἐϛὶ καὶ τοῦ εἴδȣς (εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι) καὶ τȣ̃ συνόλȣ τȣ̃ ἐκ τȣ̃ εἴδȣς καὶ τῆς ὕλης αὐτῆς. ἀλλὰ τȣ̃ λόγȣ μέρη τὰ τȣ̃ εἴδȣς μόνον ἐϛίν, ὁ δὲ λόγος ἐϛὶ τȣ̃

ὁ om T. ‖ ἡ σὰρξ μέρος A^b. ‖ 5. ἡ om E. ‖ ἀφ' T. ‖ 6. μέρος τι. καὶ ET. ‖ 7. εἶδος T. ‖ 10. συλλαβῆς ἔχει τὸν A^b. ‖
ματα τούτων οὕτως A^b. ‖ 14. ἅπαντα A^b. ‖ 17. ȣ̓κ om H^b. ‖ ἀεὶ T. ‖ 18. ὀϛᾶ] ϛοιχεῖα T. ‖ 19. ἔϛιν S, ἐκεῖν' A^b. ‖ 21.
A^b. ‖ 22. οὖν] οὖν οὐκ ES, om A^b. ‖ 23. ἐὰν μὴ τȣ̃ A^b. ‖ 24. γὰρ τούτου T. ‖ ὡς om A^b. ‖ 25. ὅσα] ὅσα / ἔνια A^b. ‖ 27.
μέρος T. ‖ 28. τῇ] ἡ S. ‖ ἄνευ τῆς ὕλης οἷον λόγοι ET. ‖ 29. ἢ οὐ τοιούτω γε A^b, ἢ οὔτι οὕτω γε E, ἢ ὅτι οὕτως τε T. ‖ 30.
αὐτά] ταῦτα A^b. ‖ 31. ταῦτα om A^b. ‖ 32. καὶ — 33. χαλκὸν om H^b. ‖ 33. δὲ ὁμοίως ὁ A^b. ‖ 34. τις ὅς ET.
λέγεται ὁ κύκλος T. ‖ 2. οἱ E. ‖ 3. καὶ νῦν om T. ‖ δέ τι ST. ‖ 9. ὁ et τὸ prius om ETH^b. ‖ 12. ὕλη] εἰς ὕλην T. ‖
ς E. ‖ 15. καὶ τὸ εἶδος ȣ̓σία S. ‖ 16. τοιούτῳ ET. ‖ ἑκάστου ET. ‖ 17. καλῶς] τὸ μέρος καλῶς A^b. ‖ 18. ὑπάρχει ST
αὐτῆς] τοιαῦτα T. ‖ 21. αὐτὰ T. ‖ 22. ȣ̓χ ἡ ȣ̓σία] ȣ̓κ ȣ̓σίαν A^b. ‖ ȣ̓̃ν et 23. ἔϛιν ὡς om T. ‖ 24. οὐ ES. ‖ παντοίως H^b
ῶς A^b. ‖ 27. πότερον τὸ τοιȣ̃τον A^b. ‖ 28. ὁ om A^b. ‖ τὰ] ταῦτα A^b. ‖ 33. καὶ] ὥσπερ καὶ F^b. ‖ τȣ̃ ἐκ] τῷ ἐκ S. ‖ τῆς]
‖ 34. ἐϛὶ τȣ̃] ἐϛὶ τὸ F^b.

καθόλου· τὸ γὰρ κύκλῳ εἶναι καὶ κύκλος καὶ ψυχῇ εἶναι καὶ ψυχὴ ταὐτό. τοῦ δὲ συνόλου ἤδη, οἷον κύκλου τουδί, τῶν καθ' ἕκαστά τινος ἢ αἰσθητοῦ ἢ νοητοῦ (λέγω δὲ νοητοὺς μὲν οἷον τοὺς μαθηματικούς, αἰσθητοὺς δὲ οἷον τοὺς χαλκοῦς καὶ τοὺς ξυλίνους), τούτων δὲ οὐκ ἔστιν ὁρισμός, ἀλλὰ μετὰ νοήσεως ἢ αἰσθήσεως γνωρίζονται. ἀπελθόντας δ' ἐκ τῆς ἐντελεχείας οὐ δῆλον πότερόν ποτέ εἰσιν ἢ οὐκ εἰσίν, ἀλλ' ἀεὶ λέγονται καὶ γνωρίζονται τῷ καθόλου λόγῳ· ἡ δ' ὕλη ἄγνωστος καθ' αὑτήν. ὕλη δ' ἡ μὲν αἰσθητή ἐστιν ἡ δὲ νοητή, αἰσθητὴ μὲν οἷον χαλκὸς καὶ ξύλον καὶ ὅση κινητὴ ὕλη, νοητὴ δὲ ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα μὴ ᾗ αἰσθητά, οἷον τὰ μαθηματικά. πῶς μὲν οὖν ἔχει περὶ ὅλου καὶ μέρους, καὶ περὶ τοῦ προτέρου καὶ ὑστέρου, εἴρηται. πρὸς δὲ τὴν ἐρώτησιν ἀνάγκη ἀπαντᾶν, ὅταν τις ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον πρότερον, ἢ εἰς ἃ διαιροῦνται καὶ ἐξ ὧν εἰσί, τὰ μέρη, ὅτι οὐχ ἁπλῶς. εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον ἔμψυχον ἢ ἕκαστον ἡ ἑκάστου, καὶ κύκλος τὸ κύκλῳ εἶναι, καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι καὶ ἡ οὐσία ἡ τῆς ὀρθῆς, τὶ μὲν καὶ τινὸς φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ καί τινος ὀρθῆς. καὶ γὰρ ἡ μετὰ τῆς ὕλης ἡ χαλκῆ ὀρθή, καὶ ἡ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα· ἡ δ' ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα, τῶν δ' ἐν τῷ καθ' ἕκαστα μορίων προτέρα. ἁπλῶς δ' οὐ φατέον. εἰ δ' ἑτέρα καὶ μή ἐστιν ἡ ψυχὴ ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τὰ δ' οὐ φατέον, ὥσπερ εἴρηται.

11 Ἀπορεῖται δ' εἰκότως καὶ ποῖα τοῦ εἴδους μέρη καὶ ποῖα οὔ, ἀλλὰ τοῦ συνειλημμένου. καίτοι τούτου μὴ δήλου ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον· τοῦ γὰρ καθόλου καὶ τοῦ εἴδους ὁ ὁρισμός· ποῖα οὖν ἐστὶ τῶν μερῶν ὡς ὕλη καὶ ποῖα οὔ, ἐάν μὴ ᾖ φανερά, οὐδὲ ὁ λόγος ἔσται φανερὸς ὁ τοῦ πράγματος. ὅσα μὲν οὖν φαίνεται ἐπιγιγνόμενα ἐφ' ἑτέρων τῷ εἴδει, οἷον κύκλος ἐν χαλκῷ καὶ λίθῳ καὶ ξύλῳ, ταῦτα μὲν δῆλα εἶναι δοκεῖ ὅτι οὐθὲν τῆς τοῦ κύκλου οὐσίας ὁ χαλκὸς οὐδ' ὁ λίθος διὰ τὸ χωρίζεσθαι αὐτῶν. ὅσα δὲ μὴ ὁρᾶται χωριζόμενα, οὐθὲν μὲν κωλύει ὁμοίως ἔχειν τούτοις, ὥσπερ κἂν εἰ οἱ κύκλοι πάντες ἑωρῶντο χαλκοῖ (οὐθὲν γὰρ ἂν ἧττον ἦν ὁ χαλκὸς οὐθὲν τοῦ εἴδους), χαλεπὸν δὲ ἀφελεῖν τοῦτο τῇ διανοίᾳ. οἷον τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ φαίνεται καὶ ὀστοῖς καὶ τοῖς τοιούτοις μέρεσιν· ἆρ' οὖν καὶ ἐστὶ ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου, ἢ οὔ, ἀλλ' ὕλη; ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' ἄλλων ἐπιγίγνεσθαι ἀδυνατοῦμεν χωρίσαι. ἐπεὶ δὲ τοῦτο δοκεῖ μὲν ἐνδέχεσθαι, ἄδηλον δὲ πότε, ἀποροῦσί τινες ἤδη καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου, ὡς οὐ προσῆκον γραμμαῖς ὁρίζεσθαι καὶ τῷ συνεχεῖ, ἀλλὰ πάντα ταῦτα ὁμοίως λέγεσθαι ὡσανεὶ σάρκες ἢ ὀστᾶ τοῦ ἀνθρώπου καὶ χαλκὸς καὶ λίθος τοῦ ἀνδριάντος· καὶ ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, καὶ γραμμῆς τὸν λόγον τὸν τῶν δύο εἶναί φασιν. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μὲν αὐτογραμμὴν τὴν δυάδα, οἱ δὲ τὸ εἶδος τῆς γραμμῆς· ἔνια μὲν γὰρ εἶναι ταὐτὰ τὸ εἶδος καὶ οὗ τὸ εἶδος, οἷον δυάδα καὶ τὸ εἶδος δυάδος, ἐπὶ γραμμῆς δὲ οὐκ ἔτι. συμβαίνει δὴ ἕν τε πολλῶν εἶδος εἶναι, ὧν τὸ εἶδος φαίνεται ἕτερον, ὅπερ καὶ τοῖς Πυθαγορείοις συνέβαινεν· καὶ ἐνδέχεται ἓν πάντων ποιεῖν αὐτὸ εἶδος, τὰ δ' ἄλλα μὴ εἴδη· καίτοι οὕτως ἓν πάντα ἔσται. ὅτι μὲν οὖν ἔχει τινὰ ἀπορίαν τὰ περὶ τοὺς ὁρισμούς, καὶ διὰ τίν' αἰτίαν, εἴρηται. διὸ καὶ τὸ πάντ' ἀνάγειν οὕτω καὶ ἀφαιρεῖν τὴν ὕλην περίεργον· ἔνια γὰρ ἴσως τόδ' ἐν τῷδ' ἐστίν, ἢ ὡδὶ ταδὶ ἔχοντα. καὶ ἡ παραβολὴ ἡ ἐπὶ τοῦ ζῴου ἣν εἰώθει λέγειν Σωκράτης ὁ νεώτερος, οὐ καλῶς ἔχει· ἀπάγει γὰρ ἀπὸ τοῦ ἀληθοῦς, καὶ ποιεῖ ὑπολαμβάνειν ὡς ἐνδεχόμενον εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ ἄνευ τοῦ χαλκοῦ τὸν κύκλον. τὸ δ' οὐχ ὅμοιον· αἰσθητὸν γάρ τι τὸ ζῷον, καὶ ἄνευ κινήσεως οὐκ ἔστιν ὁρίσασθαι, διὸ οὐδ' ἄνευ τῶν μερῶν ἐχόντων πῶς. οὐ γὰρ πάντως τοῦ ἀνθρώπου μέρος ἡ χείρ, ἀλλ' ἡ δυναμένη τὸ ἔργον ἀποτελεῖν, ὥστε ἔμψυχος οὖσα· μὴ ἔμψυχος δὲ οὐ μέρος. περὶ δὲ τὰ μαθηματικά, διὰ τί οὐκ εἰσὶ μέρη οἱ λόγοι τῶν λόγων, οἷον τοῦ κύκλου τὰ ἡμικύκλια· οὐ γάρ ἐστιν αἰσθητὰ ταῦτα. ἢ οὐθὲν διαφέρει; ἔσται γὰρ ὕλη ἐνίων καὶ μὴ αἰσθητῶν·

2. ἤδη] ἢ *EST*. ‖ τουδὶ καὶ τῶν *EST*. ‖ 3. ἢ post τινος om *ES*. ‖ 5. τοὺς add A^b. ‖ 7. ποτέ om A^b. ‖ 9. ἐστιν om *T*. ‖ 10. διανοητή *T*. ‖ ὅσα κινεῖται, omisso ὕλη, A^bF^b. ‖ 11. νοητὴ] ἡ A^b. ‖ μὴ om H^b. ‖ αἰσθητοῖς F^b. ‖ 12. οἷον] ὄντα A^b. ‖ ὅλου καὶ τοῦ μέρους A^b, μέρους καὶ ὅλου F^b. ‖ 13. περὶ τοῦ om F^b. ‖ 14. ἅπαντα *T*. ‖ ἐρωτᾷ *T*. ‖ 15. πρότερα *E*. ‖ διαιρεῖται A^b. ‖ 16. τὰ μέρη om F^b. ‖ 17. ἢ ἔμψυχον (ἔμψυχος *E*) ἢ ἕκαστον EA^bF^b, ἢ ἕκαστον ἢ ἔμψυχον *S*. ‖ ἡ] ἢ *E*. ‖ καὶ ὁ κύκλος F^b. ‖ 18. καὶ ἡ ante ὀρθῇ om A^b. ‖ 25. οὐ om *S*. ‖ 26. τοῦ] ἔσται τοῦ A^b, ἐστι τοῦ F^b. ‖ 27. δηλοῦντος οὐκ *T*. ‖ 29. ποῖα οὖν] ἢ ποῖα οὖν A^b.

1. εἰ om A^b. ‖ 2. οὐθὲν ante τοῦ om *ET*. ‖ 3. τοῦτον A^b. ‖ τὸ om *S*. ‖ 5. μέρη ταῦτα *ET*. ‖ 6. ἄλλο *T*A^b. ‖ 7. μὲν et δὲ πότε om *T*. ‖ 8. καὶ τοῦ] καὶ ἐπὶ τοῦ *ET*. ‖ 10. πάντα καὶ ταῦτα A^b, ταῦτα πάντα *T*. ‖ 11. καὶ χαλκὸς — ἀνδριάντος om H^b. ‖ τοῦ ἀνδριάντος A^bF^b: ceteri κύκλου. ‖ 12. πάντας *S*. ‖ 15. τὸ αὐτὸ A^b. ‖ 16. τὸ post καὶ om A^b. ‖ 17. δὴ *S*. ‖ οὐκέτι H^b. ‖ 19. αὐτὸ ποιεῖν *T*. ‖ 21. ἀπορίαν τινὰ *ET*. ‖ τὰ om *T*. ‖ ἀριθμούς H^b. ‖ 22. διὸ καὶ om *T*. ‖ τὸ om A^b. ‖ 23. περὶ ἔργον *T*. ‖ 29. πῃ] ἢ ἴσως *ET*. ‖ 30. οὐδ' om A^b. ‖ 31. ἡ ante χείρ om A^b. ‖ 34. τοῦ add A^bF^b.

αυτὸς γὰρ ὕλη τίς ἐστιν ὃ μή ἐστι τί ἦν εἶναι καὶ αὐτὸ καθ' αὑτὸ ἀλλὰ τόδε τι. κύκλυ μὲν οὖν οὐκ τῦ καθόλου, τῶν δὲ καθ' ἕκαςα ἔςαι μέρη ταῦτα, εἴρηται πρότερον· ἔςι γὰρ ἡ ὕλη ἡ μὲν αἰσθητὴ ἡ τή. δῆλον δὲ καὶ ὅτι ἡ μὲν ψυχὴ ὑσία ἡ πρώτη, σῶμα ὕλη, ὁ δ' ἄνθρωπος ἢ τὸ ζῷον τὸ ἐξ ἀμφοῖν θόλου· Σωκράτης δὲ καὶ Κορίσκος, εἰ μὲν καὶ ἡ διττόν· οἱ μὲν γὰρ ὡς ψυχήν, οἱ δ' ὡς τὸ σύνολον· ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε, ὥσπερ τὸ κα- τε καὶ τὸ καθ' ἕκαστον. πότερον δ' ἔστι παρὰ τὴν τῶν τοιύτων οὐσιῶν τις ἄλλη, καὶ δεῖ ζητεῖν οὐσίαν ἑτέραν τινὰ οἷον ἀριθμοὺς ἤ τι τοιοῦτον, σκεπτέον τούτου γὰρ χάριν καὶ περὶ τῶν αἰσθητῶν οὐσιῶν εθα διορίζειν, ἐπεὶ τρόπον τινὰ τῆς φυσικῆς καὶ ς φιλοσοφίας ἔργον ἡ περὶ τὰς αἰσθητὰς οὐσίας ὐ γὰρ μόνον περὶ τῆς ὕλης δεῖ γνωρίζειν τὸν φυ- ἀλλὰ καὶ τῆς κατὰ τὸν λόγον, καὶ μᾶλλον. ἐπὶ ὁρισμῶν πῶς μέρη τὰ ἐν τῷ λόγῳ, καὶ διὰ τί εἷς ὁ ὁρισμός (δῆλον γὰρ ὅτι τὸ πρᾶγμα ἕν, τὸ δὲ α τινὶ ἕν, μέρη γε ἔχον) σκεπτέον ὕςερον.

ί μὲν οὖν ἐστὶ τὸ τί ἦν εἶναι καὶ πῶς αὐτὸ καθ' καθόλυ περὶ παντὸς εἴρηται, καὶ διὰ τί τῶν μὲν ὁ ὁ τῦ τί ἦν εἶναι ἔχει τὰ μόρια τοῦ ὁριζομένυ, τῶν καὶ ὅτι ἐν μὲν τῷ τῆς ὐσίας λόγῳ τὰ ὕτω μόρια ὐκ ἐνέςαι. ὐδὲ γὰρ ἔςιν ἐκείνης μόρια τῆς ὐσίας τῆς συνόλης· ταύτης δέ γ' ἔςι πως λόγος καὶ οὐκ μετὰ μὲν γὰρ τῆς ὕλης οὐκ ἔςιν (ἀόριστον γάρ), τὴν πρώτην δ' ὐσίαν ἔςιν, οἷον ἀνθρώπυ ὁ τῆς ψυχῆς ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν, ἐξ οὗ καὶ τῆς σύνοδος λέγεται οὐσία, οἷον ἡ κοιλότης· ἐκ γὰρ καὶ τῆς ῥινὸς σιμὴ ῥὶς καὶ ἡ σιμότης ἐςί· δὶς γὰρ ς ὑπάρξει ἡ ῥίς. ἐν δὲ τῇ συνόλῳ ὐσίᾳ, οἷον ῥινὶ Καλλίᾳ, ἐνέσται καὶ ἡ ὕλη. καὶ ὅτι τὸ τί ἦν εἶναι ἕκαςον ἐπὶ τινῶν μὲν ταὐτόν, ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν, οἷον καμπυλότης καὶ καμπυλότητι εἶναι, εἰ πρώτη ἐςίν. λέγω δὲ πρώτην ἣ μὴ λέγεται τῷ ἄλλο ἐν ἄλλῳ εἶναι καὶ ὑποκειμένῳ ὡς ὕλῃ. ὅσα δ' ὡς ὕλη ἢ ὡς συνειλημμένα τῇ ὕλῃ, ὐ ταὐτό, ὐδὲ κατὰ συμβεβηκὸς ἕν, οἷον ὁ Σωκράτης καὶ τὸ μουσικόν· ταῦτα γὰρ ταὐτὰ κατὰ συμβεβηκός.

Νῦν δὲ λέγωμεν πρῶτον, ἐφ' ὅσον ἐν τοῖς ἀναλυτι- 12 κοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται· ἡ γὰρ ἐν ἐκείνοις ἀπορία λεχθεῖσα πρὸ ἔργου τοῖς περὶ τῆς ὐσίας ἐςὶ λόγοις. λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε ἕν ἐςιν ὗ τὸν λόγον ὁρισμὸν εἶναι φαμέν, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν· ἔςω γὰρ ὗτος αὐτῦ λόγος. διὰ τί δὴ τῦτο ἕν ἐςιν ἀλλ' ὐ πολλά, ζῷον καὶ δίπουν; ἐπὶ μὲν γὰρ τοῦ ἄνθρωπος καὶ λευκὸν πολλὰ μέν ἐστιν, ὅταν μὴ ὑπάρχῃ θατέρῳ θάτερον, ἓν δέ, ὅταν ὑπάρχῃ καὶ πάθῃ τι τὸ ὑποκείμενον ὁ ἄνθρωπος· τότε γὰρ ἓν γίγνεται καὶ ἔςιν ὁ λευκὸς ἄνθρωπος. ἐνταῦθα δ' ὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ γένος ὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἅμα γὰρ ἂν τῶν ἐναντίων τὸ αὐτὸ μετεῖχεν· αἱ γὰρ διαφοραὶ ἐναντίαι, αἷς διαφέρει τὸ γένος. εἰ δὲ καὶ μετέχει, ὁ αὐτὸς λόγος, εἴπερ εἰσὶν αἱ διαφοραὶ πλείυς, οἷον πεζόν, δίπυν, ἄπτερον. διὰ τί γὰρ ταῦθ' ἓν ἀλλ' ὐ πολλά; ὐ γὰρ ὅτι ἐνυπάρχει· οὕτω μὲν γὰρ ἐξ ἁπάντων ἔσται ἕν. δεῖ δέ γε ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ· ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ ὐσίας, ὥσθ' ἑνός τινος δεῖ αὐτὸν εἶναι λόγον· καὶ γὰρ ἡ οὐσία ἕν τι καὶ τόδε τι σημαίνει, ὡς φαμέν. δεῖ δ' ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν. οὐθὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ πλὴν τό τε πρῶτον λεγόμενον γένος καὶ αἱ διαφοραί· τὰ δ' ἄλλα γένη ἐςὶ τό τε πρῶτον καὶ μετὰ τύτου αἱ συλλαμβανόμεναι διαφοραί, οἷον τὸ πρῶτον ζῷον, τὸ δ' ἐχόμενον ζῷον δίπουν, καὶ πάλιν ζῷον δίπουν ἄπτερον· ὁμοίως δὲ

γὰρ ὕλη τίς ἐστι et καὶ — 2. τι add A^b. ‖ 2. κύκλυ — 3. καθόλου] τῦ μὲν καθόλυ κύκλυ ὐκ ἔςαι μέρη καθόλυ A^b. ‖ 5. αἰσθητή T. ‖ καὶ om A^bF^b. ‖ 7. εἰ om T. ‖ καὶ add A^bF^b. ‖ 8. διττόν] σωκράτης διττόν A^b. ‖ οἱ δ'] ἡ δ' ST. ‖ 9. A^b. ‖ τόδε] τὰ δὲ A^b. ‖ τὰ A^b. ‖ 10. ἔστι τι παρὰ ET. ‖ 11. τις ante οὐσιῶν ET, om F^b. ‖ ζητεῖν τὴν οὐσίαν A^b. ‖ 12. m A^b. ‖ ἀριθμὸς S. ‖ 14. ἐπεὶ] ἢ ἐπεὶ A^b. ‖ 17. ἐπὶ] εἰ A^b. ‖ 18. μερισμῶν S. ‖ 22. καθόλυ om S. ‖ ὁ om A^b. ‖ 23. F^b. ‖ 24. ἐν T. ‖ 25. ἔνεςιν S, omissis ὐδὲ — 27. ἔςιν. ‖ 25. ἐκεῖνα H^b. ‖ 26. συνόλου T, συνόδου F^b. ‖ δέ γ'] δ' T. ‖ 29. ET. ‖ 30. σύνολος ET. ‖ 31. δὶς] δι' ἃ A^b. ‖ 32. ὑπάρχει S. ‖ 33. ἡ om TA^b. ‖ ἔνεστι F^b. ‖ τὸ τί om A^b.
εἶναι καὶ ἕκαςον E. ‖ 2. καμπυλότης καὶ om A^b. ‖ εἰ] ἡ STA^b. ‖ 3. πρῶτον ἢ A^b. ‖ τὸ A^b. ‖ 5. ὡς τὰ συνειλημμένα A^b. ‖ σωκράτης καὶ μουσικός A^b. ‖ 7. ταῦτα S, πάντα T. ‖ κατὰ] καὶ κατὰ ES. ‖ 8. λέγομεν TH^b, λέγω F^b. ‖ 9. μὴ] μοι T, om 0. λέγοις ἐςί A^b. ‖ 11. ἓν om A^b. ‖ ἐςιν] ἐςι τὸ ὁριςὸν SF^b. ‖ 12. τοῦ] ὁ τοῦ ET. ‖ 13. ἔςω — 14. δίπουν om TA^b. ‖ 16. A^b. ‖ 17. τῦτο S. ‖ 19. ἂν om A^b. ‖ 22. αἱ om E. ‖ 23. ὐ γὰρ ὅτι ἐνυπάρχει om S. ‖ 25. ἓν ET. ‖ 26. ὐσία ET. ‖ ὥσ- λόγον εἶναι ST. ‖ καὶ] εἰ A^b. ‖ 28. σκοπεῖν F^b. ‖ 29. τε om A^b. ‖ 30. καὶ διαφοραὶ A^b, καὶ ἡ διαφορά F^b et γρ E. ‖ S.

κἂν διὰ πλειόνων λέγηται. ὅλως δ' οὐθὲν διαφέρει διὰ πολλῶν ἢ δι' ὀλίγων λέγεσθαι, ὥστ' οὐδὲ δι' ὀλίγων ἢ διὰ δυοῖν· τοῖν δυοῖν δὲ τὸ μὲν διαφορὰ τὸ δὲ γένος, οἷον τῦ ζῷον δίπουν τὸ μὲν ζῷον γένος, διαφορὰ δὲ θάτερον. εἰ ὖν τὸ γένος ἁπλῶς μή ἐςι παρὰ τὰ ὡς γένους εἴδη, ἢ εἰ ἔςι μὲν ὡς ὕλη δ' ἐςίν (ἡ μὲν γὰρ φωνὴ γένος καὶ ὕλη, αἱ δὲ διαφοραὶ τὰ εἴδη καὶ τὰ ςοιχεῖα ἐκ ταύτης ποιῦσιν), φανερὸν ὅτι ὁ ὁρισμός ἐςιν ὁ ἐκ τῶν διαφορῶν λόγος. ἀλλὰ μὴν καὶ δεῖ γε διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν, οἷον ζῴου διαφορὰ τὸ ὑπόπουν· πάλιν τῦ ζῴου τῦ ὑπόποδος τὴν διαφορὰν δεῖ εἰδέναι ᾗ ὑπόπουν. ὥς' ὐ λεκτέον τῦ ὑπόποδος τὸ μὲν πτερωτὸν τὸ δὲ ἄπτερον, ἐάνπερ λέγῃ καλῶς, ἀλλὰ διὰ τὸ ἀδυνατεῖν ποιήσει τῦτο· ἀλλ' ἢ τὸ μὲν σχιζόπουν τὸ δ' ἄσχιςον· αὗται γὰρ διαφοραὶ ποδός· ἡ γὰρ σχιζοποδία ποδότης τις. καὶ ὕτως ἀεὶ βύλεται βαδίζειν ἕως ἂν ἔλθῃ εἰς τὰ ἀδιάφορα. τότε δ' ἔσονται τοσαῦτα εἴδη ποδὸς ὅσαιπερ αἱ διαφοραί, καὶ τὰ ὑπόποδα ζῷα ἴσα ταῖς διαφοραῖς. εἰ δὴ ταῦτα ὕτως ἔχει, φανερὸν ὅτι ἡ τελευταία διαφορὰ ἡ ὐσία τοῦ πράγματος ἔσται καὶ ὁ ὁρισμός, εἴπερ μὴ δεῖ πολλάκις ταὐτὰ λέγειν ἐν τοῖς ὅροις· περίεργον γάρ. συμβαίνει δέ γε τῦτο· ὅταν γὰρ εἴπῃ ζῷον ὑπόπυν δίπουν, ὐθὲν ἄλλο εἴρηκεν ἢ ζῷον πόδας ἔχον, δύο πόδας ἔχον· κἂν τοῦτο διαιρῇ τῇ οἰκείᾳ διαιρέσει, πλεονάκις ἐρεῖ καὶ ἰσάκις ταῖς διαφοραῖς. ἐὰν μὲν δὴ διαφορᾶς διαφορὰ γίγνηται, μία ἔςαι ἡ τελευταία τὸ εἶδος καὶ ἡ ὐσία· ἐὰν δὲ κατὰ συμβεβηκός, οἷον εἰ διαιροῖ τῦ ὑπόποδος τὸ μὲν λευκὸν τὸ δὲ μέλαν, τοσαῦται ὅσαι ἂν αἱ τομαὶ ὦσιν. ὥςε φανερὸν ὅτι ὁ ὁρισμὸς λόγος ἐςὶν ὁ ἐκ τῶν διαφορῶν, καὶ τύτων τῆς τελευταίας κατά γε τὸ ὀρθόν. δῆλον δ' ἂν εἴη, εἴ τις μετατάξειε τὺς τοιύτους ὁρισμύς, οἷον τὸν τῦ ἀνθρώπυ, λέγων ζῷον δίπυν ὑπόπυν· περίεργον γὰρ τὸ ὑπόπυν εἰρημένυ τῦ δίποδος. τάξις δ' ὐκ ἔςιν ἐν τῇ ὐσίᾳ· πῶς γὰρ δεῖ νοῆσαι τὸ μὲν ὕςερον τὸ δὲ πρότερον; περὶ μὲν ὖν τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν τοσαῦτα εἰρήσθω τὴν πρώτην, ποῖοί τινές εἰσιν.

Ἐπεὶ δὲ περὶ τῆς οὐσίας ἡ σκέψις ἐςί, πάλιν ἐπα- 13
νέλθωμεν. λέγεται δ' ὥσπερ τὸ ὑποκείμενον ὐσία εἶναι καὶ τὸ τί ἦν εἶναι καὶ τὸ ἐκ τύτων καὶ τὸ καθόλυ. περὶ μὲν ὖν τοῖν δυοῖν εἴρηται· καὶ γὰρ περὶ τῦ τί ἦν εἶναι καὶ τῦ ὑποκειμένυ, ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν, ὥσπερ τὸ ζῷον τοῖς πάθεσιν, ἢ ὡς ἡ ὕλη τῇ ἐντελεχείᾳ. δοκεῖ δὲ καὶ τὸ καθόλυ αἴτιόν τισιν εἶναι μάλιςα, καὶ εἶναι ἀρχὴ τὸ καθόλυ· διὸ ἐπέλθωμεν καὶ περὶ τύτυ. ἔοικε γὰρ ἀδύνατον εἶναι οὐσίαν εἶναι ὁτιοῦν τῶν καθόλου λεγομένων. πρώτη μὲν γὰρ ὐσία ἴδιος ἑκάςῳ ἣ ὐχ ὑπάρχει ἄλλῳ, τὸ δὲ καθόλυ κοινόν· τῦτο γὰρ λέγεται καθόλυ ὃ πλείοσιν ὑπάρχειν πέφυκεν. τίνος ὖν ὐσία τῦτ' ἔςαι; ἢ γὰρ ἁπάντων ἢ ὐθενός. ἁπάντων δ' ὐχ οἷόν τε· ἑνὸς δ' εἰ ἔςαι, καὶ τἆλλα τῦτ' ἔςαι· ὧν γὰρ μία ἡ ὐσία, καὶ τὸ τί ἦν εἶναι ἓν καὶ αὐτὰ ἕν. ἔτι ὐσία λέγεται τὸ μὴ καθ' ὑποκειμένου, τὸ δὲ καθόλου καθ' ὑποκειμένου τινὸς λέγεται ἀεί. ἀλλ' ἆρα ὕτω μὲν ὐκ ἐνδέχεται ὡς τὸ τί ἦν εἶναι, ἐν τύτῳ δὲ ἐνυπάρχειν, οἷον τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ. ὐκῦν δῆλον ὅτι ἔςι τις αὐτῦ λόγος. διαφέρει δ' ὐθὲν ὐδ' εἰ μὴ πάντων λόγος ἐςὶ τῶν ἐν τῇ οὐσίᾳ· ὐθὲν γὰρ ἧττον ὐσία τῦτ' ἔςαι τινός, ὡς ὁ ἄνθρωπος τῦ ἀνθρώπυ ἐν ᾧ ὑπάρχει, ὥςε τὸ αὐτὸ συμβήσεται πάλιν· ἔςαι γὰρ ὐσία ἐκείνου οὐσία, οἷον τὸ ζῷον ἐν ᾧ ὡς ἴδιον ὑπάρχει. ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ ὐσίαν, εἰ ἔςιν ἔκ τινων, μὴ ἐξ οὐσιῶν εἶναι μηδ' ἐκ τοῦ τόδε τι, ἀλλ' ἐκ ποιοῦ· πρότερον γὰρ ἔςαι μὴ ὐσία τε καὶ τὸ ποιὸν ὐσίας τε καὶ τῦ τόδε. ὅπερ ἀδύνατον· ὔτε λόγῳ γὰρ οὔτε χρόνῳ οὔτε γενέσει οἷόν τε τὰ πάθη τῆς οὐσίας εἶναι πρότερα· ἔσται γὰρ χωριςά. ἔτι τῷ Σωκράτει ὐσίᾳ ἐνυπάρξει ὐσία, ὥςε δυοῖν ἔςαι οὐσία. ὅλως δὲ συμβαίνει, εἰ ἔςιν ὐσία ὁ ἄνθρωπος καὶ ὅσα οὕτω λέγεται, μηθὲν τῶν ἐν τῷ λόγῳ εἶναι μηθενὸς ὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν μηδ' ἐν ἄλλῳ, λέγω δ' οἷον ὐκ εἶναί τι ζῷον παρὰ τὰ τινά, μηδ' ἄλλο τῶν ἐν τοῖς λόγοις οὐθέν. ἔκ τε δὴ τύτων θεωροῦσι φανερὸν ὅτι οὐθὲν τῶν καθόλυ ὑπαρχόντων ὐσία ἐςί, καὶ

1. καὶ ἐὰν A^b. ‖ 2. δι' priorem om A^b. ‖ 4. τῦ] τὸ *ET*. ‖ 7. ἐκ] δ' ἐκ *E*. ‖ 8. ὁ post ὅτι om *T*. ‖ 10. ζώω *T*. ‖ 11. [illegible] A^b. ‖ 13. περ om *S*. ‖ λέγηται *ST*. ‖ δυνατεῖν A^b, ἀδύνατον *S*. ‖ 14. ἢ A^b, εἰ ceteri. ‖ 20. ὁ om *T*. ‖ 21. τὸ αὐτὸ F^b, [illegible] *T*. ‖ 23. ἢ] εἰ μὴ A^b. ‖ πόδας post ζῷον om *ET*. ‖ ἔχον alterum ante δύο *S*, om *T*. ‖ 25. γίγνεται *S*, γένηται TF^b. ‖ 27. διαιρεῖ SA^b. ‖ 28. τοσαῦτα A^b. ‖ 30. δ' om *T*. ‖ 31. λόγον *S*. ‖ 35. τὴν πρώτην om F^b.

1. δὴ F^b. ‖ ἐςὶν ἡ σκέψις *T*. ‖ 5. ἢ om A^b. ‖ 6. ἡ om *ST*. ‖ 7. ἀρχὴ *S*. ‖ 9. εἶναι prius om A^b, alterum *T*. ‖ 10. γάρ] γὰρ ἡ SA^b. ‖ ὐσία ἡ ἑκάςυ ἴδιος ἑκάςυ *E* et omisso ἡ *S*, ὐσία ἡ ἑκάςυ *T*. ‖ ἣ ὐχ ὑπάρχει ἄλλο *T*. ‖ 12 et 13. πάντων *EST*. ‖ 13. ἢ δή ἐςι *E*. ‖ 14. post ἔςαι *S* ἢ γὰρ παντὸς ἢ ὐδενός. ‖ 17. τύτῳ] αὐτῷ *EST*, γρ. καὶ ἐν αὐτοῖς ἤτοι τοῖς ὑποκειμένοις *E* inter versus. ‖ 18. ἐνυπάρχει *S*. ‖ τὸ ζῷον om *T*. ‖ 19. ἔςαι *S*. ‖ 23. ᾧ] ὧ εἴδει TA^b. ‖ 24. τὸ τόδε] τότε δὲ *T*. ‖ καὶ τὴν ὐσίαν F^b. ‖ 25. ἐκ τοῦ ποιοῦ *T*. ‖ 26. ὐσία τε] ὐσία δὲ *T*. τε om A^b. ‖ 27. τῦτο δὲ A^b. ‖ 29. γὰρ καὶ χωριςά A^b. ‖ σωκράτη *T*. ‖ ὐσίᾳ om EA^b, post [illegible] ponit *T*. ‖ 30. οὐσίαι *T*. ‖ ἄλλως HA^b. ‖ 32. ἐν] ἓν ἐν TA^b. ‖ 34. λογικοῖς H^b. ‖ οὐθὲν γάρ. ἐκ A^b. ‖ τε] δὲ *T*.

θεν σημαίνει τῶν κοινῇ κατηγορουμένων τόδε τι, ἀλλὰ δε. εἰ δὲ μή, ἄλλα τε πολλὰ συμβαίνει καὶ ὁ τρί- ἄνθρωπος. ἔτι δὲ καὶ ὧδε δῆλον. ἀδύνατον γὰρ οὐσίαν ὐσιῶν εἶναι ἐνυπαρχουσῶν ὡς ἐντελεχείᾳ· τὰ γὰρ δύο ἐντελεχείᾳ οὐδέποτε ἓν ἐντελεχείᾳ, ἀλλ' ἐὰν δυνάμει ᾖ, ἔσται ἕν, οἷον ἡ διπλασία ἐκ δύο ἡμίσεων δυνάμει ἡ γὰρ ἐντελέχεια χωρίζει. ὥστε εἰ ἡ οὐσία ἕν, οὐκ ἐξ οὐσιῶν ἐνυπαρχουσῶν, καὶ κατὰ τοῦτον τὸν τρόπον έγει Δημόκριτος ὀρθῶς· ἀδύνατον γὰρ εἶναί φησιν ἐκ ἓν ἢ ἐξ ἑνὸς δύο γενέσθαι· τὰ γὰρ μεγέθη τὰ ἄτομα οὐσίας ποιεῖ. ὁμοίως τοίνυν δῆλον ὅτι καὶ ἐπ' ἀριθμοῦ εἴπερ ἐστὶν ὁ ἀριθμὸς σύνθεσις μονάδων, ὥσπερ λέγε- ὑπό τινων· ἢ γὰρ οὐχ ἓν ἡ δυάς, ἢ οὐκ ἔστι μονὰς ἐν ἐντελεχείᾳ. ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν. εἰ γὰρ ἐκ τῶν καθόλου οἷόν τ' εἶναι μηδεμίαν οὐσίαν διὰ τὸ δε ἀλλὰ μὴ τόδε τι σημαίνειν, μήτ' ἐξ οὐσιῶν ἐνδέ- ι ἐντελεχείᾳ εἶναι μηδεμίαν οὐσίαν σύνθετον, ἀσύνθε- ἂν εἴη οὐσία πᾶσα, ὥστ' οὐδὲ λόγος ἂν εἴη οὐδεμιᾶς ς. ἀλλὰ μὴν δοκεῖ γε πᾶσι καὶ ἐλέχθη πάλαι ἢ εἶναι οὐσίας ὅρον ἢ μάλιστα· νῦν δ' οὐδὲ ταύτης. ὸς ἄρ' ἔσται ὁρισμός· ἢ τρόπον μέν τινα ἔσται, τρόπον να οὔ. δῆλον δ' ἔσται τὸ λεγόμενον ἐκ τῶν ὕστερον λον.

Φανερὸν δ' ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ τοῖς ἰδέας λέγουσιν οὐσίας τε καὶ χωριστὰς εἶναι, καὶ ἅμα ἶδος ἐκ τοῦ γένους ποιοῦσι καὶ τῶν διαφορῶν. εἰ γὰρ τὰ εἴδη καὶ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ, ἤτοι αὶ ταὐτὸν τῷ ἀριθμῷ ἐστὶν ἢ ἕτερον. τῷ μὲν γὰρ ῳ δῆλον ὅτι ἕν· τὸν γὰρ αὐτὸν διέξεισι λόγον ὁ λέγων κατέρῳ. εἰ οὖν ἐστί τις ἄνθρωπος αὐτὸς καθ' αὑτὸν τόδε αὶ κεχωρισμένον, ἀνάγκη καὶ ἐξ ὧν, οἷον τὸ ζῷον καὶ ίπουν, τόδε τι σημαίνειν καὶ εἶναι χωριστὰ καὶ οὐσίας· καὶ τὸ ζῷον. εἰ μὲν οὖν τὸ αὐτὸ καὶ ἓν τὸ ἐν τῷ καὶ τῷ ἀνθρώπῳ, ὥσπερ σὺ σαυτῷ, πῶς τὸ ἓν ἐν τοῖς οὖσι χωρὶς ἓν ἔσται, καὶ διὰ τί οὐ καὶ χωρὶς αὑτοῦ ἔσται τὸ ζῷον τοῦτο; ἔπειτα εἰ μὲν μεθέξει τοῦ δίποδος καὶ τοῦ πολύποδος, ἀδύνατόν τι συμβαίνει· τἀναντία γὰρ ἅμα ὑπάρξει αὐτῷ ἑνὶ καὶ τῷδέ τινι ὄντι. εἰ δὲ μή, τίς ὁ τρόπος ὅταν εἴπῃ τις τὸ ζῷον εἶναι δίπουν ἢ πεζόν; ἀλλ' ἴσως σύγκειται καὶ ἅπτεται ἢ μέμικται. ἀλλὰ πάντα ἄτοπα. ἀλλ' ἕτερον ἐν ἑκάστῳ. οὐκοῦν ἄπειρα ὡς ἔπος εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον· οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος. ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷον· οὐ γὰρ κατ' ἄλλο λέγεται. εἰ δὲ μή, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος καὶ γένος αὐτοῦ ἐκεῖνο. καὶ ἔτι ἰδέαι ἅπαντα ἐξ ὧν ὁ ἄνθρωπος. οὐκοῦν οὐκ ἄλλου μὲν ἰδέα ἔσται ἄλλου δ' οὐσία· ἀδύνατον γάρ. αὐτὸ ἄρα ζῷον ἓν ἕκαστον ἔσται τῶν ἐν τοῖς ζῴοις. ἔτι ἐκ τίνος τοῦτο καὶ πῶς ἐξ αὐτοῦ ζῷον; ἢ πῶς οἷόν τε εἶναι τὸ ζῷον ὃ οὐσία, τοῦτο αὐτὸ παρ' αὐτὸ τὸ ζῷον; ἔτι δ' ἐπὶ τῶν αἰσθητῶν ταῦτά τε συμβαίνει καὶ τούτων ἀτοπώτερα. εἰ δὴ ἀδύνατον οὕτως ἔχειν, δῆλον ὅτι οὐκ ἔστιν εἴδη αὐτῶν οὕτως ὥς τινές φασιν.

Ἐπεὶ δ' ἡ οὐσία ἑτέρα τό τε σύνολον καὶ ὁ λόγος 15 (λέγω δ' ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία σὺν τῇ ὕλῃ συνειλημμένος ὁ λόγος, ἡ δ' ὁ λόγος ὅλως), ὅσαι μὲν οὖν οὕτω λέγονται, τούτων μὲν ἔστι φθορά· καὶ γὰρ γένεσις· τοῦ δὲ λόγου οὐκ ἔστιν οὕτως ὥστε φθείρεσθαι· οὐδὲ γὰρ γένεσις (οὐ γὰρ γίγνεται τὸ οἰκίᾳ εἶναι ἀλλὰ τὸ τῇδε τῇ οἰκίᾳ), ἀλλ' ἄνευ γενέσεως καὶ φθορᾶς εἰσὶ καὶ οὐκ εἰσίν· δέδεικται γὰρ ὅτι οὐθεὶς ταῦτα γεννᾷ οὐδὲ ποιεῖ. διὰ τοῦτο δὲ καὶ τῶν οὐσιῶν τῶν αἰσθητῶν τῶν καθ' ἕκαστα οὔθ' ὁρισμὸς οὔτ' ἀπόδειξίς ἐστιν, ὅτι ἔχουσιν ὕλην ἧς ἡ φύσις τοιαύτη ὥστ' ἐνδέχεσθαι καὶ εἶναι καὶ μή· διὸ φθαρτὰ πάντα τὰ καθ' ἕκαστα αὐτῶν. εἰ οὖν ἥ τ' ἀπόδειξις τῶν ἀναγκαίων καὶ ὁ ὁρισμὸς ἐπιστημονικός, καὶ οὐκ ἐνδέχεται, ὥσπερ οὐδ' ἐπιστήμην ὁτὲ μὲν ἐπιστήμην ὁτὲ δ' ἄγνοιαν εἶναι, ἀλλὰ δόξα τὸ τοιοῦτόν ἐστιν, οὕτως οὐδ' ἀπόδειξιν οὐδ' ὁρισμόν, ἀλλὰ δόξα

1. τόδε] τὸ τόδε F^b. ‖ 3. γὰρ om $A^bF^bH^b$. ‖ 4. ὡς] οὕτως ὡς *EST*. ‖ τὰ — 5. οὕτως ἐντελεχείᾳ om *S*. ‖ 6. ἡ] εἰ A^b. ‖] ἓν *T*. ‖ εἰ om *E*. ‖ 9. ὁ *T*. ‖ 11. δῆλον ὅτι om H^b. ‖ ἐπὶ τοῦ ἀριθμοῦ H^b. ‖ 12. ὁ om A^b. ‖ σύνθεσις om A^b. ‖ 13. ἡ] ἢ ἔνεστι *ET*. ‖ 15. διὰ τοσόνδε *T*. ‖ 17. σύνθετον om *ESTH*^{b}. ‖ 19. πᾶσα A^b. ‖ 20. οὐσίας εἶναι A^b. ‖ 24. τοῦτο F^b. ‖ 25. τε χωριστὰς A^b, χωριστάς τε οὐσίας F^b. ‖ ἅμα om *S*. ‖ 26. τὸ] καὶ τὸ *ET*. ‖ 28. μὲν om *S*. ‖ γὰρ om A^b. ‖ 29. ὁ λέγων τὸ λόγον A^b. ‖ 30. αὐτὸ καθ' αὑτὸ *ET*. ‖ τόδε] καὶ τόδε F^b, τὸ τόδε *S*. ‖ 31. καὶ post τι om *T*F^b, καὶ — 32. τι om *S*. ‖ 33. add A^b. ‖ 34. καὶ τῷ ἀνθρώπῳ add A^bF^b. ‖ σὺ σαυτῷ] αὐτὸς αὑτῷ A^b. ‖ πῶς om A^b. ‖ τὸ ἓν add A^bF^b.

1. ἐν χωρὶς οὖσιν *ET*, ἐγχωρὶς οὖσιν *S*. ‖ χωρὶς αὑτοῦ] αὐτὸ A^b. ‖ 2. τοῦτο] ἑαυτοῦ A^b. ‖ μὲν μὴ μεθέξει *T*. ‖ 4. τῷ δίοντι *T*. τινὶ A^bF^b. ‖ ὁ om A^b. ‖ 5. τις] τί A^b. ‖ post πεζόν F^b ἢ ζῷον ἄπουν. ‖ 8. γὰρ] καὶ *S*. ‖ ὁ om A^b. ‖ 9. τὸ post αὐτὸ om *T*. ‖ ς ἰδέα *E*. ‖ 13. ἓν add A^b. ‖ 14. ἔσται ἑκάστου *ES*. ‖ τούτου *EST*. ‖ 15. ζῴου *EST*. in *E* γρ αὐτοζώου. ‖ τὸ ζῷον] γρ οὐσία ὃ om A^b. ‖ 16. δ'] δὲ καὶ *T*. ‖ 18. ἰδία *ET*. ‖ 21. ἡ] εἰ F^b. ‖ 22. ὅλως om A^b. ‖ 23. ἔστι καὶ φθορά A^b. ‖ 24. ὥστε om οὐδὲν *E*, οὐ A^b. ‖ 28. οὔτ' ἀριθμὸς *T*. ‖ 31. αὐτῶν om H^b. ‖ 33. ὁτὲ μὲν ἐπιστήμην om A^b. ‖ 35. ἀπόδειξις οὐδ' ὁρισμὸς A^bF^b.

ἐστὶ τοῦ ἐνδεχομένου ἄλλως ἔχειν, δῆλον ὅτι οὐκ ἂν εἴη αὐτῶν οὔτε ὁρισμὸς οὔτε ἀπόδειξις. ἄδηλά τε γὰρ τὰ φθειρόμενα τοῖς ἔχουσι τὴν ἐπιστήμην, ὅταν ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ· καὶ σωζομένων τῶν λόγων ἐν τῇ ψυχῇ τῶν αὐτῶν οὐκ ἔσται οὔτε ὁρισμὸς ἔτι οὔτε ἀπόδειξις. διὸ δεῖ τῶν πρὸς ὅρον, ὅταν τις ὁρίζηταί τι τῶν καθ' ἕκαστα, μὴ ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔστιν· οὐ γὰρ ἐνδέχεται ὁρίσασθαι. οὐδὲ δὴ ἰδέαν οὐδεμίαν ἔστιν ὁρίσασθαι· τῶν γὰρ καθ' ἕκαστον ἡ ἰδέα, ὡς φασί, καὶ χωριστή. ἀναγκαῖον δ' ἐξ ὀνομάτων εἶναι τὸν λόγον. ὄνομα δ' οὐ ποιήσει ὁ ὁριζόμενος· ἄγνωστον γὰρ ἔσται. τὰ δὲ κείμενα κοινὰ πᾶσιν. ἀνάγκη ἄρα ὑπάρχειν καὶ ἄλλῳ ταῦτα· οἷον εἴ τις σὲ ὁρίσαιτο, ζῷον ἐρεῖ ἰσχνὸν ἢ λευκὸν ἢ ἕτερόν τι ὃ καὶ ἄλλῳ ὑπάρξει. εἰ δέ τις φαίη μηθὲν κωλύειν χωρὶς μὲν πάντα πολλοῖς, ἅμα δὲ μόνῳ τούτῳ ὑπάρχειν, λεκτέον πρῶτον μὲν ὅτι καὶ ἀμφοῖν, οἷον τὸ ζῷον δίπουν τῷ ζῴῳ καὶ τῷ δίποδι. καὶ τοῦτο ἐπὶ μὲν τῶν ἀϊδίων καὶ ἀνάγκη εἶναι, πρότερά γ' ὄντα καὶ μέρη τοῦ συνθέτου. ἀλλὰ μὴν καὶ χωριστά, εἴπερ τὸ ἄνθρωπος χωριστόν· ἢ γὰρ οὐθὲν ἢ ἄμφω. εἰ μὲν οὖν μηθέν, οὐκ ἔσται τὸ γένος παρὰ τὰ εἴδη· εἰ δ' ἔσται, καὶ ἡ διαφορά. εἶθ' ὅτι πρότερα τῷ εἶναι· ταῦτα δὲ οὐκ ἀνταναιρεῖται. ἔπειτα δὲ εἰ ἐξ ἰδεῶν αἱ ἰδέαι (ἀσυνθετώτερα γὰρ τὰ ἐξ ὧν), ἔτι ἐπὶ πολλῶν δεήσει κἀκεῖνα κατηγορεῖσθαι ἐξ ὧν ἡ ἰδέα, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. εἰ δὲ μή, πῶς γνωρισθήσεται; ἔσται γὰρ ἰδέα τις ἣν ἀδύνατον ἐπὶ πλειόνων κατηγορῆσαι ἢ ἑνός. οὐ δοκεῖ δέ, ἀλλὰ πᾶσα ἰδέα εἶναι μεθεκτή. ὥσπερ οὖν εἴρηται, λανθάνει ὅτι ἀδύνατον ὁρίσασθαι ἐν τοῖς ἀϊδίοις, μάλιστα δὲ ὅσα μοναχά, οἷον ἥλιος ἢ σελήνη. οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ προστιθέναι τοιαῦτα ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, ὥσπερ τὸ περὶ γῆν ἰὸν ἢ νυκτικρυφές. ἂν γὰρ στῇ ἢ φανῇ, οὐκέτι ἔσται ἥλιος· ἀλλ' ἄτοπον εἰ μή· ὁ γὰρ ἥλιος οὐσίαν τινὰ σημαίνει. ἔτι ὅσα ἐπ' ἄλλου ἐνδέχεται, οἷον ἐὰν ἕτερος γένηται τοιοῦτος, δῆλον ὅτι ἥλιος ἔσται. κοινὸς ἄρα ὁ λόγος. ἀλλ' ἦν τῶν καθ' ἕκαστα ὁ ἥλιος, ὥσπερ Κλέων ἢ Σωκράτης, ἐπεὶ διὰ τί οὐδεὶς ὅρον ἐκφέρει αὐτῶν ἰδέας; γένοιτο γὰρ ἂν δῆλον πειρωμένων ὅτι ἀληθὲς τὸ νῦν εἰρημένον.

Φανερὸν δ' ὅτι καὶ τῶν δοκουσῶν εἶναι οὐσιῶν αἱ πλεῖσται δυνάμεις εἰσί, τά τε μόρια τῶν ζῴων· οὐθὲν γὰρ κεχωρισμένον αὐτῶν ἐστίν· ὅταν δὲ χωρισθῇ, καὶ τότε ὄντα ὡς ὕλη πάντα, καὶ γῆ καὶ πῦρ καὶ ἀήρ· οὐδὲν γὰρ αὐτῶν ἕν ἐστιν, ἀλλ' οἷον ὁ ὀρρὸς πρὶν ἢ πεφθῇ καὶ γένηταί τι ἐξ αὐτῶν ἕν. μάλιστα δ' ἄν τις τὰ τῶν ἐμψύχων ὑπολάβοι μόρια καὶ τὰ τῆς ψυχῆς πάρεγγυς ἄμφω γίγνεσθαι, ὄντα καὶ ἐντελεχείᾳ καὶ δυνάμει, τῷ ἀρχὰς ἔχειν κινήσεως ἀπό τινος ἐν ταῖς καμπαῖς· διὸ ἔνια ζῷα διαιρούμενα ζῇ. ἀλλ' ὅμως δυνάμει πάντ' ἔσται, ὅταν ᾖ ἓν καὶ συνεχὲς φύσει, ἀλλὰ μὴ βίᾳ ἢ καὶ συμφύσει· τὸ γὰρ τοιοῦτον πήρωσις. ἐπεὶ δὲ τὸ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν, καὶ ἡ οὐσία ἡ τοῦ ἑνὸς μία καὶ ὧν μία ἀριθμῷ ἓν ἀριθμῷ, φανερὸν ὅτι οὔτε τὸ ἓν οὔτε τὸ ὂν ἐνδέχεται οὐσίαν εἶναι τῶν πραγμάτων, ὥσπερ οὐδὲ τὸ στοιχείῳ εἶναι ἢ ἀρχῇ· ἀλλὰ ζητοῦμεν τίς οὖν ἡ ἀρχή, ἵνα εἰς γνωριμώτερον ἀναγάγωμεν. μᾶλλον μὲν οὖν τούτων οὐσία τὸ ὂν καὶ ἓν ἢ ἥ τε ἀρχὴ καὶ τὸ στοιχεῖον καὶ τὸ αἴτιον, οὔπω δὲ οὐδὲ ταῦτα, εἴπερ μηδ' ἄλλο κοινὸν μηθὲν οὐσία· οὐδενὶ γὰρ ὑπάρχει ἡ οὐσία ἀλλ' ἢ αὐτῇ τε καὶ τῷ ἔχοντι αὐτήν, οὗ ἐστὶν οὐσία. ἔτι τὸ ἓν πολλαχῇ οὐκ ἂν εἴη ἅμα, τὸ δὲ κοινὸν ἅμα πολλαχῇ ὑπάρχει· ὥστε δῆλον ὅτι οὐθὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα χωρίς, ἀλλ' οἱ τὰ εἴδη λέγοντες εἶναι τῇ μὲν ὀρθῶς λέγουσι χωρίζοντες αὐτά, εἴπερ οὐσίαι εἰσί, τῇ δ' οὐκ ὀρθῶς, ὅτι τὸ ἓν ἐπὶ πολλῶν εἶδος λέγουσιν. αἴτιον δ' ὅτι οὐκ ἔχουσιν ἀποδοῦναι τίνες αἱ τοιαῦται οὐσίαι αἱ ἄφθαρτοι παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς. ποιοῦσιν οὖν τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς (ταύτας γὰρ ἴσμεν), αὐτοάνθρωπον καὶ αὐτόϊππον, προστιθέντες τοῖς αἰσθητοῖς τὸ ῥῆμα τὸ αὐτό. καίτοι κἂν εἰ μὴ

4. ἐπέλθῃ T. ‖ τῶν ἐν τῇ ψυχῇ λόγων αὐτῶν T. ‖ 6. ἕκαστον EA^b. ‖ 7. ἀεὶ om E. ‖ 8. δεῖ T. ‖ ὁρίσασθαι] ἀναιρεῖν F^b. ‖ 9. ἐξ ὧν ὀνομάτων T. ‖ 12. καὶ ἄλλως τοιαῦτα S, om T. ‖ οἷον A^b et γρ E: ceteri καί. ‖ σὲ om F^bH^b. ‖ ὁρίσαι τὸ T. ‖ 13. ἰσχνὸν TA^b. ‖ 15. λεκτέον add A^bF^b et γρ E. ‖ 16. ὅτι καὶ] ὅτι τὸ A^b. ‖ 17. καὶ post ἀϊδίων om F^b. ‖ ἀνάγκη γε εἶναι ET. ‖ 18. συντεθέντος S. ‖ 20. γένος] ζῷον F^b. ‖ 22. ἔπειτα] ἔτι γρ E. ‖ δὲ om A^b. ‖ 26. κατηγορεῖσθαι T. ‖ 27. πᾶσιν S. ‖ 28. ἀδύνατον ἦν ὁρίσασθαι F^b. ‖ 29. ἢ] καὶ T. ‖ post σελήνη F^b ἢ γῆ. ‖ γὰρ] δὲ δὴ E. ‖ ἁμαρτάνουσι EF^b. ‖ 30. τὰ τοιαῦτα T. ‖ 31. περὶ] ὑπὸ H^b. ‖ γήϊνον νυκτικρυφές T. ‖ ἂν γὰρ στῇ] ἂν γὰρ δὲ στῇ, ἄνδρες τῇ E. ‖ 32. ἢ] ἢ ἀεὶ H^b. ‖ ἔσται om T.

2. ὅρκον S. ‖ 5. καὶ ἐκ τῶν S. ‖ οὐσιῶν εἶναι ET. ‖ 9. ὁ add A^b. ‖ ὀρρὸς F^b et γρ E: ceteri σωρός. ‖ 15. καὶ add A^b. ‖ 16. ἐπειδὴ F^b. ‖ 17. ἡ post καὶ om F^b. ‖ 19. ἡ ἀρχή ET. ‖ 20. γνωριμώτερα S, γνωριμωτέραν TA^b. ‖ ἀνάγωμεν T. ‖ 24. ἡ add $A^bF^bH^b$. ‖ αὐτῇ] αὐτή T. ‖ 25. ἔτι] ἔτι εἰ T. ‖ ἓν] ὂν A^b. ‖ 26. ὥστε — 27. ὑπάρχει om T. ‖ 27. χωρίς om A^b. ‖ 28. εἶναι add A^bF^b. ‖ 31. παρὰ] πρὸς T. ‖ 32. ποιοῦντες τὰς A^b. ‖ 33. ταῦτα S, τὰς αὐτὰς τὸ μὲν A^b. ‖ ἴσμεν om A^b. ‖ καὶ] τὸ δὲ A^b. ‖ 34. εἰ om T.

ειμεν τὰ ἄστρα, οὐθὲν ἂν ἧττον οἶμαι ἦσαν οὐσίαι παρ' ἃς ἡμεῖς ᾔδειμεν· ὥςε καὶ νῦν εἰ μὴ ἔχοιμεν εἰσίν, ἀλλ' εἶναί γέ τινας ἴσως ἀναγκαῖον. ὅτι μὲν ὔτε τῶν καθόλου λεγομένων ὐθὲν ὐσία, ὔτ' ἐςὶν ὐσία ι ἐξ ὐσιῶν, δῆλον.

Τί δὲ χρὴ λέγειν καὶ ὁποῖόν τι τὴν οὐσίαν, πάλιν οἷον ἀρχὴν ποιησάμενοι λέγωμεν· ἴσως γὰρ ἐκ τύ ςαι δῆλον καὶ περὶ ἐκείνης τῆς ὐσίας ἥτις ἐςὶ κεχω- νη τῶν αἰσθητῶν οὐσιῶν. ἐπεὶ οὖν ἡ ὐσία ἀρχὴ καὶ τις ἐστίν, ἐντεῦθεν μετιτέον. ζητεῖται δὲ τὸ διὰ τί ὕτως, διὰ τί ἄλλο ἄλλῳ τινὶ ὑπάρχει. τὸ γὰρ ζη- ιὰ τί ὁ μυσικὸς ἄνθρωπος ἄνθρωπος μουσικός ἐστιν, ἐστὶ τὸ εἰρημένον ζητεῖν διὰ τί ὁ ἄνθρωπος μουσικός ἢ ἄλλο. τὸ μὲν ὖν διὰ τί αὐτό ἐςιν αὐτό, ὐθέν ἐςι . δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα ὄντα, δ' οἷον ὅτι ἡ σελήνη ἐκλείπει. αὐτὸ δὲ ὅτι αὐτό, όγος καὶ μία αἰτία ἐπὶ πάντων, διὰ τί ὁ ἄνθρωπος πος ἢ ὁ μυσικὸς μυσικός· πλὴν εἴ τις λέγοι ὅτι ἀδιαί- πρὸς αὐτὸ ἕκαςον· τῦτο δ' ἦν τὸ ἑνὶ εἶναι. ἀλλὰ τῦτο τε κατὰ πάντων καὶ σύντομον. ζητήσειε δ' ἄν τις ί ὁ ἄνθρωπός ἐστι ζῷον τοιονδί. τοῦτο μὲν τοίνυν ὅτι ὐ ζητεῖ διὰ τί ὅς ἐςιν ἄνθρωπος ἄνθρωπός ἐςιν. α κατά τινος ζητεῖ διὰ τί ὑπάρχει. ὅτι δ' ὑπάρχει, ῆλον εἶναι· εἰ γὰρ μὴ ὕτως, ὐθὲν ζητεῖ. οἷον διὰ τί ᾷ; διότι ψόφος γίγνεται ἐν τοῖς νέφεσιν· ἄλλο γὰρ κατ' ἄλλυ ἐςὶ τὸ ζητύμενον. καὶ διὰ τί ταδί, οἷον ι καὶ λίθοι, οἰκία ἐςίν; φανερὸν τοίνυν ὅτι ζητεῖ τὸ · τοῦτο δ' ἐςὶ τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογικῶς. ὃ ίων μέν ἐςι τίνος ἕνεκα, οἷον ἴσως ἐπ' οἰκίας ἢ κλί- ἐπ' ἐνίων δὲ τί ἐκίνησε πρῶτον· αἴτιον γὰρ καὶ τῦτο. τὸ μὲν τοιῦτον αἴτιον ἐπὶ τῦ γίνεσθαι ζητεῖται καὶ σθαι, θάτερον δὲ καὶ ἐπὶ τῦ εἶναι. λανθάνει δὲ μά- τὸ ζητούμενον ἐν τοῖς μὴ καταλλήλως λεγομένοις. οἷον ἄνθρωπος τί ἐστι ζητεῖται διὰ τὸ ἁπλῶς λέγεσθαι, ἀλλὰ μὴ διορίζειν ὅτι τάδε ἢ τόδε. ἀλλὰ δεῖ διαρθρώσαντας ζητεῖν· εἰ δὲ μή, κοινὸν τῦ μηθὲν ζητεῖν καὶ τοῦ ζητεῖν τι γίγνεται. ἐπεὶ δὲ δεῖ ἔχειν τε καὶ ὑπάρχειν τὸ εἶναι, δῆλον δὴ ὅτι τὴν ὕλην ζητεῖ διὰ τί ἐςιν· οἷον οἰκία ταδὶ διὰ τί; ὅτι ὑπάρχει ταδί, ὃ ἦν οἰκίᾳ εἶναι. καὶ ἄνθρωπος ὁδί, ἢ τὸ σῶμα τοῦτο τοδὶ ἔχον. ὥστε τὸ αἴτιον ζητεῖται τῆς ὕλης· τῦτο δ' ἐςὶ τὸ εἶδος ᾧ τί ἐςιν· τοῦτο δ' ἡ ὐσία. φανερὸν τοίνυν ὅτι ἐπὶ τῶν ἁπλῶν ὐκ ἔςι ζήτησις ὐδὲ δίδαξις, ἀλλ' ἕτερος τρόπος τῆς ζητήσεως τῶν τοιύτων. ἐπεὶ δὲ τὸ ἔκ τινος σύνθετον ὕτως ὥςε ἓν εἶναι τὸ πᾶν, ἀλλὰ μὴ ὡς σωρὸς ἀλλ' ὡς ἡ συλλαβή, ἡ δὲ συλλαβὴ οὐκ ἔστι τὰ ςοιχεῖα, ὐδὲ τὸ $\overline{\beta\alpha}$ ταὐτὸ τῷ $\overline{\beta}$ καὶ $\overline{\alpha}$, ὐδ' ἡ σὰρξ πῦρ καὶ γῆ· διαλυθέντων γὰρ τὰ μὲν ὐκέτι ἐςίν, οἷον ἡ σὰρξ καὶ ἡ συλλαβή, τὰ δὲ στοιχεῖα ἔςι, καὶ τὸ πῦρ καὶ ἡ γῆ. ἔςιν ἄρα τι ἡ συλλαβή, ὐ μόνον τὰ ςοιχεῖα τὸ φωνῆεν καὶ ἄφωνον, ἀλλὰ καὶ ἕτερόν τι· καὶ ἡ σὰρξ οὐ μόνον πῦρ καὶ γῆ ἢ τὸ θερμὸν καὶ ψυχρόν, ἀλλὰ καὶ ἕτερόν τι. εἰ τοίνυν ἀνάγκη κἀκεῖνο ἢ ςοιχεῖον ἢ ἐκ ςοιχείων εἶναι, εἰ μὲν ςοιχεῖον, πάλιν ὁ αὐτὸς ἔςαι λόγος· ἐκ τύτυ γὰρ καὶ πυρὸς καὶ γῆς ἔςαι ἡ σὰρξ καὶ ἔτι ἄλλου, ὥστ' εἰς ἄπειρον βαδιεῖται· εἰ δ' ἐκ στοιχείου, δῆλον ὅτι οὐχ ἑνὸς ἀλλὰ πλειόνων, ἢ ἐκεῖνο αὐτὸ ἔσται, ὥςε πάλιν ἐπὶ τύτυ τὸν αὐτὸν ἐρῦμεν λόγον καὶ ἐπὶ τῆς σαρκὸς ἢ συλλαβῆς. δόξειε δ' ἂν εἶναί τι τοῦτο καὶ οὐ στοιχεῖον, καὶ αἴτιόν γε τῦ εἶναι τοδὶ μὲν σάρκα τοδὶ δὲ συλλαβήν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὐσία δ' ἑκάςυ μὲν τοῦτο· τῦτο γὰρ αἴτιον πρῶτον τῦ εἶναι· ἐπεὶ δ' ἔνια οὐκ ὐσίαι τῶν πραγμάτων, ἀλλ' ὅσαι ὐσίαι κατὰ φύσιν καὶ φύσει συνεςήκασι, φανείη ἂν καὶ αὕτη ἡ φύσις ὐσία, ἥ ἐςιν ὐ ςοιχεῖον ἀλλ' ἀρχή. ςοιχεῖον δ' ἐςὶν εἰς ὃ διαιρεῖται ἐνυπάρχον ὡς ὕλην, οἷον τῆς συλλαβῆς τὸ $\overline{\alpha}$ καὶ τὸ $\overline{\beta}$.

. οὐδ' *T.* ‖ οἶμαι ἧττον *S.* ‖ 2. ἃ A^b. ‖ εἴδημεν *T.* ‖ ἔχομεν *ET.* ‖ 3. γέ] τε A^b, om *T.* ‖ 7. οἷον om F^b. ‖ λέγομεν *S.* ‖ α καὶ ἀρχὴ καὶ H^b. ‖ 11. ἀεὶ om A^bF^b. ‖ ἄλλο] ἄλλό τι *ET.* ‖ 12. διά] καὶ διὰ *T.* ‖ μουσικὸς ἄνθρωπός *ES.* ‖ 16. αὐτοῦ ‖ αὐτοῦ *S.* ‖ 17. αἰτία om F^b. ‖ 18. ὁ μουσικὸς om A^b. ‖ 19. ἑνὶ] ἓν *EST.* ‖ 20. καὶ τὸ σύντομον *T.* ‖ 21. ὁ om A^b. ‖ α τί om A^b. ‖ ὅς ἐςιν] ὅςις *T.* ‖ 23. τὶ] τὸ *S.* ‖ 25. διατί A^bF^b. ‖ 26. τοδὶ A^b. ‖ 27. λίθοι καὶ πλίνθοι A^b. ‖ 28. ὃ] ἢ 29. ἐςι τὸ τίνος F^b. ‖ 32. τῦ τί εἶναι *T.* ‖ 33. τὸ] τί ἐςι τὸ H^b. ‖ κατ' ἄλλων *EST.*

. τί] γς καὶ διὰ τί *E.* ‖ post ζητεῖται *S* καὶ φθείρεσθαι, θάτερον δὲ καὶ ἐπὶ τοῦ εἶναι. ‖ 2. ἢ om A^b. ‖ διορθώσαντας *ET.* ‖ 3. ῦ ζητεῖν τι om A^b. ‖ 5. δὴ om *S.* ‖ ζητῶ *T.* ‖ 6. ταδὶ om A^b. ‖ διὰ τί; ὅτι] διότι A^b. ‖ ὃ ἦν om A^b. ‖ 7. τοδὶ A^b. ‖ om A^b. ‖ 9. φανερὸν — 10. δίδαξις om *S.* ‖ 11. τὸ] τῶν H^b. ‖ ὡς τὸ F^b. ‖ 12. ἀλλά] ἂν A^b. ‖ δὲ] τε A^b. ‖ 13. ἔςαι ὐδὲ ταὐτὸ τὸ $\overline{\beta}$ καὶ $\overline{\alpha}$ *T*, ὐδὲ τῷ $\overline{\beta\alpha}$ αὐτὸ τῷ $\overline{\beta}$ καὶ $\overline{\alpha}$ $A^bF^bH^b$. ‖ 14. ἡ om *S.* ‖ καὶ om *T.* ‖ τὸ A^b. ‖ ἔςαι *T.* ‖ 15. ἡ καὶ om *T.* ‖ τὰ — 16. συλλαβή om *S.* ‖ 16. ἄρα τι ἡ συλλαβή] δὲ τῆς συλλαβῆς A^bH^b. ‖ 17. καὶ ἡ — 19. τι om *T.* ‖ 19. *S.* ‖ 20. λόγος ἔςαι *EST.* ‖ 22. ἔτι ἀλλὰ *T*, εἴ τι ἄλλο A^b. ‖ στοιχείων F^bH^b. ‖ 24. τύτυ] γε *T.* ‖ λόγον ἐρῦμεν *T.* ‖ 25. A^b. ‖ τοιοῦτο *ST.* ‖ 26. τουδὶ — τουδὶ *S.* ‖ 27. ἕκαςον *S.* ‖ 28. τῦ εἶναι πρῶτον A^b. ‖ 29. ὅσαι] αἱ A^b. ‖ κατὰ φύσιν καὶ A^b. ‖ 30. καὶ φύσει om *S.* ‖ ἂν] γὰρ ἄν τισι *S*, ἄν τισι *ET.* ‖ καὶ] ὅτι A^b, om *E.* ‖ 33. τὸ om A^b.

Η.

Ἐκ δὴ τῶν εἰρημένων συλλογίσασθαι δεῖ, καὶ συναγαγόντας τὸ κεφάλαιον τέλος ἐπιθεῖναι. εἴρηται δὴ ὅτι τῶν οὐσιῶν ζητεῖται τὰ αἴτια καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα. οὐσίαι δὲ αἱ μὲν ὁμολογούμεναί εἰσιν ὑπὸ πάντων, περὶ δὲ ἐνίων ἰδίᾳ τινὲς ἀπεφήναντο. ὁμολογούμεναι μὲν αἱ φυσικαί, οἷον πῦρ γῆ ὕδωρ ἀὴρ καὶ τἆλλα τὰ ἁπλᾶ σώματα, ἔπειτα τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν, καὶ τὰ ζῷα καὶ τὰ μόρια τῶν ζῴων, καὶ τέλος ὁ οὐρανὸς καὶ τὰ μόρια τοῦ οὐρανοῦ· ἰδίᾳ δέ τινες οὐσίας λέγουσιν εἶναι τά τ' εἴδη καὶ τὰ μαθηματικά. ἄλλας δὲ δὴ συμβαίνει ἐκ τῶν λόγων οὐσίας εἶναι, τὸ τί ἦν εἶναι καὶ τὸ ὑποκείμενον. ἔτι ἄλλως τὸ γένος μᾶλλον τῶν εἰδῶν καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα. τῷ δὲ καθόλου καὶ τῷ γένει καὶ αἱ ἰδέαι συνάπτουσιν· κατὰ τὸν αὐτὸν γὰρ λόγον οὐσίαι δοκοῦσιν εἶναι. ἐπεὶ δὲ τὸ τί ἦν εἶναι οὐσία, τούτου δὲ λόγος ὁ ὁρισμός, διὰ τοῦτο περὶ ὁρισμοῦ καὶ περὶ τοῦ καθ' αὑτὸ διώρισται. ἐπεὶ δὲ ὁ ὁρισμὸς λόγος, ὁ δὲ λόγος μέρη ἔχει, ἀναγκαῖον καὶ περὶ μέρους ἦν ἰδεῖν, ποῖα τῆς οὐσίας μέρη καὶ ποῖα οὔ· καὶ εἰ ταῦτα, καὶ τοῦ ὁρισμοῦ. ἔτι τοίνυν οὔτε τὸ καθόλου οὐσία οὔτε τὸ γένος. περὶ δὲ τῶν ἰδεῶν καὶ τῶν μαθηματικῶν ὕστερον σκεπτέον· παρὰ γὰρ τὰς αἰσθητὰς οὐσίας ταύτας λέγουσί τινες εἶναι. νῦν δὲ περὶ τῶν ὁμολογουμένων οὐσιῶν ἐπέλθωμεν. αὗται δ' εἰσὶν αἱ αἰσθηταί· αἱ δ' αἰσθηταὶ οὐσίαι πᾶσαι ὕλην ἔχουσιν. ἔστι δ' οὐσία τὸ ὑποκείμενον, ἄλλως μὲν ἡ ὕλη (ὕλην δὲ λέγω ἣ μὴ τόδε τι οὖσα ἐνεργείᾳ δυνάμει ἐστὶ τόδε τι), ἄλλως δ' ὁ λόγος καὶ ἡ μορφή, ὃ τόδε τι ὂν τῷ λόγῳ χωριστόν ἐστιν. τρίτον δὲ τὸ ἐκ τούτων, οὗ γένεσις μόνου καὶ φθορά ἐστι, καὶ χωριστὸν ἁπλῶς· τῶν γὰρ κατὰ τὸν λόγον οὐσιῶν αἱ μὲν αἱ δ' οὔ. ὅτι δ' ἐστὶν οὐσία καὶ ἡ ὕλη, δῆλον· ἐν πάσαις γὰρ ταῖς ἀντικειμέναις μεταβολαῖς ἐστί τι τὸ ὑποκείμενον ταῖς μεταβολαῖς, οἷον κατὰ τόπον τὸ νῦν μὲν ἐνταῦθα, πάλιν δ' ἄλλοθι, καὶ κατ' αὔξησιν ὃ νῦν μὲν τηλικόνδε, πάλιν δ' ἔλαττον ἢ μεῖζον, καὶ κατ' ἀλλοίωσιν ὃ νῦν μὲν ὑγιές, πάλιν δὲ κάμνον. ὁμοίως δὲ καὶ κατ' οὐσίαν ὃ νῦν μὲν ἐν γενέσει, πάλιν δ' ἐν φθορᾷ, καὶ νῦν μὲν ὑποκείμενον ὡς τόδε τι, πάλιν δ' ὑποκείμενον ὡς κατὰ στέρησιν. καὶ ἀκολουθοῦσι δὴ ταύτῃ αἱ ἄλλαι μεταβολαί. τῶν δ' ἄλλων ἢ μιᾷ ἢ δυοῖν αὕτη οὐκ ἀκολουθεῖ· οὐ γὰρ ἀνάγκη, εἴ τι ὕλην ἔχει τοπικήν, τοῦτο καὶ γεννητὴν καὶ φθαρτὴν ἔχειν. τίς μὲν οὖν διαφορὰ τοῦ ἁπλῶς γίγνεσθαι καὶ μὴ ἁπλῶς, ἐν τοῖς φυσικοῖς εἴρηται.

Ἐπεὶ δ' ἡ μὲν ὡς ὑποκειμένη καὶ ὡς ὕλη οὐσία ὁμολογεῖται, αὕτη δ' ἐστὶν ἡ δυνάμει, λοιπὸν τὴν ὡς ἐνέργειαν οὐσίαν τῶν αἰσθητῶν εἰπεῖν τίς ἐστιν. Δημόκριτος μὲν οὖν τρεῖς διαφορὰς ἔοικεν οἰομένῳ εἶναι· τὸ μὲν γὰρ ὑποκείμενον σῶμα τὴν ὕλην ἓν καὶ ταὐτόν, διαφέρειν δὲ ἢ ῥυσμῷ, ὅ ἐστι σχῆμα, ἢ τροπῇ, ὅ ἐστι θέσις, ἢ διαθιγῇ, ὅ ἐστι τάξις. φαίνονται δὲ πολλαὶ διαφοραὶ οὖσαι, οἷον τὰ μὲν συνθέσει λέγεται τῆς ὕλης, ὥσπερ ὅσα κράσει καθάπερ μελίκρατον, τὰ δὲ δεσμῷ οἷον φάκελος, τὰ δὲ κόλλῃ οἷον βιβλίον, τὰ δὲ γόμφῳ οἷον κιβώτιον, τὰ δὲ πλείοσι τούτων, τὰ δὲ θέσει οἷον οὐδὸς καὶ ὑπέρθυρον (ταῦτα γὰρ τῷ κεῖσθαί πως διαφέρει), τὰ δὲ χρόνῳ οἷον δεῖπνον καὶ ἄριστον, τὰ δὲ τόπῳ οἷον τὰ πνεύματα, τὰ δὲ τοῖς τῶν αἰσθητῶν πάθεσιν οἷον σκληρότητι καὶ μαλακότητι καὶ πυκνότητι καὶ μανότητι καὶ ξηρότητι καὶ ὑγρότητι· καὶ τὰ μὲν ἐνίοις τούτων τὰ δὲ πᾶσι τούτοις, καὶ ὅλως τὰ μὲν ὑπεροχῇ τὰ δὲ ἐλλείψει. ὥστε δῆλον ὅτι καὶ τὸ ἔστι τοσαυταχῶς λέγεται· οὐδὸς γάρ ἐστιν ὅτι οὕτως κεῖται, καὶ τὸ εἶναι τὸ οὕτως αὐτὸ κεῖσθαι σημαίνει, καὶ τὸ κρύσταλλον εἶναι τὸ οὕτω πεπυκνῶσθαι. ἐνίων δὲ τὸ εἶναι καὶ πᾶσι τούτοις ὁρισθήσεται, τῷ τὰ μὲν μεμῖχθαι, τὰ δὲ κεκρᾶσθαι, τὰ δὲ δεδέσθαι, τὰ δὲ πεπυκνῶσθαι, τὰ δὲ ταῖς ἄλλαις διαφοραῖς κεχρῆσθαι, ὥσπερ ἡ χεὶρ ἢ πούς. ληπτέα οὖν τὰ γένη τῶν διαφορῶν· αὗται γὰρ ἀρχαὶ ἔσονται τοῦ εἶναι, οἷον τὰ τῷ μᾶλλον καὶ ἧττον ἢ πυκνῷ καὶ μανῷ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· πάντα γὰρ ταῦτα ὑπεροχὴ καὶ ἔλλειψίς ἐστιν. εἰ δέ τι σχήματι ἢ λειότητι καὶ τραχύτητι, πάντα εὐθεῖ καὶ καμπύλῳ. τοῖς δὲ τὸ

3. συλλογίζεσθαι *EST*. ‖ συναγαγόντα A^b, συνάγοντας *ES*. ‖ 4. γρ δὲ *E*. ‖ 7. ἰδίων ἰδίᾳ *T*. ‖ 8. ἀὴρ et 9. καὶ post φυτὰ om *T*. ‖ 10. ὁ om A^b. ‖ 11. δὲ] τε A^b. ‖ 12. δεῖ συμβαίνειν *T*. ‖ 20. μέρους] μερῶν F^b. ‖ 21. τοῦ] εἰ τοῦ *S*. ‖ ὡρισμένου *S* et γρ *E*. ‖ 22. τῶν post δὲ om A^b. ‖ 23. ταῦτα *S*. ‖ 24. νῦν — 25. αἰσθηταί om *ET*. ‖ 25. αἱ αἰσθηταὶ δὲ *S*. ‖ 26. οὖσαι A^b. ‖ ἔστιν [illegible] *S* post lacunam litterarum quattuor. idem addit αἱ δὲ αἰσθηταὶ οὐσίαι πᾶσαι ὕλην ἔχουσιν. ‖ γρ τὰ ὑποκείμενα *E*. ‖ 27. ἢ] αἱ *T*. ‖ 28. τι om F^b. ‖ 29. ὃ om A^b. ‖ 32. ἡ om *E*. ‖ 35. τηλικόνδε *TA^b*, τηλίκον *S*.

2. μὲν add EF^b. ‖ 4. ταῦτα *T*. ‖ 5. δυσὶν *ST*. ‖ 6. ἔχει ὕλην *EST*. ‖ ἔχει *T*. ‖ 9. δ' ἡ] δὴ F^b. ‖ ὁμολογεῖται [illegible] F^b. ‖ 10. ἐνεργείᾳ A^bF^b. ‖ 13. ἢ om F^b. ‖ 16. ὥσπερ om A^b. ‖ 18. δὲ ἐν πλείοσι A^b. ‖ 23. μανότητι] ἀραιότητι A^b. ‖ 25. ἐστι] ἔχειν *T*. ‖ 28. τὸ εἶναι] τὸ εἶδος A^b. ‖ 31. ἢ ante χεὶρ om A^b. ‖ ληπτέον *E*. ‖ 32. ἀρχαὶ om *T*. ‖ 35. ὑπεροχῇ καὶ ἐλλείψει A^b.

τὸ μεμῖχθαι ἔσται, ἀντικειμένως δὲ τὸ μὴ εἶναι. ὸν δὴ ἐκ τούτων ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ν, ὅτι ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι τούτων ν. οὐσία μὲν οὖν οὐθὲν τούτων οὐδὲ συνδυαζόμενον, ὅμως ἀνάλογον ἐν ἑκάστῳ. καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ῖς μάλιστα. οἷον εἰ οὐδὸν δέοι ὁρίσασθαι, ξύλον ἢ ὡδὶ κείμενον ἐροῦμεν, καὶ οἰκίαν πλίνθους καὶ ξύλα ὡδὶ α. ἢ ἔτι καὶ τὸ οὗ ἕνεκα ἐπ' ἐνίων ἐστίν. εἰ δὲ κρύσταλ- ὕδωρ πεπηγὸς ἢ πεπυκνωμένον ὡδί. συμφωνία δὲ ὀξέος αρέος μῖξις τοιαδί· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ν. φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης καὶ ὁ λόγος· τῶν μὲν γὰρ ἡ σύνθεσις, τῶν δ' ἡ μῖξις, ' ἄλλο τι τῶν εἰρημένων. διὸ τῶν ὁριζομένων οἱ μὲν τες τί ἐστιν οἰκία, ὅτι λίθοι πλίνθοι ξύλα, τὴν δυνάμει λέγουσιν, ὕλη γὰρ ταῦτα· οἱ δὲ ἀγγεῖον σκεπαστικὸν των καὶ χρημάτων, ἤ τι καὶ ἄλλο τοιοῦτον προσθέντες, εργείᾳ λέγουσιν· οἱ δ' ἄμφω ταῦτα συντιθέντες τὴν τρί- ὶ τὴν ἐκ τούτων οὐσίαν. ἔοικε γὰρ ὁ μὲν διὰ τῶν δια- λόγος τοῦ εἴδους καὶ τῆς ἐνεργείας εἶναι, ὁ δ' ἐκ τῶν οχόντων τῆς ὕλης μᾶλλον. ὁμοίως δὲ καὶ οὓς Ἀρχύ- πεδέχετο ὅρους· τοῦ συνάμφω γάρ εἰσιν. οἷον τί ἐστι νη- ; ἠρεμία ἐν πλήθει ἀέρος· ὕλη μὲν γὰρ ὁ ἀήρ, ἐνέργεια οὐσία ἡ ἠρεμία. τί ἐστι γαλήνη; ὁμαλότης θαλάττης· ν ὑποκείμενον ὡς ὕλη ἡ θάλαττα, ἡ δ' ἐνέργεια καὶ φὴ ἡ ὁμαλότης. φανερὸν δὴ ἐκ τῶν εἰρημένων τίς θητὴ οὐσία ἐστὶ καὶ πῶς· ἡ μὲν γὰρ ὡς ὕλη, ἡ δ' ορφὴ ὅτι ἐνέργεια· ἡ δὲ τρίτη ἡ ἐκ τούτων.

Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι ἐνίοτε λανθάνει πότερον ση- τὸ ὄνομα τὴν σύνθετον οὐσίαν ἢ τὴν ἐνέργειαν καὶ ορφήν, οἷον ἡ οἰκία πότερον σημεῖον τοῦ κοινοῦ ὅτι σμα ἐκ πλίνθων καὶ λίθων ὡδὶ κειμένων, ἢ τῆς ἐνερ- καὶ τοῦ εἴδους ὅτι σκέπασμα, καὶ γραμμὴ πότερον ἐν μήκει ἢ ὅτι δυάς, καὶ ζῷον πότερον ψυχὴ ἐν τι ἢ ψυχή· αὕτη γὰρ οὐσία καὶ ἐνέργεια σώματός εἴη δ' ἂν καὶ ἐπ' ἀμφοτέροις τὸ ζῷον, οὐχ ὡς ἑνὶ λεγόμενον ἀλλ' ὡς πρὸς ἕν. ἀλλὰ ταῦτα πρὸς μέν λο διαφέρει, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐθέν· τὸ γὰρ τί ἦν εἶναι τῷ εἴδει καὶ τῇ ἐνεργείᾳ ὑπάρχει. ψυχὴ μὲν γὰρ καὶ ψυχῇ εἶναι ταὐτόν, ἀνθρώπῳ δὲ καὶ ἄνθρωπος οὐ ταὐτόν, εἰ μὴ καὶ ἡ ψυχὴ ἄνθρωπος λεχθήσεται· οὕτω δὲ τινὶ μὲν τινὶ δ' οὔ. οὐ φαίνεται δὴ ζητοῦσιν ἡ συλλαβὴ ἐκ τῶν στοιχείων οὖσα καὶ συνθέσεως, οὐδ' ἡ οἰκία πλίνθοι τε καὶ σύνθεσις. καὶ τοῦτο ὀρθῶς· οὐ γάρ ἐστιν ἡ σύνθεσις οὐδ' ἡ μῖξις ἐκ τούτων ὧν ἐστὶν ἡ σύνθεσις ἢ μῖξις. ὁμοίως δὲ οὐδὲ τῶν ἄλλων οὐθέν, οἷον εἰ ὁ οὐδὸς θέσει, οὐκ ἐκ τοῦ οὐδοῦ ἡ θέσις, ἀλλὰ μᾶλλον οὗτος ἐξ ἐκείνης. οὐδὲ δὴ ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ δίπουν, ἀλλά τι δεῖ εἶναι ὃ παρὰ ταῦτά ἐστιν, εἰ ταῦθ' ὕλη, οὔτε δὲ στοιχεῖον οὔτ' ἐκ στοιχείου, ἀλλ' ἡ οὐσία· ὃ ἐξαιροῦντες τὴν ὕλην λέγουσιν. εἰ οὖν τοῦτ' αἴτιον τοῦ εἶναι καὶ οὐσία τοῦτο, αὐτὴν ἂν τὴν οὐσίαν λέγοιεν. ἀνάγκη δὴ ταύτην ἢ ἀΐδιον εἶναι ἢ φθαρτὴν ἄνευ τοῦ φθείρεσθαι καὶ γεγονέναι ἄνευ τοῦ γίγνεσθαι. δέδεικται δὲ καὶ δεδήλωται ἐν ἄλλοις ὅτι τὸ εἶδος οὐθεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τόδε, γίγνεται δὲ τὸ ἐκ τούτων. εἰ δ' εἰσὶ τῶν φθαρτῶν αἱ οὐσίαι χωρισταί, οὐθέν πω δῆλον· πλὴν ὅτι γ' ἐνίων οὐκ ἐνδέχεται δῆλον, ὅσα μὴ οἷόν τε παρὰ τὰ τινὰ εἶναι, οἷον οἰκίαν ἢ σκεῦος. ἴσως μὲν οὖν οὐδ' οὐσίαι εἰσὶν οὔτ' αὐτὰ ταῦτα οὔτε τι τῶν ἄλλων ὅσα μὴ φύσει συνέστηκεν· τὴν γὰρ φύσιν μόνην ἂν τις θείη τῶν ἐν τοῖς φθαρτοῖς οὐσίαν. ὥστε ἡ ἀπορία ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν), ἀλλὰ ποῖον μέν τί ἐστιν ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἄργυρον, τί μέν ἐστιν, οὔ, ὅτι δ' οἷον καττίτερος. ὥστ' οὐσίας ἔστι μὲν ἧς ἐνδέχεται εἶναι ὅρον καὶ λόγον, οἷον τῆς συνθέτου, ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ· ἐξ ὧν δ' αὕτη πρώτων, οὐκ ἔστιν, εἴπερ τι κατά τινος σημαίνει ὁ λόγος ὁ ὁριστικός, καὶ δεῖ τὸ μὲν ὥσπερ ὕλην εἶναι, τὸ δὲ ὡς μορφήν. φανερὸν δὲ καὶ διότι, εἴπερ εἰσί πως ἀριθμοὶ αἱ οὐσίαι, οὕτως εἰσὶ καὶ οὐχ ὥς τινες λέγουσι μονάδων· ὅ τε γὰρ ὁρισμὸς ἀριθμός τις (διαιρετός τε γὰρ καὶ εἰς ἀδιαίρετα· οὐ γὰρ ἄπειροι οἱ λόγοι) καὶ ὁ ἀριθμὸς δὲ τοιοῦτος. καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος, ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλά-

. τὸ μὴ] τοῦ εἶναι τὸ μὴ *T*. ‖ 2. δὲ *S*. ‖ 9. ἔτι] ὅτι *T*. ‖ 15. τῇ *ETA*[b]. ‖ 17. χρημάτων καὶ σωμάτων *ET*. ‖ καὶ om *EA*[b]. ‖ τες *T*. ‖ 18. ἐνέργειαν codices. ‖ τιθέντες *ES*. ‖ πρώτην *T*. ‖ 19. διὰ] δὴ *T*. ‖ 21. ὑπαρχόντων *T*. ‖ οὓς *ES*. ‖ 23. γὰρ add 24. θαλάσσης *A*[b]. ‖ 26. ἡ utrumque om *A*[b]. ‖ 32. πλίνθων καὶ ξύλων καὶ *S*. ‖ 36. τὸ om *E*.

. ψυχῇ et ψυχὴ *A*[b], omisso εἶναι. ‖ 4. δὲ] δ' ἐπὶ *A*[b], μὲν *T*. ‖ 6. οὐδ' ἡ — 1044 *a*5. εἴπερ ἐστί om *T*. ‖ 7. οὐδ'] καὶ *E*. ‖ dd *A*[b]. ‖ 9. εἰ ὁ om *E*, ὁ om *F*[b]. ‖ 11. ταῦτά] τὰ ἄλλα *A*[b]. ‖ 12. οὔτε δὲ] ὃ οὔτε *A*[b]. ‖ 15. φθαρτὸν *F*[b]. ‖ 16. ἄλλαις 17. γεννᾶται *E*. ‖ 19. γ'] γ' ἐπ' *F*[b]. ‖ 21. οὔτ'] οὐδέ τι margo *E*: ceteri οὐδὲ. ‖ 23. μόνον γε *E*. ‖ 27. ἐνδέχεσθαι *A*[b]. ‖ 30. *A*[b]*F*[b]. ‖ 32. ὡς om *A*[b]. ‖ 33. εἰσὶν ἀριθμοὶ οὐσίαι *F*[b]. ‖ 36. τοιοῦτον *E*. ‖ 38. ἐστιν ante ἀλλ' om *A*[b].

χιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος. καὶ τὸν ἀριθμὸν δεῖ εἶναί τι ᾧ εἷς, ὃ νῦν οὐκ ἔχουσι λέγειν τίνι εἷς, εἴπερ ἐστὶν εἷς. ἢ γὰρ οὐκ ἔστιν ἀλλ' οἷον σωρός, ἢ εἴπερ ἐστί, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. καὶ ὁ ὁρισμὸς εἷς ἐστίν· ὁμοίως δὲ οὐδὲ τοῦτον ἔχουσι λέγειν. καὶ τοῦτ' εἰκότως συμβαίνει· τοῦ αὐτοῦ γὰρ λόγου, καὶ ἡ οὐσία ἓν οὕτως, ἀλλ' οὐχ ὡς λέγουσί τινες οἷον μονάς τις οὖσα ἢ στιγμή, ἀλλ' ἐντελέχεια καὶ φύσις τις ἑκάστη. καὶ ὥσπερ οὐδὲ ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδ' ἡ κατὰ τὸ εἶδος οὐσία, ἀλλ' εἴπερ, ἡ μετὰ τῆς ὕλης. περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς τ' ἐνδέχεται καὶ πῶς ἀδύνατον, καὶ περὶ τῆς εἰς τὸν ἀριθμὸν ἀναγωγῆς, ἔστω μέχρι τούτων διωρισμένον.

4 Περὶ δὲ τῆς ὑλικῆς οὐσίας δεῖ μὴ λανθάνειν ὅτι εἰ καὶ ἐκ τοῦ αὐτοῦ πάντα πρώτου ἢ τῶν αὐτῶν ὡς πρώτων καὶ ἡ αὐτὴ ὕλη ὡς ἀρχὴ τοῖς γιγνομένοις, ὅμως ἔστι τις οἰκεία ἑκάστου, οἷον φλέγματός ἐστι πρώτη ὕλη τὰ γλυκέα ἢ λιπαρά, χολῆς δὲ τὰ πικρὰ ἢ ἄλλ' ἄττα. ἴσως δὲ ταῦτα ἐκ τοῦ αὐτοῦ. γίγνονται δὲ πλείους ὕλαι τοῦ αὐτοῦ, ὅταν θατέρου ἡ ἑτέρα ᾖ, οἷον φλέγμα ἐκ λιπαροῦ καὶ γλυκέος, εἰ τὸ λιπαρὸν ἐκ τοῦ γλυκέος, ἐκ δὲ χολῆς τῷ ἀναλύεσθαι εἰς τὴν πρώτην ὕλην τὴν χολήν. διχῶς γὰρ τόδ' ἐκ τοῦδε, ἢ ὅτι πρὸ ὁδοῦ ἔσται ἢ ὅτι ἀναλυθέντος εἰς τὴν ἀρχήν. ἐνδέχεται δὲ μιᾶς τῆς ὕλης οὔσης ἕτερα γίγνεσθαι διὰ τὴν κινοῦσαν αἰτίαν, οἷον ἐκ ξύλου καὶ κιβωτὸς καὶ κλίνη. ἐνίων δ' ἑτέρα ἡ ὕλη ἐξ ἀνάγκης ἑτέρων ὄντων, οἷον πρίων οὐκ ἂν γένοιτο ἐκ ξύλου, οὐδ' ἐπὶ τῇ κινούσῃ αἰτίᾳ τοῦτο· οὐ γὰρ ποιήσει πρίονα ἐξ ἐρίου ἢ ξύλου. εἰ δ' ἄρα τὸ αὐτὸ ἐνδέχεται ἐξ ἄλλης ὕλης ποιῆσαι, δῆλον ὅτι ἡ τέχνη καὶ ἡ ἀρχὴ ἡ ὡς κινοῦσα ἡ αὐτή· εἰ γὰρ καὶ ἡ ὕλη ἑτέρα καὶ τὸ κινοῦν, καὶ τὸ γεγονός. ὅταν δή τις ζητῇ τί τὸ αἴτιον, ἐπεὶ πλεοναχῶς τὰ αἴτια λέγεται, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας. οἷον ἀνθρώπου τίς αἰτία ὡς ὕλη; ἆρα τὰ καταμήνια; τί δ' ὡς κινοῦν; ἆρα τὸ σπέρμα; τί δ' ὡς τὸ εἶδος; τὸ τί ἦν εἶναι. τί δ' ὡς οὗ ἕνεκα; τὸ τέλος. ἴσως δὲ ταῦτα ἄμφω τὸ αὐτό. δεῖ δὲ τὰ ἐγγύτατα αἴτια λέγειν. τίς ἡ ὕλη; μὴ πῦρ ἢ γῆν, ἀλλὰ τὴν ἴδιον. περὶ μὲν οὖν τὰς φυσικὰς οὐσίας καὶ γεννητὰς ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς, εἴπερ ἄρα αἴτιά τε ταῦτα καὶ τοσαῦτα, καὶ δεῖ τὰ αἴτια γνωρίζειν. ἐπὶ δὲ τῶν φυσικῶν μὲν ἀϊδίων δὲ οὐσιῶν ἄλλος λόγος. ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην, ἢ οὐ τοιαύτην ἀλλὰ μόνον κατὰ τόπον κινητήν. οὐδ' ὅσα δὴ φύσει μὲν μή, οὐσίαι δέ, οὐκ ἔστι τούτοις ὕλη, ἀλλὰ τὸ ὑποκείμενον ἡ οὐσία. οἷον τί αἴτιον ἐκλείψεως, τίς ὕλη; οὐ γὰρ ἔστιν, ἀλλ' ἡ σελήνη τὸ πάσχον. τί δ' αἴτιον ὡς κινῆσαν καὶ φθεῖραν τὸ φῶς; ἡ γῆ. τὸ δ' οὗ ἕνεκα ἴσως οὐκ ἔστιν. τὸ δ' ὡς εἶδος ὁ λόγος, ἀλλ' ἄδηλος, ἐὰν μὴ μετὰ τῆς αἰτίας ᾖ ὁ λόγος. οἷον τί ἔκλειψις; στέρησις φωτός. ἐὰν δὲ προστεθῇ τὸ ὑπὸ γῆς ἐν μέσῳ γιγνομένης, ὁ σὺν τῷ αἰτίῳ λόγος οὗτος. ὕπνου δ' ἄδηλον τί τὸ πρῶτον πάσχον. ἀλλ' ὅτι τὸ ζῷον; ναί, ἀλλὰ τοῦτο κατὰ τί, καὶ τί πρῶτον; καρδία ἢ ἄλλο τι. εἶτα ὑπὸ τίνος; εἶτα τί τὸ πάθος τὸ ἐκείνου καὶ μὴ τοῦ ὅλου; ὅτι ἀκινησία τοιαδί; ναί, ἀλλ' αὕτη τῷ τί πάσχειν τὸ πρῶτον;

Ἐπεὶ δ' ἔνια ἄνευ γενέσεως καὶ φθορᾶς ἔστι καὶ οὐκ ἔστιν, οἷον αἱ στιγμαί, εἴπερ εἰσί, καὶ ὅλως τὰ εἴδη καὶ αἱ μορφαί (οὐ γὰρ τὸ λευκὸν γίγνεται ἀλλὰ τὸ ξύλον λευκόν, εἰ ἔκ τινος καὶ τὶ πᾶν τὸ γιγνόμενον γίγνεται), οὐ πάντα ἂν τἀναντία γίγνοιτο ἐξ ἀλλήλων, ἀλλ' ἑτέρως λευκὸς ἄνθρωπος ἐκ μέλανος ἀνθρώπου καὶ λευκὸν ἐκ μέλανος· οὐδὲ παντὸς ὕλη ἐστὶν ἀλλ' ὅσων γένεσίς ἐστι καὶ μεταβολὴ εἰς ἄλληλα. ὅσα δ' ἄνευ τοῦ μεταβάλλειν ἔστιν ἢ μή, οὐκ ἔστι τούτων ὕλη. ἔχει δ' ἀπορίαν πῶς πρὸς τἀναντία ἡ ὕλη ἡ ἑκάστου ἔχει. οἷον εἰ τὸ σῶμα δυνάμει ὑγιεινόν, ἐναντίον δὲ νόσος ὑγιείᾳ, ἆρα ἄμφω δυνάμει; καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος; ἢ τοῦ μὲν καθ' ἕξιν καὶ κατὰ τὸ εἶδος ὕλη, τοῦ δὲ κατὰ στέρησιν καὶ φθορὰν τὴν παρὰ φύσιν; ἀπορία δέ τις ἔστι καὶ διὰ τί ὁ οἶνος οὐχ ὕλη τοῦ ὄξους οὐδὲ δυνάμει ὄξος (καίτοι γίγνεται ἐξ αὐτοῦ ὄξος) καὶ ὁ ζῶν δυνάμει νεκρός. ἢ οὔ, ἀλλὰ κατὰ

3. τι ᾧ] αἰτίῳ A^b. ‖ ὃ — 4. εἷς om *E*. ‖ 4. εἴπερ ἐστὶν om A^b. ‖ ἢ prius om A^b. ‖ 7. ἡ et 8. τις om *T*. ‖ 10. καὶ τὸ [illegible] *T*. ‖ 12. τ' add A^b. ‖ 13. καὶ om *T*. ‖ 16. πρώτου] πρῶτα F^b. ‖ 17. ἡ om A^b. ‖ 18. ἐστι πρώτη ὕλη om A^b. ‖ 19. ἴσως δὲ] [illegible] δὲ καὶ *T*. ‖ 22. εἰ — γλυκέος om *T*. ‖ τὸ *T*. ‖ 23. τὴν post εἰς om *T*. ‖ 26. καὶ post ξύλου om A^b. ‖ 28. οὐδ'] ὡς δ' *T*. ‖ [illegible] ἐκ ξύλου A^b. ‖ εἰ] τι A^b. ‖ 30. ὕλης om A^bF^b. ‖ 31. ἡ ante ὡς add *E*. ‖ 32. τί om A^b.

2. ἢ] ὡς A^b. ‖ 3. τὰς ἄλλας αἰτίας καὶ γεννητὰς *T*. αἰτίας etiam γρ A^b. ‖ 4. ἄρα om A^b. ‖ 6. περὶ F^b. ‖ 8. δὴ om *T*. ‖ 9. ἡ ὕλη A^b. ‖ ἀλλὰ — 10. ὕλη om *T*. ‖ 11. δ' om *ET*. ‖ φθεῖρον *T*. ‖ 12. ἕνεκα καὶ ἴσως *T*. ‖ 14. τὸ add A^b. ‖ 18. [illegible] ἢ τὸ *T*. ‖ 19. τοιάδ' εἶναι ἀλλ' A^b. ‖ 21. ἐπειδὴ δ' F^b. ‖ εἰσὶ καὶ οὐκ εἰσίν F^b. ‖ 22. εἴπερ εἰσί] αἱ ἀφαὶ F^b. ‖ καὶ αἱ μορφαὶ [illegible] *ET*. ‖ 23. λευκὸν ante ξύλον F^b, om *T*. ‖ 24. εἰ] ἢ *ET*. ‖ 25. γίγνεται A^b. ‖ 27. ἔσον *T*. ‖ 30. ἡ om F^b. ‖ ὑγιεινὸν *T*, ὑγιεινὸν *E*. ‖ 32. ἕξιν καὶ] ἕξιν ἡ A^b. ‖ 33. καὶ κατὰ φθορὰν *E*. ‖ 34. δέ τις] δ' ἔτι A^b.

ς αἱ φθοραί, ἡ δὲ τοῦ ζῴου ὕλη αὐτὴ κατὰ φθορὰν ύναμις καὶ ὕλη, καὶ τὸ ὕδωρ ὄξους; γίγνεται γὰρ ων ὥσπερ ἐξ ἡμέρας νύξ. καὶ ὅσα δὴ οὕτω μετα- εἰς ἄλληλα, εἰς τὴν ὕλην δεῖ ἐπανελθεῖν, οἷον εἰ οῦ ζῷον, εἰς τὴν ὕλην πρῶτον, εἶθ' οὕτω ζῷον· καὶ εἰς ὕδωρ, εἶθ' οὕτως οἶνος.

ερὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισ- ὶ περὶ τοὺς ἀριθμούς, τί αἴτιον τοῦ ἓν εἶναι; πάντων α πλείω μέρη ἔχει καὶ μή ἐστιν οἷον σωρὸς τὸ πᾶν τι τὸ ὅλον παρὰ τὰ μόρια, ἔστι τι αἴτιον, ἐπεὶ τοῖς σώμασι τοῖς μὲν ἁφὴ αἰτία τοῦ ἓν εἶναι, τοῖς σχρότης ἤ τι πάθος ἕτερον τοιοῦτον. ὁ δ' ὁρισμὸς ἐστὶν εἷς οὐ συνδέσμῳ καθάπερ ἡ Ἰλιάς, ἀλλὰ τῷ αι. τί οὖν ἐστὶν ὃ ποιεῖ ἓν τὸν ἄνθρωπον, καὶ διὰ τί οὐ πολλά, οἷον τό τε ζῷον καὶ τὸ δίπουν, ἄλλως καὶ εἰ ἔστιν, ὥσπερ φασί τινες, αὐτό τι ζῷον καὶ ίπουν. διὰ τί γὰρ οὐκ ἐκεῖνα αὐτὰ ὁ ἄνθρωπός ἐστι, νται κατὰ μέθεξιν οἱ ἄνθρωποι οὐκ ἀνθρώπου οὐδε- λὰ δυοῖν, ζῴου καὶ δίποδος; καὶ ὅλως δὴ οὐκ ἂν νθρωπος ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. φανε- ὅτι οὕτω μὲν μετιοῦσιν ὡς εἰώθασιν ὁρίζεσθαι καὶ οὐκ ἐνδέχεται ἀποδοῦναι καὶ λῦσαι τὴν ἀπορίαν. ίν, ὥσπερ λέγομεν, τὸ μὲν ὕλη τὸ δὲ μορφή, καὶ δυνάμει τὸ δ' ἐνεργείᾳ, οὐκέτι ἀπορία δόξειεν ἂν ὸ ζητούμενον. ἔστι γὰρ αὕτη ἡ ἀπορία ἡ αὐτὴ κἂν ος εἴη ἱματίου ὁ στρογγύλος χαλκός· εἴη γὰρ ἂν τοὔνομα τοῦτο τοῦ λόγου, ὥστε τὸ ζητούμενόν ἐστι ον τοῦ ἓν εἶναι τὸ στρογγύλον καὶ τὸν χαλκόν. ' ἡ ἀπορία φαίνεται, ὅτι τὸ μὲν ὕλη τὸ δὲ μορφή. τούτου αἴτιον τοῦ τὸ δυνάμει ὂν ἐνεργείᾳ εἶναι, ὸ ποιῆσαν, ἐν ὅσοις ἐστὶ γένεσις; οὐθὲν γάρ ἐστιν τερον τοῦ τὴν δυνάμει σφαῖραν ἐνεργείᾳ εἶναι σφαῖ- λλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ. ἔστι δὲ τῆς μὲν νοητὴ ἡ δ' αἰσθητή, καὶ ἀεὶ τοῦ λόγου τὸ μὲν δ' ἐνέργειά ἐστιν, οἷον ὁ κύκλος σχῆμα ἐπίπεδον. μὴ ἔχει ὕλην, μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς ὅπερ ἕν τι εἶναί ἐστιν ἕκαστον, ὥσπερ καὶ ὅπερ ὄν τι, τὸ τόδε, τὸ ποιόν, τὸ ποσόν. διὸ καὶ οὐκ ἔνεστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν, καὶ τὸ τί ἦν εἶναι εὐθὺς ἕν τί ἐστιν ὥσπερ καὶ ὄν τι. διὸ καὶ οὐκ ἔστιν ἕτερόν τι αἴτιον τοῦ ἓν εἶναι οὐθενὶ τούτων, οὐδὲ τοῦ ὄν τι εἶναι· εὐθὺς γὰρ ἕκαστόν ἐστιν ὄν τι καὶ ἕν τι, οὐχ ὡς ἐν γένει τῷ ὄντι καὶ τῷ ἑνί, οὐδ' ὡς χωριστῶν ὄντων παρὰ τὰ καθ' ἕκαστα. διὰ ταύτην δὲ τὴν ἀπορίαν οἱ μὲν μέθεξιν λέγουσι, καὶ αἴτιον τί τῆς μεθέξεως καὶ τί τὸ μετέχειν ἀποροῦσιν· οἱ δὲ συνουσίαν ψυχῆς, ὥσπερ Λυκόφρων φησὶν εἶναι τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι καὶ ψυχῆς· οἱ δὲ σύνθεσιν ἢ σύνδεσμον ψυχῆς σώματι τὸ ζῆν. καίτοι ὁ αὐτὸς λόγος ἐπὶ πάντων· καὶ γὰρ τὸ ὑγιαίνειν ἔσται ἢ συνουσία ἢ σύνδεσμος ἢ σύνθεσις ψυχῆς καὶ ὑγιείας, καὶ τὸ τὸν χαλκὸν εἶναι τρίγωνον σύνθεσις χαλκοῦ καὶ τριγώνου, καὶ τὸ λευκὸν εἶναι σύνθεσις ἐπιφανείας καὶ λευκότητος. αἴτιον δ' ὅτι δυνάμεως καὶ ἐντελεχείας ζητοῦσι λόγον ἑνοποιὸν καὶ διαφοράν. ἔστι δ', ὥσπερ εἴρηται, καὶ ἡ ἐσχάτη ὕλη καὶ ἡ μορφὴ ταὐτὸ καὶ δυνάμει, τὸ δὲ ἐνεργείᾳ. ὥστε ὅμοιον τὸ ζητεῖν τοῦ ἑνὸς τί αἴτιον καὶ τοῦ ἓν εἶναι· ἓν γάρ τι ἕκαστον, καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕν πώς ἐστιν. ὥστε αἴτιον οὐθὲν ἄλλο πλὴν εἴ τι ὡς κινῆσαν ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δὲ μὴ ἔχει ὕλην, πάντα ἁπλῶς ὅπερ ὄντα τι.

Θ.

Περὶ μὲν οὖν τοῦ πρώτως ὄντος καὶ πρὸς ὃ πᾶσαι αἱ ἄλλαι κατηγορίαι τοῦ ὄντος ἀναφέρονται εἴρηται, περὶ τῆς οὐσίας. κατὰ γὰρ τὸν τῆς οὐσίας λόγον λέγεται τἆλλα ὄντα, τό τε ποσὸν καὶ τὸ ποιὸν καὶ τἆλλα τὰ οὕτως λεγόμενα· πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις. ἐπεὶ δὲ λέγεται τὸ ὂν τὸ μὲν τὸ τί ἢ ποιὸν ἢ ποσόν, τὸ δὲ κατὰ δύναμιν καὶ ἐντελέχειαν καὶ κατὰ τὸ ἔργον, διορίσωμεν καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας, καὶ πρῶτον περὶ δυνάμεως ἣ λέγεται μὲν μάλιστα κυρίως, οὐ μὴν χρησίμη γ' ἐστὶ πρὸς ὃ

αὕτη T. ‖ 2. καὶ ἡ ὕλη T. ‖ 4. οἷον om T. ‖ εἰ om E, εἰ ἐκ om A^b. ‖ 6. εἰς om T. ‖ 8. καὶ περὶ τοὺς ἀριθμοὺς om F^b, T. ‖ πάντα EA^b. ‖ 9. ἅπαν A^b. ‖ 10. τὸ om γρ E. ‖ ἐπεὶ] εἰ T. ‖ 14. ἕν, omisso εἶναι, T. ‖ οὖν om T. ‖ 16. δὴ] δὲ n A^b. ‖ 17. αὐτοάνθρωπός A^bF^b. ‖ 18. οἱ] οἷον A^b. ‖ 20. ὁ om T. ‖ 22. λέγουσιν T. ‖ 26. εἰ] εἴη T. ‖ ὁ prius om lterum om E. ‖ 28. τὸ] τὸν T. ‖ τὸν] τὸ γρ E. ‖ 29. δ' ἡ] δὴ ET. ‖ 30. τούτου τὸ αἴτιον A^b. ‖ 35. ἐνεργείᾳ E. ‖ ὁ

ἕκαστόν ἐστιν F^b. ‖ 2. τόδε] τοῦτο γρ E. ‖ καὶ om F^b. ‖ ἔνεστιν] ἐστὶν T. ‖ 4. καὶ post διὸ add E. ‖ 5. οὐθενὶ] οὐδὲ ἐνὶ A^b. ‖ ῆς — 15. σύνθεσις om T. ‖ 15. εἶναι] ἓν εἶναι καὶ T. ‖ 17. λόγον om ET. ‖ ἓν ὁποῖον T, τὸ ἑνοποιόν E. ‖ ἕν ἐστι A^b. ‖ post εἴρηται om A^b. ‖ ταυτὸ καὶ ἓν καὶ δυνάμει γρ E. ‖ 19. τὸ — 21. ἐστιν] ἓν A^b. ‖ 21. πως ἓν T. ‖ 22. εἴ τι] εἰ τὸ 23. ὄντα] ἓν A^b. ‖ 27. πᾶσαι om A^b. ‖ 32. τοῖς om T. ‖ λόγοις om F^b. ‖ 33. τὸ] τῶ T. ‖ ποσὸν ἢ ποιὸν A^b. ‖ 36. άτη A^b.

βουλόμεθα νῦν· ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν μόνον λεγομένων κατὰ κίνησιν. ἀλλ' εἰπόντες περὶ ταύτης ἐν τοῖς περὶ τῆς ἐνεργείας διορισμοῖς δηλώσομεν καὶ περὶ τῶν ἄλλων. ὅτι μὲν οὖν πολλαχῶς λέγεται ἡ δύναμις καὶ τὸ δύνασθαι, διώρισται ἡμῖν ἐν ἄλλοις. τούτων δ' ὅσαι μὲν ὁμωνύμως λέγονται δυνάμεις ἀφείσθωσαν· ἔνιαι γὰρ ὁμοιότητί τινι λέγονται καθάπερ ἐν γεωμετρίᾳ, καὶ δυνατὰ καὶ ἀδύνατα λέγομεν τῷ εἶναί πως ἢ μὴ εἶναι. ὅσαι δὲ πρὸς τὸ αὐτὸ εἶδος, πᾶσαι ἀρχαί τινές εἰσι, καὶ πρὸς πρώτην μίαν λέγονται, ἥ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ἢ ᾗ ἄλλο. ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ἢ ᾗ ἄλλο· ἡ δ' ἕξις ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον καὶ φθορᾶς τῆς ὑπ' ἄλλου ἢ ᾗ ἄλλο, ὑπ' ἀρχῆς μεταβλητικῆς. ἐν γὰρ τούτοις ἔνεστι πᾶσι τοῖς ὅροις ὁ τῆς πρώτης δυνάμεως λόγος. πάλιν δ' αὗται αἱ δυνάμεις λέγονται ἢ τοῦ μόνον ποιῆσαι ἢ τοῦ παθεῖν ἢ τοῦ καλῶς, ὥστε καὶ ἐν τοῖς τούτων λόγοις ἐνυπάρχουσί πως οἱ τῶν προτέρων δυνάμεων λόγοι. φανερὸν οὖν ὅτι ἔστι μὲν ὡς μία δύναμις τοῦ ποιεῖν καὶ πάσχειν (δυνατὸν γάρ ἐστι καὶ τῷ ἔχειν αὐτὸ δύναμιν τοῦ παθεῖν καὶ τῷ ἄλλο ὑπ' αὐτοῦ), ἔστι δ' ὡς ἄλλη. ἡ μὲν γὰρ ἐν τῷ πάσχοντι· διὰ γὰρ τὸ ἔχειν τινὰ ἀρχήν, καὶ εἶναι καὶ τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου. τὸ λιπαρὸν μὲν γὰρ καυστόν, τὸ δ' ὑπεῖκον ὡδὶ θλαστόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἡ δ' ἐν τῷ ποιοῦντι, οἷον τὸ θερμὸν καὶ ἡ οἰκοδομική, ἡ μὲν ἐν τῷ θερμαντικῷ, ἡ δ' ἐν τῷ οἰκοδομικῷ. διὸ ᾗ συμπέφυκεν, οὐθὲν πάσχει αὐτὸ ὑφ' ἑαυτοῦ· ἓν γὰρ καὶ οὐκ ἄλλο. καὶ ἡ ἀδυναμία καὶ τὸ ἀδύνατον ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν, ὥστε τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμίᾳ. ἡ δὲ στέρησις λέγεται πολλαχῶς· καὶ γὰρ τὸ μὴ ἔχον καὶ τὸ πεφυκὸς ἂν μὴ ἔχῃ, ἢ ὅλως ἢ ὅτε πέφυκεν, καὶ ἢ ὡδί, οἷον παντελῶς, ἢ κἂν ὁπωσοῦν. ἐπ' ἐνίων δέ, ἂν πεφυκότα ἔχειν μὴ ἔχῃ βίᾳ, ἐστερῆσθαι ταῦτα λέγομεν.

2 *Ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοιαῦται, αἱ δ' ἐν τοῖς ἐμψύχοις καὶ ἐν ψυχῇ καὶ τῆς ψυχῆς ἐν τῷ λόγον ἔχοντι, δῆλον ὅτι καὶ τῶν δυνάμεων αἱ μὲν ἔσονται ἄλογοι αἱ δὲ μετὰ λόγου. διὸ πᾶσαι αἱ τέχναι καὶ αἱ ποιητικαὶ καὶ ἐπιστῆμαι δυνάμεις εἰσίν· ἀρχαὶ γὰρ μεταβλητικαί εἰσιν ἐν ἄλλῳ ἢ ᾗ ἄλλο. καὶ αἱ μὲν μετὰ λόγου πᾶσαι τῶν ἐναντίων αἱ αὐταί, αἱ δ' ἄλογοι μία ἑνός, οἷον τὸ θερμὸν τοῦ θερμαίνειν μόνον, ἡ δὲ ἰατρικὴ νόσου καὶ ὑγιείας. αἴτιον δὲ ὅτι λόγος ἐστὶν ἡ ἐπιστήμη, ὁ δὲ λόγος ὁ αὐτὸς δηλοῖ τὸ πρᾶγμα καὶ τὴν στέρησιν, πλὴν οὐχ ὡσαύτως, καὶ ἔστιν ὡς ἀμφοῖν, ἔστι δ' ὡς τοῦ ὑπάρχοντος μᾶλλον. ὥστ' ἀνάγκη καὶ τὰς τοιαύτας ἐπιστήμας εἶναι μὲν τῶν ἐναντίων, εἶναι δὲ τοῦ μὲν καθ' αὑτὰς τοῦ δὲ μὴ καθ' αὑτάς· καὶ γὰρ ὁ λόγος τοῦ μὲν καθ' αὑτό, τοῦ δὲ τρόπον τινὰ κατὰ συμβεβηκός· ἀποφάσει γὰρ καὶ ἀποφορᾷ δηλοῖ τὸ ἐναντίον. ἡ γὰρ στέρησις ἡ πρώτη τὸ ἐναντίον, αὕτη δ' ἀποφορὰ θατέρου. ἐπεὶ δὲ τὰ ἐναντία οὐκ ἐγγίγνεται ἐν τῷ αὐτῷ, ἡ δ' ἐπιστήμη δύναμις τῷ λόγον ἔχειν, καὶ ἡ ψυχὴ κινήσεως ἔχει ἀρχήν, τὸ μὲν ὑγιεινὸν ὑγίειαν μόνον ποιεῖ καὶ τὸ θερμαντικὸν θερμότητα καὶ τὸ ψυκτικὸν ψυχρότητα, ὁ δ' ἐπιστήμων ἄμφω. λόγος γάρ ἐστιν ἀμφοῖν μέν, οὐχ ὁμοίως δέ, καὶ ἐν ψυχῇ ἣ ἔχει κινήσεως ἀρχήν· ὥστε ἄμφω ἀπὸ τῆς αὐτῆς ἀρχῆς κινήσει πρὸς τὸ αὐτὸ συνάψασα. διὸ τὰ κατὰ λόγον δυνατὰ τοῖς ἄνευ λόγου δυνατοῖς ποιεῖ τἀναντία· μία γὰρ ἀρχὴ περιέχεται τῷ λόγῳ. φανερὸν δὲ καὶ ὅτι τῇ μὲν τοῦ εὖ δυνάμει ἀκολουθεῖ ἡ τοῦ μόνον ποιῆσαι ἢ παθεῖν δύναμις, ταύτῃ δ' ἐκείνη οὐκ ἀεί· ἀνάγκη γὰρ τὸν εὖ ποιοῦντα καὶ ποιεῖν, τὸν δὲ μόνον ποιοῦντα οὐκ ἀνάγκη καὶ εὖ ποιεῖν.*

Εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοί, ὅταν ἐνεργῇ 3
μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ οὐ δύνασθαι, οἷον τὸν μὴ οἰκοδομοῦντα οὐ δύνασθαι οἰκοδομεῖν, ἀλλὰ τὸν οἰκοδομοῦντα ὅταν οἰκοδομῇ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οἷς τὰ συμβαίνοντα ἄτοπα οὐ χαλεπὸν ἰδεῖν. δῆλον γὰρ ὅτι οὔτ' οἰκοδόμος ἔσται ἐὰν μὴ οἰκοδομῇ· τὸ γὰρ οἰκοδόμῳ εἶναι τὸ δυνατῷ εἶναί ἐστιν οἰκοδομεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. εἰ οὖν ἀδύνατον τὰς τοιαύτας ἔχειν τέχνας μὴ μαθόντα ποτὲ καὶ λαβόντα, καὶ μὴ ἔχειν

1. πλεῖον A^b. ‖ 2. μόνων A^b. ‖ 3. τῆς om T. ‖ δηλώσωμεν T. ‖ 4. λέγεται πολλαχῶς ET. ‖ 11. ᾗ] ἢ T, ἢ ᾗ E. ‖ 13. ᾗ] ἢ ᾗ ET. ‖ 14. ᾗ] ἢ ᾗ E. ‖ ὑπ' om A^b. ‖ 16. δ' αὖ δυνάμεις λέγονται T, δ' αὗται δυνάμεις λέγονται E, δ' αὗται λέγονται αἱ δυνάμεις A^b. ‖ 19. λόγοι δυνάμεων T. ‖ 20 et 21. τῷ] τὸ T. ‖ 22. μὲν om T. ‖ 23. ἀρχήν τινα A^b. ‖ καὶ εἶναι om T. ‖ καὶ — τινά om A^b. ‖ 24. μὲν om T. ‖ 30. ἡ] καὶ ἡ ET. ‖ τῇ et 31. καὶ om T. ‖ 33. καὶ om A^b. ‖ ἢ TA^b. ‖ 35. ἔχειν] μὴ ἔχειν T. ‖ ἔχει A^b. ‖ 37. αἱ om A^b.

2. λόγοι γε E. ‖ 3. αἱ om T. ‖ καὶ αἱ ἐπιστῆμαι F^b. ‖ 4. εἰσιν om ET. ‖ ἢ ἄλλῳ T. ‖ 11. δὲ] μὲν T. ‖ 15. ἡ] ἐστιν ἡ F^b. ‖ 21. ἣ] ἢ ἡ A^b. ‖ 22. τὸ om ETA^b. ‖ 24. μιᾷ γὰρ ἀρχῇ E. ‖ 25. ἢ παθεῖν om A^b. ‖ 29. φασιν εἶναι οἷον TA^b. ‖ οἱ om A^b. ‖ 30. οὐ] μὴ ET. ‖ 32. δὴ F^b. ‖ 34. ἐστιν E. ‖ 37. λανθάνοντά ποτε καὶ λαμβάνοντα T.

ποβαλόντα ποτέ (ἢ γὰρ λήθῃ ἢ πάθει τινὶ ἢ χρόνῳ· ὰρ δὴ τοῦ γε πράγματος φθαρέντος, ἀεὶ γάρ ἐςιν), παύσηται, ὐχ ἕξει τὴν τέχνην. πάλιν δ' εὐθὺς οἰκο- ρει πῶς λαβών; καὶ τὰ ἄψυχα δὴ ὁμοίως· ὔτε γὰρ ὸν οὔτε θερμὸν ὔτε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν μὴ αἰσθανόμενον· ὥςε τὸν Πρωταγόρου λόγον συμ- αι λέγειν αὐτοῖς. ἀλλὰ μὴν ὐδ' αἴσθησιν ἕξει ὐθὲν ὴ αἰσθάνηται μηδ' ἐνεργῇ. εἰ ὖν τυφλὸν τὸ μὴ ἔχον πεφυκὸς δὲ καὶ ὅτε πέφυκε καὶ ἔτι ὄν, οἱ αὐτοὶ οὶ ἔσονται πολλάκις τῆς ἡμέρας καὶ κωφοί. ἔτι εἰ ιτον τὸ ἐςερημένον δυνάμεως, τὸ μὴ γενόμενον ἀδύ- ἔςαι γενέσθαι· τὸ δ' ἀδύνατον γενέσθαι ὁ λέγων ἢ ἢ ἔσεσθαι ψεύσεται· τὸ γὰρ ἀδύνατον τῦτο ἐσήμαι- ὥςε οὗτοι οἱ λόγοι ἐξαιρῦσι καὶ κίνησιν καὶ γένεσιν. γὰρ τό τε ἑςηκὸς ἑστήξεται καὶ τὸ καθήμενον καθε- ι· οὐ γὰρ ἀναςήσεται ἂν καθέζηται· ἀδύνατον γὰρ ἀναςῆναι ὅ γε μὴ δύναται ἀναςῆναι. εἰ ὖν μὴ ἐν- αι ταῦτα λέγειν, φανερὸν ὅτι δύναμις καὶ ἐνέργεια ἐςιν· ἐκεῖνοι δ' οἱ λόγοι δύναμιν καὶ ἐνέργειαν ταὐτὸ σιν, διὸ καὶ ὐ μικρόν τι ζητῦσιν ἀναιρεῖν. ὥςʼ ἐνδέ- δυνατὸν μέν τι εἶναι μὴ εἶναι δέ, καὶ δυνατὸν μὴ εἶναι δέ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ὸν βαδίζειν ὂν μὴ βαδίζειν, καὶ μὴ βαδίζον δύ- εἶναι βαδίζειν. ἔςι δὲ δυνατὸν τῦτο ᾧ, ἐὰν ὑπάρξῃ γεια, οὗ λέγεται ἔχειν τὴν δύναμιν, ὐθὲν ἔςαι ἀδύ- λέγω δ' οἷον, εἰ δυνατὸν καθῆσθαι καὶ ἐνδέχεται θαι τύτῳ, ἐὰν ὑπάρξῃ τὸ καθῆσθαι, ὐθὲν ἔςαι ἀδύ- · καὶ εἰ κινηθῆναί τι ἢ κινῆσαι ἢ στῆναι ἢ ςῆσαι ἢ ἢ γίγνεσθαι, ἢ μὴ εἶναι ἢ μὴ γίγνεσθαι, ὁμοίως. θε δ' ἡ ἐνέργεια τοὔνομα, ἡ πρὸς τὴν ἐντελέχειαν θεμένη καὶ ἐπὶ τὰ ἄλλα, ἐκ τῶν κινήσεων μάλιςα· γὰρ ἡ ἐνέργεια μάλιστα ἡ κίνησις εἶναι. διὸ καὶ μὴ ὖσιν ὐκ ἀποδιδόασι τὸ κινεῖσθαι, ἄλλας δέ τινας γορίας, οἷον διανοητὰ καὶ ἐπιθυμητὰ εἶναι τὰ μὴ ὄντα, να δ' ὔ. τῦτο δὲ ὅτι ὐκ ὄντα ἐνεργείᾳ ἔσονται ἐνερ- γείᾳ. τῶν γὰρ μὴ ὄντων ἔνια δυνάμει ἐςίν· οὐκ ἔστι δέ, ὅτι ὐκ ἐντελεχείᾳ ἐςίν.

Εἰ δ' ἐςὶ τὸ εἰρημένον δυνατὸν ᾗ ἀκολουθεῖ, φανερὸν 4
ὅτι οὐκ ἐνδέχεται ἀληθὲς εἶναι τὸ εἰπεῖν ὅτι δυνατὸν μὲν τοδί, ὐκ ἔςαι δέ· ὥστε τὰ ἀδύνατα εἶναι ταύτῃ διαφεύγειν. λέγω δὲ οἷον εἴ τις φαίη δυνατὸν τὴν διάμετρον μετρηθῆναι οὐ μέντοι μετρηθήσεσθαι, ὁ μὴ λογιζόμενος τὸ ἀδύνατον εἶναι, ὅτι ὐθὲν κωλύει δυνατόν τι ὂν εἶναι ἢ γενέσθαι, μὴ εἶναι δὲ μηδ' ἔσεσθαι. ἀλλ' ἐκεῖνο ἀνάγκη ἐκ τῶν κειμένων, εἰ καὶ ὑποθοίμεθα εἶναι ἢ γεγονέναι ὃ οὐκ ἔςι μὲν δυνατὸν δέ, ὅτι ὐθὲν ἔςαι ἀδύνατον· συμβήσεται δέ γε, τὸ γὰρ μετρεῖσθαι ἀδύνατον. ὐ γὰρ δή ἐςι ταὐτὸ τό τε ψεῦδος καὶ τὸ ἀδύνατον· τὸ γάρ σε ἑστάναι νῦν ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. ἅμα δὲ δῆλον καὶ ὅτι, εἰ τῦ Α ὄντος ἀνάγκη τὸ Β εἶναι, καὶ δυνατῦ ὄντος τῦ εἶναι Α καὶ τὸ Β ἀνάγκη εἶναι δυνατόν· εἰ γὰρ μὴ ἀνάγκη δυνατὸν εἶναι, οὐθὲν κωλύει μὴ εἶναι δυνατὸν εἶναι. ἔστω δὴ τὸ Α δυνατόν. οὐκοῦν ὅτε τὸ Α δυνατὸν εἴη εἶναι, εἰ τεθείη τὸ ΑΒ, ὐθὲν ἀδύνατον εἶναι συνέβαινεν· τὸ δέ γε Β ἀνάγκη εἶναι. ἀλλ' ἦν ἀδύνατον. ἔστω δὴ ἀδύνατον. εἰ δὴ ἀδύνατον ἀνάγκη εἶναι τὸ Α, ἀνάγκη καὶ τὸ Β εἶναι. ἀλλ' ἦν ἄρα τὸ Α δυνατόν· καὶ τὸ Β ἄρα. ἂν ἄρα ᾖ τὸ Α δυνατόν, καὶ τὸ Β ἔςαι δυνατόν, εἴ περ ὕτως εἶχον ὥςε τοῦ Α ὄντος ἀνάγκη εἶναι τὸ Β. ἐὰν δὴ ὕτως ἐχόντων τῦ ΑΒ μὴ ᾖ δυνατὸν τὸ Β ὕτως, οὐδὲ τὸ ΑΒ ἕξει ὡς ἐτέθη· καὶ εἰ τῦ Α δυνατῦ ὄντος ἀνάγκη τὸ Β δυνατὸν εἶναι, εἰ ἔστι τὸ Α, ἀνάγκη εἶναι καὶ τὸ Β. τὸ γὰρ δυνατὸν εἶναι ἐξ ἀνάγκης τὸ Β εἶναι, εἰ τὸ Α δυνατόν, τοῦτο σημαίνει, ἐὰν ᾖ τὸ Α καὶ ὅτε καὶ ὡς ἦν δυνατὸν εἶναι, κἀκεῖνο τότε καὶ ὕτως εἶναι ἀναγκαῖον.

Ἁπασῶν δὲ τῶν δυνάμεων ὐσῶν τῶν μὲν συγγενῶν 5
οἷον τῶν αἰσθήσεων, τῶν δὲ ἔθει οἷον τῆς τοῦ αὐλεῖν, τῶν δὲ μαθήσει οἷον τῆς τῶν τεχνῶν, τὰς μὲν ἀνάγκη προενεργήσαντας ἔχειν ὅσαι ἔθει καὶ λόγῳ, τὰς δὲ μὴ τοιαύτας καὶ τὰς ἐπὶ τῦ πάσχειν ὐκ ἀνάγκη. ἐπεὶ δὲ τὸ δυ-

. ἀποβάλλοντά ποτε· ἡ γὰρ λήθη T. ‖ 2. ἀεὶ] εἰ F^b. ‖ γέ A^b. ‖ 3. δ'] δ' ὁ T. ‖ 9. ὄν] ὡς T. ‖ 10. καὶ κωφοί om F^b. ‖ νόμενον A^b. ‖ 14. οὗτοι] οὔτε A^b. ‖ γένεσιν καὶ κίνησιν T. ‖ 21. καὶ — 22. δέ om TF^b. ‖ 22. ἐπὶ add ET. ‖ 23. βαδίζειν μὴ om T. ‖ καὶ] δὲ καὶ A^b. ‖ μὴ om T. ‖ 25. οὗ] ᾗς F^b. ‖ 26. λέγω — 27. ἀδύνατον om T. ‖ 28. εἰ] εἴη T. ‖ τι om ‖ 29. γενέσθαι priore loco E, utroque T. ‖ 31. συντεθειμένη F^b. ‖ 35. τῦτο δὲ om A^bF^b.

. οὐκ ἔςι δέ om A^b. ‖ 2. διότι A^b. ‖ 3. τὸ εἰρημένον τὸ δυνατὸν A^b. ‖ ᾗ T. ‖ 4. τὸ] τι ET. ‖ 5. διαφεύγει A^b. ‖ 7. μετρη-σεσθαι] μετρηθήσεται A^b. ‖ ὁ om T. ‖ 8. δυνατόν] ἀδύνατόν A^b. ‖ ὂν om T. ‖ 9. δὲ om A^b. ‖ 10. εἰ καὶ] εἶναι εἰ καὶ E, εἰ εἴη ^{b}, εἴη T. ‖ 11. συμβήσεται — 12. ἀδύνατον om ET. ‖ 12. δή add ET. ‖ 13. τε om ET. ‖ 14. ὅτι καὶ T. ‖ εἰ] ἢ F^b, om 16. Α] τὸ α T. ‖ 20. ἔστω — 22. Β ἄρα om A^b. ‖ 22. Α et Β] πρῶτον et δεύτερον ET. ‖ ἄρα post Β om ET. ‖ 23. εἶχεν 24. δὲ T. ‖ 25. μὴ — τὸ Β om A^b. ‖ 26. τὸ] καὶ τὸ T. ‖ 27. καὶ om ET. ‖ 29. τὸ α τὸ α A^b. ‖ 30. εἶναι] εἶναι ἦν 35. ἀδύνατον A^b.

4 - δυνάμεις κινητικαὶ μετὰ λόγου — can exist only in an ἔμψυχος

νατὸν τὶ δυνατὸν καὶ ποτὲ καὶ πῶς καὶ ὅσα ἄλλα ἀνάγκη προσεῖναι ἐν τῷ διορισμῷ, καὶ τὰ μὲν κατὰ λόγον δύναται κινεῖν καὶ αἱ δυνάμεις αὐτῶν μετὰ λόγου, τὰ δ' ἄλογα καὶ αἱ δυνάμεις ἄλογοι, κἀκείνας μὲν ἀνάγκη ἐν ἐμψύχῳ εἶναι ταύτας δ' ἐν ἀμφοῖν, τὰς μὲν τοιαύτας δυνάμεις ἀνάγκη, ὅταν ὡς δύνανται τὸ ποιητικὸν καὶ τὸ παθητικὸν πλησιάζωσι, τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, ἐκείνας δ' οὐκ ἀνάγκη· αὗται μὲν γὰρ πᾶσαι μία ἑνὸς ποιητική, ἐκεῖναι δὲ τῶν ἐναντίων, ὥστε ἅμα ποιήσει τἀναντία. τοῦτο δὲ ἀδύνατον. ἀνάγκη ἄρα ἕτερόν τι εἶναι τὸ κύριον· λέγω δὲ τοῦτο ὄρεξιν ἢ προαίρεσιν. ὁποτέρου γὰρ ἂν ὀρέγηται κυρίως, τοῦτο ποιήσει, ὅταν ὡς δύναται ὑπάρχῃ καὶ πλησιάζῃ τῷ παθητικῷ. ὥστε τὸ δυνατὸν κατὰ λόγον ἅπαν ἀνάγκη, ὅταν ὀρέγηται, οὗ τ' ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει, τοῦτο ποιεῖν. ἔχει δὲ παρόντος τοῦ παθητικοῦ καὶ ὡδὶ ἔχοντος ποιεῖν. εἰ δὲ μή, ποιεῖν οὐ δυνήσεται. τὸ γὰρ μηθενὸς τῶν ἔξω κωλύοντος προσδιορίζεσθαι οὐθὲν ἔτι δεῖ· τὴν γὰρ δύναμιν ἔχει ὡς ἔστι δύναμις τοῦ ποιεῖν, ἔστι δ' οὐ πάντως ἀλλ' ἐχόντων πῶς, ἐν οἷς ἀφορισθήσεται καὶ τὰ ἔξω κωλύοντα· ἀφαιρεῖται γὰρ ταῦτα τῶν ἐν τῷ διορισμῷ προσόντων ἔνια. διὸ οὐδὲ ἂν ἅμα βούληται ἢ ἐπιθυμῇ ποιεῖν δύο ἢ τἀναντία, οὐ ποιήσει· οὐ γὰρ οὕτως ἔχει αὐτῶν τὴν δύναμιν οὐδ' ἔστι τοῦ ἅμα ποιεῖν ἡ δύναμις, ἐπεὶ ὧν ἐστὶν οὕτως ποιήσει.

6 Ἐπεὶ δὲ περὶ τῆς κατὰ κίνησιν λεγομένης δυνάμεως εἴρηται, περὶ ἐνεργείας διορίσωμεν τί τέ ἐστιν ἡ ἐνέργεια καὶ ποῖόν τι. καὶ γὰρ τὸ δυνατὸν ἅμα δῆλον ἔσται διαιροῦσιν, ὅτι οὐ μόνον τοῦτο λέγομεν δυνατὸν ὃ πέφυκε κινεῖν ἄλλο ἢ κινεῖσθαι ὑπ' ἄλλου, ἢ ἁπλῶς ἢ τρόπον τινά, ἀλλὰ καὶ ἑτέρως. διὸ ζητοῦντες καὶ περὶ τούτων διήλθομεν. ἔστι δ' ἡ ἐνέργεια τὸ ὑπάρχειν τὸ πρᾶγμα, μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει. λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ Ἑρμῆν καὶ ἐν τῇ ὅλῃ τὴν ἡμίσειαν, ὅτι ἀφαιρεθείη ἄν, καὶ ἐπιστήμονα καὶ τὸν μὴ θεωροῦντα, ἂν δυνατὸς ᾖ θεωρῆσαι· τὸ δ' ἐνεργείᾳ. δῆλον δ' ἐπὶ τῶν καθ' ἕκαστα τῇ ἐπαγωγῇ ὃ βουλόμεθα λέγειν, καὶ οὐ δεῖ παντὸς ὅρον ζητεῖν ἀλλὰ καὶ τὸ ἀνάλογον συνορᾶν, ὅτι ὡς τὸ οἰκοδομοῦν πρὸς τὸ οἰκοδομικόν, καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον, καὶ τὸ ὁρῶν πρὸς τὸ μύον μὲν ὄψιν δὲ ἔχον, καὶ τὸ ἀποκεκριμένον ἐκ τῆς ὕλης πρὸς τὴν ὕλην, καὶ τὸ ἀπειργασμένον πρὸς τὸ ἀνέργαστον. ταύτης δὲ τῆς διαφορᾶς θάτερον μόριον ἔστω ἡ ἐνέργεια ἀφωρισμένη, θατέρῳ δὲ τὸ δυνατόν. λέγεται δὲ ἐνεργείᾳ οὐ πάντα ὁμοίως, ἀλλ' ἢ τὸ ἀνάλογον, ὡς τοῦτο ἐν τούτῳ ἢ πρὸς τοῦτο, τὸ δ' ἐν τῷδε ἢ πρὸς τόδε· τὰ μὲν γὰρ ὡς κίνησις πρὸς δύναμιν, τὰ δ' ὡς οὐσία πρός τινα ὕλην. ἄλλως δὲ καὶ τὸ ἄπειρον καὶ τὸ κενὸν καὶ ὅσα τοιαῦτα, λέγεται δυνάμει καὶ ἐνεργείᾳ πολλοῖς τῶν ὄντων, οἷον τῷ ὁρῶντι καὶ βαδίζοντι καὶ ὁρωμένῳ. ταῦτα μὲν γὰρ ἐνδέχεται καὶ ἁπλῶς ἀληθεύεσθαί ποτε· τὸ μὲν γὰρ ὁρώμενον ὅτι ὁρᾶται, τὸ δ' ὅτι ὁρᾶσθαι δυνατόν· τὸ δ' ἄπειρον οὐχ οὕτω δυνάμει ἐστὶν ὡς ἐνεργείᾳ ἐσόμενον χωριστόν, ἀλλὰ γνώσει. τῷ γὰρ μὴ ὑπολείπειν τὴν διαίρεσιν ἀποδίδωσι τὸ εἶναι δυνάμει ταύτην τὴν ἐνέργειαν, τῷ δὲ χωρίζεσθαι οὔ.

Ἐπεὶ δὲ τῶν πράξεων ὧν ἐστὶ πέρας οὐδεμία τέλος ἀλλὰ τῶν περὶ τὸ τέλος, οἷον τοῦ ἰσχναίνειν ἡ ἰσχνασία αὐτό, αὐτὰ δὲ ὅταν ἰσχναίνῃ οὕτως ἐστὶν ἐν κινήσει, μὴ ὑπάρχοντα ὧν ἕνεκα ἡ κίνησις, οὐκ ἔστι ταῦτα πρᾶξις ἢ οὐ τελεία γε· οὐ γὰρ τέλος, ἀλλ' ἐκείνη ἐνυπάρχει τὸ τέλος καὶ ἡ πρᾶξις. οἷον ὁρᾷ, ἀλλὰ καὶ φρονεῖ καὶ νοεῖ καὶ νενόηκεν· ἀλλ' οὐ μανθάνει καὶ μεμάθηκεν, οὐδ' ὑγιάζεται καὶ ὑγίασται. εὖ ζῇ καὶ εὖ ἔζηκεν· ἀλλὰ καὶ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκεν. εἰ δὲ μή, ἔδει ἄν ποτε παύεσθαι, ὥσπερ ὅταν ἰσχναίνῃ. νῦν δ' οὔ, ἀλλὰ ζῇ καὶ ἔζηκεν. τούτων δὴ τὰς μὲν κινήσεις λέγειν, τὰς δ' ἐνεργείας. πᾶσα γὰρ κίνησις ἀτελής, ἰσχνασία, μάθησις, βάδισις, οἰκοδόμησις· αὗται δὲ κινήσεις, καὶ ἀτελεῖς γε. οὐ γὰρ ἅμα βαδίζει καὶ βεβάδικεν, οὐδ' οἰκοδομεῖ καὶ ᾠκοδόμηκεν, οὐδὲ γίγνεται καὶ γέγονεν, ἢ κινεῖται καὶ κεκίνηκεν· ἀλλ' ἕτερον καὶ κινεῖ καὶ κινεῖται. ἑώρακε δὲ καὶ ὁρᾷ ἅμα τὸ αὐτό, καὶ νοεῖ καὶ νενόηκεν. τὴν μὲν οὖν τοιαύτην ἐνέργειαν λέγω, ἐκείνην δὲ κίνησιν. τὸ μὲν οὖν ἐνεργείᾳ τί τέ ἐστι καὶ ποῖον, ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον ἡμῖν ἔστω.

Πότε δὲ δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον·

5. μὲν] μὲν οὖν *T*. ‖ 6. δύνωνται τὸ παθητικὸν καὶ τὸ ποιητικὸν *ET*. ‖ 11. δὲ τοῦτο] δ' εἴτε A^b. ‖ 14. οὗ τ'] ὅτ' A^b, οὗ *ET*. ‖ 21. ἢ] καὶ *T*. ‖ ἐπιθυμεῖν A^b. ‖ 23. ἔστιν ἅμα τοῦ ἅμα A^b. ‖ 25. κίνησιν] δύναμιν *T*. ‖ 28. δυνατὸν om A^b. ‖ 33. ὅλῃ] διαμέτρῳ F^b. ‖ 34. καὶ τὸν] τὸν θεωροῦντα καὶ τὸν *E*. ‖ ᾖ om *ET*. ‖ 37. ἀναλογοῦν *T*. ‖ ὅτι om A^b.

4. ταύτης — 5. μόριον] ἔστι τέ τι καὶ ταύτης τῆς διαφορᾶς θατέρῳ μορίῳ *ET*. ‖ 5. ἔσται A^b. ‖ θάτερον F^b. ‖ 6. ἐνέργεια A^b. ‖ 7. ἢ τὸ] ἢ τῷ F^b. ‖ 9. ὡς om *T*. ‖ καὶ add *ET*. ‖ 10. τὸ add A^bF^b. ‖ 12. ταῦτα] εἰ ταῦτα A^b. ‖ ἀληθεύεσθαι] καὶ ἀληθεύεσθαι *T*. ‖ 13. γὰρ om *T*. ‖ 15. τὸ TA^b. ‖ 16. ὑπολιπεῖν A^b. ‖ 18. ἐπεὶ — 35. κίνησιν om *ET*. ‖ 28. τούτων — 35. κίνησιν] haec expungit A^b. ‖ 31. ᾠκοδόμησεν A^b. ‖ 32. κεκίνηκεν] κεκίνηται A^b. ‖ 33. κινεῖται] κεκίνηκεν A^b. ‖ 35. ἐνέργεια *T*, ἐνεργεῖν A^b. ‖ 36. ἔσται *ET*. ‖ 37. δὲ om *T*.

τοτεῦν. οἷον ἡ γῆ ἆρ' ἐςὶν ἄνθρωπος δυνάμει ἢ ὔ;
ἄλλον ὅταν ἤδη γένηται σπέρμα, καὶ οὐδὲ τότε
περ ὂν ὐδὲ ὑπὸ ἰατρικῆς ἅπαν ἂν ὑγιασθείη ὐδ'
ης, ἀλλ' ἔστι τι ὃ δυνατόν ἐστι, καὶ τοῦτ' ἐστὶν
δυνάμει. ὅρος δὲ τοῦ μὲν ἀπὸ διανοίας ἐντελε-
νομένυ ἐκ τῦ δυνάμει ὄντος, ὅταν βυληθέντος γί-
μηθενὸς κωλύοντος τῶν ἐκτός, ἐκεῖ δ' ἐν τῷ ὑγια-
ὅταν μηθὲν κωλύῃ τῶν ἐν αὐτῷ. ὁμοίως δὲ δυ-
ὶ οἰκία, εἰ μηθὲν κωλύει τῶν ἐν τούτῳ καὶ τῇ
γίγνεσθαι οἰκίαν, οὐδ' ἔςιν ὃ δεῖ προσγενέσθαι ἢ
θαι ἢ μεταβαλεῖν, τοῦτο δυνάμει οἰκία. καὶ ἐπὶ
ων ὡσαύτως, ὅσων ἔξωθεν ἡ ἀρχὴ τῆς γενέσεως,
δὴ ἐν αὐτῷ τῷ ἔχοντι, ὅσα μηθενὸς τῶν ἔξωθεν
ντος ἔςαι δι' αὐτῦ. οἷον τὸ σπέρμα ὔπω· δεῖ γὰρ
καὶ μεταβάλλειν. ὅταν δ' ἤδη διὰ τῆς αὐτοῦ
τοιῦτον, ἤδη τῦτο δυνάμει· ἐκεῖνο δὲ ἑτέρας ἀρ-
αι. ὥσπερ ἡ γῆ οὔπω ἀνδριὰς δυνάμει· μετα-
γὰρ ἔςαι χαλκός. ἔοικε δὲ ὃ λέγομεν εἶναι ὐ
' ἐκείνινον, οἷον τὸ κιβώτιον ὐ ξύλον ἀλλὰ ξύλι-
τὸ ξύλον γῆ ἀλλὰ γήϊνον. πάλιν ἡ γῆ εἰ ὕτως
ἀλλ' ἐκείνινον, ἀεὶ ἐκεῖνο δυνάμει ἁπλῶς τὸ ὕςε-
οἷον τὸ κιβώτιον ὐ γήϊνον ὐδὲ γῆ, ἀλλὰ ξύλινον·
δυνάμει κιβώτιον καὶ ὕλη κιβωτίυ αὕτη, ἁπλῶς
πλῶς, τυδὶ δὲ τοδὶ τὸ ξύλον. εἰ δέ τί ἐςι πρῶ-
ηκέτι κατ' ἄλλου λέγεται ἐκείνινον, τοῦτο πρώτη
εἰ ἡ γῆ ἀερίνη, ὁ δ' ἀὴρ μὴ πῦρ ἀλλὰ πύρινος,
λη πρώτη ὡς τόδε τι καὶ ὐσία. τύτῳ γὰρ δια-
καθόλου καὶ τὸ ὑποκείμενον τῷ εἶναι τόδε τι ἢ
οἷον τοῖς πάθεσι τὸ ὑποκείμενον ἄνθρωπος καὶ
ὶ ψυχή, πάθος δὲ τὸ μυσικὸν καὶ λευκόν. λέ-
τῆς μυσικῆς ἐγγενομένης ἐκεῖνο ὐ μυσικὴ ἀλλὰ
καὶ οὐ λευκότης ὁ ἄνθρωπος ἀλλὰ λευκόν, οὐδὲ
ἡ κίνησις ἀλλὰ βαδίζον ἢ κινύμενον, ὡς τὸ ἐκεί-
α μὲν οὖν οὕτω, τὸ ἔσχατον οὐσία· ὅσα δὲ μὴ
λ' εἶδός τι καὶ τόδε τι τὸ κατηγορούμενον, τὸ
ὕλη καὶ ὐσία ὑλική. καὶ ὀρθῶς δὴ συμβαίνει τὸ

ἐκείνινον λέγεσθαι κατὰ τὴν ὕλην καὶ τὰ πάθη· ἄμφω γὰρ ἀόριστα. πότε μὲν οὖν λεκτέον δυνάμει καὶ πότε οὔ, εἴρηται.

Ἐπεὶ δὲ τὸ πρότερον διώρισται ποσαχῶς λέγεται, 8
φανερὸν ὅτι πρότερον ἐνέργεια δυνάμεώς ἐστιν. λέγω δὲ δυνάμεως οὐ μόνον τῆς ὡρισμένης ἣ λέγεται ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ᾗ ἄλλο, ἀλλ' ὅλως πάσης ἀρχῆς κινητικῆς ἢ στατικῆς. καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ γίγνεται· ἐν ταὐτῷ γὰρ γένει τῇ δυνάμει· ἀρχὴ γὰρ κινητική, ἀλλ' ὐκ ἐν ἄλλῳ ἀλλ' ἐν αὐτῷ ᾗ αὐτό. πάσης δὴ τῆς τοιαύτης προτέρα ἐςὶν ἡ ἐνέργεια καὶ λόγῳ καὶ τῇ ὐσίᾳ· χρόνῳ δ' ἔςι μὲν ὥς, ἔςι δ' ὡς ὔ. τῷ λόγῳ μὲν ὖν ὅτι προτέρα, δῆλον· τῷ γὰρ ἐνδέχεσθαι ἐνεργῆσαι δυνατόν ἐςι τὸ πρώτως δυνατόν, οἷον λέγω οἰκοδομικὸν τὸ δυνάμενον οἰκοδομεῖν, καὶ ὁρατικὸν τὸ ὁρᾶν, καὶ ὁρατὸν τὸ δυνατὸν ὁρᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὥς' ἀνάγκη τὸν λόγον προϋπάρχειν καὶ τὴν γνῶσιν τῆς γνώσεως. τῷ δὲ χρόνῳ πρότερον τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργῦν πρότερον, ἀριθμῷ δ' ὔ. λέγω δὲ τῦτο ὅτι τῦδε μὲν τῦ ἀνθρώπυ τῦ ἤδη ὄντος κατ' ἐνέργειαν καὶ τῦ σίτυ καὶ τῦ ὁρῶντος πρότερον τῷ χρόνῳ ἡ ὕλη καὶ τὸ σπέρμα καὶ τὸ ὁρατικόν, ἃ δυνάμει μέν ἐστιν ἄνθρωπος καὶ σῖτος καὶ ὁρῶν, ἐνεργείᾳ δ' ὔπω. ἀλλὰ τύτων πρότερα τῷ χρόνῳ ἕτερα ὄντα ἐνεργείᾳ, ἐξ ὧν ταῦτα ἐγένετο· ἀεὶ γὰρ ἐκ τῦ δυνάμει ὄντος γίγνεται τὸ ἐνεργείᾳ ὂν ὑπὸ ἐνεργείᾳ ὄντος, οἷον ἄνθρωπος ἐξ ἀνθρώπυ, μυσικὸς ὑπὸ μυσικῦ, ἀεὶ κινῦντός τινος πρώτυ· τὸ δὲ κινῦν ἐνεργείᾳ ἤδη ἐςίν. εἴρηται δ' ἐν τοῖς περὶ τῆς ὐσίας λόγοις ὅτι ἅπαν τὸ γιγνόμενον γίγνεται ἔκ τινός τι καὶ ὑπό τινος, καὶ τῦτο τῷ εἴδει τὸ αὐτό. διὸ καὶ δοκεῖ ἀδύνατον εἶναι οἰκοδόμον εἶναι μὴ οἰκοδομήσαντα μηθὲν ἢ κιθαριςὴν μηθὲν κιθαρίσαντα· ὁ γὰρ μανθάνων κιθαρίζειν κιθαρίζων μανθάνει κιθαρίζειν, ὁμοίως δὲ καὶ οἱ ἄλλοι. ὅθεν ὁ σοφιστικὸς ἔλεγχος ἐγίγνετο ὅτι οὐκ ἔχων τις τὴν ἐπιςήμην ποιήσει ὖ ἡ ἐπιςήμη· ὁ γὰρ μανθάνων ὐκ ἔχει, ἀλλὰ διὰ τὸ τοῦ γιγνομένου γεγενῆσθαί τι καὶ τῦ ὅλως κινουμένου κεκινῆσθαί τι (δῆλον δ' ἐν τοῖς περὶ κινήσεως

νάμει ἄνθρωπος *ET*. ‖ 2. τότε] τότε πῶς *T*, τοῦτό πως *E*, τοῦτο γρ *E*. ‖ 3. ἂν] δὴ A^b. ‖ 8. τῶν] τῷ *E*. ‖ 9. εἰ — 10.
A^b. ‖ 9. τῶν om *T*. ‖ 15. μεταβαλεῖν *E*. ‖ δ' om *T*. ‖ 16. ἐκεῖνα *E*. ‖ 20. ξύλον ἡ γῆ *T*. ‖ 21. ἀλλ' ἐκείνινον ἀεὶ
ἀεὶ ἐκεῖνο δὲ δυνάμει *E*, om γρ *E*. δυνάμει om A^b. ‖ τὸ ὕςερον] ὃ τὸ προσεχὲς καὶ τελευταῖον γρ *E*. ‖ 24. ἁπλῦ *T*. ‖ τοδὶ]
τὸ add EA^b. ‖ ἐςι τὸ πρῶτον *T*. ‖ 25. ἄλλο A^b et margo *E*, qui γρ κατ' ἄλλο ἀλλ' ἐκεῖνο αὐτὸ δηλονότι. ‖ ἐκεῖνο ὂν
‖ 27. ὡς] οὐ *T*, εἰ δὲ A^b. ‖ καὶ om ETA^b. ‖ ὔσα *ET*. ‖ 28 τῷ] τὸ *T*. ‖ εἶναι] καὶ *T*, om *E*. ‖ 31. ἐγγινομένης
ω A^b. ‖ 33. ἢ κίνησις] ἡ κίνησις *T*, οὐδὲ κίνησις A^b. ‖ τὸ] τε A^b.
ῶτον *T*. ‖ ὁσαχῶς *ET*. ‖ 5. ὅτι τὸ πρότερον *T*. ‖ 6. ἀρχὴ om *T*. ‖ 8. γίγνεται δυνάμει· ἐν *E*. γίγνεται — 9. ταὐτῷ γὰρ
‖ 10. δὲ *T*. ‖ 13. τῷ] τὸ *E*. ‖ 18. τὸ τῷ] ὧδε τὸ τῷ A^b. ‖ 21. ἃ om A^b. ‖ 22. ἔσται A^b. ‖ 23. τῷ χρόνῳ πρότερα
. τὸ om A^b. ‖ ὑπὸ ἐνεργείας ὄντος *E*, om A^b. ‖ 27. ἐνέργεια *T*. ‖ 28. πᾶν A^b. ‖ 35. καὶ — 36. τι om *T*.

τῦτο) καὶ τὸν μανθάνοντα ἀνάγκη ἔχειν τι τῆς ἐπιςήμης ἴσως. ἀλλ᾽ οὖν καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον. ἀλλὰ μὴν καὶ οὐσίᾳ γε, πρῶτον μὲν ὅτι τὰ τῇ γενέσει ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα, οἷον ἀνὴρ παιδὸς καὶ ἄνθρωπος σπέρματος· τὸ μὲν γὰρ ἤδη ἔχει τὸ εἶδος, τὸ δ᾽ ὔ. καὶ ὅτι ἅπαν ἐπ᾽ ἀρχὴν βαδίζει τὸ γιγνόμενον καὶ τέλος· ἀρχὴ γὰρ τὸ οὗ ἕνεκα, τοῦ τέλυς δ᾽ ἕνεκα ἡ γένεσις. τέλος δ᾽ ἡ ἐνέργεια, καὶ τούτυ χάριν ἡ δύναμις λαμβάνεται· ὐ γὰρ ἵνα ὄψιν ἔχωσιν ὁρῶσι τὰ ζῶα, ἀλλ᾽ ὅπως ὁρῶσιν ὄψιν ἔχυσιν. ὁμοίως δὲ καὶ οἰκοδομικὴν ἵνα οἰκοδομῶσι, καὶ τὴν θεωρητικὴν ἵνα θεωρῶσιν· ἀλλ᾽ ὐ θεωροῦσιν ἵνα θεωρητικὴν ἔχωσιν, εἰ μὴ οἱ μελετῶντες· οὗτοι δ᾽ οὐχὶ θεωροῦσιν ἀλλ᾽ ἢ ὡδὶ ἢ ὅτι ὐθὲν δέονται θεωρεῖν. ἔτι ἡ ὕλη ἐστὶ δυνάμει, ὅτι ἔλθοι ἂν εἰς τὸ εἶδος· ὅταν δέ γ᾽ ἐνεργείᾳ ᾖ, τότε ἐν τῷ εἴδει ἐςίν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων καὶ ὧν κίνησις τὸ τέλος. διὸ ὥσπερ οἱ διδάσκοντες ἐνεργῦντα ἐπιδείξαντες οἴονται τὸ τέλος ἀποδεδωκέναι, καὶ ἡ φύσις ὁμοίως. εἰ γὰρ μὴ οὕτω γίγνεται, ὁ Παύσωνος ἔσται Ἑρμῆς· ἄδηλος γὰρ καὶ ἡ ἐπιστήμη εἰ ἔσω ἢ ἔξω, ὥσπερ κἀκεῖνος· τὸ γὰρ ἔργον τέλος, ἡ δὲ ἐνέργεια τὸ ἔργον. διὸ καὶ τὔνομα ἐνέργεια λέγεται κατὰ τὸ ἔργον, καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν. ἐπεὶ δ᾽ ἐςὶ τῶν μὲν ἔσχατον ἡ χρῆσις, οἷον ὄψεως ἡ ὅρασις, καὶ ὐθὲν γίγνεται παρὰ ταύτην ἕτερον ἀπὸ τῆς ὄψεως ἔργον, ἀπ᾽ ἐνίων δὲ γίγνεταί τι, οἷον ἀπὸ τῆς οἰκοδομικῆς οἰκία παρὰ τὴν οἰκοδόμησιν, ὅμως ὐθὲν ἧττον ἔνθα μὲν τέλος ἔνθα δὲ μᾶλλον τέλος τῆς δυνάμεώς ἐστιν. ἡ γὰρ οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἅμα γίγνεται καὶ ἔστι τῇ οἰκίᾳ. ὅσων μὲν οὖν ἕτερόν τί ἐςι παρὰ τὴν χρῆσιν τὸ γιγνόμενον, τύτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιυμένῳ ἐςίν, οἷον ἥ τε οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ καὶ ἡ ὕφανσις ἐν τῷ ὑφαινομένῳ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ ὅλως ἡ κίνησις ἐν τῷ κινουμένῳ· ὅσων δὲ μή ἐςιν ἄλλο τι ἔργον παρὰ τὴν ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει ἡ ἐνέργεια, οἷον ἡ ὅρασις ἐν τῷ ὁρῶντι καὶ ἡ θεωρία ἐν τῷ θεωροῦντι καὶ ἡ ζωὴ ἐν τῇ ψυχῇ. διὸ καὶ ἡ εὐδαιμονία· ζωὴ γὰρ ποιά τις ἐςίν. ὥςε φανερὸν ὅτι ἡ οὐσία καὶ τὸ εἶδος ἐνέργειά ἐςιν. κατά τε δὴ τοῦτον τὸν λόγον φανερὸν ὅτι πρότερον τῇ ὐσίᾳ ἐνέργεια δυνάμεως· καὶ ὥσπερ εἴπομεν, τῦ χρόνυ ἀεὶ προλαμβάνει ἐνέργεια ἑτέρα πρὸ ἑτέρας ἕως τῆς τοῦ ἀεὶ κινῦντος πρώτως. ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν γὰρ ἀΐδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν, ἔστι δ᾽ οὐθὲν δυνάμει ἀΐδιον. λόγος δὲ ὅδε. πᾶσα δύναμις ἅμα τῆς ἀντιφάσεώς ἐςιν· τὸ μὲν γὰρ μὴ δυνατὸν ὑπάρχειν οὐκ ἂν ὑπάρξειεν ὐθενί, τὸ δυνατὸν δὲ πᾶν ἐνδέχεται μὴ ἐνεργεῖν. τὸ ἄρα δυνατὸν εἶναι ἐνδέχεται καὶ εἶναι καὶ μὴ εἶναι· τὸ αὐτὸ ἄρα δυνατὸν καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ δυνατὸν μὴ εἶναι ἐνδέχεται μὴ εἶναι· τὸ δ᾽ ἐνδεχόμενον μὴ εἶναι φθαρτόν, ἢ ἁπλῶς, ἢ τῦτο αὐτὸ ὃ λέγεται ἐνδέχεσθαι μὴ εἶναι, ἢ κατὰ τόπον ἢ κατὰ ποσὸν ἢ ποιόν· ἁπλῶς δὲ τὸ κατ᾽ ὐσίαν. ὐθὲν ἄρα τῶν ἀφθάρτων ἁπλῶς δυνάμει ἐςὶν ὂν ἁπλῶς· κατά τι δ᾽ ὐθὲν κωλύει, οἷον ποιὸν ἢ πού· ἐνεργείᾳ ἄρα πάντα. ὐδὲ τῶν ἐξ ἀνάγκης ὄντων, καίτοι ταῦτα πρῶτα· εἰ γὰρ ταῦτα μὴ ἦν, οὐθὲν ἂν ἦν. ὐδὲ δὴ κίνησις, εἴ τίς ἐςιν ἀΐδιος. ὐδ᾽ εἴ τι κινύμενον ἀΐδιον, ὐκ ἔςι κατὰ δύναμιν κινύμενον ἀλλ᾽ ἢ πόθεν ποῖ· τύτου δ᾽ ὕλην ὐθὲν κωλύει ὑπάρχειν. διὸ ἀεὶ ἐνεργεῖ ἥλιος καὶ ἄςρα καὶ ὅλος ὁ ὐρανός, καὶ οὐ φοβερὸν μή ποτε ςῇ, ὃ φοβῦνται οἱ περὶ φύσεως. οὐδὲ κάμνει τοῦτο δρῶντα· οὐ γὰρ περὶ τὴν δύναμιν τῆς ἀντιφάσεως αὐτοῖς, οἷον τοῖς φθαρτοῖς, ἡ κίνησις, ὥςε ἐπίπονον εἶναι τὴν συνέχειαν τῆς κινήσεως· ἡ γὰρ ὐσία ὕλη καὶ δύναμις ὖσα, ὐκ ἐνέργεια, αἰτία τύτου. μιμεῖται δὲ τὰ ἄφθαρτα καὶ τὰ ἐν μεταβολῇ ὄντα, οἷον γῆ καὶ πῦρ. καὶ γὰρ ταῦτα ἀεὶ ἐνεργεῖ· καθ᾽ αὑτὰ γὰρ καὶ ἐν αὑτοῖς ἔχει τὴν κίνησιν. αἱ δ᾽ ἄλλαι δυνάμεις, ἐξ ὧν διώρισαι, πᾶσαι τῆς ἀντιφάσεώς εἰσιν· τὸ γὰρ δυνάμενον ὡδὶ κινεῖν δύναται καὶ μὴ ὡδί, ὅσα γε κατὰ λόγον. αἱ δ᾽ ἄλογοι τῷ παρεῖναι καὶ μὴ τῆς ἀντιφάσεως ἔσονται αἱ αὐταί. εἰ ἄρα τινές εἰσι φύσεις τοιαῦται ἢ ὐσίαι οἵας λέγυσιν οἱ ἐν τοῖς λόγοις τὰς ἰδέας, πολὺ μᾶλλον ἐπιςῆμον ἄν τι εἴη ἢ αὐτὸ ἐπιςήμη

4. τὰ τῇ] ταύτῃ T. ‖ 8. τὸ οὗ] ὅτου A^b. ‖ 10. τὰ ζῶα ὁρῶσιν T. ‖ 13. θεωρητικὴν om A^b. ‖ 14. οὐχ ἢ θεωροῦσιν ἀλλ᾽ ἢ ET. ‖ ἢ post ὡδὶ om A^b. ‖ 16. γ᾽ om ET. ‖ 17. διὸ — 18. τέλος om E. ‖ 20. πάσωνος F^b, πάσσωνος TA^b. ‖ ἑρμῆς ἔσται E, ἑρμῆς T. ‖ καὶ om A^b. ‖ 22. λέγεται ἐνέργεια A^b. ‖ 24. ἐσχάτων A^b. ‖ ἡ post ὄψεως om ET. ‖ ὅρασιν T. ‖ 25. ἔργον om A^b. ‖ ἐν E. ‖ 35. ἡ δ᾽ ἐνέργεια A^b.

2. ἐνέργειά τις ἐςι T. ‖ 5. τοῦ] τῷ χρόνῳ T. ‖ 10. ὑπάρξῃ ἐν A^b. ‖ 11. τὸ ἄρα] ἐν παρὰ T. ‖ καὶ ante εἶναι om A^b. ‖ 12. τὸ αὐτὸ] τοῦτο T. ‖ 15. κατὰ τὸ ποσὸν A^b. ‖ ἢ κατὰ τὸ ποιόν T. ‖ 16. φθαρτῶν ET. ‖ 17. ὂν om A^b. ‖ κατά om ET. ‖ 18. καὶ ταῦτα A^b. ‖ 19. ταῦτα μὴ] αὐτὰ μὴ A^bF^b. ‖ 21. ἡ A^b. ‖ τῦτο A^b. ‖ 23. ὅλως T. ‖ 25. περὶ] ὑπὲρ E, κατὰ T, εἶναι om E. ‖ 27. δυνάμει E. ‖ ὖσα om ET. ‖ ὐδ᾽ F^b. ‖ ἐνεργεία ET. ‖ 28. αἰτιατοῦ μιμεῖται T. ‖ φθαρτὰ A^bF^b. ‖ 30. αὐτὸ ET. ‖ 33. αἱ] ὅσαι E. ‖ 34. αὗται A^b. ‖ 35. εἰ om A^b.

ούμενον ἢ κίνησις· ταῦτα γὰρ ἐνέργειαι μᾶλλον, δὲ δυνάμεις τύτων. ὅτι μὲν ὖν πρότερον ἡ ἐνέργεια άμεως καὶ πάσης ἀρχῆς μεταβλητικῆς, φανερόν.

τι δὲ καὶ βελτίων καὶ τιμιωτέρα τῆς σπουδαίας ως ἡ ἐνέργεια, ἐκ τῶνδε δῆλον. ὅσα γὰρ κατὰ τὸ ι λέγεται, ταὐτόν ἐστι δυνατὸν τἀναντία, οἷον τὸ ι λεγόμενον ὑγιαίνειν ταὐτόν ἐστι καὶ τὸ νοσοῦν, α· ἡ αὐτὴ γὰρ δύναμις τῦ ὑγιαίνειν καὶ κάμνειν, εμεῖν καὶ κινεῖσθαι, καὶ οἰκοδομεῖν καὶ καταβάλ- ὶ οἰκοδομεῖσθαι καὶ καταπίπτειν. τὸ μὲν οὖν δύ- τἀναντία ἅμα ὑπάρχει, τὰ δ᾽ ἐναντία ἅμα ἀδύ- καὶ τὰς ἐνεργείας δὲ ἅμα ἀδύνατον ὑπάρχειν, οἷον ν καὶ κάμνειν. ὥστ᾽ ἀνάγκη τούτων θάτερον εἶναι ν. τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον ἢ οὐδέτερον· ἐνέργεια βελτίων. ἀνάγκη δὲ καὶ ἐπὶ τῶν κακῶν ς καὶ τὴν ἐνέργειαν εἶναι χεῖρον τῆς δυνάμεως· τὸ νάμενον ταὐτὸ ἄμφω τἀναντία. δῆλον ἄρα ὅτι ὖκ κακὸν παρὰ τὰ πράγματα· ὕςερον γὰρ τῇ φύσει ὸν τῆς δυνάμεως. οὐκ ἄρα οὐδ᾽ ἐν τοῖς ἐξ ἀρχῆς ς ἀϊδίοις οὐθέν ἐςιν οὔτε κακὸν ὖτε ἁμάρτημα ὖτε μένον· καὶ γὰρ ἡ διαφθορὰ τῶν κακῶν ἐςίν. εὑρί- δὲ καὶ τὰ διαγράμματα ἐνεργείᾳ· διαιρῦντες γὰρ τιν. εἰ δ᾽ ἦν διῃρημένα, φανερὰ ἂν ἦν· νῦν δ᾽ ἐνυ- δυνάμει. διὰ τί δύο ὀρθαὶ τὸ τρίγωνον; ὅτι αἱ ίαν ςιγμὴν γωνίαι ἴσαι δύο ὀρθαῖς. εἰ οὖν ἀνῆκτο ὶ τὴν πλευράν, ἰδόντι ἂν ἦν εὐθὺς δῆλον. διὰ τί κυκλίῳ ὀρθὴ καθόλου; διότι ἐὰν ἴσαι τρεῖς, ἥ τε δύο καὶ ἡ ἐκ μέσυ ἐπιςαθεῖσα ὀρθή, ἰδόντι δῆλον ῦο εἰδότι. ὥστε φανερὸν ὅτι τὰ δυνάμει ὄντα εἰς ν ἀναγόμενα εὑρίσκεται. αἴτιον δ᾽ ὅτι νόησις ἡ . ὥςτ᾽ ἐξ ἐνεργείας ἡ δύναμις· καὶ διὰ τῦτο ποιῦν- γνώσκουσιν· ὕςερον γὰρ γενέσει ἡ ἐνέργεια ἡ κατ᾽ .

πεὶ δὲ τὸ ὂν λέγεται καὶ τὸ μὴ ὂν τὸ μὲν κατὰ ματα τῶν κατηγοριῶν, τὸ δὲ κατὰ δύναμιν ἢ ἐνέρ- γειαν τούτων ἢ τἀναντία, τὸ δὲ κυριώτατα ὂν ἀληθὲς ἢ ψεῦδος, τῦτο δ᾽ ἐπὶ τῶν πραγμάτων ἐςὶ τῷ συγκεῖσθαι ἢ διῃρῆσθαι, ὥςε ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος διαιρεῖσθαι καὶ τὸ συγκείμενον συγκεῖσθαι, ἔψευσται δὲ ὁ ἐναντίως ἔχων ἢ τὰ πράγματα, πότ᾽ ἐςὶν ἢ ὐκ ἔςι τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; τοῦτο γὰρ σκεπτέον τί λέγομεν. οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι ἀληθῶς σε λευκὸν εἶναι εἶ σὺ λευκός, ἀλλὰ διὰ τὸ σὲ εἶναι λευκὸν ἡμεῖς οἱ φάντες τῦτο ἀληθεύομεν. εἰ δὴ τὰ μὲν ἀεὶ σύγκειται καὶ ἀδύνατα διαιρεθῆναι, τὰ δ᾽ ἀεὶ διῄρηται καὶ ἀδύνατα συντεθῆναι, τὰ δ᾽ ἐνδέχεται τἀναντία, τὸ μὲν εἶναί ἐςι τὸ συγκεῖσθαι καὶ ἓν εἶναι, τὸ δὲ μὴ εἶναι τὸ μὴ συγκεῖσθαι ἀλλὰ πλείω εἶναι. περὶ μὲν ὖν τὰ ἐνδεχόμενα ἡ αὐτὴ γίγνεται ψευδὴς καὶ ἀληθὴς δόξα καὶ ὁ λόγος ὁ αὐτός, καὶ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν ὁτὲ δὲ ψεύδεσθαι· περὶ δὲ τὰ ἀδύνατα ἄλλως ἔχειν ὐ γίγνεται ὁτὲ μὲν ἀληθὲς ὁτὲ δὲ ψεῦδος, ἀλλ᾽ ἀεὶ ταῦτα ἀληθῆ καὶ ψευδῆ. περὶ δὲ δὴ τὰ ἀσύνθετα τί τὸ εἶναι ἢ μὴ εἶναι καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; ὐ γάρ ἐςι σύνθετον, ὥστε εἶναι μὲν ὅταν συγκέηται, μὴ εἶναι δὲ ἐὰν διῃρημένον ᾖ, ὥσπερ τὸ λευκὸν ξύλον ἢ τὸ ἀσύμμετρον τὴν διάμετρον· ὐδὲ τὸ ἀληθὲς καὶ ψεῦδος ὁμοίως ἔτι ὑπάρξει καὶ ἐπ᾽ ἐκείνων. ἢ ὥσπερ οὐδὲ τὸ ἀληθὲς ἐπὶ τύτων τὸ αὐτό, ὖτως ὐδὲ τὸ εἶναι, ἀλλ᾽ ἔςι τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος, τὸ μὲν θιγεῖν καὶ φάναι ἀληθές (ὐ γὰρ ταὐτὸ κατάφασις καὶ φάσις), τὸ δ᾽ ἀγνοεῖν μὴ θιγγάνειν· ἀπατηθῆναι γὰρ περὶ τὸ τί ἐςιν ὐκ ἔςιν ἀλλ᾽ ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ περὶ τὰς μὴ συνθετὰς ὐσίας· ὐ γὰρ ἔςιν ἀπατηθῆναι. καὶ πᾶσαί εἰσιν ἐνεργείᾳ, ὐ δυνάμει· ἐγίγνοντο γὰρ ἂν καὶ ἐφθείροντο· νῦν δὲ τὸ ὂν αὐτὸ ὐ γίγνεται ὐδὲ φθείρεται· ἔκ τινος γὰρ ἂν ἐγίγνετο. ὅσα δή ἐςιν ὅπερ εἶναί τι καὶ ἐνεργείᾳ, περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι ἀλλ᾽ ἢ νοεῖν ἢ μή. ἀλλὰ τὸ τί ἐστι ζητεῖται περὶ αὐτῶν, εἰ τοιαῦτά ἐστιν ἢ μή. τὸ δ᾽ εἶναι ὡς τὸ ἀληθές, καὶ τὸ μὴ εἶναι ὡς τὸ ψεῦδος, ἓν μέν ἐςιν, εἰ σύγκειται, ἀληθές· τὸ δ᾽ εἰ μὴ σύγκειται, ψεῦδος. τὸ δὲ ἕν, εἴπερ ὄν, ὖτως ἐςίν·

κινήσεις T. ‖ 3. καὶ ante δυνάμεως om F^b. ‖ 4. καὶ post δὲ om A^bF^b. ‖ 7. δύνασθαι τὸ λεγόμενον A^b. ‖ 8. καὶ ante ἅμα ‖ 11. ἅμα ὑπάρχειν T, ὑπάρχει ἅμα A^b. ‖ ἅμα ἀδύνατον — 12. ἅμα om ET. ‖ 15. βέλτιον ET. ‖ 18. τὸ] τι τὸ ET. ‖ om E. ‖ 22. δὲ] γὰρ F^b. ‖ 23. δ᾽ ἦν] δ᾽ ἢ A^b. ‖ 24. τὸ om F^b. ‖ 25. μίαν τὴν ςιγμὴν T. ‖ ἀνῆκτο ἡ] ἀνάγκη τὸ T. ‖ E. ‖ 34. ἐπειδὴ F^b. ‖ λέγομεν F^b. ‖ τὸ μὲν] τὰ μὲν A^bF^b. ‖ 35. τὸ] τὰ F^b.

κυριώτατον E. ‖ ὂν] ἢ T, εἰ E. ‖ 2. δ᾽ ἐπὶ] δὴ ἔτι A^b. ‖ τὸ ET. ‖ 3. διατηρεῖσθαι T. ‖ ὥςε — διαιρεῖσθαι om T. ‖ A^b. ‖ διαιρεῖσθαι] διῃρῆσθαι A^b. ‖ 5. ἢ ante τὰ om T. ‖ τὸ] ὡς τὸ E, ὥςε τὸ T. ‖ 7. σε ante ἀληθῶς E, om T. ‖ εἶ — om A^b. ‖ 10. ἀεὶ] εἰ T. ‖ συνθεῖναι A^b. ‖ 11. τὸ ἓν εἶναι καὶ συγκεῖσθαι T. ‖ 16. γίγνεται ὐδὲ ὁτὲ A^b. ‖ 17. ἀεὶ] εἰά T. ‖ ante ψεῦδος om T. ‖ 19. ὅταν] ἐὰν A^b. ‖ σύγκειται E. ‖ 20. ἐὰν μὴ διῃρημένον T. ‖ 21. καὶ ψεῦδος] καὶ τὸ ψεῦδος E, ἢ τὸ T. ‖ 22. ὑπ᾽ T. ‖ ἀληθὲς ἐν ἐπὶ ET. ‖ 23. τὸ δὲ] ἢ ETA^b. ‖ 24. τοῦτο T. ‖ 25. ἀπόφασις T. καὶ φάσις om E. ‖ 27. μὴ ‖ 28. ἐνέργειαι A^b. ‖ ὐ] ἢ T. ‖ γὰρ om T. ‖ 32. τί om A^b. ‖ ἤ τι αὐτά T. ‖ 34. ὡς τὸ] τὸ ὡς A^b, τὸ ὡς τὸ T.

τὸ κυριώτατα ὂν ἀληθὲς ψεῦδος

εἰ δὲ μὴ οὕτως, οὐκ ἔστιν. τὸ δὲ ἀληθὲς τὸ νοεῖν αὐτά· τὸ δὲ ψεῦδος οὐκ ἔστιν, οὐδ' ἀπάτη, ἀλλ' ἄγνοια, οὐχ οἵα ἡ τυφλότης· ἡ μὲν γὰρ τυφλότης ἐστὶν ὡς ἂν εἰ τὸ νοητικὸν ὅλως μὴ ἔχοι τις. φανερὸν δὲ καὶ ὅτι περὶ τῶν ἀκινήτων οὐκ ἔστιν ἀπάτη κατὰ τὸ ποτέ, εἴ τις ὑπολαμβάνει ἀκίνητα. οἷον τὸ τρίγωνον εἰ μὴ μεταβάλλειν οἴεται, οὐκ οἰήσεται ποτὲ μὲν δύο ὀρθὰς ἔχειν ποτὲ δ' οὔ (μεταβάλλοι γὰρ ἄν), ἀλλὰ τὶ μὲν τὶ δ' οὔ, οἷον ἄρτιον ἀριθμὸν πρῶτον εἶναι μηθένα, ἢ τινὰς μὲν τινὰς δ' οὔ. ἀριθμῷ δὲ περὶ ἕνα οὐδὲ τοῦτο· οὐ γὰρ ἔτι τινὰ μὲν τινὰ δ' οὐκ οἰήσεται, ἀλλ' ἀληθεύσει ἢ ψεύσεται ὡς ἀεὶ οὕτως ἔχοντος.

Ι.

Τὸ ἓν ὅτι μὲν λέγεται πολλαχῶς, ἐν τοῖς περὶ τοῦ ποσαχῶς διῃρημένοις εἴρηται πρότερον· πλεοναχῶς δὲ λεγομένου, οἱ συγκεφαλαιούμενοι τρόποι εἰσὶ τέτταρες τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων ἕν, ἀλλὰ μὴ κατὰ συμβεβηκός. τό τε γὰρ συνεχὲς ἢ ἁπλῶς ἢ μάλιστά γε τὸ φύσει καὶ μὴ ἁφῇ μηδὲ δεσμῷ· καὶ τούτων μᾶλλον ἓν καὶ πρότερον, οὗ ἀδιαιρετωτέρα ἡ κίνησις καὶ μᾶλλον ἁπλῆ. ἔτι τοιοῦτον καὶ μᾶλλον τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος· μάλιστα δ' εἴ τι φύσει τοιοῦτον καὶ μὴ βίᾳ, ὥσπερ ὅσα κόλλῃ ἢ γόμφῳ ἢ συνδέσμῳ, ἀλλ' ἔχει ἐν αὑτῷ τὸ αἴτιον αὑτῷ τοῦ συνεχὲς εἶναι. τοιοῦτον δὲ τῷ μίαν τὴν κίνησιν εἶναι καὶ ἀδιαίρετον τόπῳ καὶ χρόνῳ, ὥστε φανερόν, εἴ τι φύσει κινήσεως ἀρχὴν ἔχει τῆς πρώτης τὴν πρώτην, οἷον λέγω φορᾶς κυκλοφορίαν, ὅτι τοῦτο πρῶτον μέγεθος ἕν. τὰ μὲν δὴ οὕτως ἓν ᾗ συνεχὲς ἢ ὅλον, τὰ δὲ ὧν ἂν ὁ λόγος εἷς ᾖ. τοιαῦτα δὲ ὧν ἡ νόησις μία· τοιαῦτα δὲ ὧν ἀδιαίρετος· ἀδιαίρετος δὲ τοῦ ἀδιαιρέτου εἴδει ἢ ἀριθμῷ. ἀριθμῷ μὲν οὖν τὸ καθ' ἕκαστον ἀδιαίρετον, εἴδει δὲ τὸ τῷ γνωστῷ καὶ τῇ ἐπιστήμῃ, ὥσθ' ἓν ἂν εἴη πρῶτον τὸ ταῖς οὐσίαις αἴτιον τοῦ ἑνός. λέγεται μὲν οὖν τὸ ἓν τοσαυταχῶς, τό τε συνεχὲς φύσει καὶ τὸ ὅλον, καὶ τὸ καθ' ἕκαστον καὶ τὸ καθ' ὅλου. πάντα δὲ ταῦτα ἓν τῷ ἀδιαίρετον εἶναι τῶν μὲν τὴν κίνησιν, τῶν δὲ τὴν νόησιν ἢ τὸν λόγον. δεῖ δὲ κατανοεῖν ὅτι οὐχ ὡσαύτως ληπτέον λέγεσθαι ποῖά τε ἓν λέγεται, καὶ τί ἐστι τὸ ἑνὶ εἶναι, καὶ τίς αὐτοῦ λόγος. λέγεται μὲν γὰρ τὸ ἓν τοσαυταχῶς, καὶ ἕκαστον ἔσται ἓν τούτων, ᾧ ἂν ὑπάρχῃ τις τούτων τῶν τρόπων· τὸ δὲ ἑνὶ εἶναι ὁτὲ μὲν τούτων τινὶ ἔσται, ὁτὲ δὲ ἄλλῳ, ὃ καὶ μᾶλλον ἐγγὺς τῷ ὀνόματί ἐστι, τῇ δυνάμει δ' ἐκεῖνα, ὥσπερ καὶ περὶ στοιχείου καὶ αἰτίου εἰ δέοι λέγειν ἐπί τε τοῖς πράγμασι διορίζοντα καὶ τοῦ ὀνόματος ὅρον ἀποδιδόντα. ἔστι μὲν γὰρ ὡς στοιχεῖον τὸ πῦρ (ἔστι δ' ἴσως καθ' αὑτὸ καὶ τὸ ἄπειρον ἤ τι ἄλλο τοιοῦτον), ἔστι δ' ὡς οὔ· οὐ γὰρ τὸ αὐτὸ πυρὶ καὶ στοιχείῳ εἶναι, ἀλλ' ὡς μὲν πρᾶγμά τι καὶ φύσις τὸ πῦρ στοιχεῖον, τὸ δὲ ὄνομα σημαίνει τὸ τοδὶ συμβεβηκέναι αὐτῷ, ὅτι ἐστί τι ἐκ τούτου ὡς πρώτου ἐνυπάρχοντος. οὕτω καὶ ἐπὶ αἰτίου καὶ ἑνὸς καὶ τῶν τοιούτων ἁπάντων. διὸ καὶ τὸ ἑνὶ εἶναι τὸ ἀδιαιρέτῳ ἐστὶν εἶναι, ὅπερ τῷδε ὄντι καὶ ἀχωρίστῳ ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ, ἢ καὶ τῷ ὅλῳ καὶ ἀδιαιρέτῳ. μάλιστα δὲ τὸ μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ· ἐντεῦθεν γὰρ ἐπὶ τὰ ἄλλα ἐλήλυθεν. μέτρον γάρ ἐστιν ᾧ τὸ ποσὸν γιγνώσκεται· γιγνώσκεται δ' ἢ ἑνὶ ἢ ἀριθμῷ τὸ ποσὸν ᾗ ποσόν, ὁ δ' ἀριθμὸς ἅπας ἑνί. ὥστε πᾶν τὸ ποσὸν γιγνώσκεται ᾗ ποσὸν τῷ ἑνί, καὶ ᾧ πρώτῳ ποσὰ γιγνώσκεται, τοῦτο αὐτὸ ἕν· διὸ τὸ ἓν ἀριθμοῦ ἀρχὴ ᾗ ἀριθμός. ἐντεῦθεν δὲ καὶ ἐν τοῖς ἄλλοις λέγεται μέτρον ᾧ πρώτῳ τε ἕκαστον γιγνώσκεται, καὶ τὸ μέτρον ἑκάστου ἓν ἐν μήκει, ἐν πλάτει, ἐν βάθει, ἐν βάρει, ἐν τάχει. τὸ γὰρ βάρος καὶ τάχος κοινὸν ἐν τοῖς ἐναντίοις· διττὸν γὰρ ἑκάτερον αὐτῶν, οἷον βάρος τό τε ὁποσηνοῦν ἔχον ῥοπὴν καὶ τὸ ἔχον ὑπεροχὴν ῥοπῆς, καὶ τάχος τό τε ὁποσηνοῦν κίνησιν ἔχον καὶ τὸ ὑπεροχὴν κινήσεως· ἔστι γάρ τι τάχος καὶ τοῦ βραδέος καὶ βάρος τοῦ κουφοτέρου. ἐν πᾶσι δὴ τούτοις μέτρον καὶ ἀρχὴ ἕν τι καὶ ἀδιαίρετον, ἐπεὶ καὶ ἐν ταῖς γραμμαῖς χρῶνται ὡς ἀτόμῳ τῇ ποδιαίᾳ. πανταχοῦ γὰρ τὸ μέτρον ἕν τι ζητοῦσι καὶ ἀδιαίρετον· τοῦτο δὲ τὸ ἁπλοῦν ἢ τῷ ποιῷ ἢ τῷ ποσῷ. ὅπου μὲν οὖν δοκεῖ μὴ εἶναι ἀφελεῖν ἢ προσθεῖναι, τοῦτο ἀκριβὲς τὸ μέτρον· διὸ

1. ταῦτα A^b. ‖ 2. οἷον A^b. ‖ 3. ἡ μὲν γὰρ τυφλότης om A^b. ‖ 4. ὅτι καὶ A^b. ‖ 6. οἴηται A^b, οἴοιτο F^b. ‖ 10. οὐκ] ὃ χ E. ‖ 15. πλεοναχῶς F^b. ‖ 17. τέσσαρες E. ‖ 18. αὐτὸ E. ‖ 21. οὗ] ὧν A^b. ‖ 23. τι τῇ φύσει ET. ‖ 24. ἐν] τι ἐν A^b. ‖ 25. τοῦ] τὸ E T. ‖ 29. ἢ om ET. ‖ τὸ συνεχὲς ἢ τὸ F^b. ‖ ὧν om ET. ‖ ὁ om T. ‖ 31. δὲ τἀδιαιρέτου T. ‖ 32. τὸ post δὲ add E. ‖ τῷ] τὸ T. ‖ 36. τῷ] τὸ T.

3. ἓν TA^b. ‖ 4. τὸ om A^b. ‖ 5. ὑπάρξῃ F^b. ‖ μὲν τὸ τούτων A^b. ‖ 7. ἐστι, τῇ] ἢ A^b. ‖ 8. αἰτίας T. ‖ 9. ὀνόματος τὸν ὅρον T. ‖ 12. πράγματι καὶ φύσει ET. ‖ 13. ὄνομα ὅλον σημαίνει E, ὄνομα συμβαίνει T. ‖ τῷ T. ‖ 14. οὕτως post 15. αἰτίου T. ‖ 15. καὶ post ἑνὸς om T. ‖ 16. εἶναι τὸ] εἶναι τῷ T. ‖ τόδε ET. ‖ καὶ ἰδίᾳ χωριστῷ A^b. ‖ 17. καὶ post ἢ add ET. ‖ ἀδιαιρέτῳ A^bF^b: vulgo διωρισμένῳ. ‖ 18. τῷ ETA^b. ‖ 19. γὰρ] γὰρ καὶ ET. ‖ 23. ποσὰ add A^bF^b. ‖ 25. τε ᾧ ἕκαστον πρώτῳ A^b. ‖ 28. ὁποστηνοῦν T, ὁσηνοῦν A^b. ‖ 29. καὶ τάχος] καὶ τὸ τάχος A^b. ‖ ὁποστηνοῦν T, ὁπηλικηνοῦν F^b. ‖ 30. τι om A^b. ‖ 31. βαρέος T. ‖ 32. δὲ ET. ‖ 36. προστιθέναι T. ‖ τι T.

θμοῦ ἀκριβέστατον· τὴν γὰρ μονάδα τιθέασι πάντῃ
· ἐν δὲ τοῖς ἄλλοις μιμοῦνται τὸ τοιοῦτον· ἀπὸ
ίου καὶ ταλάντου καὶ ἀεὶ τοῦ μείζονος λάθοι ἂν
εθέν τι καὶ ἀφαιρεθὲν μᾶλλον ἢ ἀπὸ ἐλάττονος.
ου πρώτου κατὰ τὴν αἴσθησιν μὴ ἐνδέχεται, τοῦτο
ιοῦνται μέτρον καὶ ὑγρῶν καὶ ξηρῶν καὶ βάρους
ους· καὶ τότ' οἴονται εἰδέναι τὸ ποσόν, ὅταν εἰ-
τούτου τοῦ μέτρου. καὶ δὴ καὶ κίνησιν τῇ ἁπλῇ
ι τῇ ταχίστῃ· ὀλίγιστον γὰρ αὕτη ἔχει χρόνον.
ἀστρολογίᾳ τὸ τοιοῦτον ἓν ἀρχὴ καὶ μέτρον· τὴν
ρ ὁμαλὴν ὑποτίθενται καὶ ταχίστην τὴν τοῦ οὐρανοῦ,
ρίνουσι τὰς ἄλλας. καὶ ἐν μουσικῇ δίεσις, ὅτι
, καὶ ἐν φωνῇ στοιχεῖον. καὶ ταῦτα πάντα ἕν τι
ὡς κοινόν τι τὸ ἕν, ἀλλ' ὥσπερ εἴρηται. οὐκ ἀεὶ
θμῷ ἓν τὸ μέτρον, ἀλλ' ἐνίοτε πλείω, οἷον αἱ διέ-
αἱ μὴ κατὰ τὴν ἀκοὴν ἀλλ' ἐν τοῖς λόγοις, καὶ
πλείους αἷς μετροῦμεν, καὶ ἡ διάμετρος δυσὶ με-
ι ἡ πλευρὰ καὶ τὰ μεγέθη πάντα. οὕτω δὴ πάν-
ον τὸ ἕν, ὅτι γνωρίζομεν ἐξ ὧν ἐστὶν ἡ οὐσία διαι-
ατὰ τὸ ποσὸν ἢ κατὰ τὸ εἶδος. διὰ τοῦτο τὸ ἓν
, ὅτι τὸ πρῶτον ἑκάστων ἀδιαίρετον. οὐχ ὁμοίως
ἀδιαίρετον, οἷον ποὺς καὶ μονάς, ἀλλὰ τὸ μὲν
δ' εἰς ἀδιαίρετα πρὸς τὴν αἴσθησιν ἐθέλει, ὥσπερ
η· ἴσως γὰρ πᾶν συνεχὲς διαιρετόν. ἀεὶ δὲ συγ-
μέτρον· μεγεθῶν μὲν γὰρ μέγεθος, καὶ καθ' ἕκα-
υς μῆκος, πλάτους πλάτος, φωνῶν φωνή, βάρους
ονάδων μονάς. οὕτω γὰρ δεῖ λαμβάνειν, ἀλλ' οὐχ
ῶν ἀριθμός· καίτοι ἔδει, εἰ ὁμοίως· ἀλλ' οὐχ
ξιοῖ, ἀλλ' ὥσπερ εἰ μονάδων μονάδας ἀξιώσειε
λὰ μὴ μονάδα· ὁ δ' ἀριθμὸς πλῆθος μονάδων.
πιστήμην δὲ μέτρον τῶν πραγμάτων λέγομεν καὶ
σιν διὰ τὸ αὐτό, ὅτι γνωρίζομέν τι αὐτοῖς, ἐπεὶ
μᾶλλον ἢ μετροῦσιν. ἀλλὰ συμβαίνει ἡμῖν ὥσ-
ἄλλου ἡμᾶς μετροῦντος ἐγνωρίσαμεν πηλίκοι ἐσμὲν
ῆχυν ἐπὶ τοσοῦτον ἡμῖν ἐπιβάλλειν. Πρωταγόρας
τόν φησι πάντων εἶναι μέτρον, ὥσπερ ἂν εἰ τὸν

ἐπιστήμονα εἰπὼν ἢ τὸν αἰσθανόμενον· τούτους δ' ὅτι ἔχουσιν ὁ μὲν αἴσθησιν ὁ δὲ ἐπιστήμην, ἅ φαμεν εἶναι μέτρα τῶν ὑποκειμένων. οὐθὲν δὴ λέγων περιττὸν φαίνεταί τι λέγειν. ὅτι μὲν οὖν τὸ ἓν εἶναι μάλιστά ἐστι κατὰ τὸ ὄνομα ἀφορίζοντι μέτρον τι, καὶ κυριώτατα τοῦ ποσοῦ, εἶτα τοῦ ποιοῦ, φανερόν. ἔσται δὲ τοιοῦτον τὸ μὲν ἂν ᾖ ἀδιαίρετον κατὰ τὸ ποσόν, τὸ δὲ ἂν κατὰ τὸ ποιόν· διόπερ ἀδιαίρετον τὸ ἓν ἢ ἁπλῶς ἢ ᾗ ἕν.

2 Κατὰ δὲ τὴν οὐσίαν καὶ τὴν φύσιν ζητητέον ποτέρως ἔχει, καθάπερ ἐν τοῖς διαπορήμασιν ἐπήλθομεν, τί τὸ ἓν ἐστι καὶ πῶς δεῖ περὶ αὐτοῦ λαβεῖν, πότερον ὡς οὐσίας τινὸς οὔσης αὐτοῦ τοῦ ἑνός, καθάπερ οἵ τε Πυθαγόρειοί φασι πρότερον καὶ Πλάτων ὕστερον, ἢ μᾶλλον ὑπόκειταί τις φύσις, καὶ πῶς δεῖ γνωριμωτέρως λεχθῆναι καὶ μᾶλλον ὥσπερ οἱ περὶ φύσεως· ἐκείνων γὰρ ὁ μέν τις φιλίαν εἶναί φησι τὸ ἕν, ὁ δ' ἀέρα, ὁ δὲ τὸ ἄπειρον. εἰ δὲ μηθὲν τῶν καθόλου δυνατὸν οὐσίαν εἶναι, καθάπερ ἐν τοῖς περὶ οὐσίας καὶ περὶ τοῦ ὄντος εἴρηται λόγοις, οὐδ' αὐτὸ τοῦτο οὐσίαν ὡς ἕν τι παρὰ τὰ πολλὰ δυνατὸν εἶναι (κοινὸν γάρ) ἀλλ' ἢ κατηγόρημα μόνον, δῆλον ὡς οὐδὲ τὸ ἕν· τὸ γὰρ ὂν καὶ τὸ ἓν καθόλου κατηγορεῖται μάλιστα πάντων. ὥστε οὔτε τὰ γένη φύσεις τινὲς καὶ οὐσίαι χωρισταὶ τῶν ἄλλων εἰσίν, οὔτε τὸ ἓν γένος ἐνδέχεται εἶναι διὰ τὰς αὐτὰς αἰτίας δι' ἅσπερ οὐδὲ τὸ ὂν οὐδὲ τὴν οὐσίαν. ἔτι δ' ὁμοίως ἐπὶ πάντων ἀναγκαῖον ἔχειν. λέγεται δ' ἰσαχῶς τὸ ὂν καὶ τὸ ἕν· ὥστ' ἐπείπερ ἐν τοῖς ποιοῖς ἐστί τι τὸ ἓν καί τις φύσις, ὁμοίως δὲ καὶ ἐν τοῖς ποσοῖς, δῆλον ὅτι καὶ ὅλως ζητητέον τί τὸ ἕν, ὥσπερ καὶ τί τὸ ὄν, ὡς οὐχ ἱκανὸν ὅτι τοῦτο αὐτὸ ἡ φύσις αὐτοῦ. ἀλλὰ μὴν ἔν γε χρώμασίν ἐστι τὸ ἓν χρῶμα, οἷον τὸ λευκόν, εἰ τὰ ἄλλα ἐκ τούτου καὶ τοῦ μέλανος φαίνεται γιγνόμενα, τὸ δὲ μέλαν στέρησις λευκοῦ, ὥσπερ καὶ φωτὸς σκότος· τοῦτο δ' ἐστὶ στέρησις φωτός. ὥστ' εἰ τὰ ὄντα ἦν χρώματα, ἦν ἂν ἀριθμός τις τὰ ὄντα. ἀλλὰ τίνων; δῆλον δὴ ὅτι χρωμάτων. καὶ τὸ ἓν ἦν ἄν τι ἕν, οἷον τὸ λευκόν. ὁμοίως δὲ καὶ εἰ μέλη τὰ ὄντα ἦν, ἀριθμὸς ἂν ἦν, διέσεων μέντοι, ἀλλ' οὐκ ἀριθμὸς ἡ οὐσία αὐτῶν· καὶ τὸ ἓν ἦν ἄν τι οὗ ἡ οὐσία οὐ

om *E*. ‖ τοὺς *E*, om *T*. ‖ ἀριθμοὺς *E*. ‖ 3. στασίου *T*. ‖ 4. προστιθέν *T*. ‖ ἀπὸ τοῦ ἐλάττονος *T*. ‖ 7. τότ'] τὸ τοιόνδε
τι *TA*[b]. ‖ 9. ὀλιγοστὸν *A*[b]. ‖ 10. τοιοῦτο μὲν *A*[b]. ‖ 13. πάντα ταῦτα *T*. ‖ 15. ἡ δίεσις *F*[b]. ‖ 16. δύο αἱ om *T*. ‖ 17.
. ‖ 18. καὶ τὰ — οὕτω] μεγέθη τινὰ ὄντα δῆλον *A*[b]. ‖ 19. ὅτι] εἰ *T*. ‖ 21. ἑκάστῳ *T*. ‖ 23. πάντως *E*, πάντῃ πάντως *A*[b]. ‖
φωνῆς *ET*. ‖ 32. ἐπεὶ] εἴτε *T*. ‖ 35. ἡμῶν *E*.
χουσιν *A*[b]. ‖ 2. ἃ om *A*[b]. ‖ 3. λέγοντες περιττὸν φαίνονται *TA*[b]. ‖ τι om *T*. ‖ 4. ἐν *ET*. ‖ ἀφορίζοντι] ὃ ἀφορίζουσι *E*
ἔχειν *T*. ‖ 11. περὶ τοῦ αὐτοῦ *T*. ‖ 14. γρ καὶ προσδεῖ γνωριμωτέρως, ἤτοι ἐλλείπει ἐνδέχεται. ‖ 15. τὸ ἕν φησιν *A*[b]. ‖ 17. περὶ
om *T*. ‖ 18. οὐσία *A*[b]. ‖ 20. τὸ γὰρ ὂν καὶ τὸ ἓν om *T*. ‖ 21. φύσει *A*[b]. ‖ 25. τὸ ἓν καὶ τὸ ὂν *T*. ‖ 29. τὸ] τι τὸ *E*. ‖
F[b]. ‖ εἰ] εἶτα *T*. ‖ 33. δηλαδὴ ὅτι *T*. ‖ 35. διέσεως *TA*[b].

Unum – wh
Nothing καθ
can be οὐσία.
Neither ἓν, nor
nor οὐσία, are
genera.

22. Genera are not φύσεις χωρισταί.

τὸ ἓν ἀλλὰ δίεσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φθόγγων στοιχείων ἂν ἦν τὰ ὄντα ἀριθμός, καὶ τὸ ἓν στοιχεῖον φωνῆεν. καὶ εἰ σχήματα εὐθύγραμμα, σχημάτων ἂν ἦν ἀριθμός, καὶ τὸ ἓν τὸ τρίγωνον. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων γενῶν. ὥστ' εἴπερ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς ποιοῖς καὶ ἐν τοῖς ποσοῖς καὶ ἐν κινήσει ἀριθμῶν ὄντων καὶ ἑνός τινος ἐν ἅπασιν ὅ τε ἀριθμὸς τινῶν καὶ τὸ ἓν τι ἕν, ἀλλ' οὐχὶ τοῦτο αὐτοῦ ἡ οὐσία, καὶ ἐπὶ τῶν οὐσιῶν ἀνάγκη ὡσαύτως ἔχειν· ὁμοίως γὰρ ἔχει ἐπὶ πάντων. ὅτι μὲν οὖν τὸ ἓν ἐν παντὶ γένει ἐστί τις φύσις, καὶ οὐθενός τοῦτό γ' αὐτὸ ἡ φύσις τὸ ἕν, φανερόν· ἀλλ' ὥσπερ ἐν χρώμασι χρῶμα ἓν ζητητέον αὐτὸ τὸ ἕν, οὕτω καὶ ἐν οὐσίᾳ οὐσίαν μίαν, αὐτό τε τὸ ἕν. ὅτι δὲ ταὐτὸ σημαίνει πως τὸ ἓν καὶ τὸ ὄν, δῆλον τῷ τε παρακολουθεῖν ἰσαχῶς ταῖς κατηγορίαις καὶ μὴ εἶναι ἐν μηδεμιᾷ, οἷον οὔτ' ἐν τῷ τί ἐστιν οὔτ' ἐν τῷ ποῖον, ἀλλ' ὁμοίως ἔχει ὥσπερ τὸ ὄν, καὶ τῷ μὴ προσκατηγορεῖσθαι ἕτερόν τι τὸ εἷς ἄνθρωπος τοῦ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ εἶναι παρὰ τὸ τί ἢ ποιὸν ἢ ποσόν, καὶ τὸ ἑνὶ εἶναι τὸ ἑκάστῳ εἶναι.

3 Ἀντίκειται δὲ τὸ ἓν καὶ τὰ πολλὰ κατὰ πλείους τρόπους, ὧν ἕνα τὸ ἓν καὶ τὸ πλῆθος ὡς ἀδιαίρετον καὶ διαιρετόν· τὸ μὲν γὰρ ἢ διῃρημένον ἢ διαιρετὸν πλῆθός τι λέγεται, τὸ δὲ ἀδιαίρετον ἢ μὴ διῃρημένον ἕν. ἐπεὶ οὖν αἱ ἀντιθέσεις τετραχῶς, καὶ τούτων κατὰ στέρησιν λέγεται θάτερον, ἐναντία ἂν εἴη, καὶ οὔτε ὡς ἀντίφασις οὔτε ὡς τὰ πρός τι λεγόμενα. λέγεται δ' ἐκ τοῦ ἐναντίου καὶ δηλοῦται τὸ ἓν ἐκ τοῦ διαιρετοῦ τὸ ἀδιαίρετον διὰ τὸ μᾶλλον αἰσθητὸν τὸ πλῆθος εἶναι καὶ τὸ διαιρετὸν ἢ τὸ ἀδιαίρετον, ὥστε τῷ λόγῳ πρότερον τὸ πλῆθος τοῦ ἀδιαιρέτου διὰ τὴν αἴσθησιν. ἔστι δὲ τοῦ μὲν ἑνός, ὥσπερ καὶ ἐν τῇ διαιρέσει τῶν ἐναντίων διεγράψαμεν, τὸ ταὐτὸ καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον. λεγομένου δὲ τοῦ ταὐτοῦ πολλαχῶς, [καὶ] ἕνα μὲν τρόπον κατ' ἀριθμὸν λέγομεν ἐνίοτε αὐτό, τοῦτο δ' ἐὰν καὶ λόγῳ καὶ ἀριθμῷ ἓν ᾖ, οἷον σὺ σαυτῷ καὶ τῷ εἴδει καὶ τῇ ὕλῃ ἕν. ἔτι δ' ἐὰν ὁ λόγος ὁ τῆς πρώτης οὐσίας εἷς ᾖ, οἷον αἱ ἴσαι γραμμαὶ εὐθεῖαι αἱ αὐταί, καὶ τὰ ἴσα καὶ τὰ ἰσογώνια τετράγωνα, καίτοι πλείω· ἀλλ' ἐν τούτοις ἡ ἰσότης ἑνότης. ὅμοια δὲ ἐὰν μὴ ταὐτὰ ἁπλῶς ὄντα, μηδὲ κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν συγκειμένην, κατὰ τὸ εἶδος ταὐτὰ ᾖ, οἷον τὸ μεῖζον τετράγωνον τῷ μικρῷ ὅμοιον, καὶ αἱ ἄνισοι εὐθεῖαι· αὗται γὰρ ὅμοιαι μέν, αἱ αὐταὶ δὲ ἁπλῶς οὔ. τὰ δ' ἐὰν τὸ αὐτὸ εἶδος ἔχοντα, ἐν οἷς τὸ μᾶλλον καὶ ἧττον ἐγγίγνεται, μήτε μᾶλλον ᾖ μήτε ἧττον. τὰ δ' ἐὰν ᾖ τὸ αὐτὸ πάθος καὶ ἓν τῷ εἴδει, οἷον τὸ λευκὸν σφόδρα καὶ ἧττον, ὅμοιά φασιν εἶναι ὅτι ἓν τὸ εἶδος αὐτῶν. τὰ δ' ἐὰν πλείω ἔχῃ ταὐτὰ ἢ ἕτερα, ἢ ἁπλῶς ἢ τὰ πρόχειρα, οἷον καττίτερος ἀργύρῳ ἢ χρυσῷ, χρυσὸς δὲ πυρὶ ᾗ ξανθὸν καὶ πυρρόν. ὥστε δῆλον ὅτι καὶ τὸ ἕτερον καὶ τὸ ἀνόμοιον πολλαχῶς λέγεται. καὶ τὸ μὲν ἄλλο ἀντικειμένως καὶ τὸ ταὐτό, διὸ πᾶν πρὸς ἅπαν ἢ ταὐτὸ ἢ ἄλλο· τὸ δ' ἐὰν μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος εἷς, διὸ σὺ καὶ ὁ πλησίον ἕτερος. τὸ δὲ τρίτον ὡς τὰ ἐν τοῖς μαθηματικοῖς. τὸ μὲν οὖν ἕτερον ἢ ταὐτὸ διὰ τοῦτο πᾶν πρὸς πᾶν λέγεται, ὅσα λέγεται ἓν καὶ ὄν. οὐ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ· διὸ οὐ λέγεται ἐπὶ τῶν μὴ ὄντων (τὸ δὲ μὴ ταὐτὸ λέγεται), ἐπὶ δὲ τῶν ὄντων πάντων· ἢ γὰρ ἓν ἢ οὐχ ἓν πεφυκὸς καὶ ὂν καὶ ἕν. τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκειται, διαφορὰ δὲ καὶ ἑτερότης ἄλλο. τὸ μὲν γὰρ ἕτερον καὶ οὗ ἕτερον οὐκ ἀνάγκη εἶναι τινὶ ἕτερον· πᾶν γὰρ ἢ ἕτερον ἢ ταὐτὸ ὅ τι ἂν ᾖ ὄν· τὸ δὲ διάφορον τινὸς τινὶ διάφορον, ὥστ' ἀνάγκη ταὐτό τι εἶναι ᾧ διαφέρουσιν. τοῦτο δὲ τὸ αὐτὸ γένος ἢ εἶδος· πᾶν γὰρ τὸ διαφέρον διαφέρει ἢ γένει ἢ εἴδει, γένει μὲν ὧν μή ἐστι κοινὴ ἡ ὕλη μηδὲ γένεσις εἰς ἄλληλα, οἷον ὅσων ἄλλο σχῆμα τῆς κατηγορίας, εἴδει δὲ ὧν τὸ αὐτὸ γένος. λέγεται δὲ γένος ὃ ἄμφω ταὐτὸ λέγονται κατὰ τὴν οὐσίαν τὰ διάφορα. τὰ δ' ἐναντία διάφορα, καὶ ἡ ἐναντίωσις διαφορά τις. ὅτι δὲ καλῶς τοῦτο ὑποτιθέμεθα, δῆλον ἐκ τῆς ἐπαγωγῆς· πάντα γὰρ διαφέροντά τε φαίνεται, καὶ ταῦτα οὐ μόνον ἕτερα ὄντα, ἀλλὰ τὰ μὲν τὸ γένος ἕτερα, τὰ δ' ἐν τῇ αὐτῇ συ-

2. ἦν ἂν E. ‖ 6. ἐν ante τοῖς om T. ‖ 7. τι ἓν] τι ὂν A^b, om T. ‖ 8. αὐτὸ A^b. ‖ 10. ἅπαντι A^bF^b. ‖ γε τὸ ἓν T. ‖ 12. οὐσίαν μίαν] καὶ οὐσία μία margo E. ‖ τε om E. ‖ 13. τὸ post καὶ om ET. ‖ 14. ἓν ET. ‖ 15. τί om A^b. ‖ 16. τὸ μὴ T, ὁ τῷ F^b. ‖ 17. τοῦ ἄνθρωπος] τοῦ ἀνθρώπου T. ‖ 18. ἢ post τί om A^b. ‖ καὶ om T. ‖ 20. τὰ om A^bF^b. ‖ 23. γοῦν T. ‖ 24. [illegible]] οὔτε A^b. ‖ θάτερον λέγεται T. ‖ 26. λεγόμενα om A^b. ‖ 29. ἔτι A^b. ‖ 30. τῶν ἐναντίων om F^b. ‖ 31. τὸ ante ταὐτὸ om T. ‖ 32. τοῦ add A^bF^b. ‖ 33. καὶ om E. ‖ λέγομεν] ὃ λέγομεν ET. ‖ 34. τοῦτο] τὸ ET.

2. τὰ ἴσα καὶ om T. ‖ 5. ὑποκειμένην ET. ‖ ᾖ οἷον] ὥσπερ A^b. ‖ 6. αὗται μὲν γὰρ ὅμοιαι, ὅμοιαι δὲ αἱ αὐταὶ ἁπλῶς οὐ T. ‖ 7. δὲ om A^b. ‖ 9. ᾖ μήτε] ἢ μήτε A^b. ‖ 10. τὸ εἶδος F^b. ‖ 12. ἢ τὰ ἕτερα ET. ‖ 13. χρυσὸς δὲ πυρὶ ᾗ] πῦρ ἢ E, om T. ‖ καὶ τὸ πυρρόν ET. ‖ 14. τὸ ante ἀνόμοιον om T. ‖ 15. αὐτό TF^b. ‖ ἅπαν A^b. ‖ 17. λόγος ἴδιος καὶ τὸ πλησιαίτερον. τὸ A^b. ‖ τὸ πλησίον ἕτερον TA^b. ‖ 19. πρὸς ἅπαν A^b. ‖ οὐ ET. ‖ 21. ἐπὶ δὲ] ἐπειδὴ T. ‖ πάντων τῶν ὄντων A^b. ‖ 22. καὶ ante ὂν add E. ‖ καὶ post ὂν om T. ‖ 27. αὐτὸ] ταυτὸ ET. ‖ 31. λέγεται A^b. ‖ τὰ δ' ἐναντία διάφορα om T. ‖ 34. τε et ταῦτα om A^b.

τῆς κατηγορίας, ὥς' ἐν ταὐτῷ γένει καὶ ταὐτὰ τῷ ιώρισαι δ' ἐν ἄλλοις ποῖα τῷ γένει ταὐτὰ ἢ ἕτερα. πεὶ δὲ διαφέρειν ἐνδέχεται ἀλλήλων τὰ διαφέροντα ιαὶ ἔλαττον, ἔςι τις καὶ μεγίςη διαφορά, καὶ ταύ- ω ἐναντίωσιν. ὅτι δ' ἡ μεγίςη ἐςὶ διαφορά, δῆλον ἐπαγωγῆς. τὰ μὲν γὰρ γένει διαφέροντα οὐκ ἔχει ἄλληλα, ἀλλ' ἀπέχει πλέον καὶ ἀσύμβλητα· εἴδει διαφέρουσιν αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶν ἀτων. τὸ δὲ τῶν ἐσχάτων διάςημα μέγιςον, ὥςε τῶν ἐναντίων. ἀλλὰ μὴν τό γε μέγιςον ἐν ἑκάστῳ λειον. μέγιςόν τε γὰρ οὗ μή ἐστιν ὑπερβολή, καὶ οὗ μή ἐςιν ἔξω λαβεῖν τι δυνατόν· τέλος γὰρ ἔχει ι διαφορά, ὥσπερ καὶ τἆλλα τῷ τέλος ἔχειν λέ- λεια. τȣ̃ δὲ τέλȣς ȣ̓θὲν ἔξω· ἔσχατον γὰρ ἐν παντὶ ιέχει. διὸ ȣ̓θὲν ἔξω τȣ̃ τέλȣς, ȣ̓δὲ προσδεῖται ȣ̓θενὸς ον. ὅτι μὲν ȣ̓̃ν ἡ ἐναντιότης ἐςὶ διαφορὰ τέλειος, ἐκ ῆλον· πολλαχῶς δὲ λεγομένων τῶν ἐναντίων, ἀκο- τὸ τελείως οὕτως ὡς ἂν καὶ τὸ ἐναντίοις εἶναι αὐτοῖς. τȣ́των δὲ ὄντων φανερὸν ὅτι ȣ̓κ ἐνδέχεται ω ἐναντία εἶναι· οὔτε γὰρ τȣ̃ ἐσχάτȣ ἐσχατώτερον ι, οὔτε τοῦ ἑνὸς διαστήματος πλείω δυοῖν ἔσχατα. εἰ ἔςιν ἡ ἐναντιότης διαφορά, ἡ δὲ διαφορὰ δυοῖν, ἡ τέλειος. ἀνάγκη δὲ καὶ τȣ̀ς ἄλλȣς ὅρȣς ἀληθεῖς ν ἐναντίων. καὶ γὰρ πλεῖστον διαφέρει ἡ τέλειος . τῶν τε γὰρ γένει διαφερόντων οὐκ ἔστιν ἐξωτέρω καὶ τῶν εἴδει· δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω τοῦ ὐκ ἔςι διαφορά· τȣ́των δ' αὕτη μεγίςη, καὶ τὰ ἐν γένει πλεῖστον διαφέροντα τἀναντία· μεγίστη γὰρ τούτων ἡ τέλειος. καὶ τὰ ἐν ταὐτῷ δεκτικῷ πλεῖ- φέροντα ἐναντία· ἡ γὰρ ὕλη ἡ αὐτὴ τοῖς ἐναντίοις. ὑπὸ τὴν αὐτὴν δύναμιν πλεῖστον διαφέροντα· καὶ πιστήμη περὶ ἓν γένος ἡ μία, ἐν οἷς ἡ τελεία δια- εγίςη. πρώτη δὲ ἐναντίωσις ἕξις καὶ ςέρησίς ἐστιν· ι δὲ στέρησις (πολλαχῶς γὰρ λέγεται ἡ στέρησις), ις ἂν τελεία ᾖ. τὰ δ' ἄλλα ἐναντία κατὰ ταῦτα ται, τὰ μὲν τῷ ἔχειν, τὰ δὲ τῷ ποιεῖν ἢ ποιητικὰ δὲ τῷ λήψεις εἶναι καὶ ἀποβολαὶ τȣ́των ἢ ἄλλων . εἰ δὴ ἀντίκειται μὲν ἀντίφασις καὶ στέρησις καὶ ἐναντιότης καὶ τὰ πρός τι, τȣ́των δὲ πρῶτον ἀντίφασις, ἀντιφάσεως δὲ μηθέν ἐςι μεταξύ, τῶν δὲ ἐναντίων ἐνδέχεται, ὅτι μὲν ȣ̓ ταὐτὸν ἀντίφασις καὶ τἀναντία δῆλον, ἡ δὲ ςέρησις ἀντίφασίς τίς ἐστιν. ἢ γὰρ τὸ ἀδύνατον ὅλως ἔχειν, ἢ ὃ ἂν πεφυκὸς ἔχειν μὴ ἔχῃ, ἐστέρηται ἢ ὅλως ἢ πῶς ἀφορισθέν· πολλαχῶς γὰρ ἤδη τοῦτο λέγομεν, ὥσπερ διῄρηται ἡμῖν ἐν ἄλλοις. ὥς' ἔςιν ἡ ςέρησις ἀντίφασίς τις, ἢ ἀδυναμία διορισθεῖσα ἢ συνειλημμένη τῷ δεκτικῷ. διὸ ἀντιφάσεως μὲν ȣ̓κ ἔςι μεταξύ, ςερήσεως δέ τινός ἐςιν· ἴσον μὲν γὰρ ἢ ȣ̓κ ἴσον πᾶν, ἴσον δ' ἢ ἄνισον ȣ̓ πᾶν, ἀλλ' εἴπερ, μόνον ἐν τῷ δεκτικῷ τοῦ ἴσȣ. εἰ δὴ αἱ γενέσεις τῇ ὕλῃ ἐκ τῶν ἐναντίων, γίγνονται δὲ ἢ ἐκ τȣ̃ εἴδȣς καὶ τῆς τȣ̃ εἴδους ἕξεως ἢ ἐκ ςερήσεώς τινος τȣ̃ εἴδȣς καὶ τῆς μορφῆς, δῆλον ὅτι ἡ μὲν ἐναντίωσις ςέρησις ἄν τις εἴη πᾶσα, ἡ δὲ ςέρησις ἴσως ȣ̓ πᾶσα ἐναντιότης. αἴτιον δ' ὅτι πολλαχῶς ἐνδέχεται ἐςερῆσθαι τὸ ἐςερημένον· ἐξ ὧν γὰρ αἱ μεταβολαὶ ἐσχάτων, ἐναντία ταῦτα. φανερὸν δὲ καὶ διὰ τῆς ἐπαγωγῆς. πᾶσα γὰρ ἐναντίωσις ἔχει στέρησιν θατέρου τῶν ἐναντίων. ἀλλ' οὐχ ὁμοίως πάντα· ἀνισότης μὲν γὰρ ἰσότητος, ἀνομοιότης δὲ ὁμοιότητος, κακία δὲ ἀρετῆς. διαφέρει δὲ ὥσπερ εἴρηται· τὸ μὲν γὰρ ἐὰν μόνον ᾖ ἐςερημένον, τὸ δ' ἐὰν ᾖ ποτὲ ἢ ἔν τινι, οἷον ἂν ἐν ἡλικίᾳ τινὶ ἢ τῷ κυρίῳ ἢ πάντῃ. διὸ τῶν μὲν ἔςι μεταξύ, καὶ ἔςιν ȣ̓́τε ἀγαθὸς ἄνθρωπος ȣ̓́τε κακός, τῶν δὲ οὐκ ἔστιν, ἀλλ' ἀνάγκη εἶναι ἢ περιττὸν ἢ ἄρτιον. ἔτι τὰ μὲν ἔχει τὸ ὑποκείμενον ὡρισμένον, τὰ δ' οὔ. ὥστε φανερὸν ὅτι ἀεὶ θάτερον τῶν ἐναντίων λέγεται κατὰ ςέρησιν· ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ τὰ πολλά· τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται.

'Επεὶ δ' ἓν ἑνί ἐστιν ἐναντίον, ἀπορήσειεν ἄν τις πῶς 5
ἀντίκειται τὸ ἓν καὶ τὰ πολλὰ καὶ τὸ ἴσον τῷ μεγάλῳ καὶ τῷ μικρῷ. τὸ γὰρ πότερον ἀεὶ ἐν ἀντιθέσει λέγομεν, οἷον πότερον λευκὸν ἢ μέλαν, καὶ πότερον λευκὸν ἢ ȣ̓ λευκόν· πότερον δὲ ἄνθρωπος ἢ λευκὸν ȣ̓ λέγομεν, ἐὰν μὴ ἐξ ὑποθέσεως καὶ ζητȣ̃ντες, οἷον πότερον ἦλθε Κλέων ἢ Σωκράτης. ἀλλ' ȣ̓κ ἀνάγκη ἐν ȣ̓θενὶ γένει τȣ̃το, ἀλλὰ καὶ τȣ̃το ἐκεῖθεν ἐλήλυθεν· τὰ γὰρ ἀντικείμενα μόνα οὐκ ἐνδέχεται ἅμα ὑπάρχειν· ᾧ καὶ ἐνταῦθα χρῆται ἐν τῷ πότερος ἦλ-

ταὐτὰ] ταῦτα *T.* ‖ 2. εἴδει] γένει *A*[b]*F*[b]. ‖ 4. ἔςι] καὶ ἔςι *A*[b]. ‖ 5. διαφορά ἐςι *T.* ‖ 6. οὐδὲ *A*[b]. ‖ 13. τελεία] τοιαύτη *T.* ‖ *T.* ‖ 18. τοῦ *A*[b]. ‖ ὄντως *F*[b]. ‖ 19. ὑπάρχει *T.* ‖ 20. τȣ̃ om *E.* ‖ 22. τε] δὲ *A*[b]. ‖ 23. ἡ] εἰ *T.* ‖ 28. τούτῳ *T.* ‖ . ‖ 30. ἐναντία om *ET.* ‖ 33. ἐναντιότης *F*[b], ἐναντίως *T.* ‖ 35. εἴτις *T.* ‖ 37. λείψεις *ET.*

πολλαχῶς ἀφορισθὲν *T.* ‖ 11. αἱ μὲν γενέσεις *F*[b]. ‖ 13. ἐκ om *ET.* ‖ 14. τις om *A*[b]. ‖ 16. αἱ om *T.* ‖ 18. ἐναντιότης ἄτερον *A*[b]. ‖ 20. ἀνομοιότητος *T.* ‖ 21. μόνον ἐὰν *T.* ‖ 22. ἂν om *A*[b]. ‖ 24. ἀλλ' om *T.* ‖ 30. ἐστιν om *A*[b]*F*[b]. ‖ 32. *A*[b]. ‖ τὸ γὰρ] εἰ γὰρ τὸ *A*[b] et γρ *E.* ‖ 36. ȣ̓ κατ' ἀνάγκην γρ *E.* ‖ 38. ἦλθεν] ἐλθεῖν *TA*[b].

θεν· εἰ γὰρ ἅμα ἐνεδέχετο, γελοῖον τὸ ἐρώτημα. εἰ δὲ καὶ οὕτως, ὁμοίως ἐμπίπτει εἰς ἀντίθεσιν, εἰς τὸ ἓν ἢ πολλά, οἷον πότερον ἀμφότεροι ἦλθον ἢ ἅτερος. εἰ δὴ ἐν τοῖς ἀντικειμένοις ἀεὶ τοῦ ποτέρου ἡ ζήτησις, λέγεται δὲ πότερον μεῖζον ἢ ἔλαττον ἢ ἴσον, τίς ἐστιν ἡ ἀντίθεσις πρὸς ταῦτα τοῦ ἴσου; οὔτε γὰρ θατέρῳ μόνῳ ἐναντίον οὔτ᾽ ἀμφοῖν· τί γὰρ μᾶλλον τῷ μείζονι ἢ τῷ ἐλάττονι; ἔτι τῷ ἀνίσῳ ἐναντίον τὸ ἴσον· ὥστε πλείοσιν ἔσται ἢ ἑνί. εἰ δὲ τὸ ἄνισον σημαίνει τὸ αὐτὸ ἅμα ἀμφοῖν, εἴη μὲν ἂν ἀντικείμενον ἀμφοῖν· καὶ ἡ ἀπορία βοηθεῖ τοῖς φάσκουσι τὸ ἄνισον δυάδα εἶναι. ἀλλὰ συμβαίνει ἓν δυοῖν ἐναντίον· ὅπερ ἀδύνατον. ἔτι τὸ μὲν ἴσον μεταξὺ φαίνεται μεγάλου καὶ μικροῦ, ἐναντίωσις δὲ μεταξὺ οὔτε φαίνεται οὔτε ἐκ τοῦ ὁρισμοῦ δυνατόν· οὐ γὰρ ἂν εἴη τελεία μεταξύ τινος οὖσα, ἀλλὰ μᾶλλον ἔχει ἀεὶ ἑαυτῆς τι μεταξύ. λείπεται δὴ ἢ ὡς ἀπόφασιν ἀντικεῖσθαι ἢ ὡς στέρησιν. θατέρου μὲν δὴ οὐκ ἐνδέχεται· τί γὰρ μᾶλλον τοῦ μεγάλου ἢ μικροῦ; ἀμφοῖν ἄρα ἀπόφασις στερητική. διὸ καὶ πρὸς ἀμφότερα τὸ πότερον λέγεται, πρὸς δὲ θάτερον οὔ, οἷον πότερον μεῖζον ἢ ἴσον, ἢ πότερον ἴσον ἢ ἔλαττον· ἀλλ᾽ ἀεὶ τρία. οὐ στέρησις δὲ ἐξ ἀνάγκης· οὐ γὰρ πᾶν ἴσον ὃ μὴ μεῖζον ἢ ἔλαττον, ἀλλ᾽ ἐν οἷς πέφυκεν ἐκεῖνα. ἔστι δὴ τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, πεφυκὸς δὲ ἢ μέγα ἢ μικρὸν εἶναι· καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική, διὸ καὶ μεταξύ ἐστιν. καὶ τὸ μήτ᾽ ἀγαθὸν μήτε κακὸν ἀντίκειται ἀμφοῖν, ἀλλ᾽ ἀνώνυμον· πολλαχῶς γὰρ λέγεται ἑκάτερον καὶ οὐκ ἔστιν ἓν τὸ δεκτικόν, ἀλλὰ μᾶλλον τὸ μήτε λευκὸν μήτε μέλαν. ἓν δὲ οὐδὲ τοῦτο λέγεται, ἀλλ᾽ ὡρισμένα πως τὰ χρώματα ἐφ᾽ ὧν λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη· ἀνάγκη γὰρ ἢ φαιὸν ἢ ὠχρὸν εἶναι ἢ τοιοῦτόν τι ἄλλο. ὥστε οὐκ ὀρθῶς ἐπιτιμῶσιν οἱ νομίζοντες ὁμοίως λέγεσθαι πάντα, ὥστε ἔσεσθαι ὑποδήματος καὶ χειρὸς μεταξὺ τὸ μήτε ὑπόδημα μήτε χεῖρα, εἴπερ καὶ τὸ μήτε ἀγαθὸν μήτε κακὸν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὡς πάντων ἐσομένου τινὸς μεταξύ. οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν. ἡ μὲν γὰρ ἀντικειμένων συναπόφασίς ἐστιν ὧν ἔστι μεταξύ τι καὶ διάστημά τι πέφυκεν εἶναι· τῶν δ᾽ οὐκ ἔστι διαφορά· ἐν ἄλλῳ γὰρ γένει ὧν αἱ συναποφάσεις, ὥστ᾽ οὐχ ἓν τὸ ὑποκείμενον.

6 Ὁμοίως δὲ καὶ περὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀπορήσειεν ἄν τις. εἰ γὰρ τὰ πολλὰ τῷ ἑνὶ ἁπλῶς ἀντίκειται, συμβαίνει ἔνια ἀδύνατα. τὸ γὰρ ἓν ὀλίγον ἢ ὀλίγα ἔσται· τὰ γὰρ πολλὰ καὶ τοῖς ὀλίγοις ἀντίκειται. ἔτι τὰ δύο πολλά, εἴπερ τὸ διπλάσιον πολλαπλάσιον, λέγεται δὲ καὶ τὰ δύο διπλάσια· ὥστε τὸ ἓν ὀλίγον· πρὸς τί γὰρ πολλὰ τὰ δύο εἰ μὴ πρός ἕν τε καὶ τὸ ὀλίγον; οὐθὲν γάρ ἐστιν ἔλαττον. ἔτι ὡς ἐν μήκει τὸ μακρὸν καὶ βραχύ, οὕτως ἐν πλήθει τὸ πολὺ καὶ ὀλίγον, καὶ ὃ ἂν ᾖ πολὺ καὶ πολλά, καὶ τὰ πολλὰ πολύ. εἰ μή τι ἄρα διαφέρει ἐν συνεχεῖ εὐορίστῳ τὸ ὀλίγον, πλῆθός τι ἔσται. ὥστε τὸ ἓν πλῆθός τι, εἴπερ καὶ ὀλίγον· τοῦτο δ᾽ ἀνάγκη, εἰ τὰ δύο πολλά. ἀλλ᾽ ἴσως τὰ πολλὰ λέγεται μέν πως καὶ τὸ πολύ, ἀλλ᾽ ὡς διαφέρον, οἷον ὕδωρ πολύ, πολλὰ δ᾽ οὔ. ἀλλ᾽ ὅσα διαιρετά, ἐν τούτοις λέγεται, ἕνα μὲν τρόπον ἐὰν ᾖ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι, καὶ τὸ ὀλίγον ὡσαύτως πλῆθος ἔχον ἔλλειψιν, τὸ δὲ ὡς ἀριθμός, ὃ καὶ ἀντίκειται τῷ ἑνὶ μόνον. οὕτως γὰρ λέγομεν ἓν ἢ πολλά, ὥσπερ εἴ τις εἴποι ἓν καὶ ἕνα ἢ λευκὸν καὶ λευκά, καὶ τὰ μεμετρημένα πρὸς τὸ μέτρον καὶ τὸ μετρητόν. οὕτως καὶ τὰ πολλαπλάσια λέγεται· πολλὰ γὰρ ἕκαστος ἀριθμὸς ὅτι ἕνα καὶ ὅτι μετρητὸς ἑνὶ ἕκαστος, καὶ ὡς τὸ ἀντικείμενον τῷ ἑνί, οὐ τῷ ὀλίγῳ. οὕτω μὲν οὖν ἐστὶ πολλὰ καὶ τὰ δύο, ὡς δὲ πλῆθος ἔχον ὑπεροχὴν ἢ πρός τι ἢ ἁπλῶς οὐκ ἔστιν, ἀλλὰ πρῶτον. ὀλίγα δ᾽ ἁπλῶς τὰ δύο· πλῆθος γάρ ἐστιν ἔλλειψιν ἔχον πρῶτον. διὸ καὶ οὐκ ὀρθῶς ἀπέστη Ἀναξαγόρας εἰπὼν ὅτι ὁμοῦ πάντα χρήματα ἦν ἄπειρα καὶ πλήθει καὶ μικρότητι· ἔδει δ᾽ εἰπεῖν ἀντὶ τοῦ "καὶ μικρότητι" καὶ ὀλιγότητι· οὐ γὰρ ἄπειρα, ἐπεὶ τὸ ὀλίγον οὐ διὰ τὸ ἕν, ὥσπερ τινές φασιν, ἀλλὰ διὰ τὰ δύο. ἀντίκειται δὴ τὸ ἓν καὶ τὰ πολλὰ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ· ταῦτα δὲ ὡς τὰ πρός τι, ὅσα μὴ καθ᾽ αὑτὰ τῶν πρός τι. διῄρηται δ᾽ ἡμῖν ἐν ἄλλοις ὅτι διχῶς λέγεται τὰ πρός τι, τὰ μὲν ὡς ἐναντία, τὰ δ᾽ ὡς ἐπιστήμη πρὸς ἐπιστητόν, τῷ λέγεσθαί τι

2. ὅμως *E*, ὁ μὲν *T*. ‖ ἐκπίπτει A^b. ‖ 7. μᾶλλον ἢ τῷ *ET*. ‖ 8. ὥστ᾽ ἐν πλ. *ET*. ‖ ἢ ἐν ἑνί *E*. ‖ 9. ἅμα om A^b. ‖ ἂν add *E*. ‖ 10. βοήθεια A^b. ‖ 12. φαίνεται καὶ μεγάλου καὶ *T*. ‖ 13. δὲ οὐδεμία μεταξὺ A^b. ‖ 15. αὕτη A^b. ‖ μεταξύ] μεταξύ τινος οὖσα *ET*. ‖ 16. ὡς om F^b. ‖ 20. τρία οὐ. στέρησις *T*. ‖ 23. ἢ post δὲ add A^b. ‖ 24. μήτε κακὸν μήτ᾽ ἀγαθὸν *ET*. ‖ 28. οὐ *ET*. ‖ τὰ χρώματα om A^b. ‖ 30. ἄλλο] ἄλλο ὡρισμένον A^b. ‖ 31. ἔσεσθαι] λέγεσθαι γρ *E*. ‖ 33. ἐπείπερ A^b. ‖ 34. τοῦ om A^b.

4. ἀντίκεινται *ET*. ‖ 7. καὶ τὰ] κατὰ τὰ *E*, κατὰ *T*. ‖ 8. διπλάσια om *ET*. ‖ 9. καὶ πρὸς τὸ A^b. ‖ 10. ἔτι εἰ ὡς *ET*. ‖ 11. καὶ τὸ ὀλίγον *T*. ‖ 12. ἐν] ἐπὶ F^b. ‖ 13. ἀορίστῳ *T*. ‖ τι] τι ἔσται *E*, τι ἔστιν *T*. ‖ 15. μέν πως] μὲν ὡς *ET*. ‖ 18. ἢ ante ἁπλῶς om A^b. ‖ 19. καὶ om *T*. ‖ 21. λευκά] λευκόν *T*. ‖ 23. λέγεται] λέγεται πολλά A^b. ‖ ἕκαστος ὁ ἀριθμὸς *E*. ‖ ἐν *ET*. ‖ 28. καὶ om *E* *T*F^b. ‖ 32. δὲ *T*. ‖ ἓν — 33. ἀριθμοῖς] ἐν τοῖς πολλοῖς *ET*. ‖ 33. ταῦτα] τὰ *ET*. ‖ 34. ὅσα — τι om A^b. ‖ διῄρηται — 35. τι om *T*. ‖ 36. τῷ] τὸ *T*.

αὐτό. τὸ δὲ ἓν ἔλαττον εἶναι τινός, οἷον τοῖν
κωλύει· οὐ γὰρ εἰ ἔλαττον καὶ ὀλίγον. τὸ δὲ
γένος ἐςὶ τῦ ἀριθμῦ· ἔςι γὰρ ἀριθμὸς πλῆθος
ἰν. καὶ ἀντίκειταί πως τὸ ἓν καὶ ἀριθμός, ὐχ ὡς
ἰλλ' ὥσπερ εἴρηται τῶν πρός τι ἔνια· ᾗ γὰρ μέ-
μετρητόν, ταύτῃ ἀντίκειται. διὸ ὐ πᾶν ὃ ἂν ᾖ
ἐςιν, οἷον εἴ τι ἀδιαίρετόν ἐςιν. ὁμοίως δὲ λε-
ἰπιςήμη πρὸς τὸ ἐπιςητὸν ὐχ ὁμοίως ἀποδίδωσιν·
γὰρ ἂν μέτρον ἡ ἐπιςήμη εἶναι, τὸ δ' ἐπιςητὸν
ενον, συμβαίνει δ' ἐπιςήμην μὲν πᾶσαν ἐπιςητὸν
' ἐπιςητὸν μὴ πᾶν ἐπιςήμην, ὅτι τρόπον τινὰ ἡ
μετρεῖται τῷ ἐπιστητῷ. τὸ δὲ πλῆθος οὔτε τῷ
τίον, ἀλλὰ τῦτῳ μὲν τὸ πολὺ ὡς ὑπερέχον πλῆ-
ομένῳ πλήθει, ὗτε τῷ ἑνὶ πάντως· ἀλλὰ τὸ μὲν
ται, ὅτι διαιρετὸν τὸ δ' ἀδιαίρετον, τὸ δ' ὡς
σπερ ἡ ἐπιςήμη ἐπιςητῷ ἐὰν ᾖ ἀριθμός· τὸ δ' ἓν
δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί τι μεταξὺ καὶ
ἀνάγκη ἐκ τῶν ἐναντίων εἶναι τὰ μεταξύ· πάντα
ιταξὺ ἐν τῷ αὐτῷ γένει ἐςὶ καὶ ὧν ἐςὶ μεταξύ.
ἐν γὰρ ταῦτα λέγομεν εἰς ὅσα μεταβάλλειν
ότερον τὸ μεταβάλλον· οἷον ἀπὸ τῆς ὑπάτης ἐπὶ
εἰ μεταβαίνοι τῷ ὀλιγίςῳ, ἥξει πρότερον εἰς τὺς
θόγγους, καὶ ἐν χρώμασιν εἰ ἥξει ἐκ τῦ λευκοῦ
ιν, πρότερον ἥξει εἰς τὸ φοινικῦν καὶ φαιὸν ἢ εἰς
ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. μεταβάλλειν δ'
ένυς εἰς ἄλλο γένος οὐκ ἔςιν ἀλλ' ἢ κατὰ συμ-
οἷον ἐκ χρώματος εἰς σχῆμα. ἀνάγκη ἄρα τὰ
ἰ αὐτοῖς καὶ ὧν μεταξύ εἰσιν ἐν τῷ αὐτῷ γένει
λὰ μὴν πάντα γε τὰ μεταξύ ἐστιν ἀντικειμένων
τούτων γὰρ μόνων καθ' αὑτὰ ἔστι μεταβάλλειν.
τον εἶναι μεταξὺ μὴ ἀντικειμένων· εἴη γὰρ ἂν
καὶ μὴ ἐξ ἀντικειμένων. τῶν δ' ἀντικειμένων
ς μὲν ὐκ ἔςι μεταξύ· τῦτο γάρ ἐςιν ἀντίφασις,
ς ὁτῳῦν θάτερον μόριον πάρεςιν, ὐκ ἐχύσης ὐθὲν
τῶν δὲ λοιπῶν τὰ μὲν πρός τι, τὰ δὲ ςέρησις, τὰ
ἐςίν. τῶν δὲ πρός τι ὅσα μὴ ἐναντία, οὐκ ἔχει
αἴτιον δ' ὅτι οὐκ ἐν τῷ αὐτῷ γένει ἐστίν. τί γὰρ
ἐπιςήμης καὶ ἐπιστητῦ μεταξύ; ἀλλὰ μεγάλυ καὶ μικρῦ.

εἰ δ' ἐςὶν ἐν ταὐτῷ γένει τὰ μεταξύ, ὥσπερ δέδεικται, καὶ μεταξὺ ἐναντίων, ἀνάγκη αὐτὰ συγκεῖσθαι ἐκ τούτων τῶν ἐναντίων. ἢ γὰρ ἔσται τι γένος αὐτῶν ἢ οὐθέν. καὶ εἰ μὲν γένος ἔςαι ὗτως ὥς' εἶναι πρότερόν τι τῶν ἐναντίων, αἱ διαφοραὶ πρότεραι ἐναντίαι ἔσονται αἱ ποιήσασαι τὰ ἐναντία, εἴδη ὡς γένυς· ἐκ γὰρ τῦ γένυς καὶ τῶν διαφορῶν τὰ εἴδη. οἷον εἰ τὸ λευκὸν καὶ μέλαν ἐναντία, ἔςι δὲ τὸ μὲν διακριτικὸν χρῶμα τὸ δὲ συγκριτικὸν χρῶμα, αὗται αἱ διαφοραὶ τὸ διακριτικὸν καὶ συγκριτικὸν πρότεραι· ὥςε ταῦτα ἐναντία ἀλλήλοις πρότερα. ἀλλὰ μὴν τά γ' ἐναντίως διαφέροντα μᾶλλον ἐναντία, καὶ τὰ λοιπὰ καὶ τὰ μεταξὺ ἐκ τοῦ γένυς ἔςαι καὶ τῶν διαφορῶν· οἷον ὅσα χρώματα τοῦ λευκῦ καὶ μέλανός ἐςι μεταξύ, ταῦτα δεῖ ἐκ τῦ γένυς λέγεσθαι (ἔστι δὲ γένος τὸ χρῶμα) καὶ ἐκ διαφορῶν τινῶν. αὗται δ' οὐκ ἔσονται τὰ πρῶτα ἐναντία· εἰ δὲ μή, ἔσται ἕκαστον ἢ λευκὸν ἢ μέλαν. ἕτεραι ἄρα· μεταξὺ ἄρα τῶν πρώτων ἐναντίων αὗται ἔσονται. αἱ πρῶται δὲ διαφοραὶ τὸ διακριτικὸν καὶ συγκριτικόν. ὥστε ταῦτα πρῶτα ζητητέον ὅσα ἐναντία μὴ ἐν γένει, ἐκ τίνος τὰ μεταξὺ αὐτῶν. ἀνάγκη γὰρ τὰ ἐν ταὐτῷ γένει ἐκ τῶν ἀσυνθέτων τῷ γένει συγκεῖσθαι ἢ ἀσύνθετα εἶναι. τὰ μὲν οὖν ἐναντία ἀσύνθετα ἐξ ἀλλήλων, ὥς' ἀρχαί· τὰ δὲ μεταξὺ ἢ πάντα ἢ οὐθέν. ἐκ δὲ τῶν ἐναντίων γίγνεταί τι, ὥς' ἔςαι μεταβολὴ εἰς τοῦτο πρὶν ἢ εἰς αὐτά· ἑκατέρυ γὰρ καὶ ἧττον ἔςαι καὶ μᾶλλον. μεταξὺ ἄρα ἔςαι καὶ τῦτο τῶν ἐναντίων. καὶ τἆλλα ἄρα πάντα σύνθετα τὰ μεταξύ· τὸ γὰρ τῦ μὲν μᾶλλον τῦ δ' ἧττον σύνθετόν πως ἐξ ἐκείνων ὧν λέγεται εἶναι τοῦ μὲν μᾶλλον τῦ δ' ἧττον. ἐπεὶ δ' ὐκ ἔςιν ἕτερα πρότερα ὁμογενῆ τῶν ἐναντίων, ἅπαντ' ἂν ἐκ τῶν ἐναντίων εἴη τὰ μεταξύ. ὥστε καὶ τὰ κάτω πάντα, καὶ τἀναντία καὶ τὰ μεταξύ, ἐκ τῶν πρώτων ἐναντίων ἔσονται. ὅτι μὲν ὗν τὰ μεταξὺ ἔν τε ταὐτῷ γένει πάντα καὶ μεταξὺ ἐναντίων καὶ σύγκειται ἐκ τῶν ἐναντίων ἅπαντα, δῆλον.

Τὸ δ' ἕτερον τῷ εἴδει τινός τι ἕτερόν ἐςι, καὶ δεῖ τῦτο 8
ἀμφοῖν ὑπάρχειν· οἷον εἰ ζῷον ἕτερον τῷ εἴδει, ἄμφω ζῷα. ἀνάγκη ἄρα ἐν γένει τῷ αὐτῷ εἶναι τὰ ἕτερα τῷ εἴδει. τὸ γὰρ τοιοῦτον γένος καλῶ, ᾧ ἄμφω ἓν ταὐτὸ λέγεται, μὴ

ὡς γένος ETF^b. ‖ 4. ὡς] ὢ *T*. ‖ 10. ἐπιςητόν] ἐπιςητὴν A^b. ‖ 13. τῦτο *T*. ‖ 14. ὑπ. τῷ πλήθει *T*. ‖ μὲν] μὲν ἓν A^b. ‖
ις om *E*. ‖ 18. τι om TA^b. ‖ 19. τὰ om *T*. ‖ 21. ὅσα] ἃ *T*. ‖ 22. πρότερον ἀνάγκη *ET*. ‖ 23. ὀλιγίςῳ λόγῳ ἥξει
καὶ ante αὐτοῖς om A^b. ‖ 31. μόνον A^b. ‖ 37. ἔχει τὰ μεταξύ *E*.
τερον *ET*. ‖ 7. γένυς. ἐκ] γέν. εἰ *T*. ‖ 8. τἀναντία *ET*. ‖ 10. ὥςε — 11. πρότερα om *T*. ‖ 11. πρότερον *E*. ‖ 13. χρώ-
14. δὴ ἔκ τε τῦ *T*. ‖ 17. ἄρα ante τῶν om *T*. ‖ 18. δὲ] γς καὶ χωρὶς τοῦ δέ συνδέσμου, ἵνα στίζωμεν μέχρι τοῦ διαφοραί
‖ 19. συγκριτικόν καὶ ὥστε *T*. ‖ 27. τὰ om *T*. ‖ 28. πῶς δ' ἐξ *T*. ‖ 29. δ' ὐκ] ὗν ὐκ *E*. ‖ 34. πάντα *ET*. ‖ 37. ἄρα]
38. τοιοῦτο *E*. ‖ ὃ *ET*.

κατὰ συμβεβηκὸς ἔχον διαφοράν, εἴθ' ὡς ὕλη ὂν εἴτ' ἄλλως. οὐ μόνον γὰρ δεῖ τὸ κοινὸν ὑπάρχειν, οἷον ἄμφω ζῷα, ἀλλὰ καὶ ἕτερον ἑκατέρῳ τοῦτο αὐτὸ τὸ ζῷον, οἷον τὸ μὲν ἵππον τὸ δὲ ἄνθρωπον. διὰ τοῦτο τὸ κοινὸν ἕτερον ἀλλήλων ἐστὶ τῷ εἴδει. ἔσται δὴ καθ' αὑτὰ τὸ μὲν τοιονδὶ ζῷον τὸ δὲ τοιονδί, οἷον τὸ μὲν ἵππος τὸ δ' ἄνθρωπος. ἀνάγκη ἄρα τὴν διαφορὰν ταύτην ἑτερότητα τοῦ γένους εἶναι. λέγω γὰρ γένους διαφορὰν ἑτερότητα ἣ ἕτερον ποιεῖ τοῦτο αὐτό. ἐναντίωσις τοίνυν ἔσται αὕτη. δῆλον δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς. πάντα γὰρ διαιρεῖται τοῖς ἀντικειμένοις, καὶ ὅτι τἀναντία ἐν ταὐτῷ γένει, δέδεικται· ἡ γὰρ ἐναντιότης ἦν διαφορὰ τελεία. ἡ δὲ διαφορὰ ἡ εἴδει πᾶσα τινός τι· ὥστε τοῦτο τὸ αὐτό τε καὶ γένος ἐπ' ἀμφοῖν. διὸ καὶ ἐν τῇ αὐτῇ συστοιχίᾳ πάντα τὰ ἐναντία τῆς κατηγορίας, ὅσα εἴδει διάφορα καὶ μὴ γένει, ἕτερά τε ἀλλήλων μάλιστα· τελεία γὰρ ἡ διαφορά, καὶ ἅμα ἀλλήλοις οὐ γίγνεται. ἡ ἄρα διαφορὰ ἐναντίωσίς ἐστιν. τοῦτο ἄρα ἐστὶ τὸ ἑτέροις εἶναι τῷ εἴδει, τὸ ἐν ταὐτῷ γένει ὄντα ἐναντίωσιν ἔχειν ἄτομα ὄντα. ταὐτὰ δὲ τῷ εἴδει, ὅσα μὴ ἔχει ἐναντίωσιν ἄτομα ὄντα· ἐν γὰρ τῇ διαιρέσει καὶ ἐν τοῖς μεταξὺ γίγνονται ἐναντιώσεις πρὶν εἰς τὰ ἄτομα ἐλθεῖν. ὥστε φανερὸν ὅτι πρὸς τὸ καλούμενον ὂν γένος οὔτε ταὐτὸν οὔτε ἕτερον τῷ εἴδει οὐθέν ἐστι τῶν ὡς γένους εἰδῶν προσηκόντων· ἡ γὰρ ὕλη ἀποφάσει δηλοῦται, τὸ δὲ γένος ὕλη οὗ λέγεται γένος, μὴ ὡς τὸ τῶν Ἡρακλειδῶν, ἀλλ' ὡς τὸ ἐν τῇ φύσει, οὐδὲ πρὸς τὰ μὴ ἐν ταὐτῷ γένει, ἀλλὰ διοίσει τῷ γένει ἐκείνων, εἴδει δὲ τῶν ἐν ταὐτῷ γένει. ἐναντίωσιν γὰρ ἀνάγκη εἶναι τὴν διαφορὰν οὗ διαφέρει εἴδει· αὕτη δ' ὑπάρχει τοῖς ἐν ταὐτῷ γένει οὖσι μόνοις.

9 Ἀπορήσειε δ' ἄν τις διὰ τί γυνὴ ἀνδρὸς οὐκ εἴδει διαφέρει, ἐναντίου τοῦ θήλεος καὶ τοῦ ἄρρενος ὄντος, τῆς δὲ διαφορᾶς ἐναντιώσεως· οὐδὲ ζῷον θῆλυ καὶ ἄρρεν ἕτερον τῷ εἴδει, καίτοι καθ' αὑτὸ τοῦ ζῴου αὕτη ἡ διαφορὰ καὶ οὐχ ὡς λευκότης ἢ μελανία, ἀλλ' ᾗ ζῷον καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν ὑπάρχει. ἔστι δ' ἡ ἀπορία αὕτη σχεδὸν ἡ αὐτὴ καὶ διὰ τί ἡ μὲν ποιεῖ τῷ εἴδει ἕτερα ἐναντίωσις, ἡ δ' οὔ, οἷον τὸ πεζὸν καὶ τὸ πτερωτόν, λευκότης δὲ καὶ μελανία οὔ. ἢ ὅτι τὰ μὲν οἰκεῖα πάθη τοῦ γένους, τὰ δ' ἧττον; καὶ ἐπειδή ἐστι τὸ μὲν λόγος τὸ δ' ὕλη, ὅσαι μὲν ἐν τῷ λόγῳ εἰσὶν ἐναντιότητες εἴδει ποιοῦσι διαφοράν, ὅσαι δ' ἐν τῷ συνειλημμένῳ τῇ ὕλῃ οὐ ποιοῦσιν. διὸ ἀνθρώπου λευκότης οὐ ποιεῖ οὐδὲ μελανία, οὐδὲ τοῦ λευκοῦ ἀνθρώπου ἐστὶ διαφορὰ κατ' εἶδος πρὸς μέλανα ἄνθρωπον, οὐδ' ἂν ὄνομα ἓν τεθῇ. ὡς ὕλη γὰρ ὁ ἄνθρωπος, οὐ ποιεῖ δὲ διαφορὰν ἡ ὕλη· οὐκ ἀνθρώπου γὰρ εἴδη εἰσὶν οἱ ἄνθρωποι διὰ τοῦτο, καίτοι ἕτεραι αἱ σάρκες καὶ τὰ ὀστᾶ ἐξ ὧν ὅδε καὶ ὅδε· ἀλλὰ τὸ σύνολον ἕτερον μέν, εἴδει δ' οὐχ ἕτερον, ὅτι ἐν τῷ λόγῳ οὐκ ἔστιν ἐναντίωσις· τοῦτο δ' ἐστὶ τὸ ἔσχατον ἄτομον. ὁ δὲ Καλλίας ἐστὶν ὁ λόγος μετὰ τῆς ὕλης· καὶ ὁ λευκὸς δὴ ἄνθρωπος ὅτι Καλλίας λευκός· κατὰ συμβεβηκὸς οὖν ὁ ἄνθρωπος λευκός. οὐδὲ χαλκοῦς δὴ κύκλος καὶ ξύλινος, οὐδὲ τρίγωνον χαλκοῦν καὶ κύκλος ξύλινος, οὐ διὰ τὴν ὕλην εἴδει διαφέρουσιν, ἀλλ' ὅτι ἐν τῷ λόγῳ ἔνεστιν ἐναντίωσις. πότερον δ' ἡ ὕλη οὐ ποιεῖ ἕτερα τῷ εἴδει, οὖσά πως ἑτέρα, ἢ ἔστιν ὡς ποιεῖ; διὰ τί γὰρ ὁδὶ ὁ ἵππος τουδὶ ἀνθρώπου ἕτερος τῷ εἴδει; καίτοι σὺν τῇ ὕλῃ οἱ λόγοι αὐτῶν. ἢ ὅτι ἔνεστιν ἐν τῷ λόγῳ ἐναντίωσις; καὶ γὰρ τοῦ λευκοῦ ἀνθρώπου καὶ μέλανος ἵππου. καὶ ἔστι γε εἴδει, ἀλλ' οὐχ ᾗ ὁ μὲν λευκὸς ὁ δὲ μέλας, ἐπεὶ καὶ εἰ ἄμφω λευκὰ ἦν, ὅμως ἂν ἦν εἴδει ἕτερα. τὸ δὲ ἄρρεν καὶ θῆλυ τοῦ ζῴου οἰκεῖα μὲν πάθη, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν ἀλλ' ἐν τῇ ὕλῃ καὶ τῷ σώματι. διὸ τὸ αὐτὸ σπέρμα θῆλυ ἢ ἄρρεν γίγνεται παθόν τι πάθος. τί μὲν οὖν ἐστὶ τὸ τῷ εἴδει ἕτερον εἶναι, καὶ διὰ τί τὰ μὲν διαφέρει εἴδει τὰ δ' οὔ, εἴρηται.

Ἐπειδὴ δὲ τὰ ἐναντία ἕτερα τῷ εἴδει, τὸ δὲ φθαρτὸν 10
καὶ τὸ ἄφθαρτον ἐναντία (στέρησις γὰρ ἀδυναμία διωρισμένη), ἀνάγκη ἕτερον εἶναι τῷ γένει τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον. νῦν μὲν οὖν ἐπ' αὐτῶν εἰρήκαμεν τῶν καθόλου ὀνομάτων, ὥστε δόξειεν ἂν οὐκ ἀναγκαῖον εἶναι ὁτιοῦν ἄφθαρτον καὶ φθαρτὸν ἕτερα εἶναι τῷ εἴδει, ὥσπερ οὐδὲ λευκὸν καὶ μέλαν. τὸ γὰρ αὐτὸ ἐνδέχεται εἶναι καὶ ἅμα, ἐὰν ᾖ τῶν καθόλου, ὥσπερ ὁ ἄνθρωπος εἴη ἂν καὶ λευκὸς καὶ μέλας, καὶ τῶν καθ' ἕκαστον· εἴη γὰρ ἂν μὴ ἅμα ὁ αὐτὸς λευκὸς καὶ μέλας. καίτοι ἐναντίον τὸ λευκὸν τῷ μέλανι. ἀλλὰ τῶν ἐναντίων τὰ μὲν κατὰ συμβεβηκὸς ὑπάρχει ἐνίοις, οἷον καὶ τὰ νῦν εἰρημένα καὶ ἄλλα πολλά, τὰ δὲ

1. εἴτ'] εἴθ' ὡς A^b. ‖ 4. διὸ A^b. ‖ 5. αὐτὸ *ET*. ‖ τοιονδὶ] τοῖον τὸ *T*. ‖ 6. ἀνάγκη — 7. εἶναι om *T*. ‖ 9. καὶ om A^b. ‖ 11. γε καὶ οὕτως· ἡ δὲ διαφορὰ ἡ τέλειος τινός τι *E*. ‖ 17. ἄρα] γὰρ *ET*. ‖ τὸ ἐν] τῷ ἐν *T*. ‖ 18. ταὐτὰ — 19. ὄντα om *T*. ‖ 21. ἐν om *E*. ‖ 22. προσηκόντως *E*. ‖ 24. οὗ] ὃ TA^b. ‖ τὸ alterum om *ET*. ‖ 26. ἐκεῖνα A^b. ‖ τῶν] τὰ TA^b. ‖ 27. διαφέρειν *T*. ‖ 29. τις om *T*. ‖ ἀνδρὸς γυνὴ A^b. ‖ 32. αὐτὰ A^b. ‖ ὡς ἡ λευκότης A^b. ‖ 37. καὶ] ἢ *E*, om *T*.

6. οὐκ] οὐδὲν A^b. ‖ 7. εἴδει *T*, ὕλη A^b. ‖ 10. τὸ om *ET*. ‖ 12. λευκός om A^b. ‖ οὐδ' ὁ χ. *ET*. ‖ 13. ξύλινος κύκλος *T*. ‖ 15. οὐ om *ET*. ‖ 16. πως] ἁπλῶς rc *E*. ‖ ἑτέρα om *T* et pr *E*. ‖ ὅδε A^b. ‖ 19. μέλανος om A^b. ‖ 24. τί] ὅτι *E*. ‖ 26. δὲ post τὸ om A^b. ‖ 27. τὸ om A^b. ‖ 28. τὸ post καὶ om A^b. ‖ 29. οὖν om *T*. ‖ 30. ὡς δὲ EA^b. ‖ 33. ἂν εἴη *T*. ‖ 34. ἕκαστα *T*. ‖ 35. καίτοι] καὶ τὸ *T*.

, ὧν ἐςὶ καὶ τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον· οὐθὲν
φθαρτὸν κατὰ συμβεβηκός· τὸ μὲν γὰρ συμβεβη-
ἐται μὴ ὑπάρχειν, τὸ δὲ φθαρτὸν τῶν ἐξ ἀνάγκης
των ἐςὶν οἷς ὑπάρχει· ἢ ἔςαι ταὐτὸ καὶ ἓν φθαρ-
ἄφθαρτον, εἰ ἐνδέχεται μὴ ὑπάρχειν αὐτῷ τὸ
ἢ τὴν ὐσίαν ἄρα ἢ ἐν τῇ ὐσίᾳ ἀνάγκη ὑπάρχειν
ὸν ἑκάστῳ τῶν φθαρτῶν. ὁ δ' αὐτὸς λόγος καὶ
φθάρτυ· τῶν γὰρ ἐξ ἀνάγκης ὑπαρχόντων ἄμφω.
ὶ καθὸ πρῶτον τὸ μὲν φθαρτὸν τὸ δ' ἄφθαρτον,
θεσιν, ὥςε ἀνάγκη γένει ἕτερα εἶναι. φανερὸν τοί-
ς ἐνδέχεται εἶναι εἴδη τοιαῦτα οἷα λέγουσί τινες·
καὶ ἄνθρωπος ὁ μὲν φθαρτὸς ὁ δ' ἄφθαρτος.
εἴδει ταὐτὰ λέγεται εἶναι τὰ εἴδη τοῖς τισὶ καὶ
ομα· τὰ δὲ γένει ἕτερα πλεῖον διέςηκεν ἢ τὰ εἴδει.

Κ.

μὲν ἡ σοφία περὶ ἀρχὰς ἐπιςήμη τίς ἐςι, δῆλον
ρώτων ἐν οἷς διηπόρηται πρὸς τὰ ὑπὸ τῶν ἄλλων
περὶ τῶν ἀρχῶν· ἀπορήσειε δ' ἄν τις πότερον μίαν
ν εἶναι δεῖ τὴν σοφίαν ἐπιςήμην ἢ πολλάς. εἰ μὲν
, μία γ' ἐςὶν ἀεὶ τῶν ἐναντίων· αἱ δ' ἀρχαὶ οὐκ
εἰ δὲ μὴ μία, ποίας δεῖ θεῖναι ταύτας; ἔτι τὰς
κὰς ἀρχὰς θεωρῆσαι μιᾶς ἢ πλειόνων; εἰ μὲν γὰρ
μᾶλλον ταύτης ἢ ὁποιασῦν; εἰ δὲ πλειόνων, ποίας
ς θεῖναι; ἔτι πότερον πασῶν τῶν οὐσιῶν ἢ οὔ; εἰ
μὴ πασῶν, ποίων χαλεπὸν ἀποδῦναι· εἰ δὲ πα-
ἄδηλον πῶς ἐνδέχεται πλειόνων τὴν αὐτὴν ἐπι-
ῖναι. ἔτι πότερον περὶ τὰς οὐσίας μόνον ἢ καὶ τὰ
κότα ἀπόδειξίς ἐςιν; εἰ γὰρ περί γε τὰ συμβεβη-
δειξίς ἐςιν, περὶ τὰς ὐσίας οὐκ ἔςιν. εἰ δ' ἑτέρα,
ια καὶ ποτέρα σοφία; ἡ μὲν γὰρ ἀποδεικτικὴ σο-
ρὶ τὰ συμβεβηκότα, ἡ δὲ περὶ τὰ πρῶτα ἡ τῶν
λλ' ὐδὲ περὶ τὰς ἐν τοῖς φυσικοῖς εἰρημένας αἰτίας
μένην ἐπιςήμην θετέον. ὔτε γὰρ περὶ τὸ ὗ ἕνεκεν·
ὰρ τἀγαθόν, τῦτο δ' ἐν τοῖς πρακτοῖς ὑπάρχει καὶ
ἐν κινήσει· καὶ τῦτο πρῶτον κινεῖ (τοιῦτον γὰρ τὸ
δὲ πρῶτον κινῆσαν ὐκ ἔςιν ἐν τοῖς ἀκινήτοις. ὅλως
ν ἔχει πότερόν ποτε περὶ τὰς αἰσθητὰς ὐσίας ἐςὶν

ἡ ζητουμένη νῦν ἐπιςήμη ἢ ὔ, περὶ δέ τινας ἑτέρας. εἰ γὰρ περὶ ἄλλας, ἢ περὶ τὰ εἴδη εἴη ἂν ἢ περὶ τὰ μαθηματικά. τὰ μὲν ὖν εἴδη ὅτι οὐκ ἔςι, δῆλον. ὅμως δ' ἀπορίαν ἔχει, κἂν εἶναί τις αὐτὰ θῇ, διὰ τί ποτ' ὐχ ὥσπερ ἐπὶ τῶν μαθηματικῶν, οὕτως ἔχει καὶ ἐπὶ τῶν ἄλλων ὧν ἔστιν εἴδη. λέγω δ' ὅτι τὰ μαθηματικὰ μὲν μεταξύ τε τῶν εἰδῶν τιθέασι καὶ τῶν αἰσθητῶν οἷον τρίτα τινὰ παρὰ τὰ εἴδη τε καὶ τὰ δεῦρο· τρίτος δ' ἄνθρωπος ὐκ ἔςιν οὐδ' ἵππος παρ' αὐτόν τε καὶ τὺς καθ' ἕκαςον. εἰ δ' αὖ μή ἐςιν ὡς λέγυσι, περὶ ποῖα θετέον πραγματεύεσθαι τὸν μαθηματικόν; ὐ γὰρ δὴ περὶ τὰ δεῦρο· τύτων γὰρ ὐθέν ἐςιν οἷον αἱ μαθηματικαὶ ζητοῦσι τῶν ἐπιςημῶν. ὐδὲ μὴν περὶ τὰ μαθηματικὰ ἡ ζητουμένη νῦν ἐςὶν ἐπιςήμη· χωριςὸν γὰρ αὐτῶν οὐθέν. ἀλλ' ὐδὲ τῶν αἰσθητῶν ὐσιῶν· φθαρταὶ γάρ. ὅλως δ' ἀπορήσειέ τις ἂν ποίας ἐςὶν ἐπιςήμης τὸ διαπορῆσαι περὶ τῆς τῶν μαθηματικῶν ὕλης. ὔτε γὰρ τῆς φυσικῆς, διὰ τὸ περὶ τὰ ἔχοντα ἐν αὐτοῖς ἀρχὴν κινήσεως καὶ ςάσεως τὴν τοῦ φυσικῦ πᾶσαν εἶναι πραγματείαν, ὐδὲ μὴν τῆς σκοπούσης περὶ ἀποδείξεώς τε καὶ ἐπιςήμης· περὶ γὰρ αὐτὸ τῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται. λείπεται τοίνυν τὴν προκειμένην φιλοσοφίαν περὶ αὐτῶν τὴν σκέψιν ποιεῖσθαι. διαπορήσειε δ' ἄν τις εἰ δεῖ θεῖναι τὴν ζητουμένην ἐπιστήμην περὶ τὰς ἀρχὰς τὰ καλύμενα ὑπό τινων ςοιχεῖα· ταῦτα δὲ πάντες ἐνυπάρχοντα τοῖς συνθέτοις τιθέασιν. μᾶλλον δ' ἂν δόξειε τῶν καθόλου δεῖν εἶναι τὴν ζητουμένην ἐπιςήμην· πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιςήμη τῶν καθόλυ καὶ ὐ τῶν ἐσχάτων, ὥς' εἴη ἂν οὕτω τῶν πρώτων γενῶν. ταῦτα δὲ γίγνοιτ' ἂν τό τε ὂν καὶ τὸ ἕν· ταῦτα γὰρ μάλιστ' ἂν ὑποληφθείη περιέχειν τὰ ὄντα πάντα καὶ μάλιςα ἀρχαῖς ἐοικέναι διὰ τὸ εἶναι πρῶτα τῇ φύσει· φθαρέντων γὰρ αὐτῶν συναναιρεῖται καὶ τὰ λοιπά· πάντα γὰρ ὂν καὶ ἕν. ᾗ δὲ τὰς διαφορὰς αὐτῶν ἀνάγκη μετέχειν εἰ θήσει τις αὐτὰ γένη, διαφορὰ δ' ὐδεμία τῦ γένους μετέχει, ταύτῃ δ' ὐκ ἂν δόξειε δεῖν αὐτὰ τιθέναι γένη οὐδ' ἀρχάς. ἔτι δ' εἰ μᾶλλον ἀρχὴ τὸ ἁπλύςερον τῦ ἧττον τοιούτου, τὰ δ' ἔσχατα τῶν ἐκ τοῦ γένους ἁπλύςερα τῶν γενῶν (ἄτομα γάρ), τὰ γένη δ' εἰς εἴδη πλείω καὶ διαφέροντα διαιρεῖται, μᾶλλον ἂν ἀρχὴ δόξειεν εἶναι τὰ εἴδη τῶν γενῶν. ᾗ δὲ συναναιρεῖται τοῖς γένεσι τὰ εἴδη, τὰ γένη ταῖς ἀρχαῖς ἔοικε μᾶλλον·

ὶ om A^b. ‖ 7. ὁ αὐτὸς δὲ A^b. ‖ 10. γένη T. ‖ 12. καὶ om ET. ‖ 14. γένη ἕτερα εἴδη πλεῖον T. ‖ 18. τις om ET. ‖
ET. ‖ 26. τιθέναι A^b. ‖ 28. πῶς] ἀποδῦναι πῶς T. ‖ 30. ἀπόδειξις ἐςίν add E. ‖ γε om ET. ‖ 31. περὶ δὲ τὰς T. ‖
ε περὶ om A^b. ‖ ἡ τῶν] ἢ τῶν T. ‖ 35. ἐπιζητουμένην ETA^b. ‖ ὗ ἕνεκεν] ἕνεκεν τινὸς A^bF^b. ‖ 36. πρακτικοῖς A^b.
ὅτι et ὅλως A^b. ‖ 6. τε om ET. ‖ 7. τρίτα] τρόπον T. ‖ 9. ἕκαςα ET. ‖ 11. ζητοῦσιν αἱ μαθηματικαὶ A^b. ‖ 15. ἄν τις
T et pr E. ‖ 17. ἔχοντα] ἔσχατα T. ‖ ἑαυτοῖς A^b. ‖ 19. περὶ ante ἀποδ. om T. ‖ 21. αὐτῆς T. ‖ 27. γίγνοιτ' E. ‖
n T. ‖ πᾶν A^b. ‖ 36. γένει T. ‖ 37. εἴδη om T. ‖ 38. συναιρεῖται A^b.

ἀρχὴ γὰρ τὸ συναναιροῦν. τὰ μὲν οὖν τὴν ἀπορίαν ἔχοντα ταῦτα καὶ τοιαῦτ᾽ ἐστὶν ἕτερα.

2 Ἔτι πότερον δεῖ τιθέναι τι παρὰ τὰ καθ᾽ ἕκαστα ἢ οὔ, ἀλλὰ τούτων ἡ ζητουμένη ἐπιστήμη. ἀλλὰ ταῦτα ἄπειρα. τά γε μὴν παρὰ τὰ καθ᾽ ἕκαστα γένη ἢ εἴδη ἐστίν· ἀλλ᾽ οὐδετέρου τούτων ἡ ζητουμένη νῦν ἐπιστήμη. διότι γὰρ ἀδύνατον τοῦτ᾽, εἴρηται. καὶ γὰρ ὅλως ἀπορίαν ἔχει πότερον δεῖ τινὰ ὑπολαβεῖν οὐσίαν εἶναι χωριστὴν παρὰ τὰς αἰσθητὰς οὐσίας καὶ τὰς δεῦρο, ἢ οὔ, ἀλλὰ ταῦτ᾽ εἶναι τὰ ὄντα καὶ περὶ ταῦτα τὴν σοφίαν ὑπάρχειν. ζητεῖν μὲν γὰρ ἐοίκαμεν ἄλλην τινά, καὶ τὸ προκείμενον τοῦτ᾽ ἐστὶν ἡμῖν, λέγω δὲ τὸ ἰδεῖν εἴ τι χωριστὸν καθ᾽ αὑτὸ καὶ μηδενὶ τῶν αἰσθητῶν ὑπάρχον. ἔτι δ᾽ εἰ παρὰ τὰς αἰσθητὰς οὐσίας ἔστι τις ἑτέρα οὐσία, παρὰ ποίας τῶν αἰσθητῶν δεῖ τιθέναι ταύτην εἶναι; τί γὰρ μᾶλλον παρὰ τοὺς ἀνθρώπους ἢ τοὺς ἵππους ἢ τῶν ἄλλων ζῴων θήσει τις αὐτὴν ἢ καὶ τῶν ἀψύχων ὅλως; τό γε μὴν ἴσας ταῖς αἰσθηταῖς καὶ φθαρταῖς οὐσίαις ἀϊδίους ἑτέρας κατασκευάζειν ἐκτὸς τῶν εὐλόγων δόξειεν ἂν πίπτειν. εἰ δὲ μὴ χωριστὴ τῶν σωμάτων ἡ ζητουμένη νῦν ἐστὶν ἀρχή, τίνα ἄν τις ἄλλην μᾶλλον θείη τῆς ὕλης; αὕτη γε μὴν ἐνεργείᾳ μὲν οὐκ ἔστι, δυνάμει δ᾽ ἔστιν. μᾶλλόν τ᾽ ἂν ἀρχὴ κυριωτέρα ταύτης δόξειεν εἶναι τὸ εἶδος καὶ ἡ μορφή· τοῦτο δὲ φθαρτόν, ὥσθ᾽ ὅλως οὐκ ἔστιν ἀΐδιος οὐσία χωριστὴ καὶ καθ᾽ αὑτήν. ἀλλ᾽ ἄτοπον· ἔοικε γὰρ καὶ ζητεῖται σχεδὸν ὑπὸ τῶν χαριεστάτων ὡς οὖσά τις ἀρχὴ καὶ οὐσία τοιαύτη· πῶς γὰρ ἔσται τάξις μή τινος ὄντος ἀϊδίου καὶ χωριστοῦ καὶ μένοντος; ἔτι δ᾽ εἴπερ ἔστι τις οὐσία καὶ ἀρχὴ τοιαύτη τὴν φύσιν οἵαν νῦν ζητοῦμεν, καὶ αὕτη μία πάντων καὶ ἡ αὐτὴ τῶν ἀϊδίων τε καὶ φθαρτῶν, ἀπορίαν ἔχει διὰ τί ποτε τῆς αὐτῆς ἀρχῆς οὔσης τὰ μέν ἐστιν ἀΐδια τῶν ὑπὸ τὴν ἀρχήν, τὰ δ᾽ οὐκ ἀΐδια· τοῦτο γὰρ ἄτοπον. εἰ δ᾽ ἄλλη μέν ἐστιν ἀρχὴ τῶν φθαρτῶν ἄλλη δὲ τῶν ἀϊδίων, εἰ μὲν ἀΐδιος καὶ ἡ τῶν φθαρτῶν, ὁμοίως ἀπορήσομεν· διὰ τί γὰρ οὐκ ἀϊδίου τῆς ἀρχῆς οὔσης καὶ τὰ ὑπὸ τὴν ἀρχὴν ἀΐδια; φθαρτῆς δ᾽ οὔσης ἄλλη τις ἀρχὴ γίγνεται ταύτης κἀκείνης ἑτέρα, καὶ τοῦτ᾽ εἰς ἄπειρον πρόεισιν. εἰ δ᾽ αὖ τις τὰς δοκούσας μάλιστ᾽ ἀρχὰς ἀκινήτους εἶναι, τό τε ὂν καὶ τὸ ἓν θήσει, πρῶτον μὲν εἰ μὴ τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν σημαίνει, πῶς ἔσονται χωρισταὶ καὶ καθ᾽ αὑτάς; τοιαύτας δὲ ζητοῦμεν τὰς ἀϊδίους τε καὶ πρώτας ἀρχάς. εἴ γε μὴν τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν δηλοῖ, πάντ᾽ ἐστὶν οὐσίαι τὰ ὄντα· κατὰ πάντων γὰρ τὸ ὂν κατηγορεῖται, κατ᾽ ἐνίων δὲ καὶ τὸ ἕν. οὐσίαν δ᾽ εἶναι πάντα τὰ ὄντα ψεῦδος. ἔτι δὲ τοῖς τὴν πρώτην ἀρχὴν τὸ ἓν λέγουσι καὶ τοῦτ᾽ οὐσίαν, ἐκ δὲ τοῦ ἑνὸς καὶ τῆς ὕλης τὸν ἀριθμὸν γεννῶσι πρῶτον, καὶ τοῦτον οὐσίαν φάσκουσιν εἶναι, πῶς ἐνδέχεται τὸ λεγόμενον ἀληθὲς εἶναι; τὴν γὰρ δυάδα καὶ τῶν λοιπῶν ἕκαστον ἀριθμῶν τῶν συνθέτων πῶς ἓν δεῖ νοῆσαι; περὶ τούτου γὰρ οὔτε λέγουσιν οὐθὲν οὔτε ῥᾴδιον εἰπεῖν. εἴ γε μὴν γραμμὰς ἢ τὰ τούτων ἐχόμενα (λέγω δ᾽ ἐπιφανείας τὰς πρώτας) θήσει τις ἀρχάς, ταῦτα δ᾽ οὐκ εἰσὶν οὐσίαι χωρισταί, τομαὶ δὲ καὶ διαιρέσεις αἱ μὲν ἐπιφανειῶν αἱ δὲ σωμάτων, αἱ δὲ στιγμαὶ γραμμῶν, ἔτι δὲ πέρατα τῶν αὐτῶν τούτων· πάντα δὲ ταῦτα ἐν ἄλλοις ὑπάρχει καὶ χωριστὸν οὐθέν ἐστιν. ἔτι πῶς οὐσίαν ὑπολαβεῖν εἶναι δεῖ τοῦ ἑνὸς καὶ στιγμῆς; οὐσίας μὲν γὰρ πάσης γένεσίς ἐστι, στιγμῆς δ᾽ οὐκ ἔστιν· διαίρεσις γὰρ ἡ στιγμή. παρέχει δ᾽ ἀπορίαν καὶ τὸ πᾶσαν μὲν ἐπιστήμην εἶναι τῶν καθόλου καὶ τοῦ τοιουδί, τὴν δ᾽ οὐσίαν μὴ τῶν καθόλου εἶναι, μᾶλλον δὲ τόδε τι καὶ χωριστόν, ὥστ᾽ εἰ περὶ τὰς ἀρχάς ἐστιν ἐπιστήμη, πῶς δεῖ τὴν ἀρχὴν ὑπολαβεῖν οὐσίαν εἶναι; ἔτι πότερον ἔστι τι παρὰ τὸ σύνολον ἢ οὔ; λέγω δὲ τὴν ὕλην καὶ τὸ μετὰ ταύτης. εἰ μὲν γὰρ μή, τά γ᾽ ἐν ὕλῃ φθαρτὰ πάντα. εἰ δ᾽ ἔστι τι, τὸ εἶδος ἂν εἴη καὶ ἡ μορφή. τοῦτ᾽ οὖν ἐπὶ τίνων ἐστὶ καὶ ἐπὶ τίνων οὔ, χαλεπὸν ἀφορίσαι· ἐπ᾽ ἐνίων γὰρ δῆλον οὐκ ὂν χωριστὸν τὸ εἶδος, οἷον οἰκίας. ἔτι πότερον αἱ ἀρχαὶ εἴδει ἢ ἀριθμῷ αἱ αὐταί; εἰ γὰρ ἀριθμῷ, πάντ᾽ ἔσται ταὐτά.

Ἐπεὶ δ᾽ ἐστὶν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν καθόλου καὶ οὐ κατὰ μέρος, τὸ δ᾽ ὂν πολλαχῶς καὶ οὐ καθ᾽ ἕνα λέγεται τρόπον· εἰ μὲν οὖν ὁμωνύμως κατὰ δὲ κοινὸν μηθέν, οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην (οὐ γὰρ ἓν γένος τῶν τοιούτων), εἰ δὲ κατά τι κοινόν, εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην. ἔοικε δὴ τὸν εἰρημένον λέγεσθαι τρόπον καθάπερ τό τε ἰατρικὸν καὶ ὑγιεινόν· καὶ γὰρ τούτων ἑκάτερον πολλα-

2. ἕτερα om F^b. ‖ 4. ἐπιστήμη om T. ‖ 6. νῦν om T. ‖ διὸ ET. ‖ 12. δεῖν A^b. ‖ 13. περὶ T. ‖ ἔστι om F^b. ‖ 17. ἴσα T. ‖ 19. ἐστὶν om A^b. ‖ 20. ἄλλην τις A^b. ‖ θείη μᾶλλον ET. ‖ 28. μία, μία πάντων T. ‖ ἡ αὐτὴ] αὕτη A^b. ‖ 31. οὐκ ἀΐδια] οὔ. καὶ A^b. ‖ 33. ἀΐδια A^b. ‖ 34. ἀρχὴν οὐκ ἀΐδια E, ἀΐδιον A^b. ‖ 36. αὖ] ἂν T.

3. τε om A^b. ‖ οὐσίαν καὶ τόδε τι A^b. ‖ 4. εἰσὶν A^b. ‖ κατὰ] καὶ T. ‖ 5. καὶ add E. ‖ 10. ἀριθμὸν A^b. ‖ 13. τις] τὰς T. ‖ 14. δ᾽] γὰρ A^b. ‖ μὲν γὰρ ἐπιφανειῶν A^b. ‖ 16. πέρατα om T. ‖ ἅπαντα A^b. ‖ 17. οὐθέν ἐστιν om T. ‖ 18. καὶ τῆς στιγμῆς T. ‖ πάσης om T. ‖ 21. τοιοῦδε T. ‖ δ᾽ om A^b. ‖ 25. γ᾽ ἐν] γένη T. ‖ 28. οὐκ ἂν χωριστὸν T, κἂν χωριστὸν A^b. ‖ 29. γὰρ ἀριθμῷ] γὰρ ἀριθμῷ ἓν A^b. ‖ 30. πάντες εἰσὶ T. ‖ ταῦτα TA^b, τοιαῦτα E. ‖ 34. γὰρ ἂν ἓν A^b. ‖ 36. δὲ T. ‖ 37. τε om A^b. ‖ καὶ ὑγιεινὸν A^b.

ομεν. λέγεται δὲ τοῦτον τὸν τρόπον ἕκαστον τῷ τὸ
τὴν ἰατρικὴν ἐπιστήμην ἀνάγεσθαί πως, τὸ δὲ πρὸς
τὸ δ' ἄλλως, πρὸς ταὐτὸ δ' ἕκαστον. ἰατρικὸς γὰρ
ὶ μαχαίριον λέγεται τῷ τὸ μὲν ἀπὸ τῆς ἰατρικῆς
ς εἶναι, τὸ δὲ ταύτῃ χρήσιμον. ὁμοίως δὲ καὶ
τὸ μὲν γὰρ ὅτι σημαντικὸν ὑγιείας, τὸ δ' ὅτι ποιη-
δ' αὐτὸς τρόπος καὶ ἐπὶ τῶν λοιπῶν. τὸν αὐτὸν
ν καὶ τὸ ὂν ἅπαν λέγεται· τῷ γὰρ τοῦ ὄντος ᾗ ὂν
ἕξις ἢ διάθεσις ἢ κίνησις ἢ τῶν ἄλλων τι τῶν τοιού-
λέγεται ἕκαστον αὐτῶν ὄν. ἐπεὶ δὲ παντὸς τοῦ
ς ἕν τι καὶ κοινὸν ἡ ἀναγωγὴ γίγνεται, καὶ τῶν
ων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς καὶ ἐναντιώ-
χθήσεται τοῦ ὄντος, εἴτε πλῆθος καὶ ἓν εἴθ' ὁμοιό-
ἀνομοιότης αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραί, εἴτ'
νές· ἔστωσαν γὰρ αὗται τεθεωρημέναι. διαφέρει
ν τοῦ ὄντος ἀναγωγὴν πρὸς τὸ ὂν ἢ πρὸς τὸ ἓν γί-
καὶ γὰρ εἰ μὴ ταὐτὸν ἄλλο δ' ἐστίν, ἀντιστρέφει
ε γὰρ ἓν καὶ ὄν πως, τό τε ὂν ἕν. ἐπεὶ δ' ἐστὶ τὰ
άντα τῆς αὐτῆς καὶ μιᾶς ἐπιστήμης θεωρῆσαι, λέ-
ἕκαστον αὐτῶν κατὰ στέρησιν (καίτοι γ' ἔνια ἀπο-
ἂν πῶς λέγεται κατὰ στέρησιν, ὧν ἔστιν ἀνὰ μέ-
αθάπερ ἀδίκου καὶ δικαίου), περὶ πάντα δὴ τὰ
ὴν στέρησιν δεῖ τιθέναι, μὴ τοῦ ὅλου λόγου, τοῦ
υ δὲ εἴδους· οἷον εἰ ἔστιν ὁ δίκαιος καθ' ἕξιν τινὰ
ὸς τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος ἔσται τοῦ ὅλου
λόγου, περὶ δὲ τὸ πείθεσθαι τοῖς νόμοις ἐκλείπων
αὐτῃ ἡ στέρησις ὑπάρξει αὐτῷ. τὸν αὐτὸν δὲ τρό-
ἐπὶ τῶν ἄλλων. καθάπερ δ' ὁ μαθηματικὸς περὶ
αιρέσεως τὴν θεωρίαν ποιεῖται (περιελὼν γὰρ πάντα
ὰ θεωρεῖ, οἷον βάρος καὶ κουφότητα καὶ σκλη-
ὶ τοὐναντίον, ἔτι δὲ καὶ θερμότητα καὶ ψυχρότητα
λλας τὰς αἰσθητὰς ἐναντιώσεις, μόνον δὲ κατα-
ποσὸν καὶ συνεχές, τῶν μὲν ἐφ' ἓν τῶν δ' ἐπὶ
' ἐπὶ τρία, καὶ τὰ πάθη τὰ τούτων ᾗ ποσά ἐστι
ῇ, καὶ οὐ καθ' ἕτερόν τι θεωρεῖ, καὶ τῶν μὲν τὰς
ηλα θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα,

τῶν δὲ τὰς συμμετρίας καὶ ἀσυμμετρίας, τῶν δὲ τοὺς λό-
γους, ἀλλ' ὅμως μίαν πάντων καὶ τὴν αὐτὴν τίθεμεν ἐπι-
στήμην τὴν γεωμετρικήν), τὸν αὐτὸν δὴ τρόπον ἔχει καὶ περὶ
τὸ ὄν. τὰ γὰρ τούτῳ συμβεβηκότα καθ' ὅσον ἐστὶν ὄν, καὶ
τὰς ἐναντιώσεις αὐτοῦ ᾗ ὄν, οὐκ ἄλλης ἐπιστήμης ἢ φιλοσο-
φίας θεωρῆσαι. τῇ φυσικῇ μὲν γὰρ οὐχ ᾗ ὄντα, μᾶλλον
δ' ᾗ κινήσεως μετέχει, τὴν θεωρίαν τις ἀπονείμειεν ἄν. ἥ
γε μὴν διαλεκτικὴ καὶ ἡ σοφιστικὴ τῶν συμβεβηκότων μέν
εἰσι τοῖς οὖσιν, οὐχ ᾗ δ' ὄντα, οὐδὲ περὶ τὸ ὂν αὐτὸ καθ' ὅσον
ὄν ἐστιν. ὥστε λείπεται τὸν φιλοσόφον, καθ' ὅσον ὄντ' ἐστίν,
εἶναι περὶ τὰ λεχθέντα θεωρητικόν. ἐπεὶ δὲ τό τε ὂν ἅπαν
καθ' ἕν τι καὶ κοινὸν λέγεται πολλαχῶς λεγόμενον, καὶ
τἀναντία τὸν αὐτὸν τρόπον (εἰς τὰς πρώτας γὰρ ἐναντιώσεις
καὶ διαφορὰς τοῦ ὄντος ἀνάγεται), τὰ δὲ τοιαῦτα δυνατὸν
ὑπὸ μίαν ἐπιστήμην εἶναι, διαλύοιτ' ἂν ἡ κατ' ἀρχὰς ἀπο-
ρία λεχθεῖσα, λέγω δ' ἐν ᾗ διηπορεῖτο πῶς ἔσται πολλῶν
καὶ διαφόρων ὄντων τῷ γένει μία τις ἐπιστήμη. ἐπεὶ δὲ καὶ 4
ὁ μαθηματικὸς χρῆται τοῖς κοινοῖς ἰδίως, καὶ τὰς τούτων
ἀρχὰς ἂν εἴη θεωρῆσαι τῆς πρώτης φιλοσοφίας. ὅτι γὰρ
ἀπὸ τῶν ἴσων ἴσων ἀφαιρεθέντων ἴσα τὰ λειπόμενα, κοινὸν
μέν ἐστιν ἐπὶ πάντων τῶν ποσῶν, ἡ μαθηματικὴ δ' ἀπο-
λαβοῦσα περί τι μέρος τῆς οἰκείας ὕλης ποιεῖται τὴν θεωρίαν,
οἷον περὶ γραμμὰς ἢ γωνίας ἢ ἀριθμοὺς ἢ τῶν λοιπῶν τι
ποσῶν, οὐχ ᾗ δ' ὄντα ἀλλ' ᾗ συνεχὲς αὐτῶν ἕκαστον ἐφ'
ἓν ἢ δύο ἢ τρία· ἡ δὲ φιλοσοφία περὶ τῶν ἐν μέρει μέν, ᾗ
τούτων ἑκάστῳ τί συμβέβηκεν, οὐ σκοπεῖ, περὶ τὸ ὂν δ' ᾗ ὂν
τῶν τοιούτων ἕκαστον θεωρεῖ. τὸν αὐτὸν δ' ἔχει τρόπον καὶ
περὶ τὴν φυσικὴν ἐπιστήμην τῇ μαθηματικῇ· τὰ συμβεβη-
κότα γὰρ ἡ φυσικὴ καὶ τὰς ἀρχὰς θεωρεῖ τὰς τῶν ὄντων
ᾗ κινούμενα καὶ οὐχ ᾗ ὄντα. τὴν δὲ πρώτην εἰρήκαμεν ἐπι-
στήμην τούτων εἶναι καθ' ὅσον ὄντα τὰ ὑποκείμενά ἐστιν,
ἀλλ' οὐχ ᾗ ἕτερόν τι. διὸ καὶ ταύτην καὶ τὴν μαθηματικὴν
ἐπιστήμην μέρη τῆς σοφίας εἶναι θετέον.

Ἔστι δέ τις ἐν τοῖς οὖσιν ἀρχὴ περὶ ἣν οὐκ ἔστι διεψεῦ- 5
σθαι, τοὐναντίον δ' ἀναγκαῖον ἀεὶ ποιεῖν, λέγω δὲ ἀληθεύειν,
οἷον ὅτι οὐκ ἐνδέχεται τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρό-

γόμενον TA^b. ‖ δὲ τῶν τρόπων ET. ‖ 3. γὰρ] δὲ T. ‖ 4. μαχαίριος T. ‖ 6. ὅτι post γὰρ om T. ‖ 8. δὲ T. ‖ τὸ γὰρ τοῦ A^b. ‖ 9. ἢ τῶν] καὶ τῶν A^b. ‖ 10. λέγεται εἶναι A^b. ‖ 11. κοινὴ ἀναγωγὴ A^bF^b. ‖ 12. καὶ τὰς ἐναντιώσεις ET. ‖ 13. T. ‖ 20. δ'] γὰρ F^b. ‖ 22. δεῖ T. ‖ 24. ὁ δίκαιος ὁ καθ' F^b. ‖ καθ' ἕξιν] μέθεξιν A^b. ‖ 25. τοῦ] ὁ τοῦ ET. ‖ 26. τοῦ ἴπον T. ‖ 27. ταύτῃ στέρησις αὐτῷ ὑπάρξει A^b. ‖ 29. ἀπορίαν T. ‖ 31. καὶ post δὲ om ET. ‖ 32. τὰς post ἄλλας add τὰ post πάθη om T. ‖ 36. τὰ om T.
ως A^b. ‖ 3. δὴ add A^b. ‖ 7. ἔχει A^b. ‖ ἀπονέμειεν A^b. ‖ 8. ἡ om ET. ‖ 9. αὐτῷ T. ‖ 10. ὂν] γρ ὄντως E. ‖ ὄντ'] ‖ 16. διηπόρητο T. ‖ 18. ἰδίοις F^b. ‖ 19. ὅτι] εἰ T. ‖ 20. alterum ἴσων add E. ‖ 25. ᾗ] ἢ A^b. ‖ 26. ἑκάστων A^b. ‖ A^b. ‖ 32. ᾗ om ET. ‖ ἕτερ' ἄττα γρ E. ‖ 34. οὐκ ἔσται A^b.

νον εἶναι καὶ μὴ εἶναι, καὶ τἆλλα τὰ τοῦτον αὐτοῖς ἀντικείμενα τὸν τρόπον. καὶ περὶ τῶν τοιύτων ἁπλῶς μὲν οὐκ ἔςιν ἀπόδειξις, πρὸς τόνδε δ' ἔςιν. ὐ γὰρ ἔςιν ἐκ πιςοτέρας ἀρχῆς αὐτῦ τύτου ποιήσασθαι τὸν συλλογισμόν, δεῖ δέ γ', εἴπερ ἔσται τὸ ἁπλῶς ἀποδεδεῖχθαι. πρὸς δὲ τὸν λέγοντα τὰς ἀντικειμένας φάσεις τῷ δεικνύντι διότι ψεῦδος, ληπτέον τι τοιῦτον ὃ ταὐτὸ μὲν ἔςαι τῷ μὴ ἐνδέχεσθαι ταὐτὸ εἶναι καὶ μὴ εἶναι καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, μὴ δόξει δ' εἶναι ταὐτόν· οὕτω γὰρ μόνως ἂν ἀποδειχθείη πρὸς τὸν φάσκοντα ἐνδέχεσθαι τὰς ἀντικειμένας φάσεις ἀληθεύεσθαι κατὰ τῦ αὐτῦ. τὺς δὴ μέλλοντας ἀλλήλοις λόγου κοινωνήσειν δεῖ τι συνιέναι αὐτῶν· μὴ γιγνομένου γὰρ τύτυ πῶς ἔςαι κοινωνία τύτοις πρὸς ἀλλήλους λόγου; δεῖ τοίνυν τῶν ὀνομάτων ἕκαστον εἶναι γνώριμον καὶ δηλοῦν τι, καὶ μὴ πολλά, μόνον δ' ἕν· ἂν δὲ πλείω σημαίνῃ, φανερὸν ποιεῖν ἐφ' ὃ φέρει τὔνομα τύτων. ὁ δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, τῦτο ὅ φησιν ὔ φησιν, ὥσθ' ὃ σημαίνει τὔνομα τῦτ' ὔ φησι σημαίνειν· τῦτο δ' ἀδύνατον. ὥς' εἴπερ σημαίνει τι τὸ εἶναι τόδε, τὴν ἀντίφασιν ἀδύνατον ἀληθεύειν κατὰ τῦ αὐτοῦ. ἔτι δ' εἴ τι σημαίνει τὔνομα καὶ τοῦτ' ἀληθεύεται, δεῖ τῦτ' ἐξ ἀνάγκης εἶναι· τὸ δ' ἐξ ἀνάγκης ὂν ὐκ ἐνδέχεταί ποτε μὴ εἶναι· τὰς ἀντικειμένας ἄρα οὐκ ἐνδέχεται φάσεις ἀληθεύειν κατὰ τῦ αὐτοῦ. ἔτι δ' εἰ μηθὲν μᾶλλον ἡ φάσις ἢ ἡ ἀπόφασις ἀληθεύεται, ὁ λέγων ἄνθρωπον ἢ ὐκ ἄνθρωπον οὐθὲν μᾶλλον ἀληθεύσει. δόξειε δὲ κἂν οὐχ ἵππον εἶναι φάσκων τὸν ἄνθρωπον ἢ μᾶλλον ἢ οὐχ ἧττον ἀληθεύειν ἢ οὐκ ἄνθρωπον, ὥςε καὶ ἵππον φάσκων εἶναι τὸν αὐτὸν ἀληθεύσει· τὰς γὰρ ἀντικειμένας ὁμοίως ἦν ἀληθεύειν. συμβαίνει τοίνυν τὸν αὐτὸν ἄνθρωπον εἶναι καὶ ἵππον ἢ τῶν ἄλλων τι ζῴων. ἀπόδειξις μὲν ὖν ὐδεμία τύτων ἐςὶν ἁπλῶς, πρὸς μέντοι τὸν ταῦτα τιθέμενον ἀπόδειξις. ταχέως δ' ἄν τις καὶ αὐτὸν τὸν Ἡράκλειτον τοῦτον ἐρωτήσας τὸν τρόπον ἠνάγκασεν ὁμολογεῖν μηδέποτε τὰς ἀντικειμένας φάσεις δυνατὸν εἶναι κατὰ τῶν αὐτῶν ἀληθεύεσθαι· νῦν δ' οὐ συνεὶς ἑαυτοῦ τί ποτε λέγει, ταύτην ἔλαβε τὴν δόξαν. ὅλως δ' εἰ τὸ λεγόμενον ὑπ' αὐτῦ ἐςὶν ἀληθές, ὐδ' ἂν αὐτὸ τῦτο εἴη ἀληθές, λέγω δὲ τὸ ἐνδέχεσθαι τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον εἶναί τε καὶ μὴ εἶναι. καθάπερ γὰρ καὶ διῃρημένων αὐτῶν ὐθὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύεται, τὸν αὐτὸν τρόπον καὶ τῦ συναμφοτέρου καὶ τῦ συμπεπλεγμένου καθάπερ μιᾶς τινὸς καταφάσεως ὔσης ὐθὲν μᾶλλον ἡ ἀπόφασις ἢ τὸ ὅλον ὡς ἐν καταφάσει τιθέμενον ἀληθεύσεται. ἔτι δ' εἰ μηθὲν ἔςιν ἀληθῶς καταφῆσαι, κἂν αὐτὸ τοῦτο ψεῦδος εἴη τὸ φάναι μηδεμίαν ἀληθῆ κατάφασιν ὑπάρχειν. εἰ δ' ἔστι τι, λύοιτ' ἂν τὸ λεγόμενον ὑπὸ τῶν τὰ τοιαῦτα ἐνιςαμένων καὶ παντελῶς ἀναιρύντων τὸ διαλέγεσθαι.

Παραπλήσιον δὲ τοῖς εἰρημένοις ἐςὶ καὶ τὸ λεχθὲν ὑπὸ b
τοῦ Πρωταγόρου· καὶ γὰρ ἐκεῖνος ἔφη πάντων χρημάτων εἶναι μέτρον ἄνθρωπον, ὐθὲν ἕτερον λέγων ἢ τὸ δοκῦν ἑκάςῳ τῦτο καὶ εἶναι παγίως. τύτου δὲ γιγνομένου τὸ αὐτὸ συμβαίνει καὶ εἶναι καὶ μὴ εἶναι, καὶ κακὸν καὶ ἀγαθὸν εἶναι, καὶ τἆλλα τὰ κατὰ τὰς ἀντικειμένας λεγόμενα φάσεις, διὰ τὸ πολλάκις τοισδὶ μὲν φαίνεσθαι τόδε εἶναι καλὸν τοισδὶ δὲ τὐναντίον, μέτρον δ' εἶναι τὸ φαινόμενον ἑκάςῳ. λύοιτο δ' ἂν αὕτη ἡ ἀπορία θεωρήσασι πόθεν ἡ ἀρχὴ τῆς ὑπολήψεως ταύτης. ἔοικε γὰρ ἐνίοις μὲν ἐκ τῆς τῶν φυσιολόγων δόξης γεγενῆσθαι, τοῖς δ' ἐκ τοῦ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γιγνώσκειν, ἀλλὰ τοισδὶ μὲν ἡδὺ τόδε φαίνεσθαι τοισδὶ δὲ τὐναντίον. τὸ γὰρ μηθὲν ἐκ μὴ ὄντος γίγνεσθαι πᾶν δ' ἐξ ὄντος, σχεδὸν ἁπάντων ἐςὶ κοινὸν δόγμα τῶν περὶ φύσεως. ἐπεὶ ὖν ὐ λευκὸν γίγνεται λευκοῦ τελέως ὄντος καὶ οὐδαμῇ μὴ λευκοῦ, νῦν δὲ γεγενημένον μὴ λευκὸν γίγνοιτ' ἂν ἐκ μὴ ὄντος λευκῦ τὸ γιγνόμενον μὴ λευκόν· ὥςε ἐκ μὴ ὄντος γίγνοιτ' ἂν κατ' ἐκείνους, εἰ μὴ ὑπῆρχε μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν. οὐ χαλεπὸν δὲ διαλύειν τὴν ἀπορίαν ταύτην· εἴρηται γὰρ ἐν τοῖς φυσικοῖς πῶς ἐκ τοῦ μὴ ὄντος γίγνεται τὰ γιγνόμενα καὶ πῶς ἐξ ὄντος. τό γε μὴν ὁμοίως προσέχειν ταῖς δόξαις καὶ ταῖς φαντασίαις τῶν πρὸς αὑτὺς διαμφισβητύντων εὔηθες· δῆλον γὰρ ὅτι τὺς ἑτέρυς αὐτῶν ἀνάγκη διεψεῦσθαι. φανερὸν δὲ τῦτ' ἐκ τῶν γιγνομένων κατὰ τὴν αἴσθησιν· ὐδέποτε γὰρ

2. τὸν om T. ‖ 4. τὸν om $A^b F^b$. ‖ γ' om T. ‖ 5. λόγον T. ‖ 6. ψεύδεται F^b. ‖ 7. ὃ ταὐτῷ T. ‖ 8. δόξη A^b, δόξει τι E. ‖ 9. μόνος A^b. ‖ 11. δὲ T. ‖ 13. ἔςι $E A^b$. ‖ 15. πλείονα ET. ‖ 16. δεῖ F^b. ‖ 17. ὃ] ὃ ὅλως εἶναι E, om T. ‖ 19. ἀληθεύειν ἀδύνατον ET. ‖ κατὰ τῦ αὐτοῦ om ET. ‖ 21. δεῖ καὶ τῦτ' ET. ‖ 22. τότε ET. ‖ 23. φάσεις καὶ ἀποφάσεις ἀληθεύειν ET. ‖ 24. ἢ post ἢ om T. ‖ 25. οὐθὲν] οὐδὲ T. ‖ 27. ἢ om E. ‖ 32. ἐρωτῶν A^b. ‖ 35. συνιεὶς $T A^b$ et γρ E. ‖ ἑαυτὸν T, αὑτοῦ A^b.

1. ἀληθὲς εἴη ET. ‖ 4. τῦ om T. ‖ 5. τινὸς μιᾶς A^b. ‖ 7. ἀληθεύεται F^b, ἀληθὲς ἔςαι E. ‖ 13. εἶναι χρημάτων μέτρον E, εἶναι μέτρον χρημάτων T. ‖ 14. τὸν ἄνθρωπον E. ‖ 17. φάσεις λεγόμενα ET. ‖ 20. πόθεν ἐλήλυθεν ἡ ET. ‖ 23. ἅπαντα E. ‖ τοῖσδε A^b. ‖ τότε φαίνεται T. ‖ 24. τοῖς ET. ‖ ἐκ τῦ μὴ T. ‖ 25. κοινόν ἐςι A^b. ‖ 27. τελείως ET. ‖ μηδαμῇ F^b. ‖ 28. γρ καὶ ὄντως· ἐκ μὴ ὄντος μὴ λευκῦ margo E. ‖ 30. μὴ post καὶ A^b. ‖ 33. προσέχειν] προσέχειν ἀμφοτέραις ET. ‖ ταῖς δόξαις καὶ om F^b. ‖ 34. τῶν πρὸς αὑτὺς om F^b. ‖ ἀμφισβητύντων $A^b F^b$.

τὸ αὐτὸ φαίνεται τοῖς μὲν γλυκὺ τοῖς δὲ τοὐναντίον, μὴ διεφθαρμένων καὶ λελωβημένων τῶν ἑτέρων τὸ αἰσθητήριον καὶ κριτήριον τῶν λεχθέντων χυμῶν. τούτου δ' ὄντος τοιούτου τοὺς ἑτέρους μὲν ὑποληπτέον μέτρον εἶναι, τοὺς δ' ἑτέρους οὐχ ὑποληπτέον. ὁμοίως δὲ τοῦτο λέγω καὶ ἐπὶ ἀγαθοῦ καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ τῶν ἄλλων τῶν τοιούτων. οὐθὲν γὰρ διαφέρει τοῦτ' ἀξιοῦν ἢ τὰ φαινόμενα τοῖς ὑπὸ τὴν ὄψιν ὑποβάλλουσι τὸν δάκτυλον καὶ ποιοῦσιν ἐκ τοῦ ἑνὸς φαίνεσθαι δύο, δύο δ' εἶναι διὰ τὸ φαίνεσθαι τοσαῦτα, καὶ πάλιν ἕν· τοῖς γὰρ μὴ κινοῦσι τὴν ὄψιν ἓν φαίνεται τὸ ἕν. ὅλως δ' ἄτοπον ἐκ τοῦ φαίνεσθαι τὰ δεῦρο μεταβάλλοντα καὶ μηδέποτε διαμένοντα ἐν τοῖς αὐτοῖς, ἐκ τούτου περὶ τῆς ἀληθείας τὴν κρίσιν ποιεῖσθαι. δεῖ γὰρ ἐκ τῶν ἀεὶ κατὰ ταὐτὰ ἐχόντων καὶ μηδεμίαν μεταβολὴν ποιουμένων τἀληθὲς θηρεύειν. τοιαῦτα δ' ἐστὶ τὰ κατὰ τὸν κόσμον· ταῦτα γὰρ οὐχ ὁτὲ μὲν τοιαδὶ πάλιν δ' ἀλλοῖα φαίνεται, ταὐτὰ δ' ἀεὶ καὶ μεταβολῆς οὐδεμιᾶς κοινωνοῦντα. ἔτι δ' εἰ κίνησίς ἐστι καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ τινος καὶ εἴς τι, δεῖ ἄρα τὸ κινούμενον εἶναι ἐν ἐκείνῳ ἐξ οὗ κινήσεται καὶ οὐκ εἶναι ἐν αὐτῷ, καὶ εἰς τοδὶ κινεῖσθαι καὶ γίγνεσθαι ἐν τούτῳ, τὸ δὲ κατὰ τὴν ἀντίφασιν μὴ ἀληθεύεσθαι κατ' αὐτούς. καὶ εἰ κατὰ τὸ ποσὸν συνεχῶς τὰ δεῦρο ῥεῖ καὶ κινεῖται, καί τις τοῦτο θείη καίπερ οὐκ ἀληθὲς ὄν, διὰ τί κατὰ τὸ ποιὸν οὐ μένει; φαίνονται γὰρ οὐχ ἥκιστα τὰ κατὰ τὰς ἀντιφάσεις ταὐτοῦ κατηγορεῖν ἐκ τοῦ τὸ ποσὸν ὑπειληφέναι μὴ μένειν ἐπὶ τῶν σωμάτων διὰ τὸ καὶ εἶναι τετράπηχυ τὸ αὐτὸ καὶ οὐκ εἶναι. ἡ δ' οὐσία κατὰ τὸ ποιόν, τοῦτο δὲ τῆς ὡρισμένης φύσεως, τὸ δὲ ποσὸν τῆς ἀορίστου. ἔτι διὰ τί προστάττοντος τοῦ ἰατροῦ τοδὶ τὸ σιτίον προσενέγκασθαι προσφέρονται; τί γὰρ μᾶλλον τοῦτο ἄρτος ἐστὶν ἢ οὐκ ἔστιν; ὥστ' οὐθὲν ἂν διέχοι φαγεῖν ἢ μὴ φαγεῖν. νῦν δ' ὡς ἀληθεύοντες περὶ αὐτὸ καὶ ὄντος τοῦ προσαχθέντος σιτίου τούτου προσφέρονται τοῦτο. καίτοι γ' οὐκ ἔδει μὴ διαμενούσης παγίως μηδεμιᾶς φύσεως ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἀεὶ πασῶν κινουμένων καὶ ῥεουσῶν. ἔτι δ' εἰ μὲν ἀλλοιούμεθα ἀεὶ καὶ μηδέποτε διαμένομεν οἱ αὐτοί, τί καὶ θαυμαστὸν εἰ μηδέποθ' ἡμῖν ταὐτὰ φαίνεται καθάπερ τοῖς κάμνουσιν; καὶ γὰρ τούτοις διὰ τὸ μὴ ὁμοίως διακεῖσθαι τὴν ἕξιν καὶ ὅθ' ὑγίαινον, οὐχ ὅμοια φαίνεται τὰ κατὰ τὰς αἰσθήσεις, αὐτὰ μὲν οὐδεμιᾶς διά γε τοῦτο μεταβολῆς κοινωνοῦντα τὰ αἰσθητά, αἰσθήματα δ' ἕτερα ποιοῦντα τοῖς κάμνουσι καὶ μὴ ταὐτά. τὸν αὐτὸν δὴ τρόπον ἔχειν καὶ τῆς εἰρημένης μεταβολῆς γιγνομένης ἴσως ἀναγκαῖόν ἐστιν. εἰ δὲ μὴ μεταβάλλομεν ἀλλ' οἱ αὐτοὶ διατελοῦμεν ὄντες, εἴη ἄν τι μένον. πρὸς μὲν οὖν τοὺς ἐκ λόγου τὰς εἰρημένας ἀπορίας ἔχοντας οὐ ῥᾴδιον διαλῦσαι μὴ τιθέντων τι καὶ τούτου λόγον μηκέτι ἀπαιτούντων· οὕτω γὰρ πᾶς λόγος καὶ πᾶσα ἀπόδειξις γίγνεται· μηθὲν γὰρ τιθέντες ἀναιροῦσι τὸ διαλέγεσθαι καὶ ὅλως λόγον. ὥστε πρὸς μὲν τοὺς τοιούτους οὐκ ἔστι λόγος, πρὸς δὲ τοὺς διαποροῦντας ἐκ τῶν παραδεδομένων ἀποριῶν ῥᾴδιον ἀπαντᾶν καὶ διαλύειν τὰ ποιοῦντα τὴν ἀπορίαν ἐν αὐτοῖς. δῆλον δ' ἐκ τῶν εἰρημένων. ὥστε φανερὸν ἐκ τούτων ὅτι οὐκ ἐνδέχεται τὰς ἀντικειμένας φάσεις περὶ ταὐτοῦ καθ' ἕνα χρόνον ἀληθεύειν, οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέγεσθαι κατὰ στέρησιν πᾶσαν ἐναντιότητα. δῆλον δὲ τοῦτ' ἐπ' ἀρχὴν τοὺς λόγους ἀναλύουσι τοὺς τῶν ἐναντίων. ὁμοίως δ' οὐδὲ τῶν ἀνὰ μέσον οὐθὲν οἷόν τε κατηγορεῖσθαι καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ. λευκοῦ γὰρ ὄντος τοῦ ὑποκειμένου λέγοντες αὐτὸ εἶναι οὔτε λευκὸν οὔτε μέλαν ψευσόμεθα· συμβαίνει γὰρ εἶναι λευκὸν αὐτὸ καὶ μὴ εἶναι· θάτερον γὰρ τῶν συμπεπλεγμένων ἀληθεύσεται κατ' αὐτοῦ, τοῦτο δ' ἐστὶν ἀντίφασις τοῦ λευκοῦ. οὔτε δὴ καθ' Ἡράκλειτον ἐνδέχεται λέγοντας ἀληθεύειν, οὔτε κατ' Ἀναξαγόραν. εἰ δὲ μή, συμβήσεται τἀναντία τοῦ αὐτοῦ κατηγορεῖν· ὅταν γὰρ ἐν παντὶ φῇ παντὸς εἶναι μοῖραν, οὐθὲν μᾶλλον εἶναί φησι γλυκὺ ἢ πικρὸν ἢ τῶν λοιπῶν ὁποιανοῦν ἐναντιώσεων, εἴπερ ἐν ἅπαντι πᾶν ὑπάρχει μὴ δυνάμει μόνον ἀλλ' ἐνεργείᾳ καὶ ἀποκεκριμένον. ὁμοίως δὲ οὐδὲ πάσας ψευδεῖς οὐδ' ἀληθεῖς τὰς φάσεις δυνατὸν εἶναι, δι' ἄλλα τε πολλὰ τῶν συναχθέντων ἂν δυσχερῶν διὰ ταύτην τὴν θέσιν, καὶ διότι ψευδῶν μὲν οὐσῶν πασῶν οὐδ' αὐτὸ τοῦτό τις φάσκων ἀληθεύσει, ἀληθῶν δὲ ψευδεῖς εἶναι πάσας λέγων οὐ ψεύσεται.

Πᾶσα δ' ἐπιστήμη ζητεῖ τινὰς ἀρχὰς καὶ αἰτίας περὶ 7
ἕκαστον τῶν ὑφ' αὑτὴν ἐπιστητῶν, οἷον ἰατρικὴ καὶ γυμναστικὴ

1. μηδὲ A^b. ‖ 2. ἐφθαρμένων T. ‖ 4. ἑτέρους] ἄλλους A^b. ‖ 7. ταῦτ' T, τοῦ F^b. ‖ 10. ὄψιν ἐμφαίνεται A^b. ‖ 13. κατ' αὐτὴν T. ‖ 14. ἐχόντων] ὄντων A^b. ‖ 15. γὰρ] μὲν T. ‖ 16. τοιάδε E. ‖ 17. εἰ] ἡ T. ‖ 19. εἶναι ἔτι ἐν ET. ‖ οὐκ] μὴ A^b. ‖ 20. τόδε A^b. ‖ 21. συναληθεύεσθαι A^b. ‖ 24. φαίνεται T. ‖ τὰ om T. ‖ 25. αὐτοῦ A^b. ‖ 26. διὰ τὸ] διὸ A^b. ‖ 27. δὲ] γὰρ A^b. ‖ 30. τοῦτο om ET. ‖ ἄρτον T. ‖ 31. διέχοι] τι ἔχοι ET. ‖ ἀληθεύοντος A^b. ‖ 33. τούτω T. ‖ γ' om A^b. ‖ μὴ om T. ‖ 35. ἀεὶ om A^b. ‖ 36. διαμένωμεν E. ‖ καὶ om A^b.

1. τὴν ἕξιν διακεῖσθαι A^b. ‖ 4. καὶ μὴ ταὐτά om A^b. ‖ 6. γενομένης A^b. ‖ 7. τι ἂν ET. ‖ 9. μηκέτι λόγον ET. ‖ 10. γὰρ καὶ πᾶς T. ‖ 17. πᾶσαν ἐναντιότητα] τὰ ἐναντία A^b. ‖ 18. λύουσι ET. ‖ 21. μέλαν οὔτε λευκὸν A^b. ‖ 23. ἀληθεύεται E. ‖ κατὰ τοῦ αὐτοῦ T. ‖ 25. ἐνδέχεται λέγοντα T, λέγοντα ἐνδέχεται F^b. ‖ 29. πάντα A^b. ‖ 31. φύσεις T. ‖ 32. καὶ om T. ‖ 33. τις τοῦτο A^b.

καὶ τῶν λοιπῶν ἑκάστη τῶν ποιητικῶν καὶ μαθηματικῶν. ἑκάςη γὰρ τύτων περιγραψαμένη τι γένος αὐτῇ περὶ τοῦτο πραγματεύεται ὡς ὑπάρχον καὶ ὄν, ὐχ ᾗ δὲ ὄν, ἀλλ' ἑτέρα τις αὕτη παρὰ ταύτας τὰς ἐπιςήμας ἐςὶν ἐπιςήμη. τῶν δὲ λεχθεισῶν ἐπιστημῶν ἑκάστη λαβοῦσά πως τὸ τί ἐστιν ἐν ἑκάστῳ γένει πειρᾶται δεικνύναι τὰ λοιπὰ μαλακώτερον ἢ ἀκριβέστερον. λαμβάνουσι δὲ τὸ τί ἐστιν αἱ μὲν διὰ τῆς αἰσθήσεως αἱ δ' ὑποτιθέμεναι· διὸ καὶ δῆλον ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐςιν ὐκ ἔςιν ἀπόδειξις. ἐπεὶ δ' ἔστι τις ἡ περὶ φύσεως ἐπιςήμη, δῆλον ὅτι καὶ πρακτικῆς ἑτέρα καὶ ποιητικῆς ἔςαι. ποιητικῆς μὲν γὰρ ἐν τῷ ποιοῦντι καὶ οὐ τῷ ποιουμένῳ τῆς κινήσεως ἡ ἀρχή, καὶ τῦτ' ἐςὶν εἴτε τέχνη τις εἴτ' ἄλλη τις δύναμις. ὁμοίως δὲ καὶ τῆς πρακτικῆς ὐκ ἐν τῷ πρακτῷ, μᾶλλον δ' ἐν τοῖς πράττουσιν ἡ κίνησις. ἡ δὲ τοῦ φυσικοῦ περὶ τὰ ἔχοντ' ἐν ἑαυτοῖς κινήσεως ἀρχήν ἐςιν. ὅτι μὲν τοίνυν ὔτε πρακτικὴν ὔτε ποιητικὴν ἀλλὰ θεωρητικὴν ἀναγκαῖον εἶναι τὴν φυσικὴν ἐπιστήμην, δῆλον ἐκ τούτων· εἰς ἕν γάρ τι τούτων τῶν γενῶν ἀνάγκη πίπτειν αὐτήν. ἐπεὶ δὲ τὸ τί ἐςιν ἀναγκαῖον ἑκάςῃ πως τῶν ἐπιςημῶν εἰδέναι καὶ τύτῳ χρῆσθαι ἀρχῇ, δεῖ μὴ λανθάνειν πῶς ὁριστέον τῷ φυσικῷ καὶ πῶς ὁ τῆς ὐσίας λόγος ληπτέος, πότερον ὡς τὸ σιμὸν ἢ μᾶλλον ὡς τὸ κοῖλον. τούτων γὰρ ὁ μὲν τοῦ σιμῦ λόγος μετὰ τῆς ὕλης λέγεται τῆς τῦ πράγματος, ὁ δὲ τῦ κοίλυ χωρὶς τῆς ὕλης· ἡ γὰρ σιμότης ἐν ῥινὶ γίγνεται, διὸ καὶ ὁ λόγος αὐτῆς μετὰ ταύτης θεωρεῖται· τὸ σιμὸν γάρ ἐςι ῥὶς κοίλη. φανερὸν ὗν ὅτι καὶ σαρκὸς καὶ ὀφθαλμῦ καὶ τῶν λοιπῶν μορίων μετὰ τῆς ὕλης ἀεὶ τὸν λόγον ἀποδοτέον. ἐπεὶ δ' ἔςι τις ἐπιςήμη τῦ ὄντος ᾗ ὂν καὶ χωριστόν, σκεπτέον πότερόν ποτε τῇ φυσικῇ τὴν αὐτὴν θετέον ταύτην εἶναι ἢ μᾶλλον ἑτέραν. ἡ μὲν οὖν φυσικὴ περὶ τὰ κινήσεως ἔχοντ' ἀρχὴν ἐν αὑτοῖς ἐςίν, ἡ δὲ μαθηματικὴ θεωρητικὴ μὲν καὶ περὶ μένοντά τις αὕτη, ἀλλ' ὐ χωριςά. περὶ τὸ χωριςὸν ἄρα ὂν καὶ τὸ ἀκίνητον ἑτέρα τύτων ἀμφοτέρων τῶν ἐπιςημῶν ἐςί τις, εἴπερ ὑπάρχει τις οὐσία τοιαύτη, λέγω δὲ χωριςὴ καὶ ἀκίνητος, ὅπερ πειρασόμεθα δεικνύναι. καὶ εἴπερ ἔςι τις τοιαύτη φύσις ἐν τοῖς οὖσιν, ἐνταῦθ' ἂν εἴη πυ καὶ τὸ θεῖον, καὶ αὕτη ἂν εἴη πρώτη καὶ κυριωτάτη ἀρχή. δῆλον τοίνυν ὅτι τρία γένη τῶν θεωρητικῶν ἐπιστημῶν ἐστί, φυσική, μαθηματική, θεολογική. βέλτιςον μὲν οὖν τὸ τῶν θεωρητικῶν ἐπιςημῶν γένος, τύτων δ' αὐτῶν ἡ τελευταία λεχθεῖσα· περὶ τὸ τιμιώτατον γάρ ἐςι τῶν ὄντων, βελτίων δὲ καὶ χείρων ἑκάςη λέγεται κατὰ τὸ οἰκεῖον ἐπιςητόν. ἀπορήσειε δ' ἄν τις πότερόν ποτε τὴν τῦ ὄντος ᾗ ὂν ἐπιστήμην καθόλυ δεῖ θεῖναι ἢ οὔ. τῶν μὲν γὰρ μαθηματικῶν ἑκάςη περὶ ἕν τι γένος ἀφωρισμένον ἐςίν, ἡ δὲ καθόλου κοινὴ περὶ πάντων. εἰ μὲν οὖν αἱ φυσικαὶ οὐσίαι πρῶται τῶν ὄντων εἰσί, κἂν ἡ φυσικὴ πρώτη τῶν ἐπιςημῶν εἴη· εἰ δ' ἔςιν ἑτέρα φύσις καὶ οὐσία χωριστὴ καὶ ἀκίνητος, ἑτέραν ἀνάγκη καὶ τὴν ἐπιστήμην αὐτῆς εἶναι καὶ προτέραν τῆς φυσικῆς καὶ καθόλου τῷ προτέραν.

Ἐπεὶ δὲ τὸ ἁπλῶς ὂν κατὰ πλείους λέγεται τρόπους, 8
ὧν εἷς ἐςὶν ὁ κατὰ συμβεβηκὸς λεγόμενος, σκεπτέον πρῶτον περὶ τοῦ ὕτως ὄντος. ὅτι μὲν ὗν ὐδεμία τῶν παραδεδομένων ἐπιςημῶν πραγματεύεται περὶ τὸ συμβεβηκός, δῆλον· ὔτε γὰρ οἰκοδομικὴ σκοπεῖ τὸ συμβησόμενον τοῖς τῇ οἰκίᾳ χρησομένοις, οἷον εἰ λυπηρῶς ἢ τοὐναντίον οἰκήσουσιν, οὔθ' ὑφαντικὴ ὔτε σκυτοτομικὴ ὔτε ὀψοποιική. τὸ δὲ καθ' αὑτὴν ἴδιον ἑκάςη τύτων σκοπεῖ τῶν ἐπιςημῶν μόνον· τῦτο δ' ἐςὶ τὸ οἰκεῖον τέλος. ὐδὲ μυσικὸν καὶ γραμματικόν, ὐδὲ τὸν ὄντα μυσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα ἔσται, πρότερον οὐκ ὤν, ὃ δὲ μὴ ἀεὶ ὂν ἔςιν, ἐγένετο τῦτο, ὥσθ' ἅμα μυσικὸς ἐγένετο καὶ γραμματικός. τῦτο δὲ οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιςημῶν πλὴν ἡ σοφιστική· περὶ τὸ συμβεβηκὸς γὰρ αὕτη μόνη πραγματεύεται, διὸ Πλάτων οὐ κακῶς εἴρηκε φήσας τὸν σοφιστὴν περὶ τὸ μὴ ὂν διατρίβειν. ὅτι δ' ὐδ' ἐνδεχόμενόν ἐςιν εἶναι τῦ συμβεβηκότος ἐπιςήμην, φανερὸν ἔςαι πειραθεῖσιν ἰδεῖν τί ποτ' ἐστὶ τὸ συμβεβηκός. πᾶν δή φαμεν εἶναι τὸ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης (ἀνάγκης δ' ὐ τῆς κατὰ τὸ βίαιον λεγομένης, ἀλλ' ᾗ χρώμεθα ἐν τοῖς κατὰ τὰς ἀποδείξεις), τὸ δ' ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ὔθ' ὡς ἐπὶ τὸ πολὺ ὔτ' ἀεὶ καὶ ἐξ ἀνάγκης ἀλλ' ὅπως ἔτυχεν· οἷον ἐπὶ κυνὶ γένοιτ' ἂν ψῦχος, ἀλλὰ τοῦτ' οὔθ' ὡς ἀεὶ καὶ ἐξ ἀνάγκης ὔθ' ὡς ἐπὶ τὸ

1. καὶ] ἢ T. ‖ 2. αὐτὴ A^b. ‖ 7. τῆς om A^b. ‖ 12. οὐ] ἐν T. ‖ 14. καὶ ἐπὶ τῆς T. ‖ ἐν αὐτοῖς τοῖς T. ‖ 16. αὑταῖς E. ‖ 19. αὐτήν om A^b. ‖ 26. θεωρεῖται] εἴρηται ET. ‖ 30. εἶναι ταύτην ET. ‖ 32. μὲν ὄντα T. ‖ 33. τὸ post καὶ om A^b. ‖ 34. τις om A^b. ‖ 36. ἔςι om T.

1. ἂν et 3. μὲν om A^b. ‖ 3. ἐπιςημῶν om E. ‖ 4. κυριώτατον A^b. ‖ 7. θεῖναι δεῖ T. ‖ 8. μὲν om A^b. ‖ 10. καὶ ᾗ E. ‖ 13. τῷ om A^b. ‖ 15. ὂν om T. ‖ πλείους εἶναι λέγεται A^b. ‖ 16. συμβεβηκὸς εἶναι λεγόμενος A^b. ‖ 17. ὕτως] ὄντως ETF^b. ‖ 20. εἰ] ἢ E. ‖ 21. ὀψοποιητική TA^b. ‖ 23. ὐδὲ ἢ μυσικὸν T. ὐδὲ μυσικὸν καὶ γραμματικόν om F^b. ‖ 24. ἅμα ἔςαι τὰ ἀμφότερα ET. ‖ 25. ὅν T. ‖ μὴ] ὂν T. ‖ 25 et 26. ἐγίγνετο TA^b. ‖ 27. οὐσῶν om F^b. ‖ 29. τὴν σοφιστικὴν T. ‖ 30. ὐδ'] ὐκ E. ‖ 33. τὸ βίαιον] βίαν A^bF^b. ‖ 35. ὔθ'] ὐδὲ A^b. ‖ 37. καὶ add EF^b. ‖ ὡς om ET.

πολὺ γίγνεται, συμβαίη δέ ποτ' ἄν. ἔστι δὴ τὸ συμβεβηκὸς ὃ γίγνεται μέν, οὐκ ἀεὶ δ' οὐδ' ἐξ ἀνάγκης οὐδ' ὡς ἐπὶ τὸ πολύ. τί μὲν οὖν ἐστὶ τὸ συμβεβηκός, εἴρηται, διότι δ' οὐκ ἔστιν ἐπιστήμη τοῦ τοιούτου, δῆλον· ἐπιστήμη μὲν γὰρ πᾶσα τοῦ ἀεὶ ὄντος ἢ ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ συμβεβηκὸς ἐν οὐδετέρῳ τούτων ἐστίν. ὅτι δὲ τοῦ κατὰ συμβεβηκὸς ὄντος οὐκ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τοιαῦται οἷαίπερ τοῦ καθ' αὑτὸ ὄντος, δῆλον· ἔσται γὰρ ἅπαντ' ἐξ ἀνάγκης. εἰ γὰρ τόδε μέν ἐστι τοῦδε ὄντος, τόδε δὲ τοῦδε, τοῦτο δὲ μὴ ὅπως ἔτυχεν ἀλλ' ἐξ ἀνάγκης, ἐξ ἀνάγκης ἔσται καὶ οὗ τοῦτ' ἦν αἴτιον ἕως τοῦ τελευταίου λεγομένου αἰτιατοῦ· τοῦτο δ' ἦν κατὰ συμβεβηκός. ὥστ' ἐξ ἀνάγκης ἅπαντ' ἔσται, καὶ τὸ ὁποτέρως ἔτυχε καὶ τὸ ἐνδέχεσθαι καὶ γίγνεσθαι καὶ μὴ παντελῶς ἐκ τῶν γιγνομένων ἀναιρεῖται. κἂν μὴ ὂν δὲ ἀλλὰ γιγνόμενον τὸ αἴτιον ὑποτεθῇ, ταὐτὰ συμβήσεται· πᾶν γὰρ ἐξ ἀνάγκης γενήσεται. ἡ γὰρ αὔριον ἔκλειψις γενήσεται ἂν τόδε γένηται, τοῦτο δ' ἂν ἕτερόν τι, καὶ τοῦτ' ἂν ἄλλο· καὶ τοῦτον δὴ τὸν τρόπον ἀπὸ πεπερασμένου χρόνου τοῦ ἀπὸ τοῦ νῦν μέχρι αὔριον ἀφαιρουμένου χρόνου ἥξει ποτὲ εἰς τὸ ὑπάρχον. ὥστ' ἐπεὶ τοῦτ' ἐστίν, ἅπαντ' ἐξ ἀνάγκης τὰ μετὰ τοῦτο γενήσεται, ὥστε πάντα ἐξ ἀνάγκης γίγνεσθαι. τὸ δ' ὡς ἀληθῶς ὂν καὶ μὴ κατὰ συμβεβηκὸς τὸ μέν ἐστιν ἐν συμπλοκῇ τῆς διανοίας καὶ πάθος ἐν ταύτῃ· διὸ περὶ μὲν τὸ οὕτως ὂν οὐ ζητοῦνται αἱ ἀρχαί, περὶ δὲ τὸ ἔξω ὂν καὶ χωριστόν· τὸ δ' οὐκ ἀναγκαῖον ἀλλ' ἀόριστον, λέγω δὲ τὸ κατὰ συμβεβηκός· τοῦ τοιούτου δ' ἄτακτα καὶ ἄπειρα τὰ αἴτια. τὸ δὲ ἕνεκά του ἐν τοῖς φύσει γιγνομένοις ἢ ἀπὸ διανοίας ἐστίν. τύχη δ' ἐστὶν ὅταν τι τούτων γένηται κατὰ συμβεβηκός. ὥσπερ γὰρ καὶ ὄν ἐστι τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον. ἡ τύχη δ' αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του γιγνομένοις. διὸ περὶ ταὐτὸ τύχη καὶ διάνοια· προαίρεσις γὰρ οὐ χωρὶς διανοίας. τὰ δ' αἴτια ἀόριστα ἀφ' ὧν ἂν γένοιτο τὰ ἀπὸ τύχης· διὸ ἄδηλος ἀνθρωπίνῳ λογισμῷ καὶ αἴτιον κατὰ συμβεβηκός, ἁπλῶς δ' οὐθενός. ἀγαθὴ δὲ τύχη καὶ κακὴ ὅταν ἀγαθὸν ἢ φαῦλον ἀποβῇ· εὐτυχία δὲ καὶ δυστυχία περὶ μέγεθος τούτων. ἐπεὶ δ' οὐθὲν κατὰ συμβεβηκὸς πρότερον τῶν καθ' αὑτό, οὐδ' ἄρ' αἴτια. εἰ ἄρα τύχη ἢ τὸ αὐτόματον αἴτιον τοῦ οὐρανοῦ, πρότερον νοῦς αἴτιον καὶ φύσις.

Ἔστι δὲ τὸ μὲν ἐνεργείᾳ μόνον, τὸ δὲ δυνάμει, τὸ δὲ 9
δυνάμει καὶ ἐνεργείᾳ, τὸ μὲν ὄν, τὸ δὲ ποσόν, τὸ δὲ τῶν λοιπῶν. οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα· μεταβάλλει γὰρ ἀεὶ κατὰ τὰς τοῦ ὄντος κατηγορίας. κοινὸν δ' ἐπὶ τούτων οὐθέν ἐστιν οὐδ' ἐν μιᾷ κατηγορίᾳ. ἕκαστον δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε· τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις. καὶ κατὰ τὸ ποιὸν τὸ μὲν λευκὸν τὸ δὲ μέλαν, καὶ κατὰ τὸ ποσὸν τὸ μὲν τέλειον τὸ δ' ἀτελές, καὶ κατὰ φορὰν τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ κοῦφον καὶ βαρύ. ὥστε κινήσεως καὶ μεταβολῆς τοσαῦτ' εἴδη ὅσα τοῦ ὄντος. διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν δυνάμει τοῦ δ' ἐντελεχείᾳ, τὴν τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστιν ἐνέργειαν λέγω κίνησιν. ὅτι δ' ἀληθῆ λέγομεν, ἐνθένδε δῆλον. ὅταν γὰρ τὸ οἰκοδομητὸν ᾗ τοιοῦτον, αὐτὸ λέγομεν εἶναι ἐνεργείᾳ ᾖ οἰκοδομεῖται, καὶ ἔστι τοῦτο οἰκοδόμησις. ὁμοίως μάθησις, ἰάτρευσις καὶ κύλισις, βάδισις, ἅλσις, γήρανσις, ἅδρυνσις. συμβαίνει δὲ κινεῖσθαι ὅταν ᾖ ἐντελέχεια ἡ αὐτή, καὶ οὔτε πρότερον οὔθ' ὕστερον. ἡ δὴ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ ἢ αὐτὸ ἢ ἄλλο ᾗ κινητόν, κίνησίς ἐστιν. λέγω δὲ τὸ ᾗ ὧδε. ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς· ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια, ᾗ χαλκός, κίνησίς ἐστιν. οὐ γὰρ ταὐτὸν χαλκῷ εἶναι καὶ δυνάμει τινί, ἐπεὶ εἰ ταὐτὸν ἦν ἁπλῶς κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ ἐντελέχεια κίνησίς τις. οὐκ ἔστι δὲ ταὐτό. δῆλον δ' ἐπὶ τῶν ἐναντίων· τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν οὐ ταὐτόν (καὶ γὰρ ἂν τὸ ὑγιαίνειν καὶ τὸ κάμνειν ταὐτὸν ἦν), τὸ δ' ὑποκείμενον καὶ ὑγιαῖνον καὶ νοσοῦν, εἴθ' ὑγρότης εἴθ' αἷμα, ταὐτὸ καὶ ἕν. ἐπεὶ δ' οὐ ταὐτόν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν, ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια κίνησίς ἐστιν. ὅτι μὲν γάρ ἐστιν αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι ὅταν ἡ ἐντελέχεια ᾖ αὕτη, καὶ οὔτε πρότερον οὔθ' ὕστερον, δῆλον.

Definition of κίνησις ἐνέργεια δυνάμει τοιοῦτον

1. συμβαίνει T. ‖ 2. δ' om TA^b. ‖ 5. ἐν om A^b. ‖ 10. ὡς TA^b. ‖ 12. ἅπαντές τε καὶ T. ‖ ὁπότερ' A^b. ‖ 13. τὸ om T. ‖ γενέσθαι E. ‖ 14. δὲ om E. ‖ 15. ταυτὰ A^b. ‖ 16. ἡ] εἰ ET. ‖ τοδὶ T. ‖ 18. τοῦ ἀπὸ — 19. χρόνου om A^b. ‖ 21. πάντα om A^b. ‖ ἀληθὲς A^b. ‖ 22. μὴ om E. ‖ τῆς om A^b. ‖ 28. γένηται τούτων A^b. ‖ 30. δ' αἰτία E. ‖ 31. ταυτὰ E. ‖ 33. ἂν om T. ‖ τὸ A^b. ‖ 34. καὶ τὸ αἴτιον T. ‖ 35. δὲ om A^b.

1. εὐτυχία] ἀτυχία TA^b. ‖ 3. ἢ καὶ τὸ A^b. ‖ 4. αἴτιος ETA^b. ‖ 5. τὸ δὲ δυνάμει om A^b. ‖ 7. δὲ] δέ τις E, δέ τι T. ‖ 9. ἐστιν ὃ οὐδ' ET. ‖ 10. τόνδε T. ‖ μορφὴ] ἕξις T. ‖ 13. ἢ τὸ μὲν κοῦφον T. ‖ καὶ] τὸ δὲ ET. ‖ 15. τοῦ μὲν om A^b. ‖ 16. τὴν τοῦ] τοῦτο T. ‖ ὅτι — 17. δῆλον om T. ‖ 19. ἔστι τι τοῦτο E. ‖ καὶ κύλισις om ET. ‖ 20. βάδισις om A^b. ‖ γήρανσις] πέπανσις, πέρανσις T. ‖ 22. ἡ δὴ] ἤδη TA^b. ‖ 23. ἢ αὐτὸ — κίνησίς] οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητὸν ἡ κίνησίς ET. ‖ 29. οὐ om T. ‖ ταυτὸν ἦν καὶ TA^b. ‖ 30. ἂν om T. ‖ τὸ post καὶ om E. ‖ 32. οὐ τὸ αὐτὸ E, οὕτω αὐτὸ T. ‖ 33. ᾗ] καὶ ᾗ A^b. ‖ 34. γάρ] οὖν A^b. ‖ ὅτε A^b. ‖ κινεῖσθαι τότε T. ‖ ὅταν ᾖ ἐντελέχεια αὕτη ET.

ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν ὁτὲ δὲ μή, οἷον τὸ οἰκοδομητὸν ᾗ οἰκοδομητόν, καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια ᾗ οἰκοδομητόν, οἰκοδόμησίς ἐστιν. ἢ γὰρ τοῦτό ἐστιν ἡ οἰκοδόμησις ἡ ἐνέργεια ἢ οἰκία. ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτι οἰκοδομητὸν ἔσται· οἰκοδομεῖται δὲ τὸ οἰκοδομητόν. ἀνάγκη ἄρα οἰκοδόμησιν τὴν ἐνέργειαν εἶναι, ἡ δ' οἰκοδόμησις κίνησίς τις. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. ὅτι δὲ καλῶς εἴρηται, δῆλον ἐξ ὧν οἱ ἄλλοι λέγουσι περὶ αὐτῆς, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν. οὔτε γὰρ ἐν ἄλλῳ τις γένει δύναιτ' ἂν θεῖναι αὐτήν. δῆλον δ' ἐξ ὧν λέγουσιν οἱ μὲν ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὄν, ὧν οὐθὲν ἀνάγκη κινεῖσθαι. ἀλλ' οὐδ' ἡ μεταβολὴ οὔτ' εἰς ταῦτα οὔτ' ἐκ τούτων μᾶλλον ἢ ἐκ τῶν ἀντικειμένων. αἴτιον δὲ τοῦ εἰς ταῦτα τιθέναι ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις, τῆς δ' ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι· οὔτε γὰρ τόδε οὔτε τοιόνδε οὐδεμία αὐτῶν οὔτε τῶν λοιπῶν κατηγοριῶν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον ὅτι οὔτ' εἰς δύναμιν τῶν ὄντων οὔτ' εἰς ἐνέργειαν ἔστι θεῖναι αὐτήν· οὔτε γὰρ τὸ δυνατὸν ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν. ἥ τε κίνησις ἐνέργεια μὲν εἶναι δοκεῖ τις, ἀτελὴς δέ· αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατὸν οὗ ἐστὶν ἐνέργεια. καὶ διὰ τοῦτο χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀνάγκη θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν, τούτων δ' οὐθὲν φαίνεται ἐνδεχόμενον. ὥστε λείπεται τὸ λεχθὲν εἶναι καὶ ἐνέργειαν καὶ μὴ ἐνέργειαν τὴν εἰρημένην, ἰδεῖν μὲν χαλεπὴν ἐνδεχομένην δ' εἶναι. καὶ ὅτι ἔστιν ἡ κίνησις ἐν τῷ κινητῷ, δῆλον· ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ, καὶ ἡ τοῦ κινητικοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν. δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν· κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν. ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ, ὥσθ' ὁμοίως μία ἀμφοῖν ἐνέργεια ὥσπερ τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ἀλλὰ τὸ εἶναι οὐχ ἕν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου.

10 Τὸ δ' ἄπειρον ἢ τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, καθάπερ ἡ φωνὴ ἀόρατος, ἢ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόλις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας· ἔτι προσθέσει ἢ ἀφαιρέσει ἢ ἄμφω. χωριστὸν μὲν δὴ αὐτό τι ὄν, αἰσθητὸν δ' οὐχ οἷόν τ' εἶναι. εἰ γὰρ μήτε μέγεθός ἐστι μήτε πλῆθος, οὐσία δ' αὐτοῦ τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται· τὸ γὰρ διαιρετὸν ἢ μέγεθος ἢ πλῆθος. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ καθάπερ ἡ φωνὴ ἀόρατος. ἀλλ' οὐχ οὕτω λέγουσιν οὐδ' ἡμεῖς ζητοῦμεν, ἀλλ' ὡς ἀδιέξοδον. ἔτι πῶς ἐνδέχεται καθ' αὑτὸ εἶναι ἄπειρον, εἰ μὴ καὶ ἀριθμὸς καὶ μέγεθος, ὧν πάθος τὸ ἄπειρον; ἔτι εἰ κατὰ συμβεβηκός, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων ᾗ ἄπειρον, ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνὴ ἀόρατος. καὶ ὅτι οὐκ ἔστιν ἐνεργείᾳ εἶναι τὸ ἄπειρον, δῆλον. ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον μέρος τὸ λαμβανόμενον· τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον ταὐτό, εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου. ὥστε ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν, εἰ μεριστόν. πολλὰ δ' εἶναι τὸ αὐτὸ ἀδύνατον ἄπειρα· ὥσπερ γὰρ ἀέρος ἀὴρ μέρος, οὕτως ἄπειρον ἀπείρου, εἰ ἔστιν οὐσία καὶ ἀρχή. ἀμέριστον ἄρα καὶ ἀδιαίρετον. ἀλλ ἀδύνατον τὸ ἐντελεχείᾳ ὂν ἄπειρον· ποσὸν γὰρ εἶναι ἀνάγκη. κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει. ἀλλ' εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται εἶναι ἀρχὴν ἀλλ' ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα ἢ τὸ ἄρτιον. αὕτη μὲν οὖν ἡ ζήτησις καθόλου· ὅτι δ' ἐν τοῖς αἰσθητοῖς οὐκ ἔστιν, ἐνθένδε δῆλον. εἰ γὰρ σώματος λόγος τὸ ἐπιπέδοις ὡρισμένον, οὐκ εἴη ἂν ἄπειρον σῶμα οὔτ' αἰσθητὸν οὔτε νοητόν, οὐδ' ἀριθμὸς ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ὁ ἀριθμὸς ἢ τὸ ἔχον ἀριθμόν. φυσικῶς δὲ ἐκ τῶνδε δῆλον. οὔτε γὰρ σύνθετον οἷόν τ' εἶναι οὔθ' ἁπλοῦν. σύνθετον μὲν γὰρ οὐκ ἔσται σῶμα, ἐπείπερ πεπέρανται τῷ πλήθει τὰ στοιχεῖα. δεῖ γὰρ ἰσάζειν τἀναντία καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον· εἰ γὰρ ὁπωσοῦν λείπεται ἡ θατέρου σώματος δύναμις, φθαρήσεται ὑπὸ τοῦ ἀπείρου τὸ πεπερασμένον. ἕκαστον δ' ἄπειρον εἶναι ἀδύνατον· σῶμα γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν, ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός, ὥστ' εἰ τὸ ἄπειρον σῶμα, πάντῃ ἔσται ἄπειρον. οὐδὲ ἓν δὲ καὶ ἁπλοῦν ἐνδέχεται τὸ ἄπειρον εἶναι σῶμα, οὔθ' ὡς λέγουσί τινες, παρὰ τὰ στοιχεῖα ἐξ οὗ γεννῶσι ταῦτα (οὐκ ἔστι γὰρ τὸ τοιοῦτο σῶμα παρὰ τὰ στοιχεῖα· ἅπαντα γὰρ ἐξ ὧν ἐστὶ καὶ διαλύεται εἰς ταῦτα, οὐ φαίνεται

3. ἢ] εἰ *E.* ‖ ἐστιν] οἰκία ἐστιν *ET.* ‖ ἡ] ἢ ἡ *T.* ‖ 4. ἡ om *ET.* ‖ ἢ οἰκία om *ETA*^b. ‖ 5. ἔσται om *A*^b. ‖ 9. ἄλλως αὐτὴν et 10. δ' om *T.* ‖ 11. μὲν] μὲν γὰρ *A*^b. ‖ 13. ἐκ post ἢ om *ET.* ‖ 15. συστοιχείας *T.* ‖ 17. τὴν κίνησιν εἶναί *A*^b. ‖ 19. τιθέναι *ET.* ‖ 21. τις om *T.* ‖ 25. καὶ μὴ ἐνέργειαν om *A*^b. ‖ 31. μία ἡ ἀμφοῖν *E.* ‖ 32. τὸ διάστημα τὸ αὐτὸ *E.* ‖ 35. δ' om *A*^b.

2. αἰσθητὸν δ' om *E.* ‖ 3. ἐστι om *A*^b. ‖ αὐτὸ *ET.* ‖ 6. οὐδ'] οὔθ' *ET.* ‖ 9. εἰ om *T.* ‖ 10. ᾗ] ἡ *A*^b. ‖ 12. ὁτιοῦν ἑαυτοῦ *T*, αὐτοῦ ὁτιοῦν *A*^b. ‖ 14. μὴ om *T.* ‖ 15. ἄπειρα] ἀεὶ διαιρετὰ *A*^b. ‖ εἰ] ἢ *T.* ‖ 16. μέρος ἀὴρ ἀέρος *ET.* ‖ 19. εἰ om *A*^b. ‖ 20. ἐκεῖνο *T.* ‖ 22. δ' οὐδ' ἐν *A*^b. ‖ 24. οὔτ' *ET.* ‖ 26. φυσικὸν *T.* ‖ 27. τ' om *T.* ‖ ἔσται] ἔνι *A*^b. ‖ 28. ἐπείπερ] εἰ *ET.* ‖ 30. ἑτέρου *E.* ‖ 33. εἰ om *ET.* ‖ 34. οὐδὲ ἓν δὲ ἁπλοῦν *E*, οὐδὲ ἓν καὶ ἁπλοῦν *A*^b, ἁπλοῦν δ' *T.* ‖ τὸ om *ET.* ‖ 36. τὸ om *ET.* ‖ 37. ἅπαν *T.* ‖ ὧν] οὗ *ET.* ‖ ταυτό *T*, τοῦτο *E.*

δὲ τοῦτο περὶ τὰ ἁπλᾶ σώματα), οὐδὲ πῦρ οὐδ' ἄλλο τι τῶν στοιχείων οὐθέν. χωρὶς γὰρ τοῦ ἄπειρον εἶναί τι αὐτῶν ἀδύνατον τὸ ἅπαν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι ἢ γίγνεσθαί ἕν τι αὐτῶν, ὥσπερ Ἡράκλειτός φησιν ἅπαντα γίγνεσθαί ποτε πῦρ. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνός, ὃ ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί. πᾶν γὰρ μεταβάλλει ἐξ ἐναντίου, οἷον ἐκ θερμοῦ εἰς ψυχρόν. ἔτι τὸ αἰσθητὸν σῶμα πού, καὶ ὁ αὐτὸς τόπος ὅλου καὶ μορίου, οἷον τῆς γῆς. ὥστ' εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται ἢ ἀεὶ οἰσθήσεται. τοῦτο δὲ ἀδύνατον· τί γὰρ μᾶλλον κάτω ἢ ἄνω ἢ ὁπουοῦν; οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινήσεται ἢ μενεῖ; ὁ γὰρ τόπος αὐτῆς τοῦ συγγενοῦς σώματος ἄπειρος. καθέξει οὖν τὸν ὅλον τόπον. καὶ πῶς; τίς οὖν ἡ μονὴ καὶ ἡ κίνησις; ἢ πανταχοῦ μενεῖ; οὐ κινήσεται ἄρα. ἢ πανταχοῦ κινήσεται; οὐκ ἄρα στήσεται. εἰ δ' ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι, καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ' ἢ τῷ ἅπτεσθαι, εἶτα ἢ πεπερασμένα ταῦτ' ἔσται ἢ ἄπειρα εἴδει. πεπερασμένα μὲν οὖν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δ' οὔ, εἰ τὸ πᾶν ἄπειρον, οἷον πῦρ ἢ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις. εἰ δ' ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα· εἰ δὲ τοῦτ' ἀδύνατον, καὶ οἱ τόποι πεπερασμένοι, καὶ τὸ πᾶν ἀνάγκη πεπεράνθαι. ὅλως δ' ἀδύνατον ἄπειρον εἶναι σῶμα καὶ τόπον τοῖς σώμασιν, εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα. ἢ γὰρ ἐπὶ τὸ μέσον ἢ ἄνω οἰσθήσεται, ἀδύνατον δὲ τὸ ἄπειρον ἢ πᾶν ἢ τὸ ἥμισυ ἢ ὁποτερονοῦν πεπονθέναι· πῶς γὰρ διελεῖς; ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν κάτω τὸ δ' ἄνω, ἢ ἔσχατον καὶ μέσον; ἔτι πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, τόπου δὲ εἴδη ἕξ, ἀδύνατον δ' ἐν τῷ ἀπείρῳ σώματι ταῦτ' εἶναι. ὅλως δ' εἰ ἀδύνατον τόπον ἄπειρον εἶναι, καὶ σῶμα ἀδύνατον· τὸ γὰρ ἐν τόπῳ πού, τοῦτο δὲ σημαίνει ἢ ἄνω ἢ κάτω ἢ τῶν λοιπῶν τι, τούτων δ' ἕκαστον πέρας τι. τὸ δ' ἄπειρον οὐ ταὐτὸν ἐν μεγέθει καὶ κινήσει καὶ χρόνῳ ὡς μία τις φύσις, ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον, οἷον κίνησις κατὰ τὸ μέγεθος ἐφ' οὗ κινεῖται ἢ ἀλλοιοῦται ἢ αὔξεται, χρόνος δὲ διὰ τὴν κίνησιν.

Μεταβάλλει δὲ τὸ μεταβάλλον τὸ μὲν κατὰ συμ- 11
βεβηκός, ὡς τὸ μουσικὸν βαδίζειν, τὸ δὲ τῷ τούτου τι μεταβάλλειν ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα κατὰ μέρη· ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμός. ἔστι δέ τι ὃ καθ' αὑτὸ πρῶτον κινεῖται, καὶ τοῦτ' ἐστὶ τὸ καθ' αὑτὸ κινητόν. ἔστι δέ τι καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· κινεῖ γὰρ κατὰ συμβεβηκὸς τὸ μὲν κατὰ μέρος τὸ δὲ καθ' αὑτό· ἔστι δέ τι τὸ κινοῦν πρῶτον· ἔστι δέ τι τὸ κινούμενον ἔν τινι χρόνῳ καὶ ἐξ οὗ καὶ εἰς ὅ. τὰ δ' εἴδη καὶ τὰ πάθη καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἐπιστήμη καὶ θερμότης· ἔστι δ' οὐχ ἡ θερμότης κίνησις ἀλλ' ἡ θέρμανσις. ἡ δὲ μὴ κατὰ συμβεβηκὸς μεταβολὴ οὐκ ἐν ἅπασιν ὑπάρχει, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ μεταξὺ καὶ ἐν ἀντιφάσει. τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. μεταβάλλει δὲ τὸ μεταβάλλον ἢ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. λέγω δὲ ὑποκείμενον τὸ καταφάσει δηλούμενον. ὥστ' ἀνάγκη τρεῖς εἶναι μεταβολάς· ἡ γὰρ ἐξ οὐχ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολή· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν, ὅτι οὐκ ἀντίθεσις. ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κατ' ἀντίφασιν γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ τινὸς τίς· ἡ δ' ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον φθορά, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ τινὸς τίς. εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν τὸ τῷ ἁπλῶς ὄντι ἀντικείμενον· τὸ γὰρ μὴ λευκὸν ἢ μὴ ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός· εἴη γὰρ ἂν ἄνθρωπος τὸ μὴ λευκόν· τὸ δ' ἁπλῶς μὴ τόδε οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι· εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι· γίγνεται γὰρ τὸ μὴ ὄν. εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίγνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γιγνομένου ἁπλῶς. ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. ταῦτά τε δὴ συμβαίνει δυσχερῆ, καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. οὐδὲ δὴ ἡ φθορὰ κίνησις· ἐναντίον γὰρ κινήσει κίνησις ἢ ἠρεμία,

1. παρὰ A^b. ‖ τι om A^b. ‖ 9. αἰσθήσεται· τοῦ δὲ *T*. ‖ 10. κάτω] καὶ τὸ *T*. ‖ 13. ἡ utrumque om A^b. ‖ 14. κινήσεται om *ETA*^{b}. ‖ 18. ἐν τισι λείπει τὸ εἴδει γρ *E*. ‖ 21. τὰ et 24. ἢ om A^b. ‖ 26. ἢ post ἥμισυ om *E*. ‖ 27. διέλῃς A^b. ‖ 28. αἰσθητὸν σῶμα *ET*. ‖ 32. δὲ δὴ σημαίνει *ET*. ‖ 34. χρόνῳ καὶ κινήσει *T*. ‖ ἀλλὰ] ἅμα *T*.

2. βαδίζει A^b. ‖ 5. ὃ καθ'] καὶ ὃ *ET*. ‖ 7. τόδε *T*. ‖ μὲν] δὲ A^b. ‖ 8. δέ alterum om *E*. ‖ ἔν τινι] ἔτι ἐν ᾧ *ET*. ‖ 9. δ' [illegible] *T*. ‖ τὰ om *ET*. ‖ 16. ἢ οὐκ — 18. δὲ ὑποκείμενον om A^b. ‖ 17. οὐχ om *T*. ‖ ἢ — ὑποκείμενον add *E*. ‖ 23. τις τινός *TA*^{b}. ‖ 24. ἁπλῆ om A^b. ‖ τις τινός A^b. ‖ 27. ὄντι om A^b. ‖ 28. ὅλως *T*. ‖ κατὰ] μὴ κατὰ *T*. ‖ 29. εἰ *T*. ‖ ἂν] ἦν *T*, om A^b. ‖ 30. γὰρ om *T*. ‖ 35. τε] δὴ A^b. ‖ 36. ἡ om *E*. ‖ 37. ἢ om *T*.

φθορὰ δὲ γενέσει. ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δ' αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' εἰσὶν αἱ κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κίνησιν εἶναι μόνην. τὰ δ' ὑποκείμενα ἢ ἐναντία ἢ μεταξύ· καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον, καὶ δηλοῦται καταφάσει, οἷον τὸ γυμνὸν καὶ νωδὸν καὶ τὸ μέλαν.

12 Εἰ οὖν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ, ποιότητι, τόπῳ, τῷ ποιεῖν ἢ πάσχειν, τῷ πρός τι, τῷ ποσῷ, ἀνάγκη τρεῖς εἶναι κινήσεις, ποιοῦ, ποσοῦ, τόπου. κατ' οὐσίαν δ' οὒ διὰ τὸ μηθὲν εἶναι οὐσίᾳ ἐναντίον, οὐδὲ τοῦ πρός τι· ἔστι γὰρ θατέρου μηθὲν μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηθὲν μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ ποιοῦντος καὶ πάσχοντος, ἢ κινοῦντος καὶ κινουμένου, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ' ὅλως μεταβολῆς μεταβολή. διχῶς γὰρ ἐνδέχεται κινήσεως εἶναι κίνησιν, ἢ ὡς ὑποκειμένου, οἷον ὁ ἄνθρωπος κινεῖται ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει, ὥστε οὕτω καὶ ἡ κίνησις ἢ θερμαίνεται ἢ ψύχεται ἢ τόπον ἀλλάττει ἢ αὔξεται. τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ τῶν ὑποκειμένων τι ἡ μεταβολή. ἢ τῷ ἕτερόν τι ὑποκείμενον ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἄλλο εἶδος, οἷον ἄνθρωπον ἐκ νόσου εἰς ὑγίειαν. ἀλλ' οὐδὲ τοῦτο δυνατὸν πλὴν κατὰ συμβεβηκός. πᾶσα γὰρ κίνησις ἐξ ἄλλου εἰς ἄλλο ἐστὶ μεταβολή, καὶ γένεσις καὶ φθορὰ ὡσαύτως· πλὴν αἱ μὲν εἰς ἀντικείμενα ὡδὶ ἢ ὡδὶ οὐ κινήσεις. ἅμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον, καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. δῆλον δὴ ὅτι ἂν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν (ἐνδέχεται γὰρ ἠρεμεῖν) καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν ἀεί· κἀκείνη ἔκ τινος εἴς τι ἄλλο ἔσται. ὥσθ' ἡ ἀντικειμένη ἔσται ὑγίανσις, ἀλλὰ τῷ συμβεβηκέναι, οἷον ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλει ὅτι ᾧ ὑπάρχει ἐκεῖνο μεταβάλλει, ὁτὲ μὲν εἰς ἐπιστήμην ὁτὲ δὲ εἰς ὑγίειαν. ἔτι εἰς ἄπειρον βαδιεῖται, εἰ ἔσται μεταβολῆς μεταβολὴ καὶ γενέσεως γένεσις. ἀνάγκη δὴ καὶ τὴν προτέραν, εἰ ἡ ὑστέρα· οἷον εἰ ἡ ἁπλῆ γένεσις ἐγίγνετό ποτε, καὶ τὸ γιγνόμενον ἁπλῶς ἐγίγνετο. ὥστε οὔπω ἦν τὸ γιγνόμενον ἁπλῶς, ἀλλά τι γιγνόμενον ἢ γενόμενον. εἰ δὴ καὶ τοῦτ', ἐγίγνετό ποτε, ὥστ' οὐκ ἦν πω τότε γιγνόμενον. ἐπεὶ δὲ τῶν ἀπείρων οὐκ ἔστι τι πρῶτον, οὐκ ἔσται τὸ πρῶτον, ὥστ' οὐδὲ τὸ ἐχόμενον. οὔτε γίγνεσθαι οὖν οὔτε κινεῖσθαι οἷόν τε οὔτε μεταβάλλειν οὐθέν. ἔτι τοῦ αὐτοῦ κίνησις ἡ ἐναντία καὶ ἠρέμησις, καὶ γένεσις καὶ φθορά. ὥστε τὸ γιγνόμενον ὅταν γένηται γιγνόμενον, τότε φθείρεται· οὔτε γὰρ εὐθὺς γιγνόμενον οὔθ' ὕστερον· εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. ἔτι δεῖ ὕλην ὑπεῖναι τῷ γιγνομένῳ καὶ μεταβάλλοντι. τίς οὖν ἔσται, ὥσπερ τὸ ἀλλοιωτὸν σῶμα ἢ ψυχή, οὕτω τί τὸ γιγνόμενον κίνησις ἢ γένεσις; καὶ ἔτι τί εἰς ὃ κινοῦνται; δεῖ γὰρ εἶναι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησιν μὴ κίνησιν. πῶς οὖν; οὐ γὰρ ἔσται μάθησις τῆς μαθήσεως, ὥστ' οὐδὲ γένεσις γενέσεως. ἐπεὶ δ' οὔτ' οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ ποσὸν καὶ τόπον κίνησιν εἶναι· τούτων γὰρ ἑκάστῳ ἐναντίωσίς ἐστιν. λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ (καὶ γὰρ καὶ ἡ διαφορὰ ποιόν) ἀλλὰ τὸ παθητικόν, καθ' ὃ λέγεται πάσχειν ἢ ἀπαθὲς εἶναι. τὸ δὲ ἀκίνητον τό τε ὅλως ἀδύνατον κινηθῆναι καὶ τὸ μόλις ἐν χρόνῳ πολλῷ ἢ βραδέως ἀρχόμενον, καὶ τὸ πεφυκὸς μὲν κινεῖσθαι, μὴ δυνάμενον δὲ ὅτε πέφυκε καὶ οὗ καὶ ὥς. ὃ καλῶ ἠρεμεῖν τῶν ἀκινήτων μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ.

Ἅμα κατὰ τόπον ὅσα ἐν ἑνὶ τόπῳ πρώτῳ, καὶ χωρὶς ὅσα ἐν ἄλλῳ. ἅπτεσθαι δὲ ὧν τὰ ἄκρα ἅμα. μεταξὺ δ' εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ φύσιν τὸ συνεχῶς μεταβάλλον. ἐναντίον κατὰ τόπον τὸ κατ' εὐθεῖαν ἀπέχον πλεῖστον. ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν ὄντος, θέσει ἢ εἴδει ἢ ἄλλως πως ἀφορισθέντος, μηθὲν μεταξύ ἐστι τῶν ἐν ταὐτῷ γένει καὶ οὗ ἐφεξῆς ἐστιν, οἷον γραμμαὶ γραμμῆς ἢ μονάδες μονάδος ἢ οἰκίας οἰκία. ἄλλο δ' οὐθὲν κωλύει μεταξὺ εἶναι· τὸ γὰρ ἐφεξῆς τινὸς ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ

2. αἱ om A^b. ‖ αἱ μὲν κατὰ A^b. ‖ 5. ἢ prius om A^b. ‖ 7. νωδὸν] λευκὸν A^b. ‖ 9. τῷ primum tertiumque et ἢ om A^b. ‖ 11. τοῦ om *ET*. ‖ θατέρου μεταβάλλοντος μηδὲν ἀληθεύεσθαι θάτερον μὴ δὲ μ. A^b. ‖ 14. καὶ πάσχοντος] ἢ πάσχοντος A^b. ‖ 15. μεταβολὴ μεταβολῆς *ET*. ‖ 16. κίνησιν εἶναι A^b. ‖ 17. κεῖται *T*. ‖ 19. τόπον] τὸ πᾶν *T*. ‖ 21. τῷ] τὸ *T*. ‖ 23. ἅπασι γὰρ ἡ κίνησις A^b. ‖ 25. αἱ] ἡ A^b. ‖ ἐξ ἀντικειμένων *T*. ‖ οὐ κινήσεις] ἡ κίνησις A^b. ‖ 27. δ' *ET*. ‖ 30. ἄλλο τι *T*. ‖ ἔσται om *ET*. ‖ 35. δὲ *T*. ‖ γένεσις ἐγίγνετο] γένετο A^b.

1. ἁπλῶς om *ET*. ‖ 2. τὸ om *E*. ‖ γινόμενόν τι A^b. ‖ 3. εἰ δὴ] ἤδη A^b. ‖ τότε] ποτε A^b. ‖ 4. τι om *ET*. ‖ οὐκ ἔσται τὸ πρῶτον om A^b. ‖ 5. οὖν αὗται οὔτε *E*. ‖ 7. καὶ ἡ γένεσις A^b. ‖ 9. γενόμενον A^b. ‖ 11. μεταβάλλειν τι. τίς *ET*. ‖ 12. τί] τί καὶ A^b. ‖ κίνησις] ἢ κίνησις A^b. ‖ ἔτι] τοι *T*, om *E*. ‖ 13. εἶναί τι τὴν *ET*. ‖ 14. τῆς μαθήσεως] ἡ τῆς μαθήσεως γένεσις A^b. ‖ 15. οὐδὲ γένεσις] τῆς post lacunam A^b. ‖ οὐσίαν *T*. ‖ 17. καὶ τὸ ποσὸν A^b. ‖ 19. καὶ γὰρ καὶ ἡ διαφορὰ] καὶ τῇ διαφορᾷ *T*A^b. ‖ 20. ἀκίνητον] ἀδύνατον *T*. ‖ 21. μόγις A^b. ‖ πολλῷ] ποτε *T*. ‖ ἢ om *ET*. ‖ 23. οὗ] οὗ πέφυκε A^b. ‖ καὶ ὥς. ὃ καλῶ] ὡς οὐκ ἄλλο *T*. ‖ 26. πρ[illegible] A^b. ‖ 27. δὲ om A^b. ‖ 29. τὸ om *ET*. ‖ 31. οὐ *T*. ‖ 33. οὗ] ὃ A^b. ‖ 35. τινὸς] τινὶ A^b.

27. Different methods of οἱ ἀρχαῖοι & οἱ νῦν — the latter enquire λογικῶς —

ἓν ἑξῆς τῶν δύο, οὐδ' ἡ νουμηνία τῆς δευτέρας. ἐχόμενον δὲ ὃ ἂν ἑξῆς ὂν ἅπτηται. ἐπεὶ δὲ πᾶσα μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, ταῦτα δὲ τά τ' ἐναντία καὶ ἀντίφασις, ἀντιφάσεως δ' οὐθὲν ἀνὰ μέσον, δῆλον ὡς ἐν τοῖς ἐναντίοις τὸ μεταξύ. τὸ δὲ συνεχὲς ὅπερ ἐχόμενόν τι ἢ ἁπτόμενον. λέγω δὲ συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται καὶ συνέχονται, ὥστε δῆλον ὅτι τὸ συνεχὲς ἐν τούτοις ἐξ ὧν ἕν τι πέφυκε γίγνεσθαι κατὰ τὴν σύναψιν. καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς, δῆλον· τὸ γὰρ ἑξῆς οὐχ ἅπτεται, τοῦτο δ' ἐφεξῆς· καὶ εἰ συνεχές, ἅπτεται, εἰ δ' ἅπτεται, οὔπω συνεχές. ἐν οἷς δὲ μή ἐστιν ἁφή, οὐκ ἔστι σύμφυσις ἐν τούτοις. ὥστ' οὐκ ἔστι στιγμὴ μονάδι ταὐτόν· ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι, ταῖς δ' οὔ, ἀλλὰ τὸ ἐφεξῆς· καὶ τῶν μὲν μεταξύ τι, τῶν δ' οὔ.

Λ.

Περὶ τῆς οὐσίας ἡ θεωρία· τῶν γὰρ οὐσιῶν αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητοῦνται. καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος· καὶ εἰ τῷ ἐφεξῆς, κἂν οὕτω πρῶτον ἡ οὐσία, εἶτα τὸ ποιόν, εἶτα τὸ ποσόν. ἅμα δ' οὐδ' ὄντα ὡς εἰπεῖν ἁπλῶς τἆλλα, ἀλλὰ ποιότητες καὶ κινήσεις, ἢ καὶ τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθύ· λέγομεν γοῦν εἶναι καὶ ταῦτα, οἷον ἔστιν οὐ λευκόν. ἔτι οὐθὲν τῶν ἄλλων χωριστόν. μαρτυροῦσι δὲ καὶ οἱ ἀρχαῖοι ἔργῳ· τῆς γὰρ οὐσίας ἐζήτουν ἀρχὰς καὶ στοιχεῖα καὶ αἴτια. οἱ μὲν οὖν νῦν τὰ καθόλου οὐσίας μᾶλλον τιθέασιν· τὰ γὰρ γένη καθόλου, ἅ φασιν ἀρχὰς καὶ οὐσίας εἶναι μᾶλλον διὰ τὸ λογικῶς ζητεῖν· οἱ δὲ πάλαι τὰ καθ' ἕκαστον, οἷον πῦρ καὶ γῆν, ἀλλ' οὐ τὸ κοινὸν σῶμα. οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἧς ἡ μὲν ἀΐδιος ἡ δὲ φθαρτή, ἣν πάντες ὁμολογοῦσιν, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα· ἡ δ' ἀΐδιος ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά. ἄλλη δὲ ἀκίνητος, καὶ ταύτην τινὲς εἶναί φασι χωριστήν, οἱ μὲν εἰς δύο διαιροῦντες, οἱ δὲ εἰς μίαν φύσιν τιθέντες τὰ εἴδη καὶ τὰ μαθηματικά, οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων. ἐκεῖναι μὲν δὴ φυσικῆς (μετὰ κινήσεως γάρ), αὕτη δ' ἑτέρας, εἰ μηδεμία αὐτοῖς ἀρχὴ κοινή.

Ἡ δ' αἰσθητὴ οὐσία μεταβλητή. εἰ δ' ἡ μεταβολὴ ἐκ τῶν ἀντικειμένων ἢ τῶν μεταξύ, ἀντικειμένων δὲ μὴ πάντων (οὐ λευκὸν γὰρ ἡ φωνή) ἀλλ' ἐκ τοῦ ἐναντίου, ἀνάγκη ὑπεῖναί τι τὸ μεταβάλλον εἰς τὴν ἐναντίωσιν· οὐ
γὰρ τὰ ἐναντία μεταβάλλει. ἔτι τὸ μὲν ὑπομένει, τὸ δ' 2
ἐναντίον οὐχ ὑπομένει· ἔστιν ἄρα τι τρίτον παρὰ τὰ ἐναντία, ἡ ὕλη. εἰ δὴ αἱ μεταβολαὶ τέτταρες, ἢ κατὰ τὸ τί ἢ κατὰ τὸ ποιὸν ἢ ποσὸν ἢ ποῦ, καὶ γένεσις μὲν ἡ ἁπλῆ καὶ φθορὰ ἡ κατὰ τόδε, αὔξησις δὲ καὶ φθίσις ἡ κατὰ τὸ ποσόν, ἀλλοίωσις δὲ ἡ κατὰ τὸ πάθος, φορὰ δὲ ἡ κατὰ τόπον, εἰς ἐναντιώσεις ἂν εἶεν τὰς καθ' ἕκαστον αἱ μεταβολαί. ἀνάγκη δὴ μεταβάλλειν τὴν ὕλην δυναμένην ἄμφω· ἐπεὶ δὲ διττὸν τὸ ὄν, μεταβάλλει πᾶν ἐκ τοῦ δυνάμει ὄντος εἰς τὸ ἐνεργείᾳ ὄν, οἷον ἐκ λευκοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ λευκόν. ὁμοίως δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθίσεως. ὥστε οὐ μόνον κατὰ συμβεβηκὸς ἐνδέχεται γίγνεσθαι ἐκ μὴ ὄντος, ἀλλὰ καὶ ἐξ ὄντος γίγνεται πάντα, δυνάμει μέντοι ὄντος, ἐκ μὴ ὄντος δὲ ἐνεργείᾳ. καὶ τοῦτ' ἐστὶ τὸ Ἀναξαγόρου ἕν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου. καὶ ὡς Δημόκριτός φησιν, ἦν ὁμοῦ πάντα δυνάμει, ἐνεργείᾳ δ' οὔ. ὥστε τῆς ὕλης ἂν εἶεν ἡμμένοι. πάντα δ' ὕλην ἔχει ὅσα μεταβάλλει, ἀλλ' ἑτέραν· καὶ τῶν ἀϊδίων ὅσα μὴ γεννητὰ κινητὰ δὲ φορᾷ, ἀλλ' οὐ γεννητήν, ἀλλὰ πόθεν ποῖ. ἀπορήσειε δ' ἄν τις ἐκ ποίου μὴ ὄντος ἡ γένεσις· τριχῶς γὰρ τὸ μὴ ὄν. εἰ δή τί ἐστι δυνάμει, ἀλλ' ὅμως οὐ τοῦ τυχόντος, ἀλλ' ἕτερον ἐξ ἑτέρου. οὐδ' ἱκανὸν ὅτι ὁμοῦ πάντα χρήματα· διαφέρει γὰρ τῇ ὕλῃ, ἐπεὶ διὰ τί ἄπειρα ἐγένετο ἀλλ' οὐχ ἕν; ὁ γὰρ νοῦς εἷς, ὥστ' εἰ καὶ ἡ ὕλη μία, ἐκεῖνο ἐγένετο ἐνεργείᾳ οὗ ἡ ὕλη ἦν δυνάμει. τρία δὴ τὰ αἴτια καὶ τρεῖς αἱ ἀρχαί, δύο μὲν ἡ ἐναντίωσις, ἧς τὸ μὲν λόγος καὶ εἶδος τὸ δὲ στέρησις, τὸ δὲ τρίτον ἡ ὕλη.

Μετὰ ταῦτα ὅτι οὐ γίγνεται οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος, 3
λέγω δὲ τὰ ἔσχατα. πᾶν γὰρ μεταβάλλει τι καὶ ὑπό

2. ἀνάπτηται A^b. ‖ 3. δὲ τἀναντία *T*, δὲ ἐναντία A^b. ‖ 4. ὡς] δ' ὡς *T*. ‖ 5. ἢ ἁπτόμενον om *ET*. ‖ 6. λέγω] λέγεται A^b. ‖ 8. ἕν τι] ἔτι *T*. ‖ 9. τὴν om *T*. ‖ 10. ἐφεξῆς] ἑξῆς *T*. ‖ εἰς *T*A^b. ‖ 14. ἀλλὰ πρὸς τὸ *ET*. ‖ τῶν] τῷ γε *T*. ‖ 20. εἰ καὶ F^b. ‖ ἡ $A^b F^b$. ‖ καὶ *ET*. ‖ 21. εἶτα τὸ ποσόν] ἢ ποσόν *ET*. ‖ 22. ἁπλῶς ὡς εἰπεῖν F^b, ὡς ἁπλῶς εἰπεῖν A^b. ‖ ταῦτα *ETF*^{b}. ‖ ἀλλὰ] ἢ F^b. ‖ καὶ om F^b. ‖ ἢ F^b. ‖ 23. τὸ οὐ] οὐ τὸ *T*. ‖ γοῦν] οὖν *T*. ‖ καὶ ταῦτα εἶναι A^b. ‖ 24. οὐδὲ *T*. ‖ 29. ἕκαστα A^b. ‖ 33. καὶ add A^b. ‖ 34. φασί τινες εἶναι *ET*. ‖ 36. οἱ δὲ τὰ μαθηματικὰ om *E*.

3. δ' ἡ] δὴ *E*, δὲ *T*. ‖ 4. μὴ] οὐ *T*. ‖ 9. τὸ om *E*. ‖ 10. οἷον *T*. ‖ 11. ἡ post φθορὰ om *ET*. ‖ 12. φθορὰ *T*. ‖ 13. ταῖς *T*. ‖ 15. τὸ om F^b. ‖ 20. μέντοι ἢ ὄντος *T*. ‖ 21. ἢ] ἦν A^b. ‖ 23. ὁμοῦ ΠΣ *E*: *ETA*^{b} ἡμῖν. ‖ 25. γεννητὰ τὰ κινητὰ *T*. ‖ 26. γεννητόν *T*. ‖ 27. δ' om F^b. ‖ 28. τί ἐστι] ἐστι τὸ F^b. ‖ 31. καὶ om A^b. ‖ 32. ἡ] καὶ ἡ *T*. ‖ 33. τρεῖς om F^b. ‖ 35. ἡ et τὸ om F^b.

τινος καὶ εἴς τι. ὑφ' οὗ μέν, τοῦ πρώτου κινοῦντος· ὃ δέ, ἡ ὕλη· εἰς ὃ δέ, τὸ εἶδος. εἰς ἄπειρον οὖν εἶσιν, εἰ μὴ μόνον ὁ χαλκὸς γίγνεται στρογγύλος ἀλλὰ καὶ τὸ στρογγύλον ἢ ὁ χαλκός· ἀνάγκη δὴ στῆναι. μετὰ ταῦτα ὅτι ἑκάστη ἐκ συνωνύμου γίγνεται ἡ οὐσία· τὰ γὰρ φύσει οὐσίαι καὶ τἆλλα. ἢ γὰρ τέχνῃ ἢ φύσει γίγνεται ἢ τύχῃ ἢ τῷ αὐτομάτῳ. ἡ μὲν οὖν τέχνη ἀρχὴ ἐν ἄλλῳ, ἡ δὲ φύσις ἀρχὴ ἐν αὐτῷ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. αἱ δὲ λοιπαὶ αἰτίαι στερήσεις τούτων. οὐσίαι δὲ τρεῖς, ἡ μὲν ὕλη τόδε τι οὖσα τῷ φαίνεσθαι (ὅσα γάρ ἐστιν ἁφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον), ἡ δὲ φύσις τόδε τι, εἰς ἥν, καὶ ἕξις τις· ἔτι τρίτη ἡ ἐκ τούτων ἡ καθ' ἕκαστα, οἷον Σωκράτης ἢ Καλλίας. ἐπὶ μὲν οὖν τινῶν τὸ τόδε τι οὐκ ἔστι παρὰ τὴν συνθέτην οὐσίαν, οἷον οἰκίας τὸ εἶδος, εἰ μὴ ἡ τέχνη. οὐδ' ἔστι γένεσις καὶ φθορὰ τούτων, ἀλλ' ἄλλον τρόπον εἰσὶ καὶ οὐκ εἰσὶν οἰκία τε ἡ ἄνευ ὕλης καὶ ὑγίεια καὶ πᾶν τὸ κατὰ τέχνην. ἀλλ' εἴπερ, ἐπὶ τῶν φύσει. διὸ δὴ οὐ κακῶς ὁ Πλάτων ἔφη ὅτι εἴδη ἐστὶν ὁπόσα φύσει, εἴπερ ἐστὶν εἴδη ἄλλα τούτων, οἷον πῦρ, σάρξ, κεφαλή. ἅπαντα γὰρ ὕλη ἐστί, καὶ τῆς μάλιστ' οὐσίας ἡ τελευταία. τὰ μὲν οὖν κινοῦντα αἴτια ὡς προγεγενημένα ὄντα, τὰ δ' ὡς ὁ λόγος ἅμα. ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ ἡ ὑγίειά ἐστιν, καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅμα καὶ ἡ χαλκῆ σφαῖρα. εἰ δὲ καὶ ὕστερόν τι ὑπομένει, σκεπτέον· ἐπ' ἐνίων γὰρ οὐθὲν κωλύει, οἷον εἰ ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα ἀλλ' ὁ νοῦς· πᾶσαν γὰρ ἀδύνατον ἴσως. φανερὸν δὴ ὅτι οὐθὲν δεῖ διά γε ταῦτ' εἶναι τὰς ἰδέας· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ὁ καθ' ἕκαστον τὸν τινά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν· ἡ γὰρ ἰατρικὴ τέχνη ὁ λόγος τῆς ὑγιείας ἐστίν.

4 Τὰ δ' αἴτια καὶ αἱ ἀρχαὶ ἄλλα ἄλλων ἔστιν ὥς, ἔστι δ' ὡς, ἂν καθόλου λέγῃ τις καὶ κατ' ἀναλογίαν, ταὐτὰ πάντων. ἀπορήσειε γὰρ ἄν τις πότερον ἕτεραι ἢ αἱ αὐταὶ ἀρχαὶ καὶ στοιχεῖα τῶν οὐσιῶν καὶ τῶν πρός τι, καὶ καθ' ἑκάστην δὴ τῶν κατηγοριῶν ὁμοίως. ἀλλ' ἄτοπον εἰ ταὐτὰ πάντων· ἐκ τῶν αὐτῶν γὰρ ἔσται τὰ πρός τι καὶ ἡ οὐσία. τί οὖν τοῦτ' ἔσται; παρὰ γὰρ τὴν οὐσίαν καὶ τἆλλα τὰ κατηγορούμενα οὐθέν ἐστι κοινόν· πρότερον δὲ τὸ στοιχεῖον ἢ ὧν ἐστὶ τὸ στοιχεῖον. ἀλλὰ μὴν οὐδ' ἡ οὐσία στοιχεῖον τῶν πρός τι, οὐδὲ τούτων οὐθὲν τῆς οὐσίας. ἔτι πῶς ἐνδέχεται πάντων εἶναι ταὐτὰ στοιχεῖα; οὐθὲν γὰρ οἷόν τ' εἶναι τῶν στοιχείων τῷ ἐκ τῶν στοιχείων συγκειμένῳ τὸ αὐτό, οἷον τῷ ΒΑ τὸ Β ἢ Α. οὐδὲ δὴ τῶν νοητῶν στοιχεῖόν ἐστιν, οἷον τὸ ἓν ἢ τὸ ὄν· ὑπάρχει γὰρ ταῦθ' ἑκάστῳ καὶ τῶν συνθέτων. οὐθὲν ἄρ' ἔσται αὐτῶν οὔτ' οὐσία οὔτε πρός τι· ἀλλ' ἀναγκαῖον. οὐκ ἔστιν ἄρα πάντων ταὐτὰ στοιχεῖα. ἢ ὥσπερ λέγομεν, ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ, οἷον ἴσως τῶν αἰσθητῶν σωμάτων ὡς μὲν εἶδος τὸ θερμὸν καὶ ἄλλον τρόπον τὸ ψυχρὸν ἡ στέρησις, ὕλη δὲ τὸ δυνάμει ταῦτα πρῶτον καθ' αὑτό, οὐσίαι δὲ ταῦτά τε καὶ τὰ ἐκ τούτων ὧν ἀρχαὶ ταῦτα, ἢ εἴ τι ἐκ θερμοῦ καὶ ψυχροῦ γίγνεται ἕν, οἷον σὰρξ ἢ ὀστοῦν· ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γενόμενον. τούτων μὲν οὖν ταὐτὰ στοιχεῖα καὶ ἀρχαί, ἄλλων δ' ἄλλα. πάντων δὲ οὕτω μὲν εἰπεῖν οὐκ ἔστιν, τῷ ἀνάλογον δέ, ὥσπερ εἴ τις εἴποι ὅτι ἀρχαί εἰσι τρεῖς, τὸ εἶδος καὶ ἡ στέρησις καὶ ἡ ὕλη. ἀλλ' ἕκαστον τούτων ἕτερον περὶ ἕκαστον γένος ἐστίν, οἷον ἐν χρώματι λευκόν, μέλαν, ἐπιφάνεια, φῶς, σκότος, ἀήρ· ἐκ δὲ τούτων ἡμέρα καὶ νύξ. ἐπεὶ δὲ οὐ μόνον τὰ ἐνυπάρχοντα αἴτια, ἀλλὰ καὶ τῶν ἐκτὸς οἷον τὸ κινοῦν, δῆλον ὅτι ἕτερον ἀρχὴ καὶ στοιχεῖον. αἴτια δ' ἄμφω· καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή, τὸ δ' ὡς κινοῦν ἢ ἱστὰν ἀρχή τις καὶ οὐσία. ὥστε στοιχεῖα μὲν κατ' ἀναλογίαν τρία, αἰτίαι δὲ καὶ ἀρχαὶ τέτταρες· ἄλλο δ' ἐν ἄλλῳ, καὶ τὸ πρῶτον αἴτιον ὡς κινοῦν ἄλλο ἄλλῳ. ὑγίεια, νόσος, σῶμα· τὸ κινοῦν ἰατρική. εἶδος, ἀταξία τοιαδί, πλίνθοι· τὸ κινοῦν οἰκοδομική. καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή. ἐπεὶ δὲ τὸ κινοῦν ἐν μὲν τοῖς φυσικοῖς ἀνθρώποις ἄνθρωπος, ἐν δὲ τοῖς ἀπὸ διανοίας τὸ εἶδος ἢ τὸ ἐναντίον, τρόπον τινὰ τρία αἴτια ἂν εἴη, ὡδὶ δὲ τέτταρα. ὑγίεια γάρ πως ἡ ἰατρική, καὶ οἰκίας εἶδος ἡ οἰκοδομική, καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ· ἔτι παρὰ ταῦτα ὡς τὸ πρῶτον πάντων κινοῦν πάντα.

Ἐπεὶ δ' ἐστὶ τὰ μὲν χωριστὰ τὰ δ' οὐ χωριστά, οὐσίαι

1. post τι A^b καὶ ἐξ οὗ. ‖ ὃ] οὗ T. ‖ 5. ἡ add A^b. ‖ οὐσία] οὐσίας T. ‖ 8. ἑαυτῷ A^b. ‖ 10. ἐστιν om T. ‖ 11. τόδε] καὶ τὸ A^b. ‖ 12. τις· ἔτι] ἡ T. ‖ ἡ καθ'] ἢ καὶ καθ' A^b. ‖ 13. τι om E. ‖ 15. ἡ τέχνη. οὐδ'] τὸ εἶδος οὐκ T. ‖ 16. καὶ οὐκ εἰσὶν om T. ‖ τε om ET. ‖ 18. δὴ om A^b. ‖ ὁ om ET. ‖ 19. ἀλλὰ ET. ‖ 20. γὰρ καὶ ὕλη T. ‖ 23. ἡ om ET. ‖ 26. ἡ om A^b. ‖ 28. καθέκαστος A^b. ‖ 30. ὁ et ἐστίν om A^b. ‖ 31. τὰ δ'] ἔστι δὲ τὰ A^b. ‖ ἄλλαι ἄλλων, ἔστι δ' ὡς ἂν A^b. ‖ 32. λέγοι A^b. ‖ 33. πάντα A^b. ‖ ἂν om T. ‖ 35. δὴ κατηγορίαν A^b. ‖ 36. τὰ] τὸ A^b. ‖ αἱ οὐσίαι ET.

3. ἐστὶ τὸ om A^b. ‖ 6. τῶν om A^bF^b. ‖ τὸ βα τῷ T. ‖ 7. στοιχείων EF^b. ‖ ἐστιν om ET. ‖ ἓν καὶ τὸ ὄν F^b, ὂν ἢ τὸ ἓν A^b. ‖ 12. ὕλη] ἡ ὕλη ET. ‖ 13. ἑαυτό A^b, αὐτόν T. ‖ οὐσία T. ‖ 14. ψυχροῦ καὶ θερμοῦ A^b. ‖ 16. ταῦτα ET. ‖ 17. τὸ A^b. ‖ 18. εἴποιεν A^b. ‖ τρεῖς om T. ‖ 20. χρώμασι A^b. ‖ 21. καὶ om ET. ‖ 25. ἱστῶν A^bF^b. ‖ καὶ οὐσία] οὖσα ET. ‖ 26. τέσσαρες T. ‖ 29. καὶ — 30. ἀρχή om A^b. ‖ 31. ἀνθρώποις om A^b. γρ ἄνθρωπος ἄνθρωπος, ἔτι ἄνθρωπος ἄνθρωπον margo E. ‖ ἢ om T. ‖ 35. τὰ πάντα T. ‖ 36. οὐσία γρ E.

ἐκεῖνα. καὶ διὰ τοῦτο πάντων αἴτια ταῦτα, ὅτι τῶν οὐσιῶν ἄνευ οὐκ ἔστι τὰ πάθη καὶ αἱ κινήσεις. ἔπειτα ἔσται ταῦτα ψυχὴ ἴσως καὶ σῶμα, ἢ νοῦς καὶ ὄρεξις καὶ σῶμα. ἔτι δ' ἄλλον τρόπον τῷ ἀνάλογον ἀρχαὶ αἱ αὐταί, οἷον ἐνέργεια καὶ δύναμις· ἀλλὰ καὶ ταῦτα ἄλλα τε ἄλλοις καὶ ἄλλως. ἐν ἐνίοις μὲν γὰρ τὸ αὐτὸ ὁτὲ μὲν ἐνεργείᾳ ἐστὶν ὁτὲ δὲ δυνάμει, οἷον οἶνος ἢ σὰρξ ἢ ἄνθρωπος. πίπτει δὲ καὶ ταῦτα εἰς τὰ εἰρημένα αἴτια. ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ χωριστόν, καὶ τὸ ἐξ ἀμφοῖν, στέρησις δὲ οἷον σκότος ἢ κάμνον, δυνάμει δὲ ἡ ὕλη· τοῦτο γάρ ἐστι τὸ δυνάμενον γίγνεσθαι ἄμφω. ἄλλως δ' ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος ἀλλ' ἕτερον, ὥσπερ ἀνθρώπου αἴτιον τά τε στοιχεῖα, πῦρ καὶ γῆ ὡς ὕλη, καὶ τὸ ἴδιον εἶδος καὶ εἴ τι ἄλλο ἔξω, οἷον ὁ πατήρ, καὶ παρὰ ταῦτα ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, οὔτε ὕλη ὄντα οὔτ' εἶδος οὔτε στέρησις οὔτε ὁμοειδές, ἀλλὰ κινοῦντα. ἔτι δὲ ὁρᾶν δεῖ ὅτι τὰ μὲν καθόλου ἔστιν εἰπεῖν, τὰ δ' οὔ. πάντων δὴ πρῶται ἀρχαὶ τὸ ἐνεργείᾳ πρῶτον, τὸ εἴδει, καὶ ἄλλο ὃ δυνάμει. ἐκεῖνα μὲν οὖν τὰ καθόλου οὐκ ἔστιν. ἀρχὴ γὰρ τὸ καθ' ἕκαστον τῶν καθ' ἕκαστον· ἄνθρωπος μὲν γὰρ ἀνθρώπου καθόλου· ἀλλ' οὐκ ἔστιν οὐθείς, ἀλλὰ Πηλεὺς Ἀχιλλέως, σοῦ δὲ ὁ πατήρ, καὶ τοδὶ τὸ Β τουδὶ τοῦ ΒΑ, ὅλως δὲ τὸ Β τοῦ ἁπλῶς ΒΑ. ἔπειτα εἴδη τὰ τῶν οὐσιῶν· ἄλλα δὲ ἄλλων αἴτια καὶ στοιχεῖα, ὥσπερ ἐλέχθη, τῶν μὴ ἐν ταὐτῷ γένει, χρωμάτων, ψόφων, οὐσιῶν, ποσότητος. πλὴν τῷ ἀνάλογον καὶ τῶν ἐν ταὐτῷ εἴδει ἕτερα, οὐκ εἴδει, ἀλλ' ὅτι τῶν καθ' ἕκαστον ἄλλο, ἥ τε σὴ ὕλη καὶ τὸ κινῆσαν καὶ τὸ εἶδος καὶ ἡ ἐμή, τῷ καθόλου δὲ λόγῳ ταὐτά. τὸ δὲ ζητεῖν τίνες ἀρχαὶ ἢ στοιχεῖα τῶν οὐσιῶν καὶ πρός τι καὶ ποιῶν, πότερον αἱ αὐταὶ ἢ ἕτεραι, δῆλον ὅτι πολλαχῶς τε λεγομένων ἐστὶν ἑκάστου, διαιρεθέντων δὲ οὐ ταὐτὰ ἀλλ' ἕτερα, πλὴν ὡδὶ καὶ πάντων. ὡδὶ μὲν ταὐτὰ ἢ τῷ ἀνάλογον, ὅτι ὕλη, εἶδος, στέρησις, τὸ κινοῦν, καὶ ὡδὶ τὰ τῶν οὐσιῶν αἴτια ὡς αἴτια πάντων, ὅτι ἀναιρεῖται ἀναιρουμένων. ἔτι τὸ πρῶτον ἐντελεχείᾳ. ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ ἐναντία, ἃ μήτε ὡς γένη λέγεται μήτε πολλαχῶς λέγεται· καὶ ἔτι αἱ ὗλαι. τίνες μὲν οὖν αἱ ἀρχαὶ τῶν αἰσθητῶν καὶ πόσαι, καὶ πῶς αἱ αὐταὶ καὶ πῶς ἕτεραι, εἴρηται.

Ἐπεὶ δ' ἦσαν τρεῖς οὐσίαι, δύο μὲν αἱ φυσικαί, μία 6
δ' ἡ ἀκίνητος, περὶ ταύτης λεκτέον, ὅτι ἀνάγκη εἶναί τινα ἀΐδιον οὐσίαν ἀκίνητον. αἵ τε γὰρ οὐσίαι πρῶται τῶν ὄντων, καὶ εἰ πᾶσαι φθαρταί, πάντα φθαρτά. ἀλλ' ἀδύνατον κίνησιν ἢ γενέσθαι ἢ φθαρῆναι· ἀεὶ γὰρ ἦν. οὐδὲ χρόνον· οὐ γὰρ οἷόν τε τὸ πρότερον καὶ ὕστερον εἶναι μὴ ὄντος χρόνου. καὶ ἡ κίνησις ἄρα οὕτω συνεχὴς ὥσπερ καὶ ὁ χρόνος· ἢ γὰρ τὸ αὐτὸ ἢ κινήσεώς τι πάθος. κίνησις δ' οὐκ ἔστι συνεχὴς ἀλλ' ἢ ἡ κατὰ τόπον, καὶ ταύτης ἡ κύκλῳ. ἀλλὰ μὴν εἰ ἔσται κινητικὸν ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ τι, οὐκ ἔστι κίνησις· ἐνδέχεται γὰρ τὸ δύναμιν ἔχον μὴ ἐνεργεῖν. οὐθὲν ἄρα ὄφελος οὐδ' ἐὰν οὐσίας ποιήσωμεν ἀϊδίους, ὥσπερ οἱ τὰ εἴδη, εἰ μή τις δυναμένη ἐνέσται ἀρχὴ μεταβάλλειν. οὐ τοίνυν οὐδ' αὕτη ἱκανή, οὐδ' ἄλλη οὐσία παρὰ τὰ εἴδη· εἰ γὰρ μὴ ἐνεργήσει, οὐκ ἔσται κίνησις. ἔτι οὐδ' εἰ ἐνεργήσει, ἡ δ' οὐσία αὐτῆς δύναμις· οὐ γὰρ ἔσται κίνησις ἀΐδιος· ἐνδέχεται γὰρ τὸ δυνάμει ὂν μὴ εἶναι. δεῖ ἄρα εἶναι ἀρχὴν τοιαύτην ἧς ἡ οὐσία ἐνέργεια. ἔτι τοίνυν ταύτας δεῖ τὰς οὐσίας εἶναι ἄνευ ὕλης. ἀϊδίους γὰρ δεῖ, εἴ πέρ γε καὶ ἄλλο τι ἀΐδιον. ἐνεργείᾳ ἄρα. καίτοι ἀπορία· δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν πᾶν δύνασθαι, τὸ δὲ δυνάμενον οὐ πᾶν ἐνεργεῖν, ὥστε πρότερον εἶναι τὴν δύναμιν. ἀλλὰ μὴν εἰ τοῦτο, οὐθὲν ἔσται τῶν ὄντων· ἐνδέχεται γὰρ δύνασθαι μὲν εἶναι μήπω δ' εἶναι. καίτοι εἰ ὡς λέγουσιν οἱ θεολόγοι οἱ ἐκ νυκτὸς γεννῶντες, ἢ ὡς οἱ φυσικοὶ ἦν ὁμοῦ πάντα χρήματα φασί, τὸ αὐτὸ ἀδύνατον. πῶς γὰρ κινηθήσεται, εἰ μηθὲν ἔσται ἐνεργείᾳ αἴτιον; οὐ γὰρ ἥ γε ὕλη κινήσει αὐτὴ ἑαυτήν, ἀλλὰ τεκτονική, οὐδὲ τὰ ἐπιμήνια οὐδ' ἡ γῆ, ἀλλὰ τὰ σπέρματα καὶ ἡ γονή. διὸ ἔνιοι ποιοῦσιν ἀεὶ ἐνέργειαν, οἷον Λεύκιππος καὶ Πλάτων· ἀεὶ γὰρ εἶναί φασι κίνησιν. ἀλλὰ διὰ τί καὶ τίνα οὐ λέγουσιν, οὐδὲ ὡδί, οὐδὲ τὴν αἰτίαν. οὐθὲν γὰρ ὡς ἔτυχε κινεῖται, ἀλλὰ δεῖ τι ἀεὶ ὑπάρχειν, ὥσπερ νῦν φύσει μὲν ὡδί, βίᾳ δὲ ἢ ὑπὸ νοῦ ἢ ἄλλου ὡδί. εἶτα ποία πρώτη; διαφέρει γὰρ ἀμήχανον ὅσον. ἀλλὰ μὴν οὐδὲ Πλάτωνί

1. ἐκεῖναι *E*, δοκεῖ εἶναι *T*. ‖ καὶ om A^b. ‖ 4. αἱ ἀρχαὶ αὐταί F^b. ‖ 8. ἐνέργεια F^b. ‖ 9. ἂν F^b. ‖ ᾖ τὸ χωριστόν A^b. ‖ καὶ] ἢ ᾗ *E*. ‖ 12. ὧν μή] εἰ μή *T*. ‖ 14. καὶ ante τὸ om *T*. ‖ ἀΐδιον *E*. ‖ τι] ἔτι A^b. ‖ 15. ταυτὸ *T*. ‖ 17. δὲ om A^b. ‖ 19. τὸ εἴδει] τοδὶ *ET*. ‖ 20. τὰ et 21. τῶν καθ' ἕκαστον om A^b. ‖ 23. τὸ post δὲ om *E*. ‖ 26. οὐσιῶν ψόφων *T*. ‖ 28. τῶν] τῷ *E*, τὸ *T*. ‖ καὶ τὸ εἶδος post ὕλη *ET*. ‖ 29. τὸ δὲ] τὸ δὴ *ET*F^b. ‖ 30. ἢ στοιχεῖα om F^b. ‖ 33. μὲν] δὲ A^b. ‖ ἢ om F^b. ‖ 37. ὡς μήτε *T*.

1. αἱ post οὖν et 2. πῶς om A^b. ‖ 3. τρεῖς αἱ οὐσίαι F^b. ‖ 4. ἀΐδιόν τινα *E*. ‖ 7. ἢ post κίνησιν et 8. τὸ om *T*. ‖ 11. ἢ om A^b. ‖ 12. ἔστι A^b. ‖ 14. οὐθὲν] οὐδ' ἐὰν *ET*. ‖ 17. ἐνεργήσῃ οὐκ ἔστι A^b. ‖ ἔτι δ' οὐδ' *T*. ‖ 21. τὰς om A^b. ‖ 22. γε om *T*A^b. ‖ ἐνέργεια A^b. ‖ 26. εἰ] δ' *T*. ‖ 27. ὡς et ἦν om *E*. ‖ 28. ἀδύνατον] αἴτιον F^b. ‖ 29. μὴ ἔσται ἐνεργείᾳ τι αἴτιον *E*. ‖ 30. αὐτὴν A^b. ‖ 35. τι αἰεί τι ὑπάρχειν A^b. ‖ 37. διαφέρειν A^b. ‖ ὅσον om A^b. ‖ πλάτων *T*, πλάτων εἰ A^b.

l. 2. ἔστι γάρ τινι τὸ οὗ ἕνεκα – (Relative)

γε οἷόν τε λέγειν ἣν οἴεται ἐνίοτε ἀρχὴν εἶναι, τὸ αὐτὸ ἑαυτὸ κινοῦν· ὕστερον γὰρ καὶ ἅμα τῷ οὐρανῷ ἡ ψυχή, ὡς φησίν. τὸ μὲν δὴ δύναμιν οἴεσθαι ἐνεργείας πρότερον ἔστι μὲν ὡς καλῶς, ἔστι δ' ὡς οὔ· εἴρηται δὲ πῶς. ὅτι δ' ἐνέργεια πρότερον, μαρτυρεῖ Ἀναξαγόρας (ὁ γὰρ νοῦς ἐνέργεια) καὶ Ἐμπεδοκλῆς φιλίαν καὶ νεῖκος, καὶ οἱ ἀεὶ λέγοντες κίνησιν εἶναι, ὥσπερ Λεύκιππος. ὥστ' οὐκ ἦν ἄπειρον χρόνον χάος ἢ νύξ, ἀλλὰ ταὐτὰ ἀεὶ ἢ περιόδῳ ἢ ἄλλως, εἴπερ πρότερον ἐνέργεια δυνάμεως. εἰ δὴ τὸ αὐτὸ ἀεὶ περιόδῳ, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν. εἰ δὲ μέλλει γένεσις καὶ φθορὰ εἶναι, ἄλλο δεῖ εἶναι ἀεὶ ἐνεργοῦν ἄλλως καὶ ἄλλως. ἀνάγκη ἄρα ὡδὶ μὲν καθ' αὑτὸ ἐνεργεῖν, ὡδὶ δὲ κατ' ἄλλο· ἤτοι ἄρα καθ' ἕτερον ἢ κατὰ τὸ πρῶτον. ἀνάγκη δὴ κατὰ τοῦτο· πάλιν γὰρ ἐκεῖνο αὑτῷ τε αἴτιον κἀκείνῳ. οὐκοῦν βέλτιον τὸ πρῶτον· καὶ γὰρ αἴτιον ἦν ἐκεῖνο τοῦ ἀεὶ ὡσαύτως, τοῦ δ' ἄλλως ἕτερον· τοῦ δ' ἀεὶ ἄλλως ἄμφω δηλονότι. οὐκοῦν οὕτως καὶ ἔχουσιν αἱ κινήσεις. τί οὖν ἄλλας δεῖ ζητεῖν ἀρχάς;

7 Ἐπεὶ δ' οὕτω τ' ἐνδέχεται, καὶ εἰ μὴ οὕτως, ἐκ νυκτὸς ἔσται καὶ ὁμοῦ πάντων καὶ ἐκ μὴ ὄντος, λύοιτ' ἂν ταῦτα, καὶ ἔστι τι ἀεὶ κινούμενον κίνησιν ἄπαυστον, αὕτη δ' ἡ κύκλῳ· καὶ τοῦτο οὐ λόγῳ μόνον ἀλλ' ἔργῳ δῆλον. ὥστ' ἀΐδιος ἂν εἴη ὁ πρῶτος οὐρανός. ἔστι τοίνυν τι καὶ ὃ κινεῖ. ἐπεὶ δὲ τὸ κινούμενον καὶ κινοῦν, καὶ μέσον τοίνυν ἐστί τι ὃ οὐ κινούμενον κινεῖ, ἀΐδιον, καὶ οὐσία καὶ ἐνέργεια οὖσα. κινεῖ δὲ ὧδε. τὸ ὀρεκτὸν καὶ τὸ νοητὸν κινεῖ οὐ κινούμενα. τούτων τὰ πρῶτα τὰ αὐτά. ἐπιθυμητὸν μὲν γὰρ τὸ φαινόμενον καλόν, βουλητὸν δὲ πρῶτον τὸ ὂν καλόν. ὀρεγόμεθα δὲ διότι δοκεῖ μᾶλλον ἢ δοκεῖ διότι ὀρεγόμεθα. ἀρχὴ δὲ ἡ νόησις. νοῦς δὲ ὑπὸ τοῦ νοητοῦ κινεῖται, νοητὴ δὲ ἡ ἑτέρα συστοιχία καθ' αὑτήν· καὶ ταύτης ἡ οὐσία πρώτη, καὶ ταύτης ἡ ἁπλῆ καὶ κατ' ἐνέργειαν. ἔστι δὲ τὸ ἓν καὶ τὸ ἁπλοῦν οὐ τὸ αὐτό· τὸ μὲν γὰρ ἓν μέτρον σημαίνει, τὸ δὲ ἁπλοῦν πῶς ἔχον αὐτό. ἀλλὰ μὴν καὶ τὸ καλὸν καὶ τὸ δι' αὑτὸ αἱρετὸν ἐν τῇ αὐτῇ συστοιχίᾳ· καὶ ἔστιν ἄριστον ἀεὶ ἢ ἀνάλογον τὸ πρῶτον. ὅτι δ' ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ. ἔστι γάρ τινι τὸ οὗ ἕνεκα, ὧν τὸ μὲν ἔστι τὸ δ' οὐκ ἔστι, κινεῖ δὲ ὡς ἐρώμενον, κινουμένῳ δὲ τἆλλα κινεῖ. εἰ μὲν οὖν τι κινεῖται, ἐνδέχεται καὶ ἄλλως ἔχειν. ὥστ' εἰ ἡ φορὰ πρώτη, καὶ ἐνέργειά ἐστιν ᾗ κινεῖται· ταύτην δὲ ἐνδέχεται ἄλλως ἔχειν κατὰ τόπον, καὶ εἰ μὴ κατ' οὐσίαν. ἐπεὶ δ' ἐστί τι κινοῦν αὐτὸ ἀκίνητον ὄν, ἐνεργείᾳ ὄν, τοῦτο οὐκ ἐνδέχεται ἄλλως ἔχειν οὐδαμῶς. φορὰ γὰρ ἡ πρώτη τῶν μεταβολῶν, ταύτης δὲ ἡ κύκλῳ· ταύτην δὲ τοῦτο κινεῖ. ἐξ ἀνάγκης ἄρα ἐστὶν ὄν· καὶ ᾗ ἀνάγκῃ, καλῶς, καὶ οὕτως ἀρχή. τὸ γὰρ ἀναγκαῖον τοσαυταχῶς, τὸ μὲν βίᾳ ὅτι παρὰ τὴν ὁρμήν, τὸ δὲ οὗ οὐκ ἄνευ τὸ εὖ, τὸ δὲ μὴ ἐνδεχόμενον ἄλλως ἀλλ' ἁπλῶς. ἐκ τοιαύτης ἄρα ἀρχῆς ἤρτηται ὁ οὐρανὸς καὶ ἡ φύσις. διαγωγὴ δ' ἐστὶν οἵα ἡ ἀρίστη μικρὸν χρόνον ἡμῖν. οὕτω γὰρ ἀεὶ ἐκεῖνό ἐστιν. ἡμῖν μὲν γὰρ ἀδύνατον, ἐπεὶ καὶ ἡ ἡδονὴ ἐνέργεια τούτου· καὶ διὰ τοῦτο ἐγρήγορσις αἴσθησις νόησις ἥδιστον, ἐλπίδες δὲ καὶ μνῆμαι διὰ ταῦτα. ἡ δὲ νόησις ἡ καθ' αὑτὴν τοῦ καθ' αὑτὸ ἀρίστου, καὶ ἡ μάλιστα τοῦ μάλιστα. αὑτὸν δὲ νοεῖ ὁ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· νοητὸς γὰρ γίγνεται θιγγάνων καὶ νοῶν, ὥστε ταὐτὸν νοῦς καὶ νοητόν. τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας νοῦς. ἐνεργεῖ δὲ ἔχων. ὥστ' ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον ἔχειν, καὶ ἡ θεωρία τὸ ἥδιστον καὶ ἄριστον. εἰ οὖν οὕτως εὖ ἔχει, ὡς ἡμεῖς ποτέ, ὁ θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, ἔτι θαυμασιώτερον. ἔχει δὲ ὡδί. καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνος δὲ ἡ ἐνέργεια· ἐνέργεια δὲ ἡ καθ' αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ ἀΐδιος. φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀΐδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀΐδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός. ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ

1. λόγῳ T. ‖ ἣν om A^b. ‖ 5. ἐνέργεια T. ‖ 6. καὶ τὸ νεῖκος ET. ‖ 8. χρόνου A^b. ‖ 11. ἐνεργοῦν εἶναι, omisso ἀεί, ET. ‖ 13. ἑκάτερον T. ‖ 14. ἐκεῖνο om T. ‖ 16. τοῦ δ'] τὰ δ' T, οὐδ' A^b. ‖ 22. μόνον λόγῳ A^b. ‖ 24. τὸ et 25. τι om F^b. ‖ 26. τὸ post καὶ om T. ‖ κινούμενον A^b. ‖ 27. γὰρ μὲν A^b. ‖ 29. ὅτι ET. ‖ μᾶλλον] καλὸν E. ‖ 30. δὲ ἡ] γὰρ ἡ ET. ‖ κινεῖται om A^b. ‖ νοητὸν T. ‖ 31. ἡ ante οὐσία et 32. καὶ ταύτης ἡ om A^b. ‖ 32. καὶ ante κατ' om T. ‖ 33. τὸ ante ἁπλοῦν om ETF^b. ‖ γὰρ om A^b. ‖ 35. δι' αὑτὸ om T. ‖ συστοιχεία A^b.

2. ἕνεκα] ἕνεκα τινός A^b. ‖ 3. δὲ] δὴ A^b. ‖ ὁρώμενον T. ‖ κινουμένων ET. ‖ 4. εἰ] ὅτι F^b. ‖ καὶ om EF^b. ‖ 5. εἰ post πρώτη T, om E. ‖ ἡ om F^b. ‖ πρώτη] ἡ πρώτη EF^b. ‖ 6. ταύτη EF^b. ‖ 15. ἐστὶν om F^b. ‖ οἵα] οἵα τε E, om T. ‖ 16. ἐστιν om A^b. ‖ μὲν om T. ‖ γρ. καὶ ἡδονὴ ἡ ἐνέργεια E. ‖ 18. κνῆμαι E. ‖ 19. αὐτὸ] αὐτὸν T. ‖ 20. ἑαυτὸν A^b. ‖ κατὰ] καὶ A^b. ‖ νοητὸς — 22. νοητοῦ om T. ‖ 21. καὶ post νοῦς om A^b. ‖ 24. ἀόριστον ET. ‖ οὖν om T. ‖ 26. ὧδε ET. ‖ 27. ἐκεῖνο E. ‖ 28. ἀΐδιος — 29. τῷ om T. ‖ 29. ἀόριστον T. ‖ 30. καὶ om ET. ‖ 33. καὶ τῶν ζῴων om T. ‖ 34. καὶ τὸ τέλειον T. ‖ 35. προτέρων ἐστὶ A^b.

πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον· οἷον πρότερον ἄνθρωπον ἂν φαίη τις εἶναι τοῦ σπέρματος, οὐ τὸν ἐκ τούτου γενόμενον, ἀλλ' ἕτερον ἐξ οὗ τὸ σπέρμα. ὅτι μὲν οὖν ἔστιν οὐσία τις ἀΐδιος καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων. δέδεικται δὲ καὶ ὅτι μέγεθος οὐθὲν ἔχειν ἐνδέχεται ταύτην τὴν οὐσίαν, ἀλλ' ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν. κινεῖ γὰρ τὸν ἄπειρον χρόνον, οὐθὲν δ' ἔχει δύναμιν ἄπειρον πεπερασμένον. ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι μέγεθος, ἄπειρον δ' ὅτι ὅλως οὐκ ἔστιν οὐθὲν ἄπειρον μέγεθος. ἀλλὰ μὴν καὶ ὅτι ἀπαθὲς καὶ ἀναλλοίωτον· πᾶσαι γὰρ αἱ ἄλλαι κινήσεις ὕστεραι τῆς κατὰ τόπον. ταῦτα μὲν οὖν δῆλα διότι τοῦτον ἔχει τὸν τρόπον.

8 Πότερον δὲ μίαν θετέον τὴν τοιαύτην οὐσίαν ἢ πλείους, καὶ πόσας, δεῖ μὴ λανθάνειν, ἀλλὰ μεμνῆσθαι καὶ τὰς τῶν ἄλλων ἀποφάσεις, ὅτι περὶ πλήθους οὐθὲν εἰρήκασιν, ὅ τι καὶ σαφὲς εἰπεῖν. ἡ μὲν γὰρ περὶ τὰς ἰδέας ὑπόληψις οὐδεμίαν ἔχει σκέψιν ἰδίαν· ἀριθμοὺς γὰρ λέγουσι τὰς ἰδέας οἱ λέγοντες ἰδέας, περὶ δὲ τῶν ἀριθμῶν ὁτὲ μὲν ὡς περὶ ἀπείρων λέγουσιν, ὁτὲ δὲ ὡς μέχρι τῆς δεκάδος ὡρισμένων· δι' ἣν δ' αἰτίαν τοσοῦτον τὸ πλῆθος τῶν ἀριθμῶν, οὐθὲν λέγεται μετὰ σπουδῆς ἀποδεικτικῆς. ἡμῖν δ' ἐκ τῶν ὑποκειμένων καὶ διωρισμένων λεκτέον. ἡ μὲν γὰρ ἀρχὴ καὶ τὸ πρῶτον τῶν ὄντων ἀκίνητον καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινοῦν δὲ τὴν πρώτην ἀΐδιον καὶ μίαν κίνησιν. ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ' αὑτό, καὶ τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι καὶ τὴν μίαν ὑφ' ἑνός, ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φοράν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους (ἀΐδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ σῶμα· δέδεικται δ' ἐν τοῖς φυσικοῖς περὶ τούτων), ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου τε κινεῖσθαι καθ' αὑτὸ καὶ ἀϊδίου οὐσίας. ἥ τε γὰρ τῶν ἄστρων φύσις ἀΐδιος οὐσία τις οὖσα, καὶ τὸ κινοῦν ἀΐδιον καὶ πρότερον τοῦ κινουμένου, καὶ τὸ πρότερον οὐσίας οὐσίαν ἀναγκαῖον εἶναι. φανερὸν τοίνυν ὅτι τοσαύτας τε οὐσίας ἀναγκαῖον εἶναι τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καθ' αὑτὰς καὶ ἄνευ μεγέθους, διὰ τὴν εἰρημένην αἰτίαν πρότερον. ὅτι μὲν οὖν εἰσὶν οὐσίαι, καὶ τούτων τίς πρώτη καὶ δευτέρα κατὰ τὴν αὐτὴν τάξιν ταῖς φοραῖς τῶν ἄστρων, φανερόν. τὸ δὲ πλῆθος ἤδη τῶν φορῶν ἐκ τῆς οἰκειοτάτης φιλοσοφίας τῶν μαθηματικῶν ἐπιστημῶν δεῖ σκοπεῖν, ἐκ τῆς ἀστρολογίας· αὕτη γὰρ περὶ οὐσίας αἰσθητῆς μὲν ἀϊδίου δὲ ποιεῖται τὴν θεωρίαν, αἱ δ' ἄλλαι περὶ οὐδεμιᾶς οὐσίας, οἷον ἥ τε περὶ τοὺς ἀριθμοὺς καὶ τὴν γεωμετρίαν. ὅτι μὲν οὖν πλείους τῶν φερομένων αἱ φοραί, φανερὸν τοῖς καὶ μετρίως ἡμμένοις· πλείους γὰρ ἕκαστον φέρεται μιᾶς τῶν πλανωμένων ἄστρων. πόσαι δ' αὗται τυγχάνουσιν οὖσαι, νῦν μὲν ἡμεῖς ἃ λέγουσι τῶν μαθηματικῶν τινὲς ἐννοίας χάριν λέγομεν, ὅπως ᾖ τι τῇ διανοίᾳ πλῆθος ὡρισμένον ὑπολαβεῖν· τὸ δὲ λοιπὸν τὰ μὲν ζητοῦντας αὐτοὺς δεῖ, τὰ δὲ πυνθανομένους παρὰ τῶν ζητούντων, ἄν τι φαίνηται παρὰ τὰ νῦν εἰρημένα τοῖς ταῦτα πραγματευομένοις, φιλεῖν μὲν ἀμφοτέρους, πείθεσθαι δὲ τοῖς ἀκριβεστέροις. Εὔδοξος μὲν οὖν ἡλίου καὶ σελήνης ἑκατέρου τὴν φορὰν ἐν τρισὶν ἐτίθετ' εἶναι σφαίραις, ὧν τὴν μὲν πρώτην τὴν τῶν ἀπλανῶν ἄστρων εἶναι, τὴν δὲ δευτέραν κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων, τὴν δὲ τρίτην κατὰ τὸν λελοξωμένον ἐν τῷ πλάτει τῶν ζῳδίων· ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος. τῶν δὲ πλανωμένων ἄστρων ἐν τέτταρσιν ἑκάστου σφαίραις, καὶ τούτων δὲ τὴν μὲν πρώτην καὶ δευτέραν τὴν αὐτὴν εἶναι ἐκείναις (τήν τε γὰρ τῶν ἀπλανῶν τὴν ἁπάσας φέρουσαν εἶναι, καὶ τὴν ὑπὸ ταύτην τεταγμένην καὶ κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων τὴν φορὰν ἔχουσαν κοινὴν ἁπασῶν εἶναι), τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι, τῆς δὲ τετάρτης τὴν φορὰν κατὰ τὸν λελοξωμένον πρὸς τὸν μέσον ταύτης· εἶναι δὲ τῆς τρίτης σφαίρας τοὺς πόλους τῶν μὲν ἄλλων ἰδίους, τοὺς δὲ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ τοὺς αὐτούς. Κάλλιππος δὲ τὴν μὲν θέσιν τῶν σφαιρῶν τὴν αὐτὴν ἐτίθετο Εὐδόξῳ, τοῦτ' ἔστι τῶν ἀποστημάτων τὴν τάξιν, τὸ δὲ πλῆθος τῷ μὲν τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου τὸ αὐτὸ ἐκείνῳ ἀπεδίδου, τῷ δ' ἡλίῳ καὶ τῷ σελήνης δύο ᾤετο ἔτι προσθετέας εἶναι σφαίρας, τὰ φαινόμενα εἰ μέλλει τις ἀποδώσειν, τοῖς δὲ λοιποῖς τῶν πλανήτων ἑκάστῳ μίαν. ἀναγκαῖον δέ, εἰ μέλλουσι συντεθεῖσαι

1. οἷόν τε πρότερον A^b, οἷον ὥστε πρότερον *T*. ‖ 2. τις] τις ἄνθρωπον *T*. ‖ 4. καὶ ἀκίνητος om *T*. ‖ 7. κινεῖται *T*. ‖ 8. πεπερασμένον. ἐπεὶ *T*. ‖ 10. μέγεθος εἰς ἄπειρον *T*. ‖ 11. μὴν ὅτι καὶ ἀπαθὴς καὶ ἀναλλοίωτος *T*. ‖ 22. οὐδὲ *T*. ‖ 34. αὐτὴν *E*. ‖ φύσις ἀΐδιος οὐσία] οὐσία ἀΐδιος *T*. ‖ 38. καὶ ἀμεγέθους *T*.

1. εἰσὶν om *T*. ‖ 4. σφαιρῶν F^b. ‖ 15. φαίνεται *T*. ‖ 17. ἑκατέρου om F^b. ‖ 19. τὸν] τὴν *T*, τὸ EA^b. ‖ 20. δὲ om F^b. ‖ 23. τέτρασιν *T*. ‖ 26. καὶ τὴν — 27. εἶναι om *T*. ‖ 26. ταύτῃ *E*. ‖ τὸ A^b. ‖ 28. τῆς] τοὺς F^b. ‖ 31. τοὺς δὲ] τοῦ δὲ *T*. ‖ 33. τοῦτ' — 34. τάξιν om *E*. ‖ 35. ἐκεῖνο A^b. ‖ ἐπιπέδου *T*. ‖ ἡλίῳ καὶ τῇ σελήνῃ *ET*. ‖ 36. ἔτι ᾤετο *T*. ‖ 37. μέλλοι *E*. ‖ τοῖς — 1074*a* 1. ἀποδώσειν om *T*.

πᾶσαι τὰ φαινόμενα ἀποδώσειν, καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου· οὕτω γὰρ μόνως ἐνδέχεται τὴν τῶν πλανητῶν φορὰν ἅπαντα ποιεῖσθαι. ἐπεὶ οὖν ἐν αἷς μὲν αὐτὰ φέρεται σφαίραις αἱ μὲν ὀκτὼ αἱ δὲ πέντε καὶ εἰκοσίν εἰσιν, τούτων δὲ μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρεται, αἱ μὲν τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται, αἱ δὲ τὰς τῶν ὕστερον τεττάρων ἑκκαίδεκα, ὁ δὲ ἁπασῶν ἀριθμὸς τῶν τε φερουσῶν καὶ τῶν ἀνελιττουσῶν ταύτας πεντήκοντά τε καὶ πέντε. εἰ δὲ τῇ σελήνῃ τε καὶ τῷ ἡλίῳ μὴ προστιθείη τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτά τε καὶ τεσσαράκοντα. τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον, ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους καὶ τὰς αἰσθητὰς τοσαύτας εὔλογον ὑπολαβεῖν· τὸ γὰρ ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν. εἰ δὲ μηδεμίαν οἷόν τ' εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν, ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν ἀπαθῆ καὶ καθ' αὑτὴν τοῦ ἀρίστου τετυχηκυῖαν τέλος εἶναι δεῖ νομίζειν, οὐδεμία ἂν εἴη παρὰ ταύτας ἑτέρα φύσις, ἀλλὰ τοῦτον ἀνάγκη τὸν ἀριθμὸν εἶναι τῶν οὐσιῶν. εἴτε γάρ εἰσιν ἕτεραι, κινοῖεν ἂν ὡς τέλος οὖσαι φορᾶς. ἀλλ' εἶναί γε ἄλλας φορὰς ἀδύνατον παρὰ τὰς εἰρημένας. τοῦτο δ' εὔλογον ἐκ τῶν φερομένων ὑπολαβεῖν. εἰ γὰρ πᾶν τὸ φέρον τοῦ φερομένου χάριν πέφυκε καὶ φορὰ πᾶσα φερομένου τινός ἐστιν, οὐδεμία φορὰ αὑτῆς ἂν ἕνεκα εἴη οὐδ' ἄλλης φορᾶς, ἀλλὰ τῶν ἄστρων ἕνεκα. εἰ γὰρ ἔσται φορὰ φορᾶς ἕνεκα, καὶ ἐκείνην ἑτέρου δεήσει χάριν εἶναι· ὥστ' ἐπειδὴ οὐχ οἷόν τε εἰς ἄπειρον, τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων τι θείων σωμάτων κατὰ τὸν οὐρανόν. ὅτι δὲ εἷς οὐρανός, φανερόν. εἰ γὰρ πλείους οὐρανοὶ ὥσπερ ἄνθρωποι, ἔσται εἴδει μία ἡ περὶ ἕκαστον ἀρχή, ἀριθμῷ δέ γε πολλαί. ἀλλ' ὅσα ἀριθμῷ πολλά, ὕλην ἔχει· εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, οἷον ἀνθρώπου, Σωκράτης δὲ εἷς. τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶτον· ἐντελέχεια γάρ. ἓν ἄρα καὶ λόγῳ καὶ ἀριθμῷ τὸ πρῶτον κινοῦν ἀκίνητον ὄν· καὶ τὸ κινούμενον ἄρα ἀεὶ καὶ συνεχῶς ἓν μόνον· εἷς ἄρα οὐρανὸς μόνος. παραδέδοται δὲ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων ἐν μύθου σχήματι καταλελειμμένα τοῖς ὕστερον ὅτι θεοί τέ εἰσιν οὗτοι καὶ περιέχει τὸ θεῖον τὴν ὅλην φύσιν. τὰ δὲ λοιπὰ μυθικῶς ἤδη προσῆκται πρὸς τὴν πειθὼ τῶν πολλῶν καὶ πρὸς τὴν εἰς τοὺς νόμους καὶ τὸ συμφέρον χρῆσιν· ἀνθρωποειδεῖς τε γὰρ τούτους καὶ τῶν ἄλλων ζῴων ὁμοίους τισὶ λέγουσι, καὶ τούτοις ἕτερα ἀκόλουθα καὶ παραπλήσια τοῖς εἰρημένοις. ὧν εἴ τις χωρίσας αὐτὸ λάβοι μόνον τὸ πρῶτον, ὅτι θεοὺς ᾤοντο τὰς πρώτας οὐσίας εἶναι, θείως ἂν εἰρῆσθαι νομίσειεν, καὶ κατὰ τὸ εἰκὸς πολλάκις εὑρημένης εἰς τὸ δυνατὸν ἑκάστης καὶ τέχνης καὶ φιλοσοφίας καὶ πάλιν φθειρομένων καὶ ταύτας τὰς δόξας ἐκείνων οἷον λείψανα περισεσῶσθαι μέχρι τοῦ νῦν. ἡ μὲν οὖν πάτριος δόξα καὶ ἡ παρὰ τῶν πρώτων ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.

9 Τὰ δὲ περὶ τὸν νοῦν ἔχει τινὰς ἀπορίας· δοκεῖ μὲν γὰρ εἶναι τῶν φαινομένων θειότατον, πῶς δ' ἔχων τοιοῦτος ἂν εἴη, ἔχει τινὰς δυσκολίας. εἴτε γὰρ μηθὲν νοεῖ, τί ἂν εἴη τὸ σεμνόν, ἀλλ' ἔχει ὥσπερ ἂν εἰ ὁ καθεύδων· εἴτε νοεῖ, τούτου δ' ἄλλο κύριον (οὐ γάρ ἐστι τοῦτο ὅ ἐστιν αὐτοῦ ἡ οὐσία νόησις, ἀλλὰ δύναμις), οὐκ ἂν ἡ ἀρίστη οὐσία εἴη· διὰ γὰρ τοῦ νοεῖν τὸ τίμιον αὐτῷ ὑπάρχει. ἔτι δὲ εἴτε νοῦς ἡ οὐσία αὐτοῦ εἴτε νόησίς ἐστι, τί νοεῖ; ἢ γὰρ αὐτὸς αὑτὸν ἢ ἕτερόν τι. καὶ εἰ ἕτερόν τι, ἢ τὸ αὐτὸ ἀεὶ ἢ ἄλλο. πότερον οὖν διαφέρει τι ἢ οὐθὲν τὸ νοεῖν τὸ καλὸν ἢ τὸ τυχόν; ἢ καὶ ἄτοπον τὸ διανοεῖσθαι περὶ ἐνίων; δῆλον τοίνυν ὅτι τὸ θειότατον καὶ τιμιώτατον νοεῖ, καὶ οὐ μεταβάλλει· εἰς χεῖρον γὰρ ἡ μεταβολή, καὶ κίνησίς τις ἤδη τὸ τοιοῦτον. πρῶτον μὲν οὖν εἰ μὴ νόησίς ἐστιν ἀλλὰ δύναμις, εὔλογον ἐπίπονον εἶναι τὸ συνεχὲς αὐτῷ τῆς νοήσεως. ἔπειτα δῆλον ὅτι ἄλλο τι ἂν εἴη τὸ τιμιώτερον ἢ ὁ νοῦς, τὸ νοούμενον. καὶ γὰρ τὸ νοεῖν καὶ ἡ νόησις ὑπάρξει καὶ τὸ χείριστον νοοῦντι. ὥστ' εἰ φευκτὸν τοῦτο (καὶ γὰρ μὴ ὁρᾶν ἔνια κρεῖττον ἢ ὁρᾶν), οὐκ ἂν εἴη τὸ ἄριστον ἡ νόησις. αὑτὸν ἄρα νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον, καὶ ἔστιν ἡ νόησις νοήσεως νόησις. φαίνεται δ' ἀεὶ ἄλλου ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις καὶ ἡ δόξα καὶ ἡ διάνοια, αὑτῆς δ' ἐν παρέργῳ. ἔτι εἰ ἄλλο τὸ νοεῖν καὶ τὸ νοεῖσθαι, κατὰ πότερον αὐτῷ τὸ εὖ ὑπάρχει; οὐδὲ γὰρ ταὐτὸ τὸ εἶναι νοήσει καὶ νοουμένῳ. ἢ ἐπ'

2. μιᾷ] μὴ *T*. ‖ 3. ἀποκαθιστώσας *A*^b. ‖ 6. φέρονται *T*. ‖ 7. ἀνελλιχθῆναι οὐ δεῖ ἐν ᾧ τὸ κάτω φέρεται *F*^b. ἀναλεχθῆναι *T*. ‖ 10. δὴ *ET*. ‖ 12. προστεθείη *T*. ‖ 18. οἷόν om *T*. ‖ εἶναι om *F*^b. ‖ 19. ἀπαθῆ] ἀγαθὴν ἀπαθῆ *T*. ‖ 25. φαιρομένων *T*. ‖ 27. ἂν om *E*. ‖ 29. ἑτέρων *A*^b. ‖ 35. γρ σωκράτης δὲ οὐχ εἷς margo *E*. ‖ 38. ἓν μόνον om *A*^b.

4. προῆκται *F*^b. ‖ 17. μηδ' ἐνοεῖ *A*^b. ‖ 23. καὶ — τι om *ET*. ‖ 27. γὰρ κίνησις καὶ μεταβολή *A*^b. ‖ 30. ὁ om *T*. ‖ 31. τὸ post γὰρ om *F*^b. ‖ 32. εἰ] εἰ ἔστι *E*, om *T*. ‖ κρεῖττον, omisso ἢ, *T*. ‖ 34. ἡ νόησις κάτω νοήσεως νόησι. φ. *T*. ‖ 35. ἡ post καὶ om *E*. ‖ 36. ἑαυτῆς *F*^b. ‖ ἔτι δ' εἰ *T*.

ἐπιστήμη τὸ πρᾶγμα; ἐπὶ μὲν τῶν ποιητικῶν ἄνευ οὐσία καὶ τὸ τί ἦν εἶναι, ἐπὶ δὲ τῶν θεωρητικῶν ὁ τὸ πρᾶγμα καὶ ἡ νόησις. ὐχ ἑτέρυ ὖν ὄντος τῦ νου- καὶ τοῦ νοῦ, ὅσα μὴ ὕλην ἔχει τὸ αὐτὸ ἔςαι, καὶ ἡ τῦ νουμένυ μία. ἔτι δὴ λείπεται ἀπορία, εἰ σύνθετον μενον· μεταβάλλοι γὰρ ἂν ἐν τοῖς μέρεσι τῦ ὅλυ. ἢ τον πᾶν τὸ μὴ ἔχον ὕλην, ὥσπερ ὁ ἀνθρώπινος νῦς, τῶν συνθέτων ἔχει ἔν τινι χρόνῳ· ὐ γὰρ ἔχει τὸ εὖ ἢ ἐν τῳδί, ἀλλ' ἐν ὅλῳ τινὶ τὸ ἄριςον, ὂν ἄλλο τι. ἔχει αὐτὴ αὐτῆς ἡ νόησις τὸν ἅπαντα αἰῶνα.

πισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τῦ ὅλυ φύσις τὸ καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ τό, ἢ τὴν τάξιν, ἢ ἀμφοτέρως ὥσπερ στράτευμα. ρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον γὰρ ὗτος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ τῦτόν ἐςιν. δὲ συντέτακταί πως, ἀλλ' οὐχ ὁμοίως, καὶ πλωτὰ ινὰ καὶ φυτά· καὶ ὐχ ὕτως ἔχει ὥςε μὴ εἶναι θα- ρὸς θάτερον μηθέν, ἀλλ' ἐστί τι. πρὸς μὲν γὰρ ἓν συντέτακται, ἀλλ' ὥσπερ ἐν οἰκίᾳ τοῖς ἐλευθέροις ξεςιν ὅ τι ἔτυχε ποιεῖν, ἀλλὰ πάντα ἢ τὰ πλεῖςα ι, τοῖς δὲ ἀνδραπόδοις καὶ τοῖς θηρίοις μικρὸν τὸ εἰς όν, τὸ δὲ πολὺ ὅ τι ἔτυχεν· τοιαύτη γὰρ ἑκάστου αὐτῶν ἡ φύσις ἐςίν. λέγω δ' οἷον εἴς γε τὸ διακρι- νάγκη ἅπασιν ἐλθεῖν, καὶ ἄλλα ὕτως ἐςὶν ὧν κοι- παντα εἰς τὸ ὅλον. ὅσα δὲ ἀδύνατα συμβαίνει ἢ τοῖς ἄλλως λέγυσι, καὶ ποῖα οἱ χαριεςέρως λέγον- ι ἐπὶ ποίων ἐλάχισται ἀπορίαι, δεῖ μὴ λανθάνειν. γὰρ ἐξ ἐναντίων ποιῦσι πάντα. ὕτε δὲ τὸ πάντα ὕτε ναντίων ὀρθῶς, ὕτ' ἐν ὅσοις τὰ ἐναντία ὑπάρχει, πῶς ἐναντίων ἔςαι, οὐ λέγουσιν· ἀπαθῆ γὰρ τὰ ἐναντία λήλων. ἡμῖν δὲ λύεται τοῦτο εὐλόγως τῷ τρίτον τι ι δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιῦσιν, ὥσπερ οἱ ν τῷ ἴσῳ ἢ τῷ ἑνὶ τὰ πολλά. λύεται δὲ καὶ τῦτο όν τρόπον· ἡ γὰρ ὕλη ἡ μία οὐθενὶ ἐναντίον. ἔτι τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός· τὸ γὰρ κακὸν τερον τῶν ςοιχείων. οἱ δ' ἄλλοι ὐδ' ἀρχὰς τὸ ἀγα- τὸ κακόν· καίτοι ἐν ἅπασι μάλιςα τὸ ἀγαθὸν ἀρχή. το μὲν ὀρθῶς ὅτι ἀρχήν, ἀλλὰ πῶς τὸ ἀγαθὸν ἀρχὴ

ὐ λέγυσιν, πότερον ὡς τέλος ἢ ὡς κινῆσαν ἢ ὡς εἶδος. ἀτόπως δὲ καὶ Ἐμπεδοκλῆς· τὴν γὰρ φιλίαν ποιεῖ τὸ ἀγαθόν. αὕτη δ' ἀρχὴ καὶ ὡς κινοῦσα (συνάγει γάρ) καὶ ὡς ὕλη· μόριον γὰρ τῦ μίγματος. εἰ δὴ καὶ τῷ αὐτῷ συμβέβηκεν ὡς ὕλῃ καὶ ἀρχῇ εἶναι καὶ ὡς κινῦντι, ἀλλὰ τό γ' εἶναι ὐ ταὐτό. κατὰ πότερον ὖν φιλία; ἄτοπον δὲ καὶ τὸ ἄφθαρτον εἶναι τὸ νεῖκος· τοῦτο δ' ἐστὶν αὐτὸ ἡ τοῦ κακῦ φύσις. Ἀναξαγόρας δὲ ὡς κινῦν τὸ ἀγαθὸν ἀρχήν· ὁ γὰρ νῦς κινεῖ, ἀλλὰ κινεῖ ἕνεκά τινος, ὥστε ἕτερον. πλὴν ὡς ἡμεῖς λέγομεν· ἡ γὰρ ἰατρική ἐστί πως ἡ ὑγίεια. ἄτοπον δὲ καὶ τὸ ἐναντίον μὴ ποιῆσαι τῷ ἀγαθῷ καὶ τῷ νῷ. πάντες δ' οἱ τἀναντία λέγοντες ὐ χρῶνται τοῖς ἐναντίοις, ἐὰν μὴ ῥυθμίσῃ τις. καὶ διὰ τί τὰ μὲν φθαρτὰ τὰ δ' ἄφθαρτα, ὐδεὶς λέγει· πάντα γὰρ τὰ ὄντα ποιοῦσιν ἐκ τῶν αὐτῶν ἀρχῶν. ἔτι οἱ μὲν ἐκ τοῦ μὴ ὄντος ποιοῦσι τὰ ὄντα· οἱ δ' ἵνα μὴ τοῦτο ἀναγκασθῶσιν, ἓν πάντα ποιῦσιν. ἔτι διὰ τί ἀεὶ ἔςαι γένεσις καὶ τί αἴτιον γενέσεως, ὐδεὶς λέγει. καὶ τοῖς δύο ἀρχὰς ποιῦσιν ἄλλην ἀνάγκη ἀρχὴν κυριωτέραν εἶναι, καὶ τοῖς τὰ εἴδη, ὅτι ἄλλη ἀρχὴ κυριωτέρα· διὰ τί γὰρ μετέσχεν ἢ μετέχει; καὶ τοῖς μὲν ἄλλοις ἀνάγκη τῇ σοφίᾳ καὶ τῇ τιμιωτάτῃ ἐπιςήμῃ εἶναί τι ἐναντίον, ἡμῖν δ' ὔ· οὐ γάρ ἐςιν ἐναντίον τῷ πρώτῳ ὐθέν. πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ δυνάμει ταὐτά ἐςιν, ἡ δὲ ἐναντία ἄγνοια εἰς τὸ ἐναντίον· τῷ δὲ πρώτῳ ἐναντίον οὐθέν. εἴτε μὴ ἔσται παρὰ τὰ αἰσθητὰ ἄλλα, οὐκ ἔσται ἀρχὴ καὶ τάξις καὶ γένεσις καὶ τὰ ὐράνια, ἀλλ' ἀεὶ τῆς ἀρχῆς ἀρχή, ὥσπερ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς πᾶσιν. εἰ δ' ἔςαι τὰ εἴδη ἢ ἀριθμοί, ὐδενὸς αἴτια· εἰ δὲ μή, οὔτι κινήσεώς γε. ἔτι πῶς ἔσται ἐξ ἀμεγεθῶν μέγεθος καὶ συνεχές; ὁ γὰρ ἀριθμὸς οὐ ποιήσει συνεχές, οὔτε ὡς κινοῦν οὔτε ὡς εἶδος. ἀλλὰ μὴν ὐθέν γ' ἔςαι τῶν ἐναντίων ὅπερ καὶ ποιητικὸν καὶ κινητικόν· ἐνδέχοιτο γὰρ ἂν μὴ εἶναι. ἀλλὰ μὴν ὕςερόν γε τὸ ποιεῖν δυνάμεως. ὐκ ἄρα ἀΐδια τὰ ὄντα. ἀλλ' ἔςιν· ἀναιρετέον ἄρα τούτων τι. τοῦτο δ' εἴρηται ὥς. ἔτι τίνι οἱ ἀριθμοὶ ἓν ἢ ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ ὅλως τὸ εἶδος καὶ τὸ πρᾶγμα, ὐθὲν λεγει ὐθείς· ὐδ' ἐνδέχεται εἰπεῖν, ἐὰν μὴ ὡς ἡμεῖς εἴπῃ, ὡς τὸ κινοῦν ποιεῖ. οἱ δὲ λέγοντες τὸν ἀριθμὸν πρῶτον τὸν μαθηματικὸν καὶ ὕτως ἀεὶ ἄλλην ἐχομένην ὐσίαν καὶ ἀρχὰς

ία om *E.* ‖ 6. μεταβάλοι A^b, μεταβάλλει *T.* ‖ 11. λόγου *T.* ‖ 12. τι κεχωρισμένον *T.* ‖ 15. ὗτος· ὐ] αὐτός· ὐ *T.* ‖ τῦτ' . ‖ 17. καὶ ὐχ ὕτως] ὕτε *T.* ‖ 20. ὅ τι ἔτυχε] ὅτων *E.* ‖ 25. ἢ ἄτοπα συμβαίνει F^b. ‖ 26. ποῖα ἡ χάρις ἑτέρως λέγοντες *T.* ‖ *T.* ‖ 38. ἀλλὰ — ἀρχὴ om *T.*

ρχὴ EA^b. ‖ τό] τῷ *T.* ‖ 6. κατὰ] καὶ *T.* ‖ 10. ἡ post πως om *T.* ‖ 12. ῥαθυμήσῃ *T.* ‖ 14. πάντες *E.* ‖ 18. ἀρχὴν . ‖ 19. μετίσχει *ET.* ‖ 23. ἡ] εἰ *T.* ‖ 24. εἴτε] ἔτι εἰ F^b. ‖ 27. ἢ om *T.* ‖ 28. οὔτε A^b. ‖ 32. ἂν om *E.* ‖ 34. *T.*

ἑκάστης ἄλλας, ἐπεισοδιώδη τὴν τοῦ παντὸς οὐσίαν ποιοῦσιν (οὐθὲν γὰρ ἡ ἑτέρα τῇ ἑτέρᾳ συμβάλλεται οὖσα ἢ μὴ οὖσα) καὶ ἀρχὰς πολλάς· τὰ δὲ ὄντα οὐ βούλεται πολιτεύεσθαι κακῶς. "οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω."

Μ.

Περὶ μὲν οὖν τῆς τῶν αἰσθητῶν οὐσίας εἴρηται τίς ἐστιν, ἐν μὲν τῇ μεθόδῳ τῇ τῶν φυσικῶν περὶ τῆς ὕλης, ὕστερον δὲ περὶ τῆς κατ' ἐνέργειαν. ἐπεὶ δ' ἡ σκέψις ἐστὶ πότερον ἔστι τις παρὰ τὰς αἰσθητὰς οὐσίας ἀκίνητος καὶ ἀΐδιος ἢ οὐκ ἔστι, καὶ εἴ ἐστι τίς ἐστι, πρῶτον τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον, ὅπως εἴτε τι μὴ καλῶς λέγουσι, μὴ τοῖς αὐτοῖς ἔνοχοι ὦμεν, καὶ εἴ τι δόγμα κοινὸν ἡμῖν κἀκείνοις, τοῦτ' ἰδίᾳ μὴ καθ' ἡμῶν δυσχεραίνωμεν· ἀγαπητὸν γὰρ εἴ τις τὰ μὲν κάλλιον λέγοι τὰ δὲ μὴ χεῖρον. δύο δ' εἰσὶ δόξαι περὶ τούτων· τά τε γὰρ μαθηματικά φασιν οὐσίας εἶναί τινες, οἷον ἀριθμοὺς καὶ γραμμὰς καὶ τὰ συγγενῆ τούτοις, καὶ πάλιν τὰς ἰδέας. ἐπεὶ δὲ οἱ μὲν δύο ταῦτα γένη ποιοῦσι, τάς τε ἰδέας καὶ τοὺς μαθηματικοὺς ἀριθμούς, οἱ δὲ μίαν φύσιν ἀμφοτέρων, ἕτεροι δέ τινες τὰς μαθηματικὰς μόνον οὐσίας εἶναί φασι, σκεπτέον πρῶτον μὲν περὶ τῶν μαθηματικῶν, μηδεμίαν προστιθέντας φύσιν ἄλλην αὐτοῖς, οἷον πότερον ἰδέαι τυγχάνουσιν οὖσαι ἢ οὔ, καὶ πότερον ἀρχαὶ καὶ οὐσίαι τῶν ὄντων ἢ οὔ, ἀλλ' ὡς περὶ μαθηματικῶν μόνον εἴτ' εἰσὶν εἴτε μή εἰσι, καὶ εἰ εἰσὶ πῶς εἰσίν, ἔπειτα μετὰ ταῦτα χωρὶς περὶ τῶν ἰδεῶν αὐτῶν ἁπλῶς καὶ ὅσον νόμου χάριν· τεθρύλληται γὰρ τὰ πολλὰ καὶ ὑπὸ τῶν ἐξωτερικῶν λόγων. ἔτι δὲ πρὸς ἐκείνην δεῖ τὴν σκέψιν ἀπαντᾶν τὸν πλείω λόγον, ὅταν ἐπισκοπῶμεν εἰ αἱ οὐσίαι καὶ αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμοὶ καὶ ἰδέαι εἰσίν· μετὰ γὰρ τὰς ἰδέας αὕτη λείπεται τρίτη σκέψις. ἀνάγκη δ', εἴπερ ἔστι τὰ μαθηματικά, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι αὐτά, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· ἢ εἰ μηδετέρως, ἢ οὐκ εἰσὶν ἢ ἄλλον τρόπον εἰσίν. ὥσθ' ἡ ἀμφισβήτησις ἡμῖν ἔσται οὐ περὶ τοῦ εἶναι ἀλλὰ περὶ τοῦ τρόπου.

2 Ὅτι μὲν τοίνυν ἔν γε τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι καὶ ἅμα πλασματίας ὁ λόγος, εἴρηται μὲν καὶ ἐν τοῖς διαπορήμασιν ὅτι δύο ἅμα στερεὰ εἶναι ἀδύνατον, ἔτι δὲ καὶ ὅτι τοῦ αὐτοῦ λόγου καὶ τὰς ἄλλας δυνάμεις καὶ φύσεις ἐν τοῖς αἰσθητοῖς εἶναι καὶ μηδεμίαν κεχωρισμένην. ταῦτα μὲν οὖν εἴρηται πρότερον. ἀλλὰ πρὸς τούτοις φανερὸν ὅτι ἀδύνατον διαιρεθῆναι ὁτιοῦν σῶμα. κατ' ἐπίπεδον γὰρ διαιρεθήσεται, καὶ τοῦτο κατὰ γραμμήν, καὶ αὕτη κατὰ στιγμήν, ὥστ' εἰ τὴν στιγμὴν διελεῖν ἀδύνατον, καὶ τὴν γραμμήν, εἰ δὲ ταύτην, καὶ τἆλλα. τί οὖν διαφέρει ἢ ταύτας εἶναι τοιαύτας φύσεις, ἢ αὐτὰς μὲν μή, εἶναι δ' ἐν αὐταῖς τοιαύτας φύσεις; τὸ αὐτὸ γὰρ συμβήσεται· διαιρουμένων γὰρ τῶν αἰσθητῶν διαιρεθήσονται, ἢ οὐδὲ αἱ αἰσθηταί. ἀλλὰ μὴν οὐδὲ κεχωρισμένας γ' εἶναι φύσεις τοιαύτας δυνατόν. εἰ γὰρ ἔσται στερεὰ παρὰ τὰ αἰσθητὰ κεχωρισμένα τούτων ἕτερα καὶ πρότερα τῶν αἰσθητῶν, δῆλον ὅτι καὶ παρὰ τὰ ἐπίπεδα ἕτερα ἀναγκαῖον εἶναι ἐπίπεδα κεχωρισμένα καὶ στιγμὰς καὶ γραμμάς· τοῦ γὰρ αὐτοῦ λόγου. εἰ δὲ ταῦτα, πάλιν παρὰ τὰ τοῦ στερεοῦ τοῦ μαθηματικοῦ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμὰς ἕτερα κεχωρισμένα. πρότερα γὰρ τῶν συγκειμένων ἐστὶ τὰ ἀσύνθετα· καὶ εἴπερ τῶν αἰσθητῶν πρότερα σώματα μὴ αἰσθητά, τῷ αὐτῷ λόγῳ καὶ τῶν ἐπιπέδων τῶν ἐν τοῖς ἀκινήτοις στερεοῖς τὰ αὐτὰ καθ' αὑτά. ὥστε ἕτερα ταῦτα ἐπίπεδα καὶ γραμμαὶ τῶν ἅμα τοῖς στερεοῖς τοῖς κεχωρισμένοις· τὰ μὲν γὰρ ἅμα τοῖς μαθηματικοῖς στερεοῖς, τὰ δὲ πρότερα τῶν μαθηματικῶν στερεῶν. πάλιν τοίνυν τούτων τῶν ἐπιπέδων ἔσονται γραμμαί, ὧν πρότερον δεήσει ἑτέρας γραμμὰς καὶ στιγμὰς εἶναι διὰ τὸν αὐτὸν λόγον· καὶ τούτων ἐν ταῖς προτέραις γραμμαῖς ἑτέρας προτέρας στιγμάς, ὧν οὐκέτι πρότεραι ἕτεραι. ἄτοπός τε δὴ γίγνεται ἡ σώρευσις· συμβαίνει γὰρ στερεὰ μὲν μοναχὰ παρὰ τὰ αἰσθητά, ἐπίπεδα δὲ τριττὰ παρὰ τὰ αἰσθητά, τά τε παρὰ τὰ αἰσθητὰ καὶ τὰ ἐν τοῖς μαθηματικοῖς στερεοῖς καὶ παρὰ τὰ ἐν τούτοις, γραμμαὶ δὲ τετραξαί, στιγμαὶ δὲ πενταξαί. ὥστε περὶ ποῖα αἱ ἐπιστῆμαι ἔσονται αἱ μαθηματικαὶ τούτων; οὐ γὰρ δὴ περὶ τὰ ἐν τῷ στερεῷ τῷ ἀκινήτῳ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμάς· ἀεὶ γὰρ περὶ τὰ πρότερα ἡ ἐπιστήμη. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἀριθμῶν· παρ' ἑκάστας γὰρ τὰς στιγμὰς ἕτεραι ἔσονται μονάδες, καὶ παρ' ἕκαστα τὰ ὄντα αἰσθητά, εἶτα τὰ νοητά, ὥστ' ἔσται γένη ἄπειρα τῶν μαθηματικῶν ἀριθμῶν. ἔτι ἅπερ καὶ ἐν

4. ἔστω add E et margo T. ‖ 8. οὖν om T. ‖ 14. τε A^b. ‖ 15. δυσχεραίνομεν F^b. ‖ 17. οὐσίαν T. ‖ 19. γένη ταῦτα A^b. ‖ 26. μετὰ om T. ‖ 31. τῶν ὄντων] τούτων T. ‖ 38. τοίνυν] οὖν F^b.

1. ἀπορήμασιν F^b. ‖ ἅμα ante δύο A^b, post στερεὰ $G^b I^b$. ‖ 2. αὐτοῦ om A^b. ‖ 12. κεχωρισμένως γ' εἶναι τοιαύτας φύσεις T. ‖ 17. τὰ om T. ‖ 20. μὴ] τὰ μὴ E. ‖ 28. στιγμάς] γραμμάς A^b. ‖ 30. ἐπίπεδα — αἰσθητά om E. ‖ 31. τὰ post καὶ om TA^b. ‖ 37. παρ'] καὶ παρ' T. ‖ τάς] ἐν F^b. ‖ 39. ἄπειρα om $ETA^b G^b I^b$.

τοῖς ἀπορήμασιν ἐπήλθομεν, πῶς ἐνδέχεται λύειν; περὶ ἃ γὰρ ἡ ἀστρολογία ἐστίν, ὁμοίως ἐστὶ παρὰ τὰ αἰσθητά, καὶ περὶ ἃ ἡ γεωμετρία· εἶναι δ' οὐρανὸν καὶ τὰ μόρια αὐτοῦ πῶς δυνατόν, ἢ ἄλλο ὁτιοῦν ἔχον κίνησιν; ὁμοίως δὲ καὶ τὰ ὀπτικὰ καὶ τὰ ἁρμονικά· ἔσται γὰρ φωνή τε καὶ ὄψις παρὰ τὰ αἰσθητὰ καὶ τὰ καθ' ἕκαστα. ὥστε δῆλον ὅτι καὶ αἱ ἄλλαι αἰσθήσεις καὶ τὰ ἄλλα αἰσθητά· τί γὰρ μᾶλλον τάδε ἢ τάδε; εἰ δὲ ταῦτα, καὶ ζῷα ἔσονται, εἴπερ καὶ αἰσθήσεις. ἔτι γράφεται ἔνια καθόλου ὑπὸ τῶν μαθηματικῶν παρὰ ταύτας τὰς οὐσίας. ἔσται οὖν καὶ αὕτη τις ἄλλη οὐσία μεταξὺ κεχωρισμένη τῶν τ' ἰδεῶν καὶ τῶν μεταξύ, ἣ οὔτε ἀριθμός ἐστιν οὔτε στιγμαὶ οὔτε μέγεθος οὔτε χρόνος. εἰ δὲ τοῦτο ἀδύνατον, δῆλον ὅτι κἀκεῖνα ἀδύνατον εἶναι κεχωρισμένα τῶν αἰσθητῶν. ὅλως δὲ τοὐναντίον συμβαίνει καὶ τοῦ ἀληθοῦς καὶ τοῦ εἰωθότος ὑπολαμβάνεσθαι, εἴ τις θήσει οὕτως εἶναι τὰ μαθηματικὰ ὡς κεχωρισμένας τινὰς φύσεις. ἀνάγκη γὰρ διὰ τὸ μὲν οὕτως εἶναι αὐτὰς προτέρας εἶναι τῶν αἰσθητῶν μεγεθῶν, κατὰ τὸ ἀληθὲς δὲ ὑστέρας· τὸ γὰρ ἀτελὲς μέγεθος γενέσει μὲν πρότερόν ἐστι, τῇ οὐσίᾳ δ' ὕστερον, οἷον ἄψυχον ἐμψύχου. ἔτι τίνι καὶ πότ' ἔσται ἓν τὰ μαθηματικὰ μεγέθη; τὰ μὲν γὰρ ἐνταῦθα ψυχῇ ἢ μέρει ψυχῆς ἢ ἄλλῳ τινὶ εὐλόγῳ· εἰ δὲ μή, πολλά, καὶ διαλύεται. ἐκείνοις δὲ διαιρετοῖς καὶ ποσοῖς οὖσι τί αἴτιον τοῦ ἓν εἶναι καὶ συμμένειν; ἔτι αἱ γενέσεις δηλοῦσιν. πρῶτον μὲν γὰρ ἐπὶ μῆκος γίγνεται, εἶτα ἐπὶ πλάτος, τελευταῖον δ' εἰς βάθος, καὶ τέλος ἔσχεν. εἰ οὖν τὸ τῇ γενέσει ὕστερον τῇ οὐσίᾳ πρότερον, τὸ σῶμα πρότερον ἂν εἴη ἐπιπέδου καὶ μήκους, καὶ ταύτῃ καὶ τέλειον καὶ ὅλον μᾶλλον, ὅτι ἔμψυχον γίγνεται· γραμμὴ δὲ ἔμψυχος ἢ ἐπίπεδον πῶς ἂν εἴη; ὑπὲρ γὰρ τὰς αἰσθήσεις τὰς ἡμετέρας ἂν εἴη τὸ ἀξίωμα. ἔτι τὸ μὲν σῶμα οὐσία τίς· ἤδη γὰρ ἔχει πως τὸ τέλειον· αἱ δὲ γραμμαὶ πῶς οὐσίαι; οὔτε γὰρ ὡς εἶδος καὶ μορφή τις, οἷον εἰ ἄρα ἡ ψυχὴ τοιοῦτον, οὔτε ὡς ἡ ὕλη, οἷον τὸ σῶμα· οὐθὲν γὰρ ἐκ γραμμῶν οὐδ' ἐπιπέδων οὐδὲ στιγμῶν φαίνεται συνίστασθαι δυνάμενον. εἰ δ' ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο δυνάμενα πάσχειν. τῷ μὲν οὖν λόγῳ ἔστω πρότερα. ἀλλ' οὐ πάντα ὅσα τῷ λόγῳ πρότερα, καὶ τῇ οὐσίᾳ πρότερα. τῇ μὲν γὰρ οὐσίᾳ πρότερα ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει, τῷ λόγῳ δὲ ὅσων οἱ λόγοι ἐκ τῶν λόγων· ταῦτα δὲ οὐχ ἅμα ὑπάρχει. εἰ γὰρ μὴ ἔστι τὰ πάθη παρὰ τὰς οὐσίας, οἷον κινούμενόν τι ἢ λευκόν, τοῦ λευκοῦ ἀνθρώπου τὸ λευκὸν πρότερον κατὰ τὸν λόγον, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν· οὐ γὰρ ἐνδέχεται εἶναι κεχωρισμένον, ἀλλ' ἀεὶ ἅμα τῷ συνόλῳ ἐστίν· σύνολον δὲ λέγω τὸν ἄνθρωπον τὸν λευκόν. ὥστε φανερὸν ὅτι οὔτε τὸ ἐξ ἀφαιρέσεως πρότερον οὔτε τὸ ἐκ προσθέσεως ὕστερον· ἐκ προσθέσεως γὰρ τῷ λευκῷ ὁ λευκὸς ἄνθρωπος λέγεται.

ὅτι μὲν οὖν οὔτε οὐσίαι μᾶλλον τῶν σωμάτων εἰσίν, οὔτε πρότερα τῷ εἶναι τῶν αἰσθητῶν, ἀλλὰ τῷ λόγῳ μόνον, οὔτε κεχωρισμένα που εἶναι δυνατόν, εἴρηται ἱκανῶς. ἐπεὶ δ' οὐδ' ἐν τοῖς αἰσθητοῖς ἐνεδέχετο αὐτὰ εἶναι, φανερὸν ὅτι ἢ ὅλως οὐκ ἔστιν ἢ τρόπον τινὰ ἔστι καὶ διὰ τοῦτο οὐχ ἁπλῶς ἐστίν· πολλαχῶς γὰρ τὸ εἶναι λέγομεν. ὥσπερ γὰρ καὶ τὰ κα- 3
θόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ κεχωρισμένων ἐστὶ παρὰ τὰ μεγέθη καὶ τοὺς ἀριθμούς, ἀλλὰ περὶ τούτων μέν, οὐχ ᾗ δὲ τοιαῦτα οἷα ἔχειν μέγεθος ἢ εἶναι διαιρετά, δῆλον ὅτι ἐνδέχεται καὶ περὶ τῶν αἰσθητῶν μεγεθῶν εἶναι καὶ λόγους καὶ ἀποδείξεις, μὴ ᾗ δὲ αἰσθητά, ἀλλ' ᾗ τοιαδί. ὥσπερ γὰρ καὶ ᾗ κινούμενα μόνον πολλοὶ λόγοι εἰσί, χωρὶς τοῦ τί ἕκαστόν ἐστι τῶν τοιούτων καὶ τῶν συμβεβηκότων αὐτοῖς, καὶ οὐκ ἀνάγκη διὰ ταῦτα ἢ κεχωρισμένον τι εἶναι κινούμενον τῶν αἰσθητῶν ἢ ἐν τούτοις τινὰ φύσιν εἶναι ἀφωρισμένην, οὕτω καὶ ἐπὶ τῶν κινουμένων ἔσονται λόγοι καὶ ἐπιστῆμαι, οὐχ ᾗ κινούμενα δὲ ἀλλ' ᾗ σώματα μόνον, καὶ πάλιν ᾗ ἐπίπεδα μόνον καὶ ᾗ μήκη μόνον, καὶ ᾗ διαιρετὰ καὶ ᾗ ἀδιαίρετα ἔχοντα δὲ θέσιν, καὶ ᾗ ἀδιαίρετα μόνον. ὥστ' ἐπεὶ ἁπλῶς λέγειν ἀληθὲς μὴ μόνον τὰ χωριστὰ εἶναι ἀλλὰ καὶ τὰ μὴ χωριστά, οἷον κινούμενα εἶναι, καὶ τὰ μαθηματικὰ ὅτι ἔστιν ἁπλῶς ἀληθὲς εἰπεῖν, καὶ τοιαῦτά γε οἷα λέγουσιν. καὶ ὥσπερ καὶ τὰς ἄλλας ἐπιστήμας ἁπλῶς ἀληθὲς εἰπεῖν τούτου εἶναι, οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἔστιν ὑγιεινόν, ἀλλ' ἐκείνου

1. διαπορήμασιν F^b. ‖ 2. περὶ G^bI^b. ‖ 10. παρὰ πάντας τὰς αἰτίας G^b. ‖ ἄλλη τις αὕτη TG^bI^b. ‖ 11. εἰδῶν G^b. ‖ ἢ A^b. ‖ 12. στιγμὴ G^bI^b. ‖ 13. δῆλον om G^b. ‖ κεχωρισμένα εἶναι G^bI^b. ‖ 14. δὴ T. ‖ 17. εἶναι οὕτως T. ‖ 18. δὲ τὸ ἀληθὲς G^bI^b. ‖ 19. ἄγαθος τῇ γενέσει G^bI^b. ‖ τῇ δ' οὐσίᾳ G^bI^b. ‖ 20. ἔτι ἐν τίνι E. ‖ ἓν om T. ‖ 23. διαιρετικοῖς G^b. ‖ 24. συμβαίνειν T. ‖ 26. εἰς] ἐς G^b. ‖ 28. ὅτι] καὶ ὅτι G^bI^b. ‖ 30. ὑπὸ G^bI^b. ‖ εἴη om T. ‖ 31. ἔχει om A^b. ‖ 33. οὔτε ὡς] ὥστε T. ‖ 35. οὐδὲ ἐκ στιγμῶν G^bI^b. ‖ ἦν] ἐν G^b. ‖ 36. δυνάμενον G^bI^b, om F^b.

1. ἀλλ' — πρότερα om T. ‖ 2. τῇ οὐσίᾳ πρότερον G^b. ‖ 4. δὲ] γὰρ T. ‖ 5. τι] τε G^b. ‖ ἢ om T. ‖ 7. ἐνδέχεται] ἐν T. ‖ 9. τὸν λευκόν] καὶ τὸ λευκόν F^b. ‖ τὸ om A^b. ‖ 10. προθέσεως $A^bF^bG^b$. ‖ 13. μόνα T, μόνω I^b. ‖ 14. οὐδὲν τοῖς A^b. ‖ 15. ἐνδέχεται T. ‖ 17. τὰ] τὸ F^b. ‖ 18. περὶ] παρὰ F^b. ‖ παρὰ I^b: ceteri περὶ. ‖ 22. τοιάδε G^b. ‖ 28. οὐχὶ κινούμενα G^b. ‖ 30. καὶ ᾗ ἀδιαίρετα om G^b. ‖ δὲ om TA^b. ‖ 32. οἷον τὰ κινούμενα G^bI^b. ‖ 35. τοῦτο T. ‖ 36. ὑγιεινὸν τὸ $ETA^bG^bI^b$. ‖ ὑγιεινοῦ F^b. ‖ ἀλλ' — 1078 a 1. ὑγιεινὸν om T.

ᾗ ἐστὶν ἑκάστη, εἰ ὑγιεινὸν ὑγιεινοῦ, εἰ δ' ᾗ ἄνθρωπος ἀνθρώπου, οὕτω καὶ τὴν γεωμετρίαν· οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστί, μή ἐστι δ' ᾗ αἰσθητά, οὐ τῶν αἰσθητῶν ἔσονται αἱ μαθηματικαὶ ἐπιστῆμαι, οὐ μέντοι οὐδὲ παρὰ ταῦτα ἄλλων κεχωρισμένων. πολλὰ δὲ συμβέβηκε καθ' αὑτὰ τοῖς πράγμασιν ᾗ ἕκαστον ὑπάρχει τῶν τοιούτων, ἐπεὶ καὶ ᾗ θῆλυ τὸ ζῷον καὶ ᾗ ἄρρεν, ἴδια πάθη ἐστίν, καίτοι οὐκ ἔστι τι θῆλυ οὐδ' ἄρρεν κεχωρισμένον τῶν ζῴων· ὥστε καὶ ᾗ μήκη μόνον καὶ ᾗ ἐπίπεδα. καὶ ὅσῳ δὴ ἂν περὶ προτέρων τῷ λόγῳ καὶ ἁπλουστέρων, τοσούτῳ μᾶλλον ἔχει τἀκριβές· τοῦτο δὲ τὸ ἁπλοῦν ἐστίν. ὥστε ἄνευ τε μεγέθους μᾶλλον ἢ μετὰ μεγέθους, καὶ μάλιστα ἄνευ κινήσεως. ἐὰν δὲ κίνησιν, μάλιστα τὴν πρώτην· ἁπλουστάτη γάρ, καὶ ταύτης ἡ ὁμαλή. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὐδετέρα γὰρ ᾗ ὄψις ἢ ᾗ φωνὴ θεωρεῖ, ἀλλ' ᾗ γραμμαὶ καὶ ἀριθμοί· οἰκεῖα μέντοι ταῦτα πάθη ἐκείνων. καὶ ἡ μηχανικὴ δὲ ὡσαύτως. ὥστ' εἴ τις θέμενος κεχωρισμένα τῶν συμβεβηκότων σκοπεῖ τι περὶ τούτων ᾗ τοιαῦτα, οὐθὲν διὰ τοῦτο ψεῦδος ψεύσεται, ὥσπερ οὐδ' ὅταν ἐν τῇ γῇ γράφῃ καὶ τὴν ποδιαίαν φῇ μὴ ποδιαίαν· οὐ γὰρ ἐν ταῖς προτάσεσι τὸ ψεῦδος. ἄριστα δ' ἂν οὕτω θεωρηθείη ἕκαστον, εἴ τις τὸ μὴ κεχωρισμένον θείη χωρίσας, ὅπερ ὁ ἀριθμητικὸς ποιεῖ καὶ ὁ γεωμέτρης. ἓν μὲν γὰρ καὶ ἀδιαίρετον ὁ ἄνθρωπος ᾗ ἄνθρωπος· ὁ δ' ἔθετο ἓν ἀδιαίρετον, εἶτ' ἐθεώρησεν εἴ τι τῷ ἀνθρώπῳ συμβέβηκεν ᾗ ἀδιαίρετος. ὁ δὲ γεωμέτρης οὔθ' ᾗ ἄνθρωπος οὔθ' ᾗ ἀδιαίρετος, ἀλλ' ᾗ στερεόν. ἃ γὰρ κἂν εἰ μή που ἦν ἀδιαίρετος ὑπῆρχεν αὐτῷ, δῆλον ὅτι καὶ ἄνευ τούτων ἐνδέχεται αὐτῷ ὑπάρχειν τὸ δυνατόν. ὥστε διὰ τοῦτο ὀρθῶς οἱ γεωμέτραι λέγουσι, καὶ περὶ ὄντων διαλέγονται, καὶ ὄντα ἐστίν· διττὸν γὰρ τὸ ὄν, τὸ μὲν ἐντελεχείᾳ τὸ δ' ὑλικῶς. ἐπεὶ δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἕτερον (τὸ μὲν γὰρ ἀεὶ ἐν πράξει, τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις), οἱ φάσκοντες οὐθὲν λέγειν τὰς μαθηματικὰς ἐπιστήμας περὶ καλοῦ ἢ ἀγαθοῦ ψεύδονται. λέγουσι γὰρ καὶ δεικνύουσι μάλιστα· οὐ γὰρ εἰ μὴ ὀνομάζουσι, τὰ δ' ἔργα καὶ τοὺς λόγους δεικνύουσιν, οὐ λέγουσι περὶ αὐτῶν. τοῦ δὲ καλοῦ μέγιστα εἴδη τάξις καὶ συμμετρία καὶ τὸ ὡρισμένον, ἃ μάλισ[τα δεί]κνύουσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι. καὶ ἐπεί γε [...] αἴτια φαίνεται ταῦτα (λέγω δ' οἷον ἡ τάξις καὶ τ[ὸ ὡρισ]μένον), δῆλον ὅτι λέγοιεν ἂν καὶ τὴν τοιαύτην αἰ[τίαν] ὡς τὸ καλὸν αἴτιον τρόπον τινά. μᾶλλον δὲ γνωρ[ίμως ἐν] ἄλλοις περὶ αὐτῶν ἐροῦμεν.

Περὶ μὲν οὖν τῶν μαθηματικῶν, ὅτι τε ὄντα [...] πῶς ὄντα, καὶ πῶς πρότερα καὶ πῶς οὐ πρότερα, τ[...] εἰρήσθω. περὶ δὲ τῶν ἰδεῶν πρῶτον αὐτὴν τὴν κα[τὰ τὴν] ἰδέαν δόξαν ἐπισκεπτέον, μηθὲν συνάπτοντας πρὸς [...] ἀριθμῶν φύσιν, ἀλλ' ὡς ὑπέλαβον ἐξ ἀρχῆς οἱ [...] τὰς ἰδέας φήσαντες εἶναι. συνέβη δ' ἡ περὶ τῶ[ν εἰδῶν] δόξα τοῖς εἰποῦσι διὰ τὸ πεισθῆναι περὶ τῆς ἀληθε[ίας τοῖς] Ἡρακλειτείοις λόγοις ὡς πάντων τῶν αἰσθητῶν ἀ[εὶ ῥεόν]των, ὥστ' εἴπερ ἐπιστήμη τινὸς ἔσται καὶ φρόνησις, [ἑτέρας] δεῖν τινὰς φύσεις εἶναι παρὰ τὰς αἰσθητὰς μενού[σας· οὐ] γὰρ εἶναι τῶν ῥεόντων ἐπιστήμην. Σωκράτους δὲ π[ερὶ τὰς] ἠθικὰς ἀρετὰς πραγματευομένου καὶ περὶ τούτων ὁρ[ίζεσθαι] καθόλου ζητοῦντος πρώτου (τῶν μὲν γὰρ φυσικῶν ἐπὶ [μικρὸν] Δημόκριτος ἥψατο μόνον καὶ ὡρίσατό πως τὸ θερ[μὸν καὶ] τὸ ψυχρόν· οἱ δὲ Πυθαγόρειοι πρότερον περί τινων [ὀλίγων,] ὧν τοὺς λόγους εἰς τοὺς ἀριθμοὺς ἀνῆπτον, οἷον τί ἐστι [καιρὸς] ἢ τὸ δίκαιον ἢ γάμος), ἐκεῖνος εὐλόγως ἐζήτει τὸ [τί ἐστιν·] συλλογίζεσθαι γὰρ ἐζήτει, ἀρχὴ δὲ τῶν συλλογισ[μῶν τὸ] τί ἐστιν. διαλεκτικὴ γὰρ ἰσχὺς οὔπω τότ' ἦν, ὥστε δύ[νασθαι] καὶ χωρὶς τοῦ τί ἐστι τἀναντία ἐπισκοπεῖν, καὶ τῶ[ν ἐναν]τίων εἰ ἡ αὐτὴ ἐπιστήμη. δύο γάρ ἐστιν ἅ τις ἂν [ἀποδοίη] Σωκράτει δικαίως, τούς τ' ἐπακτικοὺς λόγους καὶ τὸ [ὁρίζε]σθαι καθόλου· ταῦτα γάρ ἐστιν ἄμφω περὶ ἀρχὴ[ν ἐπιστή]μης. ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου οὐ χωριστ[ὰ ἐποίει] οὐδὲ τοὺς ὁρισμούς· οἱ δ' ἐχώρισαν, καὶ τὰ τοιαῦ[τα τῶν] ὄντων ἰδέας προσηγόρευσαν. ὥστε συνέβαινεν αὐτο[ῖς σχε]δὸν τῷ αὐτῷ λόγῳ πάντων ἰδέας εἶναι τῶν καθόλ[ου λεγο]μένων, καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσ[αι βου]λόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ δύνασθαι, [πλείω] δὲ ποιήσας ἀριθμοίη· πλείω γάρ ἐστι τῶν καθ' [...]

1. ᾗ ἐστὶν ἑκάστου ὑγιεινὸν ὑγ. $EA^bG^bI^b$. ‖ 3. ᾗ om F^b. ‖ αἰσθητά] ἐστι τὰ G^b. ‖ 6. ἢ ἕκαστον G^b. ‖ 7. καὶ ᾗ] ἢ G^b. ‖ [...]ρισμένων TA^b. ‖ μήκη μόνον] μὴ κείμενον T, μὴ κινούμενον F^b. ‖ 9. τῶν λόγων G^b. ‖ 11. τε] τοῦ A^b. ‖ μᾶλλον om G^bI^b. ‖ 13. [...] EG^b. ‖ 15. ἡ ὄψις ἢ ἡ φωνὴ θεωρεῖ ἀλλ' αἱ γραμμαὶ G^b. ‖ 17. δὲ om G^bI^b. ‖ 21. θεωρήσει ἢ ἕκαστον T. ‖ 24. ὃ διέθετο [...] θεωρήσειν T. ‖ 26. οὔθ' ᾗ ἄνθρωπος om T. ‖ 27. ἦν] ᾗ T. ‖ 29. λέγουσιν οἱ γεωμέτραι T. ‖ 31. τό θ' G^b. ‖ 32. ἐν πράξει] [...] T. ‖ 35. εἰ γὰρ καὶ μὴ F^b.

5. μᾶλλον — 6. ἐροῦμεν om G^bI^b. ‖ 8. καὶ πῶς οὐ πρότερα om E. ‖ 10. συνάπτοντα T, συνάπτοντες G^bI^b. ‖ 12. συμβέβη[...] ἰδεῶν TG^bI^b. ‖ 15. καὶ om G^b. ‖ 18. πρὸ T. ‖ 22. λόγους εἰς τοὺς om T. ‖ 22 ἀνῆγον E. ‖ 23. ἐκείνως T, ἐκεῖνος δ' E. ‖ [...] G^b. ‖ 27. εἰ ἡ] ἢ ἡ A^b, εἴη T. ‖ αὕτη T. ‖ ἀποδῴη ETA^b. ‖ 28. ὁρίζεσθαι τὰ καθόλου F^b. ‖ 31. τὰ om G^b. ‖ 35. δυνήσε[...] G^bI^b. ‖ 36. ἕκαστον E.

αἰσθητῶν ὡς εἰπεῖν τὰ εἴδη, περὶ ὧν ζητοῦντες τὰς αἰτίας ἐκ τούτων ἐκεῖ προῆλθον· καθ' ἕκαστόν τε γὰρ ὁμώνυμόν ἐςι καὶ παρὰ τὰς ὐσίας, τῶν τε ἄλλων ἕν ἐςιν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις. ἔτι καθ' ὓς τρόπυς δείκνυται ὅτι ἔςι τὰ εἴδη, κατ' ὐθένα φαίνεται τύτων· ἐξ ἐνίων μὲν γὰρ ὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ ὐχ ὧν οἴονται τύτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τὺς ἐκ τῶν ἐπιςημῶν ἔςαι εἴδη πάντων ὅσων ἐπιςῆμαί εἰσιν, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τύτων ἐςίν. ἔτι δὲ οἱ ἀκριβέςατοι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φασιν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγυσιν. ὅλως τε ἀναιρῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ἃ μᾶλλον βύλονται εἶναι οἱ λέγοντες εἴδη τῦ τὰς ἰδέας εἶναι· συμβαίνει γὰρ μὴ εἶναι πρῶτον τὴν δυάδα ἀλλὰ τὸν ἀριθμόν, καὶ τούτου τὸ πρός τι καὶ τῦτο τῦ καθ' αὑτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολυθήσαντες ταῖς περὶ τῶν εἰδῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς. ἔτι κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἣν φασιν εἶναι τὰς ἰδέας ὐ μόνον τῶν ὐσιῶν ἔσονται εἴδη ἀλλὰ καὶ ἄλλων πολλῶν· τὸ γὰρ νόημα ἓν οὐ μόνον περὶ τὰς οὐσίας ἀλλὰ καὶ κατὰ μὴ οὐσιῶν ἔςαι, καὶ αἱ ἐπιςῆμαι οὐ μόνον τῆς οὐσίας ἔσονται· συμβαίνει δὲ καὶ ἄλλα μυρία τοιαῦτα. κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔςι μεθεκτὰ τὰ εἴδη, τῶν ὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ γὰρ κατὰ συμβεβηκός μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑκάςυ μετέχειν ᾗ μὴ καθ' ὑποκειμένου λέγεται. λέγω δ' οἷον εἴ τι αὐτοῦ διπλασίου μετέχει, τοῦτο καὶ ἀϊδίυ μετέχει, ἀλλὰ κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊδίῳ εἶναι. ὥςε ἔςαι ὐσία τὰ εἴδη. ταὐτὰ δ' ἐνταῦθα ὐσίαν σημαίνει κἀκεῖ· ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν; καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυάδων, καὶ τῶν δυάδων τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ δυὰς ἓν καὶ ταὐτόν, ἢ ἐπ' αὐτῆς καὶ τῆς τινός; εἰ δὲ μὴ τὸ αὐτὸ εἶδος, ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ ἂν εἴ τις καλοῖ ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγυς ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν, οἷον ἐπ' αὐτὸν τὸν κύκλον σχῆμα ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τῦ λόγυ, τὸ δ' οὗ ἐςὶ προςεθήσεται, σκοπεῖν δεῖ μὴ κενὸν ᾖ τῦτο παντελῶς. τίνι τε γὰρ προςεθήσεται; τῷ μέσῳ ἢ τῷ ἐπιπέδῳ ἢ πᾶσιν; πάντα γὰρ τὰ ἐν τῇ οὐσίᾳ ἰδέαι, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. ἔτι δῆλον ὅτι ἀνάγκη αὐτὸ εἶναί τι, ὥσπερ τὸ ἐπίπεδον φύσιν τινὰ ἣ πᾶσιν ἐνυπάρξει τοῖς εἴδεσιν ὡς γένος.

Πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις τί ποτε συμβάλλονται τὰ εἴδη ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ τοῖς φθειρομένοις· οὔτε γὰρ κινήσεώς ἐςιν οὔτε μεταβολῆς οὐδεμιᾶς αἴτια αὐτοῖς. ἀλλὰ μὴν οὐδὲ πρὸς τὴν ἐπιςήμην ὐθὲν βοηθεῖ τὴν τῶν ἄλλων· οὔτε γὰρ ὐσία ἐκεῖνα τύτων (ἐν τύτοις γὰρ ἂν ἦν)· ὔτ' εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν· ὕτω μὲν γὰρ ἴσως αἴτια δόξειεν ἂν εἶναι ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρότερος Εὔδοξος δ' ὕςερος ἔλεγε διαπορῶν καὶ ἕτεροί τινες· ῥᾴδιον γὰρ πολλὰ συναγαγεῖν καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν. ἀλλὰ μὴν οὐδ' ἐκ τῶν εἰδῶν ἔστι τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐςι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεταί τε καὶ εἶναι καὶ γίγνεσθαι ὁτιῦν καὶ μὴ εἰκαζόμενον, ὥςε καὶ ὄντος Σωκράτυς καὶ μὴ ὄντος γένοιτ' ἂν οἷον Σωκράτης. ὁμοίως δὲ δῆλον ὅτι κἂν εἴη ὁ Σωκράτης ἀΐδιος, ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥςε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ αὐτοάνθρωπος. ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν, οἷον τὸ γένος τῶν ὡς γένους εἰδῶν· ὥςε τὸ αὐτὸ ἔςαι παράδειγμα καὶ εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον χωρὶς εἶναι τὴν οὐσίαν καὶ οὗ ἡ ὐσία·

1. ὡς εἰπεῖν om G^bI^b. ‖ 2. καθ'] παρ' G^bI^b. ‖ 3. ἄλλων ἔνεςιν *ET*. ‖ 6. συλλογισμούς G^b. ‖ 7. ἤδη G^bI^b. ‖ 11. τῦτ' *E*. ‖ 13. αὐτὰ G^b. ‖ 17. τύτυ τὸ G^b, τὸ A^b. ‖ 18. ἰδεῶν *T*. ‖ 20. εἶναι φασιν G^bI^b. ‖ ὐ μόνον τῶν ὐσιῶν et 21. ἀλλὰ καὶ om *ET*. ‖ 21. ἄλλων] ἄλλων τε *T*, ἑτέρων A^b. ‖ 22. κατὰ] τὰ G^b. ‖ ἐςὶ TA^b, ἔςαι ὅσα μὴ οὕτως ἐςί I^b. ‖ αἱ om A^b. ‖ 24. μόρια *T*. ‖ 27. δὴ G^b. ‖ αὐτὴν A^b. ‖ 28. λέγονται $ETA^bG^bI^b$. ‖ εἴτι om G^b. ‖ 29. καὶ αὐτοδιπλασίυ *E*. ‖ 30. ἀΐδιον A^b. ‖ 31. ἢ *T*. ‖ 32. ἔσται om *T*. ‖ 34. φθαρτῶν τῶν δυάδων *T*. ‖ 35. καὶ τῶν δυάδων om G^b. ‖ 36. ἐπὶ ταύτης G^bI^b. ‖ τῆς om *T*.

1. ὁμωνυμία *T*. ‖ 2. καλοίοι A^b. ‖ 5. τὸν om G^bI^b. ‖ κύκλον] ὃ A^b. ‖ 6. τὰ δ' οὐκέτι προςεθήσεται *T*, τὸ δ' οὐκ ἔςι προςεθήσεται I^b. ‖ 14. τοῖς om G^bI^b. ‖ ἐςιν post 15. ὐδεμιᾶς G^bI^b. ‖ 15. αἰτία *E*. ‖ 16. συντελεῖ G^bI^b. ‖ τὴν om G^b. ‖ 17. ἂν om G^b. ‖ 19. ἂν om A^b. ‖ ὡς om *E*. ‖ 21. ἔλεγέ γε διαπορῶν *E*. ‖ 25. δέ γε λέγειν I^b. ‖ 27. ἀποβλέπων A^b, ἀποβλέπειν *T*. ‖ 28. καὶ post τι om *T*. ‖ 29. ὄντος τῦ σωκράτυς G^bI^b. ‖ οἷον] ὁ *T*. ‖ 30. ὁ om *E*. ‖ 32. καὶ ὁ αὐτοάνθρωπος G^bI^b.

ὥςε πῶς ἂν αἱ ἰδέαι ὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; ἐν δὲ τῷ Φαίδωνι τῦτον λέγεται τὸν τρόπον, ὡς καὶ τῦ εἶναι καὶ τῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐςίν. καίτοι τῶν εἰδῶν ὄντων ὅμως οὐ γίγνεται, ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φασιν εἶναι εἴδη. ὥστε δῆλον ὅτι ἐνδέχεται κἀκεῖνα ὧν φασὶν ἰδέας εἶναι, καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας οἵας καὶ τὰ ῥηθέντα νῦν, ἀλλ' οὐ διὰ τὰ εἴδη. ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεςέρων λόγων ἔςι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις.

6 Ἐπεὶ δὲ διώρισται περὶ τούτων, καλῶς ἔχει πάλιν θεωρῆσαι τὰ περὶ τὺς ἀριθμὺς συμβαίνοντα τοῖς λέγουσιν ὐσίας αὐτὺς εἶναι χωριςὰς καὶ τῶν ὄντων αἰτίας πρώτας. ἀνάγκη δ', εἴπερ ἐςὶν ὁ ἀριθμὸς φύσις τις καὶ μὴ ἄλλη τίς ἐςιν αὐτοῦ ἡ ὐσία ἀλλὰ τῦτ' αὐτό, ὥσπερ φασί τινες, ἤτοι εἶναι τὸ μὲν πρῶτόν τι αὐτοῦ τὸ δ' ἐχόμενον, ἕτερον ὂν τῷ εἴδει ἕκαςον. καὶ τοῦτο ἢ ἐπὶ τῶν μονάδων εὐθὺς ὑπάρχει καὶ ἔστιν ἀσύμβλητος ὁποιαοῦν μονὰς ὁποιᾳοῦν μονάδι· ἢ εὐθὺς ἐφεξῆς πᾶσαι καὶ συμβληταὶ ὁποιαιοῦν ὁποιαισοῦν, οἷον λέγουσιν εἶναι τὸν μαθηματικὸν ἀριθμόν· ἐν γὰρ τῷ μαθηματικῷ ὐθὲν διαφέρει ὐδεμία μονὰς ἑτέρα ἑτέρας. ἢ τὰς μὲν συμβλητὰς τὰς δὲ μή, οἷον εἰ ἔστι μετὰ τὸ ἓν πρώτη ἡ δυάς, ἔπειτα ἡ τριὰς καὶ ὕτω δὴ ὁ ἄλλος ἀριθμός. εἰσὶ δὲ συμβληταὶ αἱ ἐν ἑκάστῳ ἀριθμῷ μονάδες, οἷον αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ αὑταῖς, καὶ ἐν τῇ τριάδι τῇ πρώτῃ αὑταῖς, καὶ οὕτω δὴ ἐπὶ τῶν ἄλλων ἀριθμῶν· αἱ δ' ἐν τῇ δυάδι αὐτῇ πρὸς τὰς ἐν τῇ τριάδι αὐτῇ ἀσύμβλητοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐφεξῆς ἀριθμῶν. διὸ καὶ ὁ μὲν μαθηματικὸς ἀριθμεῖται μετὰ τὸ ἓν δύο, πρὸς τῷ ἔμπροσθεν ἑνὶ ἄλλο ἕν, καὶ τὰ τρία πρὸς τοῖς δυσὶ τούτοις ἄλλο ἕν, καὶ ὁ λοιπὸς δὲ ὡσαύτως· ὗτος δὲ μετὰ τὸ ἓν δύο ἕτερα ἄνευ τῦ ἑνὸς τῦ πρώτου, καὶ ἡ τριὰς ἄνευ τῆς δυάδος, ὁμοίως δὲ καὶ ὁ ἄλλος ἀριθμός. ἢ τὸν μὲν εἶναι τῶν ἀριθμῶν οἷος ὁ πρῶτος ἐλέχθη, τὸν δ' οἷον οἱ μαθηματικοὶ λέγουσι, τρίτον δὲ τὸν ῥηθέντα τελευταῖον. ἔτι τούτους ἢ χωριςὺς εἶναι τοὺς ἀριθμὺς τῶν πραγμάτων, ἢ ὐ χωριςὺς ἀλλ' ἐν τοῖς αἰσθητοῖς, ὐχ ὕτως δ' ὡς τὸ πρῶτον ἐπεσκοπῦμεν, ἀλλ' ὡς ἐκ τῶν ἀριθμῶν ἐνυπαρχόντων ὄντα τὰ αἰσθητά· ἢ τὸν μὲν αὐτῶν εἶναι τὸν δὲ μή, ἢ πάντας εἶναι. οἱ μὲν ὖν τρόποι καθ' ὓς ἐνδέχεται αὐτὺς εἶναι ὗτοί εἰσιν ἐξ ἀνάγκης μόνοι. σχεδὸν δὲ καὶ οἱ λέγοντες τὸ ἓν ἀρχὴν εἶναι καὶ οὐσίαν καὶ ςοιχεῖον πάντων, καὶ ἐκ τούτου καὶ ἄλλυ τινὸς εἶναι τὸν ἀριθμόν, ἕκαςος τύτων τινὰ τῶν τρόπων εἴρηκε, πλὴν τῦ πάσας τὰς μονάδας εἶναι ἀσυμβλήτυς. καὶ τῦτο συμβέβηκεν εὐλόγως· ὐ γὰρ ἐνδέχεται ἔτι ἄλλον τρόπον εἶναι παρὰ τὺς εἰρημένυς. οἱ μὲν ὖν ἀμφοτέρυς φασὶν εἶναι τὺς ἀριθμύς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ ὕςερον τὰς ἰδέας, τὸν δὲ μαθηματικὸν παρὰ τὰς ἰδέας καὶ τὰ αἰσθητά, καὶ χωριςὺς ἀμφοτέρυς τῶν αἰσθητῶν· οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων κεχωρισμένον τῶν αἰσθητῶν. καὶ οἱ Πυθαγόρειοι δ' ἕνα τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς ὐσίας συνεςάναι φασίν· τὸν γὰρ ὅλον ὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ μοναδικῶν, ἀλλὰ τὰς μονάδας ὑπολαμβάνυσιν ἔχειν μέγεθος· ὅπως δὲ τὸ πρῶτον ἓν συνέςη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν. ἄλλος δέ τις τὸν πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν ἕνα εἶναι, ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον εἶναι. ὁμοίως δὲ καὶ περὶ τὰ μήκη καὶ περὶ τὰ ἐπίπεδα καὶ περὶ τὰ ςερεά. οἱ μὲν γὰρ ἕτερα τὰ μαθηματικὰ καὶ τὰ μετὰ τὰς ἰδέας· τῶν δ' ἄλλως λεγόντων οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμοὺς μηδὲ εἶναί φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικά, ὐ μαθηματικῶς δέ· οὐ γὰρ τέμνεσθαι οὔτε μέγεθος πᾶν εἰς μεγέθη, οὔθ' ὁποιασῦν μονάδας δυάδα εἶναι. μοναδικὺς δὲ τὺς ἀριθμὺς εἶναι πάντες τιθέασι, πλὴν τῶν Πυθαγορείων, ὅσοι τὸ ἓν στοιχεῖον καὶ ἀρχήν φασιν εἶναι τῶν ὄντων· ἐκεῖνοι δ' ἔχοντα μέγεθος, καθάπερ εἴρηται πρότερον. ὁσαχῶς μὲν οὖν ἐνδέχεται λεχθῆναι περὶ αὐτῶν, καὶ ὅτι πάντες εἰσὶν εἰρημένοι οἱ τρόποι, φανερὸν ἐκ τύτων· ἔςι δὲ πάντα μὲν ἀδύνατα, μᾶλλον δ' ἴσως θάτερα τῶν ἑτέρων.

Πρῶτον μὲν ὖν σκεπτέον εἰ συμβληταὶ αἱ μονάδες ἢ

3. τὰ om T. ‖ 8. οἵας] δι' οἵας G^bI^b. ‖ 10. διαλεκτικωτέρων E. ‖ 14. αὐτοῖς E. ‖ 15. ὁ ἀριθμὸς om T. ‖ 16. αὐτοῦ ἐςὶν T. ‖ 17. ἐνδεχόμενον T. ‖ 20. ὁποῖαι TA^b. ‖ 22. ἑτέρα om G^b. ‖ 23. μὲν οἷον συμβλητὰς T. ‖ 25. αἱ post ἀριθμῷ A^b. ‖ 26. αἱ om T. ‖ καὶ — 27. αὑταῖς om G^b. ‖ 26. ἐν] αἱ ἐν A^b. ‖ 28. πρὸς — 29. αὐτῇ om G^b. ‖ 32. δὲ om G^b. ‖ 35. τὴν G^b. ‖ οἷον T. ‖ 36. οἱ om A^b. ‖ 37. τῶν πραγμάτων τοὺς ἀριθμὺς G^bI^b.

2. ἐπεσκόπυν A^b. ‖ 4. αὐτὸν E. ‖ ἢ πάντας om G^bI^b. ‖ 8. τρόπων] πρώτων G^b. ‖ 9. εἶναι om ETG^bI^b. ‖ 10. ἔτι om G^b. ‖ 12. τῆς G^b. ‖ 13. τὸν — ἰδέας om G^b. ‖ 15. κεχωρισμένων A^bG^b. ‖ 19. μοναδικὸν G^bI^b. ‖ 24. τὰ ante ςερεά om G^b. ‖ 25. τὰ μετὰ] τῶν μετὰ G^bI^b. ‖ 29. δέ om G^bI^b. ‖ 30. μονάδος G^b. ‖ 33. ἔχοντας rc E, ἔχον G^b. ‖ 35. ἔτι T.

λητοι, καὶ εἰ ἀσύμβλητοι, ποτέρως ὥσπερ διείλομεν.
ἐν γὰρ ὁποιανῦν εἶναι ὁποιᾳοῦν μονάδι ἀσύμβλητον,
τὰς ἐν αὐτῇ τῇ δυάδι πρὸς τὰς ἐν αὐτῇ τῇ τριάδι,
τως δὴ ἀσυμβλήτους εἶναι τὰς ἐν ἑκάστῳ τῷ πρώτῳ
πρὸς ἀλλήλας. εἰ μὲν οὖν πᾶσαι συμβληταὶ καὶ
ροι αἱ μονάδες, ὁ μαθηματικὸς γίγνεται ἀριθμὸς καὶ
νος, καὶ τὰς ἰδέας οὐκ ἐνδέχεται εἶναι τοὺς ἀριθμούς.
γὰρ ἔσται ἀριθμὸς αὐτοάνθρωπος ἢ ζῷον ἢ ἄλλο
ῶν εἰδῶν; ἰδέα μὲν γὰρ μία ἑκάστου, οἷον αὐτοῦ ἀν-
μία καὶ αὐτοῦ ζῴου ἄλλη μία· οἱ δ' ὅμοιοι καὶ
ροι ἄπειροι, ὥστ' οὐθὲν μᾶλλον ἥδε ἡ τριὰς αὐτοάν-
ἢ ὁποιαοῦν. εἰ δὲ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, οὐδ'
ιόν τε αὐτὰς εἶναι. ἐκ τίνων γὰρ ἔσονται ἀρχῶν αἱ
ὁ γὰρ ἀριθμός ἐστιν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος τῆς
καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα λέγονται τοῦ ἀριθμοῦ
τάξαι τε οὔτε προτέρας ἐνδέχεται τῶν ἀριθμῶν αὐτὰς
ρας. εἰ δ' ἀσύμβλητοι αἱ μονάδες, καὶ οὕτως ἀσύμ-
ὥστε ἡτισοῦν ἡτινιοῦν, οὔτε τὸν μαθηματικὸν ἐνδέχεται
οῦτον τὸν ἀριθμόν (ὁ μὲν γὰρ μαθηματικὸς ἐξ ἀδια-
, καὶ τὰ δεικνύμενα κατ' αὐτοῦ ὡς ἐπὶ τοιούτου ἀρ-
) οὔτε τὸν τῶν εἰδῶν· οὐ γὰρ ἔσται ἡ δυὰς πρώτη ἐκ
καὶ τῆς ἀορίστου δυάδος, ἔπειτα οἱ ἑξῆς ἀριθμοὶ ὡς
, δυάς, τριάς, τετράς· ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ
μονάδες γεννῶνται, εἴτε ὥσπερ ὁ πρῶτος εἰπὼν ἐξ
(ἰσασθέντων γὰρ ἐγένοντο) εἴτε ἄλλως. ἔπειτα εἰ
ἡ ἑτέρα μονὰς τῆς ἑτέρας προτέρα, καὶ τῆς δυάδος
τούτων ἔσται προτέρα· ὅταν γὰρ ᾖ τι τὸ μὲν πρότε-
δ' ὕστερον, καὶ τὸ ἐκ τούτων τοῦ μὲν ἔσται πρότερον
' ὕστερον. ἔτι ἐπειδή ἐστι πρῶτον μὲν αὐτὸ τὸ ἕν,
τῶν ἄλλων ἐστί τι πρῶτον ἕν, δεύτερον δὲ μετ'
καὶ πάλιν τρίτον, τὸ δεύτερον μὲν μετὰ τὸ δεύτερον,
δὲ μετὰ τὸ πρῶτον ἕν· ὥστε πρότεραι ἂν εἶεν αἱ
ς ἢ οἱ ἀριθμοὶ ἐξ ὧν πλέκονται, οἷον ἐν τῇ δυάδι
μονὰς ἔσται πρὶν τὰ τρία εἶναι, καὶ ἐν τῇ τριάδι τε-
καὶ ἡ πέμπτη πρὶν τοὺς ἀριθμοὺς τούτους. οὐθεὶς μὲν οὖν
όπον τοῦτον εἴρηκεν αὐτῶν τὰς μονάδας ἀσυμβλήτους,
κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς εὔλογον καὶ οὕτως,

κατὰ μέντοι τὴν ἀλήθειαν ἀδύνατον. τάς τε γὰρ μονάδας προτέρας καὶ ὑστέρας εἶναι εὔλογον, εἴπερ καὶ πρώτη τίς ἐστι μονὰς καὶ ἓν πρῶτον, ὁμοίως δὲ καὶ δυάδας, εἴπερ καὶ δυὰς πρώτη ἐστίν· μετὰ γὰρ τὸ πρῶτον εὔλογον καὶ ἀναγκαῖον δεύτερόν τι εἶναι, καὶ εἰ δεύτερον, τρίτον, καὶ οὕτω δὴ τὰ ἄλλα ἐφεξῆς. ἅμα δ' ἀμφότερα λέγειν, μονάδα τε μετὰ τὸ ἓν πρώτην εἶναι καὶ δευτέραν, καὶ δυάδα πρώτην, ἀδύνατον. οἱ δὲ ποιοῦσι μονάδα μὲν καὶ ἓν πρῶτον, δεύτερον δὲ καὶ τρίτον οὐκέτι, καὶ δυάδα πρώτην, δευτέραν δὲ καὶ τρίτην οὐκέτι. φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχεται, εἰ ἀσύμβλητοι πᾶσαι αἱ μονάδες, δυάδα εἶναι αὐτὴν καὶ τριάδα καὶ οὕτω τοὺς ἄλλους ἀριθμούς. ἄν τε γὰρ ὦσιν ἀδιάφοροι αἱ μονάδες ἄν τε διαφέρουσαι ἑκάστη ἑκάστης, ἀνάγκη ἀριθμεῖσθαι τὸν ἀριθμὸν κατὰ πρόσθεσιν, οἷον τὴν δυάδα πρὸς τῷ ἑνὶ ἄλλου ἑνὸς προστεθέντος, καὶ τὴν τριάδα ἄλλου ἑνὸς πρὸς τοῖς δυσὶ προστεθέντος, καὶ τὴν τετράδα ὡσαύτως. τούτων δὲ ὄντων ἀδύνατον τὴν γένεσιν εἶναι τῶν ἀριθμῶν, ὡς γεννῶσιν ἐκ τῆς δυάδος καὶ τοῦ ἑνός· μόριον γὰρ γίγνεται ἡ δυὰς τῆς τριάδος καὶ αὕτη τῆς τετράδος· τὸν αὐτὸν δὲ τρόπον συμβαίνει καὶ ἐπὶ τῶν ἐχομένων. ἀλλ' ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος ἐγίγνετο ἡ τετράς, δύο δυάδες παρ' αὐτὴν τὴν δυάδα· εἰ δὲ μή, μόριον ἔσται αὕτη ἡ δυάς, ἑτέρα δὲ προσέσται μία δυάς, καὶ ἡ δυὰς ἔσται ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόν τ' εἶναι τὸ ἕτερον στοιχεῖον δυάδα ἀόριστον· μονάδα γὰρ μίαν γεννᾷ, ἀλλ' οὐ δυάδα ὡρισμένην. ἔτι παρ' αὐτὴν τὴν τριάδα καὶ αὐτὴν τὴν δυάδα πῶς ἔσονται ἄλλαι τριάδες καὶ δυάδες; καὶ τίνα τρόπον ἐκ προτέρων μονάδων καὶ ὑστέρων σύγκεινται; πάντα γὰρ ταῦτ' ἐστὶ καὶ πλασματώδη, καὶ ἀδύνατον εἶναι πρώτην δυάδα, εἶτ' αὐτὴν τριάδα. ἀνάγκη δ', ἐπείπερ ἔσται τὸ ἓν καὶ ἡ ἀόριστος δυὰς στοιχεῖα. εἰ δ' ἀδύνατα τὰ συμβαίνοντα, καὶ τὰς ἀρχὰς εἶναι ταύτας ἀδύνατον. εἰ μὲν οὖν διάφοροι αἱ μονάδες ὁποιαιοῦν ὁποιαισοῦν, ταῦτα καὶ τοιαῦθ' ἕτερα συμβαίνει ἐξ ἀνάγκης. εἰ δ' αἱ μὲν ἐν ἄλλῳ διάφοροι, αἱ δ' ἐν τῷ αὐτῷ ἀριθμῷ ἀδιάφοροι ἀλλήλαις μόναι, καὶ οὕτως οὐθὲν ἐλάττω συμβαίνει τὰ δυσχερῆ.

πότερον T. ‖ 2. μὲν et 5. ἀριθμῷ om G^b. ‖ 6. μαθητικὸς A^b. ‖ 8. ὁποῖος T. ‖ ἀριθμὸς ἔσται I^b. ‖ 9. αὐτοανθρώπου μία καὶ
ου E. ‖ 16. τάξει T. ‖ 20. τούτοις T. ‖ 25. ἰσασθέντα G^b. ‖ ἐγένετο T. ‖ 26. ἡ et τῆς om G^bI^b. ‖ καὶ] καὶ διὰ G^b. ‖ 30.
A^b. ‖ 31. μὲν] δὲ T. ‖ 33. λέγονται E. ‖ 34. καὶ om G^b. ‖ 35. πλὴν T. ‖ 36. post ἀσυμβλήτους T εἶναι. ‖ 37. ἔστι om
‖ ἀρχὰς] γραφὰς G^b. ‖ καὶ] καὶ τοῦτον T.
καὶ δυάδας δὲ ὁμοίως A^b. ‖ 6. δὴ et ἄλλα om G^bI^b. ‖ 7. εἶναι om G^b. ‖ 10. δὲ prius om G^b. ‖ 12. ἄλλους om A^bG^b. ‖
δυάδι G^b, τῇ δυάδα I^b. ‖ 15 et 16. προτεθέντος A^b. ‖ 15. καὶ — 16. προστεθέντος om T. ‖ 20. δὲ om G^b. ‖ 26. μίαν οὐ
G^b. ‖ 27. καὶ τὴν αὐτὴν δ. G^b. ‖ 28. ἄλλαι om G^bI^b. ‖ 30. εἰσὶ A^b. ‖ πρώτως G^b. ‖ 31. καὶ om G^b. ‖ 33. ταύτας εἶναι T.

οἷον γὰρ ἐν τῇ δεκάδι αὐτῇ ἔνεισι δέκα μονάδες, σύγκειται δὲ καὶ ἐκ τούτων καὶ ἐκ δύο πεντάδων ἡ δεκάς. ἐπεὶ δ' οὐχ ὁ τυχὼν ἀριθμὸς αὕτη ἡ δεκάς, οὐδὲ σύγκειται ἐκ τῶν τυχουσῶν πεντάδων, ὥσπερ οὐδὲ μονάδων, ἀνάγκη διαφέρειν τὰς μονάδας τὰς ἐν τῇ δεκάδι ταύτῃ. ἂν γὰρ μὴ διαφέρωσιν, οὐδ' αἱ πεντάδες διοίσουσιν ἐξ ὧν ἐστὶν ἡ δεκάς· ἐπεὶ δὲ διαφέρουσι, καὶ αἱ μονάδες διοίσουσιν. εἰ δὲ διαφέρουσι, πότερον οὐκ ἐνέσονται πεντάδες ἄλλαι ἀλλὰ μόνον αὗται αἱ δύο, ἢ ἔσονται; εἴτε δὲ μὴ ἐνέσονται, ἄτοπον· εἴτ' ἐνέσονται, ποία ἔσται δεκὰς ἐξ ἐκείνων; οὐ γάρ ἐστιν ἑτέρα δεκὰς ἐν τῇ δεκάδι παρ' αὐτήν. ἀλλὰ μὴν καὶ ἀνάγκη γε μὴ ἐκ τῶν τυχουσῶν δυάδων τὴν τετράδα συγκεῖσθαι· ἡ γὰρ ἀόριστος δυάς, ὥς φασι, λαβοῦσα τὴν ὡρισμένην δυάδα δύο δυάδας ἐποίησεν· τοῦ γὰρ ληφθέντος ἦν δυοποιός. ἔτι τὸ εἶναι παρὰ τὰς δύο μονάδας τὴν δυάδα φύσιν τινά, καὶ τὴν τριάδα παρὰ τὰς τρεῖς μονάδας, πῶς ἐνδέχεται; ἢ γὰρ μεθέξει θατέρου θάτερον, ὥσπερ λευκὸς ἄνθρωπος παρὰ λευκὸν καὶ ἄνθρωπον (μετέχει γὰρ τούτων), ἢ ὅταν ᾖ θατέρου θάτερον διαφορά τις, ὥσπερ ὁ ἄνθρωπος παρὰ ζῷον καὶ δίπουν. ἔτι τὰ μὲν ἁφῇ ἐστὶν ἕν, τὰ δὲ μίξει, τὰ δὲ θέσει· ὧν οὐθὲν ἐνδέχεται ὑπάρχειν ταῖς μονάσιν ἐξ ὧν ἡ δυὰς καὶ ἡ τριάς· ἀλλ' ὥσπερ οἱ δύο ἄνθρωποι οὐχ ἕν τι παρ' ἀμφοτέρους, οὕτως ἀνάγκη καὶ τὰς μονάδας. καὶ οὐχ ὅτι ἀδιαίρετοι, διοίσουσι διὰ τοῦτο· καὶ γὰρ αἱ στιγμαὶ ἀδιαίρετοι, ἀλλ' ὅμως παρὰ τὰς δύο οὐθὲν ἕτερον ἡ δυὰς αὐτῶν. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι συμβαίνει προτέρας καὶ ὑστέρας εἶναι δυάδας, ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμούς. αἱ μὲν γὰρ ἐν τῇ τετράδι δυάδες ἔστωσαν ἀλλήλαις ἅμα· ἀλλ' αὗται τῶν ἐν τῇ ὀκτάδι πρότεραί εἰσι, καὶ ἐγέννησαν, ὥσπερ ἡ δυὰς ταύτας, αὗται τὰς τετράδας τὰς ἐν τῇ ὀκτάδι αὐτῇ. ὥστε εἰ καὶ ἡ πρώτη δυὰς ἰδέα, καὶ αὗται ἰδέαι τινὲς ἔσονται. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν μονάδων· αἱ γὰρ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶσι τὰς τέτταρας τὰς ἐν τῇ τετράδι, ὥστε πᾶσαι αἱ μονάδες ἰδέαι γίγνονται καὶ συγκείσεται ἰδέα ἐξ ἰδεῶν. ὥστε δῆλον ὅτι κἀκεῖνα, ὧν ἰδέαι αὗται τυγχάνουσιν οὖσαι, συγκείμενα ἔσται, οἷον εἰ τὰ ζῷα φαίη τις συγκεῖσθαι ἐκ ζῴων, εἰ τούτων ἰδέαι εἰσίν. ὅλως δὲ τὸ ποιεῖν τὰς μονάδας διαφόρους ὁπωσοῦν ἄτοπον καὶ πλασματῶδες (λέγω δὲ πλασματῶδες τὸ πρὸς ὑπόθεσιν βεβιασμένον)· οὔτε γὰρ κατὰ τὸ ποσὸν οὔτε κατὰ τὸ ποιὸν ὁρῶμεν διαφέρουσαν μονάδα μονάδος, ἀνάγκη τε ἢ ἴσον ἢ ἄνισον εἶναι ἀριθμόν, πάντα μὲν ἀλλὰ μάλιστα τὸν μοναδικόν. ὥστ' εἰ μήτε πλείων μήτ' ἐλάττων, ἴσος· τὰ δ' ἴσα καὶ ὅλως ἀδιάφορα ταὐτὰ ὑπολαμβάνομεν ἐν τοῖς ἀριθμοῖς. εἰ δὲ μή, οὐδ' αἱ ἐν ταύτῃ τῇ δεκάδι δυάδες ἀδιάφοροι ἔσονται ἴσαι οὖσαι· τίνα γὰρ αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι; ἔτι εἰ ἅπασα μονὰς καὶ μονὰς ἄλλη δύο, ἡ δ' ἐκ τῆς δυάδος αὐτῆς μονὰς καὶ ἡ ἐκ τῆς τριάδος αὐτῆς δυὰς ἔσται ἐκ διαφερουσῶν τε, καὶ πότερον προτέρα τῆς τριάδος ἢ ὑστέρα; μᾶλλον γὰρ ἔοικε προτέραν ἀναγκαῖον εἶναι· ἡ μὲν γὰρ ἅμα τῇ τριάδι, ἡ δ' ἅμα τῇ δυάδι τῶν μονάδων. καὶ ἡμεῖς μὲν ὑπολαμβάνομεν ὅλως ἓν καὶ ἕν, καὶ ἐὰν ᾖ ἴσα ἢ ἄνισα, δύο εἶναι, οἷον τἀγαθὸν καὶ τὸ κακόν, καὶ ἄνθρωπον καὶ ἵππον· οἱ δ' οὕτως λέγοντες οὐδὲ τὰς μονάδας. εἴτε δὲ μή ἐστι πλείων ἀριθμὸς ὁ τῆς τριάδος αὐτῆς ἢ ὁ τῆς δυάδος, θαυμαστόν· εἴτε ἐστὶ πλείων, δῆλον ὅτι καὶ ἴσος ἔνεστι τῇ δυάδι, ὥστε οὗτος ἀδιάφορος αὐτῇ τῇ δυάδι. ἀλλ' οὐκ ἐνδέχεται, εἰ πρῶτός τις ἐστιν ἀριθμὸς καὶ δεύτερος· οὐδὲ ἔσονται αἱ ἰδέαι ἀριθμοί. τοῦτο μὲν γὰρ αὐτὸ ὀρθῶς λέγουσιν οἱ διαφόρους τὰς μονάδας ἀξιοῦντες εἶναι, εἴπερ ἰδέαι ἔσονται, ὥσπερ εἴρηται πρότερον· ἓν γὰρ τὸ εἶδος. αἱ δὲ μονάδες εἰ ἀδιάφοροι, καὶ αἱ δυάδες καὶ αἱ τριάδες ἔσονται ἀδιάφοροι. διὸ καὶ τὸ ἀριθμεῖσθαι οὕτως, ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἀναγκαῖον αὐτοῖς λέγειν· οὔτε γὰρ ἡ γένεσις ἔσται ἐκ τῆς ἀορίστου δυάδος, οὔτ' ἰδέαν ἐνδέχεται εἶναι· ἐνυπάρξει γὰρ ἑτέρα ἰδέα ἐν ἑτέρᾳ, καὶ πάντα τὰ εἴδη ἑνὸς μέρη. διὸ πρὸς μὲν τὴν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ὅλως δ' οὐκ ὀρθῶς· πολλὰ γὰρ ἀναιροῦσιν, ἐπεὶ τοῦτό γ' αὐτὸ ἔχειν τινὰ φήσουσιν ἀπορίαν, πότερον, ὅταν ἀριθμῶμεν καὶ εἴπωμεν ἓν δύο τρία, προσλαμβάνοντες ἀριθμοῦμεν ἢ κατὰ μερίδας. ποιοῦμεν δὲ ἀμφοτέρως· διὸ γελοῖον ταύτην εἰς τηλικαύτην τῆς οὐσίας ἀνάγειν διαφοράν.

1. οἱ A^b. ‖ 3. δ' ὁ τυχὼν T. ‖ 5. τὰς ante ἐν om A^b. ‖ 6. πεμπτάδες T. ‖ 7. δὲ διαφέρουσι post ἐπεὶ om G^b. ‖ 8. οὐκ ἔσονται G^bI^b, οὐχ ἓν ἔσονται T. idem 9 et 10. ἓν ἔσονται. ‖ 8. πεμπτάδες E. ‖ 9. αἱ om EG^bI^b. ‖ δὴ A^b. ‖ 10. δυὰς G^b. ‖ 15. δυάδα] δύναμιν G^b. ‖ 17. εἰ T. ‖ 18. ταὐτῶν T. ‖ 20. παρὰ τὸ ζῷον T. ‖ 25. ἀδιαίρετον A^b. ‖ 27. ὁμοίους G^b. ‖ 28. αἱ] εἰ G^b. ‖ 31. ὀκτάδι E. ‖ 32. ἡ om EA^b. ‖ ἰδέαι TA^b. ‖ 35. συγκείσονται ἰδέαι G^bI^b. ‖ 36. ἐξ om G^b.

1. ἰδέαι] ἐκ ζῴων ἰδέαι $A^bG^bI^b$. ‖ 5. μονάδα om A^b. ‖ τε] τε καὶ G^bI^b. ‖ 7. ἴσος· τὰ δ' ἴσα] ἴσος τὰ δὲ ἴσως T, ἴσως τὰ δίκαια G^b. ‖ 10. λέγειν om G^b. ‖ 12. δ' om A^b. ‖ 14. ὑστεραία G^b. ‖ γὰρ] μὲν γὰρ G^b. ‖ 19. οἱ] οὐ ET. ‖ δὴ G^b. ‖ 21. πλείω A^b. ‖ 22. δεκάδι ἀλλ' G^b. ‖ 27. εἰ om T. ‖ διάφοροι G^b. ‖ ἔσονται om T. ‖ 30. οὔτ' ἰδέαν] οὔτε δὲ ἂν T. ‖ 34. γ' om G^b. ‖ 36. κατὰ τὰς μερίδας G^bI^b. ‖ 37. τῆς οὐσίας om G^b.

ων δὲ πρῶτον καλῶς ἔχει διορίσασθαι τίς ἀριθμȣ̃
αὶ μονάδος, εἰ ἔϛιν. ἀνάγκη δὴ ἢ κατὰ τὸ πο-
ὶ τὸ ποιὸν διαφέρειν· τȣ́των δ' ȣ̓δέτερον φαίνεται
ὑπάρχον. ἀλλ' ᾗ ἀριθμός, κατὰ τὸ ποσόν. εἰ
αἱ μονάδες τῷ ποσῷ διέφερον, κἂν ἀριθμὸς
φερεν ὁ ἴσος τῷ πλήθει τῶν μονάδων. ἔτι πό-
οῦται μείζους ἢ ἐλάττȣς, καὶ αἱ ὕϛερον ἐπιδι-
τοὐναντίον; πάντα γὰρ ταῦτα ἄλογα. ἀλλὰ
κατὰ τὸ ποιὸν διαφέρειν ἐνδέχεται. οὐθὲν γὰρ
ν τε ὑπάρχειν πάθος· ὕστερον γὰρ καὶ τοῖς
ασὶν ὑπάρχειν τὸ ποιὸν τοῦ ποσȣ̃. ἔτι οὔτ' ἂν
ς τȣ̃τ' αὐταῖς γένοιτο οὔτ' ἂν ἀπὸ τῆς δυάδος·
ρ οὐ ποιόν, ἡ δὲ ποσὸν ποιόν· τοῦ γὰρ πολλὰ
ναι αἰτία αὐτῆς ἡ φύσις. εἰ δ' ἄρα ἔχει πως
κτέον ἐν ἀρχῇ μάλιϛα τȣ̃το καὶ διοριϛέον περὶ
αφορᾶς, μάλιϛα μὲν καὶ διότι ἀνάγκη ὑπάρ-
ὲ μή, τίνα λέγουσιν; ὅτι μὲν οὖν, εἴπερ εἰσὶν
ἰδέαι, οὔτε συμβλητὰς τὰς μονάδας ἁπάσας
εἶναι, φανερόν, ȣ̓́τε ἀσυμβλήτȣς ἀλλήλαις ȣ̓δέ-
τρόπων. ἀλλὰ μὴν ȣ̓δ' ὡς ἕτεροί τινες λέγουσι
ριθμῶν λέγεται καλῶς. εἰσὶ δ' ȣ̓̃τοι ὅσοι ἰδέας
ται εἶναι ȣ̓́θ' ἁπλῶς ȣ̓́τε ὡς ἀριθμȣ́ς τινας ȣ̓́σας,
ηματικὰ εἶναι καὶ τȣ̀ς ἀριθμȣ̀ς πρώτȣς τῶν ὄν-
ρχὴν αὐτῶν εἶναι αὐτὸ τὸ ἕν. ἄτοπον γὰρ τὸ
τι πρῶτον τῶν ἑνῶν, ὥσπερ ἐκεῖνοί φασι, δυάδα
άδων μή, μηδὲ τριάδα τῶν τριάδων· τοῦ γὰρ
πάντα ἐϛίν. εἰ μὲν ȣ̓̃ν ȣ̓́τως ἔχει τὰ περὶ τὸν
θήσει τις εἶναι τὸν μαθηματικὸν μόνον, ȣ̓κ ἔϛι
. ἀνάγκη γὰρ διαφέρειν τὸ ἓν τὸ τοιοῦτο τῶν
άδων· εἰ δὲ τȣ̃το, καὶ δυάδα τινὰ πρώτην τῶν
οίως δὲ καὶ τȣ̀ς ἄλλȣς ἀριθμȣ̀ς τȣ̀ς ἐφεξῆς. εἰ
ν ἀρχή, ἀνάγκη μᾶλλον, ὥσπερ Πλάτων ἔλε-
τὰ περὶ τοὺς ἀριθμούς, καὶ εἶναί τινα δυάδα
τριάδα, καὶ οὐ συμβλητȣ̀ς εἶναι τȣ̀ς ἀριθμοὺς
λους. ἂν δ' αὖ πάλιν τις τιθῇ ταῦτα, εἴρηται
α πολλὰ συμβαίνει. ἀλλὰ μὴν ἀνάγκη γε ἢ
ίνως ἔχειν, ὥϛ' εἰ μηδετέρως, οὐκ ἂν ἐνδέχοιτο

εἶναι τὸν ἀριθμὸν χωριϛόν. φανερὸν δ' ἐκ τούτων καὶ ὅτι χείριϛα λέγεται ὁ τρίτος τρόπος, τὸ εἶναι τὸν αὐτὸν ἀριθμὸν τὸν τῶν εἰδῶν καὶ τὸν μαθηματικόν. ἀνάγκη γὰρ εἰς μίαν δόξαν συμβαίνειν δύο ἁμαρτίας· ȣ̓́τε γὰρ μαθηματικὸν ἀριθμὸν ἐνδέχεται τȣ̃τον εἶναι τὸν τρόπον, ἀλλ' ἰδίας ὑποθέσεις ὑποθέμενον ἀνάγκη μηκύνειν· ὅσα τε τοῖς ὡς εἴδη τὸν ἀριθμὸν λέγȣσι συμβαίνει, καὶ ταῦτα ἀναγκαῖον λέγειν. ὁ δὲ τῶν Πυθαγορείων τρόπος τῇ μὲν ἐλάττους ἔχει δυσχερείας τῶν πρότερον εἰρημένων, τῇ δὲ ἰδίας ἑτέρας. τὸ μὲν γὰρ μὴ χωριστὸν ποιεῖν τὸν ἀριθμὸν ἀφαιρεῖται πολλὰ τῶν ἀδυνάτων· τὸ δὲ τὰ σώματα ἐξ ἀριθμῶν εἶναι συγκείμενα, καὶ τὸν ἀριθμὸν τȣ̃τον εἶναι μαθηματικόν, ἀδύνατόν ἐστιν. οὔτε γὰρ ἄτομα μεγέθη λέγειν ἀληθές· εἴθ' ὅτι μάλιϛα τȣ̃τον ἔχει τὸν τρόπον, ȣ̓χ αἵ γε μονάδες μέγεθος ἔχȣσιν· μέγεθος δ' ἐξ ἀδιαιρέτων συγκεῖσθαι πῶς δυνατόν; ἀλλὰ μὴν ὅ γ' ἀριθμητικὸς ἀριθμὸς μοναδικός ἐϛιν. ἐκεῖνοι δὲ τὸν ἀριθμὸν τὰ ὄντα λέγουσιν· τὰ γȣ̃ν θεωρήματα προσάπτȣσι τοῖς σώμασιν ὡς ἐξ ἐκείνων ὄντων τῶν ἀριθμῶν. εἰ τοίνυν ἀνάγκη μέν, εἴπερ ἐϛὶν ἀριθμὸς τῶν ὄντων τι καθ' αὑτό, τούτων εἶναί τινα τῶν εἰρημένων τρόπων, οὐθένα δὲ τȣ́των ἐνδέχεται, φανερὸν ὡς ȣ̓κ ἔϛιν ἀριθμȣ̃ τις τοιαύτη φύσις οἵαν κατασκευάζȣσιν οἱ χωριϛὸν ποιȣ̃ντες αὐτόν. ἔτι πότερον ἑκάϛη μονὰς ἐκ τοῦ μεγάλȣ καὶ μικρȣ̃ ἰσασθέντων ἐϛίν, ἢ ἡ μὲν ἐκ τȣ̃ μικρȣ̃ ἡ δ' ἐκ τȣ̃ μεγάλȣ; εἰ μὲν δὴ ȣ̓́τως, ȣ̓́τε ἐκ πάντων τῶν ϛοιχείων ἕκαστον, οὔτε ἀδιάφοροι αἱ μονάδες· ἐν τῇ μὲν γὰρ τὸ μέγα ἐν τῇ δὲ τὸ μικρὸν ὑπάρχει, ἐναντίον τῇ φύσει ὄν. ἔτι αἱ ἐν τῇ τριάδι αὐτῇ πῶς; μία γὰρ περιττή. ἀλλὰ διὰ τοῦτο ἴσως αὐτὸ τὸ ἓν ποιοῦσιν ἐν τῷ περιττῷ μέσον. εἰ δ' ἑκατέρα τῶν μονάδων ἐξ ἀμφοτέρων ἐϛὶν ἰσασθέντων, ἡ δυὰς πῶς ἔϛαι μία τις ȣ̓̃σα φύσις ἐκ τȣ̃ μεγάλȣ καὶ μικρȣ̃; ἢ τί διοίσει τῆς μονάδος; ἔτι προτέρα ἡ μονὰς τῆς δυάδος· ἀναιρουμένης γὰρ ἀναιρεῖται ἡ δυάς. ἰδέαν ȣ̓̃ν ἰδέας ἀναγκαῖον αὐτὴν εἶναι, προτέραν γ' οὖσαν ἰδέας, καὶ γεγονέναι προτέραν ἐκ τινοσοῦν· ἡ γὰρ ἀόριστος δυὰς δυοποιὸς ἦν. ἔτι ἀνάγκη ἤτοι ἄπειρον τὸν ἀριθμὸν εἶναι ἢ πεπερασμένον· χωριστὸν γὰρ ποιοῦσι τὸν

τε ETA^b. ‖ 2. δ' EA^bI^b. ‖ ἢ om G^b. ‖ 4. ᾗ EG^bI^b, ἢ T. ‖ τὸ om EI^b. ‖ 6. ὁ ἴσος om G^b. ‖ 7. αἱ post καὶ
ὕϛεροι G^b. ‖ 10. καὶ ἐν τοῖς G^b. ‖ 13. οὐ om G^b. ‖ ἡ] ἢ ὁ T. ‖ ποσοποιὸν G^bI^b. ‖ 14. αὕτη A^b. ‖ ἡ φύσις] φησιν
ὑπάρχει G^b. ‖ 20. τὸν E, om G^b. ‖ τρόπον G^b. ‖ 22. ὡς om G^b. ‖ 24. ἀρχὰς T, τὴν ἀρχὴν G^b. ‖ 25. ἕνων EA^bI^b,
26. δὲ τῶν] δὲ καὶ T. ‖ 27. τȣ̀ς ἀριθμȣ̀ς G^bI^b. ‖ 31. ὁμοίȣς G^b. ‖ 33. τινα om A^b. ‖ 36. πολλὰ ἀδύνατα G^bI^b. ‖ γε
7. ἐνεδέχετο T.
δὲ καὶ G^b. ‖ 2. χείριϛος A^b. ‖ αὐτὸν om G^b. ‖ 6. μὴ κινεῖν T. ‖ 14. εἶθ' I^b. ‖ γε om T. ‖ 16. ὁ γὰρ μαθηματικὸς
ριθμητικόν I^b, om G^b. ‖ ὄντα] ὄντα τόνδε I^b. ‖ 19. εἰ] ἔτι TA^b. ‖ τοίνυν] νῦν T. ‖ 22. φύσις τοιαύτη T. ‖ 25. τῶν om
τι T. ‖ 28. μία] μὲν T. ‖ 34. ἰδέαν ȣ̓̃ν ἰδέας om G^b. ‖ γ' om T. ‖ 36. εἶναι τὸν ἀριθμὸν T.

ἀριθμόν, ὥστε οὐχ οἷόν τε μὴ οὐχὶ τούτων θάτερον ὑπάρχειν. ὅτι μὲν τοίνυν ἄπειρον οὐκ ἐνδέχεται, δῆλον· οὔτε γὰρ περιττὸς ὁ ἄπειρός ἐστιν οὔτ᾽ ἄρτιος, ἡ δὲ γένεσις τῶν ἀριθμῶν ἢ περιττοῦ ἀριθμοῦ ἢ ἀρτίου ἀεί ἐστιν, ὡδὶ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον πίπτοντος περιττός, ὡδὶ δὲ τῆς μὲν δυάδος ἐμπιπτούσης ὁ ἀφ᾽ ἑνὸς διπλασιαζόμενος, ὡδὶ δὲ τῶν περιττῶν ὁ ἄλλος ἄρτιος. ἔτι εἰ πᾶσα ἰδέα τινός, οἱ δὲ ἀριθμοὶ ἰδέαι, καὶ ὁ ἄπειρος ἔσται ἰδέα τινός, ἢ τῶν αἰσθητῶν ἢ ἄλλου τινός. καίτοι οὔτε κατὰ τὴν θέσιν ἐνδέχεται οὔτε κατὰ λόγον, τάττουσι δ᾽ οὕτω τὰς ἰδέας. εἰ δὲ πεπερασμένος, μέχρι πόσου; τοῦτο γὰρ δεῖ λέγεσθαι οὐ μόνον ὅτι, ἀλλὰ καὶ διότι. ἀλλὰ μὴν εἰ μέχρι τῆς δεκάδος ὁ ἀριθμός, ὥσπερ τινές φασιν, πρῶτον μὲν ταχὺ ἐπιλείψει τὰ εἴδη· οἷον εἰ ἔστιν ἡ τριὰς αὐτοάνθρωπος, τίς ἔσται ἀριθμὸς αὐτόϊππος; αὐτὸ γὰρ ἕκαστος ἀριθμὸς μέχρι δεκάδος. ἀνάγκη δὴ τῶν ἐν τούτοις ἀριθμῶν τινὰς εἶναι· οὐσίαι γὰρ καὶ ἰδέαι οὗτοι. ἀλλ᾽ ὅμως ἐπιλείψει· τὰ τοῦ ζῴου γὰρ εἴδη ὑπερέξει. ἅμα δὲ δῆλον ὅτι εἰ οὕτως ἡ τριὰς αὐτοάνθρωπος, καὶ αἱ ἄλλαι τριάδες· ὅμοιαι γὰρ αἱ ἐν τοῖς αὐτοῖς ἀριθμοῖς, ὥστ᾽ ἄπειροι ἔσονται ἄνθρωποι, εἰ μὲν ἰδέα ἑκάστη τριάς, αὐτοέκαστος ἄνθρωπος, εἰ δὲ μή, ἀλλ᾽ ἄνθρωποί γε. καὶ εἰ μέρος ὁ ἐλάττων τοῦ μείζονος, ὁ ἐκ τῶν συμβλητῶν μονάδων τῶν ἐν τῷ αὐτῷ ἀριθμῷ· εἰ δ᾽ ἡ τετρὰς αὕτη ἰδέα τινός ἐστιν, οἷον ἵππου ἢ λευκοῦ, ὁ ἄνθρωπος ἔσται μέρος ἵππου, εἰ δυὰς ὁ ἄνθρωπος. ἄτοπον δὲ καὶ τὸ τῆς μὲν δεκάδος εἶναι ἰδέαν, ἑνδεκάδος δὲ μή, μηδὲ τῶν ἐχομένων ἀριθμῶν. ἔτι δὲ καὶ ἔστι καὶ γίγνεται ἔνια καὶ ὧν εἴδη οὐκ ἔστιν, ὥστε διὰ τί οὐ κἀκείνων εἴδη ἐστίν; οὐκ ἄρα αἴτια τὰ εἴδη ἐστίν. ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς ὁ μέχρι τῆς δεκάδος μᾶλλόν τι ὂν καὶ εἶδος αὐτῆς τῆς δεκάδος· καίτοι τοῦ μὲν οὐκ ἔστι γένεσις ὡς ἑνός, τῆς δ᾽ ἔστιν. πειρῶνται δ᾽ ὡς τοῦ μέχρι τῆς δεκάδος τελείου ὄντος ἀριθμοῦ. γεννῶσι γοῦν τὰ ἑπόμενα, οἷον τὸ κενόν, ἀναλογίαν, τὸ περιττόν, τὰ ἄλλα τὰ τοιαῦτα ἐντὸς τῆς δεκάδος· τὰ μὲν γὰρ ταῖς ἀρχαῖς ἀποδιδόασιν, οἷον κίνησιν, στάσιν, ἀγαθόν, κακόν, τὰ δ᾽ ἄλλα τοῖς ἀριθμοῖς. διὸ τὸ ἓν τὸ περιττόν· εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν; ἔτι τὰ μεγέθη καὶ ὅσα

τοιαῦτα μέχρι πόσου, οἷον ἡ πρώτη γραμμὴ ἄτομο
δυάς, εἶτα καὶ ταῦτα μέχρι δεκάδος. ἔτι εἰ ἔστι χ
ὁ ἀριθμός, ἀπορήσειεν ἄν τις πότερον πρότερον τὸ
τριὰς καὶ ἡ δυάς. ᾗ μὲν δὴ σύνθετος ὁ ἀριθμός,
ᾗ δὲ τὸ καθόλου πρότερον καὶ τὸ εἶδος, ὁ ἀριθμός·
γὰρ τῶν μονάδων μόριον τοῦ ἀριθμοῦ ὡς ὕλη, ὁ δ᾽ ὡ
καὶ ἔστι μὲν ὡς ἡ ὀρθὴ προτέρα τῆς ὀξείας, ὅτι ὥρισ
τῷ λόγῳ· ἔστι δ᾽ ὡς ἡ ὀξεῖα, ὅτι μέρος καὶ εἰς
διαιρεῖται. ὡς μὲν δὴ ὕλη ἡ ὀξεῖα καὶ τὸ στοιχε
ἡ μονὰς πρότερον, ὡς δὲ κατὰ τὸ εἶδος καὶ τὴν οὐσ
κατὰ τὸν λόγον ἡ ὀρθὴ καὶ τὸ ὅλον τὸ ἐκ τῆς ὕλ
τοῦ εἴδους· ἐγγύτερον γὰρ τοῦ εἴδους καὶ οὗ ὁ λόγος τὸ
γενέσει δ᾽ ὕστερον. πῶς οὖν ἀρχὴ τὸ ἕν; ὅτι οὐ δι
φασίν. ἀλλ᾽ ἀδιαίρετον καὶ τὸ καθόλου καὶ τὸ ἐπὶ
καὶ τὸ στοιχεῖον. ἀλλὰ τρόπον ἄλλον, τὸ μὲν κατὰ
τὸ δὲ κατὰ χρόνον. ποτέρως οὖν τὸ ἓν ἀρχή; ὥσπ
εἴρηται, καὶ ἡ ὀρθὴ τῆς ὀξείας καὶ αὕτη ἐκείνης δοκε
τέρα εἶναι καὶ ἑκατέρα μία. ἀμφοτέρως δὴ ποιοῦσι
ἀρχήν. ἔτι δὲ ἀδύνατον· τὸ μὲν γὰρ ὡς εἶδος καὶ ἡ
τὸ δ᾽ ὡς μέρος καὶ ὡς ὕλη. ἔστι γάρ πως ἓν ἑκάτε
μὲν ἀληθείᾳ δυνάμει, εἴ γε ὁ ἀριθμὸς ἕν τι καὶ
σωρός, ἀλλ᾽ ἕτερος ἐξ ἑτέρων μονάδων, ὥσπερ φασ
τελεχείᾳ δ᾽ οὐκ ἔστι μονὰς ἑκατέρα. αἴτιον δὲ τῆς
βαινούσης ἁμαρτίας ὅτι ἅμα ἐκ τῶν μαθημάτων ἐθ
καὶ ἐκ τῶν λόγων τῶν καθόλου, ὥστ᾽ ἐξ ἐκείνων μ
στιγμὴν τὸ ἓν καὶ τὴν ἀρχὴν ἔθηκαν· ἡ γὰρ μονὰς
ἄθετός ἐστιν. καθάπερ οὖν καὶ ἕτεροί τινες ἐκ τοῦ ἐλα
τὰ ὄντα συνετίθεσαν, καὶ οὗτοι. ὥστε γίγνεται ἡ μονὰ
τῶν ἀριθμῶν καὶ ἅμα προτέρα τῆς δυάδος, πάλιν δ᾽
ὡς ὅλου τινὸς καὶ ἑνὸς καὶ εἴδους τῆς δυάδος οὔσης.
τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς
ἔλεγον. ταῦτα δ᾽ ἅμα τῷ αὐτῷ ἀδύνατον ὑπάρχ
δὲ τὸ ἓν αὐτὸ δεῖ μόνον ἄθετον εἶναι (οὐθενὶ γὰρ δι
ἢ ὅτι ἀρχή), καὶ ἡ μὲν δυὰς διαιρετὴ ἡ δὲ μονὰς οὔ,
τέρα ἂν εἴη τῷ ἑνὶ αὐτῷ ἡ μονάς. εἰ δ᾽ ἡ μονάς, κ
τῇ μονάδι ἢ τῇ δυάδι· ὥστε προτέρα ἂν εἴη ἑκατ
μονὰς τῆς δυάδος. οὔ φασι δέ· γεννῶσι γοῦν τὴν

1. τούτω T. ‖ 4. ἐστὶν ἀεί T. ‖ 5. ἐμπίπτοντος π. $G^b I^b$. ‖ 8. ἔσται εἰ ἰδία A^b. ‖ 12. εἰ] ἡ G^b. ‖ 14. εἰ om A^b. ‖ 16. δ… $G^b I^b$. ‖ ἐν τούτοις] γγ καὶ ἐντὸς τούτων E. ‖ 17. ὑπολείψει G^b. ‖ ὑπάρξει T. ‖ 18. εἰ om G^b. ‖ 19. αὐτοῖς om I^b. ‖ ἀριθ… G^b. ‖ 21. αὐτοείκαστος ἂν ἄνθρωπος E. ‖ 23. αὐτὴ T. ‖ 25. ἵππου om T. ‖ μὲν et 26. μή om G^b. ‖ 28. ἄρα om $G^b I^b$. ‖ 3… ἡ T. ‖ τῇ om G^b. ‖ 37. ὅτι T. ‖ μεγέθη] μετὰ πάθη A^b, πάθη T.

1. τόμος T. ‖ 3. ἡ om G^b. ‖ 7. καὶ post ὥρισται om G^b. ‖ 9. ἡ om $G^b I^b$. ‖ 12. ἄμφω τῆς ὕλης γενέσει $G^b I^b$. ‖ 13. … τὸν T et omissa οὐ G^b. ‖ 14. μέρος T. ‖ 17. ἡ ὀρθότης ὀξείας καὶ αὐτῆς ἐκείνης G^b. ‖ 18. δὲ G^b. ‖ 19. ἔστι $TG^b I^b$. ‖ εἴδους] … $G^b I^b$. ‖ 20. καὶ om $ETG^b I^b$. ‖ 22. ἕτερος] ἕτερον TA^b. ‖ 33. δεῖ] δὴ I^b. ‖ 36. ἡ om I^b.

τι εἰ ἔϛιν ἡ δυὰς ἕν τι αὐτὴ καὶ ἡ τριὰς αὐτή, ίς. ἐκ τίνος ὖν αὕτη ἡ δυάς; ·ήσειε δ' ἄν τις καὶ ἐπεὶ ἁφὴ μὲν ὐκ ἔϛιν ἐν τοῖς τὸ δ' ἐφεξῆς, ὅσων μή ἐϛι μεταξὺ μονάδων, οἷον δυάδι ἢ τῇ τριάδι, πότερον ἐφεξῆς τῷ ἑνὶ αὐτῷ ότερον ἡ δυὰς προτέρα τῶν ἐφεξῆς ἢ τῶν μονά- ąὖν. ὁμοίως δὲ καὶ περὶ τῶν ὕϛερον γενῶν τοῦ μβαίνει τὰ δυσχερῆ, γραμμῆς τε καὶ ἐπιπέδου τος. οἱ μὲν γὰρ ἐκ τῶν εἰδῶν τοῦ μεγάλου καὶ τοιῦσιν, οἷον ἐκ μακρῦ μὲν καὶ βραχέος τὰ μήκη, καὶ ϛενῦ τὰ ἐπίπεδα, ἐκ βαθέος δὲ καὶ ταπει- κους· ταῦτα δέ ἐϛιν εἴδη τῦ μεγάλυ καὶ μικρῦ. ὰ τὸ ἓν ἀρχὴν ἄλλοι ἄλλως τιθέασι τῶν τοιού- ἐν τύτοις δὲ μυρία φαίνεται τά τε ἀδύνατα καὶ ιατώδη καὶ τὰ ὑπεναντία πᾶσι τοῖς εὐλόγοις. ἑνα τε γὰρ ἀλλήλων συμβαίνει, εἰ μὴ συνακο- ι αἱ ἀρχαί, ὥϛ' εἶναι τὸ πλατὺ καὶ ϛενὸν καὶ βραχύ· εἰ δὲ τῦτο, ἔϛαι τὸ ἐπίπεδον γραμμὴ ρεὸν ἐπίπεδον. ἔτι δὲ γωνίαι καὶ σχήματα καὶ πῶς ἀποδοθήσεται; ταὐτό τε συμβαίνει τοῖς ριθμόν· ταῦτα γὰρ πάθη μεγέθους ἐστίν, ἀλλ' ν τὸ μέγεθος, ὥσπερ ὐδ' ἐξ εὐθέος καὶ καμπύ- κος, ὐδ' ἐκ λείου καὶ τραχέος τὰ ϛερεά. πάν- ινὸν τούτων ὅπερ ἐπὶ τῶν εἰδῶν τῶν ὡς γένους διαπορεῖν, ὅταν τις θῇ τὰ καθόλου, πότερον τὸ ἐν τῷ ζῴῳ ἢ ἕτερον αὐτῦ ζῴου. τοῦτο γὰρ μὴ ν ὄντος ὐδεμίαν ποιήσει ἀπορίαν· χωρισῦ δ', ὥσ- ιτα λέγοντές φασι, τῦ ἑνὸς καὶ τῶν ἀριθμῶν οὐ ται, εἰ μὴ ῥᾴδιον δεῖ λέγειν τὸ ἀδύνατον. ὅταν ς ἐν τῇ δυάδι τὸ ἓν καὶ ὅλως ἐν ἀριθμῷ, πότε- οεῖ τι ἢ ἕτερον; οἱ μὲν ὖν τὰ μεγέθη γεννῶσιν ἐκ λης, ἕτεροι δὲ ἐκ τῆς ϛιγμῆς (ἡ δὲ ϛιγμὴ αὐτοῖς ὐχ ἓν ἀλλ' οἷον τὸ ἕν) καὶ ἄλλης ὕλης οἵας τὸ λλ' ὐ πλήθους· περὶ ὧν ὐθὲν ἧττον συμβαίνει τὰ ιεῖν. εἰ μὲν γὰρ μία ἡ ὕλη, ταὐτὸ γραμμὴ καὶ αὶ στερεόν· ἐκ γὰρ τῶν αὐτῶν τὸ αὐτὸ καὶ ἓν

ἔϛαι. εἰ δὲ πλείυς αἱ ὕλαι, καὶ ἑτέρα μὲν γραμμῆς ἑτέρα δὲ τῦ ἐπιπέδου καὶ ἄλλη τοῦ ϛερεῦ, ἤτοι ἀκολουθῦσιν ἀλλήλαις ἢ ὔ, ὥϛε ταὐτὰ συμβήσεται καὶ ὕτως· ἢ γὰρ ὐχ ἕξει τὸ ἐπίπεδον γραμμὴν ἢ ἔϛαι γραμμή. ἔτι πῶς μὲν ἐνδέχεται εἶναι ἐκ τοῦ ἑνὸς καὶ πλήθους τὸν ἀριθμὸν οὐθὲν ἐπιχειρεῖται· ὅπως δ' ὖν λέγυσι ταὐτὰ συμβαίνει δυσχερῆ ἅπερ καὶ τοῖς ἐκ τῦ ἑνὸς καὶ ἐκ τῆς δυάδος τῆς ἀορίϛυ. ὁ μὲν γὰρ ἐκ τῦ κατηγορουμένου καθόλυ γεννᾷ τὸν ἀριθμὸν καὶ ὐ τινὸς πλήθους, ὁ δ' ἔκ τινος πλήθους, τῦ πρώτυ δέ· τὴν γὰρ δυάδα πρῶτόν τι εἶναι πλῆθος. ὥϛε διαφέρει ὐθὲν ὡς εἰπεῖν, ἀλλ' αἱ ἀπορίαι αὗται ἀκολουθήσουσι, μῖξις ἢ θέσις ἢ κρᾶσις ἢ γένεσις καὶ ὅσα ἄλλα τοιαῦτα. μάλιϛα δ' ἄν τις ἐπιζητήσειεν, εἰ μία ἑκάϛη μονάς, ἐκ τίνος ἐϛίν· οὐ γὰρ δὴ αὐτό γε τὸ ἓν ἑκάϛη. ἀνάγκη δ' ἢ ἐκ τοῦ ἑνὸς αὐτῦ εἶναι καὶ πλήθους, ἢ μορίου τῦ πλήθους. τὸ μὲν οὖν πλῆθός τι εἶναι φάναι τὴν μονάδα ἀδύνατον, ἀδιαίρετόν γ' οὖσαν· τὸ δ' ἐκ μορίου ἄλλας ἔχει πολλὰς δυσχερείας· ἀδιαίρετόν τε γὰρ ἕκαστον ἀναγκαῖον εἶναι τῶν μορίων, ἢ πλῆθος εἶναι καὶ τὴν μονάδα διαιρετήν, καὶ μὴ στοιχεῖον εἶναι τὸ ἓν καὶ τὸ πλῆθος· ἡ γὰρ μονὰς ἑκάϛη ὐκ ἐκ πλήθους καὶ ἑνός. ἔτι οὐθὲν ἄλλο ποιεῖ ὁ τοῦτο λέγων ἀλλ' ἢ ἀριθμὸν ἕτερον· τὸ γὰρ πλῆθος ἀδιαιρέτων ἐστὶν ἀριθμός. ἔτι ζητητέον καὶ παρὰ τὺς ὕτω λέγοντας, πότερον ἄπειρος ὁ ἀριθμὸς ἢ πεπερασμένος. ὑπῆρχε γάρ, ὡς ἔοικε, καὶ πεπερασμένον πλῆθος, ἐξ ὗ αἱ πεπερασμέναι μονάδες καὶ τῦ ἑνός· ἐϛί τε ἕτερον αὐτὸ πλῆθος καὶ πλῆθος ἄπειρον. ποῖον ὖν πλῆθος ϛοιχεῖόν ἐϛι καὶ τὸ ἕν; ὁμοίως δὲ καὶ περὶ στιγμῆς ἄν τις ζητήσειε καὶ τῦ ϛοιχείου ἐξ ὗ ποιοῦσι τὰ μεγέθη· οὐ γὰρ μία γε μόνον στιγμή ἐϛιν αὕτη. τῶν γοῦν ἄλλων ϛιγμῶν ἑκάϛη ἐκ τίνος; ὐ γὰρ δὴ ἔκ γε διαϛήματός τινος καὶ αὐτῆς ϛιγμῆς. ἀλλὰ μὴν οὐδὲ μόρια ἀδιαίρετα ἐνδέχεται τῦ διαϛήματος εἶναι μόρια, ὥσπερ τῦ πλήθους ἐξ ὧν αἱ μονάδες· ὁ μὲν γὰρ ἀριθμὸς ἐξ ἀδιαιρέτων σύγκειται, τὰ δὲ μεγέθη οὔ. πάντα δὴ ταῦτα καὶ ἄλλα τοιαῦτα φανερὸν ποιεῖ ὅτι ἀδύνατον εἶναι τὸν ἀριθμὸν καὶ τὰ μεγέθη χωριϛά. ἔτι δὲ τὸ διαφωνεῖν τὺς πρώτους περὶ

τὴν E. ‖ ἔϛιν om T. ‖ τριὰς αὕτη G^bI^b. ‖ 2. ἢ ἄμφω I^b. ‖ αὐτὴ E. ‖ 4. ὅσον G^b. ‖ 5. τὸν E. ‖ 7. ὑϛέρων T. ‖ 9. ‖ 17. καὶ ante αἱ om G^bI^b. ‖ 18. τὸ] καὶ τὸ T. ‖ 20. ταὐτότητι συμβαίνει G^b. ‖ 23. ταχέως G^b. ‖ 25. θῇ] τιθῇ T. ‖ T. ‖ 27. ποιήσει ἀπορίαν G^b, ἀπορίαν ποιήσει T. ‖ 28. φασι om G^bI^b. ‖ τὸ G^b. ‖ τὸν ἀριθμὸν T. ‖ 29. διαλῦσαι T. ‖ 31. ‖ ἐκ τῆς τοιαύτης T. ‖ 33. ὕλης om I^b. ‖ 34. τὰ αὐτὰ] ταῦτα T.

αμὴ ἑτέρα δὲ ἐπίπεδον G^b. ‖ 3. ταῦτα A^b, ταῦτα αὐτὰ G^b. ‖ 6. δυσχερῆ συμβαίνει G^bI^b. ‖ 9. ὐ] ὕτι T. ‖ ὁ δ'] ὐδ' E. ‖ ι om G^b. ‖ 13. εἰ om G^b. ‖ 14. δ' ἢ] δὴ ET. ‖ 15. καὶ πλήθους εἶναι T. ‖ 16. τὴν μονάδα om T. ‖ ἀδιόριϛόν E. ‖ . ‖ 17. ἄλλως G^b. ‖ 18. τε om G^bI^b. ‖ 19. καὶ utramque om G^b. ‖ 21. λέγων τοῦτο T. ‖ 23. ὁ ἀριθμὸς ἄπειρος T. ‖ ερον T. ‖ 27. καὶ ϛοιχεῖόν ἐϛι T. ‖ 29. γε μόνον om G^b. ‖ 30. τε T. ‖ 32. μόριον G^b. ‖ 35. ἀριθμὸν χωριϛὸν καὶ τὰ μεγέθη. . ‖ 36. πρώτους] τρόπους TA^b, τόπους G^bI^b. ‖ περὶ om G^b.

τῶν ἀριθμῶν σημεῖον ὅτι τὰ πράγματα ταῦτα οὐκ ὄντα ἀληθῆ παρέχει τὴν ταραχὴν αὐτοῖς. οἱ μὲν γὰρ τὰ μαθηματικὰ μόνον ποιοῦντες παρὰ τὰ αἰσθητά, ὁρῶντες τὴν περὶ τὰ εἴδη δυσχέρειαν καὶ πλάσιν, ἀπέστησαν ἀπὸ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ τὸν μαθηματικὸν ἐποίησαν· οἱ δὲ τὰ εἴδη βουλόμενοι ἅμα καὶ ἀριθμοὺς ποιεῖν, οὐχ ὁρῶντες δέ, εἰ τὰς ἀρχάς τις ταύτας θήσεται, πῶς ἔσται ὁ μαθηματικὸς ἀριθμὸς παρὰ τὸν εἰδητικόν, τὸν αὐτὸν εἰδητικὸν καὶ μαθηματικὸν ἐποίησαν ἀριθμὸν τῷ λόγῳ, ἐπεὶ ἔργῳ γε ἀνῄρηται ὁ μαθηματικός· ἰδίας γὰρ καὶ οὐ μαθηματικὰς ὑποθέσεις λέγουσιν. ὁ δὲ πρῶτος θέμενος τά τε εἴδη εἶναι καὶ ἀριθμοὺς τὰ εἴδη καὶ τὰ μαθηματικὰ εἶναι εὐλόγως ἐχώρισεν. ὥστε πάντας συμβαίνει κατὰ μέν τι λέγειν ὀρθῶς, ὅλως δ' οὐκ ὀρθῶς. καὶ αὐτοὶ δὲ ὁμολογοῦσιν οὐ ταὐτὰ λέγοντες ἀλλὰ τἀναντία. αἴτιον δ' ὅτι αἱ ὑποθέσεις καὶ αἱ ἀρχαὶ ψευδεῖς. χαλεπὸν δ' ἐκ μὴ καλῶς ἐχόντων λέγειν καλῶς, κατ' Ἐπίχαρμον· ἀρτίως τε γὰρ λέλεκται, καὶ εὐθέως φαίνεται οὐ καλῶς ἔχον. ἀλλὰ περὶ μὲν τῶν ἀριθμῶν ἱκανὰ τὰ διηπορημένα καὶ διωρισμένα· μᾶλλον γὰρ ἐκ πλειόνων ἂν ἔτι πεισθείη τις πεπεισμένος, πρὸς δὲ τὸ πεισθῆναι μὴ πεπεισμένος οὐθὲν μᾶλλον. περὶ δὲ τῶν πρώτων ἀρχῶν καὶ τῶν πρώτων αἰτίων καὶ στοιχείων ὅσα μὲν λέγουσιν οἱ περὶ μόνης τῆς αἰσθητῆς οὐσίας διορίζοντες, τὰ μὲν ἐν τοῖς περὶ φύσεως εἴρηται, τὰ δ' οὐκ ἔστι τῆς μεθόδου τῆς νῦν· ὅσα δὲ οἱ φάσκοντες εἶναι παρὰ τὰς αἰσθητὰς ἑτέρας οὐσίας, ἐχόμενόν ἐστι θεωρῆσαι τῶν εἰρημένων. ἐπεὶ οὖν λέγουσί τινες τοιαύτας εἶναι τὰς ἰδέας καὶ τοὺς ἀριθμούς, καὶ τὰ τούτων στοιχεῖα τῶν ὄντων εἶναι στοιχεῖα καὶ ἀρχάς, σκεπτέον περὶ τούτων τί λέγουσι καὶ πῶς λέγουσιν. οἱ μὲν οὖν ἀριθμοὺς ποιοῦντες μόνον καὶ τούτους μαθηματικοὺς ὕστερον ἐπισκεπτέοι· τῶν δὲ τὰς ἰδέας λεγόντων ἅμα τόν τε τρόπον θεάσαιτ' ἄν τις καὶ τὴν ἀπορίαν τὴν περὶ αὐτῶν. ἅμα γὰρ καθόλου τε ὡς οὐσίας ποιοῦσι τὰς ἰδέας καὶ πάλιν ὡς χωριστὰς καὶ τῶν καθ' ἕκαστον. ταῦτα δ' ὅτι οὐκ ἐνδέχεται διηπόρηται πρότερον. αἴτιον δὲ τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τοῖς λέγουσι τὰς ἰδέας καθόλου, ὅτι τοῖς αἰσθητοῖς οὐ τὰς αὐτὰς οὐσίας ἐποίουν. τὰ μὲν οὖν ἐν τοῖς αἰσθητοῖς καθ' ἕκαστα ῥεῖν ἐνόμιζον καὶ μένειν οὐθὲν αὐτῶν, τὸ δὲ καθόλου παρὰ ταῦτα εἶναί τε καὶ ἕτερόν τι εἶναι. τοῦτο δ', ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον· καὶ τοῦτο ὀρθῶς ἐνόησεν οὐ χωρίσας. δηλοῖ δὲ ἐκ τῶν ἔργων· ἄνευ μὲν γὰρ τοῦ καθόλου οὐκ ἔστιν ἐπιστήμην λαβεῖν, τὸ δὲ χωρίζειν αἴτιον τῶν συμβαινόντων δυσχερῶν περὶ τὰς ἰδέας ἐστίν. οἱ δ' ὡς ἀναγκαῖον, εἴπερ ἔσονταί τινες οὐσίαι παρὰ τὰς αἰσθητὰς καὶ ῥεούσας, χωριστὰς εἶναι, ἄλλας μὲν οὐκ εἶχον, ταύτας δὲ τὰς καθόλου λεγομένας ἐξέθεσαν, ὥστε συμβαίνειν σχεδὸν τὰς αὐτὰς φύσεις εἶναι τὰς καθόλου καὶ τὰς καθ' ἕκαστον. αὕτη μὲν οὖν αὐτὴ καθ' αὑτὴν εἴη τις ἂν δυσχέρεια τῶν εἰρημένων.

Ὃ δὲ καὶ τοῖς λέγουσι τὰς ἰδέας ἔχει τινὰ ἀπορίαν 10
καὶ τοῖς μὴ λέγουσιν, καὶ κατ' ἀρχὰς ἐν τοῖς διαπορήμασιν ἐλέχθη πρότερον, λέγωμεν νῦν. εἰ μὲν γάρ τις μὴ θήσει τὰς οὐσίας εἶναι κεχωρισμένας, καὶ τὸν τρόπον τοῦτον ὡς λέγεται τὰ καθ' ἕκαστα τῶν ὄντων, ἀναιρήσει τὴν οὐσίαν, ὡς βουλόμεθα λέγειν· ἂν δέ τις θῇ τὰς οὐσίας χωριστάς, πῶς θήσει τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς αὐτῶν; εἰ μὲν γὰρ καθ' ἕκαστον καὶ μὴ καθόλου, τοσαῦτ' ἔσται τὰ ὄντα ὅσαπερ τὰ στοιχεῖα, καὶ οὐκ ἐπιστητὰ τὰ στοιχεῖα. ἔστωσαν γὰρ αἱ μὲν ἐν τῇ φωνῇ συλλαβαὶ οὐσίαι, τὰ δὲ στοιχεῖα αὐτῶν στοιχεῖα τῶν οὐσιῶν· ἀνάγκη δὴ τὸ ΒΑ ἓν εἶναι καὶ ἑκάστην τῶν συλλαβῶν μίαν, εἴπερ μὴ καθόλου καὶ τῷ εἴδει αἱ αὐταί, ἀλλὰ μία ἑκάστη τῷ ἀριθμῷ καὶ τόδε τι καὶ μὴ ὁμώνυμον. ἔτι δ' αὐτὸ ὅ ἐστιν ἓν ἕκαστον τιθέασιν· εἰ δ' αἱ συλλαβαί, οὕτω καὶ ἐξ ὧν εἰσίν· οὐκ ἔσται ἄρα πλείω ἄλφα ἑνός, οὐδὲ τῶν ἄλλων στοιχείων οὐθὲν κατὰ τὸν αὐτὸν λόγον ὅνπερ οὐδὲ τῶν ἄλλων συλλαβῶν ἡ αὐτὴ ἄλλη καὶ ἄλλη. ἀλλὰ μὴν εἰ τοῦτο, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα ἕτερα ὄντα, ἀλλὰ μόνον τὰ στοιχεῖα. ἔτι δὲ οὐδ' ἐπιστητὰ τὰ στοιχεῖα· οὐ γὰρ καθόλου, ἡ δ' ἐπιστήμη τῶν καθόλου. δῆλον δ' ἐκ τε τῶν ἀποδείξεων καὶ τῶν ὁρισμῶν· οὐ γὰρ γίγνεται συλλογισμὸς ὅτι τόδε τὸ τρίγωνον δύο ὀρθαῖς, εἰ μὴ πᾶν τρίγωνον δύο ὀρθαῖς, οὐδ' ὅτι ὁδὶ ὁ ἄνθρωπος ζῷον, εἰ μὴ πᾶς ἄνθρωπος ζῷον. ἀλλὰ μὴν εἴγε καθόλου αἱ ἀρχαὶ ἢ καὶ

1. αὐτὰ *E*. ‖ 3. περὶ *T*. ‖ 7. εἰς EG^bI^b. ‖ τις om *T*. ‖ ταῦτα G^b. ‖ 9. γε om G^b. ‖ 10. ἰδέας EG^bI^b. ‖ καὶ om A^b. ‖ 11. τε add G^bI^b. ‖ 12. μαθηματικὰ ὡς λόγος ἐχώρησεν G^b. ‖ 16. καλῶς om G^b. ‖ 17. τε om *T*. ‖ 19. ἂν ἐκ πλειόνων *T*. ‖ 20. πρὸς — πεπεισμένος om G^b. ‖ 28. τῶν — στοιχεῖα om G^b. ‖ 31. ἂν om *T*. ‖ 32. γὰρ om G^b. ‖ 33. τε ὡς G^bI^b: vulgo τέως. ‖ 35. τὸ συνάψαι ταυτὸ εἰ ταυτὸν *T*.

2. τε om G^bI^b. ‖ 5. τοῦ] τῶν *T*. ‖ 8. παρὰ] ὑπὲρ G^b. ‖ 9. χωρὶς *T*. ‖ 10. συμβαίνει *T*. ‖ 13. λεγομένων G^b. ‖ 15. καὶ ante κατ' om *T*. ‖ 16. λέγομεν EG^bI^b. ‖ τις μαθήσει *T*. ‖ 19. τις τιθῇ ETI^b. ‖ 20. πῶς θήσει] προθήσει *T*. ‖ 24. δὲ TA^b. ‖ ἓν om A^b. ‖ 27. εἰ] ἐὰν *E*. ‖ 29. στοιχείων — 30. ἄλλων om G^b. ‖ 32. δὲ om *T*. ‖ 34. τε om A^b. ‖ 35. τρίγωνον post πᾶν om A^b. 36. ὀρθαὶ ETA^b. ‖ 37. καὶ] καὶ αἱ A^b.

ἐκ τούτων οὐσίαι καθόλου, ἔσται μὴ οὐσία πρότερον οὐσίας· τὸ μὲν γὰρ καθόλου οὐκ οὐσία, τὸ δὲ στοιχεῖον καὶ ἡ ἀρχὴ καθόλου· πρότερον δὲ τὸ στοιχεῖον καὶ ἡ ἀρχὴ ὧν ἀρχὴ καὶ στοιχεῖόν ἐστιν. ταῦτά τε δὴ πάντα συμβαίνει εὐλόγως, ὅταν ἐκ στοιχείων τε ποιῶσι τὰς ἰδέας καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχούσας οὐσίας καὶ ἰδέας ἕν τι ἀξιῶσιν εἶναι κεχωρισμένον. εἰ δὲ μηθὲν κωλύει ὥσπερ ἐπὶ τῶν τῆς φωνῆς στοιχείων πολλὰ εἶναι τὰ ἄλφα καὶ τὰ βῆτα καὶ μηθὲν εἶναι παρὰ τὰ πολλὰ αὐτὸ ἄλφα καὶ αὐτὸ βῆτα, ἔσονται ἕνεκά γε τούτου ἄπειροι αἱ ὅμοιαι συλλαβαί. τὸ δὲ τὴν ἐπιστήμην εἶναι καθόλου πᾶσαν, ὥστε ἀναγκαῖον εἶναι καὶ τὰς τῶν ὄντων ἀρχὰς καθόλου εἶναι καὶ μὴ οὐσίας κεχωρισμένας, ἔχει μὲν μάλιστ' ἀπορίαν τῶν λεχθέντων, οὐ μὴν ἀλλ' ἔστι μὲν ὡς ἀληθὲς τὸ λεγόμενον, ἔστι δ' ὡς οὐκ ἀληθές. ἡ γὰρ ἐπιστήμη, ὥσπερ καὶ τὸ ἐπίστασθαι, διττόν, ὧν τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ. ἡ μὲν οὖν δύναμις ὡς ὕλη τοῦ καθόλου οὖσα καὶ ἀόριστος τοῦ καθόλου καὶ ἀορίστου ἐστίν, ἡ δ' ἐνέργεια ὡρισμένη καὶ ὡρισμένου τόδε τι οὖσα τοῦδέ τινος. ἀλλὰ κατὰ συμβεβηκὸς ἡ ὄψις τὸ καθόλου χρῶμα ὁρᾷ, ὅτι τόδε τὸ χρῶμα ὃ ὁρᾷ χρῶμά ἐστιν· καὶ ὃ θεωρεῖ ὁ γραμματικός, τόδε τὸ ἄλφα ἄλφα, ἐπεὶ εἰ ἀνάγκη τὰς ἀρχὰς καθόλου εἶναι, ἀνάγκη καὶ τὰ ἐκ τούτων καθόλου, ὥσπερ ἐπὶ τῶν ἀποδείξεων. εἰ δὲ τοῦτο, οὐκ ἔσται χωριστὸν οὐθὲν οὐδ' οὐσία. ἀλλὰ δῆλον ὅτι ἔστι μὲν ὡς ἐπιστήμη καθόλου, ἔστι δ' ὡς οὔ.

Ν.

Περὶ μὲν οὖν τῆς οὐσίας ταύτης εἰρήσθω τοσαῦτα, πάντες δὲ ποιοῦσι τὰς ἀρχὰς ἐναντίας, ὥσπερ ἐν τοῖς φυσικοῖς, καὶ περὶ τὰς ἀκινήτους οὐσίας ὁμοίως. εἰ δὲ τῆς τῶν ἁπάντων ἀρχῆς μὴ ἐνδέχεται πρότερόν τι εἶναι, ἀδύνατον ἂν εἴη τὴν ἀρχὴν ἕτερόν τι οὖσαν εἶναι ἀρχήν, οἷον εἴ τις λέγοι τὸ λευκὸν ἀρχὴν εἶναι οὐχ ᾗ ἕτερον ἀλλ' ᾗ λευκόν, εἶναι μέντοι καθ' ὑποκειμένου, καὶ ἕτερόν τι ὂν λευκὸν εἶναι· ἐκεῖνο γὰρ πρότερον ἔσται. ἀλλὰ μὴν γίγνεται πάντα ἐξ ἐναντίων ὡς ὑποκειμένου τινός· ἀνάγκη ἄρα μάλιστα τοῖς ἐναντίοις τοῦθ' ὑπάρχειν. ἀεὶ ἄρα πάντα τἀναντία καθ' ὑποκειμένου, καὶ οὐθὲν χωριστόν. ἀλλ' ὥσπερ καὶ φαίνεται, οὐθὲν οὐσίᾳ ἐναντίον, καὶ ὁ λόγος μαρτυρεῖ. οὐθὲν ἄρα τῶν ἐναντίων κυρίως ἀρχὴ πάντων ἀλλ' ἑτέρα. οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν, οἱ μὲν τῷ ἑνὶ τῷ ἴσῳ τὸ ἄνισον, ὡς τοῦτο τὴν τοῦ πλήθους οὖσαν φύσιν, οἱ δὲ τῷ ἑνὶ τὸ πλῆθος. γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μὲν ἐκ τῆς τοῦ ἀνίσου δυάδος τοῦ μεγάλου καὶ μικροῦ, τῷ δ' ἐκ τοῦ πλήθους, ὑπὸ τῆς τοῦ ἑνὸς δὲ οὐσίας ἀμφοῖν· καὶ γὰρ ὁ τὸ ἄνισον καὶ ἓν λέγων τὰ στοιχεῖα, τὸ δ' ἄνισον ἐκ μεγάλου καὶ μικροῦ δυάδα, ὡς ἓν ὄντα τὸ ἄνισον καὶ τὸ μέγα καὶ τὸ μικρὸν λέγει, καὶ οὐ διορίζει ὅτι λόγῳ ἀριθμῷ δ' οὔ. ἀλλὰ μὴν καὶ τὰς ἀρχὰς ἃς στοιχεῖα καλοῦσιν, οὐ καλῶς ἀποδιδόασιν, οἱ μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγοντες μετὰ τοῦ ἑνὸς τρία ταῦτα στοιχεῖα τῶν ἀριθμῶν, τὰ μὲν δύο ὕλην, τὸ δ' ἓν τὴν μορφήν, οἱ δὲ τὸ πολὺ καὶ ὀλίγον, ὅτι τὸ μέγα καὶ τὸ μικρὸν μεγέθους οἰκειότερα τὴν φύσιν, οἱ δὲ τὸ καθόλου μᾶλλον ἐπὶ τούτων τὸ ὑπερέχον καὶ τὸ ὑπερεχόμενον. διαφέρει δὲ τούτων οὐθὲν ὡς εἰπεῖν πρὸς ἔνια τῶν συμβαινόντων, ἀλλὰ πρὸς τὰς λογικὰς μόνον δυσχερείας, ἃς φυλάττονται διὰ τὸ καὶ αὐτοὶ λογικὰς φέρειν τὰς ἀποδείξεις. πλὴν τοῦ αὐτοῦ γε λόγου ἐστὶ τὸ ὑπερέχον καὶ τὸ ὑπερεχόμενον εἶναι ἀρχὰς ἀλλὰ μὴ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸν ἀριθμὸν πρότερον τῆς δυάδος ἐκ τῶν στοιχείων· καθόλου γὰρ ἀμφότερα μᾶλλόν ἐστιν. νῦν δὲ τὸ μὲν λέγουσι τὸ δ' οὐ λέγουσιν. οἱ δὲ τὸ ἕτερον καὶ τὸ ἄλλο πρὸς τὸ ἓν ἀντιτιθέασιν, οἱ δὲ πλῆθος καὶ τὸ ἕν. εἰ δ' ἐστίν, ὥσπερ βούλονται, τὰ ὄντα ἐξ ἐναντίων, τῷ δὲ ἑνὶ ἢ οὐθὲν ἐναντίον, ἢ εἴπερ ἄρα μέλλει, τὸ πλῆθος, τὸ δ' ἄνισον τῷ ἴσῳ καὶ τὸ ἕτερον τῷ ταὐτῷ καὶ τὸ ἄλλο ταὐτῷ, μάλιστα μὲν οἱ τὸ ἓν τῷ πλήθει ἀντιτιθέντες ἔχονταί τινος δόξης, οὐ μὴν οὐδ' οὗτοι ἱκανῶς· ἔσται γὰρ τὸ ἓν ὀλίγον· πλῆθος μὲν γὰρ ὀλιγότητι, τὸ δὲ πολὺ τῷ ὀλίγῳ ἀντίκειται. τὸ δ' ἓν ὅτι μέτρον σημαίνει, φανερόν. καὶ ἐν παντί ἐστί τι ἕτερον ὑποκείμενον, οἷον ἐν ἁρμονίᾳ δίεσις, ἐν δὲ μεγέθει δάκτυλος ἢ πους ἤ τι τοιοῦτον, ἐν δὲ ῥυθμοῖς βάσις ἢ συλλαβή· ὁμοίως δὲ καὶ ἐν βάρει σταθμός τις ὡρισμένος ἐστίν. καὶ κατὰ πάντων δὲ τὸν αὐτὸν

1. οὐσίαι αἱ καθόλου *E*, οὐσίαι ἡ καθόλου *T*. ‖ ἔσται τι μὴ G^bI^b. ‖ 3. πότερον γὰρ στοιχεῖον *T*. ‖ 4. ἔσται G^b. ‖ τε om *T*. ‖ 7. τε G^b. ‖ 8. καὶ μηθὲν — 9. αὐτὸ βῆτα om G^bI^b. ‖ 10. γε ἕνεκα *T*. ‖ αἱ] καὶ G^b. ‖ 12. οὔσας A^b. ‖ 13. μὲν om A^b. ‖ 16. δύναμις G^b. ‖ ἐνέργεια TG^b. ‖ 18. ὡρισμένου] ὡρισμένον G^b. ‖ 20. τὸ om G^b. ‖ 21. εἰ] εἰ καὶ G^b. ‖ 23. ἔστι G^b. ‖ 24. ὡς ἡ ἐπιστήμη I^b. ‖ 29. ταύτης τῆς οὐσίας G^bI^b. ‖ 30. δὲ] γὰρ G^bI^b. ‖ 31. πάντων *T*. ‖ 32. τι πρότερον *T*. ‖ 33. τὸ add *E*. ‖ 37. τοῖς] ἐν τοῖς *T*.

5. ὁ G^b. ‖ 6. τούτου *T*. ‖ ὁ *E*. ‖ 10. ἐκ] καὶ ἐκ *T*. ‖ 13. ἃ *T*. ‖ 14. τοῦ ἑνὸς μετὰ A^b. ‖ 16. τὸ post καὶ om G^b. ‖ 17. οἰκειότερον *T*. ‖ φύσιν ἐστίν οἱ G^bI^b. ‖ 19. δὲ om *T*. ‖ οὐθὲν τούτων, omissis ὡς εἰπεῖν, G^bI^b. ‖ 22. τὸ post καὶ om EA^b. ‖ 27. δὲ τὸ πλῆθος *T*. ‖ 28. ἢ ante εἴπερ om *T*. ‖ 29. μέλλει] ἀμέλει $A^bG^bI^b$. ‖ ἕτερον καὶ τῷ G^b. ‖ 30. ἄλλῳ A^b. ‖ αὐτῷ ETG^bI^b, τὸ αὐτῷ A^b. ‖ 34. τι ἐστι G^b, ἐστὶ τὸ *T*.

τρόπον, ἐν μὲν τοῖς ποιοῖς ποιόν τι, ἐν δὲ τοῖς ποσοῖς ποσόν τι. καὶ ἀδιαίρετον τὸ μέτρον, τὸ μὲν κατὰ τὸ εἶδος τὸ δὲ πρὸς τὴν αἴσθησιν, ὡς ὐκ ὄντος τινὸς τῦ ἑνὸς καθ' αὑτὸ ὐσίας. καὶ τῦτο κατὰ λόγον· σημαίνει γὰρ τὸ ἓν ὅτι μέτρον πλήθυς τινός, καὶ ὁ ἀριθμὸς ὅτι πλῆθος μεμετρημένον καὶ πλῆθος μέτρων. διὸ καὶ εὐλόγως ὐκ ἔςι τὸ ἓν ἀριθμός· οὐδὲ γὰρ τὸ μέτρον μέτρα, ἀλλ' ἀρχὴ καὶ τὸ μέτρον καὶ τὸ ἕν. δεῖ δὲ ἀεὶ τὸ αὐτό τι ὑπάρχειν πᾶσι τὸ μέτρον, οἷον εἰ ἵππος τὸ μέτρον, ἵππους, καὶ εἰ ἄνθρωπος, ἀνθρώπους. εἰ δ' ἄνθρωπος καὶ ἵππος καὶ θεός, ζῷον ἴσως, καὶ ὁ ἀριθμὸς αὐτῶν ἔςαι ζῷα. εἰ δ' ἄνθρωπος καὶ λευκὸν καὶ βαδίζον, ἥκιστα μὲν ἀριθμὸς τούτων διὰ τὸ ταὐτῷ πάνθ' ὑπάρχειν καὶ ἑνὶ κατὰ τὸν ἀριθμόν, ὅμως δὲ γενῶν ἔσται ὁ ἀριθμὸς ὁ τούτων, ἤ τινος ἄλλης τοιαύτης προσηγορίας. οἱ δὲ τὸ ἄνισον ὡς ἕν τι, τὴν δυάδα δὲ ἀόριστον ποιοῦντες μεγάλυ καὶ μικρῦ, πόρρω λίαν τῶν δοκύντων καὶ δυνατῶν λέγουσιν· πάθη τε γὰρ ταῦτα καὶ συμβεβηκότα μᾶλλον ἢ ὑποκείμενα τοῖς ἀριθμοῖς καὶ τοῖς μεγέθεσίν ἐςι, τὸ πολὺ καὶ ὀλίγον ἀριθμῦ, καὶ μέγα καὶ μικρὸν μεγέθους, ὥσπερ ἄρτιον καὶ περιττόν, καὶ λεῖον καὶ τραχύ, καὶ εὐθὺ καὶ καμπύλον. ἔτι δὲ πρὸς ταύτῃ τῇ ἁμαρτίᾳ καὶ πρός τι ἀνάγκη εἶναι τὸ μέγα καὶ τὸ μικρὸν καὶ ὅσα τοιαῦτα· τὸ δὲ πρός τι πάντων ἥκιςα φύσις τις ἢ ὐσία τῶν κατηγοριῶν ἐςί, καὶ ὑςέρα τῦ ποιῦ καὶ ποσῦ· καὶ πάθος τι τῦ ποσοῦ τὸ πρός τι, ὥσπερ ἐλέχθη, ἀλλ' ὐχ ὕλη, εἴ τι ἕτερον. καὶ τῷ ὅλως κοινῷ πρός τι, καὶ τοῖς μέρεσιν αὐτῦ καὶ εἴδεσιν. ὐθὲν γάρ ἐςιν ὔτε μέγα ὔτε μικρόν, ὔτε πολὺ ὔτε ὀλίγον, οὔθ' ὅλως πρός τι, ὃ οὐχ ἕτερόν τι ὂν πολὺ ἢ ὀλίγον ἢ μέγα ἢ μικρὸν ἢ πρός τι ἐςίν. σημεῖον δ' ὅτι ἥκιςα ὐσία τις καὶ ὄν τι τὸ πρός τι τὸ μόνον μὴ εἶναι γένεσιν αὐτοῦ μηδὲ φθορὰν μηδὲ κίνησιν, ὥσπερ κατὰ τὸ ποσὸν αὔξησις καὶ φθίσις, κατὰ τὸ ποιὸν ἀλλοίωσις, κατὰ τόπον φορά, κατὰ τὴν ὐσίαν ἡ ἁπλῆ γένεσις καὶ φθορά. ἀλλ' ὐ κατὰ τὸ πρός τι· ἄνευ γὰρ τῦ κινηθῆναι ὁτὲ μὲν μεῖζον ὁτὲ δὲ ἔλαττον ἢ ἴσον ἔσται θατέρου κινηθέντος κατὰ τὸ ποσόν. ἀνάγκη τε ἑκάςου ὕλην εἶναι τὸ δυνάμει τοιῦτον, ὥςε καὶ ὐσίας· τὸ δὲ πρός τι ὔτε δυνάμει ὐσία ὔτε ἐνεργείᾳ. ἄτοπον ὖν, μᾶλλον δὲ ἀδύνατον, τὸ ὐσίας μὴ ὐσίαν ποιεῖν ςοιχεῖον καὶ πρότερον· ὕςερον γὰρ πᾶσαι αἱ κατηγορίαι. ἔτι δὲ τὰ ςοιχεῖα ὐ κατηγορεῖται καθ' ὧν ςοιχεῖα, τὸ δὲ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ ἅμα κατηγορεῖται ἀριθμοῦ, καὶ τὸ μακρὸν καὶ τὸ βραχὺ γραμμῆς, καὶ ἐπίπεδόν ἐστι καὶ πλατὺ καὶ στενόν. εἰ δὲ δὴ καὶ ἔςι τι πλῆθος οὗ τὸ μὲν ἀεὶ ὀλίγον, οἷον ἡ δυάς (εἰ γὰρ πολύ, τὸ ἓν ἂν ὀλίγον εἴη), κἂν πολὺ ἁπλῶς εἴη, οἷον ἡ δεκὰς πολύ, καὶ εἰ ταύτης μή ἐςι πλεῖον, ἢ τὰ μύρια. πῶς ὖν ἔσται ὔτως ἐξ ὀλίγου καὶ πολλῦ ὁ ἀριθμός; ἢ γὰρ ἄμφω ἔδει κατηγορεῖσθαι ἢ μηδέτερον· νῦν δὲ τὸ ἕτερον μόνον κατηγορεῖται.

2 Ἁπλῶς δὲ δεῖ σκοπεῖν, ἆρα δυνατὸν τὰ ἀΐδια ἐκ στοιχείων συγκεῖσθαι; ὕλην γὰρ ἕξει· σύνθετον γὰρ πᾶν τὸ ἐκ στοιχείων. εἰ τοίνυν ἀνάγκη, ἐξ ὗ ἐστίν, εἰ καὶ ἀεί ἐςι κἂν εἰ ἐγένετο, ἐκ τούτου γίγνεσθαι, γίγνεται δὲ πᾶν ἐκ τῦ δυνάμει ὄντος τοῦτο ὃ γίγνεται (οὐ γὰρ ἂν ἐγέγνετο ἐκ τῦ ἀδυνάτου ὐδὲ ἦν), τὸ δὲ δυνατὸν ἐνδέχεται καὶ ἐνεργεῖν καὶ μή, εἰ καὶ ὅτι μάλιςα ἀεί ἐςιν ὁ ἀριθμὸς ἢ ὁτιῦν ἄλλο ὕλην ἔχον, ἐνδέχοιτ' ἂν μὴ εἶναι, ὥσπερ καὶ τὸ μίαν ἡμέραν ἔχον καὶ τὸ ὁποσαῦν ἔτη· εἰ δ' ὔτω, καὶ τὸ τοσῦτον χρόνον ὗ μή ἐςι πέρας. οὐκ ἂν τοίνυν εἴη ἀΐδια, εἴπερ μὴ ἀΐδιον τὸ ἐνδεχόμενον μὴ εἶναι, καθάπερ ἐν ἄλλοις λόγοις συνέβη πραγματευθῆναι. εἰ δ' ἐςὶ τὸ λεγόμενον νῦν ἀληθὲς καθόλυ, ὅτι ὐδεμία ἐςὶν ἀΐδιος ὐσία ἐὰν μὴ ᾖ ἐνεργείᾳ, τὰ δὲ ςοιχεῖα ὕλη τῆς ὐσίας, ὐδεμιᾶς ἂν εἴη ἀϊδίου ὐσίας ςοιχεῖα ἐξ ὧν ἐςὶν ἐνυπαρχόντων. εἰσὶ δέ τινες οἳ δυάδα μὲν ἀόριςον ποιῦσι τὸ μετὰ τῦ ἑνὸς ςοιχεῖον, τὸ δ' ἄνισον δυσχεραίνουσιν εὐλόγως διὰ τὰ συμβαίνοντα ἀδύνατα· οἷς τοσαῦτα μόνον ἀφῄρηται τῶν δυσχερῶν, ὅσα διὰ τὸ ποιεῖν τὸ ἄνισον καὶ τὸ πρός τι ςοιχεῖον ἀναγκαῖα συμβαίνει τοῖς λέγυσιν· ὅσα δὲ χωρὶς ταύτης τῆς δόξης, ταῦτα κἀκείνοις ὑπάρχειν ἀναγκαῖον, ἐάν τε τὸν εἰδητικὸν ἀριθμὸν ἐξ αὐτῶν ποιῶσιν, ἐάν τε τὸν μαθηματικόν. πολλὰ μὲν ὖν τὰ αἴτια

1. μὲν et 2. καὶ om T. ‖ 2. ἀδιαίρετον γὰρ τὸ G^bI^b. ‖ 3. ἑαυτὸ T. ‖ 5. ὁ om A^b. ‖ 7. μέτρα] μετρεῖ T. ‖ 11. λευκὸς T. ‖ 13. τὸν om T. ‖ 14. ἄλλως G^b. ‖ 15. τι om E. ‖ 22. τὸ μέγα εἶναι T. ‖ 23. τις ἢ ὐσία om G^bI^b. ‖ 24. καὶ τῦ ποσῦ A^b. ‖ 25. ἢ G^bI^b. ‖ 26. τὸ T. ‖ ὅλω G^b. ‖ 29. ἢ πρός] ἃ πρός E, πρός G^bI^b. ‖ 30. μόνου EI^b. ‖ 33. ἁπλῶς G^b. ‖ 35. ἔλασσον ETA^b. ‖ ἐστὶ G^bI^b.

3. ὖν] δὲ G^bI^b. ‖ 4. γὰρ] δὲ T. ‖ 5. ὧν τὰ ςοιχεῖα G^bI^b. ‖ 6. κατηγόρηται G^b. ‖ ἀριθμῶν A^b, τοῦ ἀριθμοῦ G^b. ‖ 7. καὶ post ἐστι om G^bI^b. ‖ 8. οὐ E, ὧν G^bI^b. ‖ 10. καὶ] κἂν S. ‖ 11. ἢ τὰ μύρια om G^bI^b. ‖ ὔτος E, om T. ‖ 13. ἕτερον οὐ μόνον I^b. ‖ 14. δεῖ om G^b. ‖ 16. εἰ τοίνυν] οὐ τοίνυν A^b, ἔτι τοίνυν T. ‖ 17. τούτων G^b. ‖ γίγνεσθαι καὶ γίγνεται δὲ T. ‖ 18. ἐκ τῦ] εἰς τὸ A^b. ‖ οὐδὲ G^bI^b. ‖ ἐγίνετο A^b. ‖ 21. ἄλλυ A^b. ‖ 22. ἔτη] ἐςι G^b. ‖ τὸ om TA^b. ‖ 23. ὐ G^b. ‖ 24. λόγοις om E. ‖ 25. δή T. ‖ 26. ἐνέργεια EA^b. ‖ 29. ἄνισον] ἀόριςον G^b. ‖ 30. οἷς] εἰς T. ‖ 32. τὸ post καὶ om A^b. ‖ ἀναγκαῖον TA^b. ‖ 33. ταυτὰ T. ‖ 34. εἰδικὸν A^b. ‖ 35. τῶν μαθηματικῶν G^b.

τῆς ἐπὶ ταύτας τὰς αἰτίας ἐκτροπῆς, μάλιστα δὲ τὸ ἀπορῆσαι ἀρχαϊκῶς. ἔδοξε γὰρ αὐτοῖς πάντ' ἔσεσθαι ἓν τὰ ὄντα, αὐτὸ τὸ ὄν, εἰ μή τις λύσει καὶ ὁμόσε βαδιεῖται τῷ Παρμενίδου λόγῳ "οὐ γὰρ μήποτε τοῦτο δαῇς εἶναι μὴ ἐόντα," ἀλλ' ἀνάγκη εἶναι τὸ μὴ ὂν δεῖξαι ὅτι ἔστιν· οὕτω γὰρ ἐκ τοῦ ὄντος καὶ ἄλλου τινὸς τὰ ὄντα ἔσεσθαι, εἰ πολλά ἐστιν. καίτοι πρῶτον μέν, εἰ τὸ ὄν, πολλαχῶς· τὸ μὲν γὰρ ὅτι οὐσίαν σημαίνει, τὸ δ' ὅτι ποιόν, τὸ δ' ὅτι ποσόν, καὶ τὰς ἄλλας δὴ κατηγορίας. ποῖον οὖν τὰ ὄντα πάντα ἕν, εἰ μὴ τὸ μὴ ὂν ἔσται; πότερον αἱ οὐσίαι ἢ τὰ πάθη; καὶ τὰ ἄλλα δὴ ὁμοίως ἅπαντα· καὶ ἔσται ἓν τὸ τόδε καὶ τὸ τοιόνδε καὶ τὸ τοσόνδε καὶ τἆλλα ὅσα ἕν τι σημαίνει. ἀλλ' ἄτοπον, μᾶλλον δὲ ἀδύνατον, τὸ μίαν φύσιν τινὰ γενομένην αἰτίαν εἶναι τοῦ τοῦ ὄντος τὸ μὲν τόδε εἶναι, τὸ δὲ τοιόνδε, τὸ δὲ τοσόνδε, τὸ δὲ πού. ἔπειτα ἐκ ποίου μὴ ὄντος καὶ ὄντος τὰ ὄντα; πολλαχῶς γὰρ καὶ τὸ μὴ ὄν, ἐπειδὴ καὶ τὸ ὄν· καὶ τὸ μὲν μὴ ἄνθρωπον σημαίνει τὸ μὴ εἶναι τοδί, τὸ δὲ μὴ εὐθὺ τὸ μὴ εἶναι τοιονδί, τὸ δὲ μὴ τρίπηχυ τὸ μὴ εἶναι τοσονδί. ἐκ ποίου οὖν ὄντος καὶ μὴ ὄντος πολλὰ τὰ ὄντα; βούλεται μὲν δὴ τὸ ψεῦδος καὶ ταύτην τὴν φύσιν λέγειν τὸ οὐκ ὄν, ἐξ οὗ καὶ τοῦ ὄντος πολλὰ τὰ ὄντα. διὸ καὶ ἐλέγετο ὅτι δεῖ ψεῦδός τι ὑποθέσθαι, ὥσπερ καὶ οἱ γεωμέτραι τὸ ποδιαίαν εἶναι τὴν μὴ ποδιαίαν. ἀδύνατον δὲ ταῦθ' οὕτως ἔχειν. οὔτε γὰρ οἱ γεωμέτραι ψεῦδος οὐθὲν ὑποτίθενται (οὐ γὰρ ἐν τῷ συλλογισμῷ ἡ πρότασις), οὔτ' ἐκ τοῦ οὕτω μὴ ὄντος τὰ ὄντα γίγνεται οὐδὲ φθείρεται· ἀλλ' ἐπειδὴ τὸ μὲν κατὰ τὰς πτώσεις μὴ ὂν ἰσαχῶς ταῖς κατηγορίαις λέγεται, παρὰ τοῦτο δὲ τὸ ὡς ψεῦδος λέγεται τὸ μὴ ὂν καὶ τὸ κατὰ δύναμιν, ἐκ τούτου ἡ γένεσίς ἐστιν, ἐκ τοῦ μὴ ἀνθρώπου δυνάμει δὲ ἀνθρώπου ἄνθρωπος, καὶ ἐκ τοῦ μὴ λευκοῦ δυνάμει δὲ λευκοῦ λευκόν, ὁμοίως ἐάν τε ἕν τι γίγνηται ἐάν τε πολλά. φαίνεται δὲ ἡ ζήτησις πῶς πολλὰ τὸ ὂν τὸ κατὰ τὰς οὐσίας λεγόμενον· ἀριθμοὶ γὰρ καὶ μήκη καὶ σώματα τὰ γεννώμενά ἐστιν. ἄτοπον δὴ τὸ ὅπως μὲν πολλὰ τὸ ὄν, τὸ τί ἐστι ζητῆσαι, πῶς δὲ ἢ ποιὰ ἢ ποσά, μή. οὐ γὰρ δὴ ἡ δυὰς ἡ ἀόριστος αἰτία οὐδὲ τὸ μέγα καὶ τὸ μικρὸν τοῦ δύο λευκὰ ἢ πολλὰ εἶναι χρώματα ἢ χυμοὺς ἢ σχήματα· ἀριθμοὶ γὰρ ἂν καὶ ταῦτα ἦσαν καὶ μονάδες. ἀλλὰ μὴν εἴ γε ταῦτ' ἐπῆλθον, εἶδον ἂν τὸ αἴτιον καὶ τὸ ἐν ἐκείνοις· τὸ γὰρ αὐτὸ καὶ τὸ ἀνάλογον αἴτιον. αὕτη γὰρ ἡ παρέκβασις αἰτία καὶ τοῦ τὸ ἀντικείμενον ζητοῦντας τῷ ὄντι καὶ τῷ ἑνί, ἐξ οὗ καὶ τούτων τὰ ὄντα, τὸ πρός τι καὶ τὸ ἄνισον ὑποθεῖναι, ὃ οὔτ' ἐναντίον οὔτ' ἀπόφασις ἐκείνων, μία τε φύσις τῶν ὄντων ὥσπερ καὶ τὸ τί καὶ τὸ ποιόν. καὶ ζητεῖν ἔδει καὶ τοῦτο, πῶς πολλὰ τὰ πρός τι ἀλλ' οὐχ ἕν. νῦν δὲ πῶς μὲν πολλαὶ μονάδες παρὰ τὸ πρῶτον ἓν ζητεῖται, πῶς δὲ πολλὰ ἄνισα παρὰ τὸ ἄνισον οὐκέτι. καίτοι χρῶνται καὶ λέγουσι μέγα μικρόν, πολὺ ὀλίγον, ἐξ ὧν οἱ ἀριθμοί, μακρὸν βραχύ, ἐξ ὧν τὸ μῆκος, πλατὺ στενόν, ἐξ ὧν τὸ ἐπίπεδον, βαθὺ ταπεινόν, ἐξ ὧν οἱ ὄγκοι· καὶ ἔτι δὴ πλείω εἴδη λέγουσι τοῦ πρός τι. τούτοις δὴ τί αἴτιον τοῦ πολλὰ εἶναι; ἀνάγκη μὲν οὖν, ὥσπερ λέγομεν, ὑποθεῖναι τὸ δυνάμει ὂν ἑκάστῳ. τοῦτο δὲ προσαπεφήνατο ὁ ταῦτα λέγων, τί τὸ δυνάμει τόδε καὶ οὐσία, μὴ ὂν δὲ καθ' αὑτό, ὅτι τὸ πρός τι, ὥσπερ εἰ εἶπε τὸ ποιόν, ὃ οὔτε δυνάμει ἐστὶ τὸ ἓν ἢ τὸ ὄν, οὔτε ἀπόφασις τοῦ ἑνὸς οὐδὲ τοῦ ὄντος, ἀλλ' ἕν τι τῶν ὄντων. πολύ τε μᾶλλον, ὥσπερ ἐλέχθη, εἰ ἐζητεῖτο πῶς πολλὰ τὰ ὄντα, μὴ τὰ ἐν τῇ αὐτῇ κατηγορίᾳ ζητεῖν, πῶς πολλαὶ οὐσίαι ἢ πολλὰ ποιά, ἀλλὰ πῶς πολλὰ τὰ ὄντα· τὰ μὲν γὰρ οὐσίαι, τὰ δὲ πάθη, τὰ δὲ πρός τι. ἐπὶ μὲν οὖν τῶν ἄλλων κατηγοριῶν ἔχει τινὰ καὶ ἄλλην ἐπίστασιν πῶς πολλά· διὰ γὰρ τὸ μὴ χωριστὰ εἶναι τῷ τὸ ὑποκείμενον πολλὰ γίγνεσθαι καὶ εἶναι ποιά τε πολλὰ εἶναι καὶ ποσά. καίτοι δεῖ γέ τινα εἶναι ὕλην ἑκάστῳ γένει· πλὴν χωριστὴν ἀδύνατον τῶν οὐσιῶν. ἀλλ' ἐπὶ τῶν τόδε τι ἔχει τινὰ λόγον, πῶς πολλὰ τὸ τόδε τι, εἰ μή τι ἔσται καὶ τόδε τι καὶ φύσις τις τοιαύτη. αὕτη δέ ἐστιν ἐκεῖθεν μᾶλλον ἡ ἀπορία, πῶς πολλαὶ ἐνεργείᾳ οὐσίαι ἀλλ' οὐ μία. ἀλλὰ μὴν καὶ εἰ μὴ ταὐτόν ἐστι τὸ τόδε καὶ τὸ ποσόν, οὐ λέγεται πῶς καὶ διὰ τί πολλὰ τὰ ὄντα, ἀλλὰ πῶς ποσὰ πολλά. ὁ γὰρ ἀριθμὸς πᾶς ποσόν τι σημαίνει· καὶ ἡ μονάς, εἰ μὴ μέτρον, ὅτι τὸ κατὰ τὸ ποσὸν ἀδιαίρετον. εἰ μὲν οὖν ἕτερον τὸ ποσὸν καὶ τὸ τί ἐστιν, οὐ λέγεται

1. ἐπιτροπῆς T. ‖ 3. βαδιεῖται om T. ‖ 4. δαμῇ E, δυνάμει T, οὐδαμῇ $A^bG^bI^b$. ‖ ἐῶντα A^b. ‖ 5. ἀνάγκην G^b. ‖ εἶναι om T. ‖ οὕτω] ὄντως E. ‖ 8. τὸ δ' ὅτι ποσόν et 10. μὴ et 11. δὴ om G^b. ‖ 11. ἢ πάντα I^b, ἢ ἅπαντα G^b. ‖ καὶ τὸ τοσόνδε om G^b, τὸ om T. ‖ 12. ἄλλα G^b. ‖ ἓν om E. ‖ 14. τοῦ τοῦ] τοῦ T, καὶ τούτου καὶ ὄντος εἶναι τοῦ A^b. ‖ εἶναι τόδε G^bI^b. ‖ τοιόνδε om A^b. ‖ 15. ἐκ τοῦ ποίου G^b. ‖ 22. δὴ G^b, om E. ‖ καὶ om G^b. ‖ 23. τὸ] τὴν T. ‖ 25. λογισμῷ G^b. ‖ 28. τὸ ante μὴ om T. ‖ 31. τι om EG^b. ‖ 33. τὰ om T. ‖ 34. δὴ τὸ] δὲ τὸ I^b, δὲ καὶ G^b. ‖ ἐστι] ἐπι G^b. ‖ 36. αἰτία] οὐσία G^b.

2. καὶ om G^b. ‖ ἐπῆλθεν E. ‖ 4. τὸ τὸ E, τοῦτο G^b. ‖ 5. ζητοῦντα E. ‖ 9. τὰ] τὸ A^b. ‖ 14. ὄγκοι· ἔτι δὲ εἴδη πλείω λέγουσι T. ‖ 16. δυνάμενον ἑκάστῳ A^b. ‖ 18. εἰ om G^b. ‖ 19. οὐδὲ] οὔτε codices. ‖ 21. ἐλέχθη] εἰ ἐλέχθη καὶ G^b. ‖ ἐζήτει τὸ G^b, ἐζήτει T A^b. ‖ τῇ om G^b. ‖ 26. τῷ τὸ] τό τι T. ‖ 31. οὖσαι E. ‖ 32. οὐ om G^b. ‖ εἰ καὶ G^bI^b. ‖ 34. ὁ γὰρ — 1090 a 1. πῶς πολλά om T. ‖ 35. τὸ post κατὰ om I^b.

τὸ τί ἐστιν ἐκ τίνος οὐδὲ πῶς πολλά· εἰ δὲ ταὐτό, πολλὰς ὑπομένει ὁ λέγων ἐναντιώσεις. ἐπιστήσειε δ' ἄν τις τὴν σκέψιν καὶ περὶ τῶν ἀριθμῶν πόθεν δεῖ λαβεῖν τὴν πίστιν ὡς εἰσίν. τῷ μὲν γὰρ ἰδέας τιθεμένῳ παρέχονταί τιν' αἰτίαν τοῖς οὖσιν, εἴπερ ἕκαστος τῶν ἀριθμῶν ἰδέα τις, ἡ δ' ἰδέα τοῖς ἄλλοις αἰτία τοῦ εἶναι ὃν δή ποτε τρόπον· ἔστω γὰρ ὑποκείμενον αὐτοῖς τοῦτο. τῷ δὲ τοῦτον μὲν τὸν τρόπον οὐκ οἰομένῳ διὰ τὸ τὰς ἐνούσας δυσχερείας ὁρᾶν περὶ τὰς ἰδέας, ὥστε διά γε ταῦτα μὴ ποιεῖν ἀριθμούς, ποιοῦντι δὲ ἀριθμὸν τὸν μαθηματικόν, πόθεν τε χρὴ πιστεῦσαι ὡς ἔστι τοιοῦτος ἀριθμός, καὶ τί τοῖς ἄλλοις χρήσιμος; οὐθενὸς γὰρ οὔτε φησὶν ὁ λέγων αὐτὸν εἶναι, ἀλλ' ὡς αὐτήν τινα λέγει καθ' αὑτὴν φύσιν οὖσαν, οὔτε φαίνεται ὢν αἴτιος· τὰ γὰρ θεωρήματα τῶν ἀριθμητικῶν πάντα καὶ κατὰ τῶν αἰσθητῶν ὑπάρξει, καθάπερ ἐλέχθη.

3 Οἱ μὲν οὖν τιθέμενοι τὰς ἰδέας εἶναι καὶ ἀριθμοὺς αὐτὰς εἶναι, κατὰ τὴν ἔκθεσιν ἑκάστου παρὰ τὰ πολλὰ λαμβάνειν, τὸ ἕν τι ἕκαστον πειρῶνταί γε λέγειν πῶς καὶ διὰ τί ἐστιν. οὐ μὴν ἀλλ' ἐπεὶ οὔτε ἀναγκαῖα οὔτε δυνατὰ ταῦτα, οὐδὲ τὸν ἀριθμὸν διά γε ταῦτα εἶναι λεκτέον. οἱ δὲ Πυθαγόρειοι διὰ τὸ ὁρᾶν πολλὰ τῶν ἀριθμῶν πάθη ὑπάρχοντα τοῖς αἰσθητοῖς σώμασιν, εἶναι μὲν ἀριθμοὺς ἐποίησαν τὰ ὄντα, οὐ χωριστοὺς δέ, ἀλλ' ἐξ ἀριθμῶν τὰ ὄντα. διὰ τί δέ; ὅτι τὰ πάθη τὰ τῶν ἀριθμῶν ἐν ἁρμονίᾳ ὑπάρχει καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν πολλοῖς ἄλλοις. τοῖς δὲ τὸν μαθηματικὸν μόνον λέγουσιν εἶναι ἀριθμὸν οὐθὲν τοιοῦτον ἐνδέχεται λέγειν κατὰ τὰς ὑποθέσεις, ἀλλ' ὅτι οὐκ ἔσονται αὐτῶν αἱ ἐπιστῆμαι ἐλέγετο. ἡμεῖς δέ φαμεν εἶναι, καθάπερ εἴπομεν πρότερον. καὶ δῆλον ὅτι οὐ κεχώρισται τὰ μαθηματικά· οὐ γὰρ ἂν κεχωρισμένων τὰ πάθη ὑπῆρχεν ἐν τοῖς σώμασιν. οἱ μὲν οὖν Πυθαγόρειοι κατὰ μὲν τὸ τοιοῦτον οὐθενὶ ἔνοχοί εἰσιν· κατὰ μέντοι τὸ ποιεῖν ἐξ ἀριθμῶν τὰ φυσικὰ σώματα, ἐκ μὴ ἐχόντων βάρος μηδὲ κουφότητα ἔχοντα κουφότητα καὶ βάρος, ἐοίκασι περὶ ἄλλου οὐρανοῦ λέγειν καὶ σωμάτων ἀλλ' οὐ τῶν αἰσθητῶν. οἱ δὲ χωριστὸν ποιοῦντες, ὅτι ἐπὶ τῶν αἰσθητῶν οὐκ ἔσται τὰ ἀξιώματα, ἀληθῆ δὲ τὰ λεγόμενα καὶ σαίνει τὴν ψυχήν, εἶναί τε ὑπολαμβάνουσι καὶ χωριστὰ εἶναι· ὁμοίως δὲ καὶ τὰ μεγέθη τὰ μαθηματικά. δῆλον οὖν ὅτι καὶ ὁ ἐναντιούμενος λόγος τἀναντία ἐρεῖ· καὶ ὃ ἄρτι ἠπορήθη λυτέον τοῖς οὕτω λέγουσι, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τὰ πάθη ὑπάρχει αὐτῶν ἐν τοῖς αἰσθητοῖς. εἰσὶ δέ τινες οἳ ἐκ τοῦ πέρατα εἶναι καὶ ἔσχατα τὴν στιγμὴν μὲν γραμμῆς, ταύτην δ' ἐπιπέδου, τοῦτο δὲ τοῦ στερεοῦ, οἴονται εἶναι ἀνάγκην τοιαύτας φύσεις εἶναι. δεῖ δὴ καὶ τοῦτον ὁρᾶν τὸν λόγον, μὴ λίαν ᾖ μαλακός. οὔτε γὰρ οὐσίαι εἰσὶ τὰ ἔσχατα ἀλλὰ μᾶλλον πάντα ταῦτα πέρατα. ἐπεὶ καὶ τῆς βαδίσεως καὶ ὅλως κινήσεώς ἐστί τι πέρας. τοῦτ' οὖν ἔσται τόδε τι καὶ οὐσία τις. ἀλλ' ἄτοπον. οὐ μὴν ἀλλὰ εἰ καὶ εἰσί, τῶνδε τῶν αἰσθητῶν ἔσονται πάντα· ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκεν. διὰ τί οὖν χωριστὰ ἔσται; ἔτι δὲ ἐπιζητήσειεν ἄν τις μὴ λίαν εὐχερὴς ὢν περὶ μὲν τοῦ ἀριθμοῦ παντὸς καὶ τῶν μαθηματικῶν τὸ μηθὲν συμβάλλεσθαι ἀλλήλοις τὰ πρότερα τοῖς ὕστερον· μὴ ὄντος γὰρ τοῦ ἀριθμοῦ οὐθὲν ἧττον τὰ μεγέθη ἔσται τοῖς τὰ μαθηματικὰ μόνον εἶναι φαμένοις, καὶ τούτων μὴ ὄντων ἡ ψυχὴ καὶ τὰ σώματα τὰ αἰσθητά. οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία. τοῖς δὲ τὰς ἰδέας τιθεμένοις τοῦτο μὲν ἐκφεύγει· ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ, ἐκ μὲν τῆς δυάδος τὰ μήκη, ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεὰ ἢ καὶ ἐξ ἄλλων ἀριθμῶν· διαφέρει γὰρ οὐθέν. ἀλλὰ ταῦτά γε πότερον ἰδέαι ἔσονται, ἢ τίς ὁ τρόπος αὐτῶν, καὶ τί συμβάλλονται τοῖς οὖσιν; οὐθὲν γάρ, ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὐδὲ ταῦτα συμβάλλεται. ἀλλὰ μὴν οὐδ' ὑπάρχει γε κατ' αὐτῶν οὐθὲν θεώρημα, ἐὰν μή τις βούληται κινεῖν τὰ μαθηματικὰ καὶ ποιεῖν ἰδίας τινὰς δόξας. ἔστι δ' οὐ χαλεπὸν ὁποιασοῦν ὑποθέσεις λαμβάνοντας μακροποιεῖν καὶ συνείρειν. οὗτοι μὲν οὖν ταύτῃ προσγλιχόμενοι ταῖς ἰδέαις τὰ μαθηματικὰ διαμαρτάνουσιν· οἱ δὲ πρῶτοι δύο τοὺς ἀριθμοὺς ποιήσαντες, τόν τε τῶν εἰδῶν καὶ τὸν μαθηματικόν, ἄλλον οὐδαμῶς οὔτ' εἰρήκασιν οὔτ' ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔσται ὁ μαθηματικός. ποιοῦσι γὰρ αὐτὸν μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ. εἰ μὲν γὰρ ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ὁ αὐτὸς ἐκείνῳ ἔσται τῷ τῶν ἰδεῶν, ἐξ ἄλλου δέ τινος μικροῦ

4. γὰρ om G^b. ‖ 5. ἡ] εἰ G^b. ‖ 7. αὐτοῖς ὑποκείμενον G^bI^b. ‖ 10. τί *T.* ‖ 12. ὡς om *E.* ‖ 14. ἀρ.] μαθηματικῶν ἀριθμῶν I^b. ‖ 18. γε om TG^b. ‖ καὶ om *E.* ‖ 23. τὰ] δὲ τὰ *T.* ‖ 24. παθητικὰ τῶν G^b. ‖ ἐναρμόνια A^b. ‖ 28. ἐλέγοντο *T.* ‖ 31. τὸ om G^b. ‖ 33. μηδὲ] οὐδὲ EG^bI^b. ‖ 37. τι G^bI^b.

1. τὰ μεγέθη om *T.* ‖ 3. λύεται TA^bG^b. ‖ 6. μὲν om G^b. ‖ τοῦ om G^bI^b. ‖ 7. ἀνάγκη *T.* ‖ 9. ταῦτα πάντα TA^b. ‖ 10. τι om *T.* ‖ 11. ἐστὶ *ET.* ‖ τόδε τι καὶ om G^b. ‖ 13. ἔσται] ἐστιν *E.* ‖ 14. ζητήσειεν *T.* ‖ μὲν οὖν τοῦ TI^b. ‖ 16. ὑστέροις G^b. ‖ 17. τὰ post τοῖς om *T.* ‖ 18. τούτων] τῶν *T.* ‖ 22. ἐκ τῆς τριάδος *T.* ‖ 25. πρότερον I^b. ‖ τίς om *T.* ‖ 26. οὐδὲ om G^b. ‖ 27. κατ' αὐτῶν] τούτων *E.* ‖ 30. μακρὸν ποιεῖν *E.* ‖ 33. ἰδεῶν *E.* ‖ τῶν G^bI^b. ‖ μαθηματικῶν $A^bG^bI^b$. ‖ ἄλλον οὐδαμῶς om A^b, οὐδαμῶς om *E.* ‖ 35. μαθηματικὸς κατ' ἐκεῖνον. ποιοῦσι *T.* ‖ εἰδικοῦ A^b. ‖ 36. ὁ — 37. μικροῦ om *T.* ‖ 37. ἐκεῖνος G^bI^b. ‖ εἰδῶν G^bI^b.

μεγέθη, καὶ τὸ κακὸν τοῦ ἀγαθοῦ χώραν εἶναι, καὶ μετέχειν καὶ ὀρέγεσθαι τοῦ φθαρτικοῦ· φθαρτικὸν γὰρ τοῦ ἐναντίου τὸ ἐναντίον. καὶ εἰ ὥσπερ ἐλέγομεν ὅτι ἡ ὕλη ἐστὶ τὸ δυνάμει ἕκαστον, οἷον πυρὸς τοῦ ἐνεργείᾳ τὸ δυνάμει πῦρ, τὸ κακὸν ἔσται αὐτὸ τὸ δυνάμει ἀγαθόν. ταῦτα δὴ πάντα συμβαίνει, τὸ μὲν ὅτι ἀρχὴν πᾶσαν στοιχεῖον ποιοῦσι, τὸ δ' ὅτι τἀναντία ἀρχάς, τὸ δ' ὅτι τὸ ἓν ἀρχήν, τὸ δ' ὅτι τοὺς ἀριθμοὺς τὰς πρώτας οὐσίας καὶ χωριστὰς καὶ εἴδη.

5 Εἰ οὖν καὶ τὸ μὴ τιθέναι τὸ ἀγαθὸν ἐν ταῖς ἀρχαῖς καὶ τὸ τιθέναι οὕτως ἀδύνατον, δῆλον ὅτι αἱ ἀρχαὶ οὐκ ὀρθῶς ἀποδίδονται οὐδὲ αἱ πρῶται οὐσίαι. οὐκ ὀρθῶς δ' ὑπολαμβάνει οὐδ' εἴ τις παρεικάζει τὰς τοῦ ὅλου ἀρχὰς τῇ τῶν ζῴων καὶ φυτῶν, ὅτι ἐξ ἀορίστων ἀτελῶν δὲ ἀεὶ τὰ τελειότερα, διὸ καὶ ἐπὶ τῶν πρώτων οὕτως ἔχειν φησίν, ὥστε μηδὲ ὄν τι εἶναι τὸ ἓν αὐτό. εἰσὶ γὰρ καὶ ἐνταῦθα τέλειαι αἱ ἀρχαὶ ἐξ ὧν ταῦτα· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ οὐκ ἔστι τὸ σπέρμα πρῶτον. ἄτοπον δὲ καὶ τὸ τόπον ἅμα τοῖς στερεοῖς καὶ τοῖς μαθηματικοῖς ποιῆσαι (ὁ μὲν γὰρ τόπος τῶν καθ' ἕκαστον ἴδιος, διὸ χωριστὰ τόπῳ, τὰ δὲ μαθηματικὰ οὐ πού), καὶ τὸ εἰπεῖν μὲν ὅτι πού ἔσται, τί δέ ἐστιν ὁ τόπος, μή. ἔδει δὲ τοὺς λέγοντας ἐκ στοιχείων εἶναι τὰ ὄντα καὶ τῶν ὄντων τὰ πρῶτα τοὺς ἀριθμούς, διελομένους πῶς ἄλλο ἐξ ἄλλου ἐστίν, οὕτω λέγειν τίνα τρόπον ὁ ἀριθμός ἐστιν ἐκ τῶν ἀρχῶν. πότερον μίξει; ἀλλ' οὔτε πᾶν μικτόν, τό τε γιγνόμενον ἕτερον, οὐκ ἔσται τε χωριστὸν τὸ ἓν οὐδ' ἑτέρα φύσις· οἱ δὲ βούλονται. ἀλλὰ συνθέσει, ὥσπερ συλλαβήν; ἀλλὰ θέσιν τε ἀνάγκη ὑπάρχειν, καὶ χωρὶς ὁ νοῶν νοήσει τὸ ἓν καὶ τὸ πλῆθος. τοῦτ' οὖν ἔσται ὁ ἀριθμός, μονὰς καὶ πλῆθος, ἢ τὸ ἓν καὶ ἄνισον. καὶ ἐπεὶ τὸ ἔκ τινων εἶναι ἔστι μὲν ὡς ἐνυπαρχόντων ἔστι δὲ ὡς οὔ, ποτέρως ὁ ἀριθμός; οὕτως γὰρ ὡς ἐνυπαρχόντων οὐκ ἔστιν ἀλλ' ἢ ὧν γένεσίς ἐστιν. ἀλλ' ὡς ἀπὸ σπέρματος; ἀλλ' οὐχ οἷόν τε τοῦ ἀδιαιρέτου τι ἀπελθεῖν. ἀλλ' ὡς ἐκ τοῦ ἐναντίου μὴ ὑπομένοντος; ἀλλ' ὅσα οὕτως ἐστί, καὶ ἐξ ἄλλου τινός ἐστιν ὑπομένοντος. ἐπεὶ τοίνυν τὸ ἓν ὁ μὲν τῷ πλήθει ὡς ἐναντίον τίθησιν, ὁ δὲ τῷ ἀνίσῳ, ὡς ἴσῳ τῷ ἑνὶ χρώμενος, ὡς ἐξ ἐναντίων εἴη ἂν ὁ ἀριθμός. ἔστιν ἄρα τι ἕτερον ἐξ οὗ ὑπομένοντος καὶ θατέρου ἐστὶν ἢ γέγονεν. ἔτι τί δή ποτε τὰ μὲν ἄλλ' ὅσα ἐξ ἐναντίων ἢ οἷς ἐστὶν ἐναντία φθείρεται, κἂν ἐκ παντὸς ᾖ, ὁ δὲ ἀριθμὸς οὔ; περὶ τούτου γὰρ οὐθὲν λέγεται. καίτοι καὶ ἐνυπάρχον καὶ μὴ ἐνυπάρχον φθείρει τὸ ἐναντίον, οἷον τὸ νεῖκος, τὸ μῖγμα. καίτοι οὐκ ἔδει· οὐ γὰρ ἐκείνῳ γε ἐναντίον. οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι, οἷον αἱ στιγμαὶ τῶν μεγεθῶν, καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, οἷον ὁδὶ μὲν ἀνθρώπου, ὁδὶ δὲ ἵππου, ὥσπερ οἱ τοὺς ἀριθμοὺς ἄγοντες εἰς τὰ σχήματα τρίγωνον καὶ τετράγωνον, οὕτως ἀφομοιῶν ταῖς ψήφοις τὰς μορφὰς τῶν φυτῶν. ἢ ὅτι ὁ λόγος ἡ συμφωνία ἀριθμῶν, ὁμοίως δὲ καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον; τὰ δὲ δὴ πάθη πῶς ἀριθμοί, τὸ λευκὸν καὶ γλυκὺ καὶ τὸ θερμόν; ὅτι δὲ οὐχ οἱ ἀριθμοὶ οὐσίαι οὐδὲ τῆς μορφῆς αἴτιοι, δῆλον· ὁ γὰρ λόγος ἡ οὐσία, ὁ δ' ἀριθμὸς ὕλη. οἷον σαρκὸς ἢ ὀστοῦ ἀριθμὸς ἡ οὐσία. οὕτω τρία πυρός, γῆς δὲ δύο· καὶ ἀεὶ ὁ ἀριθμὸς ὃς ἂν ᾖ τινῶν ἐστίν, ἢ πύρινος ἢ γήϊνος ἢ μοναδικός. ἀλλ' ἡ οὐσία τὸ τοσόνδ' εἶναι πρὸς τοσόνδε κατὰ τὴν μῖξιν· τοῦτο δ' οὐκέτι ἀριθμὸς ἀλλὰ λόγος μίξεως ἀριθμῶν σωματικῶν ἢ ὁποιωνοῦν. οὔτε οὖν τῷ ποιῆσαι αἴτιος ὁ ἀριθμός, οὔτε ὅλως ὁ ἀριθμὸς οὔτε ὁ μοναδικός, οὔτε ὕλη οὔτε λόγος καὶ εἶδος τῶν πραγμάτων. ἀλλὰ μὴν οὐδ' ὡς τὸ οὗ ἕνεκα.

Ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστὶ τὸ ἀπὸ τῶν ἀριθμῶν, τὸ ἐν ἀριθμῷ εἶναι τὴν μῖξιν, ἢ ἐν εὐλογίστῳ ἢ ἐν περιττῷ. νυνὶ γὰρ οὐθὲν ὑγιεινότερον τρὶς τρία ἂν ᾖ τὸ μελίκρατον κεκραμένον, ἀλλὰ μᾶλλον ὠφελήσειεν ἂν ἐν οὐθενὶ λόγῳ ὂν ὑδαρὲς δὲ ἢ ἐν ἀριθμῷ ἄκρατον ὄν. ἔτι οἱ λόγοι ἐν προσθέσει ἀριθμῶν εἰσίν, οἱ τῶν μίξεων, οὐκ ἐν ἀριθμοῖς, οἷον τρία πρὸς δύο, ἀλλ' οὐ τρὶς δύο. τὸ γὰρ αὐτὸ δεῖ γένος εἶναι ἐν ταῖς πολλαπλασιώσεσιν. ὥστε δεῖ μετρεῖσθαι τῷ τε Α τὸν στοῖχον ἐφ' οὗ ΑΒΓ καὶ τῷ Δ τὸν ΔΕΖ· ὥστε τῷ αὐτῷ πάντα. οὐκοῦν ἔσται πυρὸς ΒΕΓΖ,

1. εἶναι] ὂν *T*. ‖ 2. τὸ ἐναντίον τοῦ ἐναντίου G^b. ‖ 3. ὅτι om *T*. ‖ 8. χωριστὰ I^b. ‖ 9. μὴ μετιέναι G^b. ‖ 11. αἱ om *E*. ‖ δ' om G^b. ‖ 12. τῇ] τι *E*. ‖ 15. αἱ om *T*. ‖ 16. ταῦτα αὐτά· ἄνθρωπος I^b. ‖ ἄνθρωπον om G^b. ‖ 17. καὶ τὸν τόπον *E*. ‖ 18. καὶ om TA^b. ‖ 19. ἕκαστα ὢν ἀΐδιος *T*. ‖ 20. τί] τὸ *T*. ‖ 27. τε om *E*. ‖ 28. ἔσται οὖν A^b. ‖ ὁ om *T*. ‖ 33. ἀδιαίρετόν TA^b. ‖ 34. ἐστιν om I^b.

2. ἐναντίου G^bI^b. ‖ 4. οἷοις *T*. ‖ ἐναντία] ὑπάρχον G^b. ‖ κἂν — 6. φθείρει om G^b. ‖ 6. καὶ μὴ ἐνυπάρχον om *E*. ‖ φθείρεται I^b. ‖ 7. καίτοιγε $TA^bG^bI^b$. ‖ ἐκείνω $A^bG^bI^b$. ‖ 9. αἴτιον I^b. ‖ πρότερον I^b. ‖ ὅρος *E*, σωροὶ *T*, οἱ ὅροι G^bI^b. ‖ οἷος *T*. ‖ αἱ om TA^b. ‖ 13. ἀφ' ὁμοίων I^b. ‖ 14. καὶ] καὶ ὡς *T*, καὶ ὁ G^b. ‖ 15. καὶ om G^b. ‖ 16. τὸ om *T*. ‖ 17. οὐσία *ET*. ‖ ἡ om *T*. ‖ 18. ἢ] ἢ ἡ *ET*. ‖ 19. ὃς] ὡς *T*. ‖ 21. πρὸς τὸ τοσόνδε *T*. ‖ οὐκ ἔστιν EG^b. ‖ 22. μίξεων G^bI^b. ‖ ἢ om *T*. ‖ 23. τοῦ *T*. ‖ οὔτε ὅλως ὁ ἀριθμὸς om *T*, ὁ om A^b. ‖ 24. ὁ] εἰ *T*. ‖ 27. εὐλογίστῳ ἢ *E*. ‖ 29. ἂν om *T*. ‖ 30. δὲ om G^b. ‖ 31. ἐν τοῖς ἀριθμοῖς *T*. ‖ 33. πολλαπλασιάσεσιν G^bI^b. ‖ δεῖ] εἰ *T*, om G^b. ‖ 34. τῷ] τὸ G^bI^b. ‖ ἐφ' οὗ om G^b. ‖ 35. ΔΕ om G^b.

ὕδατος ἀριθμὸς δὶς τρία. εἰ δ' ἀνάγκη πάντα ἀριθμȣ̃
νεῖν, ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτά, καὶ ἀριθμὸν
υὐτὸν τῷδε καὶ ἄλλῳ. ἆρ' οὖν τοῦτ' αἴτιον καὶ διὰ
ἐςι τὸ πρᾶγμα, ἢ ἄδηλον; οἷον ἔςι τις τῶν τοῦ ἡλίȣ
ἀριθμός, καὶ πάλιν τῶν τῆς σελήνης, καὶ τῶν ζῴων
ιάςȣ τοῦ βίȣ καὶ ἡλικίας· τί οὖν κωλύει ἐνίȣς μὲν τȣ-
τετραγώνους εἶναι, ἐνίους δὲ κύβους καὶ ἴσους, τοὺς
πλασίȣς; οὐθὲν γὰρ κωλύει, ἀλλ' ἀνάγκη ἐν τούτοις
ρεσθαι, εἰ ἀριθμοῦ πάντα ἐκοινώνει, ἐνεδέχετό τε τὰ
έροντα ὑπὸ τὸν αὐτὸν ἀριθμὸν πίπτειν. ὥςʼ εἴ τισιν ὁ
ς ἀριθμὸς συνεβεβήκει, ταὐτὰ ἂν ἦν ἀλλήλοις ἐκεῖνα
ὑτὸ εἶδος ἀριθμοῦ ἔχοντα, οἷον ἥλιος καὶ σελήνη τὰ
. ἀλλὰ διὰ τί αἴτια ταῦτα; ἑπτὰ μὲν φωνήεντα,
δὲ χορδαὶ ἢ ἁρμονίαι, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ
όντας βάλλει ἔνιά γε, ἔνια δ' οὔ· ἑπτὰ δὲ οἱ ἐπὶ
ες. ἆρ' οὖν ὅτι τοιοσδὶ ὁ ἀριθμὸς πέφυκεν, διὰ τοῦτο
εῖνοι ἐγένοντο ἑπτὰ ἢ ἡ πλειὰς ἑπτὰ ἀςέρων ἐςίν; ἢ
ν διὰ τὰς πύλας ἢ ἄλλην τινὰ αἰτίαν, τὴν δὲ ἡμεῖς
ἀριθμοῦμεν; τὴν δὲ ἄρκτον γε δώδεκα, οἱ δὲ πλείȣς.
καὶ τὸ ΞΨΖ συμφωνίας φασὶν εἶναι, καὶ ὅτι ἐκεῖναι
καὶ ταῦτα τρία. ὅτι δὲ μυρία ἂν εἴη τοιαῦτα, οὐθὲν
· τὸ γὰρ Γ καὶ Ρ εἴη ἂν ἓν σημεῖον. εἰ δ' ὅτι διπλά-
τῶν ἄλλων ἕκαςον, ἄλλο δ' οὔ, αἴτιον δ' ὅτι τριῶν
τόπων ἓν ἐφ' ἑκάςȣ ἐπιφέρεται τῷ σίγμα, διὰ τȣ̃το
μόνον ἐστίν, ἀλλ' οὐχ ὅτι αἱ συμφωνίαι τρεῖς, ἐπεὶ
ς γε αἱ συμφωνίαι· ἐνταῦθα δ' ȣ̓κέτι δύναται. ὅμοιοι
ὶ οὗτοι τοῖς ἀρχαίοις Ὁμηρικοῖς, οἳ μικρὰς ὁμοιότη-
ορῶσι, μεγάλας δὲ παρορῶσιν. λέγουσι δέ τινες ὅτι
ὰ τοιαῦτα, οἷον αἵ τε μέσαι ἡ μὲν ἐννέα ἡ δὲ ὀκτώ,
ὁ ἔπος δεκαεπτά, ἰσάριθμον τούτοις· βαίνεται δ' ἐν

μὲν τῷ δεξιῷ ἐννέα συλλαβαῖς, ἐν δὲ τῷ ἀριστερῷ ὀκτώ. καὶ ὅτι ἴσον τὸ διάςημα ἔν τε τοῖς γράμμασιν ἀπὸ τοῦ Α πρὸς τὸ Ω, καὶ ἀπὸ τοῦ βόμβυκος ἐπὶ τὴν ὀξυτάτην νεάτην ἐν αὐλοῖς, ἧς ὁ ἀριθμὸς ἴσος τῇ οὐλομελείᾳ τȣ̃ ȣ̓ρανȣ̃. ὁρᾶν δὲ δεῖ μὴ τοιαῦτα οὐθεὶς ἂν ἀπορήσειεν οὔτε λέγειν οὔθ' εὑρίσκειν ἐν τοῖς ἀϊδίοις, ἐπεὶ καὶ ἐν τοῖς φθαρτοῖς. ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις αἱ ἐπαινούμεναι καὶ τὰ τούτοις ἐναντία καὶ ὅλως τὰ ἐν τοῖς μαθήμασιν, ὡς μὲν λέγουσί τινες καὶ αἴτια ποιοῦσι τῆς φύσεως, ἔοικεν οὑτωσί γε σκοπουμένοις διαφεύγειν· κατ' οὐθένα γὰρ τρόπον τῶν διωρισμένων περὶ τὰς ἀρχὰς ȣ̓θὲν αὐτῶν αἴτιόν ἐςιν. ἐκεῖνο μέντοι ποιοῦσι φανερὸν ὅτι τὸ εὖ ὑπάρχει καὶ τῆς συστοιχίας ἐςὶ τῆς τοῦ καλοῦ τὸ περιττόν, τὸ εὐθύ, τὸ ἴσον, αἱ δυνάμεις ἐνίων ἀριθμῶν· ἅμα γὰρ ὧραι καὶ ἀριθμὸς τοιοσδί· καὶ τἆλλα δὴ ὅσα συνάγουσιν ἐκ τῶν μαθηματικῶν θεωρημάτων πάντα ταύτην ἔχει τὴν δύναμιν. διὸ καὶ ἔοικε συμπτώμασιν· ἔστι γὰρ συμβεβηκότα μέν, ἀλλ' οἰκεῖα ἀλλήλοις πάντα, ἓν δὲ τὸ ἀνάλογον· ἐν ἑκάστῃ γὰρ τοῦ ὄντος κατηγορίᾳ ἐςὶ τὸ ἀνάλογον, ὡς εὐθὺ ἐν μήκει, ȣ̔́τως ἐν πλάτει τὸ ὁμαλὸν ἴσως, ἐν ἀριθμῷ τὸ περιττόν, ἐν δὲ χρόᾳ τὸ λευκόν. ἔτι οὐχ οἱ ἐν τοῖς εἴδεσιν ἀριθμοὶ αἴτιοι τῶν ἁρμονικῶν καὶ τῶν τοιούτων· διαφέρουσι γὰρ ἐκεῖνοι ἀλλήλων οἱ ἴσοι εἴδει· καὶ γὰρ αἱ μονάδες, ὥστε διά γε ταῦτα εἴδη οὐ ποιητέον. τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη. ἔοικε δὲ τεκμήριον εἶναι τὸ πολλὰ κακοπαθεῖν περὶ τὴν γένεσιν αὐτῶν καὶ μηθένα τρόπον δύνασθαι συνεῖραι τοῦ μὴ χωριςὰ εἶναι τὰ μαθηματικὰ τῶν αἰσθητῶν, ὡς ἔνιοι λέγουσι, μηδὲ ταύτας εἶναι τὰς ἀρχάς.

. μὲν τούτων om G^b. ‖ 10. αὐτὸν post ἀριθμὸν T, om G^b. ‖ τις T. ‖ 11. ταῦτα TA^bG^b. ‖ 12. οἷον — 13. αὐτά om G^bI^b. ‖
ἀσημεῖα E. ‖ 15. ἔνιά γε om E. ‖ 16. ὅτι om T. ‖ τοιόσδ' G^b. ‖ πέφυκεν om G^bI^b. ‖ 18. ἢ δι' ἄλλην G^b. ‖ 20. συμφωνίαν
22. μέλλει E. ‖ τῷ EA^b. ‖ 24. ἀφ' T. ‖ τὸ G^b. ‖ 25. ὅθ' A^b. ‖ 29. ἡ δὲ] αἱ δὲ T.
. συλλαβὰς T, συλλαβαὶ EG^b. ‖ 2. πράγμασιν E. ‖ 3. Ω] β G^bI^b. ‖ 4. ἰσότης ETA^b. ‖ τȣ̃] τε τȣ̃ E. ‖ 5. δεῖ] δὴ E, δεῖ
‖ 7. φύσεις ὡς αἱ G^b. ‖ 9. οὕτω οἵγε T. ‖ 10. σκοπούμενοι TI^b. ‖ διαφεύγει T. ‖ 11. ἓν A^b. ȣ̓θὲν — 13. ἴσον om T. ‖ 11.
ὡς A^b, om E. ‖ 12. καὶ et συστοιχίας om E. ‖ 13. ἐςὶ] ταύτης ἐςὶ G^bI^b. ‖ ἰσάριθμον E, ἰσάκις ἴσον G^bI^b. ‖ αἱ] καὶ T, καὶ
I^b. ‖ 14. τοιόσδε T. ‖ 15. δ' T. ‖ 18. τὸ] τῷ EI^b. ‖ 21. χροίᾳ TA^b. ‖ 22. ἀλλήλων ἐκεῖνοι G^bI^b. ‖ 23. διά om E. ‖ 24.
E. ‖ 25. συναχθῇ T. ‖ 26. τόπον T, λοιπὸν E. ‖ 27. συϊδεῖν E.

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ Α.

Πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ· διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντ' ἐφίεται. διαφορὰ δέ τις φαίνεται τῶν τελῶν· τὰ μὲν γάρ εἰσιν ἐνέργειαι, τὰ δὲ παρ' αὐτὰς ἔργα τινά. ὧν δ' εἰσὶ τέλη τινὰ παρὰ τὰς πράξεις, ἐν τούτοις βελτίω πέφυκε τῶν ἐνεργειῶν τὰ ἔργα. πολλῶν δὲ πράξεων οὐσῶν καὶ τεχνῶν καὶ ἐπιστημῶν πολλὰ γίνεται καὶ τὰ τέλη· ἰατρικῆς μὲν γὰρ ὑγίεια, ναυπηγικῆς δὲ πλοῖον, στρατηγικῆς δὲ νίκη, οἰκονομικῆς δὲ πλοῦτος. ὅσαι δ' εἰσὶ τῶν τοιούτων ὑπὸ μίαν τινὰ δύναμιν, καθάπερ ὑπὸ τὴν ἱππικὴν ἡ χαλινοποιικὴ καὶ ὅσαι ἄλλαι τῶν ἱππικῶν ὀργάνων εἰσίν· αὕτη δὲ καὶ πᾶσα πολεμικὴ πρᾶξις ὑπὸ τὴν στρατηγικήν· τὸν αὐτὸν δὴ τρόπον ἄλλαι ὑφ' ἑτέρας· ἐν ἁπάσαις δὲ τὰ τῶν ἀρχιτεκτονικῶν τέλη πάντων ἐστὶν αἱρετώτερα τῶν ὑπ' αὐτά· τούτων γὰρ χάριν κἀκεῖνα διώκεται. διαφέρει δ' οὐδὲν τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη τῶν πράξεων ἢ παρὰ ταύτας ἄλλο τι, καθάπερ ἐπὶ τῶν λεχθεισῶν ἐπιστημῶν. εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν ὃ δι' αὐτὸ βουλόμεθα, τἆλλα δὲ διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα (πρόεισι γὰρ οὕτω γ' εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν), δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν καὶ τὸ ἄριστον. ἆρ' οὖν καὶ πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγάλην ἔχει ῥοπήν, καὶ καθάπερ τοξόται σκοπὸν ἔχοντες, μᾶλλον ἂν τυγχάνοιμεν τοῦ δέοντος; εἰ δ' οὕτω, πειρατέον τύπῳ γε περιλαβεῖν αὐτὸ τί ποτ' ἐστὶ καὶ τίνος τῶν ἐπιστημῶν ἢ δυνάμεων. δόξειε δ' ἂν τῆς κυριωτάτης καὶ μάλιστα ἀρχιτεκτονικῆς. τοιαύτη δ' ἡ πολιτικὴ φαίνεται. τίνας γὰρ εἶναι χρεὼν τῶν ἐπιστημῶν ἐν ταῖς πό-

λεσι, καὶ ποίας ἑκάστους μανθάνειν καὶ μέχρι τίνος
διατάσσει. ὁρῶμεν δὲ καὶ τὰς ἐντιμοτάτας τῶν δυ
ὑπὸ ταύτην οὔσας, οἷον στρατηγικήν, οἰκονομικήν, ῥητ
χρωμένης δὲ ταύτης ταῖς λοιπαῖς πρακτικαῖς τῶν
μῶν, ἔτι δὲ νομοθετούσης τί δεῖ πράττειν καὶ τίνων
σθαι, τὸ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν ἄλλων
τοῦτ' ἂν εἴη τἀνθρώπινον ἀγαθόν. εἰ γὰρ καὶ ταὐτόν
καὶ πόλει, μεῖζόν γε καὶ τελεώτερον τὸ τῆς πόλεως
ται καὶ λαβεῖν καὶ σώζειν· ἀγαπητὸν μὲν γὰρ
μόνῳ, κάλλιον δὲ καὶ θειότερον ἔθνει καὶ πόλεσιν.
οὖν μέθοδος τούτων ἐφίεται, πολιτική τις οὖσα· λέγοιτ
ἱκανῶς, εἰ κατὰ τὴν ὑποκειμένην ὕλην διασαφηθείη·
ἀκριβὲς οὐχ ὁμοίως ἐν ἅπασι τοῖς λόγοις ἐπιζητητέον,
οὐδ' ἐν τοῖς δημιουργουμένοις. τὰ δὲ καλὰ καὶ τὰ
περὶ ὧν ἡ πολιτικὴ σκοπεῖται, τοσαύτην ἔχει διαφορ
πλάνην ὥστε δοκεῖν νόμῳ μόνον εἶναι, φύσει δὲ μή.
την δέ τινα πλάνην ἔχει καὶ τἀγαθὰ διὰ τὸ πολλοῖς
βαίνειν βλάβας ἀπ' αὐτῶν· ἤδη γάρ τινες ἀπώλοντ
πλοῦτον, ἕτεροι δὲ δι' ἀνδρείαν. ἀγαπητὸν οὖν περὶ τ
καὶ ἐκ τοιούτων λέγοντας παχυλῶς καὶ τύπῳ τἀληθ
δείκνυσθαι, καὶ περὶ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ τ
λέγοντας τοιαῦτα καὶ συμπεραίνεσθαι. τὸν αὐτὸν δὲ
καὶ ἀποδέχεσθαι χρεὼν ἕκαστον τῶν λεγομένων· πεπ
μένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ'
γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται·
πλήσιον γὰρ φαίνεται μαθηματικοῦ τε πιθανολογοῦντο
δέχεσθαι καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν. ἕκαστος
νει καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής.

Codices $H^aK^bL^bM^bN^bO^b$.

1. δὲ] δὲ καὶ $H^aM^bN^bO^b$. ‖ 3. τις om M^b. ‖ 4. γὰρ αὐτῶν εἰσὶν M^b. ‖ παρὰ ταύτας corr K^b. ‖ 6. δὴ L^b. ‖ 8. $K^bM^bN^b$ et pr H^a. ‖ γὰρ om M^bO^b. ‖ ναυτικῆς H^a. ‖ 9. νῖκαι L^b. ‖ 11. ἡ add L^b. ‖ χαλινοποιητικὴ $H^aL^bM^bN^bO^b$. τῶν] τῶν ἄλλων L^b. ‖ 12. αὗται M^b. ‖ 13. τὸν] κατὰ τὸν K^bM^b. ‖ 14. δὴ M^b. ‖ 15. εἰσὶν L^bN^b. ‖ ὑφ' αὐτά $H^aL^bM^bN$ 16. κεῖνα L^b. ‖ 18. δέ H^a. ‖ 19. αἱρούμεθα L^b. ‖ 20. οὕτως εἰς $L^bM^bN^bO^b$. ‖ 22. τὸ om M^b. ‖ 23. καὶ καθάπερ] καθά M^b. ‖ οἱ τοξόται L^b. ‖ 25. γε om L^b. ‖ 27. ἀρχιτεκτονωτάτης M^b. ‖ δ' ἡ] δὲ καὶ ἡ L^b, δὴ καὶ ἡ N^b. ‖ 28. τῶν ἐ χρεὼν L^b.

1. μαθεῖν M^b. ‖ 4. λοιπαῖς om K^b. ‖ 6. τὰ] τὸ L^b. ‖ 8. τε K^bM^b. ‖ τελειότερον $H^aK^bM^b$, θειότερον L^b. ‖ 9. γὰρ om καὶ post ἑνὶ M^b. ‖ 10. ἔθνει] καὶ ἔθνει M^b. ‖ 11. μέθοδος αὕτη τούτων M^b. ‖ 12. γὰρ] δὲ L^b. ‖ 14. ἐν om L^b. ‖ δημιουργημένοις 15. τοιαύτην M^b. ‖ 17. πλάνην τινὰ ἔχει M^b, τινὰ τὴν πλάνην ἔχει rc K^b, τινὰ πολλὴν ἔχει διαφορὰν καὶ πλάνην ὥστε δοκεῖν ἔχειν pr ἀγαθὰ pr K^b. ‖ 18. ἐξ L^b. ‖ 20. παχυλῶς — 22. λέγοντας om H^aO^b. ‖ 22. δὴ $K^bL^bM^b$. ‖ 23. ἕκαστα K^bM^b. ‖ 26. μ καὶ γεωμέτρου πιθανολογοῦντος L^b. ‖ 27. δὲ] γὰρ M^b. ‖ 28. ἀγαθὸς κριτής ἐστι O^b.

ἕκαςον ἄρα ὁ πεπαιδευμένος, ἁπλῶς δ' ὁ περὶ πᾶν πεπαιδευμένος. διὸ τῆς πολιτικῆς ὐκ ἔςιν οἰκεῖος ἀκροατὴς ὁ νέος· ἄπειρος γὰρ τῶν κατὰ τὸν βίον πράξεων, οἱ λόγοι δ' ἐκ τύτων καὶ περὶ τύτων. ἔτι δὲ τοῖς πάθεσιν ἀκολυθητικὸς ὢν ματαίως ἀκύσεται καὶ ἀνωφελῶς, ἐπειδὴ τὸ τέλος ἐςὶν οὐ γνῶσις ἀλλὰ πρᾶξις. διαφέρει δ' οὐθὲν νέος τὴν ἡλικίαν ἢ τὸ ἦθος νεαρός· ὐ γὰρ παρὰ τὸν χρόνον ἡ ἔλλειψις, ἀλλὰ διὰ τὸ κατὰ πάθος ζῆν καὶ διώκειν ἕκαςα. τοῖς γὰρ τοιύτοις ἀνόνητος ἡ γνῶσις γίνεται, καθάπερ τοῖς ἀκρατέσιν· τοῖς δὲ κατὰ λόγον τὰς ὀρέξεις ποιουμένοις καὶ πράττουσι πολυωφελὲς ἂν εἴη τὸ περὶ τούτων εἰδέναι. καὶ περὶ μὲν ἀκροατῦ, καὶ πῶς ἀποδεκτέον, καὶ τί προτιθέμεθα, πεφροιμιάσθω τοσαῦτα.

2 Λέγωμεν δ' ἀναλαβόντες, ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθῦ τινὸς ὀρέγεται, τί ἐςιν ὃ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν. ὀνόματι μὲν ὖν σχεδὸν ὑπὸ τῶν πλείςων ὁμολογεῖται· τὴν γὰρ εὐδαιμονίαν καὶ οἱ πολλοὶ καὶ οἱ χαρίεντες λέγυσιν, τὸ δ' εὖ ζῆν καὶ τὸ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. περὶ δὲ τῆς εὐδαιμονίας, τί ἐςιν, ἀμφισβητοῦσι καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀποδιδόασιν. οἱ μὲν γὰρ τῶν ἐναργῶν τι καὶ φανερῶν, οἷον ἡδονὴν ἢ πλοῦτον ἢ τιμήν, ἄλλοι δ' ἄλλο, πολλάκις δὲ καὶ ὁ αὐτὸς ἕτερον· νοσήσας μὲν γὰρ ὑγίειαν, πενόμενος δὲ πλοῦτον· συνειδότες δ' ἑαυτοῖς ἄγνοιαν τοὺς μέγα τι καὶ ὑπὲρ αὐτὺς λέγοντας θαυμάζυσιν. ἔνιοι δ' ᾤοντο παρὰ τὰ πολλὰ ταῦτα ἀγαθὰ ἄλλο τι καθ' αὑτὸ εἶναι, ὃ καὶ τοῖσδε πᾶσιν αἴτιόν ἐςι τῦ εἶναι ἀγαθά. ἁπάσας μὲν ὖν ἐξετάζειν τὰς δόξας ματαιότερον ἴσως ἐστίν, ἱκανὸν δὲ τὰς μάλιστα ἐπιπολαζύσας ἢ δοκύσας ἔχειν τινὰ λόγον. μὴ λανθανέτω δ' ἡμᾶς ὅτι διαφέρουσιν οἱ ἀπὸ τῶν ἀρχῶν λόγοι καὶ οἱ ἐπὶ τὰς ἀρχάς. εὖ γὰρ καὶ Πλάτων ἠπόρει τῦτο καὶ ἐζήτει, πότερον ἀπὸ τῶν ἀρχῶν ἢ ἐπὶ τὰς ἀρχάς ἐστιν ἡ ὁδός, ὥσπερ ἐν τῷ ςαδίῳ ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας ἢ ἀνάπαλιν. ἀρκτέον μὲν οὖν ἀπὸ τῶν γνωρίμων, ταῦτα δὲ διττῶς· τὰ μὲν γὰρ ἡμῖν τὰ δ' ἁπλῶς. ἴσως ὖν ἡμῖν γε ἀρκτέον ἀπὸ τῶν ἡμῖν γνωρίμων. διὸ δεῖ τοῖς ἔθεσιν ἦχθαι καλῶς τὸν περὶ καλῶν καὶ δικαίων καὶ ὅλως τῶν πολιτικῶν ἀκυσόμενον ἱκανῶς. ἀρχὴ γὰρ τὸ ὅτι· καὶ εἰ τοῦτο φαίνοιτο ἀρκούντως, οὐδὲν προσδεήσει τοῦ διότι. ὁ δὲ τοιῦτος ἢ ἔχει ἢ λάβοι ἂν ἀρχὰς ῥᾳδίως. ᾧ δὲ μηδέτερον ὑπάρχει τούτων, ἀκουσάτω τῶν Ἡσιόδου·

οὗτος μὲν πανάριστος ὃς αὐτὸς πάντα νοήσῃ,
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται.
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

3 Ἡμεῖς δὲ λέγωμεν ὅθεν παρεξέβημεν. τὸ γὰρ ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν οὐκ ἀλόγως ἐοίκασιν ἐκ τῶν βίων ὑπολαμβάνειν οἱ μὲν πολλοὶ καὶ φορτικώτατοι τὴν ἡδονήν, διὸ καὶ τὸν βίον ἀγαπῶσι τὸν ἀπολαυςικόν. τρεῖς γάρ εἰσι μάλιςα οἱ προὔχοντες, ὅ τε νῦν εἰρημένος καὶ ὁ πολιτικὸς καὶ τρίτος ὁ θεωρητικός. οἱ μὲν οὖν πολλοὶ παντελῶς ἀνδραποδώδεις φαίνονται βοσκημάτων βίον προαιρούμενοι, τυγχάνουσι δὲ λόγυ διὰ τὸ πολλοὺς τῶν ἐν ταῖς ἐξυσίαις ὁμοιοπαθεῖν Σαρδαναπάλῳ. οἱ δὲ χαρίεντες καὶ πρακτικοὶ τιμήν· τοῦ γὰρ πολιτικοῦ βίου σχεδὸν τοῦτο τέλος. φαίνεται δ' ἐπιπολαιότερον εἶναι τοῦ ζητουμένου· δοκεῖ γὰρ ἐν τοῖς τιμῶσι μᾶλλον εἶναι ἢ ἐν τῷ τιμωμένῳ, τἀγαθὸν δὲ οἰκεῖόν τι καὶ δυσαφαίρετον εἶναι μαντευόμεθα. ἔτι δ' ἐοίκασι τὴν τιμὴν διώκειν, ἵνα πιστεύωσιν ἑαυτοὺς ἀγαθοὺς εἶναι· ζητοῦσι γοῦν ὑπὸ τῶν φρονίμων τιμᾶσθαι, καὶ παρ' οἷς γιγνώσκονται, καὶ ἐπ' ἀρετῇ· δῆλον οὖν ὅτι κατά γε τούτους ἡ ἀρετὴ κρείττων. τάχα δὲ καὶ μᾶλλον ἄν τις τέλος τοῦ πολιτικοῦ βίου ταύτην ὑπολάβοι. φαίνεται δὲ ἀτελεστέρα καὶ αὕτη· δοκεῖ γὰρ ἐνδέχεσθαι καὶ καθεύδειν ἔχοντα τὴν ἀρετήν, ἢ ἀπρακτεῖν διὰ βίυ, καὶ πρὸς τούτοις

Pleasure —
Power —
Contemplat

1. ἄρα] μὲν ἄρα M^b, rc H^a, pr K^b. ‖ ἁπλῶς — πεπαιδευμένος om O^b et pr H^a. ‖ 3. πραγμάτων L^bM^b. ‖ 5. ἀκύεται pr K^b. ‖ οὐ γνῶσίς ἐςιν L^b. ‖ 9. τοῖς om L^b. ‖ 12. ἀκροατῶν M^b. ‖ προοιμιάσθω ταῦτα K^b. ‖ 14. λέγομεν $H^aL^bM^bO^b$. ‖ δ'] δὲ καὶ H^aO^b. ‖ 16. τὸ] τῶν M^b. ‖ 17. ἀγαθόν $H^aM^bO^b$. ‖ 20. τίς O^b. ‖ 23. ἡδονὴν πλοῦτον καὶ τιμήν L^b. ‖ 24. γὰρ om L^b. ‖ 25. αὐτοῖς M^b. ‖ καὶ om M^b. ‖ 27. εἶναι καθ' αὑτὸ L^b. ‖ τύτοις πᾶσι τῦ εἶναι ἀγαθὰ αἴτιον ἐςιν K^bM^b. ‖ 28. τἀγαθὰ H^aO^b. ‖ μὲν om O^b. ‖ 31. ὑμᾶς L^bM^b. ‖ 32. καὶ ὁ πλάτων K^bM^b. ‖ 33. ἐστιν ὁδὸς ὥσπερ ἐπὶ τῶν ςαδίων L^b.

2. οὖν] γὰρ $H^aK^bM^bO^b$. ‖ γνωριμωτέρων M^b, ἡμῖν γνωρίμων margo O^b. ‖ ταῦτα — 4. γνωρίμων om O^b. ‖ 3. γε om L^b. ‖ 4. γνωριμωτων ἡμῖν M^b. ‖ ἤθεσιν L^bM^b, ἔθνεσιν pr H^aN^b. ‖ 6. γὰρ ἀρχὴ pr K^b, ἀρκεῖ γὰρ M^b et corr H^aL^b et margo K^b. ‖ φαίνοιτο] ἐν τούτοις L^b, ταῦτα margo K^b. ‖ 7. ἢ om $H^aK^bL^b$. ‖ ἔχοι L^bM^b. ‖ 8. ἂν om L^b. ‖ ἀρχὴν M^b. ‖ 9. τοῦ M^b. ‖ 10. αὐτῷ L^bM^b. ‖ νοέει L^b, ἴσει M^b. addit M^b φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω. ‖ 11. πείθηται $H^aK^bM^bN^bO^b$. ‖ 13. βάληται L^bM^b. ‖ αὖ M^b. ‖ 14. λέγομεν H^aO^b. ‖ 16. φορτικώτεροι M^b. ‖ 17. μάλιςα εἰσιν L^b. ‖ 18. καὶ om pr H^a. ‖ 19. καὶ τρίτος ὁ θεωρητικός om pr L^b. ‖ πολλοὶ καὶ ἀνδραποδώδεις φαίνονται παντελῶς M^b. ‖ 22. ὁμοπαθεῖν σαρδαναπάλλωι K^b. ‖ 23. τοῦτο τὸ τέλος $H^aL^bO^b$. ‖ 26. εἶναι om L^b. ‖ 27. τὴν τιμὴν διώκειν] ζητεῖν τὴν τιμὴν L^b. ‖ πιςεύσωσιν $H^aK^bM^bO^b$. ‖ εἶναι ἀγαθούς K^bM^b. ‖ 28. γοῦν] γὰρ M^b. ‖ 29. οἷς] ὧν M^b. ‖ ὅτι καὶ κατά M^b. ‖ 31. τέλος post βίου L^b. ‖ βίου om H^a. ‖ δὴ L^b, γὰρ pr K^b. ‖ 32. καὶ ante καθεύδειν om K^b.

κακοπαθεῖν καὶ ἀτυχεῖν τὰ μέγιστα· τὸν δ' οὕτω ζῶντα οὐδεὶς ἂν εὐδαιμονίσειεν, εἰ μὴ θέσιν διαφυλάττων. καὶ περὶ μὲν τούτων ἅλις· ἱκανῶς γὰρ καὶ ἐν τοῖς ἐγκυκλίοις εἴρηται περὶ αὐτῶν. τρίτος δ' ἐστὶν ὁ θεωρητικός, περὶ οὗ τὴν ἐπίσκεψιν ἐν τοῖς ἑπομένοις ποιησόμεθα. ὁ δὲ χρηματιστὴς βίαιός τίς ἐστιν, καὶ ὁ πλοῦτος δῆλον ὅτι οὐ τὸ ζητούμενον ἀγαθόν· χρήσιμον γὰρ καὶ ἄλλου χάριν. διὸ μᾶλλον τὰ πρότερον λεχθέντα τέλη τις ἂν ὑπολάβοι· δι' αὑτὰ γὰρ ἀγαπᾶται. φαίνεται δ' οὐδ' ἐκεῖνα· καίτοι πολλοὶ λόγοι πρὸς αὐτὰ καταβέβληνται. ταῦτα μὲν οὖν ἀφείσθω.

4 Τὸ δὲ καθόλου βέλτιον ἴσως ἐπισκέψασθαι καὶ διαπορῆσαι πῶς λέγεται, καίπερ προσάντους τῆς τοιαύτης ζητήσεως γινομένης διὰ τὸ φίλους ἄνδρας εἰσαγαγεῖν τὰ εἴδη. δόξειε δ' ἂν ἴσως βέλτιον εἶναι καὶ δεῖν ἐπὶ σωτηρίᾳ γε τῆς ἀληθείας καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἄλλως τε καὶ φιλοσόφους ὄντας· ἀμφοῖν γὰρ ὄντοιν φίλοιν ὅσιον προτιμᾶν τὴν ἀλήθειαν. οἱ δὲ κομίσαντες τὴν δόξαν ταύτην οὐκ ἐποίουν ἰδέας ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον ἔλεγον, διόπερ οὐδὲ τῶν ἀριθμῶν ἰδέαν κατεσκεύαζον· τὸ δ' ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί ἐστι καὶ ἐν τῷ ποιῷ καὶ ἐν τῷ πρός τι, τὸ δὲ καθ' αὑτὸ καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ πρός τι· παραφυάδι γὰρ τοῦτ' ἔοικε καὶ συμβεβηκότι τοῦ ὄντος, ὥστ' οὐκ ἂν εἴη κοινή τις ἐπὶ τούτων ἰδέα. ἔτι ἐπεὶ τἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι (καὶ γὰρ ἐν τῷ τί λέγεται, οἷον ὁ θεὸς καὶ ὁ νοῦς, καὶ ἐν τῷ ποιῷ αἱ ἀρεταί, καὶ ἐν τῷ ποσῷ τὸ μέτριον, καὶ ἐν τῷ πρός τι τὸ χρήσιμον, καὶ ἐν χρόνῳ καιρός, καὶ ἐν τόπῳ δίαιτα καὶ ἕτερα τοιαῦτα), δῆλον ὡς οὐκ ἂν εἴη κοινόν τι καθόλου καὶ ἕν· οὐ γὰρ ἂν ἐλέγετ' ἐν πάσαις ταῖς κατηγορίαις, ἀλλ' ἐν μιᾷ μόνῃ. ἔτι δ' ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν μία καὶ ἐπιστήμη, καὶ τῶν ἀγαθῶν ἁπάντων ἦν ἂν μία τις ἐπιστήμη· νῦν δ' εἰσὶ πολλαὶ καὶ τῶν ὑπὸ μίαν κατηγορίαν, οἷον καιροῦ ἐν πολέμῳ μὲν στρατηγική, ἐν νόσῳ δ' ἰατρική, καὶ τοῦ μετρίου ἐν τροφῇ μὲν ἰατρική, ἐν πόνοις δὲ γυμναστική. ἀπορήσειε δ' ἄν τις τί ποτε καὶ βούλονται λέγειν αὐτοέκαστον, εἴπερ ἔν τε αὐτοανθρώπῳ καὶ ἀνθρώπῳ εἷς καὶ ὁ αὐτὸς λόγος ἐστὶν ὁ τοῦ ἀνθρώπου. ᾗ γὰρ ἄνθρωπος, οὐδὲν διοίσουσιν· εἰ δ' οὕτως, οὐδ' ᾗ ἀγαθόν. ἀλλὰ μὴν οὐδὲ τῷ ἀΐδιον εἶναι μᾶλλον ἀγαθὸν ἔσται, εἴπερ μηδὲ λευκότερον τὸ πολυχρόνιον τοῦ ἐφημέρου. πιθανώτερον δ' ἐοίκασιν οἱ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ, τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν· οἷς δὴ καὶ Σπεύσιππος ἐπακολουθῆσαι δοκεῖ. ἀλλὰ περὶ μὲν τούτων ἄλλος ἔστω λόγος, τοῖς δὲ λεχθεῖσιν ἀμφισβήτησίς τις ὑποφαίνεται διὰ τὸ μὴ περὶ παντὸς ἀγαθοῦ τοὺς λόγους εἰρῆσθαι, λέγεσθαι δὲ καθ' ἓν εἶδος τὰ καθ' αὑτὰ διωκόμενα καὶ ἀγαπώμενα, τὰ δὲ ποιητικὰ τούτων ἢ φυλακτικά πως ἢ τῶν ἐναντίων κωλυτικὰ διὰ ταῦτα λέγεσθαι καὶ τρόπον ἄλλον. δῆλον οὖν ὅτι διττῶς λέγοιτ' ἂν τἀγαθά, καὶ τὰ μὲν καθ' αὑτά, θάτερα δὲ διὰ ταῦτα. χωρίσαντες οὖν ἀπὸ τῶν ὠφελίμων τὰ καθ' αὑτὰ σκεψώμεθα εἰ λέγεται κατὰ μίαν ἰδέαν. καθ' αὑτὰ δὲ ποῖα θείη τις ἄν; ἢ ὅσα καὶ μονούμενα διώκεται, οἷον τὸ φρονεῖν καὶ ὁρᾶν καὶ ἡδοναί τινες καὶ τιμαί; ταῦτα γὰρ εἰ καὶ δι' ἄλλο τι διώκομεν, ὅμως τῶν καθ' αὑτὰ ἀγαθῶν θείη τις ἄν. ἢ οὐδ' ἄλλο οὐδὲν πλὴν τῆς ἰδέας; ὥστε μάταιον ἔσται τὸ εἶδος. εἰ δὲ καὶ ταῦτ' ἐστὶ τῶν καθ' αὑτά, τὸν τἀγαθοῦ λόγον ἐν ἅπασιν αὐτοῖς τὸν αὐτὸν ἐμφαίνεσθαι δεήσει, καθάπερ ἐν χιόνι καὶ ψιμμυθίῳ τὸν τῆς λευκότητος. τιμῆς δὲ καὶ φρονήσεως καὶ ἡδονῆς ἕτεροι καὶ διαφέροντες οἱ λόγοι ταύτῃ ᾗ ἀγαθά. οὐκ ἔστιν ἄρα τὸ ἀγαθὸν κοινόν τι κατὰ μίαν ἰδέαν. ἀλλὰ πῶς δὴ λέγεται; οὐ γὰρ ἔοικε τοῖς γε ἀπὸ τύχης ὁμωνύμοις. ἀλλ' ἆρά γε τῷ ἀφ' ἑνὸς εἶναι, ἢ πρὸς ἓν ἅπαντα συντελεῖν, ἢ μᾶλλον κατ' ἀναλογίαν; ὡς γὰρ ἐν σώματι ὄψις, ἐν ψυχῇ νοῦς, καὶ ἄλλο δὴ ἐν ἄλλῳ. ἀλλ' ἴσως ταῦτα μὲν ἀφετέον τὸ νῦν· ἐξακριβοῦν γὰρ ὑπὲρ αὐτῶν ἄλλης ἂν εἴη φιλοσοφίας οἰκειότερον. ὁμοίως δὲ καὶ περὶ τῆς ἰδέας· εἰ γὰρ καὶ ἔστιν ἕν τι τὸ κοινῇ κατηγορούμενον ἀγαθὸν ἢ χωριστόν τι αὐτὸ καθ' αὑτό, δῆλον ὡς οὐκ ἂν εἴη πρακτὸν οὐδὲ κτητὸν ἀνθρώπῳ· νῦν δὲ τοιοῦτόν τι ζητεῖται. τάχα δέ τῳ δόξειεν ἂν βέλτιον εἶναι γνωρίζειν

3. καὶ om L^b, καὶ ἐν om M^b. ‖ 5. ἐχομένοις K^b. ‖ 7. καὶ om M^b. ‖ 8. δι'] καὶ δι' M^b. ‖ 9. τοι om K^bM^b. ‖ 12. τοιαύτη om L^b. ‖ 13. εἰσάγειν M^b. ‖ 17. προκομίσαντες M^b. ‖ 18. τὸ post καὶ om K^bL^b. ‖ ἐλέγομεν K^b. ‖ 20. ἐστι om $H^aK^bM^bO^b$. ‖ 21. ἑαυτὸ H^aO^b. ‖ τοῦ πρός τι τῇ φύσει H^a. ‖ 23. τούτοις K^bM^b. ‖ ἔτι δ' ἐπεὶ $H^aK^bM^bO^b$. ‖ 24. ὁ om M^b. ‖ 25. ὁ om L^b. ‖ 27. τόπῳ] τῷ που H^aO^b. ‖ 30. καὶ ἡ ἐπιστήμη M^b. ‖ 31. ἦν] εἴη K^b. ‖ 32. μὲν γὰρ στρατηγική $H^aK^bM^bO^b$. ‖ 33. τρυφῇ H^a. ‖ 35. αὐτὸ ἕκαστον H^aL^b et pr K^b. ‖ αὐτῷ ἀνθρώπῳ pr K^b.

1. καὶ ἐν ἀνθρώπῳ K^bM^b. ‖ 4. ἔσται om O^b. ‖ πολυχρονιώτερον L^b. ‖ 5. πυθαγόριοι K^b. ‖ 7. ἐπακολουθεῖν L^b. ‖ μὲν οὖν τούτων O^b. ‖ 8. ἔσται K^bM^b. ‖ 9. ἐπεμφαίνεται M^b. ‖ μὴ om O^b. ‖ ἀγαθοῦ post 10. εἰρῆσθαι O^b, om L^b. ‖ 10. εἰρῆσθαι] ποιεῖσθαι K^bM^b. ‖ ἑαυτὰ O^b. ‖ 11. φιλιτικά M^b. ‖ 13. τρόπον om pr H^a. ‖ τἀγαθὸν L^b, τὸ ἀγαθὸν H^aO^b. ‖ 14 et 15 et 16. ἑαυτὰ H^aO^b. ‖ 19. ἄν τις $H^aL^bO^b$. ‖ 20. πλεῖον K^b. ‖ 22. τὸν αὐτὸν om H^aO^b. ‖ ἐπιφαίνεσθαι H^a. ‖ 23. ψιμυθίῳ K^bN^b, ψιμμιθίῳ M^b. ‖ 25. ἀγαθόν L^b. ‖ τι κοινὸν M^b, om L^b. ‖ 26. γε om K^bM^b. ‖ 29. ἐν ἄλλῳ δή M^b. ‖ 30. τὰ K^b. ‖ περὶ M^b. ‖ 32. καὶ om K^bM^b. ‖ τὸ] καὶ M^b. ‖ κοινὸν M^b. ‖ 33. αὐτό τι K^bM^b.

αὐτὸ πρὸς τὰ κτητὰ καὶ πρακτὰ τῶν ἀγαθῶν· οἷον γὰρ παράδειγμα τοῦτ' ἔχοντες μᾶλλον εἰσόμεθα καὶ τὰ ἡμῖν ἀγαθά, κἂν εἰδῶμεν, ἐπιτευξόμεθα αὐτῶν. πιθανότητα μὲν οὖν ἔχει τινὰ ὁ λόγος, ἔοικε δὲ ταῖς ἐπιστήμαις διαφωνεῖν· πᾶσαι γὰρ ἀγαθοῦ τινὸς ἐφιέμεναι καὶ τὸ ἐνδεὲς ἐπιζητοῦσαι παραλείπουσι τὴν γνῶσιν αὐτοῦ. καίτοι βοήθημα τηλικοῦτον ἅπαντας τοὺς τεχνίτας ἀγνοεῖν καὶ μηδ' ἐπιζητεῖν οὐκ εὔλογον. ἄπορον δὲ καὶ τί ὠφεληθήσεται ὑφάντης ἢ τέκτων πρὸς τὴν αὑτοῦ τέχνην εἰδὼς αὐτὸ τἀγαθόν, ἢ πῶς ἰατρικώτερος ἢ στρατηγικώτερος ἔσται ὁ τὴν ἰδέαν αὐτὴν τεθεαμένος. φαίνεται μὲν γὰρ οὐδὲ τὴν ὑγίειαν οὕτως ἐπισκοπεῖν ὁ ἰατρός, ἀλλὰ τὴν ἀνθρώπου, μᾶλλον δ' ἴσως τὴν τοῦδε· καθ' ἕκαστον γὰρ ἰατρεύει. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

5 Πάλιν δ' ἐπανέλθωμεν ἐπὶ τὸ ζητούμενον ἀγαθόν, τί ποτ' ἂν εἴη. φαίνεται μὲν γὰρ ἄλλο ἐν ἄλλῃ πράξει καὶ τέχνῃ· ἄλλο γὰρ ἐν ἰατρικῇ καὶ στρατηγικῇ καὶ ταῖς λοιπαῖς ὁμοίως. τί οὖν ἑκάστης τἀγαθόν; ἢ οὗ χάριν τὰ λοιπὰ πράττεται; τοῦτο δ' ἐν ἰατρικῇ μὲν ὑγίεια, ἐν στρατηγικῇ δὲ νίκη, ἐν οἰκοδομικῇ δ' οἰκία, ἐν ἄλλῳ δ' ἄλλο, ἐν ἁπάσῃ δὲ πράξει καὶ προαιρέσει τὸ τέλος· τούτου γὰρ ἕνεκα τὰ λοιπὰ πράττουσι πάντες. ὥστ' εἴ τι τῶν πρακτῶν ἁπάντων ἐστὶ τέλος, τοῦτ' ἂν εἴη τὸ πρακτὸν ἀγαθόν, εἰ δὲ πλείω, ταῦτα. μεταβαίνων δὴ ὁ λόγος εἰς ταὐτὸν ἀφῖκται. τοῦτο δ' ἔτι μᾶλλον διασαφῆσαι πειρατέον. ἐπεὶ δὲ πλείω φαίνεται τὰ τέλη, τούτων δ' αἱρούμεθά τινα δι' ἕτερα, οἷον πλοῦτον αὐλοὺς καὶ ὅλως τὰ ὄργανα, δῆλον ὡς οὐκ ἔστι πάντα τέλεια· τὸ δ' ἄριστον τέλειόν τι φαίνεται. ὥστ' εἰ μέν ἐστιν ἕν τι μόνον τέλειον, τοῦτ' ἂν εἴη τὸ ζητούμενον, εἰ δὲ πλείω, τὸ τελειότατον τούτων. τελειότερον δὲ λέγομεν τὸ καθ' αὑτὸ διωκτὸν τοῦ δι' ἕτερον καὶ τὸ μηδέποτε δι' ἄλλο αἱρετὸν τῶν καὶ καθ' αὑτὰ καὶ διὰ τοῦθ' αἱρετῶν, καὶ ἁπλῶς δὴ τέλειον τὸ καθ' αὑτὸ αἱρετὸν ἀεὶ καὶ μηδέποτε δι' ἄλλο. τοιοῦτον δ' ἡ εὐδαιμονία μάλιστ' εἶναι δοκεῖ· ταύτην γὰρ αἱρούμεθα ἀεὶ δι' αὐτὴν καὶ οὐδέποτε δι' ἄλλο, τιμὴν δὲ καὶ ἡδονὴν καὶ νοῦν καὶ πᾶσαν ἀρετὴν αἱρούμεθα μὲν καὶ δι' αὐτά (μηθενὸς γὰρ ἀποβαίνοντος ἑλοίμεθ' ἂν ἕκαστον αὐτῶν), αἱρούμεθα δὲ καὶ τῆς εὐδαιμονίας χάριν, διὰ τούτων ὑπολαμβάνοντες εὐδαιμονήσειν. τὴν δ' εὐδαιμονίαν οὐδεὶς αἱρεῖται τούτων χάριν, οὐδ' ὅλως δι' ἄλλο. φαίνεται δὲ καὶ ἐκ τῆς αὐταρκείας τὸ αὐτὸ συμβαίνειν. τὸ γὰρ τέλειον ἀγαθὸν αὔταρκες εἶναι δοκεῖ. τὸ δ' αὔταρκες λέγομεν οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πολίταις, ἐπειδὴ φύσει πολιτικὸς ἄνθρωπος. τούτων δὲ ληπτέος ὅρος τις· ἐπεκτείνοντι γὰρ ἐπὶ τοὺς γονεῖς καὶ τοὺς ἀπογόνους καὶ τῶν φίλων τοὺς φίλους εἰς ἄπειρον πρόεισιν. ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον, τὸ δ' αὔταρκες τίθεμεν ὃ μονούμενον αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ· τοιοῦτον δὲ τὴν εὐδαιμονίαν οἰόμεθα εἶναι. ἔτι δὲ πάντων αἱρετωτάτην μὴ συναριθμουμένην, συναριθμουμένην δὲ δῆλον ὡς αἱρετωτέραν μετὰ τοῦ ἐλαχίστου τῶν ἀγαθῶν· ὑπεροχὴ γὰρ ἀγαθῶν γίνεται τὸ προστιθέμενον, ἀγαθῶν δὲ τὸ μεῖζον αἱρετώτερον ἀεί. τέλειον δή τι φαίνεται καὶ αὔταρκες ἡ εὐδαιμονία, τῶν πρακτῶν οὖσα τέλος.

'Αλλ' ἴσως τὴν μὲν εὐδαιμονίαν τὸ ἄριστον λέγειν ὁμο- 6
λογούμενόν τι φαίνεται, ποθεῖται δ' ἐναργέστερον τί ἐστιν ἔτι λεχθῆναι. τάχα δὴ γένοιτ' ἂν τοῦτ', εἰ ληφθείη τὸ ἔργον τοῦ ἀνθρώπου. ὥσπερ γὰρ αὐλητῇ καὶ ἀγαλματοποιῷ καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἐστὶν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τἀγαθὸν εἶναι καὶ τὸ εὖ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἔστι τι ἔργον αὐτοῦ. πότερον οὖν τέκτονος μὲν καὶ σκυτέως ἐστὶν ἔργα τινὰ καὶ πράξεις, ἀνθρώπου δ' οὐδέν ἐστιν, ἀλλ' ἀργὸν πέφυκεν; ἢ καθάπερ ὀφθαλμοῦ καὶ χειρὸς καὶ ποδὸς καὶ ὅλως ἑκάστου τῶν μορίων φαίνεταί τι ἔργον, οὕτω καὶ ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις ἂν ἔργον τι; τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς, ζητεῖται δὲ τὸ ἴδιον. ἀφο-

2. οἰσόμεθα $H^a O^b$. ‖ 3. ἐπιτευξώμεθα $H^a O^b$. ‖ 4. τινὰ ἔχει $K^b M^b$. ‖ 6. καὶ τὸ M^b. ‖ 7. τοὺς τεχνίτας ἅπαντας $K^b M^b$. ‖ 9. τὸ αὐτοαγαθὸν M^b, τὸ αὐτὸ τοῦτο ἀγαθόν K^b. ‖ 10. ἢ στρατηγικώτερος om M^b. ‖ 12. τἀνθρώπου M^b. ‖ 16. ἄλλῃ] ἄλλη καὶ ἄλλη L^b. ‖ 17. ἄλλη $H^a O^b$. ‖ 18. ἑκάστη O^b. ‖ 19. μὲν om O^b. ‖ 21. τὸ om $H^a O^b$. ‖ τέλειον M^b. ‖ 22. πράσσουσι K^b. ‖ ἅπαντες M^b. ‖ 24. ταὐτὸν] τοῦτο M^b. ‖ 26. ἕτερον $K^b M^b$. ‖ 30. τελειότερον M^b. ‖ 31. ἑαυτὸ $H^a O^b$. ‖ 32. καὶ post τῶν om O^b. ‖ διὰ τοῦθ'] δι' αὐτὰ K^b. ‖ 34. δ'] δὴ K^b. ‖ εἶναι μάλιστα M^b.

3. καὶ om H^a. ‖ αὑτὴν M^b. ‖ 5. τὴν εὐδαιμονίαν δ' $H^a K^b$. ‖ 8. δ'] γὰρ O^b. ‖ 10. γυναιξὶ $K^b M^b$. ‖ 11. πολιτικὸν $H^a O^b$, πολιτικὸς ὁ M^b. ‖ 13. τοὺς φίλους τῶν φίλων L^b. ‖ 14. ἐσαῦθις M^b. ‖ τιθέμενον pr K^b. ‖ 15. αἱρετὸν] ἄρκιον καὶ αἱρετὸν $H^a L^b$, αἱρετὸν καὶ ἄρκιον M^b. ‖ ἐνδεῆ H^a. ‖ 17. alterum συναριθμουμένην om L^b. ‖ αἱρετωτέραν μετὰ τοῦ ἐλαχίστου] ἐλαχιστοτέραν H^a. ‖ 18. ἀγαθοῦ O^b, τῶν ἀγαθῶν M^b. ‖ 19. ἀγαθὸν M^b. ‖ 20. καὶ αὔταρκες φαίνεται O^b. ‖ ἡ om L^b. ‖ 21. τῶν] πάντων τῶν M^b. ‖ 22. μὲν om L^b. ‖ 23. ποθεῖ K^b. ‖ δ'] δὲ καὶ M^b. ‖ ἔτι om O^b. ‖ 24. δὲ M^b. ‖ 26. τι καὶ] τι ἢ M^b. ‖ 28. ἔργον τι $L^b O^b$. ‖ 30. ποδὸς καὶ χειρὸς K^b. ‖ 32. καὶ τοῦ ἀνθρώπου O^b. ‖ ταῦτα ante πάντα $M^b O^b$, om L^b.

0.17. δόξα παλαιὰ καὶ ὁμολογουμένη ὑπὸ τῶν φιλοσοφούντων.
l.25 δόξα - affirmed by many, & by wise few, must be right, to a great degree

ριστέον ἄρα τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωήν. ἑπομένη δὲ
αἰσθητική τις ἂν εἴη, φαίνεται δὲ καὶ αὕτη κοινὴ καὶ ἵππῳ
καὶ βοῒ καὶ παντὶ ζῴῳ. λείπεται δὴ πρακτική τις τοῦ λό-
γον ἔχοντος. τούτου δὲ τὸ μὲν ὡς ἐπιπειθὲς λόγῳ, τὸ δ' ὡς
ἔχον καὶ διανοούμενον. διττῶς δὲ καὶ ταύτης λεγομένης
τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον γὰρ αὕτη δοκεῖ λέγε-
σθαι. εἰ δ' ἐστὶν ἔργον ἀνθρώπου ψυχῆς ἐνέργεια κατὰ λόγον
ἢ μὴ ἄνευ λόγου, τὸ δ' αὐτό φαμεν ἔργον εἶναι τῷ γένει
τοῦδε καὶ τοῦδε σπουδαίου, ὥσπερ κιθαριστοῦ καὶ σπουδαίου κιθα-
ριστοῦ, καὶ ἁπλῶς δὴ τοῦτ' ἐπὶ πάντων, προστιθεμένης τῆς κατ'
ἀρετὴν ὑπεροχῆς πρὸς τὸ ἔργον· κιθαριστοῦ μὲν γὰρ τὸ κιθα-
ρίζειν, σπουδαίου δὲ τὸ εὖ· εἰ δ' οὕτως, ἀνθρώπου δὲ τίθεμεν
ἔργον ζωήν τινα, ταύτην δὲ ψυχῆς ἐνέργειαν καὶ πράξεις
μετὰ λόγου, σπουδαίου δ' ἀνδρὸς εὖ ταῦτα καὶ καλῶς, ἕκα-
στον δ' εὖ κατὰ τὴν οἰκείαν ἀρετὴν ἀποτελεῖται· εἰ δ' οὕτω,
τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια γίνεται κατ' ἀρετήν,
εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην.
ἔτι δ' ἐν βίῳ τελείῳ. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ
μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα
οὐδ' ὀλίγος χρόνος. περιγεγράφθω μὲν οὖν τἀγαθὸν ταύτῃ·
7 δεῖ γὰρ ἴσως ὑποτυπῶσαι πρῶτον, εἶθ' ὕστερον ἀναγράψαι.
δόξειε δ' ἂν παντὸς εἶναι προαγαγεῖν καὶ διαρθρῶσαι τὰ
καλῶς ἔχοντα τῇ περιγραφῇ, καὶ ὁ χρόνος τῶν τοιούτων
εὑρετὴς ἢ συνεργὸς ἀγαθὸς εἶναι. ὅθεν καὶ τῶν τεχνῶν γε-
γόνασιν αἱ ἐπιδόσεις· παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον.
μεμνῆσθαι δὲ καὶ τῶν προειρημένων χρή, καὶ τὴν ἀκρίβειαν
μὴ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν
ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον ἐφ' ὅσον οἰκεῖον τῇ με-
θόδῳ. καὶ γὰρ τέκτων καὶ γεωμέτρης διαφερόντως ἐπιζη-
τοῦσι τὴν ὀρθήν· ὁ μὲν γὰρ ἐφ' ὅσον χρησίμη πρὸς τὸ ἔργον,
ὁ δὲ τί ἐστιν ἢ ποῖόν τι· θεατὴς γὰρ τἀληθοῦς. τὸν αὐτὸν
δὴ τρόπον καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα
τῶν ἔργων πλείω γίγνηται. οὐκ ἀπαιτητέον δ' οὐδὲ τὴν αἰτίαν
ἐν ἅπασιν ὁμοίως, ἀλλ' ἱκανὸν ἔν τισι τὸ ὅτι δειχθῆναι κα-
λῶς, οἷον καὶ περὶ τὰς ἀρχάς· τὸ δ' ὅτι πρῶτον καὶ ἀρχή.
τῶν ἀρχῶν δ' αἱ μὲν ἐπαγωγῇ θεωροῦνται, αἱ δ' αἰσθήσει,
αἱ δ' ἐθισμῷ τινί, καὶ ἄλλαι δ' ἄλλως. μετιέναι δὲ πειρα-
τέον ἑκάστας ᾗ πεφύκασιν, καὶ σπουδαστέον ὅπως ὁρισθῶσι
καλῶς· μεγάλην γὰρ ἔχουσι ῥοπὴν πρὸς τὰ ἑπόμενα. δοκεῖ
γὰρ πλεῖον ἢ ἥμισυ παντὸς εἶναι ἡ ἀρχή, καὶ πολλὰ συμ-
φανῆ γίνεσθαι δι' αὐτῆς τῶν ζητουμένων.
Σκεπτέον δὴ περὶ αὐτῆς οὐ μόνον ἐκ τοῦ συμπεράσμα- 8
τος καὶ ἐξ ὧν ὁ λόγος, ἀλλὰ καὶ ἐκ τῶν λεγομένων περὶ
αὐτῆς· τῷ μὲν γὰρ ἀληθεῖ πάντα συνᾴδει τὰ ὑπάρχοντα,
τῷ δὲ ψευδεῖ ταχὺ διαφωνεῖ τἀληθές. νενεμημένων δὴ τῶν
ἀγαθῶν τριχῇ, καὶ τῶν μὲν ἐκτὸς λεγομένων τῶν δὲ περὶ
ψυχὴν καὶ σῶμα, τὰ περὶ ψυχὴν κυριώτατα λέγομεν καὶ
μάλιστα ἀγαθά. τὰς δὲ πράξεις καὶ τὰς ἐνεργείας τὰς
ψυχικὰς περὶ ψυχὴν τίθεμεν. ὥστε καλῶς ἂν λέγοιτο κατά
γε ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ
τῶν φιλοσοφούντων. ὀρθῶς δὲ καὶ ὅτι πράξεις τινὲς λέγον-
ται καὶ ἐνέργειαι τὸ τέλος· οὕτω γὰρ τῶν περὶ ψυχὴν ἀγα-
θῶν γίνεται, καὶ οὐ τῶν ἐκτός. συνᾴδει δὲ τῷ λόγῳ καὶ τὸ
εὖ ζῆν καὶ τὸ εὖ πράττειν τὸν εὐδαίμονα· σχεδὸν γὰρ εὐζωία
τις εἴρηται καὶ εὐπραξία. φαίνεται δὲ καὶ τὰ ἐπιζητούμενα 9
περὶ τὴν εὐδαιμονίαν ἅπανθ' ὑπάρχειν τῷ λεχθέντι. τοῖς μὲν
γὰρ ἀρετή, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις εἶναι δο-
κεῖ, τοῖς δὲ ταῦτα ἢ τούτων τι μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς·
ἕτεροι δὲ καὶ τὴν ἐκτὸς εὐετηρίαν συμπαραλαμβάνουσιν. τού-
των δὲ τὰ μὲν πολλοὶ καὶ παλαιοὶ λέγουσιν, τὰ δὲ ὀλίγοι
καὶ ἔνδοξοι ἄνδρες· οὐδετέρους δὲ τούτων εὔλογον διαμαρτάνειν
τοῖς ὅλοις, ἀλλ' ἕν γέ τι ἢ καὶ τὰ πλεῖστα κατορθοῦν. τοῖς
μὲν οὖν λέγουσι τὴν ἀρετὴν ἢ ἀρετήν τινα συνῳδός ἐστιν ὁ
λόγος· ταύτης γάρ ἐστιν ἡ κατ' αὐτὴν ἐνέργεια. διαφέρει
δὲ ἴσως οὐ μικρὸν ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβά-
νειν καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ. τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται

3 - Ἀρχαί

1094 precision not attainable

1. καὶ τὴν αὐξητικὴν K^b. ‖ δὲ] γὰρ M^b. ‖ 2. αὐτὴ K^b. ‖ βοῒ καὶ ἵππῳ L^b. ‖ 3. δὲ K^bM^b. ‖ 6. κυριωτέρα L^b. ‖ 9. καὶ τοῦδε] καὶ τοῦδε τοῦ M^b. ‖ 10. κατὰ τὴν ἀρετὴν K^b. ‖ 11. γὰρ om L^b. ‖ τὸ om K^b. ‖ 13. τινα] τινα κατ' ἀρετὴν M^b. ‖ καὶ — 16. ἐνέργεια om pr K^b. ‖ 13. πρᾶξιν M^bO^b. ‖ 15. ἐπιτελεῖται M^b. ‖ 17. αἱ om M^b. ‖ 18. δ'] δὲ καὶ O^b. ‖ 19. δὴ O^b, δὲ καὶ H^a. ‖ εὐδαίμονα καὶ μακάριον L^b. ‖ 20. οὔτ' O^b. ‖ 21. πρότερον M^b. ‖ ἀναγράφειν $H^aM^bO^b$. ‖ 22. προσαγαγεῖν H^a. ‖ 25. αἱ add K^b. ‖ 28. οἰκεῖα M^b. ‖ 31. ὁποῖόν L^b. ‖ τι om K^b. ‖ 32. δὲ M^b. ‖ 33. γένηται M^b. ‖ οὐδὲ om O^b.

3. δ' ἀρχῶν M^b. ‖ 4. καὶ om M^b. ‖ 5. ἑκάστης K^b. ‖ διορισθῶσι K^b. ‖ 7. γὰρ] οὖν $H^aL^bM^bO^b$. ‖ πλείων L^b. ‖ ἢ] ἢ τὸ H^a, τὸ ἢ τὸ M^b. ‖ τοῦ παντὸς εἶναι H^aM^b, εἶναι τοῦ παντὸς O^b, τοῦ παντὸς L^b. ‖ ἐμφανῆ M^b. ‖ 8. δι' αὐτῆς γίνεσθαι L^b. ‖ 9. δὲ K^b, δὴ καὶ H^aL^b. | ἐκ τοῦ] ἑκάστου K^b. ‖ 12. δὴ] δὲ M^b. ‖ 14. σώματα περὶ K^b, σώματα τὰ περὶ L^b. ‖ ψυχὴν τὰ κυριώτατα K^b. ‖ 15. καὶ τὰς ψυχικὰς ἐνεργείας περὶ H^aK^b. ‖ 17. οὖσαν παλαιὰν H^a. ‖ ὑπὸ — 18. καὶ om K^b. ‖ 18. φιλοσόφων O^b. ‖ 21. εἴρηται] ἐστι L^b. ‖ 22. περὶ] τὰ περὶ K^b. ‖ 23. πάντα H^a. ‖ 26. καὶ om O^b. ‖ συμπεριλαμβάνουσι M^bO^b. ‖ 28. δὴ K^b. ‖ εὔλογον τούτων M^b. ‖ 29. ἕν γε] ἐπί $H^aM^bO^b$. ‖ ἢ add L^b. in K^b post τι deletae litterae duae, καὶ omissa. ‖ ἐπορθοῦν O^b. ‖ 30. λέγουσι] λέγουσι τὴν εὐδαιμονίαν M^b. ‖ τὴν] τὴν πᾶσαν $H^aL^bO^b$, πᾶσαν τὴν M^b. ‖ σύνορός K^b, σύμφωνός L^b. ‖ ἐστιν om H^a. ‖ 32. χρήσει ἢ κτήσει M^b.

μηδὲν ἀγαθὸν ἀποτελεῖν ὑπάρχουσαν, οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι, τὴν δ' ἐνέργειαν οὐχ οἷόν τε· πράξει γὰρ ἐξ ἀνάγκης, καὶ εὖ πράξει. ὥσπερ δ' Ὀλυμπίασιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται ἀλλ' οἱ ἀγωνιζόμενοι (τούτων γάρ τινες νικῶσιν), οὕτω καὶ τῶν ἐν τῷ βίῳ καλῶν κἀγαθῶν οἱ πράττοντες ὀρθῶς ἐπήβολοι γίγνονται. ἔστι δὲ καὶ ὁ βίος αὐτῶν καθ' αὑτὸν ἡδύς. τὸ μὲν γὰρ ἥδεσθαι τῶν ψυχικῶν, ἑκάστῳ δ' ἐστὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος, οἷον ἵππος μὲν τῷ φιλίππῳ, θέαμα δὲ τῷ φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ καὶ ὅλως τὰ κατ' ἀρετὴν τῷ φιλαρέτῳ. τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα μάχεται διὰ τὸ μὴ φύσει τοιαῦτ' εἶναι, τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα. τοιαῦτα δ' αἱ κατ' ἀρετὴν πράξεις, ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι καὶ καθ' αὑτάς. οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν ὥσπερ περιάπτου τινός, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. πρὸς τοῖς εἰρημένοις γὰρ οὐδ' ἐστὶν ἀγαθὸς ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν· οὔτε γὰρ δίκαιον οὐδεὶς ἂν εἴποι τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν, οὔτ' ἐλευθέριον τὸν μὴ χαίροντα ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δ' οὕτω, καθ' αὑτὰς ἂν εἶεν αἱ κατ' ἀρετὴν πράξεις ἡδεῖαι. ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί, καὶ μάλιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος· κρίνει δ' ὡς εἴπομεν. ἄριστον ἄρα καὶ κάλλιστον καὶ ἥδιστον ἡ εὐδαιμονία, καὶ οὐ διώρισται ταῦτα κατὰ τὸ Δηλιακὸν ἐπίγραμμα·

κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
ἥδιστον δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν.

ἅπαντα γὰρ ὑπάρχει ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις· ταύτας δέ, ἢ μίαν τούτων τὴν ἀρίστην, φαμὲν εἶναι τὴν εὐδαιμονίαν. φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη, καθάπερ εἴπομεν· ἀδύνατον γὰρ ἢ οὐ ῥᾴδιον τὰ καλὰ πράττειν ἀχορήγητον ὄντα. πολλὰ μὲν γὰρ πράττεται, καθάπερ δι' ὀργάνων, διὰ φίλων καὶ πλούτου καὶ πολιτικῆς δυνάμεως· ἐνίων δὲ τητώμενοι ῥυπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· ου πάνυ γαρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης ἢ δυσγενὴς ἢ μονώτης καὶ ἄτεκνος, ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν ἢ φίλοι, ἢ αγαθοὶ ὄντες τεθνᾶσιν. καθάπερ οὖν εἴπομεν, ἔοικε προσδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας· ὅθεν εἰς ταὐτὸ τάττουσιν ἔνιοι τὴν εὐτυχίαν τῇ εὐδαιμονίᾳ, ἕτεροι δὲ τὴν ἀρετήν. ὅθεν καὶ ἀπορεῖται πότερόν ἐστι μαθητὸν ἢ ἐθιστὸν ἢ ἄλλως πως ἀσκητόν, ἢ κατά τινα θείαν μοῖραν ἢ καὶ διὰ τύχην παραγίνεται. εἰ μὲν οὖν καὶ ἄλλο τι ἐστὶ θεῶν δώρημα ἀνθρώποις, εὔλογον καὶ τὴν εὐδαιμονίαν θεόσδοτον εἶναι, καὶ μάλιστα τῶν ἀνθρωπίνων ὅσῳ βέλτιστον. ἀλλὰ τοῦτο μὲν ἴσως ἄλλης ἂν εἴη σκέψεως οἰκειότερον, φαίνεται δὲ κἂν εἰ μὴ θεόπεμπτός ἐστιν ἀλλὰ δι' ἀρετὴν καί τινα μάθησιν ἢ ἄσκησιν παραγίνεται, τῶν θειοτάτων εἶναι· τὸ γὰρ τῆς ἀρετῆς ἆθλον καὶ τέλος ἄριστον εἶναι φαίνεται καὶ θεῖόν τι καὶ μακάριον. εἴη δ' ἂν καὶ πολύκοινον· δυνατὸν γὰρ ὑπάρξαι πᾶσι τοῖς μὴ πεπηρωμένοις πρὸς ἀρετὴν διά τινος μαθήσεως καὶ ἐπιμελείας. εἰ δ' ἐστὶν οὕτω βέλτιον ἢ διὰ τύχην εὐδαιμονεῖν, εὔλογον ἔχειν οὕτως, εἴπερ τὰ κατὰ φύσιν, ὡς οἷόν τε κάλλιστα ἔχειν, οὕτω πέφυκεν. ὁμοίως δὲ καὶ τὰ κατὰ τέχνην καὶ πᾶσαν αἰτίαν, καὶ μάλιστα κατὰ τὴν ἀρίστην. τὸ δὲ μέγιστον καὶ κάλλιστον ἐπιτρέψαι τύχῃ λίαν πλημμελὲς ἂν εἴη. συμφανὲς δ' ἐστὶ καὶ ἐκ τοῦ λόγου τὸ ζητούμενον· εἴρηται γὰρ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ποιά τις. τῶν δὲ λοιπῶν ἀγαθῶν τὰ μὲν ὑπάρχειν ἀναγκαῖον, τὰ δὲ συνεργὰ καὶ χρήσιμα πέφυκεν ὀργανικῶς. ὁμολογούμενα δὲ ταῦτ' ἂν εἴη καὶ τοῖς ἐν ἀρχῇ· τὸ γὰρ τῆς πολιτικῆς τέλος ἄριστον ἐτίθεμεν, αὕτη δὲ πλείστην ἐπιμέλειαν ποιεῖται τοῦ ποιούς τινας καὶ ἀγαθοὺς τοὺς πολίτας ποιῆσαι καὶ πρακτικοὺς τῶν καλῶν. εἰκότως οὖν οὔτε βοῦν οὔτε ἵππον οὔτε ἄλλο τῶν ζῴων οὐδὲν εὔδαιμον λέγομεν· οὐδὲν γὰρ αὐτῶν οἷόν τε

2. καὶ om M^b. ‖ 5. τινες καὶ νικῶσιν M^b. ‖ 6. τῷ om L^b. ‖ ὀρθῶς] καλῶς O^b. ‖ ἐπίβολοι K^b. ‖ 7. ἔτι margo K^b. ‖ 9. εἶπες M^b. ‖ 10. φιλοθεωρῷ K^b, φιλοθεάμονι L^bO^b. ‖ τὸν — 11. φιλοδικαίῳ om K^b. ‖ 12. μάχεται πρὸς ἄλληλα διὰ L^b. ‖ 14. δ' αἱ αἱ K^bM^b. ‖ καὶ post ἡδεῖαι om M^b. ‖ 15. δὲ L^b, δὲ δὴ M^b. ‖ 16. τὴν] τινα O^b. ‖ αὐτῷ M^b. ‖ 18. οὐδεὶς ἂν] οὐδ' εἷς ἂν K^b, τις L^b. ‖ 21. εἰ δ' om M^b. ‖ ἑαυτὰς H^a. ‖ 22. μήν γε ἀγαθαὶ καὶ καλαὶ M^b, μὴν ἀγαθαί τε καὶ καλαὶ K^b, μὴν καλαί γε καὶ ἀγαθαὶ L^b. ‖ 27. δ'] δὲ τὸ L^b, om M^b. ‖ 28. δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν K^b et margo Parisiensis Regii 2023; δὲ πέφυχ' οὗ τις ἔραται (vel ἐρᾶται) τυχεῖν $H^aM^bN^b$ et Parisienses Regii 1471, 1855, 1856, 2024; δ' οὗ τις ἐρᾷ τυχεῖν L^bO^b et 1852, 2023, 2114; δὲ οὗ τις ἐρᾶται τυχεῖν codex Oxoniensis collegii corporis Christi; δὲ τυχεῖν οὗ τις ἕκαστος ἐρᾷ 2113 et margo 2114. ‖ 30. τούτων post ἀρίστην H^a. ‖ τὴν om $H^aL^bO^b$. ‖ εἶναί φαμεν H^aM^b.

1. διὰ] καὶ διὰ $H^aK^bM^b$, τῶν L^b. ‖ 2. ἡττώμενοι corr K^b. ‖ 3. οὐ πάνυ] οὐδαμῶς K^b. ‖ 5. φίλοι om H^a. ‖ ἢ add $L^bM^bO^b$. ‖ 7. ὅθεν καὶ εἰς H^a. ‖ ταυτὸν M^b. ‖ 8. ἕτεροι] ἔνιοι $H^aL^bM^bO^b$. ‖ 9. ἢ καὶ ἄλλως $H^aK^bM^b$. ‖ 11. θεῶν ἐστὶ $H^aM^bO^b$. ‖ δώρημα τοῖς ἀνθρώποις L^b. ‖ 13. ὅσον M^b. ‖ 14. κἂν εἰ] εἰ καὶ L^b, κἂν O^b. ‖ 15. ἀλλ' εἰ δι' H^a. ‖ 17. εἶναι post φαίνεται M^b, om L^bO^b. ‖ 20. βέλτιστον L^b. ‖ ἢ τὸ διὰ K^bM^b. ‖ 21. οἷόν τε] οἴονται K^b. ‖ 22. τὰ] τὸ O^b, om H^a. ‖ 23. μάλιστα τὸ κατὰ O^b. ‖ 25. ἔτι K^b, ἂν εἴη L^b. ‖ 30. αὐτὴ K^b. ‖ 32. ἄλλο τι τῶν $H^aM^bO^b$.

κοινωνῆσαι τοιαύτης ἐνεργείας. διὰ ταύτην δὲ τὴν αἰτίαν οὐδὲ παῖς εὐδαίμων ἐςίν· ὔπω γὰρ πρακτικὸς τῶν τοιύτων διὰ τὴν ἡλικίαν· οἱ δὲ λεγόμενοι διὰ τὴν ἐλπίδα μακαρίζονται. δεῖ γάρ, ὥσπερ εἴπομεν, καὶ ἀρετῆς τελείας καὶ βίϐ τελείϐ. πολλαὶ γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον, καὶ ἐνδέχεται τὸν μάλις' εὐθηνῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς ἡρωϊκοῖς περὶ Πριάμϐ μυθεύεται· τὸν δὲ τοιαύταις χρησάμενον τύχαις καὶ τελευτήσαντα ἀθλίως ὐδεὶς εὐδαιμονίζει.

11 πότερον οὖν οὐδ' ἄλλον ὐδένα ἀνθρώπων εὐδαιμονιςέον ἕως ἂν ζῇ, κατὰ Σόλωνα δὲ χρεὼν τέλος ὁρᾶν; εἰ δὲ δὴ καὶ θετέον ὕτως, ἆρά γε καὶ ἔςιν εὐδαίμων τότε ἐπειδὰν ἀποθάνῃ; ἢ τῦτό γε παντελῶς ἄτοπον, ἄλλως τε καὶ τοῖς λέγυσιν ἡμῖν ἐνέργειάν τινα τὴν εὐδαιμονίαν; εἰ δὲ μὴ λέγομεν τὸν τεθνεῶτα εὐδαίμονα, μηδὲ Σόλων τοῦτο βούλεται, ἀλλ' ὅτι τηνικαῦτα ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον ὡς ἐκτὸς ἤδη τῶν κακῶν ὄντα καὶ τῶν δυςυχημάτων, ἔχει μὲν καὶ τοῦτ' ἀμφισβήτησίν τινα· δοκεῖ γὰρ εἶναί τι τῷ τεθνεῶτι καὶ κακὸν καὶ ἀγαθόν, εἴπερ καὶ τῷ ζῶντι μὴ αἰσθανομένῳ δέ, οἷον τιμαὶ καὶ ἀτιμίαι καὶ τέκνων καὶ ὅλως ἀπογόνων εὐπραξίαι τε καὶ δυστυχίαι. ἀπορίαν δὲ καὶ ταῦτα παρέχει· τῷ γὰρ μακαρίως βεβιωκότι μέχρι γήρως καὶ τελευτήσαντι κατὰ λόγον ἐνδέχεται πολλὰς μεταβολὰς συμβαίνειν περὶ τοὺς ἐκγόνϐς, καὶ τὺς μὲν αὐτῶν ἀγαθὺς εἶναι καὶ τυχεῖν βίϐ τῦ κατ' ἀξίαν, τὺς δ' ἐξ ἐναντίας. δῆλον δ' ὅτι καὶ τοῖς ἀποστήμασι πρὸς τοὺς γονεῖς παντοδαπῶς ἔχειν αὐτοὺς ἐνδέχεται. ἄτοπον δὴ γίνοιτ' ἄν, εἰ συμμεταβάλλοι καὶ ὁ τεθνεὼς καὶ γίνοιτο ὁτὲ μὲν εὐδαίμων πάλιν δ' ἄθλιος. ἄτοπον δὲ καὶ τὸ μηδὲν μηδ' ἐπί τινα χρόνον συνικνεῖσθαι τὰ τῶν ἐκγόνων τοῖς γονεῦσιν. ἀλλ' ἐπανιτέον ἐπὶ τὸ πρότερον ἀπορηθέν· τάχα γὰρ ἂν θεωρηθείη καὶ τὸ νῦν ἐπιζητύμενον ἐξ ἐκείνϐ. εἰ δὴ τὸ τέλος ὁρᾶν δεῖ καὶ τότε μακαρίζειν ἕκαςον οὐχ ὡς ὄντα μακάριον ἀλλ' ὅτι πρότερον ἦν, πῶς ὐκ ἄτοπον, εἰ ὅτ' ἐςὶν εὐδαίμων, μὴ ἀληθεύσεται κατ' αὐτοῦ τὸ ὑπάρχον διὰ τὸ μὴ βούλεσθαι τοὺς ζῶντας εὐδαιμονίζειν διὰ τὰς μεταβολάς, καὶ διὰ τὸ μόνιμόν τι τὴν εὐδαιμονίαν ὑπειληφέναι καὶ μηδαμῶς εὐμετάβολον, τὰς δὲ τύχας πολλάκις ἀνακυκλεῖσθαι περὶ τὺς αὐτύς; δῆλον γὰρ ὡς εἰ συνακολυθοίημεν ταῖς τύχαις, τὸν αὐτὸν εὐδαίμονα καὶ πάλιν ἄθλιον ἐροῦμεν πολλάκις, χαμαιλέοντά τινα τὸν εὐδαίμονα ἀποφαίνοντες καὶ σαθρῶς ἱδρυμένον. ἢ τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν οὐδαμῶς ὀρθόν· οὐ γὰρ ἐν ταύταις τὸ εὖ ἢ κακῶς, ἀλλὰ προσδεῖται τύτων ὁ ἀνθρώπινος βίος, καθάπερ εἴπαμεν, κύριαι δ' εἰσὶν αἱ κατ' ἀρετὴν ἐνέργειαι τῆς εὐδαιμονίας, αἱ δ' ἐναντίαι τοῦ ἐναντίου. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὸ νῦν διαπορηθέν. περὶ οὐδὲν γὰρ ὕτως ὑπάρχει τῶν ἀνθρωπίνων ἔργων βεβαιότης ὡς περὶ τὰς ἐνεργείας τὰς κατ' ἀρετήν· μονιμώτεραι γὰρ καὶ τῶν ἐπιςημῶν αὗται δοκοῦσιν εἶναι· τύτων δ' αὐτῶν αἱ τιμιώταται μονιμώταται διὰ τὸ μάλιστα καὶ συνεχέστατα καταζῆν ἐν αὐταῖς τοὺς μακαρίους· τοῦτο γὰρ ἔοικεν αἰτίῳ τοῦ μὴ γίγνεσθαι περὶ αὐτὰ λήθην. ὑπάρξει δὴ τὸ ζητούμενον τῷ εὐδαίμονι, καὶ ἔςαι διὰ βίου τοιοῦτος· ἀεὶ γὰρ ἢ μάλιστα πάντων πράξει καὶ θεωρήσει τὰ κατ' ἀρετήν, καὶ τὰς τύχας οἴσει κάλλιστα καὶ πάντῃ πάντως ἐμμελῶς ὅ γ' ὡς ἀληθῶς ἀγαθὸς καὶ τετράγωνος ἄνευ ψόγυ. πολλῶν δὲ γινομένων κατὰ τύχην καὶ διαφερόντων μεγέθει καὶ μικρότητι, τὰ μὲν μικρὰ τῶν εὐτυχημάτων, ὁμοίως δὲ καὶ τῶν ἀντικειμένων, δῆλον ὡς οὐ ποιεῖ ῥοπὴν τῆς ζωῆς, τὰ δὲ μεγάλα καὶ πολλὰ γιγνόμενα μὲν εὖ μακαριώτερον τὸν βίον ποιήσει (καὶ γὰρ αὐτὰ συνεπικοσμεῖν πέφυκεν, καὶ ἡ χρῆσις αὐτῶν καλὴ καὶ σπουδαία γίγνεται), ἀνάπαλιν δὲ συμβαίνοντα θλίβει καὶ λυμαίνεται τὸ μακάριον· λύπας τε γὰρ ἐπιφέρει καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις. ὅμως δὲ καὶ ἐν τύτοις διαλάμπει τὸ καλόν, ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, μὴ δι' ἀναλγησίαν, ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος. εἰ δ' εἰσὶν αἱ ἐνέργειαι κύριαι τῆς ζωῆς, καθάπερ εἴπομεν, οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα. τὸν γὰρ ὡς ἀληθῶς

1. κοινωνῆσαι τῆς τοιαύτης M^b. ‖ τὴν αἰτίαν post 2. ἐςίν O^b. ‖ 2. τῶν τοιύτων πρακτικὸς M^b. ‖ 4. περ om M^b. ‖ 6. τὸν μάλις'] τὰ μὲν μάλις' M^b. ‖ εὐθυνῦντα H^a, εὐσθενῦντα K^b. ‖ 7. γήρως L^b. ‖ 8. τρωϊκοῖς K^bM^b. ‖ μεμυθολόγηται L^b. ‖ 12. καὶ om O^b. ‖ 14. τὴν εὐδαιμονίαν τινά M^b. ‖ 15. μηδὲ γὰρ σόλων M^b. ‖ 17. τῶν post καὶ om $H^aL^bO^b$. ‖ 18. τι om K^b. ‖ 19. κακὸν] κακόν τι H^a. ‖ 21. δὲ] γὰρ M^b. ‖ 22. τῷ μὲν γὰρ M^b. ‖ 25. ἀγαθὺς] τῶν ἀγαθῶν τε O^b. ‖ 26. δ' om K^b. ‖ 27. γίνοιτ' M^b. ‖ 28. συμμεταβάλο. $H^aK^bO^b$. ‖ γένοιτο H^a. ‖ 32. τὸ post δὴ add K^b. ‖ 34. ὅτ'] ὅτι L^b. ‖ 35. ἀληθεύεται M^b.

5. πάλιν om M^b. ‖ 9. εἴπομεν $H^aL^bM^bO^b$. ‖ 12. ὑπάρχει post 13. ἔργων K^b. ‖ 13. ἔργων om H^a. ‖ βεβαιωτὴς K^b. ‖ 14. αὗται καὶ τῶν ἐπιςημῶν M^b. ‖ 15. τιμιώτεραι M^b. ‖ μονιώτεραι $K^bL^bM^b$. ‖ 16. ταύταις K^b. ‖ 17. αἴτιον L^b. ‖ αὐτὰς M^b. ‖ 18. [illegible] M^b. ‖ 22. οἱ L^b. ‖ 23. καὶ μεγέθει καὶ M^b. ‖ σμικρότητι $L^bM^bO^b$. ‖ σμικρὰ L^b. ‖ 25. πολλὰ καὶ μεγάλα H^a. ‖ 26. αὐτὰ τὰ μεγάλα συνεπικοσμεῖν M^b. ‖ 27. σπουδαία] βεβαία K^b. ‖ 28. δὲ] δὲ πάλιν M^b. ‖ 29. τὸν pr L^b. ‖ 33. αἱ om K^b. ‖ 35. καὶ τὰ φαῦλα K^bM^b. ‖ ἀληθῶς] ἀληθῶς εὐδαίμονα M^b.

καὶ ἔμφρονα πάσας οἰόμεθα τὰς τύχας εὐσχημό-
ειν καὶ ἐκ τῶν ὑπαρχόντων ἀεὶ τὰ κάλλιϛα πράτ-
θάπερ καὶ ϛρατηγὸν ἀγαθὸν τῷ παρόντι ϛρατοπέδῳ
πολεμικώτατα καὶ σκυτοτόμον ἐκ τῶν δοθέντων
κάλλιστον ὑπόδημα ποιεῖν· τὸν αὐτὸν δὲ τρόπον
ἄλλȣς τεχνίτας ἅπαντας. εἰ δ' οὕτως, ἄθλιος μὲν
γένοιτ' ἂν ὁ εὐδαίμων, οὐ μὴν μακάριός γε, ἂν
αῖς τύχαις περιπέσῃ. οὐδὲ δὴ ποικίλος γε καὶ
βολος· ὅτε γὰρ ἐκ τῆς εὐδαιμονίας κινηθήσεται ῥᾳ-
' ὑπὸ τῶν τυχόντων ἀτυχημάτων ἀλλ' ὑπὸ μεγά-
πολλῶν, ἔκ τε τῶν τοιȣ́των οὐκ ἂν γένοιτο πάλιν
ν ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' εἴπερ, ἐν πολλῷ τινὶ καὶ
μεγάλων καὶ καλῶν ἐν αὐτῷ γενόμενος ἐπήβολος.
κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν
τα καὶ τοῖς ἐκτὸς ἀγαθοῖς ἱκανῶς κεχορηγημένον,
τυχόντα χρόνον ἀλλὰ τέλειον βίον; ἢ προσθετέον
σόμενον ȣ̔́τω καὶ τελευτήσοντα κατὰ λόγον, ἐπειδὴ
ον ἀφανὲς ἡμῖν, τὴν εὐδαιμονίαν δὲ τέλος καὶ τέ-
θεμεν πάντῃ πάντως. εἰ δ' οὕτω, μακαρίȣς ἐροῦμεν
των οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα, μακα-
ἀνθρώπȣς. καὶ περὶ μὲν τȣ́των ἐπὶ τοσȣ̃τον διωρίσθω,
τῶν ἀπογόνων τύχας καὶ τῶν φίλων ἁπάντων τὸ
δοτιοῦν συμβάλλεσθαι λίαν ἄφιλον φαίνεται καὶ
αις ἐναντίον· πολλῶν δὲ καὶ παντοίας ἐχόντων δια-
ῶν συμβαινόντων, καὶ τῶν μὲν μᾶλλον συνικνȣμέ-
δ' ἧττον, καθ' ἕκαϛον μὲν διαιρεῖν μακρὸν καὶ ἀπέ-
φαίνεται, καθόλου δὲ λεχθὲν καὶ τύπῳ τάχ' ἂν
ἔχοι. εἰ δή, καθάπερ καὶ τῶν περὶ αὐτὸν ἀτυχη-
τὰ μὲν ἔχει τι βρῖθος καὶ ῥοπὴν πρὸς τὸν βίον τὰ
ροτέροις ἔοικεν, οὕτω καὶ τὰ περὶ τȣ̀ς φίλȣς ὁμοίως
, διαφέρει δὲ τῶν παθῶν ἕκαστον περὶ ζῶντας ἢ
αντας συμβαίνειν πολὺ μᾶλλον ἢ τὰ παράνομα
ὰ προϋπάρχειν ἐν ταῖς τραγῳδίαις ἢ πράττεσθαι,
ϛέον δὴ καὶ ταύτην τὴν διαφοράν, μᾶλλον δ' ἴσως
ρεῖσθαι περὶ τȣ̀ς κεκμηκότας εἴ τινος ἀγαθȣ̃ κοινω-

νȣ̃σιν ἢ τῶν ἀντικειμένων· ἔοικε γὰρ ἐκ τȣ́των εἰ καὶ διικνεῖται πρὸς αὐτȣ̀ς ὁτιȣ̃ν, εἴτ' ἀγαθὸν εἴτε τοὐναντίον, ἀφαυρόν τι καὶ μικρὸν ἢ ἁπλῶς ἢ ἐκείνοις εἶναι, εἰ δὲ μή, τοσοῦτόν γε καὶ τοιοῦτον ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας μηδὲ τοὺς ὄντας ἀφαιρεῖσθαι τὸ μακάριον. συμβάλλεσθαι μὲν ȣ̔̃ν τι φαίνονται τοῖς κεκμηκόσιν αἱ εὐπραξίαι τῶν φίλων, ὁμοίως δὲ καὶ αἱ δυσπραξίαι, τοιαῦτα δὲ καὶ τηλικαῦτα ὥϛε μήτε τȣ̀ς εὐδαίμονας μὴ εὐδαίμονας ποιεῖν μήτ' ἄλλο τῶν τοιȣ́των μηδέν.

Διωρισμένων δὲ τȣ́των ἐπισκεψώμεθα περὶ τῆς εὐδαι- 12
μονίας πότερα τῶν ἐπαινετῶν ἐστὶν ἢ μᾶλλον τῶν τιμίων· δῆλον γὰρ ὅτι τῶν γε δυνάμεων ȣ̓κ ἔϛιν. φαίνεται δὴ πᾶν τὸ ἐπαινετὸν τῷ ποιόν τι εἶναι καὶ πρός τί πως ἔχειν ἐπαινεῖσθαι· τὸν γὰρ δίκαιον καὶ τὸν ἀνδρεῖον καὶ ὅλως τὸν ἀγαθὸν καὶ τὴν ἀρετὴν ἐπαινοῦμεν διὰ τὰς πράξεις καὶ τὰ ἔργα, καὶ τὸν ἰσχυρὸν καὶ τὸν δρομικὸν καὶ τῶν ἄλλων ἕκαϛον τῷ ποιόν τινα πεφυκέναι καὶ ἔχειν πως πρὸς ἀγαθόν τι καὶ σπȣδαῖον. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν περὶ τοὺς θεοὺς ἐπαίνων· γελοῖοι γὰρ φαίνονται πρὸς ἡμᾶς ἀναφερόμενοι, τοῦτο δὲ συμβαίνει διὰ τὸ γίνεσθαι τȣ̀ς ἐπαίνȣς δι' ἀναφορᾶς, ὥσπερ εἴπαμεν. εἰ δ' ἐϛὶν ὁ ἔπαινος τῶν τοιούτων, δῆλον ὅτι τῶν ἀρίϛων οὐκ ἔϛιν ἔπαινος, ἀλλὰ μεῖζόν τι καὶ βέλτιον, καθάπερ καὶ φαίνεται· τούς τε γὰρ θεοὺς μακαρίζομεν καὶ εὐδαιμονίζομεν καὶ τῶν ἀνδρῶν τȣ̀ς θειοτάτους μακαρίζομεν. ὁμοίως δὲ καὶ τῶν ἀγαθῶν· οὐδεὶς γὰρ τὴν εὐδαιμονίαν ἐπαινεῖ καθάπερ τὸ δίκαιον, ἀλλ' ὡς θειότερόν τι καὶ βέλτιον μακαρίζει. δοκεῖ δὲ καὶ Εὔδοξος καλῶς συνηγορῆσαι περὶ τῶν ἀριϛείων τῇ ἡδονῇ· τὸ γὰρ μὴ ἐπαινεῖσθαι τῶν ἀγαθῶν ȣ̓̃σαν μηνύειν ᾤετο ὅτι κρεῖττόν ἐϛι τῶν ἐπαινετῶν, τοιȣ̃τον δ' εἶναι τὸν θεὸν καὶ τἀγαθόν· πρὸς ταῦτα γὰρ καὶ τἆλλα ἀναφέρεσθαι. ὁ μὲν γὰρ ἔπαινος τῆς ἀρετῆς· πρακτικοὶ γὰρ τῶν καλῶν ἀπὸ ταύτης· τὰ δ' ἐγκώμια τῶν ἔργων ὁμοίως καὶ τῶν σωματικῶν καὶ τῶν ψυχικῶν. ἀλλὰ ταῦτα μὲν ἴσως οἰκειότερον ἐξακριβοῦν τοῖς περὶ τὰ ἐγκώμια πεπονημένοις, ἡμῖν δὲ δῆλον ἐκ τῶν

γαθὸν καὶ εὔφρονα L^b, καὶ ἔμφρονα ἀγαθὸν $H^aM^bN^b$. ‖ 7. ἂν γένοιτο M^b. ‖ 8. γε] τε K^b, om L^bO^b. ‖ 10. ȣ̓̃θ' $H^aK^bL^b$
τὸ τῶν μεγάλων M^b. ‖ 11. τε om L^b, post τοιούτων ponit O^b. ‖ οὐκ] δ' οὐκ L^b. ‖ 12. τινὶ] τινὶ καὶ μεγάλῳ L^b. ‖ 13.
λέγοι K^b. ‖ 16. ἢ om K^b. ‖ 17. τελευτήσαντα L^b. ‖ 18. ἡμῖν ἐϛιν, τὴν K^b. ‖ 19. πάντῃ καὶ πάντως O^b. ‖ μακαρίȣς μὲν
^{b}. ‖ 23. μὲν om L^bO^b. ‖ 26. ἧσσον K^b. ‖ ἕκαϛα L^bM^b. ‖ 32. πολλῷ M^b. ‖ 34. δὲ H^a. ‖ ταύτῃ $H^aK^bL^bO^b$. ‖
ἀλλὰ O^b.

ἀρ] οὖν L^b. ‖ 2. φλαῦρόν K^b. ‖ 3. τε M^b. ‖ 4. γε om M^b. ‖ 6. τῶν — 7. δυσπραξίαι om H^aK^b. ‖ 8. μήτε] μὴ L^b,
‖ 11. πότερον L^b, πότερον οὖν M^b. ‖ 12. δὴ] δὲ L^bO^b. ‖ 15. ἀγαθόν τε καὶ K^b. ‖ τὰ ἔργα καὶ τὰς πράξεις $H^aL^bM^bO^b$. ‖
ὸν δὲ καὶ K^b. ‖ 18. τι om M^b. ‖ περὶ τοὺς] πρὸς M^b. ‖ 21. εἴπομεν $H^aL^bM^bO^b$. ‖ 22. ὁ ἔπαινος H^a, ἔπαινος τῶν τοιούτων
3. βέλτιϛον L^b. ‖ τε om M^b. ‖ 26. γὰρ] δὲ H^a. ‖ τὸ om pr K^b. ‖ 27. δὲ] γὰρ O^b. ‖ 28. ἀρίϛων H^a. ‖ 29. κρείττων
. ‖ 31. καὶ om L^b. ‖ τἆλλα om M^b. ‖ 33. τῶν σωματικῶν καὶ τῶν ψυχικωτέρων L^b, τῶν ψυχικῶν καὶ σωματικῶν H^a. ‖ 34.
M^b.

εἰρημένων ὅτι ἐστὶν ἡ εὐδαιμονία τῶν τιμίων καὶ τελείων. ἔοικε δ' οὕτως ἔχειν καὶ διὰ τὸ εἶναι ἀρχή· ταύτης γὰρ χάριν τὰ λοιπὰ πάντα πάντες πράττομεν, τὴν ἀρχὴν δὲ καὶ τὸ αἴτιον τῶν ἀγαθῶν τίμιόν τι καὶ θεῖον τίθεμεν.

13 Ἐπεὶ δ' ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργειά τις κατ' ἀρετὴν τελείαν, περὶ ἀρετῆς ἐπισκεπτέον· τάχα γὰρ οὕτως ἂν βέλτιον καὶ περὶ τῆς εὐδαιμονίας θεωρήσαιμεν. δοκεῖ δὲ καὶ ὁ κατ' ἀλήθειαν πολιτικὸς περὶ ταύτην μάλιςα πεπονῆσθαι· βούλεται γὰρ τοὺς πολίτας ἀγαθὒς ποιεῖν καὶ τῶν νόμων ὑπηκόὒς. παράδειγμα δὲ τὒτων ἔχομεν τὒς Κρητῶν καὶ Λακεδαιμονίων νομοθέτας, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται. εἰ δὲ τῆς πολιτικῆς ἐςὶν ἡ σκέψις αὕτη, δῆλον ὅτι γένοιτ' ἂν ἡ ζήτησις κατὰ τὴν ἐξ ἀρχῆς προαίρεσιν. περὶ ἀρετῆς δὲ ἐπισκεπτέον ἀνθρωπίνης δῆλον ὅτι· καὶ γὰρ τἀγαθὸν ἀνθρώπινον ἐζητοῦμεν καὶ τὴν εὐδαιμονίαν ἀνθρωπίνην. ἀρετὴν δὲ λέγομεν ἀνθρωπίνην ὐ τὴν τὒ σώματος ἀλλὰ τὴν τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν δὲ ψυχῆς ἐνέργειαν λέγομεν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πως τὰ περὶ ψυχήν, ὥσπερ καὶ τὸν ὀφθαλμὒς θεραπεύσοντα καὶ πᾶν σῶμα, καὶ μᾶλλον ὅσῳ τιμιωτέρα καὶ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς. τῶν δ' ἰατρῶν οἱ χαρίεντες πολλὰ πραγματεύονται περὶ τὴν τὒ σώματος γνῶσιν. θεωρητέον δὴ καὶ τῷ πολιτικῷ περὶ ψυχῆς, θεωρητέον δὲ τὒτων χάριν, καὶ ἐφ' ὅσον ἱκανῶς ἔχει πρὸς τὰ ζητούμενα· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβὒν ἐργωδέςερον ἴσως ἐστὶ τῶν προκειμένων. λέγεται δὲ περὶ αὐτῆς καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις ἀρκὒντως ἔνια, καὶ χρηςέον αὐτοῖς. οἷον τὸ μὲν ἄλογον αὐτῆς εἶναι, τὸ δὲ λόγον ἔχον. ταῦτα δὲ πότερον διώριςαι καθάπερ τὰ τὒ σώματος μόρια καὶ πᾶν τὸ μεριςόν, ἢ τῷ λόγῳ δύο ἐςὶν ἀχώριςα πεφυκότα καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὐθὲν διαφέρει πρὸς τὸ παρόν. τοῦ ἀλόγὒ δὲ τὸ μὲν ἔοικε κοινῷ καὶ φυτικῷ, λέγω δὲ τὸ αἴτιον τοῦ τρέφεσθαι καὶ αὔξεσθαι· τὴν τοιαύτην γὰρ δύναμιν τῆς ψυχῆς ἐν ἅπασι τοῖς τρεφομέ-

νοις θείη τις ἂν καὶ ἐν τοῖς ἐμβρύοις, τὴν αὐτὴν δὲ
καὶ ἐν τοῖς τελείοις· εὐλογώτερον γὰρ ἢ ἄλλην τινά
της μὲν ὖν κοινή τις ἀρετὴ καὶ ὐκ ἀνθρωπίνη φαίνετ
κεῖ γὰρ ἐν τοῖς ὕπνοις ἐνεργεῖν μάλιςα τὸ μόριον τ
ἡ δύναμις αὕτη, ὁ δ' ἀγαθὸς καὶ κακὸς ἥκιστα δ
καθ' ὕπνον, ὅθεν φασὶν ὐδὲν διαφέρειν τὸ ἥμισυ τὒ
εὐδαίμονας τῶν ἀθλίων. συμβαίνει δὲ τὒτο εἰκότως·
γάρ ἐςιν ὁ ὕπνος τῆς ψυχῆς ᾗ λέγεται σπὒδαία καὶ
πλὴν εἴ πῃ κατὰ μικρὸν διικνὒνταί τινες τῶν κινήσε
ταύτῃ βελτίω γίνεται τὰ φαντάσματα τῶν ἐπιεικῶ
τυχόντων. ἀλλὰ περὶ μὲν τούτων ἅλις, καὶ τὸ θρ
ἐατέον, ἐπειδὴ τῆς ἀνθρωπικῆς ἀρετῆς ἄμοιρον π
ἔοικε δὲ καὶ ἄλλη τις φύσις τῆς ψυχῆς ἄλογος εἶν
τέχὒσα μέντοι πῃ λόγὒ. τὒ γὰρ ἐγκρατὒς καὶ ἀκρα
λόγον καὶ τῆς ψυχῆς τὸ λόγον ἔχον ἐπαινὒμεν· ὀρθ
καὶ ἐπὶ τὰ βέλτιστα παρακαλεῖ· φαίνεται δ' ἐν
καὶ ἄλλο τι παρὰ τὸν λόγον πεφυκός, ὃ μάχεταί
ἀντιτείνει τῷ λόγῳ. ἀτεχνῶς γὰρ καθάπερ τὰ παρ
μένα τὒ σώματος μόρια εἰς τὰ δεξιὰ προαιρὒμένων
τὒναντίον εἰς τὰ ἀριςερὰ παραφέρεται, καὶ ἐπὶ τῆς
οὕτως· ἐπὶ τἀναντία γὰρ αἱ ὁρμαὶ τῶν ἀκρατῶν. ἀ
τοῖς σώμασι μὲν ὁρῶμεν τὸ παραφερόμενον, ἐπὶ δὲ τ
χῆς ὐχ ὁρῶμεν. ἴσως δ' ὐδὲν ἧττον καὶ ἐν τῇ ψυχ
ςέον εἶναί τι παρὰ τὸν λόγον, ἐναντιὒμενον τὒτῳ καὶ
βαῖνον. πῶς δ' ἕτερον, οὐδὲν διαφέρει. λόγὒ δὲ καὶ
φαίνεται μετέχειν, ὥσπερ εἴπομεν· πειθαρχεῖ γὒν τῷ
τὸ τὒ ἐγκρατὒς. ἔτι δ' ἴσως εὐηκοώτερόν ἐςι τὸ τὒ σώ
καὶ ἀνδρείὒ· πάντα γὰρ ὁμοφωνεῖ τῷ λόγῳ. φαίν
καὶ τὸ ἄλογον διττόν. τὸ μὲν γὰρ φυτικὸν ὐδαμῶς
νεῖ λόγου, τὸ δ' ἐπιθυμητικὸν καὶ ὅλως ὀρεκτικὸν μ
πως, ᾗ κατήκοόν ἐστιν αὐτοῦ καὶ πειθαρχικόν. ὒτω
τοῦ πατρὸς καὶ τῶν φίλων φαμὲν ἔχειν λόγον, κ
ὥσπερ τῶν μαθηματικῶν. ὅτι δὲ πείθεταί πως ὑπὸ
τὸ ἄλογον, μηνύει καὶ ἡ νὒθέτησις καὶ πᾶσα ἐπιτίμ

1. καὶ τῶν τελείων O^b. ‖ 2. ἀρχήν M^bO^b. ‖ 3. πάντα post πάντες H^aO^b, post πράττομεν M^b. ‖ 5. εἰ L^bO^b. ‖ τις om
6. σκεπτέον L^b, ἐπισκεπτέον ἂν εἴη K^b. ‖ 7. βέλτιον ἂν M^b. ‖ τὴν εὐδαιμονίαν H^aO^b. ‖ 9. ἀγαθὒς τοὺς πολίτας K^b. ‖ 12. αὕτη
ψις L^bO^b. ‖ 13. γίνοιτ' K^b. ‖ 15. καὶ ζητὒμεν M^b. ‖ 16. ἀνθρωπίνην δὲ λέγομεν ἀρετὴν M^b. ‖ ἀλλὰ] ἀλλὰ καὶ K^b. ‖ τὴν om H^a
ψυχῆς K^bO^b. ‖ θεραπεύοντα K^b, θεραπεύσαντα L^b. ‖ 21. βέλτιον L^b. ‖ τῶν δ' ἰατρῶν] καὶ τῶν ἰατρῶν M^b, καὶ τῶν ἰατρῶν δ' H^aL^b
22. γνῶσιν] θεραπείαν O^b. ‖ 23. δὲ $L^bM^bO^b$. ‖ 25. πλεῖςον L^b. ‖ ἐξακριβὒν ante ἐπὶ K^b. ‖ 26. δὲ καὶ περὶ K^b. ‖ καὶ om M^b.
μόνα H^a ‖ 30. ἐςὶν om O^b. ‖ 32. φυτικῷ καὶ κοινῷ M^b. ‖ 33. αὐξάνεσθαι H^a.

2. ταύτῃ H^aM^b. ‖ 3. ἀνθρωπικὴ $H^aL^bM^bO^b$. ‖ 4. γὰρ καὶ ἐν M^b. ‖ 6. τὒς εὐδαίμονας τὸ ἥμισυ τὒ βίὒ L^b. ‖ 9. πῃ] μὴ
μικρὸν καὶ διικνὒνταί K^b. ‖ 12. ἀνθρωπίνης M^b. ‖ ἀλλότριον K^b. ‖ 13. δὴ $H^aM^bO^b$. ‖ τῆς om L^bO^b. ‖ εἶναι καὶ μετέχὒσα M^b.
μὲν πῃ $L^bM^bO^b$, πῇ μὲν H^a. ‖ ἀκρατὒς καὶ ἐγκρατὒς $H^aK^bM^b$. ‖ 17. τε om L^bO^b. ‖ 20. περιφέρεται M^b, προφέρεται K^b.
μὲν om K^b. ‖ περιφερόμενον O^b. ‖ 27. τὸ prius om K^b. ‖ 28. τἀνδρείὒ M^b. ‖ δὲ M^b. ‖ 29. φυσικὸν L^b, θυμικὸν pr K^b. ‖ 3
μαθηματικά M^b. ‖ ὑπὸ τοῦ λόγου M^b. ‖ 34. πᾶσα ἡ ἐπιτίμησίς K^b. ‖ τε om M^b.

ιράκλησις. εἰ δὲ χρὴ καὶ τοῦτο φάναι λόγον ἔχειν, ἔσται καὶ τὸ λόγον ἔχον, τὸ μὲν κυρίως καὶ ἐν αὐτῷ, ὥσπερ τοῦ πατρὸς ἀκουστικόν τι. διορίζεται δὲ καὶ ἡ κατὰ τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτῶν τὰς ανοητικὰς τὰς δὲ ἠθικάς, σοφίαν μὲν καὶ σύνεσιν ρόνησιν διανοητικάς, ἐλευθεριότητα δὲ καὶ σωφροσύνην λέγοντες γὰρ περὶ τοῦ ἤθους οὐ λέγομεν ὅτι σοφὸς ἢ ς ἀλλ' ὅτι πρᾶος ἢ σώφρων, ἐπαινοῦμεν δὲ καὶ τὸν κατὰ τὴν ἕξιν· τῶν ἕξεων δὲ τὰς ἐπαινετὰς ἀρετὰς εν.

Β.

ιττῆς δὲ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς τῆς ῆς, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει ν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται ρόνου· ἡ δ' ἠθικὴ ἐξ ἔθους περιγίνεται, ὅθεν καὶ τοὔνομα μικρὸν παρεκκλῖνον ἀπὸ τοῦ ἔθους. ἐξ οὗ καὶ δῆλον μία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται· οὐθὲν ῶν φύσει ὄντων ἄλλως ἐθίζεται, οἷον ὁ λίθος φύσει φερόμενος οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδ' ἂν μυ- αὐτὸν ἐθίζῃ τις ἄνω ῥίπτων, οὐδὲ τὸ πῦρ κάτω, οὐδ' οὐδὲν τῶν ἄλλως πεφυκότων ἄλλως ἂν ἐθισθείη. οὔτ' φύσει οὔτε παρὰ φύσιν ἐγγίνονται αἱ ἀρεταί, ἀλλὰ σι μὲν ἡμῖν δέξασθαι αὐτάς, τελειουμένοις δὲ διὰ τοῦ ἔτι ὅσα μὲν φύσει ἡμῖν παραγίνεται, τὰς δυνάμεις πρότερον κομιζόμεθα, ὕστερον δὲ τὰς ἐνεργείας ἀποδί- ὅπερ ἐπὶ τῶν αἰσθήσεων δῆλον· οὐ γὰρ ἐκ τοῦ πολ- ἰδεῖν ἢ πολλάκις ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν, ἀνάπαλιν ἔχοντες ἐχρησάμεθα, οὐ χρησάμενοι ἔσχο- τὰς δ' ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον, καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἃ γὰρ δεῖ μαθόντας ταῦτα ποιοῦντες μανθάνομεν, οἷον οἰκοδομοῦντες οἰκο- γίνονται καὶ κιθαρίζοντες κιθαρισταί. οὕτω δὲ καὶ τὰ μὲν δίκαια πράττοντες δίκαιοι γινόμεθα, τὰ δὲ σώφρονα σώφρονες, τὰ δ' ἀνδρεῖα ἀνδρεῖοι. μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες ποιοῦσιν ἀγαθούς, καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ' ἐστίν, ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν, ἁμαρτάνουσιν· καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας ἀγαθὴ φαύλης. ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν καὶ γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται, ὁμοίως δὲ καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ γίνονται κιθαρισταί. ἀνάλογον δὲ καὶ οἱ οἰκοδόμοι καὶ οἱ λοιποὶ πάντες· ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς κακοί. εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος, ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ ἢ κακοί. οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους γινόμεθα οἱ μὲν δίκαιοι οἱ δὲ ἄδικοι, πράττοντες δὲ τὰ ἐν τοῖς δεινοῖς καὶ ἐθιζόμενοι φοβεῖσθαι ἢ θαρρεῖν οἱ μὲν ἀνδρεῖοι οἱ δὲ δειλοί. ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ τὰ περὶ τὰς ὀργάς· οἱ μὲν γὰρ σώφρονες καὶ πρᾶοι γίνονται, οἱ δ' ἀκόλαστοι καὶ ὀργίλοι, οἱ μὲν ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι, οἱ δὲ ἐκ τοῦ οὑτωσί. καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται. διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν.

Ἐπεὶ οὖν ἡ παροῦσα πραγματεία οὐ θεωρίας ἕνεκά 2
ἐστιν ὥσπερ αἱ ἄλλαι (οὐ γὰρ ἵν' εἰδῶμεν τί ἐστιν ἡ ἀρετὴ σκεπτόμεθα, ἀλλ' ἵν' ἀγαθοὶ γενώμεθα, ἐπεὶ οὐδὲν ἂν ἦν ὄφελος αὐτῆς), ἀναγκαῖόν ἐστι σκέψασθαι τὰ περὶ τὰς πράξεις, πῶς πρακτέον αὐτάς· αὗται γάρ εἰσι κύριαι καὶ τοῦ ποιὰς γενέσθαι τὰς ἕξεις, καθάπερ εἰρήκαμεν. τὸ μὲν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν κοινὸν καὶ ὑποκείσθω, ῥηθήσεται δ' ὕστερον περὶ αὐτοῦ, καὶ τί ἐστιν ὁ ὀρθὸς λόγος, καὶ πῶς ἔχει πρὸς τὰς ἄλλας ἀρετάς. ἐκεῖνο δὲ προδιο-

χρὴ δὲ M^b. ‖ 2. ἔσται] ἄρα L^bO^b, ἔσται ἄρα M^b. ‖ μὲν γὰρ κυρίως M^b. ‖ ἐν om H^a, qui ἑαυτῷ. ‖ 3. τι om K^b. ‖ καὶ om 5. καὶ σύνεσιν post 6. καὶ φρόνησιν ponit O^b, om M^b. ‖ 7. ἢ] καὶ K^b. ‖ 15. πλεῖστον M^bO^b. ‖ ἐκ τῆς διδασκαλίας L^b, ἐν λίαις M^b. ‖ 16. διόπερ καὶ ἐμπειρίας M^b. ‖ 18. ἔσχε M^b. ‖ παρεγκλῖνον K^bN^b. ‖ ἤθους N^b. ‖ 20. ὁ om M^b. ‖ 22. αὐτὸν M^b. ‖ τὸ om L^b. ‖ 23. πεφυκ.] φύσει πεφυκότων M^b. ‖ 26. ἡμῶν M^b. ‖ περιγίνεται L^bM^b. ‖ 27. τούτων] τὰς τούτων O^b. ‖ μεν O^b. ‖ 32. τῶν τεχνῶν τῶν ἄλλων L^bO^b. ‖ 34. δὴ L^b, om M^b.

αὐτὰ K^b. ‖ 7. καὶ ante γίνεται om K^b. ‖ 8. δὴ L^b. ‖ 9. οἱ ante κακοὶ om K^b. ‖ 10. οἱ ante οἰκοδόμοι om $K^bL^bM^bO^b$. ‖ — 13. κακοί om M^b. ‖ 13. δὲ M^b. ‖ 14. γὰρ om M^b. ‖ τοῖς συναλλάγμασι om pr K^b. ‖ 15. περὶ M^b. ‖ γινόμενα K^b. post ἄδικοι L^bO^b. ‖ 16. ἐθιζόμενοι ἢ φοβεῖσθαι M^b. ‖ 17. ἢ om K^b. ‖ 18. τὰ om L^bM^b. ‖ τὰ om M^b. ‖ 20. μὲν γὰρ ‖ οὑτωσὶν M^b, οὑτωσεὶ K^bN^b. ‖ ἐν αὐτοῖς om M^b. ‖ 24. γοῦν M^b. ‖ εὐθέως K^b. ‖ 27. οὐδὲ γὰρ L^b. ‖ τί ἐστιν ἀρετὴ O^b, ἡ K^b. ‖ 28. γινώμεθα M^b. ‖ 29. ἐστι] ἔτι L^b, ἦν K^b, ἂν εἴη M^b. ‖ 31. γίνεσθαι L^b. ‖ 32. καὶ om M^b. ‖ ὑπερκείσθω N^b. ‖ M^b. ‖ 33. ὁ om $K^bL^bO^b$. ‖ 34. προσδιομολογείσθω K^b, προομολογείσθω L^bO^b.

μολογείσθω, ὅτι πᾶς ὁ περὶ τῶν πρακτῶν λόγος τύπῳ καὶ ὐκ ἀκριβῶς ὀφείλει λέγεσθαι, ὥσπερ καὶ κατ' ἀρχὰς εἴπομεν ὅτι κατὰ τὴν ὕλην οἱ λόγοι ἀπαιτητέοι· τὰ δ' ἐν ταῖς πράξεσι καὶ τὰ συμφέροντα οὐδὲν ἑϛηκὸς ἔχει, ὥσπερ οὐδὲ τὰ ὑγιεινά. τοιούτυ δ' ὄντος τοῦ καθόλυ λόγου, ἔτι μᾶλλον ὁ περὶ τῶν καθ' ἕκαϛα λόγος ὐκ ἔχει τἀκριβές· οὔτε γὰρ ὑπὸ τέχνην οὔθ' ὑπὸ παραγγελίαν ὐδεμίαν πίπτει, δεῖ δ' αὐτὺς ἀεὶ τὺς πράττοντας τὰ πρὸς τὸν καιρὸν σκοπεῖν, ὥσπερ καὶ ἐπὶ τῆς ἰατρικῆς ἔχει καὶ τῆς κυβερνητικῆς. ἀλλὰ καίπερ ὄντος τοιούτου τοῦ παρόντος λόγου πειρατέον βοηθεῖν. πρῶτον οὖν τῦτο θεωρητέον, ὅτι τὰ τοιαῦτα πέφυκεν ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς φθείρεσθαι, (δεῖ γὰρ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι) ὥσπερ ἐπὶ τῆς ἰσχύος καὶ τῆς ὑγιείας ὁρῶμεν· τά τε γὰρ ὑπερβάλλοντα γυμνάσια καὶ τὰ ἐλλείποντα φθείρει τὴν ἰσχύν. ὁμοίως δὲ καὶ τὰ ποτὰ καὶ τὰ σιτία πλείω καὶ ἐλάττω γινόμενα φθείρει τὴν ὑγίειαν, τὰ δὲ σύμμετρα καὶ ποιεῖ καὶ αὔξει καὶ σώζει. οὕτως ὖν καὶ ἐπὶ σωφροσύνης καὶ ἀνδρείας ἔχει καὶ τῶν ἄλλων ἀρετῶν· ὅ τε γὰρ πάντα φεύγων καὶ φοβύμενος καὶ μηδὲν ὑπομένων δειλὸς γίνεται, ὅ τε μηδὲν ὅλως φοβύμενος ἀλλὰ πρὸς πάντα βαδίζων θρασύς. ὁμοίως δὲ καὶ ὁ μὲν πάσης ἡδονῆς ἀπολαύων καὶ μηδεμιᾶς ἀπεχόμενος ἀκόλαστος, ὁ δὲ πάσας φεύγων, ὥσπερ οἱ ἀγροῖκοι, ἀναίσθητός τις· φθείρεται γὰρ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία ὑπὸ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ὑπὸ δὲ τῆς μεσότητος σώζεται. ἀλλ' οὐ μόνον αἱ γενέσεις καὶ αἱ αὐξήσεις καὶ αἱ φθοραὶ ἐκ τῶν αὐτῶν καὶ ὑπὸ τῶν αὐτῶν γίνονται, ἀλλὰ καὶ αἱ ἐνέργειαι ἐν τοῖς αὐτοῖς ἔσονται· καὶ γὰρ ἐπὶ τῶν ἄλλων τῶν φανερωτέρων ὕτως ἔχει, οἷον ἐπὶ τῆς ἰσχύος· γίνεται γὰρ ἐκ τοῦ πολλὴν τροφὴν λαμβάνειν καὶ πολλοὺς πόνυς ὑπομένειν, καὶ μάλιϛα δύναται ταῦτα ποιεῖν ὁ ἰσχυρός. οὕτω δ' ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἔκ τε γὰρ τοῦ ἀπέχεσθαι τῶν ἡδονῶν γινόμεθα σώφρονες, καὶ γενόμενοι μάλιστα δυνάμεθα ἀπέχεσθαι αὐτῶν. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀνδρείας· ἐθιζόμενοι γὰρ καταφρονεῖν τῶν φοβερῶν καὶ ὑπομένειν αὐτὰ γινόμεθα ἀνδρεῖοι, καὶ γενόμενοι μάλιϛα δυνησόμεθα ὑπομένειν τὰ φοβερά. σημεῖον δὲ δεῖ ποιεῖσθαι τῶν ἕξεων τὴν ἐπιγινομένην ἡδονὴν ἢ λύπην τοῖς ἔργοις· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ αὐτῷ τούτῳ χαίρων σώφρων, ὁ δ' ἀχθόμενος ἀκόλαστος, καὶ ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων ἢ μὴ λυπύμενός γε ἀνδρεῖος, ὁ δὲ λυπούμενος δειλός. περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐϛὶν ἡ ἠθικὴ ἀρετή· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. διὸ δεῖ ἦχθαί πως εὐθὺς ἐκ νέων, ὡς ὁ Πλάτων φησίν, ὥϛε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ· ἡ γὰρ ὀρθὴ παιδεία αὕτη ἐϛίν. ἔτι δ' εἰ ἀρεταί εἰσι περὶ πράξεις καὶ πάθη, παντὶ δὲ πάθει καὶ πάσῃ πράξει ἕπεται ἡδονὴ καὶ λύπη, καὶ διὰ τοῦτ' ἂν εἴη ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. μηνύουσι δὲ καὶ αἱ κολάσεις γινόμεναι διὰ τούτων· ἰατρεῖαι γάρ τινές εἰσιν, αἱ δὲ ἰατρεῖαι διὰ τῶν ἐναντίων πεφύκασι γίνεσθαι. ἔτι, ὡς καὶ πρότερον εἴπομεν, πᾶσα ψυχῆς ἕξις, ὑφ' οἵων πέφυκε γίνεσθαι χείρων καὶ βελτίων, πρὸς ταῦτα καὶ περὶ ταῦτα τὴν φύσιν ἔχει· δι' ἡδονὰς δὲ καὶ λύπας φαῦλαι γίνονται, τῷ διώκειν ταύτας καὶ φεύγειν, ἢ ἃς μὴ δεῖ ἢ ὅτε οὐ δεῖ ἢ ὡς οὐ δεῖ ἢ ὁσαχῶς ἄλλως ὑπὸ τοῦ λόγυ διορίζεται τὰ τοιαῦτα. διὸ καὶ ὁρίζονται τὰς ἀρετὰς ἀπαθείας τινὰς καὶ ἠρεμίας· οὐκ εὖ δέ, ὅτι ἁπλῶς λέγουσιν, ἀλλ' οὐχ ὡς δεῖ καὶ ὡς ὐ δεῖ, καὶ ὅτε, καὶ ὅσα ἄλλα προϛίθεται. ὑπόκειται ἄρα ἡ ἀρετὴ εἶναι ἡ τοιαύτη περὶ ἡδονὰς καὶ λύπας τῶν βελτίστων πρακτική, ἡ δὲ κακία τοὐναντίον. γένοιτο δ' ἂν ἡμῖν καὶ ἐκ τούτων φανερὸν ἔτι περὶ τῶν αὐτῶν. τριῶν γὰρ ὄντων τῶν εἰς τὰς αἱρέσεις καὶ τριῶν τῶν εἰς τὰς φυγάς, καλοῦ συμφέροντος ἡδέος, καὶ τριῶν τῶν ἐναντίων, αἰσχροῦ βλαβεροῦ λυπηροῦ, περὶ πάντα μὲν ταῦτα ὁ ἀγαθὸς κατορθωτικός ἐϛιν ὁ δὲ κακὸς ἁμαρτητικός, μάλιϛα δὲ περὶ τὴν ἡδονήν· κοινή τε γὰρ αὕτη τοῖς ζῴοις, καὶ πᾶσι τοῖς ὑπὸ τὴν αἵρεσιν παρακολουθεῖ·

1. πρακτέων $K^bL^bM^b$. ‖ 2. καὶ ante κατ' om K^b. ‖ 3. ὕλην καὶ οἱ L^b. ‖ 5. ὑγιεινά] ὑγιεινὰ τῦ καθολικῦ λόγυ K^b. ‖ 6. λόγου K^b. ‖ 8. ὑποπίπτει M^b. ‖ περὶ K^b. ‖ 9. καὶ τῆς] καὶ ἐπὶ τῆς M^b. ‖ 10. τοῦ om K^b. ‖ 14. ὥσπερ καὶ ἐπὶ M^b. ‖ 16. δὴ O^b. ‖ 17. γινόμενα καὶ ἐλάττω M^b. ‖ 18. καὶ ante ποιεῖ om M^b. ‖ 19. ἄλλων om K^b. ‖ 23. ἀπολαύων] ἐχόμενος M^b. ‖ 24. πάσας K^b. ‖ 25. τις om L^bO^b. ‖ γὰρ] δὲ K^b. ‖ 26. τῆς post καὶ om M^b. ‖ 27. αἱ ante αὐξήσεις om $K^bL^bN^bO^b$. ‖ αἱ ante φθοραὶ om L^b N^bO^b. ‖ 29. αἱ om K^b. ‖ 31. καὶ τοῦ πολλοὺς M^b. ‖ 32. μάλιϛα ἂν δύναιτ' αὐτὰ K^b.

9. ἡ ἠθικὴ ἐϛιν M^b. ‖ 13. εἰ] αἱ K^b. ‖ 14. πάθη καὶ πράξεις $L^bM^bO^b$. ‖ 15. καὶ διὰ] κἂν διὰ N^b, διὰ M^b. ‖ 18. πρώην K^b. ‖ 21. ἡδονῆς δὲ καὶ λύπης M^b. ‖ φαῦλοι L^bM^b. ‖ 22. ἢ ὅτε μὴ δεῖ M^b, om K^b. ‖ ἢ ὡς οὐ δεῖ om O^b. ‖ 26. καὶ ante ὅσα om N^b. ‖ 29. ὅτι K^b. ‖ 31. τῶν] ὄντων τῶν M^bN^b, ὄντων L^bO^b. ‖ 32. βλαβεροῦ] ἀσυμφόρου $L^bM^bN^b$ O^b. ‖ ταῦτα μὲν πάντα $K^bL^bM^bO^b$. ‖ 33. κατορθωτὴς M^b. ‖ ἁμαρτητικός ἐϛι· μάλιϛα O^b. ‖ 34. δὲ om K^b. ‖ τε om L^bO^b.

γὰρ τὸ καλὸν καὶ τὸ συμφέρον ἡδὺ φαίνεται. ἔτι νηπίου πᾶσιν ἡμῖν συντέθραπται· διὸ χαλεπὸν ἀπο-σθαι τοῦτο τὸ πάθος ἐγκεχρωσμένον τῷ βίῳ. κα-ομεν δὲ καὶ τὰς πράξεις, οἱ μὲν μᾶλλον οἱ δ' ἧττον, καὶ λύπῃ. διὰ τοῦτ' οὖν ἀναγκαῖον εἶναι περὶ ταῦτα πᾶσαν πραγματείαν· οὐ γὰρ μικρὸν εἰς τὰς πράξεις κακῶς χαίρειν καὶ λυπεῖσθαι. ἔτι δὲ χαλεπώτερον μάχεσθαι ἢ θυμῷ, καθάπερ φησὶν Ἡράκλειτος, δὲ τὸ χαλεπώτερον ἀεὶ καὶ τέχνη γίνεται καὶ ἀρετή· γὰρ τὸ εὖ βέλτιον ἐν τούτῳ. ὥστε καὶ διὰ τοῦτο περὶ ς καὶ λύπας πᾶσα ἡ πραγματεία καὶ τῇ ἀρετῇ καὶ ολιτικῇ· ὁ μὲν γὰρ εὖ τούτοις χρώμενος ἀγαθὸς ἔσται, κακῶς κακός. ὅτι μὲν οὖν ἐστὶν ἡ ἀρετὴ περὶ ἡδονὰς ύπας, καὶ ὅτι ἐξ ὧν γίνεται, ὑπὸ τούτων καὶ αὔξε-αὶ φθείρεται μὴ ὡσαύτως γινομένων, καὶ ὅτι ἐξ ὧν το, περὶ ταῦτα καὶ ἐνεργεῖ, εἰρήσθω.

Ἀπορήσειε δ' ἄν τις, πῶς λέγομεν ὅτι δεῖ τὰ μὲν α πράττοντας δικαίους γίνεσθαι, τὰ δὲ σώφρονα σώ-ς· εἰ γὰρ πράττουσι τὰ δίκαια καὶ τὰ σώφρονα, ἰσὶ δίκαιοι καὶ σώφρονες, ὥσπερ εἰ τὰ γραμματικὰ ὰ μουσικά, γραμματικοὶ καὶ μουσικοί. ἢ οὐδ' ἐπὶ τεχνῶν οὕτως ἔχει; ἐνδέχεται γὰρ γραμματικόν τι αι καὶ ἀπὸ τύχης καὶ ἄλλου ὑποθεμένου. τότε οὖν γραμματικός, ἐὰν καὶ γραμματικόν τι ποιήσῃ καὶ ματικῶς· τοῦτο δ' ἐστὶ τὸ κατὰ τὴν ἐν αὑτῷ γραμ-κήν. ἔτι οὐδ' ὅμοιόν ἐστιν ἐπὶ τῶν τεχνῶν καὶ τῶν ἀρε-τὰ μὲν γὰρ ὑπὸ τῶν τεχνῶν γινόμενα τὸ εὖ ἔχει τοῖς, ἀρκεῖ οὖν ταῦτά πως ἔχοντα γενέσθαι· τὰ δὲ τὰς ἀρετὰς γινόμενα οὐκ ἐὰν αὐτά πως ἔχῃ, δι-ἢ σωφρόνως πράττεται, ἀλλὰ καὶ ἐὰν ὁ πράττων ἔχων πράττῃ, πρῶτον μὲν ἐὰν εἰδώς, ἔπειτ' ἐὰν προαι-ος, καὶ προαιρούμενος δι' αὐτά, τὸ δὲ τρίτον καὶ ἐὰν ίως καὶ ἀμετακινήτως ἔχων πράττῃ. ταῦτα δὲ πρὸς μὲν τὸ τὰς ἄλλας τέχνας ἔχειν οὐ συναριθμεῖται, πλὴν αὐτὸ τὸ εἰδέναι· πρὸς δὲ τὸ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι μικρὸν ἢ οὐδὲν ἰσχύει, τὰ δ' ἄλλα οὐ μικρὸν ἀλλὰ τὸ πᾶν δύναται, ἅπερ ἐκ τοῦ πολλάκις πράττειν τὰ δίκαια καὶ σώφρονα περιγίνεται. τὰ μὲν οὖν πράγματα δίκαια καὶ σώφρονα λέγεται, ὅταν ᾖ τοιαῦτα οἷα ἂν ὁ δίκαιος ἢ ὁ σώφρων πράξειεν· δίκαιος δὲ καὶ σώφρων ἐστὶν οὐχ ὁ ταῦτα πράττων, ἀλλὰ καὶ ὁ οὕτω πράττων ὡς οἱ δίκαιοι καὶ οἱ σώφρονες πράττουσιν. εὖ οὖν λέγεται ὅτι ἐκ τοῦ δίκαια πράττειν ὁ δίκαιος γίνεται καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων· ἐκ δὲ τοῦ μὴ πράττειν ταῦτα οὐδεὶς ἂν οὐδὲ μελλήσειε γενέσθαι ἀγαθός. ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντες οἴονται φιλοσοφεῖν καὶ οὕτως ἔσεσθαι σπουδαῖοι, ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δ' οὐθὲν τῶν προσταττομένων. ὥσπερ οὖν οὐδ' ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα οὕτω θεραπευόμενοι, οὐδ' οὗτοι τὴν ψυχὴν οὕτω φιλοσοφοῦντες.

Μετὰ δὲ ταῦτα τί ἐστιν ἡ ἀρετὴ σκεπτέον. ἐπεὶ οὖν 4
τὰ ἐν τῇ ψυχῇ γινόμενα τρία ἐστί, πάθη δυνάμεις ἕξεις, τούτων ἄν τι εἴη ἡ ἀρετή. λέγω δὲ πάθη μὲν ἐπιθυμίαν, ὀργήν, φόβον, θράσος, φθόνον, χαράν, φιλίαν, μῖσος, πόθον, ζῆλον, ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη, δυνάμεις δὲ καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς δυνατοὶ ὀργισθῆναι ἢ λυπηθῆναι ἢ ἐλεῆσαι, ἕξεις δὲ καθ' ἃς πρὸς τὰ πάθη ἔχομεν εὖ ἢ κακῶς, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν, εἰ δὲ μέσως, εὖ. ὁμοίως δὲ καὶ πρὸς τἆλλα. πάθη μὲν οὖν οὐκ εἰσὶν οὔθ' αἱ ἀρεταὶ οὔθ' αἱ κακίαι, ὅτι οὐ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, κατὰ δὲ τὰς ἀρετὰς ἢ τὰς κακίας λεγόμεθα, καὶ ὅτι κατὰ μὲν τὰ πάθη οὔτ' ἐπαινούμεθα οὔτε ψεγόμεθα (οὐ γὰρ ἐπαινεῖται ὁ φοβούμενος οὐδὲ ὁ ὀργιζόμενος, οὐδὲ ψέγεται ὁ ἁπλῶς

. συντετράφθαι K^b. ‖ διὸ — ἀποτρίψασθαι om N^b. ‖ 5. γοῦν M^b. ‖ 7. καὶ] ἢ L^b, ἢ καὶ M^bN^b. ‖ δὲ καὶ χαλεπώτερον L^b. ‖ ερὶ τὰς ἡδονὰς O^b. ‖ 11. ἀρετῇ] ἠθικῇ M^b et rc L^b. ‖ 12. ἔσται] ἅπας M^b. ‖ 13. ἡ om M^b. ‖ 16. ἐγίνετο M^b. ‖ 19. τὰ post m K^bM^b. ‖ 20. σώφρονες καὶ δίκαιοι M^b. ‖ οἱ M^bN^b. ‖ τὰ om M^b. ‖ 21. τὰ add K^b. ‖ 24. καὶ post ἐὰν om M^bN^b. ‖ st ἐὰν L^bO^b. ‖ 27. γὰρ om N^b. ‖ γενόμενα L^bO^b. ‖ ἔχειν αὐτοῖς K^b. ‖ 28. οὖν] τοι K^b. ‖ αὐτά L^bO^b. ‖ 29. ἂν L^bO^b. ‖ $L^bM^bO^b$. ‖ 31. ἐὰν προαιρούμενος om K^b. ‖ 32. καὶ προαιρούμενος om $L^bN^bO^b$. ‖ διὰ ταῦτα K^b. ‖ τὸ τρίτον δὲ M^b. ‖ ἐὰν . ‖ 33. ἔχων καὶ πράττῃ N^b.

. τὸ post δὲ om K^b. ‖ οὐδὲν ἢ μικρὸν K^b. ‖ 3. τὸ om K^b. ‖ 4. ἅπερ καὶ ἐκ L^bO^b. ‖ 6. ᾖ] εἴη L^b. ‖ ἢ] καὶ M^b. ‖ ὁ om O^b. ‖ 8. ὁ om N^b. ‖ οἱ post καὶ om $K^bM^bO^b$. ‖ 9. εὖ γ' οὖν L^b. ‖ 10. ἐκ — σώφρων om O^b. ‖ 11. μελήσειε $L^bM^bO^b$. ‖ ὲν ἀκούουσιν M^b. ‖ 16. οὐκ ἐκεῖνοι L^b, ἐκεῖνοι οὐκ M^b. ‖ 19. μετὰ ταῦτα δὲ τί ἐστιν ἀρετὴ M^b, τί δ' ἐστὶν ἡ ἀρετὴ ἑξῆς K^b. ‖ πτέον M^b. ‖ 21. τι ἂν $L^bM^bN^bO^b$. ‖ ἡ om N^b. ‖ δὴ L^b. ‖ 22. φθόνον θάρσος K^b. ‖ μῖσος φιλίαν L^bO^b. ‖ 24. ποιητικοὶ ‖ 26. ἢ εὖ ἢ M^b. ‖ 29. οὔθ' αἱ κακίαι — 1109 b 22. ἄλλο οὐδὲν] haec 1113 b 9. ante αἰσχρὸν ponit N^b. ‖ 29. οὐδὲ M^bN^b. ‖ α om K^b. ‖ 31. ἢ] καὶ K^b. ‖ λεγόμεθα σπουδαῖοι καὶ φαῦλοι καὶ K^b. ‖ μὲν om K^b. ‖ 32. οὐ] οὐδὲ O^b. ‖ 33. οὐδὲ] ἢ M^b. ‖ ψέγεται — 1106 a 1. ὀργιζόμενος om L^b.

ὀργιζόμενος ἀλλ' ὁ πῶς), κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. ἔτι ὀργιζόμεθα μὲν καὶ φοβούμεθα ἀπροαιρέτως, αἱ δ' ἀρεταὶ προαιρέσεις τινὲς ἢ οὐκ ἄνευ προαιρέσεως. πρὸς δὲ τούτοις κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας οὐ κινεῖσθαι ἀλλὰ διακεῖσθαί πως. διὰ ταῦτα δὲ οὐδὲ δυνάμεις εἰσίν· οὔτε γὰρ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι πάσχειν ἁπλῶς οὔτε κακοί, οὔτ' ἐπαινούμεθα οὔτε ψεγόμεθα. καὶ ἔτι δυνατοὶ μέν ἐσμεν φύσει, ἀγαθοὶ δὲ ἢ κακοὶ οὐ γινόμεθα φύσει· εἴπομεν δὲ περὶ τούτου πρότερον. εἰ οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ μήτε δυνάμεις, λείπεται ἕξεις αὐτὰς εἶναι. ὅ τι μὲν οὖν ἐστὶ τῷ γένει ἡ ἀρετή, εἴρηται.

5 Δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. ῥητέον οὖν ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. ὁμοίως ἡ τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ καὶ ἀγαθὸν δραμεῖν καὶ ἐνεγκεῖν τὸν ἐπιβάτην καὶ μεῖναι τοὺς πολεμίους. εἰ δὴ τοῦτ' ἐπὶ πάντων οὕτως ἔχει, καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. πῶς δὲ τοῦτ' ἔσται, ἤδη μὲν εἰρήκαμεν, ἔτι δὲ καὶ ὧδ' ἔσται φανερόν, ἐὰν θεωρήσωμεν ποία τίς ἐστιν ἡ φύσις αὐτῆς. ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον τὸ δ' ἔλαττον τὸ δ' ἴσον, καὶ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα ἢ πρὸς ἡμᾶς· τὸ δ' ἴσον μέσον τι ὑπερβολῆς καὶ ἐλλείψεως. λέγω δὲ τοῦ μὲν πράγματος μέσον τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ ταὐτὸν πᾶσιν, πρὸς ἡμᾶς δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει. τοῦτο δ' οὐχ ἕν, οὐδὲ ταὐτὸν πᾶσιν, οἷον εἰ τὰ δέκα πολλὰ τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει τε καὶ ὑπερέχεται, τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μναῖ φαγεῖν πολὺ δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. ὁμοίως ἐπὶ δρόμου καὶ πάλης. οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ' αἱρεῖται, μέσον δὲ οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ἡμᾶς. εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ' ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σωζούσης), οἱ δ' ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται, ἡ δ' ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστίν, ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. οἷον καὶ φοβηθῆναι καὶ θαρρῆσαι καὶ ἐπιθυμῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι ἔστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ· τὸ δ' ὅτε δεῖ καὶ ἐφ' οἷς καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. ἡ δ' ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστίν, ἐν οἷς ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται καὶ ἡ ἔλλειψις ψέγεται, τὸ δὲ μέσον ἐπαινεῖται καὶ κατορθοῦται· ταῦτα δ' ἄμφω τῆς ἀρετῆς. μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετή, στοχαστική γε οὖσα τοῦ μέσου. ἔτι τὸ μὲν ἁμαρτάνειν πολλαχῶς ἐστίν (τὸ γὰρ κακὸν τοῦ ἀπείρου, ὡς οἱ Πυθαγόρειοι εἴκαζον, τὸ δ' ἀγαθὸν τοῦ πεπερασμένου), τὸ δὲ κατορθοῦν μοναχῶς· διὸ καὶ τὸ μὲν ῥᾴδιον, τὸ δὲ χαλεπόν, ῥᾴδιον μὲν τὸ ἀποτυχεῖν τοῦ σκοποῦ, χαλεπὸν δὲ τὸ ἐπιτυχεῖν. καὶ διὰ ταῦτ' οὖν τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δ' ἀρετῆς ἡ μεσότης· "ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί."

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι 6

1. τὰς post καὶ om N^b. ‖ 2. μὲν om M^b. ‖ 9. καὶ om K^b. ‖ 10. δὲ καὶ περὶ τούτων M^b. ‖ 14. ἕξεις N^b. ‖ 15. ποταπή K^b. ‖ τις] τις ἕξις M^b. ‖ ᾖ] εἴη K^b. ‖ 16. τὸ εὖ ἔργον αὐτοῦ ἀπ. L^b. ‖ 19. ὁμοίως δὲ ἡ N^b. ‖ 22. ἂν ἡ ἕξις K^b. ‖ 23. αὑτοῦ L^bM^b. ‖ 25. θεωρήσαιμεν K^b. ‖ ἐστιν om M^b. ‖ 28. πρὸς] καθ' L^bO^b. ‖ 30. ἑκατέρων L^bM^b. ‖ 33. τὰ δὲ ἓξ M^b. ‖ 34. ἴσως $L^bN^bO^b$.

1. μνᾶς N^bO^b. ‖ δύο om pr K^b. ‖ 2. πολὺ καὶ τοῦτο M^b. ‖ 5. δὴ καὶ πᾶς O^b. ‖ μὲν om O^b. ‖ 6. ἐκφύγοι M^b. ‖ 8. ἐπιτελεῖ L^bO^b. ‖ 13. οἱ δ'] εἰ δ' οἱ K^b, εἰ δὴ οἱ M^bO^b. ‖ πρὸς τοῦτο ὡς λέγομεν M^b. ‖ 18. τὸ om M^b. ‖ οἷον — 24. μέσον om N^b. ‖ 18. ἐπιθυμῆσαι καὶ ἀποστραφῆναι καὶ ὀργισθῆναι M^b. ‖ 20. ἢ λυπηθῆναι ἔστι μᾶλλον M^b. ‖ 21. οἷς] οἷς δεῖ K^b. ‖ οὗ ἕνεκα] οὕνεκα K^b. ‖ 22. ἐστὶ] ἐπὶ N^b, ἐστὶν ἐπὶ K^b. ‖ 24. τὸ om M^b. ‖ 25. καὶ ἡ] ἡ δὲ M^b. ‖ 27. τις om M^b. ‖ ἐστὶν ἄρα L^bO^b. ‖ 28. γε om K^b. ‖ ἔτι] ἔτι δὲ M^b, ὅτι O^b. ‖ 30. πυθαγόριοι K^b. ‖ τοῦ — 31. μοναχῶς om N^b. ‖ 32. μὲν γὰρ τὸ M^b. ‖ 33. ἡ om M^b. ‖ ἡ post καὶ om $M^bN^bO^b$. ‖ 35. κακοὶ δὲ παντοδαπῶς L^bO^b.

πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ καὶ ὡς ἂν ὁ φρόνι- εν. μεσότης δὲ δύο κακιῶν, τῆς μὲν καθ' ὑπερ- ς δὲ κατ' ἔλλειψιν· καὶ ἔτι τῷ τὰς μὲν ἐλλεί- δ' ὑπερβάλλειν τȣ̃ δέοντος ἔν τε τοῖς πάθεσι καὶ ράξεσι, τὴν δ' ἀρετὴν τὸ μέσον καὶ εὑρίσκειν καὶ διὸ κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τί έγοντα μεσότης ἐςὶν ἡ ἀρετή, κατὰ δὲ τὸ ἄρι- τὸ εὖ ἀκρότης. οὐ πᾶσα δ' ἐπιδέχεται πρᾶξις πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμαςαι ιένα μετὰ τῆς φαυλότητος, οἷον ἐπιχαιρεκακία ία φθόνος, καὶ ἐπὶ τῶν πράξεων μοιχεία κλοπὴ ι· πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα ψέγεται φαῦλα εἶναι, ἀλλ' οὐχ αἱ ὑπερβολαὶ αὐτῶν λλείψεις. οὐκ ἔςιν οὖν οὐδέποτε περὶ αὐτὰ κα- ἀλλ' ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστι τὸ εὖ ἢ μὴ εὖ οιαῦτα ἐν τῷ ἣν δεῖ καὶ ὅτε καὶ ὡς μοιχεύειν, ῶς τὸ ποιεῖν ὁτιοῦν τούτων ἁμαρτάνειν ἐστίν. τὸ ἀξιοῦν καὶ περὶ τὸ ἀδικεῖν καὶ δειλαίνειν ιςαίνειν εἶναι μεσότητα καὶ ὑπερβολὴν καὶ ἔλ- ςαι γὰρ οὕτω γε ὑπερβολῆς καὶ ἐλλείψεως με- ὑπερβολῆς ὑπερβολὴ καὶ ἔλλειψις ἐλλείψεως. σωφροσύνης καὶ ἀνδρείας ȣ̓κ ἔςιν ὑπερβολὴ καὶ διὰ τὸ τὸ μέσον εἶναί πως ἄκρον, οὕτως οὐδὲ ισότης οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' ὡς ἂν ἁμαρτάνεται· ὅλως γὰρ οὔθ' ὑπερβολῆς καὶ μεσότης ἐςίν, οὔτε μεσότητος ὑπερβολὴ καὶ

δὲ τοῦτο μὴ μόνον καθόλου λέγεσθαι, ἀλλὰ καθ' ἕκαστα ἐφαρμόττειν· ἐν γὰρ τοῖς περὶ τὰς όγοις οἱ μὲν καθόλου κενώτεροί εἰσιν, οἱ δ' ἐπὶ θινώτεροι· περὶ γὰρ τὰ καθ' ἕκαςα αἱ πράξεις, ὶ τȣ́των συμφωνεῖν. ληπτέον οὖν ταῦτα ἐκ τῆς . περὶ μὲν οὖν φόβȣς καὶ θάρρη ἀνδρεία μεσότης· τῶν δ' ὑπερβαλλόντων ὁ μὲν τῇ ἀφοβίᾳ ἀνώνυμος (πολλὰ δ' ἐςὶν ἀνώνυμα), ὁ δ' ἐν τῷ θαρρεῖν ὑπερβάλλων θρασύς, ὁ δὲ τῷ μὲν φοβεῖσθαι ὑπερβάλλων τῷ δὲ θαρρεῖν ἐλλείπων δειλός. περὶ ἡδονὰς δὲ καὶ λύπας οὐ πάσας, ἧττον δὲ καὶ περὶ τὰς λύπας, μεσότης μὲν σωφροσύνη, ὑπερβολὴ δὲ ἀκολασία. ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς οὐ πάνυ γίνονται· διόπερ οὐδ' ὀνόματος τετυχήκασιν οὐδ' οἱ τοιοῦτοι, ἔστωσαν δὲ ἀναίσθητοι. περὶ δὲ δόσιν χρημάτων καὶ λῆψιν μεσότης μὲν ἐλευθεριότης, ὑπερβολὴ δὲ καὶ ἔλλειψις ἀσωτία καὶ ἀνελευθερία. ἐναντίως δ' ἑαυταῖς ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ μὲν γὰρ ἄσωτος ἐν μὲν προέσει ὑπερβάλλει ἐν δὲ λήψει ἐλλείπει, ὁ δ' ἀνελεύθερος ἐν μὲν λήψει ὑπερβάλλει ἐν δὲ προέσει ἐλλείπει. νῦν μὲν οὖν τύπῳ καὶ ἐπὶ κεφαλαίῳ λέγομεν, ἀρκȣ́μενοι αὐτῷ τȣ́τῳ· ὕςερον δὲ ἀκριβέςερον περὶ αὐτῶν διορισθήσεται. περὶ δὲ τὰ χρήματα καὶ ἄλλαι διαθέσεις εἰσί, μεσότης μὲν μεγαλοπρέπεια (ὁ γὰρ μεγαλοπρεπὴς διαφέρει ἐλευθερίου· ὁ μὲν γὰρ περὶ μεγάλα, ὁ δὲ περὶ μικρά), ὑπερβολὴ δὲ ἀπειροκαλία καὶ βαναυσία, ἔλλειψις δὲ μικροπρέπεια· διαφέρουσι δ' αὗται τῶν περὶ τὴν ἐλευθεριότητα, πῇ δὲ διαφέρουσιν, ὕςερον ῥηθήσεται. περὶ δὲ τιμὴν καὶ ἀτιμίαν μεσότης μὲν μεγαλοψυχία, ὑπερβολὴ δὲ χαυνότης τις λεγομένη, ἔλλειψις δὲ μικροψυχία· ὡς δ' ἐλέγομεν ἔχειν πρὸς τὴν μεγαλοπρέπειαν τὴν ἐλευθεριότητα, περὶ μικρὰ διαφέρουσαν, οὕτως ἔχει τις καὶ πρὸς τὴν μεγαλοψυχίαν, περὶ τιμὴν ȣ̓̃σαν μεγάλην, αὐτὴ περὶ μικρὰν οὖσα· ἔστι γὰρ ὡς δεῖ ὀρέγεσθαι τιμῆς καὶ μᾶλλον ἢ δεῖ καὶ ἧττον, λέγεται δ' ὁ μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος, ὁ δ' ἐλλείπων ἀφιλότιμος, ὁ δὲ μέσος ἀνώνυμος. ἀνώνυμοι δὲ καὶ αἱ διαθέσεις, πλὴν ἡ τȣ̃ φιλοτίμου φιλοτιμία. ὅθεν ἐπιδικάζονται οἱ ἄκροι τῆς μέσης χώρας. καὶ ἡμεῖς δὲ ἔςι μὲν ὅτε τὸν μέσον φιλότιμον καλȣ̃μεν ἔςι δ' ὅτε ἀφιλότιμον, καὶ ἔςιν ὅτε μὲν

ςμένη om N^b. ‖ 2. δυεῖν K^b. ‖ 3. ἔςι M^b. ‖ τὸ L^b. ‖ 4. ταῖς πράξεσι καὶ ἐν τοῖς πάθεσι M^b. ‖ 5. ἐν et τὸ om K^b. ‖ ι K^b. ‖ 9. ἔνια μὲν γὰρ M^b. ‖ 10. συνειλλεγμένα N^b. ‖ ἐπιχαιρεκακία καὶ ἀναισχυντία N^b. ‖ 12. λέγεται $K^bL^bN^bO^b$. ‖ m K^b. ‖ 14. αὐτὰς K^b. ‖ 16. ἣν $K^bM^bN^b$. ‖ 17. ὁτιοῦν] ἓν M^b. ‖ 19. εἶναι] καὶ O^b. ‖ 20. γε om K^b. ‖ καὶ — 21. m N^b. ‖ 21. ἐλλείψεως ἔλλειψις M^b, ἔλλειψις ἐλλείψεως ταῦτα K^b. ‖ 23. διὰ — 24. ἔλλειψις om M^b. ‖ 23. τὸ alterum $)^b$. ‖ ἄκρων M^bN^b. ‖ οὐδὲ om M^b. ‖ 25. ἁμαρτάνηται K^b. ‖ 26. οὐδὲ $L^bM^bN^bO^b$. ‖ 28. τοῦτο μὴ] μὴ τὸ αὐτὸ K^b, 29. καὶ ἐν τοῖς L^b. ‖ ἕκαστον M^b. ‖ 30. κοινότεροί $K^bL^bM^bN^b$. ‖ 32. οὖν om K^b.

σύς — ὑπερβάλλων om N^b. ‖ δ' ἐν τῷ K^bM^b. ‖ θαρρεῖσθαι M^b. ‖ 4. οὐ — 5. λύπας om N^b. ‖ 6. τὰς περὶ L^b. ‖ 7. τοιοῦτοι] οὗτοι ὀνόματος τετυχήκασιν $L^bM^bN^bO^b$. ‖ 8. ἔςω δὲ ἀναίσθητος K^b. ‖ 11. δ' ἑαυτὰς N^b, δὲ αὐταῖς M^b, δὲ αὐτὰς . ‖ μὲν om M^b. ‖ 12. προαιρέσει N^b. ‖ 12 et 13. λείψει pr K^b. ‖ 13. μὲν προέσει ἐλλείπει ἐν δὲ λήψει ὑπερβάλλει M^b. ‖ ύπῳ M^b. ‖ κεφαλαίου K^bN^b. ‖ 15. αὐτῶν] αὐτοῦ L^b. ‖ 16. τὰ om K^b. ‖ 17. μὲν γὰρ μεγαλοπρέπεια M^b. ‖ 20. διαφέρουσι θεριότητα om K^b. ‖ 21. πῇ] ᾧ $L^bM^bN^bO^b$. ‖ 24. δὲ λέγομεν N^b. ‖ 25. ἔχειν τινα N^b. ‖ 26. τὴν om K^b. ‖ μεγαλο- ν περὶ M^b. ‖ αὐτη K^bM^b, αὐτὴν N^b. ‖ 27. μικρὰ $K^bL^bN^b$. ‖ οὖσαν N^b. ‖ γὰρ om N^b. ‖ 32. δὲ om M^b. ‖ ἔςι — K^b. ‖ 32. μὲν om M^bO^b. ‖ φιλότιμον καλȣ̃μεν] ἐπαινȣ̃μεν M^b. ‖ 33. ὅτε καὶ ἀφιλότιμον N^b. ‖ καὶ — 1108 a 1. ἀφιλό- M^bO^b. ‖ 33. μὲν om K^b.

ἐπαινοῦμεν τὸν φιλότιμον ἔςι δ' ὅτε τὸν ἀφιλότιμον. διὰ τίνα δ' αἰτίαν τοῦτο ποιοῦμεν, ἐν τοῖς ἑξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν λοιπῶν λέγωμεν κατὰ τὸν ὑφηγημένον τρόπον. ἔστι δὲ καὶ περὶ ὀργὴν ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης, σχεδὸν δὲ ἀνωνύμων ὄντων αὐτῶν τὸν μέσον πρᾶον λέγοντες τὴν μεσότητα πραότητα καλέσομεν· τῶν δ' ἄκρων ὁ μὲν ὑπερβάλλων ὀργίλος ἔςω, ἡ δὲ κακία ὀργιλότης, ὁ δ' ἐλλείπων ἀόργητός τις, ἡ δ' ἔλλειψις ἀοργησία. εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες, ἔχουσαι μέν τινα ὁμοιότητα πρὸς ἀλλήλας, διαφέρουσαι δ' ἀλλήλων· πᾶσαι μὲν γάρ εἰσι περὶ λόγων καὶ πράξεων κοινωνίαν, διαφέρουσι δὲ ὅτι ἡ μέν ἐςι περὶ τἀληθὲς τὸ ἐν αὐτοῖς, αἱ δὲ περὶ τὸ ἡδύ· τούτου δὲ τὸ μὲν ἐν παιδιᾷ τὸ δ' ἐν πᾶσι τοῖς κατὰ τὸν βίον. ῥητέον οὖν καὶ περὶ τούτων, ἵνα μᾶλλον κατίδωμεν ὅτι ἐν πᾶσιν ἡ μεσότης ἐπαινετόν, τὰ δ' ἄκρα οὔτ' ὀρθὰ οὔτ' ἐπαινετὰ ἀλλὰ ψεκτά. ἔστι μὲν οὖν καὶ τούτων τὰ πλείω ἀνώνυμα· πειρατέον δ', ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, αὐτοὺς ὀνοματοποιεῖν σαφηνείας ἕνεκεν καὶ τοῦ εὐπαρακολουθήτου. περὶ μὲν οὖν τὸ ἀληθὲς ὁ μὲν μέσος ἀληθής τις καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω, ἡ δὲ προσποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δ' ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων. περὶ δὲ τὸ ἡδὺ τὸ μὲν ἐν παιδιᾷ ὁ μὲν μέσος εὐτράπελος καὶ ἡ διάθεσις εὐτραπελία, ἡ δ' ὑπερβολὴ βωμολοχία καὶ ὁ ἔχων αὐτὴν βωμολόχος, ὁ δ' ἐλλείπων ἀγροῖκός τις καὶ ἡ ἕξις ἀγροικία· περὶ δὲ τὸ λοιπὸν ἡδὺ τὸ ἐν τῷ βίῳ ὁ μὲν ὡς δεῖ ἡδὺς ὢν φίλος καὶ ἡ μεσότης φιλία, ὁ δ' ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα, ἄρεσκος, εἰ δ' ὠφελείας τῆς αὐτοῦ, κόλαξ, ὁ δ' ἐλλείπων καὶ ἐν πᾶσιν ἀηδὴς δύσερίς τις καὶ δύσκολος. εἰσὶ δὲ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς περὶ τὰ πάθη μεσότητες· ἡ γὰρ αἰδὼς ἀρετὴ μὲν οὐκ ἔςιν, ἐπαινεῖται δὲ καὶ ὁ αἰδήμων. καὶ γὰρ ἐν τούτοις ὁ μὲν λέγεται μέσος, ὁ δ' ὑπερβάλλων, ὡς ὁ καταπλήξ, ὁ πάντα αἰδούμενος· ὁ δ' ἐλλείπων ἢ ὁ μηδὲ ὅλως ἀναίσχυντος· ὁ δὲ μέσος αἰδήμων. νέμεσις δὲ μεσότης φθόνου καὶ ἐπιχαιρεκακίας. εἰσὶ δὲ περὶ λύπην καὶ ἡδονὴν τὰς ἐπὶ τοῖς συμβαίνουσι τοῖς πέλας γινομένας· ὁ μὲν γὰρ νεμεσητικὸς λυπεῖται ἐπὶ τοῖς ἀναξίως εὖ πράττουσιν, ὁ δὲ φθονερὸς ὑπερβάλλων τοῦτον ἐπὶ πᾶσι λυπεῖται, ὁ δ' ἐπιχαιρέκακος τοσοῦτον ἐλλείπει τοῦ λυπεῖσθαι ὥστε καὶ χαίρειν. ἀλλὰ περὶ μὲν τούτων καὶ ἄλλοθι καιρὸς ἔςαι· περὶ δὲ δικαιοσύνης, ἐπεὶ οὐχ ἁπλῶς λέγεται, μετὰ ταῦτα διελόμενοι περὶ ἑκατέρας ἐροῦμεν πῶς μεσότητές εἰσιν· ὁμοίως δὲ καὶ περὶ τῶν λογικῶν ἀρετῶν.

Τριῶν δὲ διαθέσεων οὐσῶν, δύο μὲν κακιῶν, τῆς μὲν καθ' ὑπερβολὴν τῆς δὲ κατ' ἔλλειψιν, μιᾶς δ' ἀρετῆς τῆς μεσότητος, πᾶσαι πάσαις ἀντίκεινταί πως· αἱ μὲν γὰρ ἄκραι καὶ τῇ μέσῃ καὶ ἀλλήλαις ἐναντίαι εἰσίν, ἡ δὲ μέση ταῖς ἄκραις· ὥσπερ γὰρ τὸ ἴσον πρὸς μὲν τὸ ἔλαττον μεῖζον πρὸς δὲ τὸ μεῖζον ἔλαττον, οὕτως αἱ μέσαι ἕξεις πρὸς μὲν τὰς ἐλλείψεις ὑπερβάλλουσι, πρὸς δὲ τὰς ὑπερβολὰς ἐλλείπουσιν ἔν τε τοῖς πάθεσι καὶ ταῖς πράξεσιν. ὁ γὰρ ἀνδρεῖος πρὸς μὲν τὸν δειλὸν θρασὺς φαίνεται, πρὸς δὲ τὸν θρασὺν δειλός· ὁμοίως δὲ καὶ ὁ σώφρων πρὸς μὲν τὸν ἀναίσθητον ἀκόλαςος, πρὸς δὲ τὸν ἀκόλαστον ἀναίσθητος, ὁ δ' ἐλευθέριος πρὸς μὲν τὸν ἀνελεύθερον ἄσωτος, πρὸς δὲ τὸν ἄσωτον ἀνελεύθερος. διὸ καὶ ἀπωθοῦνται τὸν μέσον οἱ ἄκροι ἑκάτερος πρὸς ἑκάτερον, καὶ καλοῦσι τὸν ἀνδρεῖον ὁ μὲν δειλὸς θρασὺν ὁ δὲ θρασὺς δειλόν, καὶ ἐπὶ τῶν ἄλλων ἀνάλογον. οὕτω δ' ἀντικειμένων ἀλλήλοις τούτων, πλείων ἐναντιότης ἐςὶ τοῖς ἄκροις πρὸς ἄλληλα ἢ πρὸς τὸ μέσον· πορρωτέρω γὰρ ταῦτα ἀφέςηκεν ἀλλήλων ἢ τοῦ μέσου, ὥσπερ τὸ μέγα τοῦ μικροῦ καὶ τὸ μικρὸν τοῦ μεγάλου ἢ ἄμφω τοῦ ἴσου. ἔτι πρὸς μὲν τὸ μέσον ἐνίοις ἄκροις ὁμοιότης τις φαίνεται, ὡς τῇ θρασύτητι πρὸς τὴν ἀνδρείαν καὶ τῇ ἀσωτίᾳ πρὸς τὴν ἐλευθεριότητα· τοῖς δὲ ἄκροις πρὸς ἄλληλα πλείςη ἀνομοιότης. τὰ δὲ πλεῖςον ἀπέχοντα ἀλλήλων ἐναντία ὁρίζονται, ὥςε καὶ μᾶλλον ἐναντία τὰ πλεῖον ἀπέχοντα. πρὸς δὲ τὸ μέσον ἀν-

1. ἔςι — ἀφιλότιμον om K^b. ‖ 2. ἐν om L^bO^b. ‖ 3. λέγομεν L^bN^b. ‖ 4. δὲ om M^b. ‖ περὶ τὴν ὀργὴν K^b. ‖ 5. ὄντων om K^b. ‖ 6. καλέσωμεν K^b. ‖ 7. ἐςὶν K^b. ‖ 8. ἀνόργιςός K^b. ‖ τις] ἐςιν M^b. ‖ ἀνοργησία K^b. ‖ 10. ἀλλήλας] ἀλλήλας καὶ κοινωνίαν L^bN^b. ‖ διαφέρουσι N^bO^b. ‖ 12. ἡ μὲν ὅτι ἔςι K^b, ὅτι αἱ μέν εἰσι O^b. ‖ 15. ἐν] ἐςι O^b. ‖ τὰ δάκρυα οὔτ' ἐπαινετὰ οὔτ' ὀρθά K^b. ‖ 16. εἰσὶ K^b. ‖ 18. ἕνεκα K^b. ‖ 21. καὶ — 22. ἀλαζών om M^b. ‖ 24. καὶ ἡ] ἡ δὲ M^b. ‖ εὐτραπέλεια K^b. ‖ 26. ἡ om O^b. ‖ ἡδὺ om M^b. ‖ 28 et 29. εἰ] ὁ L^bO^b. ‖ 28. μηδενὸς M^b. ‖ 30. ἐν om M^b. ‖ 31. παθήμασι K^b. ‖ ἐν τοῖς om K^b. ‖ παρὰ N^b. ‖ 35. ὁ μηδὲ] μηδὲν K^b.

2. λύπας καὶ ἡδονὰς L^b. ‖ τὰς] τὴν M^b. ‖ 6. χαίρει L^bN^b. ‖ 8. διαλεγόμενοι M^b. ‖ 11. δὴ L^bO^b. ‖ 14. ἐναντίαι εἰσὶ] ἀντίκεινται ἐναντίαι O^b. | 15. μεσότης M^b. ‖ 16. μεῖζον πρὸς] μέγα πρὸς M^bO^b. ‖ 18. τε om M^b. ‖ 19. μὲν om M^b. ‖ 22. ἀκόλαστον O^b. ‖ 24. τὸ N^b. ‖ 25. τὸν] τὸν μὲν M^b. ‖ 26. δ' om O^b. ‖ τούτων ἀλλήλοις M^b. ‖ 27. πλείςη $K^bL^bM^bN^bO^b$. ‖ ἐναντιότης τούτων ἐςὶ M^b. ‖ 29. ἢ om M^b. ‖ 30. ἢ om pr M^b. ‖ μὲν τὸ] τὸν K^bM^b. ‖ 33. πλεῖςα N^b. ‖ 34. ἀπέχοντα ἀπ' ἀλλήλων 35. πλεῖςον L^b. ‖ ἀντίκειται L^bM^b.

μᾶλλον ἐφ' ὧν μὲν ἡ ἔλλειψις ἐφ' ὧν δὲ ἡ λή, οἷον ἀνδρείᾳ μὲν οὐχ ἡ θρασύτης ὑπερβολὴ ἀλλ' ἡ δειλία ἔλλειψις οὖσα, τῇ δὲ σωφροσύνῃ ἀναισθησία ἔνδεια οὖσα, ἀλλ' ἡ ἀκολασία ὑπερ- οὖσα. διὰ δύο δ' αἰτίας τοῦτο συμβαίνει, μίαν ἐξ αὐτῦ τῦ πράγματος· τῷ γὰρ ἐγγύτερον εἶναι οιότερον τὸ ἕτερον ἄκρον τῷ μέσῳ, οὐ τοῦτο ἀλλὰ ίον ἀντιτίθεμεν μᾶλλον, οἷον ἐπεὶ ὁμοιότερον εἶναι ῇ ἀνδρείᾳ ἡ θρασύτης καὶ ἐγγύτερον, ἀνομοιότερον ιλία, ταύτην μᾶλλον ἀντιτίθεμεν· τὰ γὰρ ἀπέ- πλεῖον τῦ μέσου ἐναντιώτερα δοκεῖ εἶναι. μία μὲν αὕτη, ἐξ αὐτῦ τῦ πράγματος, ἑτέρα δὲ ἐξ ἡμῶν πρὸς ἃ γὰρ αὐτοὶ μᾶλλον πεφύκαμέν πως, ταῦτα ἐναντία τῷ μέσῳ φαίνεται. οἷον αὐτοὶ μᾶλλον μεν πρὸς τὰς ἡδονάς, διὸ εὐκατάφοροί ἐσμεν μᾶλ- ὸς ἀκολασίαν ἢ πρὸς κοσμιότητα. ταῦτ' οὖν μᾶλ- ντία λέγομεν, πρὸς ἃ ἡ ἐπίδοσις μᾶλλον γίνεται· τοῦτο ἡ ἀκολασία ὑπερβολὴ οὖσα ἐναντιωτέρα σωφροσύνῃ.

τι μὲν ὖν ἐςὶν ἡ ἀρετὴ ἡ ἠθικὴ μεσότης, καὶ πῶς, μεσότης δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολὴν τῆς ἔλλειψιν, καὶ ὅτι τοιαύτη ἐςὶ διὰ τὸ ςοχαςικὴ εἶναι τῦ ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσιν, ἱκα- ται. διὸ καὶ ἔργον ἐςὶ σπυδαῖον εἶναι· ἐν ἑκάςῳ μέσον λαβεῖν ἔργον, οἷον κύκλυ τὸ μέσον ὐ παν- λὰ τῦ εἰδότος. ὕτω δὲ καὶ τὸ μὲν ὀργισθῆναι παν- ῥᾴδιον, καὶ τὸ δῦναι ἀργύριον καὶ δαπανῆσαι· καὶ ὅσον καὶ ὅτε καὶ ῦ ἕνεκα καὶ ὥς, ὐκέτι παν- ῥᾴδιον· διόπερ τὸ εὖ καὶ σπάνιον καὶ ἐπαινετὸν λόν. διὸ δεῖ τὸν ςοχαζόμενον τῦ μέσυ πρῶτον μὲν ιεῖν τῦ μᾶλλον ἐναντίυ, καθάπερ καὶ ἡ Καλυψὼ "τύτυ μὲν καπνῦ καὶ κύματος ἐκτὸς ἔεργε νῆα." ἄκρων τὸ μέν ἐςιν ἁμαρτωλότερον, τὸ δ' ἧττον· τῦ μέσου τυχεῖν ἄκρως χαλεπόν, κατὰ τὸν δεύ- ασι πλῦν τὰ ἐλάχιςα ληπτέον τῶν κακῶν· τῦτο δ' ἔςαι μάλιςα τῦτον τὸν τρόπον ὃν λέγομεν. σκοπεῖν δὲ δεῖ πρὸς ἃ καὶ αὐτοὶ εὐκατάφοροί ἐσμεν· ἄλλοι γὰρ πρὸς ἄλλα πεφύκαμεν. τῦτο δ' ἔσται γνώριμον ἐκ τῆς ἡδονῆς καὶ τῆς λύπης τῆς γινομένης περὶ ἡμᾶς. εἰς τὐναντίον δ' ἑαυτὺς ἀφέλκειν δεῖ· πολὺ γὰρ ἀπαγαγόντες τοῦ ἁμαρτάνειν εἰς τὸ μέσον ἥξομεν, ὅπερ οἱ τὰ διεςραμμένα τῶν ξύλων ὀρθῦντες ποιῦσιν. ἐν παντὶ δὲ μάλιςα φυλακτέον τὸ ἡδὺ καὶ τὴν ἡδονήν· ὐ γὰρ ἀδέκαςοι κρίνομεν αὐτήν. ὅπερ ὖν οἱ δημογέροντες ἔπαθον πρὸς τὴν Ἑλένην, τῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν ἡδονήν, καὶ ἐν πᾶσι τὴν ἐκείνων ἐπιλέγειν φωνήν· ὕτω γὰρ αὐτὴν ἀποπεμπόμενοι ἧττον ἁμαρτησόμεθα. ταῦτ' ὖν ποιῦντες, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, μάλιςα δυνησόμεθα τῦ μέσυ τυγχάνειν. χαλεπὸν δ' ἴσως τῦτο, καὶ μάλις' ἐν τοῖς καθ' ἕκαςον· ὐ γὰρ ῥᾴδιον διορίσαι πῶς καὶ τίσι καὶ ἐπὶ ποίοις καὶ πόσον χρόνον ὀργιςέον· καὶ γὰρ ἡμεῖς ὁτὲ μὲν τὺς ἐλλείποντας ἐπαινῦμεν καὶ πράους φαμέν, ὁτὲ δὲ τὺς χαλεπαίνοντας ἀνδρώδεις ἀποκαλοῦμεν. ἀλλ' ὁ μὲν μικρὸν τοῦ εὖ παρεκβαίνων ὐ ψέγεται, οὔτ' ἐπὶ τὸ μᾶλλον οὔτ' ἐπὶ τὸ ἧττον, ὁ δὲ πλέον· ὗτος γὰρ ὐ λανθάνει. ὁ δὲ μέχρι τίνος καὶ ἐπὶ πόσον ψεκτὸς ὐ ῥᾴδιον τῷ λόγῳ ἀφορίσαι· ὐδὲ γὰρ ἄλλο ὐδὲν τῶν αἰσθητῶν· τὰ δὲ τοιαῦτα ἐν τοῖς καθ' ἕκαςα, καὶ ἐν τῇ αἰσθήσει ἡ κρίσις. τὸ μὲν ἄρα τοσῦτο δῆλον ὅτι ἡ μέση ἕξις ἐν πᾶσιν ἐπαινετή, ἀποκλίνειν δὲ δεῖ ὁτὲ μὲν ἐπὶ τὴν ὑπερβολὴν ὁτὲ δ' ἐπὶ τὴν ἔλλειψιν· οὕτω γὰρ ῥᾷςα τῦ μέσου καὶ τῦ εὖ τευξόμεθα.

Γ.

Τῆς ἀρετῆς δὴ περὶ πάθη τε καὶ πράξεις ὔσης, καὶ ἐπὶ μὲν τοῖς ἑκουσίοις ἐπαίνων καὶ ψόγων γινομένων, ἐπὶ δὲ τοῖς ἀκουσίοις συγγνώμης, ἐνίοτε δὲ καὶ ἐλέυ, τὸ ἑκύσιον καὶ ἀκύσιον ἀναγκαῖον ἴσως διορίσαι τοῖς περὶ ἀρετῆς ἐπισκοπῦσι, χρήσιμον δὲ καὶ τοῖς νομοθετῦσι πρός τε τὰς τιμὰς καὶ τὰς κολάσεις. δοκεῖ δὲ ἀκύσια εἶναι τὰ βίᾳ

ἐφ' ὧν μᾶλλον μὲν M^bN^b, ἐφ' ὧν μὲν μᾶλλον L^bO^b. ‖ ἡ post δὲ om K^b. ‖ 8. ἀντιτίθεμεν — 10. ἀντιτίθεμεν] τίθεμεν, μᾶλλον εμεν M^b. ‖ 13. μᾶλλον om N^b. ‖ ἔχομέν K^b. ‖ 14. φέρεται K^b. ‖ 16. πρὸς post ἢ om M^b. ‖ μᾶλλον et 17. ἡ om M^b. ‖ σωφροσύνης K^b. ‖ 20. ἡ post ἐςὶν om L^b. ‖ ἠθικὴ ἀρετὴ M^b. ‖ 23. τοῖς πάθεσι καὶ ἐν ταῖς πράξεσιν K^b, ταῖς πράξεσι καὶ σιν L^bO^b. ‖ 24. καὶ om O^b. ‖ 25. ὐ] λαβεῖν ὐ O^b. ‖ 26. δὴ L^bO^b. ‖ 27. καὶ τὸ δαπανῆσαι M^b. ‖ 28. ὐκ ἔςι M^b. ‖ ερ] ὅπερ ἐςὶ $L^bM^bN^bO^b$. ‖ 30. μὲν om N^b. ‖ 32. παρῄνει $L^bM^bN^bO^b$. ‖ τῦ τῦ K^b, τὸ τῦ M^bN^b, ὡς τῦ L^bO^b. ‖ μὲν ‖ 35. τὰ om M^b.

ἐςὶ K^b. ‖ 2. δεῖ καὶ πρὸς M^bN^b. ‖ 4. γενομένης M^b. ‖ 5. δ' ἑαυτὺς om K^b. ‖ ἀπάγοντες $K^bM^bN^b$. ‖ 8. ὐ] ὐδὲ M^b. ‖ 10. 11. φωνὴν om N^b. ‖ 14. μᾶλλον M^b. ‖ 15. πῶς] καὶ πῶς K^bL^b. ‖ 18. ἀποκαλοῦντες K^b, ἐπικαλοῦμεν M^b. ‖ 23. τοσῦτον O^b. ‖ 24. δηλοῖ codices. ‖ 25. ὁτὲ — ὁτὲ] τοτὲ — τοτὲ $L^bM^bN^bO^b$. ‖ 30. τε om M^b. ‖ 31. ἐπὶ — ἐπὶ] ἐν — ἐν $L^bM^bN^b$ ταίνων τε καὶ O^b. ‖ 32. δὲ ante καὶ om $L^bM^bO^b$. ‖ 33. καὶ τὸ ἀκύσιον K^b. ‖ προδιορίσαι L^b. ‖ 35. βίαια N^b.

ἢ δι' ἄγνοιαν γινόμενα. βίαιον δὲ ὃ ἡ ἀρχὴ ἔξωθεν, τοιαύτη οὖσα ἐν ᾗ μηδὲν συμβάλλεται ὁ πράττων ἢ ὁ πάσχων, οἷον εἰ πνεῦμα κομίσαι ποι ἢ ἄνθρωποι κύριοι ὄντες. ὅσα δὲ διὰ φόβον μειζόνων κακῶν πράττεται ἢ διὰ καλόν τι, οἷον εἰ τύραννος προςάττοι αἰσχρόν τι πρᾶξαι κύριος ὢν γονέων καὶ τέκνων, καὶ πράξαντος μὲν σώζοιντο, μὴ πράξαντος δ' ἀποθνήσκοιεν, ἀμφισβήτησιν ἔχει πότερον ἀκούσιά ἐςιν ἢ ἑκούσια. τοιοῦτον δέ τι συμβαίνει καὶ περὶ τὰς ἐν τοῖς χειμῶσιν ἐκβολάς· ἁπλῶς μὲν γὰρ οὐδεὶς ἀποβάλλεται ἑκών, ἐπὶ σωτηρίᾳ δ' αὑτοῦ καὶ τῶν λοιπῶν ἅπαντες οἱ νοῦν ἔχοντες. μικταὶ μὲν οὖν εἰσὶν αἱ τοιαῦται πράξεις, ἐοίκασι δὲ μᾶλλον ἑκουσίοις· αἱρεταὶ γάρ εἰσι τότε ὅτε πράττονται, τὸ δὲ τέλος τῆς πράξεως κατὰ τὸν καιρόν ἐςιν. καὶ τὸ ἑκούσιον δὴ καὶ τὸ ἀκούσιον, ὅτε πράττει, λεκτέον. πράττει δὲ ἑκών· καὶ γὰρ ἡ ἀρχὴ τοῦ κινεῖν τὰ ὀργανικὰ μέρη ἐν ταῖς τοιαύταις πράξεσιν ἐν αὐτῷ ἐςίν· ὧν δ' ἐν αὐτῷ ἡ ἀρχή, ἐπ' αὐτῷ καὶ τὸ πράττειν καὶ μή. ἑκούσια δὴ τὰ τοιαῦτα, ἁπλῶς δ' ἴσως ἀκούσια· οὐδεὶς γὰρ ἂν ἕλοιτο καθ' αὑτὸ τῶν τοιούτων οὐδέν. ἐπὶ ταῖς πράξεσι δὲ ταῖς τοιαύταις ἐνίοτε καὶ ἐπαινοῦνται, ὅταν αἰσχρόν τι ἢ λυπηρὸν ὑπομένωσιν ἀντὶ μεγάλων καὶ καλῶν· ἂν δ' ἀνάπαλιν, ψέγονται· τὰ γὰρ αἴσχισθ' ὑπομεῖναι ἐπὶ μηδενὶ καλῷ ἢ μετρίῳ φαύλου. ἐπ' ἐνίοις δ' ἔπαινος μὲν οὐ γίνεται, συγγνώμη δ', ὅταν διὰ τοιαῦτα πράξῃ τις ἃ μὴ δεῖ, ἃ τὴν ἀνθρωπίνην φύσιν ὑπερτείνει καὶ μηδεὶς ἂν ὑπομείναι. ἔνια δ' ἴσως οὐκ ἔστιν ἀναγκασθῆναι, ἀλλὰ μᾶλλον ἀποθανετέον παθόντι τὰ δεινότατα· καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι. ἔςι δὲ χαλεπὸν ἐνίοτε διακρῖναι ποῖον ἀντὶ ποίου αἱρετέον καὶ τί ἀντὶ τίνος ὑπομενετέον, ἔτι δὲ χαλεπώτερον ἐμμεῖναι τοῖς γνωσθεῖσιν· ὡς γὰρ ἐπὶ τὸ πολύ ἐςι τὰ μὲν προσδοκώμενα λυπηρά, ἃ δ' ἀναγκάζονται αἰσχρά, ὅθεν ἔπαινοι καὶ ψόγοι γίνονται περὶ τοὺς

ἀναγκασθέντας ἢ μή. τὰ δὴ ποῖα φατέον βίαια;
μέν, ὁπότ' ἂν ἡ αἰτία ἐν τοῖς ἐκτὸς ᾖ καὶ ὁ πρά
δὲν συμβάλληται; ἃ δὲ καθ' αὑτὰ μὲν ἀκούσιά
δὲ καὶ ἀντὶ τῶνδε αἱρετά, καὶ ἡ ἀρχὴ ἐν τῷ π
καθ' αὑτὰ μὲν ἀκούσιά ἐςι, νῦν δὲ καὶ ἀντὶ τῶνδ
μᾶλλον δ' ἔοικεν ἑκουσίοις· αἱ γὰρ πράξεις ἐν τ
ἕκαςα, ταῦτα δ' ἑκούσια. ποῖα δ' ἀντὶ ποίων αἱρ
ῥᾴδιον ἀποδοῦναι· πολλαὶ γὰρ διαφοραί εἰσιν ἐν τ
ἕκαστα. εἰ δέ τις τὰ ἡδέα καὶ τὰ καλὰ φα
εἶναι (ἀναγκάζειν γὰρ ἔξω ὄντα), πάντα ἂν
βίαια· τούτων γὰρ χάριν πάντες πάντα πράττουσι
μὲν βίᾳ καὶ ἄκοντες λυπηρῶς, οἱ δὲ διὰ τὸ ἡδὺ
λὸν μεθ' ἡδονῆς. γελοῖον δὴ τὸ αἰτιᾶσθαι τὰ ἐκτ
μὴ αὑτὸν εὐθήρατον ὄντα ὑπὸ τῶν τοιούτων, καὶ
καλῶν ἑαυτόν, τῶν δ' αἰσχρῶν τὰ ἡδέα. ἔοικε δ
αιον εἶναι οὗ ἔξωθεν ἡ ἀρχή, μηδὲν συμβαλλομ
βιασθέντος.

Τὸ δὲ δι' ἄγνοιαν οὐχ ἑκούσιον μὲν ἅπαν ἐς
σιον δὲ τὸ ἐπίλυπον καὶ ἐν μεταμελείᾳ· ὁ γὰρ δι'
πράξας ὁτιοῦν, μηδὲν δὲ δυσχεραίνων ἐπὶ τῇ πράξ
μὲν οὐ πέπραχεν, ὅ γε μὴ ᾔδει, οὐδ' αὖ ἄκων, μ
μενός γε. τοῦ δὴ δι' ἄγνοιαν ὁ μὲν ἐν μεταμελε
δοκεῖ, ὁ δὲ μὴ μεταμελόμενος, ἐπεὶ ἕτερος ἔςω, ο
ἐπεὶ γὰρ διαφέρει, βέλτιον ὄνομα ἔχειν ἴδιον. ἔτ
ἔοικε καὶ τὸ δι' ἄγνοιαν πράττειν τοῦ ἀγνοοῦντα π
γὰρ μεθύων ἢ ὀργιζόμενος οὐ δοκεῖ δι' ἄγνοιαν π
ἀλλὰ διά τι τῶν εἰρημένων, οὐκ εἰδὼς δέ, ἀλλ'
ἀγνοεῖ μὲν οὖν πᾶς ὁ μοχθηρὸς ἃ δεῖ πράττειν
ἀφεκτέον, καὶ διὰ τὴν τοιαύτην ἁμαρτίαν ἄδικοι κ
κακοὶ γίνονται. τὸ δ' ἀκούσιον βούλεται λέγεσθαι
ἀγνοεῖ τὸ συμφέρον· οὐ γὰρ ἡ ἐν τῇ προαιρέσει
αἰτία τοῦ ἀκουσίου ἀλλὰ τῆς μοχθηρίας, οὐδ' ἡ
(ψέγονται γὰρ διά γε ταύτην) ἀλλ' ἡ καθ' ἕκα

3. κινήσει πη (οι) M^b. ‖ 5. προςάττει M^b. ‖ 6. καὶ τέκνων om K^b. ‖ πράξαντες M^bN^b, πράξαντι O^b. ‖ 8. τι om K^bL^bM εἰσὶν om K^b. ‖ 14. ἑκούσιον δὴ καὶ ἀκούσιον O^b, ἀκούσιον δὴ καὶ τὸ ἑκούσιον L^bM^b. ‖ 17. τ' O^b. ‖ 19. ἑαυτὸ N^b. ‖ 21. ἢ] κα καὶ om M^b. ‖ 22. τὰ γὰρ αἴσχισθ'] ταῦτα γὰρ ἔχοι τις M^b. ‖ 23. φαύλω M^b. ‖ 24. διὰ τὰ τοιαῦτα M^b, διὰ ταῦτα L^b. L^b, πράξειέ $M^bN^bO^b$. ‖ 25. ἃ μὴ δεῖ om K^b. ‖ ὑπερτείνει ante 26. ἔνια L^bM^b. ‖ 26. ὑπομεῖναι N^b, ὑπομείνῃ $L^bM^bO^b$. ‖ θανατέον παθόντα $L^bM^bN^bO^b$. ‖ 28. ἀλκμαίονα L^b. ‖ 29. τὸ κρῖναι $L^bN^bO^b$. ‖ 30. ὑπομενητέον M^b. ‖ 31. χαλεπώτερον τὸ N^b. ‖ 32. τὰ δ' ἀναγκάζοντα M^bN^b.

1. δι M^b. ‖ 2. τῶι K^b. ‖ 3. συμβάληται M^b. ‖ δὴ M^b. ‖ 4. αἱρετά — 7. ταῦτα δ' om M^b. ‖ 5. τῶν N^b. ‖ 6. ἡ γὰ ἐν τοῖς καθ' ἕκαςον L^b. ‖ 9. τὰ ἡδέα καὶ καλὰ N^b, τὰ καλὰ καὶ τὰ ἡδέα L^b, τὰ ἡδέα M^bO^b. ‖ 10. ἀναγκάζει K^b. ‖ πάντα ἂν L^b, καὶ τὰ καλὰ πάντα εἴη ἂν M^b. ‖ αὐτῷ $K^bL^bM^b$. ‖ 11. πάντα πάντες $L^bN^bO^b$. ‖ 12. ἡδὺ καὶ] ἡδὺ ἢ L^bM^b, ἡδὺ O^b. om N^bO^b. ‖ 13. δὲ $K^bN^bO^b$. ‖ 19. ἐπίλοιπον K^bL^b. ‖ πράξας γάρ, omissis ὁ et δι' ἄγνοιαν, M^b. ‖ 20. δὲ] τι K^b, om 23. μεταμελώμενος K^b. ‖ ἔςαι L^bM^b. ‖ 24. ἔχει N^b. ‖ 25. ἀγνοοῦντας K^b, ἀγνοοῦντος M^b, ἀγνοούντως rc K^b. ‖ 26. ἢ ὁ M^b. ‖ πράσσειν K^b. ‖ 28. οὖν om M^b. ‖ 31. τὰ συμφέροντα K^b. ‖ 33. γε om M^b.

τερὶ ἃ ἡ πρᾶξις· ἐν τύτοις γὰρ καὶ ἔλεος καὶ
η· ὁ γὰρ τούτων τι ἀγνοῶν ἀκουσίως πράττει.
ἱ χεῖρον διορίσαι αὐτά, τίνα καὶ πόσα ἐστί, τίς
ι τί καὶ περὶ τί ἢ ἐν τίνι πράττει, ἐνίοτε δὲ καὶ
ὀργάνῳ, καὶ ἕνεκα τίνος, οἷον σωτηρίας, καὶ πῶς,
α ἢ σφόδρα. ἅπαντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν
μὴ μαινόμενος, δῆλον δ' ὡς ὐδὲ τὸν πράττοντα·
ἑαυτόν γε; ὃ δὲ πράττει, ἀγνοήσειεν ἄν τις, οἷον
φασιν ἐκπεσεῖν αὐτύς, ἢ ὐκ εἰδέναι ὅτι ἀπόρρητα
ερ Αἰσχύλος τὰ μυστικά, ἢ δεῖξαι βουλόμενος
ὡς ὁ τὸν καταπέλτην. οἰηθείη δ' ἄν τις καὶ τὸν
έμιον εἶναι ὥσπερ ἡ Μερόπη, καὶ ἐσφαιρῶσθαι
χωμένον δόρυ, ἢ τὸν λίθον κίσσηριν εἶναι· καὶ ἐπὶ
παίσας ἀποκτείναι ἄν· καὶ δεῖξαι βουλόμενος,
ἀκροχειριζόμενοι, πατάξειεν ἄν. περὶ πάντα δὴ
ῆς ἀγνοίας οὔσης, ἐν οἷς ἡ πρᾶξις, ὁ τούτων τι
ἄκων δοκεῖ πεπραχέναι, καὶ μάλιστα ἐν τοῖς
οις· κυριώτατα δ' εἶναι δοκεῖ, ἐν οἷς ἡ πρᾶξις καὶ
τῦ δὴ κατὰ τὴν τοιαύτην ἄγνοιαν ἀκουσίου λε-
ἔτι δεῖ τὴν πρᾶξιν λυπηρὰν εἶναι καὶ ἐν μετα-

τος δ' ἀκουσίου τῦ βίᾳ καὶ δι' ἄγνοιαν, τὸ ἑκού-
ειεν ἂν εἶναι οὗ ἡ ἀρχὴ ἐν αὐτῷ εἰδότι τὰ καθ'
ν οἷς ἡ πρᾶξις. ἴσως γὰρ ὐ καλῶς λέγεται ἀκύ-
τὰ διὰ θυμὸν ἢ δι' ἐπιθυμίαν. πρῶτον μὲν γὰρ
τῶν ἄλλων ζῴων ἑκουσίως πράξει, ὐδ' οἱ παῖδες·
ερον ὐδὲν ἑκουσίως πράττομεν τῶν δι' ἐπιθυμίαν
όν, ἢ τὰ καλὰ μὲν ἑκουσίως τὰ δ' αἰσχρὰ ἀκυ-
γελοῖον ἑνός γε αἰτίου ὄντος; ἄτοπον δὲ ἴσως τὸ
φάναι ὧν δεῖ ὀρέγεσθαι. δεῖ δὲ καὶ ὀργίζεσθαι
καὶ ἐπιθυμεῖν τινῶν, οἷον ὑγιείας καὶ μαθήσεως.
τὰ μὲν ἀκύσια λυπηρὰ εἶναι, τὰ δὲ κατ' ἐπιθυ-
ία. ἔτι δὲ τί διαφέρει τῷ ἀκύσια εἶναι τὰ κατὰ
ν ἢ θυμὸν ἁμαρτηθέντα; φευκτὰ μὲν γὰρ ἄμφω,

δοκεῖ δὲ ὐχ ἧττον ἀνθρωπικὰ εἶναι τὰ ἄλογα πάθη. αἱ δὲ πράξεις τῦ ἀνθρώπυ ἀπὸ θυμῦ καὶ ἐπιθυμίας. ἄτοπον δὴ τὸ τιθέναι ἀκύσια ταῦτα.

Διωρισμένων δὲ τῦ τε ἑκυσίυ καὶ τῦ ἀκουσίου, περὶ 4
προαιρέσεως ἕπεται διελθεῖν· οἰκειότατον γὰρ εἶναι δοκεῖ τῇ ἀρετῇ καὶ μᾶλλον τὰ ἤθη κρίνειν τῶν πράξεων. ἡ προαίρεσις δὴ ἑκύσιον μὲν φαίνεται, οὐ ταὐτὸν δέ, ἀλλ' ἐπὶ πλέον τὸ ἑκύσιον· τῦ μὲν γὰρ ἑκυσίυ καὶ παῖδες καὶ τἆλλα ζῷα κοινωνεῖ, προαιρέσεως δ' ὔ, καὶ τὰ ἐξαίφνης ἑκύσια μὲν λέγομεν, κατὰ προαίρεσιν δ' ὔ. οἱ δὲ λέγοντες αὐτὴν ἐπιθυμίαν ἢ θυμὸν ἢ βύλησιν ἤ τινα δόξαν ὐκ ἐοίκασιν ὀρθῶς λέγειν. οὐ γὰρ κοινὸν ἡ προαίρεσις καὶ τῶν ἀλόγων, ἐπιθυμία δὲ καὶ θυμός. καὶ ὁ ἀκρατὴς ἐπιθυμῶν μὲν πράττει, προαιρύμενος δ' ὔ· ὁ ἐγκρατὴς δ' ἀνάπαλιν προαιρύμενος μέν, ἐπιθυμῶν δ' ὔ. καὶ προαιρέσει μὲν ἐπιθυμία ἐναντιῦται, ἐπιθυμίᾳ δ' ἐπιθυμία ὔ. καὶ ἡ μὲν ἐπιθυμία ἡδέος καὶ ἐπιλύπυ, ἡ προαίρεσις δ' ὔτε λυπηρῦ ὔθ' ἡδέος. θυμὸς δ' ἔτι ἧττον· ἥκιςα γὰρ τὰ διὰ θυμὸν κατὰ προαίρεσιν εἶναι δοκεῖ. ἀλλὰ μὴν ὐδὲ βύλησίς γε, καίπερ σύνεγγυς φαινόμενον· προαίρεσις μὲν γὰρ ὐκ ἔςι τῶν ἀδυνάτων, καὶ εἴ τις φαίη προαιρεῖσθαι, δοκοίη ἂν ἠλίθιος εἶναι· βύλησις δ' ἐςὶ τῶν ἀδυνάτων, οἷον ἀθανασίας. καὶ ἡ μὲν βύλησίς ἐςι καὶ περὶ τὰ μηδαμῶς δι' αὐτῦ πραχθέντα ἄν, οἷον ὑποκριτήν τινα νικᾶν ἢ ἀθλητήν· προαιρεῖται δὲ τὰ τοιαῦτα ὐδείς, ἀλλ' ὅσα οἴεται γενέσθαι ἂν δι' αὐτῦ. ἔτι δ' ἡ μὲν βύλησις τῦ τέλυς ἐςὶ μᾶλλον, ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος, οἷον ὑγιαίνειν βυλόμεθα, προαιρύμεθα δὲ δι' ὧν ὑγιανῦμεν, καὶ εὐδαιμονεῖν βυλόμεθα μὲν καὶ φαμέν, προαιρύμεθα δὲ λέγειν ὐχ ἁρμόζει· ὅλως γὰρ ἔοικεν ἡ προαίρεσις περὶ τὰ ἐφ' ἡμῖν εἶναι. ὐδὲ δὴ δόξα ἂν εἴη· ἡ μὲν γὰρ δόξα δοκεῖ περὶ πάντα εἶναι, καὶ ὐδὲν ἧττον περὶ τὰ ἀΐδια καὶ τὰ ἀδύνατα ἢ τὰ ἐφ' ἡμῖν· καὶ τῷ ψευδεῖ καὶ ἀληθεῖ διαιρεῖται, οὐ τῷ κακῷ καὶ ἀγαθῷ, ἡ προαίρεσις δὲ τύτοις μᾶλλον. ὅλως μὲν ὖν

ιαὶ post γὰρ om L^bM^b. ‖ 2. ἀκουσίω K^b. ‖ 4. τε] δὲ M^b. ‖ καὶ post τί om K^b. ‖ 6. ἂν om L^bM^b. ‖ 7. μὴ — 8.
om N^b. ‖ 7. τὸν om M^bO^b. ‖ 8. ἑαυτόν γε ὅ τε O^b, ὁ δὲ (ὃ δι' corr) ἑαυτόν γε K^b. ὃ — 10. ἦν om M^b. ‖ 9. ἐκ-
K^b. ‖ 10. ἢ om K^b. ‖ δεῖξαι M^b. ‖ 12. υἱὸν ὡς πολέμιον M^b. ‖ 13. λελογχευμένον rc M^b. ‖ κίσηριν L^b, κίσιριν K^bN^b. ‖
τας M^b. ‖ 15. πατάξαιεν K^b. ‖ 16. ὁ — 18. πρᾶξις om K^b. ‖ 17. πεπραχέναι — 18. δοκεῖ om M^b. ‖ 19. αὐτὴν M^b. ‖
υ N^bO^b. ‖ 24. λέγεται τὸ ἀκύσια M^b. ‖ 25. δι' om K^bO^b. ‖ 26. ἔτι om K^b. ‖ 28. καὶ] ἢ $L^bM^bN^bO^b$. ‖ 29. τὸ om
2. δὲ καὶ τὰ K^b. ‖ ἀκύσια καὶ λυπηρὰ O^b. ‖ 33. τῷ] τὸ L^bN^b.
πάθη om pr K^b. ‖ αἱ δὲ] ὥςε καὶ αἱ K^b. ‖ 2. ἀνθρώπυ — 3. τὸ om N^b. ‖ 2. ἀπὸ — ἐπιθυμίας om K^b. ‖ 3. δὲ M^bN^b. ‖
υσίου καὶ ἑκυσίυ M^b. ‖ 6. κρῖναι τῶν πράξεων M^b, τῶν πράξεων κρίνειν K^b. ‖ 7. δὴ] δὲ $L^bM^bN^bO^b$. ‖ 8. πλεῖον K^b. ‖ 9.
, τὰ L^b. ‖ 10. λέγομεν μὲν N^b. ‖ δὴ K^b. ‖ 12. καὶ om K^b. ‖ 13. ἀκροατὴς K^b. ‖ 14. ὔ· καὶ ὁ K^b. ‖ 16. ἐπιθυμία δὲ
K^b. ‖ 17. λυπηρὰ N^b. ‖ 18. τὸ M^b. ‖ κατὰ L^bM^b. ‖ 20. ἐγγὺς M^b. ‖ 24. αὐτὸν N^b. ‖ 25. οἴεται ἂν γενέσθαι L^b, ἂν
σθαι M^b. ‖ 26. τέλυς καὶ μᾶλλόν ἐςιν M^b. ‖ 28. ὑγιαίνομεν K^b. ‖ 29. μὲν om M^b. ‖ 30. τῶν N^b. ‖ ὑφ' ἡμᾶς K^b. ‖ 32.
‖ 33. ψεύδει M^b.

δόξῃ ταὐτὸν ἴσως ὐδὲ λέγει ὐδείς. ἀλλ' ὐδέ τινι· τῷ γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ ποιοί τινές ἐσμεν, τῷ δὲ δοξάζειν ὔ. καὶ προαιρύμεθα μὲν λαβεῖν ἢ φυγεῖν ἤ τι τῶν τοιύτων, δοξάζομεν δὲ τί ἐςιν ἢ τίνι συμφέρει ἢ πῶς· λαβεῖν δ' ἢ φυγεῖν ὐ πάνυ δοξάζομεν. καὶ ἡ μὲν προαίρεσις ἐπαινεῖται τῷ εἶναι ὗ δεῖ μᾶλλον ἢ τῷ ὀρθῶς, ἡ δὲ δόξα τῷ ὡς ἀληθῶς. καὶ προαιρύμεθα μὲν ἃ μάλιςα ἴσμεν ἀγαθὰ ὄντα, δοξάζομεν δὲ ἃ ὐ πάνυ ἴσμεν. δοκῦσί τε ὐχ οἱ αὐτοὶ προαιρεῖσθαί τε ἄριςα καὶ δοξάζειν, ἀλλ' ἔνιοι δοξάζειν μὲν ἄμεινον, διὰ κακίαν δ' αἱρεῖσθαι ὐχ ἃ δεῖ. εἰ δὲ προγίνεται δόξα τῆς προαιρέσεως ἢ παρακολυθεῖ, ὐδὲν διαφέρει· ὐ τῦτο γὰρ σκοπῦμεν, ἀλλ' εἰ ταὐτόν ἐςι δόξῃ τινί. τί ὖν ἢ ποῖόν τί ἐςιν, ἐπειδὴ τῶν εἰρημένων ὐθέν; ἑκύσιον μὲν δὴ φαίνεται, τὸ δ' ἑκύσιον ὐ πᾶν προαιρετόν. ἀλλ' ἆρά γε τὸ προβεβουλευμένον; ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας. ὑποσημαίνειν δ' ἔοικε καὶ τὔνομα ὡς ὂν πρὸ ἑτέρων αἱρετόν.

5 Βυλεύονται δὲ πότερα περὶ πάντων καὶ πᾶν βυλευτόν ἐςιν, ἢ περὶ ἐνίων ὐκ ἔςι βυλή; λεκτέον δ' ἴσως βουλευτὸν ὐχ ὑπὲρ ὗ βυλεύσαιτ' ἄν τις ἠλίθιος ἢ μαινόμενος, ἀλλ' ὑπὲρ ὧν ὁ νοῦν ἔχων. περὶ δὲ τῶν ἀϊδίων ὐδεὶς βυλεύεται, οἷον περὶ τοῦ κόσμου ἢ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς, ὅτι ἀσύμμετροι. ἀλλ' ὐδὲ περὶ τῶν ἐν κινήσει, ἀεὶ δὲ κατὰ ταὐτὰ γινομένων, εἴτ' ἐξ ἀνάγκης εἴτε καὶ φύσει ἢ διά τινα αἰτίαν ἄλλην, οἷον τροπῶν καὶ ἀνατολῶν. ὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως, οἷον αὐχμῶν καὶ ὄμβρων. ὐδὲ περὶ τῶν ἀπὸ τύχης, οἷον θησαυρῦ εὑρέσεως. ἀλλ' ὐδὲ περὶ τῶν ἀνθρωπικῶν πάντων, οἷον πῶς ἂν Σκύθαι ἄριστα πολιτεύοιντο οὐδεὶς Λακεδαιμονίων βυλεύεται. ὐ γὰρ γένοιτ' ἂν τύτων ὐθὲν δι' ἡμῶν. βυλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν· ταῦτα δὲ καὶ ἔςι λοιπά. αἴτια γὰρ δοκῦσιν εἶναι φύσις καὶ ἀνάγκη καὶ τύχη, ἔτι δὲ νῦς καὶ πᾶν τὸ δι' ἀνθρώπυ. τῶν δ' ἀνθρώπων ἕκαςοι βυλεύονται περὶ τῶν δι' αὐτῶν πρακτῶν. καὶ περὶ μὲν τὰς ἀκριβεῖς καὶ αὐτάρκεις τῶν ἐπιςημῶν ὐκ ἔςι βυ[...] περὶ γραμμάτων (ὐ γὰρ διςάζομεν πῶς γραπτέον[...] ὅσα γίνεται δι' ἡμῶν, μὴ ὡσαύτως δ' ἀεί, περὶ τ[...] λευόμεθα, οἷον περὶ τῶν κατὰ ἰατρικὴν καὶ χρημα[...] καὶ περὶ κυβερνητικὴν μᾶλλον ἢ γυμναςικήν, ὅσ[...] διηκρίβωται, καὶ ἔτι περὶ τῶν λοιπῶν ὁμοίως, μᾶ[...] καὶ περὶ τὰς τέχνας ἢ τὰς ἐπιςήμας· μᾶλλον γ[...] αὐτὰς διςάζομεν. τὸ βουλεύεσθαι δὲ ἐν τοῖς ὡς πολύ, ἀδήλοις δὲ πῶς ἀποβήσεται, καὶ ἐν οἷς ἀ[...] συμβύλους δὲ παραλαμβάνομεν εἰς τὰ μεγάλα, [...]τες ἡμῖν αὐτοῖς ὡς ὐχ ἱκανοῖς διαγνῶναι. βουλ[...] δ' ὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τ[...] γὰρ ἰατρὸς βουλεύεται εἰ ὑγιάσει, ὔτε ῥήτωρ εἰ[...] ὔτε πολιτικὸς εἰ εὐνομίαν ποιήσει, ὐδὲ τῶν λοιπῶ[...] περὶ τῦ τέλυς· ἀλλὰ θέμενοι τέλος τι, πῶς καὶ δ[...] ἔςαι σκοπῦσι, καὶ διὰ πλειόνων μὲν φαινομένυ [...] διὰ τίνος ῥᾷςα καὶ κάλλιςα ἐπισκοπῦσι, δι' ἑνὸς τελυμένυ πῶς διὰ τύτυ ἔσται κἀκεῖνο διὰ τίνος, [...] ἔλθωσιν ἐπὶ τὸ πρῶτον αἴτιον, ὃ ἐν τῇ εὑρέσει [...] ἐστιν· ὁ γὰρ βυλευόμενος ἔοικε ζητεῖν καὶ ἀναλ[...] εἰρημένον τρόπον ὥσπερ διάγραμμα. φαίνεται δ' [...] ζήτησις ὐ πᾶσα εἶναι βύλευσις, οἷον αἱ μαθηματ[...] δὲ βύλευσις πᾶσα ζήτησις, καὶ τὸ ἔσχατον ἐν τ[...] λύσει πρῶτον εἶναι ἐν τῇ γενέσει. κἂν μὲν ἀδυνά[...] τύχωσιν, ἀφίςανται, οἷον εἰ χρημάτων δεῖ, ταῦτα [...] οἷόν τε πορισθῆναι· ἐὰν δὲ δυνατὸν φαίνηται, ἐγχ[...] πράττειν. δυνατὰ δὲ ἃ δι' ἡμῶν γένοιτ' ἄν· τὰ γὰ[...] τῶν φίλων δι' ἡμῶν πως ἐςίν· ἡ γὰρ ἀρχὴ ἐν ἡμῖ[...] τεῖται δ' ὁτὲ μὲν τὰ ὄργανα, ὁτὲ δ' ἡ χρεία [...] ὁμοίως δὲ καὶ ἐν τοῖς λοιποῖς ὁτὲ μὲν δι' ὗ, ὁτὲ δ[...] ἢ διὰ τίνος. ἔοικε δή, καθάπερ εἴρηται, ἄνθρωπ[...] ἀρχὴ τῶν πράξεων· ἡ δὲ βυλὴ περὶ τῶν αὐτῷ πρ[...] αἱ δὲ πράξεις ἄλλων ἕνεκα. ὐκ ἂν ὖν εἴη βυλευτ[...] τέλος ἀλλὰ τὰ πρὸς τὰ τέλη. ὐδὲ δὴ τὰ καθ' ἕ[...]

1. δόξει K^b, καὶ δόξῃ L^bM^b. ‖ ἄλλοι δὲ K^b. ‖ 3. φυγεῖν ἢ λαβεῖν M^b. ‖ ἢ om K^b. ‖ 4. τί] ὅτι K^b. ‖ ἢ ante πῶς om. 5. δοξάζομεν δέ· καὶ K^b. ‖ 7. ὡς add $K^bN^bO^b$. ‖ ἀληθής M^b. ‖ 8. ἴσμεν] μὲν ἴσμεν K^b. ‖ 9. τε] δὲ K^b. ‖ τε] τὰ L^bM^b ἄριςα om N^b. ‖ 11. δὲ] γὰρ L^b. ‖ 12. τῦτο] ταῦτα K^b. ‖ 14. ὐθέν ἐςιν. ἑκύσιον L^bM^b. ‖ 17. ἂν M^b. ‖ 18. πότερα K^b 19. δ' om L^b. ‖ 20. ἄν τις βυλεύσαιτο L^bM^b. ‖ 21. τῶν δὲ K^b. ‖ 23. ἀσύμμετρος M^b, σύμμετροι K^b, ἀσύμμετρα rc K^b. ‖ [...] add K^b. ‖ 25. ἢ] εἴτε O^b, om K^b. ‖ 26. καὶ] ἢ M^b. ‖ 27. περὶ om M^b. ‖ 28. ἀνθρωπίνων K^b. ‖ 29. πολιτεύσοιντο K^b. ‖ [...] ἡμῶν ὐθέν N^bO^b, ἡμῶν ὐθὲν L^b, ὐθὲν ἡμῶν M^b. ‖ 31. ἐν K^b. ‖ τε καὶ ἔτι M^b. ‖ αἰτίαι K^bM^b. ‖ 34. τοὺς L^b.

3. μὴ] καὶ M^b. ‖ 4. κατὰ τὴν ἰατρικὴν O^b. ‖ 5. περὶ om M^b. ‖ 7. τέχνας] δόξας N^b et corr L^b. ‖ τὰς om L^b. ‖ [...] K^b. ‖ βούλευμα L^b. ‖ 9. δὲ] δ' ὖσι M^b. ‖ 10. ἀπιςῦντες μὲν γὰρ ἡμῖν O^b. ‖ 15. θέμενοι τὸ τέλος τὸ πῶς K^b. ‖ τίνος L^bM^b. βυλόμενος N^b, ‖ 21. εἰρημένον] αὐτὸν K^b. ‖ δ'] δὲ καὶ M^b. ‖ ἡ μὲν] ἡμῖν N^b. ‖ 22. οἷον — 23. βύλευσις om N^b. ‖ 23. μ[...] L^b. ‖ 25. ἀφιςᾶναι K^b. ‖ δεῖται τὰ δὲ μὴ οἴονται M^b. ‖ 27. δι' — 28. φίλων om N^b. ‖ 32. αὐτῷ] δι' αὐτῦ M^b. ‖ 33. [...] ὂν M^b, ὐ γὰρ ἂν K^b. ‖ βυλευτέον M^b. ‖ 34. ἕκαστον M^b.

ς τοῦτο ἢ πέπεπται ὡς δεῖ· αἰσθήσεως γὰρ ὲ ἀεὶ βϐλεύσεται, εἰς ἄπειρον ἥξει. βουλευ- προαιρετὸν τὸ αὐτό, πλὴν ἀφωρισμένον ἤδη τὸ τὸ γὰρ ἐκ τῆς βουλῆς προκριθὲν προαιρετόν αι γὰρ ἕκαστος ζητῶν πῶς πράξει, ὅταν εἰς αγῃ τὴν ἀρχήν, καὶ αὐτοῦ εἰς τὸ ἡγούμενον· ὸ προαιρϐμενον. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν λιτειῶν, ἃς Ὅμηρος ἐμιμεῖτο· οἱ γὰρ βασι- ἔλοιντο ἀνήγγελλον τῷ δήμῳ. ὄντος δὲ τοῦ ϐλευτϐ ὀρεκτϐ τῶν ἐφ' ἡμῖν, καὶ ἡ προαίρεσις υτικὴ ὄρεξις τῶν ἐφ' ἡμῖν· ἐκ τϐ βϐλεύσασθαι ες ὀρεγόμεθα κατὰ τὴν βϐλευσιν. ἡ μὲν οὖν ύπῳ εἰρήσθω, καὶ περὶ ποῖά ἐςι, καὶ ὅτι τῶν η.

βϐλησις ὅτι μὲν τϐ τέλους ἐςίν, εἴρηται, δοκεῖ ἀγαθϐ εἶναι, τοῖς δὲ τϐ φαινομένου ἀγαθοῦ. ὲ τοῖς μὲν τὸ βουλητὸν τἀγαθὸν λέγουσι μὴ τὸν ὃ βϐλεται ὁ μὴ ὀρθῶς αἱρϐμενος (εἰ γὰρ ν, καὶ ἀγαθόν· ἦν δ', εἰ ϐτως ἔτυχε, κακόν), ὸ φαινόμενον ἀγαθὸν τὸ βϐλητὸν λέγουσι μὴ βουλητόν, ἀλλ' ἑκάστῳ τὸ δοκοῦν· ἄλλο δ' ται, καὶ εἰ ϐτως ἔτυχε, τἀναντία. εἰ δὲ δὴ ρέσκει, ἆρα φατέον ἁπλῶς μὲν καὶ κατ' ἀλή- τὸν εἶναι τἀγαθόν, ἑκάςῳ δὲ τὸ φαινόμενον; σπϐδαίῳ τὸ κατ' ἀλήθειαν εἶναι, τῷ δὲ φαύλῳ ὥσπερ καὶ ἐπὶ τῶν σωμάτων τοῖς μὲν εὖ δια- ιεινά ἐςι τὰ κατ' ἀλήθειαν τοιαῦτα ὄντα, τοῖς ἕτερα. ὁμοίως δὲ καὶ πικρὰ καὶ γλυκέα καὶ βαρέα καὶ τῶν ἄλλων ἕκαςα· ὁ σπϐδαῖος γὰρ ι ὀρθῶς, καὶ ἐν ἑκάςοις τἀληθὲς αὐτῷ φαίνε- κάςην γὰρ ἕξιν ἴδιά ἐςι καλὰ καὶ ἡδέα, καὶ εῖςον ἴσως ὁ σπϐδαῖος τῷ τἀληθὲς ἐν ἑκάςοις ο κανὼν καὶ μέτρον αὐτῶν ὤν. τοῖς πολλοῖς διὰ τὴν ἡδονὴν ἔοικε γίνεσθαι· οὐ γὰρ οὖσα ἀγαθὸν φαίνεται. αἱρϐνται ϐν τὸ ἡδὺ ὡς ἀγαθόν, τὴν δὲ λύπην ὡς κακὸν φεύγϐσιν.

Ὄντος δὴ βϐλητϐ μὲν τϐ τέλϐς, βουλευτῶν δὲ καὶ 7
προαιρετῶν τῶν πρὸς τὸ τέλος, αἱ περὶ ταῦτα πράξεις κατὰ προαίρεσιν ἂν εἶεν καὶ ἑκούσιοι. αἱ δὲ τῶν ἀρετῶν ἐνέργειαι περὶ ταῦτα. ἐφ' ἡμῖν δὲ καὶ ἡ ἀρετή, ὁμοίως δὲ καὶ ἡ κακία. ἐν οἷς γὰρ ἐφ' ἡμῖν τὸ πράττειν, καὶ τὸ μὴ πράττειν, καὶ ἐν οἷς τὸ μή, καὶ τὸ ναί· ὥστ' εἰ τὸ πράττειν καλὸν ὂν ἐφ' ἡμῖν ἐςί, καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν ἔςαι αἰσχρὸν ὄν, καὶ εἰ τὸ μὴ πράττειν καλὸν ὂν ἐφ' ἡμῖν, καὶ τὸ πράττειν αἰσχρὸν ὂν ἐφ' ἡμῖν. εἰ δ' ἐφ' ἡμῖν τὰ καλὰ πράττειν καὶ τὰ αἰσχρά, ὁμοίως δὲ καὶ τὸ μὴ πράττειν, τϐτο δ' ἦν τὸ ἀγαθοῖς καὶ κακοῖς εἶναι, ἐφ' ἡμῖν ἄρα τὸ ἐπιεικέσι καὶ φαύλοις εἶναι. τὸ δὲ λέγειν ὡς ϐδεὶς ἑκὼν πονηρὸς ϐδ' ἄκων μάκαρ, ἔοικε τὸ μὲν ψευδεῖ τὸ δ' ἀληθεῖ· μακάριος μὲν γὰρ ϐδεὶς ἄκων, ἡ δὲ μοχθηρία ἑκϐσιον. ἢ τοῖς γε νῦν εἰρημένοις ἀμφισβητητέον, καὶ τὸν ἄνθρωπον ϐ φατέον ἀρχὴν εἶναι ϐδὲ γεννητὴν τῶν πράξεων ὥσπερ καὶ τέκνων. εἰ δὲ ταῦτα φαίνεται καὶ μὴ ἔχομεν εἰς ἄλλας ἀρχὰς ἀναγαγεῖν παρὰ τὰς ἐφ' ἡμῖν, ὧν καὶ αἱ ἀρχαὶ ἐν ἡμῖν, καὶ αὐτὰ ἐφ' ἡμῖν καὶ ἑκϐσια. τϐτοις δ' ἔοικε μαρτυρεῖσθαι καὶ ἰδίᾳ ὑφ' ἑκάςων καὶ ὑπ' αὐτῶν τῶν νομοθετῶν· κολάζουσι γὰρ καὶ τιμωρϐνται τϐς δρῶντας μοχθηρά, ὅσοι μὴ βίᾳ ἢ δι' ἄγνοιαν ἧς μὴ αὐτοὶ αἴτιοι, τϐς δὲ τὰ καλὰ πράττοντας τιμῶσιν, ὡς τϐς μὲν προτρέψοντες, τοὺς δὲ κωλύσοντες. καίτοι ὅσα μήτ' ἐφ' ἡμῖν ἐςὶ μήθ' ἑκϐσια, ϐδεὶς προτρέπεται πράττειν, ὡς ϐδὲν πρὸ ἔργου ὂν τὸ πεισθῆναι μὴ θερμαίνεσθαι ἢ ἀλγεῖν ἢ πεινῆν ἢ ἄλλ' ὁτιϐν τῶν τοιϐτων· ϐθὲν γὰρ ἧττον πεισόμεθα αὐτά. καὶ γὰρ ἐπ' αὐτῷ τῷ ἀγνοεῖν κολάζϐσιν, ἐὰν αἴτιος εἶναι δοκῇ τῆς ἀγνοίας, οἷον τοῖς μεθϐϐσι διπλᾶ τὰ ἐπιτίμια· ἡ γὰρ ἀρχὴ ἐν αὐτῷ· κύριος γὰρ τοῦ μὴ μεθυσθῆναι, τϐτο δ' αἴτιον τῆς ἀγνοίας. καὶ τϐς ἀγνοϐντάς τι τῶν ἐν τοῖς νόμοις, ἃ δεῖ ἐπίςασθαι καὶ μὴ χαλεπά ἐςι,

ως δεῖ corr K^b, πέπεςαι ὡς δεῖ L^b, πέπεπται ἢ πεποίηται ὡς δεῖ N^b. ‖ 2. βϐλεύεται K^b. ‖ 4. κριθὲν K^b. ‖ 6. ἑαυτὸν M^b, ἀγάγῃ L^b. ‖ αὐτὸ K^b. ‖ 9. προείλοντο K^bM^b. ‖ 10. τῶν] ἐκ τῶν K^bM^b. ‖ 12. βϐλησιν M^b. ‖ 17. δὴ pr L^b. ‖ . ‖ 19. ἔςαι] ἂν N^b. ‖ 20. τὸ ante βϐλητὸν om $K^bL^bM^bO^b$. ‖ 21. ἀλλ' ὧδ' ἄλλως N^b, ἄλλῳ δ' ἄλλο O^b, ἄλλῳ δ' . ‖ 28. ἐπινόσοις ϐσιν ἕτερα O^b. ‖ 29. ἕκαςον M^b. ‖ τὸν σπϐδαῖον γὰρ ἕκαςα κρίνειν K^b. ‖ 31. καλὰ] καὶ καλὰ N^b. ‖ ἡδέα om M^b. ‖ 32. τὸ σπϐδαῖον K^b. ‖ 33. ὂν K^b, om $L^bM^bN^b$. ‖ τοῖς] ἐν τοῖς K^b, τοῖς δὲ O^b.

M^b, δὲ N^bO^b. ‖ 3. δὴ] δὲ M^b. ‖ 5. εἶεν ἂν K^bN^b. ‖ καὶ om N^b. ‖ ἑκούσιον N^b. ‖ 9. τὸ om N^b. ‖ ἐφ' ἡμῖν om ἰσχρὸν — 11. ἡμῖν om K^b. ‖ 10. καὶ εἰ — ἡμῖν om O^b. ‖ 12. δὴ L^b. ‖ 13. ἄρα] ἔςαι $L^bM^bN^b$. ‖ 15. μακάριος K^bL^b 17. τε K^b. ‖ ἀμφισβητέον M^b. ‖ 18. μηδὲ O^b. ‖ 20. ἐν K^bO^b. ‖ καὶ om $L^bM^bO^b$. ‖ 21. ἐν] ἐφ' M^b. ‖ 22. δ' ὡς ἐφ' M^b. ‖ 23. τϐς om K^b. ‖ δρῶντας τὰ μοχθηρὰ M^b. ‖ 24. οἷς M^b, ἢ K^b. ‖ αἴτιοι αὐτοί L^bM^b. ‖ 26. ὅσα] πρὸς ἃ L^bM^b. ‖ 27. ϐδεὶς γὰρ προτρέπεται N^b. ‖ προτρέπεται τοῦ πράττειν M^b. ‖ 28. ὂν τὸ] ὄντος N^bO^b. ‖ 29. ὁτιϐν ἄλλο K^b ναι] ὂν M^b. ‖ 32. μὴ om N^b.

κολάζουσιν. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις, ὅσα δι' ἀμέλειαν ἀγνοεῖν δοκοῦσιν, ὡς ἐπ' αὐτοῖς ὂν τὸ μὴ ἀγνοεῖν· τοῦ γὰρ ἐπιμεληθῆναι κύριοι. ἀλλ' ἴσως τοιοῦτός ἐστιν ὥστε μὴ ἐπιμεληθῆναι. ἀλλὰ τοῦ τοιούτους γενέσθαι αὐτοὶ αἴτιοι, ζῶντες ἀνειμένως, καὶ τοῦ ἀδίκους ἢ ἀκολάστους εἶναι, οἱ μὲν κακουργοῦντες, οἱ δὲ ἐν πότοις καὶ τοῖς τοιούτοις διάγοντες· αἱ γὰρ περὶ ἕκαστα ἐνέργειαι τοιούτους ποιοῦσιν. τοῦτο δὲ δῆλον ἐκ τῶν μελετώντων πρὸς ἡντινοῦν ἀγωνίαν ἢ πρᾶξιν· διατελοῦσι γὰρ ἐνεργοῦντες. τὸ μὲν οὖν ἀγνοεῖν ὅτι ἐκ τοῦ ἐνεργεῖν περὶ ἕκαστα αἱ ἕξεις γίνονται, κομιδῇ ἀναισθήτου. ἔτι δ' ἄλογον τὸν ἀδικοῦντα μὴ βούλεσθαι ἄδικον εἶναι ἢ τὸν ἀκολασταίνοντα ἀκόλαστον. εἰ δὲ μὴ ἀγνοῶν τις πράττει ἐξ ὧν ἔσται ἄδικος, ἑκὼν ἄδικος ἂν εἴη, οὐ μὴν ἐάν γε βούληται, ἄδικος ὢν παύσεται καὶ ἔσται δίκαιος· οὐδὲ γὰρ ὁ νοσῶν ὑγιής. καὶ εἰ οὕτως ἔτυχεν, ἑκὼν νοσεῖ, ἀκρατῶς βιοτεύων καὶ ἀπειθῶν τοῖς ἰατροῖς. τότε μὲν οὖν ἐξῆν αὐτῷ μὴ νοσεῖν, προεμένῳ δ' οὐκέτι, ὥσπερ οὐδ' ἀφέντι λίθον ἔτ' αὐτὸν δυνατὸν ἀναλαβεῖν· ἀλλ' ὅμως ἐπ' αὐτῷ τὸ βαλεῖν καὶ ῥῖψαι· ἡ γὰρ ἀρχὴ ἐπ' αὐτῷ. οὕτω δὲ καὶ τῷ ἀδίκῳ καὶ τῷ ἀκολάστῳ ἐξ ἀρχῆς μὲν ἐξῆν τοιούτοις μὴ γενέσθαι, διὸ ἑκόντες εἰσίν· γενομένοις δ' οὐκέτι ἔξεστι μὴ εἶναι. οὐ μόνον δ' αἱ τῆς ψυχῆς κακίαι ἑκούσιοί εἰσιν, ἀλλ' ἐνίοις καὶ αἱ τοῦ σώματος, οἷς καὶ ἐπιτιμῶμεν· τοῖς μὲν γὰρ διὰ φύσιν αἰσχροῖς οὐδεὶς ἐπιτιμᾷ, τοῖς δὲ δι' ἀγυμνασίαν καὶ ἀμέλειαν. ὁμοίως δὲ καὶ περὶ ἀσθένειαν καὶ πήρωσιν· οὐθεὶς γὰρ ἂν ὀνειδίσειε τυφλῷ φύσει ἢ ἐκ νόσου ἢ ἐκ πληγῆς, ἀλλὰ μᾶλλον ἐλεήσαι· τῷ δ' ἐξ οἰνοφλυγίας ἢ ἄλλης ἀκολασίας πᾶς ἂν ἐπιτιμήσαι. τῶν δὴ περὶ τὸ σῶμα κακιῶν αἱ ἐφ' ἡμῖν ἐπιτιμῶνται, αἱ δὲ μὴ ἐφ' ἡμῖν οὔ. εἰ δ' οὕτω, καὶ ἐπὶ τῶν ἄλλων αἱ ἐπιτιμώμεναι τῶν κακιῶν ἐφ' ἡμῖν ἂν εἶεν. εἰ δέ τις λέγοι ὅτι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐ κύριοι, ἀλλ' ὁποῖός ποθ' ἕκαστός ἐστι, τοιοῦτο καὶ τὸ τέλος φαίνεται αὐτῷ· εἰ μὲν οὖν ἕκαστος ἑαυτῷ τῆς ἕξεώς ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος· εἰ δὲ μή, οὐθεὶς αὐτῷ αἴτιος τοῦ κακὰ ποιεῖν, ἀλλὰ δι' ἄγνοιαν τοῦ τέλους ταῦτα πράττει, διὰ τούτων οἰόμενος αὐτῷ τὸ ἄριστον ἔσεσθαι. ἡ δὲ τοῦ τέλους ἔφεσις οὐκ αὐθαίρετος, ἀλλὰ φῦναι δεῖ ὥσπερ ὄψιν ἔχοντα, ᾗ κρινεῖ καλῶς καὶ τὸ κατ' ἀλήθειαν ἀγαθὸν αἱρήσεται. καὶ ἔστιν εὐφυής, ᾧ τοῦτο καλῶς πέφυκεν· τὸ γὰρ μέγιστον καὶ κάλλιστον, καὶ ὃ παρ' ἑτέρου μὴ οἷόν τε λαβεῖν μηδὲ μαθεῖν, ἀλλ οἷον ἔφυ, τοιοῦτον ἕξει, καὶ τὸ εὖ καὶ τὸ καλῶς τοῦτο πεφυκέναι ἡ τελεία καὶ ἀληθινὴ ἂν εἴη εὐφυΐα. εἰ δὴ ταῦτ' ἐστὶν ἀληθῆ, τί μᾶλλον ἡ ἀρετὴ τῆς κακίας ἔσται ἑκούσιον; ἀμφοῖν γὰρ ὁμοίως, τῷ ἀγαθῷ καὶ τῷ κακῷ, τὸ τέλος φύσει ἢ ὁπωσδήποτε φαίνεται καὶ κεῖται, τὰ δὲ λοιπὰ πρὸς τοῦτ' ἀναφέροντες πράττουσιν ὁπωσδήποτε. εἴτε δὴ τὸ τέλος μὴ φύσει ἑκάστῳ φαίνεται οἱονδήποτε, ἀλλά τι καὶ παρ' αὐτόν ἐστιν, εἴτε τὸ μὲν τέλος φυσικόν, τῷ δὲ τὰ λοιπὰ πράττειν ἑκουσίως τὸν σπουδαῖον ἡ ἀρετὴ ἑκούσιόν ἐστιν, οὐθὲν ἧττον καὶ ἡ κακία ἑκούσιον ἂν εἴη· ὁμοίως γὰρ καὶ τῷ κακῷ ὑπάρχει τὸ δι' αὐτὸν ἐν ταῖς πράξεσι καὶ εἰ μὴ ἐν τῷ τέλει. εἰ οὖν, ὥσπερ λέγεται, ἑκούσιοί εἰσιν αἱ ἀρεταί (καὶ γὰρ τῶν ἕξεων συναίτιοί πως αὐτοί ἐσμεν, καὶ τῷ ποιοί τινες εἶναι τὸ τέλος τοιόνδε τιθέμεθα), καὶ αἱ κακίαι ἑκούσιοι ἂν εἶεν· ὁμοίως γάρ.

Κοινῇ μὲν οὖν περὶ τῶν ἀρετῶν εἴρηται ἡμῖν τό τε γένος τύπῳ, ὅτι μεσότητές εἰσιν, καὶ ὅτι ἕξεις, ὑφ' ὧν τε γίνονται, καὶ ὅτι τούτων πρακτικαὶ καθ' αὑτάς, καὶ ὅτι ἐφ' ἡμῖν καὶ ἑκούσιοι, καὶ οὕτως ὡς ἂν ὁ ὀρθὸς λόγος προστάξῃ. οὐχ ὁμοίως δὲ αἱ πράξεις ἑκούσιοί εἰσι καὶ αἱ ἕξεις· τῶν μὲν γὰρ πράξεων ἀπ' ἀρχῆς μέχρι τοῦ τέλους κύριοί ἐσμεν, εἰδότες τὰ καθ' ἕκαστα, τῶν ἕξεων δὲ τῆς

1. δὴ L^bM^b. ‖ 2. δοκοῦσιν — ἀγνοεῖν om N^b. ‖ τὸ μὴ ἀγνοεῖν ὂν L^bM^b. ‖ 3. ἐστί τις ὥστε N^b. ‖ 4. τοῦ om O^b. ‖ τοιούτου K^b N^b. ‖ 6. δὲ καὶ ἐν N^b. ‖ 11. ἔτι δ' ἄλογον] λόγον N^b. ‖ 12. ἀκόλαστον τὸν ἀκολασταίνοντα L^bM^b. ‖ 13. ἂν — 14. βούληται om N^b. ‖ 14. ἔσται] ἂν N^b. ‖ 16. ἐξὸν K^b. ‖ 18. τὸ] τῷ M^b, om L^b. ‖ 20. γίνεσθαι L^b. ‖ 21. ἔτι om L^bM^b. ‖ ἔστι $K^bM^bO^b$. ‖ 22. αἱ om O^b. ‖ 23. οἷς om N^b. ‖ 24. ἀγυμναστίαν K^b. ‖ 25. περὶ] δι' M^b. ‖ ἀσθένειαν αἶσχος καὶ πήρωσιν M^b, ἀσθένειαν καὶ αἶσχος καὶ πήρωσιν L^bN^b. ‖ 27. ἐλεήσειε L^bM^b. ‖ 28. ἐπιτιμήσῃ L^b. ‖ 29. αἱ ἐφ' — 30. κακιῶν om M^b. ‖ 31. εἶεν αἱ πλεῖσται. εἰ M^b. ‖ λέγει L^bO^b.

1. τοιοῦτον M^b. ‖ 2. αὐτῷ O^b. ‖ 3. πως ὁ αὐτὸς M^b. ‖ μή, οὐθεὶς] μηδεὶς $L^bM^bN^b$. ‖ 4. κακοποιεῖν $K^bL^bM^b$. ‖ 8. ᾧ τὸ αὐτὸ τοῦτο ὅτι M^b. ‖ 9. καὶ ὃ] εἰ K^b. ‖ οἷόν τε] οἴονται K^b. ‖ 10. καὶ τὸ] τὸ δ' L^bM^b. ‖ 14. τὸ om M^b. ‖ 15. ταῦτ' $K^bL^bM^b$ N^bO^b. ‖ 16. πράττομεν K^b. ‖ 17. αὐτῷ $L^bM^bN^bO^b$. ‖ 18. τῷ] τὸ L^b. ‖ πράττεσθαι M^b. ‖ 19. σπουδαῖον εἰ ἡ O^b. ‖ 21. αὐτὸ M^b. ‖ πράξεσι καὶ τῷ τελείῳ K^b. ‖ 22. οὖν] δ' M^b. ‖ τῶν αἰτίων ἕξεων K^b. ‖ 24. ἑκούσιαι K^b. ‖ 26. ἡμῖν] ἡ μὲν K^b, om M^b. ‖ τε om K^b. ‖ 27. γένος] ὡς ἐν O^b. ‖ ὅτι μεσότης καὶ ἕξις K^b. εἰσιν et ὅτι om etiam O^b. ‖ 28. καὶ om K^bO^b. ‖ πρακτικαὶ L^bM^b N^b, πρακτικαὶ καὶ K^bO^b. ‖ κατὰ ταύτας M^b. ‖ 29. ἂν ὡς M^b. ‖ 30. προστάξει L^b, προστάξειεν M^b. ‖ οὐχὶ K^b. ‖ δὲ καὶ αἱ M^b. ‖ 31. τοῦ om L^bM^b. ‖ 32. τῆς — 1115 a 1. ἕκαστα om N^b.

8. Courage
26. θάνατος ὁ πέρας — nothing more either ἀγαθὸν or κακόν.

καθ' ἕκαστα δὲ ἡ πρόσθεσις οὐ γνώριμος, ὥσπερ
ν ἀρρωςιῶν· ἀλλ' ὅτι ἐφ' ἡμῖν ἦν ὕτως ἢ μὴ ὕτω
τθαι, διὰ τῦτο ἑκύσιοι.
ναλαβόντες δὴ περὶ ἑκάςης, εἴπωμεν τίνες εἰσὶ καὶ
οῖα καὶ πῶς· ἅμα δ' ἔςαι δῆλον καὶ πόσαι εἰσίν.
ῶτον περὶ ἀνδρείας. ὅτι μὲν ὖν μεσότης ἐςὶ περὶ
καὶ θάρρη, ἤδη καὶ πρότερον εἴρηται, φοβύμεθα
ονότι τὰ φοβερά, ταῦτα δ' ἐςὶν ὡς ἁπλῶς εἰπεῖν
διὸ καὶ τὸν φόβον ὁρίζονται προσδοκίαν κακοῦ.
εθα μὲν οὖν πάντα τὰ κακά, οἷον ἀδοξίαν πενίαν
ἀφιλίαν θάνατον, ἀλλ' οὐ περὶ πάντα δοκεῖ ὁ ἀν-
εἶναι· ἔνια γὰρ καὶ δεῖ φοβεῖσθαι καὶ καλόν, τὸ
αἰσχρόν, οἷον ἀδοξίαν· ὁ μὲν γὰρ φοβύμενος ἐπιει-
αἰδήμων, ὁ δὲ μὴ φοβύμενος ἀναίσχυντος. λέ-
δ' ὑπό τινων ἀνδρεῖος κατὰ μεταφοράν· ἔχει γὰρ
ον τῷ ἀνδρείῳ· ἄφοβος γάρ τις καὶ ὁ ἀνδρεῖος.
δ' ἴσως ὐ δεῖ φοβεῖσθαι ὐδὲ νόσον, ὐδ' ὅλως ὅσα
ὸ κακίας μηδὲ δι' αὐτόν. ἀλλ' ὐδ' ὁ περὶ ταῦτα
ς ἀνδρεῖος. λέγομεν δὲ καὶ τῦτον καθ' ὁμοιότητα·
ὰρ ἐν τοῖς πολεμικοῖς κινδύνοις δειλοὶ ὄντες ἐλευ-
εἰσι καὶ πρὸς χρημάτων ἀποβολὴν εὐθαρσῶς ἔχυ-
ὲ δὴ εἴ τις ὕβριν περὶ παῖδας καὶ γυναῖκα φοβεῖ-
φθόνον ἤ τι τῶν τοιύτων, δειλός ἐςιν· ὐδ' εἰ θαρρεῖ
μαςιγῦσθαι, ἀνδρεῖος. περὶ ποῖα ὖν τῶν φοβερῶν
εῖος; ἢ περὶ τὰ μέγιςα; ὐθεὶς γὰρ ὑπομενετικώτερος
νῶν. φοβερώτατον δ' ὁ θάνατος· πέρας γάρ, καὶ
τῷ τεθνεῶτι δοκεῖ οὔτ' ἀγαθὸν οὔτε κακὸν εἶναι.
δ' ἂν οὐδὲ περὶ θάνατον τὸν ἐν παντὶ ὁ ἀνδρεῖος
οἷον εἰ ἐν θαλάττῃ ἢ ἐν νόσοις. ἐν τίσιν ὖν; ἢ ἐν
λλίςοις; τοιῦτοι δὲ οἱ ἐν πολέμῳ· ἐν μεγίςῳ γὰρ
λλίςῳ κινδύνῳ. ὁμόλογοι δὲ τύτοις εἰσὶ καὶ αἱ τι-
ἐν ταῖς πόλεσι καὶ παρὰ τοῖς μονάρχοις. κυρίως
οιτ' ἂν ἀνδρεῖος ὁ περὶ τὸν καλὸν θάνατον ἀδεής,
θάνατον ἐπιφέρει ὑπόγυια ὄντα· τοιαῦτα δὲ μά-
τὰ κατὰ πόλεμον. ὐ μὴν ἀλλὰ καὶ ἐν θαλάττῃ

καὶ ἐν νόσοις ἀδεὴς ὁ ἀνδρεῖος, ὐχ ὕτω δὲ ὡς οἱ θαλάττιοι· οἱ μὲν γὰρ ἀπεγνώκασι τὴν σωτηρίαν καὶ τὸν θάνατον τὸν τοιῦτον δυσχεραίνυσιν, οἱ δὲ εὐέλπιδές εἰσι παρὰ τὴν ἐμπειρίαν. ἅμα δὲ καὶ ἀνδρίζονται ἐν οἷς ἐςὶν ἀλκὴ ἢ καλὸν τὸ ἀποθανεῖν· ἐν ταῖς τοιαύταις δὲ φθοραῖς ὐθέτερον ὑπάρχει.

Τὸ δὲ φοβερὸν ὐ πᾶσι μὲν τὸ αὐτό, λέγομεν δέ τι καὶ ὑπὲρ ἄνθρωπον. τῦτο μὲν οὖν παντὶ φοβερὸν τῷ γε νῦν ἔχοντι, τὰ δὲ κατ' ἄνθρωπον διαφέρει μεγέθει καὶ τῷ μᾶλλον καὶ ἧττον· ὁμοίως δὲ καὶ τὰ θαρραλέα. ὁ δὲ ἀνδρεῖος ἀνέκπληκτος ὡς ἄνθρωπος. φοβήσεται μὲν ὖν καὶ τὰ τοιαῦτα, ὡς δεῖ δὲ καὶ ὡς ὁ λόγος ὑπομενεῖ, τῦ καλῦ ἕνεκα· τῦτο γὰρ τέλος τῆς ἀρετῆς. ἔστι δὲ μᾶλλον καὶ ἧττον ταῦτα φοβεῖσθαι, καὶ ἔτι τὰ μὴ φοβερὰ ὡς τοιαῦτα φοβεῖσθαι. γίνεται δὲ τῶν ἁμαρτιῶν ἡ μὲν ὅτι ὐ δεῖ, ἡ δὲ ὅτι ὐχ ὡς δεῖ, ἡ δὲ ὅτι ὐχ ὅτε, ἤ τι τῶν τοιύτων· ὁμοίως δὲ καὶ περὶ τὰ θαρραλέα. ὁ μὲν ὖν ἃ δεῖ καὶ οὗ ἕνεκα ὑπομένων καὶ φοβύμενος, καὶ ὡς δεῖ καὶ ὅτε, ὁμοίως δὲ καὶ θαρρῶν, ἀνδρεῖος· κατ' ἀξίαν γάρ, καὶ ὡς ἂν ὁ λόγος, πάσχει καὶ πράττει ὁ ἀνδρεῖος. τέλος δὲ πάσης ἐνεργείας ἐςὶ τὸ κατὰ τὴν ἕξιν. καὶ τῷ ἀνδρείῳ δὲ ἡ ἀνδρεία καλόν. τοιῦτον δὴ καὶ τὸ τέλος· ὁρίζεται γὰρ ἕκαςον τῷ τέλει. καλῦ δὴ ἕνεκα ὁ ἀνδρεῖος ὑπομένει καὶ πράττει τὰ κατὰ τὴν ἀνδρείαν. τῶν δ' ὑπερβαλλόντων ὁ μὲν τῇ ἀφοβίᾳ ἀνώνυμος (εἴρηται δ' ἡμῖν ἐν τοῖς πρότερον ὅτι πολλά ἐςιν ἀνώνυμα), εἴη δ' ἄν τις μαινόμενος ἢ ἀνάλγητος, εἰ μηθὲν φοβοῖτο, μήτε σεισμὸν μήτε τὰ κύματα, καθάπερ φασὶ τὺς Κελτύς. ὁ δὲ τῷ θαρρεῖν ὑπερβάλλων περὶ τὰ φοβερὰ θρασύς. δοκεῖ δὲ καὶ ἀλαζὼν εἶναι ὁ θρασὺς καὶ προσποιητικὸς ἀνδρείας. ὡς οὖν ἐκεῖνος περὶ τὰ φοβερὰ ἔχει, ὕτως ὗτος βούλεται φαίνεσθαι· ἐν οἷς οὖν δύναται, μιμεῖται. διὸ καὶ εἰσὶν οἱ πολλοὶ αὐτῶν θρασύδειλοι· ἐν τύτοις γὰρ θρασυνόμενοι τὰ φοβερὰ ὐχ ὑπομένουσιν. ὁ δὲ τῷ φοβεῖσθαι ὑπερβάλλων δειλός· καὶ γὰρ ἃ μὴ δεῖ καὶ ὡς οὐ δεῖ, καὶ πάντα τὰ τοιαῦτα ἀκολουθεῖ αὐτῷ.

θαρραλέα

καθ'] τῶν δὲ καθ' M^bO^b, τῶν N^b. ‖ πρόθεσις M^b. ‖ 3. χρῆσθαι K^bO^b. ‖ 4. δὲ M^b. ‖ καὶ — 5. εἰσίν om M^b. ‖ 6. ἐςὶν ἡ περὶ M^b. ‖ 7. καὶ πρότερον εἴρηται] φανερὸν γεγένηται K^bO^b. ‖ 8. ὡς om $K^bM^bO^b$. ‖ 9. κακά] τὰ κακὰ M^b. ‖ διὸ — 10. [illegible] N^b. ‖ 10. μὲν] καὶ N^b, om $L^bM^bO^b$. ‖ 12. καὶ ante δεῖ om N^b. ‖ 13. γὰρ om L^bM^b. ‖ 16. ὅμοιόν τι L^bM^b. ‖ 18. [illegible] M^b. ‖ αὐτῶν M^b. ‖ 20. ἐν om L^bM^b. ‖ ἐλεύθεροί K^bM^b. ‖ 22. γυναῖκας K^b. ‖ 24. γ' ὖν K^bO^b. ‖ 25. ὑπομενικώτερος [illegible] 26. φοβερώτατος M^b, φοβερώτερον K^b. ‖ 27. ἔτι] ἐν K^b. ‖ 28. οὐ O^b. ‖ 29. εἰ] ἢ L^bM^b, om K^bO^b. ‖ ἐν ante νόσοις om [illegible] ‖ 32. αἱ om $K^bL^bM^b$. ‖ μονομάχοις M^b. ‖ 34. καὶ ὅσα θάνατον om N^b. ‖ 35. θαλάσσῃ M^b.

[illegible] περὶ M^b. ‖ 4. ἐςὶν ἡ ἀλκὴ N^b. ‖ 5. ὐδὲν ἕτερον M^b. ‖ 8. γε om $K^bN^bO^b$. ‖ 9. τὰ] τὸ N^b, τῶ M^b. ‖ 12. ὑπομένει N^b. ‖ [illegible] τὸ τέλος M^b. ‖ ταῖς ἀρεταῖς K^b. ‖ 14. ὡς] καὶ τὰ M^b. ‖ 17. θαρσαλέα M^b. ‖ 18. καὶ ante ὡς om L^bM^b. ‖ 19. πάσχει [illegible] [illegible] K^b. ‖ 22. δὲ N^b. ‖ 23. δὲ $K^bL^bM^b$. ‖ τὰ om K^b. ‖ 25. δὲ καὶ ἡμῖν M^b. ‖ 26. ἢ] ἢ μὴ M^b. ‖ 27. φοβεῖται M^b. ‖ [illegible] K^b. ‖ 31. ὗτος om K^b. ‖ 32. καὶ om O^b. ‖ 33. τύτῳ L^bM^b.

6. 7. Socrates thought that courage was ἐπιστήμη.

ἐλλείπει δὲ καὶ τῷ θαρρεῖν· ἀλλ' ἐν ταῖς λύπαις ὑπερβάλλων μᾶλλον καταφανής ἐςιν. δύσελπις δή τις ὁ δειλός· πάντα γὰρ φοβεῖται. ὁ δ' ἀνδρεῖος ἐναντίως· τὸ γὰρ θαρρεῖν εὐέλπιδος. περὶ ταὐτὰ μὲν οὖν ἐστὶν ὅ τε δειλὸς καὶ ὁ θρασὺς καὶ ὁ ἀνδρεῖος, διαφόρως δ' ἔχουσι πρὸς αὐτά· οἱ μὲν γὰρ ὑπερβάλλȣσι καὶ ἐλλείπȣσιν, ὁ δὲ μέσως ἔχει καὶ ὡς δεῖ· καὶ οἱ μὲν θρασεῖς προπετεῖς, καὶ βȣλόμενοι πρὸ τῶν κινδύνων ἐν αὐτοῖς δ' ἀφίστανται, οἱ δ' ἀνδρεῖοι ἐν τοῖς ἔργοις ὀξεῖς, πρότερον δ' ἡσύχιοι.

11 Καθάπερ οὖν εἴρηται, ἡ ἀνδρεία μεσότης ἐστὶ περὶ θαρραλέα καὶ φοβερά, ἐν οἷς εἴρηται, καὶ ὅτι καλὸν αἱρεῖται καὶ ὑπομένει, ἢ ὅτι αἰσχρὸν τὸ μή. τὸ δ' ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν ȣ̓κ ἀνδρείȣ, ἀλλὰ μᾶλλον δειλȣ̃· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα, καὶ οὐχ ὅτι καλὸν ὑπομένει, ἀλλὰ φεύγων κακόν. ἔςι μὲν οὖν ἡ ἀνδρεία τοιοῦτόν τι, λέγονται δὲ καὶ ἕτεραι κατὰ πέντε τρόπȣς, πρῶτον μὲν ἡ πολιτική· μάλιςα γὰρ ἔοικεν· δοκȣ̃σι γὰρ ὑπομένειν τȣ̀ς κινδύνȣς οἱ πολῖται διὰ τὰ ἐκ τῶν νόμων ἐπιτίμια καὶ τὰ ὀνείδη καὶ διὰ τὰς τιμάς. καὶ διὰ τȣ̃το ἀνδρειότατοι δοκȣ̃σιν εἶναι παρ' οἷς οἱ δειλοὶ ἄτιμοι καὶ οἱ ἀνδρεῖοι ἔντιμοι. τοιούτους δὲ καὶ Ὅμηρος ποιεῖ, οἷον τὸν Διομήδην καὶ τὸν Ἕκτορα.

Πȣλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει·

καὶ Διομήδης,

Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων,
Τυδείδης ὑπ' ἐμεῖο.

ὡμοίωται δ' αὕτη μάλιςα τῇ πρότερον εἰρημένῃ, ὅτι δι' ἀρετὴν γίνεται· δι' αἰδῶ γὰρ καὶ διὰ καλȣ̃ ὄρεξιν (τιμῆς γάρ) καὶ φυγὴν ὀνείδȣς, αἰσχρȣ̃ ὄντος. τάξαι δ' ἂν τις καὶ τοὺς ὑπὸ τῶν ἀρχόντων ἀναγκαζομένους εἰς ταὐτό· χείρȣς δ', ὅσῳ ȣ̓ δι' αἰδῶ ἀλλὰ διὰ φόβον αὐτὸ δρῶσι, καὶ φεύγοντες ȣ̓ τὸ αἰσχρὸν ἀλλὰ τὸ λυπηρόν· ἀναγκάζȣσι γὰρ οἱ κύριοι, ὥσπερ ὁ Ἕκτωρ

ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης πτώσσοντα νοήσω,
ȣ̓ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας.

καὶ οἱ προςάττοντες, κἂν ἀναχωρῶσι τύπτοντες τὸ αὐτὸ δρῶσι, καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιȣ́των παρατάττοντες· πάντες γὰρ ἀναγκάζȣσιν. δεῖ δ' ȣ̓ δι' ἀνάγκην ἀνδρεῖον εἶναι, ἀλλ' ὅτι καλόν. δοκεῖ δὲ καὶ ἡ ἐμπειρία ἡ περὶ ἕκαςα ἀνδρεία τις εἶναι· ὅθεν καὶ ὁ Σωκράτης ᾠήθη ἐπιςήμην εἶναι τὴν ἀνδρείαν. τοιȣ̃τοι δὲ ἄλλοι μὲν ἐν ἄλλοις, ἐν τοῖς πολεμικοῖς δ' οἱ ςρατιῶται· δοκεῖ γὰρ εἶναι πολλὰ κενὰ τοῦ πολέμȣ, ἃ μάλιςα συνεωράκασιν οὗτοι· φαίνονται δὴ ἀνδρεῖοι, ὅτι ȣ̓κ ἴσασιν οἱ ἄλλοι οἷά ἐστιν. εἶτα ποιῆσαι καὶ μὴ παθεῖν μάλιςα δύνανται ἐκ τῆς ἐμπειρίας, δυνάμενοι χρῆσθαι τοῖς ὅπλοις καὶ τοιαῦτα ἔχοντες ὁποῖα ἂν εἴη καὶ πρὸς τὸ ποιῆσαι καὶ πρὸς τὸ μὴ παθεῖν κράτιςα. ὥσπερ ȣ̓̃ν ἀνόπλοις ὡπλισμένοι μάχονται καὶ ἀθληταὶ ἰδιώταις· καὶ γὰρ ἐν τοῖς τοιȣ́τοις ἀγῶσιν ȣ̓χ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν, ἀλλ' οἱ μάλιςα ἰσχύοντες καὶ τὰ σώματα ἄριςα ἔχοντες. οἱ ςρατιῶται δὲ δειλοὶ γίνονται, ὅταν ὑπερτείνῃ ὁ κίνδυνος καὶ λείπωνται τοῖς πλήθεσι καὶ ταῖς παρασκευαῖς· πρῶτοι γὰρ φεύγȣσι, τὰ δὲ πολιτικὰ μένοντα ἀποθνήσκει, ὅπερ κἀπὶ τῷ Ἑρμαίῳ συνέβη. τοῖς μὲν γὰρ αἰσχρὸν τὸ φεύγειν καὶ ὁ θάνατος τῆς τοιαύτης σωτηρίας αἱρετώτερος· οἱ δὲ καὶ ἐξ ἀρχῆς ἐκινδύνευον ὡς κρείττους ὄντες, γνόντες δὲ φεύγουσι, τὸν θάνατον μᾶλλον τȣ̃ αἰσχρȣ̃ φοβȣ́μενοι· ὁ δ' ἀνδρεῖος ȣ̓ τοιȣ̃τος. καὶ τὸν θυμὸν δ' ἐπὶ τὴν ἀνδρείαν ἐπιφέρουσιν· ἀνδρεῖοι γὰρ εἶναι δοκȣ̃σι καὶ οἱ διὰ θυμὸν ὥσπερ τὰ θηρία ἐπὶ τȣ̀ς τρώσαντας φερόμενοι, ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς· ἰτητικώτατον γὰρ ὁ θυμὸς πρὸς τȣ̀ς κινδύνȣς, ὅθεν καὶ Ὅμηρος "σθένος ἔμβαλε θυμῷ" καὶ "μένος καὶ θυμὸν ἔγειρε" καὶ "δριμὺ δ' ἀνὰ ῥῖνας μένος" καὶ "ἔζεσεν αἷμα·" πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τȣ̃ θυμȣ̃ ἔγερσιν καὶ ὁρμήν. οἱ μὲν οὖν ἀνδρεῖοι διὰ τὸ καλὸν πράττȣσιν, ὁ δὲ θυμὸς συνεργεῖ αὐτοῖς· τὰ θηρία δὲ διὰ λύπην· διὰ γὰρ τὸ πληγῆναι ἢ φοβεῖσθαι, ἐπεὶ ἐάν γε ἐν ὕλῃ ἢ ἐν ἕλει ᾖ, ȣ̓ προσέρχονται. οὐ δή ἐςιν ἀνδρεῖα διὰ τὸ ὑπ' ἀλγηδόνος καὶ θυμȣ̃ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον ὁρμᾶν, ȣ̓θὲν τῶν δεινῶν προορῶντα, ἐπεὶ ȣ̓́τω γε κἂν οἱ ὄνοι ἀνδρεῖοι εἶεν πεινῶντες· τυπτόμενοι γὰρ

varieties of courage

1. τὸ N^b. ‖ 3. ἐναντίος $M^bN^bO^b$. ‖ 9. πρότεροι M^b. ‖ 10. περὶ τὰ θαρραλέα M^b. ‖ 12. ἢ om K^b. ‖ 19. διὰ om M^b. ‖ 21. καὶ οἱ] οἱ δὲ $L^bM^bN^b$. ‖ τοιούτοις N^b. ‖ 22. διομήδη N^bO^b. ‖ 23. πολυδάμας L^b. ‖ πρῶτον M^b. ‖ ἀναθήσηι K^b, ἐπιθήσει M^b. ‖ 26. ἐμεῖο φοβούμενος ὡμοίωται M^b. ‖ 27. προτέρα M^b. ‖ 28. διὰ om N^bO^b. ‖ 30. αὐτό M^b. ‖ 31. ὅσοι K^bO^b. ‖ αὐτοὶ δρῶσι φεύγοντες M^b. ‖ 33. ὁ om L^bM^b. ‖ 34. ἐγὼ M^b. ‖ 35. ἄρκειον K^b. ‖ ἐσεῖται K^bM^b. ‖ 36. προςάσσοντες M^b.

1. πρȣτάττοντες O^b. ‖ 4. τις om $K^bN^bO^b$. ‖ ὅθεν — 5. ἀνδρείαν om pr N^b. ‖ 5. εἶναι om $K^bM^bO^b$. ‖ ἐν om K^b. ‖ 7. καινὰ K^bM^b. ‖ 8. δὴ] δ' O^b, δὴ οἱ M^b. ‖ 9. μὴ] μηδὲν L^bM^b. ‖ ἐμπειρίας καὶ φυλάξασθαι καὶ πατάξαι δυνάμενοι $K^bN^bO^b$. ‖ 11. τὸ μὴ ποιῆσαι K^b. ‖ 14. ȣ̓χὶ L^b. ‖ 17. λείπονται N^b. ‖ 19. Ἑρμαίῳ] τόπος ἐςὶ τὸ ἕρμαιον ἐν κορωνείαι τῆς βοιωτίας margo ... 2024. ‖ 24. φέρουσιν K^b, ἀναφέρουσιν L^bM^b. ‖ 25. φερόμενα $K^bL^bM^b$. ‖ 26. κινητικώτατον M^b. ‖ 32. ἢ διὰ τὸ φοβεῖσθαι O^b. ‖ 33. ἐν post ἢ om L^bM^b. ‖ προέρχονται L^b. ‖ 34. ἀπὸ N^b. ‖ 36. καὶ $K^bL^bM^b$. ‖ ἀνδρεῖοι om M^b. ‖ εἶεν] ἂν εἶεν L^b.

15. τὸ ἡδέως ἐνεργεῖν – is not practicable, in all the virtues.
13. Courage & Temperance – virtues τῶν ἀλόγων μερῶν.

ἀφίςανται τῆς νομῆς· καὶ οἱ μοιχοὶ δὲ διὰ τὴν ἐπι- ίαν τολμηρὰ πολλὰ δρῶσιν. οὐ δή ἐστιν ἀνδρεῖα τὰ ἀλγηδόνος ἢ θυμοῦ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον. ικωτάτη δ' ἔοικεν ἡ διὰ τὸν θυμὸν εἶναι, καὶ προσ- ῦσα προαίρεσιν καὶ τὸ ὗ ἕνεκα ἀνδρεία εἶναι. καὶ οἱ ωποι δὴ ὀργιζόμενοι μὲν ἀλγῦσι, τιμωρύμενοι δ' ἥδον- οἱ δὲ διὰ ταῦτα μαχόμενοι μάχιμοι μέν, ὐκ ἀν- ι δέ· ὐ γὰρ διὰ τὸ καλὸν οὐδ' ὡς ὁ λόγος, ἀλλὰ τὸ πάθος· παραπλήσιον δ' ἔχυσί τι. ὐδὲ δὴ οἱ εὐέλ- ς ὄντες ἀνδρεῖοι· διὰ γὰρ τὸ πολλάκις καὶ πολλοὺς ηκέναι θαρρῦσιν ἐν τοῖς κινδύνοις. παρόμοιοι δέ, ὅτι ω θαρραλέοι· ἀλλ' οἱ μὲν ἀνδρεῖοι διὰ τὰ προειρη- θαρραλέοι, οἱ δὲ διὰ τὸ οἴεσθαι κρείττυς εἶναι καὶ ν ἀντιπαθεῖν. τοιῦτον δὲ ποιῦσι καὶ οἱ μεθυσκόμενοι· πιδες γὰρ γίνονται. ὅταν δὲ αὐτοῖς μὴ συμβῇ τοιαῦτα, γουσιν· ἀνδρείυ δ' ἦν τὰ φοβερὰ ἀνθρώπῳ ὄντα καὶ όμενα ὑπομένειν, ὅτι καλὸν καὶ αἰσχρὸν τὸ μή. διὸ ἀνδρειοτέρου δοκεῖ εἶναι τὸ ἐν τοῖς αἰφνιδίοις φόβοις βον καὶ ἀτάραχον εἶναι ἢ ἐν τοῖς προδήλοις· ἀπὸ ς γὰρ μᾶλλον, ἢ καὶ ὅτι ἧττον ἐκ παρασκευῆς· τὰ ανῆ μὲν γὰρ κἂν ἐκ λογισμῦ καὶ λόγυ τις προέλοιτο, δ' ἐξαίφνης κατὰ τὴν ἕξιν. ἀνδρεῖοι δὲ φαίνονται καὶ γνοῦντες, καί εἰσιν ὐ πόρρω τῶν εὐελπίδων, χείρυς δ' ἀξίωμα ὐδὲν ἔχυσιν, ἐκεῖνοι δέ· διὸ καὶ μένυσί τινα ον· οἱ δ' ἠπατημένοι, ἐὰν γνῶσιν ὅτι ἕτερον ἢ ὑπο- σωσι, φεύγυσιν· ὅπερ οἱ Ἀργεῖοι ἔπαθον περιπεσόντες Λάκωσιν ὡς Σικυωνίοις. οἵ τε δὴ ἀνδρεῖοι εἴρηνται τινες, καὶ οἱ δοκῦντες ἀνδρεῖοι.

Περὶ θάρρη δὲ καὶ φόβυς ἡ ἀνδρεία ὖσα ὐχ ὁμοίως ἄμφω ἐςίν, ἀλλὰ μᾶλλον περὶ τὰ φοβερά· ὁ γὰρ ςοις ἀτάραχος καὶ περὶ ταῦθ' ὡς δεῖ ἔχων ἀνδρεῖος λον ἢ ὁ περὶ τὰ θαρραλέα. τῷ δὴ τὰ λυπηρὰ ὑπο- ν, ὡς εἴρηται, ἀνδρεῖοι λέγονται. διὸ καὶ ἐπίλυπον ἡ ία, καὶ δικαίως ἐπαινεῖται· χαλεπώτερον γὰρ τὰ λυ- ὑπομένειν ἢ τῶν ἡδέων ἀπέχεσθαι. οὐ μὴν ἀλλὰ δόξειεν ἂν εἶναι τὸ κατὰ τὴν ἀνδείαν τέλος ἡδύ, ὑπὸ τῶν κύκλῳ δ' ἀφανίζεσθαι, οἷον κἀν τοῖς γυμνικοῖς ἀγῶσι γίνεται· τοῖς γὰρ πύκταις τὸ μὲν τέλος ἡδύ, οὗ ἕνεκα, ὁ στέφανος καὶ αἱ τιμαί, τὸ δὲ τύπτεσθαι ἀλγεινόν, εἴπερ σάρκινοι, καὶ λυπηρόν, καὶ πᾶς ὁ πόνος· διὰ δὲ τὸ πολλὰ ταῦτ' εἶναι, μικρὸν ὂν τὸ ὗ ἕνεκα ὐδὲν ἡδὺ φαίνεται ἔχειν. εἰ δὴ τοιῦτόν ἐςι καὶ τὸ περὶ τὴν ἀνδρείαν, ὁ μὲν θάνατος καὶ τὰ τραύματα λυπηρὰ τῷ ἀνδρείῳ καὶ ἄκοντι ἔσται, ὑπομένει δὲ αὐτά, ὅτι καλὸν ἢ ὅτι αἰσχρὸν τὸ μή. καὶ ὅσῳ ἂν μᾶλλον τὴν ἀρετὴν ἔχῃ πᾶσαν καὶ εὐδαιμονέστερος ᾖ, μᾶλλον ἐπὶ τῷ θανάτῳ λυπηθήσεται· τῷ τοιύτῳ γὰρ μάλιςα ζῆν ἄξιον, καὶ ὗτος μεγίςων ἀγαθῶν ἀποςερεῖται εἰδώς· λυπηρὸν δὲ τῦτο. ἀλλ' ὐδὲν ἧττον ἀνδρεῖος, ἴσως δὲ καὶ μᾶλλον, ὅτι τὸ ἐν τῷ πολέμῳ καλὸν ἀντ' ἐκείνων αἱρεῖται. ὐ δὴ ἐν ἁπάσαις ταῖς ἀρεταῖς τὸ ἡδέως ἐνεργεῖν ὑπάρχει, πλὴν ἐφ' ὅσον τοῦ τέλους ἐφάπτεται. στρατιώτας δ' ὐδὲν ἴσως κωλύει μὴ τὺς τοιύτυς κρατίστυς εἶναι, ἀλλὰ τὺς ἧττον μὲν ἀνδρείυς, ἄλλο δ' ἀγαθὸν μηδὲν ἔχοντας· ἕτοιμοι γὰρ ὗτοι πρὸς τὺς κινδύνυς, καὶ τὸν βίον πρὸς μικρὰ κέρδη καταλλάττονται. περὶ μὲν ὖν ἀνδρείας ἐπὶ τοσῦτον εἰρήσθω· τί δ' ἐςίν, ὐ χαλεπὸν τύπῳ γε περιλαβεῖν ἐκ τῶν εἰρημένων.

13 Μετὰ δὲ ταύτην περὶ σωφροσύνης λέγωμεν· δοκῦσι γὰρ τῶν ἀλόγων μερῶν αὗται εἶναι αἱ ἀρεταί. ὅτι μὲν ὖν μεσότης ἐστὶ περὶ ἡδονὰς ἡ σωφροσύνη, εἴρηται ἡμῖν· ἧττον γὰρ καὶ ὐχ ὁμοίως ἐστὶ περὶ τὰς λύπας· ἐν τοῖς αὐτοῖς δὲ καὶ ἡ ἀκολασία φαίνεται. περὶ ποίας ὖν τῶν ἡδονῶν, νῦν ἀφορίσωμεν. διῃρήσθωσαν δὲ αἱ ψυχικαὶ καὶ αἱ σωματικαί, οἷον φιλοτιμία, φιλομάθεια· ἑκάτερος γὰρ τύτων χαίρει, ὗ φιλητικός ἐστιν, ὐθὲν πάσχοντος τῦ σώματος, ἀλλὰ μᾶλλον τῆς διανοίας· οἱ δὲ περὶ τὰς τοιαύτας ἡδονὰς ὔτε σώφρονες ὔτε ἀκόλαςοι λέγονται. ὁμοίως δ' οὐδ' οἱ περὶ τὰς ἄλλας ὅσαι μὴ σωματικαί εἰσιν· τὺς γὰρ φιλομύθους καὶ διηγητικοὺς καὶ περὶ τῶν τυχόντων κατατρίβοντας τὰς ἡμέρας ἀδολέσχας, ἀκολάστυς δ' οὐ

Sophrosyne μεσότης τῶν ἡδονῶν

2. οὐ – 3. κίνδυνον om K^bO^b. ‖ 2. δὴ οὖν ἐστιν L^bN^b. ‖ 4. φυσικώτατος M^b. ‖ 5. εἶναι om N^b. ‖ 6. δὴ] δὲ M^bO^b. ‖ 7. ...ενοι add L^bM^b. ‖ 9. τὸ om K^b. ‖ 10. ἀνδρεῖοί εἰσι· διὰ L^b. ‖ καὶ τὸ πολλοὺς O^b. ‖ 11. ἐν] μὲν K^b. ‖ 12. πρότερον εἰρημένα ‖ 13. κράτιςοι K^bO^b. ‖ 15. συμβῇ τὰ τοιαῦτα K^b. ‖ 16. τὸ M^b, τὸ τὰ L^b. ‖ καὶ μὴ φαινόμενα K^b. ‖ 17. καὶ] ἢ N^b. ‖ 18. ... M^b. ‖ 20. καὶ om K^bO^b. ‖ 23. ἐλπίδων L^b. ‖ 24. ἀξίωμα ὐκ ἔχυσιν ὐδέν M^b. ‖ 25. ὑποπτεύσυσι L^b, ὑποπτεύυσιν K^bM^b.

2. γίνεσθαι K^b. ‖ 3. μὲν δὴ τέλος M^b. ‖ ὅ τε στέφανος L^b. ‖ 4. αἱ om K^b. ‖ 5. καὶ ante πᾶς om M^bN^b. ‖ 7. δὲ L^bM^b, δὲ ... ‖ τὸ τοιῦτόν M^b. ‖ τὸ om K^b. ‖ 9. ἢ om K^b. ‖ 10. ἔχοι M^b. ‖ 11. ᾖ] εἴη M^b. ‖ λυπεῖται L^bM^b, λύπη ἔσται N^bO^b. ‖ ...m L^b. ‖ 13. δὴ M^b. ‖ τύτων K^b. ‖ 14. τῷ N^b. ‖ 15. δὴ] δὴ δὲ N^b. ‖ 20. ἀνδρίας N^b, qui ita solet. ‖ 21. ἐπὶ om M^b. ‖ ...γε περιλαβεῖν] λαβεῖν M^b. ‖ 23. ταῦτα M^b. ‖ λέγομεν L^bN^b. ‖ 24. αἱ om K^b. ‖ 26. ὁμοίως] ὁμοίως τῇ ἀνδρείᾳ L^bM^b. ‖ ἐστὶ ...λύπας M^b, περὶ τὰς λύπας ἐστίν K^bO^b. ‖ τοῖς αὐτοῖς] τούτοις $L^bM^bN^b$. ‖ 27. ἡ om M^bN^b. ‖ 28. νῦν om L^bM^b. ‖ δὲ] οὖν ‖ αἱ ψυχικαὶ καὶ σωματικαί M^b, καὶ αἱ σωματικαὶ καὶ αἱ ψυχικαί K^bO^b. ‖ 29. φιλομαθία K^b. ‖ ἑκατέρω M^b. ‖ 32. ὔτε σώ...] ὐ σώφρονες M^b. ‖ 34. διηγηματικοὺς M^b. ‖ τυχόντων] τοιύτων O^b. ‖ 35. ἀδολέσχυς O^b.

λέγομεν, οὐδὲ τοὺς λυπουμένους ἐπὶ χρήμασιν ἢ φίλοις. περὶ δὲ τὰς σωματικὰς εἴη ἂν ἡ σωφροσύνη, οὐ πάσας δὲ οὐδὲ ταύτας· οἱ γὰρ χαίροντες τοῖς διὰ τῆς ὄψεως, οἷον χρώμασι καὶ σχήμασι καὶ γραφῇ, οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται· καίτοι δόξειεν ἂν εἶναι καὶ ὡς δεῖ χαίρειν καὶ τούτοις, καὶ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν. ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ τὴν ἀκοήν· τοὺς γὰρ ὑπερβεβλημένως χαίροντας μέλεσιν ἢ ὑποκρίσει οὐθεὶς ἀκολάστους λέγει, οὐδὲ τοὺς ὡς δεῖ σώφρονας. οὐδὲ τοὺς περὶ τὴν ὀσμήν, πλὴν κατὰ συμβεβηκός· τοὺς γὰρ χαίροντας μήλων ἢ ῥόδων ἢ θυμιαμάτων ὀσμαῖς οὐ λέγομεν ἀκολάστους, ἀλλὰ μᾶλλον τοὺς μύρων καὶ ὄψων· χαίρουσι γὰρ τούτοις οἱ ἀκόλαστοι, ὅτι διὰ τούτων ἀνάμνησις γίνεται αὐτοῖς τῶν ἐπιθυμητῶν. ἴδοι δ' ἄν τις καὶ τοὺς ἄλλους, ὅταν πεινῶσι, χαίροντας ταῖς τῶν βρωμάτων ὀσμαῖς· τὸ δὲ τοιούτοις χαίρειν ἀκολάστου· τούτῳ γὰρ ἐπιθυμητὰ ταῦτα. οὐκ ἔστι δὲ οὐδὲ τοῖς ἄλλοις ζῴοις κατὰ ταύτας τὰς αἰσθήσεις ἡδονὴ πλὴν κατὰ συμβεβηκός· οὐδὲ γὰρ ταῖς ὀσμαῖς τῶν λαγωῶν αἱ κύνες χαίρουσιν, ἀλλὰ τῇ βρώσει· τὴν δ' αἴσθησιν ἡ ὀσμὴ ἐποίησεν. οὐδ' ὁ λέων τῇ φωνῇ τοῦ βοός, ἀλλὰ τῇ ἐδωδῇ· ὅτι δ' ἐγγύς ἐστι, διὰ τῆς φωνῆς ᾔσθετο, καὶ χαίρειν δὴ ταύτῃ φαίνεται. ὁμοίως δ' οὐδ' ἰδὼν ἢ εὑρὼν ἔλαφον ἢ ἄγριον αἶγα, ἀλλ' ὅτι βορὰν ἕξει. περὶ τὰς τοιαύτας δὴ ἡδονὰς ἡ σωφροσύνη καὶ ἡ ἀκολασία ἐστὶν ὧν καὶ τὰ λοιπὰ ζῷα κοινωνεῖ, ὅθεν ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται· αὗται δ' εἰσὶν ἁφὴ καὶ γεῦσις. φαίνονται δὴ καὶ τῇ γεύσει ἐπὶ μικρὸν ἢ οὐθὲν χρῆσθαι· τῆς γὰρ γεύσεώς ἐστιν ἡ κρίσις τῶν χυμῶν, ὅπερ ποιοῦσιν οἱ τοὺς οἴνους δοκιμάζοντες καὶ τὰ ὄψα ἀρτύοντες· οὐ πάνυ δὲ χαίρουσι τούτοις, ἢ οὐχ οἵ γε ἀκόλαστοι, ἀλλὰ τῇ ἀπολαύσει, ἣ γίνεται πᾶσα δι' ἁφῆς καὶ ἐν σιτίοις καὶ ἐν ποτοῖς καὶ τοῖς ἀφροδισίοις λεγομένοις. διὸ καὶ ηὔξατό τις ὀψοφάγος ὢν τὸν φάρυγγα αὐτῷ μακρότερον γεράνου γενέσθαι, ὡς ἡδόμενος τῇ ἁφῇ. κοινοτάτη δὴ τῶν αἰσθήσεων καθ' ἣν ἡ ἀκο[λασία·] καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι, ὅτι οὐχ ᾗ [ἄνθρω]ποί ἐσμεν ὑπάρχει, ἀλλ' ᾗ ζῷα. τὸ δὴ τοιούτοις [χαίρειν] καὶ μάλιστα ἀγαπᾶν θηριῶδες. καὶ γὰρ αἱ ἐλευθ[εριώ]ταται τῶν διὰ τῆς ἁφῆς ἡδονῶν ἀφῄρηνται, οἷον αἱ [ἐν τοῖς] γυμνασίοις διὰ τρίψεως καὶ τῆς θερμασίας γινόμε[ναι· οὐ] γὰρ περὶ πᾶν τὸ σῶμα ἡ τοῦ ἀκολάστου ἁφή, ἀλλ[ὰ περί] τινα μέρη. τῶν δ' ἐπιθυμιῶν αἱ μὲν κοιναὶ δοκοῦσι[ν εἶναι,] αἱ δ' ἴδιοι καὶ ἐπίθετοι· οἷον ἡ μὲν τῆς τροφῆς φ[υσική·] πᾶς γὰρ ἐπιθυμεῖ ὁ ἐνδεὴς ξηρᾶς ἢ ὑγρᾶς τροφῆς, [ὁτὲ δ'] ἀμφοῖν, καὶ εὐνῆς, φησὶν Ὅμηρος, ὁ νέος καὶ ἀκ[μάζων·] τὸ δὲ τοιᾶσδε ἢ τοιᾶσδε, οὐκέτι πᾶς, οὐδὲ τῶν αὐτ[ῶν. διὸ] φαίνεται ἡμέτερον εἶναι. οὐ μὴν ἀλλ' ἔχει γέ τι κα[ὶ φυσι]κόν· ἕτερα γὰρ ἑτέροις ἐστὶν ἡδέα, καὶ ἔνια πᾶσ[ιν ἡδίω] τῶν τυχόντων. ἐν μὲν οὖν ταῖς φυσικαῖς ἐπιθυμίαι[ς ὀλίγοι] ἁμαρτάνουσι καὶ ἐφ' ἕν, ἐπὶ τὸ πλεῖον· τὸ γὰρ ἐσ[θίειν τὰ] τυχόντα ἢ πίνειν ἕως ἂν ὑπερπλησθῇ, ὑπερβάλλε[ιν ἐστὶ] τὸ κατὰ φύσιν τῷ πλήθει· ἀναπλήρωσις γὰρ τῆς [ἐνδείας] ἡ φυσικὴ ἐπιθυμία. διὸ λέγονται οὗτοι γαστρίμαργ[οι, ὡς] παρὰ τὸ δέον πληροῦντες αὐτήν. τοιοῦτοι δὲ γίνονται [οἱ λίαν] ἀνδραποδώδεις. περὶ δὲ τὰς ἰδίας τῶν ἡδονῶν πολλ[οὶ καὶ] πολλαχῶς ἁμαρτάνουσιν· τῶν γὰρ φιλοτοιούτων λ[εγομέ]νων ἢ τῷ χαίρειν οἷς μὴ δεῖ, ἢ τῷ μᾶλλον, ἢ ὡς [οἱ πολ]λοί, ἢ μὴ ὡς δεῖ, κατὰ πάντα δ' οἱ ἀκόλαστοι [ὑπερ]βάλλουσιν· καὶ γὰρ χαίρουσιν ἐνίοις οἷς οὐ δεῖ ([μισητὰ] γάρ), καὶ εἴ τισι δεῖ χαίρειν τῶν τοιούτων, μᾶλλον [ἢ δεῖ] καὶ ὡς οἱ πολλοὶ χαίρουσιν. ἡ μὲν οὖν περὶ τὰς [ἡδονὰς] ὑπερβολὴ ὅτι ἀκολασία καὶ ψεκτόν, δῆλον· περὶ [δὲ τὰς] λύπας οὐχ ὥσπερ ἐπὶ τῆς ἀνδρείας τῷ ὑπομένειν λ[έγεται] σώφρων ἀκόλαστος δὲ τῷ μή, ἀλλ' ὁ μὲν ἀκόλασ[τος τῷ] λυπεῖσθαι μᾶλλον ἢ δεῖ, ὅτι τῶν ἡδέων οὐ τυ[γχάνει] (καὶ τὴν λύπην δὲ ποιεῖ αὐτῷ ἡ ἡδονή), ὁ δὲ σώφ[ρων τῷ] μὴ λυπεῖσθαι τῇ ἀπουσίᾳ καὶ τῷ ἀπέχεσθαι το[ῦ ἡδέος.]

4. καὶ σχήμασι om M^b. ‖ 5. ἂν om L^b. ‖ 9. σώφρονας] φωνοῦντας M^b. ‖ 11. ὀδμαῖς L^b. ‖ 12. καὶ] ἢ K^bO^b. ‖ 13. [...]μάτων K^b, ἐπιθυμιῶν L^bM^b. ‖ 15. τούτοις O^b. ‖ ἀκολάστοις K^b. ‖ 16. τούτων $K^bL^bM^bN^b$. ‖ ἐπιθυμήματα $K^bL^bM^b$. ‖ οὐδ' ἐν [...] O^b. ‖ 19. ἀλλὰ] δὲ O^b. ‖ αἴσθησιν δ' L^bM^b. ‖ ἡ om N^b. ‖ πεποίηκεν M^b. ‖ 21. δὴ οὕτως ταύτῃ M^b. ‖ 22. δ' om N^bO^b [...] δὴ] δ' L^bM^b. ‖ 26. δὴ] δ' οἱ σώφρονες M^b. ‖ 28. χυλῶν $K^bL^bN^b$. ‖ ὄνους M^b. ‖ 32. εὔξατό L^bN^b, εὔξαιτό M^b. ‖ τις] τις [...]νος ὁ εὔξιος codex Oxon. coll. corp. Chr. et pr K^b, τις φιλόξενος ὁ ἐρύξιος O^b et corr K^b omissoque articulo N^b et P[...]ses 1417 et 1855. ea nomina om $QG^aH^aL^bM^b$ cum 1856 et 2024 et 2113, post ὢν ponit 2114. solum ibi φιλόξενος [...] 1852 et 2023. ipsum τις om H^a. ‖ 33. αὐτοῦ N^b et 1417. ‖ γεράνου μακρότερον M^b. ‖ ἡδομένου τῇ ἁφῇ 1852 et 2023, [...] ἡ δ' ἁφὴ M^b.

3. τούτοις M^b. ‖ 4. αἱ om M^b. ‖ 7. τὸ om $L^bM^bO^b$. ‖ τοῦ ἀκολάστου ἡ M^b. ‖ 8. ἐπιθυμιῶν δ' L^b. ‖ 10. ὁ ἐνδεὴς] ὅταν [...] $L^bM^bN^b$. ‖ 13. καὶ om K^bO^b. ‖ 14. πᾶσιν] τισιν O^b. ‖ 16. ὑφ' M^b. ‖ 17. ἕως πλησθῇ K^bO^b. ‖ ὑπερβολή K^b. ‖ 19. γάστριμ[...] 21. ἰδέας K^b. ‖ 23. ἢ — δεῖ om N^b. ‖ τὸ M^bO^b. ‖ τὸ N^bO^b. ‖ 24. ὡς δεῖ] ἢ ὡδὶ K^b, ὡς δεῖ ἢ ᾧ δεῖ L^b, ὡς δεῖ ἢ ᾧ μὴ δε[ῖ ...] δὴ M^b. ‖ 25. γὰρ om M^b. ‖ ἐνίοις] ἐν O^b. ‖ 26. εἴ] ἐπί L^bM^b. ‖ 27. ὡς] ἢ ὡς K^b, ὡς οὐχ N^b. ‖ 30. ἀκόλαστος δὲ] οὐδ' ἀ[...] $K^bN^bO^b$. ‖ μή — τῷ om K^b. ‖ 31. δι' K^b. ‖ 32. δὲ ante ποιεῖ om M^b. ‖ 33. καὶ τῷ ἀπέχεσθαι om K^bO^b.

τὸ φθείρειν [...]ν οὐσίαν· ἄσωτος γὰρ ὁ δι' αὑτὸν ἀπολλύμενος, δοκε[...] δ' ἀπώλειά τις αὐτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορά, ὡς τ[...] ζῆν διὰ τούτων ὄντος. οὕτω δὴ τὴν ἀσωτίαν ἐκδεχό[...]α. ὧν δ' ἐστὶ χρεία, ἔστι τούτοις χρῆσθαι καὶ εὖ καὶ κακῶς· ὁ πλοῦτος δ' ἐστὶ τῶν χρησίμων· ἑκάστῳ δ' ἄριστα χρῆται ὁ ἔχων τὴν περὶ τοῦτο ἀρετήν· καὶ πλούτῳ δὴ χρήσεται ἄριστα ὁ ἔχων τὴν περὶ τὰ χρήματα ἀρετήν. οὗτος δ' ἐστὶν ὁ ἐλευθέριος. χρῆσις δ' εἶναι δοκεῖ χρημάτων δαπάνη καὶ δόσις· ἡ δὲ λῆψις καὶ ἡ φυλακὴ κτῆσις μᾶλλον. διὸ μᾶλλόν ἐστι τοῦ ἐλευθερίου τὸ διδόναι οἷς δεῖ ἢ λαμβάνειν ὅθεν δεῖ καὶ μὴ λαμβάνειν ὅθεν οὐ δεῖ. τῆς γὰρ ἀρετῆς μᾶλλον τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν, καὶ τὰ καλὰ πράττειν μᾶλλον ἢ τὰ αἰσχρὰ μὴ πράττειν· οὐκ ἄδηλον δ' ὅτι τῇ μὲν δόσει ἕπεται τὸ εὖ ποιεῖν καὶ τὸ καλὰ πράττειν, τῇ δὲ λήψει τὸ εὖ πάσχειν ἢ μὴ αἰσχροπραγεῖν. καὶ ἡ χάρις τῷ διδόντι, οὐ τῷ μὴ λαμβάνοντι, καὶ ὁ ἔπαινος δὲ μᾶλλον. καὶ ῥᾷον δὲ τὸ μὴ λαβεῖν τοῦ δοῦναι· τὸ γὰρ οἰκεῖον ἧττον προΐενται μᾶλλον ἢ οὐ λαμβάνουσι τὸ ἀλλότριον. καὶ ἐλευθέριοι δὲ λέγονται οἱ διδόντες· οἱ δὲ μὴ λαμβάνοντες οὐκ εἰς ἐλευθεριότητα ἐπαινοῦνται, ἀλλ' οὐχ ἧττον εἰς δικαιοσύνην· οἱ δὲ λαμβάνοντες οὐδ' ἐπαινοῦνται πάνυ. φιλοῦνται δὲ σχεδὸν μάλιστα οἱ ἐλευθέριοι τῶν ἀπ' ἀρετῆς· ὠφέλιμοι γάρ,
2 τοῦτο δ' ἐν τῇ δόσει. αἱ δὲ κατ' ἀρετὴν πράξεις καλαὶ καὶ τοῦ καλοῦ ἕνεκα. καὶ ὁ ἐλευθέριος οὖν δώσει τοῦ καλοῦ ἕνεκα καὶ ὀρθῶς· οἷς γὰρ δεῖ καὶ ὅσα καὶ ὅτε, καὶ τἆλλα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει· καὶ ταῦτα ἡδέως ἢ ἀλύπως· τὸ γὰρ κατ' ἀρετὴν ἡδὺ ἢ ἄλυπον, ἥκιστα δὲ λυπηρόν. ὁ δὲ διδοὺς οἷς μὴ δεῖ, ἢ μὴ τοῦ καλοῦ ἕνεκα ἀλλὰ διά τιν' ἄλλην αἰτίαν, οὐκ ἐλευθέριος ἀλλ' ἄλλος τις ῥηθήσεται. οὐδ' ὁ λυπηρῶς· μᾶλλον γὰρ ἕλοιτ' ἂν τὰ χρήματα τῆς καλῆς πράξεως, τοῦτο δ' οὐκ ἐλευθερίου. οὐδὲ λήψεται δὲ ὅθεν μὴ δεῖ· οὐδὲ γάρ ἐστι τοῦ μὴ τιμῶντος τὰ χρήματα ἡ τοιαύτη λῆψις. οὐκ ἂν εἴη δὲ οὐδ' αἰτητικός· οὐ γάρ ἐστι τοῦ εὖ ποιοῦντος εὐχερῶς εὐεργετεῖσθαι. ὅθεν δὲ δεῖ, λήψεται, οἷον ἀπὸ τῶν ἰδίων κτημάτων, οὐχ ὡς καλὸν ἀλλ' ὡς ἀνα[...] ὅπως ἔχῃ διδόναι. οὐδ' ἀμελήσει τῶν ἰδίων, βουλόμ[...] διὰ τούτων τισὶν ἐπαρκεῖν. οὐδὲ τοῖς τυχοῦσι δώσει, ἵ[...] διδόναι οἷς δεῖ καὶ ὅτε καὶ οὗ καλόν. ἐλευθερίου [...] σφόδρα καὶ τὸ ὑπερβάλλειν ἐν τῇ δόσει, ὥστε κατα[...] ἑαυτῷ ἐλάττω· τὸ γὰρ μὴ ἐπιβλέπειν ἐφ' ἑαυτὸν [...]ρίου. κατὰ τὴν οὐσίαν δ' ἡ ἐλευθεριότης λέγεται· οὐ γὰ[ρ] [...] πλήθει τῶν διδομένων τὸ ἐλευθέριον, ἀλλ' ἐν τῇ τοῦ δ[...] ἕξει, αὕτη δὲ κατὰ τὴν οὐσίαν δίδωσιν. οὐθὲν δὴ [...] ἐλευθεριώτερον εἶναι τὸν τὰ ἐλάττω διδόντα, ἐὰν ἀπ' [...]τόνων διδῷ. ἐλευθεριώτεροι δὲ εἶναι δοκοῦσιν οἱ μὴ [...]μενοι ἀλλὰ παραλαβόντες τὴν οὐσίαν· ἄπειροί τε γ[...] ἐνδείας, καὶ πάντες ἀγαπῶσι μᾶλλον τὰ αὑτῶν [...] ὥσπερ οἱ γονεῖς καὶ οἱ ποιηταί. πλουτεῖν δ' οὐ ῥᾴδ[...] ἐλευθέριον, μήτε ληπτικὸν ὄντα μήτε φυλακτικόν, πρ[...] δὲ καὶ μὴ τιμῶντα δι' αὐτὰ τὰ χρήματα ἀλλ' ἕνε[κα] [...] δόσεως. διὸ καὶ ἐγκαλεῖται τῇ τύχῃ ὅτι οἱ μάλιστα [...] ὄντες ἥκιστα πλουτοῦσιν. συμβαίνει δ' οὐκ ἀλόγως τοῦτο· [...] οἷόν τε χρήματ' ἔχειν μὴ ἐπιμελούμενον ὅπως ἔχῃ, [...] οὐδ' ἐπὶ τῶν ἄλλων. οὐ μὴν δώσει γε οἷς οὐ δεῖ οὐδ' ὅ[τε] [...] δεῖ, οὐδ' ὅσα ἄλλα τοιαῦτα· οὐ γὰρ ἂν ἔτι πράττοι [...] τὴν ἐλευθεριότητα, καὶ εἰς ταῦτα ἀναλώσας οὐκ ἂν ἔχ[οι] [...] ἃ δεῖ ἀναλίσκειν. ὥσπερ γὰρ εἴρηται, ἐλευθέριός ἐ[στιν] [...] κατὰ τὴν οὐσίαν δαπανῶν καὶ εἰς ἃ δεῖ· ὁ δ' ὑπερβά[λλων] [...] ἄσωτος. διὸ τοὺς τυράννους οὐ λέγομεν ἀσώτους· τὸ γὰρ [...]θος τῆς κτήσεως οὐ δοκεῖ ῥᾴδιον εἶναι ταῖς δόσεσι καὶ δαπάναις ὑπερβάλλειν. τῆς ἐλευθεριότητος δὴ μεσ[ότητος] [...] οὔσης περὶ χρημάτων δόσιν καὶ λῆψιν, ὁ ἐλευθέριο[ς] [...] δώσει καὶ δαπανήσει εἰς ἃ δεῖ καὶ ὅσα δεῖ, ὁμοίως [...] κροῖς καὶ μεγάλοις, καὶ ταῦτα ἡδέως· καὶ λήψεται [...] δεῖ καὶ ὅσα δεῖ. τῆς ἀρετῆς γὰρ περὶ ἄμφω οὔσης μ[...]τος, ποιήσει ἀμφότερα ὡς δεῖ· ἕπεται γὰρ τῇ ἐπιει[κεῖ] [...]σει ἡ τοιαύτη λῆψις, ἡ δὲ μὴ τοιαύτη ἐναντία ἐστίν. [...] οὖν ἑπόμεναι γίγνονται ἅμα ἐν τῷ αὐτῷ, αἱ δ' ἐναντί[αι] [...]

1. φθεῖρον L^b. || γὰρ] δὲ M^b. || 3. ἐνδεχόμεθα H^a. || 4. χρεία] χρεία τις L^bM^b. || 6. περὶ — 7. περὶ τὰ χρήματα] περὶ χ[...] των H^a. || 6. τοῦτο] ἕκαστον L^bM^b. || 8. δαπανητικὴ δόσις M^b. || 9. ἡ post καὶ om H^a. || 11. μὴ] μετὰ M^b. || ἀρετῆς γὰρ L^b[...] 13. τὰ αἰσχρὰ μὴ πράσσειν L^b. || 14. καὶ τὸ] καὶ τὰ M^b. || 16. μὴ om M^b et pr K^b. || 17. λαμβάνειν $H^aL^bM^b$. || 21. οὐκ [...] σχεδὸν om M^b. || 24. οὖν] δὲ L^bM^b. || 27. ἥκιστα δὲ] ἢ ἥκιστα H^aM^b, ἥκιστα L^b. || 28. ἢ] καὶ οἷς M^b. || 30. αἱροῖτ' L^bM^b. [...] δὲ om $H^aM^bO^b$. || 32. οὐ K^b. || μὴ et τὰ χρήματα om K^b. || 33. οὐδ' M^b. || δὲ om M^b. || οὔτ' H^a.

2. ἔχει K^b. || οἰκείων L^bM^b. || 4. ὅτε καὶ οὗ] ὅτε οὗ H^a, ὅπου K^bO^b. || 5. καταλιπεῖν $K^bL^bM^b$. || 6. βλέπειν M^b. [...] L^b, ἑαυτὸν ἀλλ' εἰς τὸ καλὸν O^b. || ἐλευθερίου. οὐδὲ γάρ ἐστιν ἐλευθερίου τὸ τὴν οἰκείαν χρείαν τῆς τοῦ δεομένου προτιμοτέραν. κατὰ O^b. || 8. [...]τος H^aM^b. || 9. οὐδὲν δὲ H^a, ὅθεν οὐδὲν L^bM^b. || 10. τὰ ἐλάττω] ταῦτα H^a, ἐλάττω L^b. || 13. καὶ μᾶλλον ἀγαπῶσι, omisso [...] H^a. μᾶλλον om L^b. || 15. προεκτικὸν M^b. || 17. καὶ om O^b. || 19. ἐπιμελώμενον K^b. || ἔχοι M^b. || 20. οὐδ' om H^a. || οὐδ' [...] 22. εἰς om M^b. || αὐτὰ L^bM^b. || 23. ἐλεύθερός L^b. || 24. δ'] δὲ κατὰ τὸ M^b. || 25. ἀσώτους] ἐλευθερίους M^b. || 26. δόσεσι καὶ δα[...] H^a, δαπάναις καὶ ταῖς δόσεσιν L^bM^b. || 27. δὲ M^b. || 28. ἐπὶ χρημάτων δόσει καὶ λήψει M^b. || καὶ om O^b. || 29. δεῖ post ἐσ[...] K^b. || 30. δ' add K^bO^b. || 33. εἰ δὲ μὴ τοιαύτη αἰτία M^b.

ι. ἐὰν δὲ παρὰ τὸ δέον καὶ τὸ καλῶς ἔχον συμ-
ὐτῷ ἀναλίσκειν, λυπήσεται, μετρίως δὲ καὶ ὡς δεῖ·
ῆς γὰρ καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐφ' οἷς δεῖ καὶ
καὶ εὐκοινώτητος δ' ἐςὶν ὁ ἐλευθέριος εἰς χρήματα·
γὰρ ἀδικεῖσθαι, μὴ τιμῶν γε τὰ χρήματα, καὶ
ἀχθόμενος εἴ τι δέον μὴ ἀνάλωσεν ἢ λυπέμενος εἰ
τι ἀνάλωσε, καὶ τῷ Σιμωνίδῃ οὐκ ἀρεσκόμενος.
ιτος καὶ ἐν τέτοις διαμαρτάνει· ὔτε γὰρ ἥδεται ἐφ'
ιδὲ ὡς δεῖ ὔτε λυπεῖται· ἔςαι δὲ προϊὖσι φανερώ-
ίρηται δ' ἡμῖν ὅτι ὑπερβολαὶ καὶ ἐλλείψεις εἰσὶν ἡ
καὶ ἡ ἀνελευθερία, καὶ ἐν δυσίν, ἐν δόσει καὶ λή-
ι τὴν δαπάνην γὰρ εἰς τὴν δόσιν τίθεμεν. ἡ μὲν ὖν
τῷ διδόναι καὶ μὴ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ
ειν ἐλλείπει, ἡ δ' ἀνελευθερία τῷ διδόναι μὲν ἐλ-
τῷ λαμβάνειν δ' ὑπερβάλλει, πλὴν ἐπὶ μικροῖς.
ῶν τῆς ἀσωτίας ὐ πάνυ συνδυάζεται· ὐ γὰρ ῥᾴδιον
ὲν λαμβάνοντα πᾶσι διδόναι· ταχέως γὰρ ἐπιλεί-
ία τὺς ἰδιώτας διδόντας, οἵπερ καὶ δοκὖσιν ἄσωτοι
τεὶ ὅ γε τοιὖτος δόξειεν ἂν οὐ μικρῷ βελτίων εἶναι
υθέρου. εὐίατός τε γάρ ἐστι καὶ ὑπὸ τῆς ἡλικίας
τῆς ἀπορίας, καὶ ἐπὶ τὸ μέσον δύναται ἐλθεῖν.
ο τὰ τὖ ἐλευθερίυ· καὶ γὰρ δίδωσι καὶ ὐ λαμβά-
τερον δ' ὡς δεῖ οὐδ' εὖ. εἰ δὴ τὖτο ἐθισθείη ἤ πως
μεταβάλοι, εἴη ἂν ἐλευθέριος· δώσει γὰρ οἷς δεῖ,
ήψεται ὅθεν ὐ δεῖ. διὸ καὶ δοκεῖ ὐκ εἶναι φαῦλος
ὐ γὰρ μοχθηρὖ ὐδ' ἀγεννὖς τὸ ὑπερβάλλειν δι-
ὶ μὴ λαμβάνοντα, ἠλιθίυ δέ. ὁ δὲ τὖτον τὸν τρό-
τος πολὺ δοκεῖ βελτίων τὖ ἀνελευθέρυ εἶναι διά τε
ένα, καὶ ὅτι ὁ μὲν ὠφελεῖ πολλύς, ὁ δὲ οὐθένα,
δ' αὐτόν. ἀλλ' οἱ πολλοὶ τῶν ἀσώτων, καθάπερ
καὶ λαμβάνυσιν ὅθεν μὴ δεῖ, καὶ εἰσὶ κατὰ τὖτα
ροι. ληπτικοὶ δὲ γίνονται διὰ τὸ βύλεσθαι μὲν ἀνα-
εὐχερῶς δὲ τὖτο ποιεῖν μὴ δύνασθαι· ταχὺ γὰρ
ι αὐτὺς τὰ ὑπάρχοντα. ἀναγκάζονται ὖν ἑτέρωθεν

πορίζειν. ἅμα δὲ καὶ διὰ τὸ μηθὲν τὖ καλὖ φροντίζειν ὀλιγώρως καὶ πάντοθεν λαμβάνουσιν· διδόναι γὰρ ἐπιθυμὖσι, τὸ δὲ πῶς ἢ πόθεν ὐθὲν αὐτοῖς διαφέρει. διόπερ ὐδ' ἐλευθέριοι αἱ δόσεις αὐτῶν εἰσίν· ὐ γὰρ καλαί, ὐδὲ τύτυ αὐτὖ ἕνεκα, ὐδὲ ὡς δεῖ· ἀλλ' ἐνίοτε ὓς δεῖ πένεσθαι, τύτυς πλυσίυς ποιὖσι, καὶ τοῖς μὲν μετρίοις τὰ ἤθη ὐδὲν ἂν δοῖεν, τοῖς δὲ κόλαξιν ἤ τιν' ἄλλην ἡδονὴν πορίζουσι πολλά. διὸ καὶ ἀκόλαςοι αὐτῶν εἰσὶν οἱ πολλοί· εὐχερῶς γὰρ ἀναλίσκοντες καὶ εἰς τὰς ἀκολασίας δαπανηροί εἰσι, καὶ διὰ τὸ μὴ πρὸς τὸ καλὸν ζῆν πρὸς τὰς ἡδονὰς ἀποκλίνυσιν. ὁ μὲν ὖν ἄσωτος ἀπαιδαγώγητος γενόμενος εἰς ταῦτα μεταβαίνει, τυχὼν δ' ἐπιμελείας εἰς τὸ μέσον καὶ τὸ δέον ἀφίκοιτ' ἄν. ἡ δ' ἀνελευθερία ἀνίατός ἐστιν· δοκεῖ γὰρ τὸ γῆρας καὶ πᾶσα ἀδυναμία ἀνελευθέρυς ποιεῖν. καὶ συμφυέςερον τοῖς ἀνθρώποις τῆς ἀσωτίας· οἱ γὰρ πολλοὶ φιλοχρήματοι μᾶλλον ἢ δοτικοί. καὶ διατείνει δ' ἐπὶ πολύ, καὶ πολυειδές ἐστιν· πολλοὶ γὰρ τρόποι δοκὖσι τῆς ἀνελευθερίας εἶναι. ἐν δυσὶ γὰρ ὖσα, τῇ τ' ἐλλείψει τῆς δόσεως καὶ τῇ ὑπερβολῇ τῆς λήψεως, ὐ πᾶσιν ὁλόκληρος παραγίνεται, ἀλλ' ἐνίοτε χωρίζεται, καὶ οἱ μὲν τῇ λήψει ὑπερβάλλυσιν, οἱ δὲ τῇ δόσει ἐλλείπυσιν. οἱ μὲν γὰρ ἐν ταῖς τοιαύταις προσηγορίαις οἷον φειδωλοὶ γλίσχροι κίμβικες, πάντες τῇ δόσει ἐλλείπυσι, τῶν δ' ἀλλοτρίων ὐκ ἐφίενται ὐδὲ βύλονται λαμβάνειν, οἱ μὲν διά τινα ἐπιείκειαν καὶ εὐλάβειαν τῶν αἰσχρῶν. δοκοῦσι γὰρ ἔνιοι ἢ φασί γε διὰ τὖτο φυλάττειν, ἵνα μή ποτ' ἀναγκασθῶσιν αἰσχρόν τι πρᾶξαι. τούτων δὲ καὶ ὁ κυμινοπρίστης καὶ πᾶς ὁ τοιοῦτος· ὠνόμασται δ' ἀπὸ τῆς ὑπερβολῆς τὖ μηθενὶ ἂν δὖναι. οἱ δ' αὖ διὰ φόβον ἀπέχονται τῶν ἀλλοτρίων ὡς ὐ ῥᾴδιον τὸ αὐτὸν μὲν τὰ ἑτέρων λαμβάνειν, τὰ δ' αὐτὖ ἑτέρους μή· ἀρέσκει ὖν αὐτοῖς τὸ μήτε λαμβάνειν μήτε διδόναι. οἱ δ' αὖ κατὰ τὴν λῆψιν ὑπερβάλλουσι τῷ πάντοθεν λαμβάνειν καὶ πᾶν, οἷον οἱ τὰς ἀνελευθέρους ἐργασίας ἐργαζόμενοι, πορνοβοσκοὶ καὶ πάντες οἱ τοιὖτοι, καὶ τοκισταὶ κατὰ μικρὸν ἐπὶ πολλῷ.

ι om H^a. ‖ περὶ L^b. ‖ 4. καὶ om K^bO^b. ‖ 6 et 7. ἠνάλωσεν K^b. ‖ 8. καὶ om M^b. ‖ 9. ὔτε ὡς ceteri, καὶ ὅτε δεῖ καὶ ὡς
υπεῖται] λυπεῖται ὔτε ὡς δεῖ K^bO^b. ‖ ἔςαι δὲ] καὶ ἔςαι M^b. ‖ 10 et 11. ἡ om L^b. ‖ 11. ἐν δυσὶν om K^bO^b. ‖ λήψει καὶ
L^bM^b. ‖ 13. καὶ μὴ λαμβάνειν om L^b. ‖ τῷ — 15. ὑπερβάλλει om K^b. ‖ 14. μὲν om H^a. ‖ 15. ἐπὶ] ἐν L^bM^b. ‖ 16.
H^aM^b, συναύξυσιν L^b. ‖ 18. διδόντας ἰδιώτας $H^aK^bM^bO^b$. ‖ 19. δόξαι H^a. ‖ 20. ἀνελευθέρυ καὶ γὰρ δίδωσι καὶ οὐ λαμ-
ιατός L^bM^b. ‖ ἰατὸς pr K^b. ‖ τε om K^bO^b. ‖ ὑπὸ om H^a. ‖ 24. μεταβάλλοι $H^aK^bM^bO^b$. ‖ οἷς] οὗ K^b. ‖ 25. ὐ om
ὐ om K^b. ‖ 26. τὸ μὴ ὑπερβάλλειν pr K^b. ‖ 27. μὴ] οὐ M^b. ‖ 28. τε om K^bO^b. ‖ 30. ἑαυτὸν H^a. ‖ 31. μὴ] οὐ M^b. ‖
τὸ] καὶ τῷ M^b. ‖ 33. δὲ μὴ τὖτο K^b. ‖ μὴ δύνασθαι om $H^aK^bO^b$.
πόθεν ἢ πῶς M^b. ‖ ἐλεύθεροι L^b. ‖ 4. αὐτὖ om K^bO^b. ‖ 5. πλείυς H^a. ‖ 7. τὴν K^b. ‖ 11. εἰς ταῦτα] ἐνταῦθα H^a. ‖ 12.
K^b. ‖ 13. ἀνίατός γ' ἐστιν K^b. ‖ 16. δ'] δὴ H^a, om M^b. ‖ 19. περιγίνεται M^b. ‖ 22. κίμβηκες O^b. ‖ 26. καὶ om
8. μηθένα L^b, μηθὲν M^b, μηδὲν K^b. ‖ ἂν om L^bM^b. ‖ 29. τὸ] τὸν L^bM^b, om K^b. ‖ 30. ἀρέσκειν $H^aK^bL^bM^b$. ‖ 33. ἐρ-
καὶ πορνοβοσκοὶ L^bM^b. ‖ 34. κατὰ μικρὸν] καὶ τὰ μικρὰ $H^aL^bO^b$, καὶ τὰ μικρὸν καὶ K^b.

πάντες γὰρ ἄτοι ὅθεν ἐ δεῖ λαμβάνεσι, καὶ ὁπόσον ἐ δεῖ. κοινὸν δ' ἐπ' αὐτοῖς ἡ αἰσχροκέρδεια φαίνεται· πάντες γὰρ ἕνεκα κέρδες, καὶ τότε μικρᾶ, ὀνείδη ὑπομένεσιν. τὲς γὰρ τὰ μεγάλα μὴ ὅθεν δὲ δεῖ λαμβάνοντας, μηδὲ ἃ δεῖ, οὐ λέγομεν ἀνελευθέρες, οἷον τὲς τυράννους πόλεις πορθοῦντας καὶ ἱερὰ συλῶντας, ἀλλὰ πονηρὲς μᾶλλον καὶ ἀσεβεῖς καὶ ἀδίκες. ὁ μέντοι κυβευτὴς καὶ ὁ λωποδύτης καὶ ὁ λῃστὴς τῶν ἀνελευθέρων εἰσίν· αἰσχροκερδεῖς γάρ. κέρδες γὰρ ἕνεκεν ἀμφότεροι πραγματεύονται καὶ ὀνείδη ὑπομένεσιν, καὶ οἱ μὲν κινδύνες τὲς μεγίςες ἕνεκα τοῦ λήμματος, οἱ δ' ἀπὸ τῶν φίλων κερδαίνεσιν, οἷς δεῖ διδόναι. ἀμφότεροι δὴ ὅθεν ἐ δεῖ κερδαίνειν βουλόμενοι αἰσχροκερδεῖς, καὶ πᾶσαι δὴ αἱ τοιαῦται λήψεις ἀνελεύθεροι. εἰκότως δὲ τῇ ἐλευθεριότητι ἀνελευθερία ἐναντίον λέγεται· μεῖζόν τε γάρ ἐςι κακὸν τῆς ἀσωτίας, καὶ μᾶλλον ἐπὶ ταύτην ἁμαρτάνεσιν ἢ κατὰ τὴν λεχθεῖσαν ἀσωτίαν. περὶ μὲν οὖν ἐλευθεριότητος καὶ τῶν ἀντικειμένων κακιῶν τοσαῦτ' εἰρήσθω.

4 Δόξειε δ' ἂν ἀκόλεθον εἶναι καὶ περὶ μεγαλοπρεπείας διελθεῖν· δοκεῖ γὰρ καὶ αὐτὴ περὶ χρήματά τις ἀρετὴ εἶναι. οὐχ ὥσπερ δ' ἡ ἐλευθεριότης διατείνει περὶ πάσας τὰς ἐν χρήμασι πράξεις, ἀλλὰ περὶ τὰς δαπανηρὰς μόνον· ἐν τέτοις δ' ὑπερέχει τῆς ἐλευθεριότητος μεγέθει. καθάπερ γὰρ τἔνομα αὐτὸ ὑποσημαίνει, ἐν μεγέθει πρέπεσα δαπάνη ἐςίν. τὸ δὲ μέγεθος πρός τι· ἐ γὰρ τὸ αὐτὸ δαπάνημα τριηράρχῳ καὶ ἀρχιθεωρῷ. τὸ πρέπον δὴ πρὸς αὐτόν, καὶ ἐν ᾧ καὶ περὶ ἅ. ὁ δ' ἐν μικροῖς ἢ ἐν μετρίοις κατ' ἀξίαν δαπανῶν ἐ λέγεται μεγαλοπρεπής, οἷον τὸ "πολλάκι δόσκον ἀλήτῃ·" ἀλλ' ὁ ἐν μεγάλοις ἕτως. ὁ μὲν γὰρ μεγαλοπρεπὴς ἐλευθέριος, ὁ δ' ἐλευθέριος οὐθὲν μᾶλλον μεγαλοπρεπής. τῆς τοιαύτης δ' ἕξεως ἡ μὲν ἔλλειψις μικροπρέπεια καλεῖται, ἡ δ' ὑπερβολὴ βαναυσία καὶ ἀπειροκαλία καὶ ὅσαι τοιαῦται, ἐχ ὑπερβάλλεσαι τῷ μεγέθει περὶ ἃ δεῖ, ἀλλ' ἐν οἷς ἐ δεῖ καὶ ὡς ἐ δεῖ λαμπρυνόμεναι· ὕστερον δὲ περὶ αὐτῶν ἐρεμεν. ὁ δὲ μεγαλοπρεπὴς ἐπιςήμονι ἔοικεν· τὸ πρέπον γὰρ δύναται θεωρῆσαι καὶ δαπανῆσαι μεγάλα ἐμμελῶς. ὥσπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, ἡ ἕξις ταῖς ἐνεργείαις ὁρίζεται, καὶ ὧν ἐστίν. αἱ δὴ τοῦ μεγαλοπρεπᾶς δαπάναι μεγάλαι καὶ πρέπεσαι. τοιαῦτα δὴ καὶ τὰ ἔργα· ἕτω γὰρ ἔςαι μέγα δαπάνημα καὶ πρέπον τῷ ἔργῳ. ὥςε τὸ μὲν ἔργον τῆς δαπάνης ἄξιον δεῖ εἶναι, τὴν δὲ δαπάνην τᾶ ἔργε, ἢ καὶ ὑπερβάλλειν. δαπανήσει δὲ τὰ τοιαῦτα ὁ μεγαλοπρεπὴς τᾶ καλᾶ ἕνεκα· κοινὸν γὰρ τοῦτο ταῖς ἀρεταῖς. καὶ ἔτι ἡδέως καὶ προετικῶς· ἡ γὰρ ἀκριβολογία μικροπρεπές. καὶ πῶς κάλλιςον καὶ πρεπωδέςατον, σκέψαιτ' ἂν μᾶλλον ἢ πόσε καὶ πῶς ἐλαχίστε. ἀναγκαῖον δὴ καὶ ἐλευθέριον τὸν μεγαλοπρεπῆ εἶναι· καὶ γὰρ ὁ ἐλευθέριος δαπανήσει ἃ δεῖ καὶ ὡς δεῖ. ἐν τέτοις δὲ τὸ μέγα τᾶ μεγαλοπρεπᾶς, οἷον μέγεθος, περὶ ταὐτὰ τῆς ἐλευθεριότητος ἔσης, καὶ ἀπὸ τῆς ἴσης δαπάνης τὸ ἔργον ποιήσει μεγαλοπρεπέςερον. ἐ γὰρ ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργε· κτῆμα μὲν γὰρ τὸ πλείςε ἄξιον τιμιώτατον, οἷον χρυσός, ἔργον δὲ τὸ μέγα καὶ καλόν. τᾶ γὰρ τοιέτε ἡ θεωρία θαυμαςή, τὸ δὲ μεγαλοπρεπὲς θαυμαστόν. καὶ ἔστιν ἔργε ἀρετὴ μεγαλοπρέπεια ἐν μεγέθει. ἔστι δὲ τῶν δαπανημάτων, οἷα λέγομεν τὰ τίμια, οἷον τὰ περὶ θεοὺς ἀναθήματα καὶ κατασκευαὶ καὶ θυσίαι, ὁμοίως δὲ καὶ ὅσα περὶ πᾶν τὸ δαιμόνιον, καὶ ὅσα πρὸς τὸ κοινὸν εὐφιλοτίμητά ἐστιν, οἷον εἴ πε χορηγεῖν οἴονται δεῖν λαμπρῶς ἢ τριηραρχεῖν ἢ καὶ ἑστιᾶν τὴν πόλιν. ἐν ἅπασι δ' ὥσπερ εἴρηται, καὶ πρὸς τὸν πράττοντα ἀναφέρεται τὸ τίς ὢν καὶ τίνων ὑπαρχόντων· ἄξια γὰρ δεῖ τούτων εἶναι, καὶ μὴ μόνον τῷ ἔργῳ ἀλλὰ καὶ τῷ ποιεντι πρέπειν. διὸ πένης μὲν οὐκ ἂν εἴη μεγαλοπρεπής· οὐ γὰρ ἔστιν ἀφ' ὧν πολλὰ δαπανήσει πρεπόντως· ὁ δ' ἐπιχειρῶν ἠλίθιος· παρὰ τὴν ἀξίαν γὰρ καὶ τὸ δέον, κατ' ἀρετὴν δὲ τὸ ὀρθῶς. πρέπει δὲ καὶ οἷς τὰ τοιαῦτα προϋπάρχει δι' αὐτῶν ἢ διὰ τῶν προγόνων ἢ ὧν αὐτοῖς μέτεστιν, καὶ τοῖς εὐγενέσι καὶ τοῖς ἐνδόξοις καὶ ὅσα τοιαῦτα· πάντα γὰρ ταῦτα μέγεθος ἔχει καὶ ἀξίωμα. μάλιςα μὲν ἂν τοιᾶτος ὁ μεγαλοπρεπής, καὶ ἐν τοῖς τοιούτοις δαπανήμασιν ἡ μεγαλοπρέπεια, ὥσπερ εἴρηται· μέγιστα γὰρ καὶ ἐντιμότατα· τῶν δὲ ἰδίων ὅσα

1. ὁπόσον] ὁπότε K^b. ‖ 2. αἰσχροκερδία pr K^b. ‖ 4. τὰ om M^b. ‖ δὲ om H^a. ‖ ἃ] ἃ οὐ O^b. ‖ οὐδὲ H^a. ‖ 6. ἀλλὰ om H^a. ‖ 7. ὁ ante λωποδύτης et 8. εἰσίν om K^b. ‖ 8. ἕνεκα $H^a K^b M^b O^b$. ‖ 11. δὲ M^b. ‖ 14. κακόν ἐςι $K^b O^b$. ‖ 15. ταύτης M^b, ταῦτα L^b. ‖ ἢ οἱ κατὰ pr K^b. ‖ 18. δόξαι $H^a K^b$. ‖ 19. εἶναι ἀρετή M^b. ‖ 21. δ' ἐν τέτοις K^b. ‖ 22. γὰρ om $L^b M^b$. ‖ 25. δὲ M^b. ‖ 26. ἢ K^b $L^b M^b$. ‖ 27. τὸ om M^b. ‖ δώσει M^b. ‖ ἀλήτῃ $H^a K^b$. ‖ 28. ἕτος $H^a K^b L^b O^b$. ‖ γὰρ om $H^a M^b$. ‖ 33. καὶ ὡς ἐ δεῖ om K^b. ‖ δὲ περὶ] δ' ὑπὲρ $K^b O^b$. ‖ 35. ἐπιμελῶς M^b.

5. δεῖν $K^b L^b M^b$. ‖ 6. δαπανήσειε δὴ H^a. ‖ 8. προεκτικῶς M^b. ‖ 9. πόσον M^b. ‖ 10. πῶς δι' ἐλαχίστε L^b. ‖ δὲ H^a. ‖ 12. τὸ μέγα om H^a. ‖ 13. ταυτὰ H^a: ceteri ταῦτα. ‖ 15. γὰρ ἀρετὴ τὸ H^a. ‖ ἄξιον καὶ τιμιώτατον H^a et corr K^b. ‖ 18. μεγαλοπρέπεια ἀρετὴ $L^b M^b$. ‖ 19. τὰ ante τίμια om M^b. ‖ 20. περὶ τοὺς θεοὺς $H^a L^b M^b$. ‖ ἀναίσθητα M^b. ‖ 21. ὅσα ante περὶ om O^b et pr K^b. ‖ 22. οἴονται δεῖν] οἷόν τε K^b. ‖ 25. δεῖν M^b. ‖ 26. πρέπει L^b. ‖ 30. τὰ et διὰ om $K^b O^b$. ‖ 34. τοῖς om $H^a L^b O^b$ ‖ περ et 35. δὲ om M^b.

ξ γίνεται, οἷον γάμος καὶ εἴ τι τοιοῦτον, καὶ εἰ περί
α ἡ πόλις σπουδάζει ἢ οἱ ἐν ἀξιώματι, καὶ περὶ
δὲ ὑποδοχὰς καὶ ἀποςολάς, καὶ δωρεὰς καὶ ἀντιδω-
οὐ γὰρ εἰς ἑαυτὸν δαπανηρὸς ὁ μεγαλοπρεπὴς ἀλλ'
κοινά, τὰ δὲ δῶρα τοῖς ἀναθήμασιν ἔχει τι ὅμοιον.
οπρεποῦς δὲ καὶ οἶκον κατασκευάσασθαι πρεπόντως
ούτῳ· κόσμος γάρ τις καὶ οὗτος. καὶ περὶ ταῦτα
ν δαπανᾶν ὅσα πολυχρόνια τῶν ἔργων· κάλλιστα
ῦτα. καὶ ἐν ἑκάςοις τὸ πρέπον· οὐ γὰρ ταὐτὰ ἁρ-
θεοῖς καὶ ἀνθρώποις, ὐδ' ἐν ἱερῷ καὶ τάφῳ· καὶ ἐπὶ
πανημάτων ἕκαςον μέγα ἐν τῷ γένει, καὶ μεγαλο-
τατον μὲν τὸ ἐν μεγάλῳ μέγα, ἐνταῦθα δὲ τὸ ἐν
μέγα. καὶ διαφέρει τὸ ἐν τῷ ἔργῳ μέγα τοῦ ἐν τῷ
ήματι· σφαῖρα μὲν γὰρ ἢ λήκυθος ἡ καλλίςη ἔχει
οπρέπειαν παιδικοῦ δώρυ, ἡ δὲ τύτυ τιμὴ μικρὸν καὶ
θερον. διὰ τῦτό ἐςι τῦ μεγαλοπρεπῦς, ἐν ᾧ ἂν ποιῇ
μεγαλοπρεπῶς ποιεῖν· τὸ γὰρ τοιῦτον ὐκ εὐυπέρβλη-
ὶ ἔχον κατ' ἀξίαν τῦ δαπανήματος. τοιῦτος μὲν ὖν
αλοπρεπής, ὁ δ' ὑπερβάλλων καὶ βάναυσος τῷ
τὸ δέον ἀναλίσκειν ὑπερβάλλει, ὥσπερ εἴρηται. ἐν
οῖς μικροῖς τῶν δαπανημάτων πολλὰ ἀναλίσκει καὶ
ύνεται παρὰ μέλος, οἷον ἐρανιστὰς γαμικῶς ἑστιῶν,
μῳδοῖς χορηγῶν ἐν τῇ παρόδῳ πορφύραν εἰσφέρων,
οἱ Μεγαρεῖς. καὶ πάντα τὰ τοιαῦτα ποιήσει οὐ τοῦ
ἕνεκα, ἀλλὰ τὸν πλοῦτον ἐπιδεικνύμενος, καὶ διὰ
οἰόμενος θαυμάζεσθαι, καὶ οὗ μὲν δεῖ πολλὰ ἀνα-
ὀλίγα δαπανῶν, ὖ δ' ὀλίγα, πολλά. ὁ δὲ μικρο-
περὶ πάντα ἐλλείψει, καὶ τὰ μέγιςα ἀναλώσας ἐν
τὸ καλὸν ἀπολεῖ, καὶ ὅ τι ἂν ποιῇ μέλλων, καὶ
πῶς ἂν ἐλάχιςον ἀναλώσαι, καὶ ταῦτ' ὀδυρόμενος,
ντ' οἰόμενος μείζω ποιεῖν ἢ δεῖ. εἰσὶ μὲν ὖν αἱ ἕξεις
κακίαι, ὐ μὴν ὀνείδη γ' ἐπιφέρυσι διὰ τὸ μήτε βλα-
ῷ πέλας εἶναι μήτε λίαν ἀσχήμονες.
Ἡ δὲ μεγαλοψυχία περὶ μεγάλα μὲν καὶ ἐκ τῦ ὀνό-
ἔοικεν εἶναι, περὶ ποῖα δ' ἐςὶ πρῶτον λάβωμεν. δια-

φέρει δ' οὐθὲν τὴν ἕξιν ἢ τὸν κατὰ τὴν ἕξιν σκοπεῖν. δοκεῖ δὲ μεγαλόψυχος εἶναι ὁ μεγάλων αὑτὸν ἀξιῶν ἄξιος ὤν· ὁ γὰρ μὴ κατ' ἀξίαν αὐτὸ ποιῶν ἠλίθιος, τῶν δὲ κατ' ἀρετὴν ὐδεὶς ἠλίθιος ὐδ' ἀνόητος. μεγαλόψυχος μὲν ὖν ὁ εἰρημένος. ὁ γὰρ μικρῶν ἄξιος καὶ τύτων ἀξιῶν ἑαυτὸν σώφρων, μεγαλόψυχος δ' ὔ· ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι, οἱ μικροὶ δ' ἀςεῖοι καὶ σύμμετροι, καλοὶ δ' ὔ. ὁ δὲ μεγάλων ἑαυτὸν ἀξιῶν ἀνάξιος ὢν χαῦνος· ὁ δὲ μειζόνων ἢ ἄξιος ὐ πᾶς χαῦνος. ὁ δ' ἐλαττόνων ἢ ἄξιος μικρόψυχος, ἐάν τε μεγάλων ἐάν τε μετρίων, ἐάν τε καὶ μικρῶν ἄξιος ὢν ἔτι ἐλαττόνων αὑτὸν ἀξιοῖ. καὶ μάλιςα ἂν δόξειεν ὁ μεγάλων ἄξιος· τί γὰρ ἂν ἐποίει, εἰ μὴ τοσύτων ἦν ἄξιος; ἔςι δὴ ὁ μεγαλόψυχος τῷ μὲν μεγέθει ἄκρος, τῷ δὲ ὡς δεῖ μέσος· τῦ γὰρ κατ' ἀξίαν αὑτὸν ἀξιοῖ. οἱ δ' ὑπερβάλλυσι καὶ ἐλλείπυσιν. εἰ δὲ δὴ μεγάλων ἑαυτὸν ἀξιοῖ ἄξιος ὤν, καὶ μάλιςα τῶν μεγίςων, περὶ ὲν μάλιςα ἂν εἴη. ἡ δ' ἀξία λέγεται πρὸς τὰ ἐκτὸς ἀγαθά. μέγιςον δὲ τῦτ' ἂν θείημεν ὃ τοῖς θεοῖς ἀπονέμομεν, καὶ οὗ μάλις' ἐφίενται οἱ ἐν ἀξιώματι, καὶ τὸ ἐπὶ τοῖς καλλίςοις ἆθλον. τοιῦτον δ' ἡ τιμή· μέγιστον γὰρ δὴ τῦτο τῶν ἐκτὸς ἀγαθῶν. περὶ τιμὰς δὴ καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστιν ὡς δεῖ. καὶ ἄνευ δὲ λόγυ φαίνονται οἱ μεγαλόψυχοι περὶ τιμὴν εἶναι· τιμῆς γὰρ μάλισθ' οἱ μεγάλοι ἀξιῦσιν ἑαυτύς, κατ' ἀξίαν δέ. ὁ δὲ μικρόψυχος ἐλλείπει καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τὸ τοῦ μεγαλοψύχυ ἀξίωμα. ὁ δὲ χαῦνος πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει, οὐ μὴν τόν γε μεγαλόψυχον. ὁ δὲ μεγαλόψυχος, εἴπερ τῶν μεγίςων ἄξιος, ἄριςος ἂν εἴη· μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος, καὶ μεγίστων ὁ ἄριςος. τὸν ὡς ἀληθῶς ἄρα μεγαλόψυχον δεῖ ἀγαθὸν εἶναι. καὶ δόξειε δ' ἂν εἶναι μεγαλοψύχυ τὸ ἐν ἑκάςῃ ἀρετῇ μέγα. ὐδαμῶς τ' ἂν ἁρμόζοι μεγαλοψύχῳ φεύγειν παρασείσαντι, ὐδ' ἀδικεῖν· τίνος γὰρ ἕνεκα πράξει αἰσχρά, ᾧ ὐθὲν μέγα; καθ' ἕκαςα δ' ἐπισκοποῦντι πάμπαν γελοῖος φαίνοιτ' ἂν ὁ μεγαλόψυχος μὴ αγαθὸς ὤν. ὐκ εἴη δ' ἂν ὐδὲ τιμῆς ἄξιος φαῦλος ὤν· τῆς ἀρετῆς γὰρ ἆθλον ἡ τιμή, καὶ ἀπονέμεται

ἡ πᾶσα K^bO^b. ‖ οἱ om M^b. ‖ 3. καὶ ἀντιδωρεάς om K^bO^b. ‖ 4. αὑτὸν L^bM^b. ‖ 6. οἴκησιν H^a. ‖ 9. ταὐτὰ] τὸ αὐτὸ H^a. ‖
ςον γὰρ μέγα H^a. ‖ καὶ om M^b. ‖ 14. γὰρ] γὰρ ἡ καλλίςη K^bO^b. ‖ μεγαλοπρέπειαν ἔχει $H^aK^bO^b$. ‖ 16. ἐλεύθερον καὶ διὰ H^a. ‖
M^b. ‖ ποιοῖ M^b. ‖ 18. καὶ ἔχον] ὡς ἔχον τὰ M^b. ‖ 21. μικροῖς] πολλοῖς M^b. ‖ 24. μέγαροι K^b. ‖ 26. ταῦτα] τὰ τοιαῦτα
‖ μὲν] δὲ M^b. ‖ 27. δαπανᾶν L^b. ‖ 30. ἀναλώσῃ O^b. ‖ 33. τῶν H^aK^b. ‖ 34. μὲν καὶ om M^b.
τὸ L^b, τὰ corr K^b. ‖ 3. τῶν — 4. ἠλίθιος om H^a. ‖ 5. γὰρ] δὲ M^b. ‖ ἑαυτὸν ἀξιῶν M^b. ‖ 7. μέτριοι M^b. ‖ 8. αὑτὸν L^b
9. ὁ — χαῦνος om H^a, ὁ — 10. ἄξιος om M^b. ‖ 10. ἢ om H^a. ‖ μικρόψυχος γὰρ ἐάν M^b. ‖ 11. καὶ post τε om M^b. ‖
K^b. ‖ ἑαυτὸν L^bM^b. ‖ 13. τοιούτων H^a. ‖ μὲν om M^b. ‖ 15. δὲ om pr K^b. ‖ 17. ἂν μάλιςα O^b. ‖ 18. δ' ἂν τῦτο M^b. ‖
H^a. ‖ 22. δὴ M^b. ‖ 24. δὲ om K^b. ‖ 25. μεγάλυ L^bM^b. ‖ μὲν πρὸς ἑαυτὸν K^b. ‖ 26. γε om K^bO^b. ‖ 27. ἄριςος ἂν
τῶν μεγίςων ἄξιος, καὶ μεγίστων L^b, omissis μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος. ‖ 30. δ' ἂν om K^bO^b, ἂν om $H^aL^bM^b$. ‖ 31.
ταντι ὐδ' ἀδικεῖ M^b. ‖ 32. ᾧ γ' ὐθὲν O^b. ‖ 33. γελοῖον pr K^b. ‖ φανοιτ' H^a. ‖ 34. μὴ ἀγαθὸς om H^aN^b.

b. 5. Sokrates thought that courage was ἐπιστήμη.

ἐλλείπει δὲ καὶ τῷ θαρρεῖν· ἀλλ᾽ ἐν ταῖς λύπαις ὑπερβάλλων μᾶλλον καταφανής ἐϛιν. δύσελπις δή τις ὁ δειλός· πάντα γὰρ φοβεῖται. ὁ δ᾽ ἀνδρεῖος ἐναντίως· τὸ γὰρ θαρρεῖν εὐέλπιδος. περὶ ταὐτὰ μὲν οὖν ἐστὶν ὅ τε δειλὸς καὶ ὁ θρασὺς καὶ ὁ ἀνδρεῖος, διαφόρως δ᾽ ἔχουσι πρὸς αὐτά· οἱ μὲν γὰρ ὑπερβάλλουσι καὶ ἐλλείπουσιν, ὁ δὲ μέσως ἔχει καὶ ὡς δεῖ· καὶ οἱ μὲν θρασεῖς προπετεῖς, καὶ βουλόμενοι πρὸ τῶν κινδύνων ἐν αὐτοῖς δ᾽ ἀφίστανται, οἱ δ᾽ ἀνδρεῖοι ἐν τοῖς ἔργοις ὀξεῖς, πρότερον δ᾽ ἡσύχιοι.

11 Καθάπερ οὖν εἴρηται, ἡ ἀνδρεία μεσότης ἐστὶ περὶ θαρραλέα καὶ φοβερά, ἐν οἷς εἴρηται, καὶ ὅτι καλὸν αἱρεῖται καὶ ὑπομένει, ἢ ὅτι αἰσχρὸν τὸ μή. τὸ δ᾽ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα, καὶ οὐχ ὅτι καλὸν ὑπομένει, ἀλλὰ φεύγων κακόν. ἔϛι μὲν οὖν ἡ ἀνδρεία τοιοῦτόν τι, λέγονται δὲ καὶ ἕτεραι κατὰ πέντε τρόπους, πρῶτον μὲν ἡ πολιτική· μάλιϛα γὰρ ἔοικεν· δοκοῦσι γὰρ ὑπομένειν τοὺς κινδύνους οἱ πολῖται διὰ τὰ ἐκ τῶν νόμων ἐπιτίμια καὶ τὰ ὀνείδη καὶ διὰ τὰς τιμάς. καὶ διὰ τοῦτο ἀνδρειότατοι δοκοῦσιν εἶναι παρ᾽ οἷς οἱ δειλοὶ ἄτιμοι καὶ οἱ ἀνδρεῖοι ἔντιμοι. τοιούτους δὲ καὶ Ὅμηρος ποιεῖ, οἷον τὸν Διομήδην καὶ τὸν Ἕκτορα.

varieties of courage

Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει·

καὶ Διομήδης,

Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ᾽ ἀγορεύων,
Τυδείδης ὑπ᾽ ἐμεῖο.

ὡμοίωται δ᾽ αὕτη μάλιϛα τῇ πρότερον εἰρημένῃ, ὅτι δι᾽ ἀρετὴν γίνεται· δι᾽ αἰδῶ γὰρ καὶ διὰ καλοῦ ὄρεξιν (τιμῆς γάρ) καὶ φυγὴν ὀνείδους, αἰσχροῦ ὄντος. τάξαι δ᾽ ἄν τις καὶ τοὺς ὑπὸ τῶν ἀρχόντων ἀναγκαζομένους εἰς ταὐτό· χείρους δ᾽, ὅσῳ οὐ δι᾽ αἰδῶ ἀλλὰ διὰ φόβον αὐτὸ δρῶσι, καὶ φεύγοντες οὐ τὸ αἰσχρὸν ἀλλὰ τὸ λυπηρόν· ἀναγκάζουσι γὰρ οἱ κύριοι, ὥσπερ ὁ Ἕκτωρ

ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε μάχης πτώσσοντα νοήσω,
οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας.

καὶ οἱ προϛάττοντες, κἂν ἀναχωρῶσι τύπτοντες τὸ αὐτὸ δρῶσι, καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες· πάντες γὰρ ἀναγκάζουσιν. δεῖ δ᾽ οὐ δι᾽ ἀνάγκην ἀνδρεῖον εἶναι, ἀλλ᾽ ὅτι καλόν. δοκεῖ δὲ καὶ ἡ ἐμπειρία ἡ περὶ ἕκαϛα ἀνδρεία τις εἶναι· ὅθεν καὶ ὁ Σωκράτης ᾤετο ἐπιϛήμην εἶναι τὴν ἀνδρείαν. τοιοῦτοι δὲ ἄλλοι μὲν ἐν ἄλλοις, ἐν τοῖς πολεμικοῖς δ᾽ οἱ ϛρατιῶται· δοκεῖ γὰρ εἶναι πολλὰ κενὰ τοῦ πολέμου, ἃ μάλιϛα συνεωράκασιν οὗτοι· φαίνονται δὴ ἀνδρεῖοι, ὅτι οὐκ ἴσασιν οἱ ἄλλοι οἷά ἐστιν. εἶτα ποιῆσαι καὶ μὴ παθεῖν μάλιϛα δύνανται ἐκ τῆς ἐμπειρίας, δυνάμενοι χρῆσθαι τοῖς ὅπλοις καὶ τοιαῦτα ἔχοντες ὁποῖα ἂν εἴη καὶ πρὸς τὸ ποιῆσαι καὶ πρὸς τὸ μὴ παθεῖν κράτιϛα. ὥσπερ οὖν ἀνόπλοις ὡπλισμένοι μάχονται καὶ ἀθληταὶ ἰδιώταις· καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀγῶσιν οὐχ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν, ἀλλ᾽ οἱ μάλιϛα ἰσχύοντες καὶ τὰ σώματα ἄριϛα ἔχοντες. οἱ ϛρατιῶται δὲ δειλοὶ γίνονται, ὅταν ὑπερτείνῃ ὁ κίνδυνος καὶ λείπωνται τοῖς πλήθεσι καὶ ταῖς παρασκευαῖς· πρῶτοι γὰρ φεύγουσι, τὰ δὲ πολιτικὰ μένοντα ἀποθνήσκει, ὅπερ κἀπὶ τῷ Ἑρμαίῳ συνέβη. τοῖς μὲν γὰρ αἰσχρὸν τὸ φεύγειν καὶ ὁ θάνατος τῆς τοιαύτης σωτηρίας αἱρετώτερος· οἱ δὲ καὶ ἐξ ἀρχῆς ἐκινδύνευον ὡς κρείττους ὄντες, γνόντες δὲ φεύγουσι, τὸν θάνατον μᾶλλον τοῦ αἰσχροῦ φοβούμενοι· ὁ δ᾽ ἀνδρεῖος οὐ τοιοῦτος. καὶ τὸν θυμὸν δ᾽ ἐπὶ τὴν ἀνδρείαν ἐπιφέρουσιν· ἀνδρεῖοι γὰρ εἶναι δοκοῦσι καὶ οἱ διὰ θυμὸν ὥσπερ τὰ θηρία ἐπὶ τοὺς τρώσαντας φερόμενοι, ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς· ἰτητικώτατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κινδύνους, ὅθεν καὶ Ὅμηρος "σθένος ἔμβαλε θυμῷ" καὶ "μένος καὶ θυμὸν ἔγειρε" καὶ "δριμὺ δ᾽ ἀνὰ ῥῖνας μένος" καὶ "ἔζεσεν αἷμα·" πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν καὶ ὁρμήν. οἱ μὲν οὖν ἀνδρεῖοι διὰ τὸ καλὸν πράττουσιν, ὁ δὲ θυμὸς συνεργεῖ αὐτοῖς· τὰ θηρία δὲ διὰ λύπην· διὰ γὰρ τὸ πληγῆναι ἢ φοβεῖσθαι, ἐπεὶ ἐάν γε ἐν ὕλῃ ἢ ἐν ἕλει ᾖ, οὐ προσέρχονται. οὐ δὴ ἐϛιν ἀνδρεῖα διὰ τὸ ὑπ᾽ ἀλγηδόνος καὶ θυμοῦ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον ὁρμᾶν, οὐθὲν τῶν δεινῶν προορῶντα, ἐπεὶ οὕτω γε κἂν οἱ ὄνοι ἀνδρεῖοι εἶεν πεινῶντες· τυπτόμενοι γὰρ

1. τὸ N^b. ‖ 3. ἐναντίος $M^bN^bO^b$. ‖ 9. πρότεροι M^b. ‖ 10. περὶ τὰ θαρραλέα M^b. ‖ 12. ἢ om K^b. ‖ 19. διὰ om M^b. ‖ 21. καὶ οἱ] οἱ δὲ $L^bM^bN^b$. ‖ τοιούτοις N^b. ‖ 22. διομήδη N^bO^b. ‖ 23. πολυδάμας L^b. ‖ πρῶτον M^b. ‖ ἀναθήσηι K^b, ἐπιθήσει M^b. ‖ 26. ἐμεῖο φοβούμενος ὡμοίωται M^b. ‖ 27. προτέρα M^b. ‖ 28. διὰ om N^bO^b. ‖ 30. αὐτό M^b. ‖ 31. ὅσοι K^bO^b. ‖ αὐτὸ δρῶσι φεύγοντες M^b. ‖ 33. ὁ om L^bM^b. ‖ 34. ἐγὼ M^b. ‖ 35. ἄρκειον K^b. ‖ ἐσεῖται K^bM^b. ‖ 36. προϛάσσοντες M^b.

1. προτάττοντες O^b. ‖ 4. τις om $K^bN^bO^b$. ‖ ὅθεν — 5. ἀνδρείαν om pr N^b. ‖ 5. εἶναι om $K^bM^bO^b$. ‖ ἐν om K^b. ‖ 7. καινὰ K^bM^b. ‖ 8. δὴ] δ᾽ O^b, δὴ οἱ M^b. ‖ 9. μὴ] μηδὲν L^bM^b. ‖ ἐμπειρίας καὶ φυλάξασθαι καὶ πατάξαι δυνάμενοι $K^bN^bO^b$. ‖ 11. τὸ μὴ ποιῆσαι K^b. ‖ 14. οὐχὶ L^b. ‖ 17. λείπονται N^b. ‖ 19. Ἑρμαίῳ] τόπος ἐϛὶ τὸ ἕρμαιον ἐν κορωνείαι τῆς βοιωτίας marg 2024. ‖ 24. φέρουσιν K^b, ἀναφέρουσιν L^bM^b. ‖ 25. φερόμενα $K^bL^bM^b$. ‖ 26. κινητικώτατον M^b. ‖ 32. ἢ διὰ τὸ φοβεῖσθαι O^b. ‖ 33. ἐν post ἢ om L^bM^b. ‖ προέρχονται L^b. ‖ 34. ἀπὸ N^b. ‖ 36. καὶ $K^bL^bM^b$. ‖ ἀνδρεῖοι om M^b. ‖ εἶεν] ἂν εἶεν L^b

τὸ ἡδέως ἐνεργεῖν – is not practicable, in all the virtues
Courage & Temperance – virtues τῶν ἀλόγων μερῶν.

ωνται τῆς νομῆς· καὶ οἱ μοιχοὶ δὲ διὰ τὴν ἐπι- ολμηρὰ πολλὰ δρῶσιν. οὐ δή ἐστιν ἀνδρεῖα τὰ δόνος ἢ θυμοῦ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον. ίτη δ' ἔοικεν ἡ διὰ τὸν θυμὸν εἶναι, καὶ προσ- προαίρεσιν καὶ τὸ ὗ ἕνεκα ἀνδρεία εἶναι. καὶ οἱ δὴ ὀργιζόμενοι μὲν ἀλγῦσι, τιμωρύμενοι δ' ἥδον- δὲ διὰ ταῦτα μαχόμενοι μάχιμοι μέν, ὐκ ἀν- ὐ γὰρ διὰ τὸ καλὸν οὐδ' ὡς ὁ λόγος, ἀλλὰ άθος· παραπλήσιον δ' ἔχυσί τι. ὐδὲ δὴ οἱ εὐέλ- ες ἀνδρεῖοι· διὰ γὰρ τὸ πολλάκις καὶ πολλοὺς ι θαρρῦσιν ἐν τοῖς κινδύνοις. παρόμοιοι δέ, ὅτι ρραλέοι· ἀλλ' οἱ μὲν ἀνδρεῖοι διὰ τὰ προειρη- ραλέοι, οἱ δὲ διὰ τὸ οἴεσθαι κρείττυς εἶναι καὶ τιπαθεῖν. τοιῦτον δὲ ποιῦσι καὶ οἱ μεθυσκόμενοι· γὰρ γίνονται. ὅταν δὲ αὐτοῖς μὴ συμβῇ τοιαῦτα, ν· ἀνδρεία δ' ἦν τὰ φοβερὰ ἀνθρώπῳ ὄντα καὶ ι ὑπομένειν, ὅτι καλὸν καὶ αἰσχρὸν τὸ μή. διὸ ιοτέρου δοκεῖ εἶναι τὸ ἐν τοῖς αἰφνιδίοις φόβοις καὶ ἀτάραχον εἶναι ἢ ἐν τοῖς προδήλοις· ἀπὸ ρ μᾶλλον, ἢ καὶ ὅτι ἧττον ἐκ παρασκευῆς· τὰ μὲν γὰρ κἂν ἐκ λογισμῦ καὶ λόγυ τις προέλοιτο, ίφνης κατὰ τὴν ἕξιν. ἀνδρεῖοι δὲ φαίνονται καὶ τες, καί εἰσιν ὐ πόρρω τῶν εὐελπίδων, χείρυς δ' μα ὐδὲν ἔχυσιν, ἐκεῖνοι δέ· διὸ καὶ μένυσί τινα οἱ δ' ἠπατημένοι, ἐὰν γνῶσιν ὅτι ἕτερον ἢ ὑπο- , φεύγυσιν· ὅπερ οἱ Ἀργεῖοι ἔπαθον περιπεσόντες ωσιν ὡς Σικυωνίοις. οἵ τε δὴ ἀνδρεῖοι εἴρηνται ς, καὶ οἱ δοκῦντες ἀνδρεῖοι.

θάρρη δὲ καὶ φόβυς ἡ ἀνδρεία ὖσα ὐχ ὁμοίως ω ἐςίν, ἀλλὰ μᾶλλον περὶ τὰ φοβερά· ὁ γὰρ ἀτάραχος καὶ περὶ ταῦθ' ὡς δεῖ ἔχων ἀνδρεῖος ἢ ὁ περὶ τὰ θαρραλέα. τῷ δὴ τὰ λυπηρὰ ὑπο- εἴρηται, ἀνδρεῖοι λέγονται. διὸ καὶ ἐπίλυπον ἡ καὶ δικαίως ἐπαινεῖται· χαλεπώτερον γὰρ τὰ λυ- ομένειν ἢ τῶν ἡδέων ἀπέχεσθαι. οὐ μὴν ἀλλὰ δόξειεν ἂν εἶναι τὸ κατὰ τὴν ἀνδείαν τέλος ἡδύ, ὑπὸ τῶν κύκλῳ δ' ἀφανίζεσθαι, οἷον κἂν τοῖς γυμνικοῖς ἀγῶσι γί- νεται· τοῖς γὰρ πύκταις τὸ μὲν τέλος ἡδύ, οὗ ἕνεκα, ὁ στέφανος καὶ αἱ τιμαί, τὸ δὲ τύπτεσθαι ἀλγεινόν, εἴπερ σάρκινοι, καὶ λυπηρόν, καὶ πᾶς ὁ πόνος· διὰ δὲ τὸ πολλὰ ταῦτ' εἶναι, μικρὸν ὂν τὸ ὗ ἕνεκα ὐδὲν ἡδὺ φαίνεται ἔχειν. εἰ δὴ τοιῦτόν ἐςι καὶ τὸ περὶ τὴν ἀνδρείαν, ὁ μὲν θάνατος καὶ τὰ τραύματα λυπηρὰ τῷ ἀνδρείῳ καὶ ἄκοντι ἔσται, ὑπομένει δὲ αὐτά, ὅτι καλὸν ἢ ὅτι αἰσχρὸν τὸ μή. καὶ ὅσῳ ἂν μᾶλλον τὴν ἀρετὴν ἔχῃ πᾶσαν καὶ εὐδαιμονέςε- ρος ᾖ, μᾶλλον ἐπὶ τῷ θανάτῳ λυπηθήσεται· τῷ τοιύτῳ γὰρ μάλιςα ζῆν ἄξιον, καὶ ὗτος μεγίςων ἀγαθῶν ἀπο- ςερεῖται εἰδώς· λυπηρὸν δὲ τῦτο. ἀλλ' ὐδὲν ἧττον ἀνδρεῖος, ἴσως δὲ καὶ μᾶλλον, ὅτι τὸ ἐν τῷ πολέμῳ καλὸν ἀντ' ἐκείνων αἱρεῖται. ὐ δὴ ἐν ἁπάσαις ταῖς ἀρεταῖς τὸ ἡδέως ἐνεργεῖν ὑπάρχει, πλὴν ἐφ' ὅσον τοῦ τέλους ἐφάπτεται. στρατιώτας δ' ὐδὲν ἴσως κωλύει μὴ τὺς τοιύτυς κρατίστυς εἶναι, ἀλλὰ τὺς ἧττον μὲν ἀνδρείυς, ἄλλο δ' ἀγαθὸν μη- δὲν ἔχοντας· ἕτοιμοι γὰρ ὗτοι πρὸς τὺς κινδύνυς, καὶ τὸν βίον πρὸς μικρὰ κέρδη καταλλάττονται. περὶ μὲν ὖν ἀν- δρείας ἐπὶ τοσῦτον εἰρήσθω· τί δ' ἐςίν, ὐ χαλεπὸν τύπῳ γε περιλαβεῖν ἐκ τῶν εἰρημένων.

Μετὰ δὲ ταύτην περὶ σωφροσύνης λέγωμεν· δοκῦσι 13
γὰρ τῶν ἀλόγων μερῶν αὗται εἶναι αἱ ἀρεταί. ὅτι μὲν ὖν μεσότης ἐστὶ περὶ ἡδονὰς ἡ σωφροσύνη, εἴρηται ἡμῖν· ἧττον γὰρ καὶ ὐχ ὁμοίως ἐστὶ περὶ τὰς λύπας· ἐν τοῖς αὐτοῖς δὲ καὶ ἡ ἀκολασία φαίνεται. περὶ ποίας ὖν τῶν ἡδονῶν, νῦν ἀφορίσωμεν. διῃρήσθωσαν δὲ αἱ ψυχικαὶ καὶ αἱ σωματικαί, οἷον φιλοτιμία, φιλομάθεια· ἑκάτερος γὰρ τύτων χαίρει, ὗ φιλητικός ἐστιν, ὐθὲν πάσχοντος τῦ σώ- ματος, ἀλλὰ μᾶλλον τῆς διανοίας· οἱ δὲ περὶ τὰς τοιαύ- τας ἡδονὰς ὔτε σώφρονες ὔτε ἀκόλαςοι λέγονται. ὁμοίως δ' οὐδ' οἱ περὶ τὰς ἄλλας ὅσαι μὴ σωματικαί εἰσιν· τὺς γὰρ φιλομύθους καὶ διηγητικοὺς καὶ περὶ τῶν τυχόντων κατατρίβοντας τὰς ἡμέρας ἀδολέσχας, ἀκολάστυς δ' οὐ

Sophrosyne μεσότης περὶ ἡδονὰς

— 3. κίνδυνον om K^bO^b. ‖ 2. δὴ οὖν ἐστιν L^bN^b. ‖ 4. φυσικώτατος M^b. ‖ 5. εἶναι om N^b. ‖ 6. δὴ] δὲ M^bO^b. ‖ 7. add L^bM^b. ‖ 9. τὸ om K^b. ‖ 10. ἀνδρεῖοί εἰσι· διὰ L^b. ‖ καὶ τὸ πολλοὺς O^b. ‖ 11. ἐν] μὲν K^b. ‖ 12. πρότερον εἰρημένα κράτιςοι K^bO^b. ‖ 15. συμβῇ τὰ τοιαῦτα K^b. ‖ 16. τὸ M^b, τὸ τὰ L^b. ‖ καὶ μὴ φαινόμενα K^b. ‖ 17. καὶ] ἢ N^b. ‖ 18. . ‖ 20. καὶ om K^bO^b. ‖ 23. ἐλπιδων L^b. ‖ 24. ἀξίωμα ὐκ ἔχυσιν ὐδέν M^b. ‖ 25. ὑποπτεύσυσι L^b, ὑποπτεύυσιν K^bM^b. εσθαι K^b. ‖ 3. μὲν δὴ τέλος M^b. ‖ ὅ τε στέφανος L^b. ‖ 4. αἱ om K^b. ‖ 5. καὶ ante πᾶς om M^bN^b. ‖ 7. δὲ L^bM^b, δὲ τὸ τοιῦτόν M^b. ‖ τὸ om K^b. ‖ 9. ἢ om K^b. ‖ 10. ἔχοι M^b. ‖ 11. ᾖ] εἴη M^b. ‖ λυπεῖται L^bM^b, λύπη ἔσται N^bO^b. ‖ . ‖ 13. δὴ M^b. ‖ τύτῳ K^b. ‖ 14. τῶ N^b. ‖ 15. δὴ] δὴ δὲ N^b. ‖ 20. ἀνδρίας N^b, qui ita solet. ‖ 21. ἐπὶ om M^b. ‖ λαβεῖν] λαβεῖν M^b. ‖ 23. ταῦτα M^b. ‖ λέγομεν L^bN^b. ‖ 24. αἱ om K^b. ‖ 26. ὁμοίως] ὁμοίως τῇ ἀνδρείᾳ L^bM^b. ‖ ἐστὶ M^b, περὶ τὰς λύπας ἐστίν K^bO^b. ‖ τοῖς αὐτοῖς] τούτοις $L^bM^bN^b$. ‖ 27. ἡ om M^bN^b. ‖ 28. νῦν om L^bM^b. ‖ δὲ] οὖν ψυχικαὶ καὶ σωματικαί M^b, καὶ αἱ σωματικαὶ καὶ αἱ ψυχικαί K^bO^b. ‖ 29. φιλομαθία K^b. ‖ ἑκατέρω M^b. ‖ 32. ὔτε σώφρονες M^b. ‖ 34. διηγηματικοὺς M^b. ‖ τυχόντων] τούτων O^b. ‖ 35. ἀδολέσχυς O^b.

λέγομεν, ὐδὲ τὺς λυπυμένυς ἐπὶ χρήμασιν ἢ φίλοις. περὶ δὲ τὰς σωματικὰς εἴη ἂν ἡ σωφροσύνη, ὐ πάσας δὲ ὐδὲ ταύτας· οἱ γὰρ χαίροντες τοῖς διὰ τῆς ὄψεως, οἷον χρώμασι καὶ σχήμασι καὶ γραφῇ, ὔτε σώφρονες οὔτε ἀκόλασοι λέγονται· καίτοι δόξειεν ἂν εἶναι καὶ ὡς δεῖ χαίρειν καὶ τύτοις, καὶ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν. ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ τὴν ἀκοήν· τὺς γὰρ ὑπερβεβλημένως χαίροντας μέλεσιν ἢ ὑποκρίσει ὐθεὶς ἀκολάςυς λέγει, ὐδὲ τὺς ὡς δεῖ σώφρονας. ὐδὲ τὺς περὶ τὴν ὀσμήν, πλὴν κατὰ συμβεβηκός· τὺς γὰρ χαίροντας μήλων ἢ ῥόδων ἢ θυμιαμάτων ὀσμαῖς ὐ λέγομεν ἀκολάςυς, ἀλλὰ μᾶλλον τοὺς μύρων καὶ ὄψων· χαίρυσι γὰρ τύτοις οἱ ἀκόλαστοι, ὅτι διὰ τύτων ἀνάμνησις γίνεται αὐτοῖς τῶν ἐπιθυμητῶν. ἴδοι δ' ἄν τις καὶ τὺς ἄλλυς, ὅταν πεινῶσι, χαίροντας ταῖς τῶν βρωμάτων ὀσμαῖς· τὸ δὲ τοιύτοις χαίρειν ἀκολάςυ· τύτῳ γὰρ ἐπιθυμητὰ ταῦτα. ὐκ ἔστι δὲ ὐδὲ τοῖς ἄλλοις ζῴοις κατὰ ταύτας τὰς αἰσθήσεις ἡδονὴ πλὴν κατὰ συμβεβηκός· οὐδὲ γὰρ ταῖς ὀσμαῖς τῶν λαγωῶν αἱ κύνες χαίρυσιν, ἀλλὰ τῇ βρώσει· τὴν δ' αἴσθησιν ἡ ὀσμὴ ἐποίησεν. ὐδ' ὁ λέων τῇ φωνῇ τῦ βοός, ἀλλὰ τῇ ἐδωδῇ· ὅτι δ' ἐγγύς ἐςι, διὰ τῆς φωνῆς ᾔσθετο, καὶ χαίρειν δὴ ταύτῃ φαίνεται. ὁμοίως δ' οὐδ' ἰδὼν ἢ εὑρὼν ἔλαφον ἢ ἄγριον αἶγα, ἀλλ' ὅτι βορὰν ἕξει. περὶ τὰς τοιαύτας δὴ ἡδονὰς ἡ σωφροσύνη καὶ ἡ ἀκολασία ἐστὶν ὧν καὶ τὰ λοιπὰ ζῷα κοινωνεῖ, ὅθεν ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται· αὗται δ' εἰσὶν ἁφὴ καὶ γεῦσις. φαίνονται δὴ καὶ τῇ γεύσει ἐπὶ μικρὸν ἢ ὐθὲν χρῆσθαι· τῆς γὰρ γεύσεώς ἐςιν ἡ κρίσις τῶν χυμῶν, ὅπερ ποιῦσιν οἱ τὺς οἴνυς δοκιμάζοντες καὶ τὰ ὄψα ἀρτύοντες· οὐ πάνυ δὲ χαίρυσι τύτοις, ἢ ὐχ οἵ γε ἀκόλαστοι, ἀλλὰ τῇ ἀπολαύσει, ἣ γίνεται πᾶσα δι' ἁφῆς καὶ ἐν σιτίοις καὶ ἐν ποτοῖς καὶ τοῖς ἀφροδισίοις λεγομένοις. διὸ καὶ ηὔξατό τις ὀψοφάγος ὢν τὸν φάρυγγα αὐτῷ μακρότερον γεράνυ γενέσθαι, ὡς ἡδόμενος τῇ

ἁφῇ. κοινοτάτη δὴ τῶν αἰσθήσεων καθ' ἣν ἡ ἀκο
καὶ δόξειεν ἂν δικαίως ἐπονείδιςος εἶναι, ὅτι ὐχ ᾗ
ποί ἐσμεν ὑπάρχει, ἀλλ' ᾗ ζῷα. τὸ δὴ τοιύτοις
καὶ μάλιςα ἀγαπᾶν θηριῶδες. καὶ γὰρ αἱ ἐλευθε
ται τῶν διὰ τῆς ἁφῆς ἡδονῶν ἀφῄρηνται, οἷον αἱ
γυμνασίοις διὰ τρίψεως καὶ τῆς θερμασίας γινόμεν
γὰρ περὶ πᾶν τὸ σῶμα ἡ τῦ ἀκολάςυ ἁφή, ἀλλ
τινα μέρη. τῶν δ' ἐπιθυμιῶν αἱ μὲν κοιναὶ δοκῦσι
αἱ δ' ἴδιοι καὶ ἐπίθετοι· οἷον ἡ μὲν τῆς τροφῆς φ
πᾶς γὰρ ἐπιθυμεῖ ὁ ἐνδεὴς ξηρᾶς ἢ ὑγρᾶς τροφῆς,
ἀμφοῖν, καὶ εὐνῆς, φησὶν Ὅμηρος, ὁ νέος καὶ ἀκ
τὸ δὲ τοιᾶσδε ἢ τοιᾶσδε, ὐκέτι πᾶς, οὐδὲ τῶν αὐτ
φαίνεται ἡμέτερον εἶναι. ὐ μὴν ἀλλ' ἔχει γέ τι καὶ
κόν· ἕτερα γὰρ ἑτέροις ἐστὶν ἡδέα, καὶ ἔνια πᾶσι
τῶν τυχόντων. ἐν μὲν ὖν ταῖς φυσικαῖς ἐπιθυμίαις
ἁμαρτάνυσι καὶ ἐφ' ἕν, ἐπὶ τὸ πλεῖον· τὸ γὰρ ἐσθ
τυχόντα ἢ πίνειν ἕως ἂν ὑπερπλησθῇ, ὑπερβάλλει
τὸ κατὰ φύσιν τῷ πλήθει· ἀναπλήρωσις γὰρ τῆς
ἡ φυσικὴ ἐπιθυμία. διὸ λέγονται ὖτοι γαστρίμαργ
παρὰ τὸ δέον πληρῦντες αὐτήν. τοιῦτοι δὲ γίνονται
ἀνδραποδώδεις. περὶ δὲ τὰς ἰδίας τῶν ἡδονῶν πολλ
πολλαχῶς ἁμαρτάνουσιν· τῶν γὰρ φιλοτοιύτων λ
νων ἢ τῷ χαίρειν οἷς μὴ δεῖ, ἢ τῷ μᾶλλον, ἢ ὡς οἱ
λοί, ἢ μὴ ὡς δεῖ, κατὰ πάντα δ' οἱ ἀκόλαστοι ὑ
βάλλουσιν· καὶ γὰρ χαίρουσιν ἐνίοις οἷς οὐ δεῖ (μ
γάρ), καὶ εἴ τισι δεῖ χαίρειν τῶν τοιύτων, μᾶλλον
καὶ ὡς οἱ πολλοὶ χαίρουσιν. ἡ μὲν ὖν περὶ τὰς
ὑπερβολὴ ὅτι ἀκολασία καὶ ψεκτόν, δῆλον· περὶ δ
λύπας ὐχ ὥσπερ ἐπὶ τῆς ἀνδρείας τῷ ὑπομένειν λ
σώφρων ἀκόλαςος δὲ τῷ μή, ἀλλ' ὁ μὲν ἀκόλαστ
λυπεῖσθαι μᾶλλον ἢ δεῖ, ὅτι τῶν ἡδέων οὐ τυγ
(καὶ τὴν λύπην δὲ ποιεῖ αὐτῷ ἡ ἡδονή), ὁ δὲ σώφρ
μὴ λυπεῖσθαι τῇ ἀπουσίᾳ καὶ τῷ ἀπέχεσθαι τοῦ

4. καὶ σχήμασι om M^b. ‖ 5. ἂν om L^b. ‖ 9. σώφρονας] φωνῶντας M^b. ‖ 11. ὀδμαῖς L^b. ‖ 12. καὶ] ἢ K^bO^b. ‖ 13. ἐπι
μάτων K^b, ἐπιθυμιῶν L^bM^b. ‖ 15. τύτοις O^b. ‖ ἀκολάςοις K^b. ‖ 16. τύτων $K^bL^bM^bN^b$. ‖ ἐπιθυμήματα $K^bL^bM^b$. ‖ ὐδ' ἐν τ
O^b. ‖ 19. ἀλλὰ] δὲ O^b. ‖ αἴσθησιν δ' L^bM^b. ‖ ἡ om N^b. ‖ πεποίηκεν M^b. ‖ 21. δὴ ὕτως ταύτῃ M^b. ‖ 22. δ' om N^bO^b.
δὴ] δ' L^bM^b. ‖ 26. δὴ] δ' οἱ σώφρονες M^b. ‖ 28. χυλῶν $K^bL^bN^b$. ‖ ὄνυς M^b. ‖ 32. εὔξατό L^bN^b, εὔξαιτό M^b. ‖ τις] τις φ
νος ὁ εὔξιος codex Oxon. coll. corp. Chr. et pr K^b, τις φιλόξενος ὁ ἐρύξιος O^b et corr K^b omissoque articulo N^b et Par
ses 1417 et 1855. ea nomina om $QG^aH^aL^bM^b$ cum 1856 et 2024 et 2113, post ὢν ponit 2114. solum ibi φιλόξενος p
1852 et 2023. ipsum τις om H^a. ‖ 33. αὐτῦ N^b et 1417. ‖ γεράνυ μακρότερον M^b. ‖ ἡδομένου τῇ ἁφῇ 1852 et 2023, μ
ἡ δ' ἁφὴ M^b.

3. τύτοις M^b. ‖ 4. αἱ om M^b. ‖ 7. τὸ om $L^bM^bO^b$. ‖ τῦ ἀκολάςυ ἡ M^b. ‖ 8. ἐπιθυμιῶν δ' L^b. ‖ 10. ὁ ἐνδεὴς] ὅταν ἐ
$L^bM^bN^b$. ‖ 13. καὶ om K^bO^b. ‖ 14. πᾶσιν] τισιν O^b. ‖ 16. ὑφ' M^b. ‖ 17. ἕως πλησθῇ K^bO^b. ‖ ὑπερβολή K^b. ‖ 19. γάστριες
21. ἰδέας K^b. ‖ 23. ἢ — δεῖ om N^b. ‖ τὸ M^bO^b. ‖ τὸ N^bO^b. ‖ 24. ὡς δεῖ] ἢ ὡδὶ K^b, ὡς δεῖ ἢ ὣ δεῖ L^b, ὡς δεῖ ἢ ὣ μὴ δεῖ
δὴ M^b. ‖ 25. γὰρ om M^b. ‖ ἐνίοις] ἐν O^b. ‖ 26. εἴ] ἐπί L^bM^b. ‖ 27. ὡς] ἢ ὡς K^b, ὡς ὐχ N^b. ‖ 30. ἀκόλαςος δὲ] οὐδ' ἀκό
$K^bN^bO^b$. ‖ μή — τῷ om K^b. ‖ 31. δι' K^b. ‖ 32. δὲ ante ποιεῖ om M^b. ‖ 33. καὶ τῷ ἀπέχεσθαι om K^bO^b.

ῦν ἀκόλαστος ἐπιθυμεῖ τῶν ἡδέων πάντων ἢ ςα, καὶ ἄγεται ὑπὸ τῆς ἐπιθυμίας ὥςε ἀντὶ τῶν ιῦθ' αἱρεῖσθαι· διὸ καὶ λυπεῖται καὶ ἀποτυγχά- ἐπιθυμῶν· μετὰ λύπης γὰρ ἡ ἐπιθυμία· ἀτόπῳ ὸ δι' ἡδονὴν λυπεῖσθαι. ἐλλείποντες δὲ περὶ τὰς ι ἧττον ἢ δεῖ χαίροντες ὐ πάνυ γίνονται· οὐ γὰρ ἐστιν ἡ τοιαύτη ἀναισθησία· καὶ γὰρ τὰ λοιπὰ ρίνει τὰ βρώματα, καὶ τοῖς μὲν χαίρει τοῖς δ' ὔ· ιηθέν ἐςιν ἡδὺ μηδὲ διαφέρει ἕτερον ἑτέρυ, πόρρω ἄνθρωπος εἶναι· ὐ τέτευχε δ' ὁ τοιῦτος ὀνόματος ὶ πάνυ γίνεσθαι. ὁ δὲ σώφρων μέσως περὶ ταῦτ' γὰρ ἥδεται οἷς μάλιςα ὁ ἀκόλαςος, ἀλλὰ μᾶλ- εραίνει, οὔθ' ὅλως οἷς μὴ δεῖ οὔτε σφόδρα τοιύτῳ ἀπόντων λυπεῖται οὐδ' ἐπιθυμεῖ, ἢ μετρίως, ὐδὲ δεῖ, οὐδ' ὅτε μὴ δεῖ, ὐδ' ὅλως τῶν τοιύτων ὐθέν· ὸς ὑγίειάν ἐςιν ἢ πρὸς εὐεξίαν ἡδέα ὄντα, τύτων ιετρίως καὶ ὡς δεῖ, καὶ τῶν ἄλλων ἡδέων μὴ ἐμ- τοις ὄντων ἢ παρὰ τὸ καλὸν ἢ ὑπὲρ τὴν ὐσίαν. ὁ ς ἔχων μᾶλλον ἀγαπᾷ τὰς τοιαύτας ἡδονὰς τῆς δὲ σώφρων ὐ τοιῦτος, ἀλλ' ὡς ὁ ὀρθὸς λόγος.

υσίῳ δὲ μᾶλλον ἔοικεν ἡ ἀκολασία τῆς δειλίας. ρ δι' ἡδονήν, ἡ δὲ διὰ λύπην, ὧν τὸ μὲν αἱρετόν, υκτόν. καὶ ἡ μὲν λύπη ἐξίστησι καὶ φθείρει τὴν ος φύσιν, ἡ δὲ ἡδονὴ οὐδὲν τοιῦτον ποιεῖ, μᾶλλον · διὸ καὶ ἐπονειδιςότερον. καὶ γὰρ ἐθισθῆναι ῥᾷον ι· πολλὰ γὰρ ἐν τῷ βίῳ τὰ τοιαῦτα, καὶ οἱ κίνδυνοι. ἐπὶ δὲ τῶν φοβερῶν ἀνάπαλιν. δόξειε ὁμοίως ἑκούσιον ἡ δειλία εἶναι τοῖς καθ' ἕκαςον· γὰρ ἄλυπος, ταῦτα δὲ διὰ λύπην ἐξίςησιν, ὥςε τλα ῥίπτειν καὶ τἆλλα ἀσχημονεῖν· διὸ καὶ δοκεῖ ι. τῷ δ' ἀκολάςῳ ἀνάπαλιν τὰ μὲν καθ' ἕκαςα πιθυμῦντι γὰρ καὶ ὀρεγομένῳ, τὸ δ' ὅλον ἧττον· ἐπιθυμεῖ ἀκόλαςος εἶναι. τὸ δ' ὄνομα τῆς ἀκο- αὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας φέρομεν· ἔχουσι γάρ τινα ὁμοιότητα. πότερον δ' ἀπὸ ποτέρυ καλεῖται, ὐθὲν πρὸς τὰ νῦν διαφέρει, δῆλον δ' ὅτι τὸ ὕςερον ἀπὸ τῦ προτέρυ. ὐ κακῶς δ' ἔοικε μετενηνέχθαι· κεκολάσθαι γὰρ δεῖ τὸ τῶν αἰσχρῶν ὀρεγόμενον καὶ πολλὴν αὔξησιν ἔχον, τοιῦτον δὲ μάλιςα ἡ ἐπιθυμία καὶ ὁ παῖς· κατ' ἐπιθυμίαν γὰρ ζῶσι καὶ τὰ παιδία, καὶ μάλιστα ἐν τούτοις ἡ τοῦ ἡδέος ὄρεξις. εἰ ὖν μὴ ἔςαι εὐπειθὲς καὶ ὑπὸ τὸ ἄρχον, ἐπὶ πολὺ ἥξει· ἄπληςος γὰρ ἡ τοῦ ἡδέος ὄρεξις καὶ πανταχόθεν τῷ ἀνοήτῳ, καὶ ἡ τῆς ἐπιθυμίας ἐνέργεια αὔξει τὸ συγγενές, κἂν μεγάλαι καὶ σφοδραὶ ὦσι, καὶ τὸν λογισμὸν ἐκκρύυσιν. διὸ δεῖ μετρίας εἶναι αὐτὰς καὶ ὀλίγας, καὶ τῷ λόγῳ μηθὲν ἐναντιοῦσθαι. τὸ δὲ τοιῦτον εὐπειθὲς λέγομεν καὶ κεκολασμένον· ὥσπερ γὰρ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, οὕτω καὶ τὸ ἐπιθυμητικὸν κατὰ τὸν λόγον. διὸ δεῖ τοῦ σώφρονος τὸ ἐπιθυμητικὸν συμφωνεῖν τῷ λόγῳ· σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν, καὶ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ καὶ ὡς δεῖ καὶ ὅτε· οὕτω δὲ τάττει καὶ ὁ λόγος. ταῦτ' ὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

few & moderate desires

Δ.

Λέγωμεν δ' ἑξῆς περὶ ἐλευθεριότητος, δοκεῖ δ' εἶναι ἡ περὶ χρήματα μεσότης· ἐπαινεῖται γὰρ ὁ ἐλευθέριος ὐκ ἐν τοῖς πολεμικοῖς, οὐδ' ἐν οἷς ὁ σώφρων, ὐδ' αὖ ἐν ταῖς κρίσεσιν, ἀλλὰ περὶ δόσιν χρημάτων καὶ λῆψιν, μᾶλλον δ' ἐν τῇ δόσει. χρήματα δὲ λέγομεν πάντα ὅσων ἡ ἀξία νομίσματι μετρεῖται. ἔςι δὲ καὶ ἡ ἀσωτία καὶ ἡ ἀνελευθερία περὶ χρήματα ὑπερβολαὶ καὶ ἐλλείψεις· καὶ τὴν μὲν ἀνελευθερίαν προσάπτομεν ἀεὶ τοῖς μᾶλλον ἢ δεῖ περὶ χρήματα σπυδάζουσι, τὴν δ' ἀσωτίαν ἐπιφέρομεν ἐνίοτε συμπλέκοντες· τοὺς γὰρ ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροὺς ἀσώτους καλῦμεν. διὸ καὶ φαυλότατοι δοκῦσιν εἶναι· πολλὰς γὰρ ἅμα κακίας ἔχυσιν. οὐ δὴ οἰκείως προσαγορεύονται· βούλεται γὰρ ἄσωτος εἶναι ὁ ἓν τι κακὸν ἔχων.

πεῖσθαι ἀποτυγχάνων K^b. ‖ 5. δὲ τὰ περὶ K^bO^b. ‖ 9. μηδὲ] μηδὲν N^b. ‖ 10. τέτυχε K^b. ‖ ὀνόματος ὁ τοιῦτος K^bO^b. ‖ 11. περὶ K^b. ‖ 12. γὰρ om N^b. ‖ 14. οὐδ'] οὔτ' K^b, οὔτε δ' O^b. ‖ 15. ἢ δεῖ] ἢ δεῖ ὔθ' ἓν K^b, ἢ δεῖ ὐθενὶ (vel ὀδενὶ) ceteri. ‖ ὐθενός codices. ‖ 16. ὅσα] ἃ K^bO^b. ‖ πρὸς post ἢ om O^b. ‖ 18. παρὰ] περὶ M^b. ‖ ὑπὲρ] περὶ M^b. ‖ 20. ἀξίας] οὐσίας τοιῦτο K^b. ‖ 25. ἐπονείδιςον K^b. ‖ ῥάδιον $K^bM^bO^b$. ‖ 26. τὰ om N^b. ‖ 27. ὠθισμοὶ M^b. ‖ ἐπὶ τῶν φοβερῶν δ' L^bM^b δ' om L^b. ‖ ἑκούσιον] φευκτὸν $K^bL^bM^bO^b$. ‖ 29. ταῦτα] τὰ K^b. ‖ 31. ἕκαςον M^b. ‖ 34. καὶ om L^bM^b. ‖ περὶ M^b.] τὸν K^bM^b. ‖ πολλὴν ἕξιν αὔξησιν K^b. ‖ ἔχοντα M^b. ‖ 6. καὶ ante μάλιστα om K^bM^b. ‖ ἐν] δὲ ἐν M^b. ‖ ἡ] γὰρ καὶ ἡ εἰ — 8. ὄρεξις om M^b. ‖ 7. ἐςιν O^b. ‖ 8. πάντοθεν K^b. ‖ 10. ὦσι καὶ σφοδραί M^b. ‖ ἐκκρούωσι M^b. ‖ 11. αὐτὰς ante m M^b. ‖ 12. ἐπιπειθὲς O^b. ‖ καὶ om K^b. ‖ 13. γὰρ] δὲ K^bO^b. ‖ 14. τὸ — 15. σώφρονος om K^b. ‖ 16. τῷ om K^b. ‖ δεῖ om L^bM^b. ‖ 18. ἡμῖν om L^b. ‖ 22. λέγομεν L^bM^b et pr H^a. ‖ δὲ καὶ ἑξῆς K^b. ‖ ἡ om $L^bM^bO^b$. ‖ 24. ὁ om . ἡ alterum om pr K^b. ‖ ἐλευθερία pr M^b. ‖ 29. δεῖ] χρὴ M^b. ‖ 31. γὰρ om M^b. ‖ καὶ τοὺς εἰς M^b. ‖ 34. τι om

τὸ φθείρειν τὴν οὐσίαν· ἄσωτος γὰρ ὁ δι' αὑτὸν ἀπολλύμενος, δοκεῖ δ' ἀπώλειά τις αὑτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορά, ὡς τοῦ ζῆν διὰ τούτων ὄντος. οὕτω δὴ τὴν ἀσωτίαν ἐκδεχόμεθα. ὧν δ' ἐστὶ χρεία, ἔστι τούτοις χρῆσθαι καὶ εὖ καὶ κακῶς· ὁ πλοῦτος δ' ἐστὶ τῶν χρησίμων· ἑκάστῳ δ' ἄριστα χρῆται ὁ ἔχων τὴν περὶ τοῦτο ἀρετήν· καὶ πλούτῳ δὴ χρήσεται ἄριστα ὁ ἔχων τὴν περὶ τὰ χρήματα ἀρετήν. οὗτος δ' ἐστὶν ὁ ἐλευθέριος. χρῆσις δ' εἶναι δοκεῖ χρημάτων δαπάνη καὶ δόσις· ἡ δὲ λῆψις καὶ ἡ φυλακὴ κτῆσις μᾶλλον. διὸ μᾶλλόν ἐστι τοῦ ἐλευθερίου τὸ διδόναι οἷς δεῖ ἢ λαμβάνειν ὅθεν δεῖ καὶ μὴ λαμβάνειν ὅθεν οὐ δεῖ. τῆς γὰρ ἀρετῆς μᾶλλον τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν, καὶ τὰ καλὰ πράττειν μᾶλλον ἢ τὰ αἰσχρὰ μὴ πράττειν· οὐκ ἄδηλον δ' ὅτι τῇ μὲν δόσει ἕπεται τὸ εὖ ποιεῖν καὶ τὸ καλὰ πράττειν, τῇ δὲ λήψει τὸ εὖ πάσχειν ἢ μὴ αἰσχροπραγεῖν. καὶ ἡ χάρις τῷ διδόντι, οὐ τῷ μὴ λαμβάνοντι, καὶ ὁ ἔπαινος δὲ μᾶλλον. καὶ ῥᾷον δὲ τὸ μὴ λαβεῖν τοῦ δοῦναι· τὸ γὰρ οἰκεῖον ἧττον προΐενται μᾶλλον ἢ οὐ λαμβάνουσι τὸ ἀλλότριον. καὶ ἐλευθέριοι δὲ λέγονται οἱ διδόντες· οἱ δὲ μὴ λαμβάνοντες οὐκ εἰς ἐλευθεριότητα ἐπαινοῦνται, ἀλλ' οὐχ ἧττον εἰς δικαιοσύνην· οἱ δὲ λαμβάνοντες οὐδ' ἐπαινοῦνται πάνυ. φιλοῦνται δὲ σχεδὸν μάλιστα οἱ ἐλευθέριοι τῶν ἀπ' ἀρετῆς· ὠφέλιμοι γάρ,
2 τοῦτο δ' ἐν τῇ δόσει. αἱ δὲ κατ' ἀρετὴν πράξεις καλαὶ καὶ τοῦ καλοῦ ἕνεκα. καὶ ὁ ἐλευθέριος οὖν δώσει τοῦ καλοῦ ἕνεκα καὶ ὀρθῶς· οἷς γὰρ δεῖ καὶ ὅσα καὶ ὅτε, καὶ τἆλλα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει· καὶ ταῦτα ἡδέως ἢ ἀλύπως· τὸ γὰρ κατ' ἀρετὴν ἡδὺ ἢ ἄλυπον, ἥκιστα δὲ λυπηρόν. ὁ δὲ διδοὺς οἷς μὴ δεῖ, ἢ μὴ τοῦ καλοῦ ἕνεκα ἀλλὰ διά τιν' ἄλλην αἰτίαν, οὐκ ἐλευθέριος ἀλλ' ἄλλος τις ῥηθήσεται. οὐδ' ὁ λυπηρῶς· μᾶλλον γὰρ ἕλοιτ' ἂν τὰ χρήματα τῆς καλῆς πράξεως, τοῦτο δ' οὐκ ἐλευθερίου. οὐδὲ λήψεται δὲ ὅθεν μὴ δεῖ· οὐδὲ γάρ ἐστι τοῦ μὴ τιμῶντος τὰ χρήματα ἡ τοιαύτη λῆψις. οὐκ ἂν εἴη δὲ οὐδ' αἰτητικός· οὐ γάρ ἐστι τοῦ εὖ ποιοῦντος εὐχερῶς εὐεργετεῖσθαι. ὅθεν δὲ δεῖ, λήψεται, οἷον ἀπὸ τῶν ἰδίων κτημάτων, οὐχ ὡς καλὸν ἀλλ' ὡς ἀναγκαῖον, ὅπως ἔχῃ διδόναι. οὐδ' ἀμελήσει τῶν ἰδίων, βουλόμενός γε διὰ τούτων τισὶν ἐπαρκεῖν. οὐδὲ τοῖς τυχοῦσι δώσει, ἵνα ἔχῃ διδόναι οἷς δεῖ καὶ ὅτε καὶ οὗ καλόν. ἐλευθερίου δ' ἐστὶ σφόδρα καὶ τὸ ὑπερβάλλειν ἐν τῇ δόσει, ὥστε καταλείπειν ἑαυτῷ ἐλάττω· τὸ γὰρ μὴ ἐπιβλέπειν ἐφ' ἑαυτὸν ἐλευθερίου. κατὰ τὴν οὐσίαν δ' ἡ ἐλευθεριότης λέγεται· οὐ γὰρ ἐν τῷ πλήθει τῶν διδομένων τὸ ἐλευθέριον, ἀλλ' ἐν τῇ τοῦ διδόντος ἕξει, αὕτη δὲ κατὰ τὴν οὐσίαν δίδωσιν. οὐθὲν δὴ κωλύει ἐλευθεριώτερον εἶναι τὸν τὰ ἐλάττω διδόντα, ἐὰν ἀπ' ἐλαττόνων διδῷ. ἐλευθεριώτεροι δὲ εἶναι δοκοῦσιν οἱ μὴ κτησάμενοι ἀλλὰ παραλαβόντες τὴν οὐσίαν· ἄπειροί τε γὰρ τῆς ἐνδείας, καὶ πάντες ἀγαπῶσι μᾶλλον τὰ αὑτῶν ἔργα, ὥσπερ οἱ γονεῖς καὶ οἱ ποιηταί. πλουτεῖν δ' οὐ ῥᾴδιον τὸν ἐλευθέριον, μήτε ληπτικὸν ὄντα μήτε φυλακτικόν, προετικὸν δὲ καὶ μὴ τιμῶντα δι' αὑτὰ τὰ χρήματα ἀλλ' ἕνεκα τῆς δόσεως. διὸ καὶ ἐγκαλεῖται τῇ τύχῃ ὅτι οἱ μάλιστα ἄξιοι ὄντες ἥκιστα πλουτοῦσιν. συμβαίνει δ' οὐκ ἀλόγως τοῦτο· οὐ γὰρ οἷόν τε χρήματ' ἔχειν μὴ ἐπιμελούμενον ὅπως ἔχῃ, ὥσπερ οὐδ' ἐπὶ τῶν ἄλλων. οὐ μὴν δώσει γε οἷς οὐ δεῖ οὐδ' ὅτε μὴ δεῖ, οὐδ' ὅσα ἄλλα τοιαῦτα· οὐ γὰρ ἂν ἔτι πράττοι κατὰ τὴν ἐλευθεριότητα, καὶ εἰς ταῦτα ἀναλώσας οὐκ ἂν ἔχοι εἰς ἃ δεῖ ἀναλίσκειν. ὥσπερ γὰρ εἴρηται, ἐλευθέριός ἐστιν ὁ κατὰ τὴν οὐσίαν δαπανῶν καὶ εἰς ἃ δεῖ· ὁ δ' ὑπερβάλλων ἄσωτος. διὸ τοὺς τυράννους οὐ λέγομεν ἀσώτους· τὸ γὰρ πλῆθος τῆς κτήσεως οὐ δοκεῖ ῥᾴδιον εἶναι ταῖς δόσεσι καὶ ταῖς δαπάναις ὑπερβάλλειν. τῆς ἐλευθεριότητος δὴ μεσότητος οὔσης περὶ χρημάτων δόσιν καὶ λῆψιν, ὁ ἐλευθέριος καὶ δώσει καὶ δαπανήσει εἰς ἃ δεῖ καὶ ὅσα δεῖ, ὁμοίως ἐν μικροῖς καὶ μεγάλοις, καὶ ταῦτα ἡδέως· καὶ λήψεται δ' ὅθεν δεῖ καὶ ὅσα δεῖ. τῆς ἀρετῆς γὰρ περὶ ἄμφω οὔσης μεσότητος, ποιήσει ἀμφότερα ὡς δεῖ· ἕπεται γὰρ τῇ ἐπιεικεῖ δόσει ἡ τοιαύτη λῆψις, ἡ δὲ μὴ τοιαύτη ἐναντία ἐστίν. αἱ μὲν οὖν ἑπόμεναι γίγνονται ἅμα ἐν τῷ αὐτῷ, αἱ δ' ἐναντίαι δῆ-

1. φθεῖρον L^b. ‖ γὰρ] δὲ M^b. ‖ 3. ἐνδεχόμεθα H^a. ‖ 4. χρεία] χρεία τις L^bM^b. ‖ 6. περὶ — 7. περὶ τὰ χρήματα] περὶ χρημάτων H^a. ‖ 6. τοῦτο] ἕκαστον L^bM^b. ‖ 8. δαπανητικὴ δόσις M^b. ‖ 9. ἡ post καὶ om H^a. ‖ 11. μὴ] μετὰ M^b. ‖ ἀρετῆς γὰρ L^bM^b. ‖ 13. τὰ αἰσχρὰ μὴ πράσσειν L^b. ‖ 14. καὶ τὸ] καὶ τὰ M^b. ‖ 16. μὴ om M^b et pr K^b. ‖ 17. λαμβάνειν $H^aL^bM^b$. ‖ 21. οὐκ L^b. ‖ σχεδὸν om M^b. ‖ 24. οὖν] δὲ L^bM^b. ‖ 27. ἥκιστα δὲ] ἢ ἥκιστα H^aM^b, ἥκιστα L^b. ‖ 28. ἢ] καὶ οἷς M^b. ‖ 30. αἱροῖτ' L^bM^b. ‖ 31. δὲ om $H^aM^bO^b$. ‖ 32. οὐ K^b. ‖ μὴ et τὰ χρήματα om K^b. ‖ 33. οὐδ' M^b. ‖ δὲ om M^b. ‖ οὔτ' H^a.

2. ἔχει K^b. ‖ οἰκείων L^bM^b. ‖ 4. ὅτε καὶ οὗ] ὅτε οὗ H^a, ὅπου K^bO^b. ‖ 5. καταλιπεῖν $K^bL^bM^b$. ‖ 6. βλέπειν M^b. ‖ αὑτὸν L^b, ἑαυτὸν ἀλλ' εἰς τὸ καλὸν O^b. ‖ ἐλευθερίου. οὐδὲ γάρ ἐστιν ἐλευθερίου τὸ τὴν οἰκείαν χρείαν τῆς τοῦ δεομένου προτιμοτέραν. κατὰ O^b. ‖ 8. διδόντος H^aM^b. ‖ 9. οὐθὲν δὲ H^a, ὅθεν οὐθὲν L^bM^b. ‖ 10. τὰ ἐλάττω] ταῦτα H^a, ἐλάττω L^b. ‖ 13. καὶ μᾶλλον ἀγαπῶσι, omisso πάντες H^a. μᾶλλον om L^b. ‖ 15. προεκτικὸν M^b. ‖ 17. καὶ om O^b. ‖ 19. ἐπιμελώμενον K^b. ‖ ἔχοι M^b. ‖ 20. οὐδ' om H^a. ‖ οὔτ' K^b. ‖ 22. εἰς om M^b. ‖ αὐτὰ L^bM^b. ‖ 23. ἐλεύθερος L^b. ‖ 24. δ'] δὲ κατὰ τὸ M^b. ‖ 25. ἀσώτους] ἐλευθερίους M^b. ‖ 26. δόσεσι καὶ δαπάναις H^a, δαπάναις καὶ ταῖς δόσεσιν L^bM^b. ‖ 27. δὲ M^b. ‖ 28. ἐπὶ χρημάτων δόσει καὶ λήψει M^b. ‖ καὶ om O^b. ‖ 29. δεῖ post ἃ K^b. ‖ 30. δ' add K^bO^b. ‖ 33. εἰ δὲ μὴ τοιαύτη αἰτία M^b.

ἰ. ἐὰν δὲ παρὰ τὸ δέον καὶ τὸ καλῶς ἔχον συμ-
ὐτῷ ἀναλίσκειν, λυπήσεται, μετρίως δὲ καὶ ὡς δεῖ·
ῆς γὰρ καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐφ' οἷς δεῖ καὶ
καὶ εὐκοινώτητος δ' ἐςὶν ὁ ἐλευθέριος εἰς χρήματα·
γὰρ ἀδικεῖσθαι, μὴ τιμῶν γε τὰ χρήματα, καὶ
ἀχθόμενος εἴ τι δέον μὴ ἀνάλωσεν ἢ λυπούμενος εἰ
τι ἀνάλωσε, καὶ τῷ Σιμωνίδῃ οὐκ ἀρεσκόμενος.
ντος καὶ ἐν τούτοις διαμαρτάνει· οὔτε γὰρ ἥδεται ἐφ'
ὐδὲ ὡς δεῖ οὔτε λυπεῖται· ἔςαι δὲ προϊοῦσι φανερώ-
ίρηται δ' ἡμῖν ὅτι ὑπερβολαὶ καὶ ἐλλείψεις εἰσὶν ἡ
καὶ ἡ ἀνελευθερία, καὶ ἐν δυσίν, ἐν δόσει καὶ λή-
ὶ τὴν δαπάνην γὰρ εἰς τὴν δόσιν τίθεμεν. ἡ μὲν οὖν
τῷ διδόναι καὶ μὴ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ
ειν ἐλλείπει, ἡ δ' ἀνελευθερία τῷ διδόναι μὲν ἐλ-
τῷ λαμβάνειν δ' ὑπερβάλλει, πλὴν ἐπὶ μικροῖς.
ὐν τῆς ἀσωτίας οὐ πάνυ συνδυάζεται· οὐ γὰρ ῥᾴδιον
θεν λαμβάνοντα πᾶσι διδόναι· ταχέως γὰρ ἐπιλεί-
ία τοὺς ἰδιώτας διδόντας, οἵπερ καὶ δοκοῦσιν ἄσωτοι
τεὶ ὅ γε τοιοῦτος δόξειεν ἂν οὐ μικρῷ βελτίων εἶναι
υθέρου. εὐίατός τε γάρ ἐστι καὶ ὑπὸ τῆς ἡλικίας
τῆς ἀπορίας, καὶ ἐπὶ τὸ μέσον δύναται ἐλθεῖν.
ο τὰ τοῦ ἐλευθερίου· καὶ γὰρ δίδωσι καὶ οὐ λαμβά-
τερον δ' ὡς δεῖ οὐδ' εὖ. εἰ δὴ τοῦτο ἐθισθείη ἤ πως
μεταβάλοι, εἴη ἂν ἐλευθέριος· δώσει γὰρ οἷς δεῖ,
ήψεται ὅθεν οὐ δεῖ. διὸ καὶ δοκεῖ οὐκ εἶναι φαῦλος
οὐ γὰρ μοχθηροῦ οὐδ' ἀγεννοῦς τὸ ὑπερβάλλειν δι-
αὶ μὴ λαμβάνοντα, ἠλιθίου δέ. ὁ δὲ τοῦτον τὸν τρό-
ντος πολὺ δοκεῖ βελτίων τοῦ ἀνελευθέρου εἶναι διά τε
ιένα, καὶ ὅτι ὁ μὲν ὠφελεῖ πολλούς, ὁ δὲ οὐθένα,
δ' αὐτόν. ἀλλ' οἱ πολλοὶ τῶν ἀσώτων, καθάπερ
καὶ λαμβάνουσιν ὅθεν μὴ δεῖ, καὶ εἰσὶ κατὰ τοῦτο
ροι. ληπτικοὶ δὲ γίνονται διὰ τὸ βούλεσθαι μὲν ἀνα-
εὐχερῶς δὲ τοῦτο ποιεῖν μὴ δύνασθαι· ταχὺ γὰρ
αὐτοὺς τὰ ὑπάρχοντα. ἀναγκάζονται οὖν ἑτέρωθεν

πορίζειν. ἅμα δὲ καὶ διὰ τὸ μηθὲν τοῦ καλοῦ φροντίζειν ὀλιγώρως καὶ πάντοθεν λαμβάνουσιν· διδόναι γὰρ ἐπιθυμοῦσι, τὸ δὲ πῶς ἢ πόθεν οὐθὲν αὐτοῖς διαφέρει. διόπερ οὐδ' ἐλευθέριοι αἱ δόσεις αὐτῶν εἰσίν· οὐ γὰρ καλαί, οὐδὲ τούτου αὐτοῦ ἕνεκα, οὐδὲ ὡς δεῖ· ἀλλ' ἐνίοτε οὓς δεῖ πένεσθαι, τούτους πλουσίους ποιοῦσι, καὶ τοῖς μὲν μετρίοις τὰ ἤθη οὐδὲν ἂν δοῖεν, τοῖς δὲ κόλαξιν ἤ τιν' ἄλλην ἡδονὴν πορίζουσι πολλά. διὸ καὶ ἀκόλαςοι αὐτῶν εἰσὶν οἱ πολλοί· εὐχερῶς γὰρ ἀναλίσκοντες καὶ εἰς τὰς ἀκολασίας δαπανηροί εἰσι, καὶ διὰ τὸ μὴ πρὸς τὸ καλὸν ζῆν πρὸς τὰς ἡδονὰς ἀποκλίνουσιν. ὁ μὲν οὖν ἄσωτος ἀπαιδαγώγητος γενόμενος εἰς ταῦτα μεταβαίνει, τυχὼν δ' ἐπιμελείας εἰς τὸ μέσον καὶ τὸ δέον ἀφίκοιτ' ἄν. ἡ δ' ἀνελευθερία ἀνίατός ἐστιν· δοκεῖ γὰρ τὸ γῆρας καὶ πᾶσα ἀδυναμία ἀνελευθέρους ποιεῖν. καὶ συμφυέςερον τοῖς ἀνθρώποις τῆς ἀσωτίας· οἱ γὰρ πολλοὶ φιλοχρήματοι μᾶλλον ἢ δοτικοί. καὶ διατείνει δ' ἐπὶ πολύ, καὶ πολυειδές ἐστιν· πολλοὶ γὰρ τρόποι δοκοῦσι τῆς ἀνελευθερίας εἶναι. ἐν δυσὶ γὰρ οὖσα, τῇ τ' ἐλλείψει τῆς δόσεως καὶ τῇ ὑπερβολῇ τῆς λήψεως, οὐ πᾶσιν ὁλόκληρος παραγίνεται, ἀλλ' ἐνίοτε χωρίζεται, καὶ οἱ μὲν τῇ λήψει ὑπερβάλλουσιν, οἱ δὲ τῇ δόσει ἐλλείπουσιν. οἱ μὲν γὰρ ἐν ταῖς τοιαύταις προσηγορίαις οἷον φειδωλοὶ γλίσχροι κίμβικες, πάντες τῇ δόσει ἐλλείπουσι, τῶν δ' ἀλλοτρίων οὐκ ἐφίενται οὐδὲ βούλονται λαμβάνειν, οἱ μὲν διά τινα ἐπιείκειαν καὶ εὐλάβειαν τῶν αἰσχρῶν. δοκοῦσι γὰρ ἔνιοι ἢ φασί γε διὰ τοῦτο φυλάττειν, ἵνα μή ποτ' ἀναγκασθῶσιν αἰσχρόν τι πρᾶξαι. τούτων δὲ καὶ ὁ κυμινοπρίστης καὶ πᾶς ὁ τοιοῦτος· ὠνόμασται δ' ἀπὸ τῆς ὑπερβολῆς τοῦ μηθενὶ ἂν δοῦναι. οἱ δ' αὖ διὰ φόβον ἀπέχονται τῶν ἀλλοτρίων ὡς οὐ ῥᾴδιον τὸ αὐτὸν μὲν τὰ ἑτέρων λαμβάνειν, τὰ δ' αὐτοῦ ἑτέρους μή· ἀρέσκει οὖν αὐτοῖς τὸ μήτε λαμβάνειν μήτε διδόναι. οἱ δ' αὖ κατὰ τὴν λῆψιν ὑπερβάλλουσι τῷ πάντοθεν λαμβάνειν καὶ πᾶν, οἷον οἱ τὰς ἀνελευθέρους ἐργασίας ἐργαζόμενοι, πορνοβοσκοὶ καὶ πάντες οἱ τοιοῦτοι, καὶ τοκισταὶ κατὰ μικρὸν ἐπὶ πολλῷ.

ι om H^a. ‖ περὶ L^b. ‖ 4. καὶ om K^bO^b. ‖ 6 et 7. ἠνάλωσεν K^b. ‖ 8. καὶ om M^b. ‖ 9. οὔτε ὡς ceteri, καὶ ὅτε δεῖ καὶ ὡς
υπεῖται] λυπεῖται οὔτε ὡς δεῖ K^bO^b. ‖ ἔςαι δὲ] καὶ ἔςαι M^b. ‖ 10 et 11. ἡ om L^b. ‖ 11. ἐν δυσὶν om K^bO^b. ‖ λήψει καὶ
L^bM^b. ‖ 13. καὶ μὴ λαμβάνειν om L^b. ‖ τῷ — 15. ὑπερβάλλει om K^b. ‖ 14. μὲν om H^a. ‖ 15. ἐπὶ] ἐν L^bM^b. ‖ 16.
H^aM^b, συναύξουσιν L^b. ‖ 18. διδόντας ἰδιώτας $H^aK^bM^bO^b$. ‖ 19. δόξαι H^a. ‖ 20. ἀνελευθέρου καὶ γὰρ δίδωσι καὶ οὐ λαμ-
ιατός L^bM^b. ‖ ἰατὸς pr K^b. ‖ τε om K^bO^b. ‖ ὑπὸ om H^a. ‖ 24. μεταβάλλοι $H^aK^bM^bO^b$. ‖ οἷς] οὗ K^b. ‖ 25. οὐ om
οὐ om K^b. ‖ 26. τὸ μὴ ὑπερβάλλειν pr K^b. ‖ 27. μὴ] οὐ M^b. ‖ 28. τε om K^bO^b. ‖ 30. ἑαυτὸν H^a. ‖ 31. μὴ] οὐ M^b. ‖
τὸ] καὶ τῷ M^b. ‖ 33. δὲ μὴ τοῦτο K^b. ‖ μὴ δύνασθαι om $H^aK^bO^b$.
πόθεν ἢ πῶς M^b. ‖ ἐλεύθεροι L^b. ‖ 4. αὐτοῦ om K^bO^b. ‖ 5. πλείους H^a. ‖ 7. τὴν K^b. ‖ 11. εἰς ταῦτα] ἐνταῦθα H^a. ‖ 12.
K^b. ‖ 13. ἀνίατός γ' ἐστιν K^b. ‖ 16. δ'] δὴ H^a, om M^b. ‖ 19. περιγίνεται M^b. ‖ 22. κίμβηκες O^b. ‖ 26. καὶ om
8. μηθένα L^b, μηδὲν M^b, μηδὲν K^b. ‖ ἂν om L^bM^b. ‖ 29. τὸ] τὸν L^bM^b, om K^b. ‖ 30. ἀρέσκειν $H^aK^bL^bM^b$. ‖ 33. ἐρ-
καὶ πορνοβοσκοὶ L^bM^b. ‖ 34. κατὰ μικρὸν] καὶ τὰ μικρὰ $H^aL^bO^b$, καὶ τὰ μικρὸν καὶ K^b.

πάντες γὰρ οὐτοι ὅθεν οὐ δεῖ λαμβάνουσι, καὶ ὁπόσον οὐ δεῖ. κοινὸν δ' ἐπ' αὐτοῖς ἡ αἰσχροκέρδεια φαίνεται· πάντες γὰρ ἕνεκα κέρδους, καὶ τούτου μικροῦ, ὀνείδη ὑπομένουσιν. τοὺς γὰρ τὰ μεγάλα μὴ ὅθεν δὲ δεῖ λαμβάνοντας, μηδὲ ἃ δεῖ, οὐ λέγομεν ἀνελευθέρους, οἷον τοὺς τυράννους πόλεις πορθοῦντας καὶ ἱερὰ συλῶντας, ἀλλὰ πονηροὺς μᾶλλον καὶ ἀσεβεῖς καὶ ἀδίκους. ὁ μέντοι κυβευτὴς καὶ ὁ λωποδύτης καὶ ὁ λῃστὴς τῶν ἀνελευθέρων εἰσίν· αἰσχροκερδεῖς γάρ. κέρδους γὰρ ἕνεκεν ἀμφότεροι πραγματεύονται καὶ ὀνείδη ὑπομένουσιν, καὶ οἱ μὲν κινδύνους τοὺς μεγίστους ἕνεκα τοῦ λήμματος, οἱ δ' ἀπὸ τῶν φίλων κερδαίνουσιν, οἷς δεῖ διδόναι. ἀμφότεροι δὴ ὅθεν οὐ δεῖ κερδαίνειν βουλόμενοι αἰσχροκερδεῖς, καὶ πᾶσαι δὴ αἱ τοιαῦται λήψεις ἀνελεύθεροι. εἰκότως δὲ τῇ ἐλευθεριότητι ἀνελευθερία ἐναντίον λέγεται· μεῖζόν τε γάρ ἐστι κακὸν τῆς ἀσωτίας, καὶ μᾶλλον ἐπὶ ταύτην ἁμαρτάνουσιν ἢ κατὰ τὴν λεχθεῖσαν ἀσωτίαν. περὶ μὲν οὖν ἐλευθεριότητος καὶ τῶν ἀντικειμένων κακιῶν τοσαῦτ' εἰρήσθω.

4 Δόξειε δ' ἂν ἀκόλουθον εἶναι καὶ περὶ μεγαλοπρεπείας διελθεῖν· δοκεῖ γὰρ καὶ αὐτὴ περὶ χρήματά τις ἀρετὴ εἶναι. οὐχ ὥσπερ δ' ἡ ἐλευθεριότης διατείνει περὶ πάσας τὰς ἐν χρήμασι πράξεις, ἀλλὰ περὶ τὰς δαπανηρὰς μόνον· ἐν τούτοις δ' ὑπερέχει τῆς ἐλευθεριότητος μεγέθει. καθάπερ γὰρ τοὔνομα αὐτὸ ὑποσημαίνει, ἐν μεγέθει πρέπουσα δαπάνη ἐστίν. τὸ δὲ μέγεθος πρός τι· οὐ γὰρ τὸ αὐτὸ δαπάνημα τριηράρχῳ καὶ ἀρχιθεωρῷ. τὸ πρέπον δὴ πρὸς αὐτόν, καὶ ἐν ᾧ καὶ περὶ ἅ. ὁ δ' ἐν μικροῖς ἢ ἐν μετρίοις κατ' ἀξίαν δαπανῶν οὐ λέγεται μεγαλοπρεπής, οἷον τὸ "πολλάκι δόσκον ἀλήτῃ·" ἀλλ' ὁ ἐν μεγάλοις οὕτως. ὁ μὲν γὰρ μεγαλοπρεπὴς ἐλευθέριος, ὁ δ' ἐλευθέριος οὐθὲν μᾶλλον μεγαλοπρεπής. τῆς τοιαύτης δ' ἕξεως ἡ μὲν ἔλλειψις μικροπρέπεια καλεῖται, ἡ δ' ὑπερβολὴ βαναυσία καὶ ἀπειροκαλία καὶ ὅσαι τοιαῦται, οὐχ ὑπερβάλλουσαι τῷ μεγέθει περὶ ἃ δεῖ, ἀλλ' ἐν οἷς οὐ δεῖ καὶ ὡς οὐ δεῖ λαμπρυνόμεναι· ὕστερον δὲ περὶ αὐτῶν ἐροῦμεν. ὁ δὲ μεγαλοπρεπὴς ἐπιστήμονι ἔοικεν· τὸ πρέπον γὰρ δύναται θεωρῆσαι καὶ δαπανῆσαι μεγάλα ἐμμελῶς. ὥσπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, ἡ ἕξις ταῖς ἐνεργείαις ὁρίζεται, καὶ ὧν ἐστίν. αἱ δὴ τοῦ μεγαλοπρεποῦς δαπάναι μεγάλαι καὶ πρέπουσαι. τοιαῦτα δὴ καὶ τὰ ἔργα· οὕτω γὰρ ἔσται μέγα δαπάνημα καὶ πρέπον τῷ ἔργῳ. ὥστε τὸ μὲν ἔργον τῆς δαπάνης ἄξιον δεῖ εἶναι, τὴν δὲ δαπάνην τοῦ ἔργου, ἢ καὶ ὑπερβάλλειν. δαπανήσει δὲ τὰ τοιαῦτα ὁ μεγαλοπρεπὴς τοῦ καλοῦ ἕνεκα· κοινὸν γὰρ τοῦτο ταῖς ἀρεταῖς. καὶ ἔτι ἡδέως καὶ προετικῶς· ἡ γὰρ ἀκριβολογία μικροπρεπές. καὶ πῶς κάλλιστον καὶ πρεπωδέστατον, σκέψαιτ' ἂν μᾶλλον ἢ πόσου καὶ πῶς ἐλαχίστου. ἀναγκαῖον δὴ καὶ ἐλευθέριον τὸν μεγαλοπρεπῆ εἶναι· καὶ γὰρ ὁ ἐλευθέριος δαπανήσει ἃ δεῖ καὶ ὡς δεῖ. ἐν τούτοις δὲ τὸ μέγα τοῦ μεγαλοπρεποῦς, οἷον μέγεθος, περὶ ταὐτὰ τῆς ἐλευθεριότητος οὔσης, καὶ ἀπὸ τῆς ἴσης δαπάνης τὸ ἔργον ποιήσει μεγαλοπρεπέστερον. οὐ γὰρ ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργου· κτῆμα μὲν γὰρ τὸ πλείστου ἄξιον τιμιώτατον, οἷον χρυσός, ἔργον δὲ τὸ μέγα καὶ καλόν. τοῦ γὰρ τοιούτου ἡ θεωρία θαυμαστή, τὸ δὲ μεγαλοπρεπὲς θαυμαστόν. καὶ ἔστιν ἔργου ἀρετὴ μεγαλοπρέπεια ἐν μεγέθει. ἔστι δὲ τῶν δαπανημάτων, οἷα λέγομεν τὰ τίμια, οἷον τὰ περὶ θεοὺς ἀναθήματα καὶ κατασκευαὶ καὶ θυσίαι, ὁμοίως δὲ καὶ ὅσα περὶ πᾶν τὸ δαιμόνιον, καὶ ὅσα πρὸς τὸ κοινὸν εὐφιλοτίμητά ἐστιν, οἷον εἴ που χορηγεῖν οἴονται δεῖν λαμπρῶς ἢ τριηραρχεῖν ἢ καὶ ἑστιᾶν τὴν πόλιν. ἐν ἅπασι δ' ὥσπερ εἴρηται, καὶ πρὸς τὸν πράττοντα ἀναφέρεται τὸ τίς ὢν καὶ τίνων ὑπαρχόντων· ἄξια γὰρ δεῖ τούτων εἶναι, καὶ μὴ μόνον τῷ ἔργῳ ἀλλὰ καὶ τῷ ποιοῦντι πρέπειν. διὸ πένης μὲν οὐκ ἂν εἴη μεγαλοπρεπής· οὐ γὰρ ἔστιν ἀφ' ὧν πολλὰ δαπανήσει πρεπόντως· ὁ δ' ἐπιχειρῶν ἠλίθιος· παρὰ τὴν ἀξίαν γὰρ καὶ τὸ δέον, κατ' ἀρετὴν δὲ τὸ ὀρθῶς. πρέπει δὲ καὶ οἷς τὰ τοιαῦτα προϋπάρχει δι' αὐτῶν ἢ διὰ τῶν προγόνων ἢ ὧν αὐτοῖς μέτεστιν, καὶ τοῖς εὐγενέσι καὶ τοῖς ἐνδόξοις καὶ ὅσα τοιαῦτα· πάντα γὰρ ταῦτα μέγεθος ἔχει καὶ ἀξίωμα. μάλιστα μὲν οὖν τοιοῦτος ὁ μεγαλοπρεπής, καὶ ἐν τοῖς τοιούτοις δαπανήμασιν ἡ μεγαλοπρέπεια, ὥσπερ εἴρηται· μέγιστα γὰρ καὶ ἐντιμότατα· τῶν δὲ ἰδίων ὅσα

1. ὁπόσον] ὁπότε K^b. ‖ 2. αἰσχροκερδία pr K^b. ‖ 4. τὰ om M^b. ‖ δὲ om H^a. ‖ ἃ] ἃ οὐ O^b. ‖ οὐδὲ H^a. ‖ 6. ἀλλὰ om H^a. ‖ 7. ὁ ante λωποδύτης et 8. εἰσίν om K^b. ‖ 8. ἕνεκα $H^aK^bM^bO^b$. ‖ 11. δὲ M^b. ‖ 14. κακόν ἐστι K^bO^b. ‖ 15. ταύτης M^b, ταῦτα L^b. ‖ ἢ οἱ κατὰ pr K^b. ‖ 18. δόξαι H^aK^b. ‖ 19. εἶναι ἀρετή M^b. ‖ 21. δ' ἐν τούτοις K^b. ‖ 22. γὰρ om L^bM^b. ‖ 25. δὲ M^b. ‖ 26. ἢ $K^bL^bM^b$. ‖ 27. τὸ om M^b. ‖ δώσει M^b. ‖ ἀλήτῃς H^aK^b. ‖ 28. οὗτος $H^aK^bL^bO^b$. ‖ γὰρ om H^aM^b. ‖ 33. καὶ ὡς οὐ δεῖ om K^b. ‖ δὲ περὶ] δ' ὑπὲρ K^bO^b. ‖ 35. ἐπιμελῶς M^b.

5. δεῖν $K^bL^bM^b$. ‖ 6. δαπανήσειε δὴ H^a. ‖ 8. προεκτικῶς M^b. ‖ 9. πόσον M^b. ‖ 10. πῶς δι' ἐλαχίστου L^b. ‖ δὲ H^a. ‖ 12. τὸ μέγα om H^a. ‖ 13. ταυτὰ H^a: ceteri ταῦτα. ‖ 15. γὰρ ἀρετὴ τὸ H^a. ‖ ἄξιον καὶ τιμιώτατον H^a et corr K^b. ‖ 18. μεγαλοπρέπεια ἀρετὴ L^bM^b. ‖ 19. τὰ ante τίμια om M^b. ‖ 20. περὶ τοὺς θεοὺς $H^aL^bM^b$. ‖ ἀναίσθητα M^b. ‖ 21. ὅσα ante περὶ om O^b et pr K^b. ‖ 22. οἴονται δεῖν] οἷόν τε K^b. ‖ 25. δεῖν M^b. ‖ 26. πρέπει L^b. ‖ 30. τὰ et διὰ om K^bO^b. ‖ 34. τοῖς om $H^aL^bO^b$. ‖ περ et 35. δὲ om M^b.

γίνεται, οἷον γάμος καὶ εἴ τι τοιοῦτον, καὶ εἰ περί ἡ πόλις σπουδάζει ἢ οἱ ἐν ἀξιώματι, καὶ περὶ ὑποδοχὰς καὶ ἀποςολάς, καὶ δωρεὰς καὶ ἀντιδω- γὰρ εἰς ἑαυτὸν δαπανηρὸς ὁ μεγαλοπρεπὴς ἀλλ' οινά, τὰ δὲ δῶρα τοῖς ἀναθήμασιν ἔχει τι ὅμοιον. ρεποῦς δὲ καὶ οἶκον κατασκευάσασθαι πρεπόντως τῳ· κόσμος γάρ τις καὶ οὗτος. καὶ περὶ ταῦτα δαπανᾶν ὅσα πολυχρόνια τῶν ἔργων· κάλλιστα τα. καὶ ἐν ἑκάςοις τὸ πρέπον· οὐ γὰρ ταὐτὰ ἁρ- ῖς καὶ ἀνθρώποις, ὐδ' ἐν ἱερῷ καὶ τάφῳ· καὶ ἐπὶ ινημάτων ἕκαςον μέγα ἐν τῷ γένει, καὶ μεγαλο- τον μὲν τὸ ἐν μεγάλῳ μέγα, ἐνταῦθα δὲ τὸ ἐν γα. καὶ διαφέρει τὸ ἐν τῷ ἔργῳ μέγα τοῦ ἐν τῷ ατι· σφαῖρα μὲν γὰρ ἢ λήκυθος ἡ καλλίςη ἔχει ρέπειαν παιδικοῦ δώρυ, ἡ δὲ τύτυ τιμὴ μικρὸν καὶ ιον. διὰ τῦτό ἐςι τῦ μεγαλοπρεπῦς, ἐν ᾧ ἂν ποιῇ γαλοπρεπῶς ποιεῖν· τὸ γὰρ τοιῦτον ὐκ εὐυπέρβλη- ἔχον κατ' ἀξίαν τῦ δαπανήματος. τοιῦτος μὲν ὖν .οπρεπής, ὁ δ' ὑπερβάλλων καὶ βάναυσος τῷ δέον ἀναλίσκειν ὑπερβάλλει, ὥσπερ εἴρηται. ἐν μικροῖς τῶν δαπανημάτων πολλὰ ἀναλίσκει καὶ εται παρὰ μέλος, οἷον ἐρανιστὰς γαμικῶς ἑστιῶν, ῳδοῖς χορηγῶν ἐν τῇ παρόδῳ πορφύραν εἰσφέρων, Μεγαρεῖς. καὶ πάντα τὰ τοιαῦτα ποιήσει οὐ τοῦ εκα, ἀλλὰ τὸν πλοῦτον ἐπιδεικνύμενος, καὶ διὰ όμενος θαυμάζεσθαι, καὶ οὗ μὲν δεῖ πολλὰ ἀνα- λίγα δαπανῶν, ὗ δ' ὀλίγα, πολλά. ὁ δὲ μικρο- ερὶ πάντα ἐλλείψει, καὶ τὰ μέγιςα ἀναλώσας ἐν ὸ καλὸν ἀπολεῖ, καὶ ὅ τι ἂν ποιῇ μέλλων, καὶ τῶς ἂν ἐλάχιςον ἀναλώσαι, καὶ ταῦτ' ὀδυρόμενος, ' οἰόμενος μείζω ποιεῖν ἢ δεῖ. εἰσὶ μὲν ὖν αἱ ἕξεις κίαι, ὐ μὴν ὀνείδη γ' ἐπιφέρυσι διὰ τὸ μήτε βλα- πέλας εἶναι μήτε λίαν ἀσχήμονες.

δὲ μεγαλοψυχία περὶ μεγάλα μὲν καὶ ἐκ τῦ ὀνό- ικεν εἶναι, περὶ ποῖα δ' ἐςὶ πρῶτον λάβωμεν. δια- φέρει δ' οὐθὲν τὴν ἕξιν ἢ τὸν κατὰ τὴν ἕξιν σκοπεῖν. δοκεῖ δὲ μεγαλόψυχος εἶναι ὁ μεγάλων αὑτὸν ἀξιῶν ἄξιος ὤν· ὁ γὰρ μὴ κατ' ἀξίαν αὐτὸ ποιῶν ἠλίθιος, τῶν δὲ κατ' ἀρετὴν ὐδεὶς ἠλίθιος ὐδ' ἀνόητος. μεγαλόψυχος μὲν ὖν ὁ εἰρημένος. ὁ γὰρ μικρῶν ἄξιος καὶ τύτων ἀξιῶν ἑαυτὸν σώφρων, μεγαλόψυχος δ' ὔ· ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι, οἱ μικροὶ δ' ἀςεῖοι καὶ σύμμετροι, καλοὶ δ' ὔ. ὁ δὲ μεγάλων ἑαυτὸν ἀξιῶν ἀνάξιος ὢν χαῦνος· ὁ δὲ μειζόνων ἢ ἄξιος ὐ πᾶς χαῦνος. ὁ δ' ἐλαττόνων ἢ ἄξιος μικρόψυχος, ἐάν τε μεγάλων ἐάν τε μετρίων, ἐάν τε καὶ μικρῶν ἄξιος ὢν ἔτι ἐλαττόνων αὑτὸν ἀξιοῖ. καὶ μάλιςα ἂν δόξειεν ὁ μεγάλων ἄξιος· τί γὰρ ἂν ἐποίει, εἰ μὴ τοσύτων ἦν ἄξιος; ἔςι δὴ ὁ μεγαλόψυχος τῷ μὲν μεγέθει ἄκρος, τῷ δὲ ὡς δεῖ μέσος· τῦ γὰρ κατ' ἀξίαν αὑτὸν ἀξιοῖ. οἱ δ' ὑπερβάλλυσι καὶ ἐλλείπυσιν. εἰ δὲ δὴ μεγάλων ἑαυτὸν ἀξιοῖ ἄξιος ὤν, καὶ μάλιςα τῶν μεγίςων, περὶ ἓν μάλιςα ἂν εἴη. ἡ δ' ἀξία λέγεται πρὸς τὰ ἐκτὸς ἀγαθά. μέγιςον δὲ τῦτ' ἂν θείημεν ὃ τοῖς θεοῖς ἀπονέμομεν, καὶ οὗ μάλις' ἐφίενται οἱ ἐν ἀξιώματι, καὶ τὸ ἐπὶ τοῖς καλλίςοις ἆθλον. τοιῦτον δ' ἡ τιμή· μέγιστον γὰρ δὴ τῦτο τῶν ἐκτὸς ἀγαθῶν. περὶ τιμὰς δὴ καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστιν ὡς δεῖ. καὶ ἄνευ δὲ λόγυ φαίνονται οἱ μεγαλόψυχοι περὶ τιμὴν εἶναι· τιμῆς γὰρ μάλισθ' οἱ μεγάλοι ἀξιῦσιν ἑαυτύς, κατ' ἀξίαν δέ. ὁ δὲ μικρόψυχος ἐλλείπει καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τὸ τοῦ μεγαλοψύχυ ἀξίωμα. ὁ δὲ χαῦνος πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει, οὐ μὴν τόν γε μεγαλόψυχον. ὁ δὲ μεγαλόψυχος, εἴπερ τῶν μεγίςων ἄξιος, ἄριςος ἂν εἴη· μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος, καὶ μεγίστων ὁ ἄριςος. τὸν ὡς ἀληθῶς ἄρα μεγαλόψυχον δεῖ ἀγαθὸν εἶναι. καὶ δόξειε δ' ἂν εἶναι μεγαλοψύχυ τὸ ἐν ἑκάςῃ ἀρετῇ μέγα. ὐδαμῶς τ' ἂν ἁρμόζοι μεγαλοψύχῳ φεύγειν παρασείσαντι, ὐδ' ἀδικεῖν· τίνος γὰρ ἕνεκα πράξει αἰσχρά, ᾧ ὐθὲν μέγα; καθ' ἕκαςα δ' ἐπισκοποῦντι πάμπαν γελοῖος φαίνοιτ' ἂν ὁ μεγαλόψυχος μὴ αγαθὸς ὤν. ὐκ εἴη δ' ἂν ὐδὲ τιμῆς ἄξιος φαῦλος ὤν· τῆς ἀρετῆς γὰρ ἆθλον ἡ τιμή, καὶ ἀπονέμεται

πᾶσα K^bO^b. ‖ οἱ om M^b. ‖ 3. καὶ ἀντιδωρεάς om K^bO^b. ‖ 4. αὑτὸν L^bM^b. ‖ 6. οἴκησιν H^a. ‖ 9. ταὐτὰ] τὸ αὐτὸ H^a. ‖ γὰρ μέγα H^a. ‖ καὶ om M^b. ‖ 14. γὰρ] γὰρ ἡ καλλίςη K^bO^b. ‖ μεγαλοπρέπειαν ἔχει $H^aK^bO^b$. ‖ 16. ἐλεύθερον καὶ διὰ H^a. ‖ M^b. ‖ ποιοῖ M^b. ‖ 18. καὶ ἔχον] ὡς ἔχον τὰ M^b. ‖ 21. μικροῖς] πολλοῖς M^b. ‖ 24. μέγαροι K^b. ‖ 26. ταῦτα] τὰ τοιαῦτα μὲν] δὲ M^b. ‖ 27. δαπανᾶν L^b. ‖ 30. ἀναλώσῃ O^b. ‖ 33. τῶν H^aK^b. ‖ 34. μὲν καὶ om M^b.

L^b, τὰ corr K^b. ‖ 3. τῶν — 4. ἠλίθιος om H^a. ‖ 5. γὰρ] δὲ M^b. ‖ ἑαυτὸν ἀξιῶν M^b. ‖ 7. μέτριοι M^b. ‖ 8. αὑτὸν L^b ὁ — χαῦνος om H^a, ὁ — 10. ἄξιος om M^b. ‖ 10. ἢ om H^a. ‖ μικρόψυχος γὰρ ἐάν M^b. ‖ 11. καὶ post τε om M^b. ‖ . ‖ ἑαυτὸν L^bM^b. ‖ 13. τοιύτων H^a. ‖ μὲν om M^b. ‖ 15. δὲ om pr K^b. ‖ 17. ἂν μάλιςα O^b. ‖ 18. δ' ἂν τῦτο M^b. ‖ H^a. ‖ 22. δὴ M^b. ‖ 24. δὲ om K^b. ‖ 25. μεγάλυ L^bM^b. ‖ μὲν πρὸς ἑαυτὸν K^b. ‖ 26. γε om K^bO^b. ‖ 27. ἄριςος ἂν ῶν μεγίςων ἄξιος, καὶ μεγίστων L^b, omissis μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος. ‖ 30. δ' ἂν om K^bO^b, ἂν om $H^aL^bM^b$. ‖ 31. τι ὐδ' ἀδικεῖ M^b. ‖ 32. ᾧ γ' ὐθὲν O^b. ‖ 33. γελοῖον pr K^b. ‖ φανοιτ' H^a. ‖ 34. μὴ ἀγαθὸς om H^aN^b.

τοῖς ἀγαθοῖς. ἔοικε μὲν οὖν ἡ μεγαλοψυχία οἷον κόσμος τις εἶναι τῶν ἀρετῶν· μείζους γὰρ αὐτὰς ποιεῖ, καὶ οὐ γίνεται ἄνευ ἐκείνων. διὰ τοῦτο χαλεπὸν τῇ ἀληθείᾳ μεγαλόψυχον εἶναι· οὐ γὰρ οἷόν τε ἄνευ καλοκἀγαθίας. μάλιστα μὲν οὖν περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστι, καὶ ἐπὶ μὲν ταῖς μεγάλαις καὶ ὑπὸ τῶν σπουδαίων μετρίως ἡσθήσεται, ὡς τῶν οἰκείων τυγχάνων ἢ καὶ ἐλαττόνων· ἀρετῆς γὰρ παντελοῦς οὐκ ἂν γένοιτο ἀξία τιμή· οὐ μὴν ἀλλ' ἀποδέξεταί γε τῷ μὴ ἔχειν αὐτοὺς μείζω αὐτῷ ἀπονέμειν. τῆς δὲ παρὰ τῶν τυχόντων καὶ ἐπὶ μικροῖς πάμπαν ὀλιγωρήσει· οὐ γὰρ τούτων ἄξιος. ὁμοίως δὲ καὶ ἀτιμίας· οὐ γὰρ ἔσται δικαίως περὶ αὐτόν. μάλιστα μὲν οὖν ἐστίν, ὥσπερ εἴρηται, ὁ μεγαλόψυχος περὶ τιμάς, οὐ μὴν ἀλλὰ καὶ περὶ πλοῦτον καὶ δυναστείαν καὶ πᾶσαν εὐτυχίαν καὶ ἀτυχίαν μετρίως ἕξει, ὅπως ἂν γίνηται, καὶ οὔτ' εὐτυχῶν περιχαρὴς ἔσται οὔτ' ἀτυχῶν περίλυπος. οὐδὲ γὰρ περὶ τιμὴν οὕτως ἔχει ὡς μέγιστον ὄν. αἱ γὰρ δυναστεῖαι καὶ ὁ πλοῦτος διὰ τὴν τιμήν ἐστιν αἱρετά· οἱ γοῦν ἔχοντες αὐτὰ τιμᾶσθαι δι' αὐτῶν βούλονται. ᾧ δὴ καὶ ἡ τιμὴ μικρόν ἐστι, τούτῳ καὶ τἆλλα.

8 διὸ ὑπερόπται δοκοῦσιν εἶναι. δοκεῖ δὲ καὶ τὰ εὐτυχήματα συμβάλλεσθαι πρὸς μεγαλοψυχίαν. οἱ γὰρ εὐγενεῖς ἀξιοῦνται τιμῆς καὶ οἱ δυναστεύοντες ἢ οἱ πλουτοῦντες· ἐν ὑπεροχῇ γάρ, τὸ δ' ἀγαθῷ ὑπερέχον πᾶν ἐντιμότερον. διὸ καὶ τὰ τοιαῦτα μεγαλοψυχοτέρους ποιεῖ· τιμῶνται γὰρ ὑπό τινων. κατ' ἀλήθειαν δ' ὁ ἀγαθὸς μόνος τιμητέος· ᾧ δ' ἄμφω ὑπάρχει, μᾶλλον ἀξιοῦται τιμῆς. οἱ δ' ἄνευ ἀρετῆς τὰ τοιαῦτα ἀγαθὰ ἔχοντες οὔτε δικαίως ἑαυτοὺς μεγάλων ἀξιοῦσιν οὔτε ὀρθῶς μεγαλόψυχοι λέγονται· ἄνευ γὰρ ἀρετῆς παντελοῦς οὐκ ἔστι ταῦτα. ὑπερόπται δὲ καὶ ὑβρισταὶ καὶ οἱ τὰ τοιαῦτα ἔχοντες ἀγαθὰ γίγνονται. ἄνευ γὰρ ἀρετῆς οὐ ῥᾴδιον φέρειν ἐμμελῶς τὰ εὐτυχήματα· οὐ δυνάμενοι δὲ φέρειν καὶ οἰόμενοι τῶν ἄλλων ὑπερέχειν ἐκείνων μὲν καταφρονοῦσιν, αὐτοὶ δ' ὅ τι ἂν τύχωσι πράττουσιν. μιμοῦνται γὰρ τὸν μεγαλόψυχον οὐχ ὅμοιοι ὄντες, τοῦτο δὲ δρῶσιν ἐν οἷς δύνανται· τὰ μὲν οὖν κατ' ἀρετὴν οὐ πράττουσι, καταφρονοῦσι δὲ τῶν ἄλλων. ὁ δὲ μεγαλόψυχος δικαίως καταφρονεῖ (δοξάζει γὰρ ἀληθῶς), οἱ δὲ πολλοὶ τυχόντως. οὐκ ἔστι δὲ μικροκίνδυνος οὐδὲ φιλοκίνδυνος διὰ τὸ ὀλίγα τιμᾶν, μεγαλοκίνδυνος δέ, καὶ ὅταν κινδυνεύῃ, ἀφειδὴς τοῦ βίου ὡς οὐκ ἄξιον ὂν πάντως ζῆν. καὶ οἷος εὖ ποιεῖν, εὐεργετούμενος δ' αἰσχύνεται· τὸ μὲν γὰρ ὑπερέχοντος, τὸ δ' ὑπερεχομένου. καὶ ἀντευεργετικὸς πλειόνων· οὕτω γὰρ προσοφλήσει ὁ ὑπάρξας καὶ ἔσται εὖ πεπονθώς. δοκοῦσι δὲ καὶ μνημονεύειν οὓς ἂν ποιήσωσιν εὖ, ὧν δ' ἂν πάθωσιν οὔ· ἐλάττων γὰρ ὁ παθὼν εὖ τοῦ ποιήσαντος, βούλεται δ' ὑπερέχειν. καὶ τὰ μὲν ἡδέως ἀκούει, τὰ δ' ἀηδῶς· διὸ καὶ τὴν Θέτιν οὐ λέγειν τὰς εὐεργεσίας τῷ Διί· οὐδ' οἱ Λάκωνες πρὸς τοὺς Ἀθηναίους, ἀλλ' ἃ πεπόνθεσαν εὖ. μεγαλοψύχου δὲ καὶ τὸ μηθενὸς δεῖσθαι ἢ μόγις, ὑπηρετεῖν δὲ προθύμως, καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώματι καὶ εὐτυχίαις μέγαν εἶναι, πρὸς δὲ τοὺς μέσους μέτριον· τῶν μὲν γὰρ ὑπερέχειν χαλεπὸν καὶ σεμνόν, τῶν δὲ ῥᾴδιον, καὶ ἐν ἐκείνοις μὲν σεμνύνεσθαι οὐκ ἀγεννές, ἐν δὲ τοῖς ταπεινοῖς φορτικόν, ὥσπερ εἰς τοὺς ἀσθενεῖς ἰσχυρίζεσθαι. καὶ εἰς τὰ ἔντιμα μὴ ἰέναι, ἢ οὗ πρωτεύουσιν ἄλλοι· καὶ ἀργὸν εἶναι καὶ μελλητὴν ἀλλ' ἢ ὅπου τιμὴ μεγάλη ἢ ἔργον, καὶ ὀλίγων μὲν πρακτικόν, μεγάλων δὲ καὶ ὀνομαστῶν. ἀναγκαῖον δὲ καὶ φανερόμισον εἶναι καὶ φανερόφιλον· τὸ γὰρ λανθάνειν φοβουμένου. καὶ μέλειν τῆς ἀληθείας μᾶλλον ἢ τῆς δόξης, καὶ λέγειν καὶ πράττειν φανερῶς· παρρησιαστὴς γὰρ διὰ τὸ καταφρονεῖν. διὸ καὶ ἀληθευτικός, πλὴν ὅσα μὴ δι' εἰρωνείαν· εἴρων δὲ πρὸς τοὺς πολλούς. καὶ πρὸς ἄλλον μὴ δύνασθαι ζῆν

1. μὲν om L^bM^b. ‖ κάλλος τι M^b. ‖ 12. ἐστι δίκαιος H^a. ‖ 19. δὲ L^b. ‖ 21. εὐγενεῖς καὶ ἀξιοῦνται H^aN^b. ‖ 22. οἱ post ἢ om K^bM^b. ‖ 23. τὰ om H^aN^b. ‖ 25. τιμητός M^b. ‖ 27. αὐτοὺς μεγάλων K^b, μεγάλων ἑαυτοὺς M^b. ‖ 29. οἱ add K^b. ‖ 30. ἀγαθὰ O^b, κακὰ γρ L^b.

5. ὁ δὲ] ὁ μὲν γὰρ K^b. ‖ 7. πυκνοκίνδυνος $H^aL^bM^bO^b$. ‖ οὐδὲ φιλοκίνδυνος om pr K^b. ‖ 8. δὲ] γὰρ M^b. ‖ ἀφειδήσει $H^aL^bM^b$. ‖ 9. οἷός τ' εὖ M^b. ‖ 11. γὰρ] γάρ οἱ K^b. ‖ προσωφελήσειεν M^b. ‖ 14. τοῦ εὖ L^bM^b. ‖ 17. ἐπεπόνθεσαν H^aN^b, ἐπεπόνθεισαν L^b, πεπόνθασιν K^b. ‖ καὶ om M^b. ‖ 18. μόλις K^b. ‖ πρὸς τοὺς μὲν ἀξιώματι H^a. ‖ 19. μέγα H^a, omisso εἶναι. ‖ 21. ἐπ' K^bO^b. ‖ μὲν om M^b. ‖ 22. ἀσθενεῖς μὴ ἰσχυρίζεσθαι M^b. ‖ 24. μελητὴν $H^aL^bM^bO^b$. ‖ 26. καὶ ante φανερόμισον om M^b. ‖ 27. καὶ μέλλειν N^bO^b, ἀμέλει 2113, ἀμελεῖν K^b. ‖ 29. παρρησιαστὴς — 30. ἀληθευτικός γρ 1856; παρρησιαστὴς γὰρ διὰ τὸ καταφρονητικὸς εἶναι, καταφρονητικὸς δὲ διὸ παρρησιαστικός corr K^b cum Oxoniensi coll. corp. Chr. et Parisiensibus 1852 et 2023 et γρ 2113; παρρησιαστικὸς γὰρ διὰ τὸ καταφρονητικὸς εἶναι καὶ ἀληθευτικός corr H^a; παρρησιαστικὸς γάρ. διὸ καταφρονητικὸς δέ. διὸ παρρησιαστικὸς καὶ ἀληθευτικός 1856; παρρησιαστικὸς γάρ. διὸ (διὸ καὶ M^b et 1417) καταφρονητικός. καταφρονητικὸς δέ, διὸ παρρησιαστικὸς καὶ ἀληθευτικός L^bM^b et 1417; καταφρονητικοῦ γάρ. διὸ παρρησιαστικὸς καὶ ἀληθευτικός corr 1855; καταφρονητικὸς γάρ. διὸ καταφρονητικὸς καὶ ἀληθευτικός pr H^a; καταφρονητικοῦ γάρ (δὲ 2114, δὲ γὰρ 2024)· διὸ παρρησιαστικός. καὶ (καὶ om O^b et 2024 et 2114) παρρησιαστικοῦ δέ (γάρ 1855). διὸ καταφρονητικὸς καὶ (καὶ om N^b) ἀληθευτικός N^bO^b 1855 2024 2114; καταφρονητικοῦ γάρ. παρρησιαστοῦ γάρ. διὸ παρρησιαστικὸς δὲ διὰ τὸ καταφρονητικὸς εἶναι καὶ ἀληθευτικός pr K^b. ‖ 30. εἴρωνα N^b: ceteri εἰρωνεία.

ἢ πρὸς φίλον· δουλικὸν γάρ, διὸ καὶ πάντες οἱ κό-
θητικοὶ καὶ οἱ ταπεινοὶ κόλακες. οὐδὲ θαυμαστικός·
γὰρ μέγα αὐτῷ ἐστίν. οὐδὲ μνησίκακος· οὐ γὰρ
οψύχου τὸ ἀπομνημονεύειν, ἄλλως τε καὶ κακά,
μᾶλλον παρορᾶν. οὐδ' ἀνθρωπολόγος· ὔτε γὰρ περὶ
ἐρεῖ οὔτε περὶ ἑτέρου· οὔτε γὰρ ἵνα ἐπαινῆται μέλει
οὔθ' ὅπως οἱ ἄλλοι ψέγωνται, οὐδ' αὖ ἐπαινετικός
διόπερ οὐδὲ κακολόγος, οὐδὲ τῶν ἐχθρῶν, εἰ μὴ δι'
καὶ περὶ ἀναγκαίων ἢ μικρῶν ἥκιστα ὀλοφυρτι-
ὶ δεητικός· σπȣδάζοντος γὰρ ὕτως ἔχειν περὶ ταῦτα.
ος κεκτῆσθαι μᾶλλον τὰ καλὰ καὶ ἄκαρπα τῶν
ων καὶ ὠφελίμων· αὐτάρκȣς γὰρ μᾶλλον. καὶ κί-
ὲ βραδεῖα τοῦ μεγαλοψύχȣ δοκεῖ εἶναι, καὶ φωνὴ
, καὶ λέξις ϛάσιμος· ὐ γὰρ σπευϛικὸς ὁ περὶ ὀλίγα
ζων, ὐδὲ σύντονος ὁ μηθὲν μέγα οἰόμενος· ἡ δ' ὀξυ-
καὶ ἡ ταχυτὴς διὰ τȣ́των. τοιȣ̃τος μὲν ȣ̓̃ν ὁ μεγα-
ος, ὁ δ' ἐλλείπων μικρόψυχος, ὁ δ' ὑπερβάλλων
. ὐ κακοὶ μὲν ȣ̓̃ν δοκȣ̃σιν εἶναι ὐδ' ȣ̔̃τοι· ὐ γὰρ κα-
εἰσιν· ἡμαρτημένοι δέ. ὁ μὲν γὰρ μικρόψυχος
ὢν ἀγαθῶν ἑαυτὸν ἀποστερεῖ ὧν ἄξιός ἐϛι, καὶ ἔοικε
ἔχειν τι ἐκ τοῦ μὴ ἀξιοῦν ἑαυτὸν τῶν ἀγαθῶν, καὶ
δ' ἑαυτόν· ὠρέγετο γὰρ ἂν ὧν ἄξιος ἦν, ἀγαθῶν
ων. οὐ μὴν ἠλίθιοί γε οἱ τοιȣ̃τοι δοκȣ̃σιν εἶναι, ἀλλὰ
ὀκνηροί. ἡ τοιαύτη δὲ δόξα δοκεῖ καὶ χείρȣς ποιεῖν·
γὰρ ἐφίενται τῶν κατ' ἀξίαν, ἀφίστανται δὲ καὶ
άξεων τῶν καλῶν καὶ τῶν ἐπιτηδευμάτων ὡς ἀνά-
τες, ὁμοίως δὲ καὶ τῶν ἐκτὸς ἀγαθῶν. οἱ δὲ χαῦνοι
καὶ ἑαυτȣ̀ς ἀγνοȣ̃ντες, καὶ ταῦτ' ἐπιφανῶς· ὡς γὰρ
ντες τοῖς ἐντίμοις ἐπιχειροῦσιν, εἶτα ἐξελέγχονται·
ῆτι κοσμȣ̃νται καὶ σχήματι καὶ τοῖς τοιούτοις, καὶ
αι τὰ εὐτυχήματα φανερὰ εἶναι αὐτῶν, καὶ λέγȣσι
τῶν ὡς διὰ τȣ́των τιμηθησόμενοι. ἀντιτίθεται δὲ τῇ
ψυχίᾳ ἡ μικροψυχία μᾶλλον τῆς χαυνότητος· καὶ
γνεται μᾶλλον καὶ χεῖρόν ἐϛιν. ἡ μὲν οὖν μεγαλο-
περὶ τιμήν ἐϛι μεγάλην, ὥσπερ εἴρηται.

Ἔοικε δὲ καὶ περὶ ταύτην εἶναι ἀρετή τις, καθάπερ ἐν 10
τοῖς πρώτοις ἐλέχθη, ἣ δόξειεν ἂν παραπλησίως ἔχειν πρὸς τὴν μεγαλοψυχίαν ὥσπερ καὶ ἡ ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν. ἄμφω γὰρ αὗται τȣ̃ μὲν μεγάλȣ ἀφεϛᾶσι, περὶ δὲ τὰ μέτρια καὶ τὰ μικρὰ διατιθέασιν ἡμᾶς ὡς δεῖ. ὥσπερ δ' ἐν λήψει καὶ δόσει χρημάτων μεσότης ἐστὶ καὶ ὑπερβολή τε καὶ ἔλλειψις, οὕτω καὶ ἐν τιμῆς ὀρέξει τὸ μᾶλλον ἢ δεῖ καὶ ἧττον, καὶ τὸ ὅθεν δεῖ καὶ ὡς δεῖ. τόν τε γὰρ φιλότιμον ψέγομεν ὡς καὶ μᾶλλον ἢ δεῖ καὶ ὅθεν οὐ δεῖ τῆς τιμῆς ἐφιέμενον, τόν τε ἀφιλότιμον ὡς ὐδ' ἐπὶ τοῖς καλοῖς προαιρούμενον τιμᾶσθαι. ἔστι δ' ὅτε τὸν φιλότιμον ἐπαινοῦμεν ὡς ἀνδρώδη καὶ φιλόκαλον, τὸν δὲ ἀφιλότιμον ὡς μέτριον καὶ σώφρονα, ὥσπερ καὶ ἐν τοῖς πρώτοις εἴπομεν. δῆλον δ' ὅτι πλεοναχῶς τȣ̃ φιλοτοιȣ́τȣ λεγομένȣ οὐκ ἐπὶ τὸ αὐτὸ ἀεὶ φέρομεν τὸν φιλότιμον, ἀλλ' ἐπαινοῦντες μὲν ἐπὶ τὸ μᾶλλον ἢ οἱ πολλοί, ψέγοντες δ' ἐπὶ τὸ μᾶλλον ἢ δεῖ. ἀνωνύμȣ δ' ȣ̓́σης τῆς μεσότητος, ὡς ἐρήμης ἔοικεν ἀμφισβητεῖν τὰ ἄκρα· ἐν οἷς δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ μέσον. ὀρέγονται δὲ τιμῆς καὶ μᾶλλον ἢ δεῖ καὶ ἧττον, ἔϛι δ' ὅτε καὶ ὡς δεῖ· ἐπαινεῖται γȣ̃ν ἡ ἕξις αὕτη, μεσότης ȣ̓̃σα περὶ τιμὴν ἀνώνυμος. φαίνεται δὲ πρὸς μὲν τὴν φιλοτιμίαν ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν φιλοτιμία, πρὸς ἀμφότερα δὲ ἀμφότερά πως. ἔοικε δὲ τȣ̃τ' εἶναι καὶ περὶ τὰς ἄλλας ἀρετάς. ἀντικεῖσθαι δ' ἐνταῦθ' οἱ ἄκροι φαίνονται διὰ τὸ μὴ ὠνομάσθαι τὸν μέσον.

Πραότης δ' ἐϛὶ μὲν μεσότης περὶ ὀργάς, ἀνωνύμȣ δ' 11
ὄντος τοῦ μέσου, σχεδὸν δὲ καὶ τῶν ἄκρων, ἐπὶ τὸν μέσον τὴν πραότητα φέρομεν, πρὸς τὴν ἔλλειψιν ἀποκλίνουσαν, ἀνώνυμον οὖσαν. ἡ δ' ὑπερβολὴ ὀργιλότης τις λέγοιτ' ἄν. τὸ μὲν γὰρ πάθος ἐστὶν ὀργή, τὰ δ' ἐμποιȣ̃ντα πολλὰ καὶ διαφέροντα. ὁ μὲν οὖν ἐφ' οἷς δεῖ καὶ οἷς δεῖ ὀργιζόμενος, ἔτι δὲ καὶ ὡς δεῖ καὶ ὅτε καὶ ὅσον χρόνον, ἐπαινεῖται· πρᾶος δὴ ȣ̔̃τος ἂν εἴη, εἴπερ ἡ πραότης ἐπαινεῖται. βȣ́λεται γὰρ ὁ πρᾶος ἀτάραχος εἶναι καὶ μὴ ἄγεσθαι ὑπὸ τȣ̃ πάθȣς, ἀλλ' ὡς ἂν ὁ λόγος τάξῃ, ȣ̔́τω καὶ ἐπὶ τȣ́τοις καὶ ἐπὶ

πρὸς om K^bO^b. ‖ καὶ om M^b. ‖ 3. οὐ] οὐδὲ L^bM^b. ‖ 4. καλὰ M^b. ‖ 9. περὶ μὴ ἀναγκαίων M^b. ‖ 14. πευϛικός L^b. ‖ ὁ ‖ 16. ȣ̓̃ν om M^b. ‖ 18. ὐ γὰρ] ὐδὲ γὰρ H^aM^b. ‖ 20. ἐϛὶν ἄξιος L^bM^b. ‖ 23. οἱ τοιȣ̃τοι δοκȣ̃σιν] ȣ̔̃τοι δοκȣ̃σιν M^b, δοκȣ̃σιν L^b. ‖ 24. νωθροί L^bM^b. ‖ δὲ] γε K^b. ‖ 28. ἠλίθιοι om K^b. ‖ αὐτȣ̀ς K^b. ‖ ὡς] οὐ K^b. ‖ 29. ἐπιχαίρουσιν M^b. ‖ 31. εὐτυχή- φανερὰ K^b. ‖ 34. χείρων L^bM^b. ‖ 35. παρὰ H^a.

καὶ om M^b. ‖ 2. ἢ N^b. ‖ 5. τὰ post καὶ om K^bO^b. ‖ ἡμᾶς om H^a. ‖ 7. τε om L^bM^b. ‖ τιμῇ καὶ ὀρέξει K^b. ‖ 9. ὡς om $H^aK^bN^bO^b$. ‖ 10. τῆς om M^b. ‖ δὲ M^b. ‖ 11. ἔστι δ' ὅτε καὶ τὸν M^b, ἔτι δὲ τὸν K^b. ‖ 14. πολλαχῶς H^a. ‖ ομεν ἀεὶ $H^aK^bN^bO^b$. ‖ 19. δὲ τῆς τιμῆς K^bO^b. ‖ 20. δ' ὅτε] δ' ἤδη H^a, ἤδη N^b, δὴ $K^bL^bO^b$. ‖ δ' ȣ̓̃ν K^bO^b, ȣ̓̃ν καὶ L^b, M^b. ‖ 21. αὕτη] ἡ ὡς δεῖ αὕτη O^b. ‖ ἀνώνυμον H^a. ‖ 23. δὲ] δὲ ἢ K^b. ‖ ἀμφότερόν M^b. ‖ 25. τὸν] τὸ L^bM^b. ‖ 26. μὲν L^bM^b. ‖ 27. δὲ om M^b. ‖ τὸ $K^bL^bM^bN^bO^b$. ‖ 29. τις om L^b. ‖ 30. ὀργή ἐϛιν L^b. ‖ 31. καὶ οἷς] καὶ ὡς M^b. ‖ 32. K^bO^b. ‖ ὡς] οἷς M^b. ‖ 33. πρᾶος — ἐπαινεῖται om H^aM^b. ‖ ἤπερ K^b. ‖ 35. ὡς] ἢ N^b, ᾗ H^a. ‖ τάξοι M^b.

τοσῦτον χρόνον χαλεπαίνειν. ἁμαρτάνειν δὲ δοκεῖ μᾶλλον ἐπὶ τὴν ἔλλειψιν· οὐ γὰρ τιμωρητικὸς ὁ πρᾶος, ἀλλὰ μᾶλλον συγγνωμονικός. ἡ δ' ἔλλειψις, εἴτ' ἀοργησία τίς ἐστιν εἴθ' ὅ τι δή ποτε, ψέγεται. οἱ γὰρ μὴ ὀργιζόμενοι ἐφ' οἷς δεῖ ἠλίθιοι δοκοῦσιν εἶναι, καὶ οἱ μὴ ὡς δεῖ μηδ' ὅτε μηδ' οἷς δεῖ· δοκεῖ γὰρ οὐκ αἰσθάνεσθαι οὐδὲ λυπεῖσθαι, μὴ ὀργιζόμενός τε οὐκ εἶναι ἀμυντικός. τὸ δὲ προπηλακιζόμενον ἀνέχεσθαι καὶ τοὺς οἰκείους περιορᾶν ἀνδραποδῶδες. ἡ δ' ὑπερβολὴ κατὰ πάντα μὲν γίνεται· καὶ γὰρ οἷς οὐ δεῖ, καὶ ἐφ' οἷς οὐ δεῖ, καὶ μᾶλλον ἢ δεῖ, καὶ θᾶττον, καὶ πλείω χρόνον· οὐ μὴν ἅπαντά γε τῷ αὐτῷ ὑπάρχει. οὐ γὰρ ἂν δύναιτ' εἶναι· τὸ γὰρ κακὸν καὶ ἑαυτὸ ἀπόλλυσι, κἂν ὁλόκληρον ᾖ, ἀφόρητον γίνεται. οἱ μὲν οὖν ὀργίλοι ταχέως μὲν ὀργίζονται καὶ οἷς οὐ δεῖ καὶ ἐφ' οἷς οὐ δεῖ καὶ μᾶλλον ἢ δεῖ, παύονται δὲ ταχέως· ὃ καὶ βέλτιστον ἔχουσιν. συμβαίνει δ' αὐτοῖς τοῦτο, ὅτι οὐ κατέχουσι τὴν ὀργὴν ἀλλ' ἀνταποδιδόασιν ᾗ φανεροί εἰσι διὰ τὴν ὀξύτητα, εἶτ' ἀποπαύονται. ὑπερβολῇ δ' εἰσὶν οἱ ἀκρόχολοι ὀξεῖς καὶ πρὸς πᾶν ὀργίλοι καὶ ἐπὶ παντί· ὅθεν καὶ τοὔνομα. οἱ δὲ πικροὶ δυσδιάλυτοι, καὶ πολὺν χρόνον ὀργίζονται· κατέχουσι γὰρ τὸν θυμόν. παῦλα δὲ γίνεται, ὅταν ἀνταποδιδῷ· ἡ γὰρ τιμωρία παύει τῆς ὀργῆς, ἡδονὴν ἀντὶ τῆς λύπης ἐμποιοῦσα. τούτου δὲ μὴ γινομένου τὸ βάρος ἔχουσιν· διὰ γὰρ τὸ μὴ ἐπιφανὲς εἶναι οὐδὲ συμπείθει αὐτοὺς οὐδείς, ἐν αὑτῷ δὲ πέψαι τὴν ὀργὴν χρόνου δεῖ. εἰσὶ δ' οἱ τοιοῦτοι ἑαυτοῖς ὀχληρότατοι καὶ τοῖς μάλιστα φίλοις. χαλεποὺς δὲ λέγομεν τοὺς ἐφ' οἷς τε μὴ δεῖ χαλεπαίνοντας καὶ μᾶλλον ἢ δεῖ καὶ πλείω χρόνον, καὶ μὴ διαλλαττομένους ἄνευ τιμωρίας ἢ κολάσεως. τῇ πραότητι δὲ μᾶλλον τὴν ὑπερβολὴν ἀντιτίθεμεν· καὶ γὰρ μᾶλλον γίνεται· ἀνθρωπικώτερον γὰρ τὸ τιμωρεῖσθαι. καὶ πρὸς τὸ συμβιοῦν οἱ χαλεποὶ χείρους. ὃ δὲ καὶ ἐν τοῖς πρότερον εἴρηται, καὶ ἐκ τῶν λεγομένων δῆλον· οὐ γὰρ ῥᾴδιον διορίσαι τὸ πῶς καὶ τίσι καὶ ἐπὶ ποίοις καὶ πόσον χρόνον ὀργιστέον, καὶ τὸ μέχρι τίνος ὀρθῶς ποιεῖ τις ἢ ἁμαρτάνει. ὁ μὲν γὰρ μικρὸν παρεκβαίνων οὐ ψέγεται, οὔτ' ἐπὶ τὸ μᾶλλον οὔτ' ἐπὶ τὸ ἧττον· ἐνίοτε γὰρ τοὺς ἐλλείποντας

ἐπαινοῦμεν καὶ πράους φαμέν, καὶ τοὺς χαλεπαίν
δρώδεις ὡς δυναμένους ἄρχειν. ὁ δὴ πόσον καὶ πῶ
βαίνων ψεκτός, οὐ ῥᾴδιον τῷ λόγῳ ἀποδοῦναι· ἐν
καθ' ἕκαστα καὶ τῇ αἰσθήσει ἡ κρίσις. ἀλλὰ τό γ
δῆλον, ὅτι ἡ μὲν μέση ἕξις ἐπαινετή, καθ' ἣν οἷς
ζόμεθα καὶ ἐφ' οἷς δεῖ καὶ ὡς δεῖ καὶ πάντα τὰ
αἱ δ' ὑπερβολαὶ καὶ ἐλλείψεις ψεκταί, καὶ ἐπὶ μ
γινόμεναι ἠρέμα, ἐπὶ πλέον δὲ μᾶλλον, ἐπὶ πολὺ
δρα. δῆλον οὖν ὅτι τῆς μέσης ἕξεως ἀνθεκτέον. α
περὶ τὴν ὀργὴν ἕξεις εἰρήσθωσαν.

Ἐν δὲ ταῖς ὁμιλίαις καὶ τῷ συζῆν καὶ λ
πραγμάτων κοινωνεῖν οἱ μὲν ἄρεσκοι δοκοῦσιν εἶναι,
πρὸς ἡδονὴν ἐπαινοῦντες καὶ οὐθὲν ἀντιτείνοντες, ἀλλ
δεῖν ἄλυποι τοῖς ἐντυγχάνουσιν εἶναι· οἱ δ' ἐξ ἐνα
τοις πρὸς πάντα ἀντιτείνοντες καὶ τοῦ λυπεῖν οὐδ' ὁτ
τίζοντες δύσκολοι καὶ δυσέριδες καλοῦνται. ὅτι μ
εἰρημέναι ἕξεις ψεκταί εἰσιν, οὐκ ἄδηλον, καὶ ὅτ
τούτων ἐπαινετή, καθ' ἣν ἀποδέξεται ἃ δεῖ καὶ
ὁμοίως δὲ καὶ δυσχερανεῖ. ὄνομα δ' οὐκ ἀποδέδο
τι, ἔοικε δὲ μάλιστα φιλίᾳ· τοιοῦτος γάρ ἐστιν ὁ
μέσην ἕξιν οἷον βουλόμεθα λέγειν τὸν ἐπιεικῆ φ
στέργειν προσλαβόντα. διαφέρει δὲ τῆς φιλίας,
πάθους ἐστὶ καὶ τοῦ στέργειν οἷς ὁμιλεῖ· οὐ γὰρ τῷ
ἐχθαίρειν ἀποδέχεται ἕκαστα ὡς δεῖ, ἀλλὰ τῷ
εἶναι. ὁμοίως γὰρ πρὸς ἀγνῶτας καὶ γνωρίμους καὶ
καὶ ἀσυνήθεις αὐτὸ ποιήσει, πλὴν καὶ ἐν ἑκάστοις ὡ
ζει· οὐ γὰρ ὁμοίως προσήκει συνήθων καὶ ὀθνείων φρ
οὐδ' αὖ λυπεῖν. καθόλου μὲν οὖν εἴρηται ὅτι ὡς δεῖ ὁμ
ἀναφέρων δὲ πρὸς τὸ καλὸν καὶ τὸ συμφέρον στοχ
τοῦ μὴ λυπεῖν ἢ συνηδύνειν. ἔοικε μὲν γὰρ περὶ ἡδ
λύπας εἶναι τὰς ἐν ταῖς ὁμιλίαις γινομένας, τούτων
μὲν αὐτῷ ἐστὶ μὴ καλὸν ἢ βλαβερὸν συνηδύνειν, δυ
νεῖ, καὶ προαιρήσεται λυπεῖν. κἂν τῷ ποιοῦντι δ' ἀ
σύνην φέρῃ, καὶ ταύτην μὴ μικράν, ἢ βλάβην, ἡ δ
τίωσις μικρὰν λύπην, οὐκ ἀποδέξεται ἀλλὰ δυσχ
διαφερόντως δ' ὁμιλήσει τοῖς ἐν ἀξιώμασι καὶ τοῖς

2. περὶ M^b. ‖ 3. ἀνοργησία H^aN^b. ‖ 5. οἱ om K^b. ‖ 10. καὶ ἐφ' οἷς οὐ δεῖ om K^b. ‖ θᾶττον ἢ καὶ K^bO^b. ‖ 11. ὑπάρχ 13. γίνηται K^b. ‖ οὖν om O^b. ‖ 16. ἀποδιδόασιν K^bO^b. ‖ 19. παντός H^a. ‖ μικροὶ K^b. ‖ 20. ὀργῖλοι K^b, ὀργίλοι O^b. ‖ 21. M^bO^b. ‖ 22. τῆς post ἀντὶ om H^aM^b. ‖ 26. τοῖς om H^a. ‖ δὲ] τε L^b. ‖ 28. ἢ] ἢ καὶ K^bN^b. ‖ 30. τὸ] μᾶλλον τὸ 33. διαχωρῆσαι H^a. ‖ 34. τὸ om H^aN^b. ‖ 35. οὐδ' M^b. ‖ 36. γὰρ] δὲ καὶ M^b.

2. παρεισβαίνων K^b. ‖ 4. τοιοῦτον $H^aL^bM^bN^bO^b$. ‖ 11. ζῆν M^b. ‖ 15. ἀντιτυποῦντες H^aN^b. ‖ τὸ L^b. ‖ 18. καὶ ὡς δεῖ om K^b. ‖ 19. αὐτῇ τι οὐκ ἀποδίδοται L^b, οὐκ ἀποδίδοται αὐτῇ τι $H^aK^bN^b$. ‖ 20. τοιοῦτον γάρ ἐστι τὸ M^b. ‖ 21. λέγειν om 22. ἄνευ τοῦ πάθους H^aN^b. ‖ 23. τῷ] τὸ H^a. ‖ 24. ἐχθαίρειν K^b, ἐχθαίνειν M^b: ceteri ἐχθραίνειν. ‖ τοιοῦτον H^a. ‖ 25. συνήθεις καὶ H^a. καὶ ἀσυνήθεις om K^b. ‖ 26. αὐτοῦ N^b. ‖ καὶ om H^a. ‖ ἑκάστου H^a. ‖ ὡς om M^b. ‖ 30. ἢ] ἢ μὴ L^b. ‖ συνήδειν K^bL^b εἶναι om H^a. ‖ 34. εἰ δ' ἐναντίωσιν M^b. ‖ 35. ἀλλ' ἃ δυσχερανεῖ H^a. ‖ 36. διαφερόντως διαφόρως δ' K^b.

λον ἢ ἧττον γνωρίμοις, ὁμοίως δὲ καὶ κατὰ τὰς ιαφοράς, ἑκάστοις ἀπονέμων τὸ πρέπον, καὶ καθ' αἱρούμενος τὸ συνηδύνειν, λυπεῖν δ' εὐλαβούμενος, ποβαίνουσιν, ἐὰν ᾖ μείζω, συνεπόμενος, λέγω δὲ ῷ καὶ τῷ συμφέροντι. καὶ ἡδονῆς δ' ἕνεκα τῆς μεγάλης μικρὰ λυπήσει. ὁ μὲν οὖν μέσος τοιοῦτός ὠνόμασαι δέ, τοῦ δὲ συνηδύνοντος ὁ μὲν τοῦ ἡδὺς ϛαζόμενος μὴ δι' ἄλλο τι ἄρεσκος, ὁ δ' ὅπως ὠφέ- αὐτῷ γίγνηται εἰς χρήματα καὶ ὅσα διὰ χρημά- αξ· ὁ δὲ πᾶσι δυσχεραίνων εἴρηται ὅτι δύσκολος οις. ἀντικεῖσθαι δὲ φαίνεται τὰ ἄκρα ἑαυτοῖς διὰ μον εἶναι τὸ μέσον.

ὶ τὰ αὐτὰ δὲ σχεδόν ἐστι καὶ ἡ τῆς ἀλαζονείας ἀνώνυμος δὲ καὶ αὐτή. οὐ χεῖρον δὲ καὶ τὰς ἐπελθεῖν· μᾶλλόν τε γὰρ ἂν εἰδείημεν τὰ περὶ τὸ ' ἕκαϛον διελθόντες, καὶ μεσότητας εἶναι τὰς ἀρε- ύσαιμεν ἄν, ἐπὶ πάντων οὕτως ἔχον συνιδόντες. ἐν ζῆν οἱ μὲν πρὸς ἡδονὴν καὶ λύπην ὁμιλοῦντες εἴρην- ὶ δὲ τῶν ἀληθευόντων τε καὶ ψευδομένων εἴπωμεν λόγοις καὶ πράξεσι καὶ τῷ προσποιήματι. δοκεῖ ἀλαζὼν προσποιητικὸς τῶν ἐνδόξων εἶναι καὶ μὴ των καὶ μειζόνων ἢ ὑπάρχει, ὁ δὲ εἴρων ἀνάπαλιν τὰ ὑπάρχοντα ἢ ἐλάττω ποιεῖν, ὁ δὲ μέσος αὐθέ- ις ὢν ἀληθευτικὸς καὶ τῷ βίῳ καὶ τῷ λόγῳ, τὰ τα ὁμολογῶν εἶναι περὶ αὑτόν, καὶ οὔτε μείζω οὔτε ἔστι δὲ τούτων ἕκαστα καὶ ἕνεκά τινος ποιεῖν καὶ ἕκαστος δ' οἷός ἐστι, τοιαῦτα λέγει καὶ πράττει ζῇ, ἐὰν μή τινος ἕνεκα πράττῃ. καθ' αὑτὸ δὲ τὸ δος φαῦλον καὶ ψεκτόν, τὸ δ' ἀληθὲς καλὸν καὶ . οὕτω δὲ καὶ ὁ μὲν ἀληθευτικὸς μέσος ὢν ἐπαινε- ψευδόμενοι ἀμφότεροι μὲν ψεκτοί, μᾶλλον δ' ὁ περὶ ἑκατέρου δ' εἴπωμεν, πρότερον δὲ περὶ τοῦ ἀλη- ὐ γὰρ περὶ τοῦ ἐν ταῖς ὁμολογίαις ἀληθεύοντος λέ- ὸδ' ὅσα εἰς ἀδικίαν ἢ δικαιοσύνην συντείνει (ἄλλης γὰρ ἂν εἴη ταῦτ' ἀρετῆς), ἀλλ' ἐν οἷς μηθενὸς τοιούτου διαφέροντος καὶ ἐν λόγῳ καὶ ἐν βίῳ ἀληθεύει τῷ τὴν ἕξιν τοιοῦτος εἶναι. δόξειε δ' ἂν ὁ τοιοῦτος ἐπιεικὴς εἶναι. ὁ γὰρ φιλαλήθης, καὶ ἐν οἷς μὴ διαφέρει ἀληθεύων, ἀληθεύσει καὶ ἐν οἷς διαφέρει ἔτι μᾶλλον· ὡς γὰρ αἰσχρὸν τὸ ψεῦδος εὐλαβήσεται, ὅ γε καὶ καθ' αὑτὸ ηὐλαβεῖτο· ὁ δὲ τοιοῦτος ἐπαινετός. ἐπὶ τὸ ἔλαττον δὲ μᾶλλον τοῦ ἀληθοῦς ἀποκλίνει· ἐμμελέστερον γὰρ φαίνεται διὰ τὸ ἐπαχθεῖς τὰς ὑπερβολὰς εἶναι. ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενος μηθενὸς ἕνεκα φαύλῳ μὲν ἔοικεν (οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει), μάταιος δὲ φαίνεται μᾶλλον ἢ κακός. εἰ δ' ἕνεκά τινος, ὁ μὲν δόξης ἢ τιμῆς οὐ λίαν ψεκτός, ὡς ὁ ἀλαζών, ὁ δὲ ἀργυρίου, ἢ ὅσα εἰς ἀργύριον, ἀσχημονέϛερος. οὐκ ἐν τῇ δυνάμει δ' ἐϛὶν ὁ ἀλαζών, ἀλλ' ἐν τῇ προαιρέσει· κατὰ τὴν ἕξιν γὰρ καὶ τῷ τοιόσδε εἶναι ἀλαζών ἐϛιν, ὥσπερ καὶ ψεύστης ὁ μὲν τῷ ψεύδει αὐτῷ χαίρων, ὁ δὲ δόξης ὀρεγόμενος ἢ κέρδους. οἱ μὲν οὖν δόξης χάριν ἀλαζονευόμενοι τὰ τοιαῦτα προσποιοῦνται ἐφ' οἷς ἔπαινος ἢ εὐδαιμονισμός, οἱ δὲ κέρδους, ὧν καὶ ἀπόλαυσίς ἐϛι τοῖς πέλας καὶ ἃ διαλαθεῖν ἔϛι μὴ ὄντα, οἷον μάντιν σοφὸν ἢ ἰατρόν. διὰ τοῦτο οἱ πλεῖστοι προσποιοῦνται τὰ τοιαῦτα καὶ ἀλαζονεύονται· ἔϛι γὰρ ἐν αὐτοῖς τὰ εἰρημένα. οἱ δ' εἴρωνες ἐπὶ τὸ ἔλαττον λέγοντες χαριέϛεροι μὲν τὰ ἤθη φαίνονται· οὐ γὰρ κέρδους ἕνεκα δοκοῦσι λέγειν, ἀλλὰ φεύγοντες τὸ ὀγκηρόν· μάλιϛα δὲ καὶ οὗτοι τὰ ἔνδοξα ἀπαρνοῦνται, οἷον καὶ Σωκράτης ἐποίει. οἱ δὲ καὶ τὰ μικρὰ καὶ τὰ φανερὰ προσποιούμενοι βαυκοπανοῦργοι λέγονται καὶ εὐκαταφρόνητοί εἰσιν. καὶ ἐνίοτε ἀλαζονεία φαίνεται, οἷον ἡ τῶν Λακώνων ἐσθής· καὶ γὰρ ἡ ὑπερβολὴ καὶ ἡ λίαν ἔλλειψις ἀλαζονικόν. οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνείᾳ καὶ περὶ τὰ μὴ λίαν ἐμποδὼν καὶ φανερὰ εἰρωνευόμενοι χαρίεντες φαίνονται. ἀντικεῖσθαι δ' ὁ ἀλαζὼν φαίνεται τῷ ἀληθευτικῷ· χείρων γάρ.

14 Οὔσης δὲ καὶ ἀναπαύσεως ἐν τῷ βίῳ, καὶ ἐν ταύτῃ διαγωγῆς μετὰ παιδιᾶς, δοκεῖ καὶ ἐνταῦθα εἶναι ὁμιλία

ἢ καὶ H^a. ‖ τὰς om M^b. ‖ 4. μείζων K^b. ‖ δὴ L^b. ‖ 6. μεγάλης om K^b. ‖ 7. συνήδοντος H^a. ‖ 8. τι ἄλλο $H^aK^bN^b$ ὠφέλεια K^bO^b. ‖ 13. ταῦτα M^b. ‖ 14. καὶ om H^a. ‖ αὕτη L^bM^b. ‖ 15. ἂν om H^a. ‖ 16. ἕκαϛα L^bM^b. ‖ 18. δὴ . εἴποιμεν L^b. ‖ 21. δὲ L^bM^b. ‖ 26. ἕκαστος K^b. ‖ 27. πράττει καὶ λέγει L^bM^b. ‖ 28. ἑαυτὸ H^aN^b. ‖ 30. δὲ om K^b. ‖ α L^bO^b.

ροντα H^a. ‖ 2. τάξιν M^b. ‖ 3. ἐπιεικὴς εἶναι ὁ τοιοῦτος M^b. ‖ 4. διαφέρῃ K^b. ‖ ἀληθεύων — 5. διαφέρει om H^aN^b. ‖ 5. M^b. ‖ κέρδος M^b. ‖ 6. καὶ om M^b. ‖ αὐτὸν K^b, ἑαυτὸν H^aN^b. ‖ εὐλαβεῖτο L^b, εὐλαβεῖται pr K^b. ‖ 12. ὁ post ὡς om . τὸ K^b. ‖ ποιὸς $H^aM^bO^b$. ‖ εἶναι om H^a. ‖ 19. ὧν καὶ] ἢ δι' ὧν καὶ M^b, ὧν ἢ δεῖ K^b. ‖ ἃ] δι' ἃ H^aM^b, om K^b. ‖ . ‖ 20. μάντιν σοφὸν ἰατρὸν K^b, μάντιν ἢ ἰατρόν σοφόν O^b, ἰατρὸν ἢ μάντιν σοφόν H^aN^b. ‖ διὰ τοῦτο om K^b. ‖ 21. τὰ τοιαῦτα] O^b. ‖ 23. λέγοντες om H^a. ‖ 24. ὀχληρόν K^b. ‖ 26. καὶ post δὲ om K^b. ‖ τὰ alterum om K^bO^b. ‖ φανερὰ μὴ ετοι H^aN^b. ‖ 27. καυκοπανοῦργοι O^b, βλακοπανοῦργοι corr N^b, βαναυσοπανοῦργοι M^b. ‖ εὐκαταφρονητότεροι K^bO^b. ‖ 31. φαίἀντικεῖσθαι K^bO^b. ‖ 33. καὶ post δὲ om M^b. ‖ ἐν ταύτῃ om H^a. ‖ 34. παιδείας K^b. ‖ ὁμιλία τις εἶναι L^bM^b.

τις ἐμμελής, καὶ οἷα δεῖ λέγειν καὶ ὥς, ὁμοίως δὲ καὶ ἀκούειν. διοίσει δὲ καὶ τὸ ἐν τοιούτοις λέγειν ἢ τοιούτων ἀκούειν. δῆλον δ' ὡς καὶ περὶ ταῦτ' ἐςὶν ὑπερβολή τε καὶ ἔλλειψις τοῦ μέσου. οἱ μὲν οὖν τῷ γελοίῳ ὑπερβάλλοντες βωμολόχοι δοκοῦσιν εἶναι καὶ φορτικοί, γλιχόμενοι πάντως τοῦ γελοίου, καὶ μᾶλλον ςοχαζόμενοι τοῦ γέλωτα ποιῆσαι ἢ τοῦ λέγειν εὐσχήμονα καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον· οἱ δὲ μήτ' αὐτοὶ ἂν εἰπόντες μηθὲν γελοῖον τοῖς τε λέγουσι δυσχεραίνοντες ἄγριοι καὶ σκληροὶ δοκοῦσιν εἶναι. οἱ δ' ἐμμελῶς παίζοντες εὐτράπελοι προσαγορεύονται, οἷον εὔτροποι· τοῦ γὰρ ἤθους αἱ τοιαῦται δοκοῦσι κινήσεις εἶναι, ὥσπερ δὲ τὰ σώματα ἐκ τῶν κινήσεων κρίνεται, οὕτω καὶ τὰ ἤθη. ἐπιπολάζοντος δὲ τοῦ γελοίου, καὶ τῶν πλείςων χαιρόντων τῇ παιδιᾷ καὶ τῷ σκώπτειν μᾶλλον ἢ δεῖ, καὶ οἱ βωμολόχοι εὐτράπελοι προσαγορεύονται ὡς χαρίεντες. ὅτι δὲ διαφέρουσι, καὶ οὐ μικρόν, ἐκ τῶν εἰρημένων δῆλον. τῇ μέσῃ δ' ἕξει οἰκεῖον καὶ ἡ ἐπιδεξιότης ἐστίν· τοῦ δ' ἐπιδεξίου ἐστὶ τοιαῦτα λέγειν καὶ ἀκούειν οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθερίῳ ἁρμόττει· ἔςι γάρ τινα πρέποντα τῷ τοιούτῳ λέγειν ἐν παιδιᾶς μέρει καὶ ἀκούειν, καὶ ἡ τοῦ ἐλευθερίου παιδιὰ διαφέρει τῆς τοῦ ἀνδραποδώδους, καὶ αὖ τοῦ πεπαιδευμένου καὶ ἀπαιδεύτου. ἴδοι δ' ἄν τις καὶ ἐκ τῶν κωμῳδιῶν τῶν παλαιῶν καὶ τῶν καινῶν· τοῖς μὲν γὰρ ἦν γελοῖον ἡ αἰσχρολογία, τοῖς δὲ μᾶλλον ἡ ὑπόνοια· διαφέρει δ' οὐ μικρὸν ταῦτα πρὸς εὐσχημοσύνην. πότερον οὖν τὸν εὖ σκώπτοντα ὁριςέον τῷ λέγειν ἃ πρέπει ἐλευθερίῳ, ἢ τῷ μὴ λυπεῖν τὸν ἀκούοντα, ἢ καὶ τέρπειν; ἢ καὶ τό γε τοιοῦτον ἀόριςον; ἄλλο γὰρ ἄλλῳ μισητόν τε καὶ ἡδύ. τοιαῦτα δὲ καὶ ἀκούσεται· ἃ γὰρ ὑπομένει ἀκούων, ταῦτα καὶ ποιεῖν δοκεῖ. οὐ δὴ πᾶν ποιήσει· τὸ γὰρ σκῶμμα λοιδόρημά τί ἐστιν, οἱ δὲ νομοθέται ἔνια λοιδορεῖν κωλύουσιν· ἔδει δ' ἴσως καὶ σκώπτειν. ὁ δὴ χαρίεις καὶ ἐλευθέριος οὕτως ἕξει, οἷον νόμος ὢν ἑαυτῷ. τοιοῦτος μὲν οὖν ὁ μέσος ἐςίν, εἴτ' ἐπιδέξιος εἴτ' εὐτράπελος λέγεται. ὁ δὲ βωμολόχος ἥττων ἐςὶ τοῦ γελοίου, καὶ οὔτε ἑαυτοῦ οὔτε τῶν ἄλλων ἀπεχόμενος, εἰ γέλωτα ποιήσει, καὶ τοιαῦτα λέγων ὧν οὐθὲν ἂν εἴποι ὁ χαρίεις, ἔνια δ' οὐδ' ἂν ἀκούσαι. ὁ δ' ἄγριος εἰς τὰς τοιαύτας ὁμιλίας ἀχρεῖος· οὐθὲν γὰρ συμβαλλόμενος πᾶσι δυσχεραίνει. δοκεῖ δὲ ἡ ἀνάπαυσις καὶ ἡ παιδιὰ ἐν τῷ βίῳ εἶναι ἀναγκαῖον. τρεῖς οὖν αἱ εἰρημέναι ἐν τῷ βίῳ μεσότητες, εἰσὶ δὲ πᾶσαι περὶ λόγων τινῶν καὶ πράξεων κοινωνίαν. διαφέρουσι δ' ὅτι ἡ μὲν περὶ ἀλήθειάν ἐστιν, αἱ δὲ περὶ τὸ ἡδύ. τῶν δὲ περὶ τὴν ἡδονὴν ἡ μὲν ἐν ταῖς παιδιαῖς, ἡ δ' ἐν ταῖς κατὰ τὸν ἄλλον βίον ὁμιλίαις.

Περὶ δὲ αἰδοῦς ὥς τινος ἀρετῆς οὐ προσήκει λέγειν· 15
πάθει γὰρ μᾶλλον ἔοικεν ἢ ἕξει. ὁρίζεται γοῦν φόβος τις ἀδοξίας, ἀποτελεῖται δὲ τῷ περὶ τὰ δεινὰ φόβῳ παραπλήσιον· ἐρυθραίνονται γὰρ οἱ αἰσχυνόμενοι, οἱ δὲ τὸν θάνατον φοβούμενοι ὠχριῶσιν. σωματικὰ δὴ φαίνεταί πως εἶναι ἀμφότερα, ὅπερ δοκεῖ πάθους μᾶλλον ἢ ἕξεως εἶναι. οὐ πάσῃ δ' ἡλικίᾳ τὸ πάθος ἁρμόζει, ἀλλὰ τῇ νέᾳ· οἰόμεθα γὰρ δεῖν τοὺς τηλικούτους αἰδήμονας εἶναι διὰ τὸ πάθει ζῶντας πολλὰ ἁμαρτάνειν, ὑπὸ τῆς αἰδοῦς δὲ κωλύεσθαι. καὶ ἐπαινοῦμεν τῶν μὲν νέων τοὺς αἰδήμονας, πρεσβύτερον δ' οὐδεὶς ἂν ἐπαινέσειεν ὅτι αἰσχυντηλός· οὐθὲν γὰρ οἰόμεθα δεῖν αὐτὸν πράττειν ἐφ' οἷς ἐςὶν αἰσχύνη. οὐδὲ γὰρ ἐπιεικοῦς ἐςὶν ἡ αἰσχύνη, εἴπερ γίγνεται ἐπὶ τοῖς φαύλοις· οὐ γὰρ πρακτέον τὰ τοιαῦτα. εἰ δ' ἐςὶ τὰ μὲν κατ' ἀλήθειαν αἰσχρὰ τὰ δὲ κατὰ δόξαν, οὐθὲν διαφέρει· οὐδέτερα γὰρ πρακτέα, ὥς' οὐκ αἰσχυντέον. φαύλου δὲ καὶ τὸ εἶναι τοιοῦτον οἷον πράττειν τι τῶν αἰσχρῶν. τὸ δ' οὕτως ἔχειν ὥς' εἰ πράξειε τι τῶν τοιούτων αἰσχύνεσθαι, καὶ διὰ τοῦτ' οἴεσθαι ἐπιεικῆ εἶναι, ἄτοπον· ἐπὶ τοῖς ἑκουσίοις γὰρ ἡ αἰδώς, ἑκὼν δὲ ὁ ἐπιεικὴς οὐδέποτε πράξει τὰ φαῦλα. εἴη δ' ἂν ἡ αἰδὼς ἐξ ὑποθέσεως ἐπιεικές· εἰ γὰρ πράξαι, αἰσχύνοιτ' ἄν· οὐκ ἔςι δὲ τοῦτο περὶ τὰς ἀρετάς. εἰ δ' ἡ ἀναισχυντία φαῦλον καὶ τὸ μὴ αἰδεῖσθαι τὰ αἰσχρὰ πράττειν, οὐθὲν μᾶλλον τὸ τοιαῦτα πράττοντα αἰσχύνεσθαι ἐπιεικές. οὐκ ἔςι δ' οὐδ' ἡ ἐγκράτεια ἀρετή, ἀλλά τις μικτή· δειχθήσεται δὲ περὶ αὐτῆς ἐν τοῖς ὕςερον. νῦν δὲ περὶ δικαιοσύνης εἴπωμεν.

2. τοῦ H^aN^b. || τοσούτοις M^b, τούτοις L^b. || τούτων O^b. || 3. δ' om K^bM^b. || καὶ post ὡς om M^b. || 8. εἰπόντες ἂν L^bM^b. || 9. ἄγροικοι K^b. || 11. κινήσεις δοκοῦσιν L^b. || 12. κρίνονται M^b. || 14. καὶ ante οἱ om M^b. || 16. καὶ om M^b. || ἐκ] καὶ ἐκ K^bO^b. || 17. ἐστὶ om H^a. || 18. ἐλευθέρῳ $H^aL^bM^b$. || 19. λέγειν τοῦ τοιούτου O^b. || 20. ἐλευθέρου $H^aK^bN^b$. || 21. αὖ τοῦ] αἱ τοῦ L^b, τοῦ N^bO^b, om H^aK^b. || 26. ἃ πρέπει] μὴ ἀπρεπῆ K^b, μὴ ἃ πρέπει H^a. || ἐλευθέρῳ L^bM^b. || 27. καὶ om L^b. || λείπειν H^a. || ἄλλῳ γὰρ ἄλλο H^aN^b. || 28. γε N^b. || ἀκούεται K^b. || 29. τοιαῦτα H^a. || οὐ γὰρ πᾶν ποιῆσαι H^aN^b. || 32. ἐλεύθερος $H^aL^bM^b$. || 34. ἧττον H^aM^b. || τῶν om H^aM^b. || 35. ἄλλων — καὶ om N^b. || εἰς M^b. || ταῦτα K^b.

1. ἂν post εἴποι $H^aK^bN^b$, om M^b. || οὐδ' om M^b. || 3. δυσχεραίνει H^aM^b. || δὲ καὶ ἡ H^aN^b. || 4. ἀναγκαία H^aK^b. || τρεῖς μὲν οὖν M^b. || 6. ἀληθείας H^a. || 8. ἡ δ' ἐν ταῖς] αἱ δὲ K^b. || 11. οὖν K^bO^b. || 12. ἀποτελεῖταί τε O^b, καὶ ἀποτελεῖται K^b. || 13. ἐρυθραίνονται K^bN^b. || 17. πάθος H^a. || 19. πρεσβύτερος H^a. || 20. γὰρ] δὲ M^b. || 22. ἤπερ M^b. || 24. γὰρ] δὲ H^aN^b. || 26. ὥστ' εἰ πρᾶξαι K^bN^b, ὥς' εἰ πρᾶξαι H^a. || 28. ὁ om M^b. || 30. γὰρ om K^b. || πράξοι M^b, πράξει H^aO^b. || 31. εἰ δ' ἡ] ἡ δὲ M^b. || οὐθέν γε μᾶλλον H^aN^b. || τὸν K^bL^b. || 33. ταῦτα L^bM^b, τὰ τοιαῦτα K^b. || οὐδ' om M^b. || 35. ἐν τοῖς om H^a.

Ε.

δὲ δικαιοσύνης καὶ ἀδικίας σκεπτέον, περὶ ποίας
νυσιν οὖσαι πράξεις, καὶ ποία μεσότης ἐςὶν ἡ δι-
καὶ τὸ δίκαιον τίνων μέσον. ἡ δὲ σκέψις ἡμῖν
τὴν αὐτὴν μέθοδον τοῖς προειρημένοις. ὁρῶμεν δὴ
ὴν τοιαύτην ἕξιν βουλομένους λέγειν δικαιοσύνην,
ρακτικοὶ τῶν δικαίων εἰσὶ καὶ ἀφ' ἧς δικαιοπρα-
βούλονται τὰ δίκαια· τὸν αὐτὸν δὲ τρόπον καὶ
ίας, ἀφ' ἧς ἀδικῦσι καὶ βὔλονταί τὰ ἄδικα. διὸ
πρῶτον ὡς ἐν τύπῳ ὑποκείσθω ταῦτα. οὐδὲ γὰρ
ἔχει τρόπον ἐπί τε τῶν ἐπιςημῶν καὶ δυνάμεων
ῶν ἕξεων. δύναμις μὲν γὰρ καὶ ἐπιστήμη δοκεῖ
ίων ἡ αὐτὴ εἶναι, ἕξις δ' ἡ ἐναντία τῶν ἐναντίων
ἀπὸ τῆς ὑγιείας οὐ πράττεται τὰ ἐναντία, ἀλλὰ
ὰ μόνον· λέγομεν γὰρ ὑγιεινῶς βαδίζειν, ὅταν
ὃς ἂν ὁ ὑγιαίνων. πολλάκις μὲν ὖν γνωρίζεται ἡ
ξις ἀπὸ τῆς ἐναντίας, πολλάκις δὲ αἱ ἕξεις ἀπὸ
ειμένων· ἐάν τε γὰρ ἡ εὐεξία ᾖ φανερά, καὶ ἡ
φανερὰ γίνεται, καὶ ἐκ τῶν εὐεκτικῶν ἡ εὐεξία
ύτης τὰ εὐεκτικά. εἰ γάρ ἐςιν ἡ εὐεξία πυκνότης
ἀνάγκη καὶ τὴν καχεξίαν εἶναι μανότητα σαρκὸς
εκτικὸν τὸ ποιητικὸν πυκνότητος ἐν σαρκί. ἀκολυ-
ἐπὶ τὸ πολύ, ἐὰν θάτερα πλεοναχῶς λέγηται,
α πλεοναχῶς λέγεσθαι, οἷον εἰ τὸ δίκαιον, καὶ τὸ
οικε δὲ πλεοναχῶς λέγεσθαι ἡ δικαιοσύνη καὶ ἡ
λλὰ διὰ τὸ σύνεγγυς εἶναι τὴν ὁμωνυμίαν αὐτῶν
καὶ οὐχ ὥσπερ ἐπὶ τῶν πόρρω δήλη μᾶλλον· ἡ
ορὰ πολλὴ ἡ κατὰ τὴν ἰδέαν, οἷον ὅτι καλεῖται
νύμως ἥ τε ὑπὸ τὸν αὐχένα τῶν ζῴων καὶ ᾗ τὰς
είουσιν. εἰλήφθω δὴ ὁ ἄδικος ποσαχῶς λέγεται.
τε παράνομος ἄδικος εἶναι καὶ ὁ πλεονέκτης καὶ
ὥστε δῆλον ὅτι καὶ ὁ δίκαιος ἔσται ὅ τε νόμιμος
ς. τὸ μὲν δίκαιον ἄρα τὸ νόμιμον καὶ τὸ ἴσον, τὸ

δ' ἄδικον τὸ παράνομον καὶ τὸ ἄνισον. ἐπεὶ δὲ καὶ πλεονέκτης ὁ ἄδικος, περὶ τἀγαθὰ ἔσται, οὐ πάντα, ἀλλὰ περὶ ὅσα εὐτυχία καὶ ἀτυχία, ἃ ἐστὶ μὲν ἁπλῶς ἀεὶ ἀγαθά, τινὶ δ' ὐκ ἀεί. οἱ δ' ἄνθρωποι ταῦτα εὔχονται καὶ διώκυσιν· δεῖ δ' ὔ, ἀλλ' εὔχεσθαι μὲν τὰ ἁπλῶς ἀγαθὰ καὶ αὐτοῖς ἀγαθὰ εἶναι, αἱρεῖσθαι δὲ τὰ αὐτοῖς ἀγαθά. ὁ δ' ἄδικος οὐκ ἀεὶ τὸ πλέον αἱρεῖται, ἀλλὰ καὶ τὸ ἔλαττον ἐπὶ τῶν ἁπλῶς κακῶν· ἀλλ' ὅτι δοκεῖ καὶ τὸ μεῖον κακὸν ἀγαθόν πως εἶναι, τοῦ δ' ἀγαθοῦ ἐςὶν ἡ πλεονεξία, διὰ τῦτο δοκεῖ πλεονέκτης εἶναι. ἔστι δ' ἄνισος· τοῦτο γὰρ περιέχει καὶ κοινόν. ἐπεὶ δ' ὁ παράνομος ἄδικος ἦν ὁ δὲ νόμιμος δίκαιος, 3
δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια· τά τε γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμά ἐςι, καὶ ἕκαςον τύτων δίκαιον εἶναι φαμέν. οἱ δὲ νόμοι ἀγορεύυσι περὶ ἁπάντων, στοχαζόμενοι ἢ τοῦ κοινῇ συμφέροντος πᾶσιν ἢ τοῖς ἀρίςοις ἢ τοῖς κυρίοις, κατ' ἀρετὴν ἢ κατ' ἄλλον τινὰ τρόπον τοιῦτον· ὥςε ἕνα μὲν τρόπον δίκαια λέγομεν τὰ ποιητικὰ καὶ φυλακτικὰ τῆς εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς τῇ πολιτικῇ κοινωνίᾳ. προστάττει δ' ὁ νόμος καὶ τὰ τῦ ἀνδρείου ἔργα ποιεῖν, οἷον μὴ λείπειν τὴν τάξιν μηδὲ φεύγειν μηδὲ ῥίπτειν τὰ ὅπλα, καὶ τὰ τῦ σώφρονος, οἷον μὴ μοιχεύειν μηδ' ὑβρίζειν, καὶ τὰ τοῦ πράου, οἷον μὴ τύπτειν μηδὲ κακηγορεῖν, ὁμοίως δὲ καὶ κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας τὰ μὲν κελεύων τὰ δ' ἀπαγορεύων, ὀρθῶς μὲν ὁ κείμενος ὀρθῶς, χεῖρον δ' ὁ ἀπεσχεδιασμένος. αὕτη μὲν ὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐςι τελεία, ἀλλ' ὐχ ἁπλῶς ἀλλὰ πρὸς ἕτερον. καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη, καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος ὔτω θαυμαςός· καὶ παροιμιαζόμενοί φαμεν "ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετὴ ἔνι." καὶ τελεία μάλιςα ἀρετή, ὅτι τῆς τελείας ἀρετῆς χρῆσίς ἐστιν. τελεία δ' ἐστίν, ὅτι ὁ ἔχων αὐτὴν καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρῆσθαι, ἀλλ' οὐ μόνον καθ' αὐτόν· πολλοὶ γὰρ ἐν μὲν τοῖς οἰκείοις τῇ ἀρετῇ δύνανται χρῆσθαι, ἐν δὲ τοῖς πρὸς ἕτερον ἀδυνα-

M^b. ‖ 9. τὸν — 10. ἄδικα om K^b. ‖ 11. οὔτε K^b, οὐ M^b. ‖ 12. καὶ τῶν δυνάμεων H^aN^b. ‖ 15. ἀπὸ — πράττεται] ἡ
M^b. ‖ 16. γὰρ τὸ ὑγιεινῶς M^b. ‖ 17. ὁ om M^b. ‖ 21. καὶ — εὐεκτικά om M^b. ‖ 22. σαρκὸς μανότητα M^b. ‖ 23. τὸ
ν·ὴν om M^b. ‖ 25. ἄδικον καὶ ἡ ἀδικία K^b, δίκαιον καὶ τὸ ἄδικον καὶ ἡ ἀδικία L^b. ‖ 26. ἀδικία καὶ ἡ δικαιοσύνη M^b. ‖ 28.
^{b}. ‖ 29. ἡ om L^b. ‖ 30. κλεῖς K^bL^b. ‖ ὁμώνυμος K^b. ‖ 32. τε N^b. ‖ 33. ὁ ἄνισος] ἄδικος K^b. ‖ 34. ὁ om K^b. ‖ μὲν

om K^b. ‖ δὲ] γὰρ H^aN^b. ‖ καὶ om $K^bM^bO^b$. ‖ 2. ἔσται om K^b. ‖ 3. εὐτυχίαι καὶ ἀτυχίαι L^b. ‖ 7. ἀλλὰ om L^b. ‖
μὴ K^bL^b. ‖ 9. τοῦ — 10. εἶναι om L^b. ‖ 9. ἐςὶν om O^b. ‖ 11. post κοινόν H^aN^b τὸ γὰρ ἄνισον ἔχει τὸ πλέον καὶ τὸ
, cum $L^bM^bO^b$, καὶ παράνομος. τοῦτο γάρ, ἡ παρανομία ἤτοι ἡ (ἡ om M^bO^b) ἀνισότης, περιέχει πᾶσαν ἀδικίαν καὶ κοινόν ἐστι
ίας. ‖ 12. ἔσται M^b. ‖ τά τε] ταῦτα M^b. ‖ 16. κατ'] ἢ κατ' $H^aN^bO^b$. ‖ κατ' ἀρετὴν om K^b. ‖ 18. τῆς om $K^bL^bM^b$. ‖
O^b: ceteri λιπεῖν. ‖ 23. κατηγορεῖν M^bO^b. ‖ καὶ τὰ κατὰ L^b. ‖ 24. ὀρθὸς $H^aM^bN^b$. ‖ 25. χείρων $H^aL^bM^bN^b$. ‖ ταύ-
27. ἀλλὰ om L^b. ‖ 29. θαυμαςός· διὸ καὶ L^bM^b. ‖ δὲ om M^b. ‖ 30. ἔνι $K^bL^bO^b$: ceteri ἐςί. ‖ 31. τελεία δ'] ἀρετὴ δὲ
. ‖ ὅτι om K^b. ‖ 34. δύνανται τῇ ἀρετῇ O^b.

τῦσιν. καὶ διὰ τῦτο εὖ δοκεῖ ἔχειν τὸ τῦ Βίαντος, ὅτι ἀρχὴ ἄνδρα δείξει· πρὸς ἕτερον γὰρ καὶ ἐν κοινωνίᾳ ἤδη ὁ ἄρχων. διὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ ἀλλότριον ἀγαθὸν δοκεῖ εἶναι ἡ δικαιοσύνη μόνη τῶν ἀρετῶν, ὅτι πρὸς ἕτερόν ἐστιν· ἄλλῳ γὰρ τὰ συμφέροντα πράττει, ἢ ἄρχοντι ἢ κοινωνῷ. κάκιϛος μὲν ὖν ὁ καὶ πρὸς αὑτὸν καὶ πρὸς τὺς φίλυς χρώμενος τῇ μοχθηρίᾳ, ἄριϛος δ' οὐχ ὁ πρὸς αὑτὸν τῇ ἀρετῇ ἀλλὰ πρὸς ἕτερον· τῦτο γὰρ ἔργον χαλεπόν. αὕτη μὲν ὖν ἡ δικαιοσύνη ὐ μέρος ἀρετῆς ἀλλ' ὅλη ἀρετή ἐϛιν, ὐδ' ἡ ἐναντία ἀδικία μέρος κακίας ἀλλ' ὅλη κακία. τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη αὕτη, δῆλον ἐκ τῶν εἰρημένων· ἔστι μὲν γὰρ ἡ αὐτή, τὸ δ' εἶναι οὐ τὸ αὐτό, ἀλλ' ᾗ μὲν πρὸς ἕτερον, δικαιοσύνη, ᾗ δὲ τοιάδε ἕξις, ἁπλῶς ἀρετή.

4 Ζητοῦμεν δέ γε τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην· ἔϛι γάρ τις, ὡς φαμέν. ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος. σημεῖον δ' ὅτι ἔστιν· κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν ἀδικεῖ μέν, πλεονεκτεῖ δ' ὐδέν, οἷον ὁ ῥίψας τὴν ἀσπίδα διὰ δειλίαν ἢ κακῶς εἰπὼν διὰ χαλεπότητα ἢ οὐ βοηθήσας χρήμασι δι' ἀνελευθερίαν· ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ' ὐδεμίαν τῶν τοιύτων, ἀλλὰ μὴν ὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γε τινά (ψέγομεν γάρ) καὶ κατ' ἀδικίαν. ἔστιν ἄρα γε ἄλλη τις ἀδικία ὡς μέρος τῆς ὅλης, καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκυ τῦ παρὰ τὸν νόμον. ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύει καὶ προσλαμβάνων, ὁ δὲ προςιθεὶς καὶ ζημιύμενος δι' ἐπιθυμίαν, ὗτος μὲν ἀκόλαστος δόξειεν ἂν εἶναι μᾶλλον ἢ πλεονέκτης, ἐκεῖνος δ' ἄδικος, ἀκόλαστος δ' οὔ· δῆλον ἄρα ὅτι διὰ τὸ κερδαίνειν. ἔτι περὶ μὲν τἆλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπαναφορὰ ἐπί τινα μοχθηρίαν ἀεί, οἷον εἰ ἐμοίχευσεν, ἐπ' ἀκολασίαν, εἰ ἐγκατέλιπε τὸν παραϛάτην, ἐπὶ δειλίαν, εἰ ἐπάταξεν, ἐπ' ὀργήν· εἰ δ' ἐκέρδανεν, ἐπ' ὐδεμίαν μοχθηρίαν ἀλλ' ἢ ἐπ' ἀδικίαν. ὥστε φανερὸν ὅτι ἔστι τις ἀδικία παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει, συνώνυμος, ὅτι ὁ ὁρισμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν, ἀλλ' ἡ μὲν περὶ τιμὴν ἢ χρήματα ἢ σωτηρίαν, ἢ εἴ τινι ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν ταῦτα πάντα, καὶ δι' ἡδονὴν τὴν ἀπὸ τῦ κέρδυς, ἡ δὲ περὶ ἅπαντα περὶ ὅσα ὁ σπυδαῖος.

5 Ὅτι μὲν ὖν εἰσὶ δικαιοσύναι πλείυς, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετήν, δῆλον· τίς δὲ καὶ ὁποία τις, ληπτέον. διώριϛαι δὴ τὸ ἄδικον τό τε παράνομον καὶ τὸ ἄνισον, τὸ δὲ δίκαιον τό τε νόμιμον καὶ τὸ ἴσον. κατὰ μὲν ὖν τὸ παράνομον ἡ πρότερον εἰρημένη ἀδικία ἐϛίν. ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν ἀλλ' ἕτερον ὡς μέρος πρὸς ὅλον (τὸ μὲν γὰρ πλέον ἅπαν ἄνισον, τὸ δ' ἄνισον οὐ πᾶν πλέον), καὶ τὸ ἄδικον καὶ ἡ ἀδικία οὐ ταὐτὰ ἀλλ' ἕτερα ἐκείνων, τὰ μὲν ὡς μέρη τὰ δ' ὡς ὅλα· μέρος γὰρ αὕτη ἡ ἀδικία τῆς ὅλης ἀδικίας, ὁμοίως δὲ καὶ ἡ δικαιοσύνη τῆς δικαιοσύνης. ὥϛε καὶ περὶ τῆς ἐν μέρει δικαιοσύνης καὶ περὶ τῆς ἐν μέρει ἀδικίας λεκτέον, καὶ τῦ δικαίυ καὶ τῦ ἀδίκου ὡσαύτως. ἡ μὲν ὖν κατὰ τὴν ὅλην ἀρετὴν τεταγμένη δικαιοσύνη καὶ ἀδικία, ἡ μὲν τῆς ὅλης ἀρετῆς ὖσα χρῆσις πρὸς ἄλλον, ἡ δὲ τῆς κακίας, ἀφείσθω. καὶ τὸ δίκαιον δὲ καὶ τὸ ἄδικον τὸ κατὰ ταύτας φανερὸν ὡς διοριϛέον· σχεδὸν γὰρ τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς πραττόμενά ἐστιν· καθ' ἑκάστην γὰρ ἀρετὴν προϛάττει ζῆν καὶ καθ' ἑκάϛην μοχθηρίαν κωλύει ὁ νόμος. τὰ δὲ ποιητικὰ τῆς ὅλης ἀρετῆς ἐϛὶ τῶν νομίμων ὅσα νενομοθέτηται περὶ παιδείαν τὴν πρὸς τὸ κοινόν. περὶ δὲ τῆς καθ' ἕκαστον παιδείας, καθ' ἣν ἁπλῶς ἀνὴρ ἀγαθός ἐστι, πότερον τῆς πολιτικῆς ἐϛὶν ἢ ἑτέρας, ὕϛερον διοριϛέον· οὐ γὰρ ἴσως ταὐτὸν ἀνδρί τ' ἀγαθῷ εἶναι καὶ πολίτῃ παντί. τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τῦ κατ' αὐτὴν δικαίυ ἓν μέν ἐϛιν εἶδος τὸ ἐν ταῖς διανομαῖς τιμῆς ἢ χρημάτων ἢ τῶν ἄλλων ὅσα μεριϛὰ τοῖς κοινωνῦσι τῆς πολιτείας (ἐν τύτοις γὰρ ἔϛι καὶ ἄνισον ἔχειν καὶ ἴσον ἕτερον ἑτέρυ), ἓν

1. ἀρχὰ $H^aL^bM^bN^b$. ‖ 2. τὸν ἄνδρα $H^aN^bO^b$. ‖ 3. τὸ αὐτὸ δὲ M^b. ‖ 4. ὅτι καὶ πρὸς H^aN^b. ‖ 5. κοινῷ H^aN^b. ‖ 6. πρὸς ante τὺς om M^b. ‖ 7. ἀλλ' ὁ O^b. ‖ 9. ἀλλὰ καὶ ὅλη M^b. ‖ 10. ἀδικία] κακία K^b. ‖ 11. αὐτὴ K^b, om O^b. ‖ 12. ᾗ] ἡ $K^bL^bM^b$. ‖ 13. ἡ δικαιοσύνη $K^bL^bN^b$. ‖ 14. γε om M^b. ‖ 15. δὲ om L^b. ‖ περὶ] περὶ τῆς O^b. ‖ τῆς om M^b. ‖ 17. ὁ om K^b. ‖ ὁ om M^b. ‖ 18. ἢ ὁ κακῶς H^aO^b. ‖ 20. ἀλλὰ μὴν ἀλλ' ὐδὲ M^b. ‖ 21. ψεγομένη, omisso γάρ, M^b. ‖ 22. ἄρα γε] γὰρ K^b. ‖ τις ἄλλη M^bO^b. ‖ μέρος τι τῆς $L^bM^bO^b$. ‖ 24. ἔτι] ὅτι K^b, ἔτι δὲ O^b. ‖ 25. προσλαμβάνει L^bM^b, προσλαμβάνοι O^b. ‖ 26. δόξειεν ἂν μᾶλλον εἶναι O^b, μᾶλλον δόξει εἶναι K^b. ‖ 30. ἐγκατέλειπε M^b. ‖ 31. εἰ δ' ἐπάταξεν $K^bL^bN^b$. ‖ 33. ὁ om M^b.

2. ἢ χρήματα] καὶ χρήματα O^b, ἢ καὶ χρήματα L^bM^b. ‖ ἢ σωτηρίαν] καὶ σωτηρίαν M^b. ‖ 4. τῦ om O^b. ‖ περὶ πάντα K^b, om M^b. ‖ 6. εἰσὶν αἱ δικαιοσύναι K^b. ‖ ὅτι et 7. καὶ ante ἑτέρα om O^b. ‖ 8. δὲ K^bM^b. ‖ τε om M^b. ‖ 9. τὸ δὲ — ἴσον om M^b. ‖ 10. μὲν ὖν om K^b. ‖ 11. πλέον] παράνομον πλέον K^b. ‖ 12. πρὸς] καὶ πρὸς K^b. ‖ τὸ μὲν γὰρ πλέον] τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον, τὸ δὲ παράνομον οὐχ ἅπαν ἄνισον, καὶ (ὡσαύτως δὲ καὶ O^b) τὸ πλέον M^bO^b. ‖ 13. οὐχ ἅπαν M^b. ‖ 14. γὰρ] δ' M^b. ‖ 16. ὥϛε περὶ L^bO^b, ὡς περὶ K^b. ‖ 17. περὶ om O^b. ‖ 18. τῦ om K^b. ‖ 21. δὲ om M^b. ‖ αὐτάς L^b, πάντας M^b. ‖ 22. τὰ] τι M^b. ‖ τὰ om M^b. ‖ 23. προςαττόμενα K^b, προτεττόμενα margo O^b. ‖ 30. κατὰ ταύτην δικαίου K^b, δικαίου τοῦ κατ' αὐτὴν L^b.

τοῖς συναλλάγμασι διορθωτικόν. τούτου δὲ μέρη
ν γὰρ συναλλαγμάτων τὰ μὲν ἑκύσιά ἐστι τὰ δ'
ἑκύσια μὲν τὰ τοιάδε οἷον πρᾶσις, ὠνή, δανεισμός,
χρῆσις, παρακαταθήκη, μίσθωσις· ἑκύσια δὲ λέ-
ι ἡ ἀρχὴ τῶν συναλλαγμάτων τύτων ἑκύσιος. τῶν
ίων τὰ μὲν λαθραῖα, οἷον κλοπή, μοιχεία, φαρ-
προαγωγεία, δουλαπατία, δολοφονία, ψευδομαρ-
ὰ δὲ βίαια, οἷον αἰκία, δεσμός, θάνατος, ἁρπαγή,
κακηγορία, προπηλακισμός. ἐπεὶ δ' ὅ τ' ἄδικος
αὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τί ἐςι τῦ
τῦτο δ' ἐστὶ τὸ ἴσον· ἐν ὁποίᾳ γὰρ πράξει ἐςὶ τὸ
ὶ τὸ ἔλαττον, ἐςὶ καὶ τὸ ἴσον. εἰ ὖν τὸ ἄδικον ἄνι-
δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν.
τὸ ἴσον μέσον, τὸ δίκαιον μέσον τι ἂν εἴη. ἔςι δὲ
ν ἐλαχίςοις δυσίν· ἀνάγκη τοίνυν τὸ δίκαιον μέ-
αὶ ἴσον εἶναι [καὶ πρός τι] καὶ τισίν, καὶ ᾗ μὲν μέ-
ῶν (ταῦτα δ' ἐστὶ πλεῖον καὶ ἔλαττον), ᾗ δ' ἴσον
οῖν, ᾗ δὲ δίκαιον, τισίν. ἀνάγκη ἄρα τὸ δίκαιον
ίςοις εἶναι τέτταρσιν· οἷς τε γὰρ δίκαιον τυγχάνει
ἐςί, καὶ ἐν οἷς τὰ πράγματα, δύο. καὶ ἡ αὐτὴ
της, οἷς καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς,
εῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι, ὐκ ἴσα ἕξουσιν, ἀλλ'
αἱ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν ἢ ἴσοι μὴ ἴσα
ι ἴσα ἔχωσι καὶ νέμωνται. ἔτι ἐκ τῦ κατ' ἀξίαν
ον· τὸ γὰρ δίκαιον ἐν ταῖς διανομαῖς ὁμολογῦσι
ατ' ἀξίαν τινὰ δεῖν εἶναι, τὴν μέντοι ἀξίαν ὐ τὴν
γουσι πάντες ὑπάρχειν, ἀλλ' οἱ μὲν δημοκρατικοὶ
ν, οἱ δ' ὀλιγαρχικοὶ πλῦτον, οἱ δ' εὐγένειαν, οἱ δ'
ατικοὶ ἀρετήν. ἔςιν ἄρα τὸ δίκαιον ἀνάλογόν τι.
ἀνάλογον ὐ μόνον ἐςὶ μοναδικῦ ἀριθμῦ ἴδιον, ἀλλ'
θμῦ· ἡ γὰρ ἀναλογία ἰσότης ἐστὶ λόγων, καὶ ἐν
ἐλαχίστοις. ἡ μὲν ὖν διῃρημένη ὅτι ἐν τέτταρσι,
ἀλλὰ καὶ ἡ συνεχής· τῷ γὰρ ἑνὶ ὡς δυσὶ χρῆ-

ται καὶ δὶς λέγει, οἷον ὡς ἡ τοῦ α πρὸς τὴν τῦ β, οὕτως καὶ ἡ τῦ β πρὸς τὴν τῦ γ. δὶς ὖν ἡ τῦ β εἴρηται· ὥς' ἐὰν ἡ τοῦ β τεθῇ δίς, τέτταρα ἔςαι τὰ ἀνάλογα. ἔστι δὲ καὶ τὸ δίκαιον ἐν τέτταρσιν ἐλαχίστοις, καὶ ὁ λόγος ὁ αὐτός· διῄρηνται γὰρ ὁμοίως, οἷς τε καὶ ἅ. ἔςαι ἄρα ὡς ὁ α ὅρος πρὸς τὸν β, ὕτως ὁ γ πρὸς τὸν δ, καὶ ἐναλλὰξ ἄρα, ὡς ὁ α πρὸς τὸν γ, ὁ β πρὸς τὸν δ. ὥστε καὶ τὸ ὅλον πρὸς τὸ ὅλον· ὅπερ ἡ νομὴ συνδυάζει· κἂν ὕτως συντεθῇ, δικαίως συνδυάζει. ἡ ἄρα τῦ α ὅρου τῷ γ καὶ ἡ τῦ β τῷ δ σύ- 7
ζευξις τὸ ἐν διανομῇ δίκαιόν ἐστι, καὶ μέσον τὸ δίκαιον τῦτ' ἐςὶ τῦ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ ἀνάλογον μέσον, τὸ δὲ δίκαιον ἀνάλογον. καλοῦσι δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ μαθηματικοί· ἐν γὰρ τῇ γεωμετρικῇ συμβαίνει καὶ τὸ ὅλον πρὸς τὸ ὅλον ὅπερ ἑκάτερον πρὸς ἑκάτερον. ἔςι δ' ὐ συνεχὴς αὕτη ἡ ἀναλογία· ὐ γὰρ γίνεται εἷς ἀριθμῷ ὅρος, ᾧ καὶ ὅ. τὸ μὲν ὖν δίκαιον τῦτο τὸ ἀνάλογον, τὸ δ' ἄδικον τὸ παρὰ τὸ ἀνάλογον. γίνεται ἄρα τὸ μὲν πλέον τὸ δὲ ἔλαττον. ὅπερ καὶ ἐπὶ τῶν ἔργων συμβαίνει· ὁ μὲν γὰρ ἀδικῶν πλέον ἔχει, ὁ δ' ἀδικούμενος ἔλαττον τῦ ἀγαθῦ. ἐπὶ δὲ τῦ κακῦ ἀνάπαλιν· ἐν ἀγαθοῦ γὰρ λόγῳ γίνεται τὸ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον κακόν· ἔςι γὰρ τὸ ἔλαττον κακὸν μᾶλλον αἱρετὸν τῦ μείζονος, τὸ δ' αἱρετὸν ἀγαθόν, καὶ τὸ μᾶλλον μεῖζον. τὸ μὲν οὖν ἓν εἶδος τῦ δικαίου τῦτ' ἐςίν.

Τὸ δὲ λοιπὸν ἓν τὸ διορθωτικόν, ὃ γίνεται ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἑκυσίοις καὶ τοῖς ἀκουσίοις. τῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος ἔχει τῦ προτέρυ. τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον τῶν κοινῶν ἀεὶ κατὰ τὴν ἀναλογίαν ἐστὶ τὴν εἰρημένην· καὶ γὰρ ἀπὸ χρημάτων κοινῶν ἐὰν γίγνηται ἡ διανομή, ἔσται κατὰ τὸν λόγον τὸν αὐτὸν ὅνπερ ἔχουσι πρὸς ἄλληλα τὰ εἰσενεχθέντα· καὶ τὸ ἄδικον τὸ ἀντικείμενον τῷ δικαίῳ τύτῳ παρὰ τὸ ἀνάλογόν ἐστιν. τὸ δ' ἐν τοῖς συναλλάγμασι δίκαιον ἐςὶ μὲν ἴσον τι, καὶ τὸ ἀδι-

έρη εἰσὶ δύο L^b, δύο μέρη M^b. ‖ 2. ἀδικημάτων K^bM^b et pr L^b. ‖ 3. μὲν γὰρ τὰ L^b. ‖ 7. προαγωγία K^bL^b. ‖ δολοπατία
κατηγορία O^b. ‖ 13. ὅπερ — πᾶσιν om M^b. ‖ 14. μέσον καὶ τὸ M^b. ‖ ἂν ante τι K^b, om O^b. ‖ 16. καὶ πρός τι om K^b,
m L^b. καὶ τισι καὶ πρός τι O^b. ‖ 17. πλέον L^b. ‖ 18. ἐστί om K^b. ‖ 21. ἔςαι om K^bO^b. ‖ τὰ ἐν οἷς om K^b. ‖ 22.
O^b. ‖ 23. ἢ om L^bM^b. ‖ μὴ ἴσα ἴσοι K^b. ‖ 24. ἢ μὴ ἴσοι ἴσα om L^bM^b. ‖ post νέμωνται L^b καὶ οἱ μὴ ἴσοι ἴσα. ‖ ἐςι
25. νομαῖς K^bL^b. ‖ 26. εἶναι δεῖν M^b. ‖ 27. ὑπάρχειν] κατ' ἀξίαν τινὰ δεῖν εἶναι K^b, om O^b. ‖ 31. ᾗ τε γὰρ M^bO^b. ‖
O^b. ‖ 33. χρήσεται L^bM^b.
ς om M^b. ‖ α — β et 2. β — γ] πρώτου — δευτέρου — δευτέρου — τρίτου K^b. et perinde 5, 6, 7, 9. ‖ 1. οὕτως om
2. ἐὰν τὸ δεύτερον δὶς τεθῇ K^b. ‖ 3. τέσσαρά ἐςι M^b. ‖ 5. διῄρηται $K^bM^bO^b$. ‖ ἔςαι om K^b. ‖ 6. καὶ — 7. δ om M^b. ‖
9. συνδυάζει om M^b. ‖ 11. τοῦτ' — 12. δίκαιον om M^b. ‖ 11. τῦ] τὸ K^bL^b. ‖ τὸ μὲν γὰρ O^b. ‖ 13. μαθητικοί L^b. ‖
ost πρὸς om M^b. ‖ 15. αὐτὴ K^b. ‖ 16. ὁ ὅρος O^b. ‖ ᾧ om pr K^b. ‖ τὸ post τῦτο om L^b. ‖ 17. τῷ μὲν πλέον τῷ M^b. ‖
. πλεῖον O^b. ‖ 20. κακῦ τὸ ἀνάπαλιν O^b. ‖ 21. γίνεται καὶ τὸ M^b. ‖ 25. συναλλάγμασι καὶ τοῖς ἀκουσίοις καὶ τοῖς ἑκυσίοις
λάγμασι τοῖς ἑκυσίοις τε καὶ ἀκουσίοις M^b. ‖ 27. πρότερον K^b. ‖ γὰρ om M^b. ‖ 28. δίκαιον om K^b. ‖ 29. γένηται L^b. ‖ 30.
κατὰ om M^b. ‖ 31. εἰς ἄλληλα προσενεχθέντα K^b. ‖ 32. τύτῳ τὸ παρὰ τὸ K^bO^b.

κον ἄνισον, ἀλλ' οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην ἀλλὰ κατὰ τὴν ἀριθμητικήν. οὐθὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς φαῦλον ἀπεστέρησεν ἢ φαῦλος ἐπιεικῆ, οὐδ' εἰ ἐμοίχευσεν ἐπιεικὴς ἢ φαῦλος· ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν μόνον βλέπει ὁ νόμος, καὶ χρῆται ὡς ἴσοις, εἰ ὁ μὲν ἀδικεῖ ὁ δ' ἀδικεῖται, καὶ εἰ ἔβλαψεν ὁ δὲ βέβλαπται. ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὂν ἰσάζειν πειρᾶται ὁ δικαστής· καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ ὁ δὲ πατάξῃ, ἢ καὶ κτείνῃ ὁ δ' ἀποθάνῃ, διῄρηται τὸ πάθος καὶ ἡ πρᾶξις εἰς ἄνισα· ἀλλὰ πειρᾶται τῇ ζημίᾳ ἰσάζειν, ἀφαιρῶν τοῦ κέρδους. λέγεται γὰρ ὡς ἁπλῶς εἰπεῖν ἐπὶ τοῖς τοιούτοις, κἂν εἰ μή τισιν οἰκεῖον ὄνομα εἴη, τὸ κέρδος, οἷον τῷ πατάξαντι, καὶ ἡ ζημία τῷ παθόντι· ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος, καλεῖται τὸ μὲν ζημία τὸ δὲ κέρδος. ὥστε τοῦ μὲν πλείονος καὶ ἐλάττονος τὸ ἴσον μέσον, τὸ δὲ κέρδος καὶ ἡ ζημία τὸ μὲν πλέον τὸ δ' ἔλαττον ἐναντίως, τὸ μὲν τοῦ ἀγαθοῦ πλέον τοῦ κακοῦ δ' ἔλαττον κέρδος, τὸ δ' ἐναντίον ζημία· ὧν ἦν μέσον τὸ ἴσον, ὃ λέγομεν εἶναι δίκαιον· ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη τὸ μέσον ζημίας καὶ κέρδους. διὸ καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσιν· τὸ δ' ἐπὶ τὸν δικαστὴν ἰέναι ἰέναι ἐστὶν ἐπὶ τὸ δίκαιον· ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷον δίκαιον ἔμψυχον· καὶ ζητοῦσι δικαστὴν μέσον, καὶ καλοῦσιν ἔνιοι μεσιδίους, ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι. μέσον ἄρα τι τὸ δίκαιον, εἴπερ καὶ ὁ δικαστής. ὁ δὲ δικαστὴς ἐπανισοῖ, καὶ ὥσπερ γραμμῆς εἰς ἄνισα τετμημένης, ᾧ τὸ μεῖζον τμῆμα τῆς ἡμισείας ὑπερέχει, τοῦτ' ἀφεῖλε καὶ τῷ ἐλάττονι τμήματι προσέθηκεν. ὅταν δὲ δίχα διαιρεθῇ τὸ ὅλον, τότε φασὶν ἔχειν τὰ αὑτῶν, ὅταν λάβωσι τὸ ἴσον. τὸ δ' ἴσον μέσον ἐστὶ τῆς μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. διὰ τοῦτο καὶ ὀνομάζεται δίκαιον, ὅτι δίχα ἐστίν, ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον, καὶ ὁ δικαστὴς διχαστής. ἐπὰν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου, πρὸς θάτερον δὲ προστεθῇ, δυσὶ τούτοις ὑπερέχει θάτερον· εἰ γὰρ ἀφῃρέθη μέν, μὴ προσετέθη δέ, ἑνὶ ἂν μόνον ὑπερεῖχεν. τοῦ μέσου ἄρα ἑνί, καὶ τὸ [...] ἀφ' οὗ ἀφῃρέθη, ἑνί. τούτῳ ἄρα γνωριοῦμεν τί τε ἀ[...] δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλ[...] ἔχοντι· ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖ[...] τῷ ἔλαττον ἔχοντι, ᾧ δ' ὑπερέχεται, ἀφελεῖν ἀπὸ τ[...] γίστου. ἴσαι αἱ ἐφ' ὧν ΑΑ ΒΒ ΓΓ ἀλλήλαις· ἀπὸ τ[...] ἀφῃρήσθω τὸ ΑΕ, καὶ προσκείσθω τῇ ΓΓ τὸ ἐφ' ᾧ[...] ὥστε ὅλη ἡ ΔΓΓ τῆς ΕΑ ὑπερέχει τῷ ΓΔ καὶ τῷ ΓΖ[...] ἄρα ΒΒ τῷ ΓΔ. ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν[...] ἀνῃροῦντο γὰρ ἄν, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον κα[...] καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον καὶ τοιοῦτον. [...] λυθε δὲ τὰ ὀνόματα ταῦτα, ἥ τε ζημία καὶ τὸ κέρδ[...] τῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν γὰρ πλέον ἔχειν ἢ τὰ [...] κερδαίνειν λέγεται, τὸ δ' ἔλαττον τῶν ἐξ ἀρχῆς ζημι[...] οἷον ἐν τῷ ὠνεῖσθαι καὶ πωλεῖν καὶ ἐν ὅσοις ἄλλοις ἀ[...] ἔδωκεν ὁ νόμος. ὅταν δὲ μήτε πλέον μήτ' ἔλαττον [...] αὐτὰ δι' αὑτῶν γένηται, τὰ αὑτῶν φασὶν ἔχειν κα[...] ζημιοῦσθαι οὔτε κερδαίνειν· ὥστε κέρδους τινὸς καὶ ζημία[...] σον τὸ δίκαιόν ἐστι τῶν παρὰ τὸ ἑκούσιον, τὸ ἴσον ἔχει[...] πρότερον καὶ ὕστερον.

Δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι ἁπλῶς δίκ[...] ὥσπερ οἱ Πυθαγόρειοι ἔφασαν· ὡρίζοντο γὰρ ἁπλῶς τ[...] καιον τὸ ἀντιπεπονθὸς ἄλλῳ. τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφ[...] μόττει οὔτ' ἐπὶ τὸ διανεμητικὸν δίκαιον οὔτ' ἐπὶ τὸ διορθ[...] κόν· καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάν[...] δίκαιον·

εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, [...] δεῖ ἀντιπληγῆναι, καὶ εἰ ἄρχοντα ἐπάταξεν, οὐ πληγ[...] μόνον δεῖ ἀλλὰ καὶ κολασθῆναι. ἔτι τὸ ἑκούσιον καὶ τὸ ἀ[...] σιον διαφέρει πολύ. ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς [...] λακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον τὸ ἀντιπεπονθός, κ[...] ἀναλογίαν καὶ μὴ κατ' ἰσότητα· τῷ ἀντιποιεῖν γὰρ ἀ[...] λογον συμμένει ἡ πόλις. ἢ γὰρ τὸ κακῶς ζητοῦσιν· [...]

2. εἰ ὁ ἐπιεικὴς M^b. ‖ 3. ἀποστερήσει O^b. ‖ ἢ ὁ φαῦλος ἐπιεικῆ M^b. ‖ 4. ἀναφορὰν M^b. ‖ βλέπει μόνον K^b. ‖ 6. καὶ om M[...] εἰ ὁ μὲν ἔβλαψεν $L^b M^b O^b$. ‖ βλάπτεται M^b. ‖ 8. καὶ om M^b. ‖ 11. εἴη] ἢ K^b, δοκῇ O^b. ‖ 14. καὶ τοῦ ἐλάττονος O^b. ‖ 15. κέρδος δὲ L^b. ‖ 21. ἐστὶν — εἶναι om K^b. ‖ ὁ — 22. ἔμψυχον om M^b. ‖ 23. μεσιδίκους (κ correcto) L^b, μεσοδίκην $H^a N^b$. ‖ 2[...] om M^b. ‖ 27. καὶ et προσέθηκεν om K^b. ‖ 28. τὰ αὐτοῦ O^b, τὸ αὐτὸ M^b, τὸ αὐτοῦ $K^b L^b$. ‖ 29. ἐλάττονος καὶ μείζονος M^b. ‖ [...] ἂν] γὰρ ἂν L^b, om M^b. ‖ εἰ om K^b. ‖ 34. τὸ ἕτερον $L^b M^b O^b$. ‖ ἀφαιρεθῇ μέν, μὴ προστεθῇ M^b.

1. ἑνί γ' ἂν M^b. ‖ μόνῳ L^b. ‖ 2. ἀφ'] τὸ ἀφ' O^b. ‖ τε om K^b. ‖ 3. πλεῖον M^b. ‖ προστεθῆναι M^b. ‖ 4. ᾧ — 5. ἔχοντι [...] M^b. ‖ 6. αἱ post ὧν M^b. ‖ 7. ἀφῄρηται K^b, ἀφαιρείσθω $L^b O^b$. ‖ πρόσκειται K^b. ‖ 8. ὅλη ἡ] ὅλην K^b, ἡ ὅλη O^b. ‖ ὑπερέχει [...] K^b. ‖ τῷ post καὶ om L^b. ‖ 9. τοῦτο post δὲ $K^b O^b$. ‖ 10. γὰρ] μὲν γὰρ L^b. ‖ ὅσον] πόσον pr K^b. ‖ 11. καὶ et τοῦτο om M[...] τοσοῦτο καὶ τοιοῦτο $L^b O^b$. ‖ 12. ταῦτα om M^b. ‖ 13. αὐτοῦ O^b, αὐτοῦ K^b. ‖ 15. πωλεῖν καὶ ὠνεῖσθαι $L^b M^b$. ‖ ὅσοις] τοῖς K^b. ‖ δέδωκεν $K^b O^b$. ‖ 17. αὐτὰ δι'] τὰ M^b. ‖ 19. τῶι K^b, τὸ M^b. ‖ περὶ M^b. ‖ καὶ om K^b. ‖ 21. ἁπλῶς εἶναι O^b. ‖ 22. πυθαγ[...] K^b. ‖ 23. ἄλλῳ om $L^b M^b O^b$. ‖ 24. νεμητικὸν $K^b L^b O^b$. ‖ 25. γε om L^b. ‖ 27. εἰ καὶ K^b. ‖ ἔρρεξε L^b. ‖ δ' M^b. ‖ 29. [...] ἔχοντα O^b. ‖ 30. καὶ om K^b. ‖ ἀκούσιον καὶ τὸ ἑκούσιον L^b. ‖ 31. συναλλακτικαῖς M^b. ‖ 33. καὶ] ἔχον καὶ M^b. ‖ 34. ἐμμένει M[...]

λεία δοκεῖ εἶναι, εἰ μὴ ἀντιποιήσει· ἢ τὸ εὖ· εἰ δὲ
ιάδοσις ὐ γίνεται, τῇ μεταδόσει δὲ συμμένυσιν. διὸ
ρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵν' ἀνταπόδοσις ᾖ·
ῥ ἴδιον χάριτος· ἀνθυπηρετῆσαί τε γὰρ δεῖ τῷ χα-
ῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. ποιεῖ δὲ
ίδοσιν τὴν κατ' ἀναλογίαν ἡ κατὰ διάμετρον σύζευ-
ν οἰκοδόμος ἐφ' ᾧ Α, σκυτοτόμος ἐφ' ᾧ Β, οἰκία
Γ, ὑπόδημα ἐφ' ᾧ Δ. δεῖ ὖν λαμβάνειν τὸν οἰκο-
ταρὰ τῦ σκυτοτόμυ τῦ ἐκείνυ ἔργυ, καὶ αὐτὸν ἐκείνῳ
όναι τὸ αὐτῦ. ἐὰν ὖν πρῶτον ᾖ τὸ κατὰ τὴν ἀνα-
ἴσον, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, ἔςαι τὸ λεγό-
εἰ δὲ μή, ὐκ ἴσον, ὐδὲ συμμένει· ὐθὲν γὰρ κωλύει
εἶναι τὸ θατέρυ ἔργον ἢ τὸ θατέρου, δεῖ ὖν ταῦτα
αι. ἔςι δὲ τῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃρῦντο
, εἰ μὴ ἐποίει τὸ ποιῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ
ἔπασχε τῦτο καὶ τοσῦτον καὶ τοιῦτον. οὐ γὰρ ἐκ
ῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατρῦ καὶ γεωργοῦ,
ς ἑτέρων καὶ ὐκ ἴσων· ἀλλὰ τύτυς δεῖ ἰσασθῆναι.
τα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐςὶν ἀλλαγή. ἐφ'
ισμ' ἐλήλυθε, καὶ γίνεταί πως μέσον· πάντα γὰρ
ὥστε καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, πόσα
ἡ ὑποδήματ' ἴσον οἰκίᾳ ἢ τροφῇ. δεῖ τοίνυν ὅπερ
ς πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν
ν. εἰ γὰρ μὴ τῦτο, ὐκ ἔςαι ἀλλαγὴ ὐδὲ κοινωνία.
εἰ μὴ ἴσα εἴη πως, ὐκ ἔςαι. δεῖ ἄρα ἑνί τινι πάντα
ιαι, ὥσπερ ἐλέχθη πρότερον. τοῦτο δ' ἐστὶ τῇ μὲν
ἡ χρεία, ἣ πάντα συνέχει· εἰ γὰρ μηθὲν δέοιντο
ιοίως, ἢ ὐκ ἔσται ἀλλαγὴ ἢ ὐχ ἡ αὐτή. οἷον δ'
ιγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην·
τῦτο τὔνομα ἔχει νόμισμα, ὅτι ὐ φύσει ἀλλὰ νόμῳ
ἐφ' ἡμῖν μεταβαλεῖν καὶ ποιῆσαι ἄχρηςον. ἔςαι
τεπονθός, ὅταν ἰσασθῇ, ὥςε ὅπερ γεωργὸς πρὸς σκυ-
, τὸ ἔργον τὸ τῦ σκυτοτόμυ πρὸς τὸ τῦ γεωργῦ. εἰς

σχῆμα δ' ἀναλογίας ὐ δεῖ ἄγειν, ὅταν ἀλλάξωνται· εἰ δὲ μή, ἀμφοτέρας ἕξει τὰς ὑπεροχὰς τὸ ἕτερον ἄκρον. ἀλλ' ὅταν ἔχωσι τὰ αὐτῶν, ὕτως ἴσοι καὶ κοινωνοί, ὅτι αὕτη ἡ ἰσότης δύναται ἐπ' αὐτῶν γίνεσθαι. γεωργὸς Α, τροφὴ Γ, σκυτοτόμος Β, τὸ ἔργον αὐτῦ τὸ ἰσασμένον Δ. εἰ δ' ὕτω μὴ ἦν ἀντιπεπονθέναι, ὐκ ἂν ἦν κοινωνία. ὅτι δ' ἡ χρεία συνέχει ὥσπερ ἕν τι ὄν, δηλοῖ ὅτι ὅταν μὴ ἐν χρείᾳ ὦσιν ἀλλήλων, ἢ ἀμφότεροι ἢ ἅτερος, ὐκ ἀλλάττονται, ὥσπερ ὅταν ὖ ἔχει αὐτὸς δέηταί τις, οἷον οἴνυ, διδόντες σίτυ ἐξαγωγῆς. δεῖ ἄρα τῦτο ἰσασθῆναι. ὑπὲρ δὲ τῆς μελλύσης ἀλλαγῆς, εἰ νῦν μηδὲν δεῖται, ὅτι ἔςαι, ἐὰν δεηθῇ, τὸ νόμισμα οἷον ἐγγυητής ἐσθ' ἡμῖν· δεῖ γὰρ τῦτο φέροντι εἶναι λαβεῖν. πάσχει μὲν ὖν καὶ τῦτο τὸ αὐτό· ὐ γὰρ ἀεὶ ἴσον δύναται· ὅμως δὲ βύλεται μένειν μᾶλλον. διὸ δεῖ πάντα τετιμῆσθαι· ὕτω γὰρ ἀεὶ ἔςαι ἀλλαγή, εἰ δὲ τῦτο, κοινωνία. τὸ δὴ νόμισμα ὥσπερ μέτρον σύμμετρα ποιῆσαν ἰσάζει· ὔτε γὰρ ἂν μὴ ὔσης ἀλλαγῆς κοινωνία ἦν, ὔτ' ἀλλαγὴ ἰσότητος μὴ ὔσης, ὔτ' ἰσότης μὴ ὔσης συμμετρίας. τῇ μὲν ὖν ἀληθείᾳ ἀδύνατον τὰ τοσῦτον διαφέροντα σύμμετρα γενέσθαι, πρὸς δὲ τὴν χρείαν ἐνδέχεται ἱκανῶς. ἓν δή τι δεῖ εἶναι, τῦτο δ' ἐξ ὑποθέσεως· διὸ νόμισμα καλεῖται· τῦτο γὰρ πάντα ποιεῖ σύμμετρα· μετρεῖται γὰρ πάντα νομίσματι. οἰκία Α, μναῖ δέκα Β, κλίνη Γ. τὸ δὴ Α τῦ Β ἥμισυ, εἰ πέντε μνῶν ἀξία ἡ οἰκία, ἢ ἴσον· ἡ δὲ κλίνη δέκατον μέρος τὸ Γ τοῦ Β· δῆλον τοίνυν πόσαι κλῖναι ἴσον οἰκίᾳ, ὅτι πέντε. ὅτι δ' ὕτως ἡ ἀλλαγὴ ἦν πρὶν τὸ νόμισμα εἶναι, δῆλον· διαφέρει γὰρ ὐδὲν ἢ κλῖναι πέντε ἀντὶ οἰκίας, ἢ ὅσυ αἱ πέντε κλῖναι.

Τί μὲν ὖν τὸ ἄδικον καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται. 9
διωρισμένων δὲ τύτων δῆλον ὅτι ἡ δικαιοπραγία μέσον ἐςὶ τῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον ἔχειν τὸ δ' ἔλαττόν ἐστιν. ἡ δὲ δικαιοσύνη μεσότης ἐστὶν ὐ τὸν αὐτὸν τρόπον ταῖς πρότερον ἀρεταῖς, ἀλλ' ὅτι μέσου ἐστίν· ἡ δ'

κποδὼν M^b. ‖ 4. τε add L^bO^b. ‖ 5. χαριζόμενον τὴν δὲ ἀντίδοσιν κατ' ἀναλογίαν ἢ κατὰ τὸ μέτρον συζεύξεις M^b. ‖ 7. οἷον om
. ὑποδήματα O^b. ‖ 9. τὸ ἐκείνυ ἔργον M^b. ‖ 10. τὴν om M^b. ‖ 11. γενήσεται O^b. ‖ 12. συμμενεῖ O^b, συμφέρει M^b. ‖ 15.
^{b}. ‖ καὶ ὅσον καὶ οἷον] τοιῦτον καὶ τοσῦτον M^b. ‖ 16. καὶ τοιῦτον om K^b. ‖ 18. καὶ ante ὐκ om M^b. ‖ 19. ταῦτα pr K^b. ‖
M^b. ‖ 20. ὦ $L^bM^bO^b$. ‖ 21. μετρίωστε καὶ K^b. ‖ 22. ἄττα om K^b. ‖ ἴσον — 23. ὑποδήματα om M^b. ‖ 22. ὅπερ ὁ
$L^bM^bO^b$. ‖ 23. τόσαδε K^b, τόσα δὴ L^b. ‖ 26. ἐστὶ] ὅτι K^b. ‖ 27. ἡ om K^b. ‖ 28. ἢ ante ὐκ om M^b. ‖ 30. ὐχὶ L^b. ‖
βάλλειν $K^bM^bO^b$. ‖ 33. τὸ post ἔργον om L^bM^b.
διάγειν ἀναλογίας K^b. ‖ 2. ὑπερβολὰς K^b. ‖ 3. τὸ K^b. ‖ 4. Α] τὸ α K^b. ‖ 7. ὁπόταν O^b. ‖ 8. θάτερος O^b. ‖ 9. ὖ ἔχει]
τις om K^b. ‖ οἶνον M^b. ‖ δόντες K^b. ‖ ἐξαγωγήν $L^bM^bO^b$. ‖ 10. τῦτο ἄρα O^b. ‖ 11. ἂν K^b. ‖ 12. ἐςιν O^b. ‖ ἡμῶν M^b. ‖
K^b. ‖ 13. παράσχοι M^b. ‖ 15. τετμῆσθαι L^b. ‖ ἔςαι ἀεὶ M^bO^b. ‖ 16. μέτρῳ L^b, μέσον M^b. ‖ 17. ἂν om M^b. ‖ εἴη O^b. ‖
δεῖ L^b, δὲ δεῖ τι M^b, δεῖ δή τι O^b. ‖ 23. Α] ἐφ' ἧς α O^b. ‖ δὴ] δὲ M^b, om K^bO^b. ‖ 24. ἢ τὸ ἴσον M^b. ‖ κλίνη ἢ δέκα-
26. ὅτι δέκα rc K^b: pr enim om. ‖ δὴ K^b. ‖ 27. εἶναι M^b, om L^b: ceteri ἦ. ‖ 29. ἐστιν om L^b. ‖ 30. ὅτι καὶ ἡ M^b. ‖
M^b. ‖ 32. μεσότης τις ἐστὶν K^bL^b. ‖ αὐτὸν δὲ τρόπον $K^bL^bO^b$. ‖ 33. ταῖς ἀρεταῖς ταῖς πρότερον O^b, ταῖς ἄλλαις ἀρεταῖς L^b. ‖
του μέσον M^b.

ἀδικία τῶν ἄκρων. καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὑτῷ πρὸς ἄλλον καὶ ἑτέρῳ πρὸς ἕτερον, οὐχ οὕτως ὥστε τοῦ μὲν αἱρετοῦ πλέον αὑτῷ ἔλαττον δὲ τῷ πλησίον, τοῦ βλαβεροῦ δ' ἀνάπαλιν, ἀλλὰ τοῦ ἴσου τοῦ κατ' ἀναλογίαν, ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον. ἡ δ' ἀδικία τοὐναντίον τοῦ ἀδίκου. τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις τοῦ ὠφελίμου ἢ βλαβεροῦ παρὰ τὸ ἀνάλογον. διὸ ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἀδικία, ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν, ἐφ' αὑτοῦ μὲν ὑπερβολῆς μὲν τοῦ ἁπλῶς ὠφελίμου, ἐλλείψεως δὲ τοῦ βλαβεροῦ· ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως, τὸ δὲ παρὰ τὸ ἀνάλογον, ὁποτέρως ἔτυχεν. τοῦ δὲ ἀδικήματος τὸ μὲν ἔλαττον τὸ ἀδικεῖσθαί ἐστι, τὸ δὲ μεῖζον τὸ ἀδικεῖν. περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον, ὁμοίως δὲ καὶ περὶ τοῦ δικαίου καὶ ἀδίκου καθόλου.

10 Ἐπεὶ δ' ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁ ποῖα ἀδικήματα ἀδικῶν ἤδη ἄδικός ἐστιν ἑκάστην ἀδικίαν, οἷον κλέπτης ἢ μοιχὸς ἢ λῃστής; ἢ οὕτω μὲν οὐδὲν διοίσει; καὶ γὰρ ἂν συγγένοιτο γυναικὶ εἰδὼς τὸ ᾗ, ἀλλ' οὐ διὰ προαιρέσεως ἀρχὴν ἀλλὰ διὰ πάθος. ἀδικεῖ μὲν οὖν, ἄδικος δ' οὐκ ἔστιν, οἷον οὐδὲ κλέπτης, ἔκλεψε δέ, οὐδὲ μοιχός, ἐμοίχευσε δέ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον· δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενόν ἐστι καὶ τὸ ἁπλῶς δίκαιον καὶ τὸ πολιτικὸν δίκαιον. τοῦτο δέ ἐστιν ἐπὶ κοινωνῶν βίου πρὸς τὸ εἶναι αὐτάρκειαν, ἐλευθέρων καὶ ἴσων ἢ κατ' ἀναλογίαν ἢ κατ' ἀριθμόν· ὥστε ὅσοις μή ἐστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον καὶ καθ' ὁμοιότητα. ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὑτούς· νόμος δ', ἐν οἷς ἀδικία· ἡ γὰρ δίκη κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου. ἐν οἷς δ' ἀδικία, καὶ τὸ ἀδικεῖν ἐν τούτοις, ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία· τοῦτο δ' ἐστὶ τὸ πλέον αὑτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν, ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν. διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον, ὅτι ἑαυτῷ τοῦτο ποιεῖ, καὶ γίνεται τύραννος. ἔστι δ' ὁ ἄρχων φύλαξ τοῦ δικαίου, εἰ δὲ τοῦ δικαίου, καὶ τοῦ ἴσου. ἐπεὶ δ' οὐθὲν αὐτῷ πλέον εἶναι δοκεῖ, εἴπερ δίκαιος· οὐ γὰρ νέμει πλέον τοῦ ἁπλῶς ἀγαθοῦ αὑτῷ, εἰ μὴ πρὸς αὐτὸν ἀνάλογόν ἐστιν· διὸ ἑτέρῳ ποιεῖ· καὶ διὰ τοῦτο ἀλλότριον εἶναί φασιν ἀγαθὸν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη καὶ πρότερον. μισθὸς ἄρα τις δοτέος, τοῦτο δὲ τιμὴ καὶ γέρας· ὅτῳ δὲ μὴ ἱκανὰ τὰ τοιαῦτα, οὗτοι γίνονται τύραννοι. τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πατρικὸν οὐ ταὐτὸν τούτοις ἀλλ' ὅμοιον· οὐ γάρ ἐστιν ἀδικία πρὸς τὰ αὑτοῦ ἁπλῶς, τὸ δὲ κτῆμα καὶ τὸ τέκνον, ἕως ἂν ᾖ πηλίκον καὶ μὴ χωρισθῇ, ὥσπερ μέρος αὐτοῦ, αὑτὸν δ' οὐθεὶς προαιρεῖται βλάπτειν· διὸ οὐκ ἔστιν ἀδικία πρὸς αὑτόν. οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον τὸ πολιτικόν· κατὰ νόμον γὰρ ἦν, καὶ ἐν οἷς ἐπεφύκει εἶναι νόμος· οὗτοι δ' ἦσαν οἷς ὑπάρχει ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι. διὸ μᾶλλον πρὸς γυναῖκά ἐστι δίκαιον ἢ πρὸς τέκνα καὶ κτήματα· τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον· ἕτερον δὲ καὶ τοῦτο τοῦ πολιτικοῦ. τοῦ δὲ πολιτικοῦ δικαίου τὸ μὲν φυσικόν ἐστι τὸ δὲ νομικόν, φυσικὸν μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν, καὶ οὐ τῷ δοκεῖν ἢ μή, νομικὸν δὲ ὃ ἐξ ἀρχῆς μὲν οὐθὲν διαφέρει οὕτως ἢ ἄλλως, ὅταν δὲ θῶνται, διαφέρει, οἷον τὸ μνᾶς λυτροῦσθαι, ἢ τὸ αἶγα θύειν ἀλλὰ μὴ δύο πρόβατα, ἔτι ὅσα ἐπὶ τῶν καθ' ἕκαστα νομοθετοῦσιν, οἷον τὸ θύειν Βρασίδᾳ, καὶ τὰ ψηφισματώδη. δοκεῖ δ' ἐνίοις εἶναι πάντα τοιαῦτα, ὅτι τὸ μὲν φύσει ἀκίνητον καὶ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν, ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν Πέρσαις καίει, τὰ δὲ δίκαια κινούμενα ὁρῶσιν. τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον, ἀλλ' ἔστιν ὥς. καίτοι παρά γε τοῖς θεοῖς ἴσως οὐδαμῶς· παρ' ἡμῖν δ' ἐστὶ μέν τι καὶ φύσει, κινητὸν μέντοι πᾶν. ἀλλ' ὅμως ἐστὶ τὸ μὲν φύσει τὸ δ' οὐ φύσει. ποῖον δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, καὶ ποῖον οὒ ἀλλὰ νομικὸν καὶ συνθήκῃ, εἴπερ ἄμφω κινητὰ ὁμοίως, δῆλον. καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς ἁρμόσει διορισμός· φύσει γὰρ ἡ δεξιὰ κρείττων, καίτοι ἐνδέχεταί τινας ἀμφιδεξίους γενέσθαι. τὰ δὲ κατὰ συνθήκην καὶ τὸ συμφέρον τῶν

8. ἢ τοῦ βλαβεροῦ O^b. ‖ διὸ] διὸ καὶ M^b. ‖ 10. ἑαυτοῦ L^b, ἑαυτοῖς M^b. ‖ μὲν ante τοῦ om $L^bM^bO^b$. ‖ 11. τοῦ om M^b. ‖ 12. πρὸς M^b. ‖ ὁπότερον M^b. ‖ 13. τοῦ ἀδικεῖσθαί M^b, ἀδικεῖσθαί K^b. ‖ τοῦ δὲ M^b. ‖ 20. διὰ om K^b. ‖ 21. διὰ om M^b. ‖ 22. οὐ κλέπτης K^b. ‖ 25. καὶ τὸ ἁπλῶς — 26. ἐστιν om M^b. ‖ 25. καὶ post δίκαιον om O^b. ‖ τὸ om K^bL^b. ‖ 26. ἐπὶ om L^b. ‖ κοινωνοῖ M^b. ‖ 30. οἷς] ἐν οἷς O^b. ‖ 31. κρίσις ἐστὶ τοῦ L^bO^b. ‖ 35. νόμον M^b.

2. εἰ δὲ τοῦ δικαίου om M^b. ‖ 3. αὐτῷ τοῦ ἁπλῶς ἀγαθοῦ L^b. ‖ 5. ἀγαθὸν εἶναι φασιν M^b. ‖ 6. τις ἄρα M^bO^b. ‖ 7. ὅσοις O^b. ‖ τὰ τοιαῦτα] ταῦτα M^bO^b. ‖ 9. ταυτὸ O^b. ‖ 10. τὸ post καὶ om K^bL^b. ‖ 11. μὴ om K^bO^b. ‖ 13. ἄδικον] ἀδικία ὂν K^b. ‖ 15. πρὸς τὴν γυναῖκά M^b. ‖ κτῆμα L^b. ‖ 17. καὶ om M^b. ‖ 18. τοῦ δὲ πολιτικοῦ om K^b. ‖ μὲν] μὲν γὰρ K^b. ‖ 19. νομικόν, καὶ φυσικὸν L^b. ‖ 20. οὐ τῷ] οὕτω K^b. ‖ ὃ om M^b. ‖ 21. οἷον] οὕτως ἢ ἄλλως οἷον K^b. ‖ 24. ψηφίσματα τάδε M^b. ‖ πάντα εἶναι M^b. ‖ 25. διότι O^b. ‖ ἔχει τὴν αὐτὴν O^b. ‖ 26. καὶ τὸ πῦρ ἐνθάδε M^b. ‖ 28. ἔχον ἀλλ' ἔστιν ὥς om M^b. ‖ παρὰ τοῖς ἴσως οὐδαμῶς M^b. post οὐδαμῶς M^bO^b ἔχον, L^b ἔχον ἐστι. ‖ 29. φυσικὸν κινητὸν οὐ μέντοι M^b. ‖ 33. ὁ] καὶ ὁ K^b. ‖ διωρισμένος L^b.

δικαίων ὅμοιά ἐστι τοῖς μέτροις· οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνηρὰ καὶ σιτηρὰ μέτρα, ἀλλ' οὗ μὲν ὠνοῦνται, μείζω, οὗ δὲ πωλοῦσιν, ἐλάττω. ὁμοίως δὲ καὶ τὰ μὴ φυσικὰ ἀλλ' ἀνθρώπινα δίκαια οὐ ταὐτὰ πανταχοῦ, ἐπεὶ οὐδ' αἱ πολιτεῖαι, ἀλλὰ μία μόνον πανταχοῦ κατὰ φύσιν ἡ ἀρίστη. τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει· τὰ μὲν γὰρ πραττόμενα πολλά, ἐκείνων δ' ἕκαστον ἕν· καθόλου γάρ. διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον· ἄδικον μὲν γάρ ἐστι τῇ φύσει ἢ τάξει· τὸ αὐτὸ δὲ τοῦτο, ὅταν πραχθῇ, ἀδίκημά ἐστι, πρὶν δὲ πραχθῆναι, οὔπω, ἀλλ' ἄδικον. ὁμοίως δὲ καὶ δικαίωμα. καλεῖται δὲ μᾶλλον δικαιοπράγημα τὸ κοινόν, δικαίωμα δὲ τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος. καθ' ἕκαστον δὲ αὐτῶν, ποῖά τε εἴδη καὶ πόσα καὶ περὶ ποῖα τυγχάνει ὄντα, ὕστερον ἐπισκεπτέον. ὄντων δὲ τῶν δικαίων καὶ ἀδίκων τῶν εἰρημένων, ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ, ὅταν ἑκών τις αὐτὰ πράττῃ· ὅταν δ' ἄκων, οὔτ' ἀδικεῖ οὔτε δικαιοπραγεῖ ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷς γὰρ συμβέβηκε δικαίοις εἶναι ἢ ἀδίκοις, πράττουσιν. ἀδίκημα δὲ καὶ δικαιοπράγημα ὥρισται τῷ ἑκουσίῳ καὶ ἀκουσίῳ· ὅταν γὰρ ἑκούσιον ᾖ, ψέγεται, ἅμα δὲ καὶ ἀδίκημα τότ' ἐστίν· ὥστ' ἔσται τι ἄδικον μέν, ἀδίκημα δ' οὔπω, ἐὰν μὴ τὸ ἑκούσιον προσῇ. λέγω δ' ἑκούσιον μέν, ὥσπερ καὶ πρότερον εἴρηται, ὃ ἄν τις τῶν ἐφ' αὑτῷ ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττῃ μήτε ὃν μήτε ᾧ μήτε οὗ ἕνεκα, οἷον τίνα τύπτει καὶ τίνι καὶ τίνος ἕνεκα, κἀκείνων ἕκαστον μὴ κατὰ συμβεβηκὸς μηδὲ βίᾳ, ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ τύπτοι ἕτερον, οὐχ ἑκών· οὐ γὰρ ἐπ' αὐτῷ. ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι, τὸν δ' ὅτι μὲν ἄνθρωπος ἢ τῶν παρόντων τις γινώσκειν, ὅτι δὲ πατὴρ ἀγνοεῖν. ὁμοίως δὲ τὸ τοιοῦτον διωρίσθω καὶ ἐπὶ τοῦ οὗ ἕνεκα, καὶ περὶ τὴν πρᾶξιν ὅλην. τὸ δὴ ἀγνοούμενον, ἢ μὴ ἀγνοούμενον μὲν μὴ ἐπ' αὐτῷ δ' ὄν, ἢ βίᾳ, ἀκούσιον· πολλὰ γὰρ καὶ τῶν φύσει ὑπαρχόντων εἰδότες καὶ πράττομεν καὶ πάσχομεν, ὧν οὐθὲν οὔθ' ἑκούσιον οὔτ' ἀκούσιόν ἐστιν, οἷον τὸ γηρᾶν ἢ ἀποθνήσκειν. ἔστι δ' ὁμοίως ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων καὶ τὸ κατὰ συμβεβηκός· καὶ γὰρ ἂν τὴν παρακαταθήκην ἀποδοίη τις ἄκων καὶ διὰ φόβον, ὃν οὔτε δίκαια πράττειν οὔτε δικαιοπραγεῖν φατέον ἀλλ' ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον καὶ ἄκοντα τὴν παρακαταθήκην μὴ ἀποδιδόντα κατὰ συμβεβηκὸς φατέον ἀδικεῖν καὶ τὰ ἄδικα πράττειν. τῶν δὲ ἑκουσίων τὰ μὲν προελόμενοι πράττομεν τὰ δ' οὐ προελόμενοι, προελόμενοι μὲν ὅσα προβουλευσάμενοι, ἀπροαίρετα δὲ ὅσα ἀπροβούλευτα. τριῶν δὴ οὐσῶν βλαβῶν τῶν ἐν ταῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρτήματά ἐστιν, ὅταν μήτε ὃν μήτε ὃ μήτε ᾧ μήτε οὗ ἕνεκα ὑπέλαβε πράξῃ· ἢ γὰρ οὐ βαλεῖν ἢ οὐ τούτῳ ἢ οὐ τοῦτον ἢ οὐ τούτου ἕνεκα ᾠήθη, ἀλλὰ συνέβη οὐχ οὗ ἕνεκα ᾠήθη, οἷον οὐχ ἵνα τρώσῃ ἀλλ' ἵνα κεντήσῃ, ἢ οὐχ ὅν, ἢ οὐχ ᾧ. ὅταν μὲν οὖν παραλόγως ἡ βλάβη γένηται, ἀτύχημα, ὅταν δὲ μὴ παραλόγως, ἄνευ δὲ κακίας, ἁμάρτημα· ἁμαρτάνει μὲν γὰρ ὅταν ἡ ἀρχὴ ἐν αὐτῷ ᾖ τῆς αἰτίας, ἀτυχεῖ δ' ὅταν ἔξωθεν. ὅταν δὲ εἰδὼς μὲν μὴ προβουλεύσας δέ, ἀδίκημα, οἷον ὅσα τε διὰ θυμὸν καὶ ἄλλα πάθη, ὅσα ἀναγκαῖα ἢ φυσικά, συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλάπτοντες καὶ ἁμαρτάνοντες ἀδικοῦσι μέν, καὶ ἀδικήματά ἐστιν, οὐ μέντοι πω ἄδικοι διὰ ταῦτα οὐδὲ πονηροί· οὐ γὰρ διὰ μοχθηρίαν ἡ βλάβη· ὅταν δ' ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός. διὸ καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας κρίνεται· οὐ γὰρ ἄρχει ὁ θυμῷ ποιῶν, ἀλλ' ὁ ὀργίσας. ἔτι δὲ οὐδὲ περὶ τοῦ γενέσθαι ἢ μὴ ἀμφισβητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ ὀργή ἐστιν. οὐ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τοῦ γενέσθαι ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρόν, ἂν μὴ διὰ λήθην αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦντες περὶ τοῦ πράγματος, περὶ τοῦ ποτέρως δίκαιον ἀμφισβητοῦσιν. ὁ δ' ἐπιβουλεύσας οὐκ ἀγνοεῖ, ὥστε ὁ μὲν οἴεται ἀδι-

2. οὗ — οὗ] ὧ — ὧ M^b. ‖ 4. αἱ om K^bL^b. ‖ 5. μόνον] μὲν M^b. ‖ κατὰ τὴν φύσιν M^b. ‖ 8. δὲ καὶ τὸ O^b. ‖ 9. καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον om K^b. ‖ 10. ἢ τῇ τάξει L^b. ‖ τὸ om K^bL^b. ‖ 11. ἐστι om L^bM^b. ‖ post ἄδικον $K^bL^bO^b$ ὅτι (τι K^b) ὅταν πραχθῇ ἀδίκημα ἐστίν. ‖ 12. τὸ κοινὸν μᾶλλον δικαιοπράγημα M^b. ‖ 15. τῶν om M^b. ‖ 16. προειρημένων O^b. ‖ 17. ὅταν — 18. ἀλλ' ἢ] τις ἀλλὰ M^b. ‖ 19. ἢ ἀδίκοις εἶναι O^b. ‖ 22. ἄδικόν τι ἔσται M^b. ‖ οὔπω ἐστὶν ἐὰν M^b. ‖ 23. μέν om M^b. ‖ 24. ἑαυτῷ M^bO^b. ‖ πράττει M^b. ‖ 25. ὃ K^b. ‖ ὡς et ὃν corr K^b. ‖ ἕνεκα om omnes. ‖ τύπτειν K^b, omissis καὶ τίνι. ‖ 26. ἑκάτερον K^b. ‖ 27. τύπτει $L^bM^bO^b$. ‖ 28. ἑκὼν δέ· οὐ M^bO^b. ‖ ἐφ' ἑαυτῷ O^b. ‖ 30. δὲ ὁ πατήρ O^b. ‖ 31. τοῦ] τῶν L^bM^b. ‖ 32. ἐφ' αὐτῷ L^b, ἐφ' ἑαυτῷ O^b. ‖ 3. γὰρ τῶν κατὰ φύσιν M^b.

2. ἐγγηρᾶν M^b. ‖ ἢ] καὶ M^b, καὶ τὸ L^b. ‖ 3. καὶ ante τὸ om M^b. ‖ 4. καὶ διὰ] ἢ διὰ M^b. ‖ 5. ὃν add K^b. ‖ 9. οὐ προαιρούμενοι M^b. ‖ 11. προβουλευτά K^b. ‖ δὴ] οὖν M^b, δ' L^b. ‖ 13. πράξῃ] ταῦτα πράξῃ $L^bM^bO^b$. ‖ 14. βάλλειν K^b, βαλεῖ M^b. ‖ 16. ᾧ] ὧι K^b. ‖ ὅτε M^b. ‖ 17. ἡ om L^b. ‖ 18. δὲ om M^b. ‖ ἐν ἑαυτῷ ἡ ἀρχὴ M^bO^b. ‖ 19. κακίας M^b. ‖ 22. ταῦτα] διὰ ταῦτα M^b. ‖ 24. οὐδὲ M^b. ‖ 25. πονηρός M^b. ‖ διὸ καὶ καλῶς L^b. ‖ 26. προαιρέσεως M^b. ‖ 27. οὐδὲ] οὐ M^b. ‖ 29. ἡ om M^b. ‖ ἐν om K^b. ‖ 30. ἀμφισβητεῖται M^b. ‖ 31. ἂν] εἰ O^b. ‖ αὐτῶν M^b. ‖ 32. τοῦ ποτέρως] δὲ τοῦ ποτέρως pr K^b.

κεῖσθαι, ὁ δ' οὔ. ἂν δ' ἐκ προαιρέσεως βλάψῃ, ἀδικεῖ. καὶ κατὰ ταῦτ' ἤδη τὰ ἀδικήματα ὁ ἀδικῶν ἄδικος, ὅταν παρὰ τὸ ἀνάλογον ᾖ ἢ παρὰ τὸ ἴσον. ὁμοίως δὲ καὶ δίκαιος, ὅταν προελόμενος δικαιοπραγῇ. δικαιοπραγεῖ δέ, ἂν μόνον ἑκὼν πράττῃ. τῶν δ' ἀκουσίων τὰ μέν ἐστι συγγνωμονικὰ τὰ δ' οὐ συγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες ἀλλὰ καὶ δι' ἄγνοιαν ἁμαρτάνουσι, συγγνωμονικά, ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μὲν διὰ πάθος δὲ μήτε φυσικὸν μήτ' ἀνθρώπινον, οὐ συγγνωμονικά.

11 Ἀπορήσειε δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ ἀδικεῖν, πρῶτον μὲν εἰ ἔστιν ὥσπερ Εὐριπίδης εἴρηκε, λέγων ἀτόπως

μητέρα κατέκτα τὴν ἐμήν, βραχὺς λόγος,
ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών·

πότερον γὰρ ὡς ἀληθῶς ἔστιν ἑκόντα ἀδικεῖσθαι, ἢ οὒ ἀλλ' ἀκούσιον ἅπαν, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον. καὶ ἆρα πᾶν οὕτως ἢ ἐκείνως, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον, ἢ τὸ μὲν ἑκούσιον τὸ δ' ἀκούσιον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον, ὥστ' εὔλογον ἀντικεῖσθαι ὁμοίως καθ' ἑκάτερον τό τ' ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι ἢ ἑκούσιον ἢ ἀκούσιον εἶναι. ἄτοπον δ' ἂν δόξειε καὶ ἐπὶ τοῦ δικαιοῦσθαι, εἰ πᾶν ἑκούσιον· ἔνιοι γὰρ δικαιοῦνται οὐχ ἑκόντες. ἐπεὶ καὶ τόδε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεπονθὼς ἀδικεῖται πᾶς ἢ ὥσπερ καὶ ἐπὶ τοῦ πράττειν, καὶ ἐπὶ τοῦ πάσχειν ἐστίν· κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων. ὁμοίως δὲ δῆλον ὅτι καὶ ἐπὶ τῶν ἀδίκων· οὐ γὰρ ταὐτὸν τὸ τἄδικα πράττειν τῷ ἀδικεῖν οὐδὲ τὸ ἄδικα πάσχειν τῷ ἀδικεῖσθαι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν καὶ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντος ἢ δικαιοῦσθαι μὴ δικαιοπραγοῦντος. εἰ δ' ἐστὶν ἁπλῶς τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινά, τὸ δ' ἑκόντα εἰδότα καὶ ὃν καὶ ᾧ καὶ ὥς, ὁ δ' ἀκρατὴς ἑκὼν βλάπτει αὐτὸς αὑτόν, ἑκών τ' ἂν ἀδικοῖτο καὶ ἐνδέχοιτο αὐτὸν αὑτὸν ἀδικεῖν. ἔστι δὲ καὶ τοῦτο ἕν τι τῶν ἀπορουμένων, εἰ ἐνδέχεται αὐτὸν αὑτὸν ἀδικεῖν. ἔτι ἑκὼν ἄν τις δι' ἀκρασίαν ὑπ' ἄλλου βλάπτοιτο ἑκόντος, ὥστ' εἴη ἂν ἑκόντ' ἀδικεῖσθαι. ἢ οὐκ ὀρθὸς ὁ διορισμός, ἀλλὰ προσθετέον τῷ βλάπτειν εἰδότα καὶ ὃν καὶ ᾧ καὶ ὡς τὸ παρὰ τὴν ἐκείνου βούλησιν; βλάπτεται μὲν οὖν τις ἑκὼν καὶ τἄδικα πάσχει, ἀδικεῖται δ' οὐθεὶς ἑκών· οὐθεὶς γὰρ βούλεται, οὐδ' ὁ ἀκρατής, ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε γὰρ βούλεται οὐθεὶς ὃ μὴ οἴεται εἶναι σπουδαῖον, ὅ τε ἀκρατὴς οὐχ ἃ οἴεται δεῖν πράττειν πράττει. ὁ δὲ τὰ αὑτοῦ διδούς, ὥσπερ Ὅμηρός φησι δοῦναι τὸν Γλαῦκον τῷ Διομήδει "χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων," οὐκ ἀδικεῖται· ἐπ' αὐτῷ γάρ ἐστι τὸ διδόναι, τὸ δ' ἀδικεῖσθαι οὐκ ἐπ' αὐτῷ, ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν. περὶ μὲν οὖν τοῦ ἀδικεῖσθαι, ὅτι οὐχ ἑκούσιον, δῆλον.

Ἔτι δ' ὧν προειλόμεθα δύ' ἔστιν εἰπεῖν, πότερόν ποτ' 12
ἀδικεῖ ὁ νείμας παρὰ τὴν ἀξίαν τὸ πλεῖον ἢ ὁ ἔχων, καὶ εἰ ἔστιν αὐτὸν αὑτὸν ἀδικεῖν· εἰ γὰρ ἐνδέχεται τὸ πρότερον λεχθὲν καὶ ὁ διανέμων ἀδικεῖ ἀλλ' οὐχ ὁ ἔχων τὸ πλέον, εἴ τις πλέον ἑτέρῳ ἢ αὑτῷ νέμει εἰδὼς καὶ ἑκών, οὗτος αὐτὸς αὑτὸν ἀδικεῖ. ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς ἐλαττωτικός ἐστιν. ἢ οὐδὲ τοῦτο ἁπλοῦν; ἑτέρου γὰρ ἀγαθοῦ, εἰ ἔτυχεν, ἐπλεονέκτει, οἷον δόξης ἢ τοῦ ἁπλῶς καλοῦ. ἔτι λύεται καὶ κατὰ τὸν διορισμὸν τοῦ ἀδικεῖν· οὐθὲν γὰρ παρὰ τὴν αὑτοῦ πάσχει βούλησιν, ὥστε οὐκ ἀδικεῖται διά γε τοῦτο, ἀλλ' εἴπερ, βλάπτεται μόνον. φανερὸν δὲ καὶ ὅτι ὁ διανέμων ἀδικεῖ, ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων ἀεί· οὐ γὰρ ᾧ τὸ ἄδικον ὑπάρχει ἀδικεῖ, ἀλλ' ᾧ τὸ ἑκόντα τοῦτο ποιεῖν· τοῦτο δ' ὅθεν ἡ ἀρχὴ τῆς πράξεως, ἥ ἐστιν ἐν τῷ διανέμοντι ἀλλ' οὐκ ἐν τῷ λαμβάνοντι. ἔτι ἐπεὶ πολλαχῶς τὸ ποιεῖν λέγεται, καὶ ἔστιν ὡς τὰ ἄψυχα κτείνει καὶ ἡ χεὶρ καὶ ὁ οἰκέτης ἐπιτάξαντος, οὐκ ἀδικεῖ μέν, ποιεῖ δὲ τὰ ἄδικα. ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ τὸ νομικὸν δίκαιον οὐδ' ἄδικος ἡ κρίσις ἐστίν, ἔστι δ' ὡς ἄδικος· ἕτερον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρῶτον· εἰ δὲ γινώσκων ἔκρι-

1. ἐὰν L^b. ‖ 2. περὶ L^b. ‖ 3. ᾖ om M^b. ‖ καὶ ὁ δίκαιος M^b. ‖ 8. μέν] μή M^b. ‖ δὲ om K^b. ‖ 9. ἀνθρωπικὸν $L^bM^bO^b$. ‖ 11. καὶ τοῦ ἀδικεῖν M^bO^b. ‖ 12. ἀτόπως] τὸ πῶς K^b, ἀτόπως πῶς L^b. ‖ 15. ἀληθές M^b. ‖ 16. πᾶν O^b. ‖ 17. ἅπαν L^bM^b. ‖ καὶ om M^b. ‖ πᾶν] ἢ πᾶν K^b, πᾶν ἦν M^b. ‖ ἢ — 18. ἀκούσιον om K^b. ‖ 20. καθ'] δὴ καθ' M^b. ‖ τὸ om K^b. ‖ 21. ἢ ἅπαν ἑκούσιον M^b. ‖ 22. ἅπαν M^bO^b. ‖ 23. τόγε O^b. ‖ 26. μεταλαμβάνειν ἐπ' ἀμφοτέρων M^b. ‖ 30. ἀδικοῦντός τινος ἢ M^bO^b. ‖ 31. ἀδικεῖν καὶ τὸ M^b. ‖ 32. τὸν M^b. ‖ ᾧ] ὃ $K^bM^bO^b$. ‖ 33. τ' om M^b. ‖ καὶ] κἂν K^b. ‖ 34. αὑτὸν] αὐτὸς K^bL^b, ἂν αὑτὸν O^b. ‖ ἔστι — b 1. ἀδικεῖν om M^b. ‖ 34. ἕν om K^b, ἕν τι om L^b.

1. ἀδικεῖν αὑτόν O^b. ‖ 3. ὀρθῶς pr K^b. ‖ τὸ K^bO^b. ‖ 4. καὶ ὃν om K^bL^b. ‖ ᾧ] ὃ M^b et corr L^b. ‖ τὸ om $K^bM^bO^b$. ‖ 5. οὖν] οὐ K^b. ‖ 6. δ' οὐδὲ εἷς K^b. ‖ ἀκροατὴς K^b. ‖ 7. γὰρ om M^b. ‖ 8. σπουδαῖον εἶναι O^b. ‖ τε] δὲ $L^bM^bO^b$. ‖ οὐχ ἃ] ὃ οὐκ $L^bM^bO^b$. ‖ 12. ἐφ' αὑτῷ O^b. ‖ 15. προειλάμεθα K^b. ‖ 16. ἀξίαν πλέον ἔχων K^b. ‖ 18. ἑκὼν K^b. ‖ πλεῖον L^b. ‖ 19. τις] τις δὲ L^bM^b, τις τὸ O^b. ‖ πλεῖον O^b. ‖ ἑτέρῳ ἢ αὑτῷ] αὑτοῦ ἑτέρῳ K^b. ‖ 22. πλεονεκτεῖ K^bL^b. ‖ 25. δὲ ὅτι καὶ L^b, διότι καὶ K^b. ‖ 26. ἀεί] ἀδικεῖ K^b. ‖ 27. ἄδικον ἔχω ὑπάρχει K^b. ‖ 29. ἐπεὶ] εἰ L^b. ‖ 30. κτείνει δὲ καὶ L^b. ‖ ὁ om O^b. ‖ 31. μὲν οὐκ ἀδικεῖ K^b. ‖ 32. οὐκ ἀδικεῖ post δίκαιον K^b. ‖ 32 et 34. νόμιμον M^b. ‖ 33. ἐστίν om O^b.

νεν ἀδίκως, πλεονεκτεῖ καὶ αὐτὸς ἢ χάριτος ἢ τιμωρίας. ὥσπερ οὖν κἂν εἴ τις μερίσαιτο τοῦ ἀδικήματος, καὶ ὁ διὰ ταῦτα κρίνας ἀδίκως πλέον ἔχει· καὶ γὰρ ἐπ' ἐκείνων ὁ τὸν
13 ἀγρὸν κρίνας οὐκ ἀγρὸν ἀλλ' ἀργύριον ἔλαβεν. οἱ δ' ἄνθρωποι ἐφ' ἑαυτοῖς οἴονται εἶναι τὸ ἀδικεῖν, διὸ καὶ τὸ δίκαιον εἶναι ῥᾴδιον. τὸ δ' οὐκ ἔστιν· συγγενέσθαι μὲν γὰρ τῇ τοῦ γείτονος καὶ πατάξαι τὸν πλησίον καὶ δοῦναι τῇ χειρὶ τὸ ἀργύριον ῥᾴδιον καὶ ἐπ' αὐτοῖς, ἀλλὰ τὸ ὡδὶ ἔχοντας ταῦτα ποιεῖν οὔτε ῥᾴδιον οὔτ' ἐπ' αὐτοῖς. ὁμοίως δὲ καὶ τὸ γνῶναι τὰ δίκαια καὶ τὰ ἄδικα οὐδὲν οἴονται σοφὸν εἶναι, ὅτι περὶ ὧν οἱ νόμοι λέγουσιν οὐ χαλεπὸν ξυνιέναι. ἀλλ' οὐ ταῦτ' ἐστὶ τὰ δίκαια ἀλλ' ἢ κατὰ συμβεβηκός, ἀλλὰ πῶς πραττόμενα καὶ πῶς νεμόμενα δίκαια· τοῦτο δὲ πλέον ἔργον ἢ τὰ ὑγιεινὰ εἰδέναι, ἐπεὶ κἀκεῖ μέλι καὶ οἶνον καὶ ἐλλέβορον καὶ καῦσιν καὶ τομὴν εἰδέναι ῥᾴδιον, ἀλλὰ πῶς δεῖ νεῖμαι πρὸς ὑγίειαν καὶ τίνι καὶ πότε, τοσοῦτον ἔργον ὅσον ἰατρὸν εἶναι. δι' αὐτὸ δὲ τοῦτο καὶ τοῦ δικαίου οἴονται εἶναι οὐθὲν ἧττον τὸ ἀδικεῖν, ὅτι οὐθὲν ἧττον ὁ δίκαιος ἀλλὰ καὶ μᾶλλον δύναιτ' ἂν ἕκαστον πρᾶξαι τούτων· καὶ γὰρ συγγενέσθαι γυναικὶ καὶ πατάξαι, καὶ ὁ ἀνδρεῖος τὴν ἀσπίδα ἀφεῖναι καὶ στραφεὶς ἐφ' ὁποτεραοῦν τρέχειν. ἀλλὰ τὸ δειλαίνειν καὶ τὸ ἀδικεῖν οὐ τὸ ταῦτα ποιεῖν ἐστί, πλὴν κατὰ συμβεβηκός, ἀλλὰ τὸ ὡδὶ ἔχοντα ταῦτα ποιεῖν, ὥσπερ καὶ τὸ ἰατρεύειν καὶ τὸ ὑγιάζειν οὐ τὸ τέμνειν ἢ μὴ τέμνειν ἢ φαρμακεύειν ἢ μὴ φαρμακεύειν ἐστίν, ἀλλὰ τὸ ὡδί. ἔστι δὲ τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἁπλῶς ἀγαθῶν, ἔχουσι δ' ὑπερβολὴν ἐν τούτοις καὶ ἔλλειψιν· τοῖς μὲν γὰρ οὐκ ἔστιν ὑπερβολὴ αὐτῶν, οἷον ἴσως τοῖς θεοῖς, τοῖς δ' οὐθὲν μόριον ὠφέλιμον, τοῖς ἀνιάτως κακοῖς, ἀλλὰ πάντα βλάπτει, τοῖς δὲ μέχρι τοῦ· διὰ τοῦτ' ἀνθρώπινόν ἐστιν.

4 Περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς, πῶς ἔχει ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἐχόμενόν ἐστιν εἰπεῖν· οὔτε γὰρ ὡς ταὐτὸν ἁπλῶς οὔθ' ὡς ἕτερον τῷ γένει φαίνεται σκοπουμένοις, καὶ ὁτὲ μὲν τὸ ἐπιεικὲς ἐπαινοῦμεν καὶ ἄνδρα τὸν τοιοῦτον, ὥστε καὶ ἐπὶ τὰ ἄλλα ἐπαινοῦντες μεταφέρομεν ἀντὶ τοῦ ἀγαθοῦ, τὸ ἐπιεικέστερον ὅτι βέλτιον δηλοῦντες· ὁτὲ δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄτοπον εἰ τὸ ἐπιεικὲς παρὰ τὸ δίκαιόν τι ὂν ἐπαινετόν ἐστιν· ἢ γὰρ τὸ δίκαιον οὐ σπουδαῖον, ἢ τὸ ἐπιεικὲς οὐ δίκαιον, εἰ ἄλλο· ἢ εἰ ἄμφω σπουδαῖα, ταὐτόν ἐστιν. ἡ μὲν οὖν ἀπορία σχεδὸν συμβαίνει διὰ ταῦτα περὶ τὸ ἐπιεικές, ἔχει δ' ἅπαντα τρόπον τινὰ ὀρθῶς καὶ οὐθὲν ὑπεναντίον ἑαυτοῖς· τό τε γὰρ ἐπιεικὲς δικαίου τινὸς ὂν βέλτιόν ἐστι δίκαιον, καὶ οὐχ ὡς ἄλλο τι γένος ὂν βέλτιόν ἐστι τοῦ δικαίου. ταὐτὸν ἄρα δίκαιον καὶ ἐπιεικές, καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν κρεῖττον τὸ ἐπιεικές. ποιεῖ δὲ τὴν ἀπορίαν ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ' ἐπανόρθωμα νομίμου δικαίου. αἴτιον δ' ὅτι ὁ μὲν νόμος καθόλου πᾶς, περὶ ἐνίων δ' οὐχ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου. ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καθόλου, μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπὶ τὸ πλέον λαμβάνει ὁ νόμος, οὐκ ἀγνοῶν τὸ ἁμαρτανόμενον. καὶ ἔστιν οὐδὲν ἧττον ὀρθῶς· τὸ γὰρ ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ οὐδ' ἐν τῷ νομοθέτῃ ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματός ἐστιν· εὐθὺς γὰρ τοιαύτη ἡ τῶν πρακτῶν ὕλη ἐστίν. ὅταν οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτου παρὰ τὸ καθόλου, τότε ὀρθῶς ἔχει, ᾗ παραλείπει ὁ νομοθέτης καὶ ἥμαρτεν ἁπλῶς εἰπών, ἐπανορθοῦν τὸ ἐλλειφθέν, ὃ κἂν ὁ νομοθέτης αὐτὸς οὕτως ἂν εἴποι ἐκεῖ παρών, καὶ εἰ ᾔδει, ἐνομοθέτησεν ἄν. διὸ δίκαιον μέν ἐστι, καὶ βέλτιόν τινος δικαίου, οὐ τοῦ ἁπλῶς δὲ ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμαρτήματος. καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου. τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι περὶ ἐνίων ἀδύνατον θέσθαι νόμον, ὥστε ψηφίσματος δεῖ. τοῦ γὰρ ἀορίστου ἀόριστος καὶ ὁ κανών ἐστιν, ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομῆς ὁ μολίβδινος κανών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται καὶ οὐ μένει ὁ κανών, καὶ τὸ ψήφισμα πρὸς τὰ πράγματα. τί μὲν οὖν ἐστὶ τὸ ἐπιεικές, καὶ ὅτι δίκαιον, καὶ τίνος βελτίον δικαίου, δῆλον. φανερὸν δ' ἐκ τούτου καὶ ὁ ἐπιεικὴς τίς ἐστιν· ὁ γὰρ τῶν τοιούτων προαιρετικὸς καὶ πρακτικός, καὶ

2. κἂν] καὶ K^b. ‖ 3. ἐκείνων τὸν K^b. ‖ 5. τὸ δίκαιον om M^b. ‖ 6. τοῦτο O^b. ‖ 9. ταυτὸ K^b. ‖ 13. γενόμενα K^bM^b, διανεμόμενα O^b. ‖ δίκαια om M^b. ‖ 14. κἀκεῖ μὲν μέλι K^b. ‖ 15. ἐλέβορον $K^bL^bM^b$. ‖ 16. εἶναι K^b. ‖ 17. ἰατροῦ εἶναι. διὰ ταυτὸ K^b. ‖ … ὅτι οὐθὲν] ὅτι οὐχ K^b. ‖ 22. τὸ post καὶ om K^bL^b. ‖ 23. ὧδε K^b. ‖ ποιεῖν om M^b. ‖ 25. ἢ μὴ φαρμακεύειν om O^b. ‖ 27. δ'] … καὶ M^b. ‖ ἐν τούτοις post ἔλλειψιν O^b, om K^bL^b. ‖ 28. οὐκ om K^b. ‖ τοῖς ante θεοῖς om M^b. ‖ 29. τοῖς] οἷον τοῖς M^b. ‖ ἀνιάτοις … καὶ κακοῖς $L^bM^bO^b$. ‖ βλάπτει πάντα O^b. ‖ 31. ἐπιεικείας πρὸς δικαιοσύνην καὶ K^b.

2. ὁτὲ] οὔτε K^b. ‖ 4. ἢ ante γὰρ om K^b. ‖ 5. εἰ ἄλλο] εἶναι ἄλλο K^b. ‖ ταὐτόν om K^b. ‖ 8. ἐστι om O^b. ‖ 10. καὶ γὰρ … φοῖν M^b. ‖ σπουδαίων ὄντων K^b. ‖ 12. τὸ om O^b. ‖ 13. δικαίου νομίμου K^bL^b. ‖ 14. εἰπεῖν ὀρθῶς L^b. ‖ ἀνάγκη μὲν οὖν, omissis ἐν οἷς, … ‖ 16. τὸ om L^b. ‖ πλεῖον K^bO^b. ‖ 19. τοιαύτη post ὕλη M^b. ‖ πρακτέων K^b, πραγμάτων M^b. ‖ 20. τούτω L^bM^b, τούτοις O^b. ‖ … M^b. ‖ 22. καὶ M^b. ‖ 23. αὐτὸς εἶπεν παρὼν K^b, αὐτὸς ἂν εἶποι παρὼν M^b. ‖ ᾔδη K^bO^b. ‖ 24. ἂν om K^bO^b. ‖ διὸ καὶ δίκαιον O^b. ‖ 25. τοῦ M^b. ‖ 28. τινων K^b. ‖ 30. οἰκοδομίας K^b. ‖ μολύβδινος L^b. ‖ 33. ὅτι] τί τὸ M^b.

ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον ἀλλ' ἐλαττωτικός, καίπερ ἔχων τὸν νόμον βοηθόν, ἐπιεικής ἐςι, καὶ ἡ ἕξις αὕτη ἐπιείκεια, δικαιοσύνη τις οὖσα καὶ οὐχ ἑτέρα τις ἕξις.

Πότερον δ' ἐνδέχεται ἑαυτὸν ἀδικεῖν ἢ οὔ, φανερὸν ἐκ τῶν εἰρημένων· τὰ μὲν γάρ ἐςι τῶν δικαίων τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τοῦ νόμȣ τεταγμένα, οἷον οὐ κελεύει ἀποκτιννύναι ἑαυτὸν ὁ νόμος, ἃ δὲ μὴ κελεύει, ἀπαγορεύει· ἔτι ὅταν παρὰ τὸν νόμον βλάπτῃ μὴ ἀντιβλάπτων, ἑκών, ἀδικεῖ, ἑκὼν δὲ ὁ εἰδὼς καὶ ὃν καὶ ᾧ. ὁ δὲ δι' ὀργὴν ἑαυτὸν σφάττων ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν λόγον, ὃ οὐκ ἐᾷ ὁ νόμος· ἀδικεῖ ἄρα. ἀλλὰ τίνα; ἢ τὴν πόλιν, αὑτὸν δ' ȣ̈; ἑκὼν γὰρ πάσχει, ἀδικεῖται δ' οὐθεὶς ἑκών. διὸ καὶ ἡ πόλις ζημιοῖ, καί τις ἀτιμία πρόσεςι τῷ ἑαυτὸν διαφθείραντι ὡς τὴν πόλιν ἀδικοῦντι. ἔτι καθ' ὃ ἄδικος ὁ μόνον ἀδικῶν καὶ μὴ ὅλως φαῦλος, οὐκ ἔστιν ἀδικῆσαι ἑαυτόν. τοῦτο γὰρ ἄλλο ἐκείνȣ. ἔςι γάρ πως ὁ ἄδικος οὕτω πονηρὸς ὥσπερ ὁ δειλός, ȣ̓χ ὡς ὅλην ἔχων τὴν πονηρίαν, ὥς' ȣ̓δὲ κατὰ ταύτην ἀδικεῖ· ἅμα γὰρ ἂν τῷ αὐτῷ εἴη ἀφῃρῆσθαι καὶ προσκεῖσθαι τὸ αὐτό· τȣ̃το δὲ ἀδύνατον, ἀλλ' ἀεὶ ἐν πλείοσιν ἀνάγκη εἶναι τὸ δίκαιον καὶ τὸ ἄδικον. ἔτι δὲ ἑκȣ́σιόν τε καὶ ἐκ προαιρέσεως καὶ πρότερον. ὁ γὰρ διότι ἔπαθε, καὶ τὸ αὐτὸ ἀντιποιῶν οὐ δοκεῖ ἀδικεῖν· αὐτὸς δ' ἑαυτόν, τὰ αὐτὰ ἅμα καὶ πάσχει καὶ ποιεῖ. ἔτι εἴη ἂν ἑκόντα ἀδικεῖσθαι. πρὸς δὲ τȣ́τοις, ἄνευ τῶν κατὰ μέρος ἀδικημάτων οὐθεὶς ἀδικεῖ, μοιχεύει δ' οὐδεὶς τὴν ἑαυτοῦ οὐδὲ τοιχωρυχεῖ τὸν ἑαυτοῦ τοῖχον οὐδὲ κλέπτει τὰ ἑαυτοῦ. ὅλως δὲ λύεται τὸ ἑαυτὸν ἀδικεῖν κατὰ τὸν διορισμὸν τὸν περὶ τοῦ ἑκȣσίως ἀδικεῖσθαι. φανερὸν δὲ καὶ ὅτι ἄμφω μὲν φαῦλα, καὶ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἔλαττον τὸ δὲ πλέον ἔχειν ἐστὶ τοῦ μέσου καὶ ὥσπερ ὑγιεινὸν μὲν ἐν ἰατρικῇ, εὐεκτικὸν δὲ ἐν γυμναςικῇ· ἀλλ' ὅμως χεῖρον τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἀδικεῖν μετὰ κακίας καὶ ψεκτόν, καὶ κακίας ἢ τῆς τελείας καὶ ἁπλῶς ἢ ἐγγύς (οὐ γὰρ ἅπαν τὸ ἑκούσιον μετὰ ἀδικίας), τὸ δ' ἀδικεῖσθαι ἄνευ κακίας καὶ ἀδικίας. καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον φαῦ-

λον, κατὰ συμβεβηκὸς δ' ȣ̓θὲν κωλύει μεῖζον εἶναι
ἀλλ' οὐδὲν μέλει τῇ τέχνῃ, ἀλλὰ πλευρῖτιν λέγει
νόσον προσπταίσματος· καίτοι γένοιτ' ἄν ποτε θάτερον
συμβεβηκός, εἰ προσπταίσαντα διὰ τὸ πεσεῖν συ
ὑπὸ τῶν πολεμίων ληφθῆναι καὶ ἀποθανεῖν. κατὰ
φορὰν δὲ καὶ ὁμοιότητά ἐςιν οὐκ αὐτῷ πρὸς αὑτὸν δ
ἀλλὰ τῶν αὐτοῦ τισίν, οὐ πᾶν δὲ δίκαιον ἀλλὰ
σποτικὸν ἢ τὸ οἰκονομικόν· ἐν τούτοις γὰρ τοῖς λόγοι
ςηκε τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλογο
ἃ δὴ βλέπουσι καὶ δοκεῖ εἶναι ἀδικία πρὸς αὑτόν,
τούτοις ἔςι πάσχειν τι παρὰ τὰς ἑαυτῶν ὀρέξεις· ὥσ
ἄρχοντι καὶ ἀρχομένῳ εἶναι πρὸς ἄλληλα δίκαιόν τ
τούτοις. περὶ μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων τῶ
κῶν ἀρετῶν διωρίσθω τὸν τρόπον τοῦτον.

Ζ.

Ἐπεὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες ὅτι δεῖ τ
σον αἱρεῖσθαι καὶ μὴ τὴν ὑπερβολὴν μηδὲ τὴν ἔλλειψ
δὲ μέσον ἐςὶν ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, τοῦτο διέλ
ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ἕξεσι, καθάπερ καὶ ἐπ
ἄλλων, ἐστί τις σκοπὸς πρὸς ὃν ἀποβλέπων ὁ τὸν λ
ἔχων ἐπιτείνει καὶ ἀνίησιν, καί τις ἐςὶν ὅρος τῶν μεσοτ
ἃς μεταξύ φαμεν εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψ
οὔσας κατὰ τὸν ὀρθὸν λόγον. ἔστι δὲ τὸ μὲν εἰπεῖν
ἀληθὲς μέν, οὐθὲν δὲ σαφές· καὶ γὰρ ἐν ταῖς ἄλλαις
μελείαις, περὶ ὅσας ἐςὶν ἐπιςήμη, τοῦτ' ἀληθὲς μὲν
ὅτι οὔτε πλείω ȣ̈τε ἐλάττω δεῖ πονεῖν οὐδὲ ῥᾳθυμεῖν, ἀ
τὰ μέσα καὶ ὡς ὁ ὀρθὸς λόγος· τοῦτο δὲ μόνον ἔχω
τις οὐθὲν ἂν εἰδείη πλέον, οἷον ποῖα δεῖ προσφέρεσθαι
τὸ σῶμα, εἴ τις εἴπειεν ὅτι ὅσα ἡ ἰατρικὴ κελεύει καὶ
ὁ ταύτην ἔχων. διὸ δεῖ καὶ περὶ τὰς τῆς ψυχῆς ἕξεις
μόνον ἀληθὲς εἶναι τοῦτ' εἰρημένον, ἀλλὰ καὶ διωρισμ
τίς τ' ἐςὶν ὁ ὀρθὸς λόγος καὶ τούτȣ τίς ὅρος.

Τὰς δὴ τῆς ψυχῆς ἀρετὰς διελόμενοι τὰς μὲν

1. καὶ περιέχων M^b. ‖ 4. ἀδικεῖν ἑαυτόν M^b. ‖ 5. τὰ ante κατὰ om O^b. ‖ 6. ἑαυτὸν ἀποκτιννύναι L^bO^b, ἑαυτὸν ἀποκτειν M 8. περὶ O^b. ‖ 9. ᾧ] ὡς M^b et corr K^b. ‖ αὐτὸν M^b. ‖ 10. ὀρθὸν] αὐτὸν K^b. ‖ νόμον M^bO^b. ‖ 14. ἀδικοῦντι ἢ αὑτόν. ἔτι M^b. ‖ ὅλως] ἁπλῶς K^b. ‖ οὐκ ἀδικήσει M^b. ‖ 18. ἀδικεῖ ἂν ἅμα K^b. ‖ ἂν ante εἴη $L^bM^bO^b$. ‖ τὸ αὐτὸ L^b. ‖ 19. τῷ αὐτῷ L^bM^b. ‖ ὁ] καὶ M^b. ‖ τὰ αὐτὰ] ταῦτα K^b. ‖ 23. καὶ post ἅμα om L^b. ‖ 24. κατὰ] ἀνὰ M^b. ‖ 25. δ'] γὰρ M^b. ‖ 26. οἶκον M^b. ‖ K^b. ‖ 27. αὐτὸν K^b. ‖ κατὰ] καὶ κατὰ K^b. ‖ 28. δ' ὅτι καὶ L^bM^b, δὲ καὶ O^b. ‖ μὲν] εἶναι O^b. ‖ 30. ἔχειν om M^b. ‖ 32. ψ ἣν καὶ τῆς κακίας M^b. ‖ 33. τῆς om L^b. ‖ καὶ om K^b. ‖ σύνεγγυς O^b. ‖ πᾶν K^b.

1. εἶναι om $K^bL^bO^b$. ‖ 4. προσπταίσαντος M^b. ‖ 5. καὶ] ἢ K^b. ‖ 6. οὐχ αὐτῷ $K^bM^bO^b$, οὐκ αὐτοῦ L^b. ‖ 9. μέρος ψυχῆς L^b, om K^b. ‖ 10. καὶ om L^b. ‖ 11. περὶ L^b. ‖ 13. τῶν post ἄλλων om L^bM^b. ‖ ἠθικῶν om M^b. ‖ 18. εἰρηκότες π M^b. ‖ 19. καὶ om K^b. ‖ μήτε M^b, μηδὲ O^b. ‖ μήτε L^bM^b. ‖ 21. ἐν om L^bM^b. ‖ πράξεσι K^b. ‖ καὶ om O^b. ‖ 23. ἐςιν ὁ ὅρος L^b. ‖ 27. μὲν] μέν ἐστιν M^b, om K^b. ‖ 30. εἰδῇ M^b. ‖ πρὸς om M^b. ‖ 31. εἴποιεν $K^bL^bM^bO^b$. ‖ ὅσα] ὡς K^b. ‖ ὡς om M^b. ‖ 33. ἀληθῶς K^b. ‖ τοῦτο τὸ εἰρημένον L^bO^b. ‖ 34. τί om K^b. ‖ τίς ὁ ὅρος O^b. ‖ 35. δὲ M^b. ‖ τὰ K^b.

ἔφαμεν τὰς δὲ τῆς διανοίας. περὶ μὲν οὖν τῶν ελɳλύθαμεν, περὶ δὲ τῶν λοιπῶν, περὶ ψυχῆς πόντες, λέγωμεν οὕτως. πρότερον μὲν οὖν ἐλέχθη μέρη τῆς ψυχῆς, τό τε λόγον ἔχον καὶ τὸ ἄλο- δὲ περὶ τοῦ λόγον ἔχοντος τὸν αὐτὸν τρόπον διαι- αὶ ὑποκείσθω δύο τὰ λόγον ἔχοντα, ἓν μὲν ᾧ τὰ τοιαῦτα τῶν ὄντων ὅσων αἱ ἀρχαὶ μὴ ἐνδέ- λλως ἔχειν, ἓν δὲ ᾧ τὰ ἐνδεχόμενα· πρὸς γὰρ ίνει ἕτερα καὶ τῶν τῆς ψυχῆς μορίων ἕτερον τῷ πρὸς ἑκάτερον πεφυκός, εἴπερ καθ' ὁμοιότητά τινα τητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς. λεγέσθω δὲ τού- ὲν ἐπιστημονικὸν τὸ δὲ λογιστικόν· τὸ γὰρ βουλεύε- λογίζεσθαι ταὐτόν, οὐθεὶς δὲ βουλεύεται περὶ νδεχομένων ἄλλως ἔχειν. ὥστε τὸ λογιστικόν ἐστιν ος τοῦ λόγον ἔχοντος. ληπτέον ἄρ' ἑκατέρου τού- βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου, ἡ δ' ς τὸ ἔργον τὸ οἰκεῖον. τρία δ' ἐστὶν ἐν τῇ ψυχῇ πράξεως καὶ ἀληθείας, αἴσθησις, νοῦς, ὄρεξις. τού- αἴσθησις οὐδεμιᾶς ἀρχὴ πράξεως· δῆλον δὲ τῷ αἴσθησιν μὲν ἔχειν, πράξεως δὲ μὴ κοινωνεῖν. ερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν ωξις καὶ φυγή· ὥστ' ἐπειδὴ ἡ ἠθικὴ ἀρετὴ ἕξις ή, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτική, δεῖ διὰ τε λόγον ἀληθῆ εἶναι καὶ τὴν ὄρεξιν ὀρθήν, εἰ- οαίρεσις σπουδαία, καὶ τὰ αὐτὰ τὸν μὲν φάναι ώκειν. αὕτη μὲν οὖν ἡ διάνοια καὶ ἡ ἀλήθεια τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς τικῆς τὸ εὖ καὶ κακῶς τἀληθές ἐστι καὶ ψεῦδος· ἐστι παντὸς διανοητικοῦ ἔργον, τοῦ δὲ πρακτικοῦ ητικοῦ ἡ ἀλήθεια ὁμολόγως ἔχουσα τῇ ὀρέξει πράξεως μὲν οὖν ἀρχὴ προαίρεσις, ὅθεν ἡ κίνη- οὐχ οὗ ἕνεκα, προαιρέσεως δὲ ὄρεξις καὶ λόγος ινος· διὸ οὔτ' ἄνευ νοῦ καὶ διανοίας οὔτ' ἄνευ τὶν ἕξεως ἡ προαίρεσις· εὐπραξία γὰρ καὶ τὸ πράξει ἄνευ διανοίας καὶ ἤθους οὐκ ἔστιν. διά- ιτὴ οὐθὲν κινεῖ, ἀλλ' ἡ ἕνεκά του καὶ πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει· ἕνεκα γάρ του ποιεῖ πᾶς ὁ ποιῶν, καὶ οὐ τέλος ἁπλῶς ἀλλὰ πρός τι καὶ τινὸς τὸ ποιητόν. ἀλλὰ τὸ πρακτόν· ἡ γὰρ εὐπραξία τέλος, ἡ δ' ὄρεξις τούτου· διὸ ἢ ὀρεκτικὸς νοῦς ἡ προαίρεσις ἢ ὄρεξις διανοητική, καὶ ἡ τοιαύτη ἀρχὴ ἄνθρωπος. οὐκ ἔστι δὲ προαιρετὸν οὐθὲν γεγονός, οἷον οὐθεὶς προαιρεῖται Ἴλιον πεπορθηκέναι· οὐδὲ γὰρ βουλεύεται περὶ τοῦ γεγονότος ἀλλὰ περὶ τοῦ ἐσομένου καὶ ἐνδεχομένου, τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς Ἀγάθων

μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.

ἀμφοτέρων δὴ τῶν νοητικῶν μορίων ἀλήθεια τὸ ἔργον. καθ' ἃς οὖν μάλιστα ἕξεις ἀληθεύσει ἑκάτερον, αὗται ἀρεταὶ ἀμφοῖν.

3 Ἀρξάμενοι οὖν ἄνωθεν περὶ αὐτῶν πάλιν λέγωμεν. ἔστω δὴ οἷς ἀληθεύει ἡ ψυχὴ τῷ καταφάναι ἢ ἀποφάναι, πέντε τὸν ἀριθμόν· ταῦτα δ' ἐστὶ τέχνη, ἐπιστήμη, φρόνησις, σοφία, νοῦς· ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι. ἐπιστήμη μὲν οὖν τί ἐστιν, ἐντεῦθεν φανερόν, εἰ δεῖ ἀκριβολογεῖσθαι καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότησιν. πάντες γὰρ ὑπολαμβάνομεν, ὃ ἐπιστάμεθα, μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν· τὰ δ' ἐνδεχόμενα ἄλλως, ὅταν ἔξω τοῦ θεωρεῖν γένηται, λανθάνει εἰ ἔστιν ἢ μή. ἐξ ἀνάγκης ἄρα ἐστὶ τὸ ἐπιστητόν. ἀΐδιον ἄρα· τὰ γὰρ ἐξ ἀνάγκης ὄντα ἁπλῶς πάντα ἀΐδια, τὰ δ' ἀΐδια ἀγένητα καὶ ἄφθαρτα. ἔτι διδακτὴ πᾶσα ἐπιστήμη δοκεῖ εἶναι, καὶ τὸ ἐπιστητὸν μαθητόν. ἐκ προγινωσκομένων δὲ πᾶσα διδασκαλία, ὥσπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς λέγομεν· ἡ μὲν γὰρ δι' ἐπαγωγῆς, ἡ δὲ συλλογισμῷ. ἡ μὲν δὴ ἐπαγωγὴ ἀρχή ἐστι καὶ τοῦ καθόλου, ὁ δὲ συλλογισμὸς ἐκ τῶν καθόλου. εἰσὶν ἄρα ἀρχαὶ ἐξ ὧν ὁ συλλογισμός, ὧν οὐκ ἔστι συλλογισμός· ἐπαγωγὴ ἄρα. ἡ μὲν ἄρα ἐπιστήμη ἐστὶν ἕξις ἀποδεικτική, καὶ ὅσα ἄλλα προσδιοριζόμεθα ἐν τοῖς ἀναλυτικοῖς· ὅταν γάρ πως πιστεύῃ καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ ἀρχαί, ἐπίσταται· εἰ γὰρ μὴ μᾶλλον τοῦ συμπεράσματος, κατὰ συμβεβηκὸς ἕξει τὴν ἐπιστήμην. περὶ μὲν οὖν ἐπιστήμης διωρίσθω τὸν τρόπον τοῦτον.

Citation of the Analytics

ομεν $L^bM^bO^b$. ‖ οὖν om K^bM^b. ‖ 4. μέρη εἶναι L^bO^b. ‖ ἔχον — 5. λόγον om L^b. ‖ 4. καὶ — 5. ἔχοντος om K^b. ‖ 7. M^b. ‖ 8. ᾧ τὰ ἐνδεχόμενα] τῶν ἃ ἐνδέχονται K^b. ‖ 10. ἑκάτερον om M^b. ‖ 11. αὐτῶν, ut videtur, L^b. ‖ 12. λογικόν K^b εσθαι K^b. ‖ 23. διὰ] δὲ K^b. ‖ 24. ταῦτα] μὲν ταῦτα L^bO^b, ταῦτα μὲν K^b. ‖ τε om L^b. ‖ 26. ἡ post καὶ om M^b. ‖ L^b. ‖ 30. ἡ om K^bO^b. ‖ ὁμολογουμένως M^b. ‖ 36. δ' om K^b. ‖ ἣ K^b.
γὰρ M^b. ‖ 3. ποιητικὸν M^b. ‖ τὸ] καὶ τὸ M^b, om K^b. ‖ πρακτικόν M^b. ‖ 4. ὀρεκτὸς M^b. ‖ 5. διανοητικοῦ M^b. ‖ 11. . ‖ πεπραγμένα om K^b. ‖ 13. ἀληθεύει L^bO^b. ‖ 14. ἄλλωθεν K^b. ‖ 15. ἡ om K^bM^b. ‖ 20. μηδ' K^b. ‖ 21. ἄλλως, λλως, ὅταν M^b. ‖ 24. ἀΐδια πάντα M^b. ‖ ἀγένητα om M^b. ‖ 25. πᾶσα] ἡ ἅπασα K^bM^b. ‖ 27. ἐλέγομεν M^b. ‖ 28. ἡ καθόλου om M^b. ‖ 28. ἀρχῆς L^b. ‖ 29. τοῦ om L^b. ‖ 30. ἄρα αἱ ἀρχαὶ O^b. ‖ ὁ om K^b. ‖ ὧν δ' οὐκ L^b. ‖ 31. ἄρα ἡ] ‖ 33. αἱ om M^b.

4 Τοῦ δ' ἐνδεχομένυ ἄλλως ἔχειν ἔςι τι καὶ ποιητὸν καὶ πρακτόν, ἕτερον δ' ἐςὶ ποίησις καὶ πρᾶξις· πιςεύομεν δὲ περὶ αὐτῶν καὶ τοῖς ἐξωτερικοῖς λόγοις. ὥστε καὶ ἡ μετὰ λόγυ ἕξις πρακτικὴ ἕτερόν ἐςι τῆς μετὰ λόγυ ποιητικῆς ἕξεως. διὸ οὐδὲ περιέχονται ὑπ' ἀλλήλων· ὔτε γὰρ ἡ πρᾶξις ποίησις οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν. ἐπεὶ δ' ἡ οἰκοδομικὴ τέχνη τίς ἐστι καὶ ὅπερ ἕξις τις μετὰ λόγου ποιητική, καὶ οὐδεμία οὔτε τέχνη ἐςὶν ἥτις οὐ μετὰ λόγου ποιητικὴ ἕξις ἐςίν, οὔτε τοιαύτη ἣ οὐ τέχνη, ταὐτὸν ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική. ἔςι δὲ τέχνη πᾶσα περὶ γένεσιν, καὶ τὸ τεχνάζειν, καὶ θεωρεῖν ὅπως ἂν γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιῦντι ἀλλὰ μὴ ἐν τῷ ποιυμένῳ· οὔτε γὰρ τῶν ἐξ ἀνάγκης ὄντων ἢ γινομένων ἡ τέχνη ἐςίν, οὔτε τῶν κατὰ φύσιν· ἐν αὑτοῖς γὰρ ἔχυσι ταῦτα τὴν ἀρχήν. ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι. καὶ τρόπον τινὰ περὶ τὰ αὐτά ἐςιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησὶ "τέχνη τύχην ἔςερξε καὶ τύχη τέχνην." ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται, ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν, ἡ δ' ἀτεχνία τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

5 Περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, θεωρήσαντες τίνας λέγομεν τοὺς φρονίμυς. δοκεῖ δὴ φρονίμυ εἶναι τὸ δύνασθαι καλῶς βυλεύσασθαι περὶ τὰ αὑτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ κατὰ μέρος, οἷον ποῖα πρὸς ὑγίειαν ἢ ἰσχύν, ἀλλὰ ποῖα πρὸς τὸ εὖ ζῆν. σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμυς λέγομεν, ὅταν πρὸς τέλος τι σπυδαῖον εὖ λογίσωνται, ὧν μή ἐςι τέχνη. ὥςε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βυλευτικός. βυλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι· ὥστ' εἴπερ ἐπιςήμη μὲν μετ' ἀποδείξεως, ὧν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μή ἐςιν ἀπόδειξις (πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν, καὶ οὐκ ἔςι βυλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων), οὐ ἡ φρόνησις ἐπιςήμη οὐδὲ τέχνη, ἐπιστήμη μὲν χεται τὸ πρακτὸν ἄλλως ἔχειν, τέχνη δ' ὅτι γένος πράξεως καὶ ποιήσεως. λείπεται ἄρα αὐ ἕξιν ἀληθῆ μετὰ λόγυ πρακτικὴν περὶ τὰ ἀνθρώπι καὶ κακά· τῆς μὲν γὰρ ποιήσεως ἕτερον τὸ τέλο πράξεως ὐκ ἂν εἴη· ἔςι γὰρ αὐτὴ ἡ εὐπραξία τέ τοῦτο Περικλέα καὶ τοὺς τοιούτυς φρονίμυς οἰόμε ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώποις δύνα ρεῖν· εἶναι δὲ τοιούτυς ἡγούμεθα τὺς οἰκονομικοὺς πολιτικύς. ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσ μεν τῷ ὀνόματι, ὡς σώζυσαν τὴν φρόνησιν. σώζε τοιαύτην ὑπόληψιν. οὐ γὰρ ἅπασαν ὑπόληψιν δ ὐδὲ διαςρέφει τὸ ἡδὺ καὶ τὸ λυπηρόν, οἷον ὅτι τ νον δυσὶν ὀρθαῖς ἴσας ἔχει ἢ οὐκ ἔχει, ἀλλὰ τὰ πρακτόν. αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν τὸ τὰ πρακτά· τῷ δὲ διεφθαρμένῳ δι' ἡδονὴν ἢ λύπ οὐ φαίνεται ἡ ἀρχή, οὐδὲ δεῖν τύτυ ἕνεκεν οὐδὲ αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔςι γὰρ ἡ κακία ἀρχῆς· ὥς' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετ ἀληθῆ, περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. ἀλ τέχνης μὲν ἐςὶν ἀρετή, φρονήσεως δ' ὐκ ἔςιν· κα τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων αἱρετώτερος, περὶ δὲ ἧττον, ὥσπερ καὶ περὶ τὰς ἀρετάς. δῆλον οὖν ὅτ τίς ἐςι καὶ οὐ τέχνη. δυοῖν δ' ὄντοιν μεροῖν τῆς τῶν λόγον ἐχόντων, θατέρυ ἂν εἴη ἀρετή, τοῦ δοξ ἥ τε γὰρ δόξα περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν φρόνησις. ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ λόγυ μόνον δ' ὅτι λήθη τῆς μὲν τοιαύτης ἕξεώς ἐστι, φρον οὐκ ἔςιν.

Ἐπεὶ δ' ἡ ἐπιςήμη περὶ τῶν καθόλου ἐςὶν ὑπ καὶ τῶν ἐξ ἀνάγκης ὄντων, εἰσὶ δ' ἀρχαὶ τῶν ἀπ καὶ πάσης ἐπιστήμης (μετὰ λόγου γὰρ ἡ ἐπιςήμ ἀρχῆς τοῦ ἐπιςητοῦ οὔτ' ἂν ἐπιςήμη εἴη οὔτε τέχ φρόνησις· τὸ μὲν γὰρ ἐπιςητὸν ἀποδεικτόν, αἱ δὲ

1. ποιητικὸν καὶ πρακτικόν M^b. ‖ 4. ἕξις — λόγυ om L^b. ‖ 5. διὸ] καὶ L^bO^b. ‖ περιέχεται $K^bL^bO^b$. ‖ 6. δ' ἡ] δὴ K ἐστι om O^b. ‖ 12. γίνηταί O^b. ‖ καὶ ante εἶναι om M^b. ‖ 14. ἡ om L^bO^b. ‖ 16. ταῦτα τὴν] ταύτην K^b. ‖ 18. ταῦτ' τέχνη καὶ ἡ τύχη O^b. ‖ 22. ποιητικὴ om M^b. ‖ 24. οὕτως ἀναλάβοιμεν M^b. ‖ 25. δὴ] οὖν L^b. ‖ 26. αὑτῷ om M^b. ‖ 27. M^bO^b, πρὸς K^bL^b. ‖ 28. ποῖα om L^b. ‖ ζῆν] ζῆν ὅλον O^b, ζῆν ὅλως L^bM^b. ‖ 29. πρὸς τὸ τέλος τι K^b. ‖ 30. λογίζωντα 34. ἐνδέχεται M^b, omissis mox τούτων — 35. ἔχειν.

2. ἡ add L^bO^b. ‖ 3. πράττειν M^b. ‖ 4. τέλος L^b. ‖ τῆς πράξεως M^b. ‖ 5. ἀνθρώπινα M^b. ‖ 7. ἂν εἴη] ἀεί M^b. ‖ M^b. ‖ 10. τὺς post καὶ om L^bO^b. ‖ 11. ὅθεν L^bO^b. ‖ 12. ὡς om K^bM^b. ‖ 13. πᾶσαν L^bO^b. ‖ 14. τὸ post καὶ om 15. δύο ὀρθὰς K^b. ‖ 16. γὰρ om M^b. ‖ 17. ἢ] καὶ L^b, ἡ K^b. is λύπη. ‖ 18. ἡ om K^bM^b. ‖ δεῖ K^b. ‖ ἕνεκα K^bM^bO εἶναι ἕξιν M^b. ‖ 21. ἀληθοῦς M^b. ‖ 24. ἧττων K^b. ‖ 29. μὲν τῆς $L^bM^bO^b$, τῆς μὲν τῆς K^b. ‖ 32. δ'] δ' αἱ K^bM^b. ‖ ἀπ L^bM^b. ‖ 33. ἡ om K^bM^b. ‖ τῆς — 34. ἐπιςήμη om L^b.

ῦσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐδὲ δὴ τούτων ἐςίν· τοῦ γὰρ σοφȣ̃ περὶ ἐνίων ἔχειν ἀπό- ττιν. εἰ δὴ οἷς ἀληθεύομεν καὶ μηδέποτε διαψευ- περὶ τὰ μὴ ἐνδεχόμενα ἢ καὶ ἐνδεχόμενα ἄλλως πιςήμη καὶ φρόνησίς ἐςι καὶ σοφία καὶ νοῦς, τȣ- τῶν τριῶν μηθὲν ἐνδέχεται εἶναι (λέγω δὲ τρία ν ἐπιστήμην σοφίαν), λείπεται νοῦν εἶναι τῶν

ὴν δὲ σοφίαν ἔν τε ταῖς τέχναις τοῖς ἀκριβεςάτοις γας ἀποδίδομεν, οἷον Φειδίαν λιθȣργὸν σοφὸν καὶ ειτον ἀνδριαντοποιόν, ἐνταῦθα μὲν οὖν οὐθὲν ἄλλο ντες τὴν σοφίαν ἢ ὅτι ἀρετὴ τέχνης ἐςίν· εἶναι δέ φοὺς οἰόμεθα ὅλως οὐ κατὰ μέρος οὐδ' ἄλλο τι ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ "τὸν δ' ȣ̓́τ' πτῆρα θεοὶ θέσαν ȣ̓́τ' ἀροτῆρα ȣ̓́τ' ἄλλως τι σοφόν." λον ὅτι ἡ ἀκριβεςάτη ἂν τῶν ἐπιςημῶν εἴη ἡ σο- εῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέ- λὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥς' εἴη ἂν ἡ οῦς καὶ ἐπιςήμη, ὥσπερ κεφαλὴν ἔχȣσα ἐπιςήμη ιωτάτων. ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἢ τὴν ν σπȣδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄριςον τῶν όσμῳ ἄνθρωπός ἐςιν. εἰ δὴ ὑγιεινὸν μὲν καὶ ἀγα- ον ἀνθρώποις καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ εὐθὺ ἀεί, καὶ τὸ σοφὸν ταὐτὸν πάντες ἂν εἴποιεν, φρό- ἕτερον· τὸ γὰρ περὶ αὑτὸ ἕκαςα εὖ θεωρȣ̃ν φαῖεν φρόνιμον, καὶ τούτῳ ἐπιτρέψειαν αὐτά. διὸ καὶ ίων ἔνια φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὑτῶν ντα φαίνεται δύναμιν προνοητικήν. φανερὸν δὲ καὶ ἂν εἴη ἡ σοφία καὶ ἡ πολιτικὴ ἡ αὐτή· εἰ γὰρ τὰ ὠφέλιμα τὰ αὑτοῖς ἐροῦσι σοφίαν, πολλαὶ σοφίαι· ȣ̓ γὰρ μία περὶ τὸ ἁπάντων ἀγαθὸν τῶν λλ' ἑτέρα περὶ ἕκαςον, εἰ μὴ καὶ ἰατρικὴ μία περὶ τῶν ὄντων. εἰ δ' ὅτι βέλτιςον ἄνθρωπος τῶν ἄλ- ων, οὐδὲν διαφέρει· καὶ γὰρ ἀνθρώπȣ ἄλλα πολὺ θειότερα τὴν φύσιν, οἷον φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέςηκεν. ἐκ δὴ τῶν εἰρημένων δῆλον ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιςήμη καὶ νȣ̃ς τῶν τιμιωτάτων τῇ φύσει. διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτȣς σοφοὺς μέν, φρονίμȣς δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοȣ̃ντας τὰ συμφέρονθ' ἑαυτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαςὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτȣ́ς φασιν, ἄχρηςα δ', ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. ἡ δὲ φρόνησις περὶ τὰ 8
ἀνθρώπινα καὶ περὶ ὧν ἔςι βȣλεύσασθαι· τȣ̃ γὰρ φρονίμȣ μάλιςα τοῦτ' ἔργον εἶναί φαμεν, τὸ εὖ βȣλεύεσθαι, βȣλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδ' ὅσων μὴ τέλος τί ἐςι, καὶ τοῦτο πρακτὸν ἀγαθόν. ὁ δ' ἁπλῶς εὔβȣλος ὁ τοῦ ἀρίςȣ ἀνθρώπῳ τῶν πρακτῶν στοχαςικὸς κατὰ τὸν λογισμόν. οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλȣ μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαςα γνωρίζειν· πρακτικὴ γάρ, ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαςα. διὸ καὶ ἔνιοι ȣ̓κ εἰδότες ἑτέρων εἰδότων πρακτικώτεροι, καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι· εἰ γὰρ εἰδείη ὅτι τὰ κοῦφα εὔπεπτα κρέα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοοῖ, ȣ̓ ποιήσει ὑγίειαν, ἀλλ' ὁ εἰδὼς ὅτι τὰ ὀρνίθεια κȣ̃φα καὶ ὑγιεινὰ ποιήσει μᾶλλον. ἡ δὲ φρόνησις πρακτική· ὥστε δεῖ ἄμφω ἔχειν, ἢ ταύτην μᾶλλον. εἴη δ' ἄν τις καὶ ἐνταῦθα ἀρχιτεκτονική. ἔςι δὲ καὶ ἡ πολιτικὴ καὶ ἡ φρόνησις ἡ αὐτὴ μὲν ἕξις, τὸ μέντοι εἶναι οὐ ταὐτὸν αὐταῖς. τῆς δὲ περὶ πόλιν ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις νομοθετική, ἡ δὲ ὡς τὰ καθ' ἕκαςα τὸ κοινὸν ἔχει ὄνομα, πολιτική· αὕτη δὲ πρακτικὴ καὶ βȣλευτική· τὸ γὰρ ψήφισμα πρακτὸν ὡς τὸ ἔσχατον. διὸ πολιτεύεσθαι τούτȣς μόνȣς λέγουσιν· μόνοι γὰρ πράττȣσιν οὗτοι ὥσπερ οἱ χειροτέχναι· δοκεῖ δὲ καὶ φρόνησις μάλις' εἶναι ἡ περὶ αὐτὸν καὶ ἕνα. καὶ ἔχει αὕτη τὸ κοινὸν ὄνομα, φρόνησις· ἐκείνων δὲ ἡ μὲν οἰκονομία, ἡ δὲ νομοθεσία, ἡ δὲ πολιτική, καὶ ταύτης ἡ μὲν βȣλευτικὴ ἡ δὲ δικαστική. εἶδος μὲν οὖν τι ἂν εἴη 9
γνώσεως τὸ αὑτῷ εἰδέναι· ἀλλ' ἔχει διαφορὰν πολλήν·

ὐδ' ἡ σοφία K^b. ‖ 2. ἀπόδειξίς pr K^b. ‖ 3. ψευδόμεθα M^b. ‖ 4. μὴ post καὶ L^b. ‖ ἢ om M^bO^b. ‖ 7. νοῦν] γοῦν νοῦν ν corr. ‖ 9. γε L^bM^b. ‖ 10. ἀποδιδόαμεν L^bM^b. ‖ 11. πολύκλητον K^b. ‖ οὖν om L^bO^b. ‖ 12. ἐςίν ante τέχνης L^b, ‖ 13. τι] τι ἢ M^bO^b. ‖ 14. μαργείτῃ $K^bM^bO^b$. ‖ 15. ἂν M^b. ‖ 16. ἡ post ὅτι om $K^bM^bO^b$. ‖ 17. μὴ] οὐ M^b. ‖ ρ] καὶ ὥσπερ L^bO^b. ‖ ἐπιςήμην M^b. ‖ 20. γάρ] δὲ M^b. ‖ τὴν ἐπιςήμην πολιτικὴν L^bO^b. ‖ 21. σπȣδαιότατον εἶναι οἴεται M^b. ‖ M^b. ‖ 23. καὶ τὸ εὐθὺ L^bO^b. ‖ 24. εἴποιμεν M^b. ‖ 25. εὖ] τὸ εὖ $K^bL^bO^b$. ‖ φαῖεν ἂν] φησὶν K^b, φαῖεν $L^bM^bO^b$. ‖ 26. M^b. ‖ ἐπιτρέψει K^b, ἐπιτρέψειεν L^bO^b. ‖ ἑαυτούς M^b. ‖ 27. φησιν K^b. ‖ 28. καὶ om L^bO^b. ‖ 30. τὰ αὑτοῖς] τ' αὐτοῖς K^b. ‖ ζώων ἀγαθόν M^b. ‖ 33. ὁ ἄνθρωπος M^b. ‖ 34. πολλὰ M^b.
ῖον τὰ φανερώτατά L^b. ‖ συνέςηκεν ὁ κόσμος L^bO^b. ‖ 3. καὶ ante ἐπιςήμη om L^b. ‖ 12. τέλειόν M^b. ‖ πρακτικὸν M^b. ‖ 13. . ‖ 16. πρακτὴ M^b. ‖ 18. οἱ om L^b. ‖ 19. ἀγνοεῖ $L^bM^bO^b$. ‖ 20. ὀρνίθια K^b. ‖ 23. καὶ ἡ post πολιτικὴ om K^b. ‖ 25. M^b. ‖ 26. αὕτη — 27. βȣλευτική om M^b. ‖ 27. καὶ om K^bL^b. ‖ 28. ἕκαστον K^b. ‖ μόνον $K^bM^bO^b$. ‖ 30. καὶ ἡ φρόνησις 33. δικαστική] στοχαστική K^b. ‖ τι] αὕτη M^b. ‖ 34. τὸ] τὸ τὰ L^bM^b. ‖ αὑτοῦ M^b et fortasse pr K^b.

4 Τοῦ δ' ἐνδεχομένου ἄλλως ἔχειν ἔστι τι καὶ ποιητὸν καὶ πρακτόν, ἕτερον δ' ἐστὶ ποίησις καὶ πρᾶξις· πιστεύομεν δὲ περὶ αὐτῶν καὶ τοῖς ἐξωτερικοῖς λόγοις. ὥστε καὶ ἡ μετὰ λόγου ἕξις πρακτικὴ ἕτερόν ἐστι τῆς μετὰ λόγου ποιητικῆς ἕξεως. διὸ οὐδὲ περιέχονται ὑπ' ἀλλήλων· οὔτε γὰρ ἡ πρᾶξις ποίησις οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν. ἐπεὶ δ' ἡ οἰκοδομικὴ τέχνη τίς ἐστι καὶ ὅπερ ἕξις τις μετὰ λόγου ποιητική, καὶ οὐδεμία οὔτε τέχνη ἐστὶν ἥτις οὐ μετὰ λόγου ποιητικὴ ἕξις ἐστίν, οὔτε τοιαύτη ἣ οὐ τέχνη, ταὐτὸν ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική. ἔστι δὲ τέχνη πᾶσα περὶ γένεσιν, καὶ τὸ τεχνάζειν, καὶ θεωρεῖν ὅπως ἂν γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι ἀλλὰ μὴ ἐν τῷ ποιουμένῳ· οὔτε γὰρ τῶν ἐξ ἀνάγκης ὄντων ἢ γινομένων ἡ τέχνη ἐστίν, οὔτε τῶν κατὰ φύσιν· ἐν αὑτοῖς γὰρ ἔχουσι ταῦτα τὴν ἀρχήν. ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι. καὶ τρόπον τινὰ περὶ τὰ αὐτά ἐστιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησὶ "τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην." ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται, ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν, ἡ δ' ἀτεχνία τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

5 Περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, θεωρήσαντες τίνας λέγομεν τοὺς φρονίμους. δοκεῖ δὴ φρονίμου εἶναι τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ αὑτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ κατὰ μέρος, οἷον ποῖα πρὸς ὑγίειαν ἢ ἰσχύν, ἀλλὰ ποῖα πρὸς τὸ εὖ ζῆν. σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμους λέγομεν, ὅταν πρὸς τέλος τι σπουδαῖον εὖ λογίσωνται, ὧν μή ἐστι τέχνη. ὥστε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βουλευτικός. βουλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι· ὥστ' εἴπερ ἐπιστήμη μὲν μετ' ἀποδείξεως, ὧν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μή ἐστιν ἀπόδειξις (πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν, καὶ οὐκ ἔστι βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων), οὐκ ἂν εἴη ἡ φρόνησις ἐπιστήμη οὐδὲ τέχνη, ἐπιστήμη μὲν ὅτι ἐνδέχεται τὸ πρακτὸν ἄλλως ἔχειν, τέχνη δ' ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιήσεως. λείπεται ἄρα αὐτὴν εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά· τῆς μὲν γὰρ ποιήσεως ἕτερον τὸ τέλος, τῆς δὲ πράξεως οὐκ ἂν εἴη· ἔστι γὰρ αὐτὴ ἡ εὐπραξία τέλος. διὰ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους φρονίμους οἰόμεθα εἶναι, ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώποις δύνανται θεωρεῖν· εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ τοὺς πολιτικούς. ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀνόματι, ὡς σῴζουσαν τὴν φρόνησιν. σῴζει δὲ τὴν τοιαύτην ὑπόληψιν. οὐ γὰρ ἅπασαν ὑπόληψιν διαφθείρει οὐδὲ διαστρέφει τὸ ἡδὺ καὶ τὸ λυπηρόν, οἷον ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει ἢ οὐκ ἔχει, ἀλλὰ τὰς περὶ τὸ πρακτόν. αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν τὸ οὗ ἕνεκα τὰ πρακτά· τῷ δὲ διεφθαρμένῳ δι' ἡδονὴν ἢ λύπην εὐθὺς οὐ φαίνεται ἡ ἀρχή, οὐδὲ δεῖν τούτου ἕνεκεν οὐδὲ διὰ τοῦθ' αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς· ὥστ' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου ἀληθῆ, περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. ἀλλὰ μὴν τέχνης μὲν ἔστιν ἀρετή, φρονήσεως δ' οὐκ ἔστιν· καὶ ἐν μὲν τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων αἱρετώτερος, περὶ δὲ φρόνησιν ἧττον, ὥσπερ καὶ περὶ τὰς ἀρετάς. δῆλον οὖν ὅτι ἀρετή τίς ἐστι καὶ οὐ τέχνη. δυοῖν δ' ὄντοιν μεροῖν τῆς ψυχῆς τῶν λόγον ἐχόντων, θατέρου ἂν εἴη ἀρετή, τοῦ δοξαστικοῦ· ἥ τε γὰρ δόξα περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν καὶ ἡ φρόνησις. ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ λόγου μόνον· σημεῖον δ' ὅτι λήθη τῆς μὲν τοιαύτης ἕξεώς ἐστι, φρονήσεως δ' οὐκ ἔστιν.

6 Ἐπεὶ δ' ἡ ἐπιστήμη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις καὶ τῶν ἐξ ἀνάγκης ὄντων, εἰσὶ δ' ἀρχαὶ τῶν ἀποδεικτῶν καὶ πάσης ἐπιστήμης (μετὰ λόγου γὰρ ἡ ἐπιστήμη), τῆς ἀρχῆς τοῦ ἐπιστητοῦ οὔτ' ἂν ἐπιστήμη εἴη οὔτε τέχνη οὔτε φρόνησις· τὸ μὲν γὰρ ἐπιστητὸν ἀποδεικτόν, αἱ δὲ τυγχά-

1. ποιητικὸν καὶ πρακτικόν M^b. ‖ 4. ἕξις — λόγου om L^b. ‖ 5. διὸ] καὶ L^bO^b. ‖ περιέχεται $K^bL^bO^b$. ‖ 6. δ' ἡ] δὴ K^b. ‖ 7. ἐστι om O^b. ‖ 12. γίνηταί O^b. ‖ καὶ ante εἶναι om M^b. ‖ 14. ἡ om L^bO^b. ‖ 16. ταῦτα τὴν] ταύτην K^b. ‖ 18. ταῦτ' K^bM^b. ‖ τέχνη καὶ ἡ τύχη O^b. ‖ 22. ποιητικὴ om M^b. ‖ 24. οὕτως ἀναλάβοιμεν M^b. ‖ 25. δὴ] οὖν L^b. ‖ 26. αὑτῷ om M^b. ‖ 27. ἢ] ἢ πρὸς M^bO^b, πρὸς K^bL^b. ‖ 28. ποῖα om L^b. ‖ ζῆν] ζῆν ὅλον O^b, ζῆν ὅλως L^bM^b. ‖ 29. πρὸς τὸ τέλος τι K^b. ‖ 30. λογίζωνται M^b. ‖ 34. ἐνδέχεται M^b, omissis mox τούτων — 35. ἔχειν.

2. ἡ add L^bO^b. ‖ 3. πράττειν M^b. ‖ 4. τέλος L^b. ‖ τῆς πράξεως M^b. ‖ 5. ἀνθρώπινα M^b. ‖ 7. ἂν εἴη] ἀεί M^b. ‖ αὕτη K^bM^b. ‖ 10. τοὺς post καὶ om L^bO^b. ‖ 11. ὅθεν L^bO^b. ‖ 12. ὡς om K^bM^b. ‖ 13. πᾶσαν L^bO^b. ‖ 14. τὸ post καὶ om K^bM^b. ‖ 15. δύο ὀρθὰς K^b. ‖ 16. γὰρ om M^b. ‖ 17. ἢ] καὶ L^b, ἡ K^b. is λύπη. ‖ 18. ἡ om K^bM^b. ‖ δεῖ K^b. ‖ ἕνεκα $K^bM^bO^b$. ‖ 20. εἶναι ἕξιν M^b. ‖ 21. ἀληθοῦς M^b. ‖ 24. ἧττον K^b. ‖ 29. μὲν τῆς $L^bM^bO^b$, τῆς μὲν τῆς K^b. ‖ 32. δ'] δ' αἱ K^bM^b. ‖ ἀποδεικτικῶν L^bM^b. ‖ 33. ἡ om K^bM^b. ‖ τῆς — 34. ἐπιστήμη om L^b.

ν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐδὲ δὴ α τούτων ἐςίν· τοῦ γὰρ σοφῦ περὶ ἐνίων ἔχειν ἀπό- ἐστιν. εἰ δὴ οἷς ἀληθεύομεν καὶ μηδέποτε διαψευ- θα περὶ τὰ μὴ ἐνδεχόμενα ἢ καὶ ἐνδεχόμενα ἄλλως , ἐπιςήμη καὶ φρόνησίς ἐςι καὶ σοφία καὶ νοῦς, τύ- δὲ τῶν τριῶν μηθὲν ἐνδέχεται εἶναι (λέγω δὲ τρία ησιν ἐπιστήμην σοφίαν), λείπεται νοῦν εἶναι τῶν ῶν.

Τὴν δὲ σοφίαν ἔν τε ταῖς τέχναις τοῖς ἀκριβεςάτοις τέχνας ἀποδίδομεν, οἷον Φειδίαν λιθυργὸν σοφὸν καὶ ίκλειτον ἀνδριαντοποιόν, ἐνταῦθα μὲν οὖν οὐθὲν ἄλλο ίνοντες τὴν σοφίαν ἢ ὅτι ἀρετὴ τέχνης ἐςίν· εἶναι δέ σοφοὺς οἰόμεθα ὅλως οὐ κατὰ μέρος οὐδ' ἄλλο τι ύς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ "τὸν δ' ὕτ' καπτῆρα θεοὶ θέσαν ὕτ' ἀροτῆρα ὕτ' ἄλλως τι σοφόν." δῆλον ὅτι ἡ ἀκριβεςάτη ἂν τῶν ἐπιςημῶν εἴη ἡ σο- δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέ- ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥς' εἴη ἂν ἡ ι νοῦς καὶ ἐπιςήμη, ὥσπερ κεφαλὴν ἔχυσα ἐπιςήμη τιμιωτάτων. ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἢ τὴν ησιν σπυδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄριςον τῶν ῷ κόσμῳ ἄνθρωπός ἐςιν. εἰ δὴ ὑγιεινὸν μὲν καὶ ἀγα- τερον ἀνθρώποις καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ εὐθὺ ὸν ἀεί, καὶ τὸ σοφὸν ταὐτὸν πάντες ἂν εἴποιεν, φρό- δὲ ἕτερον· τὸ γὰρ περὶ αὐτὸ ἕκαςα εὖ θεωρῦν φαῖεν ναι φρόνιμον, καὶ τούτῳ ἐπιτρέψειαν αὐτά. διὸ καὶ θηρίων ἔνια φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὑτῶν ἔχοντα φαίνεται δύναμιν προνοητικήν. φανερὸν δὲ καὶ ὐκ ἂν εἴη ἡ σοφία καὶ ἡ πολιτικὴ ἡ αὐτή· εἰ γὰρ περὶ τὰ ὠφέλιμα τὰ αὑτοῖς ἐροῦσι σοφίαν, πολλαὶ αι σοφίαι· ὐ γὰρ μία περὶ τὸ ἁπάντων ἀγαθὸν τῶν , ἀλλ' ἑτέρα περὶ ἕκαςον, εἰ μὴ καὶ ἰατρικὴ μία περὶ ων τῶν ὄντων. εἰ δ' ὅτι βέλτιςον ἄνθρωπος τῶν ἄλ- ζῴων, οὐδὲν διαφέρει· καὶ γὰρ ἀνθρώπυ ἄλλα πολὺ θειότερα τὴν φύσιν, οἷον φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέςηκεν. ἐκ δὴ τῶν εἰρημένων δῆλον ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιςήμη καὶ νῦς τῶν τιμιωτάτων τῇ φύσει. διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτυς σοφοὺς μέν, φρονίμυς δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοῦντας τὰ συμφέρονθ' ἑαυτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαςὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτύς φασιν, ἄχρηςα δ', ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. ἡ δὲ φρόνησις περὶ τὰ 8 ἀνθρώπινα καὶ περὶ ὧν ἔςι βυλεύσασθαι· τῦ γὰρ φρονίμυ μάλιςα τοῦτ' ἔργον εἶναί φαμεν, τὸ εὖ βυλεύεσθαι, βυλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδ' ὅσων μὴ τέλος τί ἐςι, καὶ τοῦτο πρακτὸν ἀγαθόν. ὁ δ' ἁπλῶς εὔβυλος ὁ τοῦ ἀρίςυ ἀνθρώπῳ τῶν πρακτῶν στοχαςικὸς κατὰ τὸν λογισμόν. οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλυ μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαςα γνωρίζειν· πρακτικὴ γάρ, ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαςα. διὸ καὶ ἔνιοι ὐκ εἰδότες ἑτέρων εἰδότων πρακτικώτεροι, καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι· εἰ γὰρ εἰδείη ὅτι τὰ κοῦφα εὔπεπτα κρέα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοοῖ, ὐ ποιήσει ὑγίειαν, ἀλλ' ὁ εἰδὼς ὅτι τὰ ὀρνίθεια κῦφα καὶ ὑγιεινὰ ποιήσει μᾶλλον. ἡ δὲ φρόνησις πρακτική· ὥστε δεῖ ἄμφω ἔχειν, ἢ ταύτην μᾶλλον. εἴη δ' ἄν τις καὶ ἐνταῦθα ἀρχιτεκτονική. ἔςι δὲ καὶ ἡ πολιτικὴ καὶ ἡ φρόνησις ἡ αὐτὴ μὲν ἕξις, τὸ μέντοι εἶναι οὐ ταὐτὸν αὐταῖς. τῆς δὲ περὶ πόλιν ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις νομοθετική, ἡ δὲ ὡς τὰ καθ' ἕκαςα τὸ κοινὸν ἔχει ὄνομα, πολιτική· αὕτη δὲ πρακτικὴ καὶ βυλευτική· τὸ γὰρ ψήφισμα πρακτὸν ὡς τὸ ἔσχατον. διὸ πολιτεύεσθαι τούτυς μόνυς λέγουσιν· μόνοι γὰρ πράττυσιν οὗτοι ὥσπερ οἱ χειροτέχναι· δοκεῖ δὲ καὶ φρόνησις μάλις' εἶναι ἡ περὶ αὐτὸν καὶ ἕνα. καὶ ἔχει αὕτη τὸ κοινὸν ὄνομα, φρόνησις· ἐκείνων δὲ ἡ μὲν οἰκονομία, ἡ δὲ νομοθεσία, ἡ δὲ πολιτική, καὶ ταύτης ἡ μὲν βυλευτικὴ ἡ δὲ δικαστική. εἶδος μὲν οὖν τι ἂν εἴη 9 γνώσεως τὸ αὑτῷ εἰδέναι· ἀλλ' ἔχει διαφορὰν πολλήν·

. οὐδ' ἡ σοφία K^b. ‖ 2. ἀπόδειξίς pr K^b. ‖ 3. ψευδόμεθα M^b. ‖ 4. μὴ post καὶ L^b. ‖ ἢ om M^bO^b. ‖ 7. νοῦν] γοῦν νοῦν ^{b}, ὖν νῦν corr. ‖ 9. γε L^bM^b. ‖ 10. ἀποδιδόαμεν L^bM^b. ‖ 11. πολύκλητον K^b. ‖ οὖν om L^bO^b. ‖ 12. ἐςίν ante τέχνης L^b, ^{b}. ‖ 13. τι] τι ἢ M^bO^b. ‖ 14. μαργείτῃ $K^bM^bO^b$. ‖ 15. ἂν M^b. ‖ 16. ἡ post ὅτι om $K^bM^bO^b$. ‖ 17. μὴ] οὐ M^b. ‖ σπερ] καὶ ὥσπερ L^bO^b. ‖ ἐπιςήμην M^b. ‖ 20. γάρ] δὲ M^b. ‖ τὴν ἐπιςήμην πολιτικὴν L^bO^b. ‖ 21. σπυδαιότατον εἶναι οἴεται M^b. ‖ M^b. ‖ 23. καὶ τὸ εὐθὺ L^bO^b. ‖ 24. εἴποιμεν M^b. ‖ 25. εὖ] τὸ εὖ $K^bL^bO^b$. ‖ φαῖεν ἂν] φησὶν K^b, φαῖεν $L^bM^bO^b$. ‖ 26. M^b. ‖ ἐπιτρέψει K^b, ἐπιτρέψειεν L^bO^b. ‖ ἑαυτούς M^b. ‖ 27. φησιν K^b. ‖ 28. καὶ om L^bO^b. ‖ 30. τὰ αὑτοῖς] τ' αὐτοῖς K^b. ‖ ῶν ζώων ἀγαθόν M^b. ‖ 33. ὁ ἄνθρωπος M^b. ‖ 34. πολλὰ M^b.

. οἷον τὰ φανερώτατά L^b. ‖ συνέςηκεν ὁ κόσμος L^bO^b. ‖ 3. καὶ ante ἐπιςήμη om L^b. ‖ 12. τέλειόν M^b. ‖ πρακτικὸν M^b. ‖ 13. K^b. ‖ 16. πρακτὴ M^b. ‖ 18. οἱ om L^b. ‖ 19. ἀγνοεῖ $L^bM^bO^b$. ‖ 20. ὀρνίθια K^b. ‖ 23. καὶ ἡ post πολιτικὴ om K^b. ‖ 25. M^b. ‖ 26. αὕτη — 27. βυλευτική om M^b. ‖ 27. καὶ om K^bL^b. ‖ 28. ἕκαστον K^b. ‖ μόνον $K^bM^bO^b$. ‖ 30. καὶ ἡ φρόνησις . ‖ 33. δικαστική] στοχαστικὴ K^b. ‖ τι] αὕτη M^b. ‖ 34. τὸ] τὸ τὰ L^bM^b. ‖ αὑτοῦ M^b et fortasse pr K^b.

καὶ δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς καὶ διατρίβων φρόνιμος εἶναι, οἱ δὲ πολιτικοὶ πολυπράγμονες· διὸ Εὐριπίδης

πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ
ἴσον μετασχεῖν;
τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον..

ζητοῦσι γὰρ τὸ αὑτοῖς ἀγαθόν, καὶ οἴονται τοῦτο δεῖν πράττειν. ἐκ ταύτης οὖν τῆς δόξης ἐλήλυθε τὸ τούτους φρονίμους εἶναι· καίτοι ἴσως οὐκ ἔστι τὸ αὑτοῦ εὖ ἄνευ οἰκονομίας οὐδ' ἄνευ πολιτείας. ἔτι δὲ τὰ αὑτοῦ πῶς δεῖ διοικεῖν, ἄδηλον καὶ σκεπτέον. σημεῖον δ' ἐστὶ τοῦ εἰρημένου καὶ διότι γεωμετρικοὶ μὲν νέοι καὶ μαθηματικοὶ γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα, φρόνιμος δ' οὐ δοκεῖ γίνεσθαι. αἴτιον δ' ὅτι τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας, νέος δ' ἔμπειρος οὐκ ἔστιν· πλῆθος γὰρ χρόνου ποιεῖ τὴν ἐμπειρίαν· ἐπεὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο, διὰ τί δὴ μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν, σοφὸς δ' ἢ φυσικὸς οὔ. ἢ ὅτι τὰ μὲν δι' ἀφαιρέσεώς ἐστιν, τῶν δ' αἱ ἀρχαὶ ἐξ ἐμπειρίας· καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι ἀλλὰ λέγουσιν, τῶν δὲ τὸ τί ἐστιν οὐκ ἄδηλον. ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου ἐν τῷ βουλεύσασθαι ἢ περὶ τὸ καθ' ἕκαστον· ἢ γὰρ ὅτι πάντα τὰ βαρύσταθμα ὕδατα φαῦλα, ἢ ὅτι τοδὶ βαρύσταθμον. ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερόν· τοῦ γὰρ ἐσχάτου ἐστίν, ὥσπερ εἴρηται· τὸ γὰρ πρακτὸν τοιοῦτον. ἀντίκειται μὲν δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς τῶν ὅρων, ὧν οὐκ ἔστι λόγος, ἡ δὲ τοῦ ἐσχάτου, οὗ οὐκ ἔστιν ἐπιστήμη ἀλλ' αἴσθησις, οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵᾳ αἰσθανόμεθα ὅτι τὸ ἐν τοῖς μαθηματικοῖς ἔσχατον τρίγωνον· στήσεται γὰρ κἀκεῖ. ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἢ φρόνησις, ἐκείνης δ' ἄλλο εἶδος.

10 Τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι ζητεῖν τι ἐστίν. δεῖ δὲ λαβεῖν καὶ περὶ εὐβουλίας τί ἐστι, πότερον ἐπιστήμη τις ἢ δόξα ἢ εὐστοχία ἢ ἄλλο τι γένος. ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν, ἡ δ' εὐβουλία βουλή τις, ὁ δὲ βουλευόμενος ζητεῖ καὶ λογίζεται. ἀλλὰ μὴν οὐδ' εὐστοχία· ἄνευ τε γὰρ λόγου καὶ ταχύ τι ἡ εὐστοχία, βουλεύονται δὲ πολὺν χρόνον, καὶ φασὶ πράττειν μὲν δεῖν ταχὺ τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως. ἔτι ἡ ἀγχίνοια ἑτερον καὶ ἡ εὐβουλία· ἔστι δ' εὐστοχία τις ἡ ἀγχίνοια. οὐδὲ δὴ δόξα ἡ εὐβουλία οὐδεμία. ἀλλ' ἐπεὶ ὁ μὲν κακῶς βουλευόμενος ἁμαρτάνει, ὁ δ' εὖ ὀρθῶς βουλεύεται, δῆλον ὅτι ὀρθότης τις ἡ εὐβουλία ἐστίν, οὔτ' ἐπιστήμης δὲ οὔτε δόξης· ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης (οὐδὲ γὰρ ἁμαρτία), δόξης δ' ὀρθότης ἀλήθεια· ἅμα δὲ καὶ ὥρισται ἤδη πᾶν οὗ δόξα ἐστίν. ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία. διανοίας ἄρα λείπεται· αὕτη γὰρ οὔπω φάσις· καὶ γὰρ ἡ δόξα οὐ ζήτησις ἀλλὰ φάσις τις ἤδη, ὁ δὲ βουλευόμενος, ἐάν τε εὖ ἐάν τε κακῶς βουλεύηται, ζητεῖ τι καὶ λογίζεται. ἀλλ' ὀρθότης τίς ἐστιν ἡ εὐβουλία βουλῆς· διὸ ἡ βουλὴ ζητητέα πρῶτον τί καὶ περὶ τί. ἐπεὶ δ' ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα· ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος ὃ προτίθεται ἰδεῖν ἐκ τοῦ λογισμοῦ τεύξεται, ὥστε ὀρθῶς ἔσται βεβουλευμένος, κακὸν δὲ μέγα εἰληφώς. δοκεῖ δ' ἀγαθόν τι εἶναι τὸ εὖ βεβουλεῦσθαι· ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς εὐβουλία, ἡ ἀγαθοῦ τευκτική. ἀλλ' ἔστι καὶ τούτου ψευδεῖ συλλογισμῷ τυχεῖν, καὶ ὃ μὲν δεῖ ποιῆσαι τυχεῖν, δι' οὗ δ' οὔ, ἀλλὰ ψευδῆ τὸν μέσον ὅρον εἶναι· ὥστ' οὐδ' αὕτη πω εὐβουλία, καθ' ἣν οὗ δεῖ μὲν τυγχάνει, οὐ μέντοι δι' οὗ ἔδει. ἔτι ἔστι πολὺν χρόνον βουλευόμενον τυχεῖν, τὸν δὲ ταχύ. οὐκοῦν οὐδ' ἐκείνη πω εὐβουλία, ἀλλ' ὀρθότης ἡ κατὰ τὸ ὠφέλιμον, καὶ οὗ δεῖ καὶ ὡς καὶ ὅτε. ἔτι ἔστι καὶ ἁπλῶς εὖ βεβουλεῦσθαι καὶ πρός τι τέλος. ἡ μὲν δὴ ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κατορθοῦσα, ἡ δέ τις ἡ πρός τι τέλος. εἰ δὴ τῶν φρονίμων τὸ εὖ βεβουλεῦσθαι, ἡ εὐβουλία εἴη ἂν ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρός τι τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστιν.

Ἔστι δὲ καὶ ἡ σύνεσις καὶ ἡ ἀσυνεσία, καθ' ἃς λε-||

1. τὰ om O^b. || διατρίβων φρόνιμος om K^b. || 2. φιλοπράγμονες L^bO^b. || διὸ] διὸ καὶ O^b. || 4. ἠριθμημένον K^bN^b. || στρατῷ M^b. || 5. ἴσων M^b, ἴσου L^b. || 8. τούτους] περὶ τοὺς M^b. || 9. εἶναι om K^b. || τὸ] τὸ τὰ M^b. || εὖ] εἰδέναι M^b, om L^bO^b. || 10. αὐτῶν πῶς διοικεῖν δεῖ M^b. || 11. λεγομένου O^b. || 14. ὅτι] ὅτι καὶ $K^bL^bO^b$. || 16. γὰρ] δὲ K^b. || 17. διὰ om O^b. || δήποτε L^bO^b. || 19. αἱ om O^b. || 20. οὐκ om K^bM^b. || 21. τὸ] τὰ K^b. || 22. γὰρ om M^b. || 23. τοδὶ τὸ βαρύσταθμον K^bM^b. || 25. ἀντίκειται] ἀντιληπτικὸν K^b. || μὲν ante δὴ om L^bO^b. || 26. γὰρ δὴ νοῦς M^b. || 27. οὗ om K^bM^b. || 28. οἵᾳ ᾗ αἰσθανόμεθα K^bM^b. || τοῖς om M^b. || 30. ἡ $L^bM^bO^b$. || 32. διαλαβεῖν O^b. || καὶ om K^bM^b. || 33. ἢ post δόξα om O^b.

3. ταχυτῆτος ἡ M^b. || 4. δεῖ M^b. || 9. ἡ εὐβουλία τις K^bM^b. || ἐπιστήμη L^b. || δὲ om K^bM^b. || δόξα L^b. || 11. διώρισται M^b. || 15. τε καὶ κακῶς K^bM^b. || τε M^b. || 16. τις om O^b. || 18. ὁ γὰρ] καὶ γὰρ ὁ M^b. || 20. ὑπειληφώς O^b. || 21. εἶναι add L^bO^b. || βουλεύεσθαι O^b. || 22. ἡ om M^b. || 23. δι'] τούτου δι' L^bO^b. || 24. ἀλλὰ] ὥστε O^b. || 25. αὐτή L^bO^b. || πως $L^bM^bO^b$. || τυγχάνει L^b. || 28. οὗ δεῖ καὶ ὡς] ὁ δικαίως pr K^b. || 29. εὖ om M^b. || 30. ἡ δέ τις] τὶς δὲ K^bM^b. || 31. βουλεύεσθαι K^bO^b. || 32. ἡ ante κατὰ om K^b. || 33. οὗ ἡ] ἢ οὐ K^b.

γομεν συνετοὺς καὶ ἀσυνέτȣς, οὐθ' ὅλως τὸ αὐτὸ ἐπιςήμη ἢ δόξη (πάντες γὰρ ἂν ἦσαν συνετοί) οὔτε τις μία τῶν κατὰ μέρος ἐπιςημῶν, οἷον ἰατρικὴ περὶ ὑγιεινῶν ἢ γεωμετρία περὶ μεγέθους· οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων καὶ ἀκινήτων ἡ σύνεσίς ἐςιν οὔτε περὶ τῶν γιγνομένων ὁτȣῦν, ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βȣλεύσαιτο. διὸ περὶ τὰ αὐτὰ μὲν τῇ φρονήσει ἐςίν, ȣ̓κ ἔςι δὲ ταὐτὸν σύνεσις καὶ φρόνησις· ἡ μὲν γὰρ φρόνησις ἐπιτακτική ἐςιν· τί γὰρ δεῖ πράττειν ἢ μή, τὸ τέλος αὐτῆς ἐστίν· ἡ δὲ σύνεσις κριτικὴ μόνον· ταὐτὸν γὰρ σύνεσις καὶ εὐσυνεσία καὶ συνετοὶ καὶ εὐσύνετοι. ἔςι δ' ȣ̓́τε τὸ ἔχειν τὴν φρόνησιν ȣ̓́τε τὸ λαμβάνειν ἡ σύνεσις· ἀλλ' ὥσπερ τὸ μανθάνειν λέγεται ξυνιέναι, ὅταν χρῆται τῇ ἐπιςήμῃ, οὕτως ἐν τῷ χρῆσθαι τῇ δόξῃ ἐπὶ τὸ κρίνειν περὶ τούτων περὶ ὧν ἡ φρόνησίς ἐςιν, ἄλλȣ λέγοντος, καὶ κρίνειν καλῶς· τὸ γὰρ εὖ τῷ καλῶς ταὐτόν. καὶ ἐντεῦθεν ἐλήλυθε τοὔνομα ἡ σύνεσις, καθ' ἣν εὐσύνετοι, ἐκ τῆς ἐν τῷ μανθάνειν· λέγομεν γὰρ τὸ μανθάνειν συνιέναι πολλάκις.

Ἡ δὲ καλουμένη γνώμη, καθ' ἣν εὐγνώμονας καὶ ἔχειν φαμὲν γνώμην, ἡ τοῦ ἐπιεικοῦς ἐστὶ κρίσις ὀρθή. σημεῖον δέ· τὸν γὰρ ἐπιεικῆ μάλιςά φαμεν εἶναι συγγνωμονικόν, καὶ ἐπιεικὲς τὸ ἔχειν περὶ ἔνια συγγνώμην. ἡ δὲ συγγνώμη γνώμη ἐστὶ κριτικὴ τοῦ ἐπιεικοῦς ὀρθή. ὀρθὴ δ' ἡ τοῦ ἀληθοῦς.

12 Εἰσὶ δὲ πᾶσαι αἱ ἕξεις εὐλόγως εἰς ταὐτὸ τείνȣσαι· λέγομεν γὰρ γνώμην καὶ σύνεσιν καὶ φρόνησιν καὶ νοῦν ἐπὶ τοὺς αὐτοὺς ἐπιφέροντες γνώμην ἔχειν καὶ νοῦν ἤδη καὶ φρονίμȣς καὶ συνετȣ́ς· πᾶσαι γὰρ αἱ δυνάμεις αὗται τῶν ἐσχάτων εἰσὶ καὶ τῶν καθ' ἕκαστον, καὶ ἐν μὲν τῷ κριτικὸς εἶναι περὶ ὧν ὁ φρόνιμος, συνετὸς καὶ εὐγνώμων ἢ συγγνώμων· τὰ γὰρ ἐπιεικῆ κοινὰ τῶν ἀγαθῶν ἁπάντων ἐςὶν ἐν τῷ πρὸς ἄλλον. ἔςι δὲ τῶν καθ' ἕκαςα καὶ τῶν ἐσχάτων πάντα τὰ πρακτά· καὶ γὰρ τὸν φρόνιμον δεῖ γινώσκειν αὐτά, καὶ ἡ σύνεσις καὶ ἡ γνώμη περὶ τὰ πρακτά, ταῦτα δ' ἔσχατα. καὶ ὁ νοῦς τῶν ἐσχάτων ἐπ' ἀμφότερα· καὶ γὰρ τῶν πρώτων ὅρων καὶ τῶν ἐσχάτων νοῦς ἐστὶ καὶ οὐ λόγος, καὶ ὁ μὲν κατὰ τὰς ἀποδείξεις τῶν ἀκινήτων ὅρων καὶ πρώτων, ὁ δ' ἐν ταῖς πρακτικαῖς τοῦ ἐσχάτου καὶ ἐνδεχομένȣ καὶ τῆς ἑτέρας προτάσεως· ἀρχαὶ γὰρ τοῦ οὗ ἕνεκα αὗται· ἐκ τῶν καθ' ἕκαςα γὰρ τὸ καθόλȣ. τȣ́των ȣ̓̃ν ἔχειν δεῖ αἴσθησιν, αὕτη δ' ἐςὶ νȣ̃ς. διὸ καὶ φυσικὰ δοκεῖ εἶναι ταῦτα, καὶ φύσει σοφὸς μὲν οὐδείς, γνώμην δ' ἔχειν καὶ σύνεσιν καὶ νοῦν. σημεῖον δ' ὅτι καὶ ταῖς ἡλικίαις οἰόμεθα ἀκολȣθεῖν, καὶ ἥδε ἡ ἡλικία νοῦν ἔχει καὶ γνώμην, ὡς τῆς φύσεως αἰτίας οὔσης. διὸ καὶ ἀρχὴ καὶ τέλος νοῦς· ἐκ τούτων γὰρ αἱ ἀποδείξεις καὶ περὶ τούτων. ὥστε δεῖ προσέχειν τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς ἀναποδείκτοις φάσεσι καὶ δόξαις οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα ὁρῶσιν ὀρθῶς. τί μὲν οὖν ἐστὶν ἡ φρόνησις καὶ ἡ σοφία, καὶ περὶ τίνα ἑκατέρα τυγχάνει οὖσα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἀρετὴ ἑκατέρα, εἴρηται.

Διαπορήσειε δ' ἄν τις περὶ αὐτῶν τί χρήσιμοί εἰσιν. 13
ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ἐξ ὧν ἔςαι εὐδαίμων ἄνθρωπος (οὐδεμιᾶς γάρ ἐςι γενέσεως), ἡ δὲ φρόνησις τȣ̃το μὲν ἔχει, ἀλλὰ τίνος ἕνεκα δεῖ αὐτῆς, εἴπερ ἡ μὲν φρόνησίς ἐστιν ἡ περὶ τὰ δίκαια καὶ καλὰ καὶ ἀγαθὰ ἀνθρώπῳ, ταῦτα δ' ἐςὶν ἃ τοῦ ἀγαθοῦ ἐςὶν ἀνδρὸς πράττειν, ȣ̓δὲν δὲ πρακτικώτεροι τῷ εἰδέναι αὐτά ἐσμεν, εἴπερ ἕξεις αἱ ἀρεταί εἰσιν, ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ ȣ̓δὲ τὰ εὐεκτικά, ὅσα μὴ τῷ ποιεῖν ἀλλὰ τῷ ἀπὸ τῆς ἕξεως εἶναι λέγεται· ȣ̓θὲν γὰρ πρακτικώτεροι τῷ ἔχειν τὴν ἰατρικὴν καὶ γυμναςικήν ἐσμεν. εἰ δὲ μὴ τȣ́των χάριν φρόνιμον θετέον ἀλλὰ τοῦ γίνεσθαι, τοῖς οὖσι σπȣδαίοις οὐθὲν ἂν εἴη χρήσιμος, ἔτι δ' οὐδὲ τοῖς μὴ ἔχȣσιν· οὐθὲν γὰρ διοίσει αὐτȣ̀ς ἔχειν ἢ ἄλλοις ἔχȣσι πείθεσθαι, ἱκανῶς τ' ἔχοι ἂν ἡμῖν ὥσπερ καὶ περὶ τὴν ὑγίειαν· βουλόμενοι γὰρ ὑγιαίνειν ὅμως οὐ μανθάνομεν ἰατρικήν. πρὸς δὲ τȣ́τοις ἄτοπον ἂν εἶναι δόξειεν, εἰ χείρων τῆς σοφίας οὖσα κυριωτέρα αὐτῆς ἔςαι· ἡ γὰρ ποιοῦσα ἄρχει καὶ ἐπιτάττει περὶ ἕκαςον. περὶ δὴ τούτων λεκτέον· νῦν μὲν γὰρ ἠπόρηται περὶ αὐτῶν μόνον.

3. ἐπιςημῶν κατὰ μέρος O^b. ‖ οἷον] οἷον ἡ K^bM^b, οἷον ἢ O^b. ‖ ὑγιεινῶν] ὑγιεινῶν γὰρ ἂν ἦν $L^bM^bO^b$. ‖ ἡ K^b. ‖ 4. μεγέθη K^bM^b O^b. ‖ γὰρ οὔτε M^b. ‖ καὶ ἀκινήτων om L^b. ‖ 5. ὁτωȣ̃ν L^bO^b. ‖ 8. τί — 9. ἐστίν om M^b. ‖ 9 et 10. ξύνεσις et εὐξυνεσία K^b. ‖ 10. συνετοί] γὰρ οἱ συνετοὶ L^b. συνετοὶ καὶ om K^b. ‖ 11. τῷ L^bM^b. ‖ 12. τῷ L^bM^b. ‖ ἡ om O^b. ‖ 19. συγγνώμονας K^bM^b. ‖ 23. ὀρθή om K^b. ‖ 27. ἤδη δὲ καὶ M^b. ‖ 29. ἕκαστα M^b. ‖ μὲν om M^b. ‖ 31. πάντων L^bO^b. ‖ 32. ἔςι] εἰ O^b. ‖ 33. ἅπαντα O^b, ἀπάντων K^bM^b. ‖ πρακτικά M^b. ‖ 36. ἀμφότερον L^bM^b.

1. καὶ ante ὁ om L^bO^b. ‖ ὁ] ὁ λόγος K^b. ‖ 3. ἐσχάτου] τρίτου K^b. ‖ 4. οὗ om K^b. ‖ 5. ȣ̓̃ν] δὲ M^b, om K^b. ‖ δεῖ ἔχειν M^b. ‖ 7. ἔχει M^bO^b. ‖ 10. αἱ om K^b. ‖ 14. ὀρθῶς] ἀρχάς K^bM^b. ‖ 15. τί K^bM^b. ‖ 18. ἀπορήσειε M^b. ‖ 19. θεωρήσει K^bM^b. ‖ 22. ἡ om L^b. ‖ 24. ȣ̓δὲ δὴ L^b. ‖ 26. μὴ ἐν τῷ M^b. ‖ 27. τὸ K^b. ‖ καὶ] ἢ O^b. καὶ γυμναςικὴν om M^b. ‖ 28. ῥητέον K^bM^b. ‖ 29. γενέσθαι M^b. ‖ χρήσιμον K^bL^b. ‖ 30. αὐτοῖς K^bM^b. ‖ 32. ὅμως om M^b. ‖ 35. ἡ] οὐ M^b. ‖ 36. μὲν om M^b.

πρῶτον μὲν ὖν λέγομεν ὅτι καθ' αὑτὰς ἀναγκαῖον αἱρετὰς αὐτὰς εἶναι, ἀρετάς γ' ὔσας ἑκατέραν ἑκατέρυ τῦ μορίυ, καὶ εἰ μὴ ποιοῦσι μηδὲν μηδετέρα αὐτῶν. ἔπειτα καὶ ποιῦσι μέν, οὐχ ὡς ἰατρικὴ δὲ ὑγίειαν, ἀλλ' ὡς ἡ ὑγίεια, ὕτως ἡ σοφία εὐδαιμονίαν· μέρος γὰρ οὖσα τῆς ὅλης ἀρετῆς τῷ ἔχεσθαι ποιεῖ καὶ τῷ ἐνεργεῖν εὐδαίμονα. ἔτι τὸ ἔργον ἀποτελεῖται κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν· ἡ μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ ὀρθόν, ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον. τοῦ δὲ τετάρτυ μορίυ τῆς ψυχῆς οὐκ ἔστιν ἀρετὴ τοιαύτη, τοῦ θρεπτικοῦ· οὐθὲν γὰρ ἐπ' αὐτῷ πράττειν ἢ μὴ πράττειν. περὶ δὲ τοῦ μηθὲν εἶναι πρακτικωτέρυς διὰ τὴν φρόνησιν τῶν καλῶν καὶ δικαίων, μικρὸν ἄνωθεν ἀρκτέον, λαβόντας ἀρχὴν ταύτην. ὥσπερ γὰρ καὶ τὰ δίκαια λέγομεν πράττοντάς τινας οὔπω δικαίυς εἶναι, οἷον τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα ποιοῦντας ἢ ἄκοντας ἢ δι' ἄγνοιαν ἢ δι' ἕτερόν τι καὶ μὴ δι' αὐτά (καίτοι πράττουσί γε ἃ δεῖ καὶ ὅσα χρὴ τὸν σπουδαῖον), οὕτως, ὡς ἔοικεν, ἐςι τὸ πῶς ἔχοντα πράττειν ἕκαςα ὥς' εἶναι ἀγαθόν, λέγω δ' οἷον διὰ προαίρεσιν καὶ αὐτῶν ἕνεκα τῶν πραττομένων. τὴν μὲν οὖν προαίρεσιν ὀρθὴν ποιεῖ ἡ ἀρετή, τὸ δ' ὅσα ἐκείνης ἕνεκα πέφυκε πράττεσθαι οὐκ ἔστι τῆς ἀρετῆς ἀλλ' ἑτέρας δυνάμεως. λεκτέον δ' ἐπιςήσασι σαφέςερον περὶ αὐτῶν. ἔςι δή τις δύναμις ἣν καλοῦσι δεινότητα· αὕτη δ' ἐςὶ τοιαύτη ὥςε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν. ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλός, ἐπαινετή ἐςιν, ἂν δὲ φαῦλος, πανυργία· διὸ καὶ τοὺς φρονίμυς δεινοὺς καὶ πανούργυς φαμὲν εἶναι. ἔςι δ' ἡ φρόνησις ὐχ ἡ δεινότης, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης. ἡ δ' ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῆς ψυχῆς οὐκ ἄνευ ἀρετῆς, ὡς εἴρηταί τε καὶ ἔςι δῆλον· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν, ἐπειδὴ τοιόνδε τὸ τέλος καὶ τὸ ἄριστον, ὁτιδήποτε ὄν· ἔστω γὰρ λόγου χάριν τὸ τυχόν. τοῦτο δ' εἰ μὴ τῷ ἀγαθῷ, οὐ φαίνεται· διαςρέφει γὰρ ἡ μοχθηρία καὶ διαψεύδεσθαι ποιεῖ περὶ τὰς πρακτικὰς ἀρχάς. ὥςε φανερὸν ὅτι ἀδύνατον φρόνιμον εἶναι μὴ ὄντα ἀγαθόν. σκεπτέον δὴ πάλιν καὶ περὶ ἀρετῆς· καὶ γὰρ ἡ ἀρετὴ παραπλησίως ἔχει ὡς ἡ φρόνησις πρὸς τὴν δεινότητα· οὐ ταὐτὸν μέν, ὅμοιον δέ· ὕτω καὶ ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν. πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθῶν ὑπάρχειν φύσει πως· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι καὶ τἆλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι τὸ κυρίως ἀγαθὸν καὶ τὰ τοιαῦτα ἄλλον τρόπον ὑπάρχειν· καὶ γὰρ παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις, ἀλλ' ἄνευ νοῦ βλαβεραὶ φαίνονται οὖσαι. πλὴν τοσοῦτον ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ σώματι ἰσχυρῷ ἄνευ ὄψεως κινυμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς διὰ τὸ μὴ ἔχειν ὄψιν, οὕτω καὶ ἐνταῦθα· ἐὰν δὲ λάβῃ νοῦν, ἐν τῷ πράττειν διαφέρει. ἡ δ' ἕξις ὁμοία οὖσα τότ' ἔςαι κυρίως ἀρετή. ὥςε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ δύο ἐςὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτω καὶ ἐπὶ τοῦ ἠθικοῦ δύο ἐστί, τὸ μὲν ἀρετὴ φυσικὴ τὸ δ' ἡ κυρία, καὶ τούτων ἡ κυρία οὐ γίνεται ἄνευ φρονήσεως. διόπερ τινές φασι πάσας τὰς ἀρετὰς φρονήσεις εἶναι, καὶ Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει τῇ δ' ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετάς, ἡμάρτανεν, ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγεν. σημεῖον δέ· καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετήν, προςιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἅ ἐστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν. ἐοίκασι δὴ μαντεύεσθαί πως ἅπαντες ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐςιν ἡ κατὰ τὴν φρόνησιν. δεῖ δὲ μικρὸν μεταβῆναι· ὐ γὰρ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγυ ἕξις ἀρετή ἐςιν. ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων ἡ φρόνησίς ἐστιν. Σωκράτης μὲν ὖν λόγυς τὰς ἀρετὰς ᾤετο εἶναι (ἐπιςήμας γὰρ εἶναι πάσας), ἡμεῖς δὲ μετὰ λόγυ. δῆλον ὖν ἐκ τῶν εἰρημένων ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως, οὐδὲ φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς. ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἂν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέςατος πρὸς ἁπάσας, ὥςε τὴν μὲν ἤδη τὴν δ' οὔπω εἰληφὼς ἔςαι· τοῦτο γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, καθ' ἃς

1. λέγωμεν K^b. ‖ 2. γ'] τε O^b. ‖ ἑκατέρας K^b. ‖ τῦ om L^bO^b. ‖ 3. καὶ ποιουσῶν K^b. ‖ 4. ὡς] ὡς ἡ K^b. ‖ ἡ om M^b. ‖ 6. τῷ ἐνεργεῖν] ἐνεργεία K^b, ἐνεργεῖ O^b. ‖ εὐδαιμονία K^b, εὐδαιμονίαν L^bO^b, τὸν εὐδαίμονα M^b. ‖ 10. οὐδὲ L^b. ‖ ἐφ' ἑαυτῷ L^bO^b, ἐπ' αὐτῷ γε L^b. ‖ 14. λέγομεν om L^bO^b. ‖ οἷον] ἢ K^b, nec pluribus litteris locus. ‖ 15. προστεταγμένα M^b. ‖ 18. ἔςι — 19. ἀγαθόν om K^b. ‖ 19. διὰ τὴν προαίρεσιν M^b. ‖ 20. τὴν μὲν οὖν] καὶ τὴν μὲν M^b. ‖ 21. πράττεσθαι πέφυκε L^b. ‖ 23. δ' ἡ M^b. ‖ τις om M^b. ‖ 26. οὖν σκοπός ἐστι καλός M^b. ‖ 27. ἐὰν K^b. ‖ 28. δεινότης] δύναμις $K^bL^bO^b$. ‖ 30. ἄνευ] ἄνευ γὰρ M^b. ‖ 31. τε om M^b.

1. καὶ om O^b, καὶ περὶ om L^b. ‖ καὶ γὰρ ἡ ἀρετὴ παραπλησίως] παραπλησίως γὰρ L^bO^b. ‖ 3. καὶ om O^b. ‖ 4. ἀγαθῶν M^b. ‖ 5. καὶ ante γὰρ om M^b. ‖ 12. δὲ om K^b. ‖ 13. διαφέρει om M^b. ‖ ἔςι M^b. ‖ 16. ἠθικὴ K^b. ‖ 20. εἶναι om L^b. ‖ 21. καὶ γὰρ καὶ πάντες L^b. ‖ 23. τὴν om M^b. ‖ δ'] γὰρ M^b. ‖ 24. τὴν om O^b. ‖ δὲ M^b. ‖ 25. ἀρίστη M^b. ‖ 26. ὐ γὰρ] ἔςι γὰρ ὐ M^bO^b. ‖ 27. ἐςιν om M^bO^b. ‖ 29. γὰρ εἶναι] γὰρ ᾤετο O^b. ‖ 31. κυρίως et 33. ταύτῃ om M^b. ‖ 36. γὰρ] δὲ M^b.

λῶς λέγεται ἀγαθός, οὐκ ἐνδέχεται· ἅμα γὰρ τῇ σει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσιν. δῆλον δέ, κἂν εἰ ρακτικὴ ἦν, ὅτι ἔδει ἂν αὐτῆς διὰ τὸ τοῦ μορίου εἶναι, καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ σεως οὐδ' ἄνευ ἀρετῆς· ἡ μὲν γὰρ τὸ τέλος, ἡ δὲ ὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐδὲ κυρία ἱ τῆς σοφίας οὐδὲ τοῦ βελτίονος μορίυ, ὥσπερ οὐδὲ γιείας ἡ ἰατρική· οὐ γὰρ χρῆται αὐτῇ, ἀλλ' ὁρᾷ γένηται· ἐκείνης ὖν ἕνεκα ἐπιτάττει, ἀλλ' ὐκ ἐκείνῃ. ιοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἄρχειν τῶν θεῶν, ιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει.

Η.

Μετὰ δὲ ταῦτα λεκτέον, ἄλλην ποιησαμένυς ἀρχήν, ὶν περὶ τὰ ἤθη φευκτῶν τρία ἐςὶν εἴδη, κακία ἀκρα- ηριότης. τὰ δ' ἐναντία τοῖς μὲν δυσὶ δῆλα· τὸ μὲν ρετὴν τὸ δ' ἐγκράτειαν καλῦμεν· πρὸς δὲ τὴν θηριό- μάλιστ' ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ ἡμᾶς ἀρετήν, ὶν τινα καὶ θείαν, ὥσπερ Ὅμηρος περὶ Ἕκτορος πε- λέγοντα τὸν Πρίαμον ὅτι σφόδρα ἦν ἀγαθός, "ὐδὲ ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι ἀλλὰ θεοῖο." ὥστ' θάπερ φασίν, ἐξ ἀνθρώπων γίνονται θεοὶ δι' ἀρετῆς ολήν, τοιαύτη τις ἂν εἴη δῆλον ὅτι ἡ τῇ θηριώδει θεμένη ἕξις· καὶ γὰρ ὥσπερ οὐδὲ θηρίου ἐστὶ κακία ετή, ὕτως ὐδὲ θεῦ, ἀλλ' ἡ μὲν τιμιώτερον ἀρετῆς, ἡ ρόν τι γένος κακίας. ἐπεὶ δὲ σπάνιον καὶ τὸ θεῖον εἶναι, καθάπερ οἱ Λάκωνες εἰώθασι προσαγορεύειν, ἀγασθῶσι σφόδρα τυ (σεῖος ἀνήρ φασιν), ὕτω καὶ ὁ ης ἐν τοῖς ἀνθρώποις σπάνιος. μάλιστα δ' ἐν τοῖς ίροις ἐςίν, γίνεται δ' ἔνια καὶ διὰ νόσυς καὶ πηρώ- καὶ τὺς διὰ κακίαν δὲ τῶν ἀνθρώπων ὑπερβάλλον- ὕτως ἐπιδυσφημῦμεν. ἀλλὰ περὶ μὲν τῆς τοιαύτης εως ὕστερον ποιητέον τινὰ μνείαν, περὶ δὲ κακίας πρότερον· περὶ δὲ ἀκρασίας καὶ μαλακίας καὶ τρυ- εκτέον, καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· ὔτε γὰρ ὡς περὶ τῶν αὐτῶν ἕξεων τῇ ἀρετῇ καὶ τῇ μοχθηρίᾳ ἑκατέραν αὐτῶν ὑποληπτέον, οὔθ' ὡς ἕτερον γένος. δεῖ δ', ὥσπερ ἐπὶ τῶν ἄλλων, τιθέντας τὰ φαινόμενα καὶ πρῶτον διαπορήσαντας οὕτω δεικνύναι μάλιςα μὲν πάντα τὰ ἔνδοξα περὶ ταῦτα τὰ πάθη, εἰ δὲ μή, τὰ πλεῖστα καὶ κυριώτατα· ἐὰν γὰρ λύηταί τε τὰ δυσχερῆ καὶ καταλείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς.

Δοκεῖ δὴ ἥ τε ἐγκράτεια καὶ καρτερία τῶν σπυδαίων 2
καὶ τῶν ἐπαινετῶν εἶναι, ἡ δ' ἀκρασία τε καὶ μαλακία τῶν φαύλων τε καὶ ψεκτῶν, καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ ἐμμενετικὸς τῷ λογισμῷ καὶ ἀκρατὴς καὶ ἐκςατικὸς τῦ λογισμῦ. καὶ ὁ μὲν ἀκρατὴς εἰδὼς ὅτι φαῦλα πράττει διὰ πάθος, ὁ δ' ἐγκρατὴς εἰδὼς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι οὐκ ἀκολυθεῖ διὰ τὸν λόγον. καὶ τὸν σώφρονα μὲν ἐγκρατῆ καὶ καρτερικόν, τὸν δὲ τοιῦτον οἱ μὲν πάντα σώφρονα οἱ δ' ὔ, καὶ τὸν ἀκόλαςον ἀκρατῆ καὶ τὸν ἀκρατῆ ἀκόλαςον συγκεχυμένως, οἱ δ' ἑτέρυς εἶναί φασιν. τὸν δὲ φρόνιμον ὁτὲ μὲν ὔ φασιν ἐνδέχεσθαι εἶναι ἀκρατῆ, ὁτὲ δ' ἐνίυς φρονίμυς ὄντας καὶ δεινὺς ἀκρατεῖς εἶναι. ἔτι ἀκρατεῖς λέγονται καὶ θυμῦ καὶ τιμῆς καὶ κέρδυς. τὰ μὲν ὖν λεγόμενα ταῦτ' ἐςίν.

Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρα- 3
τεύεταί τις. ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὸν ὥσπερ ἀνδράποδον. Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς ὐκ ὔσης ἀκρασίας· ὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιςον, ἀλλὰ δι' ἄγνοιαν. ὗτος μὲν ὖν ὁ λόγος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς, καὶ δέον ζητεῖν περὶ τὸ πάθος, εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας. ὅτι γὰρ οὐκ οἴεταί γε ὁ ἀκρατευόμενος πρὶν ἐν τῷ πάθει γενέσθαι, φανερόν. εἰσὶ δέ τινες οἳ τὰ μὲν συγχωροῦσι τὰ δ' ὔ· τὸ μὲν γὰρ ἐπιςήμης μηθὲν εἶναι κρεῖττον ὁμολογοῦσι, τὸ δὲ μηθένα πράττειν παρὰ τὸ δόξαν βέλτιον οὐχ ὁμολογῦσι, καὶ διὰ τῦτο τὸν ἀκρατῆ φασὶν ὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν ἀλλὰ δόξαν. ἀλλὰ μὴν εἴγε δόξα καὶ μὴ ἐπιςήμη, μηδ' ἰσχυρὰ ὑπό-

ὑπαρχούσῃ K^bM^b. ‖ ἅπασαι O^b. ‖ ὑπάρχουσι L^bO^b. ‖ καὶ O^b. ‖ 3. πρακτική, omisso ἦν, K^b. ‖ ἂν om K^bM^b. ‖ τοῦ om 6. τὰ om K^b. ‖ 7. γε om M^b. ‖ 8. ἡ om K^bM^b. ‖ 9. ἐκείνη K^b. ‖ ὖν] ὗ M^bN^b. ‖ 11. περὶ om M^b. ‖ post πόλει M^b οὕτω ταῦτα. ‖ 15. μετὰ — ἀρχήν] haec sexto libro dat K^b. ‖ δὲ om K^b. ‖ ῥητέον M^b. ‖ 19. ἂν] ἄν τις L^b. ‖ 20. θείαν] ^{b}. ‖ 21. ὐδὲ] ὐ γὰρ M^b, ὐδὲ γὰρ L^bO^b. ‖ 22. παῖς K^b. ‖ 23. θεῖοι L^bM^b. ‖ 24. θηριωδία K^bL^b. ‖ 26. τιμιωτέρα L^bM^b. ‖ om L^b. ‖ 29. ἀγαπῶσι M^b. ‖ θεῖος L^bM^b. ‖ 30. σπανίως M^b. ‖ 32. δι' ἀκακίαν M^b. ‖ 33. δυσφημῦμεν L^b. ‖ τῆς διαθέσεως αὐτῆς K^bM^b.

τε om L^bO^b. ‖ καταλίπηται K^b. ‖ 8. δ' ἡ ἐγκράτεια K^bM^b. ‖ 9. τῶν om L^bO^b. ‖ 10. τε om K^bM^b. ‖ ὁ om K^b. ‖ 14. M^b, πάντως corr L^b. ‖ 16. οἱ] ὁτὲ L^bO^b. ‖ ἑτέρως M^b. ‖ 17. τοτὲ L^bO^b. ‖ 18. ἔτι ἀκρατεῖς om L^b. ‖ 22. μὲν om K^b τε] τε τινα O^b. ‖ 24. αὐτὴν K^b. ‖ 29. τοῦ πάθους M^b. ‖ ὁ om K^b. ‖ 30. οἴεται ὁ ἐγκρατευόμενος M^b. ‖ 31. δὴ K^bO^b.

ληψις ἡ ἀντιτείνουσα ἀλλ' ἠρεμαία, καθάπερ ἐν τοῖς διςάζουσι, συγγνώμη τῷ μὴ μένειν ἐν αὐταῖς πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη, οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν ψεκτῶν. φρονήσεως ἄρα ἀντιτεινούσης· αὕτη γὰρ ἰσχυρότατον. ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς ἅμα φρόνιμος καὶ ἀκρατής, φήσειε δ' ὐδ' ἂν εἷς φρονίμυ εἶναι τὸ πράττειν ἑκόντα τὰ φαυλότατα. πρὸς δὲ τύτοις δέδεικται πρότερον ὅτι πρακτικός γε ὁ φρόνιμος· τῶν γὰρ ἐσχάτων τις καὶ τὰς ἄλλας ἔχων ἀρετάς. ἔτι εἰ μὲν ἐν τῷ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας ὁ ἐγκρατής, ὐκ ἔσται ὁ σώφρων ἐγκρατὴς οὐδ' ὁ ἐγκρατὴς σώφρων· οὔτε γὰρ τὸ ἄγαν σώφρονος ὔτε τὸ φαύλας ἔχειν. ἀλλὰ μὴν δεῖ γε· εἰ μὲν γὰρ χρησταὶ αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα ἕξις μὴ ἀκολουθεῖν, ὥσθ' ἡ ἐγκράτεια οὐ πᾶσα σπυδαία· εἰ δ' ἀσθενεῖς καὶ μὴ φαῦλαι, ὐθὲν σεμνόν, ὐδ' εἰ φαῦλαι καὶ ἀσθενεῖς, οὐθὲν μέγα. ἔτι εἰ πάσῃ δόξῃ ἐμμενετικὸν ποιεῖ ἡ ἐγκράτεια, φαύλη, οἷον εἰ καὶ τῇ ψευδεῖ· καὶ εἰ πάσης δόξης ἡ ἀκρασία ἐκστατικόν, ἔσται τις σπουδαία ἀκρασία, οἷον ὁ Σοφοκλέυς Νεοπτόλεμος ἐν τῷ Φιλοκτήτῃ· ἐπαινετὸς γὰρ ὐκ ἐμμένων οἷς ἐπείσθη ὑπὸ τῦ Ὀδυσσέως διὰ τὸ λυπεῖσθαι ψευδόμενος. ἔτι ὁ σοφιστικὸς λόγος ψευδόμενος ἀπορία· διὰ γὰρ τὸ παράδοξα βούλεσθαι ἐλέγχειν, ἵνα δεινοὶ ὦσιν ὅταν ἐπιτύχωσιν, ὁ γενόμενος συλλογισμὸς ἀπορία γίνεται· δέδεται γὰρ ἡ διάνοια, ὅταν μένειν μὲν μὴ βύληται διὰ τὸ μὴ ἀρέσκειν τὸ συμπερανθέν, προϊέναι δὲ μὴ δυνήται διὰ τὸ λῦσαι μὴ ἔχειν τὸν λόγον. συμβαίνει δ' ἔκ τινος λόγυ ἡ ἀφροσύνη μετὰ ἀκρασίας ἀρετή· τἀναντία γὰρ πράττει ὧν ὑπολαμβάνει διὰ τὴν ἀκρασίαν, ὑπολαμβάνει δὲ τἀγαθὰ κακὰ εἶναι καὶ ὐ δεῖν πράττειν, ὥςε τἀγαθὰ καὶ οὐ τὰ κακὰ πράξει. ἔτι ὁ τῷ πεπεῖσθαι πράττων καὶ διώκων τὰ ἡδέα καὶ προαιρύμενος βελτίων ἂν δόξειεν τῦ μὴ διὰ λογισμὸν ἀλλὰ δι' ἀκρασίαν· εὐϊατότερος γὰρ διὰ τὸ μεταπεισθῆναι ἄν. ὁ δ' ἀκρατὴς ἔνοχος τῇ παροιμίᾳ ἐν ᾗ φαμὲν "ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν;" εἰ μὲν γὰρ

μὴ ἐπέπειστο ἃ πράττει, μεταπεισθεὶς ἂν ἐπαύσατ δὲ πεπεισμένος οὐδὲν ἧττον ἄλλα πράττει. ἔτι πάντα ἀκρασία ἐςὶ καὶ ἐγκράτεια, τίς ὁ ἁπλῶς ἀ ὐθεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας, φαμὲν δ' ει νας ἁπλῶς.

Αἱ μὲν ὖν ἀπορίαι τοιαῦταί τινες συμβαίνυσιν, δὲ τὰ μὲν ἀνελεῖν δεῖ τὰ δὲ καταλιπεῖν· ἡ γὰ τῆς ἀπορίας εὕρεσίς ἐςιν. πρῶτον μὲν ὖν σκεπτέον εἰδότες ἢ οὔ, καὶ πῶς εἰδότες, εἶτα περὶ ποῖα τὸν καὶ τὸν ἐγκρατῆ θετέον, λέγω δὲ πότερον περὶ ἡδονὴν καὶ λύπην ἢ περί τινας ἀφωρισμένας, κ ἐγκρατῆ καὶ τὸν καρτερικόν, πότερον ὁ αὐτὸς ἢ ἐστιν· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συγγ θεωρίας ἐστὶ ταύτης. ἔστι δ' ἀρχὴ τῆς σκέψεως, ὁ ἐγκρατὴς καὶ ὁ ἀκρατής εἰσι τῷ περὶ ἃ ἢ τ ἔχοντες τὴν διαφοράν, λέγω δὲ πότερον τῷ περὶ τα μόνον ἀκρατὴς ὁ ἀκρατής, ἢ οὔ ἀλλὰ τῷ ὥς, ἢ ἐξ ἀμφοῖν· ἔπειτ' εἰ περὶ πάντ' ἐστὶν ἡ ἀκρασία ἐγκράτεια ἢ ὔ· οὔτε γὰρ περὶ πάντ' ἐςὶν ὁ ἁπλῶς τής, ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλαςος, οὔτε τῷ πρὸς ἁπλῶς ἔχειν (ταὐτὸν γὰρ ἂν ἦν τῇ ἀκολασίᾳ), ἀλ ὡδὶ ἔχειν. ὁ μὲν γὰρ ἄγεται προαιρούμενος, νομίζ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁ δ' οὐκ οἴεται μέν, δέ. περὶ μὲν οὖν τοῦ δόξαν ἀληθῆ ἀλλὰ μὴ επισ εἶναι παρ' ἣν ἀκρατεύονται, οὐθὲν διαφέρει πρὸς τ γον· ἔνιοι γὰρ τῶν δοξαζόντων οὐ διςάζυσιν, ἀλλ' ἀκριβῶς εἰδέναι. εἰ ὖν διὰ τὸ ἠρέμα πιςεύειν οἱ δο τες μᾶλλον τῶν ἐπιςαμένων παρὰ τὴν ὑπόληψιν σιν, οὐθὲν διοίσει ἐπιςήμη δόξης· ἔνιοι γὰρ πιςεύυ ἧττον οἷς δοξάζυσιν ἢ ἕτεροι οἷς ἐπίςανται· δηλοῖ δ' κλειτος. ἀλλ' ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίςασθαι (κ ὁ ἔχων μὲν ὐ χρώμενος δὲ τῇ ἐπιστήμῃ καὶ ὁ χρ λέγεται ἐπίςασθαι), διοίσει τὸ ἔχοντα μὲν μὴ θεω δὲ ἃ μὴ δεῖ πράττειν τοῦ ἔχοντα καὶ θεωροῦντα· γὰρ δοκεῖ δεινόν, ἀλλ' οὐκ εἰ μὴ θεωρῶν. ἔτι ἐπ

1. ἠρεμία K^b. ‖ 2. τὸ K^b. ‖ 5. ἰσχυροτάτη M^b. ‖ 6. φησὶ pr K^b. ‖ ἂν ὐδ' $L^bM^bO^b$. ‖ 8. τε M^b. ‖ τῶν ἐσχάτων γὰρ L 11. ἔστω L^bO^b. ‖ ὁ post ἔσται om K^b. ‖ 14. μὴ om L^bO^b. ‖ πᾶσα οὐ O^b. ‖ 15. σπυδαῖον K^b. ‖ ἀγενεῖς M^b. ‖ M^b. ‖ 18. ἐκστατική M^b. ‖ ἔσται τις om M^b. ‖ 24. δέδεκται γὰρ καὶ διάνοια M^b. ‖ 25. μὲν om $K^bL^bM^b$. ‖ 26. συμ L^b. ‖ 29. δὲ] γὰρ M^b. ‖ 30. κακὰ] καὶ κακὰ K^b. ‖ 32. ἂν om M^b et pr K^b. ‖ 33. δι'] διὰ τὴν M^b. ‖ 35. πνίγει M^b. πίνειν L^b.

1. μὴ om K^bM^b. ‖ νυνὶ L^b. ‖ 3. ἅπαντα L^bO^b. ‖ ἀκρατής ἐστιν; οὐθεὶς O^b. ‖ 4. πάσας L^bO^b. ‖ 9. ἐγκρατῆ καὶ τὸν L^b. ‖ 10. πότερον om L^b. ‖ 13. συγγενῆ om L^b. ‖ 14. δ'] δ' ἡ L^bO^b. ‖ 15. ὁ post καὶ om L^bO^b. ‖ τῶν περὶ K^b. ‖ 16. λέγ γοντες K^b. ‖ ταδὶ] ἃ δεῖ K^b. ‖ 17. ἢ ὐ ἀλλ' ἐξ ἀμφοῖν om L^bO^b. ‖ 18. ἡ om K^bL^b. ‖ ἡ om K^b. ‖ 19. post ὔ L^bO^b ἀλλ' ἐ φοῖν. ‖ ἅπαντ' K^bM^b. ‖ 20. τὸ M^b. ‖ 21. ἂν om L^bO^b. ‖ 22. ὧδε K^b. ‖ 27. εἰδέναι] εἶναι O^b. ‖ δόξαντες L^b. ‖ 29. ἐνιοί τε γ O^b. ‖ 34. post δὲ $K^bL^bO^b$ καὶ τὸ θεωροῦντα. ‖ ἔχοντος καὶ θεωροῦντος L^b. ‖ 35. ἔτι δ' ἐπεὶ L^b.

ν προτάσεων, ἔχοντα μὲν ἀμφοτέρας οὐθὲν κω- ττειν παρὰ τὴν ἐπιστήμην, χρώμενον μέντοι τῇ λλὰ μὴ τῇ κατὰ μέρος· πρακτὰ γὰρ τὰ καθ' ιαφέρει δὲ καὶ τὸ καθόλυ· τὸ μὲν γὰρ ἐφ' ἑαυτῦ τοῦ πράγματός ἐστιν, οἷον ὅτι παντὶ ἀνθρώπῳ τὰ ξηρά, καὶ ὅτι οὗτος ἄνθρωπος ἢ ὅτι ξηρὸν ι· ἀλλ' εἰ τόδε τοιόνδε, ἢ ὐκ ἔχει ἢ ὐκ ἐνεργεῖ. δὴ τύτυς διοίσει τὺς τρόπυς ἀμήχανον ὅσον, ὥςε τω μὲν εἰδέναι μηθὲν ἄτοπον, ἄλλως δὲ θαυμα- τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ ἔχειν μὲν θαι δὲ διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν, ὥστε καὶ ς καὶ μὴ ἔχειν, οἷον τὸν καθεύδοντα καὶ μαινό- ι οἰνωμένον. ἀλλὰ μὴν οὕτω διατίθενται οἱ ἐν σιν ὄντες· θυμοὶ γὰρ καὶ ἐπιθυμίαι ἀφροδισίων τῶν τοιούτων ἐπιδήλως καὶ τὸ σῶμα μεθιςᾶσιν, καὶ μανίας ποιοῦσιν. δῆλον ὖν ὅτι ὁμοίως ἔχειν ὺς ἀκρατεῖς τύτοις. τὸ δὲ λέγειν τὺς λόγυς τοὺς ἐπιςήμης ὐδὲν σημεῖον· καὶ γὰρ οἱ ἐν τοῖς πά- ς ὄντες ἀποδείξεις καὶ ἔπη λέγυσιν Ἐμπεδοκλέυς, ῶτον μαθόντες συνείρυσι μὲν τοὺς λόγους, ἴσασι δεῖ γὰρ συμφῦναι, τύτῳ δὲ χρόνυ δεῖ· ὥςε κα- ; ὑποκρινομένυς, ὕτως ὑποληπτέον λέγειν καὶ τὺς μένους. ἔτι καὶ ὧδε φυσικῶς ἄν τις ἐπιβλέψειε ν. ἡ μὲν γὰρ καθόλυ δόξα, ἡ δ' ἑτέρα περὶ τῶν ςά ἐστιν, ὧν αἴσθησις ἤδη κυρία· ὅταν δὲ μία ξ αὐτῶν, ἀνάγκη τὸ συμπερανθὲν ἔνθα μὲν φά- ψυχήν, ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθύς, παντὸς γλυκέος γεύεσθαι δεῖ, τυτὶ δὲ γλυκὺ ὡς καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον καὶ μὴ ον ἅμα τῦτο καὶ πράττειν. ὅταν ὖν ἡ μὲν κα- ἡ κωλύουσα γεύεσθαι, ἡ δέ, ὅτι πᾶν τὸ γλυκὺ δὲ γλυκύ (αὕτη δὲ ἐνεργεῖ), τύχῃ δ' ἐπιθυμία ἡ μὲν λέγει φεύγειν τοῦτο, ἡ δ' ἐπιθυμία ἄγει· ο ἕκαστον δύναται τῶν μορίων· ὥστε συμβαίνει ὑπὸ λόγυ πως καὶ δόξης ἀκρατεύεσθαι, οὐκ ἐναντίας δὲ καθ' αὐτήν, ἀλλὰ κατὰ συμβεβηκός. ἡ γὰρ ἐπιθυμία ἐναντία, ἀλλ' ὐχ ἡ δόξα, τῷ ὀρθῷ λόγῳ· ὥςε καὶ διὰ τῦτο τὰ θηρία ὐκ ἀκρατῆ, ὅτι ὐκ ἔχει τῶν καθόλυ ὑπόληψιν, ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. πῶς δὲ λύεται ἡ ἄγνοια καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατής, ὁ αὐτὸς λόγος καὶ περὶ οἰνωμένυ καὶ καθεύδοντος καὶ οὐκ ἴδιος τούτυ τοῦ πάθυς, ὃν δεῖ παρὰ τῶν φυσιολόγων ἀκούειν. ἐπεὶ δ' ἡ τελευταία πρότασις δόξα τε αἰσθητοῦ καὶ κυρία τῶν πράξεων, ταύτην ἢ οὐκ ἔχει ὁ ἐν τῷ πάθει ὤν, ἢ οὕτως ἔχει ὡς οὐκ ἦν τὸ ἔχειν ἐπίςασθαι ἀλλὰ λέγειν ὥσπερ ὁ οἰνωμένος τὰ Ἐμπεδοκλέυς, καὶ διὰ τὸ μὴ καθόλυ μηδ' ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τῷ καθόλυ τὸν ἔσχατον ὅρον. καὶ ἔοικεν ὃ ἐζήτει Σωκράτης συμβαίνειν· ὐ γὰρ τῆς κυρίως ἐπιςήμης εἶναι δοκούσης παρύσης γίνεται τὸ πάθος, ὐδ' αὕτη περιέλκεται διὰ τὸ πάθος, ἀλλὰ τῆς αἰσθητικῆς. περὶ μὲν ὖν τῦ εἰδότα καὶ μή, καὶ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω.

Πότερον δ' ἐστί τις ἁπλῶς ἀκρατὴς ἢ πάντες κατὰ 6
μέρος, καὶ εἰ ἔςι, περὶ ποῖά ἐςι, λεκτέον ἐφεξῆς. ὅτι μὲν ὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν οἵ τ' ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ οἱ ἀκρατεῖς καὶ μαλακοί, φανερόν. ἐπεὶ δ' ἐςὶ τὰ μὲν ἀναγκαῖα τῶν ποιύντων ἡδονήν, τὰ δ' αἱρετὰ μὲν καθ' αὑτὰ ἔχοντα δ' ὑπερβολήν, ἀναγκαῖα μὲν τὰ σωματικά. λέγω δὲ τὰ τοιαῦτα, τά τε περὶ τὴν τροφὴν καὶ τὴν τῶν ἀφροδισίων χρείαν, καὶ τὰ τοιαῦτα τῶν σωματικῶν περὶ ἃ τὴν ἀκολασίαν ἔθεμεν καὶ τὴν σωφροσύνην. τὰ δ' ἀναγκαῖα μὲν ὔ, αἱρετὰ δὲ καθ' αὑτά. λέγω δ' οἷον νίκην τιμὴν πλῦτον καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν καὶ ἡδέων. τοὺς μὲν οὖν πρὸς ταῦτα παρὰ τὸν ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν ἐν αὑτοῖς ἁπλῶς μὲν ὐ λέγομεν ἀκρατεῖς, προστιθέντες δὲ τὸ χρημάτων ἀκρατεῖς καὶ κέρδους καὶ τιμῆς καὶ θυμῦ, ἁπλῶς δ' ὒ ὡς ἑτέρυς καὶ καθ' ὁμοιότητα λεγομένυς, ὥσπερ ἄνθρωπος ὁ τὰ Ὀλύμπια νενικη-

ρὶ M^b. ‖ 6. οὗτος] ὁ αὐτὸς K^bM^b, αὐτὸς οὗτος L^bO^b. ‖ 7. ἢ post τοιόνδε om K^bM^b. ‖ 9. εἶναι L^bO^b. ‖ 10. τὴν om λων τρόπων L^b. ‖ 14. μὲν O^b. ‖ οἵ γε ἐν L^bO^b. ‖ 16. μεθιςῶσιν M^b. ‖ 19. post σημεῖον L^bO^b τοῦ ἐνεργεῖν κατὰ τὴν ἐπιςή- . οἱ] τὸ O^b. ‖ πρῶτοι μαθόντες συνεργῦσι K^bM^b. ‖ ἴασι L^b. ‖ 22. συμφυῆναι K^b. ‖ τῦτο K^bM^b. ‖ 26. ὅτε L^b. ‖ 27. ἀνάγκη M^b. ‖ συμπερανθὲν L^b. ‖ 30. ἔν τι τῶν] τὸν pr K^b. ‖ 31. τύτω O^b. ‖ 32. ἐνῇ ἡ κωλύυσα M^bO^b. ‖ δὲ om L^b et τὸ om K^bM^b. ‖ 33. τύχῃ] αὕτη M^b. ‖ 34. μὲν οὖν λέγει K^bM^b. ‖ 35. δύναται om M^b.

ρατεῦσθαι M^b. ‖ 2. αὐτάς M^b. ‖ 3. ἐναντία] ἐναντία δόξα M^b. ‖ 4. τῶν om K^bM^b. ‖ 6. ἡ ἄγνοια om pr K^b. ‖ 7. καὶ ὶ K^b, ὁ καὶ περὶ M^b. ‖ 9. δ' ἡ] δὴ K^b. ‖ 10. αἰσθητῆς M^b. ‖ ὁ om $K^bL^bM^b$. ‖ 11. ἦν τῷ L^bO^b, ἐν τῷ M^b. ‖ 13. καὶ ‖ 14. τῶν K^b. ‖ τὸν ὅρον τὸν ἔσχατον M^b. ‖ 16. παρυσίας O^b. ‖ αὐτὴ L^bO^b. ‖ 17. ὖν om L^b. ‖ 18. ἐνδέχεται εἰδότα L^b . ποῖόν L^b. ‖ 22. καὶ οἱ καρτερικοὶ L^b. ‖ 23. καὶ οἱ μαλακοὶ $L^bM^bO^b$. ‖ 24. ποιύντων ἡδονήν] τοιύτων ἡδονῶν M^b. ‖ 28. ‖ 29. ὐχὶ K^bM^b. ‖ δὲ ante λέγω K^b, om M^b. ‖ 31. οὖν om K^bM^b. ‖ 35. νικῶν K^b.

κῶς· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρῷ διέφερεν ἀλλ' ὅμως ἕτερος ἦν. σημεῖον δέ· ἡ μὲν γὰρ ἀκρασία ψέγεται οὐχ ὡς ἁμαρτία μόνον ἀλλὰ καὶ ὡς κακία τις ἢ ἁπλῶς οὖσα ἢ κατά τι μέρος, τούτων δ' οὐθείς. τῶν δὲ περὶ τὰς σωματικὰς ἀπολαύσεις, περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ τῷ προαιρεῖσθαι τῶν τε ἡδέων διώκων τὰς ὑπερβολὰς καὶ τῶν λυπηρῶν φεύγων, πείνης καὶ δίψης καὶ ἀλέας καὶ ψύχους καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται, οὐ κατὰ πρόσθεσιν, ὅτι περὶ τάδε, καθάπερ ὀργῆς, ἀλλ' ἁπλῶς μόνον. σημεῖον δέ· καὶ γὰρ μαλακοὶ λέγονται περὶ ταύτας, περὶ ἐκείνων δ' οὐδεμίαν. καὶ διὰ τοῦτ' εἰς ταὐτὸν τὸν ἀκρατῆ καὶ τὸν ἀκόλαςον τίθεμεν καὶ ἐγκρατῆ καὶ σώφρονα, ἀλλ' οὐκ ἐκείνων οὐδένα, διὰ τὸ περὶ τὰς αὐτάς πως ἡδονὰς καὶ λύπας εἶναι· οἱ δ' εἰσὶ μὲν περὶ ταὐτά, ἀλλ' οὐχ ὡσαύτως εἰσίν, ἀλλ' οἱ μὲν προαιροῦνται οἱ δ' οὐ προαιροῦνται. διὸ μᾶλλον ἀκόλαςον ἂν εἴποιμεν, ὅςις μὴ ἐπιθυμῶν ἢ ἠρέμα διώκει τὰς ὑπερβολὰς καὶ φεύγει μετρίας λύπας, ἢ τοῦτον ὅςις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν ἐκεῖνος ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία νεανικὴ καὶ περὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά; ἐπεὶ δὲ τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν αἱ μέν εἰσι τῷ γένει καλῶν καὶ σπουδαίων· τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετά, τὰ δ' ἐναντία τούτων, τὰ δὲ μεταξύ, καθάπερ διείλομεν πρότερον, οἷον χρήματα καὶ κέρδος καὶ νίκη καὶ τιμή· πρὸς ἅπαντα δὲ καὶ τὰ τοιαῦτα καὶ τὰ μεταξὺ οὐ τῷ πάσχειν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται, ἀλλὰ τῷ πως ὑπερβάλλειν. διὸ ὅσοι μὲν παρὰ τὸν λόγον ἢ κρατοῦνται ἢ διώκουσι τῶν φύσει τι καλῶν καὶ ἀγαθῶν, οἷον οἱ περὶ τιμὴν μᾶλλον ἢ δεῖ σπουδάζοντες ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα τῶν ἀγαθῶν, καὶ ἐπαινοῦνται οἱ περὶ ταῦτα σπουδάζοντες· ἀλλ' ὅμως ἔστι τις ὑπερβολὴ καὶ ἐν τούτοις, εἴ τις ὥσπερ ἡ Νιόβη μάχοιτο καὶ πρὸς τοὺς θεούς, ἢ ὥσπερ Σάτυρος ὁ φιλοπάτωρ ἐπικαλούμενος περὶ τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν. μοχθηρία μὲν οὖν οὐδεμία περὶ ταῦτ' ἐςὶ διὰ τὸ εἰρημένον, ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὑτό· φαῦλαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσὶν αἱ ὑπερβολαί. ὁμοίως δὲ οὐδὲ ἀκρασία· ἡ γὰρ ἀκρασία οὐ μόνον φευκτὸν ἀλλὰ καὶ τῶν ψεκτῶν ἐςίν. δι' ὁμοιότητα δὲ τοῦ πάθους προσεπιτιθέντες τὴν ἀκρασίαν περὶ ἑκάστου λέγουσιν, οἷον κακὸν ἰατρὸν καὶ κακὸν ὑποκριτήν, ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν· ὥσπερ οὖν οὐδ' ἐνταῦθα, διὰ τὸ μὴ κακίαν εἶναι ἑκάςην αὐτῶν, ἀλλὰ τῷ ἀνάλογον ὁμοίαν, οὕτω δῆλον ὅτι κἀκεῖ ὑποληπτέον μόνην ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι ἥτις ἐςὶ περὶ ταὐτὰ τῇ σωφροσύνῃ καὶ τῇ ἀκολασίᾳ, περὶ δὲ θυμὸν καθ' ὁμοιότητα λέγομεν· διὸ καὶ προςιθέντες ἀκρατῆ θυμοῦ ὥσπερ τιμῆς καὶ κέρδους φαμέν.

Ἐπεὶ δ' ἐστὶν ἔνια μὲν ἡδέα φύσει, καὶ τούτων τὰ μὲν ἁπλῶς τὰ δὲ κατὰ γένη καὶ ζῴων καὶ ἀνθρώπων, τὰ δ' οὐκ ἔςιν ἀλλὰ τὰ μὲν διὰ πηρώσεις τὰ δὲ δι' ἔθη γίνεται, τὰ δὲ διὰ μοχθηρὰς φύσεις, ἔςι καὶ περὶ τούτων ἕκαςα παραπλησίας ἰδεῖν ἕξεις. λέγω δὲ τὰς θηριώδεις, οἷον τὴν ἄνθρωπον ἣν λέγουσι τὰς κυούσας ἀνασχίζουσαν τὰ παιδία κατεσθίειν, ἢ οἵοις χαίρειν φασὶν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν ὠμοῖς τοὺς δὲ ἀνθρώπων κρέασιν, τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν, ἢ τὸ περὶ Φάλαριν λεγόμενον. αὗται μὲν θηριώδεις, αἱ δὲ διά τε νόσους γίνονται καὶ μανίαν ἐνίοις, ὥσπερ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγών, καὶ ὁ τοῦ συνδούλου τὸ ἧπαρ. αἱ δὲ νοσηματώδεις ἢ ἐξ ἔθους, οἷον τριχῶν τίλσεις καὶ ὀνύχων τρώξεις, ἔτι δ' ἀνθράκων καὶ γῆς, πρὸς δὲ τούτοις ἡ τῶν ἀφροδισίων τοῖς ἄρρεσιν· τοῖς μὲν γὰρ φύσει τοῖς δ' ἐξ ἔθους συμβαίνουσιν, οἷον τοῖς ὑβριζομένοις ἐκ παίδων. ὅσοις μὲν οὖν φύσις αἰτία, τούτους μὲν οὐδεὶς ἂν εἴπειεν ἀκρατεῖς, ὥσπερ οὐδὲ τὰς γυναῖκας, ὅτι οὐκ ὀπυίουσιν ἀλλ' ὀπυίονται· ὡσαύτως δὲ καὶ τοῖς νοσηματωδῶς ἔχουσι δι' ἔθος. τὸ μὲν οὖν ἔχειν ἕκαστα τούτων ἔξω τῶν

1. μικρὸν $L^b M^b$. ‖ 2. γὰρ om L^b. ‖ 6. τε] δὲ K^b, om $L^b M^b$. ‖ 7. καὶ τῶν λυπηρῶν φεύγων om M^b. ‖ 13. τὸν post καὶ om $L^b O^b$. ‖ 17. οἱ δ' οὐ προαιροῦνται om O^b. ‖ 18. μηδ' O^b. ‖ ἢ om K^b. ‖ 20. σφόδρα om M^b. ‖ 23. τῶν K^b. ‖ γὰρ] δ' K^b. ‖ 25. διειλόμην $K^b M^b$. ‖ 27. οὐ τῷ] οὕτω K^b. ‖ 28. πως] πῶς καὶ $L^b O^b$. ‖ ὅσω μὲν πρὸς M^b. ‖ 29. ἀκρατοῦνται $L^b M^b$. ‖ τε M^b. ‖ 30. περὶ τὴν τιμὴν M^b. ‖ 34. καὶ om $K^b M^b$.

1. καλούμενος πρὸς M^b. ‖ 4. φαῦλαι δὲ καὶ φευκταὶ καὶ ἁμαρτήματα αὐτῶν αἱ ὑπέρβολαί M^b, φαῦλα δὲ καὶ φευκτὰ καὶ ἁμαρτήματα K^b. ‖ 6. προσεπιθέντες L^b. ‖ 7. πρὸς K^b. ‖ ἕκαστον $K^b L^b M^b$. ‖ 8. εἴποιμεν L^b. ‖ 10. τὸ K^b. ‖ ὅτι om M^b. ‖ 11. [illegible] O^b. ‖ 12. τῇ post καὶ om $K^b M^b O^b$. ‖ 13. θυμοῦ K^b. ‖ 18. μοχθηρίαν φύσεως M^b. ‖ 19. ἕκαςον L^b, om M^b. ‖ [illegible] M^b. ‖ δὴ τὰς θηριωδίας L^b. ‖ 20. κύνας K^b. ‖ 21. οἷς K^b. ‖ 22. μὲν] μὲν οὖν L^b. ‖ ἀνδρῶν $K^b M^b$. ‖ 23. ἄλλοις δανείζειν $L^b O^b$. ‖ 24. περὶ τὸν φάλαριν M^b. ‖ θηριώδεις εἰσὶν αἱ O^b. ‖ 25. τε om L^b. ‖ καὶ διὰ μανίαν K^b. ‖ 27. ἢ om K^b. ‖ οἷον αἱ τῶν $L^b M^b O^b$. ‖ 28. τρώσεις M^b. ‖ 29. ἢ om M^b. ‖ 30. γυμναζομένοις $K^b M^b$, ἐθιζομένοις N^b. ‖ 31. τούτους μὲν οὖν οὐδ' ἄν τις M^b. ‖ 32. εἴποι $K^b L^b M^b$, εἴποι O^b. ‖ οὐχ ὀπύουσιν ἀλλ' ὀπύονται $K^b M^b N^b$. ‖ 33. δὲ om $K^b M^b$. ‖ 34. δι' ἤθους K^b, ἐξ ἔθους L^b. ‖ ἑκάστοις L^b.

ὅρων ἐστὶ τῆς κακίας, καθάπερ καὶ ἡ θηριότης· τὸ δ' ἔχοντα κρατεῖν ἢ κρατεῖσθαι οὐχ ἡ ἁπλῆ ἀκρασία ἀλλ' ἡ καθ' ὁμοιότητα, καθάπερ καὶ τὸν περὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον τοῦ πάθους, ἀκρατῆ δ' οὐ λεκτέον. πᾶσα γὰρ ὑπερβάλλουσα καὶ ἀφροσύνη καὶ δειλία καὶ ἀκολασία καὶ χαλεπότης αἱ μὲν θηριώδεις αἱ δὲ νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος οἷος δεδιέναι πάντα, κἂν ψοφήσῃ μῦς, θηριώδη δειλίαν δειλός, ὁ δὲ τὴν γαλῆν ἐδεδίει διὰ νόσον· καὶ τῶν ἀφρόνων οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνον τῇ αἰσθήσει ζῶντες θηριώδεις, ὥσπερ ἔνια γένη τῶν πόρρω βαρβάρων, οἱ δὲ διὰ νόσους, οἷον τὰς ἐπιληπτικάς, ἢ μανίας νοσηματώδεις. τούτων δ' ἔστι μὲν ἔχειν τινὰ ἐνίοτε μόνον, μὴ κρατεῖσθαι δέ, λέγω δὲ οἷον εἰ Φάλαρις κατεῖχεν ἐπιθυμῶν παιδίου φαγεῖν ἢ πρὸς ἀφροδισίων ἄτοπον ἡδονήν· ἔστι δὲ καὶ κρατεῖσθαι. μὴ μόνον ἔχειν. ὥσπερ οὖν καὶ μοχθηρία ἡ μὲν κατ' ἄνθρωπον ἁπλῶς λέγεται μοχθηρία, ἡ δὲ κατὰ πρόσθεσιν, ὅτι θηριώδης ἢ νοσηματώδης, ἁπλῶς δ' οὔ, τὸν αὐτὸν τρόπον δῆλον ὅτι καὶ ἀκρασία ἐστὶν ἡ μὲν θηριώδης ἡ δὲ νοσηματώδης, ἁπλῶς δὲ ἡ κατὰ τὴν ἀνθρωπίνην ἀκολασίαν μόνη.

7 Ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι περὶ τὰ ἄλλα ἐστὶν ἄλλο εἶδος ἀκρασίας, λεγόμενον κατὰ μεταφορὰν καὶ οὐχ ἁπλῶς, δῆλον· ὅτι δὲ καὶ ἧττον αἰσχρὰ ἀκρασία ἡ τοῦ θυμοῦ ἢ ἡ τῶν ἐπιθυμιῶν, θεωρήσωμεν. ἔοικε γὰρ ὁ θυμὸς ἀκούειν μέν τι τοῦ λόγου, παρακούειν δέ, καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον ἐκθέουσιν, εἶτα ἁμαρτάνουσι τῆς προστάξεως, καὶ οἱ κύνες, πρὶν σκέψασθαι εἰ φίλος, ἂν μόνον ψοφήσῃ, ὑλακτοῦσιν· οὕτως ὁ θυμὸς διὰ θερμότητα καὶ ταχυτῆτα τῆς φύσεως ἀκούσας μέν, οὐκ ἐπίταγμα δ' ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμωρίαν. ὁ μὲν γὰρ λόγος ἢ ἡ φαντασία ὅτι ὕβρις ἢ ὀλιγωρία ἐδήλωσεν, ὁ δ' ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ τοιούτῳ πολεμεῖν χαλεπαίνει δὴ εὐθύς· ἡ δ' ἐπιθυμία, ἐὰν μόνον εἴπῃ ὅτι ἡδὺ ὁ λόγος ἢ ἡ αἴσθησις, ὁρμᾷ πρὸς τὴν ἀπόλαυσιν. ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ δ' ἐπιθυμία οὔ. αἰσχίων οὖν· ὁ μὲν γὰρ τοῦ θυμοῦ ἀκρατὴς τοῦ λόγου πως ἡττᾶται, ὁ δὲ τῆς ἐπιθυμίας καὶ οὐ τοῦ λόγου. ἔτι ταῖς φυσικαῖς μᾶλλον συγγνώμη ἀκολουθεῖν ὀρέξεσιν, ἐπεὶ καὶ ἐπιθυμίαις ταῖς τοιαύταις μᾶλλον ὅσαι κοιναὶ πᾶσι, καὶ ἐφ' ὅσον κοιναί· ὁ δὲ θυμὸς φυσικώτερον καὶ ἡ χαλεπότης τῶν ἐπιθυμιῶν τῶν τῆς ὑπερβολῆς καὶ τῶν μὴ ἀναγκαίων, ὥσπερ ὁ ἀπολογούμενος ὅτι τὸν πατέρα τύπτοι. "καὶ γὰρ οὗτος" ἔφη "τὸν ἑαυτοῦ κἀκεῖνος τὸν ἄνωθεν," καὶ τὸ παιδίον δείξας "καὶ οὗτος ἐμέ" ἔφη, "ὅταν ἀνὴρ γένηται· συγγενὲς γὰρ ἡμῖν." καὶ ὁ ἑλκόμενος ὑπὸ τοῦ υἱοῦ παύεσθαι ἐκέλευε πρὸς ταῖς θύραις· καὶ γὰρ αὐτὸς ἑλκύσαι τὸν πατέρα μέχρις ἐνταῦθα. ἔτι ἀδικώτεροι οἱ ἐπιβουλότεροι. ὁ μὲν οὖν θυμώδης οὐκ ἐπίβουλος, οὐδ' ὁ θυμός, ἀλλὰ φανερός· ἡ δ' ἐπιθυμία, καθάπερ τὴν Ἀφροδίτην φασί· "δολοπλόκου γὰρ κυπρογενοῦς·" καὶ τὸν κεστὸν ἱμάντα Ὅμηρος· "πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονέοντος." ὥστ' εἴπερ ἀδικωτέρα καὶ αἰσχίων ἡ ἀκρασία αὕτη τῆς περὶ τὸν θυμόν ἐστι, καὶ ἁπλῶς ἀκρασία καὶ κακία πως. ἔτι οὐδεὶς ὑβρίζει λυπούμενος, ὁ δ' ὀργῇ ποιῶν πᾶς ποιεῖ λυπούμενος, ὁ δ' ὑβρίζων μεθ' ἡδονῆς. εἰ οὖν οἷς ὀργίζεσθαι μάλιστα δίκαιον, ταῦτα ἀδικώτερα, καὶ ἡ ἀκρασία ἡ δι' ἐπιθυμίαν· οὐ γάρ ἐστιν ἐν θυμῷ ὕβρις. ὡς μὲν τοίνυν αἰσχίων ἡ περὶ ἐπιθυμίας ἀκρασία τῆς περὶ τὸν θυμόν, καὶ ὅτι ἔστιν ἡ ἐγκράτεια καὶ ἡ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικάς, δῆλον, αὐτῶν δὲ τούτων τὰς διαφορὰς ληπτέον. ὥσπερ γὰρ εἴρηται κατ' ἀρχάς, αἱ μὲν ἀνθρωπικαί εἰσι καὶ φυσικαί, καὶ τῷ γένει καὶ τῷ μεγέθει, αἱ δὲ θηριώδεις, αἱ δὲ διὰ πηρώσεις καὶ νοσήματα. τούτων δὲ περὶ τὰς πρώτας σωφροσύνη καὶ ἀκολασία μόνον ἐστίν· διὸ καὶ τὰ θηρία οὔτε σώφρονα οὔτ' ἀκόλαστα λέγομεν ἀλλ' ἢ κατὰ μεταφορὰν καὶ εἴ τινι ὅλως ἄλλο πρὸς ἄλλο διαφέρει γένος τῶν ζῴων ὕβρει καὶ σιναμωρίᾳ καὶ τῷ παμφάγον εἶναι· οὐ γὰρ ἔχει προαίρεσιν οὐδὲ λογισμόν, ἀλλ' ἐξέστηκε τῆς φύσεως, ὥσπερ οἱ μαι-

1. ἡ om L^b. ‖ τὸν K^b. ‖ 2. κρατεῖν] καρτερεῖν K^bO^b. ‖ ἡ om M^b. ‖ 3. ἡ om K^b. ‖ 5. καὶ ante ἀφροσύνη om L^b, qui in margine τινὰ δὲ ἔχουσι κακία καὶ ἀφροσύνη. ‖ 9. ἀφροδισίων K^b. ‖ 10. ὥσπερ — 11. νόσους om K^b. ‖ 13. μόνον] μὲν μόνον K^bM^b. ‖ λέγω δὲ om L^bO^b. ‖ 14. πρὸς om M^b. ‖ 16. μοχθηρίας K^b. ‖ 20. τὴν om M^b. ‖ μόνην $K^bL^bM^b$. ‖ 21. μόνον ἁπλῶς περὶ L^b. ‖ 22. ἀκρασία M^b, ἡ ἀκολασία L^b. ‖ 24. ὅτι δὲ καὶ] καὶ ὅτι M^b. ‖ 25. ἡ post ἢ om K^bM^b. ‖ 28. πράξεως M^bO^b. ‖ 29. ἐὰν L^b O^b. ‖ 30. ὁ om K^bM^b. ‖ 34. δὴ add K^b. ‖ 35. ἡ post ἢ om M^b.

2. αἴσχιον K^b. ‖ 3. δὲ ὑπὸ τῆς O^b. ‖ καὶ om L^bM^b. ‖ οὐ om K^b. ‖ 4. ἀκολουθεῖ L^bM^b. ‖ 7. τῶν ante τῆς om M^b. ‖ 9. τύπτει L^bM^b. ‖ 12. γὰρ] γὰρ καὶ M^b. ‖ ἑλκύσαι om M^b. ‖ 16. δολοπλόκας L^b. ‖ 17. φρονεόντων M^b. ‖ 19. αὕτη om M^b. ‖ ἐστὶ δὲ καὶ M^b. ‖ 20. ὁ — 21. λυπούμενος om M^b. ‖ 21. λυπούμενος ποιεῖ L^b. ‖ 24. ἐπιθυμίαν M^b. ‖ 25. ἡ utrumque om M^b. ‖ 28. ἀνθρώπιναί K^b. ‖ 29. δὲ καὶ διὰ O^b. ‖ 30. μόνον καὶ ἀκολασία L^b. ‖ 33. γένος] λέγω M^b. ‖ σινομωρίαι K^bL^b. ‖ 34. τὸ L^b.

νόμενοι τῶν ἀνθρώπων. ἔλαττον δὲ θηριότης κακίας, φοβερώτερον δέ· ὐ γὰρ διέφθαρται τὸ βέλτιςον, ὥσπερ ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ὐκ ἔχει. ὅμοιον ὖν ὥσπερ ἄψυχον συμβάλλειν πρὸς ἔμψυχον, πότερον κάκιον· ἀσινεςέρα γὰρ ἡ φαυλότης ἀεὶ ἡ τοῦ μὴ ἔχοντος ἀρχήν, ὁ δὲ νῦς ἀρχή. παραπλήσιον οὖν τὸ συμβάλλειν ἀδικίαν πρὸς ἄνθρωπον ἄδικον· ἔςι γὰρ ὡς ἑκάτερον κάκιον· μυριοπλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνθρωπος κακὸς θηρίυ.

8 Περὶ δὲ τὰς δι' ἁφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας καὶ ἐπιθυμίας καὶ φυγάς, περὶ ἃς ἥ τε ἀκολασία καὶ ἡ σωφροσύνη διωρίσθη πρότερον, ἔςι μὲν ὕτως ἔχειν ὥςε ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ κρείττυς, ἔστι δὲ κρατεῖν καὶ ὧν οἱ πολλοὶ ἥττυς· τύτων δ' ὁ μὲν περὶ ἡδονὰς ἀκρατὴς ὁ δ' ἐγκρατής, ὁ δὲ περὶ λύπας μαλακὸς ὁ δὲ καρτερικός. μεταξὺ δ' ἡ τῶν πλείςων ἕξις, κἂν εἰ ῥέπυσι μᾶλλον πρὸς τὰς χείρυς. ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν αἱ δ' ὔ καὶ μέχρι τινός, αἱ δ' ὑπερβολαὶ ὔ, ὐδ' αἱ ἐλλείψεις, ὁμοίως δὲ καὶ περὶ ἐπιθυμίας ἔχει καὶ λύπας, ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδέων ἢ καθ' ὑπερβολὰς ἢ διὰ προαίρεσιν, δι' αὐτὰς καὶ μηδὲν δι' ἕτερον ἀποβαῖνον, ἀκόλαςος· ἀνάγκη γὰρ τῦτον μὴ εἶναι μεταμελητικόν, ὥς' ἀνίατος· ὁ γὰρ ἀμεταμέλητος ἀνίατος. ὁ δ' ἐλλείπων ὁ ἀντικείμενος, ὁ δὲ μέσος σώφρων. ὁμοίως δὲ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας μὴ δι' ἧτταν ἀλλὰ διὰ προαίρεσιν. τῶν δὲ μὴ προαιρουμένων ὁ μὲν ἄγεται διὰ τὴν ἡδονήν, ὁ δὲ διὰ τὸ φεύγειν τὴν λύπην τὴν ἀπὸ τῆς ἐπιθυμίας, ὥςε διαφέρυσιν ἀλλήλων. παντὶ δ' ἂν δόξειε χείρων εἶναι, εἴ τις μὴ ἐπιθυμῶν ἢ ἠρέμα πράττοι τι αἰσχρόν, ἢ εἰ σφόδρα ἐπιθυμῶν, καὶ εἰ μὴ ὀργιζόμενος τύπτοι ἢ εἰ ὀργιζόμενος· τί γὰρ ἂν ἐποίει ἐν πάθει ὤν; διὸ ὁ ἀκόλαςος χείρων τῦ ἀκρατῦς. τῶν δὴ λεχθέντων τὸ μὲν μαλακίας εἶδος μᾶλλον, ὁ δ' ἀκόλαστος. ἀντίκειται δὲ τῷ μὲν ἀκρατεῖ ὁ ἐγκρατής, τῷ δὲ μαλακῷ ὁ καρτερικός· τὸ μὲν γὰρ καρτερεῖν ἐστὶν ἐν τῷ ἀντέχειν, ἡ δ' ἐγκράτεια ἐν τῷ κρατεῖν, ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ καὶ τὸ μὴ ἡττᾶσθαι τῦ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας ἐςίν. ὁ δ' ἐλλείπων πρὸς ἃ οἱ πολλοὶ καὶ ἀντιτείνυσι καὶ δύνανται, ὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐςίν· ὃς ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τῦ αἴρειν λύπην, καὶ μιμύμενος τὸν κάμνοντα ὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. ὁμοίως δ' ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν· ὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται ἢ λυπῶν, θαυμαςόν, ἀλλὰ συγγνωμονικόν, εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος ἢ ὁ Καρκίνυ ἐν τῇ Ἀλόπῃ Κερκύων, καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα ἀθρόον ἐκκαγχάζυσιν, οἷον συνέπεσε Ξενοφάντῳ, ἀλλ' εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τύτων ἡττᾶται καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τῦ γένυς ἢ διὰ νόσον, οἷον ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέςηκεν. δοκεῖ δὲ καὶ ὁ παιδιώδης ἀκόλαςος εἶναι, ἔςι δὲ μαλακός· ἡ γὰρ παιδιὰ ἄνεσίς ἐςιν, εἴπερ ἀνάπαυσις· τῶν δὲ πρὸς ταύτην ὑπερβαλλόντων ὁ παιδιώδης ἐςίν. ἀκρασίας δὲ τὸ μὲν προπέτεια τὸ δ' ἀσθένεια· οἱ μὲν γὰρ βυλευσάμενοι ὐκ ἐμμένυσιν οἷς ἐβυλεύσαντο διὰ τὸ πάθος, οἱ δὲ διὰ τὸ μὴ βυλεύσασθαι ἄγονται ὑπὸ τῦ πάθυς· ἔνιοι γάρ, ὥσπερ προγαργαλίσαντες ὐ γαργαλίζονται, οὕτω καὶ προαισθόμενοι καὶ προϊδόντες καὶ προεγείραντες ἑαυτὺς καὶ τὸν λογισμὸν ὐχ ἡττῶνται ὑπὸ τῦ πάθυς, ὐδ' ἂν ἡδὺ ᾖ ὔτ' ἂν λυπηρόν. μάλιςα δ' οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γὰρ διὰ τὴν ταχυτῆτα, οἱ δὲ διὰ τὴν σφοδρότητα οὐκ ἀναμένυσι τὸν λόγον, διὰ τὸ ἀκολυθητικοὶ εἶναι τῇ φαντασίᾳ.

Ἔςι δ' ὁ μὲν ἀκόλαςος, ὥσπερ ἐλέχθη, ὐ μεταμελητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δ' ἀκρατὴς μεταμελητικὸς πᾶς. διὸ ὐχ ὥσπερ ἠπορήσαμεν, ὕτω καὶ ἔχει, ἀλλ' ὁ μὲν ἀνίατος, ὁ δ' ἰατός· ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων οἷον ὑδέρῳ καὶ φθίσει, ἡ δ' ἀκρασία τοῖς ἐπιληπτικοῖς· ἡ μὲν γὰρ συνεχής, ἡ δ' οὐ συνεχὴς πονηρία. καὶ ὅλως δ' ἕτερον τὸ γένος ἀκρασίας καὶ κακίας· ἡ μὲν γὰρ κακία λανθάνει, ἡ δ' ἀκρασία ὐ λανθάνει.

2. βέλτιον $K^b M^b$. ‖ 3. ἀλλ' ἡμάςτηται καὶ ὐκ O^b. ‖ ὥσπερ τὸ ἄψυχον L^b. ‖ συμβαλεῖν $L^b O^b$. ‖ 4. πρὸς τὸ ἔμψυχον L^b. ‖ 6. οὖν τοῦτο συμβάλλειν ὥσπερ εἴ τις συμβάλλοι ἀδικίαν $L^b M^b O^b$. ‖ ἄδικον ἄνθρωπον M^b. ‖ 7. μυριαπλάσια $K^b L^b$. ‖ 11. μὲν] μὲν ὧν M^b. ‖ 12. ἔστι — 13. ἥττυς om M^b. ‖ 15. καὶ $L^b O^b$. ‖ 17. ὔ, ὐδ' αἱ om M^b. ‖ 19. ὑπερβολὰς ἢ] ὑπερβολὴν καὶ M^b. ‖ 25. δι' ἡδονὴν $L^b O^b$. ‖ 28. μή τις $L^b O^b$. ‖ πράττει $L^b M^b$. ‖ 29. καὶ] ἢ L^b. ‖ εἰ om $K^b N^b$. ‖ τύπτει $L^b M^b$. τύπτοι ἢ εἰ ὀργιζόμενος om $K^b N^b$, εἰ om M^b. ‖ 30. ὁ om L^b. ‖ 36. αἱρετωτέρα M^b.

1. καὶ ante οἱ $L^b O^b$, om M^b. ‖ 3. ὡς M^b. ‖ 6. εἴ om pr K^b. ‖ 10. ἀλώπη $M^b O^b$. ‖ κερκίων M^b. ‖ 11. ἐκκαχλάζυσιν pr K^b. ‖ ξυνέπεσε $L^b M^b O^b$. ‖ 14. οἷον] ὥσπερ O^b. ‖ βασιλεύουσιν O^b. ‖ 15. τὸ post διὰ om O^b. ‖ 17. δὲ] γὰρ $O^b L^b$. ‖ εἴπερ οὖν ἀνάπαυσις $K^b M^b$. ‖ 22. προγαργαλισθέντες $L^b M^b$, οἱ προγαργαλίσαντες O^b. ‖ 23. προαισθανόμενοι $K^b M^b$. ‖ 24. αὐτὺς $L^b O^b$. ‖ 30. ἐμμένει — μεταμελητικὸς om K^b. ‖ 31. καὶ om $L^b O^b$. ‖ 32. ἀλλ' ὁ μὲν εὐίατος $L^b O^b$, om K^b. ‖ δ' ἀνίατος $L^b O^b$. ‖ 35. τὸ γένος ἕτερον O^b.

αὐτῶν δὲ τούτων βελτίους οἱ ἐκστατικοὶ ἢ οἱ τὸν λόγον ἔχοντες μέν, μὴ ἐμμένοντες δέ· ὑπ᾽ ἐλάττονος γὰρ πάθους ἡττῶνται, καὶ οὐκ ἀπροβούλευτοι ὥσπερ ἅτεροι· ὅμοιος γὰρ ὁ ἀκρατής ἐστι τοῖς ταχὺ μεθυσκομένοις καὶ ὑπ᾽ ὀλίγου οἴνου καὶ ἐλάττονος ἢ ὡς οἱ πολλοί. ὅτι μὲν οὖν κακία ἡ ἀκρασία οὐκ ἔστι, φανερόν. ἀλλά πῃ ἴσως· τὸ μὲν γὰρ παρὰ προαίρεσιν τὸ δὲ κατὰ προαίρεσίν ἐστιν. οὐ μὴν ἀλλ᾽ ὅμοιόν γε κατὰ τὰς πράξεις ὥσπερ τὸ Δημοδόκου εἰς Μιλησίους "Μιλήσιοι ἀξύνετοι μὲν οὐκ εἰσίν, δρῶσι δ᾽ οἷάπερ οἱ ἀξύνετοι." καὶ οἱ ἀκρατεῖς ἄδικοι μὲν οὐκ εἰσίν, ἀδικοῦσι δέ. ἐπεὶ δ᾽ ὁ μὲν τοιοῦτος οἷος μὴ διὰ τὸ πεπεῖσθαι διώκειν τὰς καθ᾽ ὑπερβολὴν καὶ παρὰ τὸν ὀρθὸν λόγον σωματικὰς ἡδονάς, ὁ δὲ πέπεισται διὰ τὸ τοιοῦτος εἶναι οἷος διώκειν αὐτάς, ἐκεῖνος μὲν οὖν εὐμετάπειστος, ὁ δ᾽ οὔ· ἡ γὰρ ἀρετὴ καὶ ἡ μοχθηρία τὴν ἀρχὴν ἡ μὲν φθείρει ἡ δὲ σώζει, ἐν δὲ ταῖς πράξεσι τὸ οὗ ἕνεκα ἀρχή, ὥσπερ ἐν τοῖς μαθηματικοῖς αἱ ὑποθέσεις· οὔτε δὴ ἐκεῖ ὁ λόγος διδασκαλικὸς τῶν ἀρχῶν οὔτε ἐνταῦθα, ἀλλ᾽ ἀρετὴ ἢ φυσικὴ ἢ ἐθιστὴ τοῦ ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν. σώφρων μὲν οὖν ὁ τοιοῦτος, ἀκόλαστος δ᾽ ὁ ἐναντίος. ἔστι δέ τις διὰ πάθος ἐκστατικὸς παρὰ τὸν ορθὸν λόγον, ὃν ὥστε μὲν μὴ πράττειν κατὰ τὸν ὀρθὸν λόγον κρατεῖ τὸ πάθος, ὥστε δ᾽ εἶναι τοιοῦτον οἷον πεπεῖσθαι διώκειν ἀνέδην δεῖν τὰς τοιαύτας ἡδονὰς οὐ κρατεῖ· οὗτός ἐστιν ὁ ἀκρατής, βελτίων τοῦ ἀκολάστου, οὐδὲ φαῦλος ἁπλῶς· σώζεται γὰρ τὸ βέλτιστον, ἡ ἀρχή. ἄλλος δ᾽ ἐναντίος, ὁ ἐμμενετικὸς καὶ οὐκ ἐκστατικὸς διά γε τὸ πάθος. φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ μὲν σπουδαία ἕξις, ἡ δὲ φαύλη.

10 Πότερον οὖν ἐγκρατής ἐστιν ὁ ὁποιῳοῦν λόγῳ καὶ ὁποιᾳοῦν προαιρέσει ἐμμένων ἢ ὁ τῇ ὀρθῇ, καὶ ἀκρατὴς δὲ ὁ ὁποιᾳοῦν μὴ ἐμμένων προαιρέσει καὶ ὁποιῳοῦν λόγῳ ἢ ὁ τῷ ψευδεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ μὴ ὀρθῇ, ὥσπερ ἠπορήθη πρότερον; ἢ κατὰ μὲν συμβεβηκὸς ὁποιᾳοῦν, καθ᾽ αὑτὸ δὲ τῷ ἀληθεῖ λόγῳ καὶ τῇ ὀρθῇ προαιρέσει ὁ μὲν ἐμμένει ὁ δ᾽ οὐκ ἐμμένει; εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται ἢ διώκει, καθ᾽ αὑτὸ μὲν τοῦτο διώκει καὶ αἱρεῖται, κατὰ συμβεβηκὸς δὲ τὸ πρότερον. ἁπλῶς δὲ λέγομεν τὸ καθ᾽ αὑτό, ὥστε ἔστι μὲν ὡς ὁποιᾳοῦν δόξῃ ὁ μὲν ἐμμένει ὁ δ᾽ ἐξίσταται, ἁπλῶς δὲ ὁ τῇ ἀληθεῖ. εἰσὶ δέ τινες καὶ ἐμμενετικοὶ τῇ δόξῃ, οὓς καλοῦσιν ἰσχυρογνώμονας, οἷον δύσπειστοι καὶ οὐκ εὐμετάπειστοι· οἳ ὅμοιον μέν τι ἔχουσι τῷ ἐγκρατεῖ, ὥσπερ ὁ ἄσωτος τῷ ἐλευθερίῳ καὶ ὁ θρασὺς τῷ θαρραλέῳ, εἰσὶ δ᾽ ἕτεροι κατὰ πολλά. ὁ μὲν γὰρ διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει, ὁ ἐγκρατής, ἐπεὶ εὔπειστος, ὅταν τύχῃ, ἔσται ὁ ἐγκρατής· ὁ δὲ οὐχ ὑπὸ λόγου, ἐπεὶ ἐπιθυμίας γε λαμβάνουσι, καὶ ἄγονται πολλοὶ ὑπὸ τῶν ἡδονῶν. εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι, οἱ μὲν ἰδιογνώμονες δι᾽ ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶντες, ἐὰν μὴ μεταπείθωνται, καὶ λυποῦνται, ἐὰν ἄκυρα τὰ αὐτῶν ᾖ ὥσπερ ψηφίσματα· ὥστε μᾶλλον τῷ ἀκρατεῖ ἐοίκασιν ἢ τῷ ἐγκρατεῖ. εἰσὶ δέ τινες οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσιν οὐ δι᾽ ἀκρασίαν, οἷον ἐν τῷ Φιλοκτήτῃ τῷ Σοφοκλέους ὁ Νεοπτόλεμος. καίτοι δι᾽ ἡδονὴν οὐκ ἐνέμεινεν, ἀλλὰ καλήν· τὸ γὰρ ἀληθεύειν αὐτῷ καλὸν ἦν, ἐπείσθη δ᾽ ὑπὸ τοῦ Ὀδυσσέως ψεύδεσθαι. οὐ γὰρ πᾶς ὁ δι᾽ ἡδονήν τι πράττων οὔτ᾽ ἀκόλαστος οὔτε φαῦλος οὔτ᾽ ἀκρατής, ἀλλ᾽ ὁ δι᾽ αἰσχράν.

Ἐπεὶ δ᾽ ἐστί τις καὶ τοιοῦτος οἷος ἧττον ἢ δεῖ τοῖς σωματικοῖς χαίρων, καὶ οὐκ ἐμμένων τῷ λόγῳ ᾗ τοιοῦτος, 11 τούτου καὶ τοῦ ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ λόγῳ διὰ τὸ μᾶλλόν τι, οὗτος δὲ διὰ τὸ ἧττόν τι· ὁ δ᾽ ἐγκρατὴς ἐμμένει καὶ οὐδὲ δι᾽ ἕτερον μεταβάλλει. δεῖ δέ, εἴπερ ἡ ἐγκράτεια σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι, ὥσπερ καὶ φαίνονται· ἀλλὰ διὰ τὸ τὴν ἑτέραν ἐν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανεράν, ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ δοκεῖ ἐναντίον εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. ἐπεὶ δὲ καθ᾽ ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος καθ᾽ ὁμοιότητα ἠκολούθηκεν· ὅ τε γὰρ ἐγκρατὴς οἷος μηδὲν παρὰ τὸν λόγον διὰ τὰς σωματικὰς ἡδονὰς

2. μὲν ἔχοντες L^bO^b. ‖ 3. ἕτεροι O^b. ‖ 6. οὐκ om K^bL^b. ‖ μὴ N^b. ‖ 7. κατὰ O^b. ‖ κατὰ] κατὰ τὴν K^bL^b, παρὰ τὴν O^b. ‖ 9. μιλήσιοι γὰρ ἀξύνετοι L^bO^b. ‖ 10. οἱ ante ἀξύνετοι om O^b. ‖ ἀδικοῦσι] ἀδικήσουσι K^b. ‖ 11. διὰ τὸ μὴ L^b. ‖ 13. δὴ τῶ M^b. ‖ 14. μεταπειστος pr K^bN^b. ‖ ἡ] εἰ M^b. ‖ 15. ἡ om K^bM^b. ‖ ἀρχὴν] δ᾽ ἀρετὴν M^b. ‖ 17. ὁ om L^bO^b. ‖ 18. ἀλλ᾽] ἀλλ᾽ ἡ O^b. ‖ 19. ἐθιστικὴ M^b, ἠθικὴ O^b. ‖ 21. ὃν — 22. λόγον om L^b. ‖ 25. οὐδὲ] ὁ δὲ K^bL^b. ‖ 27. τούτου M^b. ‖ 29. ὁ om K^b. ‖ 30. ἢ om pr K^b. ‖ ὁ om M^b. ‖ καὶ om L^b. ‖ ὁ om L^b et pr K^b. ‖ 32. τῷ μὴ ψευδεῖ L^b. ‖ μὴ om L^b. ‖ 33. μὲν om M^b. ‖ συμβεβηκὸς ὁ ὁποιᾳοῦν M^bO^b. ‖ 34. καθ᾽ αὑτὸ] καθὰ K^b. ‖ δὲ ὁ τῷ K^bM^b.

4. καὶ] οἱ $K^bL^bO^b$. ‖ 5. τῇ δόξῃ om M^b. addit K^b εἰσίν, L^bO^b εἰσὶ δέ. ‖ οἷον] οἱ K^b et corr L^b. ‖ 6. τι] τοι M^b. ‖ 7. ὥσπερ] οἷον K^bM^b. ‖ τῷ om K^b. ‖ 9. ἔθος L^b. ‖ ἐπεὶ — 10. ἐγκρατής om L^b. ‖ 15. ἂν M^b, om pr K^b. ‖ 17. τινὲς δὲ πάλιν οἳ L^b. ‖ 18. οἷον ὁ ἐν τῷ φιλοκτήτῃ τοῦ σοφοκλέους M^b. ‖ ὁ om $L^bM^bO^b$. ‖ 21. τι om L^bO^b. ‖ οὔτ᾽ — 22. οὔτε — οὔτ᾽] ἢ — ἢ — ἢ $L^bM^bO^b$. ‖ 24. ᾗ] ὁ $K^bL^bO^b$. ‖ 27. οὐδὲν L^b. ‖ 31. φανερὸν M^b. ‖ εἶναι ἐναντίον L^bO^b. ‖ 32. ἡ om M^b. ‖ 34. γὰρ] γὰρ ὁ L^b. ‖ 35. τὸν ὀρθὸν λόγον L^b.

ποιεῖν καὶ ὁ σώφρων, ἀλλ' ὁ μὲν ἔχων ὁ δ' οὐκ ἔχων φαύλας ἐπιθυμίας, καὶ ὁ μὲν τοιοῦτος οἷος μὴ ἥδεσθαι παρὰ τὸν λόγον, ὁ δ' οἷος ἥδεσθαι ἀλλὰ μὴ ἄγεσθαι. ὅμοιοι δὲ καὶ ὁ ἀκρατὴς καὶ ὁ ἀκόλαστος, ἕτεροι μὲν ὄντες, ἀμφότεροι δὲ τὰ σωματικὰ ἡδέα διώκουσιν, ἀλλ' ὁ μὲν καὶ οἰόμενος δεῖν, ὁ δ' οὐκ οἰόμενος. οὐδ' ἅμα φρόνιμον καὶ ἀκρατῆ ἐνδέχεται εἶναι τὸν αὐτόν· ἅμα γὰρ φρόνιμος καὶ σπουδαῖος τὸ ἦθος δέδεικται ὤν. ἔτι οὐ τῷ εἰδέναι μόνον φρόνιμος ἀλλὰ καὶ τῷ πρακτικός· ὁ δ' ἀκρατὴς οὐ πρακτικός. τὸν δὲ δεινὸν οὐδὲν κωλύει ἀκρατῆ εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε φρόνιμοι μὲν εἶναί τινες ἀκρατεῖς δέ, διὰ τὸ τὴν δεινότητα διαφέρειν τῆς φρονήσεως τὸν εἰρημένον τρόπον ἐν τοῖς πρώτοις λόγοις, καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι, διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν. οὐδὲ δὴ ὡς ὁ εἰδὼς καὶ θεωρῶν, ἀλλ' ὡς ὁ καθεύδων ἢ οἰνωμένος. καὶ ἑκὼν μέν (τρόπον γάρ τινα εἰδὼς καὶ ὃ ποιεῖ καὶ οὗ ἕνεκα), πονηρὸς δ' οὔ· ἡ γὰρ προαίρεσις ἐπιεικής· ὥσθ' ἡμιπόνηρος. καὶ οὐκ ἄδικος· οὐ γὰρ ἐπίβουλος· ὁ μὲν γὰρ αὐτῶν οὐκ ἐμμενετικὸς οἷς ἂν βουλεύσηται, ὁ δὲ μελαγχολικὸς οὐδὲ βουλευτικὸς ὅλως. καὶ ἔοικε δὴ ὁ ἀκρατὴς πόλει ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους, χρῆται δὲ οὐδέν, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν

ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει·

ὁ δὲ πονηρὸς χρωμένῃ μὲν τοῖς νόμοις, πονηροῖς δὲ χρωμένῃ. ἔστι δ' ἀκρασία καὶ ἐγκράτεια περὶ τὸ ὑπερβάλλον τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ ἐμμένει μᾶλλον ὁ δ' ἧττον τῆς τῶν πλείστων δυνάμεως. εὐϊατοτέρα δὲ τῶν ἀκρασιῶν, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, τῶν βουλευομένων μὲν μὴ ἐμμενόντων δέ, καὶ οἱ δι' ἐθισμοῦ ἀκρατεῖς τῶν φυσικῶν· ῥᾷον γὰρ ἔθος μετακινῆσαι φύσεως· διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῇ φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει

φημὶ πολυχρόνιον μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

τί μὲν οὖν ἐστὶν ἐγκράτεια καὶ τί ἀκρασία καὶ τί καρτερία καὶ τί μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

Περὶ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι τοῦ τὴν πολιτικὴν 12
φιλοσοφοῦντος· οὗτος γὰρ τοῦ τέλους ἀρχιτέκτων, πρὸς ὃ βλέποντες ἕκαστον τὸ μὲν κακὸν τὸ δ' ἀγαθὸν ἁπλῶς λέγομεν. ἔτι δὲ καὶ τῶν ἀναγκαίων ἐπισκέψασθαι περὶ αὐτῶν· τήν τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν περὶ λύπας καὶ ἡδονὰς ἔθεμεν, καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς εἶναί φασιν, διὸ καὶ τὸν μακάριον ὠνομάκασιν ἀπὸ τοῦ χαίρειν. τοῖς μὲν οὖν δοκεῖ οὐδεμία ἡδονὴ εἶναι ἀγαθόν, οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ εἶναι ταὐτὸν ἀγαθὸν καὶ ἡδονήν· τοῖς δ' ἔνιαι μὲν εἶναι, αἱ δὲ πολλαὶ φαῦλαι. ἔτι δὲ τούτων τρίτον, εἰ καὶ πᾶσαι ἀγαθόν, ὅμως μὴ ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν. ὅλως μὲν οὖν οὐκ ἀγαθόν, ὅτι πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή, οὐδεμία δὲ γένεσις συγγενὴς τοῖς τέλεσιν, οἷον οὐδεμία οἰκοδόμησις οἰκίᾳ. ἔτι ὁ σώφρων φεύγει τὰς ἡδονάς. ἔτι ὁ φρόνιμος τὸ ἄλυπον διώκει, οὐ τὸ ἡδύ. ἔτι ἐμπόδιον τῷ φρονεῖν αἱ ἡδοναί, καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλλον, οἷον τὴν τῶν ἀφροδισίων· οὐδένα γὰρ ἂν δύνασθαι νοῆσαί τι ἐν αὐτῇ. ἔτι τέχνη οὐδεμία ἡδονῆς· καίτοι πᾶν ἀγαθὸν τέχνης ἔργον. ἔτι παιδία καὶ θηρία διώκει τὰς ἡδονάς. τοῦ δὲ μὴ πάσας σπουδαίας, ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνειδιζόμεναι, καὶ ἔτι βλαβεραί· νοσώδη γὰρ ἔνια τῶν ἡδέων. ὅτι δ' οὐκ ἄριστον ἡ ἡδονή, ὅτι οὐ τέλος ἀλλὰ γένεσις. τὰ μὲν οὖν λεγόμενα σχεδὸν ταῦτ' ἐστίν.

Ὅτι δ' οὐ συμβαίνει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν μηδὲ 13
τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. πρῶτον μέν, ἐπεὶ τὸ ἀγαθὸν διχῶς (τὸ μὲν γὰρ ἁπλῶς τὸ δὲ τινί), καὶ αἱ φύσεις καὶ αἱ ἕξεις ἀκολουθήσουσιν, ὥστε καὶ αἱ κινήσεις καὶ αἱ γενέσεις, καὶ αἱ φαῦλαι δοκοῦσαι εἶναι αἱ μὲν ἁπλῶς φαῦλαι τινὶ δ' οὔ ἀλλ' αἱρεταὶ τῷδε, ἔνιαι δ' οὐδὲ τῷδε ἀλλὰ ποτὲ καὶ ὀλίγον χρόνον, αἱρεταὶ δ' οὔ· αἱ δ' οὐδ' ἡδοναί, ἀλλὰ φαίνονται, ὅσαι μετὰ λύπης καὶ ἰατρείας ἕνεκεν, οἷον αἱ τῶν καμνόντων. ἔτι ἐπεὶ τοῦ ἀγαθοῦ τὸ μὲν ἐνέργεια τὸ δ' ἕξις, κατὰ συμβεβηκὸς αἱ καθιστᾶσαι εἰς τὴν φυσικὴν ἕξιν ἡδεῖαί εἰσιν. ἔστι δ' ἡ ἐνέργεια ἐν ταῖς ἐπιθυμίαις τῆς ὑπολοίπου ἕξεως καὶ φύσεως, ἐπεὶ καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας εἰσὶ

4. ὁ ante ἀκόλαστος om K^b. ‖ 11. μὲν om M^b. ‖ 15. ἢ] καὶ M^b. | 16. γάρ] μὲν γάρ M^b. ‖ 19. οὐδὲ] οὐ L^bO^b. ‖ 20. δ' M^b. ‖ 21. οὐδενὶ $L^bM^bO^b$. ‖ καθάπερ L^bO^b. ‖ 23. ἐβουλεύετο L^bO^b. ‖ 25. δ' ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια L^b. ‖ 28. βουλευσαμένων K^bM^b. ‖ 31. εὔηνὸς K^b, ἡ εὔηνος L^b, εὖ ἦνος N^b. ‖ 32. φησὶ K^b. ‖ ἔμμεναι $K^bL^bN^b$, ἔμμεν M^b. ‖ 34. τί ante καρτερία et 35. om M^b.

1. λύπης δεῖ τοῦ λοιποῦ θεωρῆσαι M^b. ‖ 2. τελείου M^b. ‖ ὃν M^b, ὃ ἂν K^b. ‖ 3. λέγομεν ἁπλῶς. ἔστι M^b. ‖ 4. σκέψασθαι M^b. ‖ 7. τοῦ μάλιστα χαίρειν M^b. ‖ 9. ταὐτὸν] ταυτὸ τὸ K^b. ‖ ἡδονὴν καὶ ἀγαθόν M^b. ‖ 10. εἶναι] εἰσιν M^b. ‖ 11. τοῦτον K^b. ‖ 13. δὲ] γὰρ O^b. ‖ 17. τῇ K^bM^b et corr L^b. ‖ 18. τι νοῆσαι O^b. ‖ 19. ἔτι τὰ παιδία καὶ τὰ θηρία M^b. ‖ 21. ἔτι] ὅτι K^bM^b. ‖ 22. ὅτι] ἐπεὶ M^b. ‖ ἡ om K^b. ‖ 23. τὰ — 24. ἐστίν om M^b. ‖ 23. σχεδὸν τοιαῦτ' ἐστίν O^b, ταῦτ' ἐστὶ σχεδόν K^b. ‖ 28. αἱ ante ἕξεις om K^b. ‖ post γενέσεις O^b ἀκολουθήσουσι. ‖ 30. ἔνιαι αἱ δ' M^b. ‖ ἀλλὰ] an forte ἀλλ' ἤ? ‖ 31. αἱρεῖται K^b. ‖ 34. φύσιν ἕξεις M^b. ‖ 35. ἔστι — ταῖς] ὅτι αἱ ἐνέργειαι μὲν ταῖς K^b. ‖ ὑπολύπου M^b, ἐπιλοίπου L^bO^b.

ἡδοναί, οἷον αἱ τοῦ θεωρεῖν ἐνέργειαι, τῆς φύσεως οὐκ ἐνδεοῦς οὔσης. σημεῖον δ' ὅτι οὐ τῷ αὐτῷ χαίρουσιν ἡδεῖ ἀναπληρουμένης τε τῆς φύσεως καὶ καθεστηκυίας, ἀλλὰ καθεστηκυίας μὲν τοῖς ἁπλῶς ἡδέσιν, ἀναπληρουμένης δὲ καὶ τοῖς ἐναντίοις· καὶ γὰρ ὀξέσι καὶ πικροῖς χαίρουσιν, ὧν οὐδὲν οὔτε φύσει ἡδὺ οὔθ' ἁπλῶς ἡδύ. ὥστ' οὐδ' ἡδοναί· ὡς γὰρ τὰ ἡδέα πρὸς ἄλληλα συνέστηκεν, οὕτω καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. ἔτι οὐκ ἀνάγκη ἕτερόν τι εἶναι βέλτιον τῆς ἡδονῆς, ὥσπερ τινές φασι τὸ τέλος τῆς γενέσεως· οὐ γὰρ γενέσεις εἰσὶν οὐδὲ μετὰ γενέσεως πᾶσαι, ἀλλ' ἐνέργειαι καὶ τέλος· οὐδὲ γινομένων συμβαίνουσιν, ἀλλὰ χρωμένων· καὶ τέλος οὐ πασῶν ἕτερόν τι, ἀλλὰ τῶν εἰς τὴν τελέωσιν ἀγομένων τῆς φύσεως. διὸ καὶ οὐ καλῶς ἔχει τὸ αἰσθητὴν γένεσιν φάναι εἶναι τὴν ἡδονήν, ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως, ἀντὶ δὲ τοῦ αἰσθητὴν ἀνεμπόδιστον. δοκεῖ δὲ γένεσίς τις εἶναι, ὅτι κυρίως ἀγαθόν· τὴν γὰρ ἐνέργειαν γένεσιν οἴονται εἶναι, ἔστι δ' ἕτερον. τὸ δ' εἶναι φαύλας ὅτι νοσώδη ἔνια ἡδέα, τὸ αὐτὸ καὶ ὅτι ὑγιεινὰ ἔνια φαῦλα πρὸς χρηματισμόν. ταύτῃ οὖν φαῦλα ἄμφω, ἀλλ' οὐ φαῦλα κατά γε τοῦτο, ἐπεὶ καὶ τὸ θεωρεῖν ποτὲ βλάπτει πρὸς ὑγίειαν, ἐμποδίζει δὲ οὔτε φρονήσει οὔθ' ἕξει οὐδεμιᾷ ἡ ἀφ' ἑκάστης ἡδονή, ἀλλ' αἱ ἀλλότριαι, ἐπεὶ αἱ ἀπὸ τοῦ θεωρεῖν καὶ μανθάνειν μᾶλλον ποιήσουσι θεωρεῖν καὶ μανθάνειν. τὸ δὲ τέχνης μὴ εἶναι ἔργον ἡδονὴν μηδεμίαν εὐλόγως συμβέβηκεν· οὐδὲ γὰρ ἄλλης ἐνεργείας οὐδεμιᾶς τέχνη ἐστίν, ἀλλὰ τῆς δυνάμεως· καίτοι καὶ ἡ μυρεψικὴ τέχνη καὶ ἡ ὀψοποιητικὴ δοκεῖ ἡδονῆς εἶναι. τὸ δὲ τὸν σώφρονα φεύγειν καὶ τὸν φρόνιμον διώκειν τὸν ἄλυπον βίον, καὶ τὸ τὰ παιδία καὶ τὰ θηρία διώκειν, τῷ αὐτῷ λύεται πάντα. ἐπεὶ γὰρ εἴρηται πῶς ἀγαθαὶ ἁπλῶς καὶ πῶς οὐκ ἀγαθαὶ πᾶσαι αἱ ἡδοναί, τὰς τοιαύτας τὰ θηρία καὶ τὰ παιδία διώκει, καὶ τὴν τούτων ἀλυπίαν ὁ φρόνιμος, τὰς μετ' ἐπιθυμίας καὶ λύπης καὶ τὰς σωματικάς (τοιαῦται γὰρ αὗται) καὶ τὰς τούτων ὑπερβολάς, καθ' ἃς ὁ ἀκόλαστος ἀκόλαστος. διὸ ὁ σώφρων φεύγει ταύτας, ἐπεὶ εἰσὶν ἡδοναὶ καὶ σώφρονος.

Ἀλλὰ μὴν ὅτι καὶ ἡ λύπη κακόν, ὁμολογεῖται, καὶ 14 φευκτόν· ἡ μὲν γὰρ ἁπλῶς κακόν, ἡ δὲ τῷ πῇ ἐμποδιστική. τῷ δὲ φευκτῷ τὸ ἐναντίον ᾗ φευκτόν τε καὶ κακόν, ἀγαθόν. ἀνάγκη οὖν τὴν ἡδονὴν ἀγαθόν τι εἶναι. ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις, ὥσπερ τὸ μεῖζον τῷ ἐλάττονι καὶ τῷ ἴσῳ ἐναντίον· οὐ γὰρ ἂν φαίη ὅπερ κακόν τι εἶναι τὴν ἡδονήν. ἄριστόν τ' οὐδὲν κωλύει ἡδονήν τινα εἶναι, εἰ ἔνιαι φαῦλαι ἡδοναί, ὥσπερ καὶ ἐπιστήμην τινὰ ἐνίων φαύλων οὐσῶν. ἴσως δὲ καὶ ἀναγκαῖον, εἴπερ ἑκάστης ἕξεώς εἰσιν ἐνέργειαι ἀνεμπόδιστοι, εἴθ' ἡ πασῶν ἐνέργειά ἐστιν εὐδαιμονία εἴτε ἡ τινὸς αὐτῶν, ἂν ᾖ ἀνεμπόδιστος, αἱρετωτάτην εἶναι· τοῦτο δ' ἐστὶν ἡδονή. ὥστε εἴη ἄν τις ἡδονὴ τὸ ἄριστον, τῶν πολλῶν ἡδονῶν φαύλων οὐσῶν, εἰ ἔτυχεν, ἁπλῶς. καὶ διὰ τοῦτο πάντες τὸν εὐδαίμονα ἡδὺν οἴονται βίον εἶναι, καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν, εὐλόγως· οὐδεμία γὰρ ἐνέργεια τέλειος ἐμποδιζομένη, ἡ δ' εὐδαιμονία τῶν τελείων· διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν καὶ τῶν ἐκτὸς καὶ τῆς τύχης, ὅπως μὴ ἐμποδίζηται ταῦτα. οἱ δὲ τὸν τροχιζόμενον καὶ τὸν δυστυχίαις μεγάλαις περιπίπτοντα εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθός, ἢ ἑκόντες ἢ ἄκοντες οὐδὲν λέγουσιν. διὰ δὲ τὸ προσδεῖσθαι τῆς τύχης δοκεῖ τισὶ ταὐτὸν εἶναι ἡ εὐτυχία τῇ εὐδαιμονίᾳ, οὐκ οὖσα, ἐπεὶ καὶ αὐτὴ ὑπερβάλλουσα ἐμπόδιός ἐστιν, καὶ ἴσως οὐκέτι εὐτυχίαν καλεῖν δίκαιον· πρὸς γὰρ τὴν εὐδαιμονίαν ὁ ὅρος αὐτῆς. καὶ τὸ διώκειν δ' ἅπαντα καὶ θηρία καὶ ἀνθρώπους τὴν ἡδονὴν σημεῖόν τι τοῦ εἶναί πως τὸ ἄριστον αὐτήν.

φήμη δ' οὔ τί γε πάμπαν ἀπόλλυται, ἥν τινα λαοί
πολλοί...

ἀλλ' ἐπεὶ οὐχ ἡ αὐτὴ οὔτε φύσις οὔθ' ἕξις ἡ ἀρίστη οὔτ' ἔστιν οὔτε δοκεῖ, οὐδ' ἡδονὴν διώκουσι τὴν αὐτὴν πάντες, ἡδονὴν μέντοι πάντες. ἴσως δὲ καὶ διώκουσιν οὐχ ἣν οἴονται οὐδ' ἣν ἂν φαῖεν, ἀλλὰ τὴν αὐτήν· πάντα γὰρ φύσει ἔχει τι θεῖον. ἀλλ' εἰλήφασι τὴν τοῦ ὀνόματος κληρονομίαν αἱ σωματικαὶ ἡδοναὶ διὰ τὸ πλειστάκις τε παραβάλλειν εἰς αὐτὰς καὶ πάντας μετέχειν αὐτῶν· διὰ τὸ μόνας οὖν γνωρίμους εἶναι

1. ἡ τοῦ θεωρεῖν ἐνέργεια K^b. ‖ ἐνδεούσης K^b, ἐνδεούσης οὔσης O^b. ‖ 2. ἡδεῖ χαίρουσιν M^b, ἤδη χαίρουσιν K^b. ‖ 5. ἡδὺ φύσει M^b. ‖ 7. αἱ ἡδοναὶ ἀπὸ τούτων pr K^b, αἱ ἀπὸ τούτων ἡδοναί M^b. ‖ 12. τὴν om L^bM^b. ‖ τελείωσιν $L^bM^bO^b$. ‖ καὶ om K^b. ‖ 13. εἶναι om M^b. ‖ 18. τὸ δ' αὐτὸ M^b. ‖ 21. ἀλλὰ καὶ αἱ M^b. ‖ 22. μᾶλλον — 23. μανθάνειν om L^b. ‖ 23. ποιοῦσι M^b. ‖ τέχνης μὴ εἶναι ἔργον μηδεμίαν ἡδονὴν L^b, μὴ εἶναι τέχνην μηδεμίαν ἡδονῆς M^b. ‖ 24. οὔτε M^b. ‖ 28. παιδία διώκειν καὶ τὰ θηρία τῷ αὐτῷ λέγεται M^b. ‖ 29. γὰρ] καὶ K^b. ‖ 29 et 30. ἀγαθὰ K^b. ‖ 30. πῶς et αἱ om M^b. ‖ τοιαύτας καὶ τὰ K^b. ‖ 31. παιδία καὶ θηρία M^b. ‖ ὁ om K^b. ‖ 32. τὰς om K^b. ‖ μετ'] δ' M^b. ‖ λύπας τὰς M^b. ‖ 33. καθ'] φεύγει καθ' M^b.

1. καὶ ante ἡ om K^bM^b. ‖ 3. τι $K^bM^bO^b$. ‖ κακὸν ᾗ ἀγαθόν K^b. ‖ 5. ἔλεγεν M^b. ‖ 7. τὴν — κωλύει om L^b. ‖ τ' om M^b. ‖ 11. ᾖ] εἰ M^b. ‖ 21. τῆς om M^b. ‖ 22. τισὶ om M^b. ‖ ἡ εὐδαιμονία τῇ εὐτυχίᾳ M^b. ‖ 23. αὕτη L^bM^b, αὐτῇ N^b. ‖ 24. οὐκ ἔστιν M^b, οὐκ ἔστιν ἔτι L^b. ‖ 25. πάντα L^bO^b. ‖ 26. πως] τέως K^b. ‖ 27. ὅτις πάμπαν K^b. ‖ λαοὶ] οἱ K^b, om $L^bM^bN^bO^b$. ‖ 30. ἅπαντες L^bO^b. ‖ ἡδονὴν μέντοι πάντες om M^b. ‖ 32. τι] τὸ K^b. ‖ 33. εἰλήφασί γε τὴν $M^bN^bO^b$.

ταύτας μόνας οἴονται εἶναι. φανερὸν δὲ καὶ ὅτι, εἰ μὴ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἐνέργεια, ὐκ ἔςαι ζῆν ἡδέως τὸν εὐδαίμονα· τίνος γὰρ ἕνεκα δέοι ἂν αὐτῆς, εἴπερ μὴ ἀγαθόν, ἀλλὰ καὶ λυπηρῶς ἐνδέχεται ζῆν; ὔτε κακὸν γὰρ οὔτ' ἀγαθὸν ἡ λύπη, εἴπερ μηδ' ἡδονή· ὥστε διὰ τί ἂν φεύγοι; οὐδὲ δὴ ἡδίων ὁ βίος ὁ τοῦ σπουδαίου, εἰ μὴ καὶ αἱ ἐνέργειαι αὐτοῦ.

Περὶ δὲ δὴ τῶν σωματικῶν ἡδονῶν ἐπισκεπτέον τοῖς λέγυσιν ὅτι ἔνιαί γε ἡδοναὶ αἱρεταὶ σφόδρα, οἷον αἱ καλαί, ἀλλ' ὐχ αἱ σωματικαὶ καὶ περὶ ἃς ὁ ἀκόλαςος. διὰ τί ὖν αἱ ἐναντίαι λῦπαι μοχθηραί; κακῷ γὰρ ἀγαθὸν ἐναντίον. ἢ οὕτως ἀγαθαὶ αἱ ἀναγκαῖαι, ὅτι καὶ τὸ μὴ κακὸν ἀγαθόν ἐςιν; ἢ μέχρι τυ ἀγαθαί; τῶν μὲν γὰρ ἕξεων καὶ κινήσεων ὅσων μή ἐςι τῦ βελτίονος ὑπερβολή, ὐδὲ τῆς ἡδονῆς· ὅσων δ' ἐστί, καὶ τῆς ἡδονῆς ἐστίν. τῶν δὲ σωματικῶν ἀγαθῶν ἐστὶν ὑπερβολή, καὶ ὁ φαῦλος τῷ διώκειν τὴν ὑπερβολήν ἐςιν, ἀλλ' ὐ τὰς ἀναγκαίας· πάντες γὰρ χαίρυσί πως καὶ ὄψοις καὶ οἴνοις καὶ ἀφροδισίοις, ἀλλ' ὐχ ὡς δεῖ. ἐναντίως δ' ἐπὶ τῆς λύπης· ὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως· οὐ γάρ ἐςι τῇ ὑπερβολῇ λύπη ἐναντία ἀλλ' ἢ τῷ διώκοντι τὴν ὑπερβολήν.

Ἐπεὶ δ' οὐ μόνον δεῖ τἀληθὲς εἰπεῖν ἀλλὰ καὶ τὸ αἴτιον τῦ ψεύδους· τῦτο γὰρ συμβάλλεται πρὸς τὴν πίςιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς οὐκ ὂν ἀληθές, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον· ὥστε λεκτέον διὰ τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ αἱρετώτεραι. πρῶτον μὲν ὖν δὴ ὅτι ἐκκρύει τὴν λύπην· καὶ διὰ τὰς ὑπερβολὰς τῆς λύπης, ὡς ὔσης ἰατρείας, τὴν ἡδονὴν διώκυσι τὴν ὑπερβάλλυσαν καὶ ὅλως τὴν σωματικήν. σφοδραὶ δὲ γίνονται αἱ ἰατρεῖαι, διὸ καὶ διώκονται, διὰ τὸ παρὰ τὸ ἐναντίον φαίνεσθαι. καὶ ὐ σπυδαῖον δὴ δοκεῖ ἡ ἡδονὴ διὰ δύο ταῦτα, ὥσπερ εἴρηται, ὅτι αἱ μὲν φαύλης φύσεώς εἰσι πράξεις, ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου, ἢ δι' ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων. αἱ δ' ἰατρεῖαι, ὅτι ἐνδεοῦς, καὶ ἔχειν βέλτιον ἢ γίνεσθαι. αἱ δὲ συμβαίνυσι τελευμένων· κατὰ συμβεβηκὸς οὖν σπυδαῖαι. ἔτι διώκονται διὰ τὸ σφοδραὶ εἶναι ὑπὸ τῶν ἄλλαις μὴ δυναμένων χαίρειν· αὐτοὶ γῦν αὐτοῖς δίψας τινὰς παρασκευάζυσιν. ὅταν μὲν ὖν ἀβλαβεῖς, ἀνεπιτίμητον, ὅταν δὲ βλαβεράς, φαῦλον· ὔτε γὰρ ἔχυσιν ἕτερα ἐφ' οἷς χαίρυσιν, τό τε μηδέτερον πολλοῖς λυπηρὸν διὰ τὴν φύσιν· ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ φυσικοὶ λόγοι μαρτυροῦσι, τὸ ὁρᾶν καὶ τὸ ἀκούειν φάσκοντες εἶναι λυπηρόν· ἀλλ' ἤδη συνήθεις ἐσμέν, ὡς φασίν. ὁμοίως δ' ἐν μὲν τῇ νεότητι διὰ τὴν αὔξησιν ὥσπερ οἱ οἰνωμένοι διάκεινται, καὶ ἡδὺ ἡ νεότης. οἱ δὲ μελαγχολικοὶ τὴν φύσιν ἀεὶ δέονται ἰατρείας· καὶ γὰρ τὸ σῶμα δακνόμενον διατελεῖ διὰ τὴν κρᾶσιν, καὶ ἀεὶ ἐν ὀρέξει σφοδρᾷ εἰσίν. ἐξελαύνει δὲ ἡδονὴ λύπην ἥ τ' ἐναντία καὶ ἡ τυχῦσα, ἐὰν ᾖ ἰσχυρά· καὶ διὰ ταῦτα ἀκόλαστοι καὶ φαῦλοι γίνονται. αἱ δ' ἄνευ λυπῶν οὐκ ἔχυσιν ὑπερβολήν. αὗται δὲ αἱ τῶν φύσει ἡδέων καὶ μὴ κατὰ συμβεβηκός. λέγω δὲ κατὰ συμβεβηκὸς ἡδέα τὰ ἰατρεύοντα· ὅτι γὰρ συμβαίνει ἰατρεύεσθαι τοῦ ὑπομένοντος ὑγιοῦς πράττοντός τι, διὰ τοῦτο ἡδὺ δοκεῖ εἶναι· φύσει δ' ἡδέα, ἃ ποιεῖ πρᾶξιν τῆς τοιᾶσδε φύσεως. οὐκ ἀεὶ δ' ὐθὲν ἡδὺ τὸ αὐτὸ διὰ τὸ μὴ ἁπλῆν ἡμῶν εἶναι τὴν φύσιν, ἀλλ' ἐνεῖναί τι καὶ ἕτερον, καθὸ φθαρτά, ὥστε ἄν τι θάτερον πράττῃ, τῦτο τῇ ἑτέρᾳ φύσει παρὰ φύσιν, ὅταν δ' ἰσάζῃ, οὔτε λυπηρὸν δοκεῖ ὔθ' ἡδὺ τὸ πραττόμενον· ἐπεὶ εἴ του ἡ φύσις ἁπλῆ εἴη, ἀεὶ ἡ αὐτὴ πρᾶξις ἡδίστη ἔςαι. διὸ ὁ θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· ὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια ἀλλὰ καὶ ἀκινησίας, καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐςὶν ἢ ἐν κινήσει. μεταβολὴ δὲ πάντων γλυκύτατον, κατὰ τὸν ποιητήν, διὰ πονηρίαν τινά· ὥσπερ γὰρ ἄνθρωπος εὐμετάβολος ὁ πονηρός, καὶ ἡ φύσις ἡ δεομένη μεταβολῆς· ὐ γὰρ ἁπλῆ ὐδ' ἐπιεικής.

Περὶ μὲν ὖν ἐγκρατείας καὶ ἀκρασίας καὶ περὶ ἡδονῆς καὶ λύπης εἴρηται, καὶ τί ἕκαςον καὶ πῶς τὰ μὲν ἀγαθὰ αὐτῶν ἐςὶ τὰ δὲ κακά· λοιπὸν δὲ καὶ περὶ φιλίας ἐροῦμεν.

1. εἶναι om M^b. ‖ μὴ ἡ ἡδονὴ M^bO^b. ‖ 2. ἡ om M^b. ‖ ὐκ om K^b. ‖ 3. ἕνεκεν L^b. ‖ 4. οὔτ' ἀγαθὸν γὰρ ὔτε κακὸν K^b. ‖ 5. φεύγοιμεν L^b. ‖ 8. γε O^b. ‖ δὴ om M^b. ‖ σκεπτέον M^b. ‖ 9. ἀλλ' om K^b. ‖ 11. μοχθηρίαι K^b. ‖ κακὸν γὰρ ἀγαθῷ M^b. ‖ 13. μὲν om L^b. ‖ 14. ὅσον K^b. ‖ ὅσων] τούτων K^b. ‖ 15. δὲ τῶν K^b. ‖ 16. ἐστὶν om K^b. ‖ 18. ἐναντίοις K^b. ‖ 24. οὐκ] τὸ οὐκ M^b. ‖ 27. ὖν om L^bM^b. ‖ 29. σφόδρα K^b. ‖ γὰρ M^b. ‖ 30. αἱ om K^bL^b. ‖ τῷ ἐναντίῳ M^b. ‖ 32. ἢ om K^b. ‖ 33. οἷον] ὥσπερ O^b.

1. ἃ K^b. ‖ τελειυμένων M^bO^b. ‖ 3. μὴ om L^b. ‖ ὖν M^b. ‖ ἑαυτοῖς L^bO^b. ‖ 4. ἀνεπιτίμητοι M^b. ‖ 5. βλαβεραὶ L^bO^b. ‖ φαῦλαι rc M^b. ‖ ἑτέραν K^b, ἕτερον M^b. ‖ 7. ἀεὶ] εἰ K^b. ‖ λόγοι om K^b. ‖ 8. καὶ add M^b. ‖ 9. ὅμως K^b, οἱ μοιχοὶ M^b. ‖ μὲν om K^b. ‖ 10. διάκεινται ante ὥσπερ L^bO^b. ‖ 11. δέονται ἀεὶ K^bM^b. ‖ 12. θεραπείας L^bO^b. ‖ διὰ om M^b. ‖ 14. ἂν L^b. ‖ 15. λύπης M^bO^b. ‖ 16. ἔχυσι τὴν ὑπερβολὴν L^b. ‖ αἱ om K^b. ‖ 17. λέγω δὲ κατὰ συμβεβηκὸς om L^bM^b. ‖ ἡδέα δὲ τὰ M^b. ‖ 19. τι om K^b. ‖ τοῦτο] τοῦτο δὲ K^b. ‖ δοκεῖ ἡδὺ L^bM^b. ‖ 21. δ' om K^b. ‖ εἶναι ἡμῶν M^b. ‖ 22. φθαρτόν M^b. ‖ 25. εἰ τούτου φύσις M^b. ‖ 29. γλυκύτατον] ἡδὺ M^b. ‖ 30. ἡ post καὶ om L^bO^b. ‖ 32. περὶ om M^b. ‖ 34. καὶ om K^bO^b. ‖ ἐροῦμεν] ἔςιν εἰπεῖν καὶ ποῖόν τι καὶ τίς ὁ φίλος L^bO^b.

Θ.

Μετὰ δὲ ταῦτα περὶ φιλίας ἕποιτ' ἂν διελθεῖν· ἔστι ρετή τις ἢ μετ' ἀρετῆς, ἔτι δ' ἀναγκαιότατον εἰς τὸν ἄνευ γὰρ φίλων ὐδεὶς ἕλοιτ' ἂν ζῆν, ἔχων τὰ λοιπὰ πάντα· καὶ γὰρ πλυτῦσι καὶ ἀρχὰς καὶ δυναςείας μένοις δοκεῖ φίλων μάλις' εἶναι χρεία· τί γὰρ ὄφελος ταύτης εὐετηρίας ἀφαιρεθείσης εὐεργεσίας, ἢ γίγνεται α καὶ ἐπαινετωτάτη πρὸς φίλυς; ἢ πῶς ἂν τηρηθείη ζοιτ' ἄνευ φίλων; ὅσῳ γὰρ πλείων, τοσύτῳ ἐπισφα- α. ἐν πενίᾳ τε καὶ ταῖς λοιπαῖς δυστυχίαις μόνην καταφυγὴν εἶναι τοὺς φίλυς. καὶ νέοις δὲ πρὸς τὸ ρτητον καὶ πρεσβυτέροις πρὸς θεραπείαν καὶ τὸ ἐλ- τῆς πράξεως δι' ἀσθένειαν βοηθεῖ, τοῖς τ' ἐν ἀκμῇ ὰς καλὰς πράξεις· "σύν τε δύ' ἐρχομένω·" καὶ γὰρ καὶ πρᾶξαι δυνατώτεροι. φύσει τ' ἐνυπάρχειν ἔοικε τὸ γεγεννημένον τῷ γεννήσαντι καὶ πρὸς τὸ γεννῆσαν ννηθέντι, οὐ μόνον ἐν ἀνθρώποις ἀλλὰ καὶ ἐν ὄρνισι ῖς πλείστοις τῶν ζῴων, καὶ τοῖς ὁμοεθνέσι πρὸς ἄλ- καὶ μάλιςα τοῖς ἀνθρώποις, ὅθεν τοὺς φιλανθρώπυς μεν. ἴδοι δ' ἄν τις καὶ ἐν ταῖς πλάναις ὡς οἰκεῖον ἄνθρωπος ἀνθρώπῳ καὶ φίλον. ἔοικε δὲ καὶ τὰς πό- νέχειν ἡ φιλία, καὶ οἱ νομοθέται μᾶλλον περὶ αὐτὴν ίζειν ἢ τὴν δικαιοσύνην· ἡ γὰρ ὁμόνοια ὅμοιόν τι τῇ ἔοικεν εἶναι, ταύτης δὲ μάλις' ἐφίενται καὶ τὴν ςά- θραν ὔσαν μάλιςα ἐξελαύνυσιν. καὶ φίλων μὲν ὄντων δεῖ δικαιοσύνης, δίκαιοι δ' ὄντες προσδέονται φιλίας, ῶν δικαίων τὸ μάλιςα φιλικὸν εἶναι δοκεῖ. οὐ μόνον γκαῖόν ἐςιν ἀλλὰ καὶ καλόν· τοὺς γὰρ φιλοφίλους ῦμεν, ἥ τε πολυφιλία δοκεῖ τῶν καλῶν ἕν τι εἶναι, οι τὺς αὐτὺς οἴονται ἄνδρας ἀγαθὺς εἶναι καὶ φίλυς. Διαμφισβητεῖται δὲ περὶ αὐτῆς οὐκ ὀλίγα. οἱ μὲν οιότητά τινα τιθέασιν αὐτὴν καὶ τοὺς ὁμοίους φίλυς, ν ὅμοιόν φασιν ὡς τὸν ὅμοιον, καὶ κολοιὸν ποτὶ κο- καὶ ὅσα τοιαῦτα· οἱ δ' ἐξ ἐναντίας κεραμεῖς πάντας τοὺς τοιύτυς ἀλλήλοις φασὶν εἶναι. καὶ περὶ αὐτῶν τύτων ἀνώτερον ἐπιζητῦσι καὶ φυσικώτερον, Εὐριπίδης μὲν φάσκων ἐρᾶν μὲν ὄμβρυ γαῖαν ξηρανθεῖσαν, ἐρᾶν δὲ σεμνὸν ὐρανὸν πληρούμενον ὄμβρου πεσεῖν ἐς γαῖαν, καὶ Ἡράκλειτος τὸ ἀντίξυν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίςην ἁρμονίαν καὶ πάντα κατ' ἔριν γίνεσθαι· ἐξ ἐναντίας δὲ τύτοις ἄλλοι τε καὶ Ἐμπεδοκλῆς· τὸ γὰρ ὅμοιον τῦ ὁμοίυ ἐφίεσθαι. τὰ μὲν ὖν φυσικὰ τῶν ἀπορημάτων ἀφείσθω (ὐ γὰρ οἰκεῖα τῆς παρύσης σκέψεως)· ὅσα δ' ἐστὶν ἀνθρωπικὰ καὶ ἀνήκει εἰς τὰ ἤθη καὶ τὰ πάθη, ταῦτ' ἐπισκεψώμεθα, οἷον πότερον ἐν πᾶσι γίνεται φιλία ἢ ὐχ οἷόν τε μοχθηρὺς ὄντας φίλους εἶναι, καὶ πότερον ἓν εἶδος τῆς φιλίας ἐστὶν ἢ πλείω. οἱ μὲν γὰρ ἓν οἰόμενοι, ὅτι ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ὐχ ἱκανῷ πεπιςεύκασι σημείῳ· δέχεται γὰρ τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὰ ἕτερα τῷ εἴδει. εἴρηται δ' ὑπὲρ αὐτῶν ἔμπροσθεν.

Τάχα δ' ἂν γένοιτο περὶ αὐτῶν φανερὸν γνωρισθέντος τῦ φιλητῦ· δοκεῖ γὰρ ὐ πᾶν φιλεῖσθαι ἀλλὰ τὸ φιλητόν, τῦτο δ' εἶναι ἀγαθὸν ἢ ἡδὺ ἢ χρήσιμον. δόξειε δ' ἂν χρήσιμον εἶναι δι' ὖ γίνεται ἀγαθόν τι ἢ ἡδονή, ὥστε φιλητὰ ἂν εἴη τἀγαθόν τε καὶ τὸ ἡδὺ ὡς τέλη. πότερον ὖν τἀγαθὸν φιλῦσιν ἢ τὸ αὐτοῖς ἀγαθόν; διαφωνεῖ γὰρ ἐνίοτε ταῦτα. ὁμοίως δὲ καὶ περὶ τὸ ἡδύ. δοκεῖ δὲ τὸ αὐτῷ ἀγαθὸν φιλεῖν ἕκαςος, καὶ εἶναι ἁπλῶς μὲν τἀγαθὸν φιλητόν, ἑκάςῳ δὲ τὸ ἑκάςῳ. φιλεῖ δ' ἕκαςος ὐ τὸ ὂν αὐτῷ ἀγαθὸν ἀλλὰ τὸ φαινόμενον. διοίσει δ' ὐδέν· ἔςαι γὰρ τὸ φιλητὸν φαινόμενον. τριῶν δ' ὄντων δι' ἃ φιλῦσιν, ἐπὶ μὲν τῇ τῶν ἀψύχων φιλήσει ὐ λέγεται φιλία· ὐ γάρ ἐςιν ἀντιφίλησις, ὐδὲ βύλησις ἐκείνων ἀγαθῦ· γελοῖον γὰρ ἴσως τῷ οἴνῳ βύλεσθαι τἀγαθά· ἀλλ' εἴπερ, σῴζεσθαι βύλεται αὐτόν, ἵνα αὐτὸς ἔχῃ. τῷ δὲ φίλῳ φασὶ δεῖν βύλεσθαι τἀγαθὰ ἐκείνυ ἕνεκα. τὺς δὲ βυλομένυς ὕτω τἀγαθὰ εὔνυς λέγυσιν, ἐὰν μὴ ταὐτὸ καὶ παρ' ἐκείνυ γίγνηται· εὔνοιαν γὰρ ἐν ἀντιπεπονθόσι φιλίαν εἶναι. ἢ προσθετέον μὴ λανθάνυσαν· πολλοὶ γάρ εἰσιν εὖνοι οἷς ὐχ ἑωράκασιν, ὑπολαμβάνυσι δὲ ἐπιεικεῖς εἶναι ἢ

ἀναγκαιοτάτη M^b. ‖ 5. φιλίας οὐδεὶς ἂν ἕλοιτο M^b. ‖ 6. καὶ δυναςείας om K^b. ‖ 9. ἢ] καὶ M^b. ‖ 10. ἀσφαλεστέρα M^b. ‖ αις M^b. ‖ 12. δὲ] δεῖ L^bO^b. ‖ 14. βοήθεια M^b, βοηθείας $K^bL^bO^b$. ‖ 17. πρὸς — καὶ om K^b. ‖ πρὸς — 18. γεννηθέντι om O^b. ‖ 18. ὀρνέοις M^b. ‖ 21. ἐν om M^b. ‖ 22. πᾶς K^b. ‖ 24. σπουδάζουσιν M^b. ‖ τι om L^b. ‖ τῆς φιλίας M^b. ‖ 25. δὲ] ‖ μᾶλλον M^b. ‖ 26. ἐχθρὰν $L^bM^bO^b$. ‖ 29. τε L^bO^b. ‖ φίλους $K^bM^bO^b$. ‖ 31. ἔνιοι] ἔτι $K^bL^bO^b$. ‖ οἷόν τε K^b. ‖ 32. δὴ M^b. ‖ 34. ποτὶ] παρ L^b, παρὰ O^b. ‖ 35. ὅσα] τὰ $K^bL^bO^b$.

ζητοῦσι L^b. ‖ καὶ om K^b. ‖ 3. ὄμβρυ μὲν K^b. ‖ 4. εἰς K^bO^b. ‖ 6. ἐναντίων M^b. ‖ 8. παρείσθω M^bN^b. ‖ 10. τἀληθῆ K^b. ‖ μεθα O^b. ‖ 11. γίνεται ἡ φιλία O^b. ‖ 13. δέχεται O^b. ‖ 14. τὸ om O^b. ‖ 15. τὸ ante ἧττον, καὶ post ἧττον om L^bO^b. ‖ 17. περὶ αὐτῶν M^b. ‖ 19. ἢ — ἢ] καὶ — καὶ M^b. ‖ 20. φιλητὸν K^bL^b. ‖ 21. ἂν εἴη] εἶναι K^b. ‖ 23. ἡδύ] ἡδὺ αὐτό M^bO^b. ‖ ὸ M^b. ‖ 27. δι' om K^b. ‖ ἐπὶ] ἐν K^bM^b. ‖ 29. βυλεύεσθαι M^b. ‖ 31. δεῖ βυλεύεσθαι M^b. ‖ 32. ἂν K^bM^b. ‖ 33. καὶ

χρησίμους· τοῦτο δὲ ταὐτὸν κἂν ἐκείνων τις πάθοι πρὸς τοῦτον. εὖνοι μὲν οὖν οὗτοι φαίνονται ἀλλήλοις· φίλους δὲ πῶς ἄν τις εἴποι λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς; δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις καὶ βούλεσθαι τἀγαθὰ μὴ λανθάνοντας δι' ἕν τι τῶν εἰρημένων.

3 Διαφέρει δὲ ταῦτα ἀλλήλων εἴδει· καὶ αἱ φιλήσεις ἄρα καὶ αἱ φιλίαι. τρία δὴ τὰ τῆς φιλίας εἴδη, ἰσάριθμα τοῖς φιλητοῖς· καθ' ἕκαστον γάρ ἐστιν ἀντιφίλησις οὐ λανθάνουσα. οἱ δὲ φιλοῦντες ἀλλήλους βούλονται τἀγαθὰ ἀλλήλοις ταύτῃ ᾗ φιλοῦσιν. οἱ μὲν οὖν διὰ τὸ χρήσιμον φιλοῦντες ἀλλήλους οὐ καθ' αὑτοὺς φιλοῦσιν, ἀλλ' ᾗ γίγνεταί τι αὐτοῖς παρ' ἀλλήλων ἀγαθόν. ὁμοίως δὲ καὶ οἱ δι' ἡδονήν· οὐ γὰρ τῷ ποιούς τινας εἶναι ἀγαπῶσι τοὺς εὐτραπέλους, ἀλλ' ὅτι ἡδεῖς αὐτοῖς. οἵ τε δὴ διὰ τὸ χρήσιμον φιλοῦντες διὰ τὸ αὑτοῖς ἀγαθὸν στέργουσι, καὶ οἱ δι' ἡδονὴν διὰ τὸ αὑτοῖς ἡδύ, καὶ οὐχ ᾗ ὁ φιλούμενός ἐστιν, ἀλλ' ᾗ χρήσιμος ἢ ἡδύς. κατὰ συμβεβηκός τε δὴ αἱ φιλίαι αὗταί εἰσιν· οὐ γὰρ ᾗ ἐστὶν ὅσπερ ἐστὶν ὁ φιλούμενος, ταύτῃ φιλεῖται, ἀλλ' ᾗ πορίζουσιν οἱ μὲν ἀγαθόν τι οἱ δ' ἡδονήν. εὐδιάλυτοι δὴ αἱ τοιαῦταί εἰσι, μὴ διαμενόντων αὐτῶν ὁμοίων· ἐὰν γὰρ μηκέτι ἡδεῖς ἢ χρήσιμοι ὦσι, παύονται φιλοῦντες. τὸ δὲ χρήσιμον οὐ διαμένει, ἀλλ' ἄλλοτε ἄλλο γίγνεται. ἀπολυθέντος οὖν δι' ὃ φίλοι ἦσαν, διαλύεται καὶ ἡ φιλία, ὡς οὔσης τῆς φιλίας πρὸς ἐκεῖνα. μάλιστα δ' ἐν τοῖς πρεσβύταις ἡ τοιαύτη δοκεῖ φιλία γίνεσθαι (οὐ γὰρ τὸ ἡδὺ οἱ τηλικοῦτοι διώκουσιν ἀλλὰ τὸ ὠφέλιμον), καὶ τῶν ἐν ἀκμῇ καὶ νέων ὅσοι τὸ συμφέρον διώκουσιν. οὐ πάνυ δ' οἱ τοιοῦτοι οὐδὲ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδ' εἰσὶν ἡδεῖς· οὐδὲ δὴ προσδέονται τῆς τοιαύτης ὁμιλίας, ἐὰν μὴ ὠφέλιμοι ὦσιν· ἐπὶ τοσοῦτον γάρ εἰσιν ἡδεῖς ἐφ' ὅσον ἐλπίδας ἔχουσιν ἀγαθοῦ. εἰς ταύτας δὲ καὶ τὴν ξενικὴν τιθέασιν. ἡ δὲ τῶν νέων φιλία δι' ἡδονὴν εἶναι δοκεῖ· κατὰ πάθος γὰρ οὗτοι ζῶσι, καὶ μάλιστα διώκουσι τὸ ἡδὺ αὐτοῖς καὶ τὸ παρόν· τῆς ἡλικίας δὲ μεταπιπτούσης καὶ τὰ ἡδέα γίνεται ἕτερα. διὸ ταχέως γίγνονται φίλοι καὶ παύονται· ἅμα γὰρ τῷ ἡδεῖ ἡ φιλία μεταπίπτει, τῆς δὲ τοιαύτης ἡδονῆς ταχεῖα ἡ μεταβολή. καὶ ἐρωτικοὶ δ' οἱ νέοι· κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ πολὺ τῆς ἐρωτικῆς· διόπερ φιλοῦσι καὶ ταχέως παύονται, πολλάκις τῆς αὐτῆς ἡμέρας μεταπίπτοντες. συνημερεύειν δὲ καὶ συζῆν οὗτοι βούλονται· γίνεται γὰρ αὐτοῖς τὸ κατὰ φιλίαν οὕτως.

Τελεία δ' ἐστὶν ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων· οὗτοι γὰρ τἀγαθὰ ὁμοίως βούλονται ἀλλήλοις, ᾗ ἀγαθοί· ἀγαθοὶ δ' εἰσὶ καθ' αὑτούς. οἱ δὲ βουλόμενοι τἀγαθὰ τοῖς φίλοις ἐκείνων ἕνεκα μάλιστα φίλοι· δι' αὑτοὺς γὰρ οὕτως ἔχουσι, καὶ οὐ κατὰ συμβεβηκός· διαμένει οὖν ἡ τούτων φιλία ἕως ἂν ἀγαθοὶ ὦσιν, ἡ δ' ἀρετὴ μόνιμον. καὶ ἔστιν ἑκάτερος ἁπλῶς ἀγαθὸς καὶ τῷ φίλῳ· οἱ γὰρ ἀγαθοὶ καὶ ἁπλῶς ἀγαθοὶ καὶ ἀλλήλοις ὠφέλιμοι. ὁμοίως δὲ καὶ ἡδεῖς· καὶ γὰρ ἁπλῶς οἱ ἀγαθοὶ ἡδεῖς καὶ ἀλλήλοις· ἑκάστῳ γὰρ καθ' ἡδονήν εἰσιν αἱ οἰκεῖαι πράξεις καὶ αἱ τοιαῦται, τῶν ἀγαθῶν δὲ αἱ αὐταὶ ἢ ὅμοιαι. ἡ τοιαύτη δὲ φιλία μόνιμος εὐλόγως ἐστίν· συνάπτει γὰρ ἐν αὐτῇ πάνθ' ὅσα τοῖς φίλοις δεῖ ὑπάρχειν. πᾶσα γὰρ φιλία δι' ἀγαθόν ἐστιν ἢ δι' ἡδονήν, ἢ ἁπλῶς ἢ τῷ φιλοῦντι, καὶ καθ' ὁμοιότητά τινα· ταύτῃ δὲ πάνθ' ὑπάρχει τὰ εἰρημένα καθ' αὑτούς· ταύτῃ γὰρ ὅμοια καὶ τὰ λοιπά, τό τε ἁπλῶς ἀγαθὸν καὶ ἡδὺ ἁπλῶς ἐστίν. μάλιστα δὲ ταῦτα φιλητά, καὶ τὸ φιλεῖν δὲ καὶ ἡ φιλία ἐν τούτοις μάλιστα καὶ ἀρίστη. σπανίας δ' εἰκὸς τὰς τοιαύτας εἶναι· ὀλίγοι γὰρ οἱ τοιοῦτοι. ἔτι δὲ προσδεῖται χρόνου καὶ συνηθείας· κατὰ τὴν παροιμίαν γὰρ οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι· οὐδ' ἀποδέξασθαι δὴ πρότερον οὐδ' εἶναι φίλους, πρὶν ἂν ἑκάτερος ἑκατέρῳ φανῇ φιλητὸς καὶ πιστευθῇ. οἱ δὲ ταχέως τὰ φιλικὰ πρὸς ἀλλήλους ποιοῦντες βούλονται μὲν φίλοι εἶναι, οὐκ εἰσὶ δέ, εἰ μὴ καὶ φιλητοί, καὶ τοῦτ' ἴσασιν· βούλησις μὲν γὰρ ταχεῖα φιλίας γίνεται, φιλία δ' οὔ.

Αὕτη μὲν οὖν καὶ κατὰ τὸν χρόνον καὶ κατὰ τὰ λοιπὰ τελεία ἐστί, καὶ κατὰ πάντα ταὐτὰ γίνεται καὶ ὅμοια ἑκατέρῳ παρ' ἑκατέρου, ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν· ἡ δὲ

2. οὗτοι et φίλους — 3. ἀλλήλοις om M^b. ‖ 6. αἱ om K^b. ‖ 7. ἄρα om L^b. ‖ δὲ O^b, γὰρ M^b. ‖ εἴδη τὰ τῆς φιλίας M^b. ‖ 10. ταύτῃ om L^b. ‖ 16. ὁ om K^b. ‖ 18. περ] ποτε $L^bM^bO^b$. ‖ 19. δὲ M^b. ‖ 22. γίγνεται ἄλλο M^b. ‖ 24. φιλία δοκεῖ L^bO^b. ‖ 26. ἀλλὰ — 27. διώκουσιν om M^b. ‖ 27. οὐδὲ om L^bO^b. ‖ 28. δὴ om K^b, post προσδέονται ponit M^b. ‖ 30. ἐλπίδα K^b. ‖ 33. τ' ἡλικίας M^b. ‖ 35. ἡδεῖ καὶ ἡ L^b.

2. δι' om L^b. ‖ 3. τοῖς ἐρωτικοῖς M^b. ‖ 4. συνημερεύσειν K^b. ‖ 5. κατὰ τὴν φιλίαν K^bO^b. ‖ 8. ὁμοίως ἀλλήλοις βούλονται M^b, βούλονται σὺν ἀλλήλοις K^b. ‖ ᾗ] καθὸ M^b. ‖ 9. ἀγαθοὶ δ' om L^bO^b. ‖ 14. ὠφέλιμοι] καὶ ὠφέλιμοι L^b. ὠφέλιμοι — 15. ἀλλήλοις om M^b. ‖ 15. οἱ γὰρ ἀγαθοὶ ἁπλῶς καὶ ἡδεῖς L^b. ‖ 17. δὲ αὗται ὅμοιαι K^b, δὲ τοιαῦται ἢ ὅμοιαι O^b. ‖ 19. δεῖ τοῖς φίλοις M^b. ‖ 21. αὐτὰ M^b. ‖ 22. ὅμοιοι K^b. ‖ 23. ἁπλῶς ἡδύ L^bO^b. ‖ δὴ K^bL^b. ‖ 25. γάρ εἰσιν οἱ L^b. ‖ 27. συναλῶσαι L^bM^b. ‖ 28. δεῖ L^bM^b, δὲ O^b. ‖ ἂν add O^b. ‖ 30. μὲν om K^b. ‖ 32. γὰρ] οὖν K^b. ‖ 33. λόγια K^b. ‖ 34. ταῦτα L^bM^b, om K^bO^b. ‖ καὶ om M^b. ‖ ὁμοία K^b $L^bM^bO^b$.

διὰ τὸ ἡδὺ ὁμοίωμα ταύτης ἔχει· καὶ γὰρ οἱ ἀγαθοὶ ἡδεῖς ἀλλήλοις. ὁμοίως δὲ καὶ ἡ διὰ τὸ χρήσιμον· καὶ γὰρ τοιοῦτοι ἀλλήλοις οἱ ἀγαθοί. μάλιστα δὲ καὶ ἐν τούτοις αἱ φιλίαι διαμένουσιν, ὅταν τὸ αὐτὸ γίγνηται παρ' ἀλλήλων, οἷον ἡδονή, καὶ μὴ μόνον οὕτως ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοῦ, οἷον τοῖς εὐτραπέλοις, καὶ μὴ ὡς ἐραστῇ καὶ ἐρωμένῳ· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἥδονται οὗτοι, ἀλλ' ὁ μὲν ὁρῶν ἐκεῖνον, ὁ δὲ θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ· ληγούσης δὲ τῆς ὥρας ἐνίοτε καὶ ἡ φιλία λήγει· τῷ μὲν γὰρ οὐκ ἔστιν ἡδεῖα ἡ ὄψις, τῷ δ' οὐ γίνεται ἡ θεραπεία. πολλοὶ δ' αὖ διαμένουσιν, ἐὰν ἐκ τῆς συνηθείας τὰ ἤθη στέρξωσιν, ὁμοήθεις ὄντες. οἱ δὲ μὴ τὸ ἡδὺ ἀντικαταλλαττόμενοι ἀλλὰ τὸ χρήσιμον ἐν τοῖς ἐρωτικοῖς καὶ εἰσὶν ἧττον φίλοι καὶ διαμένουσιν. οἱ δὲ διὰ τὸ χρήσιμον ὄντες φίλοι ἅμα τῷ συμφέροντι διαλύονται· οὐ γὰρ ἀλλήλων ἦσαν φίλοι ἀλλὰ τοῦ λυσιτελοῦς. δι' ἡδονὴν μὲν οὖν καὶ διὰ τὸ χρησιμον καὶ φαύλους ἐνδέχεται φίλους εἶναι ἀλλήλοις, καὶ ἐπιεικεῖς φαύλοις καὶ μηδέτερον ὁποιῳοῦν, δι' αὑτοὺς δὲ δῆλον ὅτι μόνους τοὺς ἀγαθούς· οἱ γὰρ κακοὶ οὐ χαίρουσιν ἑαυτοῖς, εἰ μή τις ὠφέλεια γίγνοιτο. καὶ μόνη δὲ ἡ τῶν ἀγαθῶν φιλία ἀδιάβλητός ἐστιν· οὐ γὰρ ῥᾴδιον οὐδενὶ πιστεῦσαι περὶ τοῦ ἐν πολλῷ χρόνῳ ὑπ' αὐτῶν δεδοκιμασμένου. καὶ τὸ πιστεύειν ἐν τούτοις, καὶ τὸ μηδέποτ' ἂν ἀδικῆσαι, καὶ ὅσα ἄλλα ἐν τῇ ὡς ἀληθῶς φιλίᾳ ἀξιοῦται. ἐν δὲ ταῖς ἑτέραις οὐδὲν κωλύει τὰ τοιαῦτα γίνεσθαι. ἐπεὶ γὰρ οἱ ἄνθρωποι λέγουσι φίλους καὶ τοὺς διὰ τὸ χρήσιμον, ὥσπερ αἱ πόλεις (δοκοῦσι γὰρ αἱ συμμαχίαι ταῖς πόλεσι γίνεσθαι ἕνεκα τοῦ συμφέροντος), καὶ τοὺς δι' ἡδονὴν ἀλλήλους στέργοντας, ὥσπερ οἱ παῖδες, ἴσως λέγειν μὲν δεῖ καὶ ἡμᾶς φίλους τοὺς τοιούτους, εἴδη δὲ τῆς φιλίας πλείω, καὶ πρώτως μὲν καὶ κυρίως τὴν τῶν ἀγαθῶν ᾗ ἀγαθοί, τὰς δὲ λοιπὰς καθ' ὁμοιότητα· ᾗ γὰρ ἀγαθόν τι καὶ ὅμοιον, ταύτῃ φίλοι· καὶ γὰρ τὸ ἡδὺ ἀγαθὸν τοῖς φιληδέσιν. οὐ πάνυ δ' αὗται συνάπτουσιν, οὐδὲ γίνονται οἱ αὐτοὶ φίλοι διὰ τὸ χρήσιμον καὶ διὰ τὸ ἡδύ· οὐ γὰρ πάνυ συνδυάζεται τὰ κατὰ συμβεβηκός.

Εἰς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας νενεμημένης οἱ μὲν 6
φαῦλοι ἔσονται φίλοι δι' ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες, οἱ δ' ἀγαθοὶ δι' αὑτοὺς φίλοι· ᾗ γὰρ ἀγαθοί. οὗτοι μὲν οὖν ἁπλῶς φίλοι, ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς καὶ τῷ ὡμοιῶσθαι τούτοις. ὥσπερ δ' ἐπὶ τῶν ἀρετῶν οἱ μὲν καθ' ἕξιν οἱ δὲ κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται, οὕτω καὶ ἐπὶ τῆς φιλίας· οἱ μὲν γὰρ συζῶντες χαίρουσιν ἀλλήλοις καὶ πορίζουσι τἀγαθά, οἱ δὲ καθεύδοντες ἢ κεχωρισμένοι τοῖς τόποις οὐκ ἐνεργοῦσι μέν, οὕτω δ' ἔχουσιν ὥστ' ἐνεργεῖν φιλικῶς· οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν. ἐὰν δὲ χρόνιος ἡ ἀπουσία γίνηται, καὶ τῆς φιλίας δοκεῖ λήθην ποιεῖν· ὅθεν εἴρηται "πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν." οὐ φαίνονται δ' οὔθ' οἱ πρεσβῦται οὔθ' οἱ στρυφνοὶ φιλικοὶ εἶναι· βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς, οὐδεὶς δὲ δύναται συνημερεύειν τῷ λυπηρῷ οὐδὲ τῷ μὴ ἡδεῖ· μάλιστα γὰρ ἡ φύσις φαίνεται τὸ μὲν λυπηρὸν φεύγειν, ἐφίεσθαι δὲ τοῦ ἡδέος. οἱ δ' ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δέ, εὔνοις ἐοίκασι μᾶλλον ἢ φίλοις. οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων ὡς τὸ συζῆν· ὠφελείας μὲν γὰρ οἱ ἐνδεεῖς ὀρέγονται, συνημερεύειν δὲ καὶ οἱ μακάριοι· μονώταις μὲν γὰρ εἶναι τούτοις ἥκιστα προσήκει. συνδιάγειν δὲ μετ' ἀλλήλων οὐκ ἔστι μὴ ἡδεῖς ὄντας μηδὲ χαίροντας τοῖς αὐτοῖς, ὅπερ ἡ ἑταιρικὴ δοκεῖ ἔχειν.

Μάλιστα μὲν οὖν ἐστὶ φιλία ἡ τῶν ἀγαθῶν, καθάπερ 7
πολλάκις εἴρηται· δοκεῖ γὰρ φιλητὸν μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς ἀγαθὸν ἢ ἡδύ, ἑκάστῳ δὲ τὸ αὑτῷ τοιοῦτον· ὁ δ' ἀγαθὸς τῷ ἀγαθῷ δι' ἄμφω ταῦτα. ἔοικε δ' ἡ μὲν φίλησις πάθει, ἡ δὲ φιλία ἕξει· ἡ γὰρ φίλησις οὐχ ἧττον πρὸς τὰ ἄψυχά ἐστιν, ἀντιφιλοῦσι δὲ μετὰ προαιρέσεως, ἡ δὲ προαίρεσις ἀφ' ἕξεως. καὶ τἀγαθὰ βούλονται τοῖς φιλουμένοις ἐκείνων ἕνεκα, οὐ κατὰ πάθος ἀλλὰ καθ' ἕξιν. καὶ φιλοῦντες τὸν φίλον τὸ αὑτοῖς ἀγαθὸν φιλοῦσιν· ὁ γὰρ ἀγαθὸς φίλος γινόμενος ἀγαθὸν γίνεται ᾧ φίλος. ἑκάτερος οὖν φιλεῖ τε τὸ αὑτῷ ἀγαθόν, καὶ τὸ ἴσον ἀνταποδίδωσι τῇ βουλήσει καὶ τῷ ἡδεῖ· λέγεται γὰρ φιλότης ἡ ἰσότης.

1. ὑπάρχει M^b. ‖ 2. οἱ $K^bL^bM^b$. ‖ οὗτοι K^bO^b. ‖ 3. οἱ om $K^bL^bO^b$. ‖ δὲ ἐν τοῖς τοιούτοις M^b. ‖ 4. μένουσιν K^bO^b. ‖ αὐτὸ] τον M^b. ‖ 5. τοῦ αὐτοῦ] τούτου L^b. ‖ 6. καὶ post ἐραστῇ om M^b. ‖ 7. ἐρῶν M^b. ‖ 9. ἡ ὄψις ἡδεῖα M^b. ‖ 17. ἀλλήλοις εἶναι K^bM^b. ‖ 9. οὐ om M^b. ‖ 21. πιστεύσεται M^b. ‖ 22. ὑπ' αὐτοῦ L^b, ὑφ' αὑτοῦ K^b. ‖ 23. ἂν om O^b. ‖ 24. ἀξιοῦνται M^b. ‖ ἑταιρείαις K^b, ἄλλαις [illegible]. ‖ 25. γὰρ] δὲ M^b. ‖ 29. μὲν δεῖ λέγειν L^b, δεῖ λέγειν M^b. ‖ 30. πρώτην M^b. ‖ καὶ om O^b. ‖ 32. ὅμοιόν τι ταύτῃ K^bM^b. ‖ 3. ἀγαθόν τι τοῖς M^b. ‖ 35. διὰ τὸ om M^b. ‖ τὰ] ἀλλὰ M^bO^b.

1. δὴ O^b. ‖ καταναινεμημένης L^bO^b. ‖ 3. φίλοι om K^b. ‖ 5. τὸ L^bO^b. ‖ περ om L^b. ‖ δ'] γὰρ M^b. ‖ 9. ὥστ'] ὥστε καὶ L^b. ‖ 2. γίνηται $L^bM^bO^b$. ‖ λήθην δοκεῖ ποιεῖν K^b, λήθην ποιεῖν δοκεῖ O^b. ‖ 15. προσημερεύειν K^b, συνημερεύσειν M^b. ‖ 17. μὲν om K^bL^b O^b. ‖ 18. ἀπεχόμενοι ἀλλήλων M^b. ‖ 19. ἐστὶ om M^b. ‖ 21. μονιμωτάταις M^b. ‖ μὲν om K^b. ‖ 26. γὰρ] δὲ M^b. ‖ 27. ἀγαθὸν καὶ ἡδύ, τῷ δ' ἀγαθῷ ἄμφω ταῦτα K^b. ‖ 33. τὸν] δὲ τὸν L^b. ‖ 34. γενόμενος $L^bM^bO^b$. ‖ 35. τε post τὸ K^b, om O^b. ‖ 36. ἡ om K^b.

μάλιστα δὴ τῇ τῶν ἀγαθῶν ταῦθ' ὑπάρχει. ἐν δὲ τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσῳ δυσκολώτεροί εἰσι καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσιν· ταῦτα γὰρ δοκεῖ μάλιςʼ εἶναι φιλικὰ καὶ ποιητικὰ φιλίας. διὸ νέοι μὲν γίνονται φίλοι ταχύ, πρεσβῦται δ' οὔ· οὐ γὰρ γίγνονται φίλοι οἷς ἂν μὴ χαίρωσιν· ὁμοίως δ' οὐδ' οἱ ςρυφνοί. ἀλλ' οἱ τοιοῦτοι εὖνοι μέν εἰσιν ἀλλήλοις· βούλονται γὰρ τἀγαθὰ καὶ ἀπαντῶσιν εἰς τὰς χρείας· φίλοι δ' οὐ πάνυ εἰσὶ διὰ τὸ μὴ συνημερεύειν μηδὲ χαίρειν ἀλλήλοις, ἃ δὴ μάλιςʼ εἶναι δοκεῖ φιλικά. πολλοῖς δ' εἶναι φίλον κατὰ τὴν τελείαν φιλίαν οὐκ ἐνδέχεται, ὥσπερ οὐδ' ἐρᾶν πολλῶν ἅμα· ἔοικε γὰρ ὑπερβολῇ, τὸ τοιοῦτο δὲ πρὸς ἕνα πέφυκε γίνεσθαι, πολλοὺς δ' ἅμα τῷ αὐτῷ ἀρέσκειν σφόδρα οὐ ῥᾴδιον, ἴσως δ' οὐδ' ἀγαθοὺς εἶναι. δεῖ δὲ καὶ ἐμπειρίαν λαβεῖν καὶ ἐν συνηθείᾳ γενέσθαι, ὃ παγχάλεπον. διὰ τὸ χρήσιμον δὲ καὶ τὸ ἡδὺ πολλοῖς ἀρέσκειν ἐνδέχεται· πολλοὶ γὰρ οἱ τοιοῦτοι, καὶ ἐν ὀλίγῳ χρόνῳ αἱ ὑπηρεσίαι. τούτων δὲ μᾶλλον ἔοικε φιλίᾳ ἡ διὰ τὸ ἡδύ, ὅταν ταὐτὰ ἀπ' ἀμφοῖν γίγνηται καὶ χαίρωσιν ἀλλήλοις ἢ τοῖς αὐτοῖς, οἷαι τῶν νέων εἰσὶν αἱ φιλίαι· μᾶλλον γὰρ ἐν ταύταις τὸ ἐλευθέριον. ἡ δὲ διὰ τὸ χρήσιμον ἀγοραίων. καὶ οἱ μακάριοι δὲ χρησίμων μὲν οὐδὲν δέονται, ἡδέων δέ· συζῆν μὲν γὰρ βούλονταί τισι, τὸ δὲ λυπηρὸν ὀλίγον μὲν χρόνον φέρουσιν, συνεχῶς δ' οὐθεὶς ἂν ὑπομείναι, οὐδ' αὐτὸ τὸ ἀγαθόν, εἰ λυπηρὸν αὐτῷ εἴη· διὸ τοὺς φίλους ἡδεῖς ζητοῦσιν. δεῖ δ' ἴσως καὶ ἀγαθοὺς τοιούτους ὄντας, καὶ ἔτι αὐτοῖς· οὕτω γὰρ ὑπάρξει αὐτοῖς ὅσα δεῖ τοῖς φίλοις. οἱ δ' ἐν ταῖς ἐξουσίαις διῃρημένοις φαίνονται χρῆσθαι τοῖς φίλοις· ἄλλοι γὰρ αὐτοῖς εἰσὶ χρήσιμοι καὶ ἕτεροι ἡδεῖς, ἄμφω δ' οἱ αὐτοὶ οὐ πάνυ· οὔτε γὰρ ἡδεῖς μετ' ἀρετῆς ζητοῦσιν οὔτε χρησίμους εἰς τὰ καλά, ἀλλὰ τοὺς μὲν εὐτραπέλους τοῦ ἡδέος ἐφιέμενοι, τοὺς δὲ δεινοὺς πρᾶξαι τὸ ἐπιταχθέν· ταῦτα δ' οὐ πάνυ γίνεται ἐν τῷ αὐτῷ. ἡδὺς δὲ καὶ χρήσιμος ἅμα εἴρηται ὅτι ὁ σπουδαῖος· ἀλλ' ὑπερέχοντι οὐ γίνεται ὁ τοιοῦτος φίλος, ἂν μὴ καὶ τῇ ἀρετῇ ὑπερέχηται· εἰ δὲ μή, οὐκ ἰσάζει ἀνάλογον ὑπερεχόμενος. οὐ πάνυ δ' εἰώθασι τοιοῦτοι γίνεσθαι.

Εἰσὶ δ' οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότητι· τὰ αὐτὰ γίγνεται ἀπ' ἀμφοῖν καὶ βούλονται ἀλλήλοις, ρον ἀνθ' ἑτέρου ἀντικαταλλάττονται, οἷον ἡδονὴν ἀντ' λείας. ὅτι δ' ἧττον εἰσὶν αὗται αἱ φιλίαι καὶ μέ εἴρηται. δοκοῦσι δὲ καὶ δι' ὁμοιότητα καὶ ἀνομο ταὐτοῦ εἶναί τε καὶ οὐκ εἶναι φιλίαι· καθ' ὁμοιότητα τῆς κατ' ἀρετὴν φαίνονται φιλίαι (ἡ μὲν γὰρ τὸ ἡδ ἡ δὲ τὸ χρήσιμον, ταῦτα δ' ὑπάρχει κἀκείνῃ), τῷ μὲν ἀδιάβλητον καὶ μόνιμον εἶναι, ταύτας δὲ τ μεταπίπτειν ἄλλοις τε διαφέρειν πολλοῖς, οὐ φαίνοντ λίαι δι' ἀνομοιότητα ἐκείνης. ἕτερον δ' ἐςὶ φιλίας τὸ καθ' ὑπεροχήν, οἷον πατρὶ πρὸς υἱὸν καὶ ὅλως πρ τέρῳ πρὸς νεώτερον, ἀνδρί τε πρὸς γυναῖκα καὶ παν χοντι πρὸς ἀρχόμενον. διαφέρουσι δ' αὗται καὶ ἀλλ οὐ γὰρ ἡ αὐτὴ γονεῦσι πρὸς τέκνα καὶ ἄρχουσι πρὸ χομένους, ἀλλ' οὐδὲ πατρὶ πρὸς υἱὸν καὶ υἱῷ πρὸς π οὐδ' ἀνδρὶ πρὸς γυναῖκα καὶ γυναικὶ πρὸς ἄνδρα. γὰρ ἑκάςῳ τούτων ἀρετὴ καὶ τὸ ἔργον, ἕτερα δὲ κα ἃ φιλοῦσιν· ἕτεραι οὖν καὶ αἱ φιλήσεις καὶ αἱ φ ταὐτὰ μὲν δὴ οὔτε γίγνεται ἑκατέρῳ παρὰ θατέρου οὔ ζητεῖν· ὅταν δὲ γονεῦσι μὲν τέκνα ἀπονέμῃ ἃ δεῖ γεννήσασι, γονεῖς δὲ υἱέσιν ἃ δεῖ τοῖς τέκνοις, μόνιμ τῶν τοιούτων καὶ ἐπιεικὴς ἔςαι φιλία. ἀνάλογον δ' ἐν σαις ταῖς καθ' ὑπεροχὴν οὔσαις φιλίαις καὶ τὴν φι δεῖ γίνεσθαι, οἷον τὸν ἀμείνω μᾶλλον φιλεῖσθαι ἢ φι καὶ τὸν ὠφελιμώτερον, καὶ τῶν ἄλλων ἕκαστον ὁμ ὅταν γὰρ κατ' ἀξίαν ἡ φίλησις γίγνηται, τότε γίγ πως ἰσότης, ὃ δὴ τῆς φιλίας εἶναι δοκεῖ.

Οὐχ ὁμοίως δὲ τὸ ἴσον ἔν τε τοῖς δικαίοις καὶ ἐ φιλίᾳ φαίνεται ἔχειν· ἔςι γὰρ ἐν μὲν τοῖς δικαίοις ἴ πρώτως τὸ κατ' ἀξίαν, τὸ δὲ κατὰ ποσὸν δευτέρως, ἐ τῇ φιλίᾳ τὸ μὲν κατὰ ποσὸν πρώτως, τὸ δὲ κατ' ἀ δευτέρως. δῆλον δ', ἐὰν πολὺ διάςημα γίγνηται ἀ ἢ κακίας ἢ εὐπορίας ἢ τινος ἄλλου· οὐ γὰρ ἔτι φίλοι ἀλλ' οὐδ' ἀξιοῦσιν. ἐμφανέςατον δὲ τοῦτ' ἐπὶ τῶν θεῶν· ςον γὰρ οὗτοι πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχουσιν. δῆλον δὲ

2. πρεσβυτικοῖς καὶ στρυφνοῖς L^b. ‖ 3. δύσκολοί K^b. ‖ 13. πολλοῖς L^bM^b. ‖ τὸν αὐτὸν M^b. ‖ σφόδρα ἀρέσκειν K^b. ‖ 14. ἀ L^b. ‖ 15. χαλεπόν M^b. ‖ 18. ἡ om K^b. ‖ 19. ἀπ' K^bM^b. ‖ χαίρουσιν M^bN^b. ‖ 20. γὰρ] δ' M^b. ‖ 21. ἀγοραία M^b. ‖ 2 add L^b. ‖ 24. ὑπομείνοι L^b. ‖ αὐτὸ] αὖ L^bO^b. ‖ 27. αὐτοῖς ὑπάρξει L^bM^b. ‖ 29. αὐτοί εἰσιν εἰ χρήσιμοι K^b, αὐτοῖς εἰσιν αἱ χρ O^b. ‖ 32. γίνονται L^b. ‖ 33. ὅτι om K^bM^b. ‖ 34. ἐὰν K^b. ‖ 35. εἰ] ἂν O^b. ‖ 36. ὑπερεχομένη M^b.

2. ἐπ' L^b. ‖ 3. καταλλάττονται M^b. ‖ 4. δ'] δὲ καὶ L^b. ‖ αὗται φιλίαι K^b, αἱ τοιαῦται φιλίαι L^b. ‖ 5. καὶ post δὲ om K^b 6. αὐτοῦ M^b. ‖ 7. τὴν M^b. ‖ 9. εἶναι καὶ μόνιμον M^b. ‖ 10. πολλοῖς διαφέρειν O^b. ‖ 11. ἐκείναις M^b. ‖ 14. καὶ om $L^bM^bO^b$. ‖ ἑκατέρα M^b. ‖ 18. ἑκάςου K^b. ‖ 19. ἕτερα οὖν καὶ δι' ἃ φίλησις K^b. ‖ 20. ταυτὸ K^b. ‖ 21. μὲν om M^b. ‖ ἃ — 22. υἱέσιν om M^b. om K^b. ‖ 23. ἔςαι ἡ φιλία M^b. ‖ ἁπάσαις L^b. ‖ 24. τὴν φιλίαν M^b. ‖ 25. φιλεῖσθαι μᾶλλον O^b. ‖ 28. ὃ — δοκεῖ om L^b. ‖ 29. τ M^bO^b. ‖ 31. πρῶτον M^b. ‖ 32. πρώτως τὸ κατὰ ποσόν, omisso μὲν, L^b. ‖ 33. πολὺ τὸ δ. M^b. ‖ γένηται K^bO^b. ‖ 35. ἀλλ' om

ἐπὶ τῶν βασιλέων· οὐδὲ γὰρ τούτοις ἀξιοῦσιν εἶναι φίλοι οἱ πολὺ καταδεέστεροι, οὐδὲ τοῖς ἀρίστοις ἢ σοφωτάτοις οἱ μηδενὸς ἄξιοι. ἀκριβὴς μὲν οὖν ἐν τοῖς τοιούτοις οὐκ ἔστιν ὁρισμός, ἕως τίνος οἱ φίλοι· πολλῶν γὰρ ἀφαιρουμένων ἔτι μένει, πολὺ δὲ χωρισθέντος, οἷον τοῦ θεοῦ, οὐκέτι. ὅθεν καὶ ἀπορεῖται, μή ποτ' οὐ βούλονται οἱ φίλοι τοῖς φίλοις τὰ μέγιστα τῶν ἀγαθῶν, οἷον θεοὺς εἶναι· οὐδὲ γὰρ ἔτι φίλοι ἔσονται αὐτοῖς, οὐδὲ δὴ ἀγαθά· οἱ γὰρ φίλοι ἀγαθά. εἰ δὴ καλῶς εἴρηται ὅτι ὁ φίλος τῷ φίλῳ βούλεται τἀγαθὰ ἐκείνου ἕνεκα, μένειν ἂν δέοι οἷός ποτ' ἐστὶν ἐκεῖνος· ἀνθρώπῳ δὲ ὄντι βουλήσεται τὰ μέγιστα ἀγαθά. ἴσως δ' οὐ πάντα· αὑτῷ γὰρ μάλισθ' ἕκαστος βούλεται τἀγαθά. οἱ πολλοὶ δὲ δοκοῦσι διὰ φιλοτιμίαν βούλεσθαι φιλεῖσθαι μᾶλλον ἢ φιλεῖν, διὸ φιλοκόλακες οἱ πολλοί· ὑπερεχόμενος γὰρ φίλος ὁ κόλαξ, ἢ προσποιεῖται τοιοῦτος εἶναι καὶ μᾶλλον φιλεῖν ἢ φιλεῖσθαι. τὸ δὲ φιλεῖσθαι ἐγγὺς εἶναι δοκεῖ τοῦ τιμᾶσθαι, οὗ δὴ οἱ πολλοὶ ἐφίενται. οὐ δι' αὑτὸ δ' ἐοίκασιν αἱρεῖσθαι τὴν τιμήν, ἀλλὰ κατὰ συμβεβηκός· χαίρουσι γὰρ οἱ μὲν πολλοὶ ὑπὸ τῶν ἐν ταῖς ἐξουσίαις τιμώμενοι διὰ τὴν ἐλπίδα· οἴονται γὰρ τεύξεσθαι παρ' αὐτῶν, ἄν του δέωνται· ὡς δὴ σημείῳ τῆς εὐπαθείας χαίρουσι τῇ τιμῇ. οἱ δ' ὑπὸ τῶν ἐπιεικῶν καὶ εἰδότων ὀρεγόμενοι τιμῆς βεβαιῶσαι τὴν οἰκείαν δόξαν ἐφίενται περὶ αὑτῶν· χαίρουσι δὴ ὅτι εἰσὶν ἀγαθοί, πιστεύοντες τῇ τῶν λεγόντων κρίσει. τῷ φιλεῖσθαι δὲ καθ' αὑτὸ χαίρουσιν· διὸ δόξειεν ἂν κρεῖττον εἶναι τοῦ τιμᾶσθαι, καὶ ἡ φιλία καθ' αὑτὴν αἱρετὴ εἶναι. δοκεῖ δ' ἐν τῷ φιλεῖν μᾶλλον ἢ ἐν τῷ φιλεῖσθαι εἶναι. σημεῖον δ' αἱ μητέρες τῷ φιλεῖν χαίρουσαι· ἔνιαι γὰρ διδόασι τὰ ἑαυτῶν τρέφεσθαι, καὶ φιλοῦσι μὲν εἰδυῖαι, ἀντιφιλεῖσθαι δ' οὐ ζητοῦσιν, ἐὰν ἀμφότερα μὴ ἐνδέχηται, ἀλλ' ἱκανὸν αὐταῖς ἔοικεν εἶναι, ἐὰν ὁρῶσιν εὖ πράττοντας, καὶ αὐταὶ φιλοῦσιν αὐτούς, κἂν ἐκεῖνοι μηδὲν ὧν μητρὶ προ-
10 σήκει ἀπονέμωσι διὰ τὴν ἄγνοιαν. μᾶλλον δὲ τῆς φιλίας οὔσης ἐν τῷ φιλεῖν, καὶ τῶν φιλοφίλων ἐπαινουμένων, φίλων ἀρετὴ τὸ φιλεῖν ἔοικεν, ὥστ' ἐν οἷς τοῦτο γίνεται κατ' ἀξίαν, οὗτοι μόνιμοι φίλοι καὶ ἡ τούτων φιλία. οὕτω δ' ἂν καὶ οἱ ἄνισοι μάλιστ' εἶεν φίλοι· ἰσάζοιντο γὰρ ἄν. ἡ δ' ἰσότης καὶ ὁμοιότης φιλότης, καὶ μάλιστα μὲν ἡ τῶν κατ' ἀρετὴν ὁμοιότης· μόνιμοι γὰρ ὄντες καθ' αὑτοὺς καὶ πρὸς ἀλλήλους μένουσι, καὶ οὔτε δέονται φαύλων οὔθ' ὑπηρετοῦσι τοιαῦτα, ἀλλ' ὡς εἰπεῖν καὶ διακωλύουσι· τῶν ἀγαθῶν γὰρ μήτ' αὐτοὺς ἁμαρτάνειν μήτε τοῖς φίλοις ἐπιτρέπειν. οἱ δὲ μοχθηροὶ τὸ μὲν βέβαιον οὐκ ἔχουσιν· οὐδὲ γὰρ αὑτοῖς διαμένουσιν ὅμοιοι ὄντες· ἐπ' ὀλίγον δὲ χρόνον γίγνονται φίλοι, χαίροντες τῇ ἀλλήλων μοχθηρίᾳ. οἱ χρήσιμοι δὲ καὶ ἡδεῖς ἐπὶ πλεῖον διαμένουσιν· ἕως γὰρ ἂν πορίζωσιν ἡδονὰς ἢ ὠφελείας ἀλλήλοις. ἐξ ἐναντίων δὲ μάλιστα μὲν δοκεῖ ἡ διὰ τὸ χρήσιμον γίγνεσθαι φιλία, οἷον πένης πλουσίῳ, ἀμαθὴς εἰδότι· οὗ γὰρ τυγχάνει τις ἐνδεὴς ὤν, τούτου ἐφιέμενος ἀντιδωρεῖται ἄλλο. ἐνταῦθα δ' ἄν τις ἕλκοι καὶ ἐραστὴν καὶ ἐρώμενον, καὶ καλὸν καὶ αἰσχρόν. διὸ φαίνονται καὶ οἱ ἐρασταὶ γελοῖοι ἐνίοτε, ἀξιοῦντες φιλεῖσθαι ὡς φιλοῦσιν· ὁμοίως δὴ φιλητοὺς ὄντας ἴσως ἀξιωτέον, μηδὲν δὲ τοιοῦτον ἔχοντας γελοῖον. ἴσως δὲ οὐδ' ἐφίεται τὸ ἐναντίον τοῦ ἐναντίου καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. ἡ δ' ὄρεξις τοῦ μέσου ἐστίν· τοῦτο γὰρ ἀγαθόν, οἷον τῷ ξηρῷ οὐχ ὑγρῷ γενέσθαι ἀλλ' ἐπὶ τὸ μέσον ἐλθεῖν, καὶ τῷ θερμῷ καὶ τοῖς ἄλλοις ὁμοίως. ταῦτα μὲν οὖν ἀφείσθω· καὶ γάρ ἐστιν ἀλλοτριώτερα.

Ἔοικε δέ, καθάπερ ἐν ἀρχῇ εἴρηται, περὶ ταῦτα καὶ 11
ἐν τοῖς αὐτοῖς εἶναι ἥ τε φιλία καὶ τὸ δίκαιον· ἐν ἁπάσῃ γὰρ κοινωνίᾳ δοκεῖ τι δίκαιον εἶναι, καὶ φιλία δέ· προσαγορεύουσι γοῦν ὡς φίλους τοὺς σύμπλους καὶ τοὺς συστρατιώτας, ὁμοίως δὲ καὶ τοὺς ἐν ταῖς ἄλλαις κοινωνίαις. καθ' ὅσον δὲ κοινωνοῦσιν, ἐπὶ τοσοῦτόν ἐστι φιλία· καὶ γὰρ τὸ δίκαιον. καὶ ἡ παροιμία "κοινὰ τὰ φίλων," ὀρθῶς· ἐν κοινωνίᾳ γὰρ ἡ φιλία. ἔστι δ' ἀδελφοῖς μὲν καὶ ἑταίροις πάντα κοινά, τοῖς δ' ἄλλοις ἀφωρισμένα, καὶ τοῖς μὲν πλείω τοῖς δ' ἐλάττω· καὶ γὰρ τῶν φιλιῶν αἱ μὲν μᾶλλον αἱ δ' ἧττον. διαφέρει δὲ καὶ τὰ δίκαια· οὐ γὰρ

3. οὖν om M^b. ‖ τοῖς om O^b. ‖ 5. χωρισθέντες M^bN^b. ‖ 6. οὐ om M^b. ‖ 7. οὐ K^bM^b. ‖ 8. φίλοι τἀγαθά $L^bM^bO^b$. ‖ 9. ἀγαθὰ K^b. ‖ 11. ἀγαθά] εἶναι ἀγαθά M^b, ἀγαθὰ εἶναι L^bO^b. ‖ πάντων L^b. ‖ 15. εἶναι om $K^bL^bM^bO^b$. ‖ καὶ μᾶλλον ante τοιοῦτος M^b. ‖ 16. τὸ δὲ φιλεῖσθαι] ἢ K^b. ‖ 17. οὐ] οἱ οὐ K^b, omisso δ'. ‖ 20. ἀνθ' οὗ K^b. ‖ 23. περὶ αὐτῶν ἐφίενται L^bM^b, L^b addito καὶ ante χαίρουσι. ‖ 25. ἑαυτὸ M^b. ‖ 26. ἑαυτὴν M^b. ‖ εἶναι αἱρετή O^b. ‖ 28. εἶναι om M^b. ‖ 29. διδόασι] δοκοῦσι K^b. ‖ 32. μὴ δύνωνται τῇ μητρὶ ἃ προσήκει ἀπονέμειν L^bM^b. ‖ 33. ἄνοιαν K^bL^b. ‖ 34. φιλοφίλων] φίλων K^b. ‖ 35. ἀρετῆι K^b, ἀρετὴ εἶναι M^b, ἀρετὴ L^bO^b. ‖ ὥστε καὶ ἐν M^b.

1. τούτων] τῶν τοιούτων L^bM^b. ‖ 7. post ἐπιτρέπειν L^b ὑπηρετεῖ, M^b ὑπηρετεῖν. ‖ 11. πλέον M^b, πλείω O^b. ‖ ἕως] ἡδέως K^b. ‖ γὰρ om O^b. ‖ ἂν om M^b. ‖ ἡδονὰς καὶ ὠφελῶσιν O^b. ‖ 12. ἡ om K^b. ‖ 15. καὶ ante ἐραστὴν om M^b. ‖ 16. αἰσχρὸν καὶ καλόν O^b. ‖ 17. γελοῖοι ὄντες ἐνίοτε· ἀξιοῦσι γὰρ φιλεῖσθαι O^b. ‖ 18. ὅμως L^b. ‖ δὲ O^b. ‖ ἴσων M^b. ‖ 20. τοῦ om L^bM^b. ‖ 21. μέσον M^b. ‖ ὑγρῷ ἢ ξηρῷ K^bO^b. ‖ γίνεσθαι L^bM^b. ‖ 24. ἀλλοτριώτερον M^b. ‖ 25. ταυτὸ K^b. ‖ 26. ἥ τε — 27. εἶναι om M^b. ‖ 28. γοῦν] γὰρ L^b, δὲ M^b. ‖ 31. τὰ τῶν φίλων M^b. ‖ 32. ἑτέροις L^b. ‖ 33. ἄλλοις om K^b.

ταὐτὰ γονεῦσι πρὸς τέκνα καὶ ἀδελφοῖς πρὸς ἀλλήλους, οὐδ' ἑταίροις καὶ πολίταις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φιλιῶν. ἕτερα δὴ καὶ τὰ ἄδικα πρὸς ἑκάςυς τύτων, καὶ αὔξησιν λαμβάνει τῷ μᾶλλον πρὸς φίλυς εἶναι, οἷον χρήματα ἀποστερῆσαι ἑταῖρον δεινότερον ἢ πολίτην, καὶ μὴ βοηθῆσαι ἀδελφῷ ἢ ὀθνείῳ, καὶ πατάξαι πατέρα ἢ ὁντινῦν ἄλλον. αὔξεσθαι δὲ πέφυκεν ἅμα τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα καὶ ἐπ' ἴσον διήκοντα. αἱ δὲ κοινωνίαι πᾶσαι μορίοις ἐοίκασι τῆς πολιτικῆς· συμπορεύονται γὰρ ἐπί τινι συμφέροντι, καὶ ποριζόμενοί τι τῶν εἰς τὸν βίον· καὶ ἡ πολιτικὴ δὲ κοινωνία τῦ συμφέροντος χάριν δοκεῖ καὶ ἐξ ἀρχῆς συνελθεῖν καὶ διαμένειν· τύτυ γὰρ καὶ οἱ νομοθέται ςοχάζονται, καὶ δίκαιόν φασιν εἶναι τὸ κοινῇ συμφέρον. αἱ μὲν ὖν ἄλλαι κοινωνίαι κατὰ μέρη τῦ συμφέροντος ἐφίενται, οἷον πλωτῆρες μὲν τῦ κατὰ τὸν πλῦν πρὸς ἐργασίαν χρημάτων ἤ τι τοιῦτον, συςρατιῶται δὲ τῦ κατὰ τὸν πόλεμον, εἴτε χρημάτων εἴτε νίκης ἢ πόλεως ὀρεγόμενοι, ὁμοίως δὲ καὶ φυλέται καὶ δημόται. ἔνιαι δὲ τῶν κοινωνιῶν δι' ἡδονὴν δοκῦσι γίγνεσθαι, θιασωτῶν καὶ ἐρανιςῶν· αὗται γὰρ θυσίας ἕνεκα καὶ συνυσίας. πᾶσαι δ' αὗται ὑπὸ τὴν πολιτικὴν ἐοίκασιν εἶναι· ὐ γὰρ τοῦ παρόντος συμφέροντος ἡ πολιτικὴ ἐφίεται, ἀλλ' εἰς ἅπαντα τὸν βίον, θυσίας τε ποιῦντες καὶ περὶ ταύτας συνόδυς, τιμὰς ἀπονέμοντες τοῖς θεοῖς, καὶ αὑτοῖς ἀναπαύσεις πορίζοντες μεθ' ἡδονῆς. αἱ γὰρ ἀρχαῖαι θυσίαι καὶ σύνοδοι φαίνονται γίνεσθαι μετὰ τὰς τῶν καρπῶν συγκομιδὰς οἷον ἀπαρχαί· μάλιςα γαρ ἐν τούτοις ἐσχόλαζον τοῖς καιροῖς. πᾶσαι δὴ φαίνονται αἱ κοινωνίαι μόρια τῆς πολιτικῆς εἶναι· ἀκολυθήσυσι δὲ αἱ τοιαῦται φιλίαι ταῖς τοιαύταις κοινωνίαις.

12 Πολιτείας δ' ἐστὶν εἴδη τρία, ἴσαι δὲ καὶ παρεκβάσεις, οἷον φθοραὶ τούτων. εἰσὶ δ' αἱ μὲν πολιτεῖαι βασιλεία τε καὶ ἀριστοκρατία, τρίτη δ' ἡ ἀπὸ τιμημάτων, ἣν τιμοκρατικὴν λέγειν οἰκεῖον φαίνεται, πολιτείαν δ' αὐτὴν εἰώθασιν οἱ πλεῖστοι καλεῖν. τούτων δὲ βελτίστη μὲν ἡ βασιλεία, χειρίςη δ' ἡ τιμοκρατία. παρέκβασις δὲ βασιλείας μὲν τυραννίς· ἄμφω γὰρ μοναρχίαι, διαφέρουσι δὲ πλεῖςον· ὁ μὲν γὰρ τύραννος τὸ ἑαυτῷ συμφέρον σκοπεῖ, ὁ δὲ βασιλεὺς τὸ τῶν ἀρχομένων. οὐ γάρ ἐςι βασιλεὺς ὁ μὴ αὐτάρκης καὶ πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχων· ὁ δὲ τοιῦτος οὐδενὸς προσδεῖται· τὰ ὠφέλιμα ὖν αὑτῷ μὲν ὐκ ἂν σκοποίη, τοῖς δ' ἀρχομένοις· ὁ γὰρ μὴ τοιῦτος κληρωτὸς ἄν τις εἴη βασιλεύς. ἡ δὲ τυραννὶς ἐξ ἐναντίας ταύτῃ· τὸ γὰρ ἑαυτῷ ἀγαθὸν διώκει. καὶ φανερώτερον ἐπὶ ταύτης ὅτι χειρίστη· κάκιστον δὲ τὸ ἐναντίον τῷ βελτίστῳ. μεταβαίνει δ' ἐκ βασιλείας εἰς τυραννίδα· φαυλότης γάρ ἐςι μοναρχίας ἡ τυραννίς· ὁ δὴ μοχθηρὸς βασιλεὺς τύραννος γίνεται. ἐξ ἀριςοκρατίας δὲ εἰς ὀλιγαρχίαν κακίᾳ τῶν ἀρχόντων, οἳ νέμυσι τὰ τῆς πόλεως παρὰ τὴν ἀξίαν, καὶ πάντα ἢ τὰ πλεῖςα τῶν ἀγαθῶν ἑαυτοῖς, καὶ τὰς ἀρχὰς ἀεὶ τοῖς αὐτοῖς, περὶ πλείςυ ποιύμενοι τὸ πλυτεῖν· ὀλίγοι δὴ ἄρχουσι καὶ μοχθηροὶ ἀντὶ τῶν ἐπιεικεστάτων. ἐκ δὲ δὴ τιμοκρατίας εἰς δημοκρατίαν· σύνοροι γάρ εἰσιν αὗται· πλήθους γὰρ βούλεται καὶ ἡ τιμοκρατία εἶναι, καὶ ἴσοι πάντες οἱ ἐν τῷ τιμήματι. ἥκιστα δὲ μοχθηρόν ἐστιν ἡ δημοκρατία· ἐπὶ μικρὸν γὰρ παρεκβαίνει τὸ τῆς πολιτείας εἶδος. μεταβάλλουσι μὲν οὖν μάλισθ' ὕτως αἱ πολιτεῖαι· ἐλάχιςον γὰρ οὕτω καὶ ῥᾷςα μεταβαίνυσιν. ὁμοιώματα δ' αὐτῶν καὶ οἷον παραδείγματα λάβοι τις ἂν καὶ ἐν ταῖς οἰκίαις. ἡ μὲν γὰρ πατρὸς πρὸς υἱεῖς κοινωνία βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει. ἐντεῦθεν δὲ καὶ Ὅμηρος τὸν Δία πατέρα προσαγορεύει· πατρικὴ γὰρ ἀρχὴ βούλεται ἡ βασιλεία εἶναι. ἐν Πέρσαις δ' ἡ τοῦ πατρὸς τυραννική· χρῶνται γὰρ ὡς δούλοις τοῖς υἱέσιν. τυραννικὴ δὲ καὶ ἡ δεσπότυ πρὸς δούλυς· τὸ γὰρ τοῦ δεσπότυ συμφέρον ἐν αὐτῇ πράττεται. αὕτη μὲν οὖν ὀρθὴ φαίνεται, ἡ Περσικὴ δ' ἡμαρτημένη· τῶν διαφερόντων γὰρ αἱ ἀρχαὶ διάφοροι. ἀνδρὸς δὲ καὶ γυναικὸς ἀριστοκρατικὴ φαίνεται· κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ περὶ ταῦτα ἃ δεῖ τὸν ἄνδρα· ὅσα δὲ γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσιν. ἁπάντων δὲ κυριεύων ὁ ἀνὴρ εἰς ὀλιγαρχίαν μεθίστησιν· παρὰ τὴν ἀξίαν γὰρ αὐτὸ ποιεῖ, καὶ

3. τὰ δίκαια L^b, τὰ ἄδικα καὶ τὰ δίκαια M^b. ‖ 4. χρημάτων M^b. ‖ 6. ἀδελφοῖς ἢ ὀθνείοις M^b. ‖ 7. πέφυκεν] φαίνεται K^b. ‖ 8. καὶ ἐπ' ἴσων διήκοντα L^b, om K^b. ‖ 9. τοῖς πολιτικοῖς M^b. ‖ 10. καὶ om M^b. ‖ 16. χρημάτων] ἢ χρημάτων L^b. ‖ ςρατιῶται O^b. ‖ 17. ἢ] εἴτε L^b. ‖ 19. θιασ τῶν K^b, incerta inter σ et τ vocali. ‖ 21. εἶναι om K^b. ‖ 22. τοῦ ἐπὶ τοῦ παρόντος O^b. ‖ 23. ταύτας τὰς συνόδυς K^bL^b. ‖ 24. ἀπονέμυσι M^b. ‖ ἑαυτοῖς L^bM^b. ‖ 25. ἀρχαὶ αἱ L^b. ‖ 30. τοιαύταις om K^b. ‖ 31. εἰσὶν L^b. ‖ δὲ om M^b. ‖ καὶ] αἱ L^b, καὶ αἱ O^b. ‖ 32. δ' αἱ om K^b. ‖ 33. ἀριστοκράτεια K^b. ‖ ἡ om K^b. ‖ 35. οἱ πλεῖστοι εἰώθασι O^b.

2. αὐτῷ K^b. ‖ 5. μὲν om M^b. ‖ 6. ἀρχομένοις δέ M^b. ‖ 7. τις om L^b. ‖ εἴη ὁ βασιλεύς. $K^bL^bM^b$. ‖ 8. ἑαυτῇ L^b. ‖ 11. δὲ $L^bM^bO^b$. ‖ 15. πλεῖςον K^bL^b. ‖ 17. δὴ om $K^bL^bO^b$. ‖ 19. τῷ et ἡ om K^b. ‖ 22. γὰρ] μὲν γὰρ M^b. ‖ 23. δ' om M^b. ‖ ἂν om K^b. ‖ 26. δὲ om M^b. ‖ προσαγορεύει πατέρα O^b. ‖ 34. ὅσα] ἃ K^b. ‖ 35. πάντων K^b. ‖ 36. αὐτὸς M^b.

οὐχ ᾗ ἀμείνων. ἐνίοτε δὲ ἄρχουσιν αἱ γυναῖκες ἐπίκληροι οὖσαι· οὐ δὴ γίνονται κατ' ἀρετὴν αἱ ἀρχαί, ἀλλὰ διὰ πλοῦτον καὶ δύναμιν, καθάπερ ἐν ταῖς ὀλιγαρχίαις. τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γάρ, πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσιν· διόπερ ἂν πολὺ ταῖς ἡλικίαις διαφέρωσιν, οὐκέτι ἀδελφικὴ γίνεται ἡ φιλία. δημοκρατία δὲ μάλιστα μὲν ἐν ταῖς ἀδεσπότοις τῶν οἰκήσεων (ἐνταῦθα γὰρ πάντες ἐξ ἴσου), καὶ ἐν αἷς ἀσθενὴς ὁ ἄρχων καὶ ἑκάστῳ ἐξουσία.

13 Καθ' ἑκάστην δὲ τῶν πολιτειῶν φιλία φαίνεται, ἐφ' ὅσον καὶ τὸ δίκαιον, βασιλεῖ μὲν πρὸς τοὺς βασιλευομένους ἐν ὑπεροχῇ εὐεργεσίας· εὖ γὰρ ποιεῖ τοὺς βασιλευομένους, εἴπερ ἀγαθὸς ὢν ἐπιμελεῖται αὐτῶν, ἵν' εὖ πράττωσιν, ὥσπερ νομεὺς προβάτων· ὅθεν καὶ Ὅμηρος τὸν Ἀγαμέμνονα ποιμένα λαῶν εἶπεν. τοιαύτη δὲ καὶ ἡ πατρική, διαφέρει δὲ τῷ μεγέθει τῶν εὐεργετημάτων· αἴτιος γὰρ τοῦ εἶναι, δοκοῦντος μεγίστου, καὶ τροφῆς καὶ παιδείας· καὶ τοῖς προγόνοις δὲ ταῦτα ἀπονέμεται· φύσει τε ἀρχικὸν πατὴρ υἱῶν καὶ πρόγονοι ἐκγόνων καὶ βασιλεὺς βασιλευομένων. ἐν ὑπεροχῇ δὲ αἱ φιλίαι αὗται, διὸ καὶ τιμῶνται οἱ γονεῖς. καὶ τὸ δίκαιον δὴ ἐν τούτοις οὐ ταὐτὸ ἀλλὰ τὸ κατ' ἀξίαν· οὕτω γὰρ καὶ ἡ φιλία. καὶ ἀνδρὸς δὲ πρὸς γυναῖκα ἡ αὐτὴ φιλία καὶ ἐν ἀριστοκρατίᾳ· κατ' ἀρετὴν γάρ, καὶ τῷ ἀμείνονι πλέον ἀγαθόν, καὶ τὸ ἁρμόζον ἑκάστῳ· οὕτω δὲ καὶ τὸ δίκαιον. ἡ δὲ τῶν ἀδελφῶν τῇ ἑταιρικῇ ἔοικεν· ἴσοι γὰρ καὶ ἡλικιῶται, οἱ τοιοῦτοι δ' ὁμοπαθεῖς καὶ ὁμοήθεις ὡς ἐπὶ τὸ πολύ. ἔοικε δὴ ταύτῃ καὶ ἡ κατὰ τὴν τιμοκρατικήν· ἴσοι γὰρ οἱ πολῖται βούλονται καὶ ἐπιεικεῖς εἶναι· ἐν μέρει δὴ τὸ ἄρχειν, καὶ ἐξ ἴσου· οὕτω δὴ καὶ ἡ φιλία. ἐν δὲ ταῖς παρεκβάσεσιν, ὥσπερ καὶ τὸ δίκαιον ἐπὶ μικρόν ἐστιν, οὕτω καὶ ἡ φιλία ἐστί, καὶ ἥκιστα ἐν τῇ χειρίστῃ· ἐν τυραννίδι γὰρ οὐδὲν ἢ μικρὸν φιλίας. ἐν οἷς γὰρ μηδὲν κοινόν ἐστι τῷ ἄρχοντι καὶ τῷ ἀρχομένῳ, οὐδὲ φιλία· οὐδὲ γὰρ δίκαιον· ἀλλ' οἷον τεχνίτῃ πρὸς ὄργανον καὶ ψυχῇ πρὸς σῶμα καὶ δεσπότῃ πρὸς δοῦλον· ὠφελεῖται μὲν γὰρ πάντα ταῦτα ὑπὸ τῶν χρωμένων, φιλία δ' οὐκ ἔστι πρὸς τὰ ἄψυχα οὐδὲ δίκαιον. ἀλλ' οὐδὲ πρὸς ἵππον ἢ βοῦν, οὐδὲ πρὸς δοῦλον ᾗ δοῦλος. οὐδὲν γὰρ κοινόν ἐστιν· ὁ γὰρ δοῦλος ἔμψυχον ὄργανον, τὸ δ' ὄργανον ἄψυχος δοῦλος. ᾗ μὲν οὖν δοῦλος, οὐκ ἔστι φιλία πρὸς αὐτόν, ᾗ δ' ἄνθρωπος· δοκεῖ γὰρ εἶναί τι δίκαιον παντὶ ἀνθρώπῳ πρὸς πάντα τὸν δυνάμενον κοινωνῆσαι νόμου καὶ συνθήκης· καὶ φιλίας δή, καθ' ὅσον ἄνθρωπος. ἐπὶ μικρὸν δὴ καὶ ἐν ταῖς τυραννίσιν αἱ φιλίαι καὶ τὸ δίκαιον, ἐν δὲ ταῖς δημοκρατίαις ἐπὶ πλεῖστον· πολλὰ γὰρ τὰ κοινὰ ἴσοις οὖσιν.

14 Ἐν κοινωνίᾳ μὲν οὖν πᾶσα φιλία ἐστίν, καθάπερ εἴρηται· ἀφορίσειε δ' ἄν τις τήν τε συγγενικὴν καὶ τὴν ἑταιρικήν. αἱ δὲ πολιτικαὶ καὶ φυλετικαὶ καὶ συμπλοϊκαί, καὶ ὅσαι τοιαῦται, κοινωνικαῖς ἐοίκασι μᾶλλον· οἷον γὰρ καθ' ὁμολογίαν τινὰ φαίνονται εἶναι. εἰς ταύτας δὲ τάξειεν ἄν τις καὶ τὴν ξενικήν. καὶ ἡ συγγενικὴ δὲ φαίνεται πολυειδὴς εἶναι, ἠρτῆσθαι δὲ πᾶσα ἐκ τῆς πατρικῆς· οἱ γονεῖς μὲν γὰρ στέργουσι τὰ τέκνα ὡς ἑαυτῶν τι ὄντα, τὰ δὲ τέκνα τοὺς γονεῖς ὡς ἀπ' ἐκείνων τι ὄντα. μᾶλλον δ' ἴσασιν οἱ γονεῖς τὰ ἐξ αὐτῶν ἢ τὰ γεννηθέντα ὅτι ἐκ τούτων, καὶ μᾶλλον συνῳκείωται τὸ ἀφ' οὗ τῷ γεννηθέντι ἢ τὸ γενόμενον τῷ ποιήσαντι· τὸ γὰρ ἐξ αὐτοῦ οἰκεῖον τῷ ἀφ' οὗ, οἷον ὀδοὺς ἢ θρὶξ ἢ ὁτιοῦν τῷ ἔχοντι· ἐκείνῳ δ' οὐθὲν τὸ ἀφ' οὗ, ἢ ἧττον. καὶ τῷ πλήθει δὲ τοῦ χρόνου· οἱ μὲν γὰρ εὐθὺς γενόμενα στέργουσιν, τὰ δὲ προελθόντα τοῖς χρόνοις τοὺς γονεῖς, σύνεσιν ἢ αἴσθησιν λαβόντα. ἐκ τούτων δὲ δῆλον καὶ δι' ἃ φιλοῦσι μᾶλλον αἱ μητέρες. γονεῖς μὲν οὖν τέκνα φιλοῦσιν ὡς ἑαυτούς (τὰ γὰρ ἐξ αὐτῶν οἷον ἕτεροι αὐτοὶ τῷ κεχωρίσθαι), τέκνα δὲ γονεῖς ὡς ἀπ' ἐκείνων πεφυκότα, ἀδελφοὶ δ' ἀλλήλους τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι· ἡ γὰρ πρὸς ἐκεῖνα ταὐτότης ἀλλήλοις ταὐτοποιεῖ· ὅθεν φασὶ ταὐτὸν αἷμα καὶ ῥίζαν καὶ τὰ τοιαῦτα. εἰσὶ δὴ ταὐτό πως καὶ ἐν διῃρημένοις. μέγα δὲ πρὸς φιλίαν καὶ τὸ σύντροφον καὶ τὸ καθ' ἡλικίαν· ἧλιξ γὰρ ἥλικα, καὶ οἱ συνήθεις ἑταῖροι· διὸ καὶ ἡ ἀδελφικὴ τῇ ἑταιρικῇ

1. οὐχὶ ἀμείνω K^b. ‖ 2. διὰ] κατὰ K^b. ‖ 4. πλέον M^b. ‖ 5. ἡλικίαις οὐ διαλλάττουσι pr K^b. ‖ 6. φαίνεται K^b. ‖ δημοκρατίαι K^b. ‖ 7. μὲν om M^b. ‖ 13. εὖ πράσσωσιν L^bO^b, εὐπραγῶσιν M^bN^b. ‖ 15. εἶπεν om K^b. ‖ 17. εἶναι post μεγίστου L^bO^b, utrobique M^b. ‖ 18. προσνέμεται $K^bL^bO^b$. ‖ τε] τε γὰρ L^bM^b. ‖ 22. γὰρ ἂν καὶ M^b. ‖ 23. καὶ] ἡ καὶ L^b. ‖ 26. γὰρ om K^b. ‖ ομομαθεῖς καὶ ὁμοήθεις O^b, ὁμοήθεις καὶ ὁμομαθεῖς $L^bM^bN^b$. ‖ 27. δὲ K^bM^b. ‖ 28. δημοκρατικήν O^b. ‖ βουλεύονται K^b, φαίνονται M^b. ‖ καὶ ἐπιεικεῖς ante βούλονται L^bO^b. ‖ 29. δὲ τὸ M^b. ‖ 31. ἐστί om K^b. ‖ 33. ἐστι ante κοινόν L^b, om O^b. ‖ τῷ post καὶ om K^bO^b. ‖ 34. ἀλλ' om K^b.

1. πάντα] καὶ M^b, om L^b. ‖ 3. ἢ] οὐδὲ K^bO^b. ‖ 5. οὐκ] δούλοις μὲν οὐκ K^b. ‖ 7. νόμου] καὶ νόμου K^b. ‖ 8. δέ M^b. ‖ δὲ L^bO^b. ‖ 10. πλεῖον K^b. ‖ ἴσοις οὖσιν] εἰσοίσουσιν L^b. ‖ 11. εἴρηται πρότερον ἀφορίσειε L^b. ‖ 13. σύμπλων K^b. ‖ 15. ταῦτα O^b. ‖ 17. ἠρτῆσθαι δὲ] καὶ ἠρτῆσθαι K^bM^b. ‖ τῆς om M^bN^b. ‖ 18. αὐτῶν τε K^b. ‖ 19. τὰ — ὄντα om M^b. ‖ τι om K^b. ‖ 20. οἱ γονεῖς om M^b. ‖ 22. γινόμενον O^b. ‖ 23. ὀδοὺς θρὶξ K^b, θρὶξ ὀδοὺς L^bO^b. ‖ ἢ om $K^bL^bO^b$. ‖ τῷ ἔχοντι om K^b. ‖ ἐκείνων δ' οὐθενὶ O^b. ‖ 24. τὸ] τῷ M^bO^b. ‖ 25. γενώμενα L^b, γεννώμενα M^b. ‖ προελθόντος χρόνου K^b. ‖ 27. αἱ μητέρες μᾶλλον K^b. ‖ οὖν] γὰρ M^b. ‖ 31. ταυτὸ ποιεῖ M^bO^b, τοῦτο ποιεῖ K^b. ‖ 32. ὅθεν] διό M^b. ‖ 33. ταὐτά M^b. ‖ δὴ K^b, om O^b. ‖ 35. ἡ] ἡ φιλία ἡ M^b.

ὁμοιοῦται. ἀνεψιοὶ δὲ καὶ οἱ λοιποὶ συγγενεῖς ἐκ τούτων συνῳκείωνται· τῷ γὰρ ἀπὸ τῶν αὐτῶν εἶναι. γίγνονται δ' οἱ μὲν οἰκειότεροι οἱ δ' ἀλλοτριώτεροι τῷ σύνεγγυς ἢ πόρρω τὸν ἀρχηγὸν εἶναι. ἔςι δ' ἡ μὲν πρὸς γονεῖς φιλία τέκνοις, καὶ ἀνθρώποις πρὸς θεούς, ὡς πρὸς ἀγαθὸν καὶ ὑπερέχον· εὖ γὰρ πεποιήκασι τὰ μέγιςα· τȣ̃ γὰρ εἶναι καὶ τραφῆναι αἴτιοι, καὶ γενομένοις τȣ̃ παιδευθῆναι. ἔχει δὲ καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἡ τοιαύτη φιλία μᾶλλον τῶν ὀθνείων, ὅσῳ καὶ κοινότερος ὁ βίος αὐτοῖς ἐςίν. ἔςι δὲ καὶ ἐν τῇ ἀδελφικῇ ἅπερ καὶ ἐν τῇ ἑταιρικῇ, καὶ μᾶλλον ἐν τοῖς ἐπιεικέσι, καὶ ὅλως ἐν τοῖς ὁμοίοις, ὅσῳ οἰκειότεροι καὶ ἐκ γενετῆς ὑπάρχουσι στέργοντες ἀλλήλους, καὶ ὅσῳ ὁμοηθέστεροι οἱ ἐκ τῶν αὐτῶν καὶ σύντροφοι καὶ παιδευθέντες ὁμοίως· καὶ ἡ κατὰ τὸν χρόνον δοκιμασία πλείστη καὶ βεβαιοτάτη. ἀνάλογον δὲ καὶ ἐν τοῖς λοιποῖς τῶν συγγενῶν τὰ φιλικά. ἀνδρὶ δὲ καὶ γυναικὶ φιλία δοκεῖ κατὰ φύσιν ὑπάρχειν· ἄνθρωπος γὰρ τῇ φύσει συνδυαστικὸν μᾶλλον ἢ πολιτικόν, ὅσῳ πρότερον καὶ ἀναγκαιότερον οἰκία πόλεως, καὶ τεκνοποιία κοινότερον τοῖς ζῴοις. τοῖς μὲν ȣ̃ν ἄλλοις ἐπὶ τοσȣ̃τον ἡ κοινωνία ἐςίν, οἱ δ' ἄνθρωποι ȣ̓ μόνον τῆς τεκνοποιίας χάριν συνοικοῦσιν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· εὐθὺς γὰρ διῄρηται τὰ ἔργα, καὶ ἔςιν ἕτερα ἀνδρὸς καὶ γυναικός· ἐπαρκȣ̃σιν ȣ̃ν ἀλλήλοις, εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. διὰ ταῦτα δὲ καὶ τὸ χρήσιμον εἶναι δοκεῖ καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ. εἴη δ' ἂν καὶ δι' ἀρετήν, εἰ ἐπιεικεῖς εἶεν· ἔςι γὰρ ἑκατέρȣ ἀρετή, καὶ χαίροιεν ἂν τῷ τοιȣ́τῳ. σύνδεσμος δὲ τὰ τέκνα δοκεῖ εἶναι· διὸ θᾶττον οἱ ἄτεκνοι διαλύονται· τὰ γὰρ τέκνα κοινὸν ἀγαθὸν ἀμφοῖν, συνέχει δὲ τὸ κοινόν. τὸ δὲ πῶς συμβιωτέον ἀνδρὶ πρὸς γυναῖκα καὶ ὅλως φίλῳ πρὸς φίλον, οὐδὲν ἕτερον φαίνεται ζητεῖσθαι ἢ πῶς δίκαιον· ȣ̓ γὰρ ταὐτὸν φαίνεται τῷ φίλῳ πρὸς τὸν φίλον καὶ τὸν ὀθνεῖον καὶ τὸν ἑταῖρον καὶ τὸν συμφοιτητήν.

15 Τριττῶν δ' ȣ̓σῶν φιλιῶν, καθάπερ ἐν ἀρχῇ εἴρηται, καὶ καθ' ἑκάςην τῶν μὲν ἐν ἰσότητι φίλων ὄντων τῶν δὲ καθ' ὑπεροχήν (καὶ γὰρ ὁμοίως ἀγαθοὶ φίλοι γίνονται καὶ ἀμείνων χείρονι, ὁμοίως δὲ καὶ ἡδεῖς, καὶ διὰ τὸ χρήσιμον ἰσάζοντες ταῖς ὠφελείαις καὶ διαφέροντες), τοὺς ἴσȣς μὲν κατ' ἰσότητα δεῖ τῷ φιλεῖν καὶ τοῖς λοιποῖς ἰσάζειν, τοὺς δ' ἀνίσȣς τῷ ἀνάλογον ταῖς ὑπεροχαῖς ἀποδιδόναι. γίγνεται δὲ τὰ ἐγκλήματα καὶ αἱ μέμψεις ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ ἢ μόνῃ ἢ μάλιστα εὐλόγως. οἱ μὲν γὰρ δι' ἀρετὴν φίλοι ὄντες εὖ δρᾶν ἀλλήλȣς προθυμȣ̃νται· τȣ̃το γὰρ ἀρετῆς καὶ φιλίας. πρὸς τοῦτο δ' ἁμιλλωμένων οὐκ ἔςιν ἐγκλήματα οὐδὲ μάχαι· τὸν γὰρ φιλȣ̃ντα καὶ εὖ ποιοῦντα ȣ̓δεὶς δυσχεραίνει, ἀλλ' ἐὰν ᾖ χαρίεις, ἀμύνεται εὖ δρῶν. ὁ δ' ὑπερβάλλων, τυγχάνων οὗ ἐφίεται, ȣ̓κ ἂν ἐγκαλοίη τῷ φίλῳ· ἑκάτερος γὰρ τȣ̃ ἀγαθȣ̃ ἐφίεται. οὐ πάνυ δ' ȣ̓δ' ἐν τοῖς δι' ἡδονήν· ἅμα γὰρ ἀμφοῖν γίνεται οὗ ὀρέγονται, εἰ τῷ συνδιάγειν χαίρȣσιν. γελοῖος δ' ἂν φαίνοιτο καὶ ὁ ἐγκαλῶν τῷ μὴ τέρποντι, ἐξὸν μὴ συνδιημερεύειν. ἡ δὲ διὰ τὸ χρήσιμον ἐγκληματική· ἐπ' ὠφελείᾳ γὰρ χρώμενοι ἀλλήλοις ἀεὶ τȣ̃ πλείονος δέονται, καὶ ἔλαττον ἔχειν οἴονται τȣ̃ προσήκοντος, καὶ μέμφονται ὅτι οὐχ ὅσων δέονται τοσȣ́των τυγχάνȣσιν ἄξιοι ὄντες· οἱ δ' εὖ ποιȣ̃ντες ȣ̓ δύνανται ἐπαρκεῖν τοσαῦτα ὅσων οἱ πάσχοντες δέονται. ἔοικε δέ, καθάπερ τὸ δίκαιόν ἐςι διττόν, τὸ μὲν ἄγραφον τὸ δὲ κατὰ νόμον, καὶ τῆς κατὰ τὸ χρήσιμον φιλίας ἡ μὲν ἠθικὴ ἡ δὲ νομικὴ εἶναι. γίγνεται ȣ̃ν τὰ ἐγκλήματα μάλισθ' ὅταν μὴ κατὰ τὴν αὐτὴν συναλλάξωσι καὶ διαλύωνται. ἔστι δὴ νομικὴ μὲν ἡ ἐπὶ ῥητοῖς, ἡ μὲν πάμπαν ἀγοραία ἐκ χειρὸς εἰς χεῖρα, ἡ δὲ ἐλευθεριωτέρα εἰς χρόνον, καθ' ὁμολογίαν δὲ τί ἀντὶ τίνος. δῆλον δ' ἐν ταύτῃ τὸ ὀφείλημα κοὐκ ἀμφίλογον, φιλικὸν δὲ τὴν ἀναβολὴν ἔχει· διὸ παρ' ἐνίοις ȣ̓κ εἰσὶ τούτων δίκαι, ἀλλ' οἴονται δεῖν ςέργειν τȣ̀ς κατὰ πίςιν συναλλάξαντας. ἡ δ' ἠθικὴ ȣ̓κ ἐπὶ ῥητοῖς, ἀλλ' ὡς φίλῳ δωρεῖται ἢ ὁτιδήποτε ἄλλο. κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἴσον ἢ πλέον, ὡς οὐ δεδωκὼς ἀλλὰ χρήσας. οὐχ ὁμοίως δὲ συναλλάξας καὶ διαλυόμενος ἐγκαλέσει. τοῦτο δὲ συμβαίνει διὰ τὸ βούλεσθαι μὲν πάντας ἢ τȣ̀ς πλείςους τὰ καλά, προαιρεῖσθαι δὲ τὰ ὠφέλιμα. καλὸν δὲ τὸ εὖ ποιεῖν μὴ

2. συνοικειῶνται L^bO^b. ‖ 5. καὶ post ἀγαθὸν om K^b. ‖ 7. καὶ post δὲ om M^b. ‖ 9. αὐτῶν M^b. ‖ ἐςίν om L^b. ‖ ἐν om M^b. ‖ 10. ἐν post καὶ om M^b. ‖ 11. ἐν om L^bM^b. ‖ 12. ὑπάρχοντες ςέργουσιν M^b. ‖ ὡς M^b. ‖ 15. ἐν om M^b. ‖ 16. κατὰ φύσιν δοκεῖ ἡ φιλία M^b. ‖ 18. ὅσῳ] καὶ ὅσῳ $L^bM^bO^b$. ‖ 19. τεκνοποιεῖν K^b. ‖ τοῖς ante ζῴοις om M^bO^b. ‖ 21. οἰκοῦσιν M^b. ‖ 26. εἰ om K^b. ‖ γὰρ] δὲ M^b. ‖ 29. βιωτέον K^bO^b, βιωτέον ἐςὶν L^b. ‖ 34. περιττῶν M^b. ‖ 35. καὶ om M^b. ‖ φίλων] τῶν φίλων K^b. ‖ 36. γίνονται φίλοι M^b.

1. διὰ] οἱ διὰ L^b. ‖ 4. τὸ O^b. ‖ 5. γίνονται M^b. ‖ 10. ἂν εἴη K^b. ‖ ἀμείβεται N^b. ‖ 12. ἕκαστος K^bL^b. ‖ ὀρέγεται $K^bL^bO^b$. ‖ 13. ταῖς O^b. ‖ δι' om M^b. ‖ 14. εἰ] ἐν K^b. ‖ 15. μὴ σ.] μὲν σ. N^b. om μὴ M^b. ‖ 16. συνημερεύειν K^bM^b. ‖ 17. πλέονος M^b. ‖ 19. ἀπὸ O^b. ‖ 20. τοιαῦτα M^b. ‖ 23. ὠφελείας $L^bM^bO^b$. ‖ 25. δὲ L^b, δ' ἡ M^bO^b. ‖ ἡ om M^b. ‖ 28. δὲ καὶ ἐν M^b. ‖ ἀμφίβολον M^b. ‖ 29. φιλικὴν $L^bM^bO^b$. ‖ δὴ K^b. ‖ περ K^b. ‖ τȣ́των ȣ̓κ εἰσὶ M^b. ‖ 31. ὡς φιλοδωρεῖται K^b. ‖ 32. ᾧτινι δήποτε M^b. ‖ ἄλλῳ M^bO^b. ‖ ἢ] καὶ M^b. ‖ 33. δὲ] δὲ καὶ M^b. ‖ 34. διαλυσάμενος L^b.

ἵνα ἀντιπάθῃ, ὠφέλιμον δὲ τὸ εὐεργετεῖσθαι. δυναμένῳ δὴ ἀνταποδοτέον τὴν ἀξίαν ὧν ἔπαθεν, καὶ ἑκόντι· ἄκοντα γὰρ φίλον οὐ ποιητέον. ὡς δὴ διαμαρτόντα ἐν τῇ ἀρχῇ καὶ εὖ παθόντα ὑφ' οὗ οὐκ ἔδει· οὐ γὰρ ὑπὸ φίλου, οὐδὲ δι' αὐτὸ τοῦτο δρῶντος· καθάπερ οὖν ἐπὶ ῥητοῖς εὐεργετηθέντα διαλυτέον. καὶ ὁμολογήσαι δ' ἂν δυνάμενος ἀποδώσειν· ἀδυνατοῦντα δ' οὐδ' ὁ δοὺς ἠξίωσεν ἄν· ὥστ' εἰ δυνατός, ἀποδοτέον. ἐν ἀρχῇ δ' ἐπισκεπτέον ὑφ' οὗ εὐεργετεῖται καὶ ἐπὶ τίνι, ὅπως ἐπὶ τούτοις ὑπομένῃ ἢ μή. ἀμφισβήτησιν δ' ἔχει πότερα δεῖ τῇ τοῦ παθόντος ὠφελείᾳ μετρεῖν καὶ πρὸς ταύτην ποιεῖσθαι τὴν ἀνταπόδοσιν, ἢ τῇ τοῦ δράσαντος εὐεργεσίᾳ. οἱ μὲν γὰρ παθόντες τοιαῦτά φασι λαβεῖν παρὰ τῶν εὐεργετῶν ἃ μικρὰ ἦν ἐκείνοις καὶ ἐξῆν παρ' ἑτέρων λαβεῖν, κατασμικρίζοντες· οἱ δ' ἀνάπαλιν τὰ μέγιστα τῶν παρ' αὐτοῖς, καὶ ἃ παρ' ἄλλων οὐκ ἦν, καὶ ἐν κινδύνοις ἢ τοιαύταις χρείαις. ἆρ' οὖν διὰ μὲν τὸ χρήσιμον τῆς φιλίας οὔσης ἡ τοῦ παθόντος ὠφέλεια μέτρον ἐστίν; οὗτος γὰρ ὁ δεόμενος, καὶ ἐπαρκεῖ αὐτῷ ὡς κομιούμενος τὴν ἴσην· τοσαύτη οὖν γεγένηται ἡ ἐπικουρία ὅσον οὗτος ὠφέληται, καὶ ἀποδοτέον δὴ αὐτῷ ὅσον ἐπηύρατο, ἢ καὶ πλέον· κάλλιον γάρ. ἐν δὲ ταῖς κατ' ἀρετὴν ἐγκλήματα μὲν οὐκ ἔστιν, μέτρῳ δ' ἔοικεν ἡ τοῦ δράσαντος προαίρεσις· τῆς ἀρετῆς γὰρ καὶ τοῦ ἤθους ἐν τῇ προαιρέσει τὸ κύριον.

6 Διαφέρονται δὲ καὶ ἐν ταῖς καθ' ὑπεροχὴν φιλίαις· ἀξιοῖ γὰρ ἑκάτερος πλέον ἔχειν, ὅταν δὲ τοῦτο γίγνηται, διαλύεται ἡ φιλία. οἴεται γὰρ ὅ τε βελτίων προσήκειν αὐτῷ πλέον ἔχειν· τῷ γὰρ ἀγαθῷ νέμεσθαι πλέον· ὁμοίως δὲ καὶ ὁ ὠφελιμώτερος· ἀχρεῖον γὰρ ὄντα οὔ φασι δεῖν ἴσον ἔχειν· λειτουργίαν τε γὰρ γίνεσθαι καὶ οὐ φιλίαν, εἰ μὴ κατ' ἀξίαν τῶν ἔργων ἔσται τὰ ἐκ τῆς φιλίας· οἴονται γάρ, καθάπερ ἐν χρημάτων κοινωνίᾳ πλεῖον λαμβάνουσιν οἱ συμβαλλόμενοι πλεῖον, οὕτω δεῖν καὶ ἐν τῇ φιλίᾳ. ὁ δ' ἐνδεὴς καὶ ὁ χείρων ἀνάπαλιν· φίλου γὰρ ἀγαθοῦ εἶναι τὸ ἐπαρκεῖν τοῖς ἐνδεέσιν· τί γάρ, φασίν, ὄφελος σπουδαίῳ ἢ δυνάστῃ φίλον εἶναι, μηθέν γε μέλλοντα ἀπολαύειν; ἔοικε δὲ ἑκάτερος ὀρθῶς ἀξιοῦν, καὶ δεῖν ἑκατέρῳ πλέον νέμειν ἐκ τῆς φιλίας, οὐ τοῦ αὐτοῦ δέ, ἀλλὰ τῷ μὲν ὑπερέχοντι τιμῆς, τῷ δ' ἐνδεεῖ κέρδους· τῆς μὲν γὰρ ἀρετῆς καὶ τῆς εὐεργεσίας ἡ τιμὴ γέρας, τῆς δ' ἐνδείας ἐπικουρία τὸ κέρδος. οὕτω δ' ἔχειν τοῦτο καὶ ἐν ταῖς πολιτείαις φαίνεται· οὐ γὰρ τιμᾶται ὁ μηδὲν ἀγαθὸν τῷ κοινῷ πορίζων· τὸ κοινὸν γὰρ δίδοται τῷ τὸ κοινὸν εὐεργετοῦντι, ἡ τιμὴ δὲ κοινόν. οὐ γὰρ ἔστιν ἅμα χρηματίζεσθαι ἀπὸ τῶν κοινῶν καὶ τιμᾶσθαι· ἐν πᾶσι γὰρ τὸ ἔλαττον οὐδεὶς ὑπομένει. τῷ δὴ περὶ χρήματα ἐλαττουμένῳ τιμὴν ἀπονέμουσι καὶ τῷ δωροδόκῳ χρήματα· τὸ κατ' ἀξίαν γὰρ ἐπανισοῖ καὶ σῴζει τὴν φιλίαν, καθάπερ εἴρηται. οὕτω δὴ καὶ τοῖς ἀνίσοις ὁμιλητέον, καὶ τῷ εἰς χρήματα ὠφελουμένῳ ἢ εἰς ἀρετὴν τιμὴν ἀνταποδοτέον, ἀνταποδιδόντα τὸ ἐνδεχόμενον. τὸ δυνατὸν γὰρ ἡ φιλία ἐπιζητεῖ, οὐ τὸ κατ' ἀξίαν· οὐδὲ γὰρ ἔστιν ἐν πᾶσι, καθάπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς τιμαῖς καὶ τοὺς γονεῖς· οὐδεὶς γὰρ ἄν ποτε τὴν ἀξίαν ἀποδοίη, εἰς δύναμιν δὲ ὁ θεραπεύων ἐπιεικὴς εἶναι δοκεῖ. διὸ κἂν δόξειεν οὐκ ἐξεῖναι υἱῷ πατέρα ἀπείπασθαι, πατρὶ δ' υἱόν· ὀφείλοντα γὰρ ἀποδοτέον, οὐθὲν δὲ ποιήσας ἄξιον τῶν ὑπηργμένων δέδρακεν, ὥστ' ἀεὶ ὀφείλει. οἷς δ' ὀφείλεται, ἐξουσία ἀφεῖναι· καὶ τῷ πατρὶ δή. ἅμα δ' ἴσως οὐδείς ποτ' ἂν ἀποστῆναι δοκεῖ μὴ ὑπερβάλλοντος μοχθηρίᾳ· χωρὶς γὰρ τῆς φυσικῆς φιλίας τὴν ἐπικουρίαν ἀνθρωπικὸν μὴ διωθεῖσθαι. τῷ δὲ φευκτὸν ἢ οὐ σπουδαστὸν τὸ ἐπαρκεῖν, μοχθηρῷ ὄντι· εὖ πάσχειν γὰρ οἱ πολλοὶ βούλονται, τὸ δὲ ποιεῖν φεύγουσιν ὡς ἀλυσιτελές. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

I.

Ἐν πάσαις δὲ ταῖς ἀνομοιοειδέσι φιλίαις τὸ ἀνάλογον ἰσάζει καὶ σῴζει τὴν φιλίαν, καθάπερ εἴρηται, οἷον καὶ ἐν τῇ πολιτικῇ τῷ σκυτοτόμῳ ἀντὶ τῶν ὑποδημάτων ἀμοιβὴ γίνεται κατ' ἀξίαν, καὶ τῷ ὑφάντῃ, καὶ τοῖς λοι-

1. ἀντιπάθοι M^b. ‖ 2. δὲ M^b. ‖ καὶ ἑκόντι om K^bO^b. ‖ 5. εὐεργετηθέντος M^b. ‖ 6. δυνάμενον M^b. ‖ 7. διδοὺς K^b. ‖ δυνατὸν K^b. ‖ 9. ὑπομένοι M^b, ὑπομείνῃ L^b. ‖ 10. ποτέραι δὴ K^b. ‖ 11. ἀπόδοσιν M^b. ‖ 13. ἦν] ἢν παρ' M^b. ‖ 16. ἢ] καὶ ἐν M^b. ‖ 18. γὰρ] δὲ [illegible], γὰρ καὶ O^b. ‖ ὡς — 20. αὐτῷ om M^b. ‖ 19. ὠφελεῖται $L^bM^bO^b$. ‖ 20. ἐπηύρατο $H^aN^bO^b$, ἀπηύρατο L^bM^b, ἐφεύρετο K^b. ‖ καὶ om K^b. ‖ 22. γὰρ ἀρετῆς M^b. ‖ 27. νέμεσθαι πλεῖον O^b. ‖ 28. ὁ om K^bM^b. ‖ φασι om L^b. ‖ 30. οἴονται K^b. ‖ 31. πλείω L^bO^b. ‖ 32. πλέον L^b, πλείω O^b, om M^b. ‖ δεῖν] δὴ M^b. ‖ 34. φασίν om K^b. ‖ 35. ἀπολαύσειν L^b.

1. δὲ] δ' οὖν K^b. ‖ πλεῖον K^b. ‖ 2. δέ om K^b. ‖ 4. τῆς om M^b. ‖ ταῖς ἐνδείαις δὲ K^b. ‖ 7. τὸ post τῷ om K^b. ‖ 8. γὰρ] ἢ O^b. ‖ 10. δὲ M^b. ‖ ἀπονέμουσι τιμὴν L^bO^b. ‖ 12. τούτωι K^b. ‖ 13. εἰς post ἢ om M^b. ‖ 14. ἀποδοτέον M^b. ‖ ἀποδιδόντα K^b. ‖ τὰ ἐνδεχόμενα K^bL^b. ‖ 16. θεοὺς om L^b. ‖ 17. τοὺς om M^b. ‖ τὴν ἀξίαν ποτ' ἂν K^bM^b. ‖ 18. ὁ om L^b. ‖ 20. ὀφείλοντι L^bO^b. ‖ δὲ] γὰρ M^b. ‖ 22. ἀφιέναι K^bM^b. ‖ 23. δοκῇ L^bM^b. ‖ 24. ὠφελείας K^b. ‖ τὴν] τούτω δὴ τὴν M^b. ‖ 25. ἐπίφευκτον M^bN^b. ‖ σπουδαστέον O^b. ‖ 27. οὖν om M^bN^b. ‖ 32. ἁπάσαις L^bO^b. ‖ ἀνομοειδέσι L^bM^b. ‖ 34. καὶ om M^b.

ποις. ἐνταῦθα μὲν οὖν πεπόρισται κοινὸν μέτρον τὸ νόμισμα, καὶ πρὸς τοῦτο δὴ πάντα ἀναφέρεται, καὶ τούτῳ μετρεῖται· ἐν δὲ τῇ ἐρωτικῇ ἐνίοτε μὲν ὁ ἐραστὴς ἐγκαλεῖ ὅτι ὑπερφιλῶν οὐκ ἀντιφιλεῖται, οὐθὲν ἔχων φιλητόν, εἰ οὕτως ἔτυχεν, πολλάκις δ' ὁ ἐρώμενος ὅτι πρότερον ἐπαγγελλόμενος πάντα νῦν οὐθὲν ἐπιτελεῖ. συμβαίνει δὲ τὰ τοιαῦτα, ἐπειδὰν ὁ μὲν δι' ἡδονὴν τὸν ἐρώμενον φιλῇ, ὁ δὲ διὰ τὸ χρήσιμον τὸν ἐραστήν, ταῦτα δὲ μὴ ἀμφοῖν ὑπάρχῃ. διὰ ταῦτα γὰρ τῆς φιλίας οὔσης διάλυσις γίνεται, ἐπειδὰν μὴ γίνηται ὧν ἕνεκα ἐφίλουν· οὐ γὰρ αὐτοὺς ἔστεργον ἀλλὰ τὰ ὑπάρχοντα, οὐ μόνιμα ὄντα· διὸ τοιαῦται καὶ αἱ φιλίαι. ἡ δὲ τῶν ἠθῶν καθ' αὑτὴν οὖσα μένει, καθάπερ εἴρηται. διαφέρονται δὲ καὶ ὅταν ἕτερα γίγνηται αὐτοῖς καὶ μὴ ὧν ὀρέγονται· ὅμοιον γὰρ τῷ μηθὲν γίγνεσθαι, ὅταν οὗ ἐφίεται μὴ τυγχάνῃ, οἷον καὶ τῷ κιθαρῳδῷ ὁ ἐπαγγελλόμενος, καὶ ὅσῳ ἄμεινον ᾄσειεν, τοσούτῳ πλείω· εἰς ἕω δ' ἀπαιτοῦντι τὰς ὑποσχέσεις ἀνθ' ἡδονῆς ἡδονὴν ἀποδεδωκέναι ἔφη. εἰ μὲν οὖν ἑκάτερος τοῦτο ἐβούλετο, ἱκανῶς ἂν εἶχεν· εἰ δ' ὁ μὲν τέρψιν ὁ δὲ κέρδος, καὶ ὁ μὲν ἔχει ὁ δὲ μή, οὐκ ἂν εἴη τὸ κατὰ τὴν κοινωνίαν καλῶς· ὧν γὰρ δεόμενος τυγχάνει, τούτοις καὶ προσέχει, κἀκείνου γε χάριν ταῦτα δώσει. τὴν ἀξίαν δὲ ποτέρου τάξαι ἐστί, τοῦ προϊεμένου ἢ τοῦ προλαβόντος; ὁ γὰρ προϊέμενος ἔοικ' ἐπιτρέπειν ἐκείνῳ. ὅπερ φασὶ καὶ Πρωταγόραν ποιεῖν· ὅτε γὰρ διδάξειεν ἁδήποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. ἐν τοῖς τοιούτοις δ' ἐνίοις ἀρέσκει τὸ "μισθὸς δ' ἀνδρί." οἱ δὲ προλαβόντες τὸ ἀργύριον, εἶτα μηθὲν ποιοῦντες ὧν ἔφασαν, διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγγελιῶν, εἰκότως ἐν ἐγκλήμασι γίνονται· οὐ γὰρ ἐπιτελοῦσιν ἃ ὡμολόγησαν. τοῦτο δ' ἴσως ποιεῖν οἱ σοφισταὶ ἀναγκάζονται διὰ τὸ μηθένα ἂν δοῦναι ἀργύριον ὧν ἐπίστανται. οὗτοι μὲν οὖν ὧν ἔλαβον τὸν μισθόν, μὴ ποιοῦντες εἰκότως ἐν ἐγκλήμασίν εἰσιν· ἐν οἷς δὲ μὴ γίγνεται διομολογία τῆς ὑπουργίας, οἱ μὲν δι' αὑτοὺς προϊέμενοι εἴρηται ὅτι ἀνέγκλητοι· τοιαύτη γὰρ ἡ κατ' ἀρετὴν φιλία. τήν ἀμοιβήν τε ποιητέον κατὰ τὴν προαίρεσιν· αὕτη γὰρ τοῦ φίλου καὶ τῆς ἀρετῆς. οὕτω δ' ἔοικε καὶ τοῖς φιλοσοφίας κοινωνήσασιν· οὐ γὰρ πρὸς χρήματ' ἡ ἀξία μετρεῖται, τιμή τ' ἰσόρροπος οὐκ ἂν γένοιτο, ἀλλ' ἴσως ἱκανόν, καθάπερ καὶ πρὸς θεοὺς καὶ πρὸς γονεῖς, τὸ ἐνδεχόμενον. μὴ τοιαύτης δ' οὔσης τῆς δόσεως ἀλλ' ἐπί τινι, μάλιστα μὲν ἴσως δεῖ τὴν ἀνταπόδοσιν γίγνεσθαι δοκοῦσαν ἀμφοῖν κατ' ἀξίαν εἶναι, εἰ δὲ τοῦτο μὴ συμβαίνοι, οὐ μόνον ἀναγκαῖον δόξειεν ἂν τὸν προέχοντα τάττειν, ἀλλὰ καὶ δίκαιον· ὅσον γὰρ οὗτος ὠφελήθη ἢ ἀνθ' ὅσου τὴν ἡδονὴν εἵλετ' ἄν, τοσοῦτον ἀντιλαβὼν ἕξει τὴν παρὰ τούτου ἀξίαν· καὶ γὰρ ἐν τοῖς ὠνίοις οὕτω φαίνεται γινόμενον, ἐνιαχοῦ τ' εἰσὶ νόμοι τῶν ἑκουσίων συμβολαίων δίκας μὴ εἶναι, ὡς δέον, ᾧ ἐπίστευσε, διαλυθῆναι πρὸς τοῦτον καθάπερ ἐκοινώνησεν. ᾧ γὰρ ἐπετράφθη, τοῦτον οἴεται δικαιότερον εἶναι τάξαι τοῦ ἐπιτρέψαντος. τὰ πολλὰ γὰρ οὐ τοῦ ἴσου τιμῶσιν οἱ ἔχοντες καὶ οἱ βουλόμενοι λαβεῖν· τὰ γὰρ οἰκεῖα καὶ ἃ διδόασιν ἑκάστοις φαίνεται πολλοῦ ἄξια· ἀλλ' ὅμως ἡ ἀμοιβὴ γίνεται πρὸς τοσοῦτον ὅσον ἂν τάττωσιν οἱ λαβόντες. δεῖ δ' ἴσως οὐ τοσούτου τιμᾶν ὅσου ἔχοντι φαίνεται ἄξιον, ἀλλ' ὅσου πρὶν ἔχειν ἐτίμα.

Ἀπορίαν δ' ἔχει καὶ τὰ τοιάδε, οἷον πότερα δεῖ πάντα τῷ πατρὶ ἀπονέμειν καὶ πείθεσθαι, ἢ κάμνοντα μὲν ἰατρῷ πειστέον, στρατηγὸν δὲ χειροτονητέον τὸν πολεμικόν· ὁμοίως δὲ φίλῳ μᾶλλον ἢ σπουδαίῳ ὑπηρετητέον, καὶ εὐεργέτῃ ἀνταποδοτέον χάριν μᾶλλον ἢ ἑταίρῳ δοτέον, ἐὰν ἀμφοῖν μὴ ἐνδέχηται. ἆρ' οὖν πάντα τὰ τοιαῦτα ἀκριβῶς μὲν διορίσαι οὐ ῥᾴδιον; πολλὰς γὰρ καὶ παντοίας ἔχει διαφορὰς καὶ μεγέθει καὶ μικρότητι καὶ τῷ καλῷ καὶ ἀναγκαίῳ. ὅτι δ' οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον, οὐκ ἄδηλον. καὶ τὰς μὲν εὐεργεσίας ἀνταποδοτέον ὡς ἐπὶ τὸ πολὺ μᾶλλον ἢ χαριστέον ἑταίροις, καὶ ὥσπερ δάνειον, ᾧ ὀφείλει ἀποδοτέον μᾶλλον ἢ ἑταίρῳ δοτέον. ἴσως δ' οὐδὲ τοῦτ' ἀεί, οἷον τῷ λυτρωθέντι παρὰ λῃστῶν πότερον τὸν λυσάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ καὶ μὴ ἑαλωκότα

2. καὶ add L^b. ‖ δὲ M^b. ‖ 4. οὐδὲ M^b. ‖ 5 et 15. ἐπαγγελόμενος L^b. ‖ 8. ὑπάρχει N^b. ‖ 10. γένηται K^b. ‖ 13. [illegible] K^b. ‖ 14. τοῦ K^b. ‖ 16. ᾄσειεν] εἶεν K^b. ‖ εἰς ἕω] θησαίω K^b. ‖ 19. ἂν om M^b. ‖ 20. τὰ K^b. ‖ τὴν om L^b. ‖ 21. [illegible] M^b. ‖ 22. τὰ αὐτὰ O^b. ‖ 23. προσλαβόντος K^b. ‖ 25. μανθάνοντα L^bO^b. ‖ 27. ἀρκεῖ ἐνίοις M^b. ‖ τὸ] τε ὁ K^b. ‖ post [illegible] M^b ἄρκιος ἔστω, K^b versum dimidium vacuum. ‖ 28. προλαμβάνοντες $K^bL^bO^b$. ‖ τὸ om L^bO^b. ‖ ἔπειτα O^b. ‖ ἔφασαν M^b. ‖ 29. ἐγκλήματι M^b. ‖ 31. ἀναγκάζοντες L^b. ‖ 33. γίνονται L^b. ‖ 34. γίγνηται L^bO^b.

3. φιλίας M^b. ‖ 5. ἴσως δ' ἱκανόν K^b. ‖ καὶ post καθάπερ om K^b. ‖ πρὸς ante γονεῖς om O^b. ‖ τὸ] τόγε O^b. ‖ 7. [illegible] M^b. ‖ 8. συμβαίνῃ K^b. ‖ 9. τάσσειν L^bO^b. ‖ 10. γὰρ] γὰρ ἂν K^bO^b. ‖ 11. περὶ M^b. ‖ 12. οὕτω] τοῦτο M^b. ‖ 13. δ' M^b. ‖ [illegible] λαμβάνοντες $K^bL^bO^b$. ‖ τοσοῦτον τιμᾶν ὅσον K^b. ‖ 22. τοιαῦτα $K^bL^bO^b$. ‖ πότερον K^b. ‖ 24. πιστευτέον L^bO^b, πιστεύειν K^b. ‖ 26. [illegible] προστέον K^b. ‖ 27. ἄμφω K^b. ‖ 28. γὰρ] δὲ M^b. ‖ 29. σμικρότητι M^b. ‖ καὶ τῷ ἀναγκαίῳ M^b. ‖ 31. ὡς om M^b. ‖ 32. ἢ – [illegible] μᾶλλον om M^b. ‖ 32. καὶ om K^b. ‖ δ' ἄμεινον K^b. ‖ 34. πότερα K^b. ‖ λυτρωσάμενον M^b.

τοῦντι δὲ ἀποδοτέον, ἢ τὸν πατέρα λυτρωτέον; δόξειε ἂν καὶ ἑαυτοῦ μᾶλλον τὸν πατέρα. ὅπερ οὖν εἴρηται, ου μὲν τὸ ὀφείλημα ἀποδοτέον, ἐὰν δ' ὑπερτείνῃ ἡ τῷ καλῷ ἢ τῷ ἀναγκαίῳ, πρὸς ταῦτ' ἀποκλιτέον· γὰρ οὐδ' ἐστὶν ἴσον τὸ τὴν προϋπαρχὴν ἀμείψασθαι, ὰν ὁ μὲν σπουδαῖον εἰδὼς εὖ ποιήσῃ, τῷ δὲ ἡ ἀντα-ις γίγνηται, ὃν οἴεται μοχθηρὸν εἶναι. οὐδὲ γὰρ τῷ ταντι ἐνίοτε ἀντιδανειστέον· ὁ μὲν γὰρ οἰόμενος κο-θαι ἐδάνεισεν ἐπιεικεῖ ὄντι, ὁ δ' οὐκ ἐλπίζει κομιεῖσθαι πονηροῦ. εἴτε τοίνυν τῇ ἀληθείᾳ οὕτως ἔχει, οὐκ ἴσον ξίωμα· εἴτ' ἔχει μὲν μὴ οὕτως οἴονται δέ, οὐκ ἂν δό-ἄτοπα ποιεῖν. ὅπερ οὖν πολλάκις εἴρηται, οἱ περὶ τὰ καὶ τὰς πράξεις λόγοι ὁμοίως ἔχουσι τὸ ὡρισμένον περὶ ἅ εἰσιν. ὅτι μὲν οὖν οὐ ταὐτὰ πᾶσιν ἀποδοτέον, ῷ πατρὶ πάντα, καθάπερ οὐδὲ τῷ Διὶ θύεται, οὐκ ον· ἐπεὶ δ' ἕτερα γονεῦσι καὶ ἀδελφοῖς καὶ ἑταίροις εὐεργέταις, ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόττοντα μητέον. οὕτω δὲ καὶ ποιεῖν φαίνονται· εἰς γάμους γὰρ καλοῦσι τοὺς συγγενεῖς· τούτοις γὰρ κοινὸν τὸ γένος ὶ περὶ τοῦτο δὴ πράξεις· καὶ εἰς τὰ κήδη δὲ μάλιστ' ι δεῖν τοὺς συγγενεῖς ἀπαντᾶν διὰ ταὐτό. δόξειε δ' οφῆς μὲν γονεῦσι δεῖν μάλιστ' ἐπαρκεῖν, ὡς ὀφείλον-καὶ τοῖς αἰτίοις τοῦ εἶναι κάλλιον ὂν ἢ ἑαυτοῖς εἰς ἐπαρκεῖν. καὶ τιμὴν δὲ γονεῦσι καθάπερ θεοῖς, οὐ ν δέ· οὐδὲ γὰρ τὴν αὐτὴν πατρὶ καὶ μητρί· οὐδ' αὖ οῦ σοφοῦ ἢ τοῦ στρατηγοῦ, ἀλλὰ τὴν πατρικήν, ὁμοίως ὶ τὴν μητρικήν. καὶ παντὶ δὲ τῷ πρεσβυτέρῳ τιμὴν αθ' ἡλικίαν, ὑπαναστάσει καὶ κατακλίσει καὶ τοῖς ις. πρὸς ἑταίρους δ' αὖ καὶ ἀδελφοὺς παρρησίαν καὶ των κοινότητα. καὶ συγγενέσι δὴ καὶ φυλέταις καὶ αις καὶ τοῖς λοιποῖς ἅπασιν ἀεὶ πειρατέον τὸ οἰκεῖον έμειν, καὶ συγκρίνειν τὰ ἑκάστοις ὑπάρχοντα κατ' τητα καὶ ἀρετὴν ἢ χρῆσιν. τῶν μὲν οὖν ὁμογενῶν ῥᾴων σις, τῶν δὲ διαφερόντων ἐργωδεστέρα. οὐ μὴν διά γε ἀποστατέον, ἀλλ' ὡς ἂν ἐνδέχηται, οὕτω διοριστέον.

Ἔχει δ' ἀπορίαν καὶ περὶ τοῦ διαλύεσθαι τὰς φιλίας ἢ μὴ πρὸς τοὺς μὴ διαμένοντας. ἢ πρὸς μὲν τοὺς διὰ τὸ χρήσιμον ἢ τὸ ἡδὺ φίλους ὄντας, ὅταν μηκέτι ταῦτ' ἔχωσιν, οὐδὲν ἄτοπον διαλύεσθαι; ἐκείνων γὰρ ἦσαν φίλοι· ὧν ἀπολιπόντων εὔλογον τὸ μὴ φιλεῖν. ἐγκαλέσειε δ' ἄν τις, εἰ διὰ τὸ χρήσιμον ἢ τὸ ἡδὺ ἀγαπῶν προσεποιεῖτο διὰ τὸ ἦθος· ὅπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, πλεῖσται διαφοραὶ γίγνονται τοῖς φίλοις, ὅταν μὴ ὁμοίως οἴωνται καὶ ὦσι φίλοι. ὅταν μὲν οὖν διαψευσθῇ τις καὶ ὑπολάβῃ φιλεῖσθαι διὰ τὸ ἦθος, μηθὲν τοιοῦτον ἐκείνου πράττοντος, ἑαυτὸν αἰτιῷτ' ἄν· ὅταν δ' ὑπὸ τῆς ἐκείνου προσποιήσεως ἀπατηθῇ, δίκαιον ἐγκαλεῖν τῷ ἀπατήσαντι, καὶ μᾶλλον ἢ τοῖς τὸ νόμισμα κιβδηλεύουσιν, ὅσῳ περὶ τιμιώτερον ἡ κακουργία. ἐὰν δ' ἀποδέχηται ὡς ἀγαθόν, γένηται δὲ μοχθηρὸς καὶ δοκῇ, ἆρ' ἔτι φιλητέον; ἢ οὐ δυνατόν, εἴπερ μὴ πᾶν φιλητὸν ἀλλὰ τἀγαθόν; οὔτε δὲ φιλητέον πονηρὸν οὔτε δεῖ· φιλοπόνηρον γὰρ οὐ χρὴ εἶναι, οὐδ' ὁμοιοῦσθαι φαύλῳ· εἴρηται δ' ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον. ἆρ' οὖν εὐθὺς διαλυτέον; ἢ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀνιάτοις κατὰ τὴν μοχθηρίαν; ἐπανόρθωσιν δ' ἔχουσι μᾶλλον βοηθητέον εἰς τὸ ἦθος ἢ τὴν οὐσίαν, ὅσῳ βέλτιον καὶ τῆς φιλίας οἰκειότερον. δόξειε δ' ἂν ὁ διαλυόμενος οὐδὲν ἄτοπον ποιεῖν· οὐ γὰρ τῷ τοιούτῳ φίλος ἦν· ἀλλοιωθέντα οὖν ἀδυνατῶν ἀνασῶσαι ἀφίσταται. εἰ δ' ὁ μὲν διαμένοι ὁ δ' ἐπιεικέστερος γένοιτο καὶ πολὺ διαλλάττοι τῇ ἀρετῇ, ἆρα χρηστέον φίλῳ, ἢ οὐκ ἐνδέχεται; ἐν μεγάλῃ δὲ διαστάσει μάλιστα δῆλον γίνεται, οἷον ἐν ταῖς παιδικαῖς φιλίαις· εἰ γὰρ ὁ μὲν διαμένοι τὴν διάνοιαν παῖς ὁ δ' ἀνὴρ εἴη οἷος κράτιστος, πῶς ἂν εἶεν φίλοι μήτ' ἀρεσκόμενοι τοῖς αὐτοῖς μήτε χαίροντες καὶ λυπούμενοι; οὐδὲ γὰρ περὶ ἀλλήλους ταῦθ' ὑπάρξει αὐτοῖς, ἄνευ δὲ τούτων οὐκ ἦν φίλους εἶναι· συμβιοῦν γὰρ οὐχ οἷόν τε. εἴρηται δὲ περὶ τούτων. ἆρ' οὖν οὐθὲν ἀλλοιότερον πρὸς αὐτὸν ἑκτέον ἢ εἰ μὴ ἐγεγόνει φίλος μηδέποτε; ἢ δεῖ μνείαν ἔχειν τῆς γενομένης συνηθείας, καὶ καθάπερ φίλοις μᾶλλον ἢ ὀθνείοις οἰόμεθα δεῖν χαρίζεσθαι, οὕτω καὶ τοῖς γενομένοις ἀπονεμητέον τι διὰ τὴν προγεγενημένην φιλίαν, ὅταν μὴ δι' ὑπερβολὴν μοχθηρίας ἡ διάλυσις γένηται.

5. οὐκ M^b. ‖ τὴν] τὴν ἑτέρου M^b. ‖ 7. γίνεται O^b. ‖ 10. ἔχῃ K^b. ‖ 11. δόξειεν M^bO^b. ‖ 17. ἁρμόζοντα L^bO^b. ‖ 19. μὲν om ‖ τὸ γένος κοινὸν O^b. ‖ 23. ὂν] ὄντως ὂν L^b, om $K^bM^bO^b$. ‖ 24. γονεῦσι om L^b. ‖ θεοῖς] καὶ θεοῖς L^bO^b. ‖ 25. δέ] δὲ γονεῦσιν L^b. ‖ 26. ἢ] ἢ τὴν K^b. ‖ 27. τὴν om K^bO^b. ‖ δὴ K^b. ‖ 28. τὴν om K^b. ‖ ὑπαναστάσει ἢ καὶ K^b. ‖ 29. αὖ om L^b. ‖ 30. L^bO^b. ‖ δὲ M^b. ‖ 31. πειρατέον ἀεὶ L^bO^b. ‖ 33. ῥᾷον M^b.

1. μὴ post τοὺς om M^b. ‖ 4. ἐγκαλέσει K^b. ‖ 5. ἢ] ἢ διὰ L^b. ‖ 6. ἐ K^bL^b. ‖ 9. ἐκείνου τοιοῦτον O^b. ‖ αὐτὸν L^b. ‖ 12. περ ‖ 14. δοκεῖ ἀρετὴ φιλητέον K^b. ‖ ἢ οὐ] ἢ M^b. ‖ φιλητέον O^b. ‖ 15. δὲ] γὰρ M^b. ‖ οὔτε δεῖ φιλοπόνηρον om K^b. ‖ 20. ὅσον M^b. ‖ τῷ] τούτῳ ἢ K^bM^b. ‖ 22. οὖν] δὲ L^bO^b. ‖ 23. διαμένει L^b. ‖ γίνοιτο K^bM^b. ‖ 24. διαλλάττει L^b. ‖ 26. ταῖς ἐκ παιδιᾶς φιλίαις ‖ διαμένει L^b. ‖ 30. φίλος L^b. ‖ 35. προγενομένην K^bM^b. ‖ 36. ὅτε L^b. ‖ μηδὲ M^b. ‖ ἡ solus N^b.

4 Τὰ φιλικὰ δὲ τὰ πρὸς τοὺς φίλους, καὶ οἷς αἱ φιλίαι ὁρίζονται, ἔοικεν ἐκ τῶν πρὸς ἑαυτὸν ἐληλυθέναι. τιθέασι γὰρ φίλον τὸν βουλόμενον καὶ πράττοντα τἀγαθὰ ἢ τὰ φαινόμενα ἐκείνου ἕνεκα, ἢ τὸν βουλόμενον εἶναι καὶ ζῆν τὸν φίλον αὐτοῦ χάριν· ὅπερ αἱ μητέρες πρὸς τὰ τέκνα πεπόνθασι, καὶ τῶν φίλων οἱ προσκεκρουκότες. οἱ δὲ τὸν συνδιάγοντα καὶ ταὐτὰ αἱρούμενον, ἢ τὸν συναλγοῦντα καὶ συγχαίροντα τῷ φίλῳ· μάλιστα δὲ καὶ τοῦτο περὶ τὰς μητέρας συμβαίνει. τούτων δέ τινι καὶ τὴν φιλίαν ὁρίζονται. πρὸς ἑαυτὸν δὲ τούτων ἕκαστον τῷ ἐπιεικεῖ ὑπάρχει, τοῖς δὲ λοιποῖς, ᾗ τοιοῦτοι ὑπολαμβάνουσιν εἶναι. ἔοικε γάρ, καθάπερ εἴρηται, μέτρον ἑκάστῳ ἡ ἀρετὴ καὶ ὁ σπουδαῖος εἶναι. οὗτος γὰρ ὁμογνωμονεῖ ἑαυτῷ, καὶ τῶν αὐτῶν ὀρέγεται κατὰ πᾶσαν τὴν ψυχήν, καὶ βούλεται δὴ ἑαυτῷ τἀγαθὰ καὶ τὰ φαινόμενα καὶ πράττει (τοῦ γὰρ ἀγαθοῦ τἀγαθὸν διαπονεῖν) καὶ ἑαυτοῦ ἕνεκα· τοῦ γὰρ διανοητικοῦ χάριν, ὅπερ ἕκαστος εἶναι δοκεῖ. καὶ ζῆν δὲ βούλεται ἑαυτὸν καὶ σῴζεσθαι, καὶ μάλιστα τοῦτο ᾧ φρονεῖ· ἀγαθὸν γὰρ τῷ σπουδαίῳ τὸ εἶναι. ἕκαστος δ' ἑαυτῷ βούλεται τἀγαθά, γενόμενος δ' ἄλλος οὐδεὶς αἱρεῖται πάντ' ἔχειν ἐκεῖνο τὸ γενόμενον· ἔχει γὰρ καὶ νῦν ὁ θεὸς τἀγαθόν, ἀλλ' ὢν ὅ τι ποτ' ἐστίν. δόξειε δ' ἂν τὸ νοοῦν ἕκαστος εἶναι, ἢ μάλιστα. συνδιάγειν τε ὁ τοιοῦτος ἑαυτῷ βούλεται· ἡδέως γὰρ αὐτὸ ποιεῖ· τῶν τε γὰρ πεπραγμένων ἐπιτερπεῖς αἱ μνῆμαι, καὶ τῶν μελλόντων ἐλπίδες ἀγαθαί· αἱ τοιαῦται δ' ἡδεῖαι. καὶ θεωρημάτων δ' εὐπορεῖ τῇ διανοίᾳ, συναλγεῖ τε καὶ συνήδεται μάλισθ' ἑαυτῷ· πάντοτε γάρ ἐστι τὸ αὐτὸ λυπηρόν τε καὶ ἡδύ, καὶ οὐκ ἄλλοτ' ἄλλο· ἀμεταμέλητος γὰρ ὡς εἰπεῖν. τῷ δὴ πρὸς αὑτὸν μὲν ἕκαστα τούτων ὑπάρχειν τῷ ἐπιεικεῖ, πρὸς δὲ τὸν φίλον ἔχειν ὥσπερ πρὸς ἑαυτόν (ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός), καὶ ἡ φιλία τούτων εἶναί τι δοκεῖ, καὶ φίλοι οἷς ταῦθ' ὑπάρχει. πρὸς αὑτὸν δὲ πότερόν ἐστιν ἢ οὐκ ἔστι φιλία, ἀφείσθω ἐπὶ τοῦ παρόντος· δόξειε δ' ἂν ταύτῃ εἶναι φιλία, ᾗ ἐστὶ δύο ἢ πλείω ἐκ τῶν εἰρημέ-
νων, καὶ ὅτι ἡ ὑπερβολὴ τῆς φιλίας τῇ πρὸς αὑτ
ται. φαίνεται δὲ τὰ εἰρημένα καὶ τοῖς πολλοῖς ὑ
καίπερ οὖσι φαύλοις. ἆρ' οὖν ᾗ ἀρέσκουσιν ἑαυ
ὑπολαμβάνουσιν ἐπιεικεῖς εἶναι, ταύτῃ μετέχουσι
ἐπεὶ τῶν γε κομιδῇ φαύλων καὶ ἀνοσιουργῶν οὐθ
ὑπάρχει, ἀλλ' οὐδὲ φαίνεται. σχεδὸν δὲ οὐδὲ τ
λοις· διαφέρονται γὰρ ἑαυτοῖς, καὶ ἑτέρων μὲν
σιν ἄλλα δὲ βούλονται, οἷον οἱ ἀκρατεῖς· αἱροῦ
ἀντὶ τῶν δοκούντων ἑαυτοῖς ἀγαθῶν εἶναι τὰ ἡδ
βερὰ ὄντα· οἱ δ' αὖ διὰ δειλίαν καὶ ἀργίαν ἀφ
τοῦ πράττειν ἃ οἴονται ἑαυτοῖς βέλτιστα εἶναι· οἷς δ
καὶ δεινὰ πέπρακται διὰ τὴν μοχθηρίαν, μισοῦσ
φεύγουσι τὸ ζῆν καὶ ἀναιροῦσιν ἑαυτούς. ζητοῦ
μοχθηροὶ μεθ' ὧν συνδιημερεύσουσιν, ἑαυτοὺς δὲ φ
ἀναμιμνήσκονται γὰρ πολλῶν καὶ δυσχερῶν, καὶ
ἕτερα ἐλπίζουσι, καθ' ἑαυτοὺς ὄντες, μεθ' ἑτέρων
ἐπιλανθάνονται. οὐθέν τε φιλητὸν ἔχοντες οὐθὲν
πάσχουσι πρὸς ἑαυτούς. οὐδὲ δὴ συγχαίρουσιν οὐδ
γοῦσιν οἱ τοιοῦτοι ἑαυτοῖς· στασιάζει γὰρ αὐτῶν ἡ
καὶ τὸ μὲν διὰ μοχθηρίαν ἀλγεῖ ἀπεχόμενον τι
δ' ἥδεται, καὶ τὸ μὲν δεῦρο τὸ δ' ἐκεῖσε ἕλκει ὥσ
σπῶντα. εἰ δὲ μὴ οἷόν τε ἅμα λυπεῖσθαι καὶ ἡ
ἀλλὰ μετὰ μικρόν γε λυπεῖται ὅτι ἥσθη, καὶ
ἐβούλετο ἡδέα ταῦτα γενέσθαι αὐτῷ· μεταμελεία
οἱ φαῦλοι γέμουσιν. οὐ δὴ φαίνεται ὁ φαῦλος οὐδ
ἑαυτὸν φιλικῶς διακεῖσθαι διὰ τὸ μηδὲν ἔχειν φιλη
δὴ τὸ οὕτως ἔχειν λίαν ἐστὶν ἄθλιον, φευκτέον τὴν μ
ρίαν διατεταμένως καὶ πειρατέον ἐπιεικῆ εἶναι· οὕτω
καὶ πρὸς ἑαυτὸν φιλικῶς ἂν ἔχοι καὶ ἑτέρῳ φίλος γ

Ἡ δ' εὔνοια φιλίᾳ μὲν ἔοικεν, οὐ μὴν ἐστί γε φ
γίνεται γὰρ εὔνοια καὶ πρὸς ἀγνῶτας καὶ λανθάν
λία δ' οὔ. καὶ πρότερον δὲ ταῦτ' εἴρηται. ἀλλ' οὐ
λησίς ἐστιν· οὐ γὰρ ἔχει διάτασιν οὐδ' ὄρεξιν, τῇ φ
δὲ ταῦτ' ἀκολουθεῖ. καὶ ἡ μὲν φίλησις μετὰ συνη
δ' εὔνοια καὶ ἐκ προσπαίου, οἷον καὶ περὶ τοὺς ἀγ

2. τὰ πρὸς] καὶ πρὸς O^b. ‖ φίλους πέλας καὶ ὅσαι φιλίαι K^b. ‖ 2. αὐτὸν K^b. ‖ 5. τῶν φίλων K^bO^b. ‖ 6. οἱ μὴ προσκ
L^b. ‖ 7. ἢ om K^b. ‖ 9. τινι τὰ κατὰ τὴν M^b. ‖ 10. ὑπερέχει M^b. ‖ 12. δέ M^bO^b. ‖ 14. τὴν om M^bN^b. ‖ τύχην M^b.
διαπονεῖ K^b. ‖ 20. αἱρεῖται οὐδεὶς K^b. ‖ 22. ἀλλ' οἷον ὁπότ' K^b. ‖ 23. ἢ om K^bM^b. ‖ 24. αὐτῷ corr L^bO^b. ‖ 25. μνεῖαι K
28. πάντῃ O^b. ‖ 29. ἄλλῳ K^b. ‖ ἀμετάβλητος M^b. ‖ 30. μὲν add M^b. ‖ 31. περ om L^b. ‖ αὐτὸν K^bM^b. ‖ 32. αὐτός
καὶ ante ἡ om K^b. ‖ 34. ἂν τισιν αὐτὴ M^b. ‖ 35. εἶναι ἡ φιλία L^bO^b. ‖ ᾗ οὐκ ἔστι M^b. ‖ ἐκ] ἢ ἐκ K^b.

3. ἥ τ' ἀρέσκουσιν K^b. ‖ 7. διαφέρουσι M^b. ‖ 11. οἴονται καλὰ ἑαυτοῖς μάλιστα εἶναι M^b. ‖ 12. διὰ] καὶ διὰ K^bM^b. ‖
καὶ φεύγουσι K^b, μισοῦνται φεύγουσι M^bN^b. ‖ 14. συνημερεύσουσιν K^b. ‖ 15. ἕτερα τοιαῦτα ἐλπίζουσι L^bO^b, τοιαῦθ' ὑπερελπίζουσι
17. οὐδὲ L^b. ‖ 19. ἑαυτοῖς οἱ τοιοῦτοι L^bO^b. ‖ 20. τότε L^bO^b, om K^b. ‖ μὲν om K^b. ‖ ἀπεχόμενος L^b. ‖ τοτὲ L^bO^b. ‖ 2
ται M^b. ‖ 24. ταῦτα ἡδέα L^b, τῷ ἡδέα ταῦτα M^b. ‖ μεταμελείας — 26. ἑαυτὸν om M^b. ‖ 26. αὐτὸν K^b. ‖ 29. καὶ ante
K^bM^b. ‖ 30. φιλίᾳ] φιλικῷ K^b. ‖ 32. τοιαῦτ' K^bM^b. ‖ 35. τροπαίου M^b.

ι· εὔνοι γὰρ αὐτοῖς γίνονται καὶ συνθέλυσιν, συμ- δ' ἂν οὐθέν· ὅπερ γὰρ εἴπομεν, προσπαίως εὔνοι καὶ ἐπιπολαίως ϛέργυσιν. ἔοικε δὴ ἀρχὴ φιλίας ϛπερ τοῦ ἐρᾶν ἡ διὰ τῆς ὄψεως ἡδονή· μὴ γὰρ τῇ ἰδέᾳ οὐθεὶς ἐρᾷ, ὁ δὲ χαίρων τῷ εἴδει οὐθὲν ἐρᾷ, ἀλλ' ὅταν καὶ ἀπόντα ποθῇ καὶ τῆς παρυ- υμῇ. οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τ' εἶναι μὴ ομένυς, οἱ δ' εὔνοι οὐθὲν μᾶλλον φιλοῦσιν· βού- άρ μόνον τἀγαθὰ οἷς εἰσὶν εὔνοι, συμπράξαιεν δ' ὐδ' ὀχληθεῖεν ὑπὲρ αὐτῶν. διὸ μεταφέρων φαίη ὑτὴν ἀργὴν εἶναι φιλίαν, χρονιζομένην δὲ καὶ εἰς ἀφικνουμένην γίνεσθαι φιλίαν, οὐ τὴν διὰ τὸ οὐδὲ τὴν διὰ τὸ ἡδύ· ὐδὲ γὰρ εὔνοια ἐπὶ τού- ται. ὁ μὲν γὰρ εὐεργετηθεὶς ἀνθ' ὧν πέπονθεν τὴν εὔνοιαν, τὰ δίκαια δρῶν· ὁ δὲ βουλόμενός υγεῖν, ἐλπίδα ἔχων εὐπορίας δι' ἐκείνυ, οὐκ ἔοικ' είνῳ εἶναι, ἀλλὰ μᾶλλον ἑαυτῷ, καθάπερ οὐδὲ ὶ θεραπεύει αὐτὸν διά τινα χρῆσιν. ὅλως δ' ἡ ἀρετὴν καὶ ἐπιείκειάν τινα γίνεται, ὅταν τῳ φανῇ ς ἢ ἀνδρεῖος ἤ τι τοιοῦτον, καθάπερ καὶ ἐπὶ τῶν εἴπομεν.

ικὸν δὲ καὶ ἡ ὁμόνοια φαίνεται· διόπερ ὐκ ἔϛιν τῦτο μὲν γὰρ καὶ ἀγνοῦσιν ἀλλήλυς ὑπάρξειεν τοὺς περὶ ὁτυοῦν ὁμογνωμονοῦντας ὁμονοεῖν φα- τοὺς περὶ τῶν οὐρανίων (οὐ γὰρ φιλικὸν τὸ περὶ μονοεῖν), ἀλλὰ τὰς πόλεις ὁμονοεῖν φασίν, ὅταν συμφερόντων ὁμογνωμονῶσι καὶ ταὐτὰ προαι- αὶ πράττωσι τὰ κοινῇ δόξαντα. περὶ τὰ πρακτὰ ϛσιν, καὶ τούτων περὶ τὰ ἐν μεγέθει καὶ τὰ ἐνδε- ἀμφοῖν ὑπάρχειν ἢ πᾶσιν, οἷον αἱ πόλεις, ὅταν ῃ τὰς ἀρχὰς αἱρετὰς εἶναι, ἢ συμμαχεῖν Λακε- , ἢ ἄρχειν Πιττακόν, ὅτε καὶ αὐτὸς ἤθελεν. ὅταν ος ἑαυτὸν βύληται, ὥσπερ οἱ ἐν ταῖς Φοινίσσαις, ιν· οὐ γάρ ἐσθ' ὁμονοεῖν τὸ αὐτὸ ἑκάτερον ἐννοεῖν ἀλλὰ τὸ ἐν τῷ αὐτῷ, οἷον ὅταν καὶ ὁ δῆμος καὶ οἱ ἐπιεικεῖς τοὺς ἀρίϛυς ἄρχειν· οὕτω γὰρ πᾶσι γί- γνεται οὗ ἐφίενται. πολιτικὴ δὲ φιλία φαίνεται ἡ ὁμό- νοια, καθάπερ καὶ λέγεται· περὶ τὰ συμφέροντα γάρ ἐϛι καὶ τὰ εἰς τὸν βίον ἀνήκοντα. ἔϛι δ' ἡ τοιαύτη ὁμόνοια ἐν τοῖς ἐπιεικέσιν· οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονοοῦσι καὶ ἀλλήλοις, ἐπὶ τῶν αὐτῶν ὄντες ὡς εἰπεῖν· τῶν τοιούτων γὰρ μένει τὰ βυλήματα καὶ οὐ μεταρρεῖ ὥσπερ εὔριπος, βούλονταί τε τὰ δίκαια καὶ τὰ συμφέροντα, τούτων δὲ καὶ κοινῇ ἐφίενται. τοὺς δὲ φαύλυς οὐχ οἷόν τε ὁμονοεῖν πλὴν ἐπὶ μικρόν, καθάπερ καὶ φίλους εἶναι, πλεονεξίας ἐφιεμένους ἐν τοῖς ὠφελίμοις, ἐν δὲ τοῖς πόνοις καὶ ταῖς λειτυργίαις ἐλλείποντας· ἑαυτῷ δ' ἕκαϛος βυλόμενος ταῦτα τὸν πέλας ἐξετάζει καὶ κωλύει· μὴ γὰρ τηρύντων τὸ κοι- νὸν ἀπόλλυται. συμβαίνει ὖν αὐτοῖς ϛασιάζειν, ἀλλήλυς μὲν ἐπαναγκάζοντας, αὐτὺς δὲ μὴ βυλομένυς τὰ δίκαια ποιεῖν.

Οἱ δ' εὐεργέται τοὺς εὐεργετηθέντας δοκοῦσι μᾶλλον 7
φιλεῖν ἢ οἱ εὖ παθόντες τοὺς δράσαντας, καὶ ὡς παρὰ λόγον γινόμενον ἐπιζητεῖται. τοῖς μὲν οὖν πλείϛοις φαί- νεται, ὅτι οἱ μὲν ὀφείλυσι τοῖς δὲ ὀφείλεται· καθάπερ ὖν ἐπὶ τῶν δανείων οἱ μὲν ὀφείλοντες βύλονται μὴ εἶναι οἷς ὀφείλουσιν, οἱ δὲ δανείσαντες καὶ ἐπιμέλονται τῆς τῶν ὀφειλόντων σωτηρίας, οὕτω καὶ τοὺς εὐεργετήσαντας βύ- λεσθαι εἶναι τοὺς παθόντας ὡς κομιυμένυς τὰς χάριτας, τοῖς δ' οὐκ εἶναι ἐπιμελὲς τὸ ἀνταποδοῦναι. Ἐπίχαρμος μὲν οὖν τάχ' ἂν φαίη ταῦτα λέγειν αὐτοὺς ἐκ πονηροῦ θεωμένυς, ἔοικε δ' ἀνθρωπικῷ· ἀμνήμονες γὰρ οἱ πολλοί, καὶ μᾶλλον εὖ πάσχειν ἢ ποιεῖν ἐφίενται. δόξειε δ' ἂν φυσικώτερον εἶναι τὸ αἴτιον, καὶ οὐχ ὅμοιον τῷ περὶ τὺς δανείσαντας· οὐ γάρ ἐϛι φίλησις περὶ ἐκείνυς, ἀλλὰ τοῦ σώζεσθαι βύλησις τῆς κομιδῆς ἕνεκα· οἱ δ' εὖ πεποιηκότες φιλοῦσι καὶ ἀγαπῶσι τοὺς πεπονθότας, κἂν μηθὲν ὦσι χρήσιμοι μηδ' εἰς ὕστερον γένοιντ' ἄν. ὅπερ καὶ ἐπὶ τῶν τεχνιτῶν συμβέβηκεν· πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ μᾶλλον ἢ ἀγαπηθείη ἂν ὑπὸ τοῦ ἔργυ ἐμψύχυ γενομένυ.

ϛέλθῦσιν K^b. ‖ συμπράξειαν L^b. ‖ 2. οὐδὲ ἓν O^b. ‖ τροπαίως M^b. ‖ 5. εἰδέαι K^b. ‖ 7. ἐπιθυμεῖ K^bO^b. ‖ 9. εὔνοοι M^b. ‖
L^b. ‖ ὐδ' ἂν ὀχληθεῖεν O^b. ‖ 12. ἀγομένην L^b, συνηγομένην O^b. ‖ 16. εὖ πράττειν L^b. ‖ εὐπορίας ἐλπίδα ἔχων L^bO^b. ‖ 17.
ς O^b. ‖ 18. ἡ om K^bM^b. ‖ 19. γίνεται τῶ φανῆναι M^b. ‖ 20. τῷ ἀγῶνι L^b. ‖ 24. τοὺς] γὰρ M^b. ‖ ὁτιοῦν L^bO^b. ‖ 26.
ὺς M^b. ‖ 27. καὶ — 29. ὁμονοῶσι om M^b. ‖ 28. κοινὰ K^b. ‖ 29. τὰ post καὶ add L^bO^b. ‖ 32. ἔθελεν K^b. ‖ 33. ἑκά-
αυτὸν K^b. ‖ 34. αὐτῶι $K^bL^bM^b$. ‖ εὐνοεῖν K^bL^b. ‖ 35. ἐν et αὐτῷ om O^b.
πάντες ἐφίενται M^b. οὗ ἐφίεται — φαίνεται margo O^b: ipse om. ‖ 4. πρὸς N^b. ‖ ἥκοντα M^b, εἰκότα K^b. ‖ 5. καὶ post
L^b. ‖ 7. μέρει τὰ βυλεύματα M^b. ‖ 9. καὶ om M^b. ‖ κοινωνίας O^b. ‖ 11. πόνοις] δαπανηροῖς M^b. ‖ 13. πληρούντων M^b. ‖
M^b. ‖ 18. οἱ om K^bM^b. ‖ 21. ὀφείλοντες οὐ βύλονται εἶναι M^b. ‖ 22. οἱ δανείσαντες δὲ καὶ ἐπιμελοῦνται K^bM^b. ‖ 23. οὕτω
L^b. ‖ 26. μὲν om M^b. ‖ τοὺς M^b. ‖ 29. οὐδ' K^bM^b. ‖ 30. δανειϛάς L^b. ‖ 32. πεπονθότας] εὖ πεπονθότας N^b, εὐεργετηθέντας
33. μηδ'] κἂν μηδ' M^b. ‖ γένοιτ' L^bM^b.

μάλιϛα δ' ἴσως τῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπεραγαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα, στέργοντες ὥσπερ τέκνα. τοιούτῳ δὴ ἔοικε καὶ τὸ τῶν εὐεργετῶν· τὸ γὰρ εὖ πεπονθὸς ἔργον ἐστὶν αὐτῶν· τοῦτο δὴ ἀγαπῶσι μᾶλλον ἢ τὸ ἔργον τὸν ποιήσαντα. τούτϐ δ' αἴτιον ὅτι τὸ εἶναι πᾶσιν αἱρετὸν καὶ φιλητόν, ἐσμὲν δ' ἐνεργείᾳ· τῷ ζῆν γὰρ καὶ πράττειν. ἐνεργείᾳ δὴ ὁ ποιήσας τὸ ἔργον ἔϛι πως· ϛέργει δὴ τὸ ἔργον, διότι καὶ τὸ εἶναι. τοῦτο δὲ φυσικόν· ὃ γάρ ἐϛι δυνάμει, τοῦτο ἐνεργείᾳ τὸ ἔργον μηνύει. ἅμα δὲ καὶ τῷ μὲν εὐεργέτῃ καλὸν τὸ κατὰ τὴν πρᾶξιν, ὥϛε χαίρειν ἐν ᾧ τοῦτο, τῷ δὲ παθόντι οὐθὲν καλὸν ἐν τῷ δράσαντι, ἀλλ' εἴπερ, συμφέρον· τοῦτο δ' ἧττον ἡδὺ καὶ φιλητόν. ἡδεῖα δ' ἐϛὶ τοῦ μὲν παρόντος ἡ ἐνέργεια, τῦ δὲ μέλλοντος ἡ ἐλπίς, τοῦ δὲ γεγενημένϐ ἡ μνήμη. ἥδιϛον δὲ τὸ κατὰ τὴν ἐνέργειαν, καὶ φιλητὸν ὁμοίως. τῷ μὲν οὖν πεποιηκότι μένει τὸ ἔργον (τὸ καλὸν γὰρ πολυχρόνιον), τῷ δὲ παθόντι τὸ χρήσιμον παροίχεται. ἥ τε μνήμη τῶν μὲν καλῶν ἡδεῖα, τῶν δὲ χρησίμων ȣ̓ πάνυ ἢ ἧττον· ἡ προσδοκία δ' ἀνάπαλιν ἔχειν ἔοικεν. καὶ ἡ μὲν φίλησις ποιήσει ἔοικεν, τὸ φιλεῖσθαι δὲ τῷ πάσχειν. τοῖς ὑπερέχȣσι δὴ περὶ τὴν πρᾶξιν ἕπεται τὸ φιλεῖν καὶ τὰ φιλικά. ἔτι δὲ τὰ ἐπιπόνως γενόμενα πάντες μᾶλλον ϛέργȣσιν, οἷον καὶ τὰ χρήματα οἱ κτησάμενοι τῶν παραλαβόντων· δοκεῖ δὴ τὸ μὲν εὖ πάσχειν ἄπονον εἶναι, τὸ δ' εὖ ποιεῖν ἐργῶδες. διὰ ταῦτα δὲ καὶ αἱ μητέρες φιλοτεκνότεραι· ἐπιπονωτέρα γὰρ ἡ γέννησις, καὶ μᾶλλον ἴσασιν ὅτι αὐτῶν. δόξειε δ' ἂν τῦτο καὶ τοῖς εὐεργέταις οἰκεῖον εἶναι.

8 *Ἀπορεῖται δὲ καὶ πότερον δεῖ φιλεῖν ἑαυτὸν μάλιϛα ἢ ἄλλον τινά· ἐπιτιμῶσι γὰρ τοῖς ἑαυτοὺς μάλιστα ἀγαπῶσι, καὶ ὡς ἐν αἰσχρῷ φιλαύτους ἀποκαλοῦσι, δοκεῖ τε ὁ μὲν φαῦλος ἑαυτοῦ χάριν πάντα πράττειν, καὶ ὅσῳ ἂν μοχθηρότερος ᾖ, τοσούτῳ μᾶλλον· ἐγκαλοῦσι δὴ αὐτῷ ὅτι οὐθὲν ἀφ' ἑαυτοῦ πράττει· ὁ δ' ἐπιεικὴς διὰ τὸ καλόν, καὶ ὅσῳ ἂν βελτίων ᾖ, μᾶλλον διὰ τὸ καλόν, καὶ φίλϐ ἕνεκα· τὸ δ' αὐτῦ παρίησιν. τοῖς λόγοις δὲ τούτοις τὰ ἔργα διαφωνεῖ, οὐκ ἀλόγως. φασὶ γὰρ δεῖν φιλεῖν μάλι[…] μάλιϛα φίλον, φίλος δὲ μάλιϛα ὁ βȣλόμενος ᾧ τἀγαθὰ ἐκείνου ἕνεκα, καὶ εἰ μηθεὶς εἴσεται. τ[…] ὑπάρχει μάλιϛ' αὐτῷ πρὸς αὐτόν, καὶ τὰ λοιπὰ δ[…] οἷς ὁ φίλος ὁρίζεται· εἴρηται γὰρ ὅτι ἀπ' αὐτοῦ π[…] φιλικὰ καὶ πρὸς τοὺς ἄλλȣς διήκει. καὶ αἱ παρο[…] πᾶσαι ὁμογνωμονοῦσιν, οἷον τὸ "μία ψυχή" κα[…] τὰ φίλων" καὶ "ἰσότης φιλότης" καὶ "γόνυ κνήμης[…] πάντα γὰρ ταῦτα πρὸς αὐτὸν μάλισθ' ὑπάρχει· […] γὰρ φίλος αὐτῷ, καὶ φιλητέον δὴ μάλισθ' ἑαυτό[…] ρεῖται δ' εἰκότως ποτέροις χρεὼν ἕπεσθαι, ἀμφοῖν […] τὸ πιϛόν. ἴσως οὖν τȣ̀ς τοιούτȣς δεῖ τῶν λόγων δια[…] διορίζειν ἐφ' ὅσον ἑκάτεροι καὶ πῇ ἀληθεύουσιν. εἰ […]βοιμεν τὸ φίλαυτον πῶς ἑκάτεροι λέγȣσιν, τάχ' ἂ[…] δῆλον. οἱ μὲν ȣ̓̃ν εἰς ὄνειδος ἄγοντες αὐτὸ φιλαύτȣ[…] τȣ̀ς ἑαυτοῖς ἀπονέμοντας τὸ πλεῖον ἐν χρήμασι κα[…] καὶ ἡδοναῖς ταῖς σωματικαῖς· τούτων γὰρ οἱ πολ[…]γονται, καὶ ἐσπȣδάκασι περὶ αὐτὰ ὡς ἄριϛα ὄντα[…] περιμάχητά ἐϛιν. οἱ δὴ περὶ ταῦτα πλεονέκται χα[…] ταῖς ἐπιθυμίαις καὶ ὅλως τοῖς πάθεσι καὶ τῷ ἀλ[…] ψυχῆς. τοιοῦτοι δ' εἰσὶν οἱ πολλοί· διὸ καὶ ἡ προ[…] γεγένηται ἀπὸ τοῦ πολλοῦ φαύλȣ ὄντος. δικαίως […] οὕτω φιλαύτοις ὀνειδίζεται. ὅτι δὲ τοὺς τὰ τοιαῦ[…] ἀπονέμοντας εἰώθασι λέγειν οἱ πολλοὶ φιλαύτȣς, […]λον· εἰ γάρ τις ἀεὶ σπουδάζοι τὰ δίκαια πράττει[…] μάλιϛα πάντων ἢ τὰ σώφρονα ἢ ὁποιαȣ̃ν ἄλλα τ[…] τὰς ἀρετάς, καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποι[…] ἐρεῖ τοῦτον φίλαυτον οὐδὲ ψέξει. δόξειε δ' ἂν ὁ […] μᾶλλον εἶναι φίλαυτος· ἀπονέμει γȣ̃ν ἑαυτῷ τὰ κα[…] καὶ μάλιϛ' ἀγαθά, καὶ χαρίζεται ἑαυτοῦ τῷ κυρ[…] καὶ πάντα τούτῳ πείθεται· ὥσπερ δὲ καὶ πόλις τὸ […]τατον μάλιϛ' εἶναι δοκεῖ καὶ πᾶν ἄλλο σύϛημα, […] ἄνθρωπος· καὶ φίλαυτος δὴ μάλιϛα ὁ τοῦτο ἀγα[…] τούτῳ χαριζόμενος. καὶ ἐγκρατὴς δὲ καὶ ἀκρατὴς […] τῷ κρατεῖν τὸν νοῦν ἢ μή, ὡς τούτȣ ἑκάϛȣ ὄντος· […]*

1. περὶ τοὺς ποιητὰς τῦτο L^bO^b. ‖ 3. δὲ M^b. ‖ 7. δ' $L^bM^bO^b$. ‖ 14. γενομένȣ M^b. ‖ 15. οὖν om L^b. ‖ 16. γὰρ καλὸ[…] 18. ἢ — 19. ἔχειν ἔοικεν om M^b. ‖ 19. ἔχειν om L^bO^b. ‖ 20. ὑπάρχȣσι N^b. ‖ δὲ M^b. ‖ τὴν om L^bO^b. ‖ 21. τὸ] καὶ δ[…] O^b. τὸ φιλεῖν om K^b. ‖ 22. γινόμενα πάντες μᾶλλον M^b, μὲν μᾶλλον πάντες γενόμενα O^b. ‖ 23. δὲ M^b. ‖ εὖ μὲν $K^bL^bM^b$. ‖ om M^b. ‖ ἐπιπονώτερον M^b. ‖ γένεσις K^b. ‖ 27. εἶναι om L^b. ‖ 28. ἀπορεῖ M^b. ‖ καὶ om L^b. ‖ 30. δὲ $L^bM^bO^b$. ‖ 33. M^b. ‖ ὅτι] οἷον ὅτι K^b. ‖ 34. βέλτιον K^b. ‖ μᾶλλον om M^b.

2. ᾧ] ἢ ὧ K^b, ὧ μάλιστα L^b. ‖ 4. αὐτῷ μάλιϛα L^bO^b. ‖ 7. τὰ κοινὰ τὰ φίλων καὶ μία ψυχή L^bO^b. ‖ 9. μά[…] ὑπάρχοι K^bM^b. ‖ 11. χρεὼν δὴ ἕπεσθαι L^bO^b. ‖ ἐχόντων L^b, σχόντοιν M^b. ‖ 15. ȣ̓̃ν om K^bM^b. ‖ 19. περὶ χρήματα δὲ L^b. ‖ 22. πηλοῦ M^b. ‖ 23. τοὺς] τοῖς K^b. ‖ 25. σπουδάζει $L^bM^bO^b$. ‖ 27. αὐτῷ L^bO^b. ‖ 29. εἶναι μᾶλλον γὰρ L^b. ‖ 31. δὲ καὶ] γὰρ M^b. ‖ 33. καὶ ante φίλαυτος om M^b. ‖ 34. λέγεται om M^b. ‖ 35. τοῦτο $K^bM^bN^bO^b$. πραγμάτια M^b.

δοκῦσιν αὐτοὶ καὶ ἑκυσίως τὰ μετὰ λόγυ μάλιςα.
ν τοῦθ' ἕκαςός ἐςιν ἢ μάλιςα, οὐκ ἄδηλον, καὶ
κὴς μάλιςα τῦτ' ἀγαπᾷ. διὸ φίλαυτος μάλις'
αθ' ἕτερον εἶδος τοῦ ὀνειδιζομένου, καὶ διαφέρων
σον τὸ κατὰ λόγον ζῆν τῦ κατὰ πάθος, καὶ ὀρέ-
ͅ καλοῦ ἢ τοῦ δοκοῦντος συμφέρειν. τοὺς μὲν ὖν
αλὰς πράξεις διαφερόντως σπυδάζοντας πάντες
αι καὶ ἐπαινῦσιν· πάντων δὲ ἁμιλλωμένων πρὸς
καὶ διατεινομένων τὰ κάλλιςα πράττειν κοινῇ τ'
εἴη τὰ δέοντα καὶ ἰδίᾳ ἑκάστῳ τὰ μέγιστα τῶν
ἴπερ ἡ ἀρετὴ τοιοῦτόν ἐςιν. ὥςε τὸν μὲν ἀγαθὸν
τον εἶναι· καὶ γὰρ αὐτὸς ὀνήσεται τὰ καλὰ πράτ-
ους ἄλλους ὠφελήσει· τὸν δὲ μοχθηρὸν οὐ δεῖ·
ὰρ καὶ ἑαυτὸν καὶ τοὺς πέλας, φαύλοις πάθεσιν
τῷ μοχθηρῷ μὲν οὖν διαφωνεῖ ἃ δεῖ πράττειν
ίττει· ὁ δ' ἐπιεικής, ἃ δεῖ, ταῦτα καὶ πράττει·
οῦς αἱρεῖται τὸ βέλτιστον ἑαυτῷ, ὁ δ' ἐπιεικὴς
τῷ νῷ. ἀληθὲς δὲ περὶ τοῦ σπυδαίυ καὶ τὸ τῶν
κα πολλὰ πράττειν καὶ τῆς πατρίδος, κἂν δέῃ
ήσκειν· προήσεται γὰρ καὶ χρήματα καὶ τιμὰς
τὰ περιμάχητα ἀγαθά, περιποιούμενος ἑαυτῷ τὸ
λίγον γὰρ χρόνον ἡσθῆναι σφόδρα μᾶλλον ἕλοιτ'
ὂν ἠρέμα, καὶ βιῶσαι καλῶς ἐνιαυτὸν ἢ πόλλ' ἔτη
καὶ μίαν πρᾶξιν καλὴν καὶ μεγάλην ἢ πολλὰς
ς. τοῖς δ' ὑπεραποθνήσκυσι τοῦτ' ἴσως συμβαίνει·
δὴ μέγα καλὸν ἑαυτοῖς. καὶ χρήματα προοῖντ'
πλείονα λήψονται οἱ φίλοι· γίγνεται γὰρ τῷ
χρήματα, αὐτῷ δὲ τὸ καλόν· τὸ δὴ μεῖζον
υτῷ ἀπονέμει. καὶ περὶ τιμὰς δὲ καὶ ἀρχὰς ὁ
πος· πάντα γὰρ τῷ φίλῳ ταῦτα προήσεται· κα-
υτῷ τοῦτο καὶ ἐπαινετόν. εἰκότως δὴ δοκεῖ σπυ-
, ἀντὶ πάντων αἱρούμενος τὸ καλόν. ἐνδέχεται
άξεις τῷ φίλῳ προΐεσθαι, καὶ εἶναι κάλλιον τοῦ
ξαι τὸ αἴτιον τῷ φίλῳ γενέσθαι. ἐν πᾶσι δὴ τοῖς
ὁ σπυδαῖος φαίνεται ἑαυτῷ τοῦ καλῦ πλέον νέ-

μων. οὕτω μὲν οὖν φίλαυτον εἶναι δεῖ, καθάπερ εἴρηται· ὡς δ' οἱ πολλοί, οὐ χρή.

9 Ἀμφισβητεῖται δὲ καὶ περὶ τὸν εὐδαίμονα, εἰ δεήσεται φίλων ἢ μή. οὐθὲν γάρ φασι δεῖν φίλων τοῖς μακαρίοις καὶ αὐτάρκεσιν· ὑπάρχειν γὰρ αὐτοῖς τἀγαθά· αὐτάρκεις οὖν ὄντας οὐδενὸς προσδεῖσθαι, τὸν δὲ φίλον, ἕτερον αὐτὸν ὄντα, πορίζειν ἃ δι' αὐτοῦ ἀδυνατεῖ· ὅθεν τὸ "ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;" ἔοικε δ' ἀτόπῳ τὸ πάντ' ἀπονέμοντας τἀγαθὰ τῷ εὐδαίμονι φίλυς μὴ ἀποδιδόναι, ὃ δοκεῖ τῶν ἐκτὸς ἀγαθῶν μέγιςον εἶναι. εἴ τε φίλυ μᾶλλόν ἐςι τὸ εὖ ποιεῖν ἢ πάσχειν, καὶ ἐςὶ τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς τὸ εὐεργετεῖν, κάλλιον δ' εὖ ποιεῖν φίλους ὀθνείων, τῶν εὖ πεισομένων δεήσεται ὁ σπυδαῖος. διὸ καὶ ἐπιζητεῖται πότερον ἐν εὐτυχίαις μᾶλλον δεῖ φίλων ἢ ἐν ἀτυχίαις, ὡς καὶ τῦ ἀτυχοῦντος δεομένυ τῶν εὐεργετησόντων καὶ τῶν εὐτυχούντων οὓς εὖ ποιήσυσιν. ἄτοπον δ' ἴσως καὶ τὸ μονώτην ποιεῖν τὸν μακάριον· οὐθεὶς γὰρ ἕλοιτ' ἂν καθ' αὑτὸν τὰ πάντ' ἔχειν ἀγαθά· πολιτικὸν γὰρ ὁ ἄνθρωπος καὶ συζῆν πεφυκός. καὶ τῷ εὐδαίμονι δὴ τῦθ' ὑπάρχει· τὰ γὰρ τῇ φύσει ἀγαθὰ ἔχει. δῆλον δ' ὡς μετὰ φίλων καὶ ἐπιεικῶν κρεῖττον ἢ μετ' ὀθνείων καὶ τῶν τυχόντων συνημερεύειν· δεῖ ἄρα τῷ εὐδαίμονι φίλων. τί ὖν λέγυσιν οἱ πρῶτοι, καὶ πῇ ἀληθεύυσιν; ἢ ὅτι οἱ πολλοὶ φίλυς οἴονται τοὺς χρησίμυς εἶναι; τῶν τοιούτων μὲν ὖν οὐθὲν δεήσεται ὁ μακάριος, ἐπειδὴ τἀγαθὰ ὑπάρχει αὐτῷ. οὐδὲ δὴ τῶν διὰ τὸ ἡδύ, ἢ ἐπὶ μικρόν· ἡδὺς γὰρ ὁ βίος ὢν οὐθὲν δεῖται ἐπεισάκτου ἡδονῆς. ὐ δεόμενος δὲ τῶν τοιούτων φίλων οὐ δοκεῖ δεῖσθαι φίλων. τὸ δ' οὐκ ἔςιν ἴσως ἀληθές· ἐν ἀρχῇ γὰρ εἴρηται ὅτι ἡ εὐδαιμονία ἐνέργειά τίς ἐςιν, ἡ δ' ἐνέργεια δῆλον ὅτι γίνεται καὶ ὐχ ὑπάρχει ὥσπερ κτῆμά τι. εἰ δὲ τὸ εὐδαιμονεῖν ἐςὶν ἐν τῷ ζῆν καὶ ἐνεργεῖν, τοῦ δ' ἀγαθοῦ ἡ ἐνέργεια σπουδαία καὶ ἡδεῖα καθ' αὑτήν, καθάπερ ἐν ἀρχῇ εἴρηται, ἔςι δὲ καὶ τὸ οἰκεῖον τῶν ἡδέων, θεωρεῖν δὲ μᾶλλον τοὺς πέλας δυνάμεθα ἢ ἑαυτοὺς καὶ τὰς ἐκείνων πράξεις ἢ τὰς οἰκείας, αἱ τῶν σπουδαίων δὴ πράξεις φίλων ὄντων

τῦ M^b. ‖ 2. τοῦ καθ' ἕκαςον M^b, τοῦ καθέκαςος L^b. ‖ ἢ om O^b. ‖ 4. ἑκάτερον K^b. ‖ 6. ἢ τοῦ καλοῦ ἢ K^bM^b. ‖ τοὺς]
7. σπυδάζοντα M^b. ‖ 10. πάντ' ἂν εἴη M^b, ἂν παντὶ ἢ L^bO^b. ‖ 11. αἱ ἀρεταὶ O^b. ‖ τὸ τοιοῦτον M^b. ‖ ἐςιν om L^bO^b. ‖
om K^bM^b. ‖ 16. ἃ om K^b. ‖ ταῦτα ἃ δεῖ K^bM^b. ‖ καὶ] ἀεὶ K^b. ‖ 18. δὲ τὸ περὶ L^b. ‖ 21. αὐτῷ L^b. ‖ 25. δὴ L^bO^b. ‖
' O^b. ‖ 28. δὴ] δὲ L^b. ‖ 29. περὶ τὰς τιμὰς L^bO^b. ‖ δὴ K^bO^b. ‖ 31. δοκεῖ om M^b. ‖ σπυδαῖον M^b. ‖ 32. αἱρούμενον
γίνεσθαι M^b. ‖ ἅπασι L^b.

φίλαυτον εἶναι L^b, φίλαυτον εἶναι δοκεῖ M^b. ‖ 3. καὶ om M^b. ‖ 4. δεῖν φασὶ φίλων M^b. ‖ 5. ὑπάρχει $K^bL^bM^b$. ‖ αὐτοῖς
ἀγαθά K^b, τἀγαθόν M^b. ‖ 6. μηδενὸς L^bO^b. ‖ ἕτερον ὄντα αὐτῷ πορίζειν M^b. ‖ 7. τὸ om $K^bL^bM^b$. ‖ 10. ἀγαθὸν K^b. ‖
. ‖ 13. πησομένων ὧν δεήσεται K^b. ‖ ζητεῖται L^bO^b. ‖ 14. ἀτυχίαις O^b. ‖ δεῖ φίλων μᾶλλον M^b. ‖ εὐτυχίαις O^b. ‖ 16.
17. αὐτὸν πάντ' ἔχειν τἀγαθά L^bO^b. ‖ 21. καὶ om K^b. ‖ τῶν om K^bM^b. ‖ 22. εὐδαίμονι καὶ τῶν φίλων K^bM^b. ‖ 23. ποῖ
τοὺς χρησίμυς M^b. ‖ 26. ἢ om K^b. ‖ 29. ἐςιν] ἐςὶ μετὰ ἀρετῆς L^b. ‖ 31. τοῦ ἀγαθοῦ δ' L^bO^b. ‖ 33. δὲ post θεωρεῖν

ἡδεῖαι τοῖς ἀγαθοῖς· ἄμφω γὰρ ἔχουσι τὰ τῇ φύσει ἡδέα. ὁ μακάριος δὴ φίλων τοιούτων δεήσεται, εἴπερ θεωρεῖν προαιρεῖται πράξεις ἐπιεικεῖς καὶ οἰκείας· τοιαῦται δ' αἱ τοῦ ἀγαθοῦ φίλου ὄντος. οἴονταί τε δεῖν ἡδέως ζῆν τὸν εὐδαίμονα· μονώτῃ μὲν οὖν χαλεπὸς ὁ βίος· οὐ γὰρ ῥᾴδιον καθ' αὑτὸν ἐνεργεῖν συνεχῶς, μεθ' ἑτέρων δὲ καὶ πρὸς ἄλλους ῥᾷον. ἔσται οὖν ἡ ἐνέργεια συνεχεστέρα, ἡδεῖα οὖσα καθ' αὑτήν, ὃ δεῖ περὶ τὸν μακάριον εἶναι· ὁ γὰρ σπουδαῖος, ᾗ σπουδαῖος, ταῖς κατ' ἀρετὴν πράξεσι χαίρει, ταῖς δ' ἀπὸ κακίας δυσχεραίνει, καθάπερ ὁ μουσικὸς τοῖς καλοῖς μέλεσιν ἥδεται, ἐπὶ δὲ τοῖς φαύλοις λυπεῖται. γίνοιτο δ' ἂν καὶ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνίς φησιν. φυσικώτερον δ' ἐπισκοποῦσιν ἔοικεν ὁ σπουδαῖος φίλος τῷ σπουδαίῳ τῇ φύσει αἱρετὸς εἶναι· τὸ γὰρ τῇ φύσει ἀγαθὸν εἴρηται ὅτι τῷ σπουδαίῳ ἀγαθὸν καὶ ἡδύ ἐστι καθ' αὑτό· τὸ δὲ ζῆν ὁρίζονται τοῖς ζῴοις δυνάμει αἰσθήσεως, ἀνθρώποις δ' αἰσθήσεως ἢ νοήσεως· ἡ δὲ δύναμις εἰς τὴν ἐνέργειαν ἀνάγεται. τὸ δὲ κύριον ἐν τῇ ἐνεργείᾳ· ἔοικε δὴ τὸ ζῆν εἶναι κυρίως τὸ αἰσθάνεσθαι ἢ νοεῖν. τὸ δὲ ζῆν τῶν καθ' αὑτὸ ἀγαθῶν καὶ ἡδέων· ὡρισμένον γάρ, τὸ δ' ὡρισμένον τῆς τἀγαθοῦ φύσεως. τὸ δὲ τῇ φύσει ἀγαθὸν καὶ τῷ ἐπιεικεῖ· διόπερ ἔοικε πᾶσιν ἡδὺ εἶναι. οὐ δεῖ δὲ λαμβάνειν μοχθηρὰν ζωὴν καὶ διεφθαρμένην, οὐδ' ἐν λύπαις· ἀόριστος γὰρ ἡ τοιαύτη, καθάπερ τὰ ὑπάρχοντα αὐτῇ. ἐν τοῖς ἐχομένοις δὲ περὶ τῆς λύπης ἔσται φανερώτερον. εἰ δ' αὐτὸ τὸ ζῆν ἀγαθὸν καὶ ἡδύ (ἔοικε δὲ καὶ ἐκ τοῦ πάντας ὀρέγεσθαι αὐτοῦ, καὶ μάλιστα τοὺς ἐπιεικεῖς καὶ μακαρίους· τούτοις γὰρ ὁ βίος αἱρετώτατος, καὶ ἡ τούτων μακαριωτάτη ζωή), ὁ δ' ὁρῶν ὅτι ὁρᾷ αἰσθάνεται καὶ ὁ ἀκούων ὅτι ἀκούει καὶ ὁ βαδίζων ὅτι βαδίζει, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἔστι τι τὸ αἰσθανόμενον ὅτι ἐνεργοῦμεν, ὥστε αἰσθανοίμεθ' ἂν ὅτι αἰσθανόμεθα καὶ νοοῖμεν ὅτι νοοῦμεν. τὸ δ' ὅτι αἰσθανόμεθα ἢ νοοῦμεν, ὅτι ἐσμέν· τὸ γὰρ εἶναι ἦν αἰσθάνεσθαι ἢ νοεῖν. τὸ δ' αἰσθάνεσθαι ὅτι ζῇ, τῶν ἡδέων καθ' αὑτό σει γὰρ ἀγαθὸν ζωή, τὸ δ' ἀγαθὸν ὑπάρχον ἐν αἰσθάνεσθαι ἡδύ. αἱρετὸν δὲ τὸ ζῆν καὶ μάλιστα τοῖς θοῖς, ὅτι τὸ εἶναι ἀγαθόν ἐστιν αὐτοῖς καὶ ἡδύ· συναι μενοι γὰρ τοῦ καθ' αὑτὸ ἀγαθοῦ ἥδονται. ὡς δὲ πρὸς ἔχει ὁ σπουδαῖος, καὶ πρὸς τὸν φίλον· ἕτερος γὰρ α φίλος ἐστίν. καθάπερ οὖν τὸ αὐτὸν εἶναι αἱρετόν ἐστιν οὕτω καὶ τὸ τὸν φίλον, ἢ παραπλησίως. τὸ δ' εἰ αἱρετὸν διὰ τὸ αἰσθάνεσθαι αὐτοῦ ἀγαθοῦ ὄντος. ἡ δὲ τ αἴσθησις ἡδεῖα καθ' ἑαυτήν. συναισθάνεσθαι ἄρα δεῖ φίλου ὅτι ἔστιν, τοῦτο δὲ γίνοιτ' ἂν ἐν τῷ συζῆν καὶ κο λόγων καὶ διανοίας· οὕτω γὰρ ἂν δόξειε τὸ συζῆν ἐ ἀνθρώπων λέγεσθαι, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν βοσκη τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. εἰ δὴ τῷ μακαρίῳ τὸ εἶνα τόν ἐστι καθ' αὑτό, ἀγαθὸν τῇ φύσει ὂν καὶ ἡδύ, παρ σιον δὲ καὶ τὸ τοῦ φίλου ἐστίν, καὶ ὁ φίλος τῶν αἱρετ εἴη. ὃ δ' ἐστὶν αὐτῷ αἱρετόν, τοῦτο δεῖ ὑπάρχειν αὐτ ταύτῃ ἐνδεὴς ἔσται. δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φ σπουδαίων.

Ἆρ' οὖν ὡς πλείστους φίλους ποιητέον, ἢ καθάπ τῆς ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ "μήτε πολύξεινος ἄξεινος," καὶ ἐπὶ τῆς φιλίας ἁρμόσει μήτ' ἄφιλον μήτ' αὖ πολύφιλον καθ' ὑπερβολήν; τοῖς μὲν δὴ πρὸς σιν καὶ πάνυ δόξειεν ἂν ἁρμόζειν τὸ λεχθέν· πολλοῖ ἀνθυπηρετεῖν ἐπίπονον, καὶ οὐχ ἱκανὸς ὁ βίος αὐτοῖς πράττειν. οἱ πλείους δὴ τῶν πρὸς τὸν οἰκεῖον βίον ἱ περίεργοι καὶ ἐμπόδιοι πρὸς τὸ καλῶς ζῆν· οὐθὲν δ αὐτῶν. καὶ οἱ πρὸς ἡδονὴν δὲ ἀρκοῦσιν ὀλίγοι, καθάπ τῇ τροφῇ τὸ ἥδυσμα. τοὺς δὲ σπουδαίους πότερον πλε κατ' ἀριθμόν, ἢ ἔστι τι μέτρον καὶ φιλικοῦ πλήθους, ὥ πόλεως; οὔτε γὰρ ἐκ δέκα ἀνθρώπων γένοιτ' ἂν πόλις ἐκ δέκα μυριάδων ἔτι πόλις ἐστίν. τὸ δὲ ποσὸν οὐκ ἔστιν ἕν τι, ἀλλὰ πᾶν τὸ μεταξὺ τινῶν ὡρισμένων. καὶ φ

4. οἷόν τε δὲ K^b. ‖ 6. ῥάιδιον L^bO^b. ‖ 7. συνεργεστέρα M^b. ‖ ὃ — ᾗ] ὁ δὴ περὶ τὸν μακάριον βίον ὢν ᾖ M^b. ‖ 11. γένοιτο καὶ ἡ ἄσκησις τῆς M^b. ‖ 12. θεόγνης K^b. ‖ 13. post φησιν margo L^b φησὶ θέογνις et, cum N^b et 2113 et margine Oxon CCC, ἐσθλῶν μὲν ἀπ' ἐσθλὰ [ἐσθλῶν μὲν γὰρ ἐπ' ἐσθλὰ N^b, ἐσθλὰ μὲν ἀπ' ἐσθλῶν Oxon.] μαθήσεαι [διδάξαι N^b] ἢν δὲ κακοῖσι συ [συμμιγῇς L^b] ἀπολεῖς καὶ τὸν ἐνόντα [ἐόντα N^b] νόον. ea olim textui inserebantur: absunt etiam a 1471, 1855, 1856, 2023, 2114. ‖ 14. εἶναι αἱρετός M^b. ‖ 15. ἀγαθὸν] αἱρετὸν L^b. ‖ ἀγαθὸν καὶ] καὶ ἀγαθὸν καὶ L^b, om K^b. ‖ 16. δύναμιν $L^bM^bN^b$. ἄγεται L^b. ‖ δὴ K^b. ‖ δὲ M^b. ‖ 19. κυρίως εἶναι L^bO^b. ‖ 24. αὐτῇ] ταύτῃ M^b. ‖ 25. ἑπομένοις $L^bM^bO^b$. ‖ τῆς om M^b. ‖ αὐτῆς K^bM^b. ‖ 26. καὶ post δὲ om M^b. ‖ 28. αἱρετώτερος M^b. ‖ 29. ζωή om M^b. ‖ αἰσθάνεται post ἀκούει L^bO^b. ‖ 30. ante ἐπὶ M^b. ‖ 31. ὥστε αἰσθανόμεθ' ἂν K^b, αἰσθανοίμεθα δ' ἂν $L^bM^bO^b$. ‖ 32. νοοῦμεν K^b. ‖ 33. τοῦ M^b.

2. ἡ ζωή L^bO^b. ‖ ἐν om O^b. ‖ 6. ἐστιν ὁ φίλος L^b. ‖ 8. ἢ om K^bM^b. ‖ 10. αὐτήν L^bO^b. ‖ 11. γένοιτ' L^bO^b. ‖ 16. κἂν ὁ, omisso mox ἄν, K^bM^b. ‖ 18. εὐδαιμονήσαντι M^b. ‖ 21. τῆς om M^bO^b. ‖ δοκεῖ τὸ μήτε N^b. ‖ 22. ἄξενος L^b. addit O^b καλεοίμην. ‖ 24. ἂν om $K^bL^bM^b$. ‖ 25. αὐτοῦ M^b, αὐτὸ K^bO^b. ‖ 26. πλείονες δὲ M^b. ‖ ἱκανῶν O^b. ‖ 30. καὶ om K^b. ἀνδρῶν L^b.

πλῆθος ὡρισμένον, καὶ ἴσως οἱ πλεῖστοι, μεθ' ὧν ἂν τις συζῆν· τῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι, ὅτι οἷόν τε πολλοῖς συζῆν καὶ διανέμειν αὑτόν, ὐκ ἄδη- τι δὲ κἀκείνυς δεῖ ἀλλήλοις φίλυς εἶναι, εἰ μέλλυσι μετ' ἀλλήλων συνημερεύειν· τοῦτο δ' ἐργῶδες ἐν ; ὑπάρχειν. χαλεπὸν δὲ γίνεται καὶ τὸ συγχαίρειν τυναλγεῖν οἰκείως πολλοῖς· εἰκὸς γὰρ συμπίπτειν ἅμα συνήδεσθαι τῷ δὲ συνάχθεσθαι. ἴσως ὖν εὖ ἔχει μὴ ὡς πολυφιλώτατον εἶναι, ἀλλὰ τοσούτυς ὅσοι εἰς τὸ κανοί· ὐδὲ γὰρ ἐνδέχεσθαι δόξειεν ἂν πολλοῖς εἶναι τφόδρα. διόπερ οὐδ' ἐρᾶν πλειόνων· ὑπερβολὴ γάρ ι βύλεται φιλίας, τοῦτο δὲ πρὸς ἕνα· καὶ τὸ σφό- πρὸς ὀλίγυς. οὕτω δ' ἔχειν ἔοικε καὶ ἐπὶ τῶν πρα- ν· ὐ γίγνονται γὰρ φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν αἱ δ' ὑμνύμεναι ἐν δυσὶ λέγονται. οἱ δὲ πολύφιλοι σιν οἰκείως ἐντυγχάνοντες ὐδενὶ δοκοῦσιν εἶναι φίλοι, ολιτικῶς, οὓς καὶ καλοῦσιν ἀρέσκυς. πολιτικῶς μὲν πολλοῖς εἶναι φίλον καὶ μὴ ἄρεσκον ὄντα, ἀλλ' ὡς ἐπιεικῆ· δι' ἀρετὴν δὲ καὶ δι' αὐτοὺς οὐκ ἔςι πρὸς ς, ἀγαπητὸν δὲ καὶ ὀλίγυς εὑρεῖν τοιούτυς.

ότερον δ' ἐν εὐτυχίαις μᾶλλον φίλων δεῖ ἢ ἐν δυ- ς; ἐν ἀμφοῖν γὰρ ἐπιζητῦνται· οἵ τε γὰρ ἀτυχῦντες ἐπικουρίας, οἵ τ' εὐτυχοῦντες συμβίων καὶ οὓς εὖ ιν· βούλονται γὰρ εὖ δρᾶν. ἀναγκαιότερον μὲν δὴ ἀτυχίαις, διὸ τῶν χρησίμων ἐνταῦθα δεῖ, κάλλιον ιῖς εὐτυχίαις, διὸ καὶ τοὺς ἐπιεικεῖς ζητοῦσιν· τύτυς ρετώτερον εὐεργετεῖν καὶ μετὰ τούτων διάγειν. ἔστι ὶ ἡ παρυσία αὐτὴ τῶν φίλων ἡδεῖα καὶ ἐν ταῖς δυ- ;· κυφίζονται γὰρ οἱ λυπούμενοι συναλγούντων τῶν διὸ κἂν ἀπορήσειέν τις πότερον ὥσπερ βάρυς μετα- νυσιν, ἢ τοῦτο μὲν οὔ, ἡ παρουσία δ' αὐτῶν ἡδεῖα αὶ ἡ ἔννοια τοῦ συναλγεῖν ἐλάττω τὴν λύπην ποιεῖ. οὖν διὰ ταῦτα ἢ δι' ἄλλο τι κυφίζονται, ἀφείσθω· ίνειν δ' οὖν φαίνεται τὸ λεχθέν. ἔοικε δ' ἡ παρυσία τις αὐτῶν εἶναι. αὐτὸ μὲν γὰρ τὸ ὁρᾶν τοὺς φίλυς ἡδύ, ἄλλως τε καὶ ἀτυχοῦντι, καὶ γίνεταί τις ἐπικουρία πρὸς τὸ μὴ λυπεῖσθαι· παραμυθητικὸν γὰρ ὁ φίλος καὶ τῇ ὄψει καὶ τῷ λόγῳ, ἐὰν ᾖ ἐπιδέξιος· οἶδε γὰρ τὸ ἦθος καὶ ἐφ' οἷς ἥδεται καὶ λυπεῖται. τὸ δὲ λυπούμενον αἰσθάνεσθαι ἐπὶ ταῖς αὐτοῦ ἀτυχίαις λυπηρόν· πᾶς γὰρ φεύγει λύπης αἴτιος εἶναι τοῖς φίλοις. διόπερ οἱ μὲν ἀνδρώδεις τὴν φύσιν εὐλαβοῦνται συλλυπεῖν τοὺς φίλυς αὑτοῖς, κἂν μὴ ὑπερτείνῃ τῇ ἀλυπίᾳ, τὴν ἐκείνοις γινομένην λύπην ὐχ ὑπομένει, ὅλως τε συνθρήνυς οὐ προσίεται διὰ τὸ μηδ' αὐτὸς εἶναι θρηνητικός· γύναια δὲ καὶ οἱ τοιοῦτοι ἄνδρες τοῖς συςένυσι χαίρυσι, καὶ φιλοῦσιν ὡς φίλυς καὶ συναλγῦντας. μιμεῖσθαι δ' ἐν ἅπασι δεῖ δῆλον ὅτι τὸν βελτίω. ἡ δ' ἐν ταῖς εὐτυχίαις τῶν φίλων παρυσία τήν τε διαγωγὴν ἡδεῖαν ἔχει καὶ τὴν ἔννοιαν ὅτι ἥδονται ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς. διὸ δόξειεν ἂν δεῖν εἰς μὲν τὰς εὐτυχίας καλεῖν τοὺς φίλυς προθύμως· εὐεργετητικὸν γὰρ εἶναι καλόν· εἰς δὲ τὰς ἀτυχίας ὀκνοῦντα· μεταδιδόναι γὰρ ὡς ἥκιςα δεῖ τῶν κακῶν, ὅθεν τὸ "ἅλις ἐγὼ δυςυχῶν." μάλιστα δὲ παρακλητέον, ὅταν μέλλωσιν ὀλίγα ὀχληθέντες μεγάλ' αὐτὸν ὠφελήσειν. ἰέναι δ' ἀνάπαλιν ἴσως ἁρμόζει πρὸς μὲν τοὺς ἀτυχοῦντας ἄκλητον καὶ προθύμως (φίλυ γὰρ εὖ ποιεῖν, καὶ μάλιστα τὺς ἐν χρείᾳ καὶ τὸ μὴ ἀξιώσαντας· ἀμφοῖν γὰρ κάλλιον καὶ ἥδιον), εἰς δὲ τὰς εὐτυχίας συνεργοῦντα μὲν προθύμως (καὶ γὰρ εἰς ταῦτα χρεία φίλων), πρὸς εὐπάθειαν δὲ σχολαίως· οὐ γὰρ καλὸν τὸ προθυμεῖσθαι ὠφελεῖσθαι. δόξαν δ' ἀηδίας ἐν τῷ διωθεῖσθαι ἴσως εὐλαβητέον· ἐνίοτε γὰρ συμβαίνει. ἡ παρουσία δὴ τῶν φίλων ἐν ἅπασιν αἱρετὴ φαίνεται.

Ἆρ' οὖν, ὥσπερ τοῖς ἐρῶσι τὸ ὁρᾶν ἀγαπητότατόν ἐςι 12
καὶ μᾶλλον αἱροῦνται ταύτην τὴν αἴσθησιν ἢ τὰς λοιπάς, ὡς κατὰ ταύτην μάλιστα τοῦ ἔρωτος ὄντος καὶ γινομένου, οὕτω καὶ τοῖς φίλοις αἱρετώτατόν ἐστι τὸ συζῆν; κοινωνία γὰρ ἡ φιλία. καὶ ὡς πρὸς ἑαυτὸν ἔχει, οὕτω καὶ πρὸς τὸν φίλον. περὶ αὑτὸν δ' ἡ αἴσθησις ὅτι ἔςιν αἱρετή· καὶ περὶ τὸν φίλον δή. ἡ δ' ἐνέργεια γίνεται αὐτοῖς ἐν τῷ συζῆν,

ἐςί τι πλῆθος N^b. ‖ δύναιντο συζῆν K^b, δύναιτο συζῆν O^b. ‖ 2. γὰρ] δὲ M^b. ‖ δοκεῖ L^b. ‖ διότι K^b. ‖ 3. πολλάκις K^b. ‖ 4. L^b. ‖ 5. δ'] γὰρ M^b. ‖ 6. ὑπάρχει L^bO^b. ‖ δὴ M^b. ‖ 10. ζῆν M^b. ‖ ὐ K^bM^b. ‖ δόξειεν ἂν ἐνδέχεσθαι L^bO^b. ‖ 12. τισιν ὁ om M^b. ‖ 15. πολλοὶ φίλοι K^b. ‖ 16. καὶ πᾶσιν] κατὰ πάντας M^b. ‖ 17. καὶ om O^b. ‖ ἀρεσκὺς K^b et 18. ἀρεσκόν. ‖ 21. n M^b. ‖ ἀτυχίαις L^b. ‖ 23. δ' $K^bM^bO^b$. ‖ οἷς M^b. ‖ 25. διὸ — 26. εὐτυχίαις om M^b. ‖ 26. καὶ om $K^bM^bO^b$. ‖ 28. ἡ om M^b. ‖ δυςυχίαις] εὐτυχίαις καὶ ἐν ταῖς δυςυχίαις M^b, εὐτυχίαις καὶ ἐν ταῖς ἀτυχίαις L^bO^b. ‖ 31. ἡδεῖα] ἐλάττω M^b. ‖ ί] ἔχει O^b. ‖ 33. ἢ] ἡδεῖα ἢ M^b.

δὲ] γὰρ M^b. ‖ 7. συλλυπεῖσθαι N^bO^b. ‖ 8. γενομένην O^b. ‖ ὑπὸ μέρους M^b. ‖ 10. συςενάζυσι L^b, ςένυσι M^b. ‖ 14. εὔνοιαν $^bO^b$. ‖ αὐτῶν M^b, αὐτοῖς L^b. ‖ 16. εὐεργετικὸν $K^bL^bM^b$. ‖ 17. ὡς om L^b. ‖ 22. τὸ om M^b. ‖ ἀξιώσαντος K^b. ‖ 24. . ‖ 27. ἡ] καὶ ἡ M^b. ‖ δὲ M^b, δ' ἡ K^b, λοιπὸν δὴ L^b. ‖ 33. αὐτὸν M^b. ‖ τοὺς φίλους L^b. ‖ 34. ὅτι] αὕτη M^b. ‖ 35.] δ' ἡ K^b.

ὥς' εἰκότως τούτυ ἐφίενται. καὶ ὅ τι ποτ' ἐςὶν ἑκάςοις τὸ εἶναι ἢ οὗ χάριν αἱροῦνται τὸ ζῆν, ἐν τούτῳ μετὰ τῶν φίλων βούλονται διάγειν· διόπερ οἱ μὲν συμπίνουσιν, οἱ δὲ συγκυβεύυσιν, ἄλλοι δὲ συγγυμνάζονται καὶ συγκυνηγῦσιν ἢ συμφιλοσοφοῦσιν, ἕκαςοι ἐν τούτῳ συνημερεύοντες ὅ τί περ μάλιςα ἀγαπῶσι τῶν ἐν τῷ βίῳ· συζῆν γὰρ βυλόμενοι μετὰ τῶν φίλων, ταῦτα ποιοῦσι καὶ τούτων κοινωνῦσιν οἷς οἴονται συζῆν. γίνεται οὖν ἡ μὲν τῶν φαύλων φιλία μοχθηρά· κοινωνῦσι γὰρ φαύλων ἀβέβαιοι ὄντες, καὶ μοχθηροὶ δὲ γίνονται ὁμοιύμενοι ἀλλήλοις· ἡ δὲ τῶν ἐπιεικῶν ἐπιεικής, συναυξανομένη ταῖς ὁμιλίαις· δοκῦσι δὲ καὶ βελτίυς γίνεσθαι ἐνεργοῦντες καὶ διορθῦντες ἀλλήλυς· ἀπομάττονται γὰρ παρ' ἀλλήλων οἷς ἀρέσκονται, ὅθεν "ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλά." περὶ μὲν οὖν φιλίας ἐπὶ τοσοῦτον εἰρήσθω· ἑπόμενον δ' ἂν εἴη διελθεῖν περὶ ἡδονῆς.

K.

Μετὰ δὲ ταῦτα περὶ ἡδονῆς ἴσως ἕπεται διελθεῖν· μάλιςα γὰρ δοκεῖ συνῳκειῶσθαι τῷ γένει ἡμῶν· διὸ παιδεύυσι τοὺς νέους οἰακίζοντες ἡδονῇ καὶ λύπῃ. δοκεῖ δὲ καὶ πρὸς τὴν τοῦ ἤθυς ἀρετὴν μέγιστον εἶναι τὸ χαίρειν οἷς δεῖ καὶ μισεῖν ἃ δεῖ· διατείνει γὰρ ταῦτα διὰ παντὸς τοῦ βίυ, ῥοπὴν ἔχοντα καὶ δύναμιν πρὸς ἀρετήν τε καὶ τὸν εὐδαίμονα βίον· τὰ μὲν γὰρ ἡδέα προαιροῦνται, τὰ δὲ λυπηρὰ φεύγυσιν. ὑπὲρ δὲ τῶν τοιύτων ἥκις' ἂν δόξειε παρετέον εἶναι, ἄλλως τε καὶ πολλὴν ἐχόντων ἀμφισβήτησιν. οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγυσιν, οἱ δ' ἐξ ἐναντίας κομιδῇ φαῦλον, οἱ μὲν ἴσως πεπεισμένοι ὕτω καὶ ἔχειν, οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μὴ ἐστίν· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν καὶ δουλεύειν ταῖς ἡδοναῖς, διὸ δεῖν εἰς τοὐναντίον ἄγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον. μή ποτε δὲ οὐ καλῶς τοῦτο λέγεται. οἱ γὰρ περὶ τῶν ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι λόγοι ἧττόν εἰσι πιστοὶ τῶν ἔργων· ὅταν οὖν διαφωνῶσι τοῖς κατὰ τὴν αἴσθησιν, καταφρονούμενοι καὶ τἀληθὲς προσαναιροῦσιν· ὁ γὰρ ψέγων τὴν ἡδονήν, ὀ ποτ' ἐφιέμενος, ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν ὡς τοι ὖσαν ἅπασαν· τὸ διορίζειν γὰρ ὐκ ἔστι τῶν πολλῶν. κασιν οὖν οἱ ἀληθεῖς τῶν λόγων οὐ μόνον πρὸς τὸ ε χρησιμώτατοι εἶναι, ἀλλὰ καὶ πρὸς τὸν βίον· συνῳδὰ ὄντες τοῖς ἔργοις πιςεύονται, διὸ προτρέπονται τὺς ξυνι ζῆν κατ' αὐτύς. τῶν μὲν ὖν τοιύτων ἅλις, τὰ δ' εἰρη περὶ τῆς ἡδονῆς ἐπέλθωμεν.

Εὔδοξος μὲν ὖν τὴν ἡδονὴν τἀγαθὸν ᾤετ' εἶναι δ πάνθ' ὁρᾶν ἐφιέμενα αὐτῆς, καὶ ἔλλογα καὶ ἄλογα πᾶσι δ' εἶναι τὸ αἱρετὸν ἐπιεικές, καὶ τὸ μάλιςα κράτ τὸ δὴ πάντ' ἐπὶ ταὐτὸ φέρεσθαι μηνύειν ὡς πᾶσι τῦτο στον· ἕκαστον γὰρ τὸ αὐτῷ ἀγαθὸν εὑρίσκειν, ὥσπερ τροφήν· τὸ δὴ πᾶσιν ἀγαθόν, καὶ ὗ πάντ' ἐφίεται, τι θὸν εἶναι. ἐπιστεύοντο δ' οἱ λόγοι διὰ τὴν τῦ ἤθους ἀ μᾶλλον ἢ δι' αὐτύς· διαφερόντως γὰρ ἐδόκει σώφρων ε ὐ δὴ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν, ἀλλ' ἔχειν κατ' ἀλήθειαν. ὐχ ἧττον δ' ᾤετ' εἶναι φανερὸν ἐ ἐναντίου· τὴν γὰρ λύπην καθ' αὑτὸ πᾶσι φευκτὸν ε ὁμοίως δὴ τὐναντίον αἱρετόν. μάλιςα δ' εἶναι αἱρετὸν ὃ δι' ἕτερον μηδ' ἑτέρυ χάριν αἱρύμεθα· τοιῦτον δ' ὁμολο μένως εἶναι τὴν ἡδονήν· οὐδένα γὰρ ἐπερωτᾶν τίνος ἕ ἥδεται, ὡς καθ' αὑτὴν ὖσαν αἱρετὴν τὴν ἡδονήν. προστιθε νην τε ὁτῳῦν τῶν ἀγαθῶν αἱρετώτερον ποιεῖν, οἷον τῷ δικαι πραγεῖν καὶ σωφρονεῖν· καὶ αὔξεσθαι δὴ τὸ ἀγαθὸν α αὐτῷ. ἔοικε δὴ οὗτός γε ὁ λόγος τῶν ἀγαθῶν αὐτὴν ἀ φαίνειν, καὶ ὐδὲν μᾶλλον ἑτέρυ· πᾶν γὰρ μεθ' ἑτέρυ ἀγ αἱρετώτερον ἢ μονούμενον. τοιούτῳ δὴ λόγῳ καὶ Πλά ἀναιρεῖ ὅτι ὐκ ἔστιν ἡδονὴ τἀγαθόν· αἱρετώτερον γὰρ ε τὸν ἡδὺν βίον μετὰ φρονήσεως ἢ χωρίς, εἰ δὲ τὸ μι κρεῖττον, ὐκ εἶναι τὴν ἡδονὴν τἀγαθόν· ὐδενὸς γὰρ προ θέντος αὐτὸ τἀγαθὸν αἱρετώτερον γίνεσθαι. δῆλον δ' ὡς ἄλλο οὐδὲν τἀγαθὸν ἂν εἴη, ὃ μετά τινος τῶν καθ' ἀγαθῶν αἱρετώτερον γίνεται. τί ὖν ἐςὶ τοιῦτον, ὗ καὶ ἡ κοινωνοῦμεν; τοιῦτον γὰρ ἐπιζητεῖται. οἱ δ' ἐνιστάμεν ὐκ ἀγαθὸν ὗ πάντ' ἐφίεται, μὴ ὐθὲν λέγωσιν· ὃ γὰρ

1. ὅτι ποτ'] ὅ ποτ' $L^b O^b$, ὁπότ' K^b. || 4. δὲ] δὲ καὶ L^b. || 5. ἐν] δ' ἐν O^b. || 6 et 7. τῶν om M^b. || 8. οἷς οἴονται] ὡς ἂ K^b. || συζῆν] an εὖ ζῆν? || 9. μοχθηρία L^b. || 10. δὲ ante γίνονται om M^b. || 13. ἐσθλὰ μὲν ἀπ' ἐσθλῶν M^b. || 14. ἐπὶ om K^b 15. περὶ καὶ ἡδονῆς M^b. || 19. ἴσως om $L^b O^b$. || 21. δὲ πρὸς τὰ τοῦ M^b. | 22. ἀρχὴν $K^b M^b N^b$. || μεγίστην M^b. || 23. ἃ] ἃ μὴ K^b 24. τε et τὸν om M^b. || 26. δὴ M^b. || τύτων $L^b O^b$. || 29. καὶ om M^b. || 33. ἂν om $L^b M^b$.

1. ἐφθείς ποτ'] αὐτῆς τ' L^b. || 6. διό] διὸ καὶ M^b. || 8. τῆς om L^b. || 11. τὸ αἱρετὸν τὸ ἐπιεικές K^b. || 12. δὲ $L^b M^b O$ ταῦτα K^b. || μηνύει M^b. μηνύειν post ἄριςον L^b. || τῦτο om L^b. || ἄριστον ὄν. ἕκαστον $K^b M^b$. || 21. τοιῦτο K^b. || 22. ἕνεκεν M 24. δὲ M^b. || τῶν ἀγαθῶν] ἀγαθὸν K^b. || 25. καὶ ante αὔξεσθαι om $K^b L^b$. || αὐτὸ om $K^b L^b$. || 27. ὐδεὶς M^b. || 30. μετὰ φρον τὸν ἡδὺν βίον L^b. || 31. προτεθέντος K^b. || 32. αὐτῷ $L^b M^b O^b$. || 36. λέγουσιν $L^b N^b$. || ἃ $K^b M^b$.

Even in mean things, ἐςί τι φυσικὸν ἀγαθὸν ὃ ἐφίεται τῦ οἰκείῳ ἀγαθῦ κρεῖττον ἢ καθ' αὑτά

τῦτ' εἶναί φαμεν. ὁ δ' ἀναιρῶν ταύτην τὴν πίςιν οὐ πιςότερα ἐρεῖ· εἰ μὲν γὰρ τὰ ἀνόητα ὠρέγετο αὐτῶν, τι τὸ λεγόμενον, εἰ δὲ καὶ τὰ φρόνιμα, πῶς λέγοιεν ἴσως δὲ καὶ ἐν τοῖς φαύλοις ἐςί τι φυσικὸν (ἀγαθὸν) ν ἢ καθ' αὑτά, ὃ ἐφίεται τῦ οἰκείῦ ἀγαθῦ. ὐκ ἔοικε περὶ τῦ ἐναντίῦ καλῶς λέγεσθαι. ὐ γάρ φασιν, εἰ η κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀντικεῖσθαι αὶ κακὸν κακῷ καὶ ἄμφω τῷ μηδετέρῳ, λέγοντες ὐ κακῶς, ὐ μὴν ἐπί γε τῶν εἰρημένων ἀληθεύοντες. ν μὲν γὰρ ὄντων κακῶν καὶ φευκτὰ ἔδει ἄμφω εἶναι, ηδετέρων δὲ μηδέτερον ἢ ὁμοίως· νῦν δὲ φαίνονται ν φεύγοντες ὡς κακόν, τὴν δ' αἱρύμενοι ὡς ἀγαθόν· ἡ καὶ ἀντίκειται. ὐ μὴν ὐδ' εἰ μὴ τῶν ποιοτήτων ἐςὶν ή, διὰ τῦτ' ὐδὲ τῶν ἀγαθῶν· ὐδὲ γὰρ αἱ τῆς ἀρετῆς αι ποιότητές εἰσιν, ὐδ' ἡ εὐδαιμονία. λέγυσι δὲ τὸ γαθὸν ὡρίσθαι, τὴν δ' ἡδονὴν ἀόριςον εἶναι, ὅτι δέχε- μᾶλλον καὶ τὸ ἧττον. εἰ μὲν ὖν ἐκ τῦ ἥδεσθαι τῦτο , καὶ περὶ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς, ὶς ἐναργῶς φασὶ μᾶλλον καὶ ἧττον τὺς ποιὺς ὑπάρ- κατὰ τὰς ἀρετάς, ἔσται τὸ αὐτό· δίκαιοι γάρ εἰσι ν καὶ ἀνδρεῖοι, ἔςι δὲ καὶ δικαιοπραγεῖν καὶ σωφρο- ᾶλλον καὶ ἧττον. εἰ δ' ἐν ταῖς ἡδοναῖς, μή ποτ' οὐ τὸ αἴτιον, ἂν ὦσιν αἱ μὲν ἀμιγεῖς αἱ δὲ μικταί. τί ωλύει, καθάπερ ὑγίεια ὡρισμένη οὖσα δέχεται τὸ ν καὶ τὸ ἧττον, ὕτω καὶ τὴν ἡδονήν; ὐ γὰρ ἡ αὐτὴ τρία ἐν πᾶσίν ἐςιν, ὐδ' ἐν τῷ αὐτῷ μία τις ἀεί, ἀλλ' νη διαμένει ἕως τινός, καὶ διαφέρει τῷ μᾶλλον καὶ τοιοῦτον δὴ καὶ τὸ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι. τε τἀγαθὸν τιθέντες, τὰς δὲ κινήσεις καὶ τὰς γενέ- τελεῖς, τὴν ἡδονὴν κίνησιν καὶ γένεσιν ἀποφαίνειν πει- . ὐ καλῶς δ' ἐοίκασι λέγειν ὐδ' εἶναι κίνησιν· πάσῃ ικεῖον εἶναι δοκεῖ τάχος καὶ βραδυτής, καὶ εἰ μὴ ὑτήν, οἷον τῇ τῦ κόσμυ, πρὸς ἄλλο· τῇ δ' ἡδονῇ τύ- έτερον ὑπάρχει· ἡσθῆναι μὲν γὰρ ἔςι ταχέως ὥσπερ

ὀργισθῆναι, ἥδεσθαι δ' ὔ, ὐδὲ πρὸς ἕτερον, βαδίζειν δὲ καὶ αὔξεσθαι καὶ πάντα τὰ τοιαῦτα. μεταβάλλειν μὲν ὖν εἰς τὴν ἡδονὴν ταχέως καὶ βραδέως ἔςιν, ἐνεργεῖν δὲ κατ' αὐτὴν ὐκ ἔςι ταχέως, λέγω δ' ἥδεσθαι. γένεσίς τε πῶς ἂν εἴη; δοκεῖ γὰρ ὐκ ἐκ τῦ τυχόντος τὸ τυχὸν γίγνεσθαι, ἀλλ' ἐξ ὗ γίγνεται, εἰς τῦτο διαλύεσθαι. καὶ ὗ γένεσις ἡ ἡδονή, τύτυ ἡ λύπη φθορά. καὶ λέγυσι δὲ τὴν μὲν λύπην ἔνδειαν τοῦ κατὰ φύσιν εἶναι, τὴν δ' ἡδονὴν ἀναπλήρωσιν. ταῦτα δὲ σωματικά ἐςι τὰ πάθη. εἰ δή ἐςι τῦ κατὰ φύσιν ἀναπλήρωσις ἡ ἡδονή, ἐν ᾧ ἀναπλήρωσις, τῦτ' ἂν καὶ ἥδοιτο· τὸ σῶμα ἄρα· ὐ δοκεῖ δέ· ὐδ' ἔςιν ἄρα ἀναπλήρωσις ἡ ἡδονή, ἀλλὰ γινομένης μὲν ἀναπληρώσεως ἥδοιτ' ἄν τις, καὶ τεμνόμενος λυποῖτο. ἡ δόξα δ' αὕτη δοκεῖ γεγενῆσθαι ἐκ τῶν περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γινομένυς καὶ προλυπηθέντας ἥδεσθαι τῇ ἀναπληρώσει. τῦτο δ' ὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς· ἄλυποι γάρ εἰσιν αἵ τε μαθηματικαὶ καὶ τῶν κατὰ τὰς αἰσθήσεις αἱ διὰ τῆς ὀσφρήσεως, καὶ ἀκροάματα δὲ καὶ ὁράματα πολλὰ καὶ μνῆμαι καὶ ἐλπίδες. τίνος ὖν αὗται γενέσεις ἔσονται; ὐδενὸς γὰρ ἔνδεια γεγένηται, ὗ γένοιτ' ἂν ἀναπλήρωσις. πρὸς δὲ τὺς προφέροντας τὰς ἐπονειδίςυς τῶν ἡδονῶν λέγοι τις ἂν ὅτι ὐκ ἔστι ταῦθ' ἡδέα· ὐ γὰρ εἰ τοῖς κακῶς διακειμένοις ἡδέα ἐςίν, οἰητέον αὐτὰ καὶ ἡδέα εἶναι πλὴν τύτοις, καθάπερ ὐδὲ τὰ τοῖς κάμνυσιν ὑγιεινὰ ἢ γλυκέα ἢ πικρά, οὐδ' αὖ λευκὰ τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν. ἢ ὕτω λέγοιτ' ἄν, ὅτι αἱ μὲν ἡδοναὶ αἱρεταί εἰσιν, ὐ μὴν ἀπό γε τύτων, ὥσπερ καὶ τὸ πλυτεῖν, προδόντι δ' ὔ, καὶ τὸ ὑγιαίνειν, ὐ μὴν ὁτιῦν φαγόντι. ἢ τῷ εἴδει διαφέρουσιν αἱ ἡδοναί· ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν τῶν ἀπὸ τῶν αἰσχρῶν, καὶ ὐκ ἔςιν ἡσθῆναι τὴν τῦ δικαίυ μὴ ὄντα δίκαιον ὐδὲ τὴν τῦ μυσικῦ μὴ ὄντα μυσικόν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐμφανίζειν δὲ δοκεῖ καὶ ὁ φίλος, ἕτερος ὢν τῦ κόλακος, οὐκ ὖσαν ἀγαθὸν τὴν ἡδονὴν ἢ διαφόρυς εἴδει· ὁ μὲν γὰρ πρὸς τἀγαθὸν ὁμιλεῖν δοκεῖ, ὁ δὲ πρὸς ἡδονήν, καὶ τῷ μὲν ὀνειδίζεται, τὸν

It is neither κίνησις nor γένεσις

ταῦτ' K^bM^b. ‖ 2. ὀρέγεται $K^bM^bO^b$. ‖ αὐτῆς L^b. ‖ 3. καὶ om $K^bM^bO^b$. ‖ 5. κρεῖσσον O^b. ‖ ἃ M^bN^b. ‖ 8. καὶ post d L^b. ‖ τὸ O^b. ‖ μηδέτερον M^b, μηδετέρα N^b, μηδέτερα $K^bL^bO^b$. ‖ λέγεσθαι K^b. ‖ 9. ταῦτα δ' ὐ K^b. ‖ 10. μὲν om K^bM^b. ‖ ακοῖν L^bM^b. ‖ ἤδη M^b. ‖ 11. τῶν om M^b. ‖ μηδέτερον] ἢ ἕτερον K^b. ‖ 13. ἀντίκεινται M^b. ‖ 14. ἡ om K^b. ‖ 17. τὸ post L^b. ‖ ὖν om O^b. ‖ 20. κατὰ] καὶ κατὰ $L^bM^bO^b$. ‖ ταυτὰ O^b, ταῦτα K^bM^b. ‖ 21. καὶ σωφρονεῖν om L^b. ‖ 22. ἐν om 23. τί γὰρ κωλύεται O^b, καὶ τί κωλύεται K^b, τί κωλύει δὲ L^b. ‖ 25. τὸ om O^b. ‖ 27. ἀνειμένη K^b. ‖ 28. τοιοῦτο L^b. ‖ τὸ . ‖ 29. τε] δὲ $L^bM^bO^b$. ‖ 31. κινήσεις. πᾶσι K^b. ‖ 33. τῇ τῦ] τὸ τῦ $L^bM^bO^b$. ‖ 34. κινηθῆναι L^b.

πρὸς ἕτερον] πρότερον K^b. ‖ 3. καθ' αὑτὴν O^b. ‖ 4. ταχέως ὐκ ἔςι L^b. ‖ 5. γενέσθαι K^b. ‖ 7. εἶναι τοῦ κατὰ φύσιν L^b. ‖ 10. απλήρωσις om M^b. ‖ ᾧ] ὧ ἡ L^b. ‖ ἂν om K^b. ‖ 11. ὐδ'] ὐκ L^b. ‖ ἡ ἀναπλήρωσις ἡδονή K^bM^b. ‖ 14. λύπην καὶ ἡδονήν K^b. ‖ ς M^b. ‖ 17. αἱ διὰ τῆς] καὶ δι' O^b. ‖ 18. πολλά] πολλαὶ δὲ $L^bM^bO^b$. ‖ 20. ἔνδειαι γεγένηνται ὧ γένοιτ' ἂν ἀναπληρώσεις L^b. ‖ οντας M^b. ‖ λέγοιτ' ἄν τις L^b. ‖ 22. ὐ] ὐδὲ M^b. ‖ 23. ἐςίν] ταῦτ' ἐςὶν L^bO^b. ‖ πλὴν] ἁπλῶς πλὴν $L^bN^bO^b$. ‖ 24. πικρὰ ἢ L^b. ‖ 25. ὕτω] ὕτω δὴ L^b. ‖ 26. ἀρεταί εἰσιν, ὐ μὴν αἱ ἀπό M^b. ‖ 30. ὐδὲ] μηδὲ O^b. ‖ 32. ὁ om K^b. ‖ 33. ἢ] ἂν ἡ K^b. . ἡδονήν om M^b. ‖ 34. τὸ L^bO^b. ‖ τὸ O^b.

δ' ἐπαινῦσιν ὡς πρὸς ἕτερα ὁμιλῦντα. ὐδείς τ' ἂν ἕλοιτο ζῆν παιδίυ διάνοιαν ἔχων διὰ βίυ, ἡδόμενος ἐφ' οἷς τὰ παιδία ὡς οἷόν τε μάλιςα, οὐδὲ χαίρειν ποιῶν τι τῶν αἰσχίστων, μηδέποτε μέλλων λυπηθῆναι. περὶ πολλά τε σπυδὴν ποιησαίμεθ' ἂν καὶ εἰ μηδεμίαν ἐπιφέροι ἡδονήν, οἷον ὁρᾶν, μνημονεύειν, εἰδέναι, τὰς ἀρετὰς ἔχειν. εἰ δ' ἐξ ἀνάγκης ἕπονται τούτοις ἡδοναί, οὐδὲν διαφέρει· ἑλοίμεθα γὰρ ἂν ταῦτα καὶ εἰ μὴ γίνοιτ' ἀπ' αὐτῶν ἡδονή. ὅτι μὲν ὖν οὔτε τἀγαθὸν ἡ ἡδονὴ ὔτε πᾶσα αἱρετή, δῆλον ἔοικεν εἶναι, καὶ ὅτι εἰσί τινες αἱρεταὶ καθ' αὑτὰς διαφέρυσαι τῷ εἴδει ἢ ἀφ' ὧν. τὰ μὲν ὖν λεγόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης ἱκανῶς εἰρήσθω.

3 Τί δ' ἐστὶν ἢ ποῖόν τι, καταφανέςερον γένοιτ' ἂν ἀπ' ἀρχῆς ἀναλαβοῦσιν. δοκεῖ γὰρ ἡ μὲν ὅρασις καθ' ὁντινοῦν χρόνον τελεία εἶναι· ὐ γάρ ἐςιν ἐνδεὴς ὐδενός, ὃ εἰς ὕςερον γενόμενον τελειώσει αὐτῆς τὸ εἶδος. τοιούτῳ δ' ἔοικε καὶ ἡ ἡδονή· ὅλον γάρ τί ἐςι, καὶ κατ' ὐδένα χρόνον λάβοι τις ἂν ἡδονὴν ἧς ἐπὶ πλείω χρόνον γινομένης τελειωθήσεται τὸ εἶδος. διόπερ ὐδὲ κίνησίς ἐςιν· ἐν χρόνῳ γὰρ πᾶσα κίνησις καὶ τέλους τινός, οἷον ἡ οἰκοδομικὴ τελεία, ὅταν ποιήσῃ οὗ ἐφίεται. ἢ ἐν ἅπαντι δὴ τῷ χρόνῳ ἢ τούτῳ. ἐν δὲ τοῖς μέρεσι τοῦ χρόνου πᾶσαι ἀτελεῖς, καὶ ἕτεραι τῷ εἴδει τῆς ὅλης καὶ ἀλλήλων· ἡ γὰρ τῶν λίθων σύνθεσις ἑτέρα τῆς τῦ κίονος ῥαβδώσεως, καὶ αὗται τῆς τῦ ναῦ ποιήσεως. καὶ ἡ μὲν τῦ ναῦ τελεία· ὐδενὸς γὰρ ἐνδεὴς πρὸς τὸ προκείμενον· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ τριγλύφου ἀτελής· μέρους γὰρ ἑκατέρα. τῷ εἴδει ὖν διαφέρυσι, καὶ ὐκ ἔςιν ἐν ὁτῳῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει, ἀλλ' εἴπερ, ἐν τῷ ἅπαντι. ὁμοίως δὲ καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν· εἰ γάρ ἐςιν ἡ φορὰ κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ κατ' εἴδη, πτῆσις βάδισις ἅλσις καὶ τὰ τοιαῦτα. ὐ μόνον δ' ὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ βαδίσει· τὸ γὰρ πόθεν ποῖ οὐ ταὐτὸν ἐν τῷ ςαδίῳ καὶ ἐν τῷ μέρει, καὶ ἐν ἑτέρῳ μέρει καὶ ἑτέρῳ, οὐδὲ τὸ διεξιέναι τὴν γραμμὴν τήνδε κἀκείνην· οὐ μόνον γὰρ γραμμὴν διαπορεύεται, ἀλλὰ καὶ ἐ[…] οὖσαν, ἐν ἑτέρῳ δ' αὕτη ἐκείνης. δι' ἀκριβείας μὲν [...] κινήσεως ἐν ἄλλοις εἴρηται, ἔοικε δ' οὐκ ἐν ἅπαντι τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρου[…] εἴδει, εἴπερ τὸ πόθεν ποῖ εἰδοποιόν. τῆς ἡδονῆς δ' ἐν χρόνῳ τέλειον τὸ εἶδος. δῆλον ὖν ὡς ἕτεραί τ' ἂν εἰ[…] λήλων, καὶ τῶν ὅλων τι καὶ τελείων ἡ ἡδονή. δόξει[…] τῦτο καὶ ἐκ τῦ μὴ ἐνδέχεσθαι κινεῖσθαι μὴ ἐν χρόν[…] σθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν ὅλον τι. ἐκ τύτων δὲ δῆ[…] ὅτι οὐ καλῶς λέγυσι κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδο[…] γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν [...] ὅλων· οὐδὲ γὰρ ὁράσεώς ἐςι γένεσις ὐδὲ ςιγμῆς ὐδὲ [...]δος, ὐδὲ τύτων ὐθὲν κίνησις ὐδὲ γένεσις· ὐδὲ δὴ ἡδονῆς γάρ τι. αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνερ[…] τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τ[…] τὴν αἴσθησιν· τοιῦτον γὰρ μάλις' εἶναι δοκεῖ ἡ τελεί[…] γεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν, ἢ ἐν ᾧ ἐστί, μηθὲν [...] ρέτω· καθ' ἕκαστον δὲ βελτίστη ἐςὶν ἡ ἐνέργεια τοῦ [...] διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ' αὐτήν. αὕτη [...] τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησ[…] ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίςη δ' [...] λειοτάτη, τελειοτάτη δ' ἡ τῦ εὖ ἔχοντος πρὸς τὸ σπ[…] τατον τῶν ὑφ' αὐτήν. τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδον[…] τὸν αὐτὸν δὲ τρόπον ἥ τε ἡδονὴ τελειοῖ καὶ τὸ αἰσθητ[…] καὶ ἡ αἴσθησις, σπυδαῖα ὄντα, ὥσπερ οὐδ' ἡ ὑγίεια κ[…] ἰατρὸς ὁμοίως αἴτιά ἐςι τῦ ὑγιαίνειν. καθ' ἑκάςην δ' α[…] σιν ὅτι γίνεται ἡδονή, δῆλον· φαμὲν γὰρ ὁράματα [...] ἀκύσματα εἶναι ἡδέα. δῆλον δὲ καὶ ὅτι μάλιςα, ἐπ[…] ἥ τε αἴσθησις ᾖ κρατίςη καὶ πρὸς τοιοῦτον ἐνεργῇ· τ[…] δ' ὄντων τῦ τε αἰσθητῦ καὶ τῦ αἰσθανομένυ, ἀεὶ ἔςαι ἡ [...] ὑπάρχοντός γε τῦ ποιήσοντος καὶ τῦ πεισομένυ. τελει[…] τὴν ἐνέργειαν ἡ ἡδονὴ ὐχ ὡς ἡ ἕξις ἐνυπάρχυσα, ἀλ[…] ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα· ἕ[…] οὖν τό τε νοητὸν ἢ αἰσθητὸν ᾖ οἷον δεῖ καὶ τὸ κρ[…]

1. τ'] δ' $K^bM^bO^b$. ‖ 5. ἐπιφέρει O^b. ‖ 8. γένοιτ' M^b. ‖ 9. ἀγαθὸν $K^bM^bO^b$. ‖ 10. εἴδει ἢ ἀφ' ὧν] ἢ δεῖ ἀφ' αὐτῶν pr[…] 11. ἱκανῶς om K^b. ‖ 15. ἐς L^bM^b. ‖ 16. γινόμενον K^b. ‖ 17. ὅλον] τέλειον $K^bM^bO^b$. ‖ τι γάρ K^b. ‖ καὶ κατ' — 1177 εὐδαιμονία om N^b. ‖ 20. ἡ om K^bM^b. ‖ οἰκοδομὴ M^b, οἰκοδομικὴ καὶ K^b. ‖ 21. δὴ om K^bO^b. ‖ ἢ] δὴ O^b, om L^bM^b. ‖ 2[…] χρόνου] καὶ τῷ χρόνῳ K^b. ‖ 24. τῦ ante κίονος om O^b. ‖ 25. γὰρ om K^b. ‖ 28. κίνησιν τελείαν λαβεῖν L^b. ‖ 29. παντί L^b[…] βαδίσει K^b, τῶν βαδίσεων M^b. ‖ 31. καὶ om K^bM^b. ‖ 33. τὸ αὐτὸ $K^bM^bO^b$. ‖ ἐν secundam om L^b. ‖ 34. καὶ ἐν ἑτέρῳ K[…] ἑτέρῳ post 33. ἐν ἑτέρῳ L^b. ‖ 34. κἀκεῖνος M^b.

1. γὰρ om K^b. ‖ 3. κινήσεως καὶ ἐν O^b. ‖ ἅπαντι τῷ χρόνῳ M^b. ‖ 4. καὶ om M^b. ‖ 5. ἐν om K^b. ‖ 6. ἕτερα K^b. ‖ τ[…] M^bO^b. ‖ εἴη K^b. ‖ 7. ὅλων τι] ἄλλων τε M^b. ‖ δόξει K^b. ‖ 13. δὴ om M^bO^b. ‖ 14. δὲ] δὲ καὶ M^b. ‖ 16. αἴσθησιν κειμένο[…] τον L^bO^b. ‖ 17. μὴ K^bM^b. ‖ 18. ἑκάστην M^b. ‖ 19. ὑπ' αὐτήν K^b. ‖ 22. εὖ om K^b. ‖ 25. ἡ utrumque om M^bO^b. ‖ ὁ om […] 26. ὁμοίως om L^b. ‖ αἰτιά εἰσι L^b, ἐςιν αἴτια M^b. ‖ καθ'] καὶ καθ' O^b. ‖ 28. δὲ] γὰρ δὴ L^b. ‖ 29. ᾖ] εἴη L^bM^b. ‖ 31. γ[…] γε τῦ γε L^b. ‖ πησομένυ K^b. ‖ 32. ἡ post ὡς om L^bM^b. ‖ 33. ἕως οὖν ἂν ποτε τὸ νοητὸν ἢ αἰσθητὸν εἴη οἷον δὴ τὸ M^bO^b, ἕως […] ἢ τὸ αἰσθητὸν ἢ νοητὸν ἢ οἷον δεῖ καὶ τὸ L^b.

6. Οὐθενὸς ἐνδεὴς ἡ εὐδαιμονία, ἀλλ' αὐτάρκης.

ὄψις ἁφῆς καθαριότητι, καὶ ἀκοὴ καὶ ὄσφρησις γεύσεως· ὁμοίως δὴ διαφέρουσι καὶ αἱ ἡδοναί, καὶ τούτων αἱ περὶ τὴν διάνοιαν, καὶ ἑκάτεραι ἀλλήλων. δοκεῖ δ' εἶναι ἑκάστῳ ζῴῳ καὶ ἡδονὴ οἰκεία, ὥσπερ καὶ ἔργον· ἡ γὰρ κατὰ τὴν ἐνέργειαν. καὶ ἐφ' ἑκάστῳ δὲ θεωροῦντι τοῦτ' ἂν φανείη· ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν ὄνον σύρματ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. αἱ μὲν οὖν τῶν ἑτέρων τῷ εἴδει διαφέρουσιν εἴδει, τὰς δὲ τῶν αὐτῶν ἀδιαφόρους εὔλογον εἶναι. διαλλάττουσι δ' οὐ μικρὸν ἐπί γε τῶν ἀνθρώπων· τὰ γὰρ αὐτὰ τοὺς μὲν τέρπει τοὺς δὲ λυπεῖ, καὶ τοῖς μὲν λυπηρὰ καὶ μισητά ἐστι τοῖς δὲ ἡδέα καὶ φιλητά. καὶ ἐπὶ γλυκέων δὲ τοῦτο συμβαίνει· οὐ γὰρ τὰ αὐτὰ δοκεῖ τῷ πυρέττοντι καὶ τῷ ὑγιαίνοντι, οὐδὲ θερμὸν εἶναι τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτικῷ. ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων συμβαίνει. δοκεῖ δ' ἐν ἅπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον τῷ σπουδαίῳ. εἰ δὲ τοῦτο καλῶς λέγεται, καθάπερ δοκεῖ, καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετὴ καὶ ὁ ἀγαθός, ᾗ τοιοῦτος, καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι καὶ ἡδέα οἷς οὗτος χαίρει. τὰ δὲ τούτῳ δυσχερῆ εἴ τῳ φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ γὰρ φθοραὶ καὶ λῦμαι ἀνθρώπων γίνονται· ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις καὶ οὕτω διακειμένοις. τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶναι, πλὴν τοῖς διεφθαρμένοις· τῶν δ' ἐπιεικῶν εἶναι δοκουσῶν ποίαν ἢ τίνα φατέον τοῦ ἀνθρώπου εἶναι; ἢ ἐκ τῶν ἐνεργειῶν δῆλον; ταύταις γὰρ ἕπονται αἱ ἡδοναί. εἴτ' οὖν μία ἐστὶν εἴτε πλείους αἱ τοῦ τελείου καὶ μακαρίου ἀνδρός, αἱ ταύτας τελειοῦσαι ἡδοναὶ κυρίως λέγοιντ' ἂν ἀνθρώπου ἡδοναὶ εἶναι, αἱ δὲ λοιπαὶ δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι.

6 Εἰρημένων δὲ τῶν περὶ τὰς ἀρετάς τε καὶ φιλίας καὶ ἡδονάς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν, ἐπειδὴ τέλος αὐτὴν τίθεμεν τῶν ἀνθρωπίνων. ἀναλαβοῦσι δὴ τὰ προειρημένα συντομώτερος ἂν εἴη ὁ λόγος. εἴπομεν δ' ὅτι οὐκ ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύδοντι διὰ βίου ὑπάρχοι ἄν, φυτῶν ζῶντι βίον, καὶ τῷ δυστυχοῦντι τὰ μέγιστα. εἰ δὴ ταῦτα μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειάν τινα θετέον, καθάπερ ἐν τοῖς πρότερον εἴρηται, τῶν δ' ἐνεργειῶν αἱ μέν εἰσιν ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταί, αἱ δὲ καθ' αὑτάς, δῆλον ὅτι τὴν εὐδαιμονίαν τῶν καθ' αὑτὰς αἱρετῶν τινὰ θετέον καὶ οὐ τῶν δι' ἄλλο· οὐδενὸς γὰρ ἐνδεὴς ἡ εὐδαιμονία ἀλλ' αὐτάρκης. καθ' αὑτὰς δ' εἰσὶν αἱρεταί, ἀφ' ὧν μηδὲν ἐπιζητεῖται παρὰ τὴν ἐνέργειαν. τοιαῦται δ' εἶναι δοκοῦσιν αἱ κατ' ἀρετὴν πράξεις· τὰ γὰρ καλὰ καὶ σπουδαῖα πράττειν τῶν δι' αὑτὰ αἱρετῶν. καὶ τῶν παιδιῶν δὲ αἱ ἡδεῖαι· οὐ γὰρ δι' ἕτερα αὐτὰς αἱροῦνται· βλάπτονται γὰρ ἀπ' αὐτῶν μᾶλλον ἢ ὠφελοῦνται, ἀμελοῦντες τῶν σωμάτων καὶ τῆς κτήσεως. καταφεύγουσι δ' ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν εὐδαιμονιζομένων οἱ πολλοί, διὸ παρὰ τοῖς τυράννοις εὐδοκιμοῦσιν οἱ ἐν ταῖς τοιαύταις διαγωγαῖς εὐτράπελοι· ὧν γὰρ ἐφίενται, ἐν τούτοις παρέχουσι σφᾶς αὐτοὺς ἡδεῖς· δέονται δὲ τοιούτων. δοκεῖ μὲν οὖν εὐδαιμονικὰ ταῦτα εἶναι διὰ τὸ τοὺς ἐν δυναστείαις ἐν τούτοις ἀποσχολάζειν, οὐδὲν δὲ ἴσως σημεῖον οἱ τοιοῦτοί εἰσιν· οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ ἀρετὴ οὐδ' ὁ νοῦς, ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι· οὐδ' εἰ ἄγευστοι οὗτοι ὄντες ἡδονῆς εἰλικρινοῦς καὶ ἐλευθερίου ἐπὶ τὰς σωματικὰς καταφεύγουσιν, διὰ τοῦτο ταύτας οἰητέον αἱρετωτέρας εἶναι· καὶ γὰρ οἱ παῖδες τὰ παρ' αὐτοῖς τιμώμενα κράτιστα οἴονται εἶναι. εὔλογον δή, ὥσπερ παισὶ καὶ ἀνδράσιν ἕτερα φαίνεται τίμια, οὕτω καὶ φαύλοις καὶ ἐπιεικέσιν. καθάπερ οὖν πολλάκις εἴρηται, καὶ τίμια καὶ ἡδέα ἐστὶ τὰ τῷ σπουδαίῳ τοιαῦτα ὄντα· ἑκάστῳ δὲ ἡ κατὰ τὴν οἰκείαν ἕξιν αἱρετωτάτη ἐνέργεια, καὶ τῷ σπουδαίῳ δὲ ἡ κατὰ τὴν ἀρετήν. οὐκ ἐν παιδιᾷ ἄρα ἡ εὐδαιμονία· καὶ γὰρ ἄτοπον τὸ τέλος εἶναι παιδιάν, καὶ πραγματεύεσθαι καὶ κακοπαθεῖν τὸν βίον ἅπαντα τοῦ παίζειν χάριν. ἅπαντα γὰρ ὡς εἰπεῖν ἑτέρου ἕνεκα αἱρούμεθα πλὴν τῆς εὐδαιμονίας· τέλος γὰρ αὕτη. σπουδάζειν δὲ καὶ πονεῖν παιδιᾶς χάριν ἠλίθιον φαίνεται καὶ λίαν παιδικόν· παίζειν δ' ὅπως σπουδάζῃ, κατ' Ἀνάχαρσιν, ὀρθῶς ἔχειν δοκεῖ· ἀναπαύσει γὰρ ἔοικεν ἡ παιδιά, ἀδυνατοῦντες δὲ συνεχῶς πονεῖν ἀναπαύσεως δέονται. οὐ δὴ τέλος

1. καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις L^b. ‖ 2. δὲ $K^bM^bO^b$. ‖ αἱ post καὶ om O^b. ‖ 3. εἶναι] εἶναι καὶ O^b. ‖ 4. καὶ ante ἡδονὴ om L^b. ‖ γὰρ om M^b. ‖ 7. ὄνου H^a, οἷον M^b, ὄνους K^b. ‖ σίρματα H^a, ἅρματ' M^b. ‖ ἡδεῖον K^b. ‖ 8. οὖν om H^a. ‖ 10. διαλλάσσουσι $K^bL^bO^b$. ‖ δ'] γὰρ M^b. ‖ σμικρὸν M^b, σμικροῖς K^b. ‖ τῶν om M^b. ‖ 11. τέρπει — 1177 a 30. ἱκανῶς om K^b. ‖ 12. [illegible] M^b. ‖ ἐστι post 11. λυπηρὰ L^b. ‖ 15. εὐεκτῷ M^b. ‖ 17. δοκεῖ] καὶ δοκεῖ M^b. ‖ καὶ ἔστι καὶ ἑκάστου H^a. ‖ 18. ὁ om $H^aL^bM^bO^b$. ‖ 19. τούτων H^a. ‖ 20. τούτῳ om O^b. ‖ 21. διαφοραὶ H^a. ‖ 22. καὶ τοῖς οὕτω M^b. ‖ ὁμολογουμένας M^b. ‖ 23. εἶναι] ἡμῶν M^b. ‖ 25. ἢ] ἡδονὴ ἢ H^a. ‖ 30. τε om L^b. ‖ 32. αὐτὴν ἀντιτίθεμεν τῶν ἀνθρώπων M^b. ‖ δὲ L^bO^b. ‖ 33. συντομώτερον H^a. ‖ 34. φυτοῦ Θ^b.

1. ἀρέσκουσι M^b. ‖ 6. αἱ ἀρεταὶ ἐφ' ὧν μηδὲν ζητεῖται περὶ H^a. ‖ 8. καλὰ καὶ om L^b. ‖ 11. τῆς om H^a. ‖ 15. τοιούτων] [illegible] L^b. ‖ 17. ἀπασχολάζειν $H^aL^bM^b$. ‖ 18. οὐδ' ὁ] ὁ δὲ $H^aM^bO^b$. ‖ 20. ἐλευθέρας M^b, ἐλευθερίας H^a. ‖ 22. αὐτῶν M^b. ‖ 23. [illegible] H^a. ‖ φαίνονται L^b. ‖ 27. ἡ om $H^aL^bM^b$. ‖ 28. τὸ om H^aM^b. ‖ 33. παίζειν δ' ὅπως] σπουδάζειν δ' ὥστε H^a. ‖ σπουδάζειν L^b, σπουδάξειν H^a. ‖ 35. δὲ] γὰρ H^a.

ίπαυσις· γίνεται γὰρ ἕνεκα τῆς ἐνεργείας. δοκεῖ δ' ὁ μων βίος κατ' ἀρετὴν εἶναι· οὗτος δὲ μετὰ σπουδῆς, ὐκ ἐν παιδιᾷ. βελτίω τε λέγομεν τὰ σπουδαῖα τῶν ων καὶ τῶν μετὰ παιδιᾶς, καὶ τȣ̃ βελτίονος ἀεὶ καὶ υ καὶ ἀνθρώπȣ σπȣδαιοτέραν τὴν ἐνέργειαν· ἡ δὲ τοῦ ονος κρείττων καὶ εὐδαιμονικωτέρα ἤδη. ἀπολαύσειέ τῶν σωματικῶν ἡδονῶν ὁ τυχὼν καὶ ἀνδράποδον ὐχ τȣ̃ ἀρίςȣ· εὐδαιμονίας δ' ὐδεὶς ἀνδραπόδῳ μεταδίδω- εἰ μὴ καὶ βίȣ· ὐ γὰρ ἐν ταῖς τοιαύταις διαγωγαῖς ἡ μονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ ρότερον εἴρηται.

Εἰ δ' ἐςὶν ἡ εὐδαιμονία κατ' ἀρετὴν ἐνέργεια, εὔλογον τὴν κρατίςην· αὕτη δ' ἂν εἴη τȣ̃ ἀρίςȣ. εἴτε δὴ νοῦς εἴτε ἄλλο τι, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖ- καὶ ἔννοιαν ἔχειν περὶ καλῶν καὶ θείων, εἴτε θεῖον ὂν ὐτὸ εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον, ἡ τȣ́του ἐνέργεια τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. ὅτι θεωρητική, εἴρηται. ὁμολογȣ́μενον δὲ τȣ̃τ' ἂν δόξειεν καὶ τοῖς πρότερον καὶ τῷ ἀληθεῖ. κρατίστη τε γὰρ ἐςὶν ἡ ἐνέργεια· καὶ γὰρ ὁ νȣ̃ς τῶν ἐν ἡμῖν, καὶ τῶν ῶν, περὶ ἃ ὁ νȣ̃ς. ἔτι δὲ συνεχεςάτη· θεωρεῖν τε γὰρ ιεθα συνεχῶς μᾶλλον ἢ πράττειν ὁτιȣ̃ν, οἰόμεθά τε δονὴν παραμεμῖχθαι τῇ εὐδαιμονίᾳ, ἡδίστη δὲ τῶν ἀρετὴν ἐνεργειῶν ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως δοκεῖ γȣ̃ν ἡ φιλοσοφία θαυμαςὰς ἡδονὰς ἔχειν κα- ητι καὶ τῷ βεβαίῳ, εὔλογον δὲ τοῖς εἰδόσι τῶν ζη- ν ἡδίω τὴν διαγωγὴν εἶναι. ἥ τε λεγομένη αὐτάρκεια τὴν θεωρητικὴν μάλιστ' ἂν εἴη· τῶν μὲν γὰρ πρὸς τὸ ναγκαίων καὶ σοφὸς καὶ δίκαιος καὶ οἱ λοιποὶ δέονται, ὲ τοιούτοις ἱκανῶς κεχορηγημένων ὁ μὲν δίκαιος δεῖται ȣς δικαιοπραγήσει καὶ μεθ' ὧν, ὁμοίως δὲ καὶ ὁ σώ- καὶ ὁ ἀνδρεῖος καὶ τῶν ἄλλων ἕκαστος, ὁ δὲ σοφὸς αθ' αὑτὸν ὢν δύναται θεωρεῖν, καὶ ὅσῳ ἂν σοφώτερος λλον· βέλτιον δ' ἴσως συνεργοὺς ἔχων, ἀλλ' ὅμως αὐταρκέστατος. δόξαι τ' ἂν αὐτὴ μόνη δι' αὑτὴν ἀγαπᾶ- σθαι· ὐδὲν γὰρ ἀπ' αὐτῆς γίνεται παρὰ τὸ θεωρῆσαι, ἀπὸ δὲ τῶν πρακτῶν ἢ πλεῖον ἢ ἔλαττον περιποιȣ́μεθα παρὰ τὴν πρᾶξιν. δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ εἶναι· ἀσχο- λȣ́μεθα γὰρ ἵνα σχολάζωμεν, καὶ πολεμȣ̃μεν ἵν' εἰρήνην ἄγωμεν. τῶν μὲν ȣ̃ν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς ἢ ἐν τοῖς πολεμικοῖς ἡ ἐνέργεια· αἱ δὲ περὶ ταῦτα πράξεις δοκοῦσιν ἄσχολοι εἶναι, αἱ μὲν πολεμικαὶ καὶ παντελῶς· ὐδεὶς γὰρ αἱρεῖται τὸ πολεμεῖν τȣ̃ πολεμεῖν ἕνεκα, ὐδὲ πα- ρασκευάζει πόλεμον· δόξαι γὰρ ἂν παντελῶς μιαιφόνος τις εἶναι, εἰ τȣ̀ς φίλȣς πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίγνοιντο. ἔστι δὲ καὶ ἡ τȣ̃ πολιτικȣ̃ ἄσχολος, καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι περιποιȣμένη δυναςείας καὶ τι- μὰς ἢ τήν γε εὐδαιμονίαν αὑτῷ καὶ τοῖς πολίταις, ἑτέραν ȣ̓̃σαν τῆς πολιτικῆς, ἣν καὶ ζητȣ̃μεν δῆλον ὡς ἑτέραν ȣ̓̃σαν. εἰ δὴ τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ πολεμικαὶ κάλλει καὶ μεγέθει προέχȣσιν, αὗται δ' ἄσχο- λοι καὶ τέλȣς τινὸς ἐφίενται καὶ ȣ̓ δι' αὑτὰς αἱρεταί εἰσιν, ἡ δὲ τȣ̃ νȣ̃ ἐνέργεια σπȣδῇ τε διαφέρειν δοκεῖ θεωρητικὴ ȣ̓̃σα, καὶ παρ' αὐτὴν οὐδενὸς ἐφίεσθαι τέλους, ἔχειν τε ἡδονὴν οἰκείαν, αὕτη δὲ συναύξει τὴν ἐνέργειαν, καὶ τὸ αὔταρκες δὴ καὶ σχολαστικὸν καὶ ἄτρυτον ὡς ἀνθρώπῳ, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμεται, κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα. ἡ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀν- θρώπȣ, λαβȣ̃σα μῆκος βίȣ τέλειον· ὐδὲν γὰρ ἀτελές ἐστι τῶν τῆς εὐδαιμονίας. ὁ δὲ τοιȣ̃τος ἂν εἴη βίος κρείττων ἢ κατ' ἄνθρωπον· ȣ̓ γὰρ ᾗ ἄνθρωπός ἐςιν ȣ̓́τω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει· ὅσῳ δὲ διαφέρει τȣ̃το τȣ̃ συν- θέτȣ, τοσȣ́τῳ καὶ ἡ ἐνέργεια τῆς κατὰ τὴν ἄλλην ἀρετήν. εἰ δὴ θεῖον ὁ νȣ̃ς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τȣ̃τον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. ȣ̓ χρὴ δὲ κατὰ τȣ̀ς παραι- νȣ̃ντας ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα ȣ̓δὲ θνητὰ τὸν θνη- τόν, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὑτῷ· εἰ γὰρ καὶ

Perfect happiness in the exercise of the theorizing N85

. ἕνεκεν M^b. ‖ 3. ἀλλ' om M^b. ‖ παιδιᾷ] σπουδῇ H^a. ‖ δὲ H^a. ‖ 4. τῶν add L^b. ‖ καὶ post ἀεὶ om H^a. ‖ 5. σπȣδαιοτέρȣ πȣδαιοτάτην L^b. ‖ 8. εὐδαιμονίαν H^aM^b. ‖ 9. ȣ̓δὲ M^b. ‖ 13. κρατίςην ζωήν. αὕτη H^a. ‖ νοῦς εἴη τȣ̃το H^a. ‖ 14. ὃ δοκεῖ κατὰ H^a. ‖ 15. περὶ] καὶ περὶ M^b. ‖ 18. δὲ om M^b. ‖ τȣ̃το δόξειεν ἂν καὶ H^a. ‖ 19. τε om $H^aM^bO^b$. ‖ 21. ἔςι M^b. ‖ 24. τὴν H^a. ‖ 25. θαυμαςὴν ἡδονὴν M^b. ‖ καθαρειότητι L^bO^b, καθαρσιότητι M^b. ‖ 26. τε L^b. ‖ 27. ἀγωγὴν L^b. ‖ 30. τῶν δὲ τοιούτων κεχορηγημένοις H^aM^b. ‖ 33. καὶ om M^b. ‖ ἑαυτὸν L^b. ‖ 34. ἢ μᾶλλον] εἴη O^b. ‖ ἔχειν M^b.

. δόξειε δ' $L^bM^bO^b$. ‖ 3. πρακτικῶν K^b. ‖ περιποιȣ́μεθα M^b. ‖ περὶ L^bM^b. ‖ 5. σπȣδάζωμεν M^b. ‖ 6. πρακτῶν M^b. ‖ 7. ἢ ἐν πολεμικοῖς om M^b, ἐν om L^b. ‖ αἱ ἐνέργειαι L^b. ‖ 9. γὰρ πονεῖν αἱρεῖται τȣ̃ M^b. ‖ παρασκευάζειν L^bM^b. ‖ 12. γίνηται K^bO^b, M^b. ‖ 15. καὶ om L^b. ‖ 17. ἀσχολικαὶ τέλȣς K^b. ‖ 18. εἰσιν αἱρεταί L^b. ‖ 20. ἔχειν τε] καὶ ἔχειν τὴν K^b. ‖ τε] τε καὶ 21. οἰκείαν] τελείαν οἰκείαν K^bM^b, τελείως οἰκείαν O^b. ‖ αὐτὴ K^b. ‖ 22. δὲ M^bO^b. ‖ καὶ τὸ σχολαστικὸν O^b. ‖ ἀνθρώπινον L^b 23. κατὰ] τὰ κατὰ K^bM^b. ‖ ἐνέργειαν — 24. ἀνθρώπȣ om M^b. ‖ 24. ἀνθρώπωι K^b. ‖ 25. λαβȣ̃σαν M^b. ‖ τέλειον βίȣ O^b. ‖ ἂν κρείττων βίος L^b. ‖ 28. ὅσον et 29. τοσȣ̃τον K^b. ‖ 31. χρὴ δὲ ȣ̓ L^bO^b. ‖ 33. ἀπαθανατίζειν N^b, ἀποθανατίζειν L^b. ‖ L^b.

τῷ ὄγκῳ μικρόν ἐςι, δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον πάντων ὑπερέχει. δόξειε δ' ἂν καὶ εἶναι ἕκαςος τοῦτο, εἴπερ τὸ κύριον καὶ ἄμεινον· ἄτοπον οὖν γίνοιτ' ἄν, εἰ μὴ τὸν αὑτοῦ βίον αἱροῖτο ἀλλά τινος ἄλλου. τὸ λεχθέν τε πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάςῳ τῇ φύσει κράτιςον καὶ ἥδιςόν ἐςιν ἑκάςῳ. καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ τοῦτο μάλιςα ἄνθρωπος. οὗτος ἄρα καὶ εὐδαιμονέςατος.

8 Δευτέρως δ' ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατ' αὐτὴν ἐνέργειαι ἀνθρωπικαί· δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ ἄλλα τὰ κατὰ τὰς ἀρετὰς πρὸς ἀλλήλους πράττομεν ἐν συναλλάγμασι καὶ χρείαις καὶ πράξεσι παντοίαις ἔν τε τοῖς πάθεσι διατηροῦντες τὸ πρέπον ἑκάςῳ. ταῦτα δ' εἶναι φαίνεται πάντα ἀνθρωπικά. ἔνια δὲ καὶ συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ, καὶ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετή. συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετάς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν κατὰ τὴν φρόνησιν. συνηρτημέναι δ' αὗται καὶ τοῖς πάθεσι περὶ τὸ σύνθετον ἂν εἶεν· αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαί. καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία. ἡ δὲ τοῦ νοῦ κεχωρισμένη· τοσοῦτον γὰρ περὶ αὐτῆς εἰρήσθω· διακριβῶσαι γὰρ μεῖζον τοῦ προκειμένου ἐςίν. δόξειε δ' ἂν καὶ τῆς ἐκτὸς χορηγίας ἐπὶ μικρὸν ἢ ἐπ' ἔλαττον δεῖσθαι τῆς ἠθικῆς· τῶν μὲν γὰρ ἀναγκαίων ἀμφοῖν χρεία καὶ ἐξ ἴσου ἔςω, εἰ καὶ μᾶλλον διαπονεῖ περὶ τὸ σῶμα ὁ πολιτικός, καὶ ὅσα τοιαῦτα· μικρὸν γὰρ ἄν τι διαφέροι· πρὸς δὲ τὰς ἐνεργείας πολὺ διοίσει. τῷ μὲν γὰρ ἐλευθερίῳ δεήσει χρημάτων πρὸς τὸ πράττειν τὰ ἐλευθέρια, καὶ τῷ δικαίῳ δὴ εἰς τὰς ἀνταποδόσεις (αἱ γὰρ βουλήσεις ἄδηλοι, προσποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δικαιοπραγεῖν), τῷ ἀνδρείῳ δὲ δυνάμεως, εἴπερ ἐπιτελεῖ τι τῶν κατὰ τὴν ἀρετήν, καὶ τῷ σώφρονι ἐξουσίας· πῶς γὰρ δῆλος ἔςαι ἢ οὗτος ἢ τῶν ἄλλων τις; ἀμφισβητεῖται δὲ πότερον κυριώτερον τῆς ἀρετῆς ἡ προαίρεσις ἢ αἱ πράξεις, ὡς ἐν ἀμφοῖν οὔσης. τὸ δὴ τέλειον δῆλον ὡς ἐν ἀμφοῖν ἂν εἴη. πρ[...] τὰς πράξεις πολλῶν δεῖται, καὶ ὅσῳ ἂν μείζους ὦσ[ι] καλλίους, πλειόνων. τῷ δὲ θεωροῦντι οὐδενὸς τῶν τοιούτων [...] γε τὴν ἐνέργειαν χρεία, ἀλλ' ὡς εἰπεῖν καὶ ἐμπόδιά [...] πρός γε τὴν θεωρίαν· ᾗ δ' ἄνθρωπός ἐςι καὶ πλείοσι [...] αἱρεῖται τὰ κατ' ἀρετὴν πράττειν· δεήσεται οὖν τῶν το[...] πρὸς τὸ ἀνθρωπεύεσθαι. ἡ δὲ τελεία εὐδαιμονία ὅτι θ[...]τική τίς ἐστιν ἐνέργεια, καὶ ἐντεῦθεν ἂν φανείη. τοὺς [...] γὰρ μάλιςα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας [...] πράξεις δὲ ποίας ἀπονεῖμαι χρεὼν αὐτοῖς; πότερα τὰ[ς ...]καίας; ἢ γελοῖοι φανοῦνται συναλλάττοντες καὶ παρα[κατα]θήκας ἀποδιδόντες καὶ ὅσα τοιαῦτα; ἀλλὰ τὰς ἀνδρ[...] ὑπομένοντας τὰ φοβερὰ καὶ κινδυνεύοντας, ὅτι καλ[ὸν ...] τὰς ἐλευθερίους; τίνι δὲ δώσουσιν; ἄτοπον δ' εἰ καὶ [...] αὐτοῖς νόμισμα ἤ τι τοιοῦτον. αἱ δὲ σώφρονες τί ἂν [...] ἢ φορτικὸς ὁ ἔπαινος, ὅτι οὐκ ἔχουσι φαύλας ἐπιθυμ[ίας ...] διεξιοῦσι δὲ πάντα φαίνοιτ' ἂν τὰ περὶ τὰς πράξεις μ[...] καὶ ἀνάξια θεῶν. ἀλλὰ μὴν ζῆν τε πάντες ὑπειλήφ[ασιν] αὐτοὺς καὶ ἐνεργεῖν ἄρα· οὐ γὰρ δὴ καθεύδειν ὥσπε[ρ τὸν] Ἐνδυμίωνα. τῷ δὴ ζῶντι τοῦ πράττειν ἀφαιρουμένου, ἔτ[ι δὲ] μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρία; ὥςε ἡ τοῦ [...] ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη. [...] τῶν ἀνθρωπίνων δὴ ἡ ταύτῃ συγγενεςάτη εὐδαιμονικωτ[...] σημεῖον δὲ καὶ τὸ μὴ μετέχειν τὰ λοιπὰ ζῷα εὐδαιμ[ονίας] τῆς τοιαύτης ἐνεργείας ἐςερημένα τελείως. τοῖς μὲν [...] θεοῖς ἅπας ὁ βίος μακάριος, τοῖς δ' ἀνθρώποις, ἐφ' [...] ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας ὑπάρχει· τῶν δ' ἄλ[λων] ζῴων οὐδὲν εὐδαιμονεῖ, ἐπειδὴ οὐδαμῇ κοινωνεῖ θεωρίας. [...] ὅσον δὴ διατείνει ἡ θεωρία, καὶ ἡ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει τὸ θεωρεῖν, καὶ εὐδαιμονεῖν, οὐ κατὰ συμβεβηκὸς ἀλλὰ κατὰ τὴν θεωρίαν· αὐτὴ γὰρ καθ' αὑτὴ[ν ...]μία. ὥς' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις.

Δεήσει δὲ καὶ τῆς ἐκτὸς εὐημερίας ἀνθρώπῳ ὄντι· οὐ [...] αὐτάρκης ἡ φύσις πρὸς τὸ θεωρεῖν, ἀλλὰ δεῖ καὶ τὸ σῶ[μα] ὑγιαίνειν καὶ τροφὴν καὶ τὴν λοιπὴν θεραπείαν ὑπάρ[χειν ...]

1. τελειότητι O^b, ποιοτητι K^b. ‖ 2. πάντων om L^b. ‖ ὑπερέχειν M^b. ‖ δ' om K^bM^b. ‖ εἶναι ἕκαςον M^bO^b, ἕκαςος εἶναι [...] 3. αμεινον] ἄμεινον μόνον K^b. ‖ 6. ἐσθ' L^b. ‖ 7. μάλιςα τοῦτο L^b. ‖ 9. κατὰ ταύτην K^bM^b. ‖ 10. καὶ τὰ ἄλλα τὰ L^b. ‖ 13. δια[...]τες post ἑκάςῳ L^b. ‖ 17. αὕτη] αὐτῇ K^b. ‖ 19. συνηρτημένη K^b. ‖ 20. περὶ] καὶ περὶ M^b. ‖ 21. κατὰ ταύτας K^bM^b. ‖ 22. γὰ[ρ ...] M^b. ‖ 23. εἴρηται O^b. ‖ ἀκριβῶσαι K^b. ‖ 24. ἐπὶ] ἢ ἐπὶ K^bM^b. ‖ 26. διαπονεῖ om M^b. ‖ 27. διαφέρη L^bO^b, διαφέρειν K^b. ‖ συνδιοίσει K^b. ‖ 31. μὴ om M^b. ‖ 32. τὴν add K^b. ‖ 33. ἔςαι δῆλος M^b. ‖ ἢ om M^bO^b. ‖ 34. ζητεῖται L^b. ‖ τε K^bM^b.

3. καλαὶ M^b. ‖ τῶν δὲ θεωρούντων L^b. ‖ οὐδὲν M^b. ‖ 4. ἐμπόδιον K^b. ‖ 5. συζῆν L^b. ‖ 6. τὸ M^b, καὶ τὰ O^b. ‖ κατὰ τὴν ἀ[...] K^b. ‖ 8. γὰρ θεοὺς L^b. ‖ 11. ἢ om K^b. ‖ 12. ὅσα ἄλλα τοιαῦτα L^b. ‖ ἀνδρείας L^b. ‖ 13. ὑπομένοντες K^b. ‖ 15. αἱ] εἰ K^bM^bO[...] 18. ζῆν] ζητεῖται M^b. ‖ τε om M^bO^b. ‖ πάντες γὰρ ὑπειλήφασιν εἶναι αὐτοὺς M^b. ‖ 20. ἀφαιρούμενον N^b, ἀφῃρημένου L^bO^b. ‖ [...] τοῦ] τοῦτο K^b. ‖ θεωρίας $L^bN^bO^b$. ‖ 23. δὴ ἂν εἴη ἡ K^b. ‖ 26. post μακάριος M^bO^b τοιαύτης οὔσης τῆς ἐνεργείας. ‖ 28. οὐδαμῶς L^b, οὐ[...] O^b. ‖ 30. οὐ] καὶ οὐ K^b. ‖ 31. κατ' αὐτὴν K^b. ‖ 32. ἡ om M^b.

4. τοῖς ὡς ἀληθῶς εὐτυχέσιν

οἰητέον γε πολλῶν καὶ μεγάλων δεήσεσθαι τὸν εὐδαι- ͻντα, εἰ μὴ ἐνδέχεται ἄνευ τῶν ἐκτὸς ἀγαθῶν μα- εἶναι· ὐ γὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὔταρκες ὐδ' ἡ πρᾶ- ͻυνατὸν δὲ καὶ μὴ ἄρχοντα γῆς καὶ θαλάττης πράτ- ὲ καλά· καὶ γὰρ ἀπὸ μετρίων δύναιτ' ἄν τις πράττειν τὴν ἀρετήν. τῦτο δ' ἐςιν ἰδεῖν ἐναργῶς· οἱ γὰρ ἰδιῶ- ῶν δυναστῶν οὐκ ἧττον δοκῦσι τὰ ἐπιεικῆ πράττειν, καὶ μᾶλλον. ἱκανὸν δὲ τοσαῦθ' ὑπάρχειν· ἔςαι γὰρ εὐδαίμων τῦ κατὰ τὴν ἀρετὴν ἐνεργῦντος. καὶ Σόλων εὐδαίμονας ἴσως ἀπεφαίνετο καλῶς, εἰπὼν μετρίως ετὸς κεχορηγημένυς, πεπραγότας δὲ τὰ κάλλισθ', ὡς καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια ιένους πράττειν ἃ δεῖ. ἔοικε δὲ καὶ Ἀναξαγόρας οὐ ν ὐδὲ δυναςὴν ὑπολαβεῖν τὸν εὐδαίμονα, εἰπὼν ὅτι θαυμάσειεν εἴ τις ἄτοπος φανείη τοῖς πολλοῖς· ὗτοι ρίνυσι τοῖς ἐκτός, τύτων αἰσθανόμενοι μόνον. συμφω- ἡ τοῖς λόγοις ἐοίκασιν αἱ τῶν σοφῶν δόξαι. πίστιν ν καὶ τὰ τοιαῦτα ἔχει τινά, τὸ δ' ἀληθὲς ἐν τοῖς οῖς ἐκ τῶν ἔργων καὶ τῦ βίυ κρίνεται· ἐν τύτοις γὰρ οιον. σκοπεῖν δὴ τὰ προειρημένα χρὴ ἐπὶ τὰ ἔργα ν βίον ἐπιφέροντας, καὶ συνᾳδόντων μὲν τοῖς ἔργοις ετέον, διαφωνύντων δὲ λόγυς ὑποληπτέον. ὁ δὲ κατὰ ργῶν καὶ τῦτον θεραπεύων καὶ διακείμενος ἄριςα καὶ έστατος ἔοικεν εἶναι· εἰ γάρ τις ἐπιμέλεια τῶν ἀν- ων ὑπὸ θεῶν γίνεται, ὥσπερ δοκεῖ, καὶ εἴη ἂν εὔλο- αίρειν τε αὐτὺς τῷ ἀρίςῳ καὶ τῷ συγγενεςάτῳ (τῦτο εἴη ὁ νῦς) καὶ τὺς ἀγαπῶντας μάλιςα τῦτο καὶ τι- ς ἀντευποιεῖν ὡς τῶν φίλων αὐτοῖς ἐπιμελουμένους θῶς τε καὶ καλῶς πράττοντας. ὅτι δὲ πάντα ταῦτα φῷ μάλισθ' ὑπάρχει, ὐκ ἄδηλον. θεοφιλέςατος ἄρα. τὸν δ' εἰκὸς καὶ εὐδαιμονέςατον· ὥστε κἂν ὕτως εἴη ὸς μάλις' εὐδαίμων.

Ἀρ' ὖν εἰ περὶ τύτων καὶ τῶν ἀρετῶν, ἔτι δὲ καὶ φι- καὶ ἡδονῆς ἱκανῶς εἴρηται τοῖς τύποις, τέλος ἔχειν τὴν προαίρεσιν, η καθάπερ λέγεται, ὐκ ἔςιν ἐν τοῖς πρακτοῖς τέλος τὸ θεωρῆσαι ἕκαστα καὶ γνῶναι, ἀλλὰ μᾶλλον τὸ πράττειν αὐτά; ὐδὲ δὴ περὶ ἀρετῆς ἱκανὸν τὸ εἰδέναι, ἀλλ' ἔχειν καὶ χρῆσθαι πειρατέον, ἢ εἴ πως ἄλλως ἀγαθοὶ γινόμεθα. εἰ μὲν ὖν ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ ποιῆσαι ἐπιεικεῖς, πολλὺς ἂν μισθὺς καὶ μεγάλους δικαίως ἔφερον κατὰ τὸν Θέογνιν, καὶ ἔδει ἂν τύτυς πορίσασθαι· νῦν δὲ φαίνονται προτρέψασθαι μὲν καὶ παρορμῆσαι τῶν νέων τοὺς ἐλευθερίους ἰσχύειν, ἦθός τ' εὐγενὲς καὶ ὡς ἀληθῶς φιλόκαλον ποιῆσαι ἂν κατοκώχιμον ἐκ τῆς ἀρετῆς, τὺς δὲ πολλὺς ἀδυνατεῖν πρὸς καλοκαγαθίαν προτρέψασθαι· ὐ γὰρ πεφύκασιν αἰδοῖ πειθαρχεῖν ἀλλὰ φόβῳ, ὐδ' ἀπέχεσθαι τῶν φαύλων διὰ τὸ αἰσχρὸν ἀλλὰ διὰ τὰς τιμωρίας· πάθει γὰρ ζῶντες τὰς οἰκείας ἡδονὰς διώκουσι καὶ δι' ὧν αὗται ἔσονται, φεύγυσι δὲ τὰς ἀντικειμένας λύπας, τῦ δὲ καλῦ καὶ ὡς ἀληθῶς ἡδέος ὐδ' ἔννοιαν ἔχυσιν, ἄγευςοι ὄντες. τὺς δὴ τοιύτυς τίς ἂν λόγος μεταρρυθμίσαι; οὐ γὰρ οἷόν τε ἢ ὐ ῥᾴδιον τὰ ἐκ παλαιῦ τοῖς ἤθεσι κατειλημμένα λόγῳ μεταςῆσαι. ἀγαπητὸν δ' ἴσως ἐςὶν εἰ πάντων ὑπαρχόντων, δι' ὧν ἐπιεικεῖς δοκῦμεν γίνεσθαι, μεταλάβοιμεν τῆς ἀρετῆς. γίνεσθαι δ' ἀγαθὺς οἴονται οἱ μὲν φύσει, οἱ δ' ἔθει, οἱ δὲ διδαχῇ. τὸ μὲν ὖν τῆς φύσεως δῆλον ὡς ὐκ ἐφ' ἡμῖν ὑπάρχει, ἀλλὰ διά τινας θείας αἰτίας τοῖς ὡς ἀληθῶς εὐτυχέσιν ὑπάρχει· ὁ δὲ λόγος καὶ ἡ διδαχὴ μή ποτ' ὐκ ἐν ἅπασιν ἰσχύῃ, ἀλλὰ δέῃ προδιειργάσθαι τοῖς ἔθεσι τὴν τῦ ἀκροατοῦ ψυχὴν πρὸς τὸ καλῶς χαίρειν καὶ μισεῖν, ὥσπερ γῆν τὴν θρέψουσαν τὸ σπέρμα. ὐ γὰρ ἂν ἀκύσειε λόγου ἀποτρέποντος οὐδ' αὖ συνείη ὁ κατὰ πάθος ζῶν· τὸν δ' ὕτως ἔχοντα πῶς οἷόν τε μεταπεῖσαι; ὅλως τ' ὐ δοκεῖ λόγῳ ὑπείκειν τὸ πάθος ἀλλὰ βίᾳ. δεῖ δὴ τὸ ἦθος προϋπάρχειν πως οἰκεῖον τῆς ἀρετῆς, ςέργον τὸ καλὸν καὶ δυσχεραῖνον τὸ αἰσχρόν. ἐκ νέου δ' ἀγωγῆς ὀρθῆς τυχεῖν πρὸς ἀρετὴν χαλεπὸν μὴ ὑπὸ τοιύτοις τραφέντα νόμοις· τὸ γὰρ σωφρόνως καὶ καρτερικῶς ζῆν οὐχ ἡδὺ τοῖς πολλοῖς, ἄλλως τε καὶ νέοις. διὸ νόμοις δεῖ τετάχθαι τὴν τροφὴν καὶ τὰ ἐπιτηδεύματα· ὐκ ἔςαι γὰρ λυπηρὰ συνήθη γινό-

φύσις – ἔθος – διδαχή

Necessity … early … working in … the youthful … mind

εὐδαιμονήσαντα M^b. ‖ 3. ὐ] ὐδὲ M^b. ‖ ἡ πρᾶξις] ἡ κρίσις οὐδ' ἡ πρᾶξις L^b, ἡ κρίσις ὐδ' αἱ πράξεις M^bO^b. ‖ 4. ἄρχοντας L^b θαλάσσης L^bM^b. ‖ 6. κατὰ] τὰ κατὰ M^bO^b. ‖ 7. δυνατῶν M^b. ‖ 8. ἔςι M^b. ‖ 9. κατ' ἀρετὴν M^b. ‖ 11. κεχορηγημένοις τὰ et ὡς om K^b. ‖ 16. μόνων L^bM^b. ‖ 17. δὲ O^b. ‖ 18. τὰ om K^b. ‖ 19. πρακτικοῖς $K^bM^bO^b$. ‖ 20. σκοπεῖν δὲ L^b δὴ σκοπεῖν K^b. ‖ 21. φέροντας K^bM^b. ‖ 24. εἶναι om $K^bM^bO^b$. ‖ ἀνθρώπων K^b. ‖ 26. τῷ post καὶ om K^bO^b. ‖ 27. post ʹᴬ ἦγον τὸ χαίρειν τῷ ἀρίςῳ καὶ συγγενεςάτῳ. ‖ 29. καὶ ante ὀρθῶς om M^b. ‖ ταῦτα πάντα L^bM^b. ‖ 30. θεοφιλέςατον M^b. ‖ 31. $K^bM^bO^b$. ‖ 33. περὶ] περί τε L^bO^b. ‖ καὶ post δὲ om K^bO^b.

γινοίμεθα K^b. ‖ 5. μεγάλους om K^b. ‖ 6. θεόγνην K^b. ‖ 7. προτρέψαι L^bN^b. ‖ 8. ἴσχειν K^b. ‖ δ' M^b. ‖ 9. κατακώχιμον Ͻᵇ. ‖ ἀρετῆς οὖ, τὺς M^b. ‖ 15. ἐννοίας L^bO^b. ‖ 16. μεταρριθμήσῃ M^b. ‖ 20. ἀγαθὸν M^b. ‖ 22. τινος L^bO^b. ‖ ὡς om K^b. ‖ ύει K^bL^b, ἐνισχύῃ M^bO^b. ‖ δέει L^b, δεῖ M^b. ‖ προδιεργάσασθαι M^b. ‖ 25. ἤθεσι L^b. ‖ 26. θρέψασαν M^b. ‖ 27. λόγον M^b. ‖ ͻᵇ. ‖ συνίῃ L^b, συνίησιν M^b. ‖ 35. γενόμενα O^b.

μενα. ὐχ ἱκανὸν δ' ἴσως νέυς ὄντας τροφῆς καὶ ἐπιμελείας τυχεῖν ὀρθῆς, ἀλλ' ἐπειδὴ καὶ ἀνδρωθέντας δεῖ ἐπιτηδεύειν αὐτὰ καὶ ἐθίζεσθαι, καὶ περὶ ταῦτα δεοίμεθ' ἂν νόμων, καὶ ὅλως δὴ περὶ πάντα τὸν βίον· οἱ γὰρ πολλοὶ ἀνάγκῃ μᾶλλον ἢ λόγῳ πειθαρχῦσι καὶ ζημίαις ἢ τῷ καλῷ. διόπερ οἴονταί τινες τὺς νομοθετῦντας δεῖν μὲν παρακαλεῖν ἐπὶ τὴν ἀρετὴν καὶ προτρέπεσθαι τῦ καλῦ χάριν, ὡς ὑπακυσομένων τῶν ἐπιεικῶς τοῖς ἔθεσι προηγμένων, ἀπειθῦσι δὲ καὶ ἀφυεστέροις ὖσι κολάσεις τε καὶ τιμωρίας ἐπιτιθέναι, τὺς δ' ἀνιάτυς ὅλως ἐξορίζειν· τὸν μὲν γὰρ ἐπιεικῆ καὶ πρὸς τὸ καλὸν ζῶντα τῷ λόγῳ πειθαρχήσειν, τὸν δὲ φαῦλον ἡδονῆς ὀρεγόμενον λύπῃ κολάζεσθαι ὥσπερ ὑποζύγιον. διὸ καί φασι δεῖν τοιαύτας γίνεσ[illegible] τὰς λύπας αἳ μάλιστ' ἐναντιῦνται ταῖς ἀγαπωμέναις ἡδοναῖς. εἰ δ' ὖν, καθάπερ εἴρηται, τὸν ἐσόμενον ἀγαθὸν τραφῆναι καλῶς δεῖ καὶ ἐθισθῆναι, εἶθ' ὕτως ἐν ἐπιτηδεύμασιν ἐπιεικέσι ζῆν καὶ μήτ' ἄκοντα μήθ' ἑκόντα πράττειν τὰ φαῦλα, ταῦτα δὲ γίγνοιτ' ἂν βιυμένοις κατά τινα νῦν καὶ τάξιν ὀρθήν, ἔχυσαν ἰσχύν. ἡ μὲν ὖν πατρικὴ πρόςαξις ὐκ ἔχει τὸ ἰσχυρὸν ὐδὲ τὸ ἀναγκαῖον, ὐδὲ δὴ ὅλως ἡ ἑνὸς ἀνδρός, μὴ βασιλέως ὄντος ἤ τινος τοιύτου· ὁ δὲ νόμος ἀναγκαςικὴν ἔχει δύναμιν, λόγος ὢν ἀπό τινος φρονήσεως καὶ νῦ. καὶ τῶν μὲν ἀνθρώπων ἐχθαίρουσι τὺς ἐναντιυμένυς ταῖς ὁρμαῖς, κἂν ὀρθῶς αὐτὸ δρῶσιν· ὁ δὲ νόμος ὐκ ἔςιν ἐπαχθὴς τάττων τὸ ἐπιεικές. ἐν μόνῃ δὲ τῇ Λακεδαιμονίων πόλει μετ' ὀλίγων ὁ νομοθέτης ἐπιμέλειαν δοκεῖ πεποιῆσθαι τροφῆς τε καὶ ἐπιτηδευμάτων· ἐν δὲ ταῖς πλείςαις τῶν πόλεων ἐξημέληται περὶ τῶν τοιύτων, καὶ ζῇ ἕκαστος ὡς βύλεται, κυκλωπικῶς θεμιστεύων παίδων ἠδ' ἀλόχυ. κράτιςον μὲν ὖν τὸ γίγνεσθαι κοινὴν ἐπιμέλειαν καὶ ὀρθὴν καὶ δρᾶν αὐτὸ δύνασθαι· κοινῇ δ' ἐξαμελουμένων ἑκάςῳ δόξειεν ἂν προσήκειν τοῖς σφετέροις τέκνοις καὶ φίλοις εἰς ἀρετὴν συμβάλλεσθαι, ἢ προαιρεῖσθαί γε. μάλιςα δ' ἂν τῦτο δύνασθαι δόξειεν ἐκ τῶν εἰρημένων νομοθετικὸς γενόμενος· αἱ μὲν γὰρ κοιναὶ ἐπιμέλειαι δῆλον ὅτι διὰ νόμων γίγνονται, ἐπιεικεῖς δ' αἱ διὰ τῶν σπυδαίων. γεγραμμένων δ' ἢ ἀγράφων, ὐδὲν ἂν δόξειε διαφέρειν, ὐδὲ εἰς ἢ πολλοὶ παιδευθήσονται, ὥσπερ ὐδ' ἐπὶ μουσι γυμναςικῆς καὶ τῶν ἄλλων ἐπιτηδευμάτων. ὥσπερ ταῖς πόλεσιν ἐνισχύει τὰ νόμιμα καὶ τὰ ἔθη, ὕτω οἰκίαις οἱ πατρικοὶ λόγοι καὶ τὰ ἔθη, καὶ ἔτι μᾶλ τὴν συγγένειαν καὶ τὰς εὐεργεσίας· προϋπάρχυσι γ γοντες καὶ εὐπειθεῖς τῇ φύσει. ἔτι δὲ καὶ διαφέρο καθ' ἕκαςον παιδεῖαι τῶν κοινῶν, ὥσπερ ἐπὶ ἰατρικῆ θόλυ μὲν γὰρ τῷ πυρέττοντι συμφέρει ἡσυχία καὶ τινὶ δ' ἴσως ὔ, ὅ τε πυκτικὸς ἴσως ὐ πᾶσι τὴν αὐτὴν περιτίθησιν. ἐξακριβῦσθαι δὴ δόξειεν ἂν μᾶλλον τὸ κα ςον ἰδίας τῆς ἐπιμελείας γινομένης· μᾶλλον γὰρ τῦ πρ τυγχάνει ἕκαςος. ἀλλ' ἐπιμεληθείη μὲν ἄριςα καθ' ἰατρὸς καὶ γυμναςὴς καὶ πᾶς ἄλλος ὁ τὸ καθόλυ εἰδ πᾶσιν ἢ τοῖς τοιοῖσδε· τῦ κοινῦ γὰρ αἱ ἐπιςῆμαι λέγον καὶ εἰσίν. ὐ μὴν ἀλλὰ καὶ ἑνός τινος ὐδὲν ἴσως κωλύει ἐπιμεληθῆναι καὶ ἀνεπιςήμονα ὄντα, τεθεαμένον δ' ἀκ τὰ συμβαίνοντα ἐφ' ἑκάςῳ δι' ἐμπειρίαν, καθάπερ καὶ ἔνιοι δοκῦσιν ἑαυτῶν ἄριςοι εἶναι, ἑτέρῳ ὐδὲν ἂν δυνά ἐπαρκέσαι. ὐδὲν δ' ἧττον ἴσως τῷ γε βυλομένῳ τεχνι νέσθαι καὶ θεωρητικῷ ἐπὶ τὸ καθόλου βαδιςέον εἶναι δ ἄν, κἀκεῖνο γνωριςέον ὡς ἐνδέχεται· εἴρηται γὰρ ὅτι περ αἱ ἐπιςῆμαι. τάχα δὲ καὶ τῷ βυλομένῳ δι' ἐπιμε βελτίυς ποιεῖν, εἴτε πολλὺς εἴτ' ὀλίγυς, νομοθετικῷ πει γενέσθαι, εἰ διὰ νόμων ἀγαθοὶ γενοίμεθ' ἄν. ὅντινα γὰρ τὸν προτεθέντα διαθεῖναι καλῶς ὐκ ἔςι τῦ τυχόντος, εἴπερ τινος, τῦ εἰδότος, ὥσπερ ἐπ' ἰατρικῆς καὶ τῶν λ ὧν ἐςὶν ἐπιμέλειά τις καὶ φρόνησις. ἆρ' ὖν μετὰ τῦτο σκεπτέον πόθεν ἢ πῶς νομοθετικὸς γένοιτ' ἄν τις, ἢ καθ ἐπὶ τῶν ἄλλων, παρὰ τῶν πολιτικῶν; μόριον γὰρ ἐδ τῆς πολιτικῆς εἶναι. ἢ ὐχ ὅμοιον φαίνεται ἐπὶ τῆς πολ κῆς καὶ τῶν λοιπῶν ἐπιστημῶν τε καὶ δυνάμεων; ἐν γὰρ τοῖς ἄλλοις οἱ αὐτοὶ φαίνονται τάς τε δυνάμεις π διδόντες καὶ ἐνεργῦντες ἀπ' αὐτῶν, οἷον ἰατροὶ καὶ γρα τὰ δὲ πολιτικὰ ἐπαγγέλλονται μὲν διδάσκειν οἱ σοφ

2. ἐπεὶ L^b. ‖ 3. ἂν om L^b. ‖ 4. δὴ καὶ ὅλως K^b. ‖ 7. ἐπακυσομένων L^b, ἐπακυσομένοις M^b. ‖ 8. τῶν om M^b. ‖ ἐπιει O^b. ‖ προηγμένοις M^b, προηγμένως L^bO^b. ‖ 9. τε om O^b. ‖ ἐπιτιθεμένους M^b, ἐπιτιθέμεναι O^b. ‖ 10. καὶ om K^bM^b. ‖ 1 om M^b. ‖ 15. δοκεῖ O^b. ‖ 16. ἐν om L^b. ‖ 19. ὐδὲ] ὔτε δὴ L^b, ὐδὲ δὴ $K^bM^bO^b$. ‖ 20. ὄντος om M^b. ‖ 21. λόγος] ὅλως 22. ἐχθραίνουσι $L^bM^bO^b$. ‖ 25. λακεδαιμονία M^b. ‖ 26. τε om O^b. ‖ 28. ἕκαστος om M^b. ‖ 29. τὸ om L^bO^b. ‖ γενέσθαι O^b. ‖ 32. συμβαλέσθαι K^b. ‖ μᾶλλον K^bM^b. ‖ 33. τίνασθαι K^b, om O^b. ‖ 34. διὰ τῶν νόμων O^b.

1. δ' om K^b. ‖ συνδιαφέρειν O^b. ‖ 2. καὶ] ἢ K^bM^b. ‖ 3. καὶ] ἢ M^b. ‖ παιδευμάτων L^b. ‖ 4. ἤθη $K^bL^bO^b$. ‖ 5. O^b. ‖ ἤθη L^bO^b. ‖ 7. καὶ post δὲ om M^bO^b. ‖ 9. ἀσιτία καὶ ἡσυχία L^b. ‖ 11. δὲ L^b, δὲ δεῖ M^b. ‖ ἂν om K^b. ‖ 13. κ τοῦ καθόλου O^b. ‖ 14. τὸ om K^b. ‖ τι K^b. ‖ 15. τοιοῖς δεῖ K^b. ‖ 16. ἀλλ' ἑνὸς K^b. ‖ 19. ἕνα K^b. ‖ ἑαυτοῖς M^bO^b. ‖ ἂν om 22. γνωςέον M^b. ‖ 23. αἱ om O^b. ‖ δ' ἂν καὶ L^bO^b. ‖ 25. εἴγε M^b. ‖ ἂν] ἂν ἀγαθοί O^b. ‖ γὰρ om M^b. ‖ 30. περὶ L^b. ταῖς ἄλλαις M^b. ‖ οἱ αὐτοὶ] ὗτοι K^b. ‖ 34. ἰατρικοὶ γραφεῖς K^bL^b, ἰατροὶ γραφεῖς M^bO^b.

ει δ' αὐτῶν ὐδείς, ἀλλ' οἱ πολιτευόμενοι, οἳ δόξαιεν
νάμει τινὶ τῦτο πράττειν καὶ ἐμπειρίᾳ μᾶλλον ἢ δια-
οὔτε γὰρ γράφοντες οὔτε λέγοντες περὶ τῶν τοιύτων
νται (καίτοι κάλλιον ἦν ἴσως ἢ λόγους δικανικὺς τε
ημηγορικύς), ὐδ' αὖ πολιτικὺς πεποιηκότες τὺς σφε-
υἱεῖς ἢ τινας ἄλλυς τῶν φίλων. εὔλογον δ' ἦν, εἴπερ
ντο· οὔτε γὰρ ταῖς πόλεσιν ἄμεινον οὐδὲν κατέλιπον
θ' αὐτοῖς ὑπάρξαι προέλοιντ' ἂν μᾶλλον τῆς τοιαύτης
εως, ὐδὲ δὴ τοῖς φιλτάτοις. ὐ μὴν μικρόν γε ἔοικεν ἡ
ρία συμβάλλεσθαι· ὐδὲ γὰρ ἐγίγνοντ' ἂν διὰ τῆς πο-
ς συνηθείας πολιτικοί· διὸ τοῖς ἐφιεμένοις περὶ πολι-
εἰδέναι προσδεῖν ἔοικεν ἐμπειρίας. τῶν δὲ σοφιςῶν οἱ
γελλόμενοι λίαν φαίνονται πόρρω εἶναι τοῦ διδάξαι·
γὰρ ὐδὲ ποῖόν τί ἐςιν ἢ περὶ ποῖα ἴσασιν· ὐ γὰρ ἂν
ὐτὴν τῇ ῥητορικῇ οὐδὲ χείρω ἐτίθεσαν, οὐδ' ἂν ᾤοντο
εἶναι τὸ νομοθετῆσαι συναγαγόντι τὺς εὐδοκιμῦντας
ίμων· ἐκλέξασθαι γὰρ εἶναι τὺς ἀρίςυς, ὥσπερ οὐδὲ
λογὴν οὖσαν συνέσεως καὶ τὸ κρῖναι ὀρθῶς μέγιςον,
ἐν τοῖς κατὰ μυσικήν· οἱ γὰρ ἔμπειροι περὶ ἕκαςα
ν ὀρθῶς τὰ ἔργα, καὶ δι' ὧν ἢ πῶς ἐπιτελεῖται συ-
, καὶ ποῖα ποίοις συνᾴδει· τοῖς δ' ἀπείρυς ἀγαπητὸν
διαλανθάνειν εἰ εὖ ἢ κακῶς πεποίηται τὸ ἔργον, ὥσ-
ὶ γραφικῆς. οἱ δὲ νόμοι τῆς πολιτικῆς ἔργοις ἐοίκασιν·

πῶς ὖν ἐκ τύτων νομοθετικὸς γένοιτ' ἄν τις, ἢ τὺς ἀρίςους κρίναι; ὐ γὰρ φαίνονται ὐδ' ἰατρικοὶ ἐκ τῶν συγγραμμάτων γίνεσθαι. καίτοι πειρῶνταί γε λέγειν ὐ μόνον τὰ θεραπεύματα, ἀλλὰ καὶ ὡς ἰαθεῖεν ἂν καὶ ὡς δεῖ θεραπεύειν ἑκάςυς, διελόμενοι τὰς ἕξεις. ταῦτα δὲ τοῖς μὲν ἐμπείροις ὠφέλιμα εἶναι δοκεῖ, τοῖς δ' ἀνεπιστήμοσιν ἀχρεῖα. ἴσως οὖν καὶ τῶν νόμων καὶ τῶν πολιτειῶν αἱ συναγωγαὶ τοῖς μὲν δυναμένοις θεωρῆσαι καὶ κρῖναι τί καλῶς ἢ τὐναντίον καὶ ποῖα ποίοις ἁρμόττει, εὔχρηστ' ἂν εἴη· τοῖς δ' ἄνευ ἕξεως τὰ τοιαῦτα διεξιοῦσι τὸ μὲν κρίνειν καλῶς οὐκ ἂν ὑπάρχοι, εἰ μὴ ἄρα αὐτόματον, εὐσυνετώτεροι δ' εἰς ταῦτα τάχ' ἂν γένοιντο. παραλιπόντων ὖν τῶν προτέρων ἀνερεύνητον τὸ περὶ τῆς νομοθεσίας, αὐτὺς ἐπισκέψασθαι μᾶλλον βέλτιον ἴσως, καὶ ὅλως δὴ περὶ πολιτείας, ὅπως εἰς δύναμιν ἡ περὶ τὰ ἀνθρώπινα φιλοσοφία τελειωθῇ. πρῶτον μὲν ὖν εἴ τι κατὰ μέρος εἴρηται καλῶς ὑπὸ τῶν προγενεστέρων πειραθῶμεν ἐπελθεῖν, εἶτα ἐκ τῶν συνηγμένων πολιτειῶν θεωρῆσαι τὰ ποῖα σώζει καὶ φθείρει τὰς πόλεις καὶ τὰ ποῖα ἑκάστας τῶν πολιτειῶν, καὶ διὰ τίνας αἰτίας αἱ μὲν καλῶς αἱ δὲ τὐναντίον πολιτεύονται· θεωρηθέντων γὰρ τούτων τάχ' ἂν μᾶλλον συνίδοιμεν καὶ ποία πολιτεία ἀρίστη, καὶ πῶς ἑκάςη ταχθεῖσα, καὶ τίσι νόμοις καὶ ἔθεσι χρωμένη. λέγωμεν ὖν ἀρξάμενοι.

ΗΘΙΚΩΝ ΜΕΓΑΛΩΝ Α.

ιδὴ προαιρύμεθα λέγειν ὑπὲρ ἠθικῶν, πρῶτον ἂν εἴη
ίον τίνος ἐστὶ μέρος τὸ ἦθος. ὡς μὲν οὖν συντόμως
δοκεῖ ὐκ ἄλλης ἢ τῆς πολιτικῆς εἶναι μέρος. ἔστι
θὲν ἐν τοῖς πολιτικοῖς δυνατὸν πρᾶξαι ἄνευ τῦ ποιόν
ἶναι, λέγω δ' οἷον σπουδαῖον. τὸ δὲ σπουδαῖον εἶναί

ἐστι τὸ τὰς ἀρετὰς ἔχειν. δεῖ ἄρα, εἴ τις μέλλει ἐν τοῖς πολιτικοῖς πρακτικὸς εἶναι, τὸ ἦθος εἶναι σπυδαῖος. μέρος ἐςὶν ἄρα, ὡς ἔοικεν, καὶ ἀρχὴ ἡ περὶ τὰ ἤθη πραγματεία τῆς πολιτικῆς. τὸ δ' ὅλον καὶ τὴν ἐπωνυμίαν δικαίως δοκεῖ ἄν μοι ἔχειν ἡ πραγματεία ὐκ ἠθικὴν ἀλλὰ πολιτι-

ἠδύναντο L^bM^b. ‖ κατέλειπον K^b. ‖ 9. ὐδὲ — 10. συμβάλλεσθαι om O^b. ‖ 10. ὐδὲ γὰρ ἐγίγνοντ'] ἐγίγνοντο γὰρ L^bO^b. ‖ πο-
om L^b. ‖ 11. συνηθείας μᾶλλον πολιτικοί L^bO^b. ‖ 14. ἂν om M^b. ‖ 18. τὸ] τοῦ K^bM^b. ‖ 20. τελεῖται L^b. ‖ συνίσασιν K^b
22. τὸ om K^bM^b. ‖ ἢ εὖ ἢὲ K^b. ‖ 23. τοῖς πολιτικοῖς $L^bM^bO^b$.
ὖν om O^b. ‖ 5. ἑκάςυ O^b. ‖ 10. τὰ om K^b. ‖ 12. παραλειπόντων L^b. ‖ 14. δὴ om $K^bM^bO^b$. ‖ 15. ἀνθρώπεια K^bM^b. ‖
16. εἴρηται om O^b. ‖ 18. πολιτείας M^b. ‖ 19. ἑκάσταις L^b. ‖ 21. συνειδοῖμεν K^b, συνοίδοιμεν O^b. ‖ 22. ἤθεσι M^b. ‖ 23.
K^b. ‖ post ἀρξάμενοι M^b τέλος ἀριστοτέλους ἠθικῶν μικρῶν νικομαχείων.
odices K^bM^b. Tit. μεγάλων] μεγάλων νικομαχείων QM^b cum Barocciano 70 et Palatino 165.
. ἠθῶν M^b. ‖ 26. δόξειεν K^b. ‖ ἄλλως ἢ τῶν πολιτικῶν M^b. ‖ 27. γὰρ] δ' K^b. ‖ δυνατὸν om M^b.
. τὸ] κατὰ τὸ M^b. ‖ 26. ἐςὶν et ὡς om M^b.

κήν. δεῖ ἄρα, ὡς ἔοικεν, πρῶτον ὑπὲρ ἀρετῆς εἰπεῖν, τί τ' ἐςὶ καὶ ἐκ τίνων γίνεται. οὐθὲν γὰρ ἴσως ὄφελος εἰδέναι μὲν τὴν ἀρετήν, πῶς δ' ἔςαι καὶ ἐκ τίνων μὴ ἐπαΐειν. οὐ γὰρ μόνον ὅπως εἰδήσομεν τί ἐστι σκοπεῖσθαι δεῖ, ἀλλὰ καὶ ἐκ τίνων ἔςαι σκέψασθαι. ἅμα γὰρ εἰδῆσαι βουλόμεθα καὶ αὐτοὶ εἶναι τοιῦτοι· τῦτο δ' οὐ δυνησόμεθα, ἐὰν μὴ εἰδῶμεν καὶ ἐκ τίνων καὶ πῶς ἔσται. ἀναγκαῖον μὲν οὖν εἰδῆσαι τί ἐστιν ἀρετή· οὐ γὰρ ῥᾴδιον εἰδέναι τὸ ἐκ τίνων ἔςαι καὶ πῶς ἔςαι, ἀγνοῦντα τὸ τί ἐςιν, ὥσπερ ὐδ' ἐπὶ τῶν ἐπιςημῶν. ὐ δεῖ δὲ λανθάνειν ὐδ' εἴ τινες πρότερον ὑπὲρ τούτων εἰρήκασιν. πρῶτος μὲν ὖν ἐνεχείρησε Πυθαγόρας περὶ ἀρετῆς εἰπεῖν, ὐκ ὀρθῶς δέ· τὰς γὰρ ἀρετὰς εἰς τὺς ἀριθμὺς ἀνάγων οὐκ οἰκείαν τῶν ἀρετῶν τὴν θεωρίαν ἐποιεῖτο· ὐ γάρ ἐςιν ἡ δικαιοσύνη ἀριθμὸς ἰσάκις ἴσος. μετὰ τῦτον Σωκράτης ἐπιγενόμενος βέλτιον καὶ ἐπὶ πλεῖον εἶπεν ὑπὲρ τύτων, ὐκ ὀρθῶς δὲ ὐδ' οὗτος. τὰς γὰρ ἀρετὰς ἐπιςήμας ἐποίει, τῦτο δ' ἐςὶν εἶναι ἀδύνατον. αἱ γὰρ ἐπιςῆμαι πᾶσαι μετὰ λόγυ, λόγος δὲ ἐν τῷ διανοητικῷ τῆς ψυχῆς ἐγγίνεται μορίῳ. γίνονται ὖν αἱ ἀρεταὶ πᾶσαι κατ' αὐτὸν ἐν τῷ λογιςικῷ τῆς ψυχῆς μορίῳ. συμβαίνει οὖν αὐτῷ ἐπιστήμας ποιοῦντι τὰς ἀρετὰς ἀναιρεῖν τὸ ἄλογον μέρος τῆς ψυχῆς, τῦτο δὲ ποιῶν ἀναιρεῖ καὶ πάθος καὶ ἦθος· διὸ ὐκ ὀρθῶς ἥψατο ταύτῃ τῶν ἀρετῶν. μετὰ ταῦτα δὲ Πλάτων διείλετο τὴν ψυχὴν εἴς τε τὸ λόγον ἔχον καὶ εἰς τὸ ἄλογον ὀρθῶς, καὶ ἀπέδωκεν ἑκάςῳ ἀρετὰς προσηκύσας. μέχρι μὲν ὖν τύτυ καλῶς, μετὰ μέντοι τῦτο ὐκέτι ὀρθῶς· τὴν γὰρ ἀρετὴν κατέμιξεν εἰς τὴν πραγματείαν τὴν ὑπὲρ τἀγαθῦ, οὐ δὴ ὀρθῶς· ὐ γὰρ οἰκεῖον. ὑπὲρ γὰρ τῶν ὄντων καὶ ἀληθείας λέγοντα οὐκ ἔδει ὑπὲρ ἀρετῆς φράζειν· ὐδὲν γὰρ τύτῳ κἀκείνῳ κοινόν. ὗτοι μὲν ὖν ἐπὶ τοσοῦτον ἐφήψαντο καὶ οὕτως, ἐχόμενον δ' ἂν εἴη μετὰ ταῦτα σκέψασθαι τί δεῖ αὐτὺς λέγειν ὑπὲρ τύτων. πρῶτον μὲν ὖν ἰδεῖν δεῖ ὅτι πάσης ἐπιςήμης καὶ δυνάμεως ἐςί τι τέλος, καὶ τῦτ' ἀγαθόν· ὐδεμία γὰρ ὔτ' ἐπιςήμη ὔτε δύναμις ἕνεκεν κακῦ ἐςίν. εἰ ὖν πασῶν τῶν δυνάμεων ἀγαθὸν τὸ τέλος, δῆλον ὡς καὶ τῆς βελτίστης βέλτιςον ἂν εἴη.

ἀλλὰ μὴν ἥ γε πολιτικὴ βελτίςη δύναμις, ὥςε τὸ αὐτῆς ἂν εἴη ἀγαθόν. ὑπὲρ ἀγαθοῦ ἄρα, ὡς ἔοικε λεκτέον, καὶ ὑπὲρ ἀγαθῦ ὐ τῦ ἁπλῶς ἀλλὰ τῦ ἡμ γὰρ τῦ θεῶν ἀγαθῦ· ἀλλ' ὑπὲρ μὲν τύτυ καὶ ἄλλ γος καὶ ἀλλοτρία ἡ σκέψις. ὑπὲρ τῦ πολιτικῦ ἄρα ἡμῖν λεκτέον. πάλιν δὲ καὶ τῦτο διελεῖν δεῖ. ὑπὲρ τῦ πῶς λεγομένυ; ὐ γάρ ἐςιν ἁπλῦν. λέγεται γὰρ θὸν ἢ τὸ ἄριςον ἐν ἑκάςῳ τῶν ὄντων, τῦτο δ' ἐςὶ τὴν αὐτῦ φύσιν αἱρετόν, ἢ ὖ τἆλλα μετασχόντα ἐςιν, τῦτο δ' ἐςὶν ἡ ἰδέα τἀγαθῦ. πότερον ὖν ὑπὲρ τῆ τἀγαθοῦ δεῖ, ἢ οὔ, ἀλλ' ὡς τὸ κοινὸν ἐν ἅπασιν ὑπ ἀγαθόν; ἕτερον γὰρ τῆς ἰδέας τῦτο δόξειεν ἂν εἶναι· γὰρ ἰδέα χωριστὸν καὶ αὐτὸ καθ' αὑτό, τὸ δὲ κ ἅπασιν ὑπάρχει. ὐκ ἔςι δὲ ταὐτὸν τῷ χωριςῷ· ὐ ποτε τὸ χωριστὸν καὶ τὸ πεφυκὸς αὐτὸ καθ' αὑτὸ ε πᾶσιν ὑπάρχοι. πότερον οὖν ὑπὲρ τύτυ δεῖ λέγειν τ τῦ ἐνυπάρχοντος ἢ οὔ; διὰ τί; ὅτι τῦτο ἐςὶ μὲν τὸ ὡς ὁ ὁρισμὸς καὶ ἡ ἐπαγωγή. ὁ δὲ ὁρισμὸς βούλετ ἑκάστου οὐσίαν λέγειν, ἤτοι ὅτι ἀγαθὸν ἢ ὅτι κακὸν ἂν ἄλλο ᾖ. λέγει δ' ὁ ὅρος ὅτι τὸ τοιόνδ' ἀγαθὸν κα ὃ ἂν ᾖ αὐτὸ δι' αὐτὸ αἱρετόν. τὸ δὲ ἐν ἅπασιν ἐνυπ ὅμοιον τῷ ὅρῳ ἐςίν. ὁ δὲ ὅρος λέγει ὅτι ἀγαθόν. ἐπ δέ γε οὐδὲ δύναμις οὐδεμία λέγει ὑπὲρ τῦ τέλυς τῦ ὅτι ἀγαθόν. ἀλλὰ τῦτο μὲν ἄλλης δυνάμεώς ἐςι θεωρ ὔτε γὰρ ὁ ἰατρὸς ὔτε ὁ οἰκοδόμος λέγει ὅτι ἀγαθὸν ἡ ὐ ὐδὲ ἡ οἰκία, ἀλλ' ὅτι ὁ μὲν ὑγίειαν ποιεῖ, καὶ ὡς π δ' οἰκίαν. δῆλον τοίνυν ὅτι ὐδὲ τῇ πολιτικῇ ὑπὲρ τῦ ἐ λεκτέον τῦ κοινῦ· μία γάρ ἐςι καὶ αὐτὴ τῶν λοιπῶν στημῶν, τῦτο δὲ ὐδεμιᾶς ἦν λέγειν οὔτε δυνάμεως ὔτ' ςήμης ὡς τέλους. οὐδ' ἄρα τῆς πολιτικῆς ἐςὶ τὸ ὑπὲρ κοινοῦ ἀγαθῦ λέγειν τῦ κατὰ τὸν ὁρισμόν. ἀλλὰ μὴν τῦ κατὰ τὴν ἐπαγωγὴν κοινῦ. διὰ τί; ὅτι ὅταν βουλώ δεῖξαί τι τῶν κατὰ μέρος ἀγαθῶν, ἢ τῷ ὁρισμῷ δεῖ ὅτι ὁ αὐτὸς λόγος ἐφαρμόττει ἐπί τε τἀγαθὸν καὶ ἐπὶ ὃ ἂν βουλώμεθα δεῖξαι ὅτι ἀγαθόν, ἢ τῇ ἐπαγωγῇ, ὅταν θέλωμεν δεῖξαι ὅτι ἡ μεγαλοψυχία ἐστὶν ἀγ

2. ἴσως om M^b. ‖ 3. ἐπαΐειν] οἴειν M^b. ‖ 4. εἰδήσωμεν K^b. ‖ οἴεσθαι M^b. ‖ 5. ἔςι K^b. ‖ 6. αὐτοὶ] ἡμεῖς M^b. ‖ 7. μ M^b. ‖ 8. οὖν om K^b. ‖ 9. ἔςαι ante καὶ om M^b. ‖ ἀγνοῦντας τί M^b. ‖ 10. πρῶτον M^b. ‖ 11. εἰρήκεισαν M^b. ‖ πρῶτον M^b. ‖ ἰσάκιος ἰσάκις M^b. ‖ 16. τῦτον K^b. ‖ 19. μόνῳ K^b. ‖ κατ' αὐτὸν om K^b. ‖ 23. ὀρθῶς] εἰκότως M^b. ‖ 24. τε om M^b. ‖ 25. τὰς ἀρετὰς πρεπούσας M^b. ‖ 26. ὖν om K^b. ‖ μέντοι τῦτο] δὲ ταῦτα M^b. ‖ 27. κατέμιξε καὶ συνέζευξεν εἰς M^b. ‖ 28. οὐ δὴ] M^b. ‖ 36. βέλτιον codices.

4. τὸ θεῶν ἀγαθόν K^b. ‖ 5. πολιτικῦ om K^b. ‖ ἡμῖν ἀγαθῦ M^b. ‖ 8. ὖν] ὂν M^b. ‖ 9. μετέχοντα M^b. ‖ 10 et 12 et 13. et εἰδέας K^b. ‖ 12. ἀγαθοῖς K^b. ‖ 15. τὸ post καὶ om M^b. ‖ 16. ἅπασιν ὑπάρχει M^b. ‖ 20. τὸ om K^b. ‖ 21. ἐὰν K^b ‖ ὑπάρχον M^b. ‖ 25. ὅτι] εἰ M^b. ‖ 26. ποιεῖ ante ὁ om M^b. ‖ 28. αὕτη M^b. ‖ 33. τι] καί τι M^b. ‖ 34. ὅτι] ὃ M^b. ‖ ἐὰν M^b, ἐὰν K^b. ‖ 36. ἡ om M^b.

ἐν ὅτι ἡ δικαιοσύνη ἀγαθὸν καὶ ἡ ἀνδρία καὶ ἁπλῶς ͅεται, ἡ δὲ μεγαλοψυχία ἀρετή, ὥςε καὶ ἡ μεγαλο- ία ἀγαθόν. ὐδὲ δὴ ὑπὲρ τῦ κατὰ τὴν ἐπαγωγὴν κοινῦ ῦ λεκτέον τῇ πολιτικῇ, ὅτι τὰ αὐτὰ ἀδύνατα συμβή- τούτῳ καὶ τῷ κατὰ τὸν ὅρον κοινῷ ἀγαθῷ· ὅτι γὰρ όν, καὶ ἐνταῦθ' ἐρεῖ. δῆλον τοίνυν ὅτι ὑπὲρ τῦ ἀρίςου οῦ λεκτέον ἐςί, καὶ ἀρίςου τῦ ἡμῖν ἀρίςυ. τὸ δ' ὅλον ἂν τις ὅτι οὐκ ἔςι μιᾶς ὔτ' ἐπιςήμης ὔτε δυνάμεως τὸ παντὸς ἀγαθῦ σκοπεῖν. διὰ τί; ὅτι τἀγαθὸν ἐν πά- ταῖς κατηγορίαις ἐστίν· καὶ γὰρ ἐν τῷ τί καὶ ἐν τῷ καὶ ἐν τῷ ποσῷ καὶ πότε καὶ πρός τι καὶ τινί, καὶ ῦς ἐν ἁπάσαις. ἀλλὰ μὴν τὸ πότε ἀγαθὸν ἐν μὲν κῇ ὁ ἰατρὸς οἶδεν, ἐν δὲ κυβερνητικῇ ὁ κυβερνήτης, ἐν τῃ δ' ἕκαςος. πότε μὲν γὰρ δεῖ τεμεῖν ὁ ἰατρὸς οἶδεν, δὲ πλεῖν ὁ κυβερνήτης· ἐν ἑκάςῃ δὲ τὸ πότε ἀγαθὸν ος τὸ καθ' ἑαυτὸν εἰδήσει· οὔτε γὰρ ὁ ἰατρὸς τὸ ἐν τῇ ρνητικῇ ἀγαθὸν πότε εἰδήσει, οὔτε ὁ κυβερνήτης τὸ ἐν κῇ. ὐκ ἄρα ὐδ' ὕτως ὑπὲρ τῦ κοινῦ ἀγαθῦ λεκτέον· τὸ πότε ἐν πάσαις κοινόν. ὁμοίως δὲ καὶ τὸ πρός τι ἀγα- καὶ τὸ κατὰ τὰς ἄλλας κατηγορίας κοινὸν μὲν ἀπά- οὐδεμιᾶς δ' ἐςὶν οὔτε δυνάμεως οὔτ' ἐπιςήμης εἰπεῖν τῦ ἐν ἑκάςῃ πότε ἀγαθῦ, ὐδ' αὖ τῆς πολιτικῆς ὑπὲρ ινῦ ἀγαθῦ λέγειν. ὑπὲρ τῦ ἀγαθῦ ἄρα, καὶ ὑπὲρ τοῦ , καὶ ὑπὲρ τῦ ἡμῖν ἀρίςυ. ἴσως δὲ ὐδὲ δεῖ βυλόμενόν κινδυνεύειν τοῖς μὴ φανεροῖς παραδείγμασι χρῆσθαι, ἀλλ' τῶν ἀφανῶν τοῖς φανεροῖς καὶ ὑπὲρ τῶν νοητῶν τοῖς τοῖς· ταῦτα γὰρ φανερώτερα. ὅταν ὖν ὕπερ τῦ ἀγαθῦ γχειρῇ λέγειν, οὐ λεκτέον ἐςὶν ὑπὲρ τῆς ἰδέας. καίτοι ί γε δεῖν, ὅταν ὑπὲρ τοῦ ἀγαθοῦ λέγωσιν, ὑπὲρ τῆς δεῖν λέγειν· ὑπὲρ γὰρ τοῦ μάλιςα ἀγαθῦ φασὶ δεῖν ν, αὐτὸ δ' ἕκαςον μάλις' ἐςὶ τοιῦτον, ὥςε μάλις' ἂν γαθὸν ἡ ἰδέα, ὡς οἴονται. ὁ δὴ τοιῦτος λόγος ἀληθὴς ἐστιν ἴσως· ἀλλ' οὐχ ἡ πολιτικὴ ἐπιςήμη ἢ δύναμις, ῆς νῦν ἐςὶν ὁ λόγος, οὐχ ὑπὲρ τύτυ σκοπεῖ τἀγαθοῦ, τῦ ἡμῖν ἀγαθῦ. ὐδεμία γὰρ ὔτ' ἐπιςήμη ὔτε δύνα- ὑπὲρ τῦ τέλυς λέγει ὅτι ἀγαθόν, ὥστ' ὐδ' ἡ πολιτική. χ ὑπὲρ τῦ κατὰ τὴν ἰδέαν ἀγαθῦ τὸν λόγον ποιεῖται. ἴσως τύτῳ τἀγαθῷ ἀρχῇ χρησάμενος ὑπὲρ τῶν καθ' α, ἐκ τύτυ προβάς, ἐρεῖ. ὐδ' ὕτως ὀρθῶς· δεῖ γὰρ τὰς ἀρχὰς οἰκείας λαμβάνειν. ἄτοπον γάρ, εἴ τις βυλόμενος τὸ τρίγωνον ὡς δυσὶν ὀρθαῖς ἴσας ἔχον δεῖξαι, λάβοι ἀρχὴν ὅτι ἡ ψυχὴ ἀθάνατος. οὐ γὰρ οἰκεία, δεῖ δὲ τὴν ἀρχὴν οἰκείαν εἶναι καὶ συνημμένην· νῦν δὲ καὶ ἄνευ τῦ τὴν ψυχὴν ἀθάνατον εἶναι δείξει τις δυσὶν ὀρθαῖς ἴσας ἔχον τὸ τρίγωνον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀγαθῶν ἔστι θεάσασθαι τὰ ἄλλα ἄνευ τῦ κατὰ τὴν ἰδέαν ἀγαθῦ. [διὸ ὐκ οἰκείαν ἀρχὴν εἶναι τούτου τἀγαθῦ.] ὐκ ὀρθῶς δὲ ὐδ' ὁ Σωκράτης ἐπιστήμας ἐποίει τὰς ἀρετάς. ἐκεῖνος γὰρ ὐδὲν ᾤετο δεῖν μάτην εἶναι, ἐκ δὲ τῦ τὰς ἀρετὰς ἐπιςήμας εἶναι συνέβαινεν αὐτῷ τὰς ἀρετὰς μάτην εἶναι. διὰ τί; ὅτι ἐπὶ τῶν ἐπιστημῶν συμβαίνει ἅμα εἰδέναι τὴν ἐπιστήμην τί ἐστι καὶ εἶναι ἐπιςήμονα· εἰ γὰρ ἰατρικήν τις οἶδε τί ἐςιν, καὶ ἰατρὸς ὗτος εὐθέως ἐςίν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιςημῶν. ἀλλ' ὐκ ἐπὶ τῶν ἀρετῶν τῦτο συμβαίνει· ὐ γὰρ εἴ τις οἶδε τὴν δικαιοσύνην τί ἐστιν, εὐθέως δίκαιός ἐστιν, ὡς δ' αὔτως κἀπὶ τῶν ἄλλων. συμβαίνει ὖν καὶ μάτην τὰς ἀρετὰς εἶναι καὶ μὴ εἶναι ἐπιςήμας.

Ἐπεὶ δ' ὑπὲρ τούτων διώρισται, πειραθῶμεν λέγειν 2
τἀγαθὸν ποσαχῶς λέγεται. ἔςι γὰρ τῶν ἀγαθῶν τὰ μὲν τίμια, τὰ δ' ἐπαινετά, τὰ δὲ δυνάμεις. τὸ δὲ τίμιον λέγω τὸ τοιῦτον, τὸ θεῖον, τὸ βέλτιον, οἷον ψυχή, νῦς, τὸ ἀρχαιότερον, ἡ ἀρχή, τὰ τοιαῦτα· τίμια γὰρ ἐφ' οἷς ἡ τιμή, τοῖς δὲ τοιύτοις πᾶσι τιμὴ ἀκολυθεῖ. ὐκῦν καὶ ἡ ἀρετὴ τίμιον, ὅταν γε ἀπ' αὐτῆς σπυδαῖός τις γένηται· ἤδη γὰρ ὗτος εἰς τὸ τῆς ἀρετῆς σχῆμα ἥκει. τὰ δ' ἐπαινετά, οἷον ἀρεταί· ἀπὸ γὰρ τῶν κατ' αὐτὰς πράξεων ὁ ἔπαινος γίνεται. τὰ δὲ δυνάμεις, οἷον ἀρχή, πλῦτος, ἰσχύς, κάλλος· τύτοις γὰρ καὶ ὁ σπυδαῖος εὖ ἂν δύνηται χρήσασθαι καὶ ὁ φαῦλος κακῶς, διὸ δυνάμει τὰ τοιαῦτα καλῦνται ἀγαθά. ἀγαθὰ μὲν δή εἰσιν· δοκιμάζεται γὰρ τῇ τῦ σπυδαίυ αὐτῶν ἑκάςου χρήσει, ὐ τῇ τῦ φαύλυ. τοῖς δ' αὐτοῖς τύτοις συμβέβηκεν ἀγαθοῖς καὶ τὴν τύχην τῆς γενέσεως αὐτῶν εἶναι αἰτίαν· ἀπὸ τύχης γὰρ καὶ πλῦτος γίγνεται καὶ ἀρχὴ καὶ ὅλως ὅσα εἰς δυνάμεως τάξιν ἥκει. λοιπὸν δὲ καὶ τέταρτον τῶν ἀγαθῶν τὸ σωστικὸν καὶ ποιητικὸν ἀγαθῦ, οἷον γυμνάσια ὑγιείας καὶ εἴ τι ἄλλο τοιῦτον. ἀλλ' ἔτι καὶ ἄλλην ἔχει τἀγαθὰ διαίρεσιν, οἷόν ἐςι τῶν ἀγαθῶν τὰ μὲν πάντῃ καὶ πάντως αἱρετά, τὰ δ' ὔ, οἷον ἡ μὲν δικαιοσύνη

12. πάσαις M^b. ‖ 15. πλεῖν] δεῖ πλεῖν K^b. ‖ 16. τῇ om M^b. ‖ 22. αὖ τῆς] αὐτῆς K^b. ‖ 27. καὶ ταῦτα γὰρ φανερώτατα ὅταν ὑπὲρ ἀγαθῦ ἐγχειρῇ τις K^b. ‖ 30. δεῖ M^b. ‖ γὰρ om M^b. ‖ 31. ἐςι τὸ τοιῦτον K^b. ‖ 36. ὅτι] ὡς ὅτι K^b. ‖ 38. ἴσως φησὶ τύτῳ ‖ ὑπὲρ τῶν] καὶ τὰ M^b, τὰ a correctore. ‖ 39. ἐρεῖ] ἐν ὧι K^b.
3. ὅτι] ὡς M^b. ‖ 5. εἶναι ἀθάνατον K^b. ‖ 6. ἐπὶ] ὑπὲρ K^b. ‖ 7. διὸ — 8. τἀγαθῦ om M^b. ‖ 11. ὅτι et 16. δ' om K^b. ‖ ἀρχαιότατον M^b. ‖ 23. γὰρ] δ' K^b. ‖ 25. γε δὴ ἀπ' K^b. ‖ 31. τῦ om M^b. ‖ ἕκαςον om K^b. ‖ 33. αἰτίαν εἶναι K^b. ‖ 37. σία K^b. ‖ ὑγιείας] καὶ ὑγίεια M^b.

καὶ αἱ ἄλλαι ἀρεταὶ καὶ πάντῃ καὶ πάντως αἱρεταί, ἰσχὺς δὲ καὶ πλȣ̃τος καὶ δύναμις καὶ τὰ τοιαῦτα ȣ̓́τε πάντῃ ȣ̓́τε πάντως. ἔτι καὶ ἄλλως· τῶν γὰρ ἀγαθῶν τὰ μέν ἐςι τέλη τὰ δ' ȣ̓ τέλη, οἷον ἡ μὲν ὑγίεια τέλος, τὰ δὲ τῆς ὑγιείας ἕνεκεν ȣ̓ τέλη. καὶ ὅσα ȣ̈́τως ἔχει, τȣ́των ἀεὶ τὸ τέλος βέλτιον, οἷον ἡ ὑγίεια βέλτιον ἢ τὰ ὑγιεινά, καὶ ἁπλῶς ἀεὶ καθόλȣ τȣ̃το βέλτιον ȣ̃ ἕνεκεν καὶ τὰ ἄλλα. πάλιν αὐτῶν τῶν τελῶν βέλτιον ἀεὶ τὸ τέλειον τȣ̃ ἀτελȣ̃ς. τέλειον δέ ἐςιν ȣ̃ παραγενομένȣ μηθενὸς ἔτι προσδεόμεθα, ἀτελὲς δὲ ȣ̃ παραγενομένȣ προσδεόμεθά τινος, οἷον τῆς δικαιοσύνης μὲν παραγενομένης πολλῶν προσδεόμεθα, τῆς δ' εὐδαιμονίας παραγενομένης ȣ̓δενὸς ἔτι προσδεόμεθα. τȣ̃το ἄρα ἐστὶ τὸ ἄριστον ἡμῖν ὃ ζητȣ̃μεν, ὅ ἐστι τέλος τέλειον· τὸ δὲ δὴ τέλειον τέλος ἀγαθόν ἐστι, καὶ τὸ τέλος τὸ ἀγαθόν. [μετὰ ταῦτα τοίνυν πῶς τὸ ἄριςον δεῖ σκοπεῖν; πότερον ȣ̈́τως ὡς καὶ αὐτȣ̃ συναριθμȣμένȣ; ἀλλ' ἄτοπον. τὸ γὰρ ἄριστον ἐπειδή ἐστι τέλος τέλειον, τὸ δὲ τέλειον τέλος ὡς ἁπλῶς εἰπεῖν ȣ̓θὲν ἂν ἄλλο δόξειεν εἶναι ἢ εὐδαιμονία, τὴν δ' εὐδαιμονίαν ἐκ πολλῶν ἀγαθῶν συντίθεμεν, ἐὰν δὴ τὸ βέλτιστον σκοπῶν καὶ αὐτὸ συναριθμῇς, αὐτὸ αὑτȣ̃ ἔσται βέλτιον· αὐτὸ γὰρ βέλτιςον ἔςαι. οἷον τὰ ὑγιεινὰ θεὶς καὶ τὴν ὑγίειαν, σκόπει τί τȣ́των πάντων βέλτιστον. βέλτιστον δ' ἐςὶν ὑγίεια. εἰ δὴ τȣ̃το πάντων βέλτιςον, καὶ αὐτὸ αὑτȣ̃ βέλτιςον· ἄτοπον δὴ συμβαίνει. ȣ̓ δὴ ἴσως ȣ̈́τω γε σκεπτέον τὸ βέλτιστον. ἀλλ' ἆρά γε ȣ̈́τω πως, οἷον χωρὶς αὑτȣ̃; ἢ καὶ τȣ̃το ἄτοπον; ἡ γὰρ εὐδαιμονία ἐςὶν ἔκ τινων ἀγαθῶν συγκειμένη· τὸ δ' ἐξ ὧν ἀγαθῶν σύγκειται, σκοπεῖν εἰ τȣ̃τ' ἐςὶ βέλτιςον, ἄτοπον· ȣ̓ γάρ ἐςιν ἄλλο τι χωρὶς τȣ́των ἡ εὐδαιμονία, ἀλλὰ ταῦτα. ἀλλ' ἆρά γε ȣ̓τωσί πως ἄν τις ὀρθῶς σκοποῖτο συγκρίνων τὸ ἄριςον; οἷον αὐτὴν τὴν εὐδαιμονίαν τὴν ἐκ τȣ́των τῶν ἀγαθῶν ȣ̓̃σαν συγκρίνων πρὸς ἄλλα ἃ μή ἐστιν ἐν αὐτῇ ἐνόντα, ȣ̈́τως τὸ ἄριςον σκοπῶν ὀρθῶς ἂν σκοποῖτο. ἀλλ' ȣ̓κ ἔςιν ἁπλȣ̃ν τὸ ἄριςον ὃ ζητȣ̃μεν νῦν. οἷον λέγοι ἄν τις εἶναι ἄριστον τὴν φρόνησιν ἁπάντων τῶν ἀγαθῶν καθ' ἓν συγκρινομένων. ἀλλ' ἴσως ȣ̓χ ȣ̈́τω ζητητέον ἐστὶ τὸ ἄριςον ἀγαθόν. τὸ γὰρ τέλειον ζητȣ̃μεν ἀγαθόν, ἡ δὲ φρόνησις μόνη ȣ̓̃σα ȣ̓ τέλειον· ȣ̓κ ἄρα τȣ̃το τὸ ἄριςον ὃ ζητȣ̃μεν, ȣ̓δὲ τὸ ȣ̈́τως ἄριςον.

Μετὰ τοίνυν τοῦτο ἔχει τἀγαθὰ καὶ ἄλλην δια
ἔςι γὰρ τῶν ἀγαθῶν τὰ μὲν ἐν ψυχῇ, οἷον αἱ ἀρετα
δ' ἐν τῷ σώματι, οἷον ὑγίεια κάλλος, τὰ δ' ἐκτός, π
ἀρχὴ, τιμὴ, ἢ εἴ τι ἄλλο τῶν τοιȣ́των. τȣ́των δὲ τὰ ἐν
βέλτιςα. τὰ δ' ἐν ψυχῇ διώριςαι ἀγαθὰ εἰς τρία, εἰς
νησιν, εἰς ἀρετὴν καὶ ἡδονήν. ἤδη τοίνυν τὸ μετὰ τει
καὶ λέγομεν πάντες καὶ δοκεῖ καὶ τέλος τῶν ἀγαθ
τελειότατον εἶναι, ἡ εὐδαιμονία, καὶ τοῦτο ταὐτό φ
εἶναι τῷ εὖ πράττειν καὶ εὖ ζῆν. τὸ δὲ τέλος ἐστὶ
ἁπλοῦν ἀλλὰ διττόν· ἐνίων μὲν γάρ ἐστι τὸ τέλος α
ἐνέργεια καὶ ἡ χρῆσις, οἷον τῆς ὄψεως· καὶ ἔςι γε ἡ
σις αἱρετωτέρα τῆς ἕξεως. τέλος δὲ ἡ χρῆσις· οὐδεὶ
ἂν βούλοιτο ἔχειν τὴν ὄψιν μὴ μέλλων ὁρᾶν ἀλλὰ
ὁμοίως δὲ καὶ ἐπ' ἀκοῆς καὶ τῶν τοιούτων. ὧν ἄρα
χρῆσις καὶ ἕξις ἐςίν, ἀεὶ βέλτιον καὶ αἱρετώτερον ἡ χ
τῆς ἕξεως· ἡ γὰρ χρῆσις καὶ ἡ ἐνέργεια τέλος, ἡ δ
τῆς χρήσεως ἕνεκεν. μετὰ τοῦτο τοίνυν τοῦτ' ἐάν τις σ
ἐπὶ τῶν ἐπιςημῶν πασῶν, ὄψεται ȣ̓κ ἄλλην μὲν ποι
οἰκίαν, ἄλλην δὲ σπουδαίαν οἰκίαν, ἀλλὰ τὴν οἰκοδομ
καὶ εὖ ποιητικὸς ὁ οἰκοδόμος, ἡ τούτȣ ἀρετὴ τȣ̃ αὐτȣ̃
ποιητική. ὁμοίως ἐπὶ τῶν ἄλλων ἁπάντων.

Μετὰ τοίνυν τȣ̃το ἐρῶμεν ὅτι οὐθενὶ ἄλλῳ ἢ ψ
ζῶμεν· ἐν ψυχῇ δ' ἐστὶν ἀρετή· τὸ αὐτό γέ τοί φα
τήν τε ψυχὴν ποιεῖν καὶ τὴν τῆς ψυχῆς ἀρετήν. ἀλλ
μὲν ἀρετὴ ἐν ἑκάςῳ τȣ̃το ποιεῖ ȣ̃ ἐςὶν ἀρετή, ἡ δὲ ψ
καὶ τἆλλα μέν, ψυχῇ δὲ ζῶμεν· διὰ τὴν τῆς ψυ
ἀρετὴν ἄρα εὖ ζήσομεν. τὸ δέ γε εὖ ζῆν καὶ εὖ πράτ
ȣ̓θὲν ἄλλο ἢ τὸ εὐδαιμονεῖν λέγομεν. τὸ ἄρα εὐδαιμ
καὶ ἡ εὐδαιμονία ἐν τῷ εὖ ζῆν ἐςίν, τὸ δ' εὖ ζῆν ἐ
κατὰ τὰς ἀρετὰς ζῆν. τȣ̃τ' ἄρ' ἐςὶ τέλος καὶ ἡ εὐδαιμον
καὶ τὸ ἄριςον. ἐν χρήσει τοίνυν τινὶ ἂν εἴη καὶ ἐνεργ
ἡ εὐδαιμονία. ὧν γὰρ ἦν ἕξις καὶ χρῆσις, ἡ χρῆσις
ἡ ἐνέργεια τέλος· τῆς δὲ ψυχῆς ἡ ἀρετὴ ἕξις ἐςίν.
δὲ ἡ ἐνέργεια καὶ ἡ χρῆσις αὐτῆς τῶν ἀρετῶν, ὥςε τ
ἂν εἴη ἡ ἐνέργεια καὶ ἡ χρῆσις αὐτῆς. ἡ εὐδαιμονία
ἂν εἴη ἐν τῷ κατὰ τὰς ἀρετὰς ζῆν. ἐπειδήπερ ȣ̓̃ν τὸ
ςον ἀγαθόν ἐςιν ἡ εὐδαιμονία, καὶ αὕτη τέλος ἐνεργ
ζῶντες ἂν κατὰ τὰς ἀρετὰς εὐδαίμονες ἂν εἴημεν

6. ἡ add M^b. ‖ 10. μὲν] μὲν μόνον K^b, om M^b. ‖ 14. τὸ post τέλος om K^b. ‖ 17. ὡς et 18. ἂν om M^b. ‖ 20. σ M^b. ‖ 21. βέλτιον M^b. ‖ 23. τȣ́των K^b. ‖ 24. γε ȣ̈́τω M^b. ‖ 25. γε] τόγε M^b. ‖ 27. an τούτων? ‖ 28. χωριςὸν ὑφ' ὧν ἡ M 29. ἀλλ' om K^bM^b. ‖ 32. ταύτῃ M^b. ‖ 34. τῶν om K^bM^b.

1. καὶ om K^b. ‖ 11. ὄψεως ἐςιν ἡ ὅρασις, καὶ M^b. ‖ 14. καὶ ante ἡ om M^b. malim abesse ἡ. ‖ 21. ποιητική] εὖ ποιητέον M τῶν ἄλλων τῶν λοιπῶν ἁπάντων M^b. ‖ 26. δὲ et διὰ et 28. λέγομεν. τὸ ἄρα εὐδαιμονεῖν om M^b. ‖ 29. εὖ post τῷ om K^b. ‖ 30. om K^bM^b. ‖ 34. αἱρετῶν K^b. ‖ 36. τὸ om K^b. ‖ 37. post τέλος M^b καὶ τέλειον τέλος.

a. 28 — There is no ὁρμὴ in the θρεπτικὴ ψυχή — therefore no ἐνέργεια.

ἔχοιμεν τὸ ἄριστον ἀγαθόν. ἐπεὶ δ' οὖν ἐστὶν ἡ εὐδαιμονία τέλειον ἀγαθὸν καὶ τέλος, οὐδὲ τοῦτο δεῖ λανθάνειν ὅτι καὶ ἐν τελείῳ ἔσται. οὐ γὰρ ἔσται ἐν παιδί (οὐ γάρ ἐστι παῖς εὐδαίμων) ἀλλ' ἐν ἀνδρί· οὗτος γὰρ τέλειος. οὐδ' ἐν χρόνῳ γε ἀτελεῖ, ἀλλ' ἐν τελείῳ. τέλειος δ' ἂν εἴη χρόνος, ὅσον ἄνθρωπος βιοῖ. καὶ γὰρ λέγεται ὀρθῶς παρὰ τοῖς πολλοῖς ὅτι δεῖ τὸν εὐδαίμονα ἐν τῷ μεγίστῳ χρόνῳ τοῦ βίου κρίνειν, ὡς δέον τὸ τέλειον εἶναι καὶ ἐν χρόνῳ τελείῳ καὶ ἐν ἀνθρώπῳ. ὅτι δὲ ἐνέργειά ἐστιν, ἴδοι ἄν τις καὶ ἐντεῦθεν. ἐν γὰρ τοῖς ὕπνοις, οἷον εἴ τις καθεύδοι διὰ βίου, τὸν τοιοῦτον οὐ πάνυ βουλόμεθα λέγειν εὐδαίμονα εἶναι· τὸ μὲν γὰρ ζῆν αὐτῷ ὑπάρχει, ἀλλὰ τὸ ζῆν αὐτῷ κατὰ τὰς ἀρετὰς οὐχ ὑπάρχει, ὃ ἦν κατὰ τὴν ἐνέργειαν. μετὰ τοῦτο τὸ μέλλον λέγεσθαι οὔτε λίαν δόξειεν ἂν οἰκεῖον εἶναι τούτων οὔτε μακρὰν ἀπέχον, οἷον ἐπειδήπερ ἐστιν, ὡς δοκεῖ, μόριόν τι τῆς ψυχῆς ᾧ τρεφόμεθα, ὃ καλοῦμεν θρεπτικόν· τοῦτο γὰρ εὔλογόν ἐστιν εἶναι· τοὺς γοῦν λίθους ὁρῶμεν ἀδυνάτους τρέφεσθαι ὄντας, ὥστε δῆλον ὅτι τῶν ἐμψύχων ἐστὶ τὸ τρέφεσθαι. εἰ δὲ τῶν ἐμψύχων, ἡ ψυχὴ ἂν εἴη αἰτία. τῆς δὲ ψυχῆς τούτων μὲν τῶν μορίων οὐθὲν αἴτιον ἂν εἴη τοῦ τρέφεσθαι, οἷον τὸ λογιστικὸν ἢ τὸ θυμικὸν ἢ τὸ ἐπιθυμητικόν, ἄλλο δέ τι παρὰ ταῦτα, ᾧ οὐθὲν ἔχομεν οἰκειότερον ὄνομα ἐπιθεῖναι ἢ θρεπτικόν. τί οὖν, ἄν τις εἴποι, πότερον καὶ τούτου τοῦ μορίου τῆς ψυχῆς ἐστὶν ἀρετή; εἰ γὰρ ἔστι, δῆλον ὅτι καὶ ταύτῃ δεήσει ἐνεργεῖν· τῆς γὰρ τελείας ἀρετῆς ἡ ἐνέργεια εὐδαιμονία. εἰ μὲν οὖν ἔστιν ἀρετὴ τούτου ἢ μή ἐστιν, ἄλλος λόγος· εἰ δ' ἄρ' ἐστιν, οὐκ ἔστι ταύτης ἐνέργεια. ὧν γὰρ μή ἐστιν ὁρμή, οὐδ' ἐνέργεια τούτων ἔσται. οὐκ ἔοικε δὲ εἶναι ὁρμὴ ἐν τῷ μορίῳ τούτῳ, ἀλλ' ὅμοιον ἔοικεν εἶναι τῷ πυρί· καὶ γὰρ ἐκεῖνο ὅ τι ἂν ἐμβάλῃς καταναλώσει, κἂν μὴ ἐμβάλῃς, οὐκ ἔχει ὁρμὴν πρὸς τὸ λαβεῖν. οὕτω καὶ τοῦτο τὸ μόριον τῆς ψυχῆς ἔχει· ἂν μὲν γὰρ ἐμβάλῃς τροφήν, τρέφει, ἂν δὲ μὴ ἐμβάλῃς τροφήν, οὐκ ἔχει ὁρμὴν τοῦ τρέφειν. διὸ οὐδὲ ἐνέργεια οὗ μηδὲ ὁρμή. ὥστ' οὐδὲν συνεργεῖ τὸ μόριον τοῦτο πρὸς τὴν εὐδαιμονίαν.

Μετὰ ταῦτα τοίνυν λεκτέον ἂν εἴη τί ἐστιν ἡ ἀρετή, ἐπείπερ ἡ ταύτης ἐνέργειά ἐστιν ἡ εὐδαιμονία. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν, ἐστὶν ἡ ἀρετὴ ἕξις ἡ βελτίστη· ἀλλ' ἴσως οὐχ ἱκανὸν οὕτως ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφέστερον διορίσαι δεῖ. 5 πρῶτον μὲν οὖν λεκτέον ὑπὲρ τῆς ψυχῆς ἐν ᾗ ἐγγίνεται, οὐ τί ἐστιν ἡ ψυχή (ὑπὲρ μὲν γὰρ τούτου ἄλλος λόγος), ἀλλ' ὡς τύπῳ διελέσθαι. ἔστι δ' ἡ ψυχή, ὥς φαμέν, εἰς δύο μέρη διῃρημένη, εἴς τε λόγον ἔχον καὶ ἄλογον. ἐν μὲν δὴ τῷ λόγον ἔχοντι ἐγγίνεται φρόνησις, ἀγχίνοια, σοφία, εὐμάθεια, μνήμη καὶ τὰ τοιαῦτα, ἐν δὲ τῷ ἀλόγῳ αὗται αἱ ἀρεταὶ λεγόμεναι, σωφροσύνη, δικαιοσύνη, ἀνδρία, ὅσαι ἄλλαι τοῦ ἤθους δοκοῦσιν ἐπαινεταὶ εἶναι. κατὰ γὰρ ταύτας ἐπαινετοὶ λεγόμεθα, κατὰ δὲ τὰς τοῦ τὸν λόγον ἔχοντος οὐδεὶς ἐπαινεῖται· οὔτε γὰρ ὅτι σοφός, οὐδεὶς ἐπαινεῖται, οὔτε ὅτι φρόνιμος, οὐδ' ὅλως κατά τι τῶν τοιούτων οὐθέν. οὐδὲ δὴ τὸ ἄλογον εἶναι, ᾗ ὑπηρετικόν ἐστι καὶ ὑπηρετεῖ τῷ λόγον ἔχοντι μορίῳ. ἔστι δ' ἡ ἀρετὴ ἡ ἠθικὴ ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς φθειρομένη. ὅτι δὲ ἡ ἔνδεια καὶ ἡ ὑπερβολὴ φθείρει, τοῦτ' ἰδεῖν ἔστιν ἐκ τῶν ἠθικῶν. δεῖ δ' ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι. εὐθέως γὰρ ἐπὶ γυμνασίων ἴδοι ἄν τις· πολλῶν γὰρ γινομένων φθείρεται ἡ ἰσχύς, ὀλίγων τε ὡσαύτως. ἐπί τε ποτῶν καὶ σιτίων ὡσαύτως· πολλῶν τε γὰρ δὴ γινομένων φθείρεται ἡ ὑγίεια, ὀλίγων τε ὡσαύτως, συμμέτρων δὲ γινομένων σῴζεται ἡ ἰσχὺς καὶ ἡ ὑγίεια. ὁμοίως δὲ τούτοις συμβαίνει καὶ ἐπὶ σωφροσύνης καὶ ἀνδρίας καὶ τῶν ἄλλων ἀρετῶν. ἐὰν μὲν γάρ τινα λίαν ποιήσῃς ἄφοβον, ὥστε μηδὲ τοὺς θεοὺς φοβεῖσθαι, οὐκ ἀνδρεῖος ἀλλὰ μαινόμενος, ἂν δὲ φοβούμενον πάντα, δειλός· ἀνδρεῖος ἄρα ἔσται οὔτε ὁ φοβούμενος πάντα οὔτε ὁ μηθέν. ταὔτ' ἄρα καὶ αὔξει καὶ φθείρει τὴν ἀρετήν. καὶ γὰρ οἱ λίαν φόβοι καὶ πάντες φθείρουσι, καὶ οἱ περὶ μηθὲν δὲ ὁμοίως. ἔστι δ' ἡ ἀνδρία περὶ φόβους, ὥστε οἱ μέτριοι φόβοι αὔξουσι τὴν ἀνδρίαν. ὑπὸ τῶν αὐτῶν ἄρα καὶ αὔξεται καὶ φθείρεται ἡ ἀνδρία· ὑπὸ φόβων γὰρ τοῦτο πάσχουσιν. ὁμοίως δὲ καὶ αἱ ἄλλαι ἀρεταί.

6 Ἔτι οὐ μόνον τοῖς τοιούτοις τὴν ἀρετὴν ἀφορίσειεν ἄν τις, ἀλλὰ καὶ λύπῃ καὶ ἡδονῇ· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα, ὅλως τε οὐκ ἔστι λαβεῖν ἀρετὴν καὶ κακίαν ἄνευ λύπης καὶ ἡδονῆς. ἔστιν οὖν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας· ἡ δ' ἠθικὴ ἀρετὴ ἐντεῦθεν ἔχει τὰς ἐπωνυμίας, εἰ δεῖ παρὰ γράμμα λέγοντα τὴν ἀλήθειαν ὡς ἔχει σκο-

10. καθεύδει M^b. ‖ 11. λέγειν] λέγειν τὸν τοιοῦτον K^b. ‖ γὰρ] δὴ K^b. ‖ 14. οὔτε λίαν] οὔτ' ἂν λίαν K^b. ‖ 21. λογικὸν M^b. ‖ 25. ταύτης M^b. ‖ 30. ἐκείνῳ K^b. ‖ 32 et 33. ἐμβάλλῃς M^b. ‖ 34. οὐδὲν] οὐδὲ M^b. ‖ 36. τίς K^b. ‖ 39. οὕτως] οὕτω τοῦτο M^b. ‖ σαφέστερον K^b.

4. τε] τε τὸ M^b. ‖ καὶ] καὶ τὸ M^b. ‖ 6. εὐμαθία K^b. ‖ 8. δοκοῦσι τοῦ ἤθους M^b. ‖ 9. τὰς τὸν λόγον ἐχούσας M^b. ‖ 12. οὐδὲ δὴ τὸ] ἐν δὲ δὴ τῷ M^b. ‖ ὑπηρετόν ἐστι M^b, omissis καὶ ὑπηρετεῖ. ‖ 13. τῷ] τῷ τὸν K^b. ‖ ἡ alterum om K^b. ‖ 20. ὑγίεια] ἰσχύς M^b. ‖ 22. καὶ ἐπὶ ἀνδρίας K^b. ‖ 27. οἱ] καὶ οἱ M^b. ‖ 31. δὲ om M^b. ‖ 38. τὰς ἐπωνυμίας ἔχει K^b. ‖ 39. λέγοντι M^b.

πεῖν· δεῖ δ' ἴσως. τὸ γὰρ ἦθος ἀπὸ τοῦ ἔθους ἔχει τὴν ἐπωνυμίαν· ἠθικὴ γὰρ καλεῖται διὰ τὸ ἐθίζεσθαι. ᾧ καὶ δῆλον ὅτι οὐδεμία ἡμῖν τῶν ἀρετῶν τῶν τοῦ ἀλόγου μέρους φύσει ἐγγίνεται· οὐθὲν γὰρ τῶν ὄντων φύσει ἔθει ἄλλως γίνεται. οἷον ὁ λίθος καὶ ὅλως τὰ βαρέα πέφυκε κάτω φέρεσθαι· ἄν τις οὖν ἄνω ῥίπτῃ πολλάκις καὶ ἐθίζῃ ἄνω φέρεσθαι, ὅμως οὐκ ἄν ποτ' ἄνω ἐνεχθείη, ἀλλ' ἀεὶ κάτω. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.

7 Μετὰ τοίνυν τοῦτο δεῖ βουλομένους εἰπεῖν τὸ τί ἐστιν ἡ ἀρετή, εἰδῆσαι τίνα ἐστὶ τὰ ἐν τῇ ψυχῇ γινόμενα. ἔστι δ' ἃ γίνεται ταῦτα, πάθη, δυνάμεις, ἕξεις· ὥστε δῆλον ὅτι τούτων ἄν τι εἴη ἀρετή. πάθη μὲν οὖν ἐστὶν ὀργὴ φόβος μῖσος πόθος ζῆλος ἔλεος, τὰ τοιαῦτα, οἷς εἴωθε παρακολουθεῖν λύπη καὶ ἡδονή· δυνάμεις δὲ καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς δυνατοί ἐσμεν ὀργισθῆναι λυπηθῆναι ἐλεῆσαι, τὰ τοιαῦτα. ἕξεις δ' εἰσὶ καθ' ἃς πρὸς ταῦτα ἔχομεν εὖ ἢ κακῶς, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργήν, εἰ δ' ὅλως μὴ ὀργιζόμεθα ἐφ' οἷς δεῖ, καὶ οὕτω κακῶς ἔχομεν πρὸς ὀργήν. τὸ ἄρα μέσως ἔχειν τὸ μήτε λίαν ὑπεραλγεῖν μήτε παντελῶς ἀναλγήτως ἔχειν. ὅταν οὖν οὕτως ἔχωμεν, εὖ διακείμεθα. ὁμοίως δὲ καὶ πρὸς τἆλλα τὰ ὅμοια. τὸ γὰρ εὐόργητον καὶ τὸ πρᾶον ἐν μεσότητί ἐστιν ὀργῆς καὶ ἀναλγησίας τῆς πρὸς ὀργήν. ὁμοίως καὶ ἐπ' ἀλαζονείας καὶ εἰρωνείας· τὸ μὲν γὰρ πλείω προσποιεῖσθαι τῶν ὑπαρχόντων ἔχειν ἀλαζονείας, τὸ δ' ἐλάττω εἰρωνείας· ἡ ἄρα
8 μεσότης ἡ τούτων ἡ ἀλήθειά ἐστιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πάντων· τοῦτο γάρ ἐστι τῆς ἕξεως, τὸ εὖ ἢ κακῶς πρὸς ταῦτα ἔχειν, τὸ δ' εὖ ἔχειν πρὸς ταῦτ' ἐστὶ τὸ μήτε πρὸς τὴν ὑπερβολὴν ἔχειν μήτε πρὸς τὴν ἔνδειαν· πρὸς μεσότητα ἄρα τῶν τοιούτων καθ' ἃ ἐπαινετοὶ λεγόμεθα ἡ ἕξις ἐστὶ τοῦ εὖ ἔχειν, τοῦ δὲ κακῶς πρὸς ὑπερβολὴν καὶ ἔνδειαν. ἐπεὶ τοίνυν ἐστὶν ἡ ἀρετὴ τῶν παθῶν τούτων μεσότης, τὰ δὲ πάθη ἤτοι λῦπαί εἰσιν ἢ ἡδοναὶ ἢ οὐκ ἄνευ λύπης ἢ ἡδονῆς, ἡ ἄρα ἀρετή ἐστι περὶ λύπας καὶ ἡδονάς, καὶ ἐντεῦθέν ἐστι δῆλον. ἔστι δὲ καὶ ἄλλα πάθη, ὡς δόξειεν ἄν τινι, ἐφ' ὧν ἡ κακία οὐκ ἔστιν ἐν ὑπερβολῇ καὶ ἐλλείψει τινί, οἷον μοιχεία καὶ ὁ μοιχός· οὐκ ἔστιν οὗτος ὁ μᾶλλον τὰς ἐλευθέρας διαφθείρων. ἀλλὰ καὶ τοῦτο, καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστιν, ὃ περιέχεται ἡδονῇ τῇ κατ' ἀκολασίαν, ἢ καὶ ὃ ἐν ἐλλείψει καὶ ὃ ἐν ὑπερβολῇ, τὸ ψεκτὸν ἔχει.

Μετὰ τοίνυν τοῦτο ἀναγκαῖόν ἐστιν ἴσως ῥηθῆναι τί τῇ 9
μεσότητι ἀντίκειται, πότερον ἡ ὑπερβολὴ ἢ ἡ ἔνδεια. ἐνίαις μὲν γὰρ μεσότησιν ἔνδεια ἐναντίον, ἐνίαις δὲ ὑπερβολή, οἷον ἀνδρίᾳ μὲν οὐχ ἡ θρασύτης ὑπερβολὴ οὖσα, ἀλλ' ἡ δειλία ἔνδεια οὖσα, τῇ δὲ σωφροσύνῃ μεσότητι οὔσῃ ἀκολασίας καὶ ἀναισθησίας τῆς περὶ ἡδονὰς οὐ δοκεῖ ἐναντίον εἶναι ἡ ἀναισθησία ἔνδεια οὖσα, ἀλλ' ἡ ἀκολασία οὖσα ὑπερβολή. ἔστι δ' ἀμφότερα ἐναντία τῇ μεσότητι, καὶ ἡ ὑπερβολὴ καὶ ἡ ἔνδεια· ἡ γὰρ μεσότης τῆς μὲν ὑπερβολῆς ἐνδεέστερον, τῆς δ' ἐνδείας ὑπερβάλλον. διὸ καὶ οἱ μὲν ἄσωτοι τοὺς ἐλευθερίους ἀνελευθέρους φασὶν εἶναι, οἱ δ' ἀνελεύθεροι τοὺς ἐλευθερίους ἀσώτους, καὶ οἱ μὲν θρασεῖς καὶ προπετεῖς τοὺς ἀνδρείους καλοῦσι δειλούς, οἱ δὲ δειλοὶ τοὺς ἀνδρείους προπετεῖς καὶ μαινομένους. διὰ δύο δὴ αἰτίας δόξαιμεν ἂν ἀντιτιθέναι τῇ μεσότητι τὴν ὑπερβολὴν καὶ τὴν ἔνδειαν. ἢ γὰρ ἐξ αὐτοῦ τοῦ πράγματος σκοποῦσι πότερον ἐγγύτερόν ἐστι τοῦ μέσου ἢ πορρώτερον, οἷον ἐλευθεριότητι πότερον ἀσωτία ἢ ἀνελευθερία πορρώτερον. μᾶλλον γὰρ ἂν δόξειεν ἡ ἐλευθεριότης ἀσωτία ἢ ἡ ἀνελευθερία. πορρώτερον ἄρα ἡ ἀνελευθερία. τὰ δὲ πλεῖον ἀπέχοντα τοῦ μέσου ἐναντιώτερα δόξειεν ἂν εἶναι. ἐκ μὲν ἄρα αὐτοῦ τοῦ πράγματος ἡ ἔνδεια ἐναντιώτερον φαίνεται. ἔστι δὲ καὶ ἄλλως, οἷον πρὸς ἃ μᾶλλον πεφύκαμεν, ταῦτα μᾶλλον ἐναντία τῷ μέσῳ. οἷον πεφύκαμεν μᾶλλον ἀκόλαστοι ὄντες ἢ κόσμιοι· ἡ οὖν ἐπίδοσις γίνεται μᾶλλον πρὸς ἃ πεφύκαμεν· πρὸς ἃ δὲ μᾶλλον ἐπιδίδομεν, ταῦτα καὶ μᾶλλον ἐναντία. ἐπιδίδομεν δὲ πρὸς ἀκολασίαν μᾶλλον ἢ πρὸς κοσμιότητα, ὥστ' ἐναντιώτερον ἂν εἴη ὑπερβολὴ μεσότητος· ἡ γὰρ ἀκολασία ὑπερβολὴ σωφροσύνης. ὅ τι μὲν οὖν ἐστὶν ἡ ἀρετή, ἐπέσκεπται· μεσότης γὰρ δοκεῖ τις εἶναι τῶν παθῶν, ὥστε δέοι ἂν τὸν μέλλοντα κατὰ τὸ ἦθος εὐδοκιμήσειν τὴν μεσότητα τῶν παθῶν ἑκάστου διατηρεῖν. διὸ καὶ ἔργον ἐστὶ σπουδαῖον εἶναι. ἐν ἑκάστῳ γὰρ τὸ μέσον λαβεῖν ἔργον, οἷον κύκλον μὲν γράψαι παντός ἐστι, τὸ δὲ μέσον τὸ ἐν αὐτῷ ἤδη λαβεῖν χαλεπόν. ὁμοίως δὲ καὶ ὀργισθῆ-

3. τῶν post ἀρετῶν om M^b. ‖ 6. ἂν] εἰ M^b. ἂν — 7. φέρεσθαι om pr K^b, οὖν om rc K^b. ‖ 6. ἐθίζει M^b. ‖ 8. καὶ et 10. τῇ om K^b. ‖ 12. τις K^bM^b. ‖ 13. ζῆλος om M^b. ‖ 16. τὰ] καὶ τὰ M^b. ‖ 20. ἔχον K^b. ‖ 22. καὶ et 24. καὶ ante ἐπ' et 32. ἐστὶ τοῦ εὖ ἔχειν om K^b. ‖ 34. ἡδονὴ K^b. ‖ 38. οἷον ἡ μοιχεία M^b.

3. ὃ ἐν ante ἐλλείψει om K^b. ‖ 4. ἐστιν om M^b. ‖ 7. ἡ om M^b. ‖ ὑπερβολὴ θρασύτης K^bM^b. ‖ 8. μεσότητι οὔσῃ om K^b. ‖ 14. ἀνελευθερίους K^bM^b. ‖ ἀνελευθέριοι M^b. ‖ 17. δὴ δύο αἰτίας δόξοιμεν ἀντιτιθέναι K^b. ‖ 20. ἐστι] εἶναι K^b. ‖ ἢ — 21. γὰρ] ἐγγύτερον ἢ K^b. ‖ 21 et 22. ἀσωτεία M^b. ‖ 22. ἡ utrumque om K^b. ‖ 23. πλείω M^b. ‖ 27. ἢ κόσμιοι εἶναι K^b. ‖ 34. μέλλοντα] μεσότητι M^b. ‖ 38. τούτω M^b. ‖ ἤδη om M^b. ‖ καὶ om K^b.

σπάνιον τὸ σπȣδαῖον.

ιὲν ῥᾴδιον, καὶ τὸ ἐναντίον δὲ τούτῳ, τὸ δὲ μέσως χαλεπόν. ἁπλῶς δὲ ἐν ἑκάςῳ τῶν παθῶν ἔςιν ἰδεῖν ὸ ἐμπεριέχον τὸ μέσον ῥᾴδιόν ἐςι, τὸ δὲ μέσον χα- , καθ' ὃ ἐπαινȣ́μεθα· διὸ καὶ σπάνιον τὸ σπȣδαῖον.

Ἐπεὶ δ' οὖν ὑπὲρ ἀρετῆς εἴρηται, μετὰ τȣ̃τ' ἂν εἴη έον πότερον δυνατὴ παραγενέσθαι ἢ ȣ̓̎, ἀλλ' ὥσπερ άτης ἔφη, ȣ̓κ ἐφ' ἡμῖν γενέσθαι τὸ σπȣδαίȣς εἶναι ἢ ους. εἰ γάρ τις, φησίν, ἐρωτήσειεν ὁντιναȣ̃ν πότερον ύλοιτο δίκαιος εἶναι ἢ ἄδικος, οὐθεὶς ἂν ἕλοιτο τὴν ιν. ὁμοίως δ' ἐπ' ἀνδρείας καὶ δειλίας καὶ τῶν ἄλ- ἀρετῶν ἀεὶ ὡσαύτως. δῆλον δ' ὡς εἰ φαῦλοί τινές ȣ̓κ ἂν ἑκόντες εἴησαν φαῦλοι· ὥστε δῆλον ὅτι ȣ̓δὲ ῖοι. ὁ δὴ τοιȣ̃τος λόγος ȣ̓κ ἔςιν ἀληθής. διὰ τί γὰρ οθέτης ȣ̓κ ἐᾷ τὰ φαῦλα πράττειν, τὰ δὲ καλὰ καὶ ῖα κελεύει; καὶ ἐπὶ μὲν τοῖς φαύλοις ζημίαν τάτ- ὰν πράττῃ, ἐπὶ δὲ τοῖς καλοῖς, ἂν μὴ πράττῃ; καί- τοπος ἂν εἴη ταῦτα νομοθετῶν ἃ μὴ ἐφ' ἡμῖν ἐστὶ ειν. ἀλλ' ὡς ἔοικεν, ἐφ' ἡμῖν τὸ σπȣδαίοις εἶναι καὶ ύλοις. ἔτι δὲ μαρτυρȣ̃σιν οἵ τ' ἔπαινοι καὶ οἱ ψόγοι ενοι· ἐπὶ μὲν γὰρ τῇ ἀρετῇ ἔπαινος, ἐπὶ δὲ τῇ κα- λόγος, ἔπαινος δὲ καὶ ψόγος ȣ̓κ ἐπὶ τοῖς ἀκουσίοις, δῆλον ὅτι ὡσαύτως ἐφ' ἡμῖν καὶ τὰ σπουδαῖά ἐστι ειν καὶ τὰ φαῦλα. ἔλεγον δὲ καὶ τοιαύτην τινὰ πα- ήν, βȣλόμενοι δεικνύναι ὅτι ȣ̓χ ἑκȣ́σιον. διὰ τί γάρ, , ὅταν νοσῶμεν ἢ αἰσχροὶ ὦμεν, οὐδεὶς ψέγει τοὺς ς; τὸ δ' ȣ̓κ ἀληθές· ψέγομεν γὰρ καὶ τȣ̀ς τοιȣ́τους, αὐτȣ̀ς οἰηθῶμεν αἰτίους εἶναι τοῦ νοσεῖν ἢ τȣ̃ κακῶς τὸ σῶμα, ὡς ὂν καὶ ἐνταῦθα τὸ ἑκȣ́σιον. ἔοικεν ȣ̓̃ν κατ' ἀρετὴν καὶ κακίαν εἶναι τὸ ἑκȣ́σιον. ἔτι δ' ἂν ςτο ἐναργέςερον καὶ ἐντεῦθεν ἴδοι. πᾶσα γὰρ φύσις τική ἐςιν ȣ̓σίας τοιαύτης οἵα ἐςίν, οἷον τὰ φυτὰ καὶ ῷα· ἀμφότερα γὰρ γεννητικά. γεννητικὰ δὲ ἐκ τῶν , οἷον τὸ δένδρον ἐκ τοῦ σπέρματος· αὕτη γάρ τις τὸ δὲ μετὰ τὰς ἀρχὰς οὕτως ἔχει· ὡς γὰρ ἂν αἱ ἀρχαί, ȣ̓̃τως καὶ τὰ ἐκ τῶν ἀρχῶν ἔχει. ἐναρ- ον δ' ἐςι κατιδεῖν τȣ̃το ἐν τοῖς κατὰ γεωμετρίαν· καὶ κεῖ ἐπειδή τινες λαμβάνονται ἀρχαί, ὡς ἂν αἱ ἀρ- χωσιν, ȣ̓̃τω καὶ τὰ μετὰ τὰς ἀρχάς, οἷον εἰ τὸ τρί- δυσὶν ὀρθαῖς ἴσας ἔχει, τὸ δὲ τετράγωνον τέτταρσιν, ὡς ἂν μεταβάλλῃ τὸ τρίγωνον, ȣ̓̃τω καὶ τὸ τετράγωνον συμμεταβάλλει· ἀντιςρέφει γάρ· καὶ ἐὰν τὸ τετράγωνον μὴ ἔχῃ τέτταρσιν ὀρθαῖς ἴσας, ȣ̓δὲ τὸ τρίγωνον ἕξει δυσὶν ὀρθαῖς ἴσας. ȣ̓̃τω τοίνυν καὶ ὁμοίως τȣ́τοις καὶ ἐπ' ἀνθρώπȣ. 11
ἐπειδὴ γὰρ γεννητικόν ἐςιν ἄνθρωπος ȣ̓σίας, ἔκ τινων ἀρχῶν καὶ τῶν πράξεων ὧν πράττει ἄνθρωπος γεννητικόν ἐστιν. τί γὰρ ἂν ἄλλο; ȣ̓̃τε γὰρ ἀψύχων ȣ̓θὲν λέγομεν πράττειν, ȣ̓̃τε τῶν ἐμψύχων τῶν ἄλλων ἔξω ἀνθρώπων. δῆλον ȣ̓̃ν ὅτι ὁ ἄνθρωπος τῶν πράξεών ἐςι γεννητικός. ἐπεὶ ȣ̓̃ν ὁρῶμεν μεταβαλλȣ́σας τὰς πράξεις καὶ οὐδέποτε τὰ αὐτὰ πράττομεν, εἰσὶ δὲ αἱ πράξεις γεγενημέναι ἔκ τινων ἀρχῶν, δῆλον ὅτι, ἐπειδὴ αἱ πράξεις μεταβάλλȣσιν, καὶ αἱ ἀρχαὶ τῶν πράξεων, ἀφ' ὧν εἰσί, μεταβάλλȣσιν, ὥσπερ ἔφαμεν παραβάλλοντες ἐπὶ τῶν ἐν γεωμετρίᾳ. ἀρχὴ δ' ἐςὶ πράξεως καὶ σπȣδαίας καὶ φαύλης προαίρεσις καὶ βȣ́λησις καὶ τὸ κατὰ λόγον πᾶν. δῆλον τοίνυν ὅτι καὶ αὗται μεταβάλλȣσιν· μεταβάλλομεν γὰρ καὶ ταῖς πράξεσιν ἑκόντες, ὥςε καὶ ἡ ἀρχὴ καὶ ἡ προαίρεσις· μεταβάλλει γὰρ ἑκȣσίως. ὥςε δῆλον ὅτι ἐφ' ἡμῖν ἂν εἴη καὶ σπȣδαίοις εἶναι καὶ φαύλοις. ἴσως ȣ̓̃ν λέγοι ἄν τις, ἐπειδήπερ ἐν ἐμοί ἐςι τὸ δικαίῳ εἶναι καὶ σπȣδαίῳ, ἐὰν βȣ́λωμαι, ἔσομαι πάντων σπȣδαιότατος. ȣ̓ δὴ δυνατὸν τȣ̃το. διὰ τί; ὅτι ȣ̓δ' ἐπὶ τȣ̃ σώματος γίγνεται τȣ̃το. ȣ̓ γὰρ ἄν τις βȣ́ληται ἐπιμελεῖσθαι τȣ̃ σώματος, καὶ δὴ πάντων ἄριςον ἕξει τὸ σῶμα. δεῖ γὰρ μὴ μόνον τὴν ἐπιμέλειαν ὑπάρχειν, ἀλλὰ καὶ τῇ φύσει γίνεσθαι τὸ σῶμα καλὸν κἀγαθόν. βέλτιον μὲν ȣ̓̃ν ἕξει τὸ σῶμα, ἄριςα μέντοι πάντων ȣ̓̎. ὁμοίως δὲ δεῖ ὑπολαμβάνειν καὶ ἐπὶ ψυχῆς· οὐ γὰρ ἔςαι ὁ προαιρȣ́μενος εἶναι σπȣδαιότατος, ἂν μὴ καὶ ἡ φύσις ὑπάρξῃ, βελτίων μέντοι ἔςαι.

12 Ἐπεὶ οὖν φαίνεται ἐφ' ἡμῖν ὂν τὸ σπουδαῖον εἶναι, ἀναγκαῖον τὸ μετὰ ταῦτα εἰπεῖν ὑπὲρ ἑκȣσίȣ, τί ἐστι τὸ ἑκȣ́σιον· τȣ̃το γάρ ἐςι τὸ κυριώτατον πρὸς τὴν ἀρετήν, τὸ ἑκȣ́σιον. ἑκȣ́σιον δὲ ἁπλῶς μὲν ȣ̓̃τως ῥηθῆναί ἐςιν ὃ πράττομεν μὴ ἀναγκαζόμενοι· ἀλλ' ἴσως σαφέστερον λεκτέον ἐςὶν ὑπὲρ αὐτȣ̃. ἔςιν ȣ̓̃ν καθ' ὃ πράττομεν ὄρεξις, ὀρέξεως δ' ἐστὶν εἴδη τρία, ἐπιθυμία θυμὸς βȣ́λησις. πρῶτον μὲν ȣ̓̃ν τὴν κατ' ἐπιθυμίαν πρᾶξιν ἐπισκεπτέον, πότερον ἑκȣ́σιός ἐςιν ἢ ἀκȣ́σιος. τὸ μὲν ȣ̓̃ν ἀκȣ́σιον ȣ̓κ ἂν δόξειεν. διὰ τί

ἰδεῖν ἔςιν M^b. ‖ 3. περιέχον M^b. ‖ 11. ἀεὶ] εἴη M^b. ‖ δ' om K^b. ‖ 17. μηδὲ K^b. ‖ 19. οἱ et 21. ȣ̓κ om M^b. ‖ 22. ὡσαύτως] ως K^b. ‖ 25. φησὶν M^b. ‖ 26. τὸ] τοῦτο M^b. ‖ 27. αὐτȣ̀ς om M^b. ‖ 28. ȣ̓̃ν ἐν τῷ] δὲ καὶ τὸ K^b. ‖ 35. ἐνεργέςερον K^b.
ὡς ἂν] καὶ ἐὰν K^b. ‖ μεταβάλῃ K^b. ‖ 2. μεταβάλλει M^b. ‖ 3. μὴ ante 2. τὸ M^b. ‖ 4. ἀνθρώπων M^b. ‖ 6. τῶν om M^b. ‖ ἄλλων] ἄλλο K^b. ‖ 9. ὁ om K^b. ‖ 18. καὶ post ἀρχὴ om M^b. ‖ 19. ὅτι καὶ ἐφ' K^b. ‖ 27 et 30. μέντοι] δὲ M^b. ‖ 31. M^b. ‖ 32 et 33. τὸ post ἐστι om M^b. ‖ 37. πρότερον M^b. ‖ 38. ἑκȣ́σιόν ἐςιν ἢ ἀκȣ́σιον M^b. ‖ 39. τὸ] οἷον τὸ K^b. τὸ μὲν ȣ̓̃ν om M^b.

καὶ πόθεν; ὅτι ὅσα μὴ ἑκόντες πράττομεν, ἀναγκαζόμενοι πράττομεν, ἐπὶ δὲ τοῖς ἐξ ἀνάγκης πραττομένοις πᾶσιν ἕπεται λύπη· τοῖς δὲ δι' ἐπιθυμίαν πραττομένοις ἡδονὴ ἀκολουθεῖ, ὥστε οὑτωσί γε οὐκ ἂν εἴη τὰ δι' ἐπιθυμίαν πραττόμενα ἀκούσια, ἀλλ' ἑκούσια. ἀλλὰ πάλιν ἄλλος λόγος τις τούτῳ ἐναντιοῦται, ὁ ἐπὶ τῇ ἀκρασίᾳ. οὐθεὶς γάρ, φησί, πράττει ἑκὼν τὰ κακά, εἰδὼς ὅτι κακά ἐστιν· ἀλλὰ μήν, φησίν, ὅ γε ἀκρατὴς εἰδὼς ὅτι ταῦτα φαῦλά ἐστιν ὅμως πράττει, καὶ κατ' ἐπιθυμίαν γε πράττει· οὐκ ἄρα ἑκών· ἀναγκαζόμενος ἄρα. ἐνταῦθα πάλιν ὁ αὐτὸς λόγος ἀπαντήσεται. καὶ γὰρ εἰ κατ' ἐπιθυμίαν, οὐκ ἐξ ἀνάγκης· τῇ γὰρ ἐπιθυμίᾳ ἡδονὴ ἀκολουθεῖ, τὰ δὲ δι' ἡδονὴν οὐκ ἐξ ἀνάγκης. καὶ ἄλλως τοῦτ' ἂν γένοιτο δῆλον, ὅτι ὁ ἀκρατὴς ἑκὼν πράττει· οἱ μὲν γὰρ ἀδικοῦντες ἑκόντες ἀδικοῦσιν, οἱ δὲ ἀκρατεῖς ἄδικοι καὶ ἀδικοῦσιν, ὥστε ὁ ἀκρατὴς ἑκὼν
13 ἂν πράττοι τὰ κατὰ τὴν ἀκρασίαν. ἀλλὰ πάλιν ἄλλος λόγος ἐναντιοῦται, ὅς φησιν οὐχ ἑκούσιον εἶναι. ὁ γὰρ ἐγκρατὴς ἑκὼν πράττει τὰ κατὰ τὴν ἐγκράτειαν· ἐπαινεῖται γάρ, ἐπαινοῦνται δὲ ἐπὶ τοῖς ἑκουσίοις. εἰ δ' ἐστὶ τὸ κατὰ τὴν ἐπιθυμίαν ἑκούσιον, τὸ παρὰ τὴν ἐπιθυμίαν ἀκούσιον· ὁ δ' ἐγκρατὴς παρὰ τὴν ἐπιθυμίαν πράττει, ὥστε ὁ ἐγκρατὴς οὐχ ἑκὼν ἂν εἴη ἐγκρατής. ἀλλ' οὐ δοκεῖ· οὐδ' ἄρα τὸ κατ' ἐπιθυμίαν ἑκούσιόν ἐστιν. πάλιν ἐπὶ τῶν κατὰ τὸν θυμὸν ὁμοίως· οἱ γὰρ αὐτοὶ λόγοι οἵπερ καὶ κατὰ τῆς ἐπιθυμίας ἁρμόττουσιν, ὥστε τὴν ἀπορίαν ποιήσουσιν· ἔστι γὰρ ἀκρατῆ καὶ ἐγκρατῆ ὀργῆς εἶναι. ἔτι λοιπή ἐστι τῶν ὀρέξεων ὧν διειλόμεθα ἡ βούλησις, πρὸς τὸ ἐπισκέπτεσθαι εἰ ἐστὶν ἑκούσιον. ἀλλὰ μὴν οἵ γε ἀκρατεῖς ἐφ' ἃ ὁρμῶσι, ταῦτα τέως βούλονται· πράττουσιν ἄρα οἱ ἀκρατεῖς τὰ φαῦλα βουλόμενοι. ἑκὼν δέ γε οὐθεὶς τὰ κακὰ εἰδὼς πράττει ὅτι κακά ἐστιν· ὁ δ' ἀκρατής, εἰδὼς τὰ κακὰ ὅτι κακά, πράττει βουλόμενος. οὐκ ἄρα ἑκών, οὐδ' ἡ βούλησις ἑκούσιον ἄρα ἐστίν. ἀλλ' οὗτος ὁ λόγος ἀναιρεῖ ἀκρασίαν καὶ τὸν ἀκρατῆ. εἰ γὰρ μὴ ἑκών, οὐκ ἔστι ψεκτός· ἀλλ' ἔστιν ὁ ἀκρατὴς ψεκτός· ἑκὼν ἄρα· ἡ ἄρα βούλησις ἑκούσιον. ἐπεὶ οὖν λόγοι τινὲς ἐναντίοι φαίνονται, σαφέστερον λεκτέον ὑπὲρ τοῦ ἑκουσίου.

14 Πρότερον τοίνυν ἂν εἴη λεκτέον ὑπὲρ βίας καὶ ὑπὲρ ἀνάγκης. ἡ μὲν γὰρ βία ἐστὶ καὶ ἐν τοῖς ἀψύχοις. στοις γάρ ἐστι τῶν ἀψύχων οἰκεῖος τόπος ἀποδεδομέ μὲν πυρὶ ὁ ἄνω, τῇ δὲ γῇ ὁ κάτω· ἔστι μέντοι γι σασθαι καὶ τὸν λίθον ἄνω φέρεσθαι καὶ τὸ πῦρ ἔστι δὲ καὶ τὸ ζῷον βιάσασθαι, οἷον ἵππον ἐπ' ὀρθὸν ἀντιλαμβανόμενον ἀποστρέψαι. ὅσοις μὲν οὖν ἐστὶν ἐ αἰτία τοῦ παρὰ φύσιν τι ἢ παρ' ἃ βούλονται ποιεῖν, βιαζομένους ἃ ἂν ποιῶσι ποιεῖν. ἐν οἷς δ' ἐν αὐτο ἡ αἰτία, οὐκέτι τούτους βιάζεσθαι ἐροῦμεν. εἰ δὲ μή, ὁ τῆς ἀντερεῖ, ὁ φάσκων φαῦλος εἶναι· βιαζόμενος γὰ σει ὑπὸ τῆς ἐπιθυμίας τὰ φαῦλα πράττειν. τοῦ οὖν οὗτος ἡμῖν ἔστω ὁ ὁρισμός, ὧν ἐκτός ἐστιν ἡ αἰτία ι βιάζονται πράττειν. ὧν δ' ἐντὸς καὶ ἐν αὐτοῖς ἡ οὐ βία.

Πάλιν δ' ὑπὲρ ἀνάγκης καὶ τοῦ ἀναγκαίου λ τὸ δ' ἀναγκαῖον οὐ πάντως οὐδ' ἐν παντὶ λεκτέον ἐστ ὅσα ἡδονῆς ἕνεκεν πράττομεν. εἰ γάρ τις λέγοι ὅτι ι κάσθην τὴν τοῦ φίλου γυναῖκα διαφθεῖραι ὑπὸ τῆς ἡ ἄτοπος ἂν εἴη. τὸ γὰρ ἀναγκαῖον οὐκ ἐν παντί, ἀλλ ἐν τοῖς ἐκτός, οἷον ὃς ἂν καταβλάπτηται ἀντικαταλ τόμενός τι ἄλλο μεῖζον ἀναγκαζόμενος ὑπὸ τῶν πρα των. οἷον ἠναγκάσθην συντονώτερον βαδίσαι εἰς ἀγρὸ γὰρ μή, ἀπολωλότ' ἂν εὗρον τὰ ἐν ἀγρῷ. ἐν τοῖς τ τοις ἄρα τὸ ἀναγκαῖον.

Ἐπεὶ δὲ τὸ ἑκούσιον ἐν οὐδεμιᾷ ὁρμῇ ἐστίν, λοιπὸ εἴη τὸ ἐκ διανοίας γιγνόμενον. τὸ γὰρ ἀκούσιόν ἐστι τ κατ' ἀνάγκην καὶ κατὰ βίαν γιγνόμενον, καὶ τρίτον ἐ μετὰ διανοίας γίγνεται. δῆλον δ' ἐστὶ τοῦτο ἐκ τῶν γι μένων· ὅταν γάρ τις πατάξῃ τινὰ ἢ ἀποκτείνῃ ἢ τι τοιούτων ποιήσῃ μηδὲν προδιανοηθείς, ἄκοντά φαμεν π σαι, ὡς τοῦ ἑκουσίου ὄντος ἐν τῷ διανοηθῆναι. οἷον φασί τ τινα γυναῖκα φίλτρον τινὶ δοῦναι πιεῖν, εἶτα τὸν ἄνθρ ἀποθανεῖν ὑπὸ τοῦ φίλτρου, τὴν δ' ἄνθρωπον ἐν Ἀρείῳ π ἀποφυγεῖν· οὗ παροῦσαν δι' οὐδὲν ἄλλο ἀπέλυσαν ἢ οὐκ ἐκ προνοίας. ἔδωκε μὲν γὰρ φιλίᾳ, διήμαρτε δὲ τ διὸ οὐχ ἑκούσιον ἐδόκει εἶναι, ὅτι τὴν δόσιν τοῦ φίλτρ μετὰ διανοίας τοῦ ἀπολέσθαι αὐτὸν ἐδίδου. ἐνταῦθα τὸ ἑκούσιον πίπτει εἰς τὸ μετὰ διανοίας.

2. πράττομεν] ποιοῦμεν $K^b M^b$. ‖ 3. δὴ M^b. ‖ 8. ταῦτα om M^b. ‖ 10. ἀπαντήσει M^b. ‖ 11. τῇ — 13. ἀνάγκης et 20. ἀκούσιον om M^b. ‖ 21. κατὰ τὴν ἐπιθυμίαν οὐ πράττει M^b. ‖ 22. κατ'] κατὰ τὴν M^b. ‖ 26. ὀργῆς om M^b. ‖ 30. πράττει αν M^b. ‖ 31. ὁ — 32. βουλόμενος] ὁ δ' ἀκρατὴς τὰ κακὰ πράττει εἰδὼς ὅτι κακά ἐστιν. εἰ δ' ὁ ἀκρατὴς τὰ κακὰ εἰδὼς ὅτι κακὰ πράττει λόμενος M^b. ‖ 31. εἰδὼς om K^b. ‖ 38. πότερον pr K^b.

1. ἑκάστων M^b. ‖ 3. δὲ om M^b. ‖ μέντοι] δὲ M^b. ‖ 6. ὁ αἴτιος M^b. ‖ 7. περὶ ἃ βούλεται M^b. ‖ 8. ἃ om K^b. ‖ 10. K^b. ‖ 12. ἡμῶν K^b. ‖ ἐφ' K^b. ‖ 17. ἕνεκα M^b. ‖ 19. ἄτοπον M^b. ‖ 20. οἷον om M^b. ‖ 24. ἀκούσιον M^b. ‖ 32. τινα om M^b. ‖ 33. ἀπὸ M^b. ‖ ἀρειοπάγῳ M^b.

Ἔτι δὲ λοιπόν ἐστιν ἐπισκέψασθαι τὴν προαίρεσιν, πό- ἐστιν ὄρεξις ἢ οὔ. ὄρεξις μὲν γὰρ καὶ ἐν τοῖς ἄλλοις ἐγγίνεται, προαίρεσις δ' οὔ· ἡ γὰρ προαίρεσις μετὰ λόγος δ' ἐν οὐδενὶ τῶν ἄλλων ζῴων ἐστίν. ὄρεξις μὲν ἂν εἴη. ἀλλ' ἆρά γε βούλησις; ἢ οὐδὲ τοῦτο; βούλη- εν γάρ ἐστι καὶ τῶν ἀδυνάτων, οἷον βουλόμεθα μὲν τοι εἶναι, προαιρούμεθα δὲ οὔ. ἔτι δὲ προαίρεσις μὲν ττι τοῦ τέλους ἀλλὰ τῶν πρὸς τὸ τέλος, οἷον οὐθεὶς εῖται ὑγιαίνειν, ἀλλὰ τὸ πρὸς τὴν ὑγίειαν προαιρού- περιπατεῖν, τροχάζειν· βουλόμεθα δὲ τὰ τέλη· ὑγιαί- γὰρ βουλόμεθα. ὥστε δῆλον καὶ οὕτως ὅτι οὐ ταὐτὸν ἡ σις καὶ ἡ προαίρεσις, ἀλλ' ἡ προαίρεσις ἔοικεν οὕτως ὥσπερ καὶ τοὔνομα αὐτῆς ἔχει, οἷον προαιρούμεθα τόδε οὐδε, οἷον τὸ βέλτιον ἀντὶ τοῦ χείρονος. ὅταν οὖν ἀντικα- ττώμεθα τὸ βέλτιον ἀντὶ τοῦ χείρονος ἐν αἱρέσει ὄντος, θα τὸ προαιρεῖσθαι δόξειεν ἂν οἰκεῖον εἶναι. ἐπεὶ οὖν ἡ εσις οὐθὲν τούτων ἐστίν, ἆρά γ' ἐστὶ τὸ κατὰ διάνοιαν ἐν έσει, ἢ οὐδὲ τοῦτο; πολλὰ γὰρ διανοούμεθα καὶ δοξά- κατὰ διάνοιαν· ἆρ' οὖν ἃ διανοούμεθα, ταῦτα καὶ προαι- ἢ οὔ; πολλάκις γὰρ διανοούμεθα ὑπὲρ τῶν ἐν Ἰνδοῖς, οὔτι καὶ προαιρούμεθα. οὐκ ἄρα οὐδὲ διάνοιά ἐστιν ἡ εσις. ἐπεὶ οὖν καθ' ἕκαστον τούτων οὐδέν ἐστιν ἡ προαί- ταῦτα δ' ἐστὶ τὰ ἐν τῇ ψυχῇ γινόμενα, ἀναγκαῖον ζομένων τινῶν τούτων εἶναι τὴν προαίρεσιν. ἐπεὶ οὖν ὥσπερ ἔμπροσθεν ἐλέχθη, ἡ προαίρεσις τῶν πρὸς τὸ ἀγαθῶν καὶ οὐ τοῦ τέλους, καὶ τῶν δυνατῶν ἡμῖν, καὶ ντιλογίαν παραδιδόντων πότερον τοῦτο ἢ τοῦτο αἱρετόν, ὅτι δέοι ἂν πρότερον διανοηθῆναι ὑπὲρ αὐτῶν καὶ ύσασθαι, εἶθ' ὅταν ἡμῖν φανῇ κρεῖττον διανοηθεῖσιν, ὁρμή τις τοῦ πράττειν ἐστίν, καὶ τοῦτο δὴ πράττοντες προαίρεσιν δοκοῦμεν πράττειν. εἰ τοίνυν ἡ προαίρεσις τις βουλευτικὴ μετὰ διανοίας, οὐκ ἔστι τὸ ἑκούσιον ετόν. ἑκόντες γὰρ πολλὰ πράττομεν πρὸ τοῦ διανοη- καὶ βουλεύσασθαι, οἷον καθίζομεν καὶ ἀνιστάμεθα λλα πολλὰ τοιαῦτα ἑκόντες μὲν ἄνευ δὲ τοῦ δια- αι, τὸ δὲ κατὰ προαίρεσιν πᾶν ἦν μετὰ διανοίας. οὐκ ἄρα τὸ ἑκούσιον προαιρετόν, ἀλλὰ τὸ προαιρετὸν ἑκούσιον· ἄν τι γὰρ προαιρώμεθα πράττειν βουλευσάμενοι, ἑκόντες πράττομεν. φαίνονται δέ τινες ὀλίγοι καὶ τῶν νομοθετῶν διορίζειν τό τε ἑκούσιον καὶ τὸ ἐκ προαιρέσεως ἕτερον ὄν, ἐλάττους τὰς ζημίας ἐπὶ τοῖς ἑκουσίοις ἢ τοῖς κατὰ προαί- ρεσιν τάττοντες. ἔστιν οὖν ἡ προαίρεσις ἐν τοῖς πρακτοῖς, καὶ τούτοις ἐν οἷς ἐφ' ἡμῖν ἐστὶ καὶ πρᾶξαι καὶ μὴ πρᾶξαι, καὶ οὕτως ἢ μὴ οὕτως, καὶ ἐν οἷς ἔστι λαβεῖν τὸ διὰ τί. τὸ δὲ διὰ τί οὐχ ἁπλοῦν ἐστίν. ἐν μὲν γὰρ γεωμετρίᾳ, ὅταν φῇ τὸ τετράγωνον τέτταρσιν ὀρθαῖς ἴσας ἔχειν, καὶ ἐρωτᾷ διὰ τί, ὅτι, φησί, καὶ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει. ἐν μὲν οὖν τοῖς τοιούτοις ἐκ τῆς ἀρχῆς ὡρισμένης ἔλαβον τὸ διὰ τί, ἐν δέ γε τοῖς πρακτοῖς, ἐν οἷς ἡ προαί- ρεσις, οὐχ οὕτως· οὐδεμία γὰρ κεῖται ὡρισμένη· ἀλλ' ἂν ἀπαιτῇ τις, διὰ τί τοῦτ' ἔπραξας; ὅτι οὐκ ἐνῆν ἄλλως, ἢ ὅτι βέλτιον οὕτως. ἐξ αὐτῶν τῶν συμβαινόντων, ὁποῖ' ἂν φαί- νηται βελτίω εἶναι, ταῦτα προαιρεῖται καὶ διὰ ταῦτα. διὸ δὴ ἐν τοῖς τοιούτοις τὸ βουλεύσασθαί ἐστι τὸ πῶς δεῖ, ἐν δὲ ταῖς ἐπιστήμαις οὔ· οὐθεὶς γὰρ βουλεύεται πῶς δεῖ γρά- ψαι τὸ ὄνομα Ἀρχικλέους, ὅτι ἐστὶν ὡρισμένον πῶς δεῖ γρά- ψαι τὸ ὄνομα Ἀρχικλέους. ἡ οὖν ἁμαρτία οὐ γίγνεται ἐν τῇ διανοίᾳ, ἀλλ' ἐν τῇ ἐνεργείᾳ τοῦ γράφειν. ἐν οἷς γὰρ μή ἐστιν ἡ ἁμαρτία ἐν τῇ διανοίᾳ, οὐδὲ βουλεύονται ὑπὲρ τούτων· ἀλλ' ἐν οἷς ἤδη ἀόριστόν ἐστι τὸ ὡς δεῖ, ἐνταῦθα ἡ ἁμαρτία. ἔστι δ' ἐν τοῖς πρακτικοῖς τὸ ἀόριστον, καὶ ἐν οἷς διτταὶ αἱ ἁμαρτίαι. ἁμαρτάνομεν οὖν ἐν τοῖς πρακτικοῖς καὶ ἐν τοῖς κατὰ τὰς ἀρετὰς ὁμοίως. τῆς γὰρ ἀρετῆς στο- χαζόμενοι ἁμαρτάνομεν ἐπὶ τὰς πεφυκυίας ὁδούς. ἔστι γὰρ καὶ ἐν ἐλλείψει καὶ ἐν ὑπερβολῇ ἁμαρτία, ἐφ' ἑκάτερα δὲ τούτων φερόμεθα δι' ἡδονὴν καὶ λύπην· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τὰ καλὰ φεύγομεν. ἔτι δ' ἐστὶν ἡ διάνοια οὐχ ὥσπερ αἴσθη- 18
σις, οἷον τῇ ὄψει οὐκ ἂν δύναιτ' οὐθὲν ἂν ἄλλο ποιῆσαι ἢ ἰδεῖν, οὐδὲ τῇ ἀκοῇ οὐθὲν ἄλλο ἢ ἀκοῦσαι. ὁμοίως δὲ οὐδὲ βουλευόμεθα πότερον δεῖ ἀκοῦσαι τῇ ἀκοῇ ἢ ἰδεῖν. ἡ δὲ διάνοια οὐ τοιοῦτον, ἀλλὰ καὶ τοῦτο δύναται πράττειν καὶ

δὲ om M^b. ‖ 2. ἀλόγοις, omisso ζῴοις, M^b. ‖ 4. ἐν om K^b. ‖ 5. ἀλλ'] ἀλλ' ἢ M^b. ‖ 9. προαιρούμεθα μὲν περιπατεῖν τρέχειν 14. βέλτιστον K^b. ‖ ὅταν — 15. χείρονος add ZM^b cum 2023, om K^b cum 1417 et 1855 et 2024 et Barocciano. ‖ 17. M^b. ‖ 22. ἐπεὶ — προαίρεσις om M^b. ‖ 23. τῇ om K^b. ‖ ἀναγκαῖον δὴ συνδυαζομένων M^b. ‖ 25. ἡ om K^b. ‖ 27. τὴν αἱρετώτερον M^b. ‖ 33. προαιρετόν] τὸ προαιρετόν K^b. ‖ 36. τὸ — διανοίας add ZM^b, 1417, 1855, 2023, Baroccianus; om 2024.

ἀλλὰ τὸ] οὐκ ἄρα M^b. ‖ 2. ἃ γὰρ προαιρούμεθα M^b. ‖ 6. πρακτικοῖς M^b. ‖ 12. ὡρισμένως ἐλάβομεν M^b. ‖ 13. πρακτικοῖς ‖ 16. ἐξ om M^b. ‖ ὁποῖον φαίνηται βέλτιον M^b. ‖ 20. ὅτι — 21. Ἀρχικλέους om Z et 2024. πῶς — Ἀρχικλέους om Ba- nus. τὸ ὄνομα Ἀρχικλέους om 1417, 1855, 2023. ‖ 22. γὰρ om K^b. ‖ 23. ἡ om M^b. ‖ οὔτε codices. ‖ 24. ἄριστόν M^b. ‖ 26. καὶ K^b, γὰρ M^b. ‖ 33. δύναται K^b.

ἄλλα. διὰ τοῦτο βȣλεύεσθαι ἤδη ἐνταῦθα ὑπάρχει. ἔςιν ȣ̓̃ν ἡ ἁμαρτία ἐν τῇ αἱρέσει τῶν ἀγαθῶν οὐ περὶ τὰ τέλη (ταῦτα μὲν γὰρ ἅπαντες ὁμογνωμονȣ̃σιν, οἷον τὴν ὑγίειαν ὅτι ἀγαθόν) ἀλλ' ἤδη τὰ πρὸς τὸ τέλος, οἷον πότερον ἀγαθὸν πρὸς ὑγίειαν φαγεῖν τȣ̃το ἢ ȣ̓́. μάλιςα ȣ̓̃ν ποιεῖ ἐν τούτοις τὸ σφάλλεσθαι ἡδονὴ καὶ λύπη· τὴν μὲν γὰρ φεύγομεν, τὴν δ' αἱρούμεθα. ἐπεὶ οὖν διῄρηται ἐν τίνι ἡ ἁμαρτία καὶ πῶς, λοιπόν ἐστι τίνος ἐςὶν ἡ ἀρετὴ ςοχαςική, πότερον τȣ̃ τέλȣς ἢ τῶν πρὸς τὸ τέλος, οἷον πότερον τȣ̃ καλȣ̃ ἢ τῶν πρὸς τὸ καλόν. πῶς οὖν ἡ ἐπιςήμη; πότερον τῆς οἰκοδομικῆς ἐςὶν ἐπιςήμης τὸ τέλος καλῶς προθέσθαι ἢ τὰ πρὸς τὸ τέλος ἰδεῖν; ἂν γὰρ τȣ̃το καλῶς προθῆται, οἷον καλὴν οἰκίαν ποιῆσαι, καὶ τὰ πρὸς τοῦτο οὐκ ἄλλος τις εὑρήσει καὶποριεῖ ἢ οἰκοδόμος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν ἐπιςημῶν. ὡσαύτως ἄρα δόξειεν ἂν ἔχειν καὶ ἐπ' ἀρετῆς, μᾶλλον εἶναι αὐτῆς τὸν σκοπὸν πρὸς τὸ τέλος, ὃ δεῖ ὀρθῶς προθέσθαι, ἢ τὰ πρὸς τὸ τέλος· καὶ ἐξ ὧν τοῦτ' ἔςαι οὐθεὶς ἄλλος ποριεῖ, καὶ εὑρήσει ἃ δεῖ πρὸς τοῦτο. καὶ εὔλογον δὲ τούτου εἶναι προθετικὴν τὴν ἀρετήν, ἐν οἷς ἡ ἀρχὴ τοῦ βελτίστου ἐστὶν ἕκαστον καὶ ποιητικὸν καὶ προθετικόν. οὐθὲν οὖν βέλτιον τῆς ἀρετῆς ἐστίν· ταύτης γὰρ ἕνεκεν καὶ τἆλλά ἐστιν, καὶ πρὸς ταύτην ἐστὶν ἡ ἀρχή. τούτου ἕνεκεν μᾶλλον τὰ πρὸς τοῦτ' ἐστίν· τὸ δὲ τέλος ἀρχῇ τινὶ ἔοικεν, καὶ τούτου ἕνεκέν ἐστιν ἕκαστον. ἀλλὰ κατὰ τρόπον τοῦτο ἔσται. ὥστε δῆλον ὡς κἀπὶ τῆς ἀρετῆς, ἐπειδὴ βελτίστη ἐστὶν αἰτία, ὅτι τοῦ τέλους ἐστὶ στοχαστικὴ μᾶλλον ἢ
19 τῶν πρὸς τὸ τέλος. ἀρετῆς δέ γ' ἐστὶ τέλος τὸ καλόν. τȣ́τȣ ἄρ' ἐςὶ ςοχαςικὴ μᾶλλον ἢ ἐξ ὧν ἔςαι. ἔςι δὲ καὶ ταῦτα ταύτης. ὅλως δὲ δὴ φαίνεται ἄτοπον· ἴσως γὰρ ἂν ἐν γραφικῇ εἴη τις ἀγαθὸς μιμητής, ὅμως δὲ οὐκ ἂν ἐπαινεθείη, ἂν μὴ τὸν σκοπὸν θῇ τὰ κάλλιςα μιμεῖσθαι. τῆς ἀρετῆς ἄρα παντελῶς τοῦτ' ἐστί, τὸ καλὸν προθέσθαι. διὰ τί οὖν, ἄν τις εἴποι, πρότερον μὲν ἐλέγομεν τὴν ἐνέργειαν κρεῖττον εἶναι ἢ τὴν ἀρετὴν αὐτήν, νῦν δ' ȣ̓κ ἐξ οὗ ἡ ἐνέργεια, τȣ̃το τῇ ἀρετῇ ἀποδίδομεν ὡς κάλλιον, ἀλλ' ἐν ᾧ οὐκ ἔςιν ἐνέργεια; ναί, ἀλλὰ καὶ νῦν φαμὲν τοῦτο

ὁμοίως, τὴν ἐνέργειαν τῆς ἕξεως βέλτιον εἶναι· ȣ
ἄλλοι ἄνθρωποι τὸν σπουδαῖον θεωροῦντες κρίνȣσιν ἐ
πράττειν, διὰ τὸ μὴ δυνατὸν εἶναι δηλῶσαι τὴν ἑκ
προαίρεσιν ἣν ἔχει, ἐπεὶ εἰ ἦν εἰδέναι τὴν ἑκάςȣ γ
ὡς ἔχει πρὸς τὸ καλόν, καὶ ἄνευ τοῦ πράττειν σπο
ἂν ἐδόκει εἶναι. ἀλλ' ἐπεὶ μεσότητάς τινας τῶν
κατηριθμησάμεθα, λεκτέον ἂν εἴη περὶ ποῖα τῶν
εἰσίν.

Ἐπεὶ οὖν ἐστὶν ἡ ἀνδρία περὶ θάρρη καὶ φ
σκεπτέον ἂν εἴη περὶ ποίους φόβους καὶ θάρρη. ἂρ
μέν τις φοβεῖται μὴ ἀποβάλλῃ τὴν ȣ̓σίαν, ȣ̃̔τος δει
δέ τις θαρρεῖ περὶ ταῦτα, ἀνδρεῖος, ἢ ȣ̓́; ὁμοίως δ'
φοβεῖται μόνον ἢ θαρρεῖ, ȣ̓́τε δειλὸν φατέον εἶναι τ
βȣ́μενον οὔτ' ἀνδρεῖον τὸν μὴ φοβȣ́μενον. ȣ̓κ ἄρα ἐ
τοιούτοις φόβοις καὶ θάρρεσίν ἐστιν ἡ ἀνδρία. ἀλλ
οὐδ' ἐν τοῖς τοιούτοις, οἷον εἰ μή τις φοβεῖται βρον
ἀςραπὰς ἢ ἄλλο τι τῶν ὑπὲρ ἄνθρωπον φοβερῶν, ἀ
δρεῖος ἀλλὰ μαινόμενός τις. ἐν φόβοις ἄρα καὶ θάρ
ἐςιν ὁ ἀνδρεῖος τοῖς κατ' ἀνθρώπȣς· λέγω δὲ ἃ οἱ π
φοβοῦνται ἢ οἱ πάντες, ὁ ἐν τούτοις ὢν θαρραλέος,
ἀνδρεῖος. τȣ́των τοίνυν διωρισμένων σκεπτέον ἂν εἴη, ἐ
κατὰ πολλά εἰσιν οἱ ἀνδρεῖοι, ὁ ποῖος ἀνδρεῖος. ἔστι
καὶ κατ' ἐμπειρίαν τις ἀνδρεῖος, οἷον οἱ στρατιῶται·
γὰρ οἴδασι δι' ἐμπειρίαν ὅτι ἐν τοιȣ́τῳ τόπῳ ἢ ἐν τ
καιρῷ ἢ οὕτως ἔχοντι ἀδύνατόν τι παθεῖν. ὁ δὲ τ
εἰδὼς καὶ διὰ ταῦτα ὑπομένων τȣ̀ς πολεμίȣς ȣ̓κ ἀν
ἐὰν γὰρ τούτων μηθὲν ὑπάρχῃ, ȣ̓χ ὑπομένει. διὸ τ
ἐμπειρίαν ȣ̓ φατέον ἀνδρείȣς. ȣ̓δὲ Σωκράτης δὲ ὀρθῶς
γεν, ἐπιςήμην εἶναι φάσκων τὴν ἀνδρίαν. ἡ γὰρ ἐπις
ἐξ ἔθους τὴν ἐμπειρίαν λαβȣ̃σα ἐπιςήμη γίνεται· τȣ̀ς
δι' ἐμπειρίαν ὑπομένοντας ȣ̓ φαμεν, οὐδ' ἐρȣ̃σιν ἀνδ
εἶναι. οὐκ ἄρα ἡ ἀνδρία ἐπιστήμη ἂν εἴη. πάλιν δ'
εἰσὶν ἀνδρεῖοι ἐκ τȣ̃ ἐναντίȣ τῆς ἐμπειρίας· οἱ γὰρ ἀ
τῶν ἐκβησομένων οὐ φοβȣ̃νται διὰ τὴν ἀπειρίαν. οὐ
οὐδὲ τούτους φατέον ἀνδρείȣς. εἰσὶ δ' αὖ ἄλλοι δια
ἀνδρεῖοι εἶναι διὰ τὰ πάθη, οἷον οἱ ἐρῶντες ἢ οἱ ἐνθ
ζοντες. ȣ̓δὲ δὴ τȣ́τȣς φατέον ἀνδρείȣς εἶναι· ἐὰν γὰρ α

1. ἐνταῦθα ἤδη K^b. ‖ 11. ἐςὶν om K^b. ‖ 14. ἢ om pr K^b: rc ἢ ὁ. ‖ 17. δὴ K^b. ‖ 21. ἕκαςοι γὰρ καὶ προθετικὸν καὶ π M^b. ‖ 22. τῶν ἀρετῶν M^b. ‖ 23. τȣ́τȣ] καὶ τȣ́τȣ M^b. ‖ 28. ἀρετῆς] τῆς K^b. ‖ τέλος] τὸ τέλος M^b. ‖ 29. ἐςὶ] ἐςὶν ἡ ἀρετή ‖ 30. ταῦτα] ταυτὸν M^b. ‖ δὲ] τε M^b. ‖ 32. φῇς τὰ βέλτιςα K^b, φῇ μάλιςα M^b. ‖ 33. πᾶν τέλος M^b. ‖ 35. ἀρετὴν] ἕξιν τὴν ‖ οὗ] ὧν K^bM^b. ‖ 37. καὶ om M^b.

2. ἄνθρωποι om K^b. ‖ κρίνȣσιν om M^b. ‖ 4. ἦν δυνατὸν εἰδέναι M^b. ‖ 6. ἀλλ' ἐπεὶ om K^b. ‖ 9. ἐστὶν om M^b. ‖ 14. τοῖ M^b. ‖ 17. ὑπὲρ ἄνθρωπον] ὑπεράνω M^b. ‖ 19. δὲ οἷον ἃ M^b. ‖ πολλοὶ] λοιποὶ K^b. ‖ 20. ἢ ἅπαντες M^b. ‖ ὁ ἐν τούτοις] πρὸς τοῖ K^b. ‖ 21. τοίνυν] οὖν M^b. ‖ 29. φάσκων εἶναι K^b. ‖ 32. οὐκ — εἴη om M^b. ‖ δ' αὖ] οὖν K^b. ‖ 36. ἢ om K^b. ‖ 37. φατέους

ἴθος ἀφαιρεθῇ, οὐκέτι εἰσὶν ἀνδρεῖοι, δεῖ δὲ τὸν ἀνδρεῖον ἶναι ἀνδρεῖον. διὸ οὐδὲ τὰ θηρία οἷον τοὺς σῦς οὐκ ἂν ἴποι ἀνδρείους διὰ τὸ ἀμύνεσθαι, ἐπειδὰν πληγέντες θῶσιν· οὐ δεῖ δὲ τὸν ἀνδρεῖον διὰ πάθος εἶναι ἀνδρεῖον. ἔστιν ἄλλη ἀνδρία πολιτικὴ δοκοῦσα εἶναι, οἳ δι' ύνην τὴν πρὸς τοὺς πολίτας ὑπομένουσι τοὺς κινδύνους δοκοῦσιν ἀνδρεῖοι εἶναι. σημεῖον δὲ τούτου· καὶ γὰρ ρος πεποίηκε τὸν Ἕκτορα λέγοντα "Πουλυδάμας μοι ς ἐλεγχείην ἀναθήσει," διὸ οἴεται δεῖν μάχεσθαι. ἡ τὴν τοιαύτην φατέον εἶναι· ὁ γὰρ αὐτὸς ἐφ' ἑκάστῳ διορισμὸς ἁρμόσει. οὗ γὰρ ἀφαιρουμένου μὴ διαμένει δρία, οὐκ ἂν εἴη ἔτι ἀνδρεῖος· ἂν οὖν τὴν αἰσχύνην ω δι' ἣν ἦν ἀνδρεῖος, οὐκέτι ἔσται ἀνδρεῖος. ἔτι καὶ ς εἰσὶν ἀνδρεῖοι δοκοῦντες εἶναι οἱ δι' ἐλπίδα καὶ προσ- ἀγαθοῦ. οὐδὲ δὴ τούτους φατέον εἶναι ἀνδρείους, ἐπειδὴ τοιούτους καὶ ἐν τοῖς τοιούτοις ἀνδρείους λέγειν ἄτοπον ται. οὐδένα οὖν τῶν τοιούτων ἀνδρεῖον θετέον εἶναι τὸν οὖν ἀνδρεῖον, καὶ τίς ὁ ἀνδρεῖος σκεπτέον. ὡς ἁπλῶς ἰπεῖν, ὁ διὰ μηθὲν τῶν προειρημένων ἀνδρεῖος ὤν, ἀλλὰ ὸ νομίζειν αὐτὸ εἶναι καλόν, καὶ τοῦτο ποιῶν κἂν τις κἂν μή. οὐδὲ δὴ παντελῶς ἄνευ πάθους καὶ ὁρμῆς νεται ἡ ἀνδρία· δεῖ δὲ τὴν ὁρμὴν γίνεσθαι ἀπὸ τοῦ διὰ τὸ καλόν. ὁ δὴ ὁρμῶν διὰ λόγον ἕνεκεν τοῦ ἐπὶ τὸ κινδυνεύειν, ἄφοβος ὢν περὶ ταῦτα, οὗτος ἀν- , καὶ ἡ ἀνδρία περὶ ταῦτα. ἄφοβος δὲ οὐχ ὅταν οὕτω έσῃ τῷ ἀνδρείῳ ὥστε ὅλως μὴ φοβεῖσθαι. ὁ μὲν γὰρ ς οὐκ ἀνδρεῖος, ᾧ ὅλως μηθέν ἐστι φοβερόν· οὕτω μὲν γὰρ ὁ εἴη καὶ τἄλλα ἄψυχα ἀνδρεῖα· ἀλλὰ δεῖ φοβεῖσθαι ὑπομένειν δέ· εἰ γὰρ αὖ μὴ φοβούμενος ὑπομένει, οὐκ η ἀνδρεῖος. ἔτι δὲ καὶ ὥσπερ ἐπάνω διειλόμεθα, περὶ ς καὶ κινδύνους οὐ πάντας ἀλλὰ τοὺς ἀναιρετικοὺς τῆς οὐσίας. οὐδ' ἐν τῷ τυχόντι καὶ παντὶ χρόνῳ, ἀλλ' ἐν ᾧ οἱ καὶ οἱ κίνδυνοι πλησίον εἰσίν. εἰ γάρ τις τὸν εἰς δέκατον ίνδυνον μὴ φοβεῖται, οὔπω ἀνδρεῖος· ἔνιοι γὰρ θαρροῦσι ὸ μακρὰν ἀπέχειν, ἂν δὲ πλησίον γένωνται, ἀποθνή- τῷ δέει. ἡ μὲν οὖν ἀνδρία καὶ ὁ ἀνδρεῖος τοιοῦτος.

Σωφροσύνη δ' ἐστὶ μεσότης ἀκολασίας καὶ ἀναισθη- τῆς περὶ τὰς ἡδονάς. ἔστι γὰρ ἡ σωφροσύνη καὶ ς ἅπασα ἀρετὴ ἕξις ἡ βελτίστη, ἡ δὲ βελτίστη ἕξις τοῦ βελτίστου ἐστίν, βέλτιστον δὲ τῆς ὑπερβολῆς καὶ τῆς ἐνδείας τὸ μέσον· κατ' ἀμφότερα γάρ εἰσι ψεκτοί, καὶ καθ' ὑπερβολὴν καὶ κατ' ἔνδειαν. ὥστε εἴπερ τὸ μέσον βέλτιστον, ἡ σωφροσύνη μεσότης τις ἂν εἴη ἀκολασίας καὶ ἀναισθησίας. μεσότης μὲν οὖν ἂν εἴη τούτων, ἔστι δὲ ἡ σωφροσύνη περὶ ἡδονὰς καὶ λύπας, οὐ πάσας δὲ οὐδὲ τὰς περὶ πάντα. οὐ γὰρ εἴ τις ἥδεται θεωρῶν γραφὴν ἢ ἀνδριάντα ἤ τι ἄλλο τῶν τοιούτων, καὶ δὴ οὗτος ἀκόλαστος· ὁμοίως δὲ οὐδὲ περὶ ἀκοῆς οὐδὲ περὶ ὀσφρήσεως, ἀλλ' ἐν ἡδοναῖς ταῖς περὶ ἁφὴν καὶ γεῦσιν. οὐδὲ δὴ περὶ ταύτας ἀνὴρ σώφρων ἔσται οὕτως ἔχων ὥστε μηδ' ὑπὸ μιᾶς τῶν τοιούτων ἡδονῶν μηθὲν πάσχειν (ὁ μὲν γὰρ τοιοῦτος ἀναίσθητος), ἀλλ' ἤδη ὁ πάσχων καὶ μὴ ἀγόμενος, ὥστε εἰς ὑπερβολὴν αὐτῶν ἀπολαύων πάντα τἄλλα ποιεῖσθαι πάρεργα, καὶ αὐτόν γε τὸν ἤδη αὐτοῦ τοῦ καλοῦ ἕνεκεν καὶ μὴ ἄλλου πράττοντα σώφρονα. ὅστις γὰρ τῶν τοιούτων ἡδονῶν τῆς ὑπερβολῆς ἀπέχεται ἢ διὰ φόβον ἢ δι' ἄλλο τι τῶν τοιούτων, οὐ σώφρων. οὐδὲ γὰρ τἄλλα ζῷα λέγομεν εἶναι σώφρονα ἔξω ἀνθρώπου, διὰ τὸ μὴ εἶναι ἐν αὐτοῖς λόγον, ᾧ δοκιμάζοντα τὸ καλὸν αἱροῦνται· πᾶσα γὰρ ἀρετὴ τοῦ καλοῦ καὶ πρὸς τὸ καλόν ἐστιν. ὥστε εἴη ἂν ἡ σωφροσύνη περὶ ἡδονὰς καὶ λύπας, καὶ ταύτας τὰς ἐν ἁφῇ καὶ γεύσει γινομένας.

Ἐχόμενον δ' ἂν εἴη τούτου λέγειν ὑπὲρ πραότητος, τί
ἐστι καὶ ἐν τίσιν. ἔστιν οὖν ἡ πραότης ἀνὰ μέσον ὀργιλότητος 23
καὶ ἀοργησίας. καὶ ὅλως δὲ δοκοῦσιν αἱ ἀρεταὶ μεσότητές τινες εἶναι. ὅτι δ' εἰσὶ μεσότητες, καὶ οὕτως ἄν τις εἴποι· εἰ γάρ ἐστιν ἐν μεσότητι τὸ βέλτιστον, ἡ δ' ἀρετή ἐστιν ἡ βελτίστη ἕξις, βέλτιστον δ' ἐστὶ τὸ μέσον, ἡ ἀρετὴ ἂν εἴη τὸ μέσον. δῆλον δὲ ἔσται μᾶλλον καὶ καθ' ἕκαστον σκοποῦσιν. ἐπειδὴ γάρ ἐστιν ὀργίλος ὁ παντὶ καὶ πάντως καὶ ἐπὶ πλεῖον ὀργιζόμενος, καὶ ψεκτὸς δὲ ὁ τοιοῦτος· οὔτε γὰρ παντὶ δεῖ ὀργίζεσθαι οὔτ' ἐπὶ πᾶσιν οὔτε πάντως καὶ ἀεί, οὐδ' αὖ πάλιν οὕτως ἔχειν δεῖ ὥστε μηθενὶ μηδέποτε· καὶ γὰρ οὗτος ψεκτός, ἀνάλγητός γε ὤν. ἐπεὶ τοίνυν καὶ ὁ κατὰ τὴν ὑπερβολὴν ψεκτὸς καὶ ὁ κατὰ τὴν ἔλλειψιν, ὁ μέσος ἂν τούτων εἴη καὶ πρᾶος καὶ ἐπαινετός. οὔτε γὰρ ὁ ἐλλείπων τῇ ὀργῇ οὔτε ὁ ὑπερβάλλων ἐπαινετός, ἀλλ' ὁ μέσως ἔχων πρὸς ταῦτα, οὗτος πρᾶος. καὶ ἡ πραότης δὲ τούτων τῶν παθῶν μεσότης ἂν εἴη.

Ἐλευθεριότης δ' ἐστὶ μεσότης ἀσωτίας καὶ ἀνελευθερίας. 24

. εἰσὶν M^b. ‖ 4. οὐδὲ δεῖ τὸν ἀνδρεῖον διὰ τὸ πάθος K^b. ‖ 5. ἄλλο M^b. ‖ οἱ] οἷον εἰ K^b. ‖ 8. ὁ ὅμηρος M^b. ‖ 13. οὐκέτι ἔσται ἀν- om K^b. ‖ 14. εἶναι om M^b. ‖ 15. εἶναι om K^b. ‖ 31. αἱρετικοὺς K^b. ‖ 33. πλεῖόν K^bM^b. ‖ 34. οὔπω ἀνδρεῖοι M^b, πῶς ἀνδρεῖος 38. τὰς om M^b. ‖ γὰρ ἡ] δὲ M^b.

. οὗτος ὁ ἀκόλαστος K^b. ‖ οὐ M^b. ‖ 14. πάντ' ἄλλα K^b. ‖ τε K^b. ‖ 18. οὐ M^b. ‖ ἔξω ἀνθρώπου om M^b. ‖ 19. δοκιμάζοντες K^b. ‖ νομένας K^bM^b. ‖ 23. τί] καὶ τί K^b. ‖ 24. οὖν] μὲν οὖν M^b. ‖ 29. μεσότης K^b. ‖ 30. παντὶ] πάντη M^b. ‖ καὶ post πάντως om 31. δεῖ παντὶ M^b.

ἔστι δὲ περὶ χρήματα τὰ τοιαῦτα πάθη· ὅ τε γὰρ ἄσωτός ἐστιν ὁ ἀναλίσκων εἰς ἃ μὴ δεῖ καὶ πλείω ὧν δεῖ καὶ ὅτε μὴ δεῖ, ὅ τ' ἀνελεύθερος ἐναντίως τούτῳ ὁ μὴ ἀναλίσκων εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. ἀμφότεροι δὲ οὗτοι ψεκτοί. ἔστι δὲ τούτων ὁ μὲν κατ' ἔλλειψιν, ὁ δὲ καθ' ὑπερβολήν. ὁ ἄρα ἐλευθέριος, ἐπειδὴ ἐστιν ἐπαινετός, μέσος τις ἂν εἴη τούτων. τίς οὖν ἐστίν; ὁ ἀναλίσκων εἰς ἃ δεῖ καὶ

25 ὅσα δεῖ καὶ ὅτε δεῖ. ἔστι δὲ καὶ τῆς ἀνελευθεριότητος εἴδη πλείω, οἷον κίμβικάς τινας καλοῦμεν καὶ κυμινοπρίστας καὶ αἰσχροκερδεῖς καὶ μικρολόγους. πάντες δ' οὗτοι ὑπὸ τὴν ἀνελευθεριότητα πίπτουσιν. τὸ μὲν γὰρ κακὸν πολυειδές, τὸ δ' ἀγαθὸν μονοειδές, οἷον ἡ μὲν ὑγίεια ἁπλοῦν, ἡ δὲ νόσος πολυειδές. ὁμοίως ἡ μὲν ἀρετὴ ἁπλοῦν, ἡ δὲ κακία πολυειδές. πάντες γὰρ οὗτοι περὶ χρήματά εἰσι ψεκτοί. πότερον οὖν τοῦ ἐλευθερίου καὶ τὸ κτήσασθαί ἐστι καὶ τὸ παρασκευάσασθαι χρήματα, ἢ οὔ; οὐδὲ γὰρ ἄλλης ἀρετῆς οὐδεμιᾶς. οὔτε γὰρ τῆς ἀνδρίας ἐστὶ τὸ ὅπλα ποιῆσαι, ἀλλ' ἄλλης, ταύτης δὲ λαβούσης τούτοις ὀρθῶς χρήσασθαι· ὁμοίως ἐπὶ σωφροσύνης καὶ τῶν ἄλλων. οὐδὲ δὴ τῆς ἐλευθεριότητος, ἀλλ' ἤδη χρηματιστική.

26 Ἡ δὲ μεγαλοψυχία μεσότης μέν ἐστι χαυνότητος καὶ μικροψυχίας, ἔστι δὲ περὶ τιμὴν καὶ ἀτιμίαν, καὶ περὶ τιμὴν οὐ τὴν παρὰ τῶν πολλῶν ἀλλὰ τὴν παρὰ τῶν σπουδαίων, καὶ μᾶλλον δὲ δὴ περὶ ταύτην. οἱ γὰρ σπουδαῖοι εἰδότες καὶ κρίνοντες ὀρθῶς τιμήσουσιν· βουλήσεται οὖν μᾶλλον ὑπὸ τοῦ συνειδότος αὐτῷ ὅτι ἄξιός ἐστι τιμῆς τιμᾶσθαι. οὐδὲ γὰρ περὶ πᾶσαν τιμὴν ἔσται, ἀλλὰ περὶ τὴν βελτίστην, καὶ τὸ τίμιον ἀγαθὸν καὶ ἀρχῆς τάξιν ἔχον. οἱ μὲν οὖν εὐκαταφρόνητοι ὄντες καὶ φαῦλοι, μεγάλων δ' αὑτοὺς ἀξιοῦντες, καὶ πρὸς τούτοις τιμᾶσθαι οἰόμενοι δεῖν, χαῦνοι· ὅσοι δὲ ἐλαττόνων αὑτοὺς ἀξιοῦσιν ἢ προσῆκον αὐτοῖς, μικρόψυχοι. ὁ ἄρα μέσος τούτων ἐστὶν ὃς μήτε ἐλάττονος τιμῆς αὑτὸν ἀξιοῖ ἢ προσήκει, μήτε μείζονος ἢ ἄξιός ἐστι, μήτε πάσης· οὗτος δ' ἐστὶν ὁ μεγαλόψυχος. ὥστε δῆλον ὅτι ἡ μεγαλοψυχία μεσότης ἐστὶ χαυνότητος καὶ μικροψυχίας.

27 Μεγαλοπρέπεια δ' ἐστὶ μεσότης σαλακωνείας καὶ μικροπρεπείας. ἔστι δ' ἡ μεγαλοπρέπεια περὶ δαπάνας ἃς τῷ πρέποντι γίγνεσθαι προσήκει. ὅστις μὲν οὖν δαπανᾷ οὗ μὴ δεῖ, σαλάκων, οἷον εἴ τις ἑστιᾷ ἐρανιστὰς ὡς ἂν γάμους τις ἑστιῶν, ὁ τοιοῦτος σαλάκων· ὁ γὰρ σαλάκων τοιοῦτός ἐστιν, ὁ ἐν ᾧ μὴ δεῖ καιρῷ ἐνδεικνύμενος τὴν ἑαυτοῦ εὐπορίαν. ὁ δὲ μικροπρεπὴς ὁ ἐναντίος τούτῳ, ὃς οὗ δεῖ μὴ μεγαλείως δαπανήσει, ἢ τοῦτο μὴ ποιῶν, οἷον εἰς γάμους ἢ χορηγίαν δαπανῶν μὴ ἀξίως ἀλλ' ἐνδεῶς· ὁ τοιοῦτος μικροπρεπής. ἡ δὲ μεγαλοπρέπεια καὶ ἀπὸ τοῦ ὀνόματος φανερά ἐστιν οὖσα τοιαύτη οἵαν λέγομεν· ἐπεὶ γὰρ ἐν τῷ καιρῷ τῷ πρέποντι τὸ μέγα δέον εἶναι, ὀρθῶς τῇ μεγαλοπρεπείᾳ τοὔνομα κεῖται. ἡ μεγαλοπρέπεια ἄρ' ἂν εἴη, ἐπειδή ἐστιν ἐπαινετή, μεσότης τις ἐλλείψεως καὶ ὑπερβολῆς τῆς περὶ δαπάνας τὰς προσηκούσας, ἐν οἷς δεῖ. εἰσὶ δέ, ὡς οἴονται, καὶ πλείους μεγαλοπρέπειαι, οἷον φασὶ μεγαλοπρεπῶς τ' ἐβάδισε, καὶ ἄλλαι δὴ τοιαῦται μεγαλοπρέπειαι μεταφορᾶς λέγονται, οὐ κυρίως· οὐ γάρ ἐστιν ἐν τούτοις μεγαλοπρέπεια, ἀλλ' ἐν οἷς εἰρήκαμεν.

Νέμεσις δ' ἐστὶ μεσότης φθονερίας καὶ ἐπιχαιρεκα- 28 κίας· ἀμφότεραι γὰρ αὗται ψεκταί εἰσιν, ὁ δὲ νεμεσητικὸς ἐπαινετός. ἔστι δ' ἡ νέμεσις περὶ ἀγαθά, ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι, λύπη τις. νεμεσητικὸς οὖν ὁ ἐπὶ τοῖς τοιούτοις λυπητικός. καὶ ὁ αὐτός γε πάλιν οὗτος λυπήσεται, ἄν τινα ἴδῃ κακῶς πράττοντα ἀνάξιον ὄντα. ἡ μὲν οὖν νέμεσις καὶ ὁ νεμεσητικὸς ἴσως τοιοῦτος, ὁ δέ γε φθονερὸς ἐναντίως τούτῳ· ἁπλῶς γάρ, ἄν τε ἄξιός τις ᾖ ἄν τε μὴ τοῦ εὖ πράττειν, λυπήσεται. ὁμοίως τούτῳ ὁ ἐπιχαιρέκακος ἡσθήσεται κακῶς πράττοντι καὶ τῷ ἀξίῳ καὶ τῷ ἀναξίῳ. ὁ δέ γε νεμεσητικὸς οὔ, ἀλλὰ μέσος τις ὢν τούτων.

Σεμνότης δ' ἐστὶν αὐθαδείας ἀνὰ μέσον τε καὶ ἀρε- 29 σκείας, ἔστι δὲ περὶ τὰς ἐντεύξεις. ὅ τε γὰρ αὐθάδης τοιοῦτός ἐστιν οἷος μηθενὶ ἐντυχεῖν μηδὲ διαλεχθῆναι, ἀλλὰ τοὔνομα ἔοικεν ἀπὸ τοῦ τρόπου κεῖσθαι· ὁ γὰρ αὐθάδης αὐτάδης τίς ἐστιν, ἀπὸ τοῦ αὐτὸς αὑτῷ ἀρέσκειν. ὁ δὲ ἄρεσκος τοιοῦτος οἷος πᾶσιν ὁμιλεῖν καὶ πάντως καὶ πανταχῇ. οὐδέτερος δὴ τούτων ἐπαινετός, ὁ δέ γε σεμνὸς ἀνὰ μέσον τούτων ὢν ἐπαινετός· οὔτε γὰρ πρὸς πάντας, ἀλλὰ πρὸς τοὺς ἀξίους, οὔτε πρὸς οὐθένα, ἀλλὰ πρὸς τοὺς αὐτοὺς τούτους.

3. ὁ δ' ἀνελευθέριος K^b. || ἐναντίος K^b. || 6. ὁ δ' ἄρα K^b. || 7. τίς οὖν ἐστιν; ὁ et 9. οἷον om M^b. || 9. κίμβικας M^b. || 11. εἰσι K^b. || 14. εἰσι om M^b. || 23. τῶν ante πολλῶν om K^b et pr M^b. || 24. δὴ] δεῖ K^b, δὴ ὀρθῶς M^b. || 26. τῶν εἰδότων αὐτὸν K^b. || 27. πᾶσαν τὴν τιμὴν M^b. || 31. ἀξιοῦσι προσηκόντων αὐτοῖς μειζόνων μικρόψυχοι M^b. || 32. μὴ K^b. || 33. ἢ — ἢ] ἧς — ἧς K^b. || 35. ὅτι om M^b. || 37. σαλακονείας M^b, ἀλαζονείας K^b.

2 et 3. σαλάκων] ἀλαζὼν K^b. || 3. σαλάκων post γὰρ et 5. μὴ om K^b. || 10. δεῖ M^b. || 13. δεῖ. εἰσὶ δὲ] δέ εἰσιν K^b. || 18. χαιρεκακίας K^b. || 20. ἔπαινος K^b. || ἡ et 21. ὁ om M^b. || 22. ὁ om K^b. || 25. ἐναντίος K^b. || 28. ὁ — 29. τούτων om M^b. || 28. ἐστι om K^b. || 32. διαλλαγῆναι M^b. || 35. οἷον M^b.

Αἰδὼς δ' ἐςὶ μεσότης ἀναισχυντίας καὶ καταπλήξεως, δὲ περὶ πράξεις καὶ λόγȣς. ὁ μὲν γὰρ ἀναίσχυντός ὁ ἐν παντὶ καὶ πρὸς πάντας λέγων καὶ πράττων ἃ ςεν, ὁ δὲ καταπεπληγμένος ὁ ἐναντίος τȣ́τῳ, ὁ πάντα πρὸς πάντας εὐλαβούμενος καὶ πρᾶξαι καὶ εἰπεῖν· ακτος γὰρ ὁ τοιȣ̃τος, ὁ πάντα καταπληττόμενος. ἡ δὲ ὼς καὶ ὁ αἰδήμων μεσότης τις τȣ́των· ȣ̓́τε γὰρ ἅπαντα πάντως, ὡς ὁ ἀναίσχυντος, καὶ ἐρεῖ καὶ πράξει, ȣ̓́τε ὁ καταπλήξ, ἐν παντὶ καὶ πάντως εὐλαβηθήσεται, ἃ πράξει καὶ ἐρεῖ ἐν οἷς δεῖ καὶ ἃ δεῖ καὶ ὅτε δεῖ.

Εὐτραπελία δ' ἐστὶ μεσότης βωμολοχίας καὶ ἀγροι-, ἔςι δὲ περὶ τὰ σκώμματα. ὅ τε γὰρ βωμολόχος ἐςὶν ίντα καὶ πᾶν οἰόμενος δεῖν σκώπτειν, ὅ τε ἄγροικος ὁ σκώπτειν βȣλόμενος [δεῖν] μήτε σκωφθῆναι, ἀλλ' ζόμενος. ὁ δ' εὐτράπελος ἀνὰ μέσον τούτων, ὁ μήτε τας καὶ πάντως σκώπτων μήτ' αὐτὸς ἄγροικος ὤν. ἔςαι εὐτράπελος διττῶς πως λεγόμενος· καὶ γὰρ ὁ δυνά- ς σκῶψαι ἐμμελῶς, καὶ ὃς ἂν ὑπομείνῃ σκωπτόμενος, άπελος, καὶ ἡ εὐτραπελία τοιαύτη.

Φιλία δ' ἐςὶ μεσότης κολακείας καὶ ἔχθρας, ἔςι δὲ πράξεις καὶ λόγȣς. ὁ μὲν γὰρ κόλαξ ἐστὶν ὁ πλείω προσηκόντων καὶ ὄντων προστιθείς, ὁ δ' ἀπεχθητικὸς ὸς καὶ τῶν ὑπαρχόντων περιαιρῶν. ȣ̓δέτερος ȣ̓̃ν ὀρθῶς νετός ἐστιν, ὁ δὲ φίλος ἀνὰ μέσον τούτων· οὔτε γὰρ ω τῶν ὑπαρχόντων προσθήσει, οὔτ' ἐπαινέσει τὰ μὴ ήκοντα, οὔτ' αὖ πάλιν ἐλάττω ποιήσει, οὔτε πάντως ιώσεται παρὰ τὸ δοκȣ̃ν αὐτῷ. ὁ μὲν ȣ̓̃ν φίλος τοιȣ̃τος.

'Αλήθεια δ' ἐςὶ μεταξὺ εἰρωνείας καὶ ἀλαζονείας. ἔςι ερὶ λόγȣς, ȣ̓ πάντας δέ. ὁ μὲν γὰρ ἀλαζών ἐστιν ὁ ω τῶν ὑπαρχόντων αὐτῷ προσποιȣ́μενος εἶναι, ἢ εἰδέναι ἢ οἶδεν· ὁ δ' εἴρων ἐναντίος τούτῳ, καὶ ἐλάττω τῶν χόντων προσποιȣ́μενος αὐτῷ εἶναι, καὶ ἃ οἶδε μὴ φά-, ἀλλ' ἐπικρυπτόμενος τὸ εἰδέναι. ὁ δ' ἀληθὴς ȣ̓δέτερον ποιήσει· οὔτε γὰρ προσποιήσεται πλείω τῶν ὑπαρ-ων ȣ̓́τ' ἐλάττω, ἀλλὰ τὰ ὑπάρχοντα αὐτῷ ταῦτα φή-αὶ εἶναι καὶ εἰδέναι. εἰ μὲν ȣ̓̃ν εἰσὶν αὗται ἀρεταὶ ἢ ρεταί, ἄλλος ἂν εἴη λόγος· ὅτι δὲ μεσότητές εἰσι τῶν ένων, δῆλον· οἱ γὰρ κατ' αὐτὰς ζῶντες ἐπαινȣ̃νται.

Περὶ δὲ δικαιοσύνης λοιπὸν ἂν εἴη εἰπεῖν τί ἐστι καὶ ἐν τίσι καὶ περὶ ποῖα. πρῶτον μὲν ȣ̓̃ν εἰ λάβοιμεν τί ἐστι τὸ δίκαιον, ἔςι δὴ διττὸν τὸ δίκαιον, ὧν τὸ μέν ἐςι κατὰ νόμον· δίκαια γάρ φασιν εἶναι ἃ ὁ νόμος προςάττει. ὁ δὲ νόμος κελεύει τἀνδρεῖα πράττειν καὶ τὰ σώφρονα, καὶ ἁπλῶς ἅπαντα ὅσα κατὰ τὰς ἀρετὰς λέγεται. διὸ καί, φασί, δοκεῖ ἡ δικαιοσύνη τελεία τις ἀρετὴ εἶναι· εἰ γὰρ δίκαια μέν ἐςιν ἃ ὁ νόμος κελεύει ποιεῖν, ὁ δὲ νόμος τὰ κατὰ πάσας ἀρετὰς ὄντα προςάττει, ὁ ἄρα τοῖς κατὰ νόμον ἐμμένων δικαίοις τελείως σπȣδαῖος ἔςαι, ὥςε ὁ δίκαιος καὶ ἡ δικαιοσύνη τελεία τις ἀρετή ἐςιν. ἓν μὲν δή τι δίκαιον ἔν τε τȣ́τοις ἐςὶ καὶ περὶ ταῦτα. ἀλλὰ μὴν ȣ̓ τȣ̃το τὸ δίκαιον ȣ̓δὲ τὴν περὶ ταῦτα δικαιοσύνην ζητȣ̃μεν. κατὰ μὲν γὰρ ταῦτα τὰ δίκαια ἔστι καθ' ἑαυτὸν ὄντα δίκαιον εἶναι· ὁ γὰρ σώφρων καὶ ὁ ἀνδρεῖος καὶ ὁ ἐγκρατὴς καὶ αὐτὸς καθ' ἑαυτόν ἐστι τοιȣ̃τος. ἀλλὰ τὸ δίκαιον τὸ πρὸς ἕτερον ἄλλο τȣ̃ εἰρημένȣ κατὰ νόμον δικαίου ἐστίν· ȣ̓ γὰρ ἔστιν ἐν τοῖς πρὸς ἕτερον δικαίοις ȣ̓̃σι καθ' αὑτὸν εἶναι δίκαιον. τȣ̃το δ' ἐςὶν ὃ ζητȣ̃μεν δίκαιον καὶ τὴν δικαιοσύνην τὴν περὶ ταῦτα. τὸ τοίνυν δίκαιόν ἐστι τὸ πρὸς ἕτερον ὡς ἁπλῶς εἰπεῖν τὸ ἴσον. τὸ γὰρ ἄδικον τὸ ἄνισόν ἐςιν· ὅταν γὰρ τῶν μὲν ἀγαθῶν τὰ μείζω αὑτοῖς νέμωσι, τῶν δὲ κακῶν τὰ ἐλάσσονα, ἄνισον τȣ̃τ' ἐστί, καὶ ȣ̓́τως ἀδικεῖν καὶ ἀδικεῖσθαι οἴονται. δῆλον ἄρα ὅτι ἐπειδὴ ἡ ἀδικία ἐν ἀνίσοις, ἡ δικαιοσύνη καὶ τὸ δίκαιον ἐν ἰσότητι συμβολαίων. ὥςε δῆλον ὅτι ἡ δικαιοσύνη μεσότης τις ἂν εἴη ὑπερβολῆς καὶ ἐλλείψεως καὶ πολλȣ̃ καὶ ὀλίγȣ. ὅ τε γὰρ ἄδικος τῷ ἀδικεῖν πλεῖον ἔχει, καὶ ὁ ἀδικούμενος δὲ τῷ ἀδικεῖσθαι ἔλαττον· τὸ δέ γε μέσον τȣ́των δίκαιόν ἐςιν. τὸ δὲ μέσον ἴσον, ὥστε τὸ ἴσον ἂν πλείονος καὶ ἐλάττονος εἴη δίκαιον, καὶ δίκαιος δὲ ὁ τὸ ἴσον βȣλόμενος ἔχειν. τὸ δέ γε ἴσον ἐν ἐλαχίςοις δυσὶν ἐγγίνεται· τὸ ἄρα πρὸς ἕτερον ἴσον εἶναι δίκαιόν ἐςι, καὶ δίκαιος ὁ τοιȣ̃τος ἂν εἴη. ἐπεὶ ȣ̓̃ν ἡ δικαιοσύνη ἐν δικαίῳ καὶ ἐν ἴσῳ καὶ ἐν μεσότητι, τὸ μὲν δίκαιον ἔν τισι λέγεται δίκαιον, τὸ δ' ἴσον τισὶν ἴσον, τὸ δὲ μέσον τισὶ μέσον, ὥσθ' ἡ δικαιοσύνη καὶ τὸ δίκαιον ἔςαι καὶ πρός τινας καὶ ἔν τισιν. ἐπεὶ ȣ̓̃ν ἐςὶ τὸ δίκαιον ἴσον, καὶ τὸ τῷ ἀνάλογον ἴσον δίκαιον ἂν εἴη. τὸ δ' ἀνάλογον ἐν τέτταρσι γίνεται ἐλαχίςοις· ὡς γὰρ τὸ Α πρὸς τὸ Β, τὸ Γ πρὸς τὸ Δ. οἷον ἀνάλογόν ἐςι τὸν τὰ πολλὰ κεκτημένον πολλὰ εἰσ-

5. πρὸς om K^b. ‖ 7. τις om M^b. ‖ 9. εὐλαβήσεται K^b. ‖ 11 et 19. εὐτραπέλεια K^b. ‖ 12. δὴ K^b. ‖ τὰ om M^b. ‖ 16. γὰρ ἄγροικος M^b. ‖ 18. ἂν om K^b. ‖ 21. πρᾶξιν K^b. ‖ 22. προσόντων προστεθείς M^b. ‖ 27. ȣ̓̃ν et 39. δὲ om M^b.
1. πρότερον οὖν M^b. ‖ 3. πράττει K^b. ‖ 6. φησὶ M^b. ‖ 8. πάσας] τὰς M^b. ‖ 9. τέλειος M^b. ‖ 10. δή om M^b. ‖ 12. ȣ̓δὲ] ἢ K^b. ‖ 14. ὁ secundum et tertium om K^b. ‖ 22. ȣ̓́τως] ȣ̓ M^b. ‖ ἄδικον K^b, δίκαιον M^b. ‖ 25. ὑπεροχῆς K^b. ‖ 27. πλέον M^b. ‖ ἂν post εἴη M^b. ‖ 36. δίκαιον τὸ K^b. ‖ τῷ] τούτῳ K^b.

φέρειν, τὸν δὲ τὰ ὀλίγα κεκτημένον ὀλίγα· πάλιν ὁμοίως τὸν μὲν πολλὰ πεπονηκότα πολλὰ λαμβάνειν, τὸν δὲ ὀλίγα πεπονηκότα ὀλίγα λαμβάνειν. ὡς δ' ἔχει ὁ πεπονηκὼς πρὸς τὸν μὴ πεπονηκότα, οὕτω τὰ πολλὰ πρὸς τὰ ὀλίγα· ὡς δ' ὁ πεπονηκὼς πρὸς τὰ πολλά, οὕτως ὁ μὴ πεπονηκὼς πρὸς τὰ ὀλίγα. ἔοικε δὲ καὶ Πλάτων τῇ ἀναλογίᾳ ταύτῃ τοῦ δικαίου χρῆσθαι ἐν τῇ πολιτείᾳ. ὁ μὲν γὰρ γεωργός, φησί, σῖτον ποιεῖ, ὁ δ' οἰκοδόμος οἰκίαν, ὁ δ' ὑφάντης ἱμάτιον, ὁ δὲ σκυτοτόμος ὑπόδημα. ὁ μὲν οὖν γεωργὸς τῷ οἰκοδόμῳ σῖτον δίδωσιν, ὁ δ' οἰκοδόμος τῷ γεωργῷ οἰκίαν· ὁμοίως δὲ οἱ ἄλλοι πάντες οὕτως ἔχουσιν ὥστε τὰ παρ' αὐτοῖς ἀντικαταλλάττεσθαι τῶν παρὰ τοῖς ἄλλοις. ἔστι δ' ἡ ἀναλογία αὕτη· ὡς γὰρ ὁ γεωργὸς τῷ οἰκοδόμῳ, οὕτως ὁ οἰκοδόμος τῷ γεωργῷ· ὁμοίως τῷ σκυτεῖ, τῷ ὑφάντῃ, τοῖς ἄλλοις πᾶσιν ἡ αὐτὴ ἀναλογία πρὸς ἀλλήλους γίνεται, καὶ συνέχει δ' ἡ αὐτὴ ἀναλογία τὴν πολιτείαν. ὥστε τὸ δίκαιον εἶναι ἔοικε τὸ ἀνάλογον· τὸ γὰρ δίκαιον συνέχει τὰς πολιτείας, τὸ αὐτὸ δ' ἐστὶ τὸ δίκαιον τῷ ἀνάλογον. ἐπεὶ δὲ ὁ οἰκοδόμος πλείονος ἄξιον ποιεῖ τὸ αὑτοῦ ἔργον ἢ ὁ σκυτεύς, καὶ ἦν ἔργον ἀντικαταλλάττεσθαι τῷ σκυτεῖ πρὸς τὸν οἰκοδόμον, ἀνθ' ὑποδημάτων δ' οὐκ ἦν οἰκίαν λαβεῖν, ἐνταῦθα ἤδη ἐνόμισαν, οὗ πάντα ταῦτα ὠνητά ἐστιν, ἀργύριον προσαγορεύσαντες νόμισμα, τούτῳ χρῆσθαι, καὶ τὴν ἀξίαν ἕκαστον ἑκάστου διδόντας τὴν ἄλλαξιν ποιεῖσθαι παρ' ἀλλήλων, καὶ τούτῳ τὴν πολιτικὴν κοινωνίαν συνέχειν. ἐπεὶ οὖν τὸ δίκαιόν ἐστιν ἐν τούτοις καὶ τοῖς εἰρημένοις ἔμπροσθεν, ἡ περὶ ταῦτα δικαιοσύνη ἂν εἴη τῇ ἕξει ὁρμὴν ἔχουσα μετὰ προαιρέσεως περὶ ταῦτα καὶ ἐν τούτοις. ἔστι δὲ δίκαιον καὶ ἀντιπεπονθός, οὐ μέντοι γε ὡς οἱ Πυθαγόρειοι ἔλεγον. ἐκεῖνοι μὲν γὰρ ᾤοντο δίκαιον εἶναι, ἅ τις ἐποίησε, ταῦτ' ἀντιπαθεῖν. τὸ δὴ τοιοῦτον οὐκ ἔστι πρὸς ἅπαντας. οὐ γάρ ἐστι δίκαιον οἰκέτῃ πρὸς ἐλεύθερον ταὐτόν· ὁ οἰκέτης γὰρ ἐὰν πατάξῃ τὸν ἐλεύθερον, οὐκ ἔστι δίκαιος ἀντιπληγῆναι, ἀλλὰ πολλάκις. καὶ τὸ ἀντιπεπονθὸς δὲ δίκαιόν ἐστιν ἐν τῷ ἀνάλογον· ὡς γὰρ ὁ ἐλεύθερος ἔχει πρὸς τὸν δοῦλον τῷ βελτίων εἶναι, οὕτως τὸ ἀντιποιῆσαι πρὸς τὸ ποιῆσαι. ὁμοίως δὲ καὶ ἐλευθέρῳ πρὸς ἐλεύθερον ἕξει. οὐ γὰρ δίκαιον, εἴ τις τὸν ὀφθαλμὸν ἐξέκοψέ τινος, ἀντεκκοπῆναι μόνον, ἀλλὰ πλείονα παθεῖν, ἀκολουθήσαντα τῇ ἀναλογίᾳ· καὶ γὰρ ἦρξε πρότερος καὶ ἠδίκησεν, ἀδικεῖ δὲ κατ' ἀμφότερα, ὥστε ἀνάλογον καὶ τὰ ἀδικήματα, καὶ τὸ ἀντιπαθεῖν πλείω ὧν ἐποίησε δίκαιόν ἐστιν. ἐπεὶ δὲ τὸ δίκαιον πολλαχῶς λέγεται, διοριστέον ὑπὲρ ποίου δικαίου ἐστὶν ἡ σκέψις. ἔστι δὴ δίκαιόν τι, ὥς φασίν, οἰκέτῃ πρὸς δεσπότην καὶ υἱῷ πρὸς πατέρα. τὸ δ' ἐν τούτοις δίκαιον ὁμωνύμως ἂν δόξειεν λέγεσθαι τῷ πολιτικῷ δικαίῳ. ἔστι γὰρ δίκαιον ὑπὲρ οὗ ἐστὶν ἡ σκέψις, τὸ πολιτικὸν δίκαιον. τοῦτο γὰρ μάλιστά ἐστιν ἐν ἰσότητι· κοινωνοὶ γὰρ οἱ πολῖταί τινες, καὶ ὅμοιοι βούλονται εἶναι τῇ φύσει, τῷ δὲ τρόπῳ ἕτεροι. τῷ δὲ υἱῷ πρὸς πατέρα καὶ οἰκέτῃ πρὸς δεσπότην οὐκ ἂν δόξειεν εἶναι δίκαιον οὐθέν· οὔτε γὰρ τῷ ποδὶ τῷ ἐμῷ πρὸς ἐμὲ οὔτε τῇ χειρί, ὁμοίως δ' οὐδ' ἑκάστῳ τῶν μορίων. ὡσαύτως ἂν οὖν δόξειεν ἔχειν καὶ ὁ υἱὸς πρὸς πατέρα· ὥσπερ γὰρ μέρος τί ἐστι τοῦ πατρὸς ὁ υἱός, πλὴν ὅταν ἤδη λάβῃ τὴν τοῦ ἀνδρὸς τάξιν καὶ χωρισθῇ ὑπ' αὐτοῦ, τότ' ἤδη ἐν ἰσότητι καὶ ὁμοιότητί ἐστι τῷ πατρί· οἱ δὲ πολῖται τοιοῦτοί τινες ἐθέλουσιν εἶναι. ὡς δ' αὔτως οὐδ' οἰκέτῃ πρὸς δεσπότην ἐστὶ δίκαιον διὰ τὴν αὐτὴν αἰτίαν· τοῦ γὰρ δεσπότου τί ἐστιν ὁ οἰκέτης. ἀλλὰ δὴ καὶ εἰ ἔστιν αὐτῷ δίκαιον, τὸ οἰκονομικὸν δίκαιον πρὸς αὐτόν ἐστιν. οὐ τοῦτο δέ γε ἡμεῖς ζητοῦμεν, ἀλλὰ τὸ πολιτικόν· ἐν ἰσότητι γὰρ καὶ ὁμοιότητι τὸ πολιτικὸν δίκαιον ἔοικεν εἶναι. ἀλλὰ δὴ τὸ μὲν ἐν ἀνδρὸς καὶ γυναικὸς κοινωνίᾳ δίκαιόν ἐστιν ἐγγὺς τοῦ πολιτικοῦ δικαίου· χεῖρον μὲν γὰρ ἡ γυνὴ τοῦ ἀνδρός, ἀλλ' οἰκειότερον, καὶ μετέχει ἰσότητός πως μᾶλλον, διὰ ἐγγὺς τῆς πολιτικῆς κοινωνίας ὁ βίος αὐτῶν, ὥστε καὶ τὸ δίκαιον τὸ γυναικὶ πρὸς ἄνδρα μάλιστά πως ἤδη τῶν ἄλλων πολιτικόν ἐστιν. ἐπεὶ οὖν ἐστὶ δίκαιον τὸ ἐν πολιτικῇ κοινωνίᾳ ὄν, ἡ δικαιοσύνη καὶ ὁ δίκαιος περὶ τὸ πολιτικὸν δίκαιον ἔσται. τῶν δὲ δικαίων ἐστὶ τὰ μὲν φύσει τὰ δὲ νόμῳ. δεῖ δ' οὕτως ὑπολαμβάνειν μὴ ὡς μηδέποτε ἂν μεταπεσόντα· καὶ γὰρ τὰ φύσει ὄντα μεταλαμβάνουσι μεταβολῆς. λέγω δ' οἷον εἰ τῇ ἀριστερᾷ μελετῷμεν πάντες ἀεὶ βάλλειν, γινοίμεθ' ἂν ἀμφιδέξιοι· ἀλλὰ φύσει γε ἀριστερά ἐστι, καὶ τὰ δεξιὰ οὐδὲν ἧττον φύσει βελτίω ἐστὶ τῆς ἀριστερᾶς, κἂν πάντα ποιῶμεν τῇ ἀριστερᾷ καθάπερ τῇ δεξιᾷ. οὐδ' ὅτι μεταπίπτουσι, διὰ τοῦτ' οὐκ ἔστι φύσει· ἀλλ' εἰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὸν πλείω χρόνον οὕτω διαμένει ἡ ἀριστερὰ οὖσα ἀριστερὰ καὶ ἡ δεξιὰ δεξιά, τοῦτο φύσει ἐστί.

3. ὁ πεπονηκὼς ἔχει K^b. ‖ 4. ὡς — 6. ὀλίγα om M^b. ‖ 6. τὸ δίκαιον K^b. ‖ 10. δὲ] καὶ M^b. ‖ 15. πρὸς ἀλλήλους om M^b. ‖ 16. τὰς πολιτείας M^b. ‖ ἔοικεν εἶναι K^b. ‖ 18. ἀναλόγως K^b. ‖ δὴ M^b. ‖ 20. τῷ] καὶ τῷ K^b. ‖ 21. ἐνόμισαν ταῦτα πάντα ὠνητὰ καί τι ἀργύριον προσαγορεύοντες M^b. ‖ 23. νομίσματι K^b. ‖ 24. διδόντες M^b. ‖ ἀλλήλου, omissis καὶ τούτῳ, K^b. ‖ 28. καὶ δίκαιον M^b. ‖ 29. πυθαγόριοι K^bM^b. ‖ 32. ταυτά K^b, om M^b. ‖ 33. δίκαιον M^b. ‖ 34. δὲ om M^b. ‖ 39. ἀκολουθήσοντα K^b.

6. ὁμώνυμον M^b. ‖ 9. πολιτικοί K^b. ‖ 12. παιδὶ K^b. ‖ οὔτε] οὐδὲ K^bM^b. ‖ 15. nonne ἀπ'? ‖ 16. αὐτῆς K^b. ‖ 19. ἀλλ' ἢ M^b. ‖ ἔστιν om M^b. ‖ 23. γυναικὸς καὶ ἀνδρὸς K^b. ‖ 24. γάρ ἐστιν ἡ K^b. ‖ 29. ὂν] ἐστὶ καὶ M^b. ‖ 39. ἀριστερὰ post οὖσα om K^b.

ος ἐπὶ τῶν φύσει δικαίων, μή, εἰ μεταβάλλει διὰ ετέραν χρῆσιν, διὰ τοῦτ' οὐκ ἔστι δίκαιον φύσει, ἀλλ' ὁ γὰρ ὡς ἐπὶ τὸ πολὺ διαμένον, τοῦτο φύσει δίκαιον ές. ὃ γὰρ ἂν ἡμεῖς θώμεθα καὶ νομίσωμεν, τοῦτο τι δίκαιον ἤδη καὶ καλοῦμεν κατὰ νόμον δίκαιον. οὖν δίκαιον τὸ κατὰ φύσιν τοῦ κατὰ νόμον. ἀλλ' ὃ , δίκαιόν ἐστι πολιτικόν. τὸ δὲ πολιτικόν ἐστι τὸ οὐ τὸ φύσει. τὸ δ' ἄδικον καὶ τὸ ἀδίκημα δόξειεν ι οὕτω ταὐτόν, οὐκ ἔστι δέ· τὸ μὲν γὰρ ἄδικόν ἐστι τὸ ρισμένον, οἷον τὸ παρακαταθήκην ἀποστερῆσαι ἄδικόν ὸ δ' ἀδίκημά ἐστι τὸ ἤδη ἀδίκως τι πρᾶξαι. ὁμοίως ίκαιον καὶ τὸ δικαιοπράγημα οὐ ταὐτόν· τὸ μὲν γὰρ τὸ τῷ νόμῳ ὡρισμένον, τὸ δὲ δικαιοπράγημα τὸ ια πράττειν. πότε οὖν τὸ δίκαιον, καὶ πότε οὔ; ὡς μὲν εἰπεῖν, ὅταν πράττῃ κατὰ προαίρεσιν καὶ ἑκου- ὸ δ' ἑκουσίως ὃ ἦν, εἴρηται ἐν τοῖς ἐπάνω ἡμῖν) καὶ δὼς καὶ ὃν καὶ ᾧ καὶ οὗ ἕνεκα, οὕτως δίκαιον πράτ- οίως καὶ ὡσαύτως καὶ ὁ ἄδικος ἔσται ὁ εἰδὼς καὶ ὃν καὶ οὗ ἕνεκα. ὅταν δὲ μηθὲν τούτων εἰδὼς πράξῃ τι ἄδικος μὲν οὐκ ἔστιν, ἀτυχὴς δέ· εἰ γὰρ οἰόμενος έμιον ἀποκτείνειν τὸν πατέρα ἀπέκτεινεν, ἄδικον μέν ξεν, ἀδικεῖ μέντοι οὐθένα, ἀτυχεῖ δέ. ὥστε οὖν τὸ μὴ τὰ ἄδικα πράττοντα ἐν τῷ ἀγνοεῖν ἐστὶ τοῦτο, ὃ καὶ ἐπάνω ἐλέγετο, ὅταν μὴ εἰδὼς μήθ' ὃν βλάπτει μήθ' οὗ ἕνεκεν. ἀλλ' ἤδη καὶ τὴν ἄγνοιαν διοριστέον ἐστί, γινομένης τῆς ἀγνοίας, ὃν βλάπτει, οὐκ ἀδικήσει. οὗτος ὁ διορισμός· ὅταν μὲν γὰρ ἡ ἄγνοια αἰτία ᾖ ξαί τι, οὐχ ἑκὼν τοῦτο πράττει, ὥστε οὐκ ἀδικεῖ· ὅταν ἀγνοίας αὐτὸς ᾖ αἴτιος, καὶ πράττῃ τι κατὰ τὴν ἧς αὐτὸς αἴτιός ἐστιν, οὗτος ἤδη ἀδικεῖ, καὶ δικαίως τοιοῦτος κληθήσεται. οἷον ἐπὶ τῶν μεθυόντων· οἱ γὰρ ες καὶ πράξαντές τι κακὸν ἀδικοῦσιν· τῆς γὰρ ἀγνοίας σιν αἴτιοι· ἐξῆν γὰρ αὐτοῖς μὴ πίνειν τοσοῦτον ὥστ' ντας τύπτειν τὸν πατέρα. ὁμοίως ἐπὶ τῶν ἄλλων ὅσαι μὲν γίνονται δι' αὐτούς, οἱ κατὰ ταύτας ἀδι- άδικοι· ὧν δὲ μὴ αὐτοί εἰσιν αἴτιοι, ἀλλ' ἡ ἄγνοια ς ἐστὶν αἰτία τοῖς πράξασι τοῦ πρᾶξαι, οὐκ ἄδικοι. τοιαύτη ἄγνοια ἡ φυσική, οἷον τὰ παιδία ἀγνοοῦντα τοὺς πατέρας τύπτουσιν, ἀλλ' ἡ ἐν τούτοις ἄγνοια φυσικὴ οὖσα οὐ ποιεῖ διὰ τὴν πρᾶξιν ταύτην τὰ παιδία λέγεσθαι ἄδικα· ἡ γὰρ ἄγνοια αἰτία τοῦ πράττειν ταῦτα, τῆς δ' ἀγνοίας οὐκ αὐτὰ αἴτια, διὸ οὐδ' ἄδικα λέγονται. ὑπὲρ δὲ δὴ τοῦ ἀδικεῖσθαι πῶς; πότερον ἑκόντα ἔστιν ἀδικεῖσθαι ἢ οὔ; δίκαια μὲν γὰρ καὶ ἄδικα πράττομεν ἑκόντες, ἀδικούμεθα δὲ οὐκέτι ἑκόντες· τὸ γὰρ κολάζεσθαι φεύγομεν, ὥστε δῆλον ὅτι οὐκ ἂν ἀδικοίμεθα ἑκόντες. οὐδεὶς γὰρ ἑκὼν βλάπτεσθαι ὑπομένει· τὸ γὰρ ἀδικεῖσθαι βλάπτεσθαί ἐστιν. ναί, ἀλλ' εἰσί τινες οἳ δέον αὐτοὺς τὸ ἴσον ἔχειν παραχωροῦσί τισιν, ὥστε εἰ τὸ ἴσον ἔχειν ἦν δίκαιον, τὸ δ' ἔλαττον ἔχειν ἀδικεῖσθαί ἐστιν, ἔλαττον δὲ ἑκὼν ἔχει, ἑκὼν ἄρα, φησίν, ἀδικεῖται. ἀλλ' ἐντεῦθεν δῆλον πάλιν ὅτι οὐχ ἑκών. πάντες γὰρ οἱ ἔλαττον λαμβάνοντες ἀντικαταλλάττονται ἢ τιμὴν ἢ ἔπαινον ἢ δόξαν ἢ φιλίαν ἢ ἄλλο τι τῶν τοιούτων· ὁ δ' ἀντικαταλλαττόμενός τι ἀνθ' οὗ προΐεται, οὐκέτι ἀδικεῖται· εἰ δὲ μὴ ἀδικεῖται, οὐδὲ ἑκὼν ἄρα. ἔτι πάλιν οἱ τὸ ἔλαττον λαμβάνοντες καὶ ἀδικούμενοι, ᾗ οὐκ ἴσον λαμβάνουσιν, οὗτοι καλλωπίζονται καὶ σεμνύνονται ἐπὶ τοῖς τοιούτοις, ὅτι φασίν "ἐξόν μοι ἴσον λαμβάνειν οὐκ ἐλάμβανον, ἀλλὰ παρῆκα τῷ πρεσβυτέρῳ ἢ τῷ φίλῳ." ἀδικούμενος δέ γε οὐδεὶς σεμνύνεται. εἰ δ' ἐπὶ τοῖς ἀδικήμασι μὴ σεμνύνονται, ἐπὶ δὲ τούτοις σεμνύνονται, ὅλως οὐκ ἂν ἀδικοῖντο οὕτως ἐλαττούμενοι. εἰ δὲ μὴ ἀδικοῦνται, οὐδ' ἂν ἑκόντες ἀδικοῖντο. πρὸς δὴ ταῦτα καὶ τοὺς τοιούτους λόγους ὁ ἐπὶ τοῦ ἀκρατοῦς λόγος ἐναντιοῦται· ὁ γὰρ ἀκρατὴς βλάπτει αὐτὸς αὑτὸν τὰ φαῦλα πράττων, καὶ ἑκών γε ταῦτα πράττει, βλάπτει ἄρα αὐτὸς αὑτὸν εἰδώς, ὥσθ' ἑκὼν αὐτὸς ὑφ' αὑτοῦ ἀδικεῖται. ἀλλ' ἐνταῦθα ὁ διορισμὸς προστεθεὶς κωλύσει τὸν λόγον τοῦτον. ἔστι δὲ ὁ διορισμὸς οὗτος, τὸ μηδένα βούλεσθαι ἀδικεῖσθαι. ὁ δέ γε ἀκρατὴς βουλόμενος πράττει τὰ κατὰ τὴν ἀκρασίαν, ὥστε αὐτὸς αὑτὸν ἀδικεῖ· βούλεται ἄρα τὰ φαῦλα πράττειν αὑτῷ. ἀλλ' οὐδεὶς βούλεται ἀδικεῖσθαι, ὥστ' οὐδ' ὁ ἀκρατὴς αὐτὸς αὑτὸν ἑκὼν ἀδικοίη. ἀλλ' ἴσως ἐνταῦθα πάλιν ἀπορήσειεν ἄν τις, ἆρά γε ἐνδέχεται αὐτὸν αὑτὸν ἀδικεῖν; ἐκ μὲν δὴ τοῦ ἀκρατοῦς σκοπουμένῳ ἔοικεν ἐνδέχεσθαι. καὶ πάλιν οὕτως. εἰ γὰρ ἃ ὁ νόμος πράττειν τάττει, ταῦτά ἐστι δίκαια, ὁ μὴ πράττων

μεταβάλλοι M^b. || 3. φύσει om M^b. || 9. οὕτω] οὐ K^b. || οὐκ ἔστι δέ om K^b. || 10. τὴν K^b. || 11. ἤδη om M^b. || 17. οὗτος 8. ὁ post καὶ om M^b. || 19. εἰδὼς τούτων M^b. || 21. ἀποκτενεῖν M^b. || 22. τι] τοι K^b, om M^b. || ὥστε] ἐπεὶ K^b. || 25. μηδ' || καὶ om M^b. || 29. τι om M^b. || 31. ὁ τοιοῦτος αἴτιος M^b. || 33. αὐτοί] αὐτοῖς K^b, αὐτοὶ αὐτοῖς corr K^b. || 34. ὁμοίως] || 35. ὅσοις μὲν γίνεταί τι δι' M^b. || κατ' αὐτὰς M^b. || 37. τοῦτο M^b. || 38. ἡ post ἄγνοια om K^b.

οὐδ'] οὐκ M^b. || δὲ om M^b. || 10. αὐτοῖς M^b. || 11. δ' om K^b. || 12. ἐλάττω K^b. || 15. τι ἄλλο M^b. || 16. τι ἀνθ'] ταῦθ' 17. οὐδὲ ἑκὼν ἄρα om M^b. || 19. καὶ σεμνύνονται om M^b. || τῶν τοιούτων K^b. || 23. ἀδικοῖντ' ἂν M^b. || οἱ οὕτως K^b. || 26. αὐτὸς || ἑαυτὸν M^b. || 28. ἄρα] δ' M^b. || 29. προτεθεὶς κωλύει M^b. || 30. ὁ om M^b. || 31. γε om M^b. || 36. αὐτὸν] αὐτὸς codices.

ταῦτα ἀδικεῖ· καὶ εἰ πρὸς ὃν κελεύει πράττειν, πρὸς τῦτον εἰ μὴ πράττει, τῦτον ἀδικεῖ. ὁ δὲ νόμος κελεύει σώφρονα εἶναι, ὑσίαν κεκτῆσθαι, σώματος ἐπιμελεῖσθαι, καὶ τἆλλα τὰ τοιαῦτα· ὁ ἄρα ταῦτα μὴ πράττων ἀδικεῖ αὐτόν· εἰς οὐθένα γὰρ ἄλλον τῶν τοιούτων ἀδικημάτων ἡ ἀναφορά ἐςιν. ἀλλὰ μή ποτε ταῦτα ὐκ ἀληθῆ ἦν, ὐδ' ἐνδέχεται αὐτὸν ἀδικεῖν αὐτόν. τὸν γὰρ αὐτὸν οὐκ ἐνδέχεται κατὰ τὸν αὐτὸν χρόνον πλεῖον ἔχειν καὶ ἔλαττον, οὐδ' ἑκόντα ἅμα καὶ ἄκοντα· ἀλλὰ μὴν ὁ ἀδικῶν, ᾗ ἀδικεῖ, πλεῖον ἔχει, ὁ δ' ἀδικύμενος, ᾗ ἀδικεῖται, ἔλαττον· εἰ ἄρα αὐτὸς αὐτὸν ἀδικεῖ, ἐνδέχεται τὸν αὐτὸν κατὰ τὸν αὐτὸν χρόνον καὶ πλεῖον ἔχειν καὶ ἔλαττον. ἀλλὰ τῦτ' ἀδύνατον· οὐκ ἄρα ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν. ἔτι ὁ μὲν ἀδικῶν ἑκὼν ἀδικεῖ, ὁ δὲ ἀδικύμενος ἄκων ἀδικεῖται, ὥστε εἰ ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν, ἐνδέχοιτ' ἂν ἅμα καὶ ἀκυσίως καὶ ἑκυσίως πράττειν τι. τῦτο δὲ ἀδύνατον· ὐκ ἄρα ὐδ' ὕτως ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν. ἔτι εἴ τις λαμβάνοι ἐκ τῶν κατὰ μέρος ἀδικημάτων. ἀδικοῦσι γὰρ πάντες ἤτοι παρακαταθήκην ἀποστερῦντες ἢ μοιχεύοντες ἢ κλέπτοντες ἤ τι ἄλλο τῶν κατὰ μέρος ἀδικημάτων ποιῦντες· ὐδεὶς δὲ πώποτε αὐτὸς αὐτὸν παρακαταθήκην ἀπεςέρησεν, ὐδ' ἐμοίχευσε τὴν αὐτῦ γυναῖκα, ὐδ' ἔκλεψεν αὐτὸς τὰ αὐτοῦ, ὥςε εἰ τὸ μὲν ἀδικεῖν ἐν τοῖς τοιύτοις ἐςί, τύτων δὲ μηθὲν ἐνδέχεται πρὸς αὐτὸν ποιεῖν, ὐκ ἂν ἐνδέχοιτο αὐτὸν ἀδικεῖν. εἰ δὲ μή, οὐ τό γε πολιτικὸν ἀδίκημα, ἀλλὰ τὸ οἰκονομικόν· ἡ γὰρ ψυχὴ εἰς πλείω μεμερισμένη ἔχει τι αὐτῆς τὸ μὲν χεῖρον τὸ δὲ βέλτιον, ὥστ' εἴ τι ἐγγίγνεται τῶν ἐν ψυχῇ ἀδίκημα, τῶν μερῶν ἐςὶ πρὸς ἄλληλα. τὸ οἰκονομικὸν γὰρ ἀδίκημα διειλόμεθα τῷ ἐπὶ τὸ χεῖρον καὶ βέλτιον, ὡς γίνεσθαι πρὸς αὐτὸν ἄδικον καὶ δίκαιον. οὐ τῦτο δ' ἡμεῖς ἐπισκοπύμεθα, ἀλλὰ τὸ πολιτικόν. ὥςτ' ἐν τοῖς τοιύτοις ἀδικήμασιν ἐν οἷς ἡμεῖς ζητῦμεν, ὐκ ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν. πότερος δὲ πάλιν ἀδικεῖ, καὶ ἐν ποτέρῳ ἐςὶ τὸ ἀδίκημα, ἐν τῷ ἀδίκως ὁτιῦν ἔχοντι ἢ τῷ κρίναντι καὶ τῷ ἀπονείμαντι, ὥσπερ ἐν τοῖς ἀγῶσιν; καὶ γὰρ ὁ λαβὼν τὸν φοίνικα παρὰ τοῦ ἐφεστῶτος καὶ ταῦτα κρίναντος οὐκ ἀδικεῖ, κἂν ἀδίκως αὐτῷ ἀποδοθῇ· ἀλλ' ἤδη ὁ κρίνας κακῶς καὶ ὑδύς, ὗτος ἀδικεῖ. καὶ ὗτος ἔςι μὲν ᾗ ἀδικεῖ, ἔςι δὲ ᾗ ὐκ ἀδικεῖ· ᾗ μὲν γὰρ τι ἀληθείᾳ καὶ τῇ φύσει ὂν δίκαιον μὴ ἔκρινε, ταύτῃ ἀδικεῖ, ᾗ δὲ τὸ αὐτῷ δοκῦν εἶναι δίκαιον, ὐκ ἀδικεῖ.

Ἐπειδὴ δ' ὑπὲρ τῶν ἀρετῶν εἴρηται, καὶ τίνες καὶ ἐν τίσι καὶ περὶ ποῖα, καὶ περὶ ἑκάςης αὐτῶν, ὅ πράττοιμεν κατὰ τὸν ὀρθὸν λόγον τὸ βέλτιστον, τὸ ὕτως εἰπεῖν, τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν, ὅμοιόν ὥσπερ ἂν εἴ τις εἴποι ὅτι ὑγίεια ἄρις' ἂν γένοιτο, εἰ τὰ ὑγιεινὰ προσφέροιτο. τὸ δὴ τοιῦτον ἀσαφές· ἀλλ' μοι, τὰ ποῖα διασάφησον ὑγιεινά ἐςιν. ὕτω καὶ ἐπὶ λόγυ, τί ἔςιν ὁ λόγος καὶ τίς ὁ ὀρθὸς λόγος; ἀναγκ ἴσως ἐςὶ πρῶτον μέν, ἐν ᾧ ὁ λόγος ἐγγίνεται, ὑπὲρ τ διελέσθαι. διωρίσθη μὲν οὖν ὑπὲρ ψυχῆς ὡς τύπῳ πρότερον, ὅτι τὸ μὲν αὐτῆς ἐςὶ λόγον ἔχον, τὸ δ' ἄλ μόριον τῆς ψυχῆς. ἔςι δὴ εἰς δύο τὴν διαίρεσιν ἔχω λόγον ἔχον μόριον τῆς ψυχῆς, ὧν ἐςὶ τὸ μὲν βυλευτ τὸ δ' ἐπιςημονικόν. ὅτι δὲ ἕτερα ἀλλήλων ἐστίν, ἐκ τ ὑποκειμένων ἂν γένοιτο φανερόν. ὥσπερ γὰρ δὴ ἕτερά ἀ ἀλλήλων χρῶμά τε καὶ χυμὸς καὶ ψόφος καὶ ὀσ ὡσαύτως καὶ τὰς αἰσθήσεις ἑτέρας αὐτῶν ἡ φύσις ἀ δωκεν· ψόφον μὲν γὰρ ἀκοῇ, χυμὸν δὲ γεύσει γνωρί μεν, χρῶμα δὲ ὄψει. ὁμοίως δὲ καὶ τἆλλα τὸν αὐ τρόπον δεῖ ὑπολαμβάνειν, ἐπεὶ ἕτερα τὰ ὑποκείμενά ἐς ἕτερα καὶ τὰ τῆς ψυχῆς εἶναι μέρη οἷς ταῦτα γνωρί μεν. ἕτερον δ' ἐστὶ τὸ νοητὸν καὶ τὸ αἰσθητόν, ταῦτα ψυχῇ γνωρίζομεν· ἕτερον ἄρ' ἂν εἴη τὸ μόριον τὸ περὶ αἰσθητὰ καὶ τὰ νοητά. τὸ δὲ βυλευτικὸν καὶ προαιρετι περὶ τὰ αἰσθητὰ καὶ ἐν κινήσει, καὶ ἁπλῶς ὅσα ἐν γε σει τε καὶ φθορᾷ ἐστίν. βυλευόμεθα γὰρ ὑπὲρ τύτων ἐφ' ἡμῖν ἐστὶ καὶ πρᾶξαι καὶ μὴ πρᾶξαι προαιρούμ περὶ ἅ ἐςι βυλὴ καὶ προαίρεσις τῦ πρᾶξαι ἢ μὴ πρᾶξα ταῦτα δ' ἐστὶν αἰσθητὰ καὶ ἐν κινήσει τῦ μεταβάλλ ὥστε τὸ προαιρετικὸν μόριον τῆς ψυχῆς κατὰ τὸν λό τῶν αἰσθητῶν ἐστίν. τύτων δὴ διωρισμένων, μετὰ τα λεκτέον ἂν εἴη, ἐπειδὴ ὑπὲρ ἀληθοῦς ἐστὶν ὁ λόγος κ τἀληθὲς ὡς ἔχει σκοπῦμεθα, ἔςι δ' ἐπιςήμη, φρόνησις, σοφία ὑπόληψις, περὶ τί δὴ ἕκαςον τύτων ἐςίν. ἡ μὲν ἐπιςήμη ἐςὶ περὶ ἐπιςητόν, καὶ τῦτο μετ' ἀποδείξεως κ

5. ἄλλων K^b. ‖ 6. ταῦτα] τὰ τοιαῦτα M^b. ‖ 13. αὐτὸν] τὸν αὐτὸν M^b. ‖ 18. ἅπαντες M^b. ‖ 19. παραθήκην K^b. ‖ 22. ἑαυτῦ ἑαυτοῦ K^b. ‖ 28. ἐςὶ om K^b. ‖ 29. τῷ] τὸ K^bM^b. ‖ τὸ om M^b. ‖ 33. πότερον K^b.

2. μὲν om K^b. ‖ 3. δὲ ταὐτῷ δοκῦν K^b. ‖ 4. ἐπεὶ K^b. ‖ 6. πράττομεν K^b. ‖ μὲν] μὲν γὰρ M^b, μέντοι corr. ‖ 7. post πράτ K^b τὸ βέλτιςον. ‖ 10. ἐςιν ὑγιεινὰ K^b. ‖ 13. διωρίσθω M^b. ‖ 14. ἔχον — 15. μόριον] ἔχοντος μορίυ K^b, ἔχον τὸ δ' ἄλογον καὶ τῦ λό ἔχοντος μορίυ M^b. ‖ 15. δὴ] δ' M^b. ‖ 16. ἄλογον K^b, ἓν λόγον M^b. ‖ τῆς] λόγον τῆς K^b. ‖ 18. ἀλλήλων ἐςὶ M^b. ‖ 19. χρώμα καὶ K^bM^b. ‖ 20. καὶ] δὲ καὶ M^b. ‖ 23. ἐπεὶ δ' ἕτερα M^b. ‖ 26. ἄρ' om M^b. ‖ 27. καὶ προαιρετικὸν om K^b. ‖ 29. βυλόμ M^b. ‖ 31. ἐςι] ἐςι καὶ M^b. ‖ 34. τὸν αἰσθητόν K^b. ‖ δὲ M^b. ‖ 36. τἀληθῆ M^b. ‖ δ'] δ' ἡ K^b. ‖ 37. ὧν om M^b.

4. ἡ φρόνησις — ἕξις προαιρετικὴ καὶ πρακτική —
20. N83 — περὶ τὰς ἀρχὰς τῶν νοητῶν καὶ τῶν ὄντων.

διατεινόμενον, ἡ δὲ φρόνησις περὶ τὰ πρακτά, ἐν οἷς
τις καὶ φυγὴ καὶ ἐφ' ἡμῖν ἐςὶ πρᾶξαι καὶ μὴ πρᾶ-
ἔςι δὴ τῶν ποιϐμένων καὶ πραττομένων ϐ ταὐτὸ τὸ
τικὸν καὶ πρακτικόν· τῶν μὲν γὰρ ποιητικῶν ἐστί τι
ὴ τὴν ποίησιν ἄλλο τέλος, οἷον παρὰ τὴν οἰκοδομικήν,
ἥ ἐςι ποιητικὴ οἰκίας, οἰκία αὐτῆς τὸ τέλος παρὰ τὴν
τιν. ὁμοίως ἐπὶ τεκτονικῆς καὶ τῶν ἄλλων τῶν ποιητι-
ἐπὶ δὲ τῶν πρακτικῶν ὐκ ἔςιν ἄλλο ὐθὲν τέλος παρ'
ν τὴν πρᾶξιν, οἷον παρὰ τὸ κιθαρίζειν ὐκ ἔςιν ἄλλο
ς ὐθέν, ἀλλ' αὐτὸ τῦτο τέλος, ἡ ἐνέργεια καὶ ἡ πρᾶξις.
μὲν ὖν τὴν πρᾶξιν καὶ τὰ πρακτὰ ἡ φρόνησις, περὶ
ὴν ποίησιν καὶ τὰ ποιητὰ ἡ τέχνη· ἐν γὰρ τοῖς ποιη-
μᾶλλον ἢ ἐν τοῖς πρακτοῖς ἐςὶ τὸ τεχνάζειν. ὥςε ἡ
ησις ἂν εἴη ἕξις τις προαιρετικὴ καὶ πρακτικὴ τῶν
ἡμῖν ὄντων καὶ πρᾶξαι καὶ μὴ πρᾶξαι, ὅσα εἰς τὸ
φέρον ἤδη συντείνει. ἔςι δ' ἡ φρόνησις ἀρετή, ὡς δό-
ἄν, ὐκ ἐπιςήμη· ἐπαινετοὶ γάρ εἰσιν οἱ φρόνιμοι, ὁ
ταινος ἀρετῆς. ἔτι δ' ἐπιςήμης μὲν πάσης ἀρετή ἐςι,
ήσεως δὲ ἀρετὴ ὐκ ἔςιν, ἀλλ' ὡς ἔοικεν, αὐτό τί ἐςιν
ή. ὁ δὲ νῦς ἐςὶ περὶ τὰς ἀρχὰς τῶν νοητῶν καὶ τῶν
· ἡ μὲν γὰρ ἐπιστήμη τῶν μετ' ἀποδείξεως ὄντων.
αἱ δ' ἀρχαὶ ἀναπόδεικτοι, ὥς' ὐκ ἂν εἴη περὶ τὰς
ὰς ἡ ἐπιςήμη, ἀλλ' ὁ νῦς. ἡ δὲ σοφία ἐςὶν ἐξ ἐπι-
ης καὶ νῦ συγκειμένη. ἔςι γὰρ ἡ σοφία καὶ περὶ τὰς
ὰς καὶ τὰ ἐκ τῶν ἀρχῶν ἤδη δεικνύμενα, περὶ ἃ ἡ
ήμη· ᾗ μὲν ὖν περὶ τὰς ἀρχάς, τῦ νῦ αὐτὴ μετέχει,
περὶ τὰ μετὰ τὰς ἀρχὰς μετ' ἀποδείξεως ὄντα, τῆς
ήμης μετέχει. ὥςε δῆλον ὅτι ἡ σοφία ἐςὶν ἔκ τε νῦ
ἐπιςήμης συγκειμένη, ὥς' εἴη ἂν περὶ ταῦτα περὶ ἃ
ὁ νῦς καὶ ἡ ἐπιστήμη. ἡ δὲ ὑπόληψίς ἐστιν, ᾗ ὑπὲρ
των ἐπαμφοτερίζομεν πρὸς τὸ καὶ εἶναι ταῦτα ὕτω
μὴ εἶναι. πότερον δ' ἐστὶν ἡ φρόνησις καὶ ἡ σοφία
ὸν ἢ ὔ; ἡ μὲν γὰρ σοφία ἐςὶ περὶ τὰ μετ' ἀποδεί-
καὶ ἀεὶ ὡσαύτως ὄντα, ἡ δὲ φρόνησις ὐ περὶ ταῦτα
ὴ περὶ τὰ ἐν μεταβολῇ ὄντα. λέγω δὲ οἷον εὐθὺ μὲν
μπύλον καὶ κοῖλον καὶ τὰ τοιαῦτα ἀεί ἐςι τοιαῦτα,
ὲ συμφέροντα ὐκέτι ὕτως ἔχουσι τὸ μὴ εἰς ἄλληλα
βάλλειν, ἀλλὰ μεταβάλλυσι, καὶ νῦν μὲν συμφέρει
, αὔριον δ' ὔ, καὶ τῷ μέν, τῷ δ' ὔ, καὶ ὕτω μὲν

συμφέρει, ἐκείνως δὲ ὐ συμφέρει. περὶ δὲ τὰ συμφέροντά ἐςιν ἡ φρόνησις, ἡ δὲ σοφία ὔ. ἕτερον ἄρα ἡ σοφία καὶ ἡ φρόνησις. πότερον δ' ἐςὶν ἡ σοφία ἀρετὴ ἢ ὔ, διὰ τύτων ἂν δῆλον γένοιτο, ὅτι ἐςὶν ἀρετὴ ἐξ αὐτῆς τῆς φρονήσεως. εἰ γὰρ ἡ φρόνησις ἀρετή ἐστιν, ὡς φαμέν, τοῦ μορίυ τῦ ἑτέρυ τῶν λόγον ἐχόντων, ἔςι δὲ χείρων ἡ φρόνησις τῆς σοφίας (περὶ χείρω γάρ ἐςιν· ἡ μὲν γὰρ σοφία περὶ τὸ ἀΐδιον καὶ τὸ θεῖον, ὡς φαμέν, ἡ δὲ φρόνησις περὶ τὸ συμφέρον ἀνθρώπῳ), εἰ ὖν τὸ χεῖρον ἀρετή ἐςι, τό γε βέλτιον εἰκός ἐςιν ἀρετὴν εἶναι, ὥςε δῆλον ὅτι ἡ σοφία ἀρετή ἐςιν. ἡ δὲ σύνεσις τί ἐςιν ἢ περὶ τί; ἔςι δ' ἡ σύνεσις ἐν οἷσπερ καὶ ἡ φρόνησις, περὶ τὰ πρακτά. ὁ γὰρ συνετός πυ λέγεται τῷ δυνατὸς βυλεύεσθαι καὶ ἐν τῷ ὀρθῶς τι κρῖναι καὶ ἰδεῖν, περὶ μικρῶν τε καὶ ἐν μικροῖς ἡ κρίσις αὐτοῦ. ἔστιν οὖν ἡ σύνεσις καὶ ὁ συνετὸς μέρος τι φρονήσεως καὶ τῦ φρονίμυ, καὶ ὐκ ἄνευ τύτων· ὐ γὰρ ἂν χωρίσαις τὸν συνετὸν τῦ φρονίμου. ὁμοίως δ' ἂν δόξειεν ἔχειν καὶ τὰ ἐπὶ τῆς δεινότητος· ἡ γὰρ δεινότης καὶ ὁ δεινὸς οὐκ ἔστι μὲν οὔτε φρόνησις ὔτε φρόνιμος, ὁ μέντοι φρόνιμος δεινός, διὸ καὶ συνεργεῖ πως τῇ φρονήσει ἡ δεινότης. ἀλλὰ δεινὸς μὲν καὶ ὁ φαῦλος λέγεται, οἷον Μέντωρ δεινὸς μὲν ἐδόκει εἶναι, ἀλλ' ὐ φρόνιμος ἦν. τῦ γὰρ φρονίμυ καὶ τῆς φρονήσεώς ἐςι τὸ τῶν βελτίςων ἐφίεσθαι καὶ τούτων προαιρετικὸν εἶναι καὶ πρακτικὸν ἀεί, τῆς δὲ δεινότητος καὶ τῦ δεινοῦ σκέψασθαι ἐκ τίνων ἂν ἕκαστον γένοιτο τῶν πρακτῶν, καὶ τὸ ταῦτα πορίσαι. δόξειεν ἂν ὖν εἶναι ὁ δεινὸς ἐν τοῖς τοιύτοις τε καὶ περὶ ταῦτα. ἀπορήσειε δ' ἄν τις καὶ θαυμάσειε, διὰ τί ὑπὲρ ἠθῶν λέγοντες καὶ πολιτικῆς τινὸς πραγματείας ὑπὲρ σοφίας λέγομεν. ὅτι ἴσως γε πρῶτον μὲν ὐδ' ἀλλοτρία δόξειεν ἂν εἶναι ἡ σκέψις ἡ ὑπὲρ αὐτῆς, εἴπερ ἐςὶν ἀρετή, ὡς φαμέν. ἔτι δ' ἴσως ἐςὶ φιλοσόφυ καὶ περὶ τύτων παρεπισκοπεῖν ὅσα ἐν τῷ αὐτῷ τυγχάνουσιν ὄντα. καὶ ἀναγκαῖον δέ, ἐπεὶ περὶ τῶν ἐν ψυχῇ λέγομεν, περὶ ἁπάντων λέγειν· ἔςι δὲ καὶ ἡ σοφία ἐν ψυχῇ, ὥστε οὐκ ἀλλοτρίως ὑπὲρ ψυχῆς ποιύμεθα τὺς λόγυς. ὥσπερ δ' ἔχει ἡ δεινότης πρὸς φρόνησιν, ὕτως δόξειεν ἂν ἔχειν ἐπὶ τῶν ἀρετῶν ἁπασῶν. λέγω δὲ οἷον εἰσὶν ἀρεταὶ καὶ φύσει ἐν ἑκάςοις ἐγγινόμεναι, οἷον ὁρμαί τινες ἐν ἑκάςῳ ἄνευ λόγυ πρὸς τὰ ἀνδρεῖα καὶ τὰ

σύνεσις

δεινοτής

What has sophi[a] to do with ethi[cs] & political inqui[ry]

it belongs to the philosopher ... illustrate ... matter by ... analogous matters

1. πρακτικά M^b. ‖ 3. τὸ et 4. τι om M^b. ‖ 6. αἰτίας M^b. ‖ 11. ὖν om M^b. ‖ πρακτικὰ M^b. ‖ 12. ποιητικοῖς K^b. ‖ 13. ἐν om K^b. ‖ 15. καὶ μὴ πρᾶξαι ὅσα add M^b. ‖ 23. ὁ et 28. τε om K^b. ‖ 36. ἀεὶ ἐςι] ἐςιν ἀεὶ corr M^b, ἐςιν ἢ pr, ἐςι K^b. ‖ ῷ μὴ εἰς ἄλλο τι μεταβάλλειν M^b. ‖ 39. καὶ τῷ μέν, τῷ δ' ὔ om M^b.
1. ἐκείνως δὲ ὐ συμφέρει om K^b. ‖ 4. δῆλον ἂν K^b. ‖ 5. ἡ om M^b. ‖ 7. χεῖρόν ἐςιν M^b, omisso γάρ. ‖ γὰρ om K^b. ‖ 12. κά M^b. ‖ 26. πρακτικῶν K^bM^b. ‖ 27. ὖν om M^b. ‖ 30. γε om M^b. ‖ 31. ἡ post σκέψις om K^b.

δίκαια καὶ καθ' ἑκάςην πρὸς τὰ τοιαῦτα. ἔςι δὲ δὴ καὶ ἔθει καὶ προαιρέσει. αἱ δὲ δὴ μετὰ λόγου οὖσαι τελέως ἀρεταί εἰσιν ἐπαινεταὶ ἐπιγινόμεναι. ἔστιν οὖν ἡ φυσικὴ ἀρετὴ αὕτη ἡ ἄνευ λόγε χωριζομένη μὲν τε λόγε μικρὰ καὶ ἀπολειπομένη τε ἐπαινεῖσθαι, πρὸς δὲ τὸν λόγον καὶ τὴν προαίρεσιν προςιθεμένη τελείαν ποιεῖ τὴν ἀρετήν. διὸ καὶ συνεργεῖ τῷ λόγῳ καὶ ὐκ ἔςιν ἄνευ τε λόγε ἡ φυσικὴ ὁρμὴ πρὸς ἀρετήν. ὐδ' αὖ ὁ λόγος καὶ ἡ προαίρεσις ὐ πάνυ τελειῦται τῷ εἶναι ἀρετὴ ἄνευ τῆς φυσικῆς ὁρμῆς. διὸ ὐκ ὀρθῶς Σωκράτης ἔλεγε, φάσκων εἶναι τὴν ἀρετὴν λόγον· οὐδὲν γὰρ ὄφελος εἶναι πράττειν τὰ ἀνδρεῖα καὶ τὰ δίκαια, μὴ εἰδότα καὶ προαιρούμενον τῷ λόγῳ. διὸ τὴν ἀρετὴν ἔφη λόγον εἶναι, ὐκ ὀρθῶς, ἀλλ' οἱ νῦν βέλτιον· τὸ γὰρ κατὰ τὸν ὀρθὸν λόγον πράττειν τὰ καλά, τοῦτό φασιν εἶναι ἀρετήν, ὀρθῶς μὲν ὐδ' ὕτως. πράξαι μὲν γὰρ ἄν τις τὰ δίκαια προαιρέσει μὲν ὐδεμιᾷ, ὐδὲ γνώσει τῶν καλῶν, ἀλλ' ὁρμῇ τινὶ ἀλόγῳ, ὀρθῶς δὲ ταῦτα καὶ κατὰ τὸν ὀρθὸν λόγον. λέγω δέ, ὡς ἂν ὁ λόγος ὁ ὀρθὸς κελεύσειεν, ὕτως ἔπραξεν. ἀλλ' ὅμως ἡ τοιαύτη πρᾶξις ὐκ ἔχει τὸ ἐπαινετόν· ἀλλὰ βέλτιον, ὡς ἡμεῖς ἀφορίζομεν, τὸ μετὰ λόγε εἶναι τὴν ὁρμὴν πρὸς τὸ καλόν· τὸ γὰρ τοιῦτον καὶ ἀρετὴ καὶ ἐπαινετόν. πότερον δ' ἐςὶν ἡ φρόνησις ἀρετὴ ἢ ὔ, ἀπορήσειεν ἄν τις. ὐ μὴν ἀλλ' ἐντεῦθεν ἂν γένοιτο δῆλον ὅτι ἀρετή. εἴπερ γὰρ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρία καὶ αἱ ἄλλαι ἀρεταί, διότι τῶν καλῶν πρακτικαί, ἐπαινεταί εἰσι, δῆλον ὡς καὶ ἡ φρόνησις τῶν ἐπαινετῶν ἄν τις εἴη καὶ τῶν ἐν ἀρετῆς τάξει ὄντων· ἐφ' ἃ γὰρ ἡ ἀνδρία ὁρμᾷ πράττειν, ἐπὶ ταῦτα καὶ ἡ φρόνησις. τὸ γὰρ ὅλον ὡς ἂν αὕτη προςάττῃ, οὕτω καὶ ἡ ἀνδρία πράττει, ὥστε εἰ αὐτὴ ἐπαινετὴ τῷ ποιεῖν ἃ ἂν ἡ φρόνησις προστάττῃ, ἥ γε φρόνησις τελείως ἂν εἴη καὶ ἐπαινετὴ καὶ ἀρετή. πότερον δ' ἐςὶν ἡ φρόνησις πρακτικὴ ἢ ὔ, ἴδοι ἄν τις ἐντεῦθεν ἐπὶ τὰς ἐπιστήμας ἐπιβλέψας, οἷον ἐπὶ τὴν οἰκοδομικήν. ἔστι γάρ, ὡς φαμέν, ἐν οἰκοδομικῇ ὁ μὲν ἀρχιτέκτων τις καλύμενος, ὁ δὲ ὑπηρετῶν τύτῳ οἰκοδόμος· οὗτος δ' ἐςὶ ποιητικὸς οἰκίας. ἔστι δὲ καὶ ὁ ἀρχιτέκτων, καθὸ οὗτος ἐποίει οἰκίαν, ποιητικὸς οἰκίας. ὁμοίως δὲ ἐπὶ τῶν ἄλλων τῶν ποιητικῶν ἔχει, ἐν αἷς ἐστὶν ἀρχιτέκτων

καὶ ὑπηρέτης τύτυ. ποιητικὸς ἄρα τινὸς καὶ ὁ ἀ
ἔςαι, καὶ τε αὐτε τύτυ ποιητικὸς καὶ ὑπηρετικός.
ὁμοίως καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει, ὅπερ εἰκὸς καὶ
καὶ ἡ φρόνησις ἂν εἴη πρακτική. αἱ γὰρ ἀρετ
πρακτικαί εἰσιν, ἡ δὲ φρόνησις ὥσπερ ἀρχιτ
αὐτῶν ἐςίν· ὅπως γὰρ αὕτη προςάξει, ὕτως αἱ
οἱ κατ' αὐτὰς πράττουσιν· ἐπεὶ οὖν αἱ ἀρεταὶ
καὶ ἡ φρόνησις πρακτικὴ ἂν εἴη. πότερον δὲ αὐ
ἄρχει τῶν ἐν τῇ ψυχῇ, ὥσπερ δοκεῖ καὶ ἀπορε
τῶν γὰρ βελτιόνων οὐκ ἂν δόξειεν, οἷον τῆς σ
ἄρχει. ἀλλά, φησίν, αὕτη ἐπιμελεῖται πάντων,
ἐςὶ προςάττυσα. ἀλλ' ἴσως ἔχει ὥσπερ ἐν οἰκίᾳ
πος. οὗτος γὰρ πάντων κύριος καὶ πάντα διοι
ὔπω ὗτος ἄρχει πάντων, ἀλλὰ παρασκευάζει τ
σχολήν, ὅπως ἂν ἐκεῖνος μὴ κωλυόμενος ὑπὸ τ
καίων ἐκκλείηται τε τῶν καλῶν τι καὶ προσηκόντ
τειν. οὕτω καὶ ὁμοίως τύτῳ ἡ φρόνησις ὥσπερ
τίς ἐςι τῆς σοφίας, καὶ παρασκευάζει ταύτῃ σχ
τὸ ποιεῖν τὸ αὐτῆς ἔργον, κατέχυσα τὰ πάθη κ
σωφρονίζουσα.

B.

Μετὰ δὲ ταῦτα ὑπὲρ ἐπιεικείας δέοι ἂν τὴν
ποιήσασθαι, τί τ' ἐστὶ καὶ ἐν τίσι καὶ περὶ ποῖα.
ἐπιείκεια καὶ ὁ ἐπιεικὴς ὁ ἐλαττωτικὸς τῶν δικ
κατὰ νόμον. ἃ γὰρ ὁ νομοθέτης ἐξαδυνατεῖ καθ'
ἀκριβῶς διορίζειν, ἀλλὰ καθόλυ λέγει, ὁ ἐν τύτοι
χωρῶν, καὶ ταῦθ' αἱρύμενος ἃ ὁ νομοθέτης ἐβύ
τῷ καθ' ἕκαςα διορίσαι, ὐκ ἠδυνήθη δέ, ὁ τοιῦτος
ὐκ ἔςι δὲ ἐλαττωτικὸς τῶν δικαίων ἁπλῶς· τῶν
φύσει καὶ ὡς ἀληθῶς ὄντων δικαίων ὐκ ἐλαττῦτα
τῶν κατὰ νόμον, ἃ ὁ νομοθέτης ἐξαδυνατῶν ἀπ

Ἡ δὲ εὐγνωμοσύνη καὶ ὁ εὐγνώμων ἐςὶ πε
περὶ ἃ καὶ ἡ ἐπιείκεια, περὶ τὰ δίκαια τὰ ἐλλελ
ὑπὸ τε νομοθέτου τῷ μὴ ἀκριβῶς διωρίσθαι, κρι
τῶν ἐλλελειμμένων ὑπὸ τε νομοθέτυ, καὶ γινώσκων
μὲν τε νομοθέτυ ἐλλέλειπται, ἔςι μέντοι δίκαια.

2. τελέως] τόδε ὡς K^b. ‖ 6. προςιθεμένην K^b. ‖ 8. ὁ om M^b. ‖ 9. τὸ εἶναι ἀρετὴν M^b. ‖ 10. διὸ ὁ σωκράτης ὐκ ὀρθ 11. λόγους K^b. ‖ 15. πράξει $K^b M^b$. ‖ 18. κελεύσειεν ἂν ὕτως K^b. ‖ 23. ἂν om K^b. ‖ 24. ἡ utrumque om K^b. ‖ 25. τὸ K^b. ‖ πρακτικαὶ καὶ ἐπαινεταί M^b. ‖ 29. ὡς αὐτὴ προςάττει M^b. ‖ 31. καὶ utrumque om M^b. ‖ 37. ἐποίει] ἐπὶ K^b. καὶ K^b.

1. ἄρα om K^b. ‖ 3. ἔχοι M^b. ‖ 8. πάντων post 9. ψυχῇ M^b. ‖ 9. τῇ om K^b. ‖ 11. φησιν ὅτι αὕτη M^b. ‖ 19. τ M^b. ‖ 29. ἠβύλετο M^b. ‖ 31. ἔτι M^b. ‖ 35. δίκαια καὶ τὰ M^b. ‖ 37. καὶ γινώσκων om M^b.

μόνον δεῖν τὴν πρὸς τὸ καλὸν ὑπάρχειν ἄνευ λόγυ· ᾧ δ' ἐςὶν αἵρεσις, ἐν τῷ λόγῳ καὶ τῷ λόγον ἔχοντί ἐςιν. ὥςε τὸ ἅμα ἑλέσθαι παρέςαι, καὶ ἡ τελεία ἀρετὴ ὑπάρξει, ἣν ἔφαμεν μετὰ φρονήσεως εἶναι. οὐκ ἄνευ δὲ τῆς φυσικῆς ὁρμῆς τῆς ἐπὶ τὸ καλόν, οὐδ' ἐναντιώσεται ἀρετὴ ἀρετῇ· πέφυκε γὰρ ὑπείκειν τῷ λόγῳ, ἢ ὡς οὗτος προστάττει, ὥς' ἐφ' ὃ ἂν ὗτος ἄγῃ, ἐπὶ τῦτο ἀποκλίνει· τὸ γὰρ βέλτιον ὗτός ἐςιν ὁ αἱρύμενος. ὔτε γὰρ ἄνευ τῆς φρονήσεως αἱ ἄλλαι ἀρεταὶ γίνονται, ὔθ' ἡ φρόνησις τελεία ἄνευ τῶν ἄλλων ἀρετῶν, ἀλλὰ συνεργῦσί πως μετ' ἀλλήλων ἐπακολυθῦσαι τῇ φρονήσει. ὐχ ἧττον δὲ καὶ τὰ τοιαῦτα ἀπορήσεται, πότερόν ποτε καὶ ἐπὶ τῶν ἀρετῶν ὕτως ἔχει ὥσπερ ἐπὶ τῶν ἄλλων ἀγαθῶν τῶν τ' ἐκτὸς καὶ τῶν περὶ σῶμα. ταῦτα γὰρ εἰς ὑπερβολὴν γινόμενα χείρυς ποιεῖ, οἷον πλῦτος πολὺς γενόμενος ὑπερόπτας καὶ ἀηδεῖς ἐποίησεν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀγαθῶν, ἀρχῆς τιμῆς κάλλυς μεγέθυς. πότερον οὖν καὶ ἐπ' ἀρετῆς οὕτως ἔχει, ὥςε ἐάν τινι δικαιοσύνη ἢ ἀνδρία εἰς ὑπερβολὴν παραγένηται, χείρων ἔςαι, ἢ οὔ; φησίν. ἀλλ' ἀπὸ μὲν ἀρετῆς τιμὴ γίνεται, ἡ δὲ τιμὴ μεγάλη γινομένη χείρους ποιεῖ. ὥςε δῆλον ὅτι, φησίν, ἀρετὴ εἰς ἐπίδοσιν βαδίζυσα μεγέθυς χείρους ποιήσει. τῆς δὲ τιμῆς ἡ ἀρετὴ αἰτία, ὥστε καὶ ἡ ἀρετὴ ποιοίη ἂν χείρους μείζων γινομένη. ἢ τοῦτο ὐκ ἀληθές; τῆς γὰρ ἀρετῆς εἰ καὶ ἄλλα πολλά ἐςιν ἔργα, ὥσπερ καὶ ἔςι, καὶ τῦτο ἐν τοῖς μάλιςα, τὸ τοῖς ἀγαθοῖς τούτοις καὶ τοῖς τοιούτοις δύνασθαι ὀρθῶς παραγενομένοις χρῆσθαι. εἰ δὴ ὁ σπυδαῖος παραγενομένης αὐτῷ ἢ τιμῆς ἢ ἀρχῆς μεγάλης μὴ χρήσεται ὀρθῶς τούτοις, οὐκέτι ἂν εἴη σπυδαῖος. ὔτε δὴ τιμὴ ὔτε ἀρχὴ ποιήσει τὸν σπυδαῖον χείρω, ὥσπερ ὐδ' ἡ ἀρετή. τὸ δ' ὅλον ἐπειδήπερ ἡμῖν ἐν ἀρχῇ διώριςαι ὅτι εἰσὶν αἱ ἀρεταὶ μεσότητες, καὶ ᾗ μᾶλλον ἀρετὴ μᾶλλόν ἐςι μεσότης, ὥς' ὐχ ὅτι χείρω ποιήσει εἰς μέγεθος ἡ ἀρετὴ ἰῦσα, ἀλλὰ βελτίω· ἡ γὰρ μεσότης ἐνδείας καὶ ὑπερβολῆς τῆς τῶν παθῶν ἦν μεσότης. ταῦτα μὲν ὖν μέχρι τύτυ.

4 Μετὰ δὲ ταῦτα ἀναγκαῖόν ἐςιν ἑτέραν ἀρχὴν ποιησαμένυς λέγειν ὑπὲρ ἐγκρατείας καὶ ἀκρασίας. ὥσπερ δὲ καὶ ἡ ἀρετὴ καὶ ἡ κακία αὗταί εἰσιν ἄτοποι, ὡσαύτως ἀναγκαῖον καὶ τοὺς περὶ τύτων λόγυς λεχθησομένυς ἀτόπυς γίνεσθαι. οὐ γὰρ ὁμοία ἡ ἀρετὴ αὕτη ἐςὶ ταῖ[illegible] λαις· ἐν μὲν γὰρ ταῖς ἄλλαις ἐπὶ ταὐτὰ καὶ ὁ [illegible] καὶ τὰ πάθη ὁρμῶσι, καὶ ὐκ ἐναντιῦνται ἀλλήλοις, ταύτης ἐναντιῦνται ἀλλήλοις ὅ τε λόγος καὶ τὰ πά[illegible] δὲ τρία τὰ ἐν τῇ ψυχῇ γινόμενα, καθ' ἃ φαῦλοι λε[illegible] κακία ἀκρασία θηριότης. ὑπὲρ μὲν ὖν κακίας καὶ ἀρ[illegible] ἐςι καὶ ἐν τίσιν, εἴρηται ἡμῖν ἐν τοῖς ἐπάνω· νῦν δ[illegible] ἀκρασίας καὶ θηριότητος λεκτέον ἂν εἴη. ἔςι δὲ ἡ [illegible] ὑπερβάλλυσά τις κακία· ὅταν γάρ τινα παντελῶς φαῦλον, ὐδ' ἄνθρωπόν φαμεν εἶναι ἀλλὰ θηρίον, [illegible] τινα κακίαν θηριότητα. ἡ δὲ ἀντικειμένη ἀρετὴ ταύ[illegible] ἀνώνυμος, ἔςι δ' ἡ τοιαύτη ὑπὲρ ἄνθρωπον ὖσα, οἷον[illegible] τις καὶ θεία. ἀνώνυμος δ' ἐςὶν αὕτη ἡ ἀρετή, ὅτι ὐκ[illegible] ἀρετή· ὁ γὰρ θεὸς βελτίων τῆς ἀρετῆς καὶ ὐ κατ' ἀρ[illegible] σπυδαῖος· ὕτω μὲν γὰρ βέλτιον ἔςαι ἡ ἀρετὴ τῦ θ[illegible] ἀνώνυμος ἡ ἀρετὴ ἡ τῇ κακίᾳ τῇ θηριότητι ἀντικειμέν[illegible] δὲ τῇ τοιαύτῃ ἀντικεῖσθαι ἡ θεία καὶ ὑπὲρ ἄνθρωπον [illegible] περ γὰρ καὶ ἡ κακία ἡ θηριότης ὑπὲρ ἄνθρωπόν ἐςι[illegible] καὶ ἡ ἀρετὴ ἡ ἀντικειμένη.

Ὑπὲρ δὲ ἀκρασίας καὶ ἐγκρατείας πρῶτον ἂν δέοι[illegible] τὰ ἀπορύμενα καὶ τὺς ἐναντιυμένυς λόγυς τοῖς φα[illegible] νοις, ὅπως ἐκ τῶν ἀπορουμένων λόγων συνεπισκεψ[illegible] καὶ ταῦτα ἐξετάσαντες, τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν [illegible] ἐνδεχόμενον ἴδωμεν· ῥᾷον γὰρ οὕτως ἰδεῖν τἀληθὲς [illegible] Σωκράτης μὲν ὖν ὁ πρεσβύτης ἀνῄρει ὅλως καὶ οὐκ [illegible] ἀκρασίαν εἶναι, λέγων ὅτι ὐθεὶς εἰδὼς τὰ κακὰ ὅτι [illegible] εἰσιν ἕλοιτ' ἄν· ὁ δὲ ἀκρατὴς δοκεῖ, εἰδὼς ὅτι φ[illegible] εἰσιν, αἱρεῖσθαι ὅμως, ἀγόμενος ὑπὸ τοῦ πάθους. [illegible] τὸν τοιοῦτον λόγον οὐκ ᾤετ' εἶναι ἀκρασίαν, ὐ δὴ [illegible] ἄτοπον γὰρ τῷ λόγῳ τύτῳ πεισθέντας ἀναιρεῖν τὸ [illegible] γινόμενον· ἀκρατεῖς γάρ εἰσιν ἄνθρωποι, καὶ αὐτοὶ [illegible] ὅτι φαῦλα ὅμως ταῦτα πράττυσιν. ἐπεὶ δ' ὖν ἔςιν [illegible] σία, πότερον ὁ ἀκρατὴς ἐπιςήμην τινὰ ἔχει, ᾗ θεωρ[illegible] ἐξετάζει τὰ φαῦλα; ἀλλὰ πάλιν ἂν δόξειεν ἄτοπ[illegible] κράτιςον καὶ βεβαιότατον τῶν ἐν ἡμῖν ἡττᾶσθαι ὑπ[illegible] νος· ἐπιςήμη γὰρ πάντων τῶν ἐν ἡμῖν μονιμώτατ[illegible] καὶ βιαστικώτατον, ὥςε πάλιν ὁ λόγος ὗτος ἐναντ[illegible] τῷ μὴ εἶναι ἐπιςήμην. ἀλλ' ἆρά γε ἐπιςήμη μὲν ὔ, [illegible] δέ; ἀλλ' εἰ δόξαν ἔχει ὁ ἀκρατής, ὐκ ἂν εἴη ψεκτ[illegible]

1. τὴν om K^b. ‖ 3. ἑλέσθαι καὶ παρέςαι καὶ K^b. ‖ 5. ἀρετῇ ἀρετή M^b. ‖ 6. πράττει M^b. ‖ 7. ὃ] ὧ K^b. ‖ 21. φασίν] φανερὸν [illegible] 28. ὀρθῶς om K^b. ‖ 29. δ' ἡ τιμὴ ὔτε ἡ αρχὴ M^b. ‖ 30. ἡμῖν] ᾗ μὲν M^b. ‖ 31. αἱ om K^b. ‖ ἡ K^b. ‖ 38. καὶ prius om [illegible]

1. αὕτη] ἡ τοιαύτη M^b. ‖ 5. τῇ om K^b. ‖ 8. ἡ om M^b. ‖ 12. ἠπὲρ M^b, superposito rc ὑ. ‖ 13. δ'] οὖν M^b. ‖ 1[illegible] ἀρετῶν M^b. ‖ 16. τῇ post κακίᾳ om K^b. ‖ 17. δὴ K^b. ‖ 18. καὶ om K^b. ‖ 20. ἂν om codices. ‖ 22. ἀπορουμένων καὶ ἐναντι[illegible] λόγων M^b. ‖ 34. ἂν] οὐκ ἂν K^b. ‖ τὸ] γὰρ τὸ K^b. ‖ 39. εἴη om K^b.

δόξα – has sometimes as great strength of belief as ἐπιστήμη.
τὸ ἐπίστασθαι – two fold – 1. ἔχειν τὴν ἐπιστήμην. 2. ἐνεργεῖν τῇ ἐπιστ[ήμῃ]

ιῦλόν τι πράττει μὴ ἀκριβῶς εἰδὼς ἀλλὰ δοξάζων,
μην ἄν τις ἀποδοίη προσθέσθαι τῇ ἡδονῇ καὶ πρᾶ-
φαῦλα, μὴ ἀκριβῶς εἰδότα ὅτι φαῦλά εἰσιν,
δοξάζοντα. οἷς δέ γε συγγνώμην ἔχομεν, τούτους οὐ
ν. ὥστε ὁ ἀκρατής, εἴπερ δόξαν ἔχει, οὐκ ἔσται ψε-
λλ' ἔστι ψεκτός. οἱ δὴ τοιοῦτοι λόγοι ἀπορεῖν ποιοῦ-
μὲν γὰρ οὐκ ἔφασαν εἶναι ἐπιστήμην, ἄτοπόν τι
οίουν συμβαίνειν, οἱ δὲ πάλιν οὐδὲ δόξαν, καὶ γὰρ
τοπόν τι πάλιν ἐποίουν συμβαίνειν. ἀλλὰ δὴ καὶ
ν τις ἀπορήσειεν· ἐπεὶ γὰρ δοκεῖ ὁ σώφρων καὶ
ς εἶναι, πότερον τῷ σώφρονί τι ποιήσει σφοδρὰς
ας; εἰ μὲν οὖν ἔσται ἐγκρατής, σφοδρὰς δεήσει αὐτὸν
πιθυμίας· οὐ γὰρ ἂν εἴποις ἐγκρατῆ, ὅστις μετρίων
ῶν κρατεῖ. εἰ δέ γε σφοδρὰς μὴ ἕξει ἐπιθυμίας,
ται σώφρων· οὐ γὰρ σώφρων ἔσται ὁ μὴ ἐπιθυμῶν
άσχων μηθέν. ἔχει δὲ καὶ τὰ τοιαῦτα πάλιν ἀπο-
υμβαίνει γὰρ ἐκ τῶν λόγων καὶ τὸν ἀκρατῆ ποτὲ
ν εἶναι καὶ τὸν ἐγκρατῆ ψεκτόν. ἔστω γάρ τις,
ημαρτηκὼς τῷ λογισμῷ, καὶ δοκείτω αὐτῷ λογι-
τὰ καλὰ εἶναι φαῦλα, ἡ δ' ἐπιθυμία ἀγέτω ἐπὶ
ά. οὐκοῦν ὁ μὲν λόγος οὐκ ἐάσει πράττειν, ὑπὸ δὲ
θυμίας ἀγόμενος πράσσει· τοιοῦτος γὰρ ἦν ὁ ἀκρα-
άξει ἄρα τὰ καλά· ἡ γὰρ ἐπιθυμία ἐπὶ ταῦτ'
ὁ δὲ λόγος κωλύσει· διαμαρτανέτω γὰρ τῷ λο-
τῶν καλῶν. οὐκοῦν οὗτος ἀκρατὴς μὲν ἔσται, ἐπαινε-
τοι· ᾗ γὰρ πράττει τὰ καλά, ἐπαινετός. ἄτοπον
υμβαῖνον. πάλιν αὖ διαμαρτανέτω τῷ λόγῳ, καὶ
ὰ αὐτῷ μὴ δοκείτω καλὰ εἶναι, ἡ δ' ἐπιθυμία
ἐπὶ τὰ καλά. ἐγκρατὴς δέ γ' ἐστὶν ὁ ἐπιθυμῶν
ὴ πράττων δὲ ταῦτα διὰ τὸν λόγον. οὐκοῦν ὁ δια-
ων τῷ λόγῳ τῶν καλῶν κωλύσει ὧν ἐπιθυμεῖ πράτ-
ωλύει ἄρα τὰ καλὰ πράττειν· ἐπὶ ταῦτα γὰρ ἡ
α ἦγεν. ὁ δέ γε τὰ καλὰ μὴ πράττων δέον πράτ-
κτός. ὁ ἄρα ἐγκρατὴς ἔσται ποτὲ ψεκτός. ἄτοπον
οὕτω τὸ συμβαῖνον. πότερον δ' ἡ ἀκρασία καὶ ὁ
ἐν ἅπασιν ἔσται καὶ περὶ πάντα, οἷον περὶ χρή-
αὶ τιμὴν καὶ ὀργὴν καὶ δόξαν (περὶ γὰρ ταῦτα
δοκοῦσιν ἀκρατεῖς εἶναι) ἢ οὔ, ἀλλὰ περί τι ἀφωρι-
ἐστὶν ἡ ἀκρασία, ἀπορήσειεν ἄν τις. τὰ μὲν οὖν τὴν

ἀπορίαν παρέχοντα ταῦτ' ἐστίν, ἀναγκαῖον δὲ λῦσαι τὰς ἀπορίας. πρῶτον μὲν οὖν τὴν ἐπὶ τῆς ἐπιστήμης· ἄτοπον γὰρ ἐδόκει εἶναι ἐπιστήμην ἔχοντα ταύτην ἀποβάλλειν ἢ μεταπίπτειν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς δόξης· οὐθὲν γὰρ διαφέρει δόξαν εἶναι ἢ ἐπιστήμην. εἰ γὰρ ἔσται ἡ δόξα σφοδρὰ τῷ βέβαιον εἶναι καὶ ἀμετάπειστον, οὐθὲν διοίσει τῆς ἐπιστήμης δόξας ἔχουσι τῷ πιστεύειν οὕτως ἔχειν ὡς δοξάζουσιν, οἷον Ἡράκλειτος ὁ Ἐφέσιος τοιαύτην ἔχει δόξαν ὑπὲρ ὧν αὐτῷ ἐδόκει. οὐθὲν δὴ ἄτοπον τῷ ἀκρατεῖ, οὔτ' εἰ ἐπιστήμην ἔχει οὔτ' εἰ δόξαν οἵαν λέγομεν, πράττειν τι φαῦλον. ἔστι γὰρ τὸ ἐπίστασθαι διττόν, ὧν τὸ μέν ἐστι τὴν ἐπιστήμην ἔχειν (ἐπίστασθαι γάρ φαμεν τότε ὅταν τις ἐπιστήμην ἔχῃ), τὸ δ' ἕτερον τὸ ἐνεργεῖν ἤδη τῇ ἐπιστήμῃ. ἀκρατὴς οὖν ἐστὶν ὁ ἔχων τὴν ἐπιστήμην τῶν καλῶν, οὐκ ἐνεργῶν δὲ αὐτῇ. ὅταν οὖν μὴ ἐνεργῇ τῇ ἐπιστήμῃ ταύτῃ, οὐδὲν ἄτοπον αὐτόν ἐστι πράττειν τὰ φαῦλα ἔχοντα τὴν ἐπιστήμην. ὅμοιον γάρ ἐστιν ὥσπερ ἐπὶ τῶν καθευδόντων· οὗτοι γὰρ ἔχοντες τὴν ἐπιστήμην ὅμως ἐν τῷ ὕπνῳ πολλὰ δυσχερῆ καὶ πράττουσι καὶ πάσχουσιν· οὐ γὰρ ἐνεργεῖ ἐν αὐτοῖς ἡ ἐπιστήμη. ὡσαύτως δ' ἐπὶ τοῦ ἀκρατοῦς· ὥσπερ γὰρ καθεύδοντι ἔοικε, καὶ τῇ ἐπιστήμῃ οὐκ ἐνεργεῖ. λύεται δ' ἡ ἀπορία οὕτως. ἠπορεῖτο γὰρ πότερον ὁ ἀκρατὴς ἐκβάλλει τότε τὴν ἐπιστήμην ἢ μεταπίπτει· ἄτοπον γὰρ ἀμφότερα δοκεῖ εἶναι. ἀλλὰ πάλιν ἐντεῦθεν ἂν γένοιτο φανερόν, ὥσπερ ἔφαμεν ἐν τοῖς ἀναλυτικοῖς ἐκ δύο προτάσεων γίνεσθαι τὸν συλλογισμόν, καὶ τούτων εἶναι τὴν μὲν πρώτην καθόλου, τὴν δὲ δευτέραν ὑπὸ ταύτην τε καὶ ἐπὶ μέρους, οἷον ἐπίσταμαι πάντ' ἄνθρωπον πυρέττοντα ὑγιῆ ποιῆσαι, οὑτοσὶ δὲ πυρέττει· ἐπίσταμαι ἄρα καὶ τοῦτον ὑγιῆ ποιῆσαι. ἔστιν οὖν ὃ τῇ μὲν καθόλου ἐπιστήμῃ ἐπίσταμαι, τῇ δ' ἐπὶ μέρους οὔ. γίνεται οὖν ἁμαρτία τῷ τὴν ἐπιστήμην ἔχοντι καὶ ἐνταῦθ', οἷον ἅπαντα μὲν τὸν πυρέττοντα ὑγιῆ ποιῆσαι, εἰ μέντοι οὗτος πυρέττει, οὐκ οἶδεν. ὡσαύτως τοίνυν ἐπὶ τοῦ ἀκρατοῦς τοῦ τὴν ἐπιστήμην ἔχοντος ἡ αὐτὴ ἁμαρτία συμβήσεται. ἐνδέχεται γὰρ τὸν ἀκρατῆ τὴν μὲν καθόλου ἐπιστήμην ἔχειν, ὅτι τὰ τοιαῦτα φαῦλα καὶ βλαβερά, μὴ μέντοι γε ὅτι ἐστὶ ταῦτα φαῦλα ἐπὶ μέρους εἰδέναι, ὥστε οὕτως ἔχων τὴν ἐπιστήμην ἁμαρτήσεται· ἔχει γὰρ τὴν καθόλου, τὴν δ' ἐπὶ μέρους οὔ. οὐδὲν οὖν ἄτοπον οὐδ' οὕτω συμβήσεται ἐπὶ τοῦ ἀκρα-

Strong conviction of Heracleit[us]

Analytica

ὅτι οὐ φαῦλα M^b et pr K^b. ‖ 4. δοξάσαντα M^b. ‖ 8. ἐποίουν om K^b. ‖ 11. πρότερον K^b. ‖ τινι M^b. ‖ 13. ἐγκρατῆ om K^b. ‖
K^b. ‖ 15. οὐ] ὁ M^b. ‖ 16. οὐθέν K^b. ‖ πάλιν ante καὶ M^b. ‖ 24. τῶν λογισμῶν K^b. ‖ 26. μὲν M^b. ‖ 27. αὖ] δ' αὖ K^b. ‖
M^b.
ν om M^b. ‖ 3. ἀποβαλεῖν K^b. ‖ 7. δόξας] an ἡ δόξα τοῖς? ‖ ἐχούσης τὸ M^b. ‖ 11. τὸ post γὰρ om K^b. ‖ 20. αὐτῷ K^b. ‖
αὐτά K^b. ‖ 30. οὐ om M^b et pr K^b. ‖ 32. μέντοι] μὲν pr M^b, δὲ corr. ‖ 33. οἶδα K^b. ‖ 35. τὴν μὲν] καὶ τὴν τοῦ M^b. ‖
τα] τὰ M^b.

τῦς, τὸν ἔχοντα τὴν ἐπιςήμην φαῦλόν τι πράττειν. ἔςι γὰρ ὡς ἐπὶ τῶν μεθυόντων· οἱ γὰρ μεθύοντες, ὅταν αὐτοῖς ἡ μέθη ἀπαλλαγῇ, πάλιν οἱ αὐτοί εἰσιν, ὐκ ἐξέπεσε δ' αὐτῶν ὁ λόγος ὐδ' ἡ ἐπιςήμη ἀλλ' ἐκρατήθη ὑπὸ τῆς μέθης, ἀπαλλαγέντες δὲ τῆς μέθης πάλιν οἱ αὐτοί εἰσιν. ὁμοίως ὖν ἔχει ὁ ἀκρατὴς πάλιν· ἐπικρατῆσαν γὰρ τὸ πάθος ἠρεμεῖν ἐποίησε τὸν λογισμόν, ὅταν δ' ἀπαλλαγῇ τὸ πάθος ὥσπερ ἡ μέθη, πάλιν ὁ αὐτός ἐςιν. ἦν δὲ καὶ ἄλλος τις λόγος ἐπὶ τῆς ἀκρασίας ὃς παρεῖχεν ἀπορίαν, ὡς ἐπαινετῦ ποτὲ τῦ ἀκρατῦς ἐσομένυ καὶ ψεκτῦ τῦ ἐγκρατῦς. ὐ συμβαίνει δὲ τῦτο. ὐ γάρ ἐςιν ὕτ' ἐγκρατὴς ὕτ' ἀκρατὴς ὁ τῷ λόγῳ διεψευσμένος, ἀλλ' ὁ λόγον ἔχων ὀρθὸν καὶ τύτῳ τὰ φαῦλ' ὄντα κρίνων καὶ τὰ καλά, καὶ ἀκρατὴς μὲν ὁ τῷ τοιύτῳ λόγῳ ἀπειθῶν, ἐγκρατὴς δὲ ὁ πειθόμενος καὶ μὴ ὑπὸ τῶν ἐπιθυμιῶν ἀγόμενος. ὐδὲ γὰρ ᾧ τινὶ ὐ δοκεῖ τὸν πατέρα τύπτειν αἰσχρὸν εἶναι, ἐπιθυμῶν δὲ τύπτειν, ὁ τύτυ ἀπεχόμενος ἐγκρατής ἐςιν. ὥςε εἰ μή ἐςιν ἐπὶ τῶν τοιύτων μήτε ἐγκράτεια μήτε ἀκρασία, οὐδ' ἂν ἐπαινετὴ εἴη ἡ ἀκρασία ὐδὲ ψεκτὴ ἡ ἐγκράτεια, ὥσπερ ἐδόκει. εἰσὶ δὲ τῶν ἀκρασιῶν αἱ μὲν νοσηματικαὶ αἱ δὲ φύσει, οἷον νοσηματικαὶ μὲν αἱ τοιαῦται· εἰσὶ γάρ τινες οἳ τίλλοντες τὰς τρίχας διατρώγουσιν. εἰ οὖν τις ταύτης τῆς ἡδονῆς κρατεῖ, ὐκ ἔςιν ἐπαινετός, ὐδὲ ψεκτὸς εἰ μὴ κρατεῖ, ἢ ὐ σφόδρα γε. φύσει δέ, οἷον υἱόν ποτέ φασι κρινόμενον ἐν δικαςηρίῳ, ὅτι τὸν πατέρα τύπτοι, ἀπολογεῖσθαι λέγονθ' ὅτι "καὶ γὰρ οὗτος τὸν ἑαυτῦ πατέρα," καὶ ἀποφυγεῖν δή· δοκεῖν γὰρ τοῖς δικασταῖς φυσικὴν εἶναι τὴν ἁμαρτίαν. εἰ δή τις τῦ τὸν πατέρα τύπτειν κρατοίη, ὐκ ἐπαινετός. ὐ δὴ τὰς τοιαύτας ζητῦμεν νῦν ἀκρασίας ὐδ' ἐγκρατείας, ἀλλὰ καθ' ἃς ψεκτοὶ ἁπλῶς καὶ ἐπαινετοὶ λεγόμεθα. ἔςι δὲ τῶν ἀγαθῶν τὰ μὲν ἐκτός, οἷον πλῦτος ἀρχὴ τιμὴ φίλοι δόξα, τὰ δ' ἀναγκαῖα καὶ περὶ σῶμά ἐστιν, οἷον ἁφή τε καὶ γεῦσις. ὁ ὖν περὶ ταῦτα ἀκρατής, ὗτος ἁπλῶς ἂν ἀκρατὴς δόξειεν εἶναι, καὶ οἷον αἱ σωματικαί· καὶ ἣν ζητῦμεν ἀκρασίαν, ἤδη περὶ ταῦτ' ἂν δόξειεν εἶναι. ἠπορεῖτο δὲ περὶ τί ποτ' ἐςὶν ἡ ἀκρασία. περὶ μὲν ὖν τιμὴν ὐκ ἔςιν ἁπλῶς ἀκρατής· ἐπαινεῖται γάρ πως ὁ περὶ τιμὴν ἀκρατής· φιλότιμος γάρ τις ἐστίν. τὸ δ' ὅλον λέγομεν καὶ ἐπὶ τῶν τοιούτων τὸν ἀκρατῆ προςιθέντες, περὶ τιμὴν ἀκρατὴς ἢ δόξαν ἢ ὀργήν.

ἀλλὰ τῷ ἁπλῶς ἀκρατεῖ ὐ προςίθεμεν περὶ ἅ, ὡς χοντος αὐτῷ καὶ φανεροῦ ὄντος ἄνευ τῆς προσθέσεω ἅ ἐςιν· ἔςι γὰρ περὶ ἡδονὰς καὶ λύπας τὰς σωματ ἁπλῶς ἀκρατής. δῆλον δὲ καὶ ἐντεῦθεν ὅτι περὶ τι ἀκρασία· ἐπεὶ γὰρ ψεκτὸς ὁ ἀκρατής, ψεκτὰ εἶναι ὑποκείμενα· τιμὴ μὲν ὖν καὶ δόξα καὶ ἀρχὴ καὶ χ καὶ περὶ ὅσα ἄλλα ἀκρατεῖς λέγονται, ὐκ εἰσὶ ψε δ' ἡδοναὶ αἱ σωματικαὶ ψεκταί· διὸ εἰκότως ὁ περὶ ὧν μᾶλλον τῦ δέοντος, ὗτος ἀκρατὴς τελέως λέγεται. δέ ἐςι τῶν περὶ τὰ ἄλλα ἀκρασιῶν λεγομένων ἡ π ὀργὴν ὖσα ἀκρασία ψεκτοτάτη, πότερον ψεκτοτέρα περὶ τὴν ὀργὴν ἢ ἡ περὶ τὰς ἡδονάς; ἔςιν ὖν ἡ περὶ γὴν ἀκρασία ὁμοία τῶν παίδων τοῖς πρὸς τὸ διακον θύμως ἔχυσιν. καὶ γὰρ οὗτοι, ὅταν εἴπῃ ὁ δεσπότ μοι," τῇ προθυμίᾳ ἐξενεχθέντες, πρὸ τῦ ἀκῦσαι ὃ δεῖ ἔδωκαν, καὶ ἐν τῇ δόσει διήμαρτον· πολλάκις γὰ βιβλίον δοῦναι γραφεῖον ἔδωκαν. ὅμοιον δὲ πέπονθε ὁ τῆς ὀργῆς ἀκρατής· ὅταν γὰρ ἀκύσῃ τὸ πρῶτον ῥῆμ ἠδίκησεν, ὥρμησεν ὁ θυμὸς πρὸς τὸ τιμωρήσασθαι, ἀναμείνας ἀκῦσαι πότερον δεῖ ἢ ὐ δεῖ, ἢ ὅτι γε οὐχ σφόδρα. ἡ μὲν ὖν τοιαύτη ὁρμὴ πρὸς ὀργήν, ἣ δοκεῖ σία εἶναι ὀργῆς, ὐ λίαν ἐπιτιμητέα ἐςίν, ἡ δὲ πρὸς ὁρμὴ ψεκτή γε· ἔςι γὰρ διαφορὰν ἔχυσα πρὸς ταύτ τὸν λόγον ὃς ἀποτρέπει τῦ μὴ πράττειν· ἀλλ' ὅμως τει παρὰ τὸν λόγον. διὸ ψεκτή ἐστι μᾶλλον τῆς δι' ἀκρασίας· ἡ μὲν γὰρ δι' ὀργὴν ἀκρασία λύπη ἐςὶν (γὰρ ὀργιζόμενος ὐ λυπεῖται), ἡ δὲ δι' ἐπιθυμίαν μεθ νῆς. διὸ μᾶλλον ψεκτή· ἡ γὰρ δι' ἡδονὴν ἀκρασία ὕβρεως δοκεῖ εἶναι. πότερον δὲ καὶ ἡ ἐγκράτεια καὶ ἡ τερία ταὐτόν ἐςιν, ἢ ὔ; ἡ μὲν γὰρ ἐγκράτειά ἐςι περὶ νὰς καὶ ὁ ἐγκρατὴς ὁ κρατῶν τῶν ἡδονῶν, ἡ δὲ κα περὶ λύπας· ὁ γὰρ καρτερῶν καὶ ὑπομένων τὰς λ ὗτος καρτερικός ἐςιν. πάλιν ἡ ἀκρασία καὶ ἡ μαλακ ἔςι ταὐτόν· ἡ μὲν γὰρ μαλακία ἐςὶ καὶ ὁ μαλακὸς ὑπομένων πόνυς, οὐχ ἅπαντας δὲ ἀλλ' οὓς ἀναγκαί ἄλλος τις ὑπομείνειεν, ὁ δ' ἀκρατὴς ὁ μὴ δυνάμενος μένειν ἡδονάς, ἀλλὰ καταμαλακιζόμενος καὶ ὑπὸ τ ἀγόμενος. ἔςιν αὖ πάλιν τις καλούμενος ἀκόλαςο'

5. οὖν om K^b. ‖ 9. ὡς om M^b. ‖ ἐπομένυ K^b. ‖ 11. διαψευσάμενος M^b. ‖ 15. ὐ om M^b. ‖ 17. οὐκ M^b. ‖ 18. ὕτε δὲ . 20. τινες om M^b. ‖ 21. τὰς om K^b. ‖ 22. ἢ K^b. ‖ 24. τύπτει M^b. ‖ 25. ὅτι om M^b. ‖ 26. δοκεῖ K^b. ‖ 31. δὴ ἀκρατὴς K^b. ‖ 32. ἂν] ἂν καὶ M^b. ‖ 34. ἂν om codices. ‖ δὲ] γὰρ M^b. ‖ 35. ἀκρασία] ἀκράτεια K^b. ‖ 36. ἐπαινετὸς M^b. ‖ 37. om K^b.

2. αὐτοῦ M^b. ‖ 3. ὁ ἁπλῶς] πως ὁ K^b. ‖ 5. ἀκρατὴς δεήσει ψεκτὰ εἶναι τὰ M^b. ‖ 7. ψεκταί K^b. ‖ 8. ψεκταί] εἰσὶ ψεκταί M^b. ‖ 17. γραφίον K^b. ‖ 22. πρὸς τὴν ἡδονὴν K^b. ‖ 25. παρὰ] διὰ K^b. ‖ 37. μαλακιζόμενος M^b. ‖ 38. οὖν K^b.

ν ὁ ἀκόλαςος ἀκρατής, καὶ ὁ ἀκρατὴς ὁ αὐτός, ἢ
ὲν γὰρ ἀκόλαςος τοιοῦτός τις οἷος οἴεσθαι, ἃ πράτ-
τα καὶ βέλτιςα εἶναι αὐτῷ καὶ συμφορώτατα, καὶ
ὐδένα ἔχειν ἐναντιούμενον τοῖς αὐτῷ φαινομένοις
ὁ δὲ ἀκρατὴς λόγον ἔχει ὃς ἐναντιοῦται αὐτῷ, ἐφ'
θυμία ἄγει. πότερος δὲ εὐϊατότερος, ὁ ἀκόλαςος ἢ
ής; οὕτω μὲν οὖν δόξειεν ἂν ἴσως οὐχ ὁ ἀκρατής·
κόλαςος εὐϊατότερος· εἰ γὰρ αὐτῷ λόγος ἐγγένοιτο
ν ὅτι φαῦλα, οὐκέτι πράξει· τῷ δέ γε ἀκρατεῖ
ὁ λόγος, καὶ ὅμως πράττει, ὥστ' ἂν ὁ τοιοῦτος
ἀνίατος εἶναι. ἀλλὰ πότερος διάκειται χεῖρον, ᾧ
γαθόν τι ὑπάρχει, καὶ τὰ κατὰ ταῦτα; ἢ δῆλον
ος, καὶ ὅσῳ γε ὃ τιμιώτερον, κακῶς διάκειται. ἔςι
μὲν ἀκρατὴς ἀγαθὸν ἔχων τὸν λόγον ὀρθὸν ὄντα, ὁ
ςος οὐκ ἔχει. ἔτι ἐςὶν ὁ λόγος ἑκάςȣ ἀρχή· τοῦ
ἀκρατοῦς ἡ ἀρχὴ τιμιώτατον ὂν εὖ διάκειται, τοῦ
άςȣ κακῶς, ὥστε χείρων ἂν εἴη ὁ ἀκόλαστος τοῦ
ἔτι ὥσπερ ἐπὶ τῆς θηριότητος ἧς ἐλέγομεν κακίας,
ἰδεῖν ἐν θηρίῳ ȣ̓͂σαν ἀλλ' ἐν ἀνθρώπῳ· ἡ γὰρ θη-
ομά ἐςι τῇ ὑπερβαλλȣ́σῃ κακίᾳ. διὰ τί; δι' ȣ̓δὲν
χὴ φαύλη ἐν θηρίῳ οὐκ ἔστιν· ἔστι δὲ ἡ ἀρχὴ ὁ
πεὶ πότερος ἂν πλείω κακὰ ποιήσειεν, λέων ἢ Διο-
Φάλαρις ἢ Κλέαρχος ἤ τις τȣ́των τῶν μοχθηρῶν;
ὅτι οὗτοι; ἡ γὰρ ἀρχὴ ἐνοῦσα φαύλη μεγάλα
λεται, ἐν δὲ θηρίῳ ὅλως οὐκ ἔςιν ἀρχή. ἐν μὲν ȣ̓͂ν
άςῳ ἔνεςιν ἀρχὴ φαύλη· ᾗ γὰρ πράττει φαῦλα
ὁ λόγος σύμφησι ταῦτα καὶ δοκεῖ αὐτῷ ταῦτα
ττειν, ἐν αὐτῷ ἡ ἀρχὴ ἔνεςιν ȣ̓χ ὑγιής· διὸ βελ-
δόξειεν εἶναι ὁ ἀκρατὴς τοῦ ἀκολάςου. ἔςι δὲ καὶ
σίας δύο εἴδη, ἡ μὲν προτρεπτική τις καὶ ἀπρονόη-
ἐξαίφνης γινομένη, οἷον, ὅταν ἴδωμεν καλὴν γυ-
εὐθέως τι ἐπάθομεν καὶ ἀπὸ τοῦ πάθους ὁρμὴ ἐγέ-
ς τὸ πρᾶξαί τι ὧν ἴσως οὐ δεῖ· ἡ δ' ἑτέρα οἷον
τις, ἡ μετὰ τοῦ λόγου οὖσα τοῦ ἀποτρέποντος.
ὲν οὖν οὐδ' ἂν λίαν δόξειεν εἶναι ψεκτή· καὶ γὰρ
πουδαίοις ἡ τοιαύτη ἐγγίνεται, ἐν τοῖς θερμοῖς καὶ

εὐφυέσιν· ἡ δὲ ἐν τοῖς ψυχροῖς καὶ μελαγχολικοῖς, οἱ δὲ τοιοῦτοι ψεκτοί. ἔτι τε ἔστι τῷ λόγῳ προλαβόντα μηθὲν παθεῖν, ὅτι ἥξει γυνὴ εὐπρόσωπος, δεῖ ȣ̓͂ν κατασχεῖν αὑτόν. τῷ δὴ τοιούτῳ λόγῳ προκαταλαβὼν ὁ ἐκ τῆς προσφάτου φαντασίας ἀκρατὴς ȣ̓δὲ πείσεται ȣ̓δὲ πράξει οὐδὲν αἰσχρόν. ὁ δὲ τῷ λόγῳ μὲν εἰδὼς ὅτι οὐ δεῖ, πρὸς δὲ τὴν ἡδονὴν ἐνδιδοὺς καὶ καταμαλακιζόμενος, ὁ τοιοῦτος ψεκτότερος. ȣ̓͂τε γὰρ ὁ σπουδαῖος οὐδέποτε οὕτω γένοιτ' ἂν ἀκρατής, ὅ τε λόγος προκαταλαβὼν οὐκ ἂν ἰάσαιτο· ἡγεμὼν γὰρ οὗτος ἐν αὐτῷ ὑπάρχει, ᾧ οὔτε πειθαρχεῖ, ἀλλὰ τῇ ἡδονῇ ἐνδίδωσι, καὶ καταμαλακίζεται καὶ ἐξασθενεῖ πως. πότερον δ' ὁ σώφρων ἐγκρατής ἐστιν, ἠπορήθη μὲν ἐν τοῖς ἐπάνω, νῦν δὲ λέγωμεν. ἔςι γὰρ ὁ σώφρων καὶ ἐγκρατής· ὁ γὰρ ἐγκρατής ἐςιν οὐ μόνον ὁ ἐπιθυμιῶν ἐνουσῶν ταύτας κατέχων διὰ τὸν λόγον, ἀλλὰ καὶ ὁ τοιοῦτος ὢν οἷος καὶ μὴ ἐνουσῶν ἐπιθυμιῶν τοιοῦτος εἶναι οἷος εἰ ἐγγένοιντο κατέχειν. ἔςι δὲ σώφρων ὁ μὴ ἔχων ἐπιθυμίας φαύλας τόν τε λόγον τὸν περὶ ταῦτα ὀρθόν, ὁ δ' ἐγκρατὴς ὁ ἐπιθυμίας ἔχων φαύλας, τὸν δὲ λόγον τὸν περὶ ταῦτα ὀρθόν, ὥς' ἀκολȣθήσει τῷ σώφρονι ὁ ἐγκρατής, καὶ ἔσται σώφρων· ὁ μὲν γὰρ σώφρων ὁ μὴ πάσχων, ὁ δ' ἐγκρατὴς ὁ πάσχων καὶ τούτων κρατῶν ἢ οἷός τε ὢν πάσχειν. οὐδέτερον δὲ τούτων τῷ σώφρονι ὑπάρχει· διὸ οὐκ ἔστιν ὁ ἐγκρατὴς σώφρων. πότερον δὲ ὁ ἀκόλαςος ἀκρατής ἐςιν, ἢ ὁ ἀκρατὴς ἀκόλαςος; ἢ οὐδετέρῳ ἕτερος ἀκολȣθεῖ; ὁ μὲν γὰρ ἀκρατής ἐςιν οὗ ὁ λόγος τοῖς πάθεσι μάχεται, ὁ δ' ἀκόλαςος ȣ̓ τοιȣ͂τος, ἀλλ' ὁ τῷ πράττειν τὰ φαῦλα ἅμα τὸν λόγον σύμψηφον ἔχων. οὔτε δὴ ὁ ἀκόλαςος οἷος ὁ ἀκρατής, οὔθ' ὁ ἀκρατὴς οἷος ὁ ἀκόλαςος. ἔτι δὲ καὶ φαυλότερος ὁ ἀκόλαςος τοῦ ἀκρατοῦς. δυςιατότερα γὰρ τὰ φυσικὰ τῶν ἐξ ἔθους γινομένων· καὶ γὰρ τὸ ἔθος διὰ τοῦτο δοκεῖ ἰσχυρὸν εἶναι, ὅτι εἰς φύσιν καθίςησιν. ὁ μὲν οὖν ἀκόλαστος αὐτὸς τοιοῦτός ἐστιν οἷος φαῦλός τις τῇ φύσει εἶναι· διὰ τοῦτο καὶ ἀπὸ τούτου ὁ λόγος φαῦλος ἐν αὐτῷ ἐςίν. ἀλλ' ȣ̓χ ὁ ἀκρατὴς οὕτως· οὐ γὰρ ὅτι αὐτὸς τοιοῦτός ἐςιν, ὁ λόγος οὐ σπουδαῖος· φαῦλον γὰρ αὐτὸν ἔδει εἶναι, εἰ αὐτὸς τῇ φύσει

εὖ] που K^b. ‖ 2. τις] ἐςιν M^b. ‖ 4. ἔχει K^b. ‖ 6. πότερον K^b. ‖ 7. οὕτω — ἀκρατής om K^b. ‖ 10. ὁμοίως K^b. ‖ 11. ^{b}. ‖ ὧν M^b. ‖ 12. κακὰ rc M^b. ‖ 13. ὥγε ὅτι τὶ μή, τὶ μειότερον κακῶς M^b. ‖ 14. ἔχων ἀγαθὸν M^b. ‖ 15. ὅτι K^b. ‖ 16. $K^b M^b$. ‖ 17. χεῖρον K^b. ‖ 18. ὥσπερ καὶ ἐπὶ K^b. ‖ 19. ἀλλ'] ἢ M^b. ‖ 20. δι'] δ' K^b. ‖ 21. ὅτι] ὅτι ἡ M^b. ‖ 23. post M^b ἢ εὐμάνθης. ‖ 24. οὖσα M^b. ‖ 28. ἐν] φαύλη οὖν ἐν K^b. ‖ ȣ̓χ om K^b. ‖ διὸ] διὸ καὶ M^b. ‖ 30. ἡ] οἷον ἡ M^b. ‖ 32. ἐγένετο ὁρμὴ πρὸς M^b. ‖ 34. ἀσθενητική M^b. ‖ 35. λίαν om M^b. ‖ εἶναι δόξειεν K^b. ‖ 36. ἔν τε τοῖς θερμοῖς M^b.

δὲ ἐν τοῖς ψυχροῖς om M^b. ‖ 2. τοιοῦτοι οὐ ψεκτοί M^b. ‖ 3. ὅθ' M^b. ‖ 5. ἀκροατὴς ȣ̓δὲν M^b. ‖ 9. οὐκ ἀνείσαιτο K^b, οὐκ ^{b}. ‖ 10. οὔτε] οὔτε οἱ M^b. ‖ 11. ἀσθενεῖ M^b. ‖ 13. λέγομεν M^b. ‖ 16. ἐγγένοιτο K^b. ‖ 18. ὁ δ' — 19. ὀρθόν om M^b. ‖ K^b. ‖ 19. δὲ] τε K^b. ‖ 20. ὁ μὲν γὰρ σώφρων ὁ om K^b. ‖ 22. οἷός γε πάσχει K^b. ‖ δὲ om K^b. ‖ 26. οὗ λόγος pr K^b, M^b. ‖ ȣ̓ et 27. ἀλλ' om M^b. ‖ 28. οὐδὲ K^b. ‖ ὁ post οἷος et hoc versu et 29. om K^b. ‖ 29. ἔςι M^b. ‖ 34. ȣ̓χ te 35. οὕτως K^b. ‖ 35. αὐτῷ M^b. ‖ οὐ om pr K^b.

τοιοῦτος ἦν οἷος ὁ φαῦλος. ὁ μὲν ἄρα ἀκρατὴς ἔθει ἔοικε φαῦλος εἶναι, ὁ δὲ ἀκόλαστος φύσει. δυσιατότερος δ' ὁ ἀκόλαςος· τὸ μὲν γὰρ ἔθος ἄλλῳ ἔθει ἐκκρύεται, ἡ δὲ φύσις ὐδενὶ ἐκκρύεται. πότερον δ' ἐπείπερ ἐςὶν ὁ ἀκρατὴς τοιῦτος οἷος εἰδέναι καὶ μὴ διεψεῦσθαι τῷ λόγῳ, ἔςι δὲ καὶ ὁ φρόνιμος τοιῦτος ὁ τῷ λόγῳ τῷ ὀρθῷ ἕκαςα θεωρῶν, πότερον ἐνδέχεται τὸν φρόνιμον ἀκρατῆ εἶναι, ἢ ὔ; ἀπορήσειε γὰρ ἄν τις τὰ εἰρημένα· ἐὰν δὲ παρακολυθήσωμεν τοῖς ἔμπροσθεν εἰρημένοις, ὐκ ἔςαι ὁ φρόνιμος ἀκρατής. ἔφαμεν γὰρ τὸν φρόνιμον εἶναι ὐχ ᾧ ὁ ὀρθὸς λόγος μόνον ὑπάρχει, ἀλλ' ᾧ καὶ τὸ πράττειν τὰ κατὰ τὸν λόγον φαινόμενα βέλτιςα. εἰ δὲ πράττει τὰ βέλτιςα ὁ φρόνιμος, ὐδ' ἂν ἀκρατὴς εἴη ὁ φρόνιμος, ἀλλ' ὁ τοιοῦτος δεινὸς μέν ἐςιν. διῃρήμεθα γὰρ ἐν τοῖς ἐπάνω τόν τε δεινὸν καὶ τὸν φρόνιμον ὡς ἑτέρων ὄντων· περὶ μὲν γὰρ ταὐτά, ἀλλ' ὁ μὲν πρακτικὸς περὶ ἃ δεῖ, ὁ δ' οὐ πρακτικός. τὸν οὖν δεινὸν ἀκρατῆ ἐνδέχεται εἶναι (οὐ γὰρ πρακτικὸς περὶ ἃ καὶ δεινός), τὸν φρόνιμον δ' οὐκ ἐνδέχεται ἀκρατῆ εἶναι.

7 Μετὰ δὲ ταῦτα λεκτέον ἂν εἴη περὶ ἡδονῆς, ἐπειδήπερ ὑπὲρ εὐδαιμονίας ἐςὶν ὁ λόγος, τὴν δ' εὐδαιμονίαν οἴονται πάντες ἤτοι ἡδονὴν εἶναι καὶ τὸ ἡδέως ζῆν, ἢ οὐκ ἄνευ γε ἡδονῆς. οἱ δὲ καὶ τῇ ἡδονῇ δυσχεραίνοντες καὶ ὐκ οἰόμενοι δεῖν τὴν ἡδονὴν ἐναριθμεῖσθαι τοῖς ἀγαθοῖς, ἀλλὰ τό γε ἄλυπον προςιθέασιν· ἐγγὺς οὖν τὸ ἀλύπως τῆς ἡδονῆς ἐςίν. διόπερ λεκτέον ὑπὲρ ἡδονῆς, οὐ μόνον δὲ διότι καὶ οἱ ἄλλοι οἴονται δεῖν, ἀλλὰ δὴ ἀναγκαῖον ἡμῖν ἐστὶ λέγειν ὑπὲρ ἡδονῆς· ἐπειδὴ γὰρ ὑπὲρ εὐδαιμονίας ἡμῖν ἐστὶν ὁ λόγος, τὴν δ' εὐδαιμονίαν διωρίκαμεν καὶ φαμὲν εἶναι ἀρετῆς ἐνέργειαν ἐν βίῳ τελείῳ, ἡ δ' ἀρετή ἐςι περὶ ἡδονὴν καὶ λύπην, ὑπὲρ ἡδονῆς ἂν εἴη ἀναγκαῖον εἰπεῖν, ἐπειδήπερ οὐκ ἔστιν ἡ εὐδαιμονία ἄνευ ἡδονῆς. πρῶτον μὲν οὖν εἴπωμεν ἅ τινες λέγοντες οὐκ οἴονται δεῖν τὴν ἡδονὴν ὡς ἐν ἀγαθοῦ μέρει λαμβάνειν. πρῶτον μὲν γάρ φασιν εἶναι τὴν ἡδονὴν γένεσιν, τὴν δὲ γένεσιν ἀτελές τι, τὸ δὲ ἀγαθὸν οὐδέποτε τὴν τῦ ἀτελοῦς χώραν ἔχειν. δεύτερον δ' ὅτι εἰσί τινες φαῦλαι ἡδοναί, τὸ δ' ἀγαθὸν οὐδέποτ' ἐν φαυλότητι εἶναι. πάλιν ὅτι ἐν πᾶσιν ἐγγίνεται· καὶ γὰρ ἐν τῷ φαύλῳ καὶ ἐν τῷ σπουδαίῳ καὶ ἐν θηρίῳ καὶ ἐν βοσκήματι· τὸ δ' ἀγαθὸν ἀμιγές ἐστι τοῖς φαύλοις καὶ οὐ πολύκοινον. καὶ ὅτι οὐ κράτιςον ἡδονή, τὸ δ' ἀγαθὸν κράτιστον. καὶ ὅτι ἐμπόδιον τοῦ πράττειν τὰ καλά, τὸ δὲ κωλυτικὸν τῶν καλῶν ὐκ ἂν εἴη ἀγαθόν. πρῶτον μὲν ὖν πρὸς τὸ πρῶτον ἂν εἴη λεκτέον, πρὸς τὴν γένεσιν, καὶ πειρατέον τὸν λόγον τοῦτον λύειν διὰ τὸ μὴ ἀληθῆ εἶναι. ἔστι γὰρ πρῶτον μὲν οὐ πᾶσα ἡδονὴ γένεσις. ἡ γὰρ ἀπὸ τῦ θεωρεῖν ἡδονὴ γινομένη οὐκ ἔςι γένεσις, οὐδ' ἡ ἀπὸ τοῦ ἀκοῦσαι καὶ ὀσφρανθῆναι. οὐ γὰρ ἐξ ἐνδείας γινομένη, ὥσπερ ἐπὶ τῶν ἄλλων, οἷον ἐκ τῦ φαγεῖν ἢ πιεῖν. αὗται μὲν γὰρ ἐξ ἐνδείας καὶ ὑπερβολῆς γίνονται, τῷ ἢ τὴν ἔνδειαν ἀναπληροῦσθαι ἢ τῆς ὑπερβολῆς ἀφαιρεῖσθαι· διὸ γένεσις δοκεῖ εἶναι. ἡ δ' ἔνδεια καὶ ἡ ὑπερβολὴ λύπη. λύπη οὖν ἐνταῦθα ἔνθα ἡδονῆς γένεσις. ἐπὶ δέ γε τοῦ ἰδεῖν καὶ ἀκοῦσαι καὶ ὀσφρανθῆναι οὐκ ἔστι προλυπηθῆναι· οὐδεὶς γὰρ ἡδόμενος τῷ ὁρᾶν ἢ τῷ ὀσφραίνεσθαι προελυπήθη. ὁμοίως δὲ καὶ ἐπὶ τῆς διανοίας ἔστι θεωροῦντά τι ἥδεσθαι ἄνευ τοῦ προλυπηθῆναι, ὥστ' εἴη ἄν τις ἡδονὴ ἣ ὐκ ἔςι γένεσις. εἰ ὖν ἡ μὲν ἡδονή, ὡς ὁ λόγος αὐτῶν ἔφη, διὰ τοῦτο οὐκ ἀγαθὸν ὅτι γένεσις, ἔστι δέ τις ἡδονὴ ἣ οὐκ ἔστι γένεσις, αὕτη ἂν εἴη ἀγαθόν. τὸ δ' ὅλον οὐκ ἔστιν οὐδεμία ἡδονὴ γένεσις· οὐδὲ γὰρ αὗται αἱ ἀπὸ τοῦ φαγεῖν καὶ πιεῖν ἡδοναὶ οὐκ εἰσὶ γενέσεις, ἀλλὰ διαμαρτάνυσιν οἱ ταύτας φάσκοντες εἶναι τὰς ἡδονὰς γενέσεις. οἴονται γάρ, ἐπειδὴ τῆς προσφορᾶς γινομένης γίνεται ἡδονή, διὰ τοῦτο γένεσιν εἶναι· ἔςι δ' ὔ. ἐπειδὴ γάρ ἐςι τῆς ψυχῆς τι μέρος ᾧ ἡδόμεθα ἅμα τῇ προσφορᾷ ὧν ἐσμὲν ἐνδεεῖς, τοῦτο τὸ μόριον τῆς ψυχῆς ἐνεργεῖ καὶ κινεῖται, ἡ δὲ κίνησις αὐτοῦ καὶ ἡ ἐνέργειά ἐςιν ἡδονή· διὰ δὴ τὸ ἅμα τῇ προσφορᾷ ἐκεῖνο τὸ μόριον τῆς ψυχῆς ἐνεργεῖν, ἢ διὰ τὴν αὐτοῦ ἐνέργειαν, οἴονται γένεσιν εἶναι τὴν ἡδονὴν τῷ τὴν προσφορὰν δήλην εἶναι, τὸ δὲ τῆς ψυχῆς μόριον ἄδηλον. ὅμοιον οὖν εἴ τις τὸν ἄνθρωπον οἴεται εἶναι σῶμα, ὅτι τοῦτο μὲν αἰσθητόν ἐςιν, ἡ δὲ ψυχὴ οὔ· ἔςι δέ γε καὶ ἡ ψυχή. ὁμοίως δὲ καὶ ἐπὶ τούτου· ἔστι γὰρ μόριόν τι τῆς ψυχῆς ᾧ ἡδόμεθα, ὃ ἅμα τῇ προσφορᾷ ἐνεργεῖ· διὸ οὐκ ἔςιν οὐδεμία ἡδονὴ γένεσις. καὶ ἀποκατάστασις δέ, φασίν, εἰς φύσιν αἰσθητή. καὶ γὰρ μὴ ἀποκαθιςαμένοις εἰς φύσιν ἐςὶν ἡδονή. τὸ γὰρ ἀποκαθίστασθαί ἐςι τὸ τοῦ ἐνδεοῦς ἡ

1. ὁ post οἷος om. K^b. ‖ ἄρα] ὖν ἄρα M^b. ‖ 2. δ'] γὰρ K^b. ‖ 4. ὐδὲν M^b. ‖ ἐςιν om M^b. ‖ τοιῦτός τις οἷος K^b. ‖ 6. [illegible] δ' ἐνδέχεται M^b. ‖ 7. ἀπορήσει γάρ τις K^b. ‖ 10. ὁ om K^b. ‖ 11. τὸν om M^b. ‖ 15. ταυτόν M^b. ‖ 19. δὲ om M^b. ‖ 25. ἄλλοι] οὐκ M^b. ‖ 30. εἰπεῖν εἴη ἀναγκαῖον M^b. ‖ 31. μὲν om M^b. ‖ τινα M^b. ‖ 37. γὰρ om M^b.

5. λύειν τῦτον K^b. ‖ 10. γὰρ om M^b. ‖ 12. ἡ post καὶ om K^b. ‖ 15. λυπηθῆναι M^b. ‖ 16. ἔστι om K^b. ‖ 17. θεωροῦντά τι] θεωροῦντάς 2023. ‖ 18. ἡ μὲν om M^b, μὲν om Baroccianus et 1417, 1855, 2023. ‖ ὡς — 20. ἡδονὴ om Z et 2024. ‖ 21. ὅλον om M^b. ‖ 22. οὐκ om M^b. ‖ ἔςι γένεσις K^b. ‖ 23. ταῦτα M^b. ‖ 24. γενομένης K^b. ‖ 25. γένεσις K^b. ‖ 27. ψυχῆς τι ἐνεργεῖ K^b. ‖ 28. τὸ δὴ K^bM^b. ‖ 37. αἰσθητήν M^b et pr K^b.

28. Worms & beetles are φύσεις φαῦλαι.

τέτε τὴν ἀναπλήρωσιν γενέσθαι· ἔςι δέ, ὡς φαμέν, ι ἐνδεᾶ ἥδεσθαι. ἡ μὲν γὰρ ἔνδεια λύπη, ἄνευ δὲ ιαὶ πρὸ λύπης φαμὲν ἥδεσθαι, ὥστ' οὐκ ἂν εἴη ἡ ποκατάςασις τῦ ἐνδεῦς· ἐνδεὲς γὰρ ἐπὶ τῶν τοιέτων οὐδέν. ὥςε εἰ διότι μὲν γένεσις ἡ ἡδονὴ οὐκ ἀγαθὸν ἶναι, οὐκ ἔςι δὲ οὐδεμία ἡδονὴ γένεσις, ἀγαθὸν ἂν δονή. ἀλλὰ μετὰ τοῦτο οὐ πᾶσα, φησίν, ἡδονὴ συνίδοι δ' ἄν τις καὶ ὑπὲρ τούτε οὕτως. ἐπεὶ γὰρ φαμεν ἐν πάσαις ταῖς κατηγορίαις λέγεσθαι (καὶ οὐσίᾳ καὶ ἐν τῷ πρός τι καὶ ποσῷ καὶ πότε καὶ ἁπάσαις), ἤδη γ' ἐκεῖνο φανερόν· κατὰ πάσας αθοῦ ἐνεργείας ἡδονή τις ἀκολουθεῖ. ὥς' ἐπειδὴ τὸ ἐν πάσαις ταῖς κατηγορίαις, καὶ ἡδονὴ ἂν εἴη ἀγα-τ' ἐπειδὴ ἐν τούτοις μὲν τἀγαθὰ καὶ ἡδονή, ἡ δ' ν ἀγαθῶν ἡδονὴ ἡδονή, ἀγαθὸν ἂν εἴη πᾶσα ἡδονή. δῆλον ἐκ τέτε ὅτι καὶ διάφοροι τῷ εἴδει αἱ ἡδοναί ιάφοροι γὰρ καὶ αἱ κατηγορίαι, ἐν αἷς ἐςὶν ἡδονή. ὥσπερ ἐπὶ τῶν ἐπιςημῶν ἔχει, οἷον τῆς γραμματι-λλης ἠςινοσῦν. ἐὰν γὰρ ἔχῃ Λάμπρος τὴν γραμ-, ὁμοίως διακείσεται ὑπὸ τῆς γραμματικῆς ταύτης ατικὸς] ἄλλῳ ὁτῳοῦν ἔχοντι γραμματικήν, οὐ δύο φοροι αἱ γραμματικαὶ ἥ τ' ἐν Λάμπρῳ καὶ ἐν λλ' ἐπὶ τῆς ἡδονῆς ὐχ ὕτως· ἡ γὰρ ἀπὸ τῆς μέθης αὶ ἡ ἀπὸ τοῦ συγγίνεσθαι οὐχ ὁμοίως διατιθέασιν, φοροι τῷ εἴδει δόξαιεν ἂν εἶναι αἱ ἡδοναί. ἀλλὰ δὴ ι φαῦλαί εἰσιν ἡδοναί τινες, καὶ διὰ τῦτο ὐκ ἐδόκει αὐτοῖς ἀγαθὸν εἶναι. τὸ δὴ τοιοῦτον καὶ ἡ τοιαύτη ὐκ ἴδιός ἐστιν ἡδονῆς, ἀλλὰ καὶ ἐπὶ φύσεως καὶ ις. ἔςι γὰρ καὶ φύσις φαύλη, οἷον ἡ τῶν σκωλή- ἡ τῶν κανθάρων καὶ ὅλως ἡ τῶν ἀτίμων ζῴων, διὰ τοῦτο ἡ φύσις τῶν φαύλων. ὁμοίως δ' εἰσὶ τῆμαι φαῦλαι, οἷον αἱ βάναυσοι, ἀλλ' ὅμως οὐ το φαῦλον ἡ ἐπιστήμη, ἀλλ' ἀγαθὸν τῷ γένει καὶ καὶ φύσις. ὥσπερ γὰρ ὐδ' ἀνδριαντοποιὸν θεωρεῖν ς τις ἐστὶν ἐξ ὧν ἀπέτυχε καὶ κακῶς εἰργάσατο, ὧν εὖ, οὕτως οὐδ' ἐπιςήμην οὐδὲ φύσιν ὐδὲ ἄλλο ἰόν τί ἐςιν ἐκ τῶν φαύλων, ἀλλ' ἐκ τῶν σπυδαίων.

ὁμοίως δὲ καὶ ἡ ἡδονὴ τῷ γένει ἀγαθόν ἐστιν, ἐπεὶ ὅτι γ' εἰσὶ φαῦλαι ἡδοναί, οὐδ' ἡμᾶς λανθάνει. ἐπεὶ γὰρ καὶ φύσεις τῶν ζῴων εἰσὶ διάφοροι, οἷον καὶ φαύλη καὶ σπυδαία, οἷον ἡ μὲν ἀνθρώπυ σπυδαία ἡ δὲ λύκυ ἤ τινος ἄλλυ θηρίου φαύλη, ὁμοίως δ' ἑτέρα φύσις ἵππου καὶ ἀνθρώπου καὶ ὄνου καὶ κυνός· ἡ δὲ ἡδονή ἐςι κατάςασις ἐκ τῦ παρὰ φύσιν εἰς φύσιν ἑκάςῳ τὴν αὐτοῦ, ὥςε τῦτ' ἂν εἴη ἥδιςον τῇ γε φαύλῃ φύσει, φαύλη ἡδονή. οὐ γάρ ἐστι ταὐτὸν ἵππῳ καὶ ἀνθρώπῳ, ὁμοίως ὐδὲ τοῖς ἄλλοις, ἀλλ' ἐπείπερ αἱ φύσεις διάφοροι, καὶ αἱ ἡδοναὶ διάφοροι. ἡ γὰρ ἡδονὴ ἦν ἀποκατάςασις, καὶ ἡ ἀποκατάςασις, φασίν, εἰς φύσιν καθίςη, ὥςε τῆς μὲν φαύλης φύσεως ἡ κατάςασις φαύλη, τῆς δὲ σπουδαίας σπουδαία. ἀλλ' οἱ φάσκοντες εἶναι τὴν ἡδονὴν ὐ σπυδαίαν, πεπόνθασιν οἷον οἱ μὴ εἰδότες τὸ νέκταρ οἴονται τοὺς θεοὺς οἶνον πίνειν καὶ ὐκ εἶναι τούτυ ἥδιον ὐδέν. τοῦτο δὲ πάσχυσι διὰ τὴν ἄγνοιαν. οἷς ὅμοιον πεπόνθασιν οἱ πάσας τὰς ἡδονὰς γενέσεις φάσκοντες εἶναι καὶ ὐκ ἀγαθόν· διὰ γὰρ τὸ μὴ εἰδέναι ἄλλας ἡδονὰς ἀλλ' ἢ τὰς σωματικάς, ταύτας τε ὁρᾶν γενέσεις τε ὔσας καὶ ὐ σπυδαίας, ὅλως οὐκ οἴονται εἶναι τὴν ἡδονὴν ἀγαθόν. ἐπεὶ δ' οὖν ἐςὶν ἡ ἡδονὴ καὶ καθιςαμένης τῆς φύσεως καὶ καθεςηκυίας, οἷον καθιςαμένης μὲν αἱ ἐξ ἐνδείας ἀναπληρώσεις, καθεςηκυίας δὲ αἱ ἀπὸ τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ τῶν τοιύτων ὔσαι, βελτίυς ἂν εἴησαν αἱ καθεςηκυίας τῆς φύσεως ἐνέργειαι· αἱ γὰρ ἡδοναὶ κατ' ἀμφοτέρυς λεγόμεναι τὺς τρόπυς ἐνέργειαί εἰσιν, ὥστε δῆλον ὅτι αἱ ἀπὸ τῆς ὄψεως ἡδοναὶ καὶ τῆς ἀκοῆς καὶ τοῦ διανοεῖσθαι βέλτιςαι ἂν εἴησαν, ἐπεὶ αἵ γε σωματικαὶ ἐξ ἀναπληρώσεως. ἔτι καὶ τοῦτο ἐλέγετο, ὅτι οὐκ ἀγαθόν· τὸ γὰρ ἐν πᾶσιν εἶναι καὶ πᾶσι κοινὸν οὐκ ἀγαθόν. τὸ δὴ τοιοῦτον ἐπὶ φιλοτίμυ μᾶλλον καὶ φιλοτιμίας οἰκεῖόν ἐςιν· ὁ γὰρ φιλότιμός ἐςιν ὁ μόνος βυλόμενος ἔχειν καὶ τῷ τοιύτῳ τῶν ἄλλων ὑπερέχειν. καὶ τὴν ἡδονὴν οὖν, εἰ μέλλει τἀγαθὸν εἶναι, τοιοῦτον δεῖν εἶναι. ἢ οὔ, ἀλλὰ καὶ τὐναντίον διὰ τοῦτο ἂν δόξειεν ἀγαθὸν εἶναι, ὅτι πάντα τούτου ἐφίεται· τοῦ γὰρ ἀγαθοῦ πάντα πέφυκεν ἐφίεσθαι, ὥς' εἰ τῆς ἡδονῆς πάντ' ἐφίεται, ἀγαθὸν ἂν εἴη τῷ γένει ἡ ἡδονή. πάλιν καὶ ὅτι ἐςὶν ἐμπόδιον ἡ ἡδονή, ὐκ

Ηδονή – τῷ γένει ἀγαθόν.

Αγαθον τῷ γένει ἡ ἡδονή

καὶ πρὸ λύπης om K^b. ‖ 3 et 7. ἡ om K^b. ‖ 11. ἁπάσαις] πάσαις M^b. ‖ 12. ἀγαθοῦ ἐνεργείας om K^b. ‖ 13. ἁπάσαις K^b. ‖ 7. αἱ om M^b. ‖ 19. ἔχη γὰρ K^b. ‖ λαμπρῶς K^b, λαμπρ 2023, ἐν λαμπρῷ 1417 et 1855. ‖ 20. ὁμοίως δὲ διάκειται K^b. ‖ m K^b, 1417, 1855. ‖ διό K^b cum Z et 2024. ‖ 22. διάφοροι] μήποτε μᾶλλον ἀδιάφοροι γραπτέον margo K^b. ‖ 23. ἰλιεῖ 1855 et 2023, ηλεῖ M^b et Baroccianus. ‖ 25. δόξειεν M^b. ‖ 28. ἴδιόν ἐστι τῆς ἡδονῆς M^b. ‖ 31. εἰσὶ] εἶεν K^b. ‖ 34. φύσι ήμη M^b. ‖ 35. τις om M^b.

ἐστιν om M^b. ‖ 3. καὶ post οἷον om K^b. ‖ 7. ἑκάςου K^b. ‖ ἡδίςη K^b, ἴδιον M^b. ‖ 8. φαύλη ἡ ἡδονή K^b. ‖ ταὐτὸν] ταυτὸν καὶ 2. καθίςει K^b. ‖ 13. οἱ] οἱ μὲν M^b. ‖ 14. ὐ om $K^b M^b$. ‖ 15. τοῦτο K^b. ‖ ἴδιον $K^b M^b$. ‖ 19. ὐ om K^b. ‖ 20. δ' om 22. καθες.] καὶ καθες. M^b. ‖ 33. μέλλοι M^b. ‖ δεῖν] δὴ M^b. ‖ 36. ἂν om M^b. ‖ 37. πάλιν ὅτι καὶ ἐςὶν ἐμπόδιόν ἐςιν ἡ M^b.

ἔφασαν αὐτὴν ἀγαθὸν εἶναι. τὸ δ' ἐμπόδιον φάσκειν εἶναι διὰ τὸ μὴ ὀρθῶς σκοπεῖν φαίνετ' αὐτοῖς. οὐ γάρ ἐςιν ἐμπόδιον ἡ ἀπὸ τοῦ πράγματος τοῦ πραττομένου ἡδονή. ἐὰν μέντοι ἄλλη, ἐμπόδιον, οἷον ἡ ἀπὸ τῆς μέθης ἡδονὴ ἐμπόδιόν ἐςι τοῦ πράττειν. ἀλλ' οὕτω μὲν καὶ ἐπιςήμη ἐπιςήμης ἐμπόδιον ἔςαι· οὐ γὰρ ἔςιν ἅμα ἀμφοτέραις ἐνεργεῖν. ἀλλὰ διὰ τί ὐκ ἀγαθὸν ἡ ἐπιςήμη, ἂν ποιῇ τὴν ἀπὸ τῆς ἐπιςήμης ἡδονήν; καὶ πότερον ἐμπόδιον ἔςαι, ἢ ὔ, ἀλλὰ μᾶλλον πράξει; ἡ γὰρ ἡδονὴ παρορμᾷ πρὸς τὸ μᾶλλον πράττειν ἀπ' αὐτοῦ γινομένη, ἐπεὶ τὸν σπουδαῖον ποίησον πράττειν τὰ κατ' ἀρετήν, καὶ ἡδέως ταῦτα πράττειν· ἆρα ὐ πολλῷ μᾶλλον ἐνεργήσει κατὰ τὴν πρᾶξιν; καὶ ἐὰν μέν γε ἡδόμενος πράττῃ, σπυδαῖος ἔςαι, ἂν δὲ λυπούμενος τὰ καλὰ πράττῃ, ὐ σπυδαῖος. ἡ γὰρ λύπη ἐπὶ τοῖς δι' ἀνάγκην ἐςίν, ὥς' εἰ λυπεῖταί τις τὰ καλὰ πράττων, ἀναγκαζόμενος πράττει· ὁ δ' ἐξ ἀνάγκης πράττων οὐ σπουδαῖος. ἀλλὰ μὴν οὐκ ἔςι γε μὴ λυπούμενον ἢ ἡδόμενον τὰ κατ' ἀρετὴν πράττειν· τὸ δ' ἀνὰ μέσον οὐκ ἔςιν. διὰ τί; ὅτι ἡ ἀρετὴ ἐν πάθει, τὸ δὲ πάθος ἐν λύπῃ καὶ ἡδονῇ· ἐν δὲ τῷ ἀνὰ μέσον ὐκ ἔςιν. δῆλον ὖν ὡς καὶ ἡ ἀρετὴ μετὰ λύπης καὶ ἡδονῆς. εἰ μὲν οὖν λυπούμενός τις τὰ καλὰ πράττει, οὐ σπουδαῖος. ὥςε οὐκ ἂν εἴη ἡ ἀρετὴ μετὰ λύπης· μεθ' ἡδονῆς ἄρα. ὐ μόνον ἄρα ὐκ ἐμπόδιόν ἐςιν ἡ ἡδονή, ἀλλὰ καὶ προτρεπτικὸν πρὸς τὸ πράττειν, καὶ τὸ ὅλον δὲ οὐκ ἐνδέχεται ἄνευ ἡδονῆς εἶναι τῆς ἀπ' αὐτῆς γινομένης. ἄλλος ἦν λόγος ὅτι οὐδεμία ποιεῖ ἐπιστήμη ἡδονήν. ἔστι δὲ οὐδὲ τοῦτο ἀληθές· οἱ γὰρ δειπνοποιοὶ καὶ ςεφανοποιοὶ καὶ μυρεψοὶ ἡδονῆς εἰσὶ ποιητικοί. ἀλλὰ δὴ ταῖς ἄλλαις ἐπιςήμαις οὐκ ἔςιν ἡ ἡδονὴ ὡς τέλος, ἀλλὰ μεθ' ἡδονῆς τε καὶ οὐκ ἄνευ ἡδονῆς· ἔστιν οὖν καὶ ἐπιστήμη ποιητικὴ ἡδονῆς. ἔτι δὲ καὶ ἄλλως ἐλέγετο, ὅτι οὐκ ἄριςον. ἀλλ' οὕτω μὲν καὶ τῷ τοιούτῳ λόγῳ ἀναιρήσεις καὶ τὰς καθ' ἕκαςα λεγομένας ἀρετάς. ἡ γὰρ ἀνδρεία οὐκ ἔςιν ἄριστον· ἆρ' οὖν διὰ τοῦτ' οὐκ ἀγαθόν; ἢ τοῦτ' ἄτοπον; ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οὐδὲ ἡδονὴ διὰ τοῦτ' οὐκ ἀγαθόν, ὅτι οὐκ ἄριςον. ἀπορήσειε δ' ἄν τις μεταβὰς καὶ ἐπὶ τῶν ἀρετῶν τὸ τοιῦτον, οἷον ἐπειδὴ ὁ λόγος κρατεῖ ποτὲ τῶν παθῶν (φαμὲν γὰρ ἐπὶ τοῦ ἐγκρατοῦς), καὶ τὰ πάθη δὲ πάλιν ἀντεςραμμένως τοῦ λόγου κρατεῖ, οἷον ἐπὶ τῶν ἀκρατῶν συμβαίνει. ἐπεὶ ὖν τὸ ἄλογον μέρος τῆς ψυχῆς ἔχον τὴν κακίαν κρ λόγυ εὖ διακειμένυ (ὁ γὰρ ἀκρατὴς τοιοῦτος), καὶ ὁμοίως φαῦλος· διὸ κἀκεῖνος κρατήσει τῶν παθῶν κειμένων καὶ ἐχόντων τὴν οἰκείαν ἀρετήν. εἰ δὲ τοῦ συμβήσεται τῇ ἀρετῇ κακῶς χρῆσθαι· ὁ γὰρ λόγῳ διακείμενος καὶ χρώμενος τῇ ἀρετῇ κακῶς αὐτῇ χ τὸ δὴ τοιοῦτον ἄτοπον ἂν συμβαίνειν δόξειεν. πρὸς τοιαύτην ἀπορίαν ῥᾴδιον ἀντειπεῖν καὶ λῦσαι ἐκ τῶν σθεν ἡμῖν εἰρημένων ὑπὲρ ἀρετῆς. τότε γάρ φαμ ἀρετήν, ὅταν ὁ λόγος εὖ διακείμενος τοῖς πάθεσιν ἔχ οἰκείαν ἀρετὴν σύμμετρος ᾖ, καὶ τὰ πάθη τῷ λόγῳ γὰρ διακείμενα συμφωνήσουσι πρὸς ἄλληλα, ὥςε λόγον προςάττειν ἀεὶ τὸ βέλτιςον, τὰ δὲ πάθη ῥᾳ διακείμενα ποιεῖν ὃ ἂν ὁ λόγος προςάττῃ. ἂν οὖν ὁ φαύλως ᾖ διακείμενος, τὰ δὲ πάθη εὖ, οὐκ ἔσται ἐκλείποντος τοῦ λόγου· ἐξ ἀμφοτέρων γὰρ ἡ ἀρετή οὐδὲ κακῶς χρῆσθαι ἐνδέχεται ἀρετῇ. ἁπλῶς δ' οὐ οἴονται οἱ ἄλλοι, τῆς ἀρετῆς ἀρχὴ καὶ ἡγεμών ἐςιν γος, ἀλλὰ μᾶλλον τὰ πάθη. δεῖ γὰρ πρὸς τὸ καλ μὴν ἄλογόν τινα πρῶτον ἐγγίνεσθαι (ὃ καὶ γίνεται) ὕτως τὸν λόγον ὕςερον ἐπιψηφίζοντα εἶναι καὶ διακ ἴδοι δ' ἄν τις τοῦτο ἐκ τῶν παιδίων καὶ τῶν ἄνευ ζώντων· ἐν γὰρ τούτοις ἄνευ τοῦ λόγου ἐγγίνονται παθῶν πρὸς τὸ καλὸν πρότερον, ὁ δὲ λόγος ὕςερος νόμενος καὶ σύμψηφος ὢν ποιεῖ πράττειν τὰ καλά. οὐκ ἐὰν ἀπὸ τοῦ λόγυ τὴν ἀρχὴν λάβῃ πρὸς τὰ κα ἀκολυθεῖ τὰ πάθη ὁμογνωμονοῦντα, ἀλλὰ πολλάκις τιοῦται· διὸ μᾶλλον ἀρχῇ ἔοικε πρὸς τὴν ἀρετὴν τὸ εὖ διακείμενον ἢ ὁ λόγος.

Ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ἐπειδὴ περὶ ε μονίας ἐςὶν ὁ λόγος, περὶ εὐτυχίας. οἴονται γὰρ οἱ π τὸν εὐδαίμονα βίον τὸν εὐτυχῆ εἶναι ἢ οὐκ ἄνευ γε χίας, καὶ ὀρθῶς ἴσως· ἄνευ γὰρ τῶν ἐκτὸς ἀγαθῶν, τύχη ἐςὶ κυρία, οὐκ ἐνδέχεται εὐδαίμονα εἶναι. διὸ ἐςὶν ὑπὲρ εὐτυχίας, καὶ ἁπλῶς ὁ εὐτυχὴς τίς ἐςι τίσι καὶ περὶ τί. πρῶτον μὲν οὖν ἐπὶ ταῦτ' ἄν τις καὶ ἐπιβλέψας ἀπορήσειεν. οὔτε γὰρ ἂν εἴποι τις τύ χην ὡς ἐςὶ φύσις. ἡ γὰρ φύσις ἀεὶ οὗ ἐςὶν αἰτία, ὡς ἐπὶ τὸ πολὺ ἢ ὡσαύτως ποιητική ἐστιν, ἡ δέ γε

1. τὸ corr K^b, τῦ M^b. ‖ 4. μὲν M^b. ‖ 11. τὰ om M^b. ‖ 21. τι M^b. ‖ 25. εἶναι om M^b. ‖ 27. δεινοποιοὶ K^b. ‖ καὶ ρεψοὶ K^b. ‖ 30. καὶ] ἡ M^b. ‖ ποιητὸν M^b. ‖ 31. δὲ om K^b. ‖ 34. διὰ τοῦτ'] διὰ ταῦτα M^b. ‖ 35. οὐκ ante ἀγαθὸν om 37. γὰρ καὶ ἐπὶ M^b.

16. ἐκλιπόντος K^b. ‖ 17. ὥσπερ K^b. ‖ 20. πρῶτον om M^b. ‖ 22. παίδων K^b. ‖ 23. τοῦ om M^b. ‖ ὁρμαὶ τῶν παθῶν 24. πρότερον om M^b. ‖ 26. ὐκ om M^b. ‖ 33. ἴσως om M^b. ‖ 35. τί M^b. ‖ 37. ἀποβλέψας M^b. ‖ 38. οὗ] οὐκ pr K^b. ‖ καὶ corr M^b.

ε, ἀλλ' ἀτάκτως καὶ ὡς ἔτυχεν· διὸ ἡ τύχη ἐν τοῖς ; λέγεται. ὅτε δὴ νοῦν γέ τινα ἢ λόγον ὀρθόν· καὶ αῦθα ὐχ ἧττόν ἐςι τὸ τεταγμένον καὶ τὸ ἀεὶ ὡσαύ- ὲ τύχη ὔ. διὸ καὶ ὗ πλεῖςος νῦς καὶ λόγος, ἐνταῦθα ι τύχη, ὗ δὲ πλείςη τύχη, ἐνταῦθ' ἐλάχιςος νοῦς. ά γε ἡ εὐτυχία ἐςὶν ὡς ἐπιμέλειά τις θεῶν; ἢ τῦτ' ὀξειεν; τὸν γὰρ θεὸν ἀξιῦμεν κύριον ὄντα τῶν τοιύ- ἀξίοις ἀπονέμειν καὶ τἀγαθὰ καὶ τὰ κακά, ἡ δὲ ιὶ τὰ ἀπὸ τῆς τύχης ὡς ἀληθῶς ὡς ἂν τύχῃ γίνε- δέ γε τῷ θεῷ τὸ τοιῦτον ἀπονέμομεν, φαῦλον αὐτὸν τοιήσομεν ἢ ὐ δίκαιον· τῦτο δ' ὐ προσῆκόν ἐςι θεῷ. ιὴν ἔξω γε τύτων εἰς οὐδὲν ἄλλο τὴν τύχην ἄν τις ὥστε δῆλον ὅτι τύτων ἄν τι εἴη. νοῦς μὲν δὴ καὶ ιαὶ ἐπιστήμη παντελῶς ἀλλότριόν τι ἔοικεν εἶναι. ιὴν οὐδ' ἡ ἐπιμέλεια καὶ ἡ εὔνοια ἡ παρὰ τῦ θεοῦ ἂν εἶναι εὐτυχία διὰ τὸ καὶ ἐν τοῖς φαύλοις ἐγγίνε- ὸν δὲ θεὸν τῶν φαύλων ὐκ εἰκὸς ἐπιμελεῖσθαι. λοιπὸν αὶ οἰκειότατον τῆς εὐτυχίας ἐςὶν ἡ φύσις, ἔςι δ' ἡ καὶ ἡ τύχη ἐν τοῖς μὴ ἐφ' ἡμῖν οὖσι, μηδ' ὧν ύριοί ἐσμεν καὶ δυνατοὶ πρᾶξαι. διὸ τὸν δίκαιον, ᾗ ὐθεὶς λέγει εὐτυχῆ, ὐδὲ τὸν ἀνδρεῖον, ὐδ' ὅλως τῶν ιετὴν ὐδένα· ἐφ' ἡμῖν γάρ ἐςι ταῦτα καὶ ἔχειν καὶ ιν. ἀλλ' ἤδη ἐπὶ τοῖς τοιύτοις οἰκειότερον τὴν εὐτυ- οῦμεν· τὸν γὰρ εὐγενῆ εὐτυχῆ λέγομεν, καὶ ὅλως ιαῦτα τῶν ἀγαθῶν ὑπάρχει ὧν μὴ αὐτὸς κύριός λλ' ὅμως ὐδ' ἐνταῦθα κυρίως ἂν ἡ εὐτυχία λέγοιτο. πολλαχῶς ὁ εὐτυχὴς λεγόμενος· καὶ γὰρ ᾧ παρὰ ισμὸν τὸν αὑτῦ συνέβη τι ἀγαθὸν πρᾶξαι, εὐτυχῆ καὶ ᾧ κατὰ λόγον ζημίαν ἦν λαβεῖν, τὸν τοιῦτον ντα εὐτυχῆ φαμέν. ἔςιν ὖν ἡ εὐτυχία τῷ ἀγαθόν ξαι παρὰ λόγον καὶ ἐν τῷ κακὸν μὴ λαβεῖν εὔλο- λλὰ μᾶλλον καὶ οἰκειότερον ἡ εὐτυχία ἂν δόξειεν τῷ ἀγαθὸν λαβεῖν· τὸ μὲν γὰρ ἀγαθὸν λαβεῖν τὸ δόξειεν ἂν εὐτύχημα εἶναι, τὸ δὲ κακὸν μὴ λα- τὰ συμβεβηκὸς εὐτύχημα. ἔςιν ὖν ἡ εὐτυχία ἄλο- σις· ὁ γὰρ εὐτυχής ἐςιν ὁ ἄνευ λόγυ ἔχων ὁρμὴν γαθὰ καὶ τύτων ἐπιτυγχάνων, τῦτο δ' ἐςὶ φύσεως· τῇ ψυχῇ ἔνεστι τῇ φύσει τοιῦτον ᾧ ὁρμῶμεν ἀλό-

γως πρὸς ἃ ἂν εὖ ἔχωμεν. καὶ εἴ τις ἐρωτήσειε τὸν ὕτως ἔχοντα, διὰ τί τοῦτο ἀρέσκει σοι οὕτω πράττειν; ὐκ οἶδα, φησιν, ἀλλ' ἀρέσκει μοι, ὅμοιον πάσχων τοῖς ἐνθυσιάζυσιν· καὶ γὰρ οἱ ἐνθυσιάζοντες ἄνευ λόγου ὁρμὴν ἔχυσι πρὸς τὸ πράττειν τι. τὴν δ' εὐτυχίαν οὐκ ἔχομεν οἰκείῳ καὶ ἰδίῳ ὀνόματι προσαγορεύειν, ἀλλ' αἰτίαν πολλάκις φαμὲν εἶναι αὐτήν· ἡ δ' αἰτία ἀλλότριον τῦ ὀνόματος. ἡ γὰρ αἰτία καὶ ὗ ἐςὶν αἰτία ἄλλο ἐςί, καὶ ἄνευ ὁρμῆς τῆς ἐπιτυγχανύσης τῶν ἀγαθῶν αἰτία λεγομένη, οἷον ἡ τῦ κακὸν μὴ λαβεῖν ἢ πάλιν τῦ μὴ οἰόμενον ἀγαθὸν λήψεσθαι ἀγαθὸν λαβεῖν. ἔστιν οὖν ἡ τοιαύτη εὐτυχία διάφορος ἐκείνης, καὶ ἔοικεν αὐτὴ ἐκ τῶν πραγμάτων τῆς μεταπτώσεως γίνεσθαι, καὶ κατὰ συμβεβηκὸς εὐτυχία. ὥστ' εἰ καὶ ἡ τοιαύτη ἐστὶν εὐτυχία, ἀλλ' οὖν πρός γε τὴν εὐδαιμονίαν ἡ τοιαύτη ἂν εἴη εὐτυχία οἰκειοτέρα, ἧς ἐν αὐτῷ ἡ ἀρχὴ τῆς ὁρμῆς τῶν ἀγαθῶν ἐςὶ τῆς ἐπιτεύξεως. ἐπεὶ ὖν ἐςὶν ἡ εὐδαιμονία ὐκ ἄνευ τῶν ἐκτὸς ἀγαθῶν, ταῦτα δὲ γίνεται ἀπὸ τῆς εὐτυχίας, οἷον ἀρτίως ἔφαμεν, συνεργὸς ἂν εἴη τῇ εὐδαιμονίᾳ. περὶ μὲν ὖν εὐτυχίας τοσαῦτα.

Ἐπειδὴ δὲ ὑπὲρ ἑκάςης τῶν ἀρετῶν κατὰ μέρος εἰρή- 9
καμεν, λοιπὸν ἂν εἴη καὶ καθόλυ συνθέντας τὰ καθ' ἕκαςα κεφαλαιωσαμένους εἰπεῖν. ἔςι μὲν ὖν ὐ κακῶς λεγόμενον τὔνομα ἐπὶ τοῦ τελέως σπουδαίυ, ἡ καλοκἀγαθία. καλὸς κἀγαθὸς γάρ, φησίν, ὅταν τελέως σπυδαῖος ᾖ· ἐπὶ γὰρ τῆς ἀρετῆς τὸν καλὸν κἀγαθὸν λέγυσιν, οἷον τὸν δίκαιον καλὸν κἀγαθόν φασι, τὸν ἀνδρεῖον, τὸν σώφρονα, ὅλως ἐπὶ τῶν ἀρετῶν. ἐπειδὴ οὖν εἰς δύο διαιροῦμεν, καὶ τὰ μέν φαμεν εἶναι καλὰ τὰ δὲ καὶ ἀγαθά, καὶ τῶν ἀγαθῶν τὰ μὲν ἁπλῶς ἀγαθὰ τὰ δ' ὔ, καὶ καλὰ μὲν οἷον τὰς ἀρετὰς καὶ τὰς ἀπ' ἀρετῆς πράξεις, ἀγαθὰ δὲ οἷον ἀρχὴν πλῦτον δόξαν τιμὴν καὶ τὰ τοιαῦτα, ἔστιν ὖν ὁ καλὸς καὶ ἀγαθὸς ᾧ τὰ ἁπλῶς ἀγαθά ἐστιν ἀγαθὰ καὶ τὰ ἁπλῶς καλὰ καλά ἐστιν. ὁ τοιοῦτος γὰρ καλὸς καὶ ἀγαθός· ᾧ δὲ τὰ ἁπλῶς ἀγαθὰ μή ἐςιν ἀγαθά, ὐκ ἔςι καλὸς καὶ ἀγαθός, ὥσπερ οὐδ' ὑγιαίνειν ἂν δόξειεν ᾧ τὰ ἁπλῶς ὑγιεινὰ μὴ ὑγιεινά ἐςιν. εἰ γὰρ ὁ πλῦτος καὶ ἡ ἀρχὴ παραγινόμενά τινα βλάπτοιεν, ὐκ ἂν αἱρετὰ εἴη, ἀλλὰ τὰ τοιαῦτα ὅσα αὐτὸν μὴ βλάψει, βυλήσεται αὐτῷ εἶναι. ὁ δὲ τοιῦτος ὢν

γε om M^b. ‖ 5. ἐλαχίςη καὶ τύχη M^b. ‖ 6. θεοῦ M^b. ‖ 9. τῆς om M^b. ‖ 11. ἐςι τῷ θεῷ M^b. ‖ 12. ἄν τι τάξειεν K^b, ἄν τις M^b. ‖ 13. τις M^b. ‖ 18. ἡ alterum om K^b. ‖ 21. δίκαιον M^b. ‖ 22. γάρ] μὲν γάρ K^b. ‖ 24. λέγομεν] ἐρῦμεν M^b. ‖ om K^b. ‖ 26. ἂν κυρίως εὐτυχία K^b. ‖ 30. κερδαίνοντα M^b. ‖ 31. πρᾶξαι K^b. ‖ κακόν τι μὴ 1417 et 1855 et 2023. ‖ om M^b. ‖ 34. ἂν om K^b. ‖ 38. τύχη M^b.

. τὸ K^b. ‖ 11. ἀδιάφορος M^b. ‖ 12. αὕτη K^b. ‖ 13. ὥστ' — 14. εὐτυχία om ZM^b et 2024. ‖ 15. τῶν om M^b. ‖ 19. ταῦτα 21. συνθέντα M^b. ‖ 24. ᾖ om K^b. ‖ 25. οἷον om M^b. ‖ 26. φησιν K^b. ‖ 28. καὶ τῶν — 29. ἀγαθὰ om M^b. ‖ 30. ἐπ' οἷον om K^b. ‖ 31. καὶ ante τὰ om K^b. ‖ 38. βλάψη K^b.

οἷος ὑποστελλόμενός τι τῶν ἀγαθῶν πρὸς τὸ μὴ εἶναι αὐτῷ, οὐκ ἂν δόξειε καλὸς καὶ ἀγαθὸς εἶναι· ἀλλ' ᾧ τἀγαθὰ πάντα ὄντα ἀγαθά ἐστι καὶ ὑπὸ τούτων μὴ διαφθείρεται, οἷον ὑπὸ πλούτου καὶ ἀρχῆς, ὁ τοιοῦτος καλὸς καὶ ἀγαθός.

10 Ὑπὲρ δὲ τοῦ κατὰ τὰς ἀρετὰς ὀρθῶς πράττειν εἴρηται μέν, οὐχ ἱκανῶς δέ. ἔφαμεν γὰρ τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν· ἀλλ' ἴσως ἄν τις αὐτὸ τοῦτο ἀγνοῶν ἐρωτήσειε, τὸ κατὰ τὸν ὀρθὸν λόγον τί ποτ' ἐστί, καὶ ποῦ ἐστιν ὁ ὀρθὸς λόγος; ἔστιν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν, ὅταν τὸ ἄλογον μέρος τῆς ψυχῆς μὴ κωλύῃ τὸ λογιστικὸν ἐνεργεῖν τὴν αὑτοῦ ἐνέργειαν· τότε γὰρ ἡ πρᾶξις ἔσται κατὰ τὸν ὀρθὸν λόγον. ἐπειδὴ γάρ τι τῆς ψυχῆς τὸ μὲν χεῖρον ἔχομεν τὸ δὲ βέλτιον, ἀεὶ δὲ τὸ χεῖρον τοῦ βελτίονος ἕνεκέν ἐστιν, ὥσπερ ἐπὶ σώματος καὶ ψυχῆς τὸ σῶμα τῆς ψυχῆς ἕνεκεν, καὶ τότ' ἐροῦμεν ἔχειν τὸ σῶμα καλῶς, ὅταν οὕτως ἔχῃ ὥστε μὴ κωλύειν ἀλλὰ καὶ συμβάλλεσθαι καὶ συμπαρορμᾶν πρὸς τὸ τὴν ψυχὴν ἐπιτελεῖν τὸ αὑτῆς ἔργον· τὸ γὰρ χεῖρον τοῦ βελτίονος ἕνεκεν, πρὸς τὸ συνεργεῖν τῷ βελτίονι. ὅταν οὖν τὰ πάθη μὴ κωλύωσι τὸν νοῦν τὸ αὑτοῦ ἔργον ἐπιτελεῖν, τότ' ἔσται τὸ κατὰ τὸν ὀρθὸν λόγον γινόμενον. ναί, ἀλλ' ἴσως εἴποι τις ἄν, ὅταν πῶς ἔχωσι τὰ πάθη, οὐ κωλύουσιν, καὶ πότε οὕτως ἔχουσιν; οὐ γὰρ οἶδα. τὸ δὴ τοιοῦτον οὐκ ἔστιν εἰπεῖν ῥᾴδιον. οὐδὲ γὰρ ὁ ἰατρός, ἀλλ' ὅταν εἴπῃ τῷ πυρέττοντι πτισάνην προσφέρεσθαι· τοῦ δὲ πυρέττειν πῶς αἰσθάνομαι; ὅταν, φησίν, ὁρᾷς ὠχρὸν ὄντα. τὸ δ' ὠχρὸν πῶς εἰδήσω; ἐνταῦθα δὴ συνιέτω ὁ ἰατρός· εἰ γὰρ μὴ ἔχεις παρὰ σαυτῷ, φήσει, τῶν γε τοιούτων αἴσθησιν, οὐκ ἔστιν. ὡσαύτως ὑπὲρ τῶν ἄλλων κοινός ἐστι τῶν τοιούτων ὁ λόγος. ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν παθῶν τοῦ γνωρίζειν· δεῖ γὰρ αὐτὸν συμβάλλεσθαι πρὸς αἴσθησίν τι. ἐπιζητήσειε δ' ἄν τις ἴσως καὶ τὸ τοιοῦτον, ἆρά γε ἔργῳ εἰδήσας ταῦτα καὶ δὴ εὐδαίμων ἔσομαι; οἴονται γάρ. τὸ δ' ἔστιν οὐ τοιοῦτον· οὐδεμία γὰρ οὐδὲ τῶν ἄλλων ἐπιστημῶν παραδίδωσι τῷ μανθάνοντι τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν, ἀλλὰ τὴν ἕξιν μόνον. οὕτως οὐδ' ἐνταῦθα παραδίδωσι τὸ εἰδῆσαι ταῦτα τὴν χρῆσιν (ἡ γὰρ εὐδαιμονία ἐστὶν ἐνέργεια, ὡς φαμέν) ἀλλὰ τὴν ἕξιν, οὐδ' ἐν τῷ εἰδέναι ἐξ ὧν ἐστὶν ἡ εὐδαιμονία, ἀλλ' ἐκ τοῦ τούτοις χρήσασθαι. τὴν δὲ χρῆσιν καὶ τὴν ἐνέργειαν τούτων οὐκ ἔστι ταύτης τῆς πραγματείας τὸ παραδοῦναι· οὐδὲ γὰρ ἄλλη ἐπιστήμη οὐδεμία τὴν χρῆσιν παραδίδωσιν, ἀλλὰ τὴν ἕξιν.

Ἐφ' ἅπασι δὲ τούτοις ὑπὲρ φιλίας ἀναγκαῖόν ἐστιν 11 εἰπεῖν, τί ἐστι καὶ ἐν τίσι καὶ περὶ τί· ἐπειδή περ ὁρῶμεν παρὰ πάντα τὸν βίον παρατείνουσαν καὶ ἐν παντὶ καιρῷ, καὶ οὖσαν ἀγαθόν, συμπαραληπτέα ἂν εἴη πρὸς τὴν εὐδαιμονίαν. πρῶτον μὲν οὖν ἴσως ἃ ἀπορεῖται καὶ ζητεῖται, βέλτιον διελθεῖν. πότερον γάρ ἐστιν ἡ φιλία ἐν τοῖς ὁμοίοις, ὥσπερ δοκεῖ καὶ λέγεται; καὶ γὰρ κολοιός φασι παρὰ κολοιὸν ἱζάνει, καὶ "αἰεί τοι τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον." φασὶ δὲ καὶ κυνός ποτε ἀεὶ καθευδούσης ἐπὶ τῆς αὐτῆς κεραμῖδος, ἐρωτηθέντα τὸν Ἐμπεδοκλέα διὰ τί ποτε ἡ κύων ἐπὶ τῆς αὐτῆς κεραμῖδος καθεύδει, εἰπεῖν ὅτι ἔχει τι τῇ κεραμῖδι ὅμοιον ἡ κύων, ὡς διὰ τὸ ὅμοιον τὴν κύνα φοιτῶσαν. πάλιν δ' αὖ δοκεῖ ἄλλοις τισὶν ἐν τοῖς ἐναντίοις μᾶλλον ἐγγίνεσθαι ἡ φιλία. ἐρᾷ μὲν γάρ, φησίν, ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον· τὸ δὴ ἐναντίον, φησί, τῷ ἐναντίῳ βούλεσθαι φίλον εἶναι. ἐν μὲν γὰρ τοῖς ὁμοίοις οὐδ' ἐνδέχεται γίνεσθαι· τὸ γὰρ ὅμοιον, φησί, τοῦ ὁμοίου οὐδὲν προσδεῖται, καὶ τὰ τοιαῦτα δή. ἔτι πότερον ἔργον ἐστὶ φίλον γενέσθαι ἢ ῥᾴδιον γενέσθαι; οἱ γοῦν κόλακες ταχέως προσεδρεύσαντες φίλοι μὲν οὐκ εἰσίν, φαίνονται δὲ φίλοι εἶναι. ἔτι δὲ καὶ τὰ τοιαῦτα ἀπορεῖται, πότερον ἔσται ὁ σπουδαῖος τῷ φαύλῳ φίλος ἢ οὔ; ἡ μὲν γὰρ φιλία ἐν πίστει καὶ βεβαιότητι, ὁ δὲ φαῦλος ἥκιστα τοιοῦτος. καὶ ὁ φαῦλος τῷ φαύλῳ, ἢ οὐδὲ τοῦτο; πρῶτον μὲν οὖν διοριστέον ἂν εἴη ὑπὲρ φιλίας τίνος σκοποῦμεν. ἔστι γάρ, ὡς οἴονται, φιλία καὶ πρὸς θεὸν καὶ τὰ ἄψυχα, οὐκ ὀρθῶς. τὴν γὰρ φιλίαν ἐνταῦθά φαμεν εἶναι οὗ ἐστὶ τὸ ἀντιφιλεῖσθαι, ἡ δὲ πρὸς τὸν θεὸν φιλία οὔτε ἀντιφιλεῖσθαι δέχεται οὔθ' ὅλως τὸ φιλεῖν· ἄτοπον γὰρ ἂν εἴη εἴ τις φαίη φιλεῖν τὸν Δία. οὐδὲ δὴ παρὰ τῶν ἀψύχων ἐνδέχεται ἀντιφιλεῖσθαι· φιλία μέντοι καὶ πρὸς τὰ ἄψυχά ἐστιν, οἷον οἶνον ἢ ἄλλο δὴ τῶν τοιούτων. διὸ δὴ οὔτε τὴν πρὸς τὸν θεὸν φιλίαν ἐπιζητοῦμεν οὔτε τὴν πρὸς τὰ ἄψυχα, ἀλλὰ τὴν πρὸς τὰ ἔμψυχα, καὶ πρὸς ταῦτα ἐν οἷς ἐστὶ τὸ ἀντιφιλεῖν. εἰ δή τις μετὰ τοῦτο ἐπισκέψαιτο τί ἐστι τὸ φιλητόν, ἔστιν οὖν οὐκ ἄλλο τι ἢ τἀγαθόν. ἕτερον μὲν οὖν ἐστὶ τὸ φιλητὸν καὶ τὸ φιλητέον, ὥσπερ καὶ τὸ βουλητὸν καὶ τὸ βουλητέον. βουλητὸν μὲν γὰρ τὸ ἁπλῶς ἀγαθόν, βουλητέον

1. τι om M^b. ‖ 5. δὲ om K^b. ‖ 11. γὰρ om K^b. ‖ 13. ἕνεκέν ἐστιν] ἔχομεν ἕνεκεν K^b. ‖ 15. καλῶς om K^b. ‖ 18. πρὸς τὸ om K^b. ‖ 19. κωλύσωσι M^b. ‖ ἐπιτελεῖν] ἐνεργεῖν K^b. ‖ 24. πτισσάνην M^b. ‖ 27. ἔτι K^bM^b. ‖ 31. ἴσως om M^b. ‖ 32. οὐ om M^b.

4. περ] immo γάρ. ‖ 5. περὶ M^b. ‖ 6. συμπαραληπτέον K^b. ‖ 7. ὃ M^b. ‖ 9. γὰρ] γὰρ ὁ K^b. ‖ 10. τοι om M^b. ‖ 13. τῇ om K^b. ‖ 15. δ' om M^b. ‖ 17. πέδον ᾖ. τὸ M^b. ‖ τὸ ἐναντίον K^b. ‖ 18. οὐδὲν K^b. ‖ ἐνδέχεσθαι M^b. ‖ 20. πότερον] δὲ M^b. ‖ 21. οἱ φίλοι K^b. ‖ 23. φίλῳ M^b. ‖ 25. τῷ φαύλῳ] τὰ φαῦλα M^b. ‖ 29. οὐδὲ codices. ‖ 32. μὲν M^b. ‖ 34. ζητοῦμεν M^b. ‖ 36. οὐ M^b. ‖ 38. καὶ alterum om M^b.

ἑκάστῳ ἀγαθόν. οὕτω καὶ φιλητὸν μὲν τὸ ἁπλῶς
, φιλητέον δὲ τὸ αὑτῷ ἀγαθόν, ὥστε τὸ μὲν φιλη-
φιλητέον, τὸ δὲ φιλητέον οὐκ ἔστι φιλητόν. ἐνταῦθα
ἐστὶ καὶ διὰ τὸ τοιοῦτον ἡ ἀπορία, πότερόν ἐστιν ὁ
ς τῷ φαύλῳ φίλος ἢ οὔ. συνῆπται γάρ πως τἀγαθῷ
ῷ ἀγαθὸν καὶ τὸ φιλητέον τῷ φιλητῷ, ἕχεται δὲ
λουθεῖ τῷ ἀγαθῷ καὶ τὸ ἡδὺ εἶναι καὶ τὸ συμφέρον.
ν τῶν σπουδαίων φιλία ἐστίν, ὅταν ἀντιφιλῶσιν ἀλ-
φιλοῦσι δὲ ἀλλήλους, ᾗ φιλητοί· φιλητοὶ δέ, ᾗ
οὐκοῦν ὁ σπουδαῖος, φησί, τῷ φαύλῳ οὐκ ἔσται φίλος;
ν οὖν. ἐπειδὴ γὰρ τἀγαθῷ ἠκολούθει τὸ συμφέρον
ἡδύ, ᾗ ἐστὶ φαῦλος ὢν ἡδύς, ταύτῃ φίλος· πάλιν
φέρων, ᾗ συμφέρων, ταύτῃ φίλος. ἀλλ' οὐκ ἔσται
ὰ τὸ φιλητὸν ἡ τοιαύτη φιλία. φιλητὸν γὰρ ἦν
, ὁ δὲ φαῦλος οὐ φιλητός· οὐ γὰρ ἀλλὰ κατὰ τὸ
ν. εἰσὶ γὰρ ἀπὸ τῆς παντελοῦς φιλίας, τῆς ἐν τοῖς
ις, καὶ αὗται αἱ φιλίαι, ἥ τε κατὰ τὸ ἡδὺ καὶ ἡ
ὸ συμφέρον. ὁ οὖν κατὰ τὸ ἡδὺ φιλῶν οὐ φιλεῖ τὴν
ὸ ἀγαθὸν φιλίαν, οὐδὲ ὁ κατὰ τὸ συμφέρον. εἰσὶ δὲ
φιλίαι αὗται, ἥ τε κατὰ τὸ ἀγαθὸν καὶ ἡ κατὰ τὸ
ἡ κατὰ τὸ συμφέρον, οὐχ αἱ αὐταὶ μέν, οὐ παντε-
οὐδὲ ἀλλότριαι ἀλλήλων, ἀλλ' ἀπὸ ταὐτοῦ πως ἠρτη-
σίν. οἷον φαμὲν ἰατρικὸν τὸ μαχαίριον, ἰατρικὸν τὸν
ν, καὶ ἰατρικὴν τὴν ἐπιστήμην· ταῦτ' οὐχ ὁμοίως
ι, ἀλλὰ τὸ μὲν μαχαίριον τῷ χρήσιμον εἶναι πρὸς
ἰατρικὸν λέγεται, ὁ δ' ἄνθρωπος τῷ ποιητικὸς εἶναι
ἡ δ' ἐπιστήμη τῷ αἰτία εἶναι καὶ ἀρχή. ὁμοίως δὲ
φιλίαι οὐχ ὡσαύτως, ἥ τε τῶν σπουδαίων ἡ διὰ τὸ
καὶ ἡ κατὰ τὸ ἡδὺ καὶ ἡ κατὰ τὸ συμφέρον. οὔτε
ύμως λέγονται, ἀλλ' οὐκ εἰσὶ μὲν αἱ αὐταί, περὶ
δέ πως καὶ ἐκ τῶν αὐτῶν εἰσίν. εἰ δή τις λέγοι "ὁ
ἡδὺ φιλῶν οὐκ ἔστι φίλος τούτῳ· οὐ γὰρ κατὰ τὸ
φίλος ἐστίν," βαδίζει ὁ τοιοῦτος ἐπὶ τὴν τῶν σπουδαίων
τὴν ἐξ ἁπάντων τούτων οὖσαν, καὶ ἐκ τοῦ ἀγαθοῦ καὶ
δέος καὶ ἐκ τοῦ συμφέροντος, ὥστ' ἀληθῶς οὐκ ἔστιν
γε τὴν φιλίαν φίλος, ἀλλὰ τὴν κατὰ τὸ ἡδὺ ἢ
ὸ συμφέρον. πότερον οὖν ἔσται ὁ σπουδαῖος τῷ σπου-
λος ἢ οὔ; οὐδὲν γὰρ προσδεῖται, φησίν, ὁ ὅμοιος τοῦ
ὁ δὴ τοιοῦτος λόγος ζητεῖ τὴν κατὰ τὸ συμφέρον

φιλίαν· ᾗ γὰρ προσδεῖται ὁ ἕτερος τοῦ ἑτέρου, ταύτῃ ὄντες φίλοι ἐν τῇ κατὰ τὸ συμφέρον φιλίᾳ εἰσίν. ἀλλ' ἑτέρα διώρισται ἡ κατὰ τὸ συμφέρον φιλία καὶ ἡ κατ' ἀρετὴν καὶ ἡδονήν. εἰκὸς δὴ καὶ πολὺ μᾶλλον τούτους· πάντα γὰρ αὐτοῖς ὑπάρχει τἀγαθά, καὶ τὸ ἡδὺ καὶ τὸ συμφέρον. ἀλλὰ καὶ ὁ σπουδαῖος τῷ φαύλῳ· ᾗ γὰρ ἴσως ἡδύς, ταύτῃ καὶ φίλος. καὶ ὁ φαῦλός γε τῷ φαύλῳ· ᾗ γὰρ ἴσως τὸ αὐτὸ αὐτοῖς συμφέρει, ταύτῃ φίλοι. ὁρῶμεν γὰρ τοῦτο γινόμενον, ὅταν τὸ αὐτὸ ᾖ τὸ συμφέρον, φίλους τούτους διὰ τὸ συμφέρον, ὥστ' οὐδὲν κωλύσει καὶ φαύλοις οὖσι ταὐτόν τι συμφέρειν. βεβαιοτάτη μὲν οὖν καὶ μονιμωτάτη καὶ καλλίστη ἡ ἐν τοῖς σπουδαίοις φιλία, ἡ κατ' ἀρετὴν καὶ τἀγαθὸν οὖσα, εἰκότως· ἡ μὲν γὰρ ἀρετὴ ἀμετάπτωτον, δι' ἣν ἡ φιλία, ὥστε εἰκὸς τὴν φιλίαν τὴν τοιαύτην ἀμετάπτωτον εἶναι, τὸ δὲ συμφέρον οὐδέποτε ταὐτόν· διὸ ἡ διὰ τὸ συμφέρον φιλία οὐ βεβαία, ἀλλὰ τῷ συμφέροντι συμμεταπίπτει. ὁμοίως καὶ ἡ κατὰ τὴν ἡδονήν. ἡ μὲν οὖν τῶν βελτίστων φιλία ἡ κατ' ἀρετὴν γιγνομένη ἐστίν, ἡ δὲ τῶν πολλῶν ἡ κατὰ τὸ συμφέρον· ἡ δὲ κατὰ τὴν ἡδονὴν ἐν τοῖς φορτικοῖς καὶ τυχοῦσιν. συμβαίνει δὲ καὶ ἀγανακτεῖν, ὅταν φαύλοις ἐντύχωσι τοῖς φίλοις, καὶ θαυμάζειν. ἔστι δὲ οὐδὲν ἄτοπον· ὅταν γὰρ ἡ φιλία λάβῃ τὴν ἡδονὴν ἀρχήν, δι' ἣν φίλοι εἰσίν, ἢ τὸ συμφέρον, ἅμα ταῦτ' ἀπολείπει καὶ ἡ φιλία οὐ διαμένει. πολλάκις δὲ μένει μὲν ἡ φιλία, κακῶς δ' ἐχρήσατο τῷ φίλῳ, διὸ ἀγανακτοῦσιν. ἔστι δὲ οὐδὲ τοῦτο ἄλογον· οὐ γὰρ δι' ἀρετὴν ἡ φιλία σοι πρὸς τοῦτον ὑπῆρχεν, διὸ οὐδ' ἄτοπον μηδὲν ποιεῖν αὐτὸν τῶν κατ' ἀρετήν. ἀγανακτοῦσιν οὖν οὐκ ὀρθῶς· δι' ἡδονὴν γὰρ ποιησάμενοι τὴν φιλίαν, τὴν δι' ἀρετὴν οἴονται δεῖν αὐτοῖς ὑπάρχειν. τὸ δ' οὐ δυνατόν· οὐ γάρ ἐστιν ἡ δι' ἡδονὴν καὶ τὸ συμφέρον ἀρετῆς ἐχομένη. κοινωσάμενοι οὖν ἡδονῇ ἀρετὴν ζητοῦσιν, οὐκ ὀρθῶς· οὐ γὰρ ἀκολουθεῖ τῇ ἡδονῇ καὶ τῷ συμφέροντι ἡ ἀρετή, ἀλλὰ τῇ ἀρετῇ ἀμφότερα ταῦτ' ἀκολουθεῖ. ἄτοπον γὰρ εἰ μή τις οἰήσεται τοὺς σπουδαίους αὐτοὺς αὑτοῖς ἡδίστους εἶναι· καὶ γὰρ οἱ φαῦλοι, ὥς φησιν Εὐριπίδης, αὐτοὶ ἑαυτοῖς ἡδεῖς εἰσίν· κακὸς κακῷ γὰρ συντέτηκεν. οὐ γὰρ ἀκολουθεῖ τῇ ἡδονῇ ἡ ἀρετή, ἀλλὰ τῇ ἀρετῇ ἡ ἡδονὴ ἀκολουθεῖ. πότερον δὲ καὶ δεῖ ἐν τῇ τῶν σπουδαίων φιλίᾳ τὴν ἡδονὴν εἶναι, ἢ οὐ δεῖ; ἄτοπον γὰρ τὸ μὴ φάναι δεῖν. εἰ γὰρ ἀφελεῖς αὐτῶν τὸ

ὥστε — 3. φιλητόν] ἔτι δὲ τὸ μὲν φιλητέον καὶ φιλητόν, τὸ δὲ φιλητὸν οὐκ ἔστι φιλητέον K^b. ‖ 7. τῶι ἡδεῖ εἶναι καὶ τῷ συμφέροντι K^b. ‖ K^b. ‖ 15. φαῦλος] φίλος M^b. ‖ 28. αἱ om K^b. ‖ 35. ἔστι κατ' ἐκείνην M^b. ‖ 38. ὁ om M^b.
om M^b. ‖ 4. πάντα — 5. συμφέρον om M^b. ‖ 8. φίλος K^b. ‖ 10. κωλύει K^b. ‖ 12. ἡ ante ἐν om K^b. ‖ 15. οὐδέποτε — om K^b. ‖ 16. μεταπίπτει K^b. ‖ 17. οὖν om M^b. ‖ 27. οὐδὲν K^b. ‖ 29. ἀρετῆς M^b. ‖ 36. γὰρ κακῶι K^b. ‖ συνέστηκεν
7. ἡ ἡδονὴ τῆι ἀρετῆι K^b. ‖ καὶ om M^b. ‖ 39. φάναι μὴ M^b. ‖ ἀφέλῃς K^bM^b.

not ὁμωνύμως — yet not αἱ αὐταί

ἡδεῖς εἶναι ἀλλήλοις, ἄλλους πορίζονται φίλους εἰς τὸ συζῆν, τοὺς ἡδεῖς· εἰς γὰρ τὸ συζῆν οὐδὲν μεῖζόν ἐστι τοῦ ἡδεῖς εἶναι. ἄτοπον οὖν τὸ μὴ οἴεσθαι δεῖν τοὺς σπουδαίους μάλιστ' ἀλλήλοις συζῆν· τοῦτο δ' οὐκ ἔστιν ἄνευ τοῦ ἡδέος· δέοι ἂν ἄρα, ὡς ἔοικε, μάλιστα τούτοις ὑπάρχειν τὸ ἡδέσιν εἶναι. ἐπεὶ δὲ διῄρηνται αἱ φιλίαι εἰς τρία εἴδη, καὶ ἐν ταύταις ἠπορεῖτο πότερον ἐν ἰσότητι ἡ φιλία ἐγγίνεται ἢ ἐν ἀνισότητι. ἔστιν οὖν κατ' ἀμφότερα· ἡ μὲν γὰρ καθ' ὁμοιότητα ἡ τῶν σπουδαίων καὶ ἡ τελεία φιλία, ἡ δὲ κατ' ἀνομοιότητα ἡ κατὰ τὸ συμφέρον. τῷ γὰρ εὐπόρῳ ὁ πένης διὰ τὴν ἔνδειαν ὧν ὁ πλούσιος εὐπορεῖ φίλος ἐστί, καὶ τῷ σπουδαίῳ ὁ φαῦλος διὰ ταὐτό· διὰ γὰρ τὴν ἔνδειαν τὴν τῆς ἀρετῆς, παρ' οὗ οἴεται αὐτῷ ἔσεσθαι, διὰ τοῦτο τούτῳ φίλος. γίνεται οὖν ἐν τοῖς ἀνομοίοις φιλία κατὰ τὸ συμφέρον· διὸ καὶ Εὐριπίδης "ἐρᾷ μὲν ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον." ὡς ἐναντίοις οὖσι τούτοις ἐγγίνεται φιλία ἡ διὰ τὸ συμφέρον. καὶ γὰρ εἰ θέλεις τὰ ἐναντιώτατα ποιῆσαι πῦρ καὶ ὕδωρ, ταῦτα ἀλλήλοις χρήσιμά ἐστιν. τὸ γὰρ πῦρ φασίν, ἐὰν μὴ ἔχῃ ὑγρόν, φθείρεσθαι, ὡς τοῦτ' αὐτῷ παρασκευάζον ὥσπερ τροφήν τινα, ταύτην δὲ τοσαύτην ὅσης κρατήσειεν ἄν· ἂν μὲν γὰρ πλεῖον ποιήσῃς τὸ ὑγρὸν ἐπικρατῆσαν, φθείρεσθαι τὸ πῦρ, ἐὰν δὲ σύμμετρον, συνοίσει. δῆλον οὖν ὅτι καὶ ἐν τοῖς ἐναντιωτάτοις φιλία ἐγγίνεται διὰ τὸ συμφέρον. ἀνάγονται δὲ πᾶσαι αἱ φιλίαι, καὶ αἱ ἐν ἰσότητι καὶ αἱ ἐν ἀνισότητι, εἰς τὰς διῃρημένας τρεῖς. ἔστι δ' ἐν ἁπάσαις ταῖς φιλίαις διαφορὰ γινομένη πρὸς ἀλλήλους, ὅταν μὴ ὁμοίως φιλῶσιν ἢ εὖ ποιῶσιν ἢ ὑπηρετῶσιν ἢ ὅ τι ἂν τῶν τοιούτων· ὅταν μὲν γὰρ ὁ μὲν ἐκτενῶς ποιῇ ὁ δ' ἐλλείπῃ, κατὰ τὴν ἔλλειψιν τὸ ἔγκλημα καὶ ἡ μέμψις. οὐ μὴν ἀλλ' ἐπὶ μὲν τῶν τοιούτων ὧν τὸ αὐτό ἐστι τέλος τῆς φιλίας, οἷον εἰ ἀμφότεροι κατὰ τὸ συμφέρον ἀλλήλοις φίλοι ἢ κατὰ τὸ ἡδὺ ἢ κατ' ἀρετήν, εὔδηλος ἡ ἔλλειψις ἡ παρὰ τοῦ ἑτέρου· ἐὰν οὖν πλείω ἀγαθὰ σύ μοι ποιῇς ἢ ἐγὼ σοί, οὐδ' ἀμφισβητῶ ἔτι μὴ οὐ δεῖν σε μᾶλλον ὑπ' ἐμοῦ φιλεῖσθαι. ἐν ᾗ δὲ φιλίᾳ μὴ διὰ ταὐτὸ φίλοι ἐσμέν, μᾶλλον αἱ διαφοραί· ἄδηλος γὰρ ἡ ἔλλειψις παρ' ἑκατέρου. οἷον εἰ ὁ μὲν δι' ἡδονὴν φίλος ἐστὶν ὁ δὲ διὰ τὸ συμφέρον, ἐνταῦθα ἡ ἀμφισβήτησις· οὔτε γὰρ ὁ τῷ συμφέροντι ὑπερέχων ἀξίαν οἴεται τὴν ἡδονὴν ἀντικαταλλάττεσθαι τοῦ συμφέροντος, οὔτε ὁ τῇ ἡδονῇ ὑπερέχων ἀξίαν τῆς ἡδονῆς ἐν τῷ συμφέροντι χάριν ἀπολαμβάνειν, διὸ μᾶλλον αἱ διαφοραὶ ἐν ταῖς τοιαύταις φιλίαις γίγνονται. οἱ δ' ἐν ἀνισότητι φίλοι ὄντες, οἱ μὲν ὑπερέχοντες πλούτῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν, ἀλλ' ὑπὸ τῶν ἐνδεεστέρων οἴονται δεῖν αὐτοὶ φιλεῖσθαι. ἔστι δὲ βέλτιον τὸ φιλεῖν ἢ τὸ φιλεῖσθαι· τὸ μὲν γὰρ φιλεῖν ἐνέργειά τις ἡδονῆς καὶ ἀγαθόν, ἀπὸ δὲ τοῦ φιλεῖσθαι οὐδεμία τῷ φιλουμένῳ ἐνέργεια γίνεται. ἔτι δὲ βέλτιον τὸ γνωρίζειν ἢ τὸ γνωρίζεσθαι· τὸ μὲν γὰρ γνωρίζεσθαι καὶ τὸ φιλεῖσθαι καὶ ταῖς ἀψύχοις ὑπάρχει, τὸ δὲ γνωρίζειν καὶ τὸ φιλεῖν τοῖς ἐμψύχοις. ἔτι τὸ εὐποιητικὸν εἶναι βέλτιον ἢ τὸ μή· ὁ μὲν οὖν φιλῶν εὐποιητικὸς ᾗ φιλεῖ, ὁ δὲ φιλούμενος, ᾗ φιλεῖται, οὔ. ἀλλ' οἱ ἄνθρωποι διὰ φιλοτιμίαν φιλεῖσθαι μᾶλλον βούλονται ἢ φιλεῖν, διὰ τὸ ἐν τῷ φιλεῖσθαι ὑπεροχήν τινα εἶναι· ἀεὶ γὰρ ὁ φιλούμενος ὑπερέχει ἡδονῇ ἢ εὐπορίᾳ ἢ ἀρετῇ, ὁ δὲ φιλότιμος τῆς ὑπεροχῆς ἐφίεται. καὶ οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν οἱ ἐν ὑπεροχῇ ὄντες· ἀντιδιδόναι γὰρ ἐν οἷς ὑπερέχουσι τοῖς φιλοῦσιν αὐτούς. ἔτι δὲ καὶ ἧττους αὐτῶν εἰσίν· διὸ οὐκ οἴονται δεῖν φιλεῖν ἀλλὰ φιλεῖσθαι. ὁ δ' ἐνδεὴς χρημάτων ἢ ἡδονῶν ἢ ἀρετῆς θαυμάζει τὸν ὑπερέχοντα τούτοις, καὶ φιλεῖ διὰ τὸ τούτου ἢ τυγχάνειν ἢ οἴεσθαι τεύξεσθαι. εἰσὶ δὲ καὶ τοιαῦται φιλίαι ἐξ ὁμοιοπαθείας, ἐκ τοῦ τἀγαθὰ βούλεσθαί τινι εἶναι· οὐκ ἔστι δὲ ἡ ἐπὶ τούτων γινομένη φιλία πάντα ταῦτα ἔχουσα· πολλάκις γὰρ ἄλλῳ μὲν εἶναι βουλόμεθα τἀγαθά, συζῆν μέντοι μετ' ἄλλου. ἀλλὰ ταῦτα πότερον φιλίας δεῖ εἰπεῖν ἢ τῆς τελείας φιλίας τῆς κατ' ἀρετὴν πάθη; ἐν ἐκείνῃ γὰρ τῇ φιλίᾳ πάντα ταῦτα ἐνυπάρχει· καὶ γὰρ συζῆν μετ' οὐδενὸς ἄλλου ἂν θέλοιμεν (καὶ γὰρ τὸ ἡδὺ καὶ τὸ συμφέρον καὶ ἡ ἀρετὴ τῷ σπουδαίῳ ὑπάρχει) καὶ τἀγαθὰ τούτῳ μάλιστα βουλοίμεθ' ἄν, καὶ τὸ ζῆν καὶ τὸ εὖ ζῆν οὐκ ἄλλῳ τινὶ ἢ τούτῳ. πότερον δ' ἐστὶν αὐτῷ καὶ πρὸς αὐτὸν φιλία, ἢ οὔ, νῦν μὲν ἀφείσθω, ὕστερον δ' ἐροῦμεν. πάντα δὲ βουλόμεθα ἡμῖν αὐτοῖς· καὶ γὰρ συζῆν μεθ' ἡμῶν αὐτῶν βουλόμεθα (ἴσως δὲ τοῦτο καὶ ἀναγκαῖον) καὶ τὸ εὖ ζῆν καὶ τὸ ζῆν καὶ τὸ βούλεσθαι τἀγαθά, οὐκ ἄλλῳ τινί. ἔτι ὁμοιοπαθεῖς ἡμῖν αὐτοῖς μάλιστα ἐσμέν· ἂν γὰρ προσπταίσωμεν ἢ ἄλλῳ τινὶ περιπέσωμεν τῶν τοιούτων, εὐθὺς λυπούμεθα. διὸ δόξειεν ἂν οὕτως εἶναι αὐτῷ πρὸς

13. γίνονται οὖν αἱ ἐν τοῖς ἀνομοίοις φιλίαι M^b. ‖ 14. καὶ] καὶ ὁ K^b. ‖ 15. πέδον ἢ. ὡς M^b. ‖ 17. εἰσι K^b. ‖ 18. αὐτὸ M^b. ‖ 20. ἂν om codices. ‖ πλεῖστον M^b. ‖ 21. ἂν M^b. ‖ 24. αἱ ἐν om M^b. ‖ 25. γενομένη M^b. ‖ 27. ὅταν μὲν γὰρ om K^b. ‖ ποιῇ K^b. ‖ 29. ὧν om K^b. ‖ 32. με M^b. ‖ ἢ om K^b. ‖ 33. σέ M^b. ‖ οὐκ M^b. ‖ 34. φίλοι] φίλοις K^b. ‖ 36. εἰ om M^b.

1. αἱ om K^b. ‖ 2. ταῖς om M^b. ‖ 4. τινὶ om M^b. ‖ 7. τις] τῆς M^b. ‖ 8. δὲ om M^b. ‖ 10. τὸ alterum om K^b. ‖ 23. τἀγαθὸν M^b. ‖ 26. ἄλλων M^b. ‖ 28. ταῦτα πάντα M^b. ‖ καὶ om M^b. ‖ 32. αὐτὸ M^b. ‖ καὶ] φιλία καὶ K^bM^b. ‖ 34. [illegible] M^b. ‖ γὰρ τὸ συζῆν M^b. ‖ 35. τοῦτο om M^b. ‖ 37. ὅτι M^b.

ιλία. τὰ δὴ τοιαῦτα, οἷον τὴν ὁμοιοπάθειαν καὶ
ν καὶ τἆλλα, ἤτοι εἰς τὴν πρὸς ἡμᾶς αὐτὰς φι-
ιφέροντες λέγομεν ἢ εἰς τὴν τελείαν, ἐν ἀμφο-
ὶ πάντα ταῦτα ὑπάρχει· καὶ γὰρ τὸ συζῆν καὶ
βούλεσθαι καὶ τὸ εὖ εἶναι καὶ τἆλλα πάντα ἐν
ἐστίν. ἔτι δ' ἴσως ἂν δόξειεν, ἐν οἷς ἐςὶ δίκαιον,
καὶ φιλίαν εἶναι· διὸ καὶ ὅσα περ δικαίων εἴδη,
καὶ φιλιῶν. τὸ δὴ δίκαιόν ἐστι καὶ ξένῳ πρὸς
καὶ δούλῳ πρὸς δεσπότην καὶ πολίτῃ πρὸς πολί-
υἱῷ πρὸς πατέρα καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ
λῶς ἄλλαι κοινωνίαι καὶ φιλίαι ἔνεισιν ἐν ἑκάςοις
εβαιοτάτη δ' ἂν δόξειεν εἶναι τῶν φιλιῶν ἡ ξενική·
ιν οὐδὲν αὐτοῖς τέλος κοινὸν ὑπὲρ οὗ ἀμφισβητοῦσιν,
οῖς πολίταις· διαμφισβητοῦντες γὰρ πρὸς ἀλλήλους
ν ὑπεροχὴν οὐ μένουσι φίλοι ὄντες. ἐχόμενον δ' ἂν
οῦτ' εἰπεῖν, πότερόν ἐστι πρὸς αὑτὸν φιλία ἢ οὔ.
ν ὁρῶμεν, ὥσπερ καὶ μικρὸν ἐπάνω ἐλέγομεν, ὅτι
ῶν καθ' ἕκαςα τὸ φιλεῖν γνωρίζεται, τὰ δὲ καθ'
αὐτοὶ αὑτοῖς ἂν μάλιστα βουλοίμεθα (καὶ γὰρ
καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι), ὁμοιοπαθέστατοι δ'
ιν ἐσμέν, καὶ συζῆν γε μεθ' ἑαυτῶν μάλιςα βου-
ὥς' εἰ μὲν ἐκ τῶν καθ' ἕκαςα γνωρίζεται ἡ φι-
δὲ καθ' ἕκαςα ἡμῖν αὐτοῖς ἂν βουλοίμεθα ὑπάρ-
λόν ἐςιν ὡς ἔςι πρὸς αὑτοὺς φιλία, ὥσπερ καὶ τὴν
ἔφαμεν πρὸς αὑτὸν εἶναι. ἐπειδὴ γὰρ ἕτερος μὲν
ἕτερος δὲ ὁ ἀδικούμενος, ὁ αὐτὸς δ' εἷς ἐςὶν ἕκα-
τὸ τοιοῦτον οὐκ ἐδόκει εἶναι πρὸς αὑτὸν ἀδικία. ἔςι
ὡς ἔφαμεν σκοποῦντες ἐπὶ τῶν τῆς ψυχῆς μερῶν,
τι πλείω, ὅταν ταῦτα μὴ ὁμονοῶσι, τότε εἶναι
ὸν τὴν ἀδικίαν. ὁμοίως οὖν τούτῳ καὶ ἡ φιλία δό-
εἶναι πρὸς αὑτόν. ἐπειδὴ γὰρ ὁ φίλος ἐστίν, ὡς
ὅταν βουλώμεθα σφόδρα φίλον εἰπεῖν, μία φαμὲν
ἐμὴ καὶ ἡ τούτου· ἐπεὶ οὖν ἐςὶ τῆς ψυχῆς πλείω
' ἔςαι μία ψυχή, ὅταν συμφωνῶσι πρὸς ἄλληλα
ος καὶ τὰ πάθη· οὕτω γὰρ μία ἔςαι. ὥςε μιᾶς
ἔσται πρὸς αὑτὸν φιλία. αὕτη δ' ἔσται ἡ πρὸς
ιλία ἐν τῷ σπουδαίῳ· τούτῳ γὰρ μόνῳ τὰ τῆς
ῦ ἔχουσι μέρη πρὸς ἄλληλα τῷ μὴ διαφέρεσθαι,
ε φαῦλος οὐδέποτ' ἐςὶν αὐτὸς αὑτῷ φίλος· μάχε-
ἀεὶ ἑαυτῷ. ὁ γοῦν ἀκρατὴς ὅταν πράξῃ τι τῶν

καθ' ἡδονήν, μετ' οὐ πολὺ μεταμελεῖται καὶ κακίζει αὐτὸς αὑτόν. ὁμοίως ἐπὶ τῶν ἄλλων κακιῶν ὁ φαῦλος ἔχει· διατελεῖ γὰρ αὐτὸς αὑτῷ μαχόμενος καὶ ἐναντιούμενος. ἔστι δὲ φιλία καὶ ἐν ἰσότητι, οἷον ἡ μὲν τῶν ἑταίρων ἐν ἰσότητι ἀριθμῷ καὶ δυνάμει ἀγαθοῦ. οὐδέτερος γὰρ αὐτῶν ἐςὶν ἄξιος θατέρου πλέον ἔχειν οὔτε κατ' ἀριθμὸν ἀγαθῶν οὔτε κατὰ δύναμιν οὔτε κατὰ μέγεθος, ἀλλὰ τὸ ἴσον· ἴσοι γάρ τινες ἐθέλουσιν εἶναι οἱ ἑταῖροι. ἐν ἀνισότητι δὲ ἡ πατρὸς πρὸς υἱὸν καὶ ἀρχομένου πρὸς ἄρχοντα, καὶ κρείττονος καὶ χείρονος, καὶ γυναικὸς καὶ ἀνδρός, καὶ ἁπλῶς ἐν οἷς ἐστὶν ὁ τὴν τοῦ χείρονος καὶ κρείττονος τάξιν ἔχων ἐν τῇ φιλίᾳ. αὕτη γάρ ἐςιν ἡ ἐν ἀνισότητι φιλία κατὰ λόγον. οὐδέποτε γὰρ ἐπ' ἀγαθοῦ δόσει οὐδεὶς ἂν ἴσον δοίη τῷ βελτίονι καὶ τῷ χείρονι, ἀλλὰ μεῖζον τῷ καθ' ὑπεροχὴν ὄντι ἀεί· τοῦτο δ' ἴσον ἐστὶ τῷ λόγῳ· ἴσον γάρ πώς ἐστιν ὁ ἔλαττον ἔχων ἀγαθὸν χείρων ὢν τῷ μεῖζον ἔχοντι κρείττονι ὄντι.

Τῶν δὲ φιλιῶν ἁπασῶν τῶν εἰρημένων τούτων μάλιςά 12
πως ἐγγίγνεται τὸ φιλεῖν ἐν τῇ συγγενικῇ, καὶ ταῦτα ἐν τῇ πατρὶ πρὸς υἱόν. καὶ διὰ τί ποτε ὁ πατὴρ τὸν υἱὸν μᾶλλον φιλεῖ ἢ ὁ υἱὸς τὸν πατέρα; πότερον οὖν, ὡς ἔνιοι λέγοντες ὀρθῶς πρός γε τοὺς πολλούς, ὅτι ὁ μὲν πατὴρ εὐεργέτηκέ πως τὸν υἱόν, ὁ δ' υἱὸς χάριν ὀφείλει τῆς εὐεργεσίας; αὕτη μὲν οὖν ἡ αἰτία ἐν τῇ κατὰ τὸ συμφέρον φιλίᾳ δόξειεν ἂν ὑπάρχειν. ὥσπερ δὲ καὶ κατὰ τὰς ἐπιςήμας ὁρῶμεν ἔχον, οὕτω πως ἔχει καὶ ἐνταῦθα. λέγω δ' οἷόν ἐςιν. ἔςι μὲν οὖν τὸ αὐτὸ τέλος τε καὶ ἐνέργεια, καὶ οὐκ ἄλλο τι παρὰ τὴν ἐνέργειαν τέλος, οἷον τῷ αὐλητῇ ἡ αὐτὴ ἐνέργεια καὶ τέλος· τὸ γὰρ αὐλεῖν καὶ τέλος αὐτῷ ἐςὶ καὶ ἐνέργεια· ἀλλ' οὐ τῇ οἰκοδομικῇ· καὶ γὰρ ἕτερον τέλος παρὰ τὴν ἐνέργειαν. ἔςιν οὖν ἡ φιλία ἐνέργειά τις, οὐδὲν δ' ἐςὶν ἄλλο τέλος παρὰ τὴν ἐνέργειαν τοῦ φιλεῖν, ἀλλὰ τοῦτο αὐτό. ὁ μὲν οὖν πατὴρ ἐνεργεῖ πως ἀεὶ μᾶλλον παρὰ τὸ αὐτοῦ τι εἶναι ποίημα τὸν υἱόν. τοῦτο δ' ὁρῶμεν καὶ ἐπὶ τῶν ἄλλων ὄν· πάντες γὰρ πρὸς ὃ ἂν αὐτοὶ ποιήσωσι, πρὸς τοῦτό πως καὶ εὖνοοί εἰσιν. ὁ οὖν πατὴρ εὐνοεῖ πως πρὸς τὸν υἱὸν αὐτοῦ ὄντα ποίημα, τῇ μνήμῃ καὶ τῇ ἐλπίδι ἀγόμενος· διὸ μᾶλλον φιλεῖ ὁ πατὴρ τὸν υἱὸν ἢ ὁ υἱὸς τὸν πατέρα. δεῖ δὲ καὶ ὑπὲρ τῶν ἄλλων φιλιῶν τῶν λεγομένων καὶ δοκουσῶν ἐπισκέψασθαι εἰ εἰσὶ

] γὰρ rc K^b, om pr. ‖ γὰρ] γὰρ καὶ M^b. ‖ ζῆν M^b. ‖ 5. καὶ τὸ εὖ — b 8. εἶναι om M^b cum Barocciano et Palatino. ‖
^{b}. ‖ 8. φίλων K^b. ‖ 21. τε codices. ‖ 24. ἔςι om K^b. ‖ 28. φαμὲν K^b. ‖ 36. γινομένης K^b.
ρὸς ἄρχοντα] καὶ ἄρχοντος K^b. ‖ 13. ἴσον ἂν K^b. ‖ 15. ὁ] ὅτε K^b, ὁ τὸ M^b. ‖ 22. εὐηργέτηκέ M^b. ‖ 24. ἐν] καὶ ἐν M^b. ‖
εῖν] εἶναι K^b. ‖ 27. οὖν] an ὤν? ‖ τε om M^b. ‖ 34. περὶ M^b. ‖ ποίημα εἶναι M^b. ‖ 40. ἐπισκέψασθαι M^b.

φιλίαι, οἷον ἡ εὔνοια φιλία δοκεῖ. ἁπλῶς μὲν οὖν οὐκ ἂν δόξειεν ἡ εὔνοια εἶναι φιλία· πολλοῖς γὰρ πολλάκις ἢ ἀπὸ τοῦ ἰδεῖν ἢ ἀπὸ τοῦ ἀκοῦσαί τι ὑπέρ τινος ἀγαθὸν εὖνοι γινόμεθα· ἆρ' οὖν ἤδη καὶ φίλοι, ἢ οὔ; οὐ γὰρ εἴ τις ἦν Δαρείῳ εὔνους ἐν Πέρσαις ὄντι, ὥσπερ ἴσως ἦν, εὐθέως καὶ φιλία ἦν αὐτῷ πρὸς Δαρεῖον. ἀλλ' ἀρχὴ μὲν ἄν ποτε ἡ εὔνοια φιλίας δόξειεν εἶναι, γένοιτο δ' ἂν ἡ εὔνοια φιλία, εἰ προσλάβοι βούλησιν τοῦ τἀγαθὰ δυνατὸς ὢν πρᾶξαι πράττειν ἐκείνου ἕνεκεν ᾧ ἐϛὶν εὔνους. ἔϛι δ' ἡ εὔνοια τοῦ ἤθους καὶ πρὸς τὸ ἦθος· οὐδεὶς γὰρ λέγεται εὔνους οἴνῳ ἢ ἄλλῳ τινὶ τῶν ἀψύχων ἀγαθῶν ἢ ἡδέων, ἀλλ' ἄν τις ᾖ τὸ ἦθος σπουδαῖος, πρὸς τοῦτον ἡ εὔνοια. οὐκ ἔϛι δὲ χωρὶς φιλίας ἡ εὔνοια, ἀλλ' ἐν τῷ αὐτῷ· διὸ δοκεῖ φιλία εἶναι. ἡ δ' ὁμόνοια ἐϛὶ μὲν σύνεγγυς τῇ φιλίᾳ, ἐὰν τὴν ὁμόνοιαν λάβῃς τὴν κυρίως λεγομένην. εἰ γάρ τις Ἐμπεδοκλεῖ ὁμοίως ὑπολαμβάνει καὶ δοκεῖ αὐτῷ τὰ ϛοιχεῖα εἶναι ἃ κἀκείνῳ, ἆρά γε οὗτος Ἐμπεδοκλεῖ ὁμονοεῖ ἢ οὔ; ἐπείπερ εἴ τι ἄλλο τοιοῦτον. πρῶτον μὲν γὰρ οὐκ ἔϛιν ἡ ὁμόνοια ἐν τοῖς νοητοῖς ἀλλ' ἐν τοῖς πρακτοῖς, καὶ ἐν τούτοις οὐχ ᾗ νοοῦσι ταὐτόν, ἀλλ' ᾗ ἅμα τῷ ταὐτὸν νοεῖν προαίρεσιν ἔχουσι περὶ ἃ νοοῦσιν ἐπὶ ταὐτά. εἰ γὰρ ἐννοοῦσιν ἀμφότεροι ἄρχειν, ἀλλ' ὁ μὲν αὑτὸν ὁ δ' αὑτόν, ἆρά γε ἤδη ὁμονοοῦσιν, ἢ οὔ; ἀλλ' εἰ κἀγὼ ἐμαυτὸν βούλομαι ἄρχειν κἀκεῖνος ἐμέ, οὕτως ἤδη ὁμονοοῦμεν. ἔϛι δὴ ὁμονοεῖν ἐν τοῖς πρακτικοῖς μετὰ βουλήσεως ταὐτοῦ. περὶ ἄρχοντος ἄρα καταϛάσιν ἐν πρακτικοῖς τοῦ αὐτοῦ ἐϛὶν ἡ ὁμόνοια ἡ κυρίως λεγομένη.

13 Ἐπεὶ δ' ἐστίν, ὡς φαμέν, αὐτῷ πρὸς αὑτὸν φιλία, πότερον ὁ σπουδαῖος ἔϛαι φίλαυτος ἢ οὔ; ἔϛι δὲ φίλαυτος ὁ αὑτοῦ ἕνεκεν πάντα πράττων ἐν τοῖς κατὰ τὸ λυσιτελές. ὁ μὲν οὖν φαῦλος φίλαυτός ἐϛιν· αὐτὸς αὑτοῦ γὰρ ἕνεκεν πάντα πράττει· ἀλλ' οὐχ ὁ σπουδαῖος· διὰ τοῦτο γάρ ἐϛι σπουδαῖος, ὅτι ἄλλου ἕνεκεν τοῦτο πράττει· διὸ οὐκ ἔϛι φίλαυτος. ἀλλ' ὁρμῶσι μὲν ἅπαντες ἐπὶ τἀγαθά, καὶ οἴονται αὑτοῖς δεῖν μάλιϛα ὑπάρχειν· τοῦτο δ' ἐϛὶ μάλιστα φανερὸν ἐπὶ πλούτου καὶ ἀρχῆς. ὁ μὲν οὖν σπουδαῖος ἐκϛήσεται τούτων ἄλλῳ, οὐχ ὡς οὐ προσῆκον αὑτῷ μάλιϛα, ἀλλ' ἂν ὁρᾷ ἄλλον δυνησόμενον μᾶλλον τούτοις αὐτοῦ χρῆσθαι. οἱ δ' ἄλλοι τοῦτο οὐ ποιήσουσι δι' ἄγνοιαν (οὐ γὰρ οἴονται κακῶς ἂν χρήσασθαι τοῖς τοιούτοις ἀγαθοῖς) φιλοτιμίαν τοῦ ἄρχειν. ὁ δὲ σπουδαῖος οὐδέτερον πείσεται· διὸ οὐδὲ φίλαυτος κατά γε τὰ τοιαῦτα ἀλλ' εἰ ἄρα, κατὰ τὸ καλόν. τούτου γὰρ μόνον ἀλ ἂν ἐκϛαίη, τὰ δὲ συμφέροντα καὶ ἡδέα ἐκϛήσετα μὲν οὖν κατὰ τὸ καλὸν αἵρεσιν φίλαυτος ἔσται· κατὰ τὸ συμφέρον καὶ καθ' ἡδονὴν λεγομένην οὐκ σπουδαῖος, ἀλλὰ ὁ φαῦλος. πότερον δέ ποτε ὁ σπ φιλήσει αὐτὸς ἑαυτὸν μάλιϛα ἢ οὔ; ἔστι μὲν οὖν αὑτὸν μάλιϛα ὡς φιλήσει, ἔϛι δ' ὡς οὔ. ἐπειδὴ γά μεν τὸν σπουδαῖον ἐκϛήσεσθαι τῶν ἀγαθῶν τῶν κα συμφέρον τῷ φίλῳ, τὸν φίλον μᾶλλον αὑτοῦ φιλήσε ἀλλ' ᾗ τούτων ἐξιϛάμενος τῷ φίλῳ αὑτῷ τὸ καλὸν ποιεῖται, ταύτῃ ἐξίϛαται τῶν τοιούτων. ἔϛι μὲν οὖν φίλον αὐτὸς αὑτοῦ μᾶλλον φιλεῖ, ἔϛι δὲ ὡς αὐτὸς μάλιϛα, κατὰ μὲν τὸ συμφέρον τὸν φίλον, κατὰ καλὸν καὶ ἀγαθὸν αὐτὸς αὑτὸν μάλιϛα· αὑτῷ γὰρ περιποιεῖται κάλλιϛα ὄντα. ἔϛι μὲν οὖν καὶ φιλάγ οὐ φίλαυτος· μόνον γάρ, εἴπερ φιλεῖ αὐτὸς ἑαυτὸν ἀγαθός. ὁ δὲ φαῦλος φίλαυτος· οὐδὲν γὰρ ἔχει δ λήσει αὐτὸς ἑαυτὸν οἷον καλόν τι, ἀλλ' ἄνευ τούτων ἑαυτὸν φιλήσει, ᾗ αὐτός. διὸ καὶ οὗτος ἂν κυρίως λ φίλαυτος.

Ἐχόμενον δ' ἂν εἴη εἰπεῖν ὑπὲρ αὐταρκείας κα αὐτάρκους, πότερον ὁ αὐτάρκης προσδεήσεται φιλίας ἀλλ' αὐτὸς ἑαυτῷ αὐτάρκης ἔϛαι καὶ κατὰ τοῦτο. λ γὰρ τοιαῦτα καὶ οἱ ποιηταί· "ὅταν δ' ὁ δαίμων εὖ τί δεῖ φίλων;" ὅθεν καὶ ἡ ἀπορία γίγνεται, πότ πάντα τἀγαθὰ ἔχων καὶ ὢν αὐτάρκης προσδεήσετα λου; ἢ τότε καὶ μάλιϛα; τίνα γὰρ εὖ ποιήσει, ἢ τοῦ συμβιώσεται; οὐ γὰρ δὴ μόνος γε διάξει. εἰ τούτων δεήσεται, ταῦτα δὲ μὴ ἐνδέχεται ἄνευ φι προσδέοιτ' ἂν ὁ αὐτάρκης φιλίας. ἡ μὲν οὖν ἐν τοῖς λ εἰωθυῖα ὁμοιότης λαμβάνεσθαι ἐκ τοῦ θεοῦ οὔτ' ἐκεῖ οὔτ' ἂν ἐνταῦθα εἴη χρήσιμος· οὐ γὰρ εἰ ὁ θεός ἐϛιν αὐ κης καὶ μηδενὸς δεῖται, διὰ τοῦτ' οὐδ' ἡμεῖς οὐδενὸς μεθα. ἔϛι γὰρ καὶ τοιοῦτός τις λόγος ἐπὶ τοῦ θεοῦ λεγ νος. ἐπεὶ γάρ, φησί, πάντα ἔχει τἀγαθὰ ὁ θεὸς καὶ αὐτάρκης, τί ποιήσει; οὐ γὰρ καθευδήσει. θεάσεται δ

2. εἶναι ἡ εὔνοια K^b. ‖ 11. ἢ om K^b. ‖ 12. χωρὶς τῆς φιλίας K^b. ‖ 19. πρακτικοῖς K^b. ‖ οὐχὶ νοοῦσι M^b, οὐκ ἐννοοῦσι K^b. ‖ ᾗ] εἰ K^b. ‖ ἐννοεῖν M^b. ‖ 25. κατάϛασις M^b. ‖ 30. ἑαυτοῦ M^b. ‖ 31. ἔϛαι K^b. ‖ 35. δεῖν αὐτοῖς M^b.

3. πήσεται K^b. ‖ 4. εἰ] ἢ M^b. ‖ τοῦτο K^b. ‖ 9. αὑτὸν M^b. ‖ 10. ὃς M^b. ‖ ὃς M^b, om pr K^b. ‖ 13. ἀλλὰ τούτων K^b. ‖ ταύτῃ] καὶ ταύτῃ K^b. ‖ 14 et 15. ὃς M^b. ‖ 16. μὲν γὰρ τὸ K^b. ‖ 17. αὑτῷ — 18. ὄντα om K^b. ‖ 19. οὐ] ὁ M^b. ‖ μόνον — φίλαυτος om M^b. ‖ 22. οὕτως K^b. ‖ 24. εἰπεῖν om K^b. ‖ 27. οἱ om M^b. ‖ 29. φίλων K^b. ‖ 37. τοῦ om M^b.

τοῦτο γὰρ κάλλιστον καὶ οἰκειότατον. τί οὖν θεάσε-
μὲν γὰρ ἄλλο τι θεάσεται, βέλτιον θεάσεταί τι
λλὰ τοῦτ' ἄτοπον, τὸ τοῦ θεοῦ ἄλλο τι εἶναι βέλτιον.
υτὸν ἄρα θεάσεται. ἀλλ' ἄτοπον· καὶ γὰρ ὁ ἄν-
ς ἂν αὐτὸς ἑαυτὸν κατασκοπῆται, ὡς ἀναισθήτῳ
ιεν. ἄτοπος οὖν, φησίν, ὁ θεὸς ἔσται αὐτὸς ἑαυτὸν
. τί μὲν οὖν ὁ θεὸς θεάσεται, ἀφείσθω· ὑπὲρ δὲ
ρκείας οὐ τῆς τοῦ θεοῦ τὴν ἐπίσκεψιν ποιούμεθα,
θρωπίνης, πότερον ὁ αὐτάρκης δεήσεται φιλίας ἢ
δή τις ἐπὶ τὸν φίλον ἐπιβλέψας ἴδοι τί ἐστι καὶ
ς ὁ φίλος, τοιοῦτος οἷος ἕτερος εἶναι ἐγώ, ἄν γε
δρα φίλον ποιήσῃς, ὥσπερ τὸ λεγόμενον "ἄλλος
ακλῆς, ἄλλος φίλος ἐγώ." ἐπεὶ οὖν ἐστὶ καὶ χα-
ον, ὥσπερ καὶ τῶν σοφῶν τινὲς εἰρήκασι, τὸ γνῶ-
ν, καὶ ἥδιστον (τὸ γὰρ αὐτὸν εἰδέναι ἡδύ), αὐτοὶ
αὐτοὺς ἐξ αὐτῶν οὐ δυνάμεθα θεάσασθαι. ὅτι δ'
)τοὺς οὐ δυνάμεθα, δῆλον ἐξ ὧν ἄλλοις ἐπιτιμῶμεν,
λανθάνομεν ταὐτὰ ποιοῦντες. τοῦτο δὲ γίνεται δι'
ἢ διὰ πάθος· πολλοῖς δὲ ἡμῶν ταῦτα ἐπισκοτεῖ
κρίνειν ὀρθῶς. ὥσπερ οὖν ὅταν θέλωμεν αὐτοὶ αὑτῶν
ωπον ἰδεῖν, εἰς τὸ κάτοπτρον ἐμβλέψαντες εἴδομεν,
καὶ ὅταν αὐτοὶ αὑτοὺς βουληθῶμεν γνῶναι, εἰς τὸν
όντες γνωρίσαιμεν ἄν· ἔστι γάρ, ὡς φαμέν, ὁ φί-
ος ἐγώ. εἰ οὖν ἡδὺ μὲν τὸ αὐτὸν εἰδέναι, τοῦτο δ'
εἰδέναι ἄνευ ἄλλου φίλου, δέοιτ' ἂν ὁ αὐτάρκης
πρὸς τὸ αὐτὸς αὑτὸν γνωρίζειν. ἔτι δὲ καὶ εἴπερ
όν, ὥσπερ ἐστί, τὸ εὖ ποιεῖν ἔχοντα τὰ παρὰ τῆς
γαθά, τίνα εὖ ποιήσει; μετὰ τίνος δὲ συμβιώσε-
γὰρ δὴ μόνος γε διάξει· τὸ γὰρ συμβιοῦν ἡδὺ καὶ
ον. εἰ τοίνυν ταῦτα καλὰ καὶ ἡδέα καὶ ἀναγκαῖα, ταῦτα δὲ μὴ ἐνδέχεται εἶναι ἄνευ φιλίας, προσδέοιτ' ἂν ὁ αὐτάρκης φιλίας.

Πότερον δὲ πολλοὺς κτητέον φίλους ἢ ὀλίγους; οὔτε δὴ 16 πολλοὺς ὡς ἁπλῶς εἰπεῖν οὔτ' ὀλίγους δεῖ ἀεί. πολλῶν μὲν γὰρ οντων ἔργον ἐφ' ἕκαστον μερίσαι τὸ φιλεῖν. ἐφ' ἁπάντων γὰρ καὶ τῶν ἄλλων ἐξαδυνατεῖ ἡμῶν ἡ φύσις ἀσθενὴς οὖσα πρὸς τὸ ἐπὶ πολὺ ἀφικνεῖσθαι· οὔτε γὰρ τῇ ὄψει ἐπὶ πολὺ ὁρῶμεν, ἀλλ' ἐὰν πλέον ἀποστήσῃς τοῦ συμμέτρου, ἐλλείπει διὰ τὴν ἀσθένειαν τῆς φύσεως, οὔτ' ἐπ' ἀκοῆς, οὔτ' ἐπὶ τῶν ἄλλων ὁμοίως ἁπάντων. ἐλλείπων οὖν τῷ φιλεῖν δι' ἀδυναμίαν καὶ ἐγκλήματ' ἄν τις ἔχοι δικαίως, καὶ οὐκ ἂν εἴη φίλος, μὴ φιλῶν γε ἀλλ' ἢ τῷ γε λόγῳ· ἡ δὲ φιλία οὐ τοῦτο βούλεται. ἔτι ἂν ὦσι πολλοί, οὐκ ἔστι παύσασθαι λυπούμενον· πολλῶν γὰρ ὄντων εἰκὸς ἀεὶ περὶ ἕνα γέ τινα συμβαίνειν τι ἀτύχημα, ὧν γινομένων ἀναγκαῖον λυπεῖσθαι. οὔτ' αὖ πάλιν ὀλίγους, ἕνα ἢ δύο, ἀλλὰ συμμέτρους τῷ καιρῷ καὶ τῇ αὐτοῦ ὁρμῇ πρὸς τὸ φιλεῖν.

Μετὰ δὲ ταῦτα σκεπτέον ἂν εἴη πῶς δεῖ φίλῳ χρῆ- 17 σθαι. ἔστι δ' οὐκ ἐν ἁπάσῃ φιλίᾳ ἡ σκέψις, ἀλλ' ἐν ᾗ μάλιστα ἐγκαλοῦσιν ἀλλήλοις οἱ φίλοι. οὐκ ἐγκαλοῦσι δὲ ἐν ταῖς ἄλλαις ὁμοίως, οἷον ἐν τῇ πατρὸς πρὸς υἱὸν οὐκ ἔστιν ἔγκλημα τοιοῦτον οἷον ἀξιοῦσιν ἐν ἐνίαις, ὥσπερ ἐγὼ σοί, οὕτω καὶ σὺ ἐμοί· εἰ δὲ μή, ἐνταῦθα τὸ σφοδρὸν ἔγκλημα. ἐν δὲ ἀνίσοις φίλοις οὐκ ἔστι τὸ ἴσον. ἔστι δὲ ἡ πατρὸς πρὸς υἱὸν φιλία ἐν ἀνίσῳ, ὁμοίως ἡ γυναικὸς πρὸς ἄνδρα ἢ οἰκέτου πρὸς δεσπότην, καὶ ὅλως δὲ χείρονος καὶ βελτίονος· οὐχ ἕξουσι δὲ τὰ τοιαῦτα ἐγλήματα. ἀλλ' ἐν τοῖς ἴσοις φίλοις καὶ ἐν τῇ αὐτῇ φιλίᾳ τὸ τοιοῦτον ἔγκλημα, ὥστε σκεπτέον ἂν εἴη τὸ πῶς δεῖ χρῆσθαι φίλῳ ἐν τῇ ἐν ἴσοις φιλίᾳ.

κέψιν M^b. ‖ 15. ἥδιστ' ἂν K^bM^b. ‖ 18. μανθάνομεν K^b. ‖ 21. ἴδομεν K^b. ‖ 23. ὡς] ὡς ἂν K^b. ‖ 27. τὰ om K^b. ‖ 28. εται M^b. ‖ 29. διεξάγει M^b.

αὶ om M^b. ‖ 8. ἂν M^b. ‖ 10. ἁπάντων] ἐπὶ πάντων M^b. ‖ τὸ M^b. ‖ 18. ταῦτα εἴη σκεπτέον πῶς K^b. ‖ χρήσασθαι M^b. ‖ λοις om M^b. ‖ 21. πατρὸς om M^b. ‖ 30. ἴσοις φίλοις φιλίᾳ K^b.

ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ Α.

Ὁ μὲν ἐν Δήλῳ παρὰ τῷ θεῷ τὴν αὐτοῦ γνώμην ἀποφηνάμενος συνέγραψεν ἐπὶ τὸ προπύλαιον τοῦ Λητῴου, διελὼν οὐχ ὑπάρχοντα πάντα τῷ αὐτῷ, τό τε ἀγαθὸν καὶ τὸ καλὸν καὶ τὸ ἡδύ, ποιήσας

κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
πάντων δ' ἥδιστον, οὗ τις ἐρᾷ, τὸ τυχεῖν.

ἡμεῖς δ' αὐτῷ μὴ συγχωρῶμεν· ἡ γὰρ εὐδαιμονία κάλλιστον καὶ ἄριστον ἁπάντων οὖσα ἥδιστόν ἐστιν. πολλῶν δ' ὄντων θεωρημάτων ἃ περὶ ἕκαστον πρᾶγμα καὶ περὶ ἑκάστην φύσιν ἀπορίαν ἔχει καὶ δεῖται σκέψεως, τὰ μὲν αὐτῶν συντείνει πρὸς τὸ γνῶναι μόνον, τὰ δὲ καὶ περὶ τὰς κτήσεις καὶ περὶ τὰς πράξεις τοῦ πράγματος. ὅσα μὲν οὖν ἔχει φιλοσοφίαν μόνον θεωρητικήν, λεκτέον κατὰ τὸν ἐπιβάλλοντα καιρόν, ὅ τι περ οἰκεῖον ἦν τῇ μεθόδῳ. πρῶτον δὲ σκεπτέον ἐν τίνι τὸ εὖ ζῆν καὶ πῶς κτητόν, πότερον φύσει γίνονται πάντες εὐδαίμονες οἱ τυγχάνοντες ταύτης τῆς προσηγορίας, ὥσπερ μεγάλοι καὶ μικροὶ καὶ τὴν χροιὰν διαφέροντες, ἢ διὰ μαθήσεως, ὡς οὔσης ἐπιστήμης τινὸς τῆς εὐδαιμονίας, ἢ διά τινος ἀσκήσεως· πολλὰ γὰρ οὔτε κατὰ φύσιν οὔτε μαθοῦσιν ἀλλ' ἐθισθεῖσιν ὑπάρχει τοῖς ἀνθρώποις, φαῦλα μὲν τοῖς φαύλως ἐθισθεῖσι, χρηστὰ δὲ τοῖς χρηστῶς. ἢ τούτων μὲν κατ' οὐδένα τῶν τρόπων, δυοῖν δὲ θάτερον, ἤτοι καθάπερ οἱ νυμφόληπτοι καὶ θεόληπτοι τῶν ἀνθρώπων, ἐπιπνοίᾳ δαιμονίου τινὸς ὥσπερ ἐνθουσιάζοντες, ἢ διὰ τύχην· πολλοὶ γὰρ ταὐτόν φασιν εἶναι τὴν εὐδαιμονίαν καὶ τὴν εὐτυχίαν. ὅτι μὲν οὖν ἡ παρουσία διὰ τούτων ἁπάντων ἢ τινῶν ἢ τινὸς ὑπάρχει τοῖς ἀνθρώποις, οὐκ ἄδηλον· ἅπασαι γὰρ αἱ γενέσεις σχεδὸν πίπτουσιν εἰς ταύτας τὰς ἀρχάς· καὶ γὰρ ἀπὸ τῆς διανοίας ἁπάσας πρὸς τὰς ἀπ' ἐπιστήμης ἄν τις συναγάγοι πράξεις. τὸ δ' εὐδαιμονεῖν καὶ τὸ ζῆν μακαρίως καὶ καλῶς εἴη ἂν ἐν τρισὶ μάλιστα, τοῖς εἶναι δοκοῦσιν αἱρετωτάτοις· οἱ μὲν γὰρ τὴν φρόνησιν μέγιστον εἶναί φασιν ἀγαθόν, οἱ δὲ τὴν ἀρετήν, οἱ δὲ τὴν ἡδονήν. καὶ πρὸς τὴν εὐδαιμονίαν ἔνιοι περὶ τοῦ μεγέθους αὐτῶν διαμφισβητοῦσι, συμβάλλεσθαι φάσκοντες θάτερον μᾶλλον εἰς αὐτήν, οἱ μὲν ὡς οὖσαν μεῖζον ἀγαθ[...] φρόνησιν τῆς ἀρετῆς, οἱ δὲ ταύτης τὴν ἀρετήν, οἱ [...] φοτέρων τούτων τὴν ἡδονήν· καὶ τοῖς μὲν ἐκ πάντων τούτων, τοῖς δ' ἐκ δυοῖν, τοῖς δ' ἐν ἑνί τινι τούτων ε[...] ζῆν εὐδαιμόνως. περὶ δὴ τούτων ἐπιστήσαντας, ἅπαν[...] δυνάμενον ζῆν κατὰ τὴν αὐτοῦ προαίρεσιν θέσθαι τιν[...] πὸν τοῦ καλῶς ζῆν, ἤτοι τιμὴν ἢ δόξαν ἢ πλοῦτον ἢ [...] δείαν, πρὸς ὃν ἀποβλέπων ποιήσεται πάσας τὰς π[...] ὡς τό γε μὴ συντετάχθαι τὸν βίον πρός τι τέλος [...] σύνης πολλῆς σημεῖόν ἐστιν. μάλιστα δὴ δεῖ πρῶ[...] αὐτῷ διορίσασθαι μήτε προπετῶς μήτε ῥαθύμως, ἐ[...] τῶν ἡμετέρων τὸ ζῆν εὖ, καὶ τίνων ἄνευ τοῖς ἀνθ[...] οὐκ ἐνδέχεται τοῦθ' ὑπάρχειν. οὐ γὰρ ταὐτόν, ὧν τ[...] οὐχ οἷόν τε ὑγιαίνειν καὶ τὸ ὑγιαίνειν. ὁμοίως δ' ἔχ[...] καὶ ἐφ' ἑτέρων πολλῶν, ὥστ' οὐδὲ τὸ ζῆν καλῶς κ[...] ἄνευ οὐ δυνατὸν ζῆν καλῶς. ἔστι δὲ τῶν τοιούτων τ[...] οὐκ ἴδια τῆς ὑγιείας οὐδὲ τῆς ζωῆς ἀλλὰ κοινὰ πάντ[...] εἰπεῖν, καὶ τῶν ἕξεων καὶ τῶν πράξεων, οἷον ἄνευ τοῦ πνεῖν ἢ ἐγρηγορέναι ἢ κινήσεως μετέχειν οὐθὲν ἂν ὑπά[...] ἡμῖν οὔτ' ἀγαθὸν οὔτε κακόν, τὰ δ' ἴδια μᾶλλον περὶ [...] στην φύσιν, ἃ δεῖ μὴ λανθάνειν· οὐ γὰρ ὁμοίως [...] πρὸς εὐεξίαν τοῖς εἰρημένοις κρεωφαγία καὶ τῶν π[...] των αἱ μετὰ δεῖπνον. ἔστι γὰρ ταῦτ' αἴτια τῆς ἀμφ[...] τήσεως περὶ τοῦ εὐδαιμονεῖν, τί ἐστι καὶ γίνεται διὰ τ[...] ὧν ἄνευ γὰρ οὐχ οἷόν τε εὐδαιμονεῖν, ἔνιοι μέρη τῆς ε[...] μονίας εἶναι νομίζουσιν.

Πάσας μὲν οὖν τὰς δόξας ἐπισκοπεῖν, ὅσας ἔ[...] τινες περὶ αὐτῆς, περίεργον. πολλὰ γὰρ φαίνεται κα[...] παιδαρίοις καὶ τοῖς κάμνουσι καὶ παραφρονοῦσι, περὶ [...] οὐθεὶς νοῦν ἔχων διαπορήσειεν· δέονται γὰρ οὐ λόγων, ἀ[...] μὲν ἡλικίας ἐν ᾗ μεταβάλλουσιν, οἱ δὲ κολάσεως ἰα[...] ἢ πολιτικῆς· κόλασις γὰρ ἡ φαρμακεία τῶν πληγ[...] ἐλάττων ἐστίν. ὁμοίως δὲ ταύταις οὐδὲ τὰς τῶν πο[...]

Codices $M^b P^b$ et ab initio *Z*.

6. δ' om $M^b P^b$. ‖ ἔραται ZM^b, ἐρᾶται P^b, omisso omnes τό. ‖ 21. φαύλοις ZM^b. ‖ χρηστῶς] χρησταῖς ZM^b. ‖ 22. οὐδέποτ M^b. ‖ 24. δαιμονία ZM^b. ‖ διὰ τὴν τύχην P^b. ‖ 29. ἀπὸ τῆς ἐπιστήμης *Z*. ‖ 30. συναγάγει P^b.

15. καὶ τὸ ὑγιαίνειν om *Z*. ‖ 16. οὐδὲ] καὶ *Z*. ‖ 19. καὶ post εἰπεῖν om M^b. ‖ 21. ἑκάστων ZM^b. ‖ 23. περὶ πάντων P^b.

32. ἀγωγὴ εὐδαιμονική.

άρ λέγυσι σχεδὸν περὶ ἁπάντων, καὶ μάλιςα περὶ πτέον μόνας· ἄτοπον γὰρ προσφέρειν λόγον τοῖς μηδὲν δεομένοις ἀλλὰ πάθυς. ἐπεὶ δ' εἰσὶν ἀπορίαι κάςην πραγματείαν οἰκεῖαι, δῆλον ὅτι καὶ περὶ βίυ ιτίςυ καὶ ζωῆς τῆς ἀρίςης εἰσίν. ταύτας ὖν καλῶς ὰς δόξας ἐξετάζειν· οἱ γὰρ τῶν ἀμφισβητούντων οι τῶν ἐναντιυμένων αὐτοῖς λόγων ἀποδείξεις εἰσίν. πρὸ ἔργυ τὸ τὰ τοιαῦτα μὴ λανθάνειν μάλιςα πρὸς συντείνειν πᾶσαν σκέψιν, ἐκ τίνων ἐνδέχεται μετα- τῦ εὖ καὶ καλῶς ζῆν, εἴ τῳ μακαρίως ἐπιφθονώτε- τεῖν, καὶ πρὸς τὴν ἐλπίδα τὴν περὶ ἕκαςα γενομένην ἐπιεικῶν. εἰ μὲν γὰρ ἐν τοῖς διὰ τύχην γινομένοις διὰ φύσιν τὸ καλῶς ζῆν ἐστίν, ἀνέλπιστον ἂν εἴη ις· ὐ γάρ ἐςι δι' ἐπιμελείας ἡ κτῆσις ὐδὲ ἐπ' αὐτοῖς ς αὐτῶν πραγματείας. εἰ δ' ἐν τῷ αὐτὸν ποιόν τινα καὶ τὰς κατ' αὐτὸν πράξεις, κοινότερον ἂν εἴη τὸ καὶ θειότερον, κοινότερον μὲν τῷ πλείοσιν ἐνδέχε- μετασχεῖν, θειότερον δὲ τῷ κεῖσθαι τὴν εὐδαιμονίαν ύτὺς παρασκευάζυσι ποιὺς τινας καὶ τὰς πράξεις.

Ἔσται δὲ φανερὰ τὰ πλεῖςα τῶν ἀμφισβητυμένων απορυμένων, ἂν καλῶς ὁρισθῇ τί χρὴ νομίζειν εἶναι δαιμονίαν, πότερον ἐν τῷ ποιόν τινα μόνον εἶναι τὴν , καθάπερ τινὲς ᾠήθησαν τῶν σοφῶν καὶ πρεσβυτέ- δεῖ μὲν καὶ ποιόν τινα ὑπάρχειν αὐτόν, μᾶλλον τὰς πράξεις εἶναι ποιάς τινας. διῃρημένων δὲ τῶν αὶ τῶν μὲν ἀμφισβητύντων τῆς τοιαύτης εὐημερίας, ὺς τῶν ἀναγκαίων χάριν σπουδαζομένων, οἷον τῶν ὰς τέχνας τὰς φορτικὰς καὶ τῶν περὶ χρηματισμὸν ὶς βαναύσυς (λέγω δὲ φορτικὰς μὲν τὰς πρὸς δό- ραγματευομένας μόνον, βαναύσους δὲ τὰς ἑδραίας ισθαρνικάς, χρηματιςικὰς δὲ τὰς πρὸς ἀγορὰς καὶ ς καπηλικάς), τῶν δ' εἰς ἀγωγὴν εὐδαιμονικὴν τατ- ν τριῶν ὄντων, τῶν καὶ πρότερον ῥηθέντων ἀγαθῶν γίστων τοῖς ἀνθρώποις, ἀρετῆς καὶ φρονήσεως καὶ , τρεῖς ὁρῶμεν καὶ βίους ὄντας, οὓς οἱ ἐπ' ἐξουσίας νοντες προαιρῦνται ζῆν ἅπαντες, πολιτικὸν φιλόσο- φον, ἀπολαυςικόν. τύτων γὰρ ὁ μὲν φιλόσοφος βύλεται περὶ φρόνησιν εἶναι καὶ τὴν θεωρίαν τὴν περὶ τὴν ἀλήθειαν, ὁ δὲ πολιτικὸς περὶ τὰς πράξεις τὰς καλάς (αὗται δ' εἰσὶν αἱ ἀπὸ τῆς ἀρετῆς), ὁ δ' ἀπολαυςικὸς περὶ τὰς ἡδονὰς τὰς σωματικάς· διόπερ ἕτερον τὸν εὐδαίμονα προσαγορεύει, καθάπερ ἐλέχθη καὶ πρότερον. Ἀναξαγόρας μὲν ὁ Κλαζομένιος ἐρωτηθεὶς τίς ὁ εὐδαιμονέςατος, "ὐθείς" εἶπεν "ὧν σὺ νομίζεις, ἀλλ' ἄτοπος ἄν τίς σοι φανείη." τῦτον δ' ἀπεκρίνατο τὸν τρόπον ἐκεῖνος ὁρῶν τὸν ἐρόμενον ἀδύνατον ὑπολαμβάνοντα μὴ μέγαν ὄντα καὶ καλὸν ἢ πλούσιον ταύτης τυγχάνειν τῆς προσηγορίας. αὐτὸς δ' ἴσως ᾤετο τὸν ζῶντα ἀλύπως καὶ καθαρῶς πρὸς τὸ δίκαιον ἤ τινος θεωρίας κοινωνῦντα θείας, τῦτον ὡς ἄνθρωπον εἰπεῖν μακάριον εἶναι.

Περὶ πολλῶν μὲν ὖν καὶ ἑτέρων ὐ ῥᾴδιον τὸ κρῖναι καλῶς, μάλιστα δὲ περὶ οὗ πᾶσι ῥᾷστον εἶναι δοκεῖ καὶ παντὸς ἀνθρώπυ τὸ γνῶναι, τί τῶν ἐν τῷ ζῆν αἱρετόν, καὶ λαβὼν ἄν τις ἔχοι πλήρη τὴν ἐπιθυμίαν. πολλὰ γάρ ἐςι τοιαῦτα τῶν ἀποβαινόντων δι' ἃ προΐενται τὸ ζῆν, οἷον νόσυς, περιωδυνίας, χειμῶνας· ὥστε δῆλον ὅτι κἂν ἐξ ἀρχῆς αἱρετὸν ἦν, εἴ τις αἵρεσιν ἐδίδυ, διά γε ταῦτα τὸ μὴ γενέσθαι. πρὸς δὲ τύτοις ὁ βίος ὃν ζῶσιν ἔτι παῖδες ὄντες· καὶ γὰρ ἐπὶ τῦτον ἀνακάμψαι πάλιν ὐδεὶς ἂν ὑπομείνειεν εὖ φρονῶν. ἔτι δὲ πολλὰ τῶν τε μηδεμίαν ἐχόντων ἡδονὴν ἢ λύπην, καὶ τῶν ἐχόντων μὲν ἡδονὴν μὴ καλὴν δέ, τοιαῦτ' ἐςὶν ὥςε τὸ μὴ εἶναι κρεῖττον εἶναι τῦ ζῆν. ὅλως δ' εἴ τις ἅπαντα συναγάγοι ὅσα πράττουσι μὲν καὶ πάσχυσιν ἅπαντες, ἑκόντες μέντοι μηθὲν αὐτῶν διὰ τὸ μηδ' αὐτῦ χάριν, καὶ προσθείη χρόνυ πλῆθος ἀπέραντόν τι, οὐ μᾶλλον ἕνεκ' ἂν τις τούτων ἕλοιτο ζῆν ἢ μὴ ζῆν. ἀλλὰ μὴν ὐδὲ διὰ τὴν τῆς τροφῆς μόνον ἡδονὴν ἢ τὴν τῶν ἀφροδισίων, ἀφαιρεθεισῶν τῶν ἄλλων ἡδονῶν, ἃς τὸ γινώσκειν ἢ βλέπειν ἢ τῶν ἄλλων τις αἰσθήσεων πορίζει τοῖς ἀνθρώποις, ὐδ' ἂν εἷς προτιμήσειε τὸ ζῆν, μὴ παντελῶς ὢν ἀνδράποδον. δῆλον γὰρ ὅτι τῷ ταύτην ποιυμένῳ τὴν αἵρεσιν οὐθὲν ἂν διενέγκειε γενέσθαι θηρίον ἢ ἄνθρωπον· ὁ γῦν ἐν

apparent faci… real difficul… of the proble…

εἰκῇ Sylburgius: codices εἰ μή. margo P^b ἴσως οἱ μηδὲν λέγυσι — περὶ ταύτης, τὰς τῶν σοφῶν ἐπισκεπτέον μόνας. ‖ 2. προφέ- . ‖ 4. βίων M^b, βίον P^b. ‖ 8. τὰ om ZP^b. ‖ περὶ M^b. ‖ 10. τῦ ante ζῆν ZM^bP^b. ‖ 13. ἀνέλπιστος M^b. ‖ 15. ὐδὲ διὰ ‖ αὐτῶν] αὐτῆς M^b. ‖ 17 et 18. τὸ Z. ‖ 19. τοῖς] ἃ τοῖς P^b, ἐν τοῖς margo P^b. ‖ αὐτεῖς Z. ‖ 22. μόνον om M^b. ‖ 27.] ἴσ. τῶν μὲν margo P^b. ‖ 29. καὶ τὰς] καὶ τοὺς M^b. ‖ 31. πρὸς] πρὸς ὢν P^b, ἴσ. ὠνὰς margo P^b. ‖ καὶ] μὲν καὶ ZP^b. ‖ ὖν Z. ‖ 33. καὶ om Z. ‖ 34. τοῖς ἀνθρώποις om Z.

ὂν ZM^b. ‖ ἄτοπον ἄν τι M^b. ‖ 9. τὸν ante τρόπον om M^b. ‖ ἐρώμενον P^b. ‖ ἀδύνατον om M^b. ‖ 12. τὸν et καὶ om Z. ‖ om Z. ‖ 15. παρὰ Z. ‖ 16. καθαρῶς M^b. ‖ πᾶσι om Z. ‖ 17. αἱρετῶν M^b. ‖ 19. δι' ἃ om Z et pr P^b. ‖ 22. ζῶσιν ‖ 24. δὲ om Z. ‖ ἐχόντων μὲν ἡδονὴν P^b. ‖ 27. συνάγοι M^b. ‖ 29. οὐ om ZP^b. ‖ 31. τῆς om ZM^b. ‖ 33. αἰσθήσεως πορί- , αἰσθήσεων πορίζοι M^bP^b. ‖ 36. διενέγκοιεν ZM^b.

Αἰγύπτῳ βοῦς, ὃν ὡς Ἆπιν τιμῶσιν, ἐν πλείοσι τῶν τοιούτων ἐξουσιάζει πολλῶν μοναρχιῶν. ὁμοίως δὲ οὐδὲ διὰ τὴν τοῦ καθεύδειν ἡδονήν· τί γὰρ διαφέρει καθεύδειν ἀνέγερτον ὕπνον ἀπὸ τῆς πρώτης ἡμέρας μέχρι τῆς τελευταίας ἐτῶν ἀριθμὸν χιλίων ἢ ὁποσωνοῦν, ἢ ζῆν ὄντα φυτόν; τὰ γοῦν φυτὰ τοιαύτης τινὸς ἔοικε μετέχειν ζωῆς, ὥσπερ καὶ τὰ παιδία· καὶ γὰρ ταῦτα κατὰ τὴν πρώτην ἐν τῇ μητρὶ γένεσιν πεφυκότα μὲν διατελεῖ, καθεύδοντα δὲ τὸν πάντα χρόνον. ὥστε φανερὸν ἐκ τῶν τοιούτων ὅτι διαφεύγει σκοπουμένους, τί τὸ εὖ καὶ τί τὸ ἀγαθὸν τὸ ἐν τῷ ζῆν. τὸν μὲν οὖν Ἀναξαγόραν φασὶν ἀποκρίνασθαι πρός τινα διαποροῦντα τοιαῦτ᾽ ἄττα, καὶ διερωτῶντα τίνος ἕνεκ᾽ ἄν τις ἕλοιτο γενέσθαι μᾶλλον ἢ μὴ γενέσθαι "τοῦ" φάναι "θεωρῆσαι τὸν οὐρανὸν καὶ τὴν περὶ τὸν ὅλον κόσμον τάξιν." οὗτος μὲν οὖν ἐπιστήμης τινὸς ἕνεκεν τὴν αἵρεσιν ᾤετο τιμίαν εἶναι τοῦ ζῆν, οἱ δὲ Σαρδανάπαλον μακαρίζοντες ἢ Σμινδυρίδην τὸν Συβαρίτην ἢ τῶν ἄλλων τινὰς τῶν ζώντων τὸν ἀπολαυστικὸν βίον, οὗτοι δὲ πάντες ἐν τῷ χαίρειν φαίνονται τάττειν τὴν εὐδαιμονίαν. ἕτεροι δέ τινες οὔτ᾽ ἂν φρόνησιν οὐδεμίαν οὔτε τὰς σωματικὰς ἡδονὰς ἕλοιντο μᾶλλον ἢ τὰς πράξεις τὰς ἀπ᾽ ἀρετῆς· αἱροῦνται γοῦν οὐ μόνον ἔνιοι δόξης χάριν αὐτάς, ἀλλὰ καὶ μὴ μέλλοντες εὐδοκιμήσειν. ἀλλ᾽ οἱ πολλοὶ τῶν πολιτικῶν οὐκ ἀληθῶς τυγχάνουσι τῆς προσηγορίας· οὐ γάρ εἰσι πολιτικοὶ κατὰ τὴν ἀλήθειαν· ὁ μὲν γὰρ πολιτικὸς τῶν καλῶν ἐστὶ πράξεων προαιρετικὸς αὐτῶν χάριν, οἱ δὲ πολλοὶ χρημάτων καὶ πλεονεξίας ἕνεκεν ἅπτονται τοῦ ζῆν οὕτως. ἐκ μὲν οὖν τῶν εἰρημένων φανερὸν ὅτι πάντες ἐπὶ τρεῖς βίους φέρουσι τὴν εὐδαιμονίαν, πολιτικὸν φιλόσοφον. ἀπολαυστικόν. τούτων δ᾽ ἡ μὲν περὶ τὰ σώματα καὶ τὰς ἀπολαύσεις ἡδονή, καὶ τίς καὶ ποία τις γίνεται καὶ διὰ τίνων, οὐκ ἄδηλον, ὥστ᾽ οὐ τίνες εἰσὶ δεῖ ζητεῖν αὐτάς, ἀλλ᾽ εἰ συντείνουσί τι πρὸς εὐδαιμονίαν ἢ μή, καὶ πῶς συντείνουσι, καὶ πότερον εἰ δεῖ προσάπτειν τῷ ζῆν καλὰς ἡδονάς τινας, ταύτας δεῖ προσάπτειν, ἢ τούτων μὲν ἄλλον τινὰ τρόπον ἀνάγκη κοινωνεῖν, ἕτεραι δ᾽ εἰσὶν ἡδοναὶ δι᾽ ἃς εὐλόγως οἴονται τὸν εὐδαίμονα ζῆν ἡδέως καὶ μὴ μόνον ἀλύπως. ἀλλὰ περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον, περὶ δ᾽ ἀρετῆς καὶ φρονήσεως πρῶτον θεωρήσωμεν, τήν τε φύσιν αὐτῶν ἑκατέρου τίς ἐστι, καὶ πότερον μόρια ταῦτα τῆς ἀγαθῆς ζωῆς ἐστίν, ἢ αὐτὰ ἢ αἱ πράξεις αἱ ἀπ᾽ αὐτῶν,

ἐπειδὴ προσάπτουσιν αὐτὰ, κἂν εἰ μὴ πάντες εἰς τὴν [...] μονίαν, ἀλλ᾽ οὖν οἱ λόγου ἄξιοι τῶν ἀνθρώπων πάντες. [...] κράτης μὲν οὖν ὁ πρεσβύτης ᾤετ᾽ εἶναι τέλος τὸ γιν[...] τὴν ἀρετήν, καὶ ἐπεζήτει τί ἐστιν ἡ δικαιοσύνη κα[...] ἀνδρία καὶ ἕκαστον τῶν μορίων αὐτῆς. ἐποίει γὰρ [...] εὐλόγως· ἐπιστήμας γὰρ ᾤετ᾽ εἶναι πάσας τὰς ἀ[...] ὥσθ᾽ ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην κα[...] δίκαιον· ἅμα γὰρ μεμαθήκαμεν τὴν γεωμετρίαν κα[...] δομίαν καὶ ἐσμὲν οἰκοδόμοι καὶ γεωμέτραι. διόπερ [...] τί ἐστιν ἀρετή, ἀλλ᾽ οὐ πῶς γίνεται καὶ ἐκ τίνων. τ[...] ἐπὶ μὲν τῶν ἐπιστημῶν συμβαίνει τῶν θεωρητικῶν· [...] γὰρ ἕτερόν ἐστι τῆς ἀστρολογίας οὐδὲ τῆς περὶ φύσεω[...] στήμης οὐδὲ γεωμετρίας πλὴν τὸ γνωρίσαι καὶ θεω[...] τὴν φύσιν τῶν πραγμάτων τῶν ὑποκειμένων ταῖς ἐ[...] μαις· οὐ μὴν ἀλλὰ κατὰ συμβεβηκὸς οὐθὲν κωλύει [...] πολλὰ τῶν ἀναγκαίων εἶναι χρησίμους αὐτὰς ἡμῖν. [...] δὲ ποιητικῶν ἐπιστημῶν ἕτερον τὸ τέλος τῆς ἐπιστήμης [...] γνώσεως, οἷον ὑγίεια μὲν ἰατρικῆς, εὐνομία δὲ ἤ τι τ[...] ἕτερον τῆς πολιτικῆς. καλὸν μὲν οὖν καὶ τὸ γνωρίζειν [...] στον τῶν καλῶν· οὐ μὴν ἀλλά γε περὶ ἀρετῆς οὐ τὸ ε[...] τιμιώτατον τί ἐστιν, ἀλλὰ τὸ γινώσκειν ἐκ τίνων ἐστ[...] γὰρ εἰδέναι βουλόμεθα τί ἐστιν ἀνδρία, ἀλλ᾽ εἶναι ἀν[...] οὐδὲ τί ἐστι δικαιοσύνη, ἀλλ᾽ εἶναι δίκαιοι, καθάπε[...] ὑγιαίνειν μᾶλλον ἢ γινώσκειν τί ἐστι τὸ ὑγιαίνειν κα[...] ἔχειν τὴν ἕξιν μᾶλλον ἢ γινώσκειν τί ἐστι τὸ εὖ ἔχ[...]

Πειρατέον δὲ περὶ τούτων πάντων ζητεῖν τὴν πίστ[...] τῶν λόγων, μαρτυρίοις καὶ παραδείγμασι χρώμενο[...] φαινομένοις. κράτιστον μὲν γὰρ πάντας ἀνθρώπους φ[...] σθαι συνομολογοῦντας τοῖς ῥηθησομένοις, εἰ δὲ μή, τρ[...] γέ τινα πάντως, ὅπερ μεταβιβαζόμενοι ποιήσουσιν· [...] γὰρ ἕκαστος οἰκεῖόν τι πρὸς τὴν ἀλήθειαν, ἐξ ὧν ἀναγκ[...] δεικνύναι πως περὶ αὐτῶν· ἐκ γὰρ τῶν ἀληθῶς μὲν [...] γομένων οὐ σαφῶς δὲ προϊοῦσιν ἔσται καὶ τὸ σαφῶς, [...] ταλαμβάνουσιν ἀεὶ τὰ γνωριμώτερα τῶν εἰωθότων λέγ[...] συγκεχυμένως. διαφέρουσι δ᾽ οἱ λόγοι περὶ ἑκάστην μ[...] οἵ τε φιλοσόφως λεγόμενοι καὶ μὴ φιλοσόφως. δ[...] καὶ τῶν πολιτικῶν οὐ χρὴ νομίζειν περίεργον εἶναι [...] τοιαύτην θεωρίαν, δι᾽ ἧς οὐ μόνον τὸ τί φανερόν, ἀλλὰ τὸ διὰ τί. φιλόσοφον γὰρ τὸ τοιοῦτο περὶ ἑκάστην μέ[...] δεῖται μέντοι τοῦτο πολλῆς εὐλαβείας. εἰσὶ γάρ τιν[...]

1. εἰς M^b. ‖ τῶν om Z. ‖ 2. οὐδὲ] οὐ M^b. ‖ 3. ἀνεγέρρετον Z. ‖ 5. ἀριθμῶν χίλιον ἀριθμὸν ἢ Z. ‖ ὁποσονοῦν ZM^b. ‖ 7. τ[...] om Z. ‖ 8. δὲ] μὲν P^b. ‖ 9. σκοπουμένους om M^b. ‖ 14. τὸν alterum om M^b. ‖ 18. οὗτοι] οἱ M^b. ‖ χαίρειν ἀποφαίνονται ταύτ[...] M^b. ‖ 22. μὴ] οἱ M^b. ‖ 23. τῆς om M^b. ‖ 38. πρῶτον θεωρήσωμεν om M^b.

8. γὰρ] μὲν γὰρ P^b. ‖ 24. μᾶλλον — ὑγιαίνειν om M^b. ‖ 36. καὶ οἱ μὴ M^b.

Reference to Analytica

κεῖν φιλοσόφου εἶναι τὸ μηθὲν εἰκῇ λέγειν ἀλλὰ
ου, πολλάκις λανθάνουσι λέγοντες ἀλλοτρίους λόγους
ματείας καὶ κενούς. τοῦτο δὲ ποιοῦσιν ὁτὲ μὲν δι'
τὲ δὲ δι' ἀλαζονείαν· ὑφ' ὧν ἁλίσκεσθαι συμ-
ὶ τοὺς ἐμπείρους καὶ δυναμένους πράττειν, ὑπὸ τού-
μήτ' ἐχόντων μήτε δυναμένων διάνοιαν ἀρχιτεκτο-
ρακτικήν. πάσχουσι δὲ τοῦτο δι' ἀπαιδευσίαν·
α γάρ ἐστι περὶ ἕκαστον πρᾶγμα τὸ μὴ δύνασθαι
ς τ' οἰκείους λόγους τοῦ πράγματος καὶ τοὺς ἀλλο-
λῶς δ' ἔχει καὶ τὸ χωρὶς κρίνειν τὸν τῆς αἰτίας
τὸ δεικνύμενον, διά τε τὸ ῥηθὲν ἀρτίως, ὅτι προ-
δεῖ πάντα τοῖς διὰ τῶν λόγων, ἀλλὰ πολλάκις
οῖς φαινομένοις (νῦν δ' ὁπότ' ἂν λύειν μὴ ἔχωσιν,
νται πιστεύειν τοῖς εἰρημένοις), καὶ διότι πολλάκις
πὸ τοῦ λόγου δεδεῖχθαι δοκοῦν ἀληθὲς μέν ἐστιν, οὐ
ὶ ταύτην τὴν αἰτίαν δι' ἥν φησιν ὁ λόγος. ἔστι γὰρ
ους ἀληθὲς δεῖξαι· δῆλον δ' ἐκ τῶν ἀναλυτικῶν.
ροοιμιασμένων δὲ καὶ τούτων, λέγωμεν ἀρξάμενοι
πὸ τῶν πρώτων, ὥσπερ εἴρηται, οὐ σαφῶς λεγο-
ητοῦντες ἐπὶ τὸ σαφῶς εὑρεῖν, τί ἐστιν ἡ εὐδαιμο-
λογεῖται δὴ μέγιστον εἶναι καὶ ἄριστον τοῦτο τῶν
ῶν ἀνθρωπίνων. ἀνθρώπινον δὲ λέγομεν, ὅτι τάχ'
ὶ βελτίονός τινος ἄλλου τῶν ὄντων εὐδαιμονία,
τῶν μὲν γὰρ ἄλλων ζῴων, ὅσα χείρω τὴν φύ-
νθρώπων ἐστίν, οὐθὲν κοινωνεῖ ταύτης τῆς προσηγο-
άρ ἐστιν εὐδαίμων ἵππος οὐδ' ὄρνις οὐδ' ἰχθὺς οὐδ'
ὄντων οὐθέν, ὃ μὴ κατὰ τὴν ἐπωνυμίαν ἐν τῇ
τέχει θείου τινός, ἀλλὰ κατ' ἄλλην τινὰ τῶν ἀγα-
χὴν τὸ μὲν βέλτιον ζῇ τὸ δὲ χεῖρον αὐτῶν. ἀλλ'
ἔχει τὸν τρόπον, ὕστερον ἐπισκεπτέον. νῦν δὲ
ὅτι τῶν ἀγαθῶν τὰ μέν ἐστιν ἀνθρώπῳ πρακτὰ
πρακτά. τοῦτο δὲ λέγομεν οὕτω, διότι ἔνια τῶν ὄν-
μετέχει κινήσεως, ὥστ' οὐδὲ τῶν ἀγαθῶν· καὶ ταῦτ'
α τὴν φύσιν ἐστίν. ἔνια δὲ πρακτὰ μέν, ἀλλὰ
ρείττοσιν ἡμῶν. ἐπειδὴ δὲ διχῶς λέγεται τὸ πρα-
ὶ γὰρ ὧν ἕνεκα πράττομεν καὶ ἃ τούτων ἕνεκα
πράξεως, οἷον καὶ τὴν ὑγίειαν καὶ τὸν πλοῦτον
ῶν πρακτῶν, καὶ τὰ τούτων πραττόμενα χάριν, τά
ὶ καὶ τὰ χρηματιστικά), δῆλον ὅτι καὶ τὴν εὐδαι-
ῶν ἀνθρώπῳ πρακτῶν ἄριστον θετέον.

Σκεπτέον τοίνυν τί τὸ ἄριστον, καὶ λέγεται ποσαχῶς. 8
ἐν τρισὶ δὴ μάλιστα φαίνεται δόξαις εἶναι τοῦτο. φασὶ γὰρ ἄριστον μὲν εἶναι πάντων αὐτὸ τὸ ἀγαθόν, αὐτὸ δ' εἶναι τὸ ἀγαθὸν ᾧ ὑπάρχει τό τε πρώτῳ εἶναι τῶν ἀγαθῶν καὶ τὸ αἰτίῳ τῇ παρουσίᾳ τοῖς ἄλλοις τοῦ ἀγαθὰ εἶναι. ταῦτα δ' ὑπάρχει ἀμφότερα τῇ ἰδέᾳ τἀγαθοῦ, λέγω δὲ ἀμφότερα, τό τε πρῶτον τῶν ἀγαθῶν καὶ τὸ τοῖς ἄλλοις αἴτιον ἀγαθοῖς τῇ παρουσίᾳ τοῦ ἀγαθοῖς εἶναι. μάλιστά τε γὰρ τἀγαθὸν λέγεσθαι κατ' ἐκείνης ἀληθῶς (κατὰ μετοχὴν γὰρ καὶ ὁμοιότητα τἆλλα ἀγαθὰ ἐκείνης εἶναι), καὶ πρῶτον τῶν ἀγαθῶν· ἀναιρουμένου γὰρ τοῦ μετεχομένου ἀναιρεῖσθαι καὶ τὰ μετέχοντα τῆς ἰδέας, ἃ λέγεται τῷ μετέχειν ἐκείνης. τὸ δὲ πρῶτον τοῦτον ἔχειν τὸν τρόπον πρὸς τὸ ὕστερον, ὥστ' εἶναι αὐτὸ τὸ ἀγαθὸν τὴν ἰδέαν τοῦ ἀγαθοῦ· καὶ γὰρ χωριστὴν εἶναι τῶν μετεχόντων, ὥσπερ καὶ τὰς ἄλλας ἰδέας. ἔστι μὲν οὖν τὸ διασκοπεῖν περὶ ταύτης τῆς δόξης ἑτέρας τε διατριβῆς καὶ τὰ πολλὰ λογικωτέρας ἐξ ἀνάγκης· οἱ γὰρ ἅμα ἀναιρετικοί τε καὶ κοινοὶ λόγοι κατ' οὐδεμίαν εἰσὶν ἄλλην ἐπιστήμην. εἰ δὲ δεῖ συντόμως εἰπεῖν περὶ αὐτῶν, λέγομεν ὅτι πρῶτον μὲν τὸ εἶναι ἰδέαν μὴ μόνον ἀγαθοῦ ἀλλὰ καὶ ἄλλου ὁτουοῦν λέγεται λογικῶς καὶ κενῶς· ἐπέσκεπται δὲ πολλοῖς περὶ αὐτοῦ τρόποις καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις καὶ ἐν τοῖς κατὰ φιλοσοφίαν. ἔπειτ' εἰ καὶ ὅτι μάλιστ' εἰσὶν αἱ ἰδέαι καὶ ἀγαθοῦ ἰδέα, μή ποτ' οὐδὲ χρήσιμος πρὸς ζωὴν ἀγαθὴν οὐδὲ πρὸς τὰς πράξεις. πολλαχῶς γὰρ λέγεται καὶ ἰσαχῶς τῷ ὄντι τὸ ἀγαθόν. τό τε γὰρ ὄν, ὥσπερ ἐν ἄλλοις διῄρηται, σημαίνει τὸ μὲν τί ἐστι, τὸ δὲ ποιόν, τὸ δὲ ποσόν, τὸ δὲ πότε, καὶ πρὸς τούτοις τὸ μὲν ἐν τῷ κινεῖσθαι τὸ δὲ ἐν τῷ κινεῖν, καὶ τὸ ἀγαθὸν ἐν ἑκάστῃ τῶν πτώσεών ἐστι τούτων, ἐν οὐσίᾳ μὲν ὁ νοῦς καὶ ὁ θεός, ἐν δὲ τῷ ποιῷ τὸ δίκαιον, ἐν δὲ τῷ ποσῷ τὸ μέτριον, ἐν δὲ τῷ πότε ὁ καιρός, τὸ δὲ διδάσκον καὶ τὸ διδασκόμενον περὶ κίνησιν. ὥσπερ οὖν οὐδὲ τὸ ὂν ἕν τι ἐστὶ περὶ τὰ εἰρημένα, οὕτως οὐδὲ τὸ ἀγαθόν, οὐδὲ ἐπιστήμη ἐστὶ μία οὔτε τοῦ ὄντος οὔτε τοῦ ἀγαθοῦ. ἀλλ' οὐδὲ τὰ ὁμοιοσχημόνως λεγόμενα ἀγαθὰ μιᾶς ἐστὶ θεωρῆσαι, οἷον τὸν καιρὸν ἢ τὸ μέτριον, ἀλλ' ἑτέρα ἕτερον καιρὸν θεωρεῖ καὶ ἑτέρα ἕτερον μέτριον, οἷον περὶ τροφὴν μὲν τὸν καιρὸν καὶ τὸ μέτριον ἰατρικὴ καὶ γυμναστική, περὶ δὲ τὰς πολεμικὰς πράξεις στρατηγία, καὶ οὕτως ἑτέρα περὶ ἑτέραν πρᾶξιν, ὥστε

παρὰ ?

ἄγνοιαν M^b. ‖ 7. πραγματικήν M^b. ‖ 9. τ' et 10. τὸ om M^b. ‖ 18. δὲ om M^b. ‖ 23. βέλτιον M^b. ‖ 34. εἰσίν M^b. ‖
M^b.
ὐτὸ δ' εἶναι τὸ ἀγαθὸν om M^b. ‖ 5. τὸ] τοῦ P^b. ‖ ἀγαθοῦ P^b. ‖ 9. ἐκείνην M^b. ‖ 20. ἰδέαι P^b. ‖ 21. κοινῶς M^b. ‖ 26. τὸ
‖ 31. ὁ om M^b. ‖ 33. τὸ prius om P^b. ‖ 34. πρὸς M^b. ‖ 36. ἐστὶ τὸ θεωρῆσαι P^b. ‖ οἷον] ἢ M^b. ‖ 37. ἑτέρα] ἕτερος
. πρὸς M^b. ‖ 40. ἕτεραι M^b.

πολλαχῶς το αγαθον

σχολῇ αὐτό γε τὸ ἀγαθὸν θεωρῆσαι μιᾶς. ἔτι ἐν ὅσοις ὑπάρχει τὸ πρότερον καὶ ὕϛερον, ὐκ ἔστι κοινόν τι παρὰ ταῦτα, καὶ τῦτο χωριϛόν. εἴη γὰρ ἄν τι τῦ πρώτυ πρότερον· πρότερον γὰρ τὸ κοινὸν καὶ χωριϛὸν διὰ τὸ ἀναιρυμένυ τῦ κοινῦ ἀναιρεῖσθαι τὸ πρῶτον. οἷον εἰ τὸ διπλάσιον πρῶτον τῶν πολλαπλασίων, ὐκ ἐνδέχεται τὸ πολλαπλάσιον τὸ κοινῇ κατηγορύμενον εἶναι χωριϛόν· ἔϛαι γὰρ τοῦ διπλασίου πρότερον, εἰ συμβαίνει τὸ κοινὸν εἶναι τὴν ἰδέαν, οἷον εἰ χωριϛὸν ποιήσειέ τις τὸ κοινόν· εἰ γάρ ἐστι δικαιοσύνη ἀγαθόν, καὶ ἀνδρία. ἔτι τοίνυν φασὶν αὐτό τι ἀγαθόν. τὸ ὖν αὐτὸ πρόσκειται πρὸς τὸν λόγον τὸν κοινόν. τῦτο δὲ τί ἂν εἴη πλὴν ὅτι ἀΐδιον καὶ χωριϛόν; ἀλλ᾽ ὐδὲν μᾶλλον λευκὸν τὸ πολλὰς ἡμέρας λευκὸν τῦ μίαν ἡμέραν, ὥϛ᾽ οὐδὲ δὴ τὸ κοινὸν ἀγαθὸν ταὐτὸ τῇ ἰδέᾳ· πᾶσι γὰρ ὑπάρχει κοινόν. ἀνάπαλιν δὲ καὶ δεικτέον ἢ ὡς νῦν δεικνύουσι τὸ ἀγαθὸν αὐτό. νῦν μὲν γὰρ ἐκ τῶν ὁμολογουμένων ἔχειν τὸ ἀγαθόν, ἐξ ἐκείνων τὰ ὁμολογούμενα εἶναι ἀγαθὰ δεικνύυσιν, ἐξ ἀριθμῶν, ὅτι ἡ δικαιοσύνη καὶ ἡ ὑγίεια ἀγαθόν· τάξεις γὰρ καὶ ἀριθμοί, ὡς τοῖς ἀριθμοῖς καὶ ταῖς μονάσιν ἀγαθὸν ὑπάρχον διὰ τὸ εἶναι τὸ ἓν αὐτὸ ἀγαθόν. δεῖ δ᾽ ἐκ τῶν ὁμολογυμένων, οἷον ὑγιείας ἰσχύος σωφροσύνης, ὅτι καὶ ἐν τοῖς ἀκινήτοις μᾶλλον τὸ καλόν. πάντα γὰρ τάδε τάξις καὶ ἠρεμία· εἰ ἄρα, ἐκεῖνα μᾶλλον· ἐκείνοις γὰρ ὑπάρχει αὐτὰ μᾶλλον. παράβολος δὲ καὶ ἡ ἀπόδειξις ὅτι τὸ ἓν αὐτὸ τὸ ἀγαθόν, ὅτι οἱ ἀριθμοὶ ἐφίενται· οὔτε γὰρ ὡς ἐφίενται λέγονται φανερῶς, ἀλλὰ λίαν ἁπλῶς τοῦτό φασι, καὶ ὄρεξιν εἶναι πῶς ἄν τις ὑπολάβοι ἐν οἷς ζωὴ μὴ ὑπάρχει; δεῖ δὲ περὶ τούτυ πραγματευθῆναι, καὶ μὴ ἀξιῦν μηθὲν ἀλόγως, ἃ καὶ μετὰ λόγυ πιστεῦσαι οὐ ῥᾴδιον. τό τε φάναι πάντα τὰ ὄντα ἐφίεσθαι ἑνός τινος ἀγαθῦ ὐκ ἀληθές· ἕκαστον γὰρ ἰδίου ἀγαθῦ ὀρέγεται, ὀφθαλμὸς ὄψεως, σῶμα ὑγιείας, οὕτως ἄλλο ἄλλυ. ὅτι μὲν ὖν οὐκ ἔστιν αὐτό τι ἀγαθόν, ἔχει ἀπορίας τοιαύτας, καὶ ὅτι ὐ χρήσιμον τῇ πολιτικῇ, ἀλλ᾽ ἴδιόν τι ἀγαθόν, ὥσπερ καὶ ταῖς ἄλλαις, οἷον γυμναϛικῇ εὐεξία. ἔτι καὶ τὸ ἐν τῷ λόγῳ γεγραμμένον· ἢ γὰρ ὐδεμιᾷ χρήσιμον αὐτὸ τὸ τῦ ἀγαθῦ εἶδος, ἢ πάσαις ὁμοίως. ἔτι ὐ πρακτόν. ὁμοίως δ᾽ ὐδὲ τὸ κοινὸν ἀγαθὸν ὔτε αὐτὸ ἀγαθόν ἐστιν (καὶ γὰρ ἂν μικρῷ ὑπάρξαι ἀγαθ πρακτόν· οὐ γὰρ ὅπως ὑπάρξει τὸ ὁτῳοῦν ὑπι ἰατρικὴ πραγματεύεται, ἀλλ᾽ ὅπως ὑγίεια. ὁμοίως τῶν ἄλλων τεχνῶν ἑκάϛη. ἀλλὰ πολλαχῶς τὸ καὶ ἔϛι τι αὐτῦ καλόν, καὶ τὸ μὲν πρακτὸν τὸ δ κτόν. πρακτὸν δὲ τὸ τοιῦτον ἀγαθόν, τὸ ὖ ἕνεκα. δὲ τὸ ἐν τοῖς ἀκινήτοις φανερόν, ὅτι ὐδὲ ἡ ἰδέα τὸ ζητύμενον αὐτὸ τὸ ἀγαθόν ἐϛιν, ὔτε τὸ κοινόν. γὰρ ἀκίνητον καὶ οὐ πρακτόν, τὸ δὲ κινητὸν μὲν πρακτόν. τὸ δ᾽ ὖ ἕνεκα ὡς τέλος ἄριϛον καὶ αἰ ὑφ᾽ αὐτὸ καὶ πρῶτον πάντων. ὥϛε τῦτ᾽ ἂν εἴη ἀγαθὸν τὸ τέλος τῶν ἀνθρώπῳ πρακτῶν. τοῦτο δ᾽ ὑπὸ τὴν κυρίαν πασῶν. αὕτη δ᾽ ἐϛὶ πολιτικὴ καὶ μικὴ καὶ φρόνησις. διαφέρουσι γὰρ αὗται αἱ ἕξ τὰς ἄλλας τῷ τοιαῦται εἶναι· πρὸς δ᾽ ἀλλήλας εἰ φέρυσιν, ὕϛερον λεκτέον. ὅτι δ᾽ αἴτιον τὸ τέλος τ αὐτό, δηλοῖ ἡ διδασκαλία. ὁριϛάμενοι γὰρ τὸ τέλος δεικνύυσιν, ὅτι ἕκαϛον αὐτῶν ἀγαθόν· αἴτιον γὰρ ἕνεκα. οἷον ἐπειδὴ τὸ ὑγιαίνειν τοδί, ἀνάγκη τ τὸ συμφέρον πρὸς αὐτήν· τὸ δ᾽ ὑγιεινὸν τῆς ὑγιεία ὡς κινῆσαν, καὶ τότε τοῦ εἶναι, ἀλλ᾽ οὐ τὸ ἀγαθ τὴν ὑγίειαν. ἔτι ὐδὲ δείκνυσιν ὐθεὶς ὅτι ἀγαθὸν ἡ ἂν μὴ σοφιϛὴς ᾖ καὶ μὴ ἰατρός (ὗτοι γὰρ τοῖς ἀλ λόγοις σοφίζονται), ὥσπερ ὐδ᾽ ἄλλην ἀρχὴν ὐδεμί δ᾽ ὡς τέλος ἀγαθὸν ἀνθρώπῳ καὶ τὸ ἄριϛον τῶν πρ σκεπτέον ποσαχῶς τὸ ἄριϛον πάντων, ἐπειδὴ τῦτο μετὰ ταῦτα ἄλλην λαβῦσιν ἀρχήν.

B.

Μετὰ δὲ ταῦτ᾽ ἄλλην λαβῦσιν ἀρχὴν περὶ τ μένων λεκτέον. πάντα δὴ τἀγαθὰ ἢ ἐκτὸς ἢ ἐ καὶ τύτων αἱρετώτερα τὰ ἐν τῇ ψυχῇ, καθάπερ δια καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις· φρόνησις γὰρ καὶ καὶ ἡδονὴ ἐν ψυχῇ, ὧν ἔνια ἢ πάντα τέλος εἶνα πᾶσιν. τῶν δὲ ἐν ψυχῇ τὰ μὲν ἕξεις ἢ δυνάμεις ε δ᾽ ἐνέργειαι καὶ κινήσεις. ταῦτα δὴ ὕτως ὑποκείσθ περὶ ἀρετῆς, ὅτι ἐϛὶν ἡ βελτίϛη διάθεσις ἢ ἕξις ἢ δ

δι

1. σχολῆς M^b. ‖ 2. καὶ] καὶ τὸ M^b. ‖ 6. πολλαπλάσιον] πλάσιον M^b. ‖ 9. τι P^b. ‖ 10. ἔϛι τοίνυν αὐτό φασί τι M^b. ‖ 1 M^b. ‖ 15. ἢ ὡς] πῶς codices. ‖ 16. δείκνυσι M^b. ‖ 19. ἡ om M^b. ‖ ἀγαθά M^b. ‖ 23. τάξεις P^b. ‖ 24. ταῦτα P^b. ‖ 25. οἱ M^b. ‖ 26. ἀφίενται — ἀφίενται M^b. ‖ 27. τοῦτο γρ P^b, τότε M^bP^b. ‖ 32. ὄψεως] ὄντος M^b. ‖ 36. ἀξία pr M^b.

1. τἀγαθόν γρ P^b. ‖ 1 et 2. ὑπάρξῃ M^b. ‖ 2. ἡ om M^b. ‖ 4. ποσαχῶς M^b. ‖ 11. τύτων M^b. ‖ 12. ἀνθρωποπρακτῶν M^b. γὰρ] δὲ M^b. ‖ 15. τοιαύτας M^b. ‖ 16. τοῖς P^b. ‖ 18. τῦ M^b. ‖ 19. τὸ corr P^b, τοῦ M^b. ‖ 20. ὑγιαίνειν M^b. ‖ 22. ἐπι δεικνύυσιν ὐθ᾽ ὅτι M^b. ‖ ἡ om P^b. ‖ 32. ἐν om P^b et pr M^b. ‖ 35. ὧν] ὧν ἢ P^b.

ἕξις — χρῆσις
Induction

, ὅσων ἐςί τις χρῆσις ἢ ἔργον. δῆλον δ' ἐκ τῆς
ῆς· ἐπὶ πάντων γὰρ ὕτω τίθεμεν. οἷον ἱματίυ ἀρετή
ὶ γὰρ ἔργον τι καὶ χρῆσίς ἐςιν, καὶ ἡ βελτίςη ἕξις
ίυ ἀρετή ἐςιν. ὁμοίως δὲ καὶ πλοίυ καὶ οἰκίας καὶ
λων. ὥστε καὶ ψυχῆς· ἔστι γάρ τι ἔργον αὐτῆς.
βελτίονος δὴ ἕξεως ἔςω βέλτιον τὸ ἔργον· καὶ ὡς
αἱ ἕξεις πρὸς ἀλλήλας, ὕτω καὶ τὰ ἔργα τὰ ἀπὸ
τρὸς ἄλληλα ἐχέτω. καὶ τέλος ἑκάστου τὸ ἔργον.
τοίνυν ἐκ τύτων ὅτι βέλτιον τὸ ἔργον τῆς ἕξεως·
τέλος ἄριστον ὡς τέλος· ὑπόκειται γὰρ τέλος τὸ
ν καὶ τὸ ἔσχατον, ὗ ἕνεκα τἆλλα πάντα. ὅτι μὲν
ὸ ἔργον βέλτιον τῆς ἕξεως καὶ τῆς διαθέσεως, δῆ-
λλὰ τὸ ἔργον λέγεται διχῶς· τῶν μὲν γάρ ἐστιν
ι τὸ ἔργον παρὰ τὴν χρῆσιν, οἷον οἰκοδομικῆς οἰκία
οἰκοδόμησις· καὶ ἰατρικῆς ὑγίεια ἀλλ' ὐχ ὑγίασις
ρευσις, τῶν δ' ἡ χρῆσις ἔργον, οἷον ὄψεως ὅρασις
ημματικῆς ἐπιςήμης θεωρία. ὥς' ἀνάγκη, ὧν ἔργον
ς, τὴν χρῆσιν βέλτιον εἶναι τῆς ἕξεως. τύτων δὲ
τὸν τρόπον διωρισμένων, λέγομεν ὅτι τὸ ἔργον τοῦ
τος καὶ τῆς ἀρετῆς, ἀλλ' ὐχ ὡσαύτως, οἷον σκυ-
ῆς καὶ σκυτεύσεως ὑπόδημα. εἰ δή τις ἐςὶν ἀρετὴ
; καὶ σπουδαίου σκυτέως, τὸ ἔργον ἐστὶ σπουδαῖον
ι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἔτι
χῆς ἔργον τὸ ζῆν ποιεῖν, τῦ δὲ χρῆσις καὶ ἐγρή-
ὁ γὰρ ὕπνος ἀργία τις καὶ ἡσυχία. ὥς' ἐπεὶ τὸ
νάγκη ἓν καὶ ταὐτὸ εἶναι τῆς ψυχῆς καὶ τῆς ἀρε-
ον ἂν εἴη τῆς ἀρετῆς ζωὴ σπυδαία. τῦτ' ἄρ' ἐςὶ τὸ
ἀγαθόν, ὅπερ ἦν ἡ εὐδαιμονία. δῆλον δὲ ἐκ τῶν
ένων. ἦν μὲν γὰρ ἡ εὐδαιμονία τὸ ἄριςον, τὰ δὲ
ψυχῇ καὶ τὰ ἄριστα τῶν ἀγαθῶν, αὐτὴ δὲ ἢ
ἐνέργεια. ἐπεὶ βέλτιον ἡ ἐνέργεια τῆς διαθέσεως,
βελτίστης ἕξεως ἡ βελτίςη ἐνέργεια, ἡ δ' ἀρετὴ
ι ἕξις, τῆς ἀρετῆς ἐνέργεια ἢ τῆς ψυχῆς ἄριςον
ν δὲ καὶ ἡ εὐδαιμονία τὸ ἄριστον· ἔστιν ἄρα ἡ
ία ψυχῆς ἀγαθῆς ἐνέργεια. ἐπεὶ δὲ ἦν ἡ εὐδαι-
λεόν τι, καὶ ἔςι ζωὴ καὶ τελέα καὶ ἀτελής, καὶ
ταύτως (ἡ μὲν γὰρ ὅλη, ἡ δὲ μόριον), ἡ δὲ τῶν
ἐνέργεια ἀτελής, εἴη ἂν ἡ εὐδαιμονία ζωῆς τελείας
κατ' ἀρετὴν τελείαν. [ὅτι δὲ τὸ γένος καὶ τὸν ὅρον
έγομεν καλῶς, μαρτύρια τὰ δοκῦντα πᾶσιν ἡμῖν.

τό τε γὰρ εὖ πράττειν καὶ τὸ εὖ ζῆν τὸ αὐτὸ τῷ εὐδαιμονεῖν, ὧν ἕκαστον χρῆσίς ἐστι καὶ ἐνέργεια, καὶ ἡ ζωὴ καὶ ἡ πρᾶξις. καὶ γὰρ ἡ πρακτικὴ χρηςική ἐςιν· ὁ μὲν γὰρ χαλκεὺς ποιεῖ χαλινόν, χρῆται δ' ὁ ἱππικός. καὶ τὸ μήτε μίαν ἡμέραν εἶναι εὐδαίμονα μήτε παῖδα μήθ' ἡλικίαν πᾶσαν, διὸ καὶ τὸ Σόλωνος ἔχει καλῶς, τὸ μὴ ζῶντ' εὐδαιμονίζειν, ἀλλ' ὅταν λάβῃ τέλος· οὐθὲν γὰρ ἀτελὲς εὔδαιμον· οὐ γὰρ ὅλον. ἔτι δ' οἱ ἔπαινοι τῆς ἀρετῆς διὰ τὰ ἔργα, καὶ τὰ ἐγκώμια τῶν ἔργων. καὶ ςεφανῦνται οἱ νικῶντες, ἀλλ' ὐχ οἱ δυνάμενοι νικᾶν, μὴ νικῶντες δέ. καὶ τὸ κρίνειν ἐκ τῶν ἔργων ὁποῖός τις ἐστίν. ἔτι διὰ τί ἡ εὐδαιμονία οὐκ ἐπαινεῖται; ὅτι διὰ ταύτην τἆλλα, ἢ τῷ εἰς ταύτην ἀναφέρεσθαι ἢ τῷ μόρια εἶναι αὐτῆς. διὸ ἕτερον εὐδαιμονισμὸς καὶ ἔπαινος καὶ ἐγκώμιον· τὸ μὲν γὰρ ἐγκώμιον λόγος τῦ καθ' ἕκαςον ἔργυ, ὁ δ' ἔπαινος τοιῦτον εἶναι καθόλυ, ὁ δ' εὐδαιμονισμὸς τέλος. καὶ τὸ ἀπορύμενον δ' ἐνίοτε δῆλον ἐκ τύτων, διὰ τί ποτ' ὐθὲν βελτίυς οἱ σπυδαῖοι τῶν φαύλων τὸν ἥμισυν τῦ βίυ· ὅμοιοι γὰρ καθεύδοντες πάντες. αἴτιον δ' ὅτι ἀργία ψυχῆς ὁ ὕπνος, ἀλλ' οὐκ ἐνέργεια. διὸ καὶ ἄλλο εἴ τι μόριόν ἐςι ψυχῆς, οἷον τὸ θρεπτικόν, ἡ τύτυ ἀρετὴ ὐκ ἔςι μόριον τῆς ὅλης ἀρετῆς, ὥσπερ ὐδ' ἡ τῦ σώματος· ἐν τῷ ὕπνῳ γὰρ μᾶλλον ἐνεργεῖ τὸ θρεπτικόν, τὸ δ' αἰσθητικὸν καὶ ὀρεκτικὸν ἀτελῆ ἐν τῷ ὕπνῳ. ὅσον δὲ τῦ μὴ κινεῖσθαι μετέχυσι, καὶ αἱ φαντασίαι βελτίυς αἱ τῶν σπυδαίων, ἐὰν μὴ διὰ νόσον ἢ πήρωσιν. [μετὰ ταῦτα περὶ ψυχῆς θεωρητέον· ἡ γὰρ ἀρετὴ ψυχῆς, οὐ κατὰ συμβεβηκός. ἐπεὶ δ' ἀνθρωπίνην ἀρετὴν ζητῦμεν, ὑποκείσθω δύο μέρη ψυχῆς τὰ λόγυ μετέχοντα, οὐ τὸν αὐτὸν δὲ τρόπον μετέχειν λόγου ἄμφω, ἀλλὰ τὸ μὲν τῷ ἐπιτάττειν, τὸ δὲ τῷ πείθεσθαι καὶ ἀκύειν πεφυκέναι· εἰ δέ τι ἐςὶν ἑτέρως ἄλογον, ἀφείσθω τῦτο τὸ μόριον. διαφέρει δ' ὐθὲν ὔτ' εἰ μεριςὴ ἡ ψυχὴ ὔτ' εἰ ἀμερής, ἔχει μέντοι δυνάμεις διαφόρυς καὶ τὰς εἰρημένας, ὥσπερ ἐν τῷ καμπύλῳ τὸ κοῖλον καὶ τὸ κυρτὸν ἀδιαχώριστον, καὶ τὸ εὐθὺ καὶ τὸ λευκόν· καίτοι τὸ εὐθὺ οὐ λευκόν, ἀλλὰ κατὰ συμβεβηκός, καὶ ὐκ ὐσία τῦ αὐτῦ. ἀφῄρηται δὲ καὶ εἴ τι ἄλλο ἐςὶ μέρος ψυχῆς, οἷον τὸ φυσικόν. ἀνθρωπίνης δὲ ψυχῆς τὰ εἰρημένα μόρια ἴδια. διὸ οὐδ' αἱ ἀρεταὶ αἱ τῦ θρεπτικῦ καὶ ὀρεκτικῦ ἀνθρώπυ· δεῖ γάρ, εἰ ἢ ἄνθρωπος, λογισμὸν ἐνεῖναι καὶ ἀρχὴν καὶ πρᾶξιν, ἀρ-

Soul whe[ther] divisible, indivisible
convex & concave

ὰρ om M^b. ‖ 4. καὶ τῦ πλοίυ M^b. ‖ 10. ὑπέκειτο P^b, ὑπέρκειται Z. ‖ 15. ὑγίανσις pr P^b. ‖ 16. ὄψεως om M^b. ‖ 23.
‖ 28. τέλεοι] πλέον codices. ‖ 30. αὕτη P^b. ‖ 33. ἡ P^b. ‖ 36. τελεία M^b.
πράσσειν M^b. ‖ τὸ post ζῆν om M^b. ‖ 20. ἐςι τῆς ψυχῆς P^b. ‖ 31. τι om P^b. ‖ 34. τὸ ante κοῖλον om M^b. ‖ 35. καί-
κόν om M^b. ‖ 36. ὐκ om M^b.

χει δ' ὁ λογισμὸς ὐ λογισμῶ ἀλλ' ὀρέξεως καὶ παθημάτων· ἀνάγκη ἄρα ταῦτ' ἔχειν τὰ μέρη. καὶ ὥσπερ ἡ εὐεξία σύγκειται ἐκ τῶν κατὰ μόριον ἀρετῶν, ὕτω καὶ ἡ τῆς ψυχῆς ἀρετὴ ᾗ τέλος. ἀρετῆς δ' εἴδη δύο, ἡ μὲν ἠθικὴ ἡ δὲ διανοητική. ἐπαινῦμεν γὰρ ὐ μόνον τὺς δικαίυς, ἀλλὰ καὶ τὺς συνετὺς καὶ τὺς σοφύς· ἐπαινετὸν γὰρ ὑπέκειτο ἡ ἀρετὴ ἢ τὸ ἔργον, ταῦτα δ' ὐκ ἐνεργεῖ, ἀλλ' εἰσὶν αὐτῶν ἐνέργειαι. ἐπεὶ δ' αἱ διανοητικαὶ μετὰ λόγου, αἱ μὲν τοιαῦται τῦ λόγον ἔχοντος, ὃ ἐπιτακτικόν ἐςι τῆς ψυχῆς ᾗ λόγον ἔχει, αἱ δ' ἠθικαὶ τῦ ἀλόγυ μέν, ἀκολυθητικοῦ δὲ κατὰ φύσιν τῷ λόγον ἔχοντι· οὐ γὰρ λέγομεν ποῖός τις τὸ ἦθος, ὅτι σοφὸς ἢ δεινός, ἀλλ' ὅτι πρᾶος ἢ θρασύς. μετὰ ταῦτα σκεπτέον πρῶτον περὶ ἀρετῆς ἠθικῆς, τί ἐςι, καὶ ποῖα μόρια αὐτῆς, εἰς τῦτο γὰρ ἀνῆκται, καὶ γίνεται διὰ τίνων. δεῖ δὴ ζητεῖν ὥσπερ ἐν τοῖς ἄλλοις ἔχοντές τι ζητοῦσι πάντες, ὥστε δεῖ διὰ τῶν ἀληθῶς μὲν λεγομένων ὐ σαφῶς δὲ πειρᾶσθαι λαβεῖν καὶ τὸ ἀληθῶς καὶ σαφῶς. νῦν γὰρ ὁμοίως ἔχομεν ὥσπερ ἂν εἰ καὶ ὑγίειαν, ὅτι ἡ ἀρίςη διάθεσις τῦ σώματος, καὶ Κορίσκος ὁ τῶν ἐν τῇ ἀγορᾷ μελάντατος· τί μὲν γὰρ ἑκάτερον τύτων ὐκ ἴσμεν, πρὸς μέντοι τὸ εἰδέναι τί ἑκάτερον αὐτῆς πρὸ ἔργυ τὸ ὕτως ἔχειν. ὑποκείσθω δὴ πρῶτον ἡ βελτίςη διάθεσις ὑπὸ τῶν βελτίςων γίγνεσθαι, καὶ πράττεσθαι ἄριςα περὶ ἕκαςον ἀπὸ τῆς ἑκάστου ἀρετῆς, οἷον πόνοι τε ἄριςοι καὶ τροφὴ ἀφ' ὧν γίνεται εὐεξία, καὶ ἀπὸ τῆς εὐεξίας πονῦσιν ἄριςα. ἔτι πᾶσαν διάθεσιν ὑπὸ τῶν αὐτῶν γίγνεσθαι καὶ φθείρεσθαί πως προσφερομένων, ὥσπερ ὑγίεια ὑπὸ τροφῆς καὶ πόνων καὶ ὥρας. ταῦτα δὲ δῆλα ἐκ τῆς ἐπαγωγῆς. καὶ ἡ ἀρετὴ ἄρα ἡ τοιαύτη διάθεσίς ἐςιν, ἣ γίνεταί τε ὑπὸ τῶν ἀρίςων περὶ ψυχὴν κινήσεων καὶ ἀφ' ἧς πράττεται τὰ ἄριςα τῆς ψυχῆς ἔργα καὶ πάθη, καὶ ὑπὸ τῶν αὐτῶν πῶς μὲν γίνεται πῶς δὲ φθείρεται. πρὸς ταῦτα ἡ χρῆσις αὐτῆς ὑφ' ὧν καὶ αὔξεται καὶ φθείρεται, πρὸς ἃ βέλτιστα διατίθησιν. σημεῖον δ' ὅτι περὶ ἡδέα καὶ λυπηρὰ καὶ ἡ ἀρετὴ καὶ ἡ κακία· αἱ γὰρ κολάσεις ἰατρεῖαι οὖσαι καὶ γινόμεναι διὰ τῶν ἐναντίων, καθάπερ ἐπὶ τῶν ἄλλων, διὰ τούτων εἰσίν.

2 Ὅτι μὲν τοίνυν ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδέα καὶ λυπηρά ἐςι, δῆλον. ἐπεὶ δ' ἐςὶ τὸ ἦθος ὥσπερ καὶ τὸ ὄνομα σημαίνει ὅτι ἀπὸ ἔθυς ἔχει τὴν ἐπίδοσιν, ἐθίζεται δὲ ἀγωγῆς μὴ ἐμφύτυ τῷ πολλάκις κινεῖσθαί πως, ὕ[...] τὸ ἐνεργητικόν. ὃ ἐν τοῖς ἀψύχοις ὐχ ὁρῶμεν· οὐ[...] ἂν μυριάκις ῥίψῃς ἄνω τὸν λίθον, ὐδέποτε ποιήσει τ[...] βίᾳ. διὸ ἔςω ἦθος τῦτο ψυχῆς κατὰ ἐπιτακτικὸν [...] δυναμένυ δ' ἀκολυθεῖν τῷ λόγῳ ποιότης. λεκτέον δ[...] τί τῆς ψυχῆς ποῖ' ἄττα ἤθη. ἔςαι δὲ κατά τε τὰ[ς ...]μεις τῶν παθημάτων, καθ' ἃς ὡς παθητικοὶ λέγοντ[...] κατὰ τὰς ἕξεις, καθ' ἃς πρὸς τὰ πάθη ταῦτα λέγο[...] πάσχειν πῶς ἢ ἀπαθεῖς εἶναι. μετὰ ταῦτα ἡ διαί[...] τοῖς ἀπηλλαγμένοις τῶν παθημάτων καὶ τῶν δυνάμ[...] τῶν ἕξεων. λέγω δὲ πάθη μὲν τὰ τοιαῦτα, θυμὸν [...] αἰδῶ ἐπιθυμίαν, ὅλως οἷς ἕπεται ὡς ἐπὶ τὸ πολὺ ἡ [...]τικὴ ἡδονὴ ἢ λύπη καθ' αὑτά. καὶ κατὰ μὲν τα[...] ἐςι ποιότης, ἀλλὰ πάσχει, κατὰ δὲ τὰς δυνάμεις [...] λέγω δὲ τὰς δυνάμεις καθ' ἃς λέγονται κατὰ τὰ [...] ἐνεργοῦντες, οἷον ὀργίλος ἀνάλγητος ἐρωτικὸς αἰσχ[...] ἀναίσχυντος. ἕξεις δέ εἰσιν ὅσαι αἰτιαί εἰσι τῦ τ[...] κατὰ λόγον ὑπάρχειν ἢ ἐναντίως, οἷον ἀνδρία σωφ[...] δειλία ἀκολασία.

Διωρισμένων δὲ τύτων, ληπτέον ὅτι ἐν ἅπαντι [...]χεῖ καὶ διαιρετῷ ἐστὶν ὑπεροχὴ καὶ ἔλλειψις καὶ [...] καὶ ταῦτα ἢ πρὸς ἄλληλα ἢ πρὸς ἡμᾶς, οἷον ἐν γ[...]στικῇ, ἐν ἰατρικῇ, ἐν οἰκοδομικῇ, ἐν κυβερνητικῇ, [...] ὁποιᾳοῦν πράξει, καὶ ἐπιςημονικῇ καὶ ἀνεπιςημονικῇ [...] τεχνικῇ καὶ ἀτέχνῳ. ἡ μὲν γὰρ κίνησις συνεχές, [...] πρᾶξις κίνησις. ἐν πᾶσι δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς [...]τιςον· τῦτο γάρ ἐςιν ὡς ἡ ἐπιςήμη κελεύει καὶ ὁ [...] πανταχῦ δὲ τῦτο καὶ ποιεῖ τὴν βελτίςην ἕξιν. καὶ [...] δῆλον διὰ τῆς ἐπαγωγῆς καὶ τοῦ λόγυ. τὰ γὰρ ἐ[...] φθείρει ἄλληλα, τὰ δ' ἄκρα καὶ ἀλλήλοις καὶ τῷ [...] ἐναντία· τὸ γὰρ μέσον ἑκάτερον πρὸς ἑκάτερόν ἐστ[...] τὸ ἴσον τῦ μὲν ἐλάττονος μεῖζον, τῦ μείζονος δὲ ἔλ[...] ὥστ' ἀνάγκη τὴν ἠθικὴν ἀρετὴν περὶ μέσ' ἄττα εἶν[...] μεσότητά τινα. ληπτέον ἄρα ἡ ποία μεσότης ἀρετὴ [...] περὶ ποῖα μέσα. εἰλήφθω δὴ παραδείγματος χάρ[ιν ...] θεωρείσθω ἕκαστον ἐκ τῆς ὑπογραφῆς.

ὀργιλότης	ἀναλγησία	πραότης.
θρασύτης	δειλία	ἀνδρία.

2. τοῦτ' om M^b. ‖ 11. δὲ om P^b. ‖ 14. μοῖρα M^b. ‖ 20. τῶν om M^b. ‖ 21. αὐτοῖν corr M^b. ‖ 33. πρὸς] πως P^b. ‖ καὶ ante ἡ ἀρετὴ om P^b.

1. ἀπόδοσιν M^b. ‖ 2. ἐκφύτυ τὸ M^b. ‖ 3. ὃ] καὶ P^b. ‖ ταῖς ψυχαῖς M^b. ‖ 5. τῦτο ἦθος M^b. ‖ 7. ἔςι P^b. ‖ 9. καθ'] κα[...] P^b. ‖ λέγονται ταῦτα M^b. ‖ 11. ἀπηλεγμένοις M^b, ἀπηλαγμένοις P^b. ‖ 14. ἡ] ἢ ἡ P^b. ‖ 15. ἀλλὰ — ποιότης om M^b. ‖ 3[...] τῷ μέσῳ καὶ ἀλλήλοις M^b.

7. συκοφαντίαι λογικαὶ τῶν τεχνῶν

ἀναισχυντία	κατάπληξις	αἰδώς.
ἀκολασία	ἀναισθησία	σωφροσύνη.
φθόνος	ἀνώνυμον	νέμεσις.
κέρδος	ζημία	δίκαιον.
ἀσωτία	ἀνελευθερία	ἐλευθεριότης.
ἀλαζονεία	εἰρωνεία	ἀλήθεια.
κολακεία	ἀπέχθεια	φιλία.
ἀρέσκεια	αὐθάδεια	σεμνότης.
τρυφερότης	κακοπάθεια	καρτερία.
χαυνότης	μικροψυχία	μεγαλοψυχία.
δαπανηρία	μικροπρέπεια	μεγαλοπρέπεια.
πανουργία	εὐήθεια	φρόνησις.

τὰ μὲν πάθη ταῦτα καὶ τοιαῦτα συμβαίνει ταῖς ψυχαῖς, πάντα δὲ λέγεται τὰ μὲν τῷ ὑπερβάλλειν τὰ δὲ τῷ ἐλλείπειν. ὀργίλος μὲν γάρ ἐςιν ὁ μᾶλλον ἢ δεῖ ὀργιζόμενος καὶ θᾶττον καὶ πλείοσιν ἢ οἷς δεῖ, ἀνάλγητος δὲ ὁ ἐλλείπων καὶ οἷς καὶ ὅτε καὶ ὥς· καὶ θρασὺς μὲν ὁ μήτε ἃ χρὴ φοβούμενος μήθ' ὅτε μήθ' ὥς, δειλὸς δὲ ὁ καὶ ἃ μὴ δεῖ καὶ ὅτ' οὐ δεῖ καὶ ὡς οὐ δεῖ. ὁμοίως δὲ καὶ ἀκόλαςος καὶ ὁ ἐπιθυμητικὸς καὶ ὁ ὑπερβάλλων πᾶσιν ὅσοις ἐνδέχεται, ἀναίσθητος δὲ ὁ ἐλλείπων καὶ μηδ' ὅσον βέλτιον καὶ κατὰ τὴν φύσιν ἐπιθυμῶν, ἀλλ' ἀπαθὴς ὥσπερ λίθος. κερδαλέος δὲ ὁ πανταχόθεν πλεονεκτικός, ζημιώδης δὲ ὁ μηδαμόθεν ἀλλ' ὀλιγαχόθεν. ἀλαζὼν δὲ ὁ πλείω τῶν ὑπαρχόντων προσποιούμενος, εἴρων δὲ ὁ ἐλάττω. καὶ κόλαξ μὲν ὁ πλείω συνεπαινῶν ἢ καλῶς ἔχει, ἀπεχθητικὸς δὲ ὁ ἐλάττω. καὶ τὸ μὲν λίαν πρὸς ἡδονὴν ἀρέσκεια, τὸ δ' ὀλίγα καὶ μόγις αὐθάδεια. ἔτι δ' ὁ μὲν μηδεμίαν ὑπομένων λύπην, μηδ' εἰ βέλτιον, τρυφερός· ὁ δὲ πᾶσαν ὁμοίως ὡς μὲν ἁπλῶς εἰπεῖν ἀνώνυμος, μεταφορᾷ δὲ λέγεται σκληρὸς καὶ ταλαίπωρος καὶ κακοπαθητικός. χαῦνος δ' ὁ μειζόνων ἀξιῶν αὑτόν, μικρόψυχος δ' ὁ ἐλαττόνων. ἔτι δ' ἄσωτος μὲν ὁ πρὸς ἅπασαν δαπάνην ὑπερβάλλων, ἀνελεύθερος δὲ ὁ πρὸς ἅπασαν ἐλλείπων. ὁμοίως δὲ καὶ ὁ μικροπρεπὴς καὶ ὁ σαλάκων· ὁ μὲν γὰρ ὑπερβάλλει τὸ πρέπον, ὁ δ' ἐλλείπει τοῦ πρέποντος. καὶ ὁ μὲν πανοῦργος πάντως καὶ πάντοθεν πλεονεκτικός, ὁ δ' εὐήθης οὐδ' ὅθεν δεῖ. φθονερὸς δὲ τῷ λυπεῖσθαι ἐπὶ πλείοσιν εὐπραγίαις ἢ δεῖ· καὶ γὰρ οἱ ἄξιοι εὖ πράττειν λυποῦσι τοὺς φθονεροὺς εὖ πράττοντες. ὁ δ' ἐναντίος ἀνωνυμώτερος, ἔςι δ' ὁ ὑπερβάλλων ἐπὶ τῷ μὴ λυπεῖσθαι μηδ' ἐπὶ τοῖς ἀναξίοις εὖ πράττουσιν, ἀλλ' εὐχερὴς ὥσπερ οἱ γαςρίμαργοι πρὸς τροφήν· ὁ δὲ δυσχερὴς κατὰ τὸν φθόνον ἐστίν. τὸ δὲ πρὸς ἕκαςον μὴ κατὰ συμβεβηκὸς οὕτως ἔχειν περίεργον διορίζειν· οὐδεμία γὰρ ἐπιςήμη, οὔτε θεωρητικὴ οὔτε ποιητική, οὔτε λέγει οὔτε πράττει τοῦτο προσδιορίζουσα, ἀλλὰ τοῦτ' ἐςὶ πρὸς τὰς συκοφαντίας τῶν τεχνῶν τὰς λογικάς. ἁπλῶς μὲν οὖν διωρίσθω τὸν τρόπον τοῦτον, ἀκριβέςερον δ', ὅταν περὶ τῶν ἕξεων λέγωμεν τῶν ἀντικειμένων. αὐτῶν δὲ τούτων τῶν παθημάτων εἴδη κατονομάζεται τῷ διαφέρειν κατὰ τὴν ὑπερβολὴν ἢ χρόνου ἢ τοῦ μᾶλλον ἢ πρός τι τῶν ποιούντων τὰ πάθη. λέγω δ', οἷον ὀξύθυμος μὲν τῷ θᾶττον πάσχειν ἢ δεῖ, χαλεπὸς δὲ καὶ θυμώδης τῷ μᾶλλον, πικρὸς δὲ τῷ φυλακτικὸς εἶναι τῆς ὀργῆς, πλήκτης δὲ καὶ λοιδορητικὸς ταῖς κολάσεσι ταῖς ἀπὸ τῆς ὀργῆς. ὀψοφάγοι δὲ καὶ γαςρίμαργοι καὶ οἰνόφλυγες τῷ πρὸς ὁποτέρας τροφῆς ἀπόλαυσιν ἔχειν τὴν δύναμιν παθητικὴν παρὰ τὸν λόγον. οὐ δεῖ δ' ἀγνοεῖν ὅτι ἔνια τῶν λεγομένων οὐκ ἔςιν ἐν τῷ πῶς λαμβάνειν, ἂν πως λαμβάνηται τῷ μᾶλλον πάσχειν, οἷον μοιχὸς οὐ τῷ μᾶλλον ἢ δεῖ πρὸς τὰς γαμετὰς πλησιάζειν· οὐ γάρ ἐςιν· ἀλλὰ μοχθηρία τις αὕτη δή ἐστιν· συνειλημμένον γὰρ τό τε πάθος λέγεται καὶ τὸ τοιόνδε εἶναι. ὁμοίως δὲ καὶ ἡ ὕβρις. διὸ καὶ ἀμφισβητοῦσι, συγγενέσθαι μὲν φάσκοντες, ἀλλ' οὐ μοιχεῦσαι· ἀγνοοῦντες γὰρ ἢ ἀναγκαζόμενοι· καὶ πατάξαι μέν, ἀλλ' οὐχ ὑβρίσαι. ὁμοίως δὲ καὶ ἐπὶ τὰ ἄλλα τὰ τοιαῦτα.

Εἰλημμένων δὲ τούτων, μετὰ ταῦτα λεκτέον ὅτι ἐπειδὴ 4
δύο μέρη τῆς ψυχῆς, καὶ αἱ ἀρεταὶ κατὰ ταῦτα διῄρηνται, καὶ αἱ μὲν τοῦ λόγον ἔχοντος διανοητικαί, ὧν ἔργον ἀλήθεια, ἢ περὶ τοῦ πῶς ἔχει ἢ περὶ γενέσεως, αἱ δὲ τοῦ ἀλόγου, ἔχοντος δ' ὄρεξιν· οὐ γὰρ ὁτιοῦν μέρος ἔχει τῆς ψυχῆς ὄρεξιν, εἰ μεριςή ἐςιν. ἀνάγκη δὴ φαῦλον τὸ ἦθος καὶ σπουδαῖον εἶναι τῷ διώκειν καὶ φεύγειν ἡδονάς τινας καὶ λύπας. δῆλον δὲ τοῦτο ἐκ τῶν διαιρέσεων τῶν περὶ τὰ πάθη καὶ τὰς δυνάμεις καὶ τὰς ἕξεις· αἱ μὲν γὰρ δυνάμεις καὶ αἱ ἕξεις τῶν παθημάτων, τὰ δὲ πάθη λύπῃ καὶ ἡδονῇ διώρισαι. ὥςε διά τε ταῦτα καὶ διὰ τὰς ἔμπροσθεν θέσεις συμβαίνει πᾶσαν ἠθικὴν ἀρετὴν περὶ ἡδονὰς εἶναι καὶ λύπας. πᾶσα γὰρ ψυχὴ ὑφ' οἵων πέφυκε γίνεσθαι χείρων καὶ βελτίων, πρὸς ταῦτα καὶ περὶ ταῦτά ἐστιν ἡ

p. 1087. b.

5. ἀσώτεια P^b. ‖ 13. καὶ τὰ τοιαῦτα M^b. ‖ 15. μὲν om P^b. ‖ 17. καὶ ante θρασὺς om M^b. ‖ 19. ὅτ'] ὅπου M^b. ‖ καὶ ὁ ἀκόλαστος codices. ‖ 32. ἑαυτόν M^b. ‖ ἐλάττων M^b.

13. καὶ] καὶ ὁ M^bP^b. ‖ 14. πλήκτης — 15. ὀργῆς om P^b. ‖ 16. τὸ M^b. ‖ πρόσω P^b. ‖ 19. πῶς] προς P^b. ‖ πως] περ M^b. ‖ 28. ταῦτα] πάντα M^b. ‖ 29. ἔργον ἡ ἀλήθεια M^b. ‖ 31. τῆς om M^b. ‖ 36. αἱ om M^b. ‖ 39. πάσης γὰρ ψυχῆς M^b. ‖ πέφυκε — 40. βελτίων om P^b. ‖ 40. χεῖρον καὶ βέλτιον corr M^b.

ἡδονή. δι' ἡδονὰς δὲ καὶ λύπας φαύλȣς φαμὲν εἶναι, τῷ διώκειν καὶ φεύγειν ἢ ὡς μὴ δεῖ ἢ ἃς μὴ δεῖ. διὸ καὶ διορίζονται πάντες προχείρως ἀπάθειαν καὶ ἠρεμίαν περὶ ἡδονὰς καὶ λύπας εἶναι τὰς ἀρετάς, τὰς δὲ κακίας ἐκ τῶν ἐναντίων.

Ἐπεὶ δ' ὑπόκειται ἀρετὴ εἶναι ἡ τοιαύτη ἕξις ἀφ' ἧς πρακτικοὶ τῶν βελτίστων καὶ καθ' ἣν ἄριςα διάκεινται περὶ τὸ βέλτιστον, βέλτιστον δὲ καὶ ἄριστον τὸ κατὰ τὸν ὀρθὸν λόγον, τοῦτο δ' ἐςὶ τὸ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως τῆς πρὸς ἡμᾶς, ἀναγκαῖον ἂν εἴη τὴν ἠθικὴν ἀρετὴν καθ' αὑτὸν ἕκαςον μεσότητα εἶναι ἢ περὶ μέσ' ἄττα ἐν ἡδοναῖς καὶ λύπαις καὶ ἡδέσι καὶ λυπηροῖς. ἔσται δ' ἡ μεσότης ὁτὲ μὲν ἐν ἡδοναῖς (καὶ γὰρ ὑπερβολὴ καὶ ἔλλειψις), ὁτὲ δ' ἐν λύπαις, ὁτὲ δ' ἐν ἀμφοτέραις. ὁ γὰρ ὑπερβάλλων τῷ χαίρειν τῷ ἡδεῖ ὑπερβάλλει καὶ ὁ τῷ λυπεῖσθαι τῷ ἐναντίῳ, καὶ ταῦτα ἢ ἁπλῶς ἢ πρός τινα ὅρον, οἷον ὅταν μὴ ὡς οἱ πολλοί· ὁ δ' ἀγαθὸς ὡς δεῖ. ἐπεὶ δ' ἐςί τις ἕξις ἀφ' ἧς τοιȣ̃τος ἔςαι ὁ ἔχων αὐτὴν ὥςε τȣ̃ αὐτȣ̃ πράγματος ȣ̃ μὲν ἀποδέχεσθαι τὴν ὑπερβολὴν ȣ̃ δὲ τὴν ἔλλειψιν, ἀνάγκη, ὡς ταῦτ' ἀλλήλοις ἐναντία καὶ τῷ μέσῳ, ȣ̃τω καὶ τὰς ἕξεις ἀλλήλαις ἐναντίας εἶναι καὶ τῇ ἀρετῇ. συμβαίνει μέντοι τὰς ἀντιθέσεις ἔνθα μὲν φανερωτέρας εἶναι πάσας, ἔνθα δὲ τὰς ἐπὶ τὴν ὑπερβολήν, ἐνιαχȣ̃ δὲ τὰς ἐπὶ τὴν ἔλλειψιν. αἴτιον δὲ τῆς ἐναντιώσεως, ὅτι ȣ̓κ ἀεὶ ἐπὶ ταὐτὰ τῆς ἀνισότητος ἢ ὁμοιότητος πρὸς τὸ μέσον, ἀλλ' ὁτὲ μὲν θᾶττον ἂν μεταβαίη ἀπὸ τῆς ὑπερβολῆς ἐπὶ τὴν μέσην ἕξιν, ὁτὲ δ' ἀπὸ τῆς ἐλλείψεως, ἧς πλέον ἀπέχων ȣ̃τος δοκεῖ ἐναντιώτερος εἶναι, οἷον καὶ περὶ τὸ σῶμα ἐν μὲν τοῖς πόνοις ὑγιεινότερον ἡ ὑπερβολὴ τῆς ἐλλείψεως καὶ ἐγγύτερον τȣ̃ μέσȣ, ἐν δὲ τῇ τροφῇ ἡ ἔλλειψις ὑπερβολῆς. ὥςε καὶ αἱ προαιρετικαὶ ἕξεις αἱ φιλογυμναστικαὶ φιλοϋγιεῖς μᾶλλον ἔσονται καθ' ἑκατέραν τὴν αἵρεσιν, ἔνθα μὲν οἱ πολυπονώτεροι, ἔνθα δ' οἱ ὑποςατικώτεροι, καὶ ἐναντίος τῷ μετρίῳ καὶ τῷ ὡς ὁ λόγος ἔνθα μὲν ὁ ἄπονος καὶ ȣ̓κ ἄμφω, ἔνθα δὲ καὶ ὁ ἀπολαυςικὸς καὶ οὐχ ὁ πεινητικός. συμβαίνει δὲ τοῦτο, διότι ἡ φύσις εὐθὺς ȣ̓ πρὸς ἅπαντα ὁμοίως ἀφέςηκε τȣ̃ μέσȣ, ἀλλ' ἧττον μὲν φιλόπονοί ἐσμεν, μᾶλλον δ' ἀπολαυςικοί. ὁμοίως δὲ ταῦτ' ἔχει καὶ περὶ ψυχῆς. ἐναντίαν δὲ τίθεμεν τὴν ἕξιν ἐφ' ἥν τε ἁμαρτάνομεν μᾶλλον καὶ ἐφ' ἣν οἱ πολλοί. ἡ δ' ἑτέρα ὥσπερ ȣ̓κ ȣ̓̃σα λανθάνει· διὰ γὰρ τὸ ὀλίγον ἀναίσθητός ἐστιν. οἷον ὀργὴν πραότητι καὶ τὸν ὀργίλον

τῷ πράῳ. καίτοι ἔστιν ὑπερβολὴ καὶ ἐπὶ τῷ ἵλεων καὶ τῷ καταλλακτικὸν εἶναι καὶ μὴ ὀργίζεσθαι ῥα-μενον. ἀλλ' ὀλίγοι οἱ τοιȣ̃τοι, ἐπ' ἐκεῖνο δὲ πάντες μᾶλλον· διὸ καὶ ȣ̓ κολακικὸν ὁ θυμός. ἐπεὶ δ' εἴλ-ἡ διαλογὴ τῶν ἕξεων καθ' ἕκαστα τὰ πάθη, καὶ αἱ βολαὶ καὶ ἐλλείψεις, καὶ τῶν ἐναντίων ἕξεων καθ' ἃς κατὰ τὸν ὀρθὸν λόγον (τίς δ' ὁ ὀρθὸς λόγος, καὶ πρὸ-δεῖ ὅρον ἀποβλέποντας λέγειν τὸ μέσον, ὕςερον ἐπισκε-φανερὸν ὅτι πᾶσαι αἱ ἠθικαὶ ἀρεταὶ καὶ κακίαι περὶ καὶ λυπῶν ὑπερβολὰς καὶ ἐλλείψεις εἰσί, καὶ ἡδον-λῦπαι ἀπὸ τῶν εἰρημένων ἕξεων καὶ παθημάτων γί-ἀλλὰ μὴν ἥ γε βελτίςη ἕξις ἡ περὶ ἕκαςα μέση ἐςί-λον τοίνυν ὅτι αἱ ἀρεταὶ ἢ πᾶσαι ἢ τȣ́των τινὲς ἔσοντ-μεσοτήτων.

Λάβωμεν ȣ̓̃ν ἄλλην ἀρχὴν τῆς ἐπιȣ́σης σκέψεως δὴ πᾶσαι μὲν αἱ οὐσίαι κατὰ φύσιν τινὲς ἀρχαί, δι-ἑκάστη πολλὰ δύναται τοιαῦτα γεννᾶν, οἷον ἄνθρωπο-θρώπους καὶ ζῷον ὂν ὅλως ζῷα καὶ φυτὸν φυτά. πρὸ-τȣ́τοις δ' γ' ἄνθρωπος καὶ πράξεών τινών ἐςιν ἀρχὴ μόνο-ζῴων· τῶν γὰρ ἄλλων ȣ̓θὲν εἴποιμεν ἂν πράττειν. τὸ-ἀρχῶν ὅσαι τοιαῦται, ὅθεν πρῶτον αἱ κινήσεις, κύριαι-γονται, μάλιστα δὲ δικαίως ἀφ' ὧν μὴ ἐνδέχεται ἄλ-ἣν ἴσως ὁ θεὸς ἄρχει. ἐν δὲ ταῖς ἀκινήτοις ἀρχαῖς, οἷ-ταῖς μαθηματικαῖς, οὐκ ἔστι τὸ κύριον, καίτοι λέγετ-καθ' ὁμοιότητα· καὶ γὰρ ἐνταῦθα κινȣμένης τῆς ἀ-πάντα μάλιστ' ἂν τὰ δεικνύμενα μεταβάλλοι, αὐτ-αὐτὰ ȣ̓ μεταβάλλει ἀναιρȣμένȣ θατέρȣ ὑπὸ θατέρȣ, ἂ-τῷ τὴν ὑπόθεσιν ἀνελεῖν καὶ δι' ἐκείνης δεῖξαι. ὁ δ' ἄν-πος ἀρχὴ κινήσεώς τινος· ἡ γὰρ πρᾶξις κίνησις. ἐπ-ὥσπερ ἐν τοῖς ἄλλοις ἡ ἀρχὴ αἰτία ἐςὶ τῶν δι' αὐτὴν ἢ γινομένων, δεῖ νοῆσαι καθάπερ ἐπὶ τῶν ἀποδείξεων γὰρ ἔχοντος τοῦ τριγώνȣ δύο ὀρθὰς ἀνάγκη τὸ τετράγ-ἔχειν τέτταρας ὀρθάς, φανερὸν ὡς αἴτιον τȣ́τȣ τὸ δύο ἔχειν τὸ τρίγωνον. εἰ δέ γε μεταβάλλοι τὸ τρίγωνον, ἀν-καὶ τὸ τετράγωνον μεταβάλλειν, οἷον εἰ τρεῖς, ἕξ, εἰ δὲ-ταρες, ὀκτώ. κἂν εἰ μὴ μεταβάλλοι, τοιȣ̃τον δ' ἐςί, κα-τοιȣ̃τον ἀναγκαῖον εἶναι. δῆλον δ' ὃ ἐπιχειρȣ̃μεν ὅτι ἀ-καῖον, ἐκ τῶν ἀναλυτικῶν· νῦν δ' ȣ̓́τε μὴ λέγειν ȣ̓́τε λ-ἀκριβῶς οἷόν τε, πλὴν τοσοῦτον. εἰ γὰρ μηθὲν ἄλλο τȣ̃ τὸ τρίγωνον ȣ̃τως ἔχειν, ἀρχή τις ἂν εἴη τȣ̃το καὶ τῶν ὑςέρων. ὥς' εἴπερ ἐςὶν ἔνια τῶν ὄντων ἐνδεχόμενα τίως ἔχειν, ἀνάγκη καὶ τὰς ἀρχὰς αὐτῶν εἶναι τοια-

1. εἶναί φαμεν P^b. ‖ 19. μὲν] μὲν οὖν P^b. ‖ 28. ἀπέχει P^b. ‖ 34. ἐναντίως M^b. ‖ 38. μὲν om P^b. ‖ 39. ἐναντία codices.
2. μὴ om M^b. ‖ 10. ὑπερβολαὶ M^b. ‖ 19. ὁ γάμος P^b. ‖ 32. ἔχων τὸ P^b. ‖ 38. ȣ̓́τε λέγειν om M^bP^b. ‖ 41. ὕςερον P^b

ἐκ γὰρ τῶν ἐξ ἀνάγκης ἀναγκαῖον τὸ συμβαῖνόν ἐστι, τὰ δέ γε ἐντεῦθεν ἐνδέχεται γενέσθαι τἀναντία, καὶ ὃ ἐφ' αὑτοῖς ἐστὶ τοῖς ἀνθρώποις, πολλὰ τῶν τοιούτων, καὶ ἀρχαὶ τῶν τοιούτων εἰσὶν αὐτοί. ὥστε ὅσων πράξεων ὁ ἄνθρωπός ἐστιν ἀρχὴ καὶ κύριος, φανερὸν ὅτι ἐνδέχεται καὶ γίνεσθαι καὶ μή, καὶ ὅτι ἐφ' αὑτῷ ταῦτ' ἐστὶ γίνεσθαι καὶ μή, ὧν γε κύριός ἐστι τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. ὅσα δ' ἐφ' αὑτῷ ἐστὶ ποιεῖν ἢ μὴ ποιεῖν, αἴτιος τούτων οὗτός ἐστιν· καὶ ὅσων αἴτιος, ἐφ' αὑτῷ. ἐπεὶ δ' ἥ τε ἀρετὴ καὶ ἡ κακία καὶ τὰ ἀπ' αὐτῶν ἔργα τὰ μὲν ἐπαινετὰ τὰ δὲ ψεκτά (ψέγεται γὰρ καὶ ἐπαινεῖται οὐ διὰ τὰ ἐξ ἀνάγκης ἢ τύχης ἢ φύσεως ὑπάρχοντα, ἀλλ' ὅσων αὐτοὶ αἴτιοί ἐσμεν· ὅσων γὰρ ἄλλος αἴτιος, ἐκεῖνος καὶ τὸν ψόγον καὶ τὸν ἔπαινον ἔχει), δῆλον ὅτι καὶ ἡ ἀρετὴ καὶ ἡ κακία περὶ ταῦτ' ἐστὶν ὧν αὐτὸς αἴτιος καὶ ἀρχὴ πράξεων. ληπτέον ἄρα ποίων αὐτὸς αἴτιος καὶ ἀρχὴ πράξεων. πάντες μὲν δὴ ὁμολογοῦμεν, ὅσα μὲν ἑκούσια καὶ κατὰ προαίρεσιν τὴν ἑκάστου, ἐκεῖνον αἴτιον εἶναι, ὅσα δ' ἀκούσια, οὐκ αὐτὸν αἴτιον. πάντα δ' ὅσα προελόμενος, καὶ ἑκὼν δῆλον ὅτι. δῆλον τοίνυν ὅτι ἡ ἀρετὴ καὶ ἡ κακία τῶν ἑκουσίων ἂν εἴησαν.

7 Ληπτέον ἄρα τί τὸ ἑκούσιον καὶ τί τὸ ἀκούσιον, καὶ τί ἐστιν ἡ προαίρεσις, ἐπειδὴ ἡ ἀρετὴ καὶ ἡ κακία ὁρίζεται τούτοις. πρῶτον σκεπτέον τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον. τριῶν δὴ τούτων ἕν τι δόξειεν εἶναι, ἤτοι κατ' ὄρεξιν ἢ κατὰ προαίρεσιν ἢ κατὰ διάνοιαν, τὸ μὲν ἑκούσιον κατὰ τούτων τι, τὸ δ' ἀκούσιον παρὰ τούτων τι. ἀλλὰ μὴν ἡ ὄρεξις εἰς τρία διαιρεῖται, εἰς βούλησιν καὶ θυμὸν καὶ ἐπιθυμίαν· ὥστε ταῦτα διαιρετέον, καὶ πρῶτον κατ' ἐπιθυμίαν. δόξειε δ' ἂν πᾶν τὸ κατ' ἐπιθυμίαν ἑκούσιον εἶναι. τὸ γὰρ ἀκούσιον πᾶν δοκεῖ εἶναι βίαιον, τὸ δὲ βίαιον λυπηρόν, καὶ πᾶν ὃ ἀναγκαζόμενοι ποιοῦσιν ἢ πάσχουσιν, ὥσπερ καὶ Εὔηνός φησι "πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ." ὥστ' εἴ τι λυπηρόν, βίαιον, καὶ εἰ βίαιον, λυπηρόν. τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν πᾶν λυπηρόν (ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος), ὥστε βίαιον καὶ ἀκούσιον. τὸ ἄρα κατ' ἐπιθυμίαν ἑκούσιον· ἐναντία γὰρ ταῦτ' ἀλλήλοις. ἔτι ἡ μοχθηρία ἀδικώτερον πᾶσα ποιεῖ, ἡ δ' ἀκρασία μοχθηρία δοκεῖ εἶναι, ὁ δ' ἀκρατὴς ὁ κατὰ τὴν ἐπιθυμίαν παρὰ τὸν λογισμὸν οἷος πράττειν, ἀκρατεύεται δ' ὅταν ἐνεργῇ κατ' αὐτήν, τὸ δ' ἀδικεῖν ἑκούσιον, ὥσθ' ὁ ἀκρατὴς ἀδικήσει τῷ πράττειν κατ' ἐπιθυμίαν· ἑκὼν ἄρα πράξει, καὶ ἑκούσιον τὸ κατ' ἐπιθυμίαν· καὶ γὰρ ἄτοπον εἰ δικαιότεροι ἔσονται οἱ ἀκρατεῖς γινόμενοι. ἐκ μὲν τοίνυν τούτων δόξειεν ἂν τὸ κατ' ἐπιθυμίαν ἑκούσιον εἶναι, ἐκ δὲ τῶνδε τοὐναντίον. ἅπαν γὰρ ὃ ἑκών τις πράττει, βουλόμενος πράττει, καὶ ὃ βούλεται, ἑκών. βούλεται δ' οὐθεὶς ὃ οἴεται εἶναι κακόν. ἀλλὰ μὴν ὁ ἀκρατευόμενος οὐχ ἃ βούλεται ποιεῖ· τὸ γὰρ παρ' ὃ οἴεται βέλτιστον εἶναι πράττειν δι' ἐπιθυμίαν ἀκρατεύεσθαί ἐστιν. ὥστε ἅμα συμβήσεται τὸν αὐτὸν ἑκόντα καὶ ἄκοντα πράττειν· τοῦτο δ' ἀδύνατον. ἔτι δ' ὁ ἐγκρατὴς δικαιοπραγήσει, καὶ μᾶλλον τῆς ἀκρασίας· ἡ γὰρ ἐγκράτεια ἀρετή, ἡ δ' ἀρετὴ δικαιοτέρους ποιεῖ. ἐγκρατεύεται δ' ὅταν πράττῃ παρὰ τὴν ἐπιθυμίαν κατὰ τὸν λογισμόν. ὥστ' εἰ τὸ μὲν δικαιοπραγεῖν ἑκούσιον, ὥσπερ καὶ τὸ ἀδικεῖν (ἄμφω γὰρ δοκεῖ ταῦτα ἑκούσια εἶναι, καὶ ἀνάγκη, εἰ θάτερον ἑκούσιον, καὶ θάτερον), τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν ἀκούσιον, ἅμα ἄρα ὁ αὐτὸς τὸ αὐτὸ πράξει ἑκὼν καὶ ἄκων. ὁ δ' αὐτὸς λόγος καὶ περὶ θυμοῦ· ἀκρασία γὰρ καὶ ἐγκράτεια καὶ θυμοῦ δοκεῖ εἶναι, ὥσπερ καὶ ἐπιθυμίας, καὶ τὸ παρὰ τὸν θυμὸν λυπηρόν, καὶ βίαιον ἡ κάθεξις, ὥστ' εἰ τὸ βίαιον ἀκούσιον, τὸ κατὰ τὸν θυμὸν ἑκούσιον ἂν εἴη πᾶν. ἔοικε δὲ καὶ Ἡράκλειτος λέγειν εἰς τὴν ἰσχὺν τοῦ θυμοῦ βλέψας ὅτι λυπηρὰ ἡ κώλυσις αὐτοῦ· "χαλεπὸν γάρ" φησι "θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖται." εἰ δ' ἀδύνατον τὸ αὐτὸ ἑκόντα καὶ ἄκοντα πράττειν ἅμα τὸ κατὰ τὸ αὐτὸ τοῦ πράγματος, μᾶλλον ἑκούσιον τὸ κατὰ βούλησιν τοῦ κατ' ἐπιθυμίαν καὶ θυμόν. τεκμήριον δέ· πολλὰ γὰρ πράττομεν ἑκόντες ἄνευ ὀργῆς καὶ ἐπιθυμίας. λείπεται ἄρα, εἰ τὸ βουλόμενον καὶ ἑκούσιον ταὐτό, σκέψασθαι· φαίνεται δὲ καὶ τοῦτο ἀδύνατον. ὑπόκειται γὰρ ἡμῖν καὶ δοκεῖ ἡ μοχθηρία ἀδικωτέρους ποιεῖν, ἡ δ' ἀκρασία μοχθηρία τις φαίνεται. συμβήσεται δὲ τοὐναντίον· βούλεται μὲν γὰρ οὐθεὶς ἃ οἴεται εἶναι κακά, πράττει δ' ὅταν γίνηται ἀκρατής· εἰ οὖν τὸ μὲν ἀδικεῖν ἑκούσιον, τὸ δ' ἑκούσιον τὸ κατὰ βούλησιν, ὅταν ἀκρατὴς γένηται, οὐκέτι ἀδικήσει, ἀλλ' ἔσται δικαιότερος ἢ πρὶν γενέσθαι ἀκρατής. τοῦτο δ' ἀδύνατον. ὅτι μὲν τοίνυν οὐκ ἔστι τὸ ἑκούσιον τὸ κατὰ ὄρεξιν πράττειν, οὐδ' ἀκούσιον τὸ παρὰ τὴν ὄρεξιν, φανερόν. ὅτι δ' οὐδὲ κατὰ προαίρεσιν, πάλιν ἐκ 8
τῶνδε δῆλον. τὸ μὲν γὰρ κατὰ βούλησιν ὡς οὐκ ἀκούσιον,

3. τῶν τοιούτων om M^b. ‖ 4. αὐταί P^b. ‖ 14. καὶ post ὅτι om P^b. ‖ 17. καὶ — 18. ἀκούσια om P^b. ‖ 19. δῆλον ὅτι om M^b. ‖ δῆλον om P^b. ‖ ὅτι] ὅτι καὶ M^b. ‖ 21. καὶ τί τὸ ἀκούσιον om M^b. ‖ 22. ἐπειδε M^bP^b. ‖ 23. καὶ τὸ ἀκούσιον om P^b. ‖ δὲ P^b. ‖ 25. τὸ δ' — 26. τι om M^b. ‖ 33. εἰ μὴ βίαιον P^b. ‖ τὸ — 34. λυπηρόν om P^b. ‖ 38. ἀκρατεύεσθαι M^b.

1. πράττειν om M^b. ‖ 3. οἱ om M^b. ‖ γενόμενοι M^b. ‖ 4. ἂν] δ' ἂν P^b. ‖ 5. βουλόμενος πράττει om P^b. ‖ 6. ἑκών] ἑκὼν βούλεται M^b. ‖ 11. ἀκρατὴς P^b. ‖ 17. ἑκούσιον codices. ‖ 20. βίαιος P^b. ‖ 23. βλέψαι M^b. ‖ φασὶ M^b. ‖ 25. αὐτὸ ἑκόντα] αὐτὸν ἑκόντα M^b. ‖ 36. γενέσθαι] γε M^b.

ἀπεδείχθη, ἀλλὰ μᾶλλον πᾶν ὃ βούλεται καὶ ἑκούσιον. ἀλλ' ὅτι καὶ μὴ βουλόμενον ἐνδέχεται πράττειν ἑκόντα, τοῦτο δέδεικται μόνον. πολλὰ δὲ βουλόμενοι πράττομεν ἐξαίφνης, προαιρεῖται δ' οὐδεὶς οὐδὲν ἐξαίφνης. εἰ δὲ ἀνάγκη μὲν ἦν τριῶν τούτων ἕν τι εἶναι τὸ ἑκούσιον, ἢ κατ' ὄρεξιν ἢ κατὰ προαίρεσιν ἢ κατὰ διάνοιαν, τούτων δὲ τὰ δύο μή ἐστι, λείπεται ἐν τῷ διανοούμενόν πως πράττειν εἶναι τὸ ἑκούσιον. ἔτι δὲ μικρὸν προαγαγόντες τὸν λόγον, ἐπιθῶμεν τέλος τῷ περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου διορισμῷ. δοκεῖ γὰρ τὸ βίᾳ καὶ μὴ βίᾳ τι ποιεῖν οἰκεῖα τοῖς εἰρημένοις εἶναι· τό τε γὰρ βίαιον ἀκούσιον, καὶ τὸ ἀκούσιον πᾶν βίαιον εἶναι φαμέν. ὥστε περὶ τοῦ βίᾳ σκεπτέον πρῶτον, τί ἐστι καὶ πῶς ἔχει πρὸς τὸ ἑκούσιον καὶ ἀκούσιον. δοκεῖ δὴ τὸ βίαιον καὶ τὸ ἀναγκαῖον ἀντικεῖσθαι, καὶ ἡ βία καὶ ἡ ἀνάγκη, τῷ ἑκουσίῳ καὶ τῇ πειθοῖ ἐπὶ τῶν πραττομένων. καθόλου δὲ τὸ βίαιον καὶ τὴν ἀνάγκην καὶ ἐπὶ τῶν ἀψύχων λέγομεν· καὶ γὰρ τὸν λίθον ἄνω καὶ τὸ πῦρ κάτω βίᾳ καὶ ἀναγκαζόμενα φέρεσθαι φαμέν. τοῦτο δ' ὅταν κατὰ τὴν φύσει καὶ καθ' αὑτὰ ὁρμὴν φέρηται, οὐ βίᾳ, οὐ μὴν οὐδ' ἑκούσια λέγεται, ἀλλ' ἀνώνυμος ἡ ἀντίθεσις. ὅταν δὲ παρὰ ταύτην, βίᾳ φαμέν. ὁμοίως δὲ καὶ ἐπὶ ἐμψύχων καὶ ἐπὶ τῶν ζῴων ὁρῶμεν βίᾳ πολλὰ καὶ πάσχοντα καὶ ποιοῦντα, ὅταν παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν ἔξωθέν τι κινῇ. ἐν μὲν τοῖς ἀψύχοις ἁπλῆ ἡ ἀρχή, ἐν δὲ τοῖς ἐμψύχοις πλεονάζει· οὐ γὰρ ἀεὶ ἡ ὄρεξις καὶ ὁ λόγος συμφωνεῖ. ὥστ' ἐπὶ μὲν τῶν ἄλλων ζῴων ἁπλοῦν τὸ βίαιον, ὥσπερ ἐπὶ τῶν ἀψύχων· οὐ γὰρ ἔχει λόγον καὶ ὄρεξιν ἐναντίαν, ἀλλὰ τῇ ὀρέξει ζῇ. ἐν δ' ἀνθρώπῳ ἔνεστιν ἄμφω, καὶ ἔν τινι ἡλικίᾳ, ᾗ καὶ τὸ πράττειν ἀποδίδομεν· οὐ γὰρ φαμεν τὸ παιδίον πράττειν, οὐδὲ τὸ θηρίον, ἀλλ' ὅταν ἤδη διὰ λογισμὸν πράττοντα. δοκεῖ δὴ τὸ βίαιον ἅπαν λυπηρὸν εἶναι, καὶ οὐθεὶς βίᾳ μὲν ποιεῖ, χαίρων δέ. διὸ περὶ τὸν ἐγκρατῆ καὶ τὸν ἀκρατῆ πλείστη ἀμφισβήτησίς ἐστιν· ἐναντίας γὰρ ὁρμὰς ἔχων αὐτὸς ἕκαστος αὑτῷ πράττει, ὥσθ' ὅ τ' ἐγκρατὴς βίᾳ, φασίν, ἀφέλκει αὑτὸν ἀπὸ τῶν ἡδέων ἐπιθυμιῶν (ἀλγεῖ γὰρ ἀφέλκων πρὸς ἀντιτείνουσαν τὴν ὄρεξιν), ὅ τ' ἀκρατὴς βίᾳ παρὰ τὸν λογισμόν. ἧττον δὲ δοκεῖ λυπεῖσθαι· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος, ᾗ ἀκολουθεῖ χαίρων, ὥσθ' ὁ ἀκρατὴς μᾶλλον ἑκὼν καὶ οὐ βίᾳ, ὅτι οὐ λυπηρῶς. ἡ δὲ πειθὼ τῇ βίᾳ καὶ ἀνάγκῃ ἀντιτίθεται. ὁ δ' ἐγκρατὴς ἐφ' ἃ πέπεισται ἄγει, καὶ πορεύεται οὐ βίᾳ ἀλλ' ἑκών. ἡ δ' ἐπιθυμία οὐ πείσασα ἄγει· οὐ γὰρ μετέχει λόγου. ὅτι μὲν οὖν δοκοῦσιν οὗτοι μόνοι βίᾳ καὶ ἄκοντες ποιεῖν, καὶ διὰ τίν' αἰτίαν, ὅτι καθ' ὁμοιότητά τινα τοῦ βίᾳ, καθ' ἣν καὶ ἐπὶ τῶν ἀψύχων λέγομεν, εἴρηται. οὐ μὴν ἀλλ' εἴ τις προσθῇ τὸ ἐν τῷ διορισμῷ προσκείμενον κἀκεῖ, λύεται τὸ λεχθέν. ὅταν μὲν γάρ τι τῶν ἔξωθεν παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν κινῇ ἢ ἠρεμίζῃ, βίᾳ φαμέν, ὅταν δὲ μή, οὐ βίᾳ. ἐν δὲ τῷ ἐγκρατεῖ καὶ ἀκρατεῖ ἡ καθ' αὑτὸν ὁρμὴ ἐνοῦσα ἄγει· ἄμφω γὰρ ἔχει. ὥστ' οὐ βίᾳ οὐδέτερος ἀλλ' ἑκὼν διά γε ταῦτα πράττοι ἄν, οὐδ' ἀναγκαζόμενος. τὴν γὰρ ἔξωθεν ἀρχήν, τὴν παρὰ τὴν ὁρμὴν ἢ ἐμποδίζουσαν ἢ κινοῦσαν, ἀνάγκην λέγομεν, ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα τύπτοι τινὰ ἀντιτείνοντος καὶ τῷ βούλεσθαι καὶ τῷ ἐπιθυμεῖν. ὅταν δ' ἔσωθεν ἡ ἀρχή, οὐ βίᾳ, ἐπεὶ καὶ ἡδονὴ καὶ λύπη ἐν ἀμφοτέροις ἔνεστιν. καὶ γὰρ ὁ ἐγκρατευόμενος λυπεῖται παρὰ τὴν ἐπιθυμίαν πράττων ἤδη, καὶ χαίρει τὴν ἀπ' ἐλπίδος ἡδονήν, ὅτι ὕστερον ὠφεληθήσεται, ἢ καὶ ἤδη ὠφελεῖται ὑγιαίνων· καὶ ὁ ἀκρατὴς χαίρει μὲν τυγχάνων ἀκρατευόμενος οὗ ἐπιθυμεῖ, λυπεῖται δὲ τὴν ἀπ' ἐλπίδος λύπην· οἴεται γὰρ κακὸν πράττειν. ὥστε τὸ μὲν βίᾳ ἑκάτερον φάναι ποιεῖν ἔχει λόγον, καὶ διὰ τὴν ὄρεξιν καὶ διὰ τὸν λογισμὸν ἑκάτερον ἄκοντα ποτὲ πράττειν· κεχωρισμένα γὰρ ὄντα ἑκάτερα ἐκκρούεται ὑπ' ἀλλήλων. ὅθεν καὶ ἐπὶ τὴν ὅλην μεταφέρουσι ψυχήν, ὅτι τῶν ἐν ψυχῇ τι τοιοῦτον ὁρῶσιν. ἐπὶ μὲν οὖν τῶν μορίων ἐνδέχεται τοῦτο λέγειν· ἡ δ' ὅλη ἑκοῦσα ψυχὴ καὶ τοῦ ἀκρατοῦς καὶ τοῦ ἐγκρατοῦς πράττει, βίᾳ δ' οὐδέτερος, ἀλλὰ τῶν ἐν ἐκείνοις τι, ἐπεὶ καὶ φύσει ἀμφότερα ἔχομεν. καὶ γὰρ ὁ λόγος φύσει ἄρχων ἐστίν, ἐωμένης τῆς γενέσεως καὶ μὴ πηρωθείσης ἐνέσται, καὶ ἡ ἐπιθυμία, ὅτι εὐθὺς ἐκ γενετῆς ἀκολουθεῖ καὶ ἔνεστιν. σχεδὸν δὲ τούτοις δυσὶ τὸ φύσει διορίζομεν, τῷ τε ὅσα εὐθὺς γιγνομένοις ἀκολουθεῖ πᾶσι, καὶ ὅσα ἐωμένης τῆς γενέσεως εὐθυπορεῖν γίνεται ἡμῖν, οἷον πολιὰ καὶ γῆρας καὶ τἆλλα τὰ τοιαῦτα. ὥστε μὴ κατὰ φύσιν ἑκάτερος πράττει, ἁπλῶς δὲ κατὰ φύσιν ἑκάτερος, οὐ τὴν αὐτήν. αἱ μὲν οὖν περὶ τὸν ἐγκρατῆ καὶ ἀκρατῆ ἀπορίαι, περὶ τοῦ βίᾳ πράττειν ἢ ἀμφοτέρους ἢ τὸν ἕτερον, ὥστε ἢ μὴ ἑκόντας ἢ ἅμα βίᾳ καὶ ἄκοντας, εἰ δὲ τὸ βίᾳ ἑκούσιον, ἅμα ἑκόντας καὶ ἄκοντας

2. μὴ om M^b. ‖ 4. προαιρεῖται — ἐξαίφνης om P^b. ‖ 11. ἀκούσιον καὶ — βίαιον om P^b. ‖ 15. δὲ] γὰρ M^b. ‖ 17. ἀναγκαζόμενον M^b. ‖ 18. φύσιν M^b. ‖ 23. τις P^b. ‖ 24. καὶ] ὡς M^b. ‖ 28. πραττόμενον M^b. ‖ 31. χαίρων δὲ om P^b. ‖ 34. τ' om P^b. ‖ 35. ἐπιθυμιῶν codices. ‖ τὴν om M^b. ‖ 38. οὐ alterum om P^b. ‖ ἡ] ὁ M^b. ἡ — b 1. ἑκών om P^b.

5. τι M^b. ‖ 6. ἐν αὐτῷ διορισμῷ προκείμενον M^b. ‖ 9. ἀκρατεῖ καὶ ἐγκρατεῖ P^b. ‖ 13. τύπτει M^b. ‖ 14. καὶ τῷ βούλεσθαι] ὡς τὸ βούλεσθαι M^b. ‖ 17. ἀπ' om P^b. ‖ 28. ἐν om M^b. ‖ 29. ὅτι M^b. ‖ 30. ἐρρωμένης corr M^b. ‖ 37. ἀκρατῆ καὶ ἐγκρατῆ P^b. ‖ 38. ἢ μὴ] εἰ μὴ M^b. ‖ 39. pro δὲ locum vacuum P^b.

ειν· σχεδὸν δὲ ἐκ τῶν εἰρημένων δῆλον ἡμῖν ὡς ἀπαν-
. λέγονται δὲ κατ' ἄλλον τρόπον βίᾳ καὶ ἀναγκα-
ς πρᾶξαι, οὐ διαφωνοῦντος τοῦ λόγου καὶ τῆς ὀρέξεως,
πράττωσιν ὃ καὶ λυπηρὸν καὶ φαῦλον ὑπολαμβάνου-
λλ' ἂν μὴ τοῦτο πράττωσι, πληγαὶ ἢ δεσμοὶ ἢ θάνα-
τιν. ταῦτα γάρ φασιν ἀναγκασθέντες πρᾶξαι. ἢ οὔ,
πάντες ἑκόντες ποιοῦσιν αὐτὸ τοῦτο· ἔξεστι γὰρ μὴ
ἀλλ' ἐκεῖνο ὑπομεῖναι τὸ πάθος. ἔτι ἴσως τούτων τὰ
αίη τις ἂν τὰ δ' οὔ. ὅσα μὲν γὰρ ἐφ' αὐτῷ τῶν
ων μὴ ὑπάρξαι ἢ ὑπάρξαι δεῖ, ὅσα πράττει ἃ μὴ
ται, ἑκὼν πράττει καὶ οὐ βίᾳ· ὅσα δὲ μὴ ἐφ' αὐτῷ
οιούτων, βίᾳ πῶς, οὐ μέντοι γ' ἁπλῶς, ὅτι οὐκ αὐτὸ
ροαιρεῖται ὃ πράττει, ἀλλ' οὗ ἕνεκα, ἐπεὶ καὶ ἐν τού-
τί τις διαφορά. εἰ γὰρ ἵνα μὴ λάβῃ ψηλαφῶν ἀπο-
γελοῖος ἂν εἴη εἰ λέγοι ὅτι βίᾳ καὶ ἀναγκαζόμενος.
δεῖ μεῖζον κακὸν καὶ λυπηρότερον εἶναι, ὃ πείσεται
ιήσας. οὕτω γὰρ ἀναγκαζόμενος καὶ μὴ βίᾳ πράξει,
ύσει, ὅταν κακὸν ἀγαθοῦ ἕνεκα ἢ μείζονος κακοῦ ἀπο-
ς πράττῃ, καὶ ἄκων γε· οὐ γὰρ ἐφ' αὐτῷ ταῦτα. διὸ
ν ἔρωτα πολλοὶ ἀκούσιον τιθέασιν, καὶ θυμοὺς ἐνίους καὶ
σικά, ὅτι ἰσχυρὰ καὶ ὑπὲρ τὴν φύσιν. καὶ συγγνώ-
χομεν ὡς πεφυκότα βιάζεσθαι τὴν φύσιν. καὶ μᾶλ-
δόξειε βίᾳ καὶ ἄκων πράττειν, ἵνα μὴ ἀλγῇ ἰσχυ-
ἢ ἵνα μὴ ἠρέμα, καὶ ὅλως ἵνα μὴ ἀλγῇ ἢ ἵνα
τὸ γὰρ ἐφ' αὐτῷ, εἰς ὃ ἀνάγεται ὅλον, τοῦτ' ἐστὶν
ιτοῦ φύσις οἵα τε φέρειν· ὃ δὲ μὴ οἵα τε, μηδ' ἐστὶ
είνου φύσει ὀρέξεως ἢ λογισμοῦ, οὐκ ἐφ' αὐτῷ. διὸ καὶ
νθουσιῶντας καὶ προλέγοντας, καίπερ διανοίας ἔργον
ας, ὅμως οὔ φαμεν ἐφ' αὐτοῖς εἶναι, οὔτ' εἰπεῖν ἃ εἶπον,
ᾶξαι ἃ ἔπραξαν. ἀλλὰ μὴν οὐδὲ δι' ἐπιθυμίαν· ὥστε
άνοιαί τινες καὶ πάθη οὐκ ἐφ' ἡμῖν εἰσίν, ἢ πράξεις
τὰ τὰς τοιαύτας διανοίας καὶ λογισμούς, ἀλλ' ὥσπερ
αος ἔφη εἶναί τινας λόγους κρείττους ἡμῶν. ὥστ' εἰ τὸ
ν καὶ ἀκούσιον καὶ πρὸς τὸ βίᾳ ἔδει σκέψασθαι, τοῦτο
τω διῃρήσθω· οἱ γὰρ μάλιστ' ἐμποδίζοντες τὸ ἑκούσιον
ο πράττοντες, ἀλλ' ἑκόντες. ἐπεὶ δὲ τοῦτ' ἔχει τέλος,
ε τῇ ὀρέξει οὔτε τῇ προαιρέσει τὸ ἑκούσιον ὥρισται, λοι-

πὸν δὴ ὁρίσασθαι τὰ κατὰ διάνοιαν. δοκεῖ δὴ ἐναντίον εἶναι τὸ ἑκούσιον τῷ ἀκουσίῳ, καὶ τὸ εἰδότα ἢ ὃν ἢ ᾧ ἢ οὗ ἕνεκα. ἐνίοτε γὰρ οἶδε μὲν ὅτι πατήρ, ἀλλ' οὐχ ἵνα ἀποκτείνῃ ἀλλ' ἵνα σώσῃ, ὥσπερ αἱ Πελιάδες ἤτοι ὡς ὅτι μὲν πόμα, ἀλλ' ὡς φίλτρον καὶ οἶνον· τὸ δ' ἦν κώνειον. τῷ δ' ἀγνοοῦντι καὶ ὃν καὶ ᾧ καὶ ὅ, δι' ἄγνοιαν, μὴ κατὰ συμβεβηκός. τὸ δὲ δι' ἄγνοιαν, καὶ ὃ καὶ ᾧ καὶ ὅν, ἀκούσιον. τὸ ἐναντίον ἄρ' ἑκούσιον. ὅσα μὲν οὖν ἐφ' ἑαυτῷ ὂν μὴ πράττειν πράττει μὴ ἀγνοῶν καὶ δι' αὑτόν, ἑκούσια ταῦτ' ἀνάγκη εἶναι, καὶ τὸ ἑκούσιον τοῦτ' ἐστίν· ὅσα δ' ἀγνοῶν καὶ διὰ τὸ ἀγνοεῖν, ἄκων. ἐπεὶ δὲ τὸ ἐπίστασθαι καὶ τὸ εἰδέναι διττόν, ἓν μὲν τὸ ἔχειν, ἓν δὲ τὸ χρῆσθαι τῇ ἐπιστήμῃ, ὁ ἔχων μὴ χρώμενος δὲ ἔστι μὲν ὡς δικαίως ἀγνοῶν λέγοιτο, ἔστι δ' ὡς οὐ δικαίως, οἷον εἰ δι' ἀμέλειαν μὴ ἐχρῆτο. ὁμοίως δὲ καὶ μὴ ἔχων τις ψέγοιτο ἄν, εἰ ὃ ῥᾴδιον ἢ ἀναγκαῖον ἦν, μὴ ἔχει δι' ἀμέλειαν ἢ ἡδονὴν ἢ λύπην. ταῦτ' οὖν προσδιοριστέον. περὶ μὲν οὖν τοῦ ἑκουσίου καὶ ἀκουσίου διωρίσθω τοῦτον τὸν τρόπον.

Περὶ δὲ προαιρέσεως μετὰ τοῦτο λέγωμεν, διαπορήσαντες πρῶτον τῷ λόγῳ περὶ αὐτῆς. διστάσειε γὰρ ἄν τις ἐν τῷ γένει πέφυκε καὶ ἐν ποίῳ θεῖναι αὐτὴν χρή, καὶ πότερον οὐ ταὐτὸν τὸ ἑκούσιον καὶ τὸ προαιρετὸν ἢ ταὐτόν ἐστιν. μάλιστα δὲ λέγεται παρά τινων, καὶ ζητοῦντι δόξειε δ' ἂν δυοῖν εἶναι θάτερον ἡ προαίρεσις, ἤτοι δόξα ἢ ὄρεξις· ἀμφότερα γὰρ φαίνεται παρακολουθοῦντα. ὅτι μὲν οὖν οὐκ ἔστιν ὄρεξις, φανερόν. ἢ γὰρ βούλησις ἂν εἴη ἢ ἐπιθυμία ἢ θυμός· οὐθεὶς γὰρ ὀρέγεται μηθὲν πεπονθὼς τούτων. θυμὸς μὲν οὖν καὶ ἐπιθυμία καὶ τοῖς θηρίοις ὑπάρχει, προαίρεσις δ' οὔ. ἔτι δὲ καὶ οἷς ὑπάρχει ἄμφω ταῦτα, πολλὰ καὶ ἄνευ θυμοῦ καὶ ἐπιθυμίας προαιροῦνται· καὶ ἐν τοῖς πάθεσιν ὄντες οὐ προαιροῦνται, ἀλλὰ καρτεροῦσιν. ἔτι ἐπιθυμία μὲν καὶ θυμὸς ἀεὶ μετὰ λύπης, προαιρούμεθα δὲ πολλὰ καὶ ἄνευ λύπης. ἀλλὰ μὴν οὐδὲ βούλησις καὶ προαίρεσις ταὐτόν· βούλονται μὲν γὰρ ἔνια καὶ τῶν ἀδυνάτων εἰδότες, οἷον βασιλεύειν τε πάντων ἀνθρώπων καὶ ἀθάνατοι εἶναι, προαιρεῖται δ' οὐθεὶς μὴ ἀγνοῶν ὅτι ἀδύνατον, οὐδ' ὅλως ὃ δυνατὸν μέν, μὴ ἐφ' αὑτῷ δ' οἴεται πρᾶξαι ἢ μὴ πρᾶξαι. ὥστε τοῦτο μὲν φανερόν, ὅτι ἀνάγκη τὸ προαιρετὸν τῶν ἐφ' αὑτῷ τι εἶναι.

δὲ om P^b. ‖ 4. ὃ — ὑπολαμβάνουσιν om M^b. ‖ 7. ἑκόντες om P^b. ‖ αὐτὸ] οὗτοι P^b. ‖ 9. ἑαυτῷ M^b. ‖ 10. ἢ ὑπάρξαι om
10. ὅσα] ἑκὼν corr P^b. ‖ ἃ — 11. πράττει om P^b. ‖ 14. εἰ] οὐ M^b, ὁ P^b. ‖ 16. δὴ M^bP^b. ‖ 18. ἕνεκα ἢ] ἕνεκα ἂν M^b
μείζονος om M^b. ‖ κακοῦ καὶ ἀπολύσεως M^b. ‖ 19 et 25. ἑαυτῷ M^b. ‖ 22. ἔχομεν om P^b. ‖ 24. ἢ prius om M^b. ‖ 25. μὴ
odices. ‖ 26. τε φέρειν] γε φέρειν M^b. ‖ 33. ὡς M^b. ‖ 36. ἴσ. ἀλλ' οὐχ ἑκόντες λόγοι οὗτοί εἰσιν margo P^b.
δεῖ M^bP^b. ‖ κατὰ τὴν διάνοιαν P^b. ‖ ἐναντία M^b. ‖ 4. πολιάδες P^b. ‖ 5. δ' post τῷ om P^b. ‖ 6. ὃ] ὅτῳ M^bP^b. ‖ 8. πλάτ-
. ‖ 12. ὁ om P^b. ‖ 13. ἀνοῶν P^b. ‖ 18. λέγομεν M^b. ‖ 21. ταυτὰ M^b. ‖ 25. γὰρ om M^b. ‖ 26. μὲν om M^b. ‖ 33. γὰρ]
τὸν M^bP^b. ‖ τε] μὲν M^b. ‖ 35. ὃ δυνατὸν] ἀδύνατον M^bP^b. ‖ 37. τὸ] μὲν τὸ M^b.

ὁμοίως δὲ δῆλον ὅτι οὐδὲ δόξα, ὐδ' ἁπλῶς εἴ τις οἴεταί τι. τῶν γὰρ ἐφ' αὑτῷ τι εἶναι τὸ προαιρετόν, δοξάζομεν δὲ πολλὰ καὶ τῶν ὐκ ὄντων ἐφ' ἡμῖν, οἷον τὴν διάμετρον σύμμετρον. ἔτι ὐκ ἔςι προαίρεσις ἀληθὴς ἢ ψευδής. ὐδὲ δὴ ἡ τῶν ἐφ' αὑτῷ ὄντων πρακτῶν δόξα, ᾗ τυγχάνομεν οἰόμενοι δεῖν τι πράττειν ἢ ὐ πράττειν. κοινὸν δὲ περὶ δόξης· τοῦτο καὶ βυλήσεως· ὐθεὶς γὰρ τέλος ὐθὲν προαιρεῖται, ἀλλὰ τὰ πρὸς τὸ τέλος· λέγω δ' οἷον ὐθεὶς ὑγιαίνειν προαιρεῖται, ἀλλὰ περιπατεῖν ἢ καθῆσθαι τῦ ὑγιαίνειν ἕνεκεν, ὐδ' εὐδαιμονεῖν, ἀλλὰ χρηματίζεσθαι ἢ κινδυνεύειν τῦ εὐδαιμονεῖν ἕνεκα· καὶ ὅλως δηλοῖ ἀεὶ προαιρούμενος τί τε καὶ τίνος ἕνεκα προαιρεῖται, ἔςι δὲ τὸ μὲν τίνος, ὗ ἕνεκα προαιρεῖται ἄλλο, τὸ δὲ τί, ὃ προαιρεῖται ἕνεκα ἄλλυ. βύλεται δέ γε μάλιστα τὸ τέλος, καὶ δοξάζειν δεῖν καὶ ὑγιαίνειν καὶ εὖ πράττειν. ὥςε φανερὸν διὰ τύτων ὅτι ἄλλο καὶ δόξης καὶ βυλήσεως. βούλεσθαι μὲν καὶ δόξα μάλιστα τοῦ τέλους, προαίρεσις δ' ὐκ ἔςιν. ὅτι μὲν ὖν ὐκ ἔςιν ὔτε βύλησις οὔτε δόξα ὔθ' ὑπόληψις ἁπλῶς ἡ προαίρεσις, δῆλον· τί δὲ διαφέρει τύτων, καὶ πῶς ἔχει πρὸς τὸ ἑκύσιον; ἅμα δὲ δῆλον ἔςαι καὶ τί ἐστι προαίρεσις. ἔςι δὴ τῶν δυνατῶν καὶ εἶναι καὶ μὴ τὰ μὲν τοιαῦτα ὥςε ἐνδέχεσθαι βυλεύσασθαι περὶ αὐτῶν, περὶ ἐνίων δ' οὐκ ἐνδέχεται. τὰ μὲν γὰρ δυνατὰ μέν ἐςι καὶ εἶναι καὶ μὴ εἶναι, ἀλλ' ὐκ ἐφ' ἡμῖν αὐτῶν ἡ γένεσίς ἐστιν, ἀλλὰ τὰ μὲν διὰ φύσιν τὰ δὲ δι' ἄλλας αἰτίας γίνεται· περὶ ὧν ὐδεὶς ἂν ὐδ' ἐγχειρήσειε βυλεύεσθαι μὴ ἀγνοῶν. περὶ ὧν δ' ἐνδέχεται μὴ μόνον τὸ εἶναι καὶ μή, ἀλλὰ καὶ τὸ βυλεύσασθαι τοῖς ἀνθρώποις· ταῦτα δ' ἐστὶν ὅσα ἐφ' ἡμῖν ἐςὶ πρᾶξαι ἢ μὴ πρᾶξαι. διὸ οὐ βουλευόμεθα περὶ τῶν ἐν Ἰνδοῖς, ὐδὲ πῶς ἂν ὁ κύκλος τετραγωνισθείη· τὰ μὲν γὰρ ὐκ ἐφ' ἡμῖν, τὸ δ' ὅλως ὐ πρακτόν. ἀλλ' ὐδὲ περὶ τῶν ἐν ἡμῖν πρακτῶν περὶ ἁπάντων. ᾗ καὶ δῆλον ὅτι ὐδὲ δόξα ἁπλῶς ἡ προαίρεσίς ἐςιν. τὰ δὲ προαιρετὰ καὶ πρακτὰ τῶν ἐφ' ἡμῖν ὄντων ἐςίν. διὸ καὶ ἀπορήσειεν ἄν τις, τί δή ποθ' οἱ μὲν ἰατροὶ βουλεύονται περὶ ὧν ἔχυσι τὴν ἐπιστήμην, οἱ δὲ γραμματικοὶ οὔ; αἴτιον δ' ὅτι διχῇ γινομένης τῆς ἁμαρτίας (ἢ γὰρ λογιζόμενοι ἁμαρτάνομεν, ἢ κατὰ τὴν αἴσθησιν αὐτὸ δρῶντες) ἐν μὲν τῇ ἰατρικῇ ἀμφοτέρως ἐνδέχεται ἁμαρτεῖν, ἐν δὲ τῇ γραμματικῇ κατὰ

τὴν αἴσθησιν καὶ πρᾶξιν, περὶ ἧς ἂν σκοπῶσιν, εἰς ἀ ἥξυσιν. ἐπειδὴ ὖν ὔτε δόξα ὔτε βύλησίς ἐςι προαίρεσι ὡς ἑκάτερον, οὐδ' ἄμφω. ἐξαίφνης γὰρ προαιρεῖτ ὐθείς, δοκεῖ δὲ πράττειν καὶ βύλονται. ὡς ἐξ ἀμφο ἄμφω γὰρ ὑπάρχει τῷ προαιρουμένῳ ταῦτα. ἀλλ ἐκ τούτων σκεπτέον. δηλοῖ δέ πως καὶ τὸ ὄνομα α γὰρ προαίρεσις αἵρεσις μέν ἐςιν, ὐχ ἁπλῶς δέ, ἀλλ πρὸ ἑτέρυ· τῦτο δὲ οὐχ οἷόν τε ἄνευ σκέψεως καὶ β διὸ ἐκ δόξης βυλευτικῆς ἐςὶν ἡ προαίρεσις. περὶ μὲν τέλυς ὐδεὶς βυλεύεται, ἀλλὰ τῦτο κεῖται πᾶσι, περὶ εἰς τοῦτο τεινόντων, πότερον τόδε ἢ τόδε συντείνει, ἢ γμένυ τῦτο πῶς ἔςαι. βυλευόμεθα δὲ πάντως τῦτο, ἕ εἰς ἡμᾶς ἀναγάγωμεν τῆς γενέσεως τὴν ἀρχήν. εἰ δὴ ρεῖται μὲν μηθεὶς μὴ παρασκευασάμενος μηδὲ βυλευ νος ἢ χεῖρον ἢ βέλτιον, βύλεται δ' ὅσα ἐφ' ἡμῖν ἐσ δυνατῶν καὶ εἶναι καὶ μὴ τῶν πρὸς τὸ τέλος, δῆλον προαίρεσις μέν ἐςιν ὄρεξις τῶν ἐφ' αὑτῷ βυλευτική. τες γὰρ βυλόμεθα ἃ καὶ προαιρύμεθα, ὐ μέντοι γε λόμεθα, πάντα προαιρύμεθα. λέγω δὲ βυλευτικήν, ἧς καὶ αἰτία βύλευσίς ἐςι, καὶ ὀρέγεται διὰ τὸ βυλεύσ διὸ ὔτε ἐν τοῖς ἄλλοις ζῴοις ἐςὶν ἡ προαίρεσις, ὔτε ἐν ἡλικίᾳ, ὔτε παντὸς ἔχοντος ἀνθρώπυ. ὐδὲ γὰρ τὸ βυ σασθαι, οὔθ' ὑπόληψις τοῦ διὰ τί, ἀλλὰ δοξάσαι ποιητέον ἢ μὴ ποιητέον ὐθὲν κωλύει πολλοῖς ὑπάρχει δὲ διὰ λογισμῦ ὐκέτι. ἔςι γὰρ βουλευτικὸν τῆς ψυχ θεωρητικὸν αἰτίας τινός. ἡ γὰρ ὗ ἕνεκα μία τῶν αἰτιῶν τὸ μὲν γὰρ διὰ τί αἰτία· οὗ δ' ἕνεκα ἐστὶν ἢ γίγνετ τοῦτ' αἴτιόν φαμεν εἶναι, οἷον τοῦ βαδίζειν ἡ κομιδὴ χρημάτων, εἰ τύτου ἕνεκα βαδίζει. διὸ οἷς μηθεὶς σκοπός, οὐ βουλευτικοί. ὥστ' ἐπεὶ τὸ μὲν ἐφ' αὑτῷ πράττειν ἢ μὴ πράττειν, ἐάν τις πράττῃ ἢ ἀπρακ αὑτὸν καὶ μὴ δι' ἄγνοιαν, ἑκὼν πράττει ἢ ἀπρακτεῖ, π δὲ τῶν τοιύτων πράττομεν ὐ βυλευσάμενοι ὐδὲ προνοήσ ἀνάγκη τὸ μὲν προαιρετὸν ἅπαν ἑκύσιον εἶναι, τὸ δ' ἑ μὴ προαιρετόν, καὶ τὰ μὲν κατὰ προαίρεσιν πάντα ἑ εἶναι, τὰ δ' ἑκούσια μὴ πάντα κατὰ προαίρεσιν. ἅμ ἐκ τύτων φανερὸν καὶ ὅτι καλῶς διορίζονται οἱ τῶν ν μάτων τὰ μὲν ἑκύσια τὰ δ' ἀκύσια τὰ δ' ἐκ προνοί

τὸ πρ[illegible] [illegible]ται, τὰ πρὸς [illegible]λος.

1. τι om P^b. ‖ 4. ἢ M^b. ‖ 5. δόξαν ἢ M^b. ‖ 6. τι om P^b. ‖ ἢ ὐ πράττειν om P^b. ‖ 9. ἕνεκα M^b. ‖ 13. γε om 15. καὶ post ἄλλο om M^b. ‖ 17. ὖν om P^b. ‖ 22. αὐτῆς M^b. ‖ δυνατόν, ut videtur, P^b. ‖ 25. βυλεύσασθαι M^b. ‖ 27. συμβυλεύσασθαι P^b. ‖ 28. ἢ] καὶ M^b. ‖ 30. τὰ δ' ὅλως οὐ πρακτά M^b. ‖ 31. ἀλλ' et ἐν om P^b. ‖ ᾗ om M^b. ‖ 32. ἐςι M^b. ‖ προαιρετικὰ P^b.

2. ἐςι προαίρεσις om P^b. ‖ 5. γὰρ] ὖν M^b. ‖ 8. πρὸς ἑτέρυ P^b, πρὸς ἕτερον M^b. ‖ 12. δὲ τῦτο πάντες ἕως ἂν ἢ εἰς P^b. ‖ καὶ ante εἶναι om M^b. ‖ 18. βυλευόμεθα M^bP^b. ‖ ὐ — 19. προαιρύμεθα om M^b. ‖ 20. βυλεύεσθαι M^b. ‖ 26. ἡ] εἰ M^b. ‖ μ 27. ἕνεκα om M^b.

σιν· εἰ γὰρ καὶ μὴ διακριβοῦσιν, ἀλλ᾽ ἅπτονταί γέ
ἀληθείας. ἀλλὰ περὶ μὲν τούτων ἐροῦμεν ἐν τῇ περὶ
καίων ἐπισκέψει· ἡ δὲ προαίρεσις ὅτι οὔτε ἁπλῶς βού-
οὔτε δόξα ἐστί, δῆλον, ἀλλὰ δόξα τε καὶ ὄρεξις, ὅταν
βουλεύσασθαι συμπερανθῶσιν. ἐπεὶ δὲ βουλεύεται ἀεὶ
υόμενος ἕνεκά τινος, καὶ ἐστὶ σκοπός τις ἀεὶ τῷ βου-
ένῳ πρὸς ὃν σκοπεῖ τὸ συμφέρον, περὶ μὲν τοῦ τέλους
ουλεύεται, ἀλλὰ τοῦτ᾽ ἐστὶν ἀρχὴ καὶ ὑπόθεσις, ὥσπερ
θεωρητικαῖς ἐπιστήμαις ὑποθέσεις. εἴρηται δὲ περὶ
ἐν μὲν τοῖς ἐν ἀρχῇ βραχέως, ἐν δὲ τοῖς ἀναλυτι-
ἀκριβείας. περὶ δὲ τῶν πρὸς τὸ τέλος φερόντων ἡ
καὶ μετὰ τέχνης καὶ ἄνευ τέχνης πᾶσίν ἐστιν, οἷον
εμῶσιν ἢ μὴ πολεμῶσι τοῦτο βουλευομένοις. ἐκ προτέρου
λλον ἔσται τὸ δι᾽ ὅ, τοῦτ᾽ ἐστὶ τὸ οὗ ἕνεκα, οἷον πλοῦτος
ἢ ἤ τι ἄλλο τοιοῦτον ὃ τυγχάνει οὗ ἕνεκα. βουλεύεται
βουλευόμενος, ἢ ἀπὸ τοῦ τέλους ἔσκεπται, ὅτι ἐκεῖ
ει ὅπως εἰς αὐτὸν ἀγάγῃ, ἢ αὐτὸς δύναται πρὸς τὸ
τὸ δὲ τέλος ἐστὶ φύσει μὲν ἀεὶ ἀγαθόν, καὶ περὶ οὗ
μέρος βουλεύονται, οἷον ἰατρὸς βουλεύσαιτο ἂν εἰ δῴη
κον, καὶ στρατηγὸς ποῦ στρατοπεδεύσηται. οἷς ἀγαθὸν
ος τὸ ἁπλῶς ἄριστόν ἐστιν. παρὰ φύσιν δὲ καὶ δια-
ν οὐ τὸ ἀγαθόν, ἀλλὰ τὸ φαινόμενον ἀγαθόν. αἴτιον
τῶν ὄντων τὰ μὲν οὐκ ἔστιν ἐπ᾽ ἄλλῳ χρήσασθαι ἢ
πέφυκεν, οἷον ὄψει· οὐ γὰρ οἷόν τ᾽ ἰδεῖν οὗ μή ἐστιν
οὐδ᾽ ἀκοῦσαι οὗ μή ἐστιν ἀκοή· ἀλλ᾽ ἀπὸ ἐπιστήμης
καὶ οὗ μή ἐστιν ἡ ἐπιστήμη. οὐ γὰρ ὁμοίως τῆς ὑγιείας
ἐπιστήμη καὶ νόσου, ἀλλὰ τῆς μὲν κατὰ φύσιν τῆς
ὰ φύσιν. ὁμοίως δὲ καὶ ἡ βούλησις φύσει μὲν τοῦ
ἐστί, παρὰ φύσιν δὲ καὶ τοῦ κακοῦ, καὶ βούλεται φύ-
ν τὸ ἀγαθόν, παρὰ φύσιν δὲ καὶ διαστροφὴν καὶ τὸ
ἀλλὰ μὴν ἑκάστου γε φθορὰ καὶ διαστροφὴ οὐκ εἰς τὸ
ἀλλ᾽ εἰς τὰ ἐναντία καὶ τὰ μεταξύ. οὐ γὰρ ἔστιν
ἐκ τούτων, ἐπεὶ καὶ ἡ ἀπάτη οὐκ εἰς τὰ τυχόντα
, ἀλλ᾽ εἰς τὰ ἐναντία ὅσοις ἐστὶν ἐναντία, καὶ εἰς
τῶν ἐναντίων ἃ κατὰ τὴν ἐπιστήμην ἐναντία ἐστίν.
ἄρα καὶ τὴν ἀπάτην καὶ τὴν προαίρεσιν ἀπὸ τοῦ
πὶ τὰ ἐναντία γίνεσθαι. ἐναντία δὲ τῷ μέσῳ καὶ τὸ
καὶ τὸ ἔλαττον. αἴτιον δὲ τὸ ἡδὺ καὶ τὸ λυπηρόν·
ὰρ ἔχει ὥστε τῇ ψυχῇ φαίνεσθαι τὸ μὲν ἡδὺ ἀγαθὸν
ἥδιον ἄμεινον, καὶ τὸ λυπηρὸν κακὸν καὶ τὸ λυπη-

ρότερον χεῖρον. ὥστε καὶ ἐκ τούτων δῆλον ὅτι περὶ ἡδονὰς καὶ λύπας ἡ ἀρετὴ καὶ ἡ κακία. περὶ μὲν γὰρ τὰ προαιρετὰ τυγχάνουσιν οὖσαι, ἡ δὲ προαίρεσις περὶ τὸ ἀγαθὸν καὶ κακὸν καὶ τὰ φαινόμενα, τοιαῦτα δὲ φύσει ἡδονὴ καὶ λύπη. ἀνάγκη τοίνυν, ἐπειδὴ ἀρετὴ μὲν ἡ ἠθικὴ αὐτή τε μεσότης τις ἐστὶ καὶ περὶ ἡδονὰς καὶ λύπας πᾶσα, ἡ δὲ κακία ἐν ὑπερβολῇ καὶ ἐλλείψει καὶ περὶ ταὐτὰ τῇ ἀρετῇ, τὴν ἀρετὴν εἶναι τὴν ἠθικὴν ἕξιν προαιρετικὴν μεσότητος τῆς πρὸς ἡμᾶς ἐν ἡδέσι καὶ λυπηροῖς, καθ᾽ ὅσα ποιός τις λέγεται τὸ ἦθος, ἢ χαίρων ἢ λυπούμενος· ὁ γὰρ φιλόγλυκος ἢ φιλόπικρος οὐ λέγεται ποιός τις τὸ ἦθος.

Τούτων δὲ διωρισμένων λέγωμεν πότερον ἡ ἀρετὴ ἀνα- 11
μάρτητον ποιεῖ τὴν προαίρεσιν καὶ τὸ τέλος ὀρθόν, οὕτως ὥστε οὗ ἕνεκα δεῖ προαιρεῖσθαι, ἢ ὥσπερ δοκεῖ τισί, τὸν λόγον. ἔστι δὲ τοῦτο ἐγκράτεια· αὕτη γὰρ οὐ διαφθείρει τὸν λόγον. ἔστι δ᾽ ἀρετὴ καὶ ἐγκράτεια ἕτερον. λεκτέον δ᾽ ὕστερον περὶ αὐτῶν, ἐπεὶ ὅσοις γε δοκεῖ τὸν λόγον ὀρθὸν παρέχειν ἡ ἀρετή, τοῦτο αἴτιον. ἡ μὲν ἐγκράτεια τοιοῦτον, τῶν ἐπαινετῶν δ᾽ ἡ ἐγκράτεια. λέγομεν δὲ προαπορήσαντες. ἔστι γὰρ τὸν μὲν σκοπὸν ὀρθὸν εἶναι, ἐν δὲ τοῖς πρὸς τὸν σκοπὸν διαμαρτάνειν· ἔστι δὲ τὸν μὲν σκοπὸν ἡμαρτῆσθαι, τὰ δὲ πρὸς ἐκεῖνον περαίνοντα ὀρθῶς ἔχειν, καὶ μηδέτερον. πότερον δ᾽ ἡ ἀρετὴ ποιεῖ τὸν σκοπὸν ἢ τὰ πρὸς τὸν σκοπόν; τιθέμεθα δὴ ὅτι τὸν σκοπόν, διότι τούτου οὐκ ἔστι συλλογισμὸς οὐδὲ λόγος. ἀλλὰ δὴ ὥσπερ ἀρχὴ τοῦτο ὑποκείσθω. οὔτε γὰρ ἰατρὸς σκοπεῖ εἰ δεῖ ὑγιαίνειν ἢ μή, ἀλλ᾽ εἰ περιπατεῖν ἢ μή, οὔτε ὁ γυμναστικὸς εἰ δεῖ εὖ ἔχειν ἢ μή, ἀλλ᾽ εἰ παλαῖσαι ἢ μή. ὁμοίως δ᾽ οὐδ᾽ ἄλλη οὐδεμία περὶ τοῦ τέλους· ὥσπερ γὰρ ταῖς θεωρητικαῖς αἱ ὑποθέσεις ἀρχαί, οὕτω καὶ ταῖς ποιητικαῖς τὸ τέλος ἀρχὴ καὶ ὑπόθεσις. ἐπειδὴ δεῖ τόδε ὑγιαίνειν, ἀνάγκη τοδὶ ὑπάρξαι, εἰ ἔσται ἐκεῖνο, ὥσπερ ἐκεῖ, εἰ ἔστι τὸ τρίγωνον δύο ὀρθαί, ἀνάγκη τοδὶ εἶναι. τῆς μὲν οὖν νοήσεως ἀρχὴ τὸ τέλος, τῆς δὲ πράξεως ἡ τῆς νοήσεως τελευτή. εἰ οὖν πάσης ὀρθότητος ἢ ὁ λόγος ἢ ἡ ἀρετὴ αἰτία, εἰ μὴ ὁ λόγος, διὰ τὴν ἀρετὴν ἂν ὀρθὸν εἴη τὸ τέλος, ἀλλ᾽ οὐ τὰ πρὸς τὸ τέλος. τέλος δ᾽ ἐστὶ τὸ οὗ ἕνεκα. ἔστι γὰρ πᾶσα προαίρεσις τινὸς καὶ ἕνεκά τινος. οὗ μὲν οὖν ἕνεκα τὸ μέσον ἐστίν, οὗ αἰτία ἡ ἀρετὴ τὸ προαιρεῖσθαι οὗ ἕνεκα. ἔστι μέντοι ἡ προαίρεσις οὐ τούτου, ἀλλὰ τῶν τούτου ἕνεκα. τὸ μὲν οὖν τυγχάνειν τούτων ἄλλης δυνάμεως, ὅσα ἕνεκα τοῦ τέλους δεῖ

συμπερασθῶσιν P^b. ‖ 13. ἢ μὴ πολεμῶσι om P^b. ‖ 14. ὅ] οὗ M^b. ‖ 16. ἢ] εἰ P^b. ‖ 19. δοίη M^b. ‖ 20. τοῦ M^b. ‖ 24. τ᾽ P^b. ‖ 32. τὰ post καὶ om M^b. ‖ 37. καὶ om M^b. ‖ 39. οὕτω — 40. λυπηρὸν om P^b.
ἐπειδὴ ἡ ἀρετὴ M^b. ‖ 6. τις om M^b. ‖ 7. καὶ ante περὶ om P^b. ‖ 12. λέγομεν P^b. ‖ 24. λογισμὸς P^b. ‖ 26. ἀλλ᾽ — μή . ‖ 27. ὁ om M^b. ‖ 28. γάρ] καὶ M^b. ‖ 34. ὁ et ἡ om M^b. ‖ 35. ὀρθὸν ἂν M^b.

πράττειν· τ̃ δὲ τὸ τέλος ὀρθὸν εἶναι τῆς προαιρέσεως, ȣ̃ ἡ ἀρετὴ αἰτία. καὶ διὰ τοῦτο ἐκ τῆς προαιρέσεως κρίνομεν ποῖός τις· τ̃το δ' ἐστὶ τὸ τίνος ἕνεκα πράττει, ἀλλ' οὐ τί πράττει. ὁμοίως δὲ καὶ ἡ κακία τῶν ἐναντίων ἕνεκα ποιεῖ τὴν προαίρεσιν. εἰ δή τις, ἐφ' αὐτῷ ὂν πράττειν μὲν τὰ καλὰ ἀπρακτεῖν δὲ τὰ αἰσχρά, τὐναντίον ποιεῖ, δῆλον ὅτι ȣ̓ σπȣδαῖός ἐςιν ȣ̃τος ὁ ἄνθρωπος. ὥς' ἀνάγκη τήν τε κακίαν ἑκȣ́σιον εἶναι καὶ τὴν ἀρετήν· ȣ̓δεμία γὰρ ἀνάγκη τὰ μοχθηρὰ πράττειν. διὰ ταῦτα καὶ ψεκτὸν ἡ κακία καὶ ἡ ἀρετὴ ἐπαινετόν· τὰ γὰρ ἀκȣ́σια αἰσχρὰ καὶ κακὰ ȣ̓ ψεκτά, ȣ̓δὲ τὰ ἀγαθὰ ἐπαινετά, ἀλλὰ τὰ ἑκȣ́σια. ἔτι πάντας ἐπαινοῦμεν καὶ ψέγομεν εἰς τὴν προαίρεσιν βλέποντες μᾶλλον ἢ εἰς τὰ ἔργα· καίτοι αἱρετώτερον ἡ ἐνέργεια τῆς ἀρετῆς. ἔτι πράττουσι μὲν φαῦλα καὶ ἀναγκαζόμενοι, προαιρεῖται δ' οὐδείς. ἔτι διὰ τὸ μὴ ῥᾴδιον εἶναι ἰδεῖν τὴν προαίρεσιν ὁποία τις, διὰ ταῦτα ἐκ τῶν ἔργων ἀναγκαζόμεθα κρίνειν ποῖός τις. αἱρετώτερον μὲν ȣ̃ν ἡ ἐνέργεια, ἐπαινετώτερον δ' ἡ προαίρεσις. ἔκ τε τῶν κειμένων ȣ̃ν συμβαίνει ταῦτα, καὶ ἔτι ὁμολογεῖται τοῖς φαινομένοις.

Γ.

Ὅτι μὲν οὖν μεσότητες εἰσί τε ἐν ταῖς ἀρεταῖς, καὶ αὗται προαιρετικαί, καὶ αἱ ἐναντίαι κακίαι, καὶ τίνες εἰσὶν αὗται, καθόλȣ εἴρηται· καθ' ἑκάςην δὲ λαμβάνοντες λέγωμεν ἐφεξῆς, καὶ πρῶτον εἴπωμεν περὶ ἀνδρείας. σχεδὸν δὴ δοκεῖ πᾶσιν ὅ τ' ἀνδρεῖος εἶναι περὶ φόβȣς, καὶ ἡ ἀνδρεία μία τῶν ἀρετῶν. διείλομεν δ' ἐν τῇ διαγραφῇ πότερον θράσος καὶ φόβος ἐναντία· καὶ γάρ ἐςί πως ἀντικείμενα ἀλλήλοις. δῆλον ȣ̃ν ὅτι καὶ οἱ κατὰ τὰς ἕξεις ταύτας λεγόμενοι ὁμοίως ἀντικείσονται σφίσιν αὐτοῖς, οἷον ὁ δειλός (οὗτος γὰρ λέγεται κατὰ τὸ φοβεῖσθαι μᾶλλον ἢ δεῖ καὶ θαρρεῖν ἧττον ἢ δεῖ) καὶ ὁ θρασύς· καὶ γὰρ ȣ̃τος κατὰ τὸ τοιοῦτος εἶναι οἷος φοβεῖσθαι μὲν ἧττον ἢ δεῖ, θαρρεῖν δὲ μᾶλλον ἢ δεῖ. διὸ καὶ παρωνυμιάζεται· ὁ γὰρ θρασὺς παρὰ τὸ θράσος λέγεται παρωνύμως. ὥστ' ἐπεὶ ἡ ἀνδρεία ἐστὶν ἡ βελτίστη ἕξις περὶ φόβους καὶ θάρρη, δεῖ δὲ μήθ' ȣ̃τως ὡς οἱ θρασεῖς (τὰ μὲν γὰρ ἐλλείπȣσι, τὰ δ' ὑπερβάλλȣσι) μήθ' οὕτως ὡς οἱ δειλοί (καὶ γὰρ οὗτοι ταὐτὸ ποιȣ̃σι, πλὴν ȣ̓ περὶ ταὐτὰ ἀλλ' ἐξ ἐναντίας· τῷ μὲν γὰ[ρ] ἐλλείπουσι, τῷ δὲ φοβεῖσθαι ὑπερβάλλουσι), δῆ[λον ὅτι ἡ] μέση διάθεσις θρασύτητος καὶ δειλίας ἐστὶν ἀνδρεί[α· αὕτη] γὰρ βελτίστη. δοκεῖ δ' ὁ ἀνδρεῖος ἄφοβος εἶναι ὡ[ς ἐπὶ τὸ] πολύ, ὁ δὲ δειλὸς φοβητικός, καὶ ὁ μὲν καὶ π[ολλὰ καὶ] ὀλίγα καὶ μεγάλα καὶ μικρὰ φοβεῖσθαι, καὶ σφ[όδρα καὶ] ταχύ, ὁ δὲ τὸ ἐναντίον ἢ οὐ φοβεῖσθαι ἢ ἠρέμα κ[αὶ μόλις] καὶ ὀλιγάκις καὶ μεγάλα. καὶ ὁ μὲν ὑπομένει τ[ὰ φοβερὰ] σφόδρα, ὁ δὲ ȣ̓δὲ τὰ ἠρέμα. ποῖα οὖν ὑπομένει ὁ [ἀνδρεῖος] πρῶτον; πότερον τὰ αὐτῷ φοβερὰ ἢ τὰ ἑτέρῳ; [εἰ μὲν] τὰ ἑτέρῳ φοβερά, ȣ̓θὲν σεμνὸν φαίη ἄν τις εἶναι· [εἰ δὲ τὰ] αὐτῷ, εἴη ἂν αὐτῷ μεγάλα καὶ φοβερὰ φόβου [ποιητικὰ] ἑκάςῳ ᾧ φοβερά, οἷον εἰ μὲν σφόδρα φοβερά, εἴη [ἂν ἰσχυ]ρὸς ὁ φόβος, εἰ δ' ἠρέμα, ἀσθενής. ὥςε συμβαίνε[ι τὸν ἀν]δρεῖον μεγάλους φόβους καὶ πολλοὺς ποιεῖσθαι· [δοκεῖ δὲ] τοὐναντίον ἡ ἀνδρεία ἄφοβον παρασκευάζειν, τοῦτ[ο δ' εἶναι] ἐν τῷ ἢ μηθὲν ἢ ὀλίγα φοβεῖσθαι, καὶ ἠρέμα κα[ὶ μόλις.] ἀλλ' ἴσως τὸ φοβερὸν λέγεται, ὥσπερ καὶ τὸ ἡδὺ κα[ὶ τὸ ἀγα]θόν, διχῶς. τὰ μὲν γὰρ ἁπλῶς, τὰ δὲ τινὶ μὲν κ[αὶ ἡδέα] καὶ ἀγαθά ἐςιν, ἁπλῶς δ' ȣ̓, ἀλλὰ τὐναντίον φα[ῦλα καὶ] οὐχ ἡδέα, ὅσα τοῖς πονηροῖς ὠφέλιμα, καὶ ὅσα ἡ[δέα τοῖς] παιδίοις ᾗ παιδία. ὁμοίως δὲ καὶ τὰ φοβερὰ [τὰ μὲν] ἁπλῶς ἐστί, τὰ δὲ τινί. ἃ μὲν δὴ δειλὸς φοβεῖτα[ι ᾗ δει]λός, τὰ μὲν οὐδενί ἐστι φοβερά, τὰ δ' ἠρέμα· τὰ [δὲ τοῖς] πλείςοις φοβερά, καὶ ὅσα τῇ ἀνθρωπίνῃ φύσει, ταῦθ' [ἁπλῶς] φοβερὰ λέγομεν. ὁ δ' ἀνδρεῖος πρὸς ταῦτα ἔχει ἀ[φόβως] καὶ ὑπομένει τὰ τοιαῦτα φοβερά, ἃ ἔστι μὲν ὡς [φοβερὰ] αὐτῷ, ἔςι δ' ὡς ȣ̓, ᾗ μὲν ἄνθρωπος, φοβερά, ᾗ δ' ἀ[νδρεῖος,] οὐ φοβερὰ ἀλλ' ἢ ἠρέμα ἢ οὐδαμῶς. ἔστι μέντοι φ[οβερὰ] ταῦτα· τοῖς γὰρ πλείστοις φοβερά. διὸ καὶ ἐπαινε[ῖται ἡ] ἕξις· ὥσπερ γὰρ ὁ ἰσχυρὸς καὶ ὑγιεινὸς ἔχει. κα[ὶ γὰρ] ȣ̃τοι ȣ̓ τῷ ὑπὸ μηθενὸς ὁ μὲν πόνȣ τρίβεσθαι, ὁ δ' ὑπ[ὸ μη]δεμιᾶς ὑπερβολῆς, τοιȣ̃τοί εἰσιν, ἀλλὰ τῷ ὑπὸ τȣ́των [ἢ ἀπα]θεῖς εἶναι, ἢ ἁπλῶς ἢ ἠρέμα, ὑφ' ὧν οἱ πολλοὶ καὶ οἱ [πλεῖ]στοι. οἱ μὲν οὖν νοσώδεις καὶ ἀσθενεῖς καὶ δειλοὶ κ[αὶ ὑπὸ] τῶν κοινῶν παθημάτων πάσχουσί τι, πλὴν θᾶττον [καὶ] μᾶλλον ἢ οἱ πολλοί· καὶ ἔτι ὑφ' ὧν οἱ πολλοὶ πά[σχουσιν,] ὑπὸ ταύτων ἀπαθεῖς ἢ ὅλως ἢ ἠρέμα. ἀπορεῖται δ' [εἰ τῷ] ἀνδρείῳ ȣ̓θέν ἐςι φοβερόν, ȣ̓δ' ἂν φοβηθείη. ἢ ȣ̓θὲν κ[…]

2. αἰτία om P^b. ‖ 10. ἀκȣ́σια M^b. ‖ ψέγεται P^b. ‖ 11. ἐπαινεῖται P^b. ‖ 14. ὅτι M^bP^b. ‖ 15. μὴ om M^b. ‖ 17. […] M^b. ‖ 23. ταῖς om P^b. ‖ 24. αἱ om P^b. ‖ 25. λέγομεν P^b. ‖ 27. εἶναι om M^b. ‖ 28. πότερον καὶ θράσος καὶ P^b. ‖ 31. ἀ[…]ται M^b. ‖ 33. ὁ τοιȣ̃τος P^b. ‖ 34. τοιȣ̃τον εἶναι οἷον M^b. ‖ 36. ἐπεὶ ἡ] ἐπὶ τῇ M^b. ‖ 37. μηδ' M^b. ‖ 39. ταυτὰ M^b.

1. πλὴν ὡς ȣ̓ P^b. ‖ 5. καὶ post μὲν om M^b. ‖ 10. πρῶτον om P^b. ‖ πότερον δὲ τὰ P^b. ‖ 12. καὶ] καὶ πολλὰ P^b. ‖ 1[…] ἂν om P^b. ‖ 16. φόβον M^b. ‖ 20. καὶ ante ἀγαθά om M^b. ‖ 26. φοβερὰ om M^b. ‖ 27. ἃ — 28. φοβερά om M^b. ‖ 28. […] ᾗ om M^b. ‖ 31. γὰρ ante ὁ om M^b. ‖ 36. καινῶν M^b.

ημένον τρόπον; ἡ γὰρ ἀνδρεία ἀκολούθησις τῷ λόγῳ
δὲ λόγος τὸ καλὸν αἱρεῖσθαι κελεύει. διὸ καὶ ὁ μὴ
τον ὑπομένων αὐτά, ὗτος ἤτοι ἐξέστηκεν ἢ θρασύς· ὁ
τὸ καλὸν ἄφοβος καὶ ἀνδρεῖος μόνος. ὁ μὲν ὖν δει-
ι ἃ μὴ δεῖ φοβεῖται, ὁ δὲ θρασὺς καὶ ἃ μὴ δεῖ
· ὁ δ' ἀνδρεῖος ἄμφω ἃ δεῖ, καὶ ταύτῃ μέσος ἐςίν.
ἂν ὁ λόγος κελεύῃ, ταῦτα καὶ θαρρεῖ καὶ φοβεῖται.
λόγος τὰ μεγάλα λυπηρὰ καὶ φθαρτικὰ οὐ κελεύει
νειν, ἂν μὴ καλὰ ᾖ. ὁ μὲν ὖν θρασύς, καὶ εἰ μὴ κε-
ταῦτα θαρρεῖ, ὁ δὲ δειλὸς οὐδ' ἂν κελεύῃ· ὁ δ' ἀν-
μόνος, ἐὰν κελεύῃ. ἔςι δ' εἴδη ἀνδρείας πέντε λεγό-
καθ' ὁμοιότητα· τὰ αὐτὰ γὰρ ὑπομένυσιν, ἀλλ' ὐ διὰ
τά. μία μὲν πολιτική· αὕτη δ' ἐςὶν ἡ δι' αἰδῶ ὖσα.
ι ἡ ςρατιωτική· αὕτη δὲ δι' ἐμπειρίαν καὶ τὸ εἰδέναι,
περ Σωκράτης ἔφη, τὰ δεινά, ἀλλ' ὅτι τὰς βοηθείας
ινῶν. τρίτη δ' ἡ δι' ἀπειρίαν καὶ ἄγνοιαν, δι' ἣν τὰ
καὶ οἱ μαινόμενοι οἱ μὲν ὑπομένουσι τὰ φερόμενα,
λαμβάνυσι τὺς ὄφεις. ἄλλη δ' ἡ κατ' ἐλπίδα, καθ'
τε κατευτυχηκότες πολλάκις ὑπομένυσι τὺς κινδύνυς
μεθύοντες· εὐέλπιδας γὰρ ποιεῖ ὁ οἶνος. ἄλλη δὲ
ίθος ἀλόγιςον, οἷον δι' ἔρωτα καὶ θυμόν. ἄν τε γὰρ
ρασὺς μᾶλλον ἢ δειλός, καὶ ὑπομένει πολλὺς κινδύ-
ωπερ ὁ ἐν Μεταποντίῳ τὸν τύραννον ἀποκτείνας καὶ ὁ
ήτῃ μυθολογύμενος· καὶ δι' ὀργὴν καὶ θυμὸν ὡσαύ-
ἐκστατικὸν γὰρ ὁ θυμός. διὸ καὶ οἱ ἄγριοι θῆρες ἀν-
δοκοῦσιν εἶναι, οὐκ ὄντες· ὅταν γὰρ ἐκςῶσι, τοιῦτοι
ἰ δὲ μή, ἀνώμαλοι, ὥσπερ οἱ θρασεῖς. ὅμως δὲ μά-
φυσικὴ ἡ τοῦ θυμῦ· ἀήττητον γὰρ ὁ θυμός, διὸ καὶ
δες ἄριστα μάχονται. διὰ νόμον δὲ ἡ πολιτικὴ ἀν-
κατ' ἀλήθειαν δὲ οὐδεμία τούτων, ἀλλὰ πρὸς τὰς
ελεύσεις τὰς ἐν τοῖς κινδύνοις χρήσιμα ταῦτα πάντα.
τῶν φοβερῶν νῦν μὲν ἁπλῶς εἰρήκαμεν, βέλτιον δὲ
σθαι μᾶλλον. ὅλως μὲν ὖν φοβερὰ λέγεται τὰ ποιη-
όβυ. τοιαῦτα δ' ἐςὶν ὅσα φαίνεται ποιητικὰ λύπης
κῆς· τοῖς γὰρ ἄλλην τινὰ προσδεχομένοις λύπην
μὲν ἄν τις ἴσως λύπη γένοιτο καὶ πάθος ἕτερον, φό-
ὐκ ἔσται, οἷον εἴ τις προορῷτο ὅτι λυπήσεται λύπην
φθονῦντες λυπῦνται, ἢ τοιαύτην οἵαν οἱ ζηλῦντες ἢ οἱ
όμενοι. ἀλλ' ἐπὶ μόναις ταῖς τοιαύταις φαινομέναις
λύπαις φόβος γίνεται, ὅσων ἡ φύσις ἀναιρετικὴ τῦ

ζῆν. διὸ καὶ σφόδρα τινὲς ὄντες μαλακοὶ περὶ ἔνια ἀνδρεῖοί εἰσι, καὶ ἔνιοι σκληροὶ καὶ καρτερικοὶ καὶ δειλοί. καὶ δὴ δοκεῖ σχεδὸν ἴδιον τῆς ἀνδρείας εἶναι τὸ περὶ τὸν θάνατον καὶ τὴν τύτυ λύπην ἔχειν πῶς· εἰ γάρ τις εἴη τοιῦτος οἷος πρὸς ἀλέας καὶ ψύχη καὶ τὰς τοιαύτας λύπας ὑπομενετικός, ὡς ὁ λόγος, ἀκινδύνους οὔσας, πρὸς δὲ τὸν θάνατον καὶ μαλακὸς καὶ περίφοβος, μὴ δι' ἄλλο τι πάθος ἀλλὰ δι' αὐτὴν τὴν φθοράν, ἄλλος δὲ πρὸς μὲν ἐκείνας μαλακός, πρὸς δὲ τὸν θάνατον ἀπαθής, ἐκεῖνος μὲν ἂν εἶναι δόξειε δειλός, ὗτος δ' ἀνδρεῖος. καὶ γὰρ κίνδυνος ἐπὶ τοῖς τοιύτοις λέγεται μόνοις τῶν φοβερῶν, ὅταν πλησίον ᾖ τὸ τῆς τοιαύτης φθορᾶς ποιητικόν. φαίνεται δὲ κίνδυνος, ὅταν πλησίον φαίνεται. τὰ μὲν οὖν φοβερά, περὶ ὅσα φαμὲν εἶναι τὸν ἀνδρεῖον, εἴρηται δὴ ὅτι τὰ φαινόμενα ποιητικὰ λύπης τῆς φθαρτικῆς· ταῦτα μέντοι πλησίον τε φαινόμενα καὶ μὴ πόρρω, καὶ τοσαῦτα τῷ μεγέθει ὄντα ἢ φαινόμενα ὥστ' εἶναι σύμμετρα πρὸς ἄνθρωπον. ἔνια γὰρ ἀνάγκη παντὶ φαίνεσθαι ἀνθρώπῳ φοβερὰ καὶ διαταράττειν· οὐθὲν γὰρ κωλύει, ὥσπερ θερμὰ καὶ ψυχρὰ καὶ τῶν ἄλλων δυνάμεων ἐνίας ὑπὲρ ἡμᾶς εἶναι καὶ τὰς τῦ ἀνθρωπίνυ σώματος ἕξεις, ὕτω καὶ τῶν περὶ τὴν ψυχὴν παθημάτων οἱ μὲν δειλοὶ καὶ θρασεῖς διαψεύδονται διὰ τὰς ἕξεις· τῷ μὲν γὰρ δειλῷ τά τε μὴ φοβερὰ δοκεῖ φοβερὰ εἶναι καὶ τὰ ἠρέμα σφόδρα, τῷ δὲ θρασεῖ τοὐναντίον τά τε φοβερὰ θαρραλέα καὶ τὰ σφόδρα ἠρέμα, τῷ δ' ἀνδρείῳ τἀληθῆ μάλιςα. διόπερ οὔτ' εἴ τις ὑπομένει τὰ φοβερὰ δι' ἄγνοιαν, ἀνδρεῖος, οἷον εἴ τις τὺς κεραυνὺς ὑπομένει φερομένυς διὰ μανίαν, ὔτ' εἰ γινώσκων ὅσος ὁ κίνδυνος, διὰ θυμόν, οἷον οἱ Κελτοὶ πρὸς τὰ κύματα ὅπλα ἀπαντῶσι λαβόντες, καὶ ὅλως ἡ βαρβαρικὴ ἀνδρία μετὰ θυμῦ ἐςίν. ἔνιοι δὲ καὶ δι' ἄλλας ἡδονὰς ὑπομένυσιν. καὶ γὰρ ὁ θυμὸς ἡδονὴν ἔχει τινά· μετ' ἐλπίδος γάρ ἐςι τιμωρίας. ἀλλ' ὅμως ὔτ' εἰ διὰ ταύτην ὔτ' εἰ δι' ἄλλην ἡδονὴν ὑπομένει τις τὸν θάνατον ἢ φυγὴν μειζόνων λυπῶν, οὐδεὶς δικαίως ἀνδρεῖος λέγοιτο τύτων. εἰ γὰρ ἦν ἡδὺ τὸ ἀποθνήσκειν, πολλάκις ἂν δι' ἀκρασίαν ἀπέθνησκον οἱ ἀκόλαςοι, ὥσπερ καὶ νῦν αὐτῦ μὲν τῦ ἀποθνήσκειν ὐκ ὄντος ἡδέος, τῶν ποιητικῶν δ' αὐτῦ, πολλοὶ δι' ἀκρασίαν περιπίπτυσιν εἰδότες, ὧν ὐδεὶς ἀνδρεῖος εἶναι δόξειεν, εἰ καὶ πάνυ ἕτοιμος ἀποθνήσκειν. ὔτ' εἰ φεύγοντες τὸ πονεῖν, ὅπερ πολλοὶ ποιοῦσιν, οὐδὲ τῶν τοιύτων οὐθεὶς ἀνδρεῖος, καθάπερ

ἀναιρεῖσθαι M^b. ‖ 11. λεγόμενα πέντε M^b. ‖ 12. τὰ om codices. ‖ 15. τοὺς M^b. ‖ 16. ἡ om M^b. ‖ 17. φερόμενα] φοβερά
20. ἐλπίδας P^b. ‖ 22. καὶ] ἢ M^bP^b. ‖ 25. οἱ om M^b. ‖ σύες P^b. ‖ 32. δὲ τῶν] μὲν τῶν M^b. ‖ 37. λυπήσεται] λύπη ἔςαι
‖ 38. οἱ post ἢν om M^b.

καὶ] καὶ οἱ P^b. ‖ 2. δὴ] δὴ καὶ P^b. ‖ 4. τὴν περὶ τύτυ P^b. ‖ 10. καὶ] ὁ M^b. ‖ 14. δή, ὅτι] διότι M^b. ‖ 15. καὶ — 16.
α om M^b. ‖ 16. καὶ om P^b. ‖ 26. ὑπομένοι P^b. ‖ ἄνοιαν P^b. ‖ 37. δ'] δι' M^b. ‖ 39. ἑτοίμως M^bP^b.

καὶ Ἀγάθων φησὶ "φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι θανεῖν ἐρῶσιν." ὥσπερ καὶ τὸν Χείρωνα μυθολογῦσιν οἱ ποιηταὶ διὰ τὴν ἀπὸ τῦ ἕλκυς ὀδύνην εὔξασθαι ἀποθανεῖν ἀθάνατον ὄντα. παραπλησίως δὲ τύτοις καὶ ὅσοι δι' ἐμπειρίαν ὑπομένυσι τὺς κινδύνυς, ὅνπερ τρόπον σχεδὸν οἱ πλεῖστοι τῶν στρατιωτικῶν ἀνθρώπων ὑπομένουσιν. αὐτὸ γὰρ τοὐναντίον ἔχει ἢ ὡς ᾤετο Σωκράτης, ἐπιστήμην οἰόμενος εἶναι τὴν ἀνδρίαν. ὔτε γὰρ διὰ τὸ εἰδέναι τὰ φοβερὰ θαρρῦσιν οἱ ἐπὶ τὺς ἱςὺς ἀναβαίνειν ἐπιςάμενοι, ἀλλ' ὅτι ἴσασι τὰς βοηθείας τῶν δεινῶν· ὔτε δι' ὃ θαρραλεώτερον ἀγωνίζονται, τῦτο ἀνδρεία. καὶ γὰρ ἂν ἡ ἰσχὺς καὶ ὁ πλῦτος κατὰ Θέογνιν ἀνδρεία εἴεν· πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος. φανερῶς ἔνιοι δειλοὶ ὄντες ὅμως ὑπομένυσι δι' ἐμπειρίαν· τῦτο δέ, ὅτι ὐκ οἴονται κίνδυνον εἶναι· ἴσασι γὰρ τὰς βοηθείας. σημεῖον δέ· ὅταν γὰρ μὴ ἔχειν οἴωνται βοήθειαν, ἀλλ' ἤδη πλησίον ᾖ τὸ δεινόν, οὐχ ὑπομένουσιν. ἀλλὰ πάντων τῶν τοιύτων αἰτίων οἱ διὰ τὴν αἰδῶ ὑπομένοντες μάλιςα φανεῖεν ἀνδρεῖοι, καθάπερ καὶ Ὅμηρος τὸν Ἕκτορά φησιν ὑπομεῖναι τὸν κίνδυνον τὸν πρὸς τὸν Ἀχιλλέα· "Ἕκτορα δ' αἰδὼς εἷλε· Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει." καὶ ἐςὶν ἡ πολιτικὴ ἀνδρία αὕτη. ἡ δ' ἀληθὴς οὔτε αὕτη οὔτ' ἐκείνων ὐδεμία, ἀλλ' ὁμοία μέν, ὥσπερ καὶ ἡ τῶν θηρίων, ἃ διὰ τὸν θυμὸν ὁμόσε τῇ πληγῇ φέρεται. οὔτε γὰρ ὅτι ἀδοξήσει, δεῖ μένειν φοβυμένυς, οὔτε δι' ὀργήν, ὔτε διὰ τὸ μὴ νομίζειν ἀποθανεῖσθαι, ἢ διὰ τὸ δυνάμεις ἔχειν φυλακτικάς· ὐδὲ γὰρ οἰήσεται ὔτω γε φοβερὸν εἶναι ὐθέν. ἀλλ' ἐπειδὴ πᾶσα ἀρετὴ προαιρετική (τῦτο δὲ πῶς λέγομεν, εἴρηται πρότερον, ὅτι ἕνεκά τινος πάντα αἱρεῖσθαι ποιεῖ, καὶ τῦτο ἐςί, τὸ οὗ ἕνεκα, τὸ καλόν), δῆλον ὅτι καὶ ἡ ἀνδρία ἀρετή τις ὖσα ἕνεκά τινος ποιήσει τὰ φοβερὰ ὑπομένειν, ὥς' ὔτε δι' ἄγνοιαν (ὀρθῶς γὰρ μᾶλλον ποιεῖ κρίνειν) ὔτε δι' ἡδονήν, ἀλλ' ὅτι καλόν, ἐπεί, ἄν γε μὴ καλὸν ᾖ ἀλλὰ μανικόν, οὐχ ὑπομένει· αἰσχρὸν γάρ. περὶ ποῖα μὲν ὖν ἐςὶν ἡ ἀνδρεία μεσότης καὶ τίνων καὶ διὰ τί, καὶ τὰ φοβερὰ τίνα δύναμιν ἔχει, σχεδὸν εἴρηται κατὰ τὴν παροῦσαν ἔφοδον ἱκανῶς.

2 Περὶ δὲ σωφροσύνης καὶ ἀκολασίας μετὰ ταῦτα διελέσθαι πειρατέον. λέγεται δ' ὁ ἀκόλαςος πολλαχῶς. ὅ τε γὰρ μὴ κεκολασμένος πως μηδ' ἰατρευόμενος, ὥσπερ ἄτμητος ὁ μὴ τετμημένος, καὶ τύτων ὁ μὲν δυνατὸς ὁ δ' ἀδύνατος· ἄτμητον γὰρ τό τε μὴ δυνάμενον τμηθῆναι, καὶ τὸ δυνατὸν μὲν μὴ τετμημένον δέ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ ἀκόλαςον· καὶ γὰρ τὸ μὴ πεφυκὸς δέχεσθαι κόλασιν, καὶ τὸ πεφυκὸς μὲν μὴ κεκολασμένον δὲ περὶ ἁμαρτίας περὶ ἃς ὀρθοπραγεῖ ὁ σώφρων, ὥσπερ οἱ παῖδες· κατὰ ταύτην γὰρ ἀκόλαστοι λέγονται τὴν ἀκολασίαν. ἔτι δ' ἄλλον τρόπον οἱ δυσίατοι καὶ οἱ ἀνίατοι πάμπαν διὰ κολάσεως. πλεοναχῶς δὲ λεγομένης τῆς ἀκολασίας, ὅτι μὲν περὶ ἡδονάς τινας καὶ λύπας εἰσί, φανερόν, καὶ ὅτι ἐν τῷ περὶ ταύτας διακεῖσθαί πως καὶ ἀλλήλων διαφέρυσι καὶ τῶν ἄλλων· διεγράψαμεν δὲ πρότερον πῶς τὴν ἀκολασίαν ὀνομάζοντες μεταφέρομεν. τὺς γὰρ ἀκινήτως ἔχοντας δι' ἀναισθησίαν πρὸς τὰς αὐτὰς ἡδονὰς οἱ μὲν καλῦσιν ἀναισθήτους, οἱ δ' ἄλλοις ὀνόμασι τοιούτοις προσαγορεύυσιν. ἔστι δ' οὐ πάνυ γνώριμον τὸ πάθος ὐδ' ἐπιπόλαιον διὰ τὸ πάντας ἐπὶ θάτερον ἁμαρτάνειν μᾶλλον καὶ πᾶσιν εἶναι σύμφυτον τὴν τῶν τοιούτων ἡδέων ἧτταν καὶ αἴσθησιν. μάλιστα δ' εἰσὶ τοιῦτοι, οἵυς οἱ κωμῳδοδιδάσκαλοι παράγυσιν ἀγροίκους, οἳ οὐδὲ τὰ μέτρια καὶ τὰ ἀναγκαῖα πλησιάζυσι τοῖς ἡδέσιν. ἐπεὶ δ' ὁ σώφρων ἐςὶ περὶ ἡδονάς, ἀνάγκη καὶ περὶ ἐπιθυμίας τινὰς αὐτὸν εἶναι. δεῖ δὴ λαβεῖν περὶ τίνας. οὐ γὰρ περὶ πάσας οὐδὲ περὶ ἅπαντα τὰ ἡδέα ὁ σώφρων σώφρων ἐςίν, ἀλλὰ τῇ μὲν δόξῃ περὶ δύο τῶν αἰσθητῶν, περί τε τὸ γευστὸν καὶ τὸ ἁπτόν, τῇ δ' ἀληθείᾳ περὶ τὸ ἁπτόν· οὐ γὰρ τὴν διὰ τῆς ὄψεως ἡδονὴν τῶν καλῶν ἄνευ ἐπιθυμίας ἀφροδισίων, ἢ λύπην τῶν αἰσχρῶν, καὶ περὶ τὴν διὰ τῆς ἀκοῆς τῶν εὐαρμόστων ἢ ἀναρμόστων, ἔτι δὲ πρὸς τὰς δι' ὀσφρήσεως, τάς τε ἀπὸ εὐωδίας καὶ τὰς ἀπὸ δυσωδίας, ἐςὶν ὁ σώφρων. οὐδὲ γὰρ ἀκόλαςος ὐδεὶς λέγεται τῷ πάσχειν ἢ μὴ πάσχειν. εἰ γῦν τις ἢ καλὸν ἀνδριάντα θεώμενος ἢ ἵππον ἢ ἄνθρωπον, ἢ ἀκροώμενος ᾄδοντος, μὴ βούλοιτο μήτε ἐσθίειν μήτε πίνειν μήτε ἀφροδισιάζειν, ἀλλὰ τὰ μὲν καλὰ θεωρεῖν τῶν δ' ᾀδόντων ἀκύειν, οὐκ ἂν δόξειεν ἀκόλαςος εἶναι, ὥσπερ ὐδ' οἱ κηλύμενοι παρὰ ταῖς Σειρῆσιν. ἀλλὰ περὶ τὰ δύο τῶν αἰσθητῶν ταῦτα, περὶ ἅπερ καὶ τἆλλα θηρία μόνα τυγχάνει αἰσθητικῶς ἔχοντα καὶ χαίροντα καὶ λυπύμενα, περὶ τὰ γευστὰ καὶ ἁπτά. περὶ δὲ τὰ τῶν ἄλλων αἰσθήσεων ἡδέα σχεδὸν ὁμοίως ἅπαντα φαίνεται

2. καὶ om M^b. ‖ 7. pro ᾤετο lacunam M^b. ‖ 8. τὴν ἀνδρίαν εἶναι M^b. ‖ 11. ἡ om M^b. ‖ 19. τὸν post πρὸς om M^b. ‖ 20. πολυδάμας P^b. ‖ 26. ὔτε codices. ‖ 27. πᾶσά γε ἀρετὴ M^b.

2. μὴ om P^b. ‖ 3. δὲ om M^b. ‖ 8. οἱ post καὶ om M^b. ‖ δι' ἀκολασίας P^b. ‖ 10. εἰσί om M^b. ‖ ταύταις M^b. ‖ 12. [illegible]τερον et ὄνομα P^b. ‖ 16. ἐπιπόλαιον] ἐπὶ πολέως P^b. ‖ 20. παραπλησιάζυσι M^b. ‖ 23. πάντα P^b. ‖ 24. δύο πῶς τῶν M^b. ‖ 28. εὐαρμόστων] ἐναρμόστων M^b. ‖ 35. συρίσιν M^b. ‖ 37. μόνον P^b.

ματός ἐςιν, οἷον ὑποδήματος ἢ ἱματίου, ἡ δὲ κατὰ συμβεβηκὸς μέν, οὐ μέντοι οὕτως ὡς ἂν εἴ τις ςαθμῷ χρήσαιτο τῷ ὑποδήματι, ἀλλ' οἷον ἡ πώλησις καὶ ἡ μίσθωσις· χρῆται γὰρ ὑποδήματι. ὁ δὲ φιλάργυρος ὁ περὶ τὸ νόμισμά ἐστιν ἐσπουδακώς, τὸ δὲ νόμισμα τῆς κτήσεως ἀντὶ τῆς κατὰ συμβεβηκὸς χρήσεώς ἐστιν. ὁ δ' ἀνελεύθερος εἴη ἂν καὶ ἄσωτος περὶ τὸν κατὰ συμβεβηκὸς τρόπον τοῦ χρηματισμοῦ· καὶ γὰρ ἐπὶ τοῦ κατὰ φύσιν χρηματισμοῦ τὴν αὔξησιν διώκει. ὁ δ' ἄσωτος ἐλλείπει τῶν ἀναγκαίων, ὁ δ' ἐλευθέριος τὴν περιουσίαν δίδωσιν. αὐτῶν δὲ τούτων εἴδη λέγονται διαφέροντα τῷ μᾶλλον καὶ ἧττον περὶ μόρια, οἷον ἀνελεύθερος φειδωλὸς καὶ κίμβιξ καὶ αἰσχροκερδής, φειδωλὸς μὲν ἐν τῷ μὴ προΐεσθαι, αἰσχροκερδὴς δ' ἐν τῷ ὁτιοῦν προσίεσθαι, κίμβιξ δὲ ὁ σφόδρα περὶ μικρὰ διατεινόμενος, παραλογιστὴς δὲ καὶ ἀποςερητὴς ὁ ἄδικος κατ' ἀνελευθερίαν. καὶ τοῦ ἀσώτου ὡσαύτως λαφύκτης μὲν ὁ ἐν τῷ ἀτάκτως ἀναλίσκειν, ἀλόγιστος δὲ ὁ ἐν τῷ μὴ ὑπομένειν τὴν ἀπὸ λογισμοῦ λύπην.

5 Περὶ δὲ μεγαλοψυχίας ἐκ τῶν τοῖς μεγαλοψύχοις ἀποδιδομένων δεῖ διορίσαι τὸ αἴτιον. ὥσπερ γὰρ καὶ τὰ ἄλλα κατὰ τὴν γειτνίασιν καὶ ὁμοιότητα μέχρι τοῦ λανθάνειν πόρρω προϊόντα, καὶ περὶ τὴν μεγαλοψυχίαν ταὐτὸ συμβέβηκεν. διὸ ἐνίοτε οἱ ἐναντίοι τοῦ αὐτοῦ ἀντιποιοῦνται, οἷον ὁ ἄσωτος τῷ ἐλευθερίῳ καὶ ὁ αὐθάδης τῷ σεμνῷ καὶ ὁ θρασὺς τῷ ἀνδρείῳ· εἰσὶ γὰρ καὶ περὶ ταὐτὰ καὶ ὅμοροι μέχρι τινός, ὥσπερ ὁ ἀνδρεῖος ὑπομενετικὸς κινδύνων καὶ ὁ θρασύς, ἀλλ' ὁ μὲν ὧδε ὁ δ' ὧδε· ταῦτα δὲ διαφέρει πλεῖςον. λέγομεν δὲ τὸν μεγαλόψυχον κατὰ τὴν τοῦ ὀνόματος προσηγορίαν, ὥσπερ ἐν μεγέθει τινὶ ψυχῆς καὶ δυνάμεως. ὥςε καὶ τῷ σεμνῷ καὶ τῷ μεγαλοπρεπεῖ ὅμοιος εἶναι δοκεῖ, ὅτε καὶ πάσαις ταῖς ἀρεταῖς ἀκολουθεῖν φαίνεται. καὶ γὰρ τὸ ὀρθῶς κρῖναι τὰ μεγάλα καὶ μικρὰ τῶν ἀγαθῶν ἐπαινετόν. δοκεῖ δὲ ταῦτ' εἶναι μεγάλα, ἃ διώκει ὁ τὴν κρατίςην ἔχων ἕξιν περὶ τὰ τοιαῦτ' εἶναι ἡδέα. ἡ δὲ μεγαλοψυχία κρατίςη· κρίνει δ' ἡ περὶ ἕκαστον ἀρετὴ τὸ μεῖζον καὶ τὸ ἔλαττον ὀρθῶς, ἅπερ ὁ φρόνιμος ἂν κελεύσειε καὶ ἡ ἀρετή, ὥςε ἕπεσθαι αὐτῇ πάσας τὰς ἀρετάς, ἢ αὐτὴν ἕπεσθαι πάσαις. ἔτι δοκεῖ μεγαλοψύχου εἶναι τὸ καταφρονητικὸν εἶναι. ἑκάςη δ' ἀρετὴ καταφρονητικοὺς ποιεῖ

τῶν παρὰ τὸν λόγον μεγάλων, οἷον ἀνδρία κινδύ
γὰρ οἴεται εἶναι τῶν αἰσχρῶν, καὶ πλῆθος οὐ πᾶν
καὶ σώφρων ἡδονῶν μεγάλων καὶ πολλῶν, καὶ
χρημάτων. μεγαλοψύχου δὲ τοῦτο δοκεῖ διὰ τὸ
σπουδάζειν, καὶ ταῦτα μεγάλα, καὶ οὐχ ὅτι δ
τινί. καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυ
κεῖ ἑνὶ σπουδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνουσιν, ὥσ
φῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν
ἐπαινέσαντα. καὶ τὸ ὀλίγωρον τοῦ μεγαλοψύχου
εἶναι πάθος ἴδιον. πάλιν περὶ τιμῆς καὶ τοῦ ζῆν
περὶ ὧν σπουδάζειν δοκοῦσιν οἱ ἄνθρωποι, οὐθὲν
περὶ τῶν ἄλλων πλὴν περὶ τιμῆς. καὶ λυπηθήσοι
μαζόμενος καὶ ἀρχόμενος ὑπὸ ἀναξίου. καὶ χαίρ
τυγχάνων. οὕτω μὲν οὖν δόξειεν ἂν ἐναντίως ἔχειν
εἶναί τε μάλιςα περὶ τιμὴν καὶ καταφρονητικὸν
πολλῶν καὶ δόξης οὐχ ὁμολογεῖσθαι. δεῖ δὲ τοῦτο
τας εἰπεῖν. ἔστι γὰρ τιμὴ καὶ μικρὰ καὶ μεγάλ
ἢ γὰρ τῷ ὑπὸ πολλῶν τῶν τυχόντων ἢ τῷ ὑπὸ
λόγου, καὶ πάλιν τῷ ἐπὶ τίνι ἡ τιμὴ διαφέρει.
γὰρ οὐ τῷ πλήθει τῶν τιμώντων οὐδὲ τῷ ποιῷ μόν
καὶ τῷ τιμίαν εἶναι· τῇ ἀληθείᾳ δὲ καὶ αἱ ἀ
τἆλλα ἀγαθὰ τίμια καὶ ἄξια σπουδῆς ταῦτα ὅσα
ἀληθῶς ἐστίν, ὥςε καὶ ἀρετὴ οὐδεμία ἄνευ μεγ
δοκοῦσι μεγαλοψύχους ποιεῖν ἑκάςη, περὶ ὃ ἐςιν ἑκά
ὥσπερ εἴπομεν. ἀλλ' ὅμως ἐςί τις παρὰ τὰς ἄλλ
μία μεγαλοψυχία, ὥσπερ καὶ ἰδίᾳ μεγαλόψυχ
λεκτέον τὸν ἔχοντα ταύτην. ἐπεὶ δ' ἐςὶν ἔνια τῶν ἀ
μὲν τίμια τὰ δ' ὡς διωρίσθη πρότερον, τῶν τοιούτων δ
ἐςὶ τὰ μὲν μεγάλα κατ' ἀλήθειαν τὰ δὲ μικρά,
των ἔνιοι ἄξιοι καὶ ἀξιοῦσιν αὐτούς, ἐν τούτοις ζητητ
γαλόψυχος. τετραχῶς δ' ἀνάγκη διαφέρειν. ἔςι
ἄξιον εἶναι μεγάλων καὶ ἀξιοῦν ἑαυτὸν τούτων, ἔςι
καὶ ἄξιόν τινα τηλικούτων καὶ ἀξιοῦν ἑαυτὸν τούτων,
ἀνάπαλιν πρὸς ἑκάτερα αὐτῶν· ὁ μὲν γὰρ ἂν εἴη
οἷος ἄξιος ὢν μικρῶν μεγάλων ἀξιοῦν ἑαυτὸν τῶν
ἀγαθῶν, ὁ δὲ ἄξιος ὢν μεγάλων ἀξιοίη ἂν μικρῶ
ὁ μὲν οὖν ἄξιος μικρῶν, μεγάλων δ' ἀξιῶν ἑαυτὸ
ἀνόητον γὰρ καὶ οὐ καλὸν τὸ παρὰ τὴν ἀξίαν τ
ψεκτὸς δὲ καὶ ὅςις ἄξιος ὢν ὑπαρχόντων αὐτῷ τῶ

4. ὑποδήματα M^b, τὰ ὑποδήματα P^b. ‖ 6. ἂν εἴη P^b. ‖ 12. κύβιξ M^b, κίβιξ P^b. ‖ 13. μὴ om P^b. ‖ αἰσχροκερδὴς — om M^b. ‖ 14. κύβιξ P^b, καὶ κίβιξ M^b. ‖ 15. καὶ] καὶ ὁ P^b. ‖ 16. φυλάκτης M^b. ‖ 24. ἀνελευθερίῳ M^bP^b. ‖ 26. ὑπ M^b. ‖ 35. περὶ τὰ ἕκαστον M^b.

4. δοκεῖ τοῦτο P^b. ‖ 8. κατεψηφισμένως M^b, κατεψευσμένως P^b. ‖ 12. λυπηθήσεται P^b, λυπήσαιτ' M^b. ‖ 13. χαίρειν M^b. δόξειεν M^b. ‖ τῷ M^b. ‖ 17. καὶ post τιμὴ om M^b. ‖ 21. μίαν M^b. ‖ αἱ om M^b. ‖ 24. ἑκάςην P^b. ‖ 25. περὶ codices M^b. ‖ 28. τούτων ἀγαθῶν δὲ τὰ P^b. ‖ 30. ζητητέον M^bP^b. ‖ 31. δ' om P^b. ‖ 33. ἀξιῶν] ἄξιον M^b. ‖ 36. ἀξιώη M^b. ‖ ὢ

ειν μὴ ἀξιοῖ ἑαυτόν. λείπεται δὲ ἐνταῦθα ἐναν- ἀμφοτέροις, ὅςις ὢν ἄξιος μεγάλων ἀξιοῖ αὐτὸς των, καὶ τοιοῦτός ἐςιν οἷος ἀξιῶν ἑαυτόν. οὗτος αὶ μέσος τούτων. ἐπεὶ οὖν περὶ τιμῆς αἵρεσιν καὶ τῶν ἄλλων ἀγαθῶν τῶν ἐντίμων ἀρίστη ἐστὶ μεγαλοψυχία, καὶ τοῦτ' ἀποδίδομεν, καὶ οὐ ήσιμα τὸν μεγαλόψυχον, ἅμα δὲ καὶ ἡ μεσό- ἐπαινετωτάτη, δῆλον ὅτι καὶ ἡ μεγαλοψυχία εἴη. τῶν δ' ἐναντίων, ὥσπερ διεγράψαμεν, ἡ ἀξιοῦν ἑαυτὸν ἀγαθῶν μεγάλων ἀνάξιον ὄντα τοὺς τοιούτους γὰρ χαύνους λέγομεν, ὅσοι μεγάλων οι εἶναι οὐκ ὄντες), ἡ δὲ περὶ τὸ ἄξιον ὄντα μὴ ὂν μεγάλων μικροψυχία (μικροψύχου γὰρ εἶναι ις ὑπαρχόντων δι' ἃ δικαίως ἂν ἀξιοῖτο, μὴ ιὸς μεγάλου ἑαυτόν), ὥς' ἀνάγκη καὶ τὴν μεγα- εἶναι μεσότητα χαυνότητος καὶ μικροψυχίας. ὁ τῶν διορισθέντων οὔτε πάμπαν ψεκτὸς οὔτε με- ς, περὶ οὐδὲν ἔχων μέγεθος· οὔτε γὰρ ἄξιος οὔτε λων, διὸ οὐκ ἐναντίος. καίτοι δόξειεν ἂν ἐναντίον μεγάλων ἀξίῳ ὄντι μεγάλων τὸ μικρῶν ὄντα ῦν ἑαυτόν. οὐκ ἔστι δ' ἐναντίος οὔτε τῷ μεμπτὸς γὰρ ὁ λόγος κελεύει, ἔχει. καὶ ὁ αὐτός ἐστι τῇ μεγαλοψύχῳ· ὧν γὰρ ἄξιοι, τούτων ἀξιοῦσιν ῦω. καὶ ὁ μὲν γένοιτ' ἂν μεγαλόψυχος· ἀξιώσει ν ἄξιος· ὁ δὲ μικρόψυχος, ὃς ὑπαρχόντων αὐτῷ κατὰ τιμὴν ἀγαθῶν οὐκ ἀξιοῖ, τί ἂν εἴποι, εἰ μι- ἦν; ἢ γὰρ ἂν μεγάλων ἀξιῶν χαῦνος ἦν, ἢ ων. διὸ καὶ οὐθεὶς ἂν εἴποι μικρόψυχον, εἴ τις ν ἄρχειν μὴ ἀξιοῖ ἑαυτὸν ἀλλ' ὑπείκει. ἀλλ' νὴς ὢν καὶ ἡγούμενος μέγα εἶναι τὸ ἄρχειν.

δὲ καὶ ὁ μεγαλοπρεπὴς οὐ περὶ τὴν τυχοῦσαν προαίρεσιν, ἀλλὰ τὴν δαπάνην, εἰ μή που κατὰ λέγομεν· ἄνευ δὲ δαπάνης μεγαλοπρέπεια οὐκ μὲν γὰρ πρέπον ἐν κόσμῳ ἐςίν, ὁ δὲ κόσμος οὐκ χόντων ἀναλωμάτων, ἀλλ' ἐν ὑπερβολῇ τῶν ἐςίν. ὁ δὴ ἐν μεγάλῃ δαπάνῃ τοῦ πρέποντος με- αιρετικός, καὶ τῆς τοιαύτης μεσότητος καὶ ἐπὶ ἡδονῇ ὀρεκτικός, μεγαλοπρεπής. ὁ δ' ἐπὶ τὸ παρὰ μέλος ἀνώνυμος· οὐ μὴν ἀλλ' ἔχει τινὰ γειτνίασιν, οὓς καλοῦσί τινες ἀπειροκάλους καὶ σαλάκωνας. οἷον εἰ εἰς γάμον δαπανῶν τις τοῦ ἀγαπητοῦ, πλούσιος ὤν, δοκεῖ πρέπειν ἑαυτῷ τοιαύτην κατασκευὴν οἷον ἀγαθοδαιμονιαςὰς ἑςιῶντι, οὗτος μὲν μικροπρεπής, ὁ δὲ τοιούτους δεχόμενος ἐκείνως μὴ δόξης χάριν μηδὲ δι' ἐξουσίαν ὅμοιος τῷ σαλάκωνι, ὁ δὲ κατ' ἀξίαν καὶ ὡς ὁ λόγος μεγαλοπρεπής· τὸ γὰρ πρέπον κατ' ἀξίαν ἐςίν· οὐθὲν γὰρ πρέπει τῶν παρὰ τὴν ἀξίαν. δεῖ δὲ πρέπον εἶναι. καὶ γὰρ τοῦ πρέποντος κατ' ἀξίαν, καὶ πρέπον καὶ περὶ ὅ, οἷον περὶ οἰκέτου γάμον ἕτερον τὸ πρέπον καὶ περὶ ἐρωμένου, καὶ αὐτῷ, εἴπερ ἐπὶ τοσοῦτον ἢ τοιοῦτον, οἷον τὴν θεωρίαν οὐκ ᾤετο Θεμιςοκλεῖ πρέπειν ἣν ἐποιήσατο Ὀλυμπίαζε, διὰ τὴν προϋπάρξασαν ταπεινότητα, ἀλλὰ Κίμωνι. ὁ δ' ὅπως ἔτυχεν ἔχων πρὸς τὴν ἀξίαν, ὁ οὐθεὶς τούτων. καὶ ἐπ' ἐλευθεριότητος ὡσαύτως· ἔςι γάρ τις ὡς ἐλευθέριος, ὅταν ἐλεύθερος.

Σχεδὸν δὲ καὶ τῶν ἄλλων ἕκαστα τῶν περὶ τὸ ἦθος 7 ἐπαινετῶν καὶ ψεκτῶν τὰ μὲν ὑπερβολαὶ τὰ δ' ἐλλείψεις τὰ δὲ μεσότητές εἰσι παθητικαί, οἷον ὁ φθονερὸς καὶ ἐπιχαιρέκακος. καθ' ἃς γὰρ ἕξεις λέγονται, ὁ μὲν φθόνος τὸ λυπεῖσθαι ἐπὶ τοῖς κατ' ἀξίαν εὖ πράττουσίν ἐςιν, τὸ δὲ τοῦ ἐπιχαιρεκάκου πάθος ἐπὶ τὸ αὐτὸ ἀνώνυμον, ἀλλ' ὁ ἔχων δῆλος, ἐπὶ τῷ χαίρειν ταῖς παρὰ τὴν ἀξίαν κακοπραγίαις. μέσος δὲ τούτων ὁ νεμεσητικός, καὶ ὃ ἐκάλουν οἱ ἀρχαῖοι τὴν νέμεσιν, τὸ λυπεῖσθαι μὲν ἐπὶ ταῖς παρὰ τὴν ἀξίαν κακοπραγίαις καὶ εὐπραγίαις, χαίρειν δ' ἐπὶ ταῖς ἀξίαις· διὸ καὶ θεὸν οἴονται εἶναι τὴν νέμεσιν. αἰδὼς δὲ μεσότης ἀναισχυντίας καὶ καταπλήξεως· ὁ μὲν γὰρ μηδεμιᾶς φροντίζων δόξης ἀναίσχυντος, ὁ δὲ πάσης ὁμοίως καταπλήξ, ὁ δὲ τῆς τῶν φαινομένων ἐπιεικῶν αἰδήμων. φιλία δὲ μεσότης ἔχθρας καὶ κολακείας· ὁ μὲν γὰρ εὐχερῶς ἅπαντα πρὸς τὰς ἐπιθυμίας ὁμιλῶν κόλαξ, ὁ δὲ πρὸς ἁπάσας ἀντικρούων ἀπεχθητικός, ὁ δὲ μήτε πρὸς ἅπασαν ἡδονὴν μήτ' ἀκολουθῶν μήτ' ἀντιτείνων, ἀλλὰ πρὸς τὸ φαινόμενον βέλτιςον, φίλος. σεμνότης δὲ μεσότης αὐθαδείας καὶ ἀρεσκείας· ὁ μὲν γὰρ μηδὲν πρὸς ἕτερον ζῶν καταφρονητικὸς αὐθάδης, ὁ δὲ πάντα πρὸς ἄλλον ἢ καὶ πάντων ἐλάττων ἄρεσκος, ὁ δὲ τὰ μὲν τὰ δὲ μή, καὶ πρὸς τοὺς ἀξίους οὕτως ἔχων, σεμνός. ὁ δ' ἀληθὴς καὶ ἁπλοῦς, ὃν καλοῦσιν αὐθέκαςον, μέσος τοῦ εἴρωνος καὶ ἀλαζόνος· ὁ μὲν γὰρ ἐπὶ τὰ

τίως M^b. ‖ 2. ἄξιος ὢν M^b. ‖ 10. τὸ P^b. ‖ 14. ἠξιοῦτο M^b, ἠξίουν P^b. ‖ 16. μικροψυχίας καὶ χαυνότητος M^b. ‖ 17. ὡρι- ‖ 18. ἄξιος — 19. δόξειεν om M^b. ‖ 22. ἐστι] ἐν M^b. ‖ 26. οὐκ om $M^b P^b$. ‖ 27. ἢ] εἰ P^b. ‖ ἂν om M^b. ‖ 28. ι P^b. ‖ 38. τῇ om P^b.

ιθοδαιμονιςὰς M^b. ‖ 5. ἐκεῖνος $M^b P^b$. ‖ 8. τῶν om M^b. ‖ 14. ἃ P^b. ‖ ἀπ' M^b. ‖ 15. τι M^b. ‖ 16. δὲ] γὰρ M^b. ‖ ν γὰρ M^b. ‖ 18. παθηματικαί M^b. ‖ 22. τὸ P^b. ‖ 27. μιᾶς pr M^b. ‖ 30. ἅπασιν corr P^b. ‖ 34. ἀρεσκίας P^b.

ματός ἐςιν, οἷον ὑποδήματος ἢ ἱματίου, ἡ δὲ κατὰ συμβεβηκὸς μέν, ὐ μέντοι ὕτως ὡς ἂν εἴ τις ςαθμῷ χρήσαιτο τῷ ὑποδήματι, ἀλλ' οἷον ἡ πώλησις καὶ ἡ μίσθωσις· χρῆται γὰρ ὑποδήματι. ὁ δὲ φιλάργυρος ὁ περὶ τὸ νόμισμά ἐστιν ἐσπουδακώς, τὸ δὲ νόμισμα τῆς κτήσεως ἀντὶ τῆς κατὰ συμβεβηκὸς χρήσεώς ἐστιν. ὁ δ' ἀνελεύθερος εἴη ἂν καὶ ἄσωτος περὶ τὸν κατὰ συμβεβηκὸς τρόπον τῦ χρηματισμῦ· καὶ γὰρ ἐπὶ τῦ κατὰ φύσιν χρηματισμῦ τὴν αὔξησιν διώκει. ὁ δ' ἄσωτος ἐλλείπει τῶν ἀναγκαίων, ὁ δ' ἐλευθέριος τὴν περιυσίαν δίδωσιν. αὐτῶν δὲ τύτων εἴδη λέγονται διαφέροντα τῷ μᾶλλον καὶ ἧττον περὶ μόρια, οἷον ἀνελεύθερος φειδωλὸς καὶ κίμβιξ καὶ αἰσχροκερδής, φειδωλὸς μὲν ἐν τῷ μὴ προΐεσθαι, αἰσχροκερδὴς δ' ἐν τῷ ὁτιῦν προσίεσθαι, κίμβιξ δὲ ὁ σφόδρα περὶ μικρὰ διατεινόμενος, παραλογιστὴς δὲ καὶ ἀποςερητὴς ὁ ἄδικος κατ' ἀνελευθερίαν. καὶ τοῦ ἀσώτου ὡσαύτως λαφύκτης μὲν ὁ ἐν τῷ ἀτάκτως ἀναλίσκειν, ἀλόγιστος δὲ ὁ ἐν τῷ μὴ ὑπομένειν τὴν ἀπὸ λογισμῦ λύπην.

5 Περὶ δὲ μεγαλοψυχίας ἐκ τῶν τοῖς μεγαλοψύχοις ἀποδιδομένων δεῖ διορίσαι τὸ αἴτιον. ὥσπερ γὰρ καὶ τὰ ἄλλα κατὰ τὴν γειτνίασιν καὶ ὁμοιότητα μέχρι τῦ λανθάνειν πόρρω προϊόντα, καὶ περὶ τὴν μεγαλοψυχίαν ταὐτὸ συμβέβηκεν. διὸ ἐνίοτε οἱ ἐναντίοι τοῦ αὐτῦ ἀντιποιοῦνται, οἷον ὁ ἄσωτος τῷ ἐλευθερίῳ καὶ ὁ αὐθάδης τῷ σεμνῷ καὶ ὁ θρασὺς τῷ ἀνδρείῳ· εἰσὶ γὰρ καὶ περὶ ταὐτὰ καὶ ὅμοροι μέχρι τινός, ὥσπερ ὁ ἀνδρεῖος ὑπομενετικὸς κινδύνων καὶ ὁ θρασύς, ἀλλ' ὁ μὲν ὧδε ὁ δ' ὧδε· ταῦτα δὲ διαφέρει πλεῖςον. λέγομεν δὲ τὸν μεγαλόψυχον κατὰ τὴν τῦ ὀνόματος προσηγορίαν, ὥσπερ ἐν μεγέθει τινὶ ψυχῆς καὶ δυνάμεως. ὥςε καὶ τῷ σεμνῷ καὶ τῷ μεγαλοπρεπεῖ ὅμοιος εἶναι δοκεῖ, ὅτε καὶ πάσαις ταῖς ἀρεταῖς ἀκολυθεῖν φαίνεται. καὶ γὰρ τὸ ὀρθῶς κρῖναι τὰ μεγάλα καὶ μικρὰ τῶν ἀγαθῶν ἐπαινετόν. δοκεῖ δὲ ταῦτ' εἶναι μεγάλα, ἃ διώκει ὁ τὴν κρατίςην ἔχων ἕξιν περὶ τὰ τοιαῦτ' εἶναι ἡδέα. ἡ δὲ μεγαλοψυχία κρατίςη· κρίνει δ' ἡ περὶ ἕκαστον ἀρετὴ τὸ μεῖζον καὶ τὸ ἔλαττον ὀρθῶς, ἅπερ ὁ φρόνιμος ἂν κελεύσειε καὶ ἡ ἀρετή, ὥςε ἕπεσθαι αὐτῇ πάσας τὰς ἀρετάς, ἢ αὐτὴν ἕπεσθαι πάσαις. ἔτι δοκεῖ μεγαλοψύχου εἶναι τὸ καταφρονητικὸν εἶναι. ἑκάςη δ' ἀρετὴ καταφρονητικὺς ποιεῖ τῶν παρὰ τὸν λόγον μεγάλων, οἷον ἀνδρία κινδύνων (μέγα γὰρ οἴεται εἶναι τῶν αἰσχρῶν, καὶ πλῆθος ὐ πᾶν φοβερόν), καὶ σώφρων ἡδονῶν μεγάλων καὶ πολλῶν, καὶ ἐλευθέριος χρημάτων. μεγαλοψύχυ δὲ τῦτο δοκεῖ διὰ τὸ περὶ ὀλίγα σπουδάζειν, καὶ ταῦτα μεγάλα, καὶ ὐχ ὅτι δοκεῖ ἑτέρῳ τινί. καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος τί δοκεῖ ἑνὶ σπυδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνυσιν, ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα. καὶ τὸ ὀλίγωρον τῦ μεγαλοψύχου μάλιστ' εἶναι πάθος ἴδιον. πάλιν περὶ τιμῆς καὶ τῦ ζῆν καὶ πλύτυ, περὶ ὧν σπουδάζειν δοκοῦσιν οἱ ἄνθρωποι, ὐθὲν φροντίζειν περὶ τῶν ἄλλων πλὴν περὶ τιμῆς. καὶ λυπηθήσοιτ' ἂν ἀτιμαζόμενος καὶ ἀρχόμενος ὑπὸ ἀναξίυ. καὶ χαίρει μάλιςα τυγχάνων. ὕτω μὲν ὖν δόξειεν ἂν ἐναντίως ἔχειν· τὸ γὰρ εἶναί τε μάλιςα περὶ τιμὴν καὶ καταφρονητικὸν εἶναι τῶν πολλῶν καὶ δόξης ὐχ ὁμολογεῖσθαι. δεῖ δὲ τῦτο διορίσαντας εἰπεῖν. ἔστι γὰρ τιμὴ καὶ μικρὰ καὶ μεγάλη διχῶς· ἢ γὰρ τῷ ὑπὸ πολλῶν τῶν τυχόντων ἢ τῷ ὑπὸ τῶν ἀξίων λόγου, καὶ πάλιν τῷ ἐπὶ τίνι ἡ τιμὴ διαφέρει. μεγάλη γὰρ ὐ τῷ πλήθει τῶν τιμώντων ὐδὲ τῷ ποιῷ μόνον, ἀλλὰ καὶ τῷ τιμίαν εἶναι· τῇ ἀληθείᾳ δὲ καὶ αἱ ἀρχαὶ καὶ τἆλλα ἀγαθὰ τίμια καὶ ἄξια σπυδῆς ταῦτα ὅσα μεγάλα ἀληθῶς ἐστίν, ὥςε καὶ ἀρετὴ ὐδεμία ἄνευ μεγέθους· διὸ δοκῦσι μεγαλοψύχυς ποιεῖν ἑκάςη, περὶ ὃ ἐςιν ἑκάςη αὐτῶν, ὥσπερ εἴπομεν. ἀλλ' ὅμως ἐςί τις παρὰ τὰς ἄλλας ἀρετὰς μία μεγαλοψυχία, ὥσπερ καὶ ἰδίᾳ μεγαλόψυχον τοῦτον λεκτέον τὸν ἔχοντα ταύτην. ἐπεὶ δ' ἐςὶν ἔνια τῶν ἀγαθῶν τὰ μὲν τίμια τὰ δ' ὡς διωρίσθη πρότερον, τῶν τοιύτων δ' ἀγαθῶν ἐςὶ τὰ μὲν μεγάλα κατ' ἀλήθειαν τὰ δὲ μικρά, καὶ τούτων ἔνιοι ἄξιοι καὶ ἀξιῦσιν αὐτύς, ἐν τύτοις ζητητέος ὁ μεγαλόψυχος. τετραχῶς δ' ἀνάγκη διαφέρειν. ἔςι μὲν γὰρ ἄξιον εἶναι μεγάλων καὶ ἀξιῦν ἑαυτὸν τύτων, ἔςι δὲ μικρὰ καὶ ἄξιόν τινα τηλικύτων καὶ ἀξιῦν ἑαυτὸν τύτων, ἔστι δ' ἀνάπαλιν πρὸς ἑκάτερα αὐτῶν· ὁ μὲν γὰρ ἂν εἴη τοιοῦτος οἷος ἄξιος ὢν μικρῶν μεγάλων ἀξιοῦν ἑαυτὸν τῶν ἐντίμων ἀγαθῶν, ὁ δὲ ἄξιος ὢν μεγάλων ἀξιοίη ἂν μικρῶν ἑαυτόν. ὁ μὲν ὖν ἄξιος μικρῶν, μεγάλων δ' ἀξιῶν ἑαυτόν, ψεκτός· ἀνόητον γὰρ καὶ οὐ καλὸν τὸ παρὰ τὴν ἀξίαν τυγχάνειν. ψεκτὸς δὲ καὶ ὅςις ἄξιος ὢν ὑπαρχόντων αὐτῷ τῶν τοιού-

4. ὑποδήματα M^b, τὰ ὑποδήματα P^b. ‖ 6. ἂν εἴη P^b. ‖ 12. κύβιξ M^b, κίβιξ P^b. ‖ 13. μὴ om P^b. ‖ αἰσχροκερδὴς — προσίεσθαι om M^b. ‖ 14. κύβιξ P^b, καὶ κίβιξ M^b. ‖ 15. καὶ] καὶ ὁ P^b. ‖ 16. φυλάκτης M^b. ‖ 24. ἀνελευθερίῳ M^bP^b. ‖ 26. ὑπομονητικὸς M^b. ‖ 35. περὶ τὰ ἕκαστον M^b.

4. δοκεῖ τῦτο P^b. ‖ 8. κατεψηφισμένως M^b, κατεψευσμένως P^b. ‖ 12. λυπηθήσεται P^b, λυπήσαιτ' M^b. ‖ 13. χαίρειν M^b. ‖ 14. ὁ δόξειεν M^b. ‖ τῦ M^b. ‖ 17. καὶ post τιμὴ om M^b. ‖ 21. μίαν M^b. ‖ αἱ om M^b. ‖ 24. ἑκάςην P^b. ‖ 25. περὶ codices. ‖ 26. ἰδίᾳ M^b. ‖ 28. τούτων ἀγαθῶν δὲ τὰ P^b. ‖ 30. ζητητέον M^bP^b. ‖ 31. δ' om P^b. ‖ 33. ἀξιῦν] ἄξιον M^b. ‖ 36. ἀξιώη M^b. ‖ ἂν om M^b.

χείρω καθ' αὐτȣ̃ ψευδόμενος μὴ ἀγνοῶν εἴρων, ὁ δ' ἐπὶ τὰ βελτίω ἀλαζών, ὁ δ' ὡς ἔχει, ἀληθὴς καὶ καθ' Ὅμηρον πεπνυμένος· καὶ ὅλως ὁ μὲν φιλαλήθης, ὁ δὲ φιλοψευδής. ἔςι δὲ καὶ ἡ εὐτραπελία μεσότης, καὶ ὁ εὐτράπελος μέσος τȣ̃ ἀγροίκου καὶ δυςραπέλȣ καὶ τȣ̃ βωμολόχȣ. ὥσπερ γὰρ περὶ τροφὴν ὁ σικχὸς τοῦ παμφάγου διαφέρει τῷ ὁ μὲν μηθὲν ἢ ὀλίγα καὶ χαλεπῶς προσίεσθαι, ὁ δὲ πάντα εὐχερῶς, οὕτω καὶ ὁ ἄγροικος ἔχει πρὸς τὸν φορτικὸν καὶ βωμολόχον· ὁ μὲν γὰρ ȣ̓θὲν γελοῖον ἀλλὰ χαλεπῶς προσίεται, ὁ δὲ πάντα εὐχερῶς καὶ ἡδέως. δεῖ δ' ȣ̓δέτερον, ἀλλὰ τὰ μὲν τὰ δὲ μή, καὶ κατὰ λόγον· οὗτος δ' εὐτράπελος. ἡ δ' ἀπόδειξις ἡ αὐτή· ἥ τε γὰρ εὐτραπελία ἡ τοιαύτη, καὶ μὴ ἣν μεταφέροντες λέγομεν, ἐπιεικεςάτη ἕξις, καὶ ἡ μεσότης ἐπαινετή, τὰ δ' ἄκρα ψεκτά. ȣ̓́σης δὲ διττῆς τῆς εὐτραπελίας (ἡ μὲν γὰρ ἐν τῷ χαίρειν ἐςὶ τῷ γελοίῳ καὶ τῷ εἰς αὐτόν, ἐὰν ᾖ τοιονδί, ὧν ἓν καὶ τὸ σκῶμμά ἐςιν, ἡ δ' ἐν τῷ δύνασθαι τοιαῦτα πορίζεσθαι), ἕτεραι μέν εἰσιν ἀλλήλων, ἀμφότεραι μέντοι μεσότητες. καὶ γὰρ τὸν δυνάμενον τοιαῦτα πορίζεσθαι ἐφ' ὅσοις ἡσθήσεται εὖ κρίνων, κἂν εἰς αὐτὸν ᾖ τὸ γελοῖον, μέσος ἔςαι τȣ̃ φορτικȣ̃ καὶ τȣ̃ ψυχρȣ̃. ὁ δ' ὅρος ȣ̃̔τος βελτίων ἢ τὸ λυπηρὸν εἶναι τὸ λεχθὲν τῷ σκωπτομένῳ ὄντι ὁποιῳȣ̃ν· μᾶλλον γὰρ δεῖ τῷ ἐν μεσότητι ὄντι ἀρέσκειν· ȣ̃̔τος γὰρ κρίνει εὖ. πᾶσαι δ' αὗται αἱ μεσότητες ἐπαινεταὶ μέν, ȣ̓κ εἰσὶ δ' ἀρεταί, ȣ̓δ' αἱ ἐναντίαι κακίαι· ἄνευ προαιρέσεως γάρ. ταῦτα δὲ πάντ' ἐστὶν ἐν ταῖς τῶν παθημάτων διαιρέσεσιν· ἕκαστον γὰρ αὐτῶν πάθος τί ἐστιν. διὰ δὲ τὸ φυσικὰ εἶναι εἰς τὰς φυσικὰς συμβάλλεται ἀρετάς· ἔςι γάρ, ὥσπερ λεχθήσεται ἐν τοῖς ὕςερον, ἑκάςη πως ἀρετή, καὶ φυσικαὶ ἄλλως μετὰ φρονήσεως. ὁ μὲν οὖν φθόνος εἰς ἀδικίαν συμβάλλεται (πρὸς ἄλλον γὰρ αἱ πράξεις αἱ ἀπ' αὐτοῦ) καὶ ἡ νέμεσις εἰς δικαιοσύνην, ἡ αἰδὼς εἰς σωφροσύνην, διὸ καὶ ὁρίζονται ἐν τῷ γένει τȣ́τῳ τὴν σωφροσύνην. ὁ δ' ἀληθὴς καὶ ψευδὴς ὁ μὲν ἔμφρων, ὁ δ' ἄφρων. ἔστι δ' ἐναντιώτερον τοῖς ἄκροις τὸ μέσον ἢ ἐκεῖνα ἀλλήλοις, διότι τὸ μὲν μετ' ȣ̓δετέρȣ γί αὐτῶν, τὰ δὲ πολλάκις μετ' ἀλλήλων καὶ εἰσὶν ἐνίο αὐτοὶ θρασύδειλοι, καὶ τὰ μὲν ἄσωτοι τὰ δὲ ἀνελευ καὶ ὅλως ἀνώμαλοι κακῶς. ὅταν μὲν γὰρ καλῶς ἀν λοι ὦσιν, μέσοι γίνονται· ἐν τῷ μέσῳ γάρ ἐστί πω ἄκρα. αἱ δ' ἐναντιώσεις ȣ̓ δοκȣ̃σιν ὑπάρχειν τοῖς ἄκροις τὸ μέσον ὁμοίως ἀμφότεραι, ἀλλ' ὁτὲ μὲν καθ' ὑπερβ ὁτὲ δὲ κατ' ἔλλειψιν. αἴτια δὲ τά τε πρῶτα ῥηθέντα ὀλιγότης τε, οἷον τῶν πρὸς τὰ ἡδέα ἀναισθήτων, κα ἐφ' ὃ ἁμαρτάνομεν, μᾶλλον τȣ̃το ἐναντιώτερον εἶναι (τὸ δὲ τρίτον, ὅτι τὸ ὁμοιότερον ἧττον ἐναντίον φαίνεται, πέπονθε τὸ θάρσος πρὸς τὸ θράσος καὶ ἀσωτία πρὸς ἀ θηριότητα. περὶ μὲν οὖν τῶν ἄλλων ἀρετῶν τῶν ἐπαι εἴρηται σχεδόν, περὶ δὲ δικαιοσύνης ἤδη λεκτέον.

Η.

Περὶ φιλίας, τί ἐστι καὶ ποῖόν τι, καὶ τίς ὁ φί καὶ πότερον μοναχῶς λέγεται ἡ φιλία ἢ πλεοναχῶς, εἰ πλεοναχῶς, πόσα ἐστίν, ἔτι δὲ πῶς χρηστέον τῷ φ καὶ τί τὸ δίκαιον τὸ φιλικόν, ἐπισκεπτέον ȣ̓θενὸς ἧττον περὶ τὰ ἤθη καλῶν καὶ αἱρετῶν. τῆς τε γὰρ πολιτικῆς ἔ εἶναι δοκεῖ μάλιστα ποιῆσαι φιλίαν, καὶ τὴν ἀρετὴν τȣ̃τό φασιν εἶναι χρήσιμον· ȣ̓ γὰρ ἐνδέχεσθαι φίλȣς ἑαυ εἶναι τοὺς ἀδικȣμένȣς ὑπ' ἀλλήλων. ἔτι τὸ δίκαιον καὶ ἄδικον περὶ τȣ̀ς φίλȣς εἶναι μάλιςα πάντες φαμέν, κα αὐτὸς δοκεῖ ἀνὴρ εἶναι καὶ ἀγαθὸς καὶ φίλος, καὶ φι ἠθική τις εἶναι ἕξις, καὶ ἐάν τις βούληται ποιῆσαι ὥςε ἀδικεῖν, ἀλλ' εἰς φίλȣς ποιῆσαι· οἱ γὰρ ἀληθινοὶ φίλοι ἀδικȣ̃σιν. ἀλλὰ μὴν καὶ ἐὰν δίκαιοι ὦσιν, ȣ̓κ ἀδικήσου ἢ ταὐτὸν ἄρα ἢ ἐγγύς τι ἡ δικαιοσύνη καὶ ἡ φιλία. πρ δὲ τȣ́τοις τῶν μεγίςων ἀγαθῶν τὸν φίλον εἶναι ὑπολαμβ νομεν, τὴν δὲ ἀφιλίαν καὶ τὴν ἐρημίαν δεινότατον, ὅτι βίος ἅπας καὶ ἡ ἑκȣ́σιος ὁμιλία μετὰ τȣ́των· μετ' οἰκε

6. περὶ Sylburgius: codices παρά. ‖ 9. προσίεσθαι M^b. ‖ 11. κατὰ τὸν λόγον P^b. ‖ 16. τῷ] τὸ M^b. ‖ 18. ἀμφότεραι μὲ μεσότης P^b. ‖ 24. αἱ alterum om M^bP^b. ‖ 31. γὰρ ἄλλον M^b. ‖ 32. διὸ — 33. σωφροσύνην om M^b. ‖ 34. τοῖς] ἐν τοῖς P^b.

5. εἰσὶν P^b et pr M^b. ‖ οἱ μέσοι M^bP^b. ‖ 9. οἷον] οἷον ἠλιθιότης γε P^b. ‖ 10. ἐναντιώτατον M^b. ‖ 11. ἐναντιώτερον M^b. ‖ θράσος πρὸς τὸ θάρσος P^b. ‖ ἀσωτεία M^bP^b. ‖ 14. περὶ — λεκτέον om P^b. post λεκτέον QM^b σημείωσαι ὅτι τὸ δ καὶ ε καὶ ς Εὐδημίων ἠθικῶν ἐνταῦθα παρεῖνται διὰ τὸ τὸ μὲν δ τῷ ε τῶν Νικομαχείων, τὸ δὲ ε τῷ ζ, τὸ δὲ ς τῷ η τῶν Νικομαχείων ἐν πᾶσι καὶ κ λέξιν ὅμοια εἶναι. P^b et Palatinus 165 eorum librorum sola ponunt principia,

ἠθικῶν εὐδημίων δ: Περὶ δὲ δικαιοσύνης καὶ ἀδικίας σκεπτέον·.·

ἠθικῶν εὐδημίων ε: Ἐπειδὲ τυγχάνομεν πρότερον εἰρηκότες·.·

ἠθικῶν εὐδημίων ζ: Μετὰ δὲ ταῦτα λεκτέον ἄλλην ποιησαμένους ἀρχήν·.·

Z quarti indicem habet et litteram unam, Π, deinde post versus duodecim vacuos ἀριςοτέλους ἠθικῶν εὐδημίων η. ‖ 17. ζ 1 qui cum Q: ἐν τούτῳ τῷ βιβλίῳ διαλαμβάνει ἃ ἐν τῷ θ καὶ ι τῶν νικομαχείων, ἄλλοις μέντοι ῥήμασι καὶ παρηλλαγμένως κατά γε τὴν ξιν. ‖ 19. ἡ φιλία om P^b. ‖ 29. ἀλλ' εἰς] nonne ἀλλήλους? ‖ 32. εἶναι om P^b.

μετὰ συγγενῶν ἢ μεθ' ἑταίρων συνδιημερεύομεν, ἢ ἢ γονέων ἢ γυναικός. καὶ τὰ ἴδια δίκαια τὰ πρὸς \ϛς ἐςὶν ἐφ' ἡμῖν μόνον, τὰ δὲ πρὸς τὰς ἄλλους νενο- ται καὶ οὐκ ἐφ' ἡμῖν. ἀπορεῖται δὲ πολλὰ περὶ τῆς , πρῶτον μὲν ὡς οἱ ἔξωθεν περιλαμβάνοντες καὶ ἐπὶ λέγοντες· δοκεῖ γὰρ τοῖς μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ ίλον, ὅθεν εἴρηται "ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς οιον·" καὶ γὰρ "κολοιὸς παρὰ κολοιόν·" "ἔγνω δὲ φῶρα καὶ λύκος λύκον." οἱ δὲ φυσιολόγοι καὶ τὴν ύσιν διακοσμοῦσιν ἀρχὴν λαβόντες τὸ τὸ ὅμοιον ἰέναι ὅμοιον, διὸ Ἐμπεδοκλῆς καὶ τὴν κύν' ἔφη καθῆσθαι κεραμῖδος διὰ τὸ ἔχειν πλεῖςον ὅμοιον. οἱ μὲν οὖν φίλον λέγουσιν, οἱ δὲ τὸ ἐναντίον τῷ ἐναντίῳ φασὶν ίλον. τὸ μὲν γὰρ ἐρώμενον καὶ ἐπιθυμητὸν πᾶσιν ίλον, ἐπιθυμεῖ δὲ οὐ τὸ ξηρὸν τοῦ ξηροῦ, ἀλλ' ὑγροῦ, ηται "ἐρᾷ μὲν ὄμβρου γαῖα." καὶ τὸ "μεταβολὴ γλυκύ·" ἡ δὲ μεταβολὴ εἰς τοὐναντίον. τὸ δ' ὅμοιον τῷ ὁμοίῳ· καὶ γὰρ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τῶν αὐτῶν τρεφόμενα πολέμια ἀλλήλοις ζῷα. μὲν οὖν αἱ ὑπολήψεις τοσοῦτον διεςᾶσιν. αἱ μὲν γὰρ ον φίλον, τὸ δ' ἐναντίον πολέμιον·

τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
τοὔλασσον, ἔχθρας θ' ἡμέρα κατάρχεται.

καὶ οἱ τόποι κεχωρισμένοι τῶν ἐναντίων, ἡ δὲ φιλία υνάγειν. οἱ δὲ τὰ ἐναντία φίλα· καὶ Ἡράκλειτος τῷ ποιήσαντι "ὡς ἔρις ἔκ τε θεῶν καὶ ἀνθρώπων ο·" οὐ γὰρ ἂν εἶναι ἁρμονίαν μὴ ὄντος ὀξέος καὶ οὐδὲ τὰ ζῷα ἄνευ θήλεος καὶ ἄρρενος ἐναντίων ὄντων. αὗται δόξαι περὶ φιλίας εἰσί, λίαν τε καθόλου κε- έναι τοσοῦτον, ἄλλαι δὲ ἤδη ἐγγυτέρω καὶ οἰκεῖαι ινομένων. τοῖς μὲν γὰρ οὐκ ἐνδέχεσθαι δοκεῖ τοὺς εἶναι φίλους, ἀλλὰ μόνον τοὺς ἀγαθούς· τοῖς δ' ἄτο- μὴ φιλοῦσιν αἱ μητέρες τὰ τέκνα. φαίνεται δὲ καὶ θηρίοις ἐνοῦσα φιλία· προαποθνήσκειν οὖν αἱροῦνται τῶν τοῖς δὲ τὸ χρήσιμον δοκεῖ φίλον εἶναι μόνον. ση- ' ὅτι καὶ διώκουσι ταῦτα πάντες, τὰ δὲ ἄχρηςα καὶ ται τῶν ἀποβάλλουσιν, ὥσπερ Σωκράτης ὁ γέρων ὸν πτύελον καὶ τὰς τρίχας καὶ τοὺς ὄνυχας παρα- , καὶ τὰ μόρια ὅτι ῥιπτοῦμεν τὰ ἄχρηςα, καὶ τέλος τὸ σῶμα, ὅταν ἀποθάνῃ· ἄχρηστος γὰρ ὁ νεκρός. οἷς δὲ χρήσιμον, φυλάττουσιν, ὥσπερ ἐν Αἰγύπτῳ. ταῦτα πάντα δοκεῖ μὲν ὑπεναντία ἀλλήλοις εἶναι. τό τε γὰρ ἄχρηστον τῷ ὁμοίῳ, καὶ ἐναντιότης ὁμοιότητος ἀπέχει πλεῖστον, καὶ τὸ ἐναντίον ἀχρηστότατον τῷ ἐναντίῳ· φθαρτικὸν γὰρ τοῦ ἐναντίου τὸ ἐναντίον. ἔτι δοκεῖ τοῖς μὲν ῥᾴδιον τὸ κτήσασθαι φίλον, τοῖς δὲ σπανιώτατον γνῶναι, καὶ οὐκ ἐνδέχεσθαι ἄνευ εὐτυχίας· τοῖς γὰρ εὖ πράττουσι βούλονται πάντες δοκεῖν φίλοι εἶναι. οἱ δ' οὐδὲ τοῖς συνδιαμένουσιν ἐν ταῖς ἀτυχίαις ἀξιοῦσι πιςεύειν, ὡς ἐξαπατῶντας καὶ προσποιουμένους, ἵνα κτήσωνται διὰ τῆς τῶν ἀτυχούντων ὁμιλίας πάλιν εὐτυχούντων φιλίαν.

Ληπτέος δὴ τρόπος ὅςις ἡμῖν ἅμα τά τε δοκοῦντα περὶ 2 τούτων μάλιστα ἀποδώσει, καὶ τὰς ἀπορίας λύσει καὶ τὰς ἐναντιώσεις. τοῦτο δ' ἔςαι, ἐὰν εὐλόγως φαίνηται τὰ ἐναντία δοκοῦντα· μάλιστα γὰρ ὁμολογούμενος ὁ τοιοῦτος ἔςαι λόγος τοῖς φαινομένοις. συμβαίνει δὲ μένειν τὰς ἐναντιώσεις, ἐὰν ἔστι μὲν ὡς ἀληθὲς ᾖ τὸ λεγόμενον, ἔςι δ' ὡς οὔ. ἔχει δ' ἀπορίαν καὶ πότερον τὸ ἡδὺ ἢ τὸ ἀγαθόν ἐςι τὸ φιλούμενον. εἰ μὲν γὰρ φιλούμενον ἐπιθυμοῦμεν, καὶ μάλιςα ὁ ἔρως τοιοῦτον (οὐδεὶς γὰρ ἐραςὴς ὅςις οὐκ ἀεὶ φιλεῖ), ἡ δ' ἐπιθυμία τοῦ ἡδέος, ταύτῃ μὲν τὸ φιλούμενον τὸ ἡδύ, εἰ δὲ ὃ βουλόμεθα, τὸ ἀγαθόν· ἔςι δ' ἕτερον τὸ ἡδὺ καὶ τὸ ἀγαθόν. περὶ τούτων καὶ τῶν ἄλλων τῶν συγγενῶν τούτοις πειρατέον διορίσαι, λαβοῦσιν ἀρχὴν τήνδε. τὸ γὰρ ὀρεκτὸν καὶ βουλητὸν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν. διὸ καὶ τὸ ἡδὺ ὀρεκτόν· φαινόμενον γάρ τι ἀγαθόν. τοῖς μὲν γὰρ δοκεῖ, τοῖς δέ φαίνεται κἂν μὴ δοκῇ· οὐ γὰρ ἐν ταὐτῷ τῆς ψυχῆς ἡ φαντασία καὶ ἡ δόξα. ὅτι μέντοι φίλον καὶ τὸ ἀγαθὸν καὶ τὸ ἡδύ, δῆλον. τούτου δὲ διωρισμένου ληπτέον ὑπόθεσιν ἑτέραν. τῶν γὰρ ἀγαθῶν τὰ μὲν ἁπλῶς ἐστὶν ἀγαθά, τὰ δὲ τινί, ἁπλῶς δ' οὔ. καὶ τὰ αὐτὰ ἁπλῶς ἀγαθὰ καὶ ἁπλῶς ἡδέα. τὰ μὲν γὰρ τῷ ὑγιαίνοντί φαμεν σώματι συμφέροντα ἁπλῶς εἶναι σώματι ἀγαθά, τὰ δὲ τῷ κάμνοντι οὔ, οἷον φαρμακείας καὶ τομάς. ὁμοίως δὲ καὶ ἡδέα ἁπλῶς σώματι τὰ τῷ ὑγιαίνοντι καὶ ὁλοκλήρῳ, οἷον τὸ ἐν τῷ φωτὶ ὁρᾶν καὶ οὐ τὸ ἐν τῷ σκότει· καίτοι τῷ ὀφθαλμιῶντι ἐναντίως. καὶ οἶνος ἡδίων οὐχ ὁ τῷ διεφθαρμένῳ τὴν γλῶτταν ὑπὸ οἰνοφλυγίας, ἐπεὶ οὐτ' ὄξος παρεγχέουσιν, ἀλλὰ τῇ

ἑτέρων P^b. ‖ 10. τὸ alterum om P^b. ‖ 12. οὖν om P^b. ‖ 13. τὸν] τὸ P^b. ‖ 14. ἐρωμένους M^b. ‖ 15. ἀλλὰ τοῦ ὑγροῦ M^b. ‖ μὲν οὖν P^b. ‖ 17. πάντων γὰρ γλυκύ P^b. ‖ 18. ἐχθρὸν] ἔχει ἐχθρὸν M^b. ‖ 23. ἡμέρας P^b. ‖ 25. τὰ om M^bP^b. ‖ 30. ἐγ- M^b. ‖ 37. post τῶν M^bP^b litteris locum quinque vel sex.
πάντα — 3. ἄχρηστον om M^b. ‖ 9. διαμένουσιν M^b. ‖ 13. τρόπος] λοιπός M^bP^b. ‖ 18. μὲν codicibus deest. ‖ 32. αὐτῷ P^b. ‖ om M^b. ‖ 34. οὐ om P^b. ‖ 37. καὶ om P^b. ‖ σκό P^b, ut nescias σκότειne velit an σκότῳ.

ἀδιαφθόρῳ αἰσθήσει. ὁμοίως δὲ καὶ ἐπὶ ψυχῆς, καὶ οὐχ ἃ τοῖς παιδίοις καὶ τοῖς θηρίοις, ἀλλὰ τοῖς καθεστῶσιν· ἀμφοτέρων γοῦν μεμνημένοι ταῦθ' αἱρούμεθα. ὡς δ' ἔχει παιδίον καὶ θηρίον πρὸς ἄνθρωπον καθεστῶτα, οὕτως ἔχει ὁ φαῦλος καὶ ἄφρων πρὸς τὸν ἐπιεικῆ καὶ φρόνιμον. τούτοις δὲ ἡδέα τὰ κατὰ τὰς ἕξεις· ταῦτα δ' ἐστὶ τὰ ἀγαθὰ καὶ τὰ καλά. ἐπεὶ οὖν τὰ ἀγαθὰ πλεοναχῶς (τὸ μὲν γὰρ τῷ τοιόνδ' εἶναι λέγομεν ἀγαθόν, τὸ δὲ τῷ ὠφέλιμον καὶ χρήσιμον, ἐπειδὴ τὸ ἡδὺ τὸ μὲν ἁπλῶς καὶ ἀγαθὸν ἁπλῶς, τὸ δὲ τινί, ἢ φαινόμενον ἀγαθόν, ὥσπερ καὶ ἐπὶ τῶν ἀψύχων), δι' ἕκαστον τούτων ἐνδέχεται ἡμᾶς αἱρεῖσθαί τι καὶ φιλεῖν, ὥσπερ καὶ ἄνθρωπον· τὸν μὲν γὰρ τοιόνδε καὶ δι' ἀρετήν, τὸν δ' ὅτι ὠφέλιμος καὶ χρήσιμος, τὸν δ' ὅτι ἡδὺς καὶ δι' ἡδονήν. φίλος δὴ γίνεται ὅταν φιλούμενος ἀντιφιλῇ, καὶ τοῦτο μὴ λανθάνῃ πως αὐτούς. ἀνάγκη ἄρα τρία φιλίας εἴδη εἶναι, καὶ μήτε καθ' ἓν ἁπάσας μήθ' ὡς εἴδη ἑνὸς γένους μήτε πάμπαν λέγεσθαι ὁμωνύμως. πρὸς μίαν γάρ τινα λέγονται καὶ πρώτην, ὥσπερ τὸ ἰατρικόν. καὶ ψυχὴν ἰατρικὴν καὶ σῶμα λέγομεν καὶ ὄργανον καὶ ἔργον, ἀλλὰ κυρίως τὸ πρῶτον. πρῶτον δ' οὗ λόγος ἐν ἡμῖν ὑπάρχει. οἷον ὄργανον ἰατρικόν, ᾧ ἂν ὁ ἰατρὸς χρήσαιτο· ἐν δὲ τῷ τοῦ ἰατροῦ λόγῳ οὐκ ἔστιν ὁ τοῦ ὀργάνου. ζητεῖται μὲν οὖν πανταχοῦ τὸ πρῶτον. διὰ δὲ τὸ καθόλου εἶναι τὸ πρῶτον, λαμβάνουσι καὶ πρῶτον καθόλου· τοῦτο δ' ἐστὶ ψεῦδος. ὥστε καὶ περὶ τῆς φιλίας οὐ δύνανται πάντ' ἀποδιδόναι τὰ φαινόμενα· οὐ γὰρ ἐφαρμόττοντος ἑνὸς λόγου οὐκ οἴονται ἄλλας φιλίας εἶναι. αἱ δ' εἰσὶ μέν, ἀλλ' οὐχ ὁμοίως εἰσίν. οἱ δ' ὅταν ἡ πρώτη μὴ ἐφαρμόττῃ, ὡς οὖσαν καθόλου ἄν, εἴπερ ἦν πρώτη, οὐδ' εἶναι φιλίας τὰς ἄλλας φασίν. ἔστι δὲ πολλὰ εἴδη φιλίας. τῶν γὰρ ῥηθέντων ἦν ἤδη, ἐπειδὴ διώρισται τριχῶς λέγεσθαι τὴν φιλίαν. ἡ μὲν γὰρ διώρισται δι' ἀρετήν, ἡ δὲ διὰ τὸ χρήσιμον, ἡ δὲ διὰ τὸ ἡδύ. τούτων ἡ μὲν διὰ τὸ χρήσιμόν ἐστιν ἡ τῶν πλείστων φιλία· διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους, καὶ μέχρι τούτου, ὥσπερ ἡ παροιμία "Γλαῦκ' ἐπίκουρος ἀνὴρ τὸν σὸν φίλον ἔσκε μάχηται," καὶ "οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας." ἡ δὲ δι' ἡδονὴν τῶν νέων· τούτου γὰρ αἴσθησιν ἔχουσιν. διὸ εὐμετάβολος φιλία ἡ τῶν νέων· μεταβαλλόντων γὰρ τὰ ἤθη κατὰ τὰς ἡλικίας μεταβάλ-

λει καὶ τὸ ἡδύ. ἡ δὲ κατ' ἀρετὴν τῶν βελτίστων. φ δ' ἐκ τούτων ὅτι ἡ πρώτη φιλία, ἡ τῶν ἀγαθῶν, ἐσ τιφιλία καὶ ἀντιπροαίρεσις πρὸς ἀλλήλους. φίλον μ τὸ φιλούμενον τῷ φιλοῦντι, φίλος δὲ τῷ φιλουμένῳ κ τιφιλῶν. αὕτη μὲν οὖν ἐν ἀνθρώποις μόνον ὑπάρχει μόνον γὰρ αἰσθάνεται προαιρέσεως. αἱ δ' ἄλλαι τοῖς θηρίοις, καὶ τὸ χρήσιμον ἐπὶ μικρόν τι φαίνετ πάρχον, καὶ πρὸς ἄνθρωπον τοῖς ἡμέροις καὶ πρὸς ἀλ οἷον τὸν τροχίλον φησὶν Ἡρόδοτος τῷ κροκοδείλῳ, οἱ μάντεις τὰς συνεδρείας καὶ διεδρείας λέγουσιν. φαῦλοι ἂν εἶεν φίλοι ἀλλήλοις καὶ διὰ τὸ χρήσιμ διὰ τὸ ἡδύ. οἱ δ' ὅτι ἡ πρώτη οὐχ ὑπάρχει αὐτο φασι φίλους εἶναι· ἀδικήσει γὰρ ὅ γε φαῦλος τὸν λον, οἱ δ' ἀδικούμενοι οὐ φιλοῦσι σφᾶς αὐτούς. οἱ δὲ μέν, ἀλλ' οὐ τὴν πρώτην φιλίαν, ἐπεὶ τάς γε ἑτέρας κωλύει· δι' ἡδονὴν γὰρ ὑπονοοῦσιν ἀλλήλους βλαπτό ὡς ἂν ὦσιν ἀκρατεῖς. οὐ δοκοῦσι δ' οὐδ' οἱ δι' ἡδονὴν φ τες ἀλλήλους φίλοι εἶναι, ὅταν κατ' ἀκρίβειαν ζητῶσ οὐχ ἡ πρώτη· ἐκείνη μὲν γὰρ βέβαιος, αὕτη δὲ ἀβέ ἡ δ' ἐστὶ μέν, ὥσπερ εἴρηται, φιλία, οὐκ ἐκείνη δέ, ἀπ' ἐκείνης. τὸ μὲν οὖν ἐκείνως μόνον λέγειν τὸν βιάζεσθαι τὰ φαινόμενά ἐστι, καὶ παράδοξα λέγειν καῖον· καθ' ἕνα δὲ λόγον πάσας δυνατόν. λείπεται οὕτως, ὅτι ἔστι μὲν ὡς μόνη ἡ πρώτη φιλία, ἔστι δ' ὡς π οὔτε ὡς ὁμώνυμοι καὶ ὡς ἔτυχεν ἔχουσαι πρὸς αὑτάς, καθ' ἓν εἶδος, ἀλλὰ μᾶλλον πρὸς ἕν. ἐπεὶ δ' ἁπλῶς θὸν καὶ ἁπλῶς ἡδὺ τὸ αὐτὸ καὶ ἅμα, ἂν μή τις δίζῃ, ὁ δ' ἀληθινὸς φίλος καὶ ἁπλῶς ὁ πρῶτός ἐστι, δὲ τοιοῦτος ὁ δι' αὑτὸν αὐτὸς αἱρετός. ἀνάγκη δ' εἶναι τον· ὡς γὰρ βούλεταί τις δι' αὑτὸν εἶναι τἀγαθά, καὶ αὑτὸν αἱρεῖσθαι εἶναι. ὁ δ' ἀληθινὸς φίλος καὶ ἐστιν ἁπλῶς. διὸ δοκεῖ καὶ ὁ ὁπωσοῦν φίλος ἡδύς. διοριστέον περὶ τούτου μᾶλλον ἔχει ἐπίστασιν. πότερο τὸ αὑτῷ ἀγαθὸν ἢ τὸ ἁπλῶς ἀγαθὸν φίλον; καὶ πό τὸ κατ' ἐνέργειαν φιλεῖν μεθ' ἡδονῆς, ὥστε καὶ τὸ φιλ ἡδύ, ἢ οὔ; ἄμφω γὰρ εἰς ταὐτὸ συνακτέον· τά τε μὴ ἁπλῶς ἀγαθὰ ἀλλὰ κακὰ ἁπλῶς τύχῃ φευκτά, τὸ μὴ αὑτῷ ἀγαθὸν οὐθὲν πρὸς αὑτόν, ἀλλὰ τοῦτ' ἐ ζητεῖται, τὰ ἁπλῶς ἀγαθὰ οὕτως εἶναι ἀγαθά. ἔστι

1. διαφόρῳ M^b. ‖ 4. ἄνθρωπον καὶ καθεστῶτα P^b. ‖ 9. ἐπεὶ M^b, ἐπεὶδε P^b. ‖ 15. λανθάνειν M^b. ‖ 16. εἴδη om P^b. ‖ 2 post εἶναι om P^b. ‖ 28. αἱ codices. ‖ οὖσα P^b. ‖ 30. ἤδη] εἴδη P^b. ‖ 33. τῶν] διὰ τῶν M^bP^b. ‖ 34. χρήσιμοι M^bP^b. ‖ κα M^b. ‖ 36. σὸν] σοφὸν M^bP^b. ‖ ἀθῆναι M^b, ἀληθῆναι P^b.

8. ἀνθρώπων M^b. ‖ ἄλλα codices. ‖ 12. οἱ] οὐ M^b. ‖ 14. οἱ δὲ] οὐδ' οὐ M^bP^b. ‖ 17. οὐδ' οἱ] οὐ M^b. ‖ 23. πᾶσαι P^b. ‖ 2 om codices. ‖ 25. ἑαυτάς P^b. ‖ 28. ὁ δ'] οὐδ' pr M^b. ‖ 29. δι' αὑτὸν αὐτὸν αἱρετός P^b. ‖ 32. ὁ om M^b. ‖ 39. οὕτως] an αὐ

μὲν τὸ ἁπλῶς ἀγαθόν, αὐτῷ δὲ τὸ αὐτῷ ἀγαθόν·
συμφωνῆσαι. καὶ τῦτο ἡ ἀρετὴ ποιεῖ· καὶ ἡ πολι-
τὶ τούτῳ, ὅπως οἷς μήπω ἐστὶ γένηται. εὐθέτως δὲ
ὸ ὁδοῦ ἄνθρωπος ὤν· φύσει γὰρ αὐτῷ ἀγαθὰ τὰ
ἀγαθά. ὁμοίως δὲ καὶ ἀνὴρ ἀντὶ γυναικὸς καὶ
εὐφυῦς. διὰ τῦ ἡδέος δὲ ἡ ὁδός· ἀνάγκη εἶναι τὰ
ἡδέα. ὅταν δὲ τῦτο διαφωνῇ, ὔπω σπυδαῖον τελέως·
ται γὰρ ἐγγενέσθαι ἀκρασίαν· τὸ γὰρ διαφωνεῖν
ν τῷ ἡδεῖ ἐν τοῖς πάθεσιν ἀκρασία ἐςίν. ὥς' ἐπειδὴ
τη φιλία κατ' ἀρετήν, ἔσονται καὶ αὐτοὶ ἁπλῶς
τοῦτο δ' οὐχ ὅτι χρήσιμοι, ἀλλ' ἄλλον τρόπον·
γὰρ ἔχει τὸ τωδὶ ἀγαθὸν καὶ ἁπλῶς ἀγαθόν. καὶ
ὥσπερ ἐπὶ τῦ ὠφελίμυ, καὶ ἐπὶ τῶν ἕξεων. ἄλλο
ἁπλῶς ὠφέλιμον καὶ τὸ καλόν· τοιοῦτον γυμνά-
πρὸς τὸ φαρμακεύεσθαι. ὥστε καὶ ἡ ἕξις ἡ ἀν-
ἀρετή. ἔςω γὰρ ὁ ἄνθρωπος τῶν φύσει σπυδαίων·
τῦ φύσει σπυδαίυ ἀρετὴ ἁπλῶς ἀγαθόν, ἡ δὲ τοῦ
ίνῳ. ὁμοίως δὴ ἔχει καὶ τὸ ἡδύ. ἐνταῦθα γὰρ
τέον, καὶ σκεπτέον πότερόν ἐστιν ἄνευ ἡδονῆς φι-
ται τί διαφέρει, καὶ ἐν ποτέρῳ ποτ' ἐςὶ τὸ φιλεῖν,
τερον ὅτι ἀγαθός, κἂν εἰ μὴ ἡδύς, ἀλλ' ὐ διὰ τῦτο.
δὴ λεγομένυ τῦ φιλεῖν, πότερον ὅτι ἀγαθὸν τὸ κατ'
ιν οὐκ ἄνευ ἡδονῆς φαίνεται. δῆλον δ' ὅτι ὥσπερ
ς ἐπιστήμης αἱ πρόσφατοι θεωρίαι καὶ μαθήσεις
ὶ μάλιςα τῷ εἴδει, ὕτω καὶ αἱ τῶν συνήθων ἀνα-
ις, καὶ ὁ λόγος ὁ αὐτὸς ἐπ' ἀμφοῖν. φύσει γῦν τὸ
ἀγαθὸν ἡδὺ ἁπλῶς, καὶ οἷς ἀγαθόν, τούτοις ἡδύ.
ὺς τὰ ὅμοια ἀλλήλοις χαίρει, καὶ ἀνθρώπῳ ἥδιςον
ος. ὥς' ἐπεὶ καὶ ἀτελῆ, δῆλον ὅτι καὶ τελειωθέντα·
τυδαῖος τέλειος. εἰ δὲ τὸ κατ' ἐνέργειαν φιλεῖν μεθ'
ἀντιπροαίρεσις τῆς ἀλλήλων γνωρίσεως, δῆλον ὅτι
ως ἡ φιλία ἡ πρώτη ἀντιπροαίρεσις τῶν ἁπλῶς
καὶ ἡδέων, ὅτι ἀγαθὰ καὶ ἡδέα. ἔστι δ' αὕτη ἡ
ἕξις ἀφ' ἧς ἡ τοιαύτη προαίρεσις. τὸ γὰρ ἔργον
ἐνέργεια, αὕτη δ' ὐκ ἔξω ἀλλ' ἐν αὐτῷ τῷ φιλῦντι,
ως δὲ πάσης ἔξω· ἢ γὰρ ἐν ἑτέρῳ ἢ ἕτερον. διὸ
εῖν χαίρειν, ἀλλ' ὐ τὸ φιλεῖσθαί ἐςιν. τὸ μὲν γὰρ
θαι φιλητῦ ἐνέργεια, τὸ δὲ καὶ φιλίας, καὶ τὸ μὲν
ύχῳ, τὸ δὲ καὶ ἐν ἀψύχῳ· φιλεῖται γὰρ καὶ τὰ
ι. ἐπεὶ δὲ τὸ φιλεῖν τὸ κατ' ἐνέργειαν τὸ φιλῦμε-

νον, ὅ ἐςι χρῆσθαι ᾗ φιλύμενον, ὁ δὲ φίλος φιλύμενον, καὶ φίλῳ ᾗ φίλος, ἀλλὰ μὴ ᾗ μυσικὸς ἢ ἰατρός, ἡδονὴ τοίνυν ἡ ἀπ' αὐτῦ, ᾗ αὐτός, αὕτη φιλική· αὐτὸν γὰρ φιλεῖ, οὐχ ὅτι ἄλλῳ. ὥστ' ἂν μὴ χαίρῃ ᾗ ἀγαθός, οὐχ ἡ πρώτη φιλία. ὐδὲ δὴ ἐμποδίζειν ὐθὲν τῶν συμβεβηκότων μᾶλλον ἢ τὸ ἀγαθὸν εὐφραίνειν. τί γὰρ σφόδρα δυσώδης λείπεται· ἀγαπᾶται γὰρ τὸ εὐνοεῖν, συζῇ δὲ μή. αὕτη μὲν ὖν ἡ πρώτη φιλία, ἣ πάντες ὁμολογῦσιν. αἱ δ' ἄλλαι δι' αὐτὴν καὶ δοκῦσι καὶ ἀμφισβητῦνται. βέβαιον γάρ τι δοκεῖ ἡ φιλία, μόνη δ' αὕτη βέβαιος. τὸ γὰρ κεκριμένον βέβαιον, τὰ δὲ μὴ ταχὺ γινόμενα μηδὲ ῥᾳδίως ὐ ποιεῖ τὴν κρίσιν ὀρθήν. οὐκ ἔςι δ' ἄνευ πίςεως φιλία βέβαιος, ἡ δὲ πίςις ὐκ ἄνευ χρόνυ. δεῖ γὰρ πεῖραν λαβεῖν, ὥσπερ λέγει καὶ Θέογνις·

οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός,
πρὶν πειραθείης ὥσπερ ὑποζυγίου.

ὐδ' ἄνευ χρόνυ φίλος. ἀλλὰ βύλονται φίλοι, καὶ μάλιςα λανθάνει ἡ τοιαύτη ἕξις ὡς φιλία. ὅταν γὰρ προθύμως ἔχωσι φίλοι εἶναι, διὰ τὸ πάνθ' ὑπηρετεῖν τὰ φιλικὰ ἀλλήλοις, οἴονται ὐ βύλεσθαι φίλοι ἀλλ' εἶναι φίλοι. τὸ δ' ὥσπερ ἐπὶ τῶν ἄλλων συμβαίνει καὶ ἐπὶ τῆς φιλίας· ὐ γὰρ εἰ βύλονται ὑγιαίνειν, ὑγιαίνυσιν, ὥς' ὐδ' εἰ φίλοι βύλονται, ἤδη καὶ φίλοι εἰσίν. σημεῖον δέ· εὐδιάβλητοι γὰρ οἱ διακείμενοι ἄνευ πείρας τῦτον τὸν τρόπον. περὶ ὧν μὲν γὰρ πεῖραν δεδώκασιν ἀλλήλοις, ὐκ εὐδιάβλητοι, περὶ ὧν δὲ μή, πεισθεῖεν ἂν ὅταν σύμβολα λέγωσιν οἱ διαβάλλοντες. ἅμα δὲ φανερὸν ὅτι ὐδ' ἐν τοῖς φαύλοις αὕτη ἡ φιλία· ἄπιςος γὰρ ὁ φαῦλος καὶ κακοήθης πρὸς πάντας· αὐτῷ γὰρ μετρεῖ τοὺς ἄλλυς. διὸ εὐεξαπατητότεροί εἰσιν οἱ ἀγαθοί, ἂν μὴ διὰ πεῖραν ἀπιστῶσιν. οἱ δὲ φαῦλοι αἱρῦνται τὰ φύσει ἀγαθὰ ἀντὶ τοῦ φίλυ, καὶ ὐθεὶς φιλεῖ μᾶλλον ἄνθρωπον ἢ πράγματα. ὥς' ὐ φίλοι. ὐ γὰρ γίνεται ὕτω κοινὰ τὰ φίλων· προσνέμεται γὰρ ὁ φίλος τοῖς πράγμασιν, ὐ τὰ πράγματα τοῖς φίλοις. οὐ γίνεται ἄρ' ἡ φιλία ἡ πρώτη ἐν πολλοῖς, ὅτι χαλεπὸν πολλῶν πεῖραν λαβεῖν· ἑκάστῳ γὰρ ἂν δεῖ συζῆσαι. οὐδὲ δὴ αἱρετέον ὁμοίως περὶ ἱματίυ καὶ φίλου. καίτοι ἐν πᾶσι δοκεῖ τοῦ νοῦν ἔχοντος δυοῖν τὸ βέλτιον αἱρεῖσθαι· καὶ εἰ μὲν τῷ χείρονι πάλαι ἐχρῆτο, τῷ βελτίονι δὲ μηδέπω, τῦθ' αἱρετέον, ἀλλ' ὐκ ἀντὶ τῦ πάλαι φίλυ τὸν ἀγνῶτα εἰ βελτίων.

τῦτο ἡ] τῦτον codices. ‖ 4. καὶ om P^b. ‖ 8. τῷ P^b. ‖ 14. τοιοῦτο M^b. ‖ 21. καὶ om P^b. ‖ εἰ] ἡ P^b. ‖ 22. ἀγαθὸς M^b 25. γνωρίσεις P^b. ‖ 29. ἀτελεῖ M^b. ‖ τελεωθέντι P^b. ‖ 31. ἀντιπροαιρέσεως M^b. ‖ 32. ἡ ante πρώτη om M^b.
ἰατρικὸς P^b. ‖ 4. ἄλλος P^b. ‖ 5. δὴ] δεῖ? et 6. εἰ γὰρ σφόδρα δυσώδης, ‖ 17. ὐκ P^b. ‖ 20. ὐ om P^b. ‖ 22. εἰ post γὰρ ‖ 25. εὐδιάλυτοι M^b. ‖ 33. προνέμεται M^b. ‖ 34. ἄρ' om P^b. ‖ 37. τὸν νοῦν ἔχοντα P^b.

ὐ γὰρ ἐςιν ἄνευ πείρας ὐδὲ μιᾶς ἡμέρας ὁ φίλος, ἀλλὰ χρόνου δεῖ· διὸ εἰς παροιμίαν ἐλήλυθεν ὁ μέδιμνος τῶν ἁλῶν. ἅμα δὲ εἰ μὴ μόνον ἁπλῶς ἀγαθὸν εἶναι ἀλλὰ καὶ σοὶ εἶναι, φίλος ἔσται σοι φίλος. ἀγαθὸς μὲν γὰρ ἁπλῶς ἐςὶ τῷ ἀγαθὸς εἶναι, φίλος δὲ τῷ ἄλλῳ ἀγαθός· ἁπλῶς ἀγαθὸς καὶ φίλος, ὅταν συμφωνήσῃ ταῦτα ἄμφω, ὥστε ὃ ἐστιν ἁπλῶς ἀγαθόν, τῷ τούτῳ ἄλλῳ, ἢ καὶ μὴ ἁπλῶς μὲν σπυδαίῳ, ἄλλῳ δ' ἀγαθός, ὅτι χρήσιμος. τὸ δὲ πολλοῖς ἅμα εἶναι φίλος καὶ τὸ φιλεῖν κωλύειν· οὐ γὰρ οἷόν τε ἅμα πρὸς πολλὺς ἐνεργεῖν. ἐκ δὴ τύτων φανερὸν ὅτι ὀρθῶς λέγεται ὅτι ἡ φιλία τῶν βεβαίων, ὥσπερ ἡ εὐδαιμονία τῶν αὐτάρκων. καὶ ὀρθῶς εἴρηται· ἡ γὰρ φύσις βέβαιον, οὐ τὰ χρήματα. πολὺ δὲ κάλλιον εἰπεῖν ὅτι ἡ ἀρετὴ τῆς φύσεως, καὶ ὅτι χρόνος λέγεται δεικνύναι τὸν φιλύμενον, καὶ αἱ ἀτυχίαι μᾶλλον τῶν εὐτυχιῶν. τότε γὰρ δῆλον ὅτι κοινὰ τὰ τῶν φίλων· ὗτοι γὰρ μόνοι ἀντὶ τῶν φύσει ἀγαθῶν καὶ φύσει κακῶν, περὶ ἃ αἱ εὐτυχίαι καὶ αἱ δυςυχίαι, αἱρῦνται μᾶλλον ἄνθρωπον ἢ τύτων τὰ μὲν εἶναι τὰ δὲ μὴ εἶναι. ἡ δ' ἀτυχία δηλοῖ τοὺς μὴ ὄντως ὄντας φίλυς, ἀλλὰ διὰ τὸ χρήσιμον τυχόν. ὁ δὲ χρόνος δηλοῖ ἀμφοτέρυς· ὐδὲ γὰρ ὁ χρήσιμος ταχὺ δῆλος, ἀλλ' ὁ ἡδὺς μᾶλλον. πλὴν ὐδ' ὁ ἁπλῶς ἡδὺς ταχύς. ὅμοιοι γὰρ οἱ ἄνθρωποι τοῖς οἴνοις καὶ ἐδέσμασιν· ἐκείνων τε γὰρ τὸ μὲν ἡδὺ ταχὺ δηλοῖ, πλείω δὲ χρόνον γινόμενον ἀηδὲς καὶ ὐ γλυκύ, καὶ ἐπὶ τῶν ἀνθρώπων ὁμοίως. ἔςι γὰρ τὸ ἁπλῶς ἡδὺ τῷ τέλει ὁριςέον καὶ τῷ χρόνῳ. ὁμολογήσαιεν δ' ἂν καὶ οἱ πολλοί, ὐκ ἐκ τῶν ἀποβαινόντων μόνον, ἀλλ' ὥσπερ ἐπὶ τῦ πόματος καλῦσι γλύκιον· τῦτο γὰρ διὰ τὸ ἀποβαῖνον οὐχ ἡδύ, ἀλλὰ διὰ τὸ μὴ συνεχές, ἀλλὰ τὸ πρῶτον ἐξαπατᾶν. ἡ μὲν οὖν πρώτη φιλία, καὶ δι' ἣν αἱ ἄλλαι λέγονται, ἡ κατ' ἀρετήν ἐστι, καὶ δι' ἡδονὴν τὴν ἀρετῆς, ὥσπερ εἴρηται πρότερον. αἱ δ' ἄλλαι ἐγγίνονται φιλίαι καὶ ἐν παισὶ καὶ θηρίοις καὶ τοῖς φαύλοις. ὅθεν λέγεται "ἧλιξ ἥλικα τέρπει" καὶ "κακὸς κακῷ συντέτηκεν ἡδονῇ." ἐνδέχεται δὲ καὶ ἡδεῖς ἀλλήλοις εἶναι τὺς φαύλυς, καὶ ᾗ φαῦλοι ἢ μηδέτεροι, ἀλλ' οἷον ᾠδικοὶ ἄμφω, ἢ ὁ μὲν φειδωλὸς ὁ δ' ᾠδικός ἐςιν. καὶ ᾗ πάντες ἔχυσιν ἀγαθόν, καὶ ταύτῃ συναρμόττυσιν ἀλλήλοις. ἔτι χρήσιμοι ἂν εἶεν ἀλλήλοις καὶ ὠφέλιμοι, οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὴν προαίρεσιν, ἢ οὐδέτεροι. ἐνδέχεται δὲ καὶ τῷ ι φαῦλον εἶναι φίλον. καὶ γὰρ χρήσιμος ἂν εἴη π προαίρεσιν, ὁ μὲν φαῦλος πρὸς τὴν ὑπάρχυσαν τι δαίῳ, ὁ δὲ τῷ μὲν ἀκρατεῖ πρὸς τὴν ὑπάρχουσαν, φαύλῳ πρὸς τὴν κατὰ φύσιν· καὶ βυλήσεται τὰ ἁπλῶς μὲν τὰ ἁπλᾶ, τὰ δ' ἐκείνῳ ἐξ ὑποθέσεως, ι συμφέρει ἢ νόσος. ταῦτα τῶν ἁπλῶν ἀγαθῶν ὥσπερ καὶ αὐτὸ τὸ φάρμακον πιεῖν· οὐ γὰρ βο ἀλλὰ τῦδ' ἕνεκα βύλεται. ἔτι καθ' ὓς τρόπυς καὶ λοις οἱ μὴ σπυδαῖοι εἶεν ἂν φίλοι. εἴη γὰρ ἂν ἡ ᾗ φαῦλος, ἀλλ' ᾗ τῶν κοινῶν τινὸς μετέχει, οἷον ε κός. ἔτι ᾗ ἔνι τι πᾶσιν ἐπιεικές· διὸ ἔνιοι ὁμιλητι ἂν καὶ σπυδαῖοι. ἢ ᾗ προσαρμόττυσιν ἑκάςῳ· ἔχυ τι πάντες τοῦ ἀγαθοῦ.

Τρία μὲν οὖν εἴδη ταῦτα φιλίας, ἐν πᾶσι δὲ κατ' ἰσότητά πως λέγεται ἡ φιλία· καὶ γὰρ οἱ ἀρετὴν φίλοι ἐν ἰσότητί πως ἀρετῆς εἰσὶ φίλοι ἀλ ἄλλη δὲ διαφορὰ τούτων ἡ κατ' ὑπερβολήν, ὥσπε ἀρετὴ πρὸς ἄνθρωπον. τῦτο γὰρ ἕτερον εἶδος φιλίας ὅλως ἄρχοντος καὶ ἀρχομένου, καθάπερ καὶ τὸ δ ἕτερον· κατ' ἀναλογίαν γὰρ ἴσον, κατ' ἀριθμὸν δ' ἰσ ἐν τούτῳ τῷ γένει πατὴρ πρὸς υἱὸν καὶ ὁ εὐεργέτης τὸν εὐεργετηθέντα. αὐτῶν δὲ τούτων διαφοραί εἰσι πατρὸς πρὸς υἱὸν καὶ ἀνδρὸς πρὸς γυναῖκα, αὕτη μ ἄρχοντος καὶ ἀρχομένυ, ἡ δὲ εὐεργέτυ πρὸς εὐεργετη ἐν ταύταις δὲ ἢ ὐκ ἔνεςιν ἢ ὐχ ὁμοίως τὸ ἀντιφιλε γελοῖον γὰρ εἴ τις ἐγκαλοίη τῷ θεῷ ὅτι οὐχ ὁμοί ἀντιφιλεῖσθαι ὡς φιλεῖται, ἢ τῷ ἄρχοντι καὶ ἀρχο φιλεῖσθαι γάρ, οὐ φιλεῖν, τοῦ ἄρχοντος, ἢ φιλεῖ ἄλ τρόπον. καὶ ἡδονὴ διαφέρει ὐδὲν ἥ τε τῦ αὐτάρκους ἐπ αὐτοῦ κτήματι ἢ παιδί, καὶ τοῦ ἐνδεῦς ἐπὶ τῷ γιγνο ὡς δ' αὕτως καὶ ἐπὶ τῶν διὰ τὴν χρῆσιν φίλων καὶ τῶν δι' ἡδονήν, οἱ μὲν κατ' ἰσότητα εἰσίν, οἱ δὲ καθ' ὑπ χήν. διὸ καὶ οἱ ἐκείνως οἰόμενοι ἐγκαλῦσιν, ἐὰν μὴ ὁμ χρήσιμοι καὶ εὖ ποιῶσιν καὶ ἐπὶ τῆς ἡδονῆς. δῆλον ι τοῖς ἐρωτικοῖς· τοῦτο γὰρ αἴτιον τοῦ μάχεσθαι ἀλλ πολλάκις. ἀγνοεῖ γὰρ ὁ ἐρῶν ὅτι ὐχ ὁ αὐτὸς λόγο ἐπὶ τὴν προθυμίαν. διὸ εὑρηκέναι νεῖκος ὁ ἐρώμενος· τι ἂν ὐκ ἐρῶν λέγοι. οἱ δὲ νομίζυσι τὸν αὐτὸν εἶναι λό

1. ὐδεμίαν ἡμέραν $M^b P^b$. ‖ 4. εἶναι] εἶεν M^b. ‖ γὰρ om M^b. ‖ 6. συμφωνίας P^b. ‖ 7. ἢ] εἰ P^b. ‖ 10. οἴονται P^b. ‖ 16. τ $M^b P^b$. ‖ 18. αἱ om P^b. ‖ 19. οὕτως P^b. ‖ 23. ὄνοις M^b. ‖ 24. ἡδὺ om P^b. ‖ χρόνω M^b. ‖ 26. ὁμολογήσειε P^b. ‖ 28. πό P^b. ‖ 31. τῆς M^b. ‖ 34. συντέτηκεν ἡδονήν M^b. ‖ 36. ᾗ] ἢ M^b, οἱ P^b. ‖ 39. ἀλλήλους P^b.

1. τὸν ἐπιεικῆ $M^b P^b$. ‖ 2. χρήσιμον M^b. ‖ 3. τῷ — 4. ὑπάρχουσαν om M^b. ‖ 8. ποιεῖν P^b. ‖ 12. ἔτι] nescio quid corr „ ἐνί τι P^b, εἰ ἐνί τινι M^b. ‖ 13. σπυδαῖοι P^b. ‖ ᾗ] εἰ M^b, ambiguo P^b. ‖ 17. εἰσὶν ἀρετῆς P^b. ‖ 23. ἄλλων P^b. ‖ 25. ἡ P^b. ‖ πρὸς] πρὸς τὸν M^b. ‖ 30. ἐπὶ τῷ] καὶ ἐπὶ τῷ τοῦ M^b. ‖ 32. δ' om M^b. ‖ 33. οἱ om M^b. ‖ ἐςὶν M^b.

ὅταν ᾖ ἐπὶ τῶν ἐμψύχων. διὸ ἐνίοτε ἀνομοίοις χαίρουσιν, οἷον αὐστηροὶ εὐτραπέλοις καὶ ὀξεῖς ῥαθύμοις· εἰς τὸ μέσον γὰρ καθίστανται ὑπ' ἀλλήλων. κατὰ συμβεβηκὸς οὖν, ὥσπερ ἐλέχθη τὰ ἐναντία φίλα, καὶ διὰ τὸ ἀγαθόν. πόσα μὲν οὖν εἴδη φιλίας, καὶ τίνες διαφοραὶ καθ' ἃς λέγονται οἵ τε φίλοι καὶ οἱ φιλοῦντες καὶ οἱ φιλούμενοι, καὶ οὕτως ὥστε φίλοι εἶναι καὶ ἄνευ τούτου, εἴρηται.

6 Περὶ δὲ τοῦ αὐτὸν αὑτῷ φίλον εἶναι ἢ μή, πολλὴν ἔχει ἐπίσκεψιν. δοκεῖ γὰρ ἐνίοις μάλιστα ἕκαστος αὐτὸς αὑτῷ φίλος εἶναι, καὶ τούτῳ χρώμενοι κανόνι κρίνουσι τὴν πρὸς τοὺς ἄλλους φίλους φιλίαν. κατὰ δὲ τοὺς λόγους καὶ τὰ δοκοῦνθ' ὑπάρχειν τοῖς φίλοις τὰ μὲν ὑπεναντιοῦται, τὰ δ' ὅμοια φαίνεται ὄντα. ἔστι γάρ πως κατ' ἀναλογίαν αὕτη ἡ φιλία, ἁπλῶς δ' οὔ. ἐν δυσὶ γὰρ διῃρημένοις τὸ φιλεῖσθαι καὶ φιλεῖν. δι' ὃ μᾶλλον οὕτος αὐτὸς αὑτῷ φίλος. ἐπὶ τοῦ ἀκρατοῦς καὶ ἐγκρατοῦς εἴρηται πῶς ἑκὼν ἢ ἄκων, τῷ τὰ μέρη ἔχειν πως πρὸς ἄλληλα τὰ τῆς ψυχῆς· καὶ ὅμοιον τὰ τοιαῦτα πάντα, εἰ φίλος αὐτὸς αὑτῷ καὶ ἐχθρός, καὶ εἰ ἀδικεῖ τις αὐτὸς αὑτόν. πάντα γὰρ ἐν δυσὶ ταῦτα καὶ διῃρημένως. εἰ δὲ δύο πως καὶ ἡ ψυχή, ὑπάρχει πως ταῦτα· εἰ δ' οὐ διῃρημένα, οὐχ ὑπάρχει. ἀπὸ δὲ τῆς πρὸς αὑτὸν ἕξεως [ὡς] οἱ λοιποὶ τρόποι τοῦ φιλεῖν διωρισμένοι, καθ' οὓς ἐν τοῖς λόγοις ἐπισκοπεῖν εἰώθαμεν. δοκεῖ γὰρ φίλος εἶναι ὁ βουλόμενός τινι τἀγαθὰ ἢ οἷα οἴεται ἀγαθά, μὴ δι' αὑτὸν ἀλλ' ἐκείνου ἕνεκα. ἄλλον δὲ τρόπον ᾧ τὸ εἶναι βούλεται δι' ἐκεῖνον καὶ μὴ δι' αὑτόν, κἂν εἰ μὴ διανέμων τἀγαθά, μὴ τῷ τὸ εἶναι τούτῳ ἂν δόξαιεν μάλιστα φιλεῖν. ἄλλον δὲ τρόπον ᾧ συζῆν αἱρεῖται δι' αὐτὴν τὴν ὁμιλίαν καὶ μὴ δι' ἕτερόν τι, οἷον οἱ πατέρες τὸ μὲν εἶναι τοῖς τέκνοις, συζῶσι δ' ἑτέροις. μάχεται δὴ ταῦτα πάντα πρὸς ἄλληλα. ὁ μὲν γὰρ ἂν μὴ τὸ ἑαυτοῖς, ὁ δὲ ἂν μὴ τὸ εἶναι, οἱ δὲ τὸ συζῆν οὐκ οἴονται φιλεῖσθαι. ἔτι το ἀλγοῦντι συναλγεῖν μὴ δι' ἕτερόν τι ἀγαπᾶν θήσομεν, οἷον οἱ δοῦλοι πρὸς τοὺς δεσπότας, ὅτι χαλεποὶ ἀλγοῦντες, ἀλλ' οὐ δι' αὐτούς, ὥσπερ αἱ μητέρες τοῖς τέκνοις, καὶ οἱ συνωδίνοντες ὄρνιθες. βούλεται γὰρ μάλιστά γε οὐ μόνον συλλυπεῖσθαι ὁ φίλος τῷ φίλῳ, ἀλλὰ καὶ τὴν αὐτὴν λύπην, οἷον διψῶντι συνδιψῆν, εἰ ἐνεδέχετο, ὅτι μὴ ἐγγύτατα. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ χαίρειν μὴ δι' ἕτερόν τι ἀλλὰ δι' ἐκεῖνον, ὅτι χαίρει, φιλικόν. ἔ τοιάδε λέγεται περὶ φιλίας, ὡς ἰσότης φιλότης, κα μίαν φιλίαν εἶναι τοὺς ἀληθῶς φίλους. ἅπαντα ταῦτα ναφέρεται πρὸς τὸν ἕνα. καὶ γὰρ βούλεται τἀγαθὰ τοῦτον τὸν τρόπον. οὐθεὶς γὰρ αὐτὸς αὑτὸν εὖ ποιεῖ δ ἕτερον, οὐδὲ χάριτος. οὐδὲ λέγει ὅτι ἐποίησεν ᾗ εἷς· γὰρ φιλεῖν βούλεσθαι ὁ δῆλον ποιῶν ὅτι φιλεῖ, ἀλ φιλεῖν. καὶ τὸ εἶναι μάλιστα καὶ τὸ συζῆν καὶ τὸ χαίρειν καὶ τὸ συναλγεῖν, καὶ μία δὴ ψυχή, καὶ δύνασθαι ἄνευ ἀλλήλων μηδὲ ζῆν, ἀλλὰ συναποθνή οὕτω γὰρ ἔχει ὁ εἷς, καὶ ἴσως ὁμιλεῖ αὐτὸς αὑτῷ. δὲ ταῦτα τῷ ἀγαθῷ ὑπάρχει πρὸς αὑτόν. ἐν δὲ τῷ νηρῷ διαφωνεῖ, οἷον ἐν τῷ ἀκρατεῖ. καὶ διὰ τοῦτο καὶ ἐχθρὸν ἐνδέχεσθαι αὐτὸν αὑτῷ εἶναι· ᾗ δ' εἷς ἀδιαίρετος, ὀρεκτὸς αὐτὸς αὑτῷ. τοιοῦτος ὁ ἀγαθὸς κατ' ἀρετὴν φίλος, ἐπεί ὅ γε μοχθηρὸς οὐχ εἷς ἀλλὰ λοί, καὶ τῆς αὐτῆς ἡμέρας ἕτερος καὶ ἔμπληκτος. καὶ ἡ αὑτοῦ πρὸς αὑτὸν φιλία ἀνάγεται πρὸς τὴν τοῦ ἀ θοῦ. ὅτι γάρ πῃ ὅμοιος καὶ εἷς καὶ αὐτὸς αὑτῷ ἀγ ταύτῃ αὐτὸς αὑτῷ φίλος καὶ ὀρεκτός· φύσει δὲ τοια ἀλλ' ὁ πονηρὸς παρὰ φύσιν. ὁ δ' ἀγαθὸς οὔθ' ἅμα λο ρεῖται ἑαυτῷ, ὥσπερ ὁ ἀκρατής, οὔθ' ὁ ὕστερος τῷ πρότ ὥσπερ ὁ μεταληπτικός, οὔτε ὁ ἔμπροσθεν τῷ ὕστερον, ὥ ὁ ψεύστης. ὅλως τε εἰ δεῖ ὥσπερ οἱ σοφισταὶ διορίζου ὥσπερ τὸ Κορίσκος καὶ Κορίσκος σπουδαῖος. δῆλον γὰρ τὸ αὐτὸ πόσον σπουδαῖον αὐτόν, ἐπεὶ ὅταν ἐγκαλέσω αὐτοῖς, ἀποκτιννύασιν αὑτούς. ἀλλὰ δοκεῖ πᾶς αὐτὸς αὐ ἀγαθός. ζητεῖ δὲ ὁ ἁπλῶς ὢν ἀγαθὸς εἶναι καὶ αὐ αὑτῷ φίλος, ὥσπερ εἴρηται, ὅτι δύ' ἔχει ἐν αὑτῷ ἃ φ σει βούλεται εἶναι φίλα καὶ διασπάσαι ἀδύνατον. διὸ ἐπ ἀνθρώπου μὲν δοκεῖ ἕκαστος αὐτὸς αὑτῷ φίλος, ἐπὶ δὲ τ ἄλλων ζῴων οἷον ἵππος αὐτὸς αὑτῷ· οὐκ ἄρα φίλος. ἀλ οὐδὲ τὰ παιδία, ἀλλ' ὅταν ἤδη ἔχῃ προαίρεσιν· ἤδη γ τότε διαφωνεῖ ὁ παῖς πρὸς τὴν ἐπιθυμίαν. ἔοικε δ' ἡ φι λία ἡ πρὸς αὑτὸν τῇ κατὰ συγγένειαν· οὐθέτερον γὰρ αὐτοῖς λῦσαι, ἀλλὰ κἂν διαφέρωνται, ὅμως οὗτοι συγγενεῖς ἔτι, ὁ δὲ ἔτι εἷς, ἕως ἂν ζῇ. ποσαχῶς μὲν τὸ φιλεῖν λέγεται, καὶ ὅτι πᾶσαι αἱ φιλίαι ἀνάγον πρὸς τὴν πρώτην, δῆλον ἐκ τῶν εἰρημένων.

3. οὖν] γὰρ P^b. ‖ 6. οἱ ante φιλούμενοι om P^b. ‖ 10. κρίνουσι interpres: codices κινοῦσι. ‖ 15. οὕτως P^b. ‖ 20. εἰ] ἡ M^b. ‖ 21 M^bP^b. ‖ 27. μὴ τὸ δόξειε M^b et Z: hic post τὸ tertiam versus partem vacuam, tum τὴν ὁμιλίαν καὶ μὴ δι' ἑ, iisque deletis locum vacu quinque litterarum capacem. ‖ 31. οἱ μὲν γὰρ μὴ P^b. ‖ αὐτοῖς M^b. ‖ 33. τοῦ M^bP^b. ‖ 36. οἱ om M^b. ‖ 38. εἰ] ἢ P^b. ‖ ἐνδέχεται M
2. περὶ τῆς φιλίας P^b. ‖ 7. βούλεται M^bP^b. ‖ 12. δὲ τῷ] γὰρ τῷ M^b. ‖ 16. τε M^b. ‖ 19. ὅμοιοι codices. ‖ 21. ὁ δ'] αὐτ . P^b. ‖ 26. πόσον πυσπουδαῖον M^b. ‖ 27. αὐτοῖς. ἀλλὰ] αὐτ. ἀλλὰ Z. ‖ 28. ζητεῖται P^b. ‖ 35. ἐπ' αὐτοῖς P^b. ‖ 36. ἄλλα M^b. ‖ φέρονται, omisso κἂν, P^b. ‖ 37. ἔτι συγγενεῖς P^b.

10 Λέγονται δὲ φιλίαι συγγενική, ἑταιρική, κοινωνική, ἡ λεγομένη πολιτική. ἔςι μὲν συγγενικὴ πολλὰ ἔχουσα εἴδη, ἡ μὲν ὡς ἀδελφῶν, ἡ δ' ὡς πατρὸς καὶ υἱῶν. καὶ γὰρ κατ' ἀναλογίαν, οἷον ἡ πατρική, καὶ κατ' ἀριθμόν, οἷον ἡ τῶν ἀδελφῶν. ἐγγὺς γὰρ αὕτη τῆς ἑταιρικῆς· ἐπιλαμβάνυσι γὰρ ἐνταῦθα πρεσβείων. ἡ δὲ πολιτικὴ συνέςηκε μὲν κατὰ τὸ χρήσιμον καὶ μάλιςα· διὰ γὰρ τὸ μὴ αὐτάρκη δοκοῦσι συνελθεῖν, ἐπεὶ συνῆλθόν γ' ἂν καὶ τοῦ συζῆν χάριν. μόνη δ' ἡ πολιτικὴ καὶ ἡ παρ' αὐτὴν παρέκβασις οὐ μόνον φιλίαι, ἀλλὰ καὶ ὡς φίλοι κοινωνοῦσιν· αἱ δ' ἄλλαι καθ' ὑπεροχήν. μάλιςα δὲ δίκαιον τὸ ἐν τῇ τῶν χρησίμων φιλίᾳ, διὰ τὸ τοῦτ' εἶναι τὸ πολιτικὸν δίκαιον. ἄλλον γὰρ τρόπον συνῆλθον πρίων καὶ τέχνη, ὐχ ἕνεκα κοινῦ τινός (ὅλον γὰρ ὄργανον καὶ ψυχή) ἀλλὰ τῦ χρωμένυ ἕνεκεν. συμβαίνει δὲ καὶ τῦτο ὄργανον ἐπιμελείας τυγχάνειν, ἧς δίκαιον πρὸς τὸ ἔργον. ἐκείνου γὰρ ἕνεκέν ἐστι καὶ τῷ τρυπάνῳ εἶναι διττόν, ὧν τὸ κυριώτερον ἐνέργεια, ἡ τρύπησις. καὶ ἐν τύτῳ τῷ εἴδει σῶμα καὶ δῦλος, ὥσπερ εἴρηται πρότερον. τὸ δὴ ζητεῖν πῶς δεῖ τῷ φίλῳ ὁμιλεῖν, τὸ ζητεῖν δίκαιον τί ἐςιν. καὶ γὰρ ὅλως τὸ δίκαιον ἅπαν πρὸς φίλον. τό τε γὰρ δίκαιόν τισι καὶ κοινωνοῖς, καὶ ὁ φίλος κοινωνός, ὁ μὲν γένυς, ὁ δὲ βίυ. ὁ γὰρ ἄνθρωπος ὐ μόνον πολιτικὸν ἀλλὰ καὶ οἰκονομικὸν ζῷον, καὶ ὐχ ὥσπερ τἄλλά ποτε συνδυάζεται καὶ τῷ τυχόντι καὶ θήλει καὶ ἄρρενι ἀλλ' αἱ διάδυμον αὐλικόν. ἀλλὰ κοινωνικὸν ἄνθρωπος ζῷον πρὸς οὓς φύσει συγγένειά ἐςιν· καὶ κοινωνία τοίνυν καὶ δίκαιόν τι, καὶ εἰ μὴ πόλις εἴη. οἰκία δ' ἐστί τις φιλία. δεσπότου μὲν οὖν καὶ δύλυ, ἥπερ καὶ τέχνης καὶ ὀργάνων καὶ ψυχῆς καὶ σώματος· αἱ δὲ τοιαῦται οὔτε φιλίαι οὔτε δικαιοσύναι, ἀλλ' ἀνάλογον, ὥσπερ καὶ τὸ ὑγιεινὸν οὐ δίκαιον ἀλλ' ἀνάλογον. γυναικὸς δὲ καὶ ἀνδρὸς φιλία ὡς χρήσιμον καὶ κοινωνία. πατρὸς δὲ καὶ υἱῦ ἡ αὐτὴ ἥπερ θεῦ πρὸς ἄνθρωπον καὶ τοῦ εὖ ποιήσαντος πρὸς τὸν παθόντα καὶ ὅλως τῦ φύσει ἄρχοντος πρὸς τὸν φύσει ἀρχόμενον. ἡ δὲ τῶν ἀδελφῶν πρὸς ἀλλήλυς ἑταιρικὴ μάλιςα ἡ κατ' ἰσότητα.

οὐ γάρ τι νόθος τῷδ' ἀπεδείχθη,
ἀμφοῖν δὲ πατὴρ αὐτὸς ἐκλήθη
Ζεὺς ἐμὸς ἄρχων.

ταῦτα γὰρ ὡς τὸ ἴσον ζητούντων λέγεται. διὸ ἐν οἰκίᾳ
πρῶτον ἀρχαὶ καὶ πηγαὶ φιλίας καὶ πολιτείας κ
καίυ. ἐπεὶ δὲ φιλίαι τρεῖς, κατ' ἀρετήν, κατὰ τὸ χ
μον, κατὰ τὸ ἡδύ, τύτων δὲ ἑκάςης δύο διαφοραί (
γὰρ καθ' ὑπεροχὴν ἡ δὲ κατ' ἰσότητά ἐςιν ἑκάςη
τὸ δὲ δίκαιον τὸ περὶ αὐτὰς ἐκ τῶν ἀμφισβητησ
δῆλον), ἐν μὲν τῷ καθ' ὑπεροχὴν ἀξιῦται τὸ ἀνάλογ
ὡσαύτως, ἀλλ' ὁ μὲν ὑπερέχων ἀνεςραμμένως τὸ ἀ
γον, ὡς αὐτὸς πρὸς τὸν ἐλάττω, οὕτω τὸ παρὰ τῦ
τονος γινόμενον πρὸς τὸ παρ' αὐτοῦ διακείμενον,
ἄρχων πρὸς ἀρχόμενον. εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τ
κατ' ἀριθμὸν ἀξιοῖ. καὶ γὰρ δὴ καὶ ἐπὶ τῶν ἄλλων
νωνιῶν ὕτω συμβαίνει. ὁτὲ μὲν γὰρ ἀριθμῷ τῦ ἴσ
τέχυσιν, ὁτὲ δὲ λόγῳ. εἰ μὲν γὰρ ἴσον ἀριθμῷ εἰσή
ἀργύριον, ἴσον καὶ τῷ ἴσῳ ἀριθμῷ διαλαμβάνυσιν,
μὴ ἴσον, ἀνάλογον. ὁ δ' ὑπερεχόμενος τοὐναντίον ςτ
τὸ ἀνάλογον, καὶ κατὰ διάμετρον συζεύγνυσιν. δόξε
ἂν οὕτως ἐλαττῦσθαι ὁ ὑπερέχων καὶ λειτυργία ἡ φ
καὶ ἡ κοινωνία. δεῖ ἄρα τινὶ ἑτέρῳ ἀνισάσαι καὶ ποι
ἀνάλογον. τοῦτο δ' ἐστὶν ἡ τιμή, ὅπερ καὶ τῷ ἄρχ
φύσει καὶ θεῷ πρὸς τὸ ἀρχόμενον. δεῖ δὲ ἰσασθῆναι
κέρδος πρὸς τὴν τιμήν. ἡ δὲ κατ' ἴσα φιλία ἐςὶν ἡ π
τική. ἡ δὲ πολιτικὴ ἐστὶ μὲν κατὰ τὸ χρήσιμον,
ὥσπερ αἱ πόλεις ἀλλήλαις φίλαι, οὕτω καὶ οἱ πολ
καὶ ὁμοίως.

οὐκέτι γιγνώσκουσιν 'Αθηναῖοι Μεγαρῆας,

καὶ οἱ πολῖται, ὅταν μὴ χρήσιμοι ἀλλήλοις, ἀλλ'
χειρὸς εἰς χεῖρα ἡ φιλία. ἔςι δὲ ἐνταῦθα καὶ ἄρχον
ἀρχόμενον ὔτε τὸ φυσικὸν ὔτε τὸ βασιλικόν, ἀλλὰ τ
τῷ μέρει. ὐδὲ τύτυ ἕνεκα ὅπως εὖ ποιῇ ὡς ὁ θεός, ἀλ
ἵνα ἴσον ᾖ τοῦ ἀγαθῦ ἢ τῆς λειτυργίας. κατ' ἰσότητα
βύλεται εἶναι ἡ πολιτικὴ φιλία. ἔςι δὲ τῆς χρησίμου φ
λίας εἴδη δύο, ἡ μὲν νομικὴ ἡ δ' ἠθική. βλέπει δ' ἡ
πολιτικὴ εἰς τὸ ἴσον καὶ εἰς τὸ πρᾶγμα, ὥσπερ οἱ πωλ
τες καὶ οἱ ὠνούμενοι· διὸ εἴρηται "μισθὸς ἀνδρὶ φίλ
ὅταν μὲν ὖν καθ' ὁμολογίαν ἡ πολιτικὴ αὕτη φιλία,
νομική· ὅταν δ' ἐπιτρέπωσιν αὐτοῖς, ἡ ἠθικὴ βύλεται
φιλία καὶ ἑταιρική. διὸ μάλιστα ἔγκλημά ἐν ταύτῃ
φιλίᾳ. αἴτιον δ' ὅτι παρὰ φύσιν. ἕτεραι γὰρ φιλίαι
κατὰ τὸ χρήσιμον καὶ ἡ κατὰ τὴν ἀρετήν· οἱ δ' ἀμ
τερα βύλονται ἅμα ἔχειν, καὶ ὁμιλῦσι μὲν τοῦ χρη

6. πρέσβειον P^b. ‖ 10. φιλία M^b. ‖ 14. γὰρ] ἂν P^b. ‖ 17. τῷ] τὸ P^b. ‖ 18. δῦλος] εἶδος P^b. ‖ 22. ἀνθρώπου μόνον M^bP^b. ‖ 24. συνδοιάζεται P^b. ‖ 25. διὰ δύμων M^b. ‖ 31. τὸ om P^b. ‖ 32. ὡς] ὡς οὐ P^b. ‖ 38. πατρὸς M^bP^b.

6. ὐχ] ἀλλ' ὐχ P^b. ‖ 7. ἀντεςραμμένως M^b. ‖ 8. αὐτὸ M^b. ‖ 16. ζεύγνυσι M^b. ‖ 20. δὲ] καὶ M^b. ‖ 27. ἄρχων M^b. ‖ ἡ om M^b. ‖ 39. ὁ δ' ἀμφότερα βύλεται M^b.

ἠθικὴν δὲ ποιῦσιν ὡς ἐπιεικεῖς. διὸ ὡς πιϛεύοντες ὐ ποιῦσιν. ὅλως μὲν γὰρ ἐν τῇ χρησίμῃ τῶν τριῶν ἐγκλήματα. ἡ μὲν γὰρ ἀρετὴ ἀνέγκλητον, οἱ δ' χοντες καὶ δόντες ἀπαλλάττονται. οἱ δὲ χρήσιμοι ὶς διαλύονται, ἂν μὴ νομικῶς καὶ ἑταιρικῶς προσ- αι. ὅμως δὲ τῆς χρησίμου ἡ νομικὴ ἀνέγκλητος. ἡ μὲν νομικὴ διάλυσις πρὸς νόμισμα (μετρεῖται τῷ τὸ ἴσον), ἡ δ' ἠθικὴ ἑκούσιος. διὸ ἐνιαχῦ νόμος ς ὕτως ὁμιλῦσι φιλικῶς μὴ εἶναι δίκας τῶν ἑκου- ναλλαγμάτων, ὀρθῶς· τοῖς γὰρ ἀγαθοῖς ὐ πέφυκε εἶναι, οἱ δ' ὡς ἀγαθοί, καὶ τοῖς συναλλάττουσιν. ἐν ταύτῃ τῇ φιλίᾳ τὰ ἐγκλήματα ἀμφιβάλλοντα ἀμφότερα, πῶς ἑκάτερος ἐγκαλεῖ, ὅταν ἠθικῶς ἀλλὰ ικῶς πιϛεύσωσιν. καὶ ἔχει δὴ ἀπορίαν ποτέρως δεῖ τὸν δίκαιον, πότερα πρὸς τὸ πρᾶγμα βλέποντα τὸ θέν, πόσον ἢ ποῖον, ἢ τῷ πεπονθότι. ἐνδέχεται δ' τερ λέγει Θέογνις·

σοὶ μὲν τοῦτο, θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

αι γὰρ καὶ τὐναντίον γενέσθαι, ὥσπερ ἐν τῷ λόγῳ, παιδιὰν τοῦτ' εἶναι, ἐμοὶ δὲ θάνατον. ἐντεῦθεν δ' τὰ ἐγκλήματα. ὁ μὲν γὰρ ἀξιοῖ ἀντιπαθεῖν ὡς πηρετήσας, ὅτι δεομένῳ ἐποίησεν, ἤ τι ἄλλο τοιῦτο πρὸς τὴν ἐκείνυ ὠφέλειαν πόσον ἠδύνατο, ἀλλ' οὐ ὑτῷ· ὁ δὲ τοὐναντίον ὅσον ἐκείνῳ, ἀλλ' οὐχ ὅσον ὁτὲ δὲ καὶ μεταλαμβάνων καὶ ἀμφιβάλλει· ὁ ρ ὅσον αὐτῷ μικρὸν ἀπέβη, ὁ δ' ὅσον αὐτῷ μέγα, οἷον εἰ κινδυνεύσας δραχμῆς ἄξιον ὠφέλησεν, ὁ τῦ κινδύνυ μέγεθος ὁ δὲ τὸ τῦ ἀργυρίυ, ὥσπερ ἐν νομισμάτων ἀποδόσει. καὶ γὰρ ἐνταῦθα περὶ τύ- ἀμφισβήτησις· ὁ μὲν γὰρ ἀξιοῖ πῶς τότ' ἦν, ὁ δὲ , ἂν μὴ διέπωνται. ἡ μὲν ὖν πολιτικὴ βλέπει εἰς λογίαν καὶ εἰς τὸ πρᾶγμα, ἡ δ' ἠθικὴ εἰς τὴν ιν. ὥϛε καὶ δίκαιον τῦτο μᾶλλόν ἐϛι, καὶ δικαιο- λική. αἴτιον δὲ τῦ μάχεσθαι, διότι καλλίων μὲν φιλία, ἀναγκαιοτέρα δὲ ἡ χρησίμη. οἱ δ' ἔρχον- ὡς ἠθικοὶ φίλοι καὶ δι' ἀρετὴν ὄντες· ὅταν δ' ἤ τι τῶν ἰδίων, δῆλοι γίνονται ὅτι ἕτεροι ἦσαν. υσίας γὰρ διώκυσιν οἱ πολλοὶ τὸ καλόν. διὸ καὶ τὴν καλλίω φιλίαν. ὥϛε φανερὸν πῶς διαιρετέον περὶ τύτων. εἰ μὲν γὰρ ἠθικοὶ φίλοι, εἰς τὴν προαίρεσιν βλεπτέον εἰ ἴση, καὶ οὐθὲν ἄλλο ἀξιωτέον θατέρῳ παρὰ θατέρυ. εἰ δ' ὡς χρήσιμοι καὶ πολιτικοί, ὡς ἂν ἐλυσιτέλει ὁμολογῦσιν. ἂν δ' ὁ μὲν φῇ ὧδε ὁ δ' ἐκείνως, οὐ καλὸν μὲν ἀντιποιῆσαι, δέον τὺς καλὺς λέγειν λόγυς. ὁμοίως δὲ καὶ ἐπὶ θατέρυ. ἀλλ' ἐπειδὴ ὐ διείποντο ὡς ἠθικῶς, δεῖ κρίνειν τινὰ μηδ' ὑποκρινόμενον μηδέτερον αὐτῶν ἐξαπατᾶν. ὥϛε δεῖ στέργειν αὐτὸν τὴν τύχην. ὅτι δ' ἐστὶν ἡ ἠθικὴ κατὰ προαίρεσιν, δῆλον, ἐπεὶ κἂν εἰ μεγάλα παθὼν μὴ ἀποδῷη δι' ἀδυναμίαν, ἀλλ' ὡς ἐδύνατο, καλῶς· καὶ ὁ θεὸς ἀνέχεται κατὰ δύναμιν λαμβάνων τὰς θυσίας. ἀλλὰ τῷ πωλοῦντι οὐχ ἱκανῶς ἕξει, ἂν μὴ φήσῃ δύνασθαι πλέον δοῦναι, ὐδὲ τῷ δανείσαντι. πολλὰ ἐγκλήματα γίνεται ἐν ταῖς φιλίαις τοῖς μὴ κατ' εὐθυωρίαν καὶ τὸ δίκαιον ἰδεῖν. οὐ ῥᾴδιον γὰρ χαλεπὸν μετρῆσαι ἑνὶ τῷδε τῷ μὴ κατ' εὐθυωρίαν, οἷον συμβαίνει ἐπὶ τῶν ἐρωτικῶν. ὁ μὲν γὰρ διώκει ὡς τὸν ἡδὺν ἐπὶ τὸ συζῆν, ὁ δ' ἐκεῖνον ἐνίοτε ὡς χρήσιμον. ὅταν δὲ παύσηται τοῦ ἐρᾶν, ἄλλου γινομένου ἄλλος γίνεται· καὶ τότε λογίζονται παντί, καὶ ὡς Πύθων καὶ Παμμένης διεφέροντο, καὶ ὅλως διδάσκαλος καὶ μαθητής. ἐπιϛήμη γὰρ καὶ χρήματα ὐχ ἑνὶ μετρεῖται· καὶ ὡς Πρόδικος ὁ ἰατρὸς πρὸς τὸν ἀποδιδόντα μικρὸν τὸν μισθόν, καὶ ὡς ὁ κιθαρῳδὸς καὶ ὁ βασιλεύς. ὁ μὲν γὰρ ὡς ἡδεῖ, ὁ δ' ὡς χρησίμῳ ὡμίλει· ὁ δ', ἐπεὶ ἔδει ἀποδιδόναι αὐτόν, αὐτὸν ὡς ἡδὺν ἐποίησεν, καὶ ἔφη, ὥσπερ ἐκεῖνον ᾄσαντα εὐφρᾶναι, ὕτω καὶ αὐτὸς ὑποσχόμενος ἐκείνῳ. ὅμως δὲ φανερὸν καὶ ἐνταῦθα πῶς γνωριστέον· ἑνὶ γὰρ μετρητέον καὶ ἐνταῦθ', ἀλλ' οὐχ ὅρῳ ἀλλὰ λόγῳ· τὸ ἀνάλογον γὰρ μετρητέον, ὥσπερ καὶ ἡ πολιτικὴ μετρεῖται κοινωνία. πῶς γὰρ κοινωνήσει γεωργῷ σκυτοτόμος, εἰ μὴ τῷ ἀνάλογον ἰσασθήσεται τὰ ἔργα; τοῖς δὲ μὴ κατ' εὐθυωρίαν τὸ ἀνάλογον μέτρον, οἷον εἰ ὁ μὲν σοφίαν δῦναι ἐγκαλεῖ, ὁ δ' ἐκείνῳ ἀργύριον, τῇ σοφίᾳ πρὸς τὸ πλύσιον· εἶτα τί δοθὲν πρὸς ἑκάτερον. εἰ γὰρ ὁ μὲν τῦ ἐλάττονος ἥμισυ ἔδωκεν, ὁ δὲ τῦ μείζονος μὴ πολλοϛὸν μέρος, δῆλον ὅτι ὗτος ἀδικεῖ. ἐϛι δὲ κἀνταῦθα ἐν ἀρχῇ ἀμφισβήτησις, ἂν φήσωμεν ὡς χρησίμυς συνελθεῖν αὐτύς, ὁ δὲ μή, ἀλλ' ὡς κατ' ἄλλην τινὰ φιλίαν.

μεῖς M^b. ‖ 6. τῆς] τῦ M^b. ‖ 11. καὶ τῆς τοῖς P^b. ‖ 14. πιϛεύωσι M^b. ‖ 18. θεὸς μικρὸν M^bP^b. ‖ 20. παιδείαν M^b. ‖ 22. . ‖ 31. νῦν om M^b. ‖ διείπωνται P^b. ‖ 32. εἰς τὴν — 35. ἠθικὴ om P^b. ‖ 35. ἔχονται M^b. ‖ 36. ὡς] ὡς οἱ P^b. ‖ 37. τι ἑταῖροι M^b.

τῇ καλλίω φιλία M^bP^b. ‖ 4. ἐλυσιτέλ(η) P^b. ‖ 7. ἐπειδὴ] ἐπεὶ P^b. ‖ 8. ὑποκρινόμενος μηδέτερος M^b, 'ποκρινάμενος μηδέτερος P^b. ‖ το P^b, ἐδύναντο M^b. ‖ 16. ἑνὶ] ἓν δὲ P^b. ‖ 21. παμμενὴς M^b, μαμμένης P^b. ‖ 27. ὅμως] ὅπως codices. ‖ 29. ὐ χορῷ P^b. ‖ 30. . ‖ 31. κοινωνήσῃ P^b. ‖ ἰσασθήσεται — 32. ἀνάλογον om P^b. ‖ 35. ἥμισυ] ἡμῖν P^b. ‖ 38. ἀλλ' ὡς] ἄλλως codices. ‖ 37. φῇ ὁ μὲν?

11 Περὶ δὲ τοῦ ἀγαθῦ καὶ κατ' ἀρετὴν φίλυ, σκεπτέον πότερον δεῖ ἐκείνῳ τὰ χρήσιμα ὑπηρετεῖν καὶ βοηθεῖν ἢ τῷ ἀντιποιῦντι καὶ δυναμένῳ. τῦτο δὲ τὸ αὐτὸ πρόβλημά ἐςι, πότερον τὸν φίλον ἢ τὸν σπυδαῖον εὖ ποιητέον μᾶλλον. ἂν μὲν γὰρ φίλος καὶ σπυδαῖος, ἴσως οὐ λίαν χαλεπόν, ἂν μή τις τὸ μὲν αὐξήσῃ τὸ δὲ ταπεινώσῃ, φίλον μὲν σφόδρα ποιῶν, ἐπιεικῆ δὲ ἠρέμα. εἰ δὲ μή, πολλὰ προβλήματα γίνεται, οἷον εἰ ὁ μὲν ἦν, ὐκ ἔςαι δέ, ὁ δὲ ἔςαι, ὔπω δέ, ἢ ὁ μὲν ἐγένετο, ἔςι δ' ὔ, διὸ ἔςιν, ὐκ ἦν δὲ οὐδὲ ἔςαι. ἀλλ' ἐκεῖνο ἐργωδέςερον. μὴ γάρ τι λέγει Εὐριπίδης, ποιήσας "λόγον δίκαιον μισθὸν ἂν λόγυ φέροις, ἔργον δ' ἐκείνοις ἔργα παρέσχετο." καὶ οὐ πάντα δεῖ τῷ πατρί, ἀλλ' ἔςιν ἃ καὶ τῇ μητρί· καίτοι βελτίων ὁ πατήρ. ὐδὲ γὰρ τῷ Διὶ πάντα θύεται, ὐδ' ἔχει πάσας τὰς τιμὰς ἀλλὰ τινάς. ἴσως οὖν ἔςιν ἃ δεῖ τῷ χρησίμῳ, ἄλλα δὲ τῷ ἀγαθῷ· οἷον οὐχὶ σῖτον δίδωσι καὶ τἀναγκαῖα, καὶ συζῆν τύτῳ δεῖ. ὐδ' ᾧ τοίνυν τὸ εὖ ζῆν, τύτῳ ἃ μὴ ὗτος δίδωσιν, ἀλλὰ χρήσιμος. ἀλλ' οἱ τοῦτο ποιοῦντες τούτῳ πάντα τῷ ἐρωμένῳ διδόασιν, οὐ δέον. ὐδ' εἰσὶν ἄξιοι καὶ οἱ ἐν τοῖς λόγοις ὅροι τῆς φιλίας· πάντες μέν πώς εἰσι φιλίας, ἀλλ' ὐ τῆς αὐτῆς. τῷ μὲν γὰρ χρησίμῳ τὸ βύλεσθαι τἀκείνῳ ἀγαθά, καὶ τῷ εὖ ποιήσαντι, καὶ τῷ ὁποῖος δεῖ. ὐ γὰρ ἐπισημαίνει ὗτος ὁ ὁρισμὸς τῆς φιλίας, ἄλλῳ δὲ τὸ εἶναι καὶ ἄλλῳ τὸ συζῆν· τῷ δὲ καθ' ἡδονὴν τὸ συναλγεῖν καὶ συγχαίρειν. πάντες δ' ὗτοι οἱ ὅροι κατὰ φιλίαν μὲν λέγονταί τινα, ὐ πρὸς μίαν δ' ὐδείς. διὸ πολλοί εἰσι, καὶ ἕκαςος μιᾶς εἶναι δοκεῖ φιλίας, ὐκ ὤν, οἷον ἡ τῦ εἶναι προαίρεσις. καὶ γὰρ ὁ καθ' ὑπεροχὴν καὶ ποιήσας εὖ βύλεται τῷ ἔργῳ τῷ αὐτῦ ὑπάρχειν, καὶ τῷ διδόντι τὸ εἶναι δεῖ καὶ ἀνταποδιδόναι, ἀλλὰ συζῆν ὐ τύτῳ ἀλλὰ τῷ ἡδεῖ. ἀδικῦσιν οἱ φίλοι ἔνιοι ἀλλήλυς· τὰ γὰρ πράγματα μᾶλλον, ἀλλ' ὐ φιλῦσι τὰ ἔχοντα· διὸ φίλοι κἀκείνοις, οἷον διότι ἡδὺς τὸν οἶνον εἵλετο, καὶ ὅτι χρήσιμος τὸν πλῦτον εἵλετο· χρησιμώτερος γάρ. διὸ δεῖ ἀγανακτεῖν, ὥσπερ ἂν εἰ μᾶλλον εἵλετο ἀντὶ ἥττονος. οἱ δ' ἐγκαλῦσιν· ἐκεῖνον γὰρ νῦν ζητῦσι τὸν ἀγαθόν, πρότερον ζητήσαντες τὸν ἡδὺν ἢ τὸν χρήσιμον.

Σκεπτέον δὲ καὶ περὶ αὐταρκείας καὶ φιλίας
ἔχυσι πρὸς τὰς ἀλλήλων δυνάμεις. ἀπορήσειε γὰρ
πότερον, εἴ τις εἴη κατὰ πάντα αὐτάρκης, ἔςαι τύτῳ
εἰ κατ' ἔνδειαν ζητεῖται φίλος ἢ ἔςαι ἀγαθὸς αὐταρ
τος, εἰ ὁ μετ' ἀρετῆς εὐδαίμων, τί ἂν δέοι φίλυ; ὔτ
τῶν χρησίμων δεῖσθαι αὐταρκῶς, οὔτε τῶν εὖ φρο
οὔτε τῦ συζῆν· ὗτος γὰρ ἱκανὸς αὐτῷ συνεῖναι. μ
δὲ τῦτο φανερὸν ἐπὶ θεῦ· δῆλον γὰρ ὡς οὐδενὸς π
μενος οὐδὲ φίλυ δεήσεται, οὐδ' ἔςαι αὐτῷ ὗτε μη
σπότου. ὥστε καὶ ἄνθρωπος ὁ εὐδαιμονέςατος ἥκις
σεται φίλου, ἀλλ' ἢ καθ' ὅσον ἀδύνατον εἶναι αὐ
ἀνάγκη ἄρα ἐλαχίστους εἶναι φίλυς τῷ ἄριςα ζῶν
δεῖ ἐλάττυς γίνεσθαι, καὶ μὴ σπυδάζειν ὅπως ὦσι
ἀλλ' ὀλιγωρεῖν μὴ μόνον τῶν χρησίμων ἀλλὰ καὶ
συζῆν αἱρετῶν. ἀλλὰ μὴν καὶ τότε φανερὸν ἂν εἴη
ξειεν ὡς ὐ χρήσεως ἕνεκα ὁ φίλος ὐδ' ὠφελείας, ἀ
δι' ἀρετὴν φίλος μόνος. ὅταν γὰρ μηθενὸς ἐνδεεῖς
τότε τὺς συναπολαυσομένυς ζητῦσι πάντες, καὶ τὺς εὐ
σομένυς μᾶλλον ἢ τὺς ποιήσοντας. ἀμείνω δ' ἔχομε
σιν αὐτάρκεις ὄντες ἢ μετ' ἐνδείας, μάλιστά τε τῶν
ἀξίων δεόμεθα φίλων. περὶ δὲ τῆς ἀπορίας ταύτης
πτέον, μή ποτε τὸ μέν τι λέγεται καλῶς, τὸ δὲ λα
διὰ τὴν παραβολήν. δῆλον δὲ λαβῦσι τί τὸ ζῆν τὸ
ἐνέργειαν καὶ ὡς τέλος. φανερὸν οὖν ὅτι τὸ αἰσθάν
καὶ τὸ γνωρίζειν, ὥςε καὶ τὸ συζῆν τὸ συναισθάνεσθα
τὸ συγγνωρίζειν ἐςίν. ἔςι δὲ τὸ αὐτὸ αἰσθάνεσθαι κ
αὐτὸ γνωρίζειν αἱρετώτατον ἑκάςῳ, καὶ διὰ τῦτο τ
πᾶσιν ἔμφυτος ἡ ὄρεξις· τὸ γὰρ ζῆν διατιθέναι χ
τινα. εἰ οὖν τις ἀποτέμοι καὶ ποιήσειε τὸ γινώσκειν
καθ' αὐτὸ καὶ μή· ἀλλὰ τῦτο μὲν λανθάνει, ὥσπερ ἐ
λόγῳ γέγραπται, τῷ μέντοι πράγματι ἔςι μὴ λανθά
ὐθὲν ἂν διαφέροι ἢ τὸ γινώσκειν ἄλλον ἀνθ' αὐτῦ. τ
ὅμοιον τοῦ ζῆν ἀνθ' αὐτοῦ ἄλλον. εὐλόγως δὲ τὸ ἑα
αἰσθάνεσθαι καὶ γνωρίζειν αἱρετώτερον. δεῖ γὰρ ἅμα
θεῖναι δύο ἐν τῷ λόγῳ, ὅτι τε τὸ ζῆν καὶ αἱρετόν, κα
τὸ ἀγαθόν, καὶ ἐκ τούτων ὅτι τὸ αὐτὸ τοῖς ὑπάρχ

3. τῦ ἐναντίον ποιῦντι M^b. ‖ 8. ὁ δὲ ἔςαι ὔπω δέ om P^b. ‖ 10. ἐκείνω M^b. ‖ 11. εἰσφέρεις P^b, εἰφέρης M^b. ‖ 12. ἔργον] P^b. ‖ δεῖ] δὴ P^b. ‖ 13. ἃ καὶ] ἄλλα δὲ M^bP^b. ‖ 17. ὔτως P^b. ‖ 19. ἐρρωμένω P^b. ‖ 20. τῇ φιλία M^b. ‖ 21. γὰρ om 22. τῷ εὖ] τὸ εὖ M^b. ‖ 24. ἄλλως — ἄλλως P^b. ‖ 25. τῦ M^b. ‖ συναλγεῖν] συνεῖναι P^b. ‖ 27. εἰσι] δ' εἰσι M^b. ‖ 28. ὁ] αἱ καὶ — 29. ὑπάρχειν om P^b. ‖ 29. δόντι P^b. ‖ 30. καὶ — ἡδεῖ om M^b. ‖ 31. ἀλλήλυς ἔνιοι M^b. ‖ 32. διὸ — 34. γάρ om P^b. ‖ φίλοι] φιλεῖ M^b. ‖ οἱ] ὁ M^bP^b. ‖ 36. ζήσαντες M^b.

3. τι M^bP^b. ‖ post τύτῳ spatium vacuum uterque, M^b duodecim litteris, P^b undeviginti. ‖ 4. ἢ] ἢ ὁ ἢ P^b. ‖ 6. μάτων M^b. ‖ αὐταρκής M^b. ‖ 7. αὐτῦ ἱκανὸς P^b. ‖ 9. αὐτῷ om M^b. ‖ 16. ἀλλ' ὁ] ἀλλ' οὐ M^bP^b. ‖ 17. ὦμεν] ὦσιν corr 18. ποιησομένυς M^b. ‖ 19. ποιήσαντας M^bP^b. ‖ 20. τε μάλιςα M^bP^b. ‖ 23. τὸ post ζῆν om M^b. ‖ 25. ὥςε — 27. γνωρίζει P^b. ‖ 31. μέντι M^b.

ην φύσιν. εἰ οὖν ἐστὶν ἀεὶ τῆς τοιαύτης συστοιχίας ἡ ἐν τῇ τοῦ ἑτέρου τάξει, καὶ τὸ γνωστὸν καὶ τὸ αἱρετόν ὡς ὅλως εἰπεῖν τὸ κοινωνεῖν τῆς ὡρισμένης φύσεως·) αὐτοῦ βούλεσθαι αἰσθάνεσθαι τὸ αὐτὸν εἶναι τοιονδὶ ἱαι ἐστίν. ἐπεὶ οὖν οὐ κατ' αὐτούς ἐσμεν ἕκαστον τούτων, κατὰ μετάληψιν τῶν δυνάμεων ἐν τῷ αἰσθάνεσθαι ίζειν· αἰσθανόμενος γὰρ αἰσθητὸς γίνεται ταύτῃ, καὶ τοῦτο καθὰ πρότερον αἰσθάνεται, καὶ ᾗ, καὶ οὗ, γνω- γινώσκων· ὥστε διὰ τοῦτο καὶ ζῆν ἀεὶ βούλεται, ὅτι ι ἀεὶ γνωρίζειν. τοῦτο δὲ ὅτι αὐτὸς εἶναι τὸ γνωστόν. συζῆν αἱρεῖσθαι δόξειε μὲν ἂν εἶναι σκοπουμένοις πως ἐπὶ τῶν κοινωνῶν πρῶτον καὶ τοῖς ἄλλοις ζῴοις, οἷον εσθίειν ἢ τὸ συμπίνειν. τί γὰρ διαφέρει τὸ πλησίον αὖτα συμβαίνειν ἢ χωρίς, ἂν ἀφέλῃς τὸν λόγον; μὴν καὶ τοῦ λόγου κοινωνεῖν τοῦ τυχόντος ἕτερον τοιοῦ- μα τ' οὔτε διδάσκειν οὔτε μανθάνειν τοῖς αὐταρκέσι οἷόν τε· μανθάνων μὲν γὰρ αὐτὸς οὐκ ἔχει ὡς δεῖ, οντος δ' οὐ φίλος· ἡ δ' ὁμοιότης φιλία. ἀλλὰ μὴν αἵ γε, καὶ πάντες ἥδιον τῶν ἀγαθῶν μετὰ τῶν κοινωνοῦμεν, καθ' ὅσον ἐπιβάλλει ἕκαστον καὶ οὗ ι ἀρίστου. ἀλλὰ τούτων τῷ μὲν ἡδονῆς σωματικῆς, θεωρίας μουσικῆς, τῷ δὲ φιλοσοφίας. καὶ τολμᾷ δὴ ῷ φίλῳ. διό φησι "μόχθος οἱ τηλοῦ φίλοι," ὡς οὐ δεῖ ι ἀπ' ἀλλήλων τούτου γινόμενον. ὅθεν καὶ ὁ ἔρως φιλίᾳ ὅμοιον εἶναι· τοῦ γὰρ συζῆν ὀρέγεται ὁ ἐρῶν, χ ᾗ μάλιστα δεῖ, ἀλλὰ κατ' αἴσθησιν. ὁ μὲν τοίνυν ἐκεῖνά φησι διαπορῶν, τὸ δ' ἔργον οὕτω φαίνεται ον, ὥστε δῆλον ὅτι παρακρούεταί πως ἡμᾶς ὁ δια- σκεπτέον ἔνθεν τἀληθές. ὁ γὰρ φίλος βούλεται εἶναι, ἡ παροιμία φησίν, ἄλλος Ἡρακλῆς, ἄλλος οὗτος. σται δὲ καὶ χαλεπὸν τὰ ἐφ' ἑνὸς γενέσθαι· ἀλλὰ μὲν φύσιν ὃ συγγενέστατον, κατὰ δὲ σῶμα ὅμοιος ἄλλος δὲ κατὰ τὴν ψυχήν, καὶ τούτων κατὰ μό- ερος ἕτερον. ἀλλ' οὐθέν τε ἧττον βούλεται ὥσπερ διαιρετὸς εἶναι ὁ φίλος. τὸ οὖν τοῦ φίλου αἰσθάνεσθαι οὐ πως ἀνάγκη αἰσθάνεσθαι εἶναι, καὶ τὸ αὐτόν πως ειν. ὥστε καὶ τὰ φορτικὰ μὲν συνήδεσθαι καὶ συζῆν ῳ ἡδὺ εὐλόγως (συμβαίνει γὰρ ἐκείνου ἅμα αἰσθη-), μᾶλλον δὲ τὰς θειοτέρας ἡδονάς. αἴτιον δ' ὅτι ἀεὶ ἥδιον ἑαυτὸν θεωρεῖν ἐν τῷ βελτίονι ἀγαθῷ. τοῦτο δ' ἐστὶν ὁτὲ μὲν πάθος, ὁτὲ δὲ πρᾶξις, ὁτὲ δὲ ἕτερόν τι, εἰ δυνατὸν εὖ ζῆν, καὶ οὕτω καὶ τὸν φίλον. ἐν δὲ τῷ συζῆν συνεργεῖν, ἢ κοινωνίαν τῶν ἐν τέλει μάλιστά γε. διὸ συν- θεωρεῖν καὶ συνευωχεῖσθαι, οὐ τὰ διὰ τροφὴν καὶ τὰ ἀναγκαῖα αἱ τοιαῦται ὁμιλίαι δοκοῦσιν εἶναι, ἀλλ' ἀπο- λαύσεις. ἀλλ' ἕκαστος οὗ δύναται τυγχάνειν τέλους, ἐν τούτῳ βούλεται συζῆν· εἰ δὲ μή, καὶ ποιεῖν εὖ καὶ πά- σχειν ὑπὸ τῶν φίλων αἱροῦνται μάλιστα. ὅτι μὲν τοίνυν καὶ δεῖ συζῆν, καὶ ὅτι μάλιστα βούλονται πάντες, καὶ ὅτι ὁ εὐδαιμονέστατος καὶ ἄριστος μάλιστα τοιοῦτος, φανερόν. ὅτι δὲ κατὰ τὸν λόγον οὐκ ἐφαίνετο, καὶ τοῦτ' εὐλόγως συνέ- βαινε λέγοντος ἀληθῆ. κατὰ τὴν σύνθεσιν γὰρ τῆς παρα- βολῆς ἀληθοῦς οὔσης ἡ λύσις ἐστίν. ὅτι γὰρ ὁ θεὸς οὐ τοιοῦ- τος οἷον δεῖσθαι φίλου, καὶ τὸν ὅμοιον ἀξιοῖ. καίτοι κατὰ τοῦτον τὸν λόγον οὐδὲ νοήσει ὁ σπουδαῖος· οὐ γὰρ οὕτως ὁ θεὸς εὖ ἔχει, ἀλλὰ βέλτιον ἢ ὥστε ἄλλο τι νοεῖν παρ' αὐτὸς αὐτόν. αἴτιον δ' ὅτι ἡμῖν μὲν τὸ εὖ καθ' ἕτερον, ἐκείνῳ δὲ αὐτὸς αὐτοῦ τὸ εὖ ἐστίν. καὶ τὸ ζητεῖν ἡμῖν καὶ εὔχεσθαι πολλοὺς φίλους, ἅμα δὲ λέγειν ὡς οὐθεὶς φίλος ᾧ πολλοὶ φίλοι, ἄμφω λέγεται ὀρθῶς. ἐνδεχομένου γὰρ πολλοῖς συζῆν ἅμα καὶ συναισθάνεσθαι ὡς πλείστους αἱρε- τώτατον. ἐπεὶ δὲ χαλεπώτατον, ἐν ἐλάττοσιν ἀνάγκη τὴν ἐνέργειαν τῆς συναισθήσεως εἶναι. ὥστ' οὐ μόνον χαλεπὸν τὸ πολλοὺς κτήσασθαι (πείρας γὰρ δεῖ), ἀλλὰ καὶ οὖσι χρήσασθαι. καὶ ὁτὲ μὲν ἀπεῖναι εὖ πράττοντα τὸν φιλού- μενον βουλόμεθα, ὁτὲ δὲ μετέχειν τῶν αὐτῶν, καὶ τὸ ἅμα βούλεσθαι εἶναι φιλικόν. ἐνδεχομένου μὲν γὰρ ἅμα καὶ εὖ, τοῦτο πάντες αἱροῦνται· μὴ ἐνδεχομένου δέ, ἀλλ' ὥσπερ τῷ Ἡρακλεῖ ἴσως ἂν ἡ μήτηρ εἵλετο θεὸν εἶναι μᾶλλον ἢ μετ' αὐτῆς ὄντα τῷ Εὐρυσθεῖ θητεύειν. ὁμοίως γὰρ ἂν εἴπειεν καὶ ὃν ὁ Λάκων ἔσκωψεν, ἐπεί τις ἐκέλευσεν αὐτὸν χειμαζόμενον ἐπικαλέσασθαι τοὺς Διοσκόρους. δοκεῖ δὲ τοῦ μὲν φιλοῦντος τὸ ἀπείργειν εἶναι τῆς συμμεθέξεως τῶν χαλεπῶν, τοῦ δὲ φιλουμένου τὸ βούλεσθαι συμμετέχειν, καὶ ταῦτα ἀμφότερα συμβαίνει εὐλόγως. δεῖ γὰρ τῷ φίλῳ μηθὲν εἶναι οὕτω λυπηρὸν ὡς ἡδὺ τὸν φίλον. δοκεῖ δὲ δεῖν αἱρεῖσθαι μὴ τὸ αὐτοῦ. διὸ κωλύουσι συμμετέχειν· ἱκανοὶ γὰρ αὐτοὶ κακοπαθοῦντες, ἵνα μὴ φαίνωνται τὸ αὐτῶν

συστοιχείας corr P^b, εὐστοχίας M^b. || 2. ἑτέρου] αἱρετοῦ P^b. || αἱρετόν] αἰσθητόν corr P^b. || 7. γὰρ] μὲν γὰρ P^b. || 12. οἷς P^b. || M^bP^b. || ἂν ἀφέλῃς] ἀναφέρειν M^b. || 16. ἅμα τοῦδε δοκεῖν M^b. || 17. οἴονται μανθάνειν codices. || 20. οὐ M^b. || 21. ἄριστον 22. τολμᾷ δὴ] τὸ ἅμα δεῖ Camerarius. || 25. εὖ ζῆν codices. || 26. οὐχὶ μάλιστα P^b. || τοίνυν] οὖν P^b. || 31. ἀφ' M^b. || 32. τὴν P^b. || δὴ] δὲ τὸ P^b. || 33. ἄλλος — 34. ἕτερον om M^b. || 36. καὶ τὸ] καὶ τοῦ P^b. || 37. τὸ P^b.

δυνατὸν] δ' αὐτὸν P^b. || 4. τε M^b. || 11. ὁ om M^b. || 17. ἄλλο τι] ἀλλότριον P^b. || 25. δεῖ] ἀεὶ codices. || 27. τῷ ἅμα || 32. εἴποιε P^b, εἴποιεν M^b. || ἐκάλεσεν M^b. || 33. διοσκύρους M^b. || 35. τοῦ] τῶν τὸ P^b. || 39. τὰ P^b.

σκοπȣ̃ντες καὶ αἱρεῖσθαι τὸ χαίρειν λυπȣμένȣ τȣ̃ φίλȣ, ἔτι δὲ κȣφότεροι εἶναι μὴ μόνοι φέροντες τὰ κακά. ἐπεὶ δ' αἱρετὸν τό τ' εὖ καὶ τὸ ἅμα, δῆλον ὅτι καὶ τὸ ἅμα εἶναι μετ' ἐλάττονος ἀγαθȣ̃ αἱρετόν πως ἢ χωρὶς μετὰ μείζονος. ἐπειδὴ ἄδηλον τὸ ποσὸν δύναται τὸ ἅμα ἤδη διαφέρονται, καὶ οἷον καὶ τὸ μετέχειν ἅμα πάντων φιλικόν, καὶ ὥσπερ συνδειπνεῖν ἅμα φασὶν ἥδιον ταὐτὰ ἔχοντας· οἱ δ' ἂν μέντοι οὐ βούλονται. ἐπεὶ δέ γέ τις ὑπερβολὰς ποιήσει, ὁμολογῶσιν ἅμα κακῶς πράττοντας σφόδρα ἢ εὖ σφόδρα χωρίς. παραπλήσιον δὲ τȣ́τῳ καὶ περὶ τὰς ἀτυχίας. ὁτὲ μὲν γὰρ βȣλόμεθα τȣ̀ς φίλȣς εἶναι ȣ̓δὲ λυπεῖν, ὅταν μηθὲν μέλλωσι ποιήσειν πλέον· ὁτὲ δὲ τȣ̀ς ἥδιςον παρεῖναι. τὸ δὲ τῆς ὑπεναντιώσεως ταύτης καὶ μάλ' εὔλογον. διὰ γὰρ τὰ προειρημένα τȣ̃το συμβαίνει, καὶ ὅτι μὲν τὸ λυπȣ́μενον ἢ ἐν φαύλῃ ὄντα ἕξει τὸν φίλον θεωρεῖν φεύγομεν ἁπλῶς, ὥσπερ καὶ ἡμᾶς αὐτȣ́ς, τὸ δ' ὁρᾶν τὸν φίλον ἡδύ, ὥσπερ ἄλλο τι τῶν ἡδίςων, διὰ τὴν εἰρημένην αἰτίαν καὶ μὴ κάμνοντα εἰ αὐτός. ὥστε ὁπότερον ἂν τούτων ᾖ, μᾶλλον ἡδὺ ποιεῖ τὴν ῥοπὴν τȣ̃ βȣ́λεσθαι παρεῖναι ἢ μή, καὶ τότ' ἐπὶ τῶν χειρόνων συμβαίνειν καὶ διὰ τὴν αὐτὴν αἰτίαν γίνεσθαι· μάλιςα γὰρ φιλοτιμȣ̃νται τȣ̀ς φίλȣς μὴ πράττειν εὖ, μηδ' εἶναι ἀνάγκαι αὐτοῖς κακῶς. διὸ ἐνίοτε τȣ̀ς ἐρωμένους συναποκτιννύασιν. μᾶλλον γὰρ τοῦ οἰκείου αἰσθάνεσθαι κακȣ̃. ὥσπερ ἂν εἰ καὶ μεμνημένος ὅτι ποτὲ εὖ ἔπραττε μᾶλλον, ἢ εἰ ᾤετο ἀεὶ κακῶς πράττειν.

13 Ἀπορήσειε δ' ἄν τις εἰ ἔςιν ἑκάςῳ φίλῳ χρήσασθαι καὶ ἐφ' ἃ πέφυκε καὶ ἄλλως, καὶ τȣ̃το ἢ αὐτὸ ἡδὺ κατὰ συμβεβηκός, οἷον ἢ ὀφθαλμὸς ἰδεῖν ἢ καὶ ἄλλως παριδεῖν διαστρέψαντα, ὥστε δύο τὸ ἓν φανῆναι. αὗται μὲν δὴ ἄμφω ὅτι μὲν ὀφθαλμός, ὅτι ἦν δ' ὀφθαλμῷ· ἄλλη δὲ κατὰ συμβεβηκός, οἷον εἰ ἦν ἀποδόσθαι ἢ φαγεῖν. ὁμοίως δὴ καὶ ἐπιςήμη· καὶ γὰρ ἀληθῶς καὶ ἁμαρτεῖν, οἷον ὅταν ἑκὼν μὴ ὀρθῶς γράψῃ, ὡς ἀγνοίᾳ δὴ χρῆσθαι, ὥσπερ μεταστρέψας τὴν χεῖρα· καὶ τῷ ποδί ποτε ὡς χειρὶ καὶ ταύτῃ ὡς ποδὶ χρῶνται ὀρχηςριάδες. ἤδη πᾶσαι αἱ ἀριςαι ἐπιςῆμαι εἶπαν, καὶ τῇ δικαιοσύνῃ ὡς ἀδικίᾳ χρῆσθαι, εἰ δίκης. εἰ ἄρα ἀπὸ δικαιοσύνης τὰ ἄδικα πράττων, ὥσπερ καὶ τὰ ἀγνοητικὰ ἀπὸ ἐπιςήμης· εἰ δὲ τȣ̃τ' ἀδύνατον, φανερὸν ὅτι οὐκ ἂν εἶεν ἐπιςῆμαι αἱ ἀρεταί. ȣ̓δ' εἰ ἀγνοεῖν ἀπὸ ἐπιστήμης, ἀλλ' ἁμαρτάνειν μόνον, αὐτὰ καὶ ἀπὸ ἀγνοίας ποιεῖν, ȣ̓́τι ἀπὸ δικαιοσύν ἀπὸ ἀδικίας πράξει· ἀλλ' ἐπεὶ φρόνησις ἐπιστ ἀληθές τι τὸ αὐτὸ ποιήσει κἀκείνη· ἐνδέχοιτο ἀφρόνως ἀπὸ φρονήσεως, καὶ ἁμαρτάνειν ταὐτὰ ἄφρων. εἰ δὲ ἁπλῆ ἡ ἑκάςȣ χρεία ᾗ ἕκαςον, … νίμως ἔπραττον ȣ̓́τω πράττοντες. ἐπὶ μὲν ȣ̓̃ν ταῖ ἐπιστήμαις ἄλλη κυρία ποιεῖ τὴν τροφήν· αὐτὴ πασῶν κυρίας τίς; οὐ γὰρ ἔτι ἐπιστήμη γε ἢ νȣ̃ μὴν οὐδ' ἀρετή. χρῆται γὰρ αὐτῇ· ἡ γὰρ τοῦ … ἀρετὴ τῇ τȣ̃ ἀρχομένȣ χρῆται. τίς ȣ̓̃ν ἐςίν; ἢ ὥ γεται ἀκρασία κακία τȣ̃ ἀλόγȣ τῆς ψυχῆς, καὶ … λαστος ὁ ἀκρατὴς ἔχων νοῦν. ἀλλ' ἤδη ἂν ἰσχ ἐπιθυμία, ςρέψει καὶ λογιεῖται τἀναντία. ἢ … δηλονότι, κἂν ἐν μὲν τȣ́τῳ ἀρετὴ ἐν δὲ τῷ λόγῳ ἕτεραι μεταποιοῦνται. ὥστε ἔσται δικαιοσύνῃ καὶ χρῆσθαι καὶ κακῶς, καὶ φρονήσει ἀφρόνως· ὥςτ … ναντία. ἄτοπον γὰρ εἰ τῆς μὲν ἐν τῷ λογιςικῷ μοχθηρία ποτὲ ἐγγενομένη μὲν τῷ λόγῳ ςρέψει κ … σει ἀγνοεῖν, ἡ δ' ἀρετὴ ἐν τῷ ἀλόγῳ ἀνοίας ἐν ςρέψει ταύτην, καὶ ποιήσει φρονίμως κρίνειν καὶ τὰ καὶ πάλιν ἡ φρόνησις ἡ ἐν τῷ λογιςικῷ τὴν ἐν τῷ κόλασιν ἂν σωφρόνως πράττειν· ὅπερ δοκεῖ ἡ ἐγκ ὥστ' ἔσται καὶ ἡ ἀπὸ ἀγνοίας φρονίμως, ἐπί τε ἄτοπα, ἄλλως τε καὶ ἀπὸ ἀγνοίας χρῆσθαι φρ τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων οὐδαμῶς ὁρῶμεν, ὥστ ἰατρικὴν ἢ γραμματικὴν ςρέφει ἀκολασία. ἀλλ' ȣ̓ ἄγνοιαν, ἐὰν ᾖ ἐναντία, διὰ τὸ μὴ ἐνεῖναι τὴν ὑπε ἀλλὰ τὴν ἀρετήν, ὅλως μᾶλλον εἶναι πρὸς τὴν κ ȣ̓́τως ἔχȣσαν. καὶ γὰρ ὁ ἄδικος πάντα ὁ δίκαιος δύ καὶ ὅλως ἔνεστιν ἐν τῇ δυνάμει ἡ ἀδυναμία. ὥςτ ὅτι ἅμα φρόνιμοι καὶ ἀγαθαὶ ἐκεῖναι αἱ ἄλλȣ ἕξει ὀρθῶς τὸ Σωκρατικόν, ὅτι οὐδὲν ἰσχυρότερον φρον ἀλλ' ὅτι ἐπιςήμην ἔφη, ȣ̓κ ὀρθόν· ἀρετὴ γάρ ἐςι … ἐπιςήμη, ἀλλὰ γένος ἄλλο γνώσ

Ἐπεὶ δ' ȣ̓ μόνον ἡ φρόνησις ποιεῖ τὴν εὐπραγ… ἀρετήν, ἀλλὰ φαμὲν καὶ τȣ̀ς εὐτυχεῖς εὖ πράττειν …

2. δὲ] δὲ τὸ $M^b P^b$. ‖ μόνον M^b. ‖ 3. δῆλον ὅτι καὶ τὸ ἅμα om P^b. ‖ 8. μέντι P^b. ‖ 11. ἀπεῖναι Casaubonus. ‖ 12. δ' αὐτȣ̀ς i… ἡδίςους P^b. ‖ 13. μᾶλλον P^b. ‖ 14. ταῦτα M^b. ‖ 18. εἰ] εἰ ὁ P^b. ‖ 20. καὶ ante διὰ om M^b. ‖ 21. γενέσθαι P^b. ‖ 22. ἀνάγκῃ con… 23. οἰκείου om P^b. ‖ 26. hinc librum θ incipit P^b cum Palatino 165, ε Q: ei enim δ est qui nobis η. Z interstitium habet versuum vacuorum. ‖ φίλῳ om P^b. ‖ 27. ἃ] ὣ P^b. ‖ 33. δὴ νῦν χρῆςαι P^b. ‖ 35. εἴδη P^b. ‖ αἱ ἄριςαι ἐπιςῆμαι εἶπαν] lacunam…

3. ȣ̓́τ' M^b. ‖ 9. an ςροφήν? ‖ 10. ἔτι et ἢ νοῦς om P^b. ‖ 11. χρῆται — 12. ἀρετὴ om P^b. ‖ 14. ἡ om P^b. ‖ 15. η … Z. ‖ 16. μὲν ἐν M^b. ‖ 17. καὶ] τὸ codices. ‖ 22. φρονίμω $M^b P^b$. ‖ 28. τρέφει M^b. ‖ 33. φρόνιμαι P^b. ‖ 34. σῶμα κ… $M^b P^b$. ‖ 35. ἐπιςήμη M^b. ‖ 36. γνωσ] lacunam ZM^b.

…stated Ἀρ' ἐστι φύσει ὁ μὲν εὐτυχὴς, ὁ δὲ ἀτυχὴς, ἢ …
…3. The lucky gamester, beloved by God.

εὐτυχίας εὖ ποιούσης εὐπραγίαν καὶ τὰ αὐτὰ τῆς ἐπι- …ης, σκεπτέον ἆρ' ἐστὶ φύσει ὁ μὲν εὐτυχὴς ὁ δ' ἀτυ- … ἢ οὔ, καὶ πῶς ἔχει περὶ τούτων. ὅτι μὲν γάρ εἰσί … εὐτυχεῖς ὁρῶμεν· ἄφρονες γὰρ ὄντες κατορθοῦσι πολλά, …ς ἡ τύχη κυρία. οἱ δὲ καὶ ἐν οἷς τέχνη ἐστί, πολὺ …οι καὶ τύχης ἐνυπάρχει, οἷον ἐν στρατηγίᾳ καὶ κυβερ- …ῃ. πότερον οὖν ἀπό τινος ἕξεως οὗτοί εἰσιν, ἢ οὐ τῷ … ποιοί τινες εἶναι πρακτικοί εἰσι τῶν εὐτυχημάτων; … μὲν γὰρ οὕτως οἴονται ὡς φύσει τινῶν ὄντων· ἡ δὲ …ς ποιούς τινας ποιεῖ, καὶ εὐθὺς ἐκ γενετῆς διαφέρουσιν, …ρ οἱ μὲν γλαυκοὶ οἱ δὲ μελανόμματοι τῷ τὸ δεῖν …δὶ ἔχειν, οὕτω καὶ οἱ εὐτυχεῖς καὶ ἀτυχεῖς. ὅτι μὲν … οὐ φρονήσει κατορθοῦσι, δῆλον· οὐ γὰρ ἄλογος ἡ φρό- …, ἀλλ' ἔχει λόγον διὰ τί οὕτω πράττει· οἱ δ' οὐκ ἂν …ν εἰπεῖν διὰ τί κατορθοῦσι· τέχνη γὰρ ἂν ἦν. ἔστι δὲ …ρὸν ὄντες ἄφρονες, οὐχ ὅτι περὶ ἄλλα (τοῦτο μὲν γὰρ … ἄτοπον· οἷον Ἱπποκράτης γεωμετρικὸς ὤν, ἀλλὰ περὶ …ἄλλα δοκεῖ βλὰξ καὶ ἄφρων εἶναι, καὶ πολὺ χρυ- … πλέον ἀπώλεσεν ὑπὸ τῶν ἐν Βυζαντίῳ πεντηκοστολό- … δι' εὐήθειαν, ὡς λέγουσιν) ἀλλ' ὅτι καὶ ἐν ἐνίοις εὐτυ- …ιν ἄφρονες. περὶ γὰρ ναυκληρίαν οὐχ οἱ δεινότατοι …χεῖς, ἀλλ' ὥσπερ ἐν κύβων πτώσει ὁ μὲν οὐδέν, ἄλλος …άλλει καθ' ἣν φύσει ἐστὶν εὐτυχής, ἢ τῷ φιλεῖσθαι, …ρ φασίν, ὑπὸ θεοῦ, καὶ ἔξωθέν τι εἶναι τὸ κατορθοῦν· … πλοῖον κακῶς νεναυπηγημένον ἄμεινον πολλάκις δὲ … ἀλλ' οὐ δι' αὐτό, ἀλλ' ὅτι ἔχει κυβερνήτην ἀγαθόν. … οὗτος εὐτυχῶν τὸν δαίμον' ἔχει κυβερνήτην ἀγαθόν. … ἄτοπον θεὸν ἢ δαίμονα φιλεῖν τὸν τοιοῦτον, ἀλλὰ μὴ … βέλτιστον καὶ τὸν φρονιμώτατον. εἰ δὴ ἀνάγκη ἢ …ι ἢ νόῳ ἢ ἐπιτροπίᾳ τινὶ κατορθοῦν, τὰ δὲ δύο μή … φύσει ἂν εἶεν οἱ εὐτυχεῖς. ἀλλὰ μὴν ἥ γε φύσις … ἢ τοῦ ἀεὶ ὡσαύτως ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ τύχη …τίον. εἰ μὲν οὖν τὸ παραλόγως ἐπιτυγχάνειν τύχης … εἶναι. ἀλλ' εἴπερ διὰ τύχην εὐτυχής, οὐκ ἂν τοιοῦτον … τὸ αἴτιον, οἷον ἀεὶ τοῦ αὐτοῦ ἢ ὡς ἐπὶ τὸ πολύ. ἔτι …ιοσδὶ ἐπιτυγχάνει ὥσπερ ὅτι ὁ γλαυκὸς οὐκ ὀξὺ ὁρᾷ, …χη αἰτία ἀλλὰ φύσις· οὐκ ἄρα ἐστὶν εὐτυχὴς ἀλλ' εὐφυής. ὥστε τοῦτ' ἂν εἴη λεκτέον, ὅτι οὓς λέγομεν …χεῖς, οὐ διὰ τύχην εἰσίν. οὐκ ἄρα εἰσὶν εὐτυχεῖς· τύχης γάρ, ὅσων αἰτία τύχη ἀγαθὴ ἀγαθῶν. εἰ δ' οὕτω, πότερον ἢ ἔσται τύχη ὅλως, ἢ ἔσται μέν, ἀλλ' οὐκέτι; ἀλλ' ἀνάγκη καὶ εἶναι καὶ αἰτίαν εἶναι. ἔσται ἄρα καὶ ἀγαθῶν τισὶν αἰτία ἢ κακῶν. εἰ δ' ὅλως ἐξαιρετέον καὶ οὐδὲν ἀπὸ τύχης φατέον γίνεσθαι, ἀλλ' ἡμεῖς ἄλλης οὔσης αἰτίας διὰ τὸ μὴ ὁρᾶν τύχην εἶναί φαμεν αἰτίαν, διὸ καὶ ὁριζόμενοι τὴν τύχην τιθέασιν αἰτίαν ἀνάλογον ἀνθρωπίνῳ λογισμῷ, ὡς οὔσης τινὸς φύσεως. τοῦτο μὲν οὖν ἄλλο πρόβλημ' ἂν εἴη· ἐπειδὴ ὁρῶμέν τινας ἅπαξ εὐτυχήσαντας, διὰ τί οὐ καὶ πάλιν ἄν, διὰ τὸ ἀποκατορθῶσαι καὶ πάλιν; τὸ γὰρ αὐτὸ τοῦτ' αἴτιον. οὐκ ἄρα ἔσται τύχης. οὐ τὸ ἀλλ' ὅταν τὸ αὐτὸ ἀποβαίνῃ ἀπείρων καὶ ἀορίστων, ἔσται μὲν τὸ ἀγαθὸν ἢ κακόν, ἐπιστήμη δ' οὐκ ἔσται αὐτοῦ ἡ δι' ἀπειρίαν, ἐπεὶ ἐμάνθανον ἄν τινες εὐτυχεῖς, ἢ καὶ πᾶσαι ἂν αἱ ἐπιστῆμαι, ὥσπερ ἔφη Σωκράτης, εὐτυχίαι ἦσαν. τί οὖν κωλύει συμβῆναί τινι ἐφεξῆς τὰ τοιαῦτα πολλάκις, οὐχ ὅτι τοῖς δεῖ, ἀλλ' οἷον ἂν εἶεν τὸ κύβους ἀεὶ μακρὰν βάλλειν. τί δὲ δή; ἆρ' οὐκ ἔνεισιν ὁρμαὶ ἐν τῇ ψυχῇ αἱ μὲν ἀπὸ λογισμοῦ, αἱ δ' ἀπὸ ὀρέξεως ἀλόγου, καὶ πρότεραι αὗται; εἰ γὰρ ἔστι φύσει ἡ δι' ἐπιθυμίαν ἡδέος καὶ ἡ ὄρεξις, φύσει γε ἐπὶ τὸ ἀγαθὸν βαδίζοι ἂν πᾶν. εἰ δή τινές εἰσιν εὐφυεῖς ὥσπερ οἱ ᾠδικοὶ οὐκ ἐπιστάμενοι ᾄδειν, οὕτως οὐ πεφύκασι καὶ ἄνευ λόγου ὁρμῶσιν, ᾗ φύσις πέφυκε, καὶ ἐπιθυμοῦσι καὶ τούτου ποτέ, καὶ οὕτως ὡς δεῖ καὶ οὗ δεῖ καὶ ὅτε, οὗτοι κατορθοῦσι, κἂν τύχωσιν ἄφρονες ὄντες καὶ ἄλογοι, ὥσπερ καὶ εὖ ἔσονται οἱ διδασκαλικοὶ ὄντες. οἱ δέ γε τοιοῦτοι εὐτυχεῖς, ὅσοι ἄνευ λόγου κατορθοῦσιν ὡς ἐπὶ τὸ πολύ. φύσει ἄρα οἱ εὐτυχεῖς εἶεν ἄν. ἢ πλεοναχῶς λέγεται ἡ εὐτυχία. τὰ μὲν γὰρ πράττεται ἀπὸ τῆς ὁρμῆς καὶ προελομένων πρᾶξαι, τὰ δ' οὔ, ἀλλὰ τοὐναντίον. καὶ ἐν ἐκείνοις κακῶς λογίσασθαι δοκοῦσι κατορθοῦντες, καὶ εὐτυχῆσαί φαμεν· καὶ πάλιν ἐν τούτοις, εἰ ἐβούλοντο ἂν ἢ ἔλαττον ἔλαβον τἀγαθόν. ἐκείνους μὲν τοίνυν εὐτυχεῖν διὰ φύσιν ἐνδέχεται. ἡ γὰρ ὁρμὴ καὶ ἡ ὄρεξις οὖσα οὗ δεῖ κατώρθωσεν, ὁ δὲ λογισμὸς ἦν ἠλίθιος. καὶ τοὺς μὲν ἐνταῦθα, ὅταν μὲν λογισμὸς μὴ δοκῶν ὀρθῶς εἶναι, τύχη δ' αὐτοῦ αἰτία οὖσα, αὐτὴ δ' ὀρθὴ οὖσα, ἔξωσεν· ἀλλ' ἐνίοτε δι' ἐπιθυμίαν ἐλογίσατο πάλιν οὕτω καὶ ἠτύχησεν. ἐν δὲ δὴ τοῖς ἑτέροις πῶς ἔσται ἡ εὐτυχία κατ' εὐφυΐαν ὀρέξεως καὶ

It is necess… that τύχ… … be a cause

ὁρμαὶ ἐν τῇ ψυχῇ

πλεοναχῶς λέγεται

5. οἱ] εἰ codices. ‖ 7. οὐ τῷ] οὕτω $M^b P^b$. ‖ 12. μὲν] τὸ μὲν M^b. ‖ 13. ἡ om P^b. ‖ 14. πράττοι P^b. ‖ 15. ἔτι P^b. ‖ 16. μὲν M^b. ‖ 17. οὐθὲν om P^b. ‖ 20. ἐν om $M^b P^b$. ‖ 24. τε M^b. ‖ 27. ἀλλ' — ἀγαθόν om P^b. ‖ εὐτυχὴς M^b, εὐτυχ. Z. ‖ 35. ἢ] εἰ om M^b. ‖ 36. ἢ P^b. ‖ ὅτι ὥσπερ P^b. ‖ ὁ om M^b. ‖ γλαῦκος P^b. ‖ 37. ἀλλὰ] ἀλλ' ἡ M^b.
7. ἀνθρώπου M^b. ‖ 10. ἀπ. καὶ πάλιν καὶ πάλιν M^b. ‖ 16. συμβαίνη τινὶ P^b, τινὶ συμβῆναι M^b. ‖ 17. τοῖς om Z. ‖ 22. an ᾠδι-… ᾄδειν] ἂν P^b. ‖ 24. ποτέ] καί ποτε P^b. ‖ 26. ἔσονται οἱ] ἔσονται εἰ M^b. ‖ 30. ἀλλὰ] ἀλλ' ὁ P^b. ‖ 31. κατορθοῦντε M^b, κατορ-… P^b. ‖ 34. ἡ post καὶ om P^b. ‖ 37. δ' om P^b.

ἐπιθυμίας; ἀλλὰ μὴν ἡ ἐνταῦθα εὐτυχία καὶ τύχη διττή, κἀκείνη ἡ αὐτή, ἢ πλείους αἱ εὐτυχίαι. ἐπεὶ δ' ὁρῶμεν παρὰ πάσας τὰς ἐπιςήμας καὶ τοὺς λογισμὺς τὺς ὀρθὺς εὐτυχῦντάς τινας, δῆλον ὅτι ἕτερον ἄν τι εἴη τὸ αἴτιον τῆς εὐτυχίας. ἐκείνη δὲ πότερον ἡ εὐτυχία ἢ ὐκ ἔςιν, ἣ ἐπεθύμησεν ὧν ἔδει καὶ ὅτε ἔδει τὸ λογισμὸς ἀνθρώπινος ὐκ ἂν τύτυ εἴη. οὐ γὰρ δὴ πάμπαν ἀλόγιςον τῦτο, ὗτε φυσική ἐςιν ἡ ἐπιθυμία, ἀλλὰ διαφθείρεται ὑπό τινος. εὐτυχεῖν μὲν οὖν δοκεῖ, ὅτι ἡ τύχη τῶν παρὰ λόγον αἰτία, τύτυ δὲ παράλογον· παρὰ γὰρ τὴν ἐπιςήμην καὶ τὸ καθόλου. ἀλλ' ὡς ἔοικεν, οὐκ ἀπὸ τύχης. ἀλλὰ δοκεῖ διὰ τῦτο. ὥσθ' ὗτος μὲν ὁ λόγος ὐ δείκνυσιν ὅτι φύσει εὐτυχεῖν, ἀλλ' ὅτι ὐ πάντες οἱ δοκῦντες εὐτυχεῖν διὰ τύχην κατορθῦσιν, ἀλλὰ διὰ φύσιν· ὐδ' ὅτι ὐδέν ἐςι τύχη αἰτία ὐθενὸς δείκνυσιν, ἀλλ' ὐ τῶν πάντων ὧν δοκεῖ. | τῦτο μέντ' ἂν ἀπορήσειέ τις, ἆρ' αὐτῦ τύτυ τύχη αἰτία, τῦ ἐπιθυμῆσαι ὗ δεῖ καὶ ὅτε δεῖ. ἢ ὗτω γε πάντων ἔςαι; καὶ γὰρ τῦ νοῆσαι καὶ βυλεύσασθαι· ὐ γὰρ δὴ ἐβυλεύσατο βουλευσάμενος, καὶ τοῦτ' ἐβυλεύσατο, ἀλλ' ἔςιν ἀρχή τις, ὐδ' ἐνόησε νοήσας πρότερον νοῆσαι, καὶ τῦτ' εἰς ἄπειρον. ὐκ ἄρα τοῦ νοῆσαι ὁ νοῦς ἀρχή, ὐδὲ τῦ βυλεύσασθαι βυλή. τί ὖν ἄλλο πλὴν τύχη; ὥς' ἀπὸ τύχης ἅπαντα ἔςαι, εἰ ἔστι τις ἀρχὴ ἧς οὐκ ἔστιν ἄλλη ἔξω. αὕτη δὲ διὰ τί τοιαύτη τὸ εἶναι τὸ τῦτο δύνασθαι ποιεῖν. τὸ δὲ ζητύμενον τῦτ' ἐςί, τίς ἡ τῆς κινήσεως ἀρχὴ ἐν τῇ ψυχῇ. δῆλον δή, ὥσπερ ἐν τῷ ὅλῳ θεός, καὶ πᾶν ἐκείνῳ. κινεῖ γαρ πως πάντα τὸ ἐν ἡμῖν θεῖον. λόγου δ' ἀρχὴ οὐ λόγος ἀλλά τι κρεῖττον. τί ὖν ἂν κρεῖττον καὶ ἐπιςήμης εἴποι πλὴν θεός; ἡ γὰρ ἀρετὴ τῦ νῦ ὄργανον· καὶ διὰ τῦτο οἱ πάλαι ἔλεγον, εὐτυχεῖς καλῦνται οἳ ἂν ὁρμήσωσι κατορθοῦν ἄλογοι ὄντες, καὶ βουλεύεσθαι οὐ συμφέρει αὐτοῖς· ἔχυσι γὰρ ἀρχὴν τοιαύτην ἣ κρεῖττον τῦ νῦ καὶ βυλεύσεως. οἱ δὲ τὸν λόγον· τῦτο δ' ὐκ ἔχυσι. καὶ ἐνθυσιασμοί· τῦτο δ' ὐ δύνανται. ἄλογοι γὰρ ὄντες ἀποτυγχάνυσι καὶ τούτων φρονίμων καὶ σοφῶν ταχεῖαν εἶναι τὴν μαντικὴν καὶ μόνον ὐ τὴν ἀπὸ τῦ λόγυ δεῖ ἀπολαβεῖν, ἀλλ' οἱ μὲν δι' ἐμπειρίαν, οἱ δὲ διὰ συνήθειάν τε ἐν τῷ σκοπεῖν χρῆσθαι· τῷ θεῷ δὲ αὗται. τῦτο καὶ εὖ ὁρᾷ καὶ τὸ μέλλον καὶ τὸ ὄν, καὶ ὧν ἀπολύεται ὁ λόγος ὗτος. διὸ οἱ μελαγχολικοὶ καὶ εὐθυόνειροι. ἔοικε γὰρ ἡ ἀρχὴ ἀπολυομένυς τὺς

λόγυς ἰσχύειν μᾶλλον· καὶ ὥσπερ οἱ τυφλοὶ μνημο
μᾶλλον ἀπολυθέντες τῦ πρὸς τοῖς εἰρημένοις εἶναι τὸ
μονεῦον. φανερὸν δὲ ὅτι δύο εἴδη εὐτυχίας, ἡ μὲν
διὸ καὶ δοκεῖ ὁ εὐτυχὴς διὰ θεὸν κατορθῦν. ὗτος δ'
ὁ κατὰ τὴν ὁρμὴν διορθωτικός, ὁ δ' ἕτερος ὁ παρὰ τ
μήν· ἄλογοι δ' ἀμφότεροι. καὶ ἡ μὲν συνεχὴς εὐ
μᾶλλον, αὕτη δὲ ὐ συνεχής.

Κατὰ μέρος μὲν ὖν περὶ ἑκάςης ἀρετῆς εἴρηται
ρον· ἐπεὶ δὲ χωρὶς διείλομεν τὴν δύναμιν αὐτῶν, κα
τῆς ἀρετῆς διαρθρωτέον τῆς ἐκ τύτων, ἣν ἐκαλῦμεν ἤδ
λοκἀγαθίαν. ὅτι μὲν ὖν ἀνάγκη τὸν ταύτης ἀληθῶς
μενον τῆς προσηγορίας ἔχειν τὰς κατὰ μέρος ἀρετάς,
νερόν. ὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ὐθενὸς οἷόν τ' ἄλλως
ὐθεὶς γὰρ ὅλον μὲν τὸ σῶμα ὑγιαίνει, μέρος δ' ὐθέν,
ἀναγκαῖον πάντα ἢ τὰ πλεῖςα καὶ κυριώτατα τὸν
ἔχειν τρόπον τῷ ὅλῳ. ἔςι δὴ τὸ ἀγαθὸν εἶναι καὶ τὸ
λὸν κἀγαθὸν ὐ μόνον κατὰ τὰ ὀνόματα, ἀλλὰ κατ'
ἔχοντα διαφοράν. τῶν γὰρ ἀγαθῶν πάντων τέλη ἐςί
αὐτὰ αὐτῶν ἕνεκά ἐςιν αἱρετά. τύτων δὲ καλά, ὅσ
αὐτὰ ὄντα πάντα ἐπαινετά ἐςιν. ταῦτα γάρ ἐςιν ἀφ
αἵ τε πράξεις εἰσὶν ἐπαινεταὶ καὶ αὐτὰ ἐπαινετά, δι
σύνη καὶ αὐτὴ καὶ αἱ πράξεις. καὶ οἱ σώφρονες· ἐπαι
γὰρ καὶ ἡ σωφροσύνη. ἀλλ' οὐχ ὑγίεια ἐπαινετόν·
γὰρ τὸ ἔργον. οὐδὲ τὸ ἰσχυρῶς· ὐδὲ γὰρ ἡ ἰσχύς. ἀ
ἀγαθὰ μέν, ἐπαινετὰ δ' ὔ. ὁμοίως δὲ τῦτο δῆλον καὶ
τῶν ἄλλων διὰ τῆς ἐπαγωγῆς. ἀγαθὸν μὲν ὖν ἐςὶν ᾧ
φύσει ἀγαθά ἐςιν ἀγαθά. τὰ γὰρ περιμάχητα καὶ μ
γιςα εἶναι δοκῦντα ἀγαθά, τιμὴ καὶ πλῦτος καὶ σώμ
τος ἀρεταὶ καὶ εὐτυχίαι καὶ δυνάμεις, ἀγαθὰ μὲν φύ
ἐςίν, ἐνδέχεται δ' εἶναι βλαβερά τισι διὰ τὰς ἕξεις. ὔ
γὰρ ἄφρων οὔτ' ἄδικος ἢ ἀκόλαςος ὢν ὐδ' ὀνήσειε χρ
μενος αὐτοῖς, ὥσπερ ὐδ' ὁ κάμνων τῇ τῦ ὑγιαίνοντος τρο
χρώμενος, ὐδ' ὁ ἀσθενὴς καὶ ἀνάπηρος τοῖς τῦ ὑγιῦς
τοῖς τοῦ ὁλοκλήρου κόσμοις. καλὸς δὲ κἀγαθὸς τῷ
ἀγαθῶν τὰ καλὰ ὑπάρχειν αὐτῷ δι' αὑτά, καὶ τῷ π
κτικὸς εἶναι τῶν καλῶν καὶ αὐτῶν ἕνεκα. καλὰ δ' ἐ
αἵ τε ἀρεταὶ καὶ τὰ ἔργα τὰ ἀπὸ τῆς ἀρετῆς. ἔςι δὲ
ἕξις πολιτική, οἵαν οἱ Λάκωνες ἔχουσιν ἢ ἄλλοι τοι
ἔχοιεν ἄν. αὕτη δ' ἐςὶν ἕξις τοιαύτη. εἰσὶ γὰρ οἳ οἴο
τὴν ἀρετὴν δεῖν μὲν ἔχειν, ἀλλὰ τῶν φύσει ἀγαθῶν

4. ἕτερον] αἴτιον M^b. ‖ 5. ἡ om P^b. ‖ 6. ἐδεῖτο λογισμὸς M^b. ‖ 7. δεῖ M^b. ‖ 9. οὖν] ἂν P^b. ‖ 14. διὰ om M^b. ‖ ὐδὲν] M^b. ‖ 18. δὴ om M^b. ‖ 21. ὁ νῦς Casaubonus: codices συνῦσα. ‖ 27. οὐ om P^b. ‖ 30. παλαιοὶ M^b. ‖ 31. βούλεσθαι M^b. ‖ τοιαύτην — καὶ om P^b. ‖ 36. μόνων P^b. ‖ 40. ἀπολυμένυς M^b.

4. ὗτω P^b. ‖ 10. διορθωτέον P^b. ‖ 13. ὐδὲ] ὐθὲν M^b, ὐδὲν P^b. ‖ 14. ὐδεὶς μὲν ὅλον P^b. ‖ 17. κατ' αὐτὰ] κατὰ ταῦτα P^b. ‖ τὰ ἔχοντα $M^b P^b$. ‖ 19. αὐτὰ om M^b. ‖ 24. ἡ om M^b. ‖ 31. ὀνήσει M^b. ‖ 35. ἀγαθῶν — 36. τῶν om P^b. ‖ 38. οἷον M^b.

κεν. διὸ ἀγαθοὶ μὲν ἄνδρες εἰσίν· τὰ γὰρ φύσει μὲν ἀγαθὰ αὐτοῖς ἐστίν· καλοκἀγαθίαν γὰρ οὐκ ἔχουσιν. οὐ γὰρ ὑπάρχει αὐτοῖς τὰ καλὰ δι' αὑτά, καὶ προαιροῦνται καλοὶ κἀγαθοί, καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰ μὴ καλὰ μὲν φύσει ὄντα, ἀγαθὰ δὲ φύσει ὄντα, τούτοις καλά. καλὰ γάρ ἐστιν ὅταν οὗ ἕνεκα πράττωσι. καὶ αἱροῦνται καλά, ἢ διότι τῷ καλῷ κἀγαθῷ καλά ἐστι τὰ φύσει ἀγαθά· καλὸν γὰρ τὸ δίκαιον· τοῦτο δὲ τὸ κατ' ἀξίαν· ἄξιος δ' οὗτος τούτων. καὶ τὸ πρέπον καλόν· πρέπει δὲ ταῦτα τούτῳ, πλοῦτος εὐγένεια δύναμις. ὥστε τῷ καλῷ κἀγαθῷ καὶ αὐτὰ συμφέροντα καὶ καλά ἐστιν· τοῖς δὲ πολλοῖς διαφωνεῖ τοῦτο. οὐ γὰρ τὰ ἁπλῶς ἀγαθὰ κἀκείνοις ἀγαθά ἐστι, τῷ δ' ἀγαθῷ ἀγαθά. τῷ δ' ἀγαθῷ καὶ καλά· πολλὰς γὰρ καὶ καλὰς πράξεις δι' αὐτὰ ἔπραξεν. ὁ δ' οἰόμενος τὰς ἀρετὰς ἔχειν δεῖν ἕνεκα τῶν ἐκτὸς ἀγαθῶν κατὰ τὸ συμβεβηκὸς καλὰ πράττει. ἔστιν οὖν καλοκἀγαθία ἀρετὴ τέλειος. καὶ περὶ ἡδονῆς δ' εἴρηται ποῖόν τι καὶ πῶς ἀγαθόν, καὶ ὅτι τά τε ἁπλῶς ἡδέα καὶ καλά, καὶ τά τε ἁπλῶς ἀγαθὰ ἡδέα. οὐ γίνεται δὲ ἡδονὴ μὴ ἐν πράξει· διὰ τοῦτο ὁ ἀληθῶς εὐδαίμων καὶ ἥδιστα ζήσει, καὶ τοῦτο οὐ μάτην οἱ ἄνθρωποι ἀξιοῦσιν. ἐπεὶ δ' ἐστί τις ὅρος καὶ τῷ ἰατρῷ, πρὸς ὃν ἀναφέρων κρίνει τὸ ὑγιαῖνον σῶμα καὶ μή, πρὸς ὃν μέχρι ποσοῦ ποιητέον ἕκαστον καὶ εὖ ὑγιαῖνον· εἰ δὲ ἔλαττον ἢ πλέον, οὐκέτι· οὕτω καὶ τῷ σπουδαίῳ περὶ τὰς πράξεις καὶ αἱρέσεις τῶν φύσει μὲν ἀγαθῶν οὐκ ἐπαινετῶν δὲ δεῖ τινα εἶναι ὅρον καὶ ἕξεως καὶ τῆς αἱρέσεως, καὶ περὶ φυγῆς χρημάτων πλήθους καὶ ὀλιγότητος καὶ τῶν εὐτυχημάτων. ἐν μὲν οὖν τοῖς πρότερον ἐλέχθη τὸ ὡς ὁ λόγος· τοῦτο δ' ἐστὶν ὥσπερ ἂν εἴ τις ἐν τοῖς περὶ τὴν τροφὴν εἴπειεν ὡς ἡ ἰατρικὴ καὶ ὁ λόγος ταύτης. τοῦτο δ' ἀληθὲς μέν, οὐ σαφὲς δέ. δεῖ δὴ ὥσπερ καὶ ἐν τοῖς ἄλλοις πρὸς τὸ ἄρχον ζῆν, καὶ πρὸς τὴν ἕξιν κατὰ τὴν ἐνέργειαν τὴν τοῦ ἄρχοντες, οἷον δοῦλον πρὸς δεσπότου καὶ ἕκαστον πρὸς τὴν ἑκάστου καθήκουσαν ἀρχήν. ἐπεὶ δὲ καὶ ἄνθρωπος φύσει συνέστηκεν ἐξ ἄρχοντος καὶ ἀρχομένου, καὶ ἕκαστον δὴ δέοι πρὸς τὴν ἑαυτῶν ἀρχὴν ζῆν. αὕτη δὲ διττή· ἄλλως γὰρ ἡ ἰατρικὴ ἀρχὴ καὶ ἄλλως ἡ ὑγίεια. ταύτης δὲ ἕνεκα ἐκείνη. οὕτω δ' ἔχει κατὰ τὸ θεωρητικόν. οὐ γὰρ ἐπιτακτικῶς ἄρχων ὁ θεός, ἀλλ' οὗ ἕνεκα ἡ φρόνησις ἐπιτάττει. διττὸν δὲ τὸ οὗ ἕνεκα· διώρισται δ' ἐν ἄλλοις, ἐπεὶ ἐκεῖνός γε οὐθενὸς δεῖται. ἥτις οὖν αἵρεσις καὶ κτῆσις τῶν φύσει ἀγαθῶν ποιήσει τὴν τοῦ θεοῦ μάλιστα θεωρίαν, ἢ σώματος ἢ χρημάτων ἢ φίλων ἢ τῶν ἄλλων ἀγαθῶν, αὕτη ἀρίστη, καὶ οὗτος ὁ ὅρος κάλλιστος. εἴ τις δ' ἢ δι' ἔνδειαν ἢ δι' ὑπερβολὴν κωλύει τὸν θεὸν θεραπεύειν καὶ θεωρεῖν, αὕτη δὲ φαύλη. ἔχει δὲ τοῦτο τῇ ψυχῇ, καὶ οὗτος τῆς ψυχῆς ὁ ὅρος ἄριστος, τὰ ἥκιστα αἰσθάνεσθαι τοῦ ἄλλου μέρους τῆς ψυχῆς, ᾗ τοιοῦτον. τίς μὲν οὖν ὅρος τῆς καλοκἀγαθίας, καὶ τίς ὁ σκοπὸς τῶν ἁπλῶς ἀγαθῶν, ἔστω εἰρημένον.

τὰ φύσει ἀγαθὰ, οὐκ ἐπαιν

ΠΕΡΙ ΑΡΕΤΩΝ ΚΑΙ ΚΑΚΙΩΝ.

About this treatise, see Berna
Die Dialoge des Aristoteles –
p. 162 –
not Aristotel

Ἐπαινετὰ μέν ἐστι τὰ καλά, ψεκτὰ δὲ τὰ αἰσχρά. καὶ τῶν μὲν καλῶν ἡγοῦνται αἱ ἀρεταί, τῶν δ' αἰσχρῶν αἱ κακίαι. ἐπαινετὰ δ' ἐστὶ καὶ τὰ αἴτια τῶν ἀρετῶν καὶ τὰ παρεπόμενα ταῖς ἀρεταῖς καὶ τὰ γινόμενα ἀπ' αὐτῶν καὶ τὰ ἔργα αὐτῶν, ψεκτὰ δὲ τὰ ἐναντία. τριμεροῦς δὲ τῆς ψυχῆς λαμβανομένης κατὰ Πλάτωνα, τοῦ μὲν λογιστικοῦ ἀρετή ἐστιν ἡ φρόνησις, τοῦ δὲ θυμοειδοῦς ἥ τε πρᾳότης καὶ ἡ ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε σωφροσύνη καὶ ἡ ἐγκράτεια, ὅλης δὲ τῆς ψυχῆς ἥ τε δικαιοσύνη καὶ ἡ ἐλευθεριότης καὶ ἡ μεγαλοψυχία. κακία δ' ἐστὶ τοῦ μὲν λογιστικοῦ ἡ ἀφροσύνη, τοῦ δὲ θυμοειδοῦς ἥ τε ὀργιλότης καὶ ἡ δειλία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε ἀκολασία καὶ ἡ

1. ἀγαθοὶ] ἄγριοι $M^b P^b$. ‖ 2. ὑπάρχειν $M^b P^b$. ‖ 6. πράττουσι P^b. ‖ 7. καλῷ] κακῷ M^b. ‖ τὰ] τὰ τῇ P^b. ‖ 9. τούτῳ] πλούτῳ $M^b P^b$. ‖ 10. αὐτὰ] αὐτὰ τὰ P^b. ‖ 17. διείρηται P^b, δ' εἴη τε M^b. ‖ 18. καὶ καλὰ – 19. ἁπλῶς om P^b. ‖ 19. ἡδέα om P^b. ‖ 20. οὐ om $M^b P^b$. ‖ τούτου P^b. ‖ 22. ὃ M^b. ‖ ὑγιεινὸν M^b. ‖ μὴ] μὴ καὶ M^b, om P^b.

2. φυγῆς] πληγῆς M^b. ‖ 5. εἴποιεν $M^b P^b$. ‖ ἡ om M^b. ‖ 9. τὴν om M^b. 11. δὴ] δὲ M^b. ‖ 12. ἡ utrumque om M^b. ‖ 13. θεωρητέον P^b. ‖ 16. τε $M^b P^b$. ‖ κτίσις P^b. ‖ 17. μάλιστα τὴν τοῦ θεοῦ P^b. ‖ 19. εἰ] ἢ P^b. ‖ 22. ὁ om P^b. ‖ αἰσθάνηται P^b. ‖ 23. μὲν om M^b. ‖ 25. εἰρημένος M^b.

ἀκράτεια, ὅλης δὲ τῆς ψυχῆς ἥ τε ἀδικία καὶ ἀνελευθεριότης καὶ μικροψυχία.

2 Ἔστι δὲ φρόνησις μὲν ἀρετὴ τοῦ λογιστικοῦ, παρασκευαςικὴ τῶν πρὸς εὐδαιμονίαν συντεινόντων. πραότης δ' ἐςὶν ἀρετὴ τῦ θυμοειδοῦς, καθ' ἣν ὑπὸ ὀργῆς γίνονται δυσκίνητοι. ἀνδρεία δ' ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν δυσέκπληκτοί εἰσιν ὑπὸ φόβων τῶν περὶ θάνατον. σωφροσύνη δ' ἐςὶν ἀρετὴ τῦ ἐπιθυμητικῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται περὶ τὰς ἀπολαύσεις τῶν φαύλων ἡδονῶν. ἐγκράτεια δ' ἐςὶν ἀρετὴ τοῦ ἐπιθυμητικῦ, καθ' ἣν κατέχυσι τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ τὰς φαύλας ἡδονάς. δικαιοσύνη δ' ἐςὶν ἀρετὴ ψυχῆς διανεμητικὴ τῦ κατ' ἀξίαν. ἐλευθεριότης δ' ἐςὶν ἀρετὴ ψυχῆς εὐδάπανος εἰς τὰ καλά. μεγαλοψυχία δ' ἐςὶν ἀρετὴ ψυχῆς, καθ' ἣν δύναται φέρειν εὐτυχίαν καὶ ἀτυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν.

3 Ἀφροσύνη δ' ἐςὶ κακία τοῦ λογιςικῦ, αἰτία τῦ ζῆν κακῶς. ὀργιλότης δ' ἐστὶ κακία τοῦ θυμοειδοῦς, καθ' ἣν εὐκίνητοι γίνονται πρὸς ὀργήν. δειλία δ' ἐστὶ κακία τοῦ θυμοειδῦς, καθ' ἣν ἐκπλήττονται ὑπὸ φόβων, καὶ μάλιςα τῶν περὶ θάνατον. ἀκολασία δ' ἐςὶ κακία τῦ ἐπιθυμητικῦ, καθ' ἣν αἱρῦνται τὰς φαύλας ἡδονάς. [περὶ μὲν τῆς ἀκρατείας ὐδέν· ὕτω δὲ σὺ δύνασαι ὁρίζειν.] ἀκράτεια δ' ἐςὶ κακία τῦ ἐπιθυμητικῦ, καθ' ἣν παρασύρυσι τῇ ἀλογίᾳ τὴν ἐπιθυμίαν ὠθοῦσαν ἐπὶ τὰς τῶν φαύλων ἡδονῶν ἀπολαύσεις. ἀδικία δ' ἐστὶ κακία ψυχῆς, καθ' ἣν πλεονεκτικοὶ γίνονται παρὰ τὴν ἀξίαν. ἀνελευθερία δ' ἐςὶ κακία ψυχῆς, καθ' ἣν ὀρέγονται τῦ πανταχόθεν κέρδυς. μικροψυχία δ' ἐστὶ κακία ψυχῆς, καθ' ἣν ἀδύνατοί εἰσι φέρειν εὐτυχίαν καὶ ἀτυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν.

4 Τῆς δὲ φρονήσεώς ἐςι τὸ βυλεύσασθαι, τὸ κρῖναι τὰ ἀγαθὰ καὶ τὰ κακὰ καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά, τὸ χρῆσθαι πᾶσι καλῶς τοῖς ὑπάρχυσιν ἀγαθοῖς, τὸ ὁμιλῆσαι ὀρθῶς, τὸ συνιδεῖν τοὺς καιρούς, τὸ ἀγχίνως χρήσασθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. ἡ μνήμη δὲ καὶ ἐμπειρία καὶ ἀγχίνοια ἤτοι ἀπὸ τῆς φρονήσεως ἑκάστη αὐτῶν ἐστίν, ἢ παρέπεται τῇ φρονήσει· ἢ τὰ μὲν αὐτῶν οἷον συναίτια τῆς φρονήσεώς ἐςι, καθάπερ ἐμπειρία καὶ ἡ μνήμη, τὰ δὲ οἷον μέρη αὐτῆς, οἷον εὐβουλία καὶ ἀγχίνοια. πραότητος δ' ἐςὶ τὸ δύνασθαι φέρειν μετρίως ἐγκλήματα καὶ ὀλιγωρίας, καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὰς τιμωρίας, καὶ τὸ μὴ εὐκίνητον εἶναι πρὸς τὰς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον, ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ καὶ ςάσιμον. ἀνδρείας δ' ἐςὶ τὸ δυσέκπληκτον ὑπὸ φόβων τῶν περὶ θάνατον, καὶ τὸ εὐθαρσῆ ἐν τοῖς δεινοῖς, καὶ τὸ
εὔτολμον πρὸς τὺς κινδύνυς, καὶ τὸ μᾶλλον αἱρεῖσθα
θνάναι καλῶς ἢ αἰσχρῶς σωθῆναι, καὶ τὸ νίκης
εἶναι. ἔτι δὲ ἀνδρείας ἐςὶ καὶ τὸ πονεῖν καὶ καρτερεῖ
αἱρεῖσθαι ἀνδραγαθίζεσθαι. παρέπεται δὲ τῇ ἀνδρείᾳ
ἡ εὐτολμία καὶ ἡ εὐψυχία καὶ τὸ θάρσος καὶ τὸ θρ
ἔτι δὲ καὶ ἡ φιλοπονία καὶ ἡ καρτερία. σωφρο
δ' ἐςὶ τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωμα
ἡδονῶν, καὶ τὸ εἶναι πάσης ἀπολαύσεως αἰσχρᾶς
ἀνόρεκτον, καὶ τὸ φοβεῖσθαι καὶ τὴν δικαίαν ἄδειαν,
τὸ τετάσθαι περὶ τὸν βίον ὁμοίως ἔν τε μικροῖς καὶ μ
λοις. παρέπεται δὲ τῇ σωφροσύνῃ εὐταξία, κοσμι
αἰδώς, εὐλάβεια. ἐγκρατείας δ' ἐςὶ τὸ δύνασθαι
τασχεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ φα
ἀπολαύσεις καὶ ἡδονάς, καὶ τὸ καρτερεῖν, καὶ τὸ ὑπ
νητικὸν εἶναι τῆς κατὰ φύσιν ἐνδείας καὶ λύπης.
καιοσύνης δ' ἐςὶ τὸ διανεμητικὸν εἶναι τοῦ κατ' ἀξίαν,
σώζειν τὰ πάτρια ἔθη καὶ τὰ νόμιμα, καὶ τὸ σώζειν
γεγραμμένυς νόμους, καὶ τὸ ἀληθεύειν ἐν τῷ διαφέρ
καὶ τὸ διαφυλάττειν τὰς ὁμολογίας. ἔστι δὲ πρώτη
δικαιοσυνῶν πρὸς τὺς θεύς, εἶτα πρὸς δαίμονας, εἶτα
πατρίδα καὶ γονεῖς, εἶτα πρὸς τοὺς κατοιχομένους· ἐ
ἐςὶν ἡ εὐσέβεια, ἤτοι μέρος ὖσα δικαιοσύνης ἢ παρακ
θῦσα. ἀκολυθεῖ δὲ τῇ δικαιοσύνῃ καὶ ὁσιότης καὶ ἀλή
καὶ ἡ πίςις καὶ ἡ μισοπονηρία. ἐλευθεριότητος δ'
τὸ προετικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά, καὶ
ψιλῆ ἐπὶ τῷ εἰς τὰ δέοντα ἀναλωθῆναι, καὶ τὸ βοηθ
κὸν εἶναι ἐν τῷ διαφόρῳ, καὶ τὸ μὴ λαβεῖν ὅθεν μὴ
ἔστι δὲ ὁ ἐλευθέριος καὶ περὶ ἐσθῆτα καθαρὸς καὶ
οἴκησιν, καὶ κατασκευαςικὸς τῶν περιττῶν καὶ καλῶν
διαγωγὴν ἐχόντων ἡδεῖαν ἄνευ τῦ λυσιτελῦντος, καὶ θρ
πτικὸς τῶν ζώων τῶν ἴδιον ἐχόντων τι ἢ θαυμαςόν. ἀ
λυθεῖ δὲ τῇ ἐλευθεριότητι τοῦ ἤθυς ὑγρότης καὶ εὐαγω
καὶ φιλανθρωπία καὶ τὸ εἶναι ἐλεητικὸν καὶ φιλόφι
καὶ φιλόξενον καὶ φιλόκαλον. μεγαλοψυχίας δ'
τὸ καλῶς ἐνεγκεῖν καὶ εὐτυχίαν καὶ ἀτυχίαν καὶ τι
καὶ ἀτιμίαν, καὶ τὸ θαυμάζειν μήτε τρυφὴν μήτε θ
πείαν μήτε ἐξυσίαν μήτε τὰς νίκας τὰς ἐναγωνίυς, ἔ
δέ τι βάθος τῆς ψυχῆς καὶ μέγεθος. ἔςι δὲ μεγαλό
χος ὔθ' ὁ τὸ ζῆν περὶ πολλῦ ποιύμενος οὔθ' ὁ φιλόζ
ἁπλῦς δὲ τῷ ἤθει καὶ γενναῖος, ἀδικεῖσθαι δυνάμενος,
οὐ τιμωρητικός. ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ ἁπλ
καὶ ἀλήθεια.

Ἀφροσύνης δ' ἐστὶ τὸ κρίνειν κακῶς τὰ πράγμα
τὸ βουλεύσασθαι κακῶς, τὸ ὁμιλῆσαι κακῶς, τὸ χρή
σθαι κακῶς τοῖς παροῦσιν ἀγαθοῖς, τὸ ψευδῶς δοξά

τῶν εἰς τὸν βίον καλῶν καὶ ἀγαθῶν. παρακολουθεῖ
ῃ ἀφροσύνῃ ἀπειρία, ἀμαθία, ἀκρασία, ἐπαριςερότης,
ημοσύνη. ὀργιλότητος δ' ἐςὶν εἴδη τρία, ἀκροχολία
ία βαρυθυμία. ἔςι δὲ τῆς ὀργίλης μὴ δύνασθαι φέρειν·
ταὰς μικρὰς ὀλιγωρήσεις μήτε ἐλαττώσεις, εἶναι δὲ
ςικὸν καὶ τιμωρητικὸν καὶ εὐκίνητον πρὸς ὀργὴν καὶ
ἔργῳ καὶ ὑπὸ λόγου τοῦ τυχόντος. ἀκολουθεῖ δὲ τῇ ὀρ-
τητι τὸ παροξυντικὸν τοῦ ἤθους καὶ εὐμετάβολον, καὶ ἡ
ολογία, καὶ τὸ ἐπὶ μικροῖς λυπεῖσθαι, καὶ τὸ ταῦτα
χειν ταχέως καὶ παρὰ βραχὺν καιρόν. δειλίας δ'
τὸ ὑπὸ τῶν τυχόντων φόβων εὐκίνητον εἶναι, καὶ μά-
τῶν περὶ θάνατον καὶ τὰς σωματικὰς πηρώσεις, καὶ
πολαμβάνειν κρεῖττον εἶναι ὁπωσοῦν σωθῆναι ἢ τελευ-
ι καλῶς. ἀκολουθεῖ δὲ τῇ δειλίᾳ μαλακία, ἀνανδρία,
ία, φιλοψυχία. ὕπεςι δέ τις εὐλάβεια καὶ τὸ ἀφι-
κον τοῦ ἤθους. ἀκολασίας δ' ἐςὶ τὸ αἱρεῖσθαι τὰς
λαύσεις τῶν ἡδονῶν τῶν βλαβερῶν καὶ αἰσχρῶν, καὶ
πολαμβάνειν εὐδαιμονεῖν μάλιςα τοὺς ἐν ταῖς τοιαύ-
ἡδοναῖς ὄντας, καὶ τὸ φιλογέλοιον εἶναι καὶ τὸ φι-
ώπτην καὶ φιλευτράπελον, καὶ τὸ ῥᾳδιουργὸν εἶναι ἐν
λόγοις καὶ ἐν τοῖς ἔργοις. ἀκολουθεῖ δὲ τῇ ἀκολασίᾳ
ία, ἀναίδεια, ἀκοσμία, τρυφή, ῥᾳθυμία, ἀμέλεια, ὀλι-
α, ἔκλυσις. ἀκρασίας δ' ἐςὶ τὸ κωλύοντος τοῦ λο-
οῦ τὰς ἀπολαύσεις τῶν ἡδονῶν αἱρεῖσθαι, καὶ τὸ ὑπο-
βάνοντα κρεῖττον εἶναι μὴ μετασχεῖν μὲν αὐτῶν, με-
ιν δὲ μηδὲν ἧττον, καὶ τὸ οἴεσθαι μὲν δεῖν πράττειν
τὰ καλὰ καὶ τὰ συμφέροντα, ἀφίςασθαι δὲ αὐτῶν
τὰς ἡδονάς. ἀκολουθεῖ δὲ τῇ ἀκρασίᾳ μαλακία καὶ
μέλεια καὶ τὰ πλεῖςα ταὐτὰ ἃ καὶ τῇ ἀκολασίᾳ.
ἀδικίας δ' ἐςὶν εἴδη τρία, ἀσέβεια πλεονεξία ὕβρις.
εια μὲν ἡ περὶ θεοὺς πλημμέλεια καὶ περὶ δαίμονας ἢ
περὶ τοὺς κατοιχομένους, καὶ περὶ γονεῖς καὶ περὶ πα-
· πλεονεξία δὲ περὶ τὰ συμβόλαια, παρὰ τὴν ἀξίαν
μένη τὸ διάφορον· ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὑτοῖς
σκευάζουσιν, εἰς ὄνειδος ἀγαγόντες ἑτέρους, ὅθεν Εὔηνος
αὐτῆς λέγει "ἥτις κερδαίνουσ' οὐδὲν ὅμως ἀδικεῖ." ἔςι
ῆς ἀδικίας τὸ παραβαίνειν τὰ πάτρια ἔθη καὶ τὰ νό-
ι, καὶ τὸ ἀπειθεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσι, τὸ ψεύδεσθαι, τὸ ἐπιορκεῖν, τὸ παραβαίνειν τὰς ὁμολογίας καὶ τὰς πίςεις. ἀκολουθεῖ δὲ τῇ ἀδικίᾳ συκοφαντία, ἀλαζονεία, φιλανθρωπία προσποίητος, κακοήθεια, πανουργία. ἀνελευθερίας δ' ἐστὶν εἴδη τρία, αἰσχροκερδία φειδωλία κιμβεία. αἰσχροκερδία μέν, καθ' ἣν κερδαίνειν ζητοῦσι πανταχόθεν, καὶ τὸ κέρδος τῆς αἰσχύνης περὶ πλείονος ποιοῦνται· φειδωλία δ' ἐςὶ καθ' ἣν ἀδάπανοι γίνονται τῶν χρημάτων εἰς τὸ δέον· κιμβεία δ' ἐςὶ καθ' ἣν δαπανῶσι μέν, κατὰ μικρὸν δὲ καὶ κακῶς, καὶ πλέον βλάπτονται τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. ἔστι δὲ τῆς ἀνελευθερίας τὸ περὶ πλείστου ποιεῖσθαι χρήματα, καὶ τὸ μηδὲν ὄνειδος ἡγεῖσθαι τῶν ποιούντων τὸ κέρδος, βίος θητικὸς καὶ δουλοπρεπὴς καὶ ῥυπαρός, φιλοτιμίας καὶ ἐλευθερίας ἀλλότριος. ἀκολουθεῖ δὲ τῇ ἀνελευθεριότητι μικρολογία, βαρυθυμία καὶ μικροψυχία, ταπεινότης, ἀμετρία, ἀγένεια, μισανθρωπία. μικροψυχίας δ' ἐστὶ τὸ μήτε τιμὴν μήτε ἀτιμίαν μήτε εὐτυχίαν μήτε ἀτυχίαν δύνασθαι φέρειν, ἀλλὰ τιμώμενον μὲν χαυνοῦσθαι, μικρὰ δὲ εὐτυχήσαντα ὑπεξαίρεσθαι, ἀτιμίαν δὲ μηδὲ τὴν ἐλαχίστην ἐνεγκεῖν δύνασθαι, ἀπότευγμα δ' ἄτην καὶ ἀτυχίαν κρίνειν μεγάλην, ὀδύρεσθαι δ' ἐπὶ πᾶσι καὶ δυσφορεῖν. ἔτι δὲ τοιοῦτός ἐςιν ὁ μικρόψυχος οἷος πάντα τὰ ὀλιγωρήματα καλεῖν ὕβριν καὶ ἀτιμίαν, καὶ τὰ δι' ἄγνοιαν ἢ λήθην γιγνόμενα. ἀκολουθεῖ δὲ τῇ μικροψυχίᾳ μικρολογία, μεμψιμοιρία, δυσελπιςία, ταπεινότης.

8 Καθόλου δὲ τῆς μὲν ἀρετῆς ἐςὶ τὸ ποιεῖν σπουδαίαν τὴν διάθεσιν περὶ τὴν ψυχήν, ἠρεμαίαις καὶ τεταγμέναις κινήσεσι χρωμένην, συμφωνοῦσαν κατὰ πάντα τὰ μέρη· διὸ καὶ δοκεῖ παράδειγμα πολιτείας ἀγαθῆς εἶναι ψυχῆς σπουδαία διάθεσις. ἔςι δὲ ἀρετῆς καὶ τὸ εὐεργετεῖν τοὺς ἀξίους, καὶ τὸ φιλεῖν τοὺς ἀγαθούς, καὶ τὸ μήτε κολαςικὸν εἶναι μήτε τιμωρητικόν, ἀλλὰ ἵλεων καὶ εὐμενικὸν καὶ συγγνωμονικόν. ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηςότης, ἐπιείκεια, εὐγνωμοσύνη, ἐλπὶς ἀγαθή. ἔτι δὲ καὶ τὰ τοιαῦτα οἷον φίλοικον εἶναι καὶ φιλόφιλον, φιλέταιρον, φιλόξενον, φιλάνθρωπον καὶ φιλόκαλον· ἃ δὴ πάντα τῶν ἐπαινουμένων ἐςίν. τῆς δὲ κακίας ἐςὶ τὰ ἐναντία.

ΠΟΛΙΤΙΚΩΝ Α.

Ἐπειδὴ πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν τινὰ οὖσαν καὶ πᾶσαν κοινωνίαν ἀγαθοῦ τινὸς ἕνεκεν συνεστηκυῖαν (τοῦ γὰρ εἶναι δοκοῦντος ἀγαθοῦ χάριν πάντα πράττουσι πάντες), δῆλον ὡς πᾶσαι μὲν ἀγαθοῦ τινὸς στοχάζονται, μάλιστα δέ, καὶ τοῦ κυριωτάτου πάντων, ἡ πασῶν κυριωτάτη καὶ πάσας περιέχουσα τὰς ἄλλας· αὕτη δ' ἐστὶν ἡ καλουμένη πόλις καὶ ἡ κοινωνία ἡ πολιτική. ὅσοι μὲν οὖν οἴονται πολιτικὸν καὶ βασιλικὸν καὶ οἰκονομικὸν καὶ δεσποτικὸν εἶναι τὸν αὐτόν, οὐ καλῶς λέγουσιν· πλήθει γὰρ καὶ ὀλιγότητι νομίζουσι διαφέρειν, ἀλλ' οὐκ εἴδει τούτων ἕκαστον, οἷον ἂν μὲν ὀλίγων, δεσπότην, ἂν δὲ πλειόνων, οἰκονόμον, ἂν δ' ἔτι πλειόνων, πολιτικὸν ἢ βασιλικόν, ὡς οὐδὲν διαφέρουσαν μεγάλην οἰκίαν ἢ μικρὰν πόλιν, καὶ πολιτικὸν δὲ καὶ βασιλικόν, ὅταν μὲν αὐτὸς ἐφεστήκῃ, βασιλικόν, ὅταν δὲ κατὰ λόγους τῆς ἐπιστήμης τῆς τοιαύτης, κατὰ μέρος ἄρχων καὶ ἀρχόμενος, πολιτικόν. ταῦτα δ' οὐκ ἔστιν ἀληθῆ. δῆλον δ' ἔσται τὸ λεγόμενον ἐπισκοποῦσι κατὰ τὴν ὑφηγημένην μέθοδον. ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις τὸ σύνθετον μέχρι τῶν ἀσυνθέτων ἀνάγκη διαιρεῖν (ταῦτα γὰρ ἐλάχιστα μόρια τοῦ παντός), οὕτω καὶ πόλιν ἐξ ὧν σύγκειται σκοποῦντες ὀψόμεθα καὶ περὶ τούτων μᾶλλον, τί τε διαφέρουσιν ἀλλήλων, καὶ εἴ τι τεχνικὸν ἐνδέχεται λαβεῖν περὶ ἕκαστον τῶν ῥηθέντων.

2 Εἰ δή τις ἐξ ἀρχῆς τὰ πράγματα φυόμενα βλέψειεν, ὥσπερ ἐν τοῖς ἄλλοις, καὶ ἐν τούτοις κάλλιστ' ἂν οὕτω θεωρήσειεν. ἀνάγκη δὴ πρῶτον συνδυάζεσθαι τοὺς ἄνευ ἀλλήλων μὴ δυναμένους εἶναι, οἷον θῆλυ μὲν καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν (καὶ τοῦτο οὐκ ἐκ προαιρέσεως, ἀλλ' ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτό, τοιοῦτον καταλιπεῖν ἕτερον), ἄρχον δὲ φύσει καὶ ἀρχόμενον διὰ τὴν σωτηρίαν· τὸ μὲν γὰρ δυνάμενον τῇ διανοίᾳ προορᾶν ἄρχον φύσει καὶ δεσπόζον φύσει, τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα ποιεῖν ἀρχόμενον καὶ φύσει δοῦλον. διὸ δεσπότῃ καὶ δούλῳ ταὐτὸ συμφέρει. φύσει μὲν

οὖν διώρισται τὸ θῆλυ καὶ τὸ δοῦλον. οὐθὲν γὰρ
ποιεῖ τοιοῦτον οἷον χαλκοτύποι τὴν Δελφικὴν μ
πενιχρῶς, ἀλλ' ἓν πρὸς ἕν· οὕτω γὰρ ἂν ἀποτελο
λιστα τῶν ὀργάνων ἕκαστον, μὴ πολλοῖς ἔργοις
δουλεῦον. ἐν δὲ τοῖς βαρβάροις τὸ θῆλυ καὶ δο
αὐτὴν ἔχει τάξιν. αἴτιον δ' ὅτι τὸ φύσει ἄρχον
σιν, ἀλλὰ γίνεται ἡ κοινωνία αὐτῶν δούλης καὶ δ
φασιν οἱ ποιηταὶ "βαρβάρων δ' Ἕλληνας ἄρχε
ὡς ταὐτὸ φύσει βάρβαρον καὶ δοῦλον ὄν. ἐκ μ
των τῶν δύο κοινωνιῶν οἰκία πρώτη, καὶ ὀρθῶς
εἶπε ποιήσας "οἶκον μὲν πρώτιστα γυναῖκά τε βο
τῆρα·" ὁ γὰρ βοῦς ἀντ' οἰκέτου τοῖς πένησίν ἐστ
οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατ
οἶκός ἐστιν, οὓς Χαρώνδας μὲν καλεῖ ὁμοσιπύους, Ἐ
δὲ ὁ Κρὴς ὁμοκάπους· ἡ δ' ἐκ πλειόνων οἰκιῶν
πρώτη χρήσεως ἕνεκεν μὴ ἐφημέρου κώμη. μάλ
κατὰ φύσιν ἔοικεν ἡ κώμη ἀποικία οἰκίας εἶναι·
λοῦσί τινες ὁμογάλακτας παῖδάς τε καὶ παίδων
διὸ καὶ τὸ πρῶτον ἐβασιλεύοντο αἱ πόλεις, καὶ νῦ
ἔθνη· ἐκ βασιλευομένων γὰρ συνῆλθον. πᾶσα γὰ
βασιλεύεται ὑπὸ τοῦ πρεσβυτάτου, ὥστε καὶ αἱ ἀπ
τὴν συγγένειαν. καὶ τοῦτ' ἐστὶν ὃ λέγει Ὅμηρος, "θε
δὲ ἕκαστος παίδων ἠδ' ἀλόχων." σποράδες γάρ· κ
τὸ ἀρχαῖον ᾤκουν. καὶ τοὺς θεοὺς δὲ διὰ τοῦτο πάντ
βασιλεύεσθαι, ὅτι καὶ αὐτοὶ οἱ μὲν ἔτι καὶ νῦν, οἱ δ
ἀρχαῖον ἐβασιλεύοντο· ὥσπερ δὲ καὶ τὰ εἴδη ἑαυτ
μοιοῦσιν οἱ ἄνθρωποι, οὕτω καὶ τοὺς βίους τῶν θεῶν. ἡ
πλειόνων κωμῶν κοινωνία τέλειος πόλις, ἡ δὴ πάσης
πέρας τῆς αὐταρκείας ὡς ἔπος εἰπεῖν, γινομένη μὲν
ζῆν ἕνεκεν, οὖσα δὲ τοῦ εὖ ζῆν. διὸ πᾶσα πόλις φύσ
εἴπερ καὶ αἱ πρῶται κοινωνίαι· τέλος γὰρ αὕτη ἐ
ἡ δὲ φύσις τέλος ἐστίν· οἷον γὰρ ἕκαστόν ἐστι τῆς γ
τελεσθείσης, ταύτην φαμὲν τὴν φύσιν εἶναι ἑκάστου,
ἀνθρώπου, ἵππου, οἰκίας. ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος

Codices $QI^{b}M^{b}Q^{b}S^{b}T^{b}U^{b}V^{b}W^{b}$.

10. εἴδη T^{b}. ‖ 14. ἐφεστήκει QT^{b}. ‖ 15. κατὰ τοὺς λόγους I^{b}. ‖ 18. γὰρ om M^{b}. ‖ 22. εἴ τι] ἔτι S^{b}. ‖ 26. συνδυάζεσ 30. τοιοῦτο M^{b}. ‖ ἄρχην T^{b}.

2. μάχειραν T^{b}. ‖ 14. χερώδας Q. ‖ ὁμοσιτίους corr M^{b}. ‖ 15. ὁμοκάπνους Parisiensis 1857. ‖ 19. ἐκβασιλεύοντο Q. ‖ 2 S^{b}. ‖ 31. κοινωνίαι om M^{b}. ‖ 32. γὰρ om S^{b}.

' αὐτάρκεια τέλος καὶ βέλτιςον. ἐκ τύτων οὖν
τι τῶν φύσει ἡ πόλις ἐστί, καὶ ὅτι ἄνθρωπος
ιτικὸν ζῷον, καὶ ὁ ἄπολις διὰ φύσιν καὶ ὐ διὰ
ι φαῦλός ἐστιν ἢ κρείττων ἢ ἄνθρωπος, ὥσπερ
Ὁμήρυ λοιδορηθεὶς "ἀφρήτωρ, ἀθέμιςος, ἀνέςιος."
φύσει τοιῦτος καὶ πολέμυ ἐπιθυμητής, ἅτε περ
ὥσπερ ἐν πεττοῖς. διότι δὲ πολιτικὸν ὁ ἄνθρωπος
ης μελίττης καὶ παντὸς ἀγελαίου ζῴυ μᾶλλον,
ν γάρ, ὡς φαμέν, μάτην ἡ φύσις ποιεῖ, λόγον
ἄνθρωπος ἔχει τῶν ζῴων. ἡ μὲν οὖν φωνὴ τοῦ
ὶ ἡδέος ἐςὶ σημεῖον, διὸ καὶ τοῖς ἄλλοις ὑπάρ-
μέχρι γὰρ τύτυ ἡ φύσις αὐτῶν ἐλήλυθεν, ὥςε
ι τοῦ λυπηροῦ καὶ ἡδέος καὶ ταῦτα σημαίνειν
ὁ δὲ λόγος ἐπὶ τῷ δηλῦν ἐςὶ τὸ συμφέρον καὶ
όν, ὥςε καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον. τῦτο γὰρ
α ζῷα τοῖς ἀνθρώποις ἴδιον, τὸ μόνον ἀγαθοῦ
καὶ δικαίου καὶ ἀδίκυ καὶ τῶν ἄλλων αἴσθησιν
δὲ τούτων κοινωνία ποιεῖ οἰκίαν καὶ πόλιν. καὶ
ἡ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαςος ἡμῶν ἐςίν.
λον πρότερον ἀναγκαῖον εἶναι τῦ μέρυς· ἀναιρυ-
τῦ ὅλυ ὐκ ἔςαι πῦς ὐδὲ χείρ, εἰ μὴ ὁμωνύμως,
τις λέγει τὴν λιθίνην· διαφθαρεῖσα γὰρ ἔσται
τάντα δὲ τῷ ἔργῳ ὥριςαι καὶ τῇ δυνάμει, ὥςε
αῦτα ὄντα ὐ λεκτέον τὰ αὐτὰ εἶναι, ἀλλ' ὁμω-
μὲν ὖν ἡ πόλις καὶ φύσει καὶ πρότερον ἢ ἕκα-
· εἰ γὰρ μὴ αὐτάρκης ἕκαςος χωρισθείς, ὁμοίως
ς μέρεσιν ἕξει πρὸς τὸ ὅλον· ὁ δὲ μὴ δυνάμε-
ῖν, ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν, ὐθὲν μέρος
ιστε ἢ θηρίον ἢ θεός. φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν
τὴν τοιαύτην κοινωνίαν· ὁ δὲ πρῶτος συςήσας
γαθῶν αἴτιος. ὥσπερ γὰρ καὶ τελεωθὲν βέλτι-
ῴων ἄνθρωπός ἐςιν, ὕτω καὶ χωρισθὲν νόμυ καὶ
ςον πάντων. χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα
δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ
ἐπὶ τἀναντία ἔςι χρῆσθαι μάλιςα. διὸ ἀνοσιώ-
ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια
χείριςον. ἡ δὲ δικαιοσύνη πολιτικόν· ἡ γὰρ δίκη
κοινωνίας τάξις ἐςίν· ἡ δὲ δίκη τῦ δικαίυ κρίσις.

Ἐπεὶ δὲ φανερὸν ἐξ ὧν μορίων ἡ πόλις συνέστηκεν, 3
ἀναγκαῖον περὶ οἰκονομίας εἰπεῖν πρότερον· πᾶσα γὰρ πό-
λις ἐξ οἰκιῶν σύγκειται. οἰκίας δὲ μέρη, ἐξ ὧν αὖθις οἰκία
συνίςαται· οἰκία δὲ τέλειος ἐκ δύλων καὶ ἐλευθέρων. ἐπεὶ
δ' ἐν τοῖς ἐλαχίςοις πρῶτον ἕκαστον ζητητέον, πρῶτα δὲ
καὶ ἐλάχιςα μέρη οἰκίας δεσπότης καὶ δοῦλος καὶ πόσις
καὶ ἄλοχος καὶ πατὴρ καὶ τέκνα, περὶ τριῶν ἂν τούτων
σκεπτέον εἴη τί ἕκαςον καὶ ποῖον δεῖ εἶναι. ταῦτα δ' ἐςὶ
δεσποτικὴ καὶ γαμική (ἀνώνυμον γὰρ ἡ γυναικὸς καὶ ἀν-
δρὸς σύζευξις) καὶ τρίτον τεκνοποιητική· καὶ γὰρ αὕτη ὐκ
ὠνόμαςαι ἰδίῳ ὀνόματι. ἔςωσαν δ' αὗται τρεῖς ἃς εἴπο-
μεν. ἔστι δέ τι μέρος ο δοκεῖ τοῖς μὲν εἶναι οἰκονομία,
τοῖς δὲ μέγιστον μέρος αὐτῆς· ὅπως δ' ἔχει, θεωρητέον.
λέγω δὲ περὶ τῆς καλουμένης χρηματιστικῆς. πρῶτον δὲ
περὶ δεσπότου καὶ δούλου εἴπωμεν, ἵνα τά τε πρὸς τὴν
ἀναγκαίαν χρείαν ἴδωμεν, κἂν εἴ τι πρὸς τὸ εἰδέναι περὶ
αὐτῶν δυναίμεθα λαβεῖν βέλτιον τῶν νῦν ὑπολαμβανομέ-
νων. τοῖς μὲν γὰρ δοκεῖ ἐπιςήμη τέ τις εἶναι ἡ δεσποτεία,
καὶ ἡ αὐτὴ οἰκονομία καὶ δεσποτεία καὶ πολιτικὴ καὶ βα-
σιλική, καθάπερ εἴπομεν ἀρχόμενοι· τοῖς δὲ παρὰ φύσιν
τὸ δεσπόζειν. νόμῳ γὰρ τὸν μὲν δῦλον εἶναι τὸν δ' ἐλεύ-
θερον, φύσει δ' ὐθὲν διαφέρειν. διόπερ ὐδὲ δίκαιον· βίαιον
γάρ. ἐπεὶ ὖν ἡ κτῆσις μέρος τῆς οἰκίας ἐςὶ καὶ ἡ κτητικὴ 4
μέρος τῆς οἰκονομίας (ἄνευ γὰρ τῶν ἀναγκαίων ἀδύνατον
καὶ ζῆν καὶ εὖ ζῆν), ὥσπερ δὲ ἐν ταῖς ὡρισμέναις τέχναις
ἀναγκαῖον ἂν εἴη ὑπάρχειν τὰ οἰκεῖα ὄργανα, εἰ μέλλει
ἀποτελεσθήσεσθαι τὸ ἔργον, ὕτω καὶ τῶν οἰκονομικῶν. τῶν
δ' ὀργάνων τὰ μὲν ἄψυχα τὰ δ' ἔμψυχα, οἷον τῷ κυ-
βερνήτῃ ὁ μὲν οἴαξ ἄψυχον, ὁ δὲ πρωρεὺς ἔμψυχον· ὁ
γὰρ ὑπηρέτης ἐν ὀργάνυ εἴδει ταῖς τέχναις ἐςίν. ὕτω καὶ
τὸ κτῆμα ὄργανον πρὸς ζωήν ἐστι, καὶ ἡ κτῆσις πλῆθος
ὀργάνων ἐςί, καὶ ὁ δῦλος κτῆμά τι ἔμψυχον, καὶ ὥσπερ
ὄργανον πρὸ ὀργάνων, πᾶς ὁ ὑπηρέτης. εἰ γὰρ ἠδύνατο
ἕκαςον τῶν ὀργάνων κελευσθὲν ἢ προαισθανόμενον ἀποτε-
λεῖν τὸ αὐτῦ ἔργον, ὥσπερ τὰ Δαιδάλυ φασὶν ἢ τὺς τοῦ
Ἡφαίςου τρίποδας, οὕς φησιν ὁ ποιητὴς αὐτομάτυς θεῖον
δύεσθαι ἀγῶνα, ὕτως αἱ κερκίδες ἐκέρκιζον αὐταὶ καὶ τὰ
πλῆκτρα ἐκιθάριζεν, οὐδὲν ἂν ἔδει οὔτε τοῖς ἀρχιτέκτοσιν

βέλτιςον om QM^bT^b. ‖ τέλος] καὶ τέλος I^b. ‖ 4. ὅσπερ S^b. ‖ 5. ἀφήρτωρ Q, ἀφήτωρ S^bT^b. ‖ 7. ἄζυξ ὤν] lacunam Q
τοῖς M^b. ‖ διὸ S^bT^b. ‖ 11. ἐςὶ — 13. ἡδέος om QS^bT^b. ‖ 12. προῆλθεν M^b. ‖ ὥςε αἰσθάνεσθαι τοῦ] τοῦ ἔχειν αἴσθησιν
σημαίνει M^b. ‖ 14. τῷ] τὸ S^b. ‖ 19. ἡ S^b. ‖ 22. τι T^b. ‖ λέγοι I^b. ‖ 25. καὶ ante φύσει om I^b. ‖ προτέρα QM^bT^b,
‖ 30. πρῶτον $QM^bS^bT^b$. ‖ 34. φαίνεται I^b.
κη QM^b. nam S^bT^b om quicquid est inter συνέςηκεν et 4. δὲ. ‖ 2. πρῶτον περὶ οἰκονομίας εἰπεῖν. πᾶσα γὰρ σύγκειται πό-
οἰκονομίας δὲ I^b. ‖ 9. καὶ ante γαμικὴ om M^b. ‖ 16. τις T^b. ‖ 19. καὶ ἡ δεσποτεία S^b. ‖ 25. δὲ om M^b. ‖ ἐν om
ν om M^b. ‖ 32. τις Q. ‖ 33. πρὸς S^b.

ὑπηρετῶν ὕτε τοῖς δεσπόταις δύλων. τὰ μὲν ὖν λεγόμενα ὄργανα ποιητικὰ ὄργανά ἐςι, τὸ δὲ κτῆμα πρακτικόν· ἀπὸ μὲν γὰρ τῆς κερκίδος ἕτερόν τι γίνεται παρὰ τὴν χρῆσιν αὐτῆς, ἀπὸ δὲ τῆς ἐσθῆτος καὶ τῆς κλίνης ἡ χρῆσις μόνον. ἔτι δ' ἐπεὶ διαφέρει ἡ ποίησις εἴδει καὶ ἡ πρᾶξις, δέονται δ' ἀμφότεραι ὀργάνων, ἀνάγκη καὶ ταῦτα τὴν αὐτὴν ἔχειν διαφοράν. ὁ δὲ βίος πρᾶξις, ὐ ποίησίς ἐςιν· διὸ καὶ ὁ δοῦλος ὑπηρέτης τῶν πρὸς τὴν πρᾶξιν. τὸ δὲ κτῆμα λέγεται ὥσπερ καὶ τὸ μόριον. τό τε γὰρ μόριον ὐ μόνον ἄλλυ ἐςὶ μόριον, ἀλλὰ καὶ ὅλως ἄλλυ· ὁμοίως δὲ καὶ τὸ κτῆμα. διὸ ὁ μὲν δεσπότης τῦ δύλυ δεσπότης μόνον, ἐκείνυ δ' ὐκ ἔςιν· ὁ δὲ δῦλος ὐ μόνον δεσπότυ δῦλός ἐςιν, ἀλλὰ καὶ ὅλως ἐκείνυ. τίς μὲν ὖν ἡ φύσις τῦ δύλυ καὶ τίς ἡ δύναμις, ἐκ τύτων δῆλον· ὁ γὰρ μὴ αὑτῦ φύσει ἀλλ' ἄλλυ, ἄνθρωπος δέ, ὗτος φύσει δῦλός ἐςιν. ἄλλυ δ' ἐςὶν ἄνθρωπος, ὃς ἂν κτῆμα ᾖ ἄνθρωπος ὤν. κτῆμα δὲ

5 ὄργανον πρακτικὸν καὶ χωριςόν. πότερον δ' ἐςί τις φύσει τοιῦτος ἢ ὔ, καὶ πότερον βέλτιον καὶ δίκαιόν τινι δυλεύειν ἢ οὔ, ἀλλὰ πᾶσα δουλεία παρὰ φύσιν ἐςί, μετὰ ταῦτα σκεπτέον. οὐ χαλεπὸν δὲ καὶ τῷ λόγῳ θεωρῆσαι καὶ ἐκ τῶν γινομένων καταμαθεῖν. τὸ γὰρ ἄρχειν καὶ ἄρχεσθαι ὐ μόνον τῶν ἀναγκαίων ἀλλὰ καὶ τῶν συμφερόντων ἐςί, καὶ εὐθὺς ἐκ γενετῆς ἔνια διέςηκε τὰ μὲν ἐπὶ τὸ ἄρχεσθαι τὰ δ' ἐπὶ τὸ ἄρχειν. καὶ εἴδη πολλὰ καὶ ἀρχόντων καὶ ἀρχομένων ἐςίν, καὶ ἀεὶ βελτίων ἡ ἀρχὴ ἡ τῶν βελτιόνων ἀρχομένων, οἷον ἀνθρώπυ ἢ θηρίυ. τὸ γὰρ ἀποτελούμενον ἀπὸ τῶν βελτιόνων βέλτιον ἔργον· ὅπου δὲ τὸ μὲν ἄρχει τὸ δ' ἄρχεται, ἐςί τι τύτων ἔργον. ὅσα γὰρ ἐκ πλειόνων συνέςηκε καὶ γίνεται ἕν τι κοινόν, εἴτε ἐκ συνεχῶν εἴτ' ἐκ διῃρημένων, ἐν ἅπασιν ἐμφαίνεται τὸ ἄρχον καὶ τὸ ἀρχόμενον. καὶ τῦτο ἐκ τῆς ἁπάσης φύσεως ἐνυπάρχει τοῖς ἐμψύχοις· καὶ γὰρ ἐν τοῖς μὴ μετέχυσι ζωῆς ἐστί τις ἀρχή, οἷον ἁρμονίας. ἀλλὰ ταῦτα μὲν ἴσως ἐξωτερικωτέρας ἐςὶ σκέψεως, τὸ δὲ ζῷον πρῶτον συνέςηκεν ἐκ ψυχῆς καὶ σώματος, ὧν τὸ μὲν ἄρχον ἐςὶ φύσει τὸ δ' ἀρχόμενον. δεῖ δὲ σκοπεῖν ἐν τοῖς κατὰ φύσιν ἔχυσι μᾶλλον τὸ φύσει, καὶ μὴ ἐν τοῖς διεφθαρμένοις. διὸ καὶ τὸν βέλτιςα διακείμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἄνθρωπον θεωρητέον, ἐν ᾧ τῦτο δῆλον· τῶν γὰρ μοχθηρῶν ἢ

μοχθηρῶς ἐχόντων δόξειεν ἂν ἄρχειν πολλάκις τὸ
τῆς ψυχῆς διὰ τὸ φαύλως καὶ παρὰ φύσιν ἔχει
δ' ὖν, ὥσπερ λέγομεν, πρῶτον ἐν ζῴῳ θεωρῆσαι
σποτικὴν ἀρχὴν καὶ πολιτικήν· ἡ μὲν γὰρ ψυχὴ
ματος ἄρχει δεσποτικὴν ἀρχήν, ὁ δὲ νῦς τῆς ὀρέξ
λιτικὴν καὶ βασιλικήν· ἐν οἷς φανερόν ἐςιν ὅτι κα
σιν καὶ συμφέρον τὸ ἄρχεσθαι τῷ σώματι ὑπὸ τ
χῆς καὶ τῷ παθητικῷ μορίῳ ὑπὸ τῦ νῦ καὶ τῦ μ
λόγον ἔχοντος, τὸ δ' ἐξ ἴσυ ἢ ἀνάπαλιν βλαβερὸν
πάλιν ἐν ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις ὡσαύτω
μὲν γὰρ ἥμερα τῶν ἀγρίων βελτίω τὴν φύσιν, τ
πᾶσι βέλτιον ἄρχεσθαι ὑπ' ἀνθρώπυ· τυγχάνει γ
τηρίας ὕτως. ἔτι δὲ τὸ ἄρρεν πρὸς τὸ θῆλυ φύσει
κρεῖττον τὸ δὲ χεῖρον, τὸ μὲν ἄρχον τὸ δ' ἀρχόμεν
αὐτὸν δὲ τρόπον ἀναγκαῖον εἶναι καὶ ἐπὶ πάντων
πων. ὅσοι μὲν ὖν τοσῦτον διεςᾶσιν ὅσον ψυχὴ σ
καὶ ἄνθρωπος θηρίυ (διάκεινται δὲ τῦτον τὸν τρόπον,
ἐςὶν ἔργον ἡ τῦ σώματος χρῆσις, καὶ τῦτ' ἔς' ἀπ'
βέλτιςον), οὗτοι μέν εἰσι φύσει δοῦλοι, οἷς βελτίω
ἄρχεσθαι ταύτην τὴν ἀρχήν, εἴπερ καὶ τοῖς εἰρημένοις
γὰρ φύσει δῦλος ὁ δυνάμενος ἄλλυ εἶναι (διὸ καὶ
ἐςίν) καὶ ὁ κοινωνῶν λόγυ τοσῦτον ὅσον αἰσθάνεσθαι
μὴ ἔχειν· τὰ γὰρ ἄλλα ζῷα ὐ λόγυ αἰσθανόμενα,
παθήμασιν ὑπηρετεῖ. καὶ ἡ χρεία δὲ παραλλάττει μ
ἡ γὰρ πρὸς τἀναγκαῖα τῷ σώματι βοήθεια γίνεται
ἀμφοῖν, παρά τε τῶν δύλων καὶ παρὰ τῶν ἡμέρων
βούλεται μὲν οὖν ἡ φύσις καὶ τὰ σώματα διαφ
ποιεῖν τὰ τῶν ἐλευθέρων καὶ τῶν δύλων, τὰ μὲν ἰσ
πρὸς τὴν ἀναγκαίαν χρῆσιν, τὰ δ' ὀρθὰ καὶ ἄχρηςα
τὰς τοιαύτας ἐργασίας, ἀλλὰ χρήσιμα πρὸς πολι
βίον (ὗτος δὲ καὶ γίνεται διῃρημένος εἴς τε τὴν πολεμ
χρείαν καὶ τὴν εἰρηνικήν), συμβαίνει δὲ πολλάκις κα
ναντίον, τὺς μὲν τὰ σώματ' ἔχειν ἐλευθέρων τὺς δ
ψυχάς· ἐπεὶ τῦτό γε φανερόν, ὡς εἰ τοσῦτον γένοιτο
φοροι τὸ σῶμα μόνον ὅσον αἱ τῶν θεῶν εἰκόνες, τὺς
λειπομένυς πάντες φαῖεν ἂν ἀξίυς εἶναι τύτοις δυλ
εἰ δ' ἐπὶ τοῦ σώματος τῦτ' ἀληθές, πολὺ δικαιότερ
τῆς ψυχῆς τοῦτο διωρίσθαι· ἀλλ' ὐχ ὁμοίως ῥᾴδιον
τό τε τῆς ψυχῆς κάλλος καὶ τὸ τοῦ σώματος. ὅτι

6. δέονται δ'] καὶ δέονται I^b. ‖ 16. ᾖ ἄνθρωπος] ᾖ δοῦλος QI^b et pr M^b. ‖ 32. μήτε M^b. ‖ 37. βελτίονα M^b. ‖ 3
καὶ S^b.

7. τὸ] τῷ S^b. ‖ 12. βέλτιον πᾶσι M^b. ‖ 15. πάντων τῶν ἀνθρώπων M^b. ‖ 16. διεςᾶσιν — 17. τῦτον om S^b. ‖ 17. δὲ om et pr I^b. ‖ 18. ἔς'] ἔςαι S^b. ‖ 28. ποιεῖ $QM^bS^bT^b$ et pr I^b. ‖ τὰ om S^b. ‖ τὰ] καὶ τὰ I^b. ‖ 33. ἐλευθέρων I^b. ‖ 37. ἐν δ' ἐπὶ τῆς T^b.

εἰσὶ φύσει τινὲς οἱ μὲν ἐλεύθεροι οἱ δὲ δȣ̃λοι, φα- οῖς καὶ συμφέρει τὸ δουλεύειν καὶ δίκαιόν ἐστιν. καὶ οἱ τἀναντία φάσκοντες τρόπον τινὰ λέγουσιν ȣ̓ χαλεπὸν ἰδεῖν. διχῶς γὰρ λέγεται τὸ δȣλεύειν δοῦλος. ἔστι γάρ τις καὶ κατὰ νόμον δοῦλος καὶ ν· ὁ γὰρ νόμος ὁμολογία τίς ἐϛιν, ἐν ᾧ τὰ κατὰ ν κρατȣ́μενα τῶν κρατȣ́ντων εἶναί φασιν. τȣ̃το δὴ ιον πολλοὶ τῶν ἐν τοῖς νόμοις ὥσπερ ῥήτορα γρά- παρανόμων, ὡς δεινὸν εἰ τȣ̃ βιάσασθαι δυναμένȣ τὰ δύναμιν κρείττονος ἔϛαι δοῦλον καὶ ἀρχόμενον σθέν. καὶ τοῖς μὲν ȣ̔́τω δοκεῖ τοῖς δ᾽ ἐκείνως, καὶ φῶν. αἴτιον δὲ ταύτης τῆς ἀμφισβητήσεως, καὶ ὃ ȣ̀ς λόγȣς ἐπαλλάττειν, ὅτι τρόπον τινὰ ἀρετὴ τυγ- α χορηγίας καὶ βιάζεσθαι δύναται μάλιστα, καὶ ὶ τὸ κρατȣ̃ν ἐν ὑπεροχῇ ἀγαθȣ̃ τινός, ὥστε δοκεῖν υ ἀρετῆς εἶναι τὴν βίαν, ἀλλὰ περὶ τȣ̃ δικαίȣ μό- ι τὴν ἀμφισβήτησιν. διὰ γὰρ τȣ̃το τοῖς μὲν εὔνοια ὸ δίκαιον εἶναι, τοῖς δ᾽ αὐτὸ τȣ̃το δίκαιον, τὸ τὸν να ἄρχειν, ἐπεὶ διαϛάντων γε χωρὶς τȣ́των τῶν λό- ᾽ ἰσχυρὸν ȣ̓θὲν ἔχȣσιν ȣ̓́τε πιθανὸν ἅτεροι λόγοι, ὡς τὸ βέλτιον κατ᾽ ἀρετὴν ἄρχειν καὶ δεσπόζειν. ὅλως χόμενοί τινες, ὡς οἴονται, δικαίȣ τινός (ὁ γὰρ νόμος τι) τὴν κατὰ πόλεμον δουλείαν τιθέασι δικαίαν, ᾽ οὔ φασιν. τήν τε γὰρ ἀρχὴν ἐνδέχεται μὴ δι- εἶναι τῶν πολέμων, καὶ τὸν ἀνάξιον δȣλεύειν ȣ̓δα- ν φαίη τις δȣ̃λον εἶναι· εἰ δὲ μή, συμβήσεται τȣ̀ς άτȣς εἶναι δοκȣ̃ντας δȣ́λȣς εἶναι καὶ ἐκ δȣ́λων, ἐὰν πραθῆναι ληφθέντας. διόπερ αὐτοὺς οὐ βούλονται δȣ́λȣς, ἀλλὰ τȣ̀ς βαρβάρȣς. καίτοι ὅταν τȣ̃το λέ- οὐθὲν ἄλλο ζητοῦσιν ἢ τὸ φύσει δοῦλον, ὅπερ ἐξ εἴπομεν· ἀνάγκη γὰρ εἶναί τινας φάναι τοὺς μὲν χȣ̃ δȣ́λȣς τοὺς δ᾽ ȣ̓δαμȣ̃. τὸν αὐτὸν δὲ τρόπον καὶ γενείας· αὐτȣ̀ς μὲν γὰρ ȣ̓ μόνον παρ᾽ αὐτοῖς εὐγε- λὰ πανταχȣ̃ νομίζȣσιν, τȣ̀ς δὲ βαρβάρȣς οἴκοι μό- ς ὄν τι τὸ μὲν ἁπλῶς εὐγενὲς καὶ ἐλεύθερον τὸ δ᾽ πλῶς, ὥσπερ ἡ Θεοδέκτȣ Ἑλένη φησὶ

θείων δ᾽ ἀπ᾽ ἀμφοῖν ἔκγονον ῥιζωμάτων
τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν;

ὲ τȣ̃το λέγωσιν, ȣ̓θενὶ ἀλλ᾽ ἢ ἀρετῇ καὶ κακίᾳ διο- ι τὸ δοῦλον καὶ ἐλεύθερον καὶ τȣ̀ς εὐγενεῖς καὶ τȣ̀ς δυσγενεῖς. ἀξιȣ̃σι γάρ, ὥσπερ ἐξ ἀνθρώπου ἄνθρωπον καὶ ἐκ θηρίων γίνεσθαι θηρίον, ȣ̔́τω καὶ ἐξ ἀγαθῶν ἀγαθόν· ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν πολλάκις, οὐ μέντοι δύναται. ὅτι μὲν οὖν ἔχει τινὰ λόγον ἡ ἀμφισβήτησις, καὶ ȣ̓κ εἰσὶν οἱ μὲν φύσει δοῦλοι οἱ δ᾽ ἐλεύθεροι, δῆλον· καὶ ὅτι ἔν τισι διώριϛαι τὸ τοιȣ̃τον, ὧν συμφέρει τῷ μὲν τὸ δȣλεύειν τῷ δὲ τὸ δεσπόζειν, καὶ δίκαιον, καὶ δεῖ τὸ μὲν ἄρχεσθαι τὸ δ᾽ ἄρχειν, ἣν πεφύκασιν ἀρχὴν ἄρχειν, ὥϛε καὶ δεσπόζειν. τὸ δὲ κακῶς ἀσυμφόρως ἐϛὶν ἀμφοῖν· τὸ γὰρ αὐτὸ συμφέρει τῷ μέρει καὶ τῷ ὅλῳ καὶ σώματι καὶ ψυχῇ, ὁ δὲ δοῦλος μέρος τι τȣ̃ δεσπότȣ, οἷον ἔμψυχόν τι τοῦ σώματος κεχωρισμένον δὲ μέρος. διὸ καὶ συμφέρον ἐϛί τι καὶ φιλία δȣ́λῳ καὶ δεσπότῃ πρὸς ἀλλήλους τοῖς φύσει τούτων ἠξιωμένοις· τοῖς δὲ μὴ τοῦτον τὸν τρόπον, ἀλλὰ κατὰ νόμον καὶ βιασθεῖσι, τοὐναντίον.

Φανερὸν δὲ καὶ ἐκ τȣ́των ὅτι ȣ̓ ταὐτόν ἐϛι δεσποτεία 7 καὶ πολιτική, ȣ̓δὲ πᾶσαι ἀλλήλαις αἱ ἀρχαί, ὥσπερ τινές φασιν. ἡ μὲν γὰρ ἐλευθέρων φύσει ἡ δὲ δȣ́λων ἐϛίν, καὶ ἡ μὲν οἰκονομικὴ μοναρχία (μοναρχεῖται γὰρ πᾶς οἶκος), ἡ δὲ πολιτικὴ ἐλευθέρων καὶ ἴσων ἀρχή. ὁ μὲν ȣ̓̃ν δεσπότης οὐ λέγεται κατ᾽ ἐπιστήμην, ἀλλὰ τῷ τοιόσδ᾽ εἶναι· ὁμοίως δὲ καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος. ἐπιϛήμη δ᾽ ἂν εἴη καὶ δεσποτικὴ καὶ δουλική, δȣλικὴ μὲν οἵαν περ ὁ ἐν Συρακούσαις ἐπαίδευεν· ἐκεῖ γὰρ λαμβάνων τις μισθὸν ἐδίδασκε τὰ ἐγκύκλια διακονήματα τοὺς παῖδας. εἴη δ᾽ ἂν καὶ ἐπὶ πλεῖον τῶν τοιούτων μάθησις, οἷον ὀψοποιικὴ καὶ τἆλλα τὰ τοιαῦτα γένη τῆς διακονίας. ἔϛι γὰρ ἕτερα ἑτέρων τὰ μὲν ἐντιμότερα ἔργα τὰ δ᾽ ἀναγκαιότερα, καὶ κατὰ τὴν παροιμίαν δοῦλος πρὸ δούλȣ, δεσπότης πρὸ δεσπότȣ. αἱ μὲν ȣ̓̃ν τοιαῦται πᾶσαι δȣλικαὶ ἐπιϛῆμαί εἰσι, δεσποτικὴ δ᾽ ἐπιϛήμη ἐϛὶν ἡ χρηϛικὴ δούλων· ὁ γὰρ δεσπότης ȣ̓κ ἐν τῷ κτᾶσθαι τȣ̀ς δȣ́λȣς, ἀλλ᾽ ἐν τῷ χρῆσθαι δούλοις. ἔϛι δ᾽ αὕτη ἡ ἐπιϛήμη οὐδὲν μέγα ἔχȣσα οὐδὲ σεμνόν· ἃ γὰρ τὸν δοῦλον ἐπίϛασθαι δεῖ ποιεῖν, ἐκεῖνον δεῖ ταῦτα ἐπίϛασθαι ἐπιτάττειν. διὸ ὅσοις ἐξȣσία μὴ αὐτοὺς κακοπαθεῖν, ἐπίτροπος λαμβάνει ταύτην τὴν τιμήν, αὐτοὶ δὲ πολιτεύονται ἢ φιλοσοφȣ̃σιν. ἡ δὲ κτητικὴ ἑτέρα ἀμφοτέρων τȣ́των, οἷον ἡ δικαία, πολεμική τις ȣ̓̃σα ἢ θηρευτική. περὶ μὲν οὖν δȣ́λȣ καὶ δεσπότȣ τȣ̃τον διωρίσθω τὸν τρόπον.

καὶ post τις om M^b. ‖ 7. δὲ M^b. ‖ 8. γράφοντα S^b. ‖ 9. εἰ] οἱ T^b. ‖ 20. ἕτεροι M^b, ἄπροι S^b. ‖ 24. ἅμα] ὅλως M^b τε om M^b. ‖ 33. αὑτοῖς S^bT^b et pr I^b. ‖ 36. ἡ] καὶ ἡ M^b. ‖ 37. ἐκγόνοι S^bT^b, ἐκ γόνοιν QI^bM^b.
γενέσθαι QT^b. ‖ 7. τὸ post δὲ om $QI^bS^bT^b$. ‖ 17. πολιτικῇ T^b. ‖ 23. καὶ alterum om QS^bT^b. ‖ δȣλική om Q. ‖ ὁ om 27. ἕτερα] ἔργα QS^bT^b. ‖ 33. ἡ om QS^bT^b. ‖ οὐδὲ] οὐδὲν S^b. ‖ 34. ἐπίϛασθαι — 35. ἐπίϛασθαι om Q. ‖ 39. διωρίσαντο Q ρήσαντο S^b.

8 Ὅλως δὲ περὶ πάσης κτήσεως καὶ χρηματιστικῆς θεωρήσωμεν κατὰ τὸν ὑφηγημένον τρόπον, ἐπείπερ καὶ ὁ δοῦλος τῆς κτήσεως μέρος τι ἦν. πρῶτον μὲν οὖν ἀπορήσειεν ἄν τις πότερον ἡ χρηματιστικὴ ἡ αὐτὴ τῇ οἰκονομικῇ ἐστὶν ἢ μέρος τι ἢ ὑπηρετική, καὶ εἰ ὑπηρετική, πότερον ὡς ἡ κερκιδοποιικὴ τῇ ὑφαντικῇ ἢ ὡς ἡ χαλκουργικὴ τῇ ἀνδριαντοποιίᾳ· οὐ γὰρ ὡσαύτως ὑπηρετοῦσιν, ἀλλ' ἡ μὲν ὄργανα παρέχει, ἡ δὲ τὴν ὕλην. λέγω δὲ ὕλην τὸ ὑποκείμενον, ἐξ οὗ τι ἀποτελεῖται ἔργον, οἷον ὑφάντῃ μὲν ἔρια, ἀνδριαντοποιῷ δὲ χαλκόν. ὅτι μὲν οὖν οὐχ ἡ αὐτὴ ἡ οἰκονομικὴ τῇ χρηματιστικῇ, δῆλον. τῆς μὲν γὰρ τὸ πορίσασθαι, τῆς δὲ τὸ χρήσασθαι· τίς γὰρ ἔσται ἡ χρησομένη τοῖς κατὰ τὴν οἰκίαν παρὰ τὴν οἰκονομικήν; πότερον δὲ μέρος αὐτῆς ἐστί τι ἢ ἕτερον εἶδος, ἔχει διαμφισβήτησιν. εἰ γάρ ἐστι τοῦ χρηματιστικοῦ θεωρῆσαι πόθεν χρήματα καὶ κτῆσις ἔσται, ἡ δὲ κτῆσις πολλὰ περιείληφε μέρη καὶ ὁ πλοῦτος, ὥστε πρῶτον ἡ γεωργικὴ πότερον μέρος τι τῆς χρηματιστικῆς ἢ ἕτερόν τι γένος, καὶ καθόλου ἡ περὶ τὴν τροφὴν ἐπιμέλεια καὶ κτῆσις; ἀλλὰ μὴν εἴδη γε πολλὰ τροφῆς, διὸ καὶ βίοι πολλοὶ καὶ τῶν ζῴων καὶ τῶν ἀνθρώπων εἰσίν· οὐ γὰρ οἷόν τε ζῆν ἄνευ τροφῆς, ὥστε αἱ διαφοραὶ τῆς τροφῆς τοὺς βίους πεποιήκασι διαφέροντας τῶν ζῴων. τῶν τε γὰρ θηρίων τὰ μὲν ἀγελαῖα τὰ δὲ σποραδικά ἐστιν, ὁποτέρως συμφέρει πρὸς τὴν τροφὴν αὐτοῖς, διὰ τὸ τὰ μὲν ζῳοφάγα τὰ δὲ καρποφάγα τὰ δὲ παμφάγα αὐτῶν εἶναι· ὥστε πρὸς τὰς ῥαστώνας καὶ τὴν αἵρεσιν τὴν τούτων ἡ φύσις τοὺς βίους αὐτῶν διώρισεν. ἐπεὶ δ' οὐ ταὐτὸ ἑκάστῳ ἡδὺ κατὰ φύσιν ἀλλ' ἕτερα ἑτέροις, καὶ αὐτῶν τῶν ζῳοφάγων καὶ τῶν καρποφάγων οἱ βίοι πρὸς ἄλληλα διεστᾶσιν. ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων· πολὺ γὰρ διαφέρουσιν οἱ τούτων βίοι. οἱ μὲν οὖν ἀργότατοι νομάδες εἰσίν· ἡ γὰρ ἀπὸ τῶν ἡμέρων τροφὴ ζῴων ἄνευ πόνου γίνεται σχολάζουσιν· ἀναγκαίου δ' ὄντος μεταβάλλειν τοῖς κτήνεσι διὰ τὰς νομὰς καὶ αὐτοὶ ἀναγκάζονται συνακολουθεῖν, ὥσπερ γεωργίαν ζῶσαν γεωργοῦντες. οἱ δ' ἀπὸ θήρας ζῶσι, καὶ θήρας ἕτεροι ἑτέρας, οἷον οἱ μὲν ἀπὸ λῃστείας, οἱ δ' ἀφ' ἁλιείας, ὅσοι λίμνας καὶ ἕλη καὶ ποταμοὺς ἢ θάλατταν τοιαύτην προσοικοῦσιν, οἱ δ' ἀπ' ὀρνίθων ἢ θηρίων ἀγρίων. τὸ δὲ πλεῖστον γένος τῶν ἀνθρώπων ἀπὸ τῆς γῆς ζῇ καὶ τῶν ἡμέρων καρπῶν. οἱ μὲν οὖν βίοι τοσοῦτοι σχεδον εἰσιν, ὅσοι γε αὐτόφυτον ἔχουσι τὴν ἐργασίαν καὶ μὴ δι' ἀλλαγῆς καὶ κα-

πηλείας πορίζονται τὴν τροφήν, νομαδικός, γεωργικ
στρικός, ἁλιευτικός, θηρευτικός· οἱ δὲ καὶ μιγνύντες
των ἡδέως ζῶσι, προσαναπληροῦντες τὸν ἐνδεέστατον
τυγχάνει ἐλλείπων πρὸς τὸ αὐτάρκης εἶναι, οἷον
νομαδικὸν ἅμα καὶ λῃστρικόν, οἱ δὲ γεωργικὸν καὶ
τικόν. ὁμοίως δὲ καὶ περὶ τοὺς ἄλλους, ὡς ἂν ἡ
συναναγκάζῃ, τοῦτον τὸν τρόπον διάγουσιν. ἡ μὲν οὖν
κτῆσις ὑπ' αὐτῆς φαίνεται τῆς φύσεως διδομένη
ὥσπερ κατὰ τὴν πρώτην γένεσιν εὐθύς, οὕτω καὶ
θεῖσιν. καὶ γὰρ κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν τὰ μὲν
τίκτει τῶν ζῴων τοσαύτην τροφὴν ὡς ἱκανὴν εἶναι
οὗ ἂν δύνηται αὐτὸ αὑτῷ πορίζειν τὸ γεννηθέν, ο
σκωληκοτοκεῖ ἢ ᾠοτοκεῖ· ὅσα δὲ ζῳοτοκεῖ, τοῖς γε
ἔχει τροφὴν ἐν αὑτοῖς μέχρι τινός, τὴν τοῦ καλουμ
λακτος φύσιν. ὥστε ὁμοίως δῆλον ὅτι καὶ γενομέν
τέον τά τε φυτὰ τῶν ζῴων ἕνεκεν εἶναι καὶ τἆλλ
τῶν ἀνθρώπων χάριν, τὰ μὲν ἥμερα καὶ διὰ τὴν
καὶ διὰ τὴν τροφήν, τῶν δ' ἀγρίων, εἰ μὴ πάντα,
τά γε πλεῖστα τῆς τροφῆς καὶ ἄλλης βοηθείας ἕνε
καὶ ἐσθὴς καὶ ἄλλα ὄργανα γίνηται ἐξ αὐτῶν. εἰ
φύσις μηθὲν μήτε ἀτελὲς ποιεῖ μήτε μάτην, ἀνα
τῶν ἀνθρώπων ἕνεκεν αὐτὰ πάντα πεποιηκέναι τὴν
διὸ καὶ ἡ πολεμικὴ φύσει κτητική πως ἔσται. ἡ γ
ρευτικὴ μέρος αὐτῆς, ᾗ δεῖ χρῆσθαι πρός τε τὰ θηρί
τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσ
φύσει δίκαιον τοῦτον ὄντα τὸν πόλεμον. ἓν μὲν οὖν
κτητικῆς κατὰ φύσιν τῆς οἰκονομικῆς μέρος ἐστίν·
ἤτοι ὑπάρχειν ἢ πορίζειν αὐτὴν ὅπως ὑπάρχῃ, ὧν ἐ
σαυρισμὸς χρημάτων πρὸς ζωὴν ἀναγκαίων καὶ χρ
εἰς κοινωνίαν πόλεως ἢ οἰκίας. καὶ ἔοικεν ὅ γ' ἀλ
πλοῦτος ἐκ τούτων εἶναι. ἡ γὰρ τῆς τοιαύτης κ
αὐτάρκεια πρὸς ἀγαθὴν ζωὴν οὐκ ἄπειρός ἐστιν, ὥσπε
λων φησὶ ποιήσας "πλούτου δ' οὐθὲν τέρμα πεφασμέν
δράσι κεῖται." κεῖται γὰρ ὥσπερ καὶ ταῖς ἄλλαις τέ
οὐδὲν γὰρ ὄργανον ἄπειρον οὐδεμιᾶς ἐστὶ τέχνης οὔτε
οὔτε μεγέθει, ὁ δὲ πλοῦτος ὀργάνων πλῆθός ἐστι
μικῶν καὶ πολιτικῶν. ὅτι μὲν τοίνυν ἔστι τις κ
κατὰ φύσιν τοῖς οἰκονόμοις καὶ τοῖς πολιτικοῖς, κ
ἣν αἰτίαν, δῆλον.

Ἔστι δὲ γένος ἄλλο κτητικῆς, ἣν μάλιστα κα
καὶ δίκαιον αὐτὸ καλεῖν, χρηματιστικήν, δι' ἣν οὐδὲ

1. χρηματικῆς T^b. ‖ 3. κτίσεως T^b. ‖ 10. ἡ post αὐτὴ add rc I^b. ‖ 13. περὶ S^bT^b. ‖ 16. κτίσις T^b. ‖ 23. γὰρ om
30. πολλοὶ S^bT^b. ‖ 36. ἀλείας plerique. ‖ 40. αὐτόφυγον Q.
7. ἀναγκάζη I^b. ‖ 14. τὴν] τοῦ T^b. ‖ 26. πόλεμοι] πόλεμον πρῶτον rc I^b. ‖ 32. ἀγαθῶν $QI^bS^bT^b$.

μὴ τὸ εὖ ζῆν· εἰς ἄπειρον οὖν ἐκείνης τῆς ἐπιθυμίας οὔσης, καὶ τῶν ποιητικῶν ἀπείρων ἐπιθυμοῦσιν. ὅσοι δὲ καὶ τοῦ εὖ ζῆν ἐπιβάλλονται, τὸ πρὸς τὰς ἀπολαύσεις τὰς σωματικὰς ζητοῦσιν, ὥςʼ ἐπεὶ καὶ τοῦτʼ ἐν τῇ κτήσει φαίνεται ὑπάρχειν, πᾶσα ἡ διατριβὴ περὶ τὸν χρηματισμόν ἐςι, καὶ τὸ ἕτερον εἶδος τῆς χρηματιςικῆς διὰ τοῦτʼ ἐλήλυθεν. ἐν ὑπερβολῇ γὰρ οὔσης τῆς ἀπολαύσεως, τὴν τῆς ἀπολαυστικῆς ὑπερβολῆς ποιητικὴν ζητοῦσιν· κἂν μὴ διὰ τῆς χρηματιςικῆς δύνωνται πορίζειν, διʼ ἄλλης αἰτίας τοῦτο πειρῶνται, ἑκάστῃ χρώμενοι τῶν δυνάμεων οὐ κατὰ φύσιν. ἀνδρίας γὰρ οὐ χρήματα ποιεῖν ἐςὶν ἀλλὰ θάρσος, οὐδὲ ςρατηγικῆς καὶ ἰατρικῆς, ἀλλὰ τῆς μὲν νίκην τῆς δʼ ὑγίειαν. οἱ δὲ πάσας ποιοῦσι χρηματιςικάς, ὡς τοῦτο τέλος ὄν, πρὸς δὲ τὸ τέλος ἅπαντα δέον ἀπαντᾶν. περὶ μὲν οὖν τῆς τε μὴ ἀναγκαίας χρηματιςικῆς, καὶ τίς, καὶ διʼ αἰτίαν τίνα ἐν χρείᾳ ἐσμὲν αὐτῆς, εἴρηται· καὶ περὶ τῆς ἀναγκαίας, ὅτι ἑτέρα μὲν αὐτῆς οἰκονομικὴ δὲ κατὰ φύσιν ἡ περὶ τὴν τροφήν, οὐχ ὥσπερ αὐτὴ ἄπειρος, ἀλλʼ ἔχουσα ὅρον.

10 Δῆλον δὲ καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς, πότερον τοῦ οἰκονομικοῦ καὶ πολιτικοῦ ἐςὶν ἡ χρηματιςικὴ ἢ οὔ, ἀλλὰ δεῖ τοῦτο μὲν ὑπάρχειν· ὥσπερ γὰρ καὶ ἀνθρώπους οὐ ποιεῖ ἡ πολιτική, ἀλλὰ λαβοῦσα παρὰ τῆς φύσεως χρῆται αὐτοῖς, οὕτω καὶ τροφὴν τὴν φύσιν δεῖ παραδοῦναι γῆν ἢ θάλατταν ἢ ἄλλο τι· ἐκ δὲ τούτων, ὡς δεῖ, ταῦτα διαθεῖναι προσήκει τὸν οἰκονόμον. οὐ γὰρ τῆς ὑφαντικῆς ἔρια ποιῆσαι, ἀλλὰ χρήσασθαι αὐτοῖς, καὶ γνῶναι δὲ τὸ ποῖον χρηςὸν καὶ ἐπιτήδειον ἢ φαῦλον καὶ ἀνεπιτήδειον. καὶ γὰρ ἀπορήσειεν ἄν τις διὰ τί ἡ μὲν χρηματιστικὴ μόριον τῆς οἰκονομίας, ἡ δʼ ἰατρικὴ οὐ μόριον· καίτοι δεῖ ὑγιαίνειν τοὺς κατὰ τὴν οἰκίαν, ὥσπερ ζῆν ἢ ἄλλο τι τῶν ἀναγκαίων. ἐπεὶ δʼ ἔςι μὲν ὡς τοῦ οἰκονόμου καὶ τοῦ ἄρχοντος καὶ περὶ ὑγιείας ἰδεῖν, ἔςι δʼ ὡς οὔ, ἀλλὰ τοῦ ἰατροῦ, οὕτω καὶ περὶ τῶν χρημάτων ἔςι μὲν ὡς τοῦ οἰκονόμου, ἔςι δʼ ὡς οὔ, ἀλλὰ τῆς ὑπηρετικῆς· μάλιςα δέ, καθάπερ εἴρηται πρότερον, δεῖ φύσει τοῦτο ὑπάρχειν. φύσεως γάρ ἐςιν ἔργον τροφὴν τῷ γεννηθέντι παρέχειν· παντὶ γάρ ἐξ οὗ γίνεται, τροφὴ τὸ λειπόμενόν ἐστιν. διὸ κατὰ φύσιν ἐστὶν ἡ χρηματιστικὴ πᾶσιν ἀπὸ τῶν καρπῶν καὶ τῶν ζῴων. διπλῆς δʼ οὔσης αὐτῆς, ὥσπερ εἴπομεν, καὶ τῆς μὲν καπηλικῆς τῆς δʼ οἰκονομικῆς, καὶ ταύτης μὲν ἀναγκαίας καὶ ἐπαινουμένης, τῆς

δὲ μεταβλητικῆς ψεγομένης δικαίως (οὐ γὰρ κα
ἀλλʼ ἀπʼ ἀλλήλων ἐςίν), εὐλογώτατα μισεῖται
ςατικὴ διὰ τὸ ἀπʼ αὐτοῦ τοῦ νομίσματος εἶναι τ
καὶ οὐκ ἐφʼ ὅπερ ἐπορίσθη. μεταβολῆς γὰρ ἐγένε
ὁ δὲ τόκος αὐτὸ ποιεῖ πλέον. ὅθεν καὶ τοὔνομα τοῦτʼ
ὅμοια γὰρ τὰ τικτόμενα τοῖς γεννῶσιν αὐτά ἐσ
τοκος γίνεται νόμισμα νομίσματος· ὥςε καὶ μάλ
φύσιν οὗτος τῶν χρηματισμῶν ἐστίν.

Ἐπεὶ δὲ τὰ πρὸς τὴν γνῶσιν διωρίκαμεν ἱκ
πρὸς τὴν χρῆσιν δεῖ διελθεῖν. πάντα δὲ τὰ τοι
μὲν θεωρίαν ἐλεύθερον ἔχει, τὴν δʼ ἐμπειρίαν ἀ
ἔςι δὲ χρηματιςικῆς μέρη χρήσιμα τὸ περὶ τὰ
ἔμπειρον εἶναι, ποῖα λυσιτελέςατα καὶ ποῦ καὶ
ἵππων κτῆσις ποία τις ἢ βοῶν ἢ προβάτων, ὁμοί
τῶν λοιπῶν ζῴων. δεῖ γὰρ ἔμπειρον εἶναι πρὸς
τε τούτων τίνα λυσιτελέςατα, καὶ ποῖα ἐν ποίοι
ἄλλα γὰρ ἐν ἄλλαις εὐθηνεῖ χώραις. εἶτα περὶ
καὶ ταύτης ἤδη ψιλῆς τε καὶ πεφυτευμένης, κ
τουργίας, καὶ τῶν ἄλλων ζῴων τῶν πλωτῶν ἢ πτη
ὅσων ἔςι τυγχάνειν βοηθείας. τῆς μὲν οὖν οἰκειοτά
ματιςικῆς ταῦτα μόρια καὶ πρῶτα, τῆς δὲ μετα
μέγιστον μὲν ἐμπορία (καὶ ταύτης μέρη τρία, ν
φορτηγία παράςασις· διαφέρει δὲ τούτων ἕτερα ἑ
τὰ μὲν ἀσφαλέςερα εἶναι, τὰ δὲ πλείω πορίζει
καρπίαν), δεύτερον δὲ τοκισμός, τρίτον δὲ μισθαρνία
της δʼ ἡ μὲν τῶν βαναύσων τεχνῶν, ἡ δὲ τῶν
καὶ τῷ σώματι μόνῳ χρησίμων. τρίτον δὲ εἶδος
τιςικῆς μεταξὺ ταύτης καὶ τῆς πρώτης. ἔχει γὰρ
κατὰ φύσιν τι μέρος καὶ τῆς μεταβλητικῆς, ὅσα ἀ
καὶ τῶν ἀπὸ γῆς γινομένων, ἀκάρπων μὲν χρησίμ
οἷον ὑλοτομία τε καὶ πᾶσα μεταλλευτική. αὕτη δὲ
ἤδη περιείληφε γένη· πολλὰ γὰρ εἴδη τῶν ἐκ γῆς μ
λευομένων ἐςίν. περὶ ἑκάςου δὲ τούτων καθόλου μὲν
καὶ νῦν, τὸ δὲ κατὰ μέρος ἀκριβολογεῖσθαι χρήσιμ
πρὸς τὰς ἐργασίας, φορτικὸν δὲ τὸ ἐνδιατρίβειν.
τεχνικώταται μὲν τῶν ἐργασιῶν ὅπου ἐλάχιςον τῆς
βαναυσόταται δʼ ἐν αἷς τὰ σώματα λωβῶνται μά
δουλικώταται δὲ ὅπου τοῦ σώματος πλεῖςαι χρήσεις, ἀ
ςαται δὲ ὅπου ἐλάχιςον προσδεῖ ἀρετῆς. ἐπεὶ δʼ ἐςὶν
γεγραμμένα περὶ τούτων, οἷον Χάρητι δὴ τῷ Παρ

8. χρηματικῆς Q. ‖ 17. αὐτοῖς T^b. ‖ ἢ S^bT^b. ‖ 20. χρηματικὴ I^b. ‖ 21. ποιεῖν Q. ‖ 32. ἀλλὰ — 33. οὐ om S^bT^b. ‖ 3 ἰατρικῆς Q. ‖ 33. χρηματιςικοῦ, omisso τῶν, Q. ‖ 34. τῆς] τῆς κέρδους Q.

1. δικαίας T^b. ‖ 10. τὰ om S^b. ‖ 18. ταύτῃ S^bT^b. ‖ 20. ὅσον T^b. ‖ οὖν om S^bT^b. ‖ 26. ἡ δὲ τῶν ἀτέχνων om I^b. φρικτὸν S^b. ‖ 36. τῆς om I^b. ‖ 38. πλεῖςα Q. ‖ χρῆσις S^bT^b. ‖ ἀγεννέςαται Q.

οδώρῳ τῷ Λημνίῳ περὶ γεωργίας καὶ ψιλῆς καὶ υμένης, ὁμοίως δὲ καὶ ἄλλοις περὶ ἄλλων, ταῦτα τούτων θεωρείτω ὅτῳ ἐπιμελές· ἔτι δὲ καὶ τὰ λε- σποράδην, δι' ὧν ἐπιτετυχήκασιν ἔνιοι χρηματιζό- δεῖ συλλέγειν. πάντα γὰρ ὠφέλιμα ταῦτ' ἐστὶ τοῖς τὴν χρηματιστικήν, οἷον καὶ τὸ Θάλεω τοῦ Μιλησίου· γάρ ἐστι κατανόημά τι χρηματιστικόν, ἀλλ' ἐκείνῳ ὶ τὴν σοφίαν προσάπτουσι, τυγχάνει δὲ καθόλου τι ιδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς λοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, ταντα χρημάτων ὀλίγων ἀρραβῶνας διαδοῦναι τῶν ίων τῶν τ' ἐν Μιλήτῳ καὶ Χίῳ πάντων, ὀλίγου μι- ενον ἅτ' οὐθενὸς ἐπιβάλλοντος· ἐπειδὴ δ' ὁ καιρὸς λλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης, ἐκμισθοῦντα ὃν ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι ιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' στὶ περὶ ὃ σπουδάζουσιν. Θαλῆς μὲν οὖν λέγεται τοῦτον πον ἐπίδειξιν ποιήσασθαι τῆς σοφίας· ἔστι δ', ὥσπερ , καθόλου τὸ τοιοῦτον χρηματιστικόν, ἐάν τις δύνηται λίαν αὑτῷ κατασκευάζειν. διὸ καὶ τῶν πόλεων ἔνιαι ποιοῦνται τὸν πόρον, ὅταν ἀπορῶσι χρημάτων· μονο- γὰρ τῶν ὠνίων ποιοῦσιν. ἐν Σικελίᾳ δέ τις τεθέντος ὐτῷ νομίσματος συνεπρίατο πάντα τὸν σίδηρον ἐκ δηρείων, μετὰ δὲ ταῦτα ὡς ἀφίκοντο ἐκ τῶν ἐμπο- ἔμποροι, ἐπώλει μόνος, οὐ πολλὴν ποιήσας ὑπερβο- ; τιμῆς· ἀλλ' ὅμως ἐπὶ τοῖς πεντήκοντα ταλάντοις εν ἑκατόν. τοῦτο μὲν οὖν ὁ Διονύσιος αἰσθόμενος τὰ ρήματα ἐκέλευσεν ἐκκομίσασθαι, μὴ μέντοι γ' ἔτι ἐν Συρακούσαις, ὡς πόρους εὑρίσκοντα τοῖς αὑτοῦ ασιν ἀσυμφόρους. τὸ μέντοι ὅραμα Θάλεω καὶ τοῦτο ἐστιν· ἀμφότεροι γὰρ ἑαυτοῖς ἐτέχνασαν γενέσθαι λίαν. χρήσιμον δὲ γνωρίζειν ταῦτα καὶ τοῖς πολι- πολλαῖς γὰρ πόλεσι δεῖ χρηματισμοῦ καὶ τοιούτων ὥσπερ οἰκίᾳ, μᾶλλον δέ. διόπερ τινὲς καὶ πολι- ι τῶν πολιτευομένων ταῦτα μόνον.

πεὶ δὲ τρία μέρη τῆς οἰκονομικῆς ἦν, ἓν μὲν δε- , περὶ ἧς εἴρηται πρότερον, ἓν δὲ πατρική, τρίτον δὲ · καὶ γὰρ γυναικὸς ἄρχειν καὶ τέκνων, ὡς ἐλευθέ- ν ἀμφοῖν, οὐ τὸν αὐτὸν δὲ τρόπον τῆς ἀρχῆς, ἀλλὰ γυναικὸς μὲν πολιτικῶς, τέκνων δὲ βασιλικῶς· τό τε γὰρ ἄρρεν φύσει τοῦ θήλεος ἡγεμονικώτερον, εἰ μή που συνέστηκε παρὰ φύσιν, καὶ τὸ πρεσβύτερον καὶ τέλειον τοῦ νεωτέρου καὶ ἀτελοῦς. ἐν μὲν οὖν ταῖς πολιτικαῖς ἀρχαῖς ταῖς πλείσταις μεταβάλλει τὸ ἄρχον καὶ τὸ ἀρχόμενον· ἐξ ἴσου γὰρ εἶναι βούλεται τὴν φύσιν καὶ διαφέρειν μηθέν. ὅμως δέ, ὅταν τὸ μὲν ἄρχῃ τὸ δ' ἄρχηται, ζητεῖ διαφορὰν εἶναι καὶ σχήμασι καὶ λόγοις καὶ τιμαῖς, ὥσπερ καὶ Ἄμασις εἶπε τὸν περὶ τοῦ ποδανιπτῆρος λόγον. τὸ δ' ἄρρεν ἀεὶ πρὸς τὸ θῆλυ τοῦτον ἔχει τὸν τρόπον. ἡ δὲ τῶν τέκνων ἀρχὴ βασιλική· τὸ γὰρ γεννῆσαν καὶ κατὰ φιλίαν ἄρχον καὶ κατὰ πρεσβείαν ἐστίν, ὅπερ ἐστὶ βασιλικῆς εἶδος ἀρχῆς. διὸ καλῶς Ὅμηρος τὸν Δία προσηγόρευσεν εἰπὼν "πατὴρ ἀνδρῶν τε θεῶν τε," τὸν βασιλέα τούτων ἁπάντων. φύσει γὰρ τὸν βασιλέα διαφέρειν μὲν δεῖ, τῷ γένει δ' εἶναι τὸν αὐτόν· ὅπερ πέπονθε τὸ πρεσβύτερον πρὸς τὸ νεώτερον καὶ ὁ γεννήσας πρὸς τὸ τέκνον.

Φανερὸν τοίνυν ὅτι πλείων ἡ σπουδὴ τῆς οἰκονομίας 13
περὶ τοὺς ἀνθρώπους ἢ περὶ τὴν τῶν ἀψύχων κτῆσιν, καὶ περὶ τὴν ἀρετὴν τούτων ἢ περὶ τὴν τῆς κτήσεως, ὃν καλοῦμεν πλοῦτον, καὶ τῶν ἐλευθέρων μᾶλλον ἢ δούλων. πρῶτον μὲν οὖν περὶ δούλων ἀπορήσειεν ἄν τις, πότερόν ἐστιν ἀρετή τις δούλου παρὰ τὰς ὀργανικὰς καὶ διακονικὰς ἄλλη τιμιωτέρα τούτων, οἷον σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ τῶν ἄλλων τῶν τοιούτων ἕξεων, ἢ οὐκ ἔστιν οὐδεμία παρὰ τὰς σωματικὰς ὑπηρεσίας. ἔχει γὰρ ἀπορίαν ἀμφοτέρως. εἴτε γὰρ ἔστι, τί διοίσουσι τῶν ἐλευθέρων; εἴτε μή ἐστιν ὄντων ἀνθρώπων καὶ λόγου κοινωνούντων, ἄτοπον. σχεδὸν δὲ ταὐτόν ἐστι τὸ ζητούμενον καὶ περὶ γυναικὸς καὶ παιδός, πότερα καὶ τούτων εἰσὶν ἀρεταί, καὶ δεῖ τὴν γυναῖκα εἶναι σώφρονα καὶ ἀνδρείαν καὶ δικαίαν, καὶ παῖς ἐστὶ καὶ ἀκόλαστος καὶ σώφρων, ἢ οὔ; καὶ καθόλου δὴ τοῦτ' ἐστὶν ἐπισκεπτέον περὶ ἀρχομένου φύσει καὶ ἄρχοντος, πότερον ἡ αὐτὴ ἀρετὴ ἢ ἑτέρα. εἰ μὲν γὰρ δεῖ ἀμφοτέρους μετέχειν καλοκἀγαθίας, διὰ τί τὸν μὲν ἄρχειν δέοι ἂν τὸν δὲ ἄρχεσθαι καθάπαξ; οὐδὲ γὰρ τῷ μᾶλλον καὶ ἧττον οἷόν τε διαφέρειν· τὸ μὲν γὰρ ἄρχεσθαι καὶ ἄρχειν εἴδει διαφέρει, τὸ δὲ μᾶλλον καὶ ἧττον οὐδέν. εἰ δὲ τὸν μὲν δεῖ τὸν δὲ μή, θαυμαστόν. εἴτε γὰρ ὁ ἄρχων μὴ ἔσται σώφρων καὶ δίκαιος, πῶς ἄρξει καλῶς; εἴθ' ὁ ἀρχόμενος, πῶς ἀρχθή-

ἐπιτετυχὴ S^b, ἐπιτετοχὴ T^b. ‖ 5. ὠφέλιμος Q. ‖ 7. χρηματικόν Q. ‖ 13. ἐλαιουργιῶν plerique. ‖ χείῳ Q. ‖ 15. ἐκμισθοῦνται
6. συλλέξαντες S^bT^b. ‖ 28. τοῦτον QI^bT^b. ‖ 37. μέρη om I^bT^b. ‖ 38. περὶ om S^b.
τὸν om S^b. ‖ 10. τεκτόνων T^b. ‖ 15. γένει om S^b. ‖ 16. πέπονθε πρεσβύτερον πρὸς τὸν S^b. ‖ 26. εἴτι S^bT^b. ‖ 28. δὴ QS^b
corr I^b. ‖ 30. πότερον I^b. ‖ 37. εἴδη T^b.

σεται καλῶς; ἀκόλαστος γὰρ ὢν καὶ δειλὸς οὐθὲν ποιήσει τῶν προσηκόντων. φανερὸν τοίνυν ὅτι ἀνάγκη μὲν μετέχειν ἀμφοτέρους ἀρετῆς, ταύτης δ' εἶναι διαφοράς, ὥσπερ καὶ τῶν φύσει ἀρχομένων. καὶ τοῦτο εὐθὺς ὑφήγηται περὶ τὴν ψυχήν· ἐν ταύτῃ γάρ ἐστι φύσει τὸ μὲν ἄρχον τὸ δὲ ἀρχόμενον, ὧν ἑτέραν φαμὲν εἶναι ἀρετήν, οἷον τοῦ λόγον ἔχοντος καὶ τοῦ ἀλόγου. δῆλον τοίνυν ὅτι τὸν αὐτὸν τρόπον ἔχει καὶ ἐπὶ τῶν ἄλλων, ὥστε φύσει τὰ πλείω ἄρχοντα καὶ ἀρχόμενα. ἄλλον γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δούλου ἄρχει καὶ τὸ ἄρρεν τοῦ θήλεος καὶ ἀνὴρ παιδός· καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές. ὁμοίως τοίνυν ἀναγκαῖον ἔχειν καὶ περὶ τὰς ἠθικὰς ἀρετάς· ὑποληπτέον δεῖν μὲν μετέχειν πάντας, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' ὅσον ἑκάστῳ πρὸς τὸ αὐτοῦ ἔργον. διὸ τὸν μὲν ἄρχοντα τελέαν ἔχειν δεῖ τὴν ἠθικὴν ἀρετήν (τὸ γὰρ ἔργον ἐστὶν ἁπλῶς τοῦ ἀρχιτέκτονος, ὁ δὲ λόγος ἀρχιτέκτων), τῶν δ' ἄλλων ἕκαστον, ὅσον ἐπιβάλλει αὐτοῖς. ὥστε φανερὸν ὅτι ἐστὶν ἠθικὴ ἀρετὴ τῶν εἰρημένων πάντων, καὶ οὐχ ἡ αὐτὴ σωφροσύνη γυναικὸς καὶ ἀνδρός, οὐδ' ἀνδρία καὶ δικαιοσύνη, καθάπερ ᾤετο Σωκράτης, ἀλλ' ἡ μὲν ἀρχικὴ ἀνδρία, ἡ δ' ὑπηρετική. ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἄλλας. δῆλον δὲ τοῦτο καὶ κατὰ μέρος μᾶλλον ἐπισκοποῦσιν· καθόλου γὰρ οἱ λέγοντες ἐξαπατῶσιν ἑαυτούς, ὅτι τὸ εὖ ἔχειν τὴν ψυχὴν ἀρετή, ἢ τὸ ὀρθοπραγεῖν, ἤ τι τῶν τοιούτων· πολὺ γὰρ ἄμεινον λέγουσιν οἱ ἐξαριθμοῦντες τὰς ἀρετάς, ὥσπερ Γοργίας, τῶν οὕτως ὁριζομένων. διὸ δεῖ, ὥσπερ ὁ ποιητὴς εἴρηκε περὶ γυναικός, οὕτω νομίζειν ἔχειν περὶ πάντων· "γυναικὶ κόσμον ἡ σιγὴ φέρει," ἀλλ' ἀνδρὶ οὐκέτι τοῦτο. ἐπεὶ δ' ὁ παῖς ἀτελής, δῆλον ὅτι τούτου μὲν καὶ ἡ ἀρετὴ οὐκ αὐτοῦ πρὸς αὐτόν ἐστιν, ἀλλὰ πρὸς τὸν τέλειον καὶ τὸν ἡγούμενον. ὁμοίως δὲ καὶ δούλου πρὸς δεσπότην. ἔθεμεν δὲ πρὸς τἀναγκαῖα χρήσιμον εἶναι τὸν δοῦλον, ὥστε δῆλον ὅτι καὶ ἀρετῆς δεῖται μικρᾶς, καὶ τοσαύτης ὅπως μήτε δι' ἀκολασίαν μήτε διὰ δειλίαν ἐλλείψῃ τῶν ἔργων. ἀπορήσειε δ' ἄν τις, τὸ νῦν εἰρημένον εἰ ἀληθές, ἆρα καὶ τοὺς τεχνίτας δεήσει ἔχειν ἀρετήν· πολλάκις γὰρ δι' ἀκολασίαν ἐλλείπουσι τῶν ἔργων. ἢ διαφέρει τοῦτο πλεῖστον. ὁ μὲν γὰρ δοῦλος κοινωνὸς ζωῆς, ὁ δὲ πορρώτερον, καὶ τοσοῦτον ἐπιβάλλει ἀρετῆς ὅσον περ καὶ δουλείας· ὁ γὰρ βάναυσος τεχνίτης ἀφωρισμένην τινὰ ἔχει δουλείαν· καὶ ὁ μὲ[ν] τῶν φύσει, σκυτοτόμος δ' οὐθείς, οὐδὲ τῶν ἄλλων [...] φανερὸν τοίνυν ὅτι τῆς τοιαύτης ἀρετῆς αἴτιον εἶνα[ι] δούλῳ τὸν δεσπότην, ἀλλ' οὐ τὴν διδασκαλικὴν ἔχ[...] ἔργων δεσποτικήν. διὸ λέγουσιν οὐ καλῶς οἱ λόγου [...] ἀποστεροῦντες καὶ φάσκοντες ἐπιτάξει χρῆσθαι μό[νον·] [νουθε]τητέον γὰρ μᾶλλον τοὺς δούλους ἢ τοὺς παῖδας.

Ἀλλὰ περὶ μὲν τούτων διωρίσθω τὸν τρόπον το[ῦτον·] [περὶ] δὲ ἀνδρὸς καὶ γυναικὸς καὶ τέκνων καὶ πατρός, τῆ[ς τε περὶ] ἕκαστον αὐτῶν ἀρετῆς, καὶ τῆς πρὸς σφᾶς αὐτοὺς [ὁμιλίας,] τί τὸ καλῶς καὶ μὴ καλῶς ἐστί, καὶ πῶς δεῖ τὸ μὲ[ν εὖ διώ]κειν τὸ δὲ κακῶς φεύγειν, ἐν τοῖς περὶ τὰς πολιτεί[ας ἀναγ]καῖον ἐπελθεῖν· ἐπεὶ γὰρ οἰκία μὲν πᾶσα μέρος [πόλεως,] ταῦτα δ' οἰκίας, τὴν δὲ τοῦ μέρους πρὸς τὴν τοῦ ὅλου [βλέ]πειν ἀρετήν, ἀναγκαῖον πρὸς τὴν πολιτείαν βλέπον[τας παι]δεύειν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας, εἴπερ τι [διαφέρει] πρὸς τὸ τὴν πόλιν εἶναι σπουδαίαν καὶ τοὺς παῖδας εἶναι [σπουδαίους] καὶ τὰς γυναῖκας σπουδαίας. ἀναγκαῖον δὲ διαφέρε[ιν· αἱ μὲν] γὰρ γυναῖκες ἥμισυ μέρος τῶν ἐλευθέρων, ἐκ δὲ τῶν [παίδων οἱ] κοινωνοὶ γίνονται τῆς πολιτείας. ὥστ' ἐπεὶ περὶ μὲν τούτ[ων διώρι]σται, περὶ δὲ τῶν λοιπῶν ἐν ἄλλοις λεκτέον, ἀφέντες [ὡς τέλος] ἔχοντας τοὺς νῦν λόγους, ἄλλην ἀρχὴν ποιησάμενοι [λέγωμεν,] καὶ πρῶτον ἐπισκεψώμεθα περὶ τῶν ἀποφηναμένων [περὶ τῆς] πολιτείας τῆς ἀρίστης.

B.

Ἐπεὶ δὲ προαιρούμεθα θεωρῆσαι περὶ τῆς κοινω[νίας τῆς] πολιτικῆς, ἣ κρατίστη πασῶν τοῖς δυναμένοις ζῆν ὅτ[ι μάλι]στα κατ' εὐχήν, δεῖ καὶ τὰς ἄλλας ἐπισκέψασθαι [πολι]τείας, αἷς τε χρῶνταί τινες τῶν πόλεων τῶν εὐνο[μεῖσθαι] λεγομένων, κἂν εἴ τινες ἕτεραι τυγχάνωσιν ὑπό τι[νων εἰρη]μέναι καὶ δοκοῦσαι καλῶς ἔχειν, ἵνα τό τ' ὀρθῶς ἔχ[ον ὀφθῇ] καὶ τὸ χρήσιμον, ἔτι δὲ τὸ ζητεῖν τι παρ' αὐτὰς ἕτ[ερον μὴ] δοκῇ πάντως εἶναι σοφίζεσθαι βουλομένων, ἀλλὰ διὰ [τὸ μὴ] καλῶς ἔχειν ταύτας τὰς νῦν ὑπαρχούσας, διὰ τοῦτο [ταύτην] δοκῶμεν ἐπιβαλέσθαι τὴν μέθοδον. ἀρχὴν δὲ πρῶτη[ν ποιη]τέον ἥπερ πέφυκεν ἀρχὴ ταύτης τῆς σκέψεως. ἀ[νάγκη] γὰρ ἤτοι πάντας πάντων κοινωνεῖν τοὺς πολίτας, ἢ μ[ηδενός,] ἢ τινῶν μὲν τινῶν δὲ μή. τὸ μὲν οὖν μηδενὸς κοινων[εῖν φα]νερὸν ὡς ἀδύνατον· ἡ γὰρ πολιτεία κοινωνία τίς ἐστι, [καὶ] πρῶτον ἀνάγκη τοῦ τόπου κοινωνεῖν· ὁ μὲν γὰρ τόπος εἷ[ς]

10. ἄρχειν S^b. ‖ 14. ὁμοῖον S^bT^b. ‖ 26. ἢ] καὶ Q, om $I^bS^bT^b$. ‖ 32. τὸ τέλος $QI^bS^bT^b$. ‖ 36. δειλείαν T^b. ‖ 39. τού[του ...]
2. φύσεων T^b, φύων S^b. ‖ 6. νουθετέον S^b. ‖ 13. οἰκεῖα S^b. ‖ 21. λέγομεν S^b. ‖ 28. βουλομένοις I^b. ‖ 36. δοκῶ U^b. ‖ 3[9 ...] δενῶν U^b, omissis ἢ τινῶν. ‖ 41. εἷς ὁ τῆς] ἰσότης codices.

λεως, οἱ δὲ πολῖται κοινωνοὶ τῆς μιᾶς πόλεως.
ότερον ὅσων ἐνδέχεται κοινωνῆσαι, πάντων βέλτιον
τὴν μέλλουσαν οἰκήσεσθαι πόλιν καλῶς, ἢ τινῶν
ν δ' οὐ βέλτιον; ἐνδέχεται γὰρ καὶ τέκνων καὶ γυ-
αὶ κτημάτων κοινωνεῖν τοὺς πολίτας ἀλλήλοις, ὥσ-
ῇ πολιτείᾳ τῇ Πλάτωνος· ἐκεῖ γὰρ ὁ Σωκράτης
κοινὰ τὰ τέκνα καὶ τὰς γυναῖκας εἶναι καὶ τὰς
τοῦτο δὴ πότερον ὡς νῦν οὕτω βέλτιον ἔχειν, ἢ κατὰ
πολιτείᾳ γεγραμμένον νόμον; ἔχει δὲ δυσχερείας
ε πολλὰς τὸ πάντων εἶναι τὰς γυναῖκας κοινάς,
ν αἰτίαν φησὶ δεῖν νενομοθετῆσθαι τὸν τρόπον τοῦτον
της, οὐ φαίνεται συμβαῖνον ἐκ τῶν λόγων. ἔτι δὲ
τέλος ὅ φησι τῇ πόλει δεῖν ὑπάρχειν, ὡς μὲν εἴρη-
ἀδύνατον, πῶς δὲ δεῖ διελεῖν, οὐδὲν διώρισαι. λέγω
αν εἶναι τὴν πόλιν πᾶσαν ὡς ἄριστον ὅτι μάλιστα·
ει γὰρ ταύτην ὑπόθεσιν ὁ Σωκράτης. καίτοι φανε-
ὡς προϊοῦσα καὶ γινομένη μία μᾶλλον οὐδὲ πόλις
λῆθος γάρ τι τὴν φύσιν ἐστὶν ἡ πόλις, γινομένη τε
λον οἰκία μὲν ἐκ πόλεως, ἄνθρωπος δ' ἐξ οἰκίας
ᾶλλον γὰρ μίαν τὴν οἰκίαν τῆς πόλεως φαίημεν ἄν,
ἕνα τῆς οἰκίας· ὥστ' εἰ καὶ δυνατός τις εἴη τοῦτο
ποιητέον· ἀναιρήσει γὰρ τὴν πόλιν. οὐ μόνον δ' ἐκ
ἀνθρώπων ἐστὶν ἡ πόλις, ἀλλὰ καὶ ἐξ εἴδει δια-
· οὐ γὰρ γίνεται πόλις ἐξ ὁμοίων. ἕτερον γὰρ συμ-
αὶ πόλις· τὸ μὲν γὰρ τῷ ποσῷ χρήσιμον, κἂν ᾖ
τῷ εἴδει· βοηθείας γὰρ χάριν ἡ συμμαχία πέφυ-
περ ἂν εἰ σταθμὸς πλεῖον ἑλκύσῃ. διοίσει δὲ τῷ
αὶ πόλις ἔθνους, ὅταν μὴ κατὰ κώμας ὦσι κεχωρι-
τὸ πλῆθος, ἀλλ' οἷον Ἀρκάδες. ἐξ ὧν δὲ δεῖ ἓν
, εἴδει διαφέρει. διόπερ τὸ ἴσον τὸ ἀντιπεπονθὸς
ς πόλεις, ὥσπερ ἐν τοῖς ἠθικοῖς εἴρηται πρότερον·
ἐν τοῖς ἐλευθέροις καὶ ἴσοις ἀνάγκη τοῦτ' εἶναι· ἅμα
οἷόν τε πάντας ἄρχειν, ἀλλ' ἢ κατ' ἐνιαυτὸν ἢ
α ἄλλην τάξιν ἢ χρόνον. καὶ συμβαίνει δὴ τὸν
ιτον ὥστε πάντας ἄρχειν, ὥσπερ ἂν εἰ μετέβαλλον
ς καὶ οἱ τέκτονες καὶ μὴ οἱ αὐτοὶ ἀεὶ σκυτοτόμοι
νες ἦσαν. ἐπεὶ δὲ βέλτιον οὕτως ἔχειν καὶ τὰ περὶ
νίαν τὴν πολιτικήν, δῆλον ὡς τοὺς αὐτοὺς ἀεὶ βέλ-
ειν, εἰ δυνατόν· ἐν οἷς δὲ μὴ δυνατὸν διὰ τὸ τὴν

φύσιν ἴσους εἶναι πάντας, ἅμα δὲ καὶ δίκαιον, εἴτ' ἀγαθὸν εἴτε φαῦλον τὸ ἄρχειν, πάντας αὐτοῦ μετέχειν, ἐν τούτοις δὲ μιμεῖσθαι τὸ ἐν μέρει τοὺς ἴσους εἴκειν ὁμοίως τοῖς ἐξ ἀρχῆς. οἱ μὲν γὰρ ἄρχουσιν οἱ δ' ἄρχονται παρὰ μέρος, ὥσπερ ἂν ἄλλοι γενόμενοι. τὸν αὐτὸν δὴ τρόπον ἀρχόντων ἕτεροι ἑτέρας ἄρχουσιν ἀρχάς. φανερὸν τοίνυν ἐκ τούτων ὡς οὔτε πέφυκε μίαν οὕτως εἶναι τὴν πόλιν ὥσπερ λέγουσί τινες, καὶ τὸ λεχθὲν ὡς μέγιστον ἀγαθὸν ἐν ταῖς πόλεσιν ὅτι τὰς πόλεις ἀναιρεῖ· καίτοι τό γε ἑκάστου ἀγαθὸν σώζει ἕκαστον. ἔστι δὲ καὶ κατ' ἄλλον τρόπον φανερὸν ὅτι τὸ λίαν ἑνοῦν ζητεῖν τὴν πόλιν οὐκ ἔστιν ἄμεινον. οἰκία μὲν γὰρ αὐταρκέστερον ἑνός, πόλις δ' οἰκίας· καὶ βούλεταί γ' ἤδη τότε εἶναι πόλις, ὅταν αὐτάρκη συμβαίνῃ τὴν κοινωνίαν εἶναι τοῦ πλήθους. εἴπερ οὖν αἱρετώτερον τὸ αὐταρκέστερον, καὶ τὸ ἧττον ἓν τοῦ μᾶλλον αἱρετώτερον.

Ἀλλὰ μὴν οὐδ' εἰ τοῦτο ἄριστόν ἐστι, τὸ μίαν ὅτι μά- 3
λιστ' εἶναι τὴν κοινωνίαν, οὐδὲ τοῦτ' ἀποδείκνυσθαι φαίνεται κατὰ τὸν λόγον, ἐὰν πάντες ἅμα λέγωσι τὸ ἐμὸν καὶ τὸ μὴ ἐμόν· τοῦτο γὰρ οἴεται ὁ Σωκράτης σημεῖον εἶναι τοῦ τὴν πόλιν τελέως εἶναι μίαν. τὸ γὰρ πάντες διττόν. εἰ μὲν οὖν ὡς ἕκαστος, τάχ' ἂν εἴη μᾶλλον ὃ βούλεται ποιεῖν ὁ Σωκράτης· ἕκαστος γὰρ υἱὸν ἑαυτοῦ φήσει τὸν αὐτὸν καὶ γυναῖκα δὴ τὴν αὐτήν, καὶ περὶ τῆς οὐσίας καὶ περὶ ἑκάστου δὴ τῶν συμβαινόντων ὡσαύτως. νῦν δ' οὐχ οὕτω φήσουσιν οἱ κοιναῖς χρώμενοι ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις, ἀλλὰ πάντες μέν, οὐχ ὡς ἕκαστος δ' αὐτῶν. ὁμοίως δὲ καὶ τὴν οὐσίαν πάντες μέν, οὐχ ὡς ἕκαστος δ' αὐτῶν. ὅτι μὲν τοίνυν παραλογισμός τίς ἐστι τὸ λέγειν πάντας, φανερόν. τὸ γὰρ πάντες καὶ ἀμφότερα καὶ περιττὰ καὶ ἄρτια διὰ τὸ διττὸν καὶ ἐν τοῖς λόγοις ἐριστικοὺς ποιεῖ συλλογισμούς· διὸ ἐστὶ τὸ πάντας τὸ αὐτὸ λέγειν ὡδὶ μὲν καλόν, ἀλλ' οὐ δυνατόν, ὡδὶ δ' οὐδὲν ὁμονοητικόν. πρὸς δὲ τούτοις ἑτέραν ἔχει βλάβην τὸ λεγόμενον. ἥκιστα γὰρ ἐπιμελείας τυγχάνει τὸ πλείστων κοινόν· τῶν γὰρ ἰδίων μάλιστα φροντίζουσιν, τῶν δὲ κοινῶν ἧττον, ἢ ὅσον ἑκάστῳ ἐπιβάλλει. πρὸς γὰρ τοῖς ἄλλοις ὡς ἑτέρου φροντίζοντος ὀλιγωροῦσι μᾶλλον, ὥσπερ ἐν ταῖς οἰκετικαῖς διακονίαις οἱ πολλοὶ θεράποντες ἐνίοτε χεῖρον ὑπηρετοῦσι τῶν ἐλαττόνων. γίνονται δ' ἑκάστῳ χίλιοι τῶν πολιτῶν υἱοί, καὶ οὗτοι οὐχ ὡς ἑκάστου, ἀλλὰ τοῦ τυχόντος ὁ τυχὼν

τον Q^bT^b. ‖ 3. κοινωνεῖ Q^b. ‖ 4. μὲν τινῶν om U^b. ‖ καὶ τέκνων — 5. κοινωνεῖν in margine Q^b. ‖ 5. τοὺς πολίτας ἀλλήλοις
‖ 6. πολιτείᾳ τῇ] πολιτείᾳ τοῦ Q^bU^b. ‖ 9. δὴ $I^bQ^bT^bU^b$. ‖ 11. νομοθετῆσθαι U^b. ‖ 13. δεῖ Q^b. ‖ 14. διελθεῖν $I^bQ^bT^b$. ‖
Q^bT^b, εἰδείους U^b. ‖ 26. τῷ αὐτῷ $Q^bT^bU^b$. ‖ 27. διοίσοι U^b. ‖ 35. ὥστε πάντας ἄρχειν om U^b. ‖ 36. οἱ post καὶ om U^b.
κεῖν I^bT^b. ‖ ὁμοίους I^b. ‖ τοῖς om U^b. ‖ 4. παρὰ] κατὰ Q^bT^b. ‖ 5. δὴ] δὴ τὸν Q^b. ‖ 13. τὴν om U^b. ‖ 14. τὸ αὐταρκέ-
U^b. ‖ 22. φύσει U^b. ‖ 26. ὁμοίως — 27. αὐτῶν om Q^bT^b. ‖ 30. ἔστη I^bT^b. ‖ 33. πλεῖστον rc U^b. ‖ 35. ὅσων T^bU^b.

ὁμοίως ἐςὶν υἱός· ὥςε πάντες ὁμοίως ὀλιγωρήσυσιν. ἔτι ὕτως ἕκαςος ἐμὸς λέγει τὸν εὖ πράττοντα τῶν πολιτῶν ἢ κακῶς, ὁπόςος τυγχάνει τὸν ἀριθμὸν ὤν, οἷον ἐμὸς ἢ τῦ δεῖνος, τῦτον τὸν τρόπον λέγων καθ' ἕκαστον τῶν χιλίων, ἢ ὅσων ἡ πόλις ἐςί, καὶ τῦτο διςάζων· ἄδηλον γὰρ ᾧ συνέβη γενέσθαι τέκνον καὶ σωθῆναι γενόμενον. καίτοι πότερον οὕτω κρεῖττον τὸ ἐμὸν λέγειν ἕκαςον, τὸ αὐτὸ μὲν προσαγορεύοντας δισχιλίων καὶ μυρίων, ἢ μᾶλλον ὡς νῦν ἐν ταῖς πόλεσι τὸ ἐμὸν λέγυσιν; ὁ μὲν γὰρ υἱὸν αὑτῦ ὁ δ' ἀδελφὸν αὑτῦ προσαγορεύει τὸν αὐτόν, ὁ δ' ἀνεψιόν, ἢ κατ' ἄλλην τινὰ συγγένειαν, ἢ πρὸς αἵματος, ἢ κατ' οἰκειότητα καὶ κηδείαν αὑτῦ πρῶτον ἢ τῶν αὑτῦ, πρὸς δὲ τύτοις ἕτερον φράτορα ἢ φυλέτην· κρεῖττον γὰρ ἴδιον ἀνεψιὸν εἶναι ἢ τὸν τρόπον τῦτον υἱόν. οὐ μὴν ἀλλ' ὐδὲ διαφυγεῖν δυνατὸν τὸ μή τινας ὑπολαμβάνειν ἑαυτῶν ἀδελφύς τε καὶ παῖδας καὶ πατέρας καὶ μητέρας· κατὰ γὰρ τὰς ὁμοιότητας αἳ γίνονται τοῖς τέκνοις πρὸς τοὺς γεννήσαντας, ἀναγκαῖον λαμβάνειν περὶ ἀλλήλων τὰς πίςεις. ὅπερ φασὶ καὶ συμβαίνειν τινὲς τῶν τὰς τῆς γῆς περιόδους πραγματευομένων· εἶναι γάρ τισι τῶν ἄνω Λιβύων κοινὰς τὰς γυναῖκας, τὰ μέντοι γενόμενα τέκνα διαιρεῖσθαι κατὰ τὰς ὁμοιότητας. εἰσὶ δέ τινες καὶ γυναῖκες καὶ τῶν ἄλλων ζώων, οἷον ἵπποι καὶ βόες, αἳ σφόδρα πεφύκασιν ὅμοια ἀποδιδόναι τὰ τέκνα τοῖς γονεῦ-
4 σιν, ὥσπερ ἡ ἐν Φαρσάλῳ κληθεῖσα Δικαία ἵππος. ἔτι δὲ καὶ τὰς τοιαύτας δυσχερείας οὐ ῥᾴδιον εὐλαβηθῆναι τοῖς ταύτην κατασκευάζυσι τὴν κοινωνίαν, οἷον αἰκίας καὶ φόνυς ἀκυσίυς, τοὺς δὲ ἑκουσίους, καὶ μάχας καὶ λοιδορίας· ὧν ὐδὲν ὅσιόν ἐςι γίνεσθαι πρὸς πατέρας καὶ μητέρας καὶ τοὺς μὴ πόρρω τῆς συγγενείας ὄντας, ὥσπερ πρὸς τοὺς ἄπωθεν· ἀλλὰ καὶ πλεῖον συμβαίνειν ἀναγκαῖον ἀγνούντων ἢ γνωριζόντων, καὶ γενομένων τῶν μὲν γνωριζόντων ἐνδέχεται τὰς νομιζομένας γίνεσθαι λύσεις, τῶν δὲ μηδεμίαν. ἄτοπον δὲ καὶ τὸ κοινὺς ποιήσαντα τὺς υἱὺς τὸ συνεῖναι μόνον ἀφελεῖν τῶν ἐρώντων, τὸ δ' ἐρᾶν μὴ κωλῦσαι, μηδὲ τὰς χρήσεις τὰς ἄλλας, ἃς πατρὶ πρὸς υἱὸν εἶναι πάντων ἐστὶν ἀπρεπέςατον καὶ ἀδελφῷ πρὸς ἀδελφόν· ἐπεὶ καὶ τὸ ἐρᾶν μόνον. ἄτοπον δὲ καὶ τὸ τὴν συνυσίαν ἀφελεῖν δι' ἄλλην μὲν αἰτίαν μηδεμίαν, ὡς λίαν δ' ἰσχυρᾶς τῆς ἡδονῆς γινομένης· ὅτι δ' ὁ μὲν πατὴρ ἢ υἱός, οἱ δ' ἀδελφοὶ ἀλλήλων, μηθὲν οἴεσθαι διαφέρειν. ἔοικε δὲ μᾶλλον τοῖς γεωργοῖς εἶναι χρήσιμον τὸ κοινὰς εἶναι τὰς γυναῖκας καὶ τὺς παῖδας ἢ τοῖς φύλαξιν· ἧττον γὰρ ἔσται φιλία κοιν τῶν τέκνων καὶ τῶν γυναικῶν, δεῖ δὲ τοιύτυς εἶνα χομένους πρὸς τὸ πειθαρχεῖν καὶ μὴ νεωτερίζειν. συμβαίνειν ἀνάγκη τὐναντίον διὰ τὸν τοιῦτον νόμο σήκει τὺς ὀρθῶς κειμένυς νόμυς αἰτίους γίνεσθαι, αἰτίαν ὁ Σωκράτης ὕτως οἴεται δεῖν τάττειν τὰ π κνα καὶ τὰς γυναῖκας. φιλίαν τε γὰρ οἰόμεθα εἶναι τῶν ἀγαθῶν ταῖς πόλεσιν (ὕτω γὰρ ἂν ἥκις ζοιεν), καὶ τὸ μίαν εἶναι τὴν πόλιν ἐπαινεῖ μάλισ κράτης· ὃ καὶ δοκεῖ κἀκεῖνος εἶναί φησι τῆς φιλ καθάπερ ἐν τοῖς ἐρωτικοῖς λόγοις ἴσμεν λέγοντα ςοφάνην ὡς τῶν ἐρώντων διὰ τὸ σφόδρα φιλεῖν των συμφῦναι καὶ γενέσθαι ἐκ δύο ὄντων ἀμφο ἐνταῦθα μὲν ὖν ἀνάγκη ἀμφοτέρυς ἐφθάρθαι ἢ τ δὲ τῇ πόλει τὴν φιλίαν ἀναγκαῖον ὑδαρῆ γίνεσθα κοινωνίαν τὴν τοιαύτην, καὶ ἥκιστα λέγειν τὸν ἐμ πατέρα ἢ πατέρα υἱόν. ὥσπερ γὰρ μικρὸν γλυκὺ ὕδωρ μιχθὲν ἀναίσθητον ποιεῖ τὴν κρᾶσιν, οὕτω καὶ τὴν οἰκειότητα τὴν πρὸς ἀλλήλους τὴν ἀπὸ τῶ των τύτων διαφροντίζειν ἥκιςα ἀναγκαῖον ὂν ἐν τῇ τῇ τοιαύτῃ, ἢ πατέρα ὡς υἱῶν ἢ υἱὸν ὡς πατρ ἀδελφὺς ἀλλήλων. δύο γάρ ἐςιν ἃ μάλιςα ποιεῖ τὺς ἀνθρώπυς καὶ φιλεῖν, τό τε ἴδιον καὶ τὸ ἀγαπ οὐδέτερον οἷόν τε ὑπάρχειν τοῖς ὕτω πολιτευομένοι μὴν καὶ περὶ τῦ μεταφέρειν τὰ γινόμενα τέκνα, τα τῶν γεωργῶν καὶ τεχνιτῶν εἰς τὺς φύλακας, τὰ δ των εἰς ἐκείνυς, πολλὴν ἔχει ταραχήν, τίνα ἔσται καὶ γινώσκειν ἀναγκαῖον τοὺς διδόντας καὶ μεταφ τίσι τίνας διδόασιν. ἔτι δὲ καὶ τὰ πάλαι λεχθέντα ἐπὶ τύτων ἀναγκαῖον συμβαίνειν, οἷον αἰκίας ἔρωτας ὐ γὰρ ἔτι προσαγορεύυσιν ἀδελφὺς καὶ τέκνα καὶ π καὶ μητέρας τὺς φύλακας οἵ τε εἰς τὺς ἄλλυς πολ θέντες καὶ πάλιν οἱ παρὰ τοῖς φύλαξιν εἰς τὺς ἀλ λίτας, ὥς' εὐλαβεῖσθαι τῶν τοιύτων τι πράττειν συγγένειαν. περὶ μὲν ὖν τῆς περὶ τὰ τέκνα καὶ τὰς γ κοινωνίας διωρίσθω τὸν τρόπον τῦτον.

Ἐχόμενον δὲ τύτων ἐςὶν ἐπισκέψασθαι περὶ τῆ σεως, τίνα τρόπον δεῖ κατασκευάζεσθαι τοῖς μέλλυσι τεύεσθαι τὴν ἀρίςην πολιτείαν, πότερον κοινὴν ἢ μὴ εἶναι τὴν κτῆσιν. τῦτο δ' ἄν τις καὶ χωρὶς σκέψαι τῶν περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας νενομοθετημένω

3. ὁπόσος T^b. || τῶν ἀριθμῶν pr Q^b et rc I^b, τῶν ἀριθμῶν T^b. || ὢν om $Q^bT^bU^b$ et corr I^b. || ἢ om U^b. || 5. ὡς Q
7. προσαγορευτέον τας δισχιλίων U^b. || 12. ἢ alterum om $I^bQ^bT^bU^b$. || 16. ἃ T^b. || 27. τοὺς δὲ ἑκουσίους om I^b.
4. συμβαίνει T^bU^b. || 10. φασι Q^b. || 13. ἀμφοτέροις U^b.

νομοθέτης ἐκοίνωσεν. δεῖ δὲ μηδὲ τοῦτο αὐτὸ ἀγνοεῖν, ὅτι χρὴ προσέχειν τῷ πολλῷ χρόνῳ καὶ τοῖς πολλοῖς ἔτεσιν, ἐν οἷς οὐκ ἂν ἔλαθεν εἰ ταῦτα καλῶς εἶχεν· πάντα γὰρ σχεδὸν εὕρηται μέν, ἀλλὰ τὰ μὲν οὐ συνῆκται, τοῖς δ' οὐ χρῶνται γινώσκοντες. μάλιςα δ' ἂν γένοιτο φανερόν, εἴ τις τοῖς ἔργοις ἴδοι τὴν τοιαύτην πολιτείαν κατασκευαζομένην· οὐ γὰρ δυνήσεται μὴ μερίζων αὐτὰ καὶ χωρίζων ποιῆσαι τὴν πόλιν, τὰ μὲν εἰς συσσίτια, τὰ δὲ εἰς φρατρίας καὶ φυλάς. ὥςε οὐδὲν ἄλλο συμβήσεται νενομοθετημένον πλὴν μὴ γεωργεῖν τοὺς φύλακας· ὅπερ καὶ νῦν Λακεδαιμόνιοι ποιεῖν ἐπιχειροῦσιν. οὐ μὴν ἀλλ' οὐδὲ ὁ τρόπος τῆς ὅλης πολιτείας τίς ἔσται τοῖς κοινωνοῦσιν, οὔτ' εἴρηκεν ὁ Σωκράτης οὔτε ῥᾴδιον εἰπεῖν. καίτοι σχεδὸν τό γε πλῆθος τῆς πόλεως τὸ τῶν ἄλλων πολιτῶν γίνεται πλῆθος, περὶ ὧν οὐδὲν διώρισαι, πότερον καὶ τοῖς γεωργοῖς κοινὰς εἶναι δεῖ τὰς κτήσεις ἢ καὶ καθ' ἕκαςον ἰδίας, ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας ἰδίους ἢ κοινούς. εἰ μὲν γὰρ τὸν αὐτὸν τρόπον κοινὰ πάντα πάντων, τί διοίσουσιν οὗτοι ἐκείνων τῶν φυλάκων; ἢ τί πλεῖον τοῖς ὑπομένουσι τὴν ἀρχὴν αὐτῶν; ἢ τί μαθόντες ὑπομενοῦσι τὴν ἀρχήν, ἐὰν μή τι σοφίζωνται τοιοῦτον οἷον Κρῆτες; ἐκεῖνοι γὰρ τἆλλα ταὐτὰ τοῖς δούλοις ἐφέντες μόνον ἀπειρήκασι τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων κτῆσιν. εἰ δέ, καθάπερ ἐν ταῖς ἄλλαις πόλεσι, καὶ παρ' ἐκείνοις ἔσται τὰ τοιαῦτα, τίς ὁ τρόπος ἔςαι τῆς κοινωνίας; ἐν μιᾷ γὰρ πόλει δύο πόλεις ἀναγκαῖον εἶναι, καὶ ταύτας ὑπεναντίας ἀλλήλαις. ποιεῖ γὰρ τοὺς μὲν φύλακας οἷον φρουρούς, τοὺς δὲ γεωργοὺς καὶ τοὺς τεχνίτας καὶ τοὺς ἄλλους πολίτας. ἐγκλήματα δὲ καὶ δίκαι, καὶ ὅσα ἄλλα ταῖς πόλεσιν ὑπάρχειν φησὶ κακά, πάνθ' ὑπάρξει καὶ τούτοις. καίτοι λέγει ὁ Σωκράτης ὡς οὐ πολλῶν δεήσονται νομίμων διὰ τὴν παιδείαν, οἷον ἀστυνομικῶν καὶ ἀγορανομικῶν καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀποδιδοὺς μόνον τὴν παιδείαν τοῖς φύλαξιν. ἔτι δὲ κυρίους ποιεῖ τῶν κτημάτων τοὺς γεωργοὺς ἀποφορὰν φέροντας· ἀλλὰ πολὺ μᾶλλον εἰκὸς εἶναι χαλεποὺς καὶ φρονημάτων πλήρεις ἢ τὰς παρ' ἐνίοις εἱλωτείας τε καὶ πενεςείας καὶ δουλείας. ἀλλὰ γὰρ εἴτ' ἀναγκαῖα ταῦθ' ὁμοίως εἴτε μή, νῦν γ' οὐδὲν διώρισται. καὶ περὶ τῶν ἐχομένων, τίς ἡ τούτων τε πολιτεία καὶ παιδεία καὶ νόμοι τίνες. ἔςι δ' οὔθ' εὑρεῖν ῥᾴδιον, οὔτε τὸ διαφέρον μικρόν, τὸ ποιούς τινας εἶναι τούτους πρὸς τὸ σώζεσθαι τὴν τῶν φυλάκων κοινωνίαν. ἀλλὰ

μὴν εἴ γε τὰς μὲν γυναῖκας ποιήσει κοινὰς τὰς δὲ κ ἰδίας, τίς οἰκονομήσει ὥσπερ τὰ ἐπὶ τῶν ἀγρῶν οἱ αὐτῶν; [κἂν εἰ κοιναὶ αἱ κτήσεις καὶ αἱ τῶν γεωργῶ ναῖκες] ἄτοπον δὲ καὶ τὸ ἐκ τῶν θηρίων ποιεῖσθαι τὴ ραβολήν, ὅτι δεῖ τὰ αὐτὰ ἐπιτηδεύειν τὰς γυναῖκα ἀνδράσιν, οἷς οἰκονομίας οὐδὲν μέτεςιν. ἐπισφαλὲς τοὺς ἄρχοντας ὡς καθίςησιν ὁ Σωκράτης· ἀεὶ γὰρ πο αὐτοὺς ἄρχοντας. τοῦτο δὲ ςάσεως αἴτιον γίνεται καὶ τοῖς μηδὲν ἀξίωμα κεκτημένοις, ἤ πού γε δὴ παρά μοειδέσι καὶ πολεμικοῖς ἀνδράσιν. ὅτι δ' ἀναγκαῖον ποιεῖν τοὺς αὐτοὺς ἄρχοντας, φανερόν· οὐ γὰρ ὁτὲ μὲν ὁτὲ δὲ ἄλλοις μέμικται ταῖς ψυχαῖς ὁ παρὰ τοῦ θεο σός, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς. φησὶ δὲ τοῖς μὲν εὐθὺ γ νοις μῖξαι χρυσόν, τοῖς δ' ἄργυρον, χαλκὸν δὲ καὶ τοῖς τεχνίταις μέλλουσιν ἔσεσθαι καὶ γεωργοῖς. ἔτι τὴν εὐδαιμονίαν ἀφαιρούμενος τῶν φυλάκων, ὅλην φη εὐδαίμονα ποιεῖν τὴν πόλιν τὸν νομοθέτην. ἀδύνατ εὐδαιμονεῖν ὅλην, μὴ τῶν πλείςων ἢ μὴ πάντων μ τινῶν ἐχόντων τὴν εὐδαιμονίαν. οὐ γὰρ τῶν αὐτῶν τὸ ε μονεῖν ὧνπερ τὸ ἄρτιον· τοῦτο μὲν γὰρ ἐνδέχεται τῷ ὑπάρχειν, τῶν δὲ μερῶν μηδετέρῳ, τὸ δὲ εὐδαιμονεῖν νατον. ἀλλὰ μὴν εἰ οἱ φύλακες μὴ εὐδαίμονες, τίνες ροι; οὐ γὰρ δὴ οἵ γε τεχνῖται καὶ τὸ πλῆθος τὸ τῶν βα σων. ἡ μὲν οὖν πολιτεία περὶ ἧς ὁ Σωκράτης εἴρηκεν, τα τε τὰς ἀπορίας ἔχει καὶ τούτων οὐκ ἐλάττους ἑτέρας.

Σχεδὸν δὲ παραπλησίως καὶ περὶ τοὺς νόμους ἔχε ὕςερον γραφέντας· διὸ καὶ περὶ τῆς ἐνταῦθα πολιτείας σκέψασθαι μικρὰ βέλτιον. καὶ γὰρ ἐν τῇ πολιτεί ὀλίγων πάμπαν διώρικεν ὁ Σωκράτης, περί τε γυνα καὶ τέκνων κοινωνίας, πῶς ἔχειν δεῖ, καὶ περὶ κτήσεως, τῆς πολιτείας τὴν τάξιν. διαιρεῖται γὰρ εἰς δύο μέρη πλῆθος τῶν οἰκούντων, τὸ μὲν εἰς τοὺς γεωργούς, τὸ δὲ ε προπολεμοῦν μέρος· τρίτον δ' ἐκ τούτων τὸ βουλευόμενον κύριον τῆς πόλεως. περὶ δὲ τῶν γεωργῶν καὶ τῶν τεχ πότερον οὐδεμιᾶς ἢ μετέχουσί τινος ἀρχῆς, καὶ πότερον δεῖ κεκτῆσθαι καὶ τούτους καὶ συμπολεμεῖν ἢ μή, περὶ των οὐδὲν διώρικεν ὁ Σωκράτης, ἀλλὰ τὰς μὲν γυν οἴεται δεῖν συμπολεμεῖν καὶ παιδείας μετέχειν τῆς τοῖς φύλαξιν, τὰ δ' ἄλλα τοῖς ἔξωθεν λόγοις πεπλ τὸν λόγον καὶ περὶ τῆς παιδείας, ποίαν τινὰ δεῖ γί

8. φατρίας I^b. ‖ 15. καὶ post ἢ om Q^b. ‖ 21. ἀφέντες $Q^bT^bU^b$. ‖ 34. εἰκὸς om U^b. ‖ 35. εἱλωτίας I^b. ‖ πενεςείας I^b 37. ἐρχομένων U^b. ‖ 38. τε om U^b.

5. αὐτὰ] αὐτὰ καὶ I^b. ‖ 9. ἤπουθεν δὴ $I^bT^bU^b$. ‖ 12. περὶ T^b. ‖ 14. χρηςόν U^b. ‖ 16. ἀφ μενος U^b. ‖ 19. οὐ U^b. ‖ ὥσπερ rc I^b. ‖ 30. καὶ τέκνων καὶ κοινωνίας $Q^bT^bU^b$. ‖ 40. γινώσκεσθαι I^b.

τῶν φυλάκων. τῶν δὲ νόμων τὸ μὲν πλεῖστον μέρος νόμοι τυγχάνουσιν ὄντες, ὀλίγα δὲ περὶ τῆς πολιτείας εἴρηκεν. καὶ ταύτην βουλόμενος κοινοτέραν ποιεῖν ταῖς πόλεσι, κατὰ μικρὸν περιάγει πάλιν πρὸς τὴν ἑτέραν πολιτείαν. ἔξω γὰρ τῆς τῶν γυναικῶν κοινωνίας καὶ τῆς κτήσεως, τὰ ἄλλα ταὐτὰ ἀποδίδωσιν ἀμφοτέραις ταῖς πολιτείαις· καὶ γὰρ παιδείαν τὴν αὐτήν, καὶ τὸ τῶν ἔργων τῶν ἀναγκαίων ἀπεχομένους ζῆν, καὶ περὶ συσσιτίων ὡσαύτως· πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν, καὶ τὴν μὲν χιλίων τῶν ὅπλα κεκτημένων, ταύτην δὲ πεντακισχιλίων. τὸ μὲν οὖν περιττὸν ἔχουσι πάντες οἱ τοῦ Σωκράτους λόγοι καὶ τὸ κομψὸν καὶ τὸ καινοτόμον καὶ τὸ ζητητικόν, καλῶς δὲ πάντα ἴσως χαλεπόν, ἐπεὶ καὶ τὸ νῦν εἰρημένον πλῆθος δεῖ μὴ λανθάνειν ὅτι χώρας δεήσει τοῖς τοσούτοις Βαβυλωνίας ἤ τινος ἄλλης ἀπεράντου τὸ πλῆθος, ἐξ ἧς ἀργοὶ πεντακισχίλιοι θρέψονται, καὶ περὶ τούτους γυναικῶν καὶ θεραπόντων ἕτερος ὄχλος πολλαπλάσιος. δεῖ μὲν οὖν ὑποτίθεσθαι κατ' εὐχήν, μηδὲν μέντοι ἀδύνατον· λέγεται δ' ὡς δεῖ τὸν νομοθέτην πρὸς δύο βλέποντα τιθέναι τοὺς νόμους, πρός τε τὴν χώραν καὶ τοὺς ἀνθρώπους. ἔτι δὲ καλῶς ἔχει προσθεῖναι καὶ πρὸς τοὺς γειτνιῶντας τόπους, εἰ δεῖ τὴν πόλιν ζῆν βίον πολιτικόν· οὐ γὰρ μόνον ἀναγκαῖόν ἐστιν αὐτὴν τοιούτοις χρῆσθαι πρὸς τὸν πόλεμον ὅπλοις ἃ χρήσιμα κατὰ τὴν οἰκείαν χώραν ἐστίν, ἀλλὰ καὶ πρὸς τοὺς ἔξω τόπους. εἰ δέ τις μὴ τοιοῦτον ἀποδέχεται βίον, μήτε τὸν ἴδιον μήτε τὸν κοινὸν τῆς πόλεως, ὅμως οὐδὲν ἧττον δεῖ φοβεροὺς εἶναι τοῖς πολεμίοις, μὴ μόνον ἐλθοῦσιν εἰς τὴν χώραν, ἀλλὰ καὶ ἀπελθοῦσιν. καὶ τὸ πλῆθος δὲ τῆς κτήσεως ὁρᾶν δεῖ, μήποτε βέλτιον ἑτέρως διορίσαι τῷ σαφῶς μᾶλλον· τοσαύτην γὰρ εἶναί φησι δεῖν ὥστε ζῆν σωφρόνως, ὥσπερ ἂν εἴ τις εἶπεν ὥστε ζῆν εὖ· τοῦτο γάρ ἐστι καθόλου μᾶλλον. ἔτι δ' ἔστι σωφρόνως μὲν ταλαιπώρως δὲ ζῆν. ἀλλὰ βελτίων ὅρος τὸ σωφρόνως καὶ ἐλευθερίως (χωρὶς γὰρ ἑκάτερον τὸ μὲν τῷ τρυφᾶν ἀκολουθήσει, τὸ δὲ τῷ ἐπιπόνως), ἐπεὶ μόναι γ' εἰσὶν ἕξεις αἱρεταὶ περὶ τὴν τῆς οὐσίας χρῆσιν αὗται, οἷον οὐσίᾳ πράως ἢ ἀνδρείως χρῆσθαι οὐκ ἔστιν, σωφρόνως δὲ καὶ ἐλευθερίως ἔστιν, ὥστε καὶ τὰς χρήσεις ἀναγκαῖον περὶ αὐτὴν εἶναι ταύτας. ἄτοπον δὲ καὶ τὸ τὰς κτήσεις ἰσάζοντα τὸ περὶ τὸ πλῆθος τῶν πολιτῶν μὴ κατασκευάζειν, ἀλλ' ἀφεῖναι τὴν τεκνοποιίαν ἀόριστον ὡς ἱκανῶς ἂν ὁμαλισθησομένην εἰς τὸ αὐτὸ πλῆθος διὰ τὰς ἀτεκνίας ὁσωνοῦν γεννωμένων, ὅτι δοκεῖ τοῦτο καὶ νῦν συμβαίνειν περὶ τὰς πόλεις. δεῖ δὲ τοῦτ' οὐχ ὁμοίως ἀκριβῶς ἔχειν περὶ τὰς πόλεις τότε καὶ νῦν· νῦν μὲν γὰρ οὐδεὶς ἀπορεῖ διὰ τὸ μερίζεσθαι τὰς οὐσίας εἰς ὁποσονοῦν πλῆθος, τότε δ' ἀδιαιρέτων οὐσῶν ἀνάγκη τοὺς παραζύγας μηδὲν ἔχειν, ἐάν τ' ἐλάττους ὦσι τὸ πλῆθος ἐάν τε πλείους. μᾶλλον δὲ δεῖν ὑπολάβοι τις ἂν ὡρίσθαι τῆς οὐσίας τὴν τεκνοποιίαν, ὥστε ἀριθμοῦ τινὸς μὴ πλείονα γεννᾶν· τοῦτο δὲ τιθέναι τὸ πλῆθος ἀποβλέποντα πρὸς τὰς τύχας, ἂν συμβαίνῃ τελευτᾶν τινὰς τῶν γεννηθέντων, καὶ πρὸς τὴν τῶν ἄλλων ἀτεκνίαν. τὸ δ' ἀφεῖσθαι, καθάπερ ἐν ταῖς πλείσταις πόλεσι, πενίας ἀναγκαῖον αἴτιον γίνεσθαι τοῖς πολίταις, ἡ δὲ πενία στάσιν ἐμποιεῖ καὶ κακουργίαν. Φείδων μὲν οὖν ὁ Κορίνθιος, ὢν νομοθέτης τῶν ἀρχαιοτάτων, τοὺς οἴκους ἴσους ᾠήθη δεῖν διαμένειν καὶ τὸ πλῆθος τῶν πολιτῶν, καὶ εἰ τὸ πρῶτον τοὺς κλήρους ἀνίσους εἶχον πάντες κατὰ μέγεθος· ἐν δὲ τοῖς νόμοις τούτοις τοὐναντίον ἐστίν. ἀλλὰ περὶ μὲν τούτων πῶς οἰόμεθα βέλτιον ἂν ἔχειν, λεκτέον ὕστερον· ἐλλέλειπται δὲ τοῖς νόμοις τούτοις καὶ τὰ περὶ τοὺς ἄρχοντας, ὅπως ἔσονται διαφέροντες τῶν ἀρχομένων· φησὶ γὰρ δεῖν, ὥσπερ ἐξ ἑτέρου τὸ στημόνιον ἐρίου γίνεται τῆς κρόκης, οὕτω καὶ τοὺς ἄρχοντας ἔχειν δεῖν πρὸς τοὺς ἀρχομένους. ἐπεὶ δὲ τὴν πᾶσαν οὐσίαν ἐφίησι γίνεσθαι μείζονα μέχρι πενταπλασίας, διὰ τί τοῦτ' οὐκ ἂν εἴη ἐπὶ τῆς γῆς μέχρι τινός; καὶ τὴν τῶν οἰκοπέδων δὲ διαίρεσιν δεῖ σκοπεῖν, μή ποτ' οὐ συμφέρῃ πρὸς οἰκονομίαν· δύο γὰρ οἰκόπεδα ἑκάστῳ ἔνειμε διελὼν χωρίς, χαλεπὸν δὲ οἰκίας δύο οἰκεῖν. ἡ δὲ σύνταξις ὅλη βούλεται μὲν εἶναι μήτε δημοκρατία μήτε ὀλιγαρχία, μέση δὲ τούτων, ἣν καλοῦσι πολιτείαν· ἐκ γὰρ τῶν ὁπλιτευόντων ἐστίν. εἰ μὲν οὖν ὡς κοινοτάτην ταύτην κατασκευάζει ταῖς πόλεσι τῶν ἄλλων πολιτείαν, καλῶς εἴρηκεν ἴσως, εἰ δ' ὡς ἀρίστην μετὰ τὴν πρώτην πολιτείαν, οὐ καλῶς· τάχα γὰρ τὴν τῶν Λακώνων ἄν τις ἐπαινέσειε μᾶλλον, ἢ κἂν ἄλλην τινὰ ἀριστοκρατικωτέραν. ἔνιοι μὲν οὖν λέγουσιν ὡς δεῖ τὴν ἀρίστην πολιτείαν ἐξ ἁπασῶν εἶναι τῶν πολιτειῶν μεμιγμένην, διὸ καὶ τὴν τῶν Λακεδαιμονίων ἐπαινοῦσιν· εἶναι γὰρ αὐτὴν οἱ μὲν ἐξ ὀλιγαρχίας καὶ μοναρχίας καὶ δημοκρατίας φασίν, λέγοντες τὴν μὲν βασιλείαν μοναρχίαν, τὴν δὲ τῶν γερόντων ἀρχὴν ὀλιγαρχίαν, δημοκρατεῖσθαι δὲ κατὰ τὴν τῶν ἐφόρων ἀρχὴν διὰ τὸ ἐκ τοῦ δήμου εἶναι τοὺς ἐφόρους· οἱ δὲ τὴν μὲν ἐφορείαν εἶναι τυραννίδα, δημοκρατεῖσθαι δὲ κατά τε τὰ συσσίτια καὶ τὸν ἄλλον βίον τὸν

6. δίδωσιν U^b. ‖ 7. τῶν ἀναγκαίων om I^b. ‖ 18. μηδὲν om Q^b. ‖ 34. τῷ] τὸ T^bU^b. ‖ 35. ἀρεταὶ $I^bQ^bT^b$. ‖ 36. οὐκέτι U^b. ‖ σώφρονος T^b. ‖ 41. ὁποσονοῦν U^b, ὅσων νῦν T^b.

21. δεῖ T^b. ‖ 24. τῶν om U^b. ‖ 25. συμφέρει pr I^b. ‖ 34. πολιτῶν T^b. ‖ 40. ἐφορείαν I^b: ceteri ἐφορίαν.

καθ' ἡμέραν. ἐν δὲ τοῖς νόμοις εἴρηται τύτοις ὡς δέον συγκεῖσθαι τὴν ἀρίςην πολιτείαν ἐκ δημοκρατίας καὶ τυραννίδος, ἃς ἢ τὸ παράπαν ὐκ ἄν τις θείη πολιτείας ἢ χειρίςας πασῶν. βέλτιον ὖν λέγυσιν οἱ πλείυς μιγνύντες· ἡ γὰρ ἐκ πλειόνων συγκειμένη πολιτεία βελτίων. ἔπειτ' οὐδ' ἔχυσα φαίνεται μοναρχικὸν ὐδέν, ἀλλ' ὀλιγαρχικὰ καὶ δημοκρατικά· μᾶλλον δ' ἐγκλίνειν βούλεται πρὸς τὴν ὀλιγαρχίαν. δῆλον δ' ἐκ τῆς τῶν ἀρχόντων καταςάσεως· τὸ μὲν γὰρ ἐξ αἱρετῶν κληρωτὺς κοινὸν ἀμφοῖν, τὸ δὲ τοῖς μὲν εὐπορωτέροις ἐπάναγκες ἐκκλησιάζειν εἶναι καὶ φέρειν ἄρχοντας ἤ τι ποιεῖν ἄλλο τῶν πολιτικῶν, τὺς δ' ἀφεῖσθαι, τῦτο δ' ὀλιγαρχικόν, καὶ τὸ πειρᾶσθαι πλείυς ἐκ τῶν εὐπόρων εἶναι τὺς ἄρχοντας, καὶ τὰς μεγίςας ἐκ τῶν μεγίςων τιμημάτων. ὀλιγαρχικὴν δὲ ποιεῖ καὶ τὴν τῆς βυλῆς αἵρεσιν· αἱρῦνται μὲν γὰρ πάντες ἐπάναγκες, ἀλλ' ἐκ τοῦ πρώτυ τιμήματος, εἶτα πάλιν ἴσυς ἐκ τῦ δευτέρυ, εἶτ' ἐκ τῶν τρίτων. πλὴν ὐ πᾶσιν ἐπάναγκες ἦν τοῖς ἐκ τῶν τρίτων ἢ τετάρτων, ἐκ δὲ τῦ τετάρτυ τῶν τετάρτων μόνοις ἐπάναγκες τοῖς πρώτοις καὶ τοῖς δευτέροις. εἶτ' ἐκ τύτων ἴσον ἀφ' ἑκάςυ τιμήματος ἀποδεῖξαί φησι δεῖν ἀριθμόν. ἔσονται δὴ πλείυς οἱ ἐκ τῶν μεγίςων τιμημάτων καὶ βελτίους διὰ τὸ ἐνίυς μὴ αἱρεῖσθαι τῶν δημοτικῶν διὰ τὸ μὴ ἐπάναγκες. ὡς μὲν ὖν ὐκ ἐκ δημοκρατίας καὶ μοναρχίας δεῖ συνιςάναι τὴν τοιαύτην πολιτείαν, ἐκ τύτων φανερὸν καὶ τῶν ὕςερον ῥηθησομένων, ὅταν ἐπιβάλλῃ περὶ τῆς τοιαύτης πολιτείας ἡ σκέψις· ἔχει δὲ καὶ περὶ τὴν αἵρεσιν τῶν ἀρχόντων τὸ ἐξ αἱρετῶν αἱρετὺς ἐπικίνδυνον· εἰ γάρ τινες συςῆναι θέλυσι καὶ μέτριοι τὸ πλῆθος, ἀεὶ κατὰ τὴν τύτων αἱρεθήσονται βούλησιν. τὰ μὲν οὖν περὶ τὴν πολιτείαν τὴν ἐν τοῖς νόμοις τοῦτον ἔχει τὸν τρόπον.

7 Εἰσὶ δέ τινες πολιτεῖαι καὶ ἄλλαι, αἱ μὲν ἰδιωτῶν αἱ δὲ φιλοσόφων καὶ πολιτικῶν, πᾶσαι δὲ τῶν καθεςηκυιῶν, καὶ καθ' ἃς πολιτεύονται νῦν, ἐγγύτερόν εἰσι τύτων ἀμφοτέρων· ὐδεὶς γὰρ ὔτε τὴν περὶ τὰ τέκνα κοινότητα καὶ τὰς γυναῖκας ἄλλος κεκαινοτόμηκεν, ὔτε περὶ τὰ συσσίτια τῶν γυναικῶν, ἀλλ' ἀπὸ τῶν ἀναγκαίων ἄρχονται μᾶλλον. δοκεῖ γάρ τισι τὸ περὶ τὰς οὐσίας εἶναι μέγιστον τετάχθαι καλῶς· περὶ γὰρ τούτων ποιεῖσθαί φασι τὰς ςάσεις πάντας. διὸ Φαλέας ὁ Χαλκηδόνιος τοῦτ' εἰσήνεγκε πρῶτος· φησὶ γὰρ δεῖν ἴσας εἶναι τὰς κτήσεις τῶν πολιτῶν. τοῦτο δὲ κατοικιζομέναις μὲν εὐθὺς οὐ χαλεπὸν ᾤετο ποιε δ' ἤδη κατοικουμένας ἐργωδέςερον μέν, ὅμως δὲ τά; ὁμαλισθῆναι τῷ τὰς προῖκας τοὺς μὲν πλυσίυς διδό λαμβάνειν δὲ μή, τὺς δὲ πένητας μὴ διδόναι μὲν λ νειν δέ. Πλάτων δὲ τοὺς νόμους γράφων μέχρι μ ᾤετο δεῖν ἐᾶν, πλεῖον δὲ τοῦ πενταπλασίαν εἶναι τ χίςης μηδενὶ τῶν πολιτῶν ἐξυσίαν εἶναι κτήσασθαι, περ εἴρηται καὶ πρότερον. δεῖ δὲ μηδὲ τῦτο λανθάν ὕτω νομοθετῦντας, ὃ λανθάνει νῦν, ὅτι τὸ τῆς ὐσίας τας πλῆθος προσήκει καὶ τῶν τέκνων τὸ πλῆθος ἐὰν γὰρ ὑπεραίρῃ τῆς ὐσίας τὸ μέγεθος ὁ τῶν τέκνω μός, ἀνάγκη τόν γε νόμον λύεσθαι, καὶ χωρὶς τῆς φαῦλον τὸ πολλοὺς ἐκ πλουσίων γίνεσθαι πένητας γὰρ μὴ νεωτεροποιὺς εἶναι τοὺς τοιύτυς. διότι μὲν ο τινὰ δύναμιν εἰς τὴν πολιτικὴν κοινωνίαν ἡ τῆς ὐσία λότης, καὶ τῶν πάλαι τινὲς φαίνονται διεγνωκότες, Σόλων ἐνομοθέτησεν, καὶ παρ' ἄλλοις ἐςὶ νόμος ὃς κτᾶσθαι γῆν ὁπόσην ἂν βούληταί τις. ὁμοίως δὲ κ οὐσίαν πωλεῖν οἱ νόμοι κωλύουσιν, ὥσπερ ἐν Λοκροῖς ἐςὶ μὴ πωλεῖν, ἐὰν μὴ φανερὰν ἀτυχίαν δείξῃ συμ κυῖαν. ἔτι δὲ τὺς παλαιὺς κλήρυς διασώζειν. τῦτο δὲ καὶ περὶ Λευκάδα δημοτικὴν ἐποίησε λίαν τὴν πο αὐτῶν· ὐ γὰρ ἔτι συνέβαινεν ἀπὸ τῶν ὡρισμένων τιμ των εἰς τὰς ἀρχὰς βαδίζειν. ἀλλ' ἔστι τὴν ἰσότητ ὑπάρχειν τῆς οὐσίας, ταύτην δ' ἢ λίαν εἶναι πολλήν, τρυφᾶν, ἢ λίαν ὀλίγην, ὥστε ζῆν γλίσχρως. δῆλον ὐχ ἱκανὸν τὸ τὰς ὐσίας ἴσας ποιῆσαι τὸν νομοθέτην, τοῦ μέσυ ςοχαςέον. ἔτι δ' εἴ τις καὶ τὴν μετρίαν τά ὐσίαν πᾶσιν, οὐδὲν ὄφελος· μᾶλλον γὰρ δεῖ τὰς ἐπιθυ ὁμαλίζειν ἢ τὰς οὐσίας, τῦτο δ' οὐκ ἔςι μὴ παιδευομέ ἱκανῶς ὑπὸ τῶν νόμων. ἀλλ' ἴσως εἴποι ἂν ὁ Φαλέας ταῦτα τυγχάνει λέγων αὐτός· οἴεται γὰρ δυοῖν τύτοιν τητα δεῖν ὑπάρχειν ταῖς πόλεσιν, κτήσεως καὶ παιδ ἀλλὰ τήν τε παιδείαν ἥτις ἔσται δεῖ λέγειν, καὶ τὸ εἶναι καὶ τὴν αὐτὴν οὐδὲν ὄφελος· ἔςι γὰρ τὴν αὐτὴν εἶναι καὶ μίαν, ἀλλὰ ταύτην εἶναι τοιαύτην ἐξ ἧς ἔσ προαιρετικοὶ τῦ πλεονεκτεῖν ἢ χρημάτων ἢ τιμῆς ἢ συ φοτέρων. ἔτι ςασιάζουσιν οὐ μόνον διὰ τὴν ἀνισότητ κτήσεως, ἀλλὰ καὶ διὰ τὴν τῶν τιμῶν. τοὐναντίον δὲ ἑκάτερον· οἱ μὲν γὰρ πολλοὶ διὰ τὸ περὶ τὰς κτήσεις

1. ὐν] εἰ U^b. ‖ 3. χειρίςυς I^b. ‖ 15. μὲν γὰρ] δὲ Q^b. ‖ 23. συνεςάναι rc I^b. ‖ 26. τὸ om U^b. ‖ 27. αἱρετὰς U^b. ‖ 39. τον Q^b. ‖ 40. γὰρ om U^b.

2. δ' ἤδη interpres: codices δή. ‖ 4. τὺς — 5. δέ om I^b. ‖ 12. τὸν γενόμενον U^b. ‖ 18. ὁπέςην T^b. ‖ 19. νόμος] νόμοις l 24. ἔστι] εἰς Q^bT^b, εἰς τὸ U^b et pr I^b.

ρόντων αἱρετῶν. τὰς δὲ κρίσεις ἐν τοῖς δικαστηρίοις οὐ διὰ ψηφοφορίας ᾤετο γίνεσθαι δεῖν, ἀλλὰ φέρειν ἕκαστον πινάκιον, ἐν ᾧ γράφειν, εἰ καταδικάζοι ἁπλῶς τὴν δίκην, εἰ δ' ἀπολύοι ἁπλῶς, κενόν· εἰ δὲ τὸ μὲν τὸ δὲ μή, τοῦτο διορίζειν. νῦν γὰρ οὐκ ᾤετο νενομοθετῆσθαι καλῶς· ἀναγκάζειν γὰρ ἐπιορκεῖν ἢ ταῦτα ἢ ταῦτα δικάζοντας. ἐτίθει δὲ νόμον περὶ τῶν εὑρισκόντων τι τῇ πόλει συμφέρον, ὅπως τυγχάνωσι τιμῆς, καὶ τοῖς παισὶ τῶν ἐν τῷ πολέμῳ τελευτώντων ἐκ δημοσίου γίνεσθαι τὴν τροφήν, ὡς οὔπω τοῦτο παρ' ἄλλοις νενομοθετημένον· ἔστι δὲ καὶ ἐν Ἀθήναις οὗτος ὁ νόμος νῦν καὶ ἐν ἑτέραις τῶν πόλεων. τοὺς δ' ἄρχοντας αἱρετοὺς ὑπὸ τοῦ δήμου εἶναι πάντας· δῆμον δ' ἐποίει τὰ τρία μέρη τῆς πόλεως· τοὺς δ' αἱρεθέντας ἐπιμελεῖσθαι κοινῶν καὶ ξενικῶν καὶ ὀρφανικῶν. τὰ μὲν οὖν πλεῖστα καὶ τὰ μάλιστα ἀξιόλογα τῆς Ἱπποδάμου τάξεως ταῦτ' ἐστίν. ἀπορήσειε δ' ἄν τις πρῶτον μὲν τὴν διαίρεσιν τοῦ πλήθους τῶν πολιτῶν. οἵ τε γὰρ τεχνῖται καὶ οἱ γεωργοὶ καὶ οἱ τὰ ὅπλα ἔχοντες κοινωνοῦσι τῆς πολιτείας πάντες, οἱ μὲν γεωργοὶ οὐκ ἔχοντες ὅπλα, οἱ δὲ τεχνῖται οὔτε γῆν οὔτε ὅπλα, ὥστε γίνονται σχεδὸν δοῦλοι τῶν τὰ ὅπλα κεκτημένων. μετέχειν μὲν οὖν πασῶν τῶν τιμῶν ἀδύνατον· ἀνάγκη γὰρ ἐκ τῶν τὰ ὅπλα ἐχόντων καθίστασθαι καὶ στρατηγοὺς καὶ πολιτοφύλακας καὶ τὰς κυριωτάτας ἀρχὰς ὡς εἰπεῖν· μὴ μετέχοντας δὲ τῆς πολιτείας πῶς οἷόν τε φιλικῶς ἔχειν πρὸς τὴν πολιτείαν; ἀλλὰ δεῖ κρείττους εἶναι τοὺς τὰ ὅπλα γε κεκτημένους ἀμφοτέρων τῶν μερῶν· τοῦτο δ' οὐ ῥᾴδιον μὴ πολλοὺς ὄντας. εἰ δὲ τοῦτ' ἔσται, τί δεῖ τοὺς ἄλλους μετέχειν τῆς πολιτείας καὶ κυρίους εἶναι τῆς τῶν ἀρχόντων καταστάσεως; ἔτι οἱ γεωργοὶ τί χρήσιμοι τῇ πόλει; τεχνίτας μὲν γὰρ ἀναγκαῖον εἶναι· πᾶσα γὰρ δεῖται πόλις τεχνιτῶν, καὶ δύνανται διαγίγνεσθαι καθάπερ ἐν ταῖς ἄλλαις πόλεσιν ἀπὸ τῆς τέχνης· οἱ δὲ γεωργοὶ πορίζοντες μὲν τοῖς τὰ ὅπλα κεκτημένοις τὴν τροφὴν εὐλόγως ἂν ἦσάν τι τῆς πόλεως μέρος, νῦν δ' ἰδίαν ἔχουσιν, καὶ ταύτην ἰδίᾳ γεωργοῦσιν. ἔτι δὲ τὴν κοινήν, ἀφ' ἧς οἱ προπολεμοῦντες ἕξουσι τὴν τροφήν, εἰ μὲν αὐτοὶ γεωργήσουσιν, οὐκ ἂν εἴη τὸ μάχιμον ἕτερον καὶ τὸ γεωργοῦν, βούλεται δ' ὁ νομοθέτης· εἰ δ' ἕτεροί τινες ἔσονται τῶν τε τὰ ἴδια γεωργούντων καὶ τῶν μαχίμων, τέταρτον αὖ μόριον ἔσται τοῦτο τῆς πόλεως, οὐδενὸς μετέχον, ἀλλ' ἀλλότριον τῆς πολιτείας. ἀλλὰ μὴν εἴ τις τοὺς αὐτοὺς θήσει τούς τε τὴν ἰδίαν καὶ τοὺς τὴν κοινὴν γεωργοῦντας, τό τε πλῆθος ἄπορον ἔσται τῶν καρπῶν ἐξ ὧν

ἕκαστος γεωργήσει δύο οἰκίας, καὶ τίνος ἕνεκεν οὐ
ἀπὸ τῆς γῆς καὶ τῶν αὐτῶν κλήρων αὐτοῖς τε τὴν
λήψονται καὶ τοῖς μαχίμοις παρέξουσιν; ταῦτα δ
πολλὴν ἔχει ταραχήν. οὐ καλῶς δ' οὐδ' ὁ περὶ τῆς
ἔχει νόμος, τὸ κρίνειν ἀξιοῦν διαιροῦντα τῆς κρίσεω
γεγραμμένης, καὶ γίνεσθαι τὸν δικαστὴν διαιτητήν.
ἐν μὲν τῇ διαίτῃ καὶ πλείοσιν ἐνδέχεται (κοινολ
γὰρ ἀλλήλοις περὶ τῆς κρίσεως), ἐν δὲ τοῖς δικασ
ἔστιν, ἀλλὰ καὶ τοὐναντίον τούτῳ τῶν νομοθετῶν ο
παρασκευάζουσιν ὅπως οἱ δικασταὶ μὴ κοινολογῶν
ἀλλήλους. ἔπειτα πῶς οὐκ ἔσται ταραχώδης ἡ κρίσ
ὀφείλειν μὲν ὁ δικαστὴς οἴηται, μὴ τοσοῦτον δ' ὅσ
καζόμενος; ὁ μὲν γὰρ εἴκοσι μνᾶς, ὁ δὲ δικαστ
δέκα μνᾶς, ἢ ὁ μὲν πλέον, ὁ δ' ἔλασσον, ἄλλος
ὁ δὲ τέτταρας· καὶ τοῦτον δὴ τὸν τρόπον δῆλον ὅτ
σιν, οἱ δὲ πάντα καταδικάσουσιν, οἱ δ' οὐδέν. τίς ο
πος ἔσται τῆς διαλογῆς τῶν ψήφων; ἔτι δ' οὐδεὶς
ἀναγκάζει τὸν ἁπλῶς ἀποδικάσαντα ἢ καταδικ
εἴπερ ἁπλῶς τὸ ἔγκλημα γέγραπται δικαίως· οὐ γ
δὲν ὀφείλειν ὁ ἀποδικάσας κρίνει, ἀλλὰ τὰς εἴκοσ
ἀλλ' ἐκεῖνος ἤδη ἐπιορκεῖ ὁ καταδικάσας μὴ νομίζ
λειν τὰς εἴκοσι μνᾶς. περὶ δὲ τοῦ τοῖς εὑρίσκουσί τι
λει συμφέρον ὡς δεῖ γίνεσθαί τινα τιμήν, οὐκ ἔστ
λὲς τὸ νομοθετεῖν, ἀλλ' εὐόφθαλμον ἀκοῦσαι μόνον
γὰρ συκοφαντίας καὶ κινήσεις, ἂν τύχῃ, πολιτεία
πίπτει δ' εἰς ἄλλο πρόβλημα καὶ σκέψιν ἑτέραν·
γάρ τινες πότερον βλαβερὸν ἢ συμφέρον ταῖς πόλ
κινεῖν τοὺς πατρίους νόμους, ἂν ᾖ τις ἄλλος βελτίων.
οὐ ῥᾴδιον τῷ λεχθέντι ταχὺ συγχωρεῖν, εἴπερ μὴ σ
ρει κινεῖν. ἐνδέχεται δ' εἰσηγεῖσθαί τινας νόμων λύ
πολιτείας ὡς κοινὸν ἀγαθόν. ἐπεὶ δὲ πεποιήμεθα μ
ἔτι μικρὰ περὶ αὐτοῦ διαστείλασθαι βέλτιον. ἔχει
ὥσπερ εἴπομεν, ἀπορίαν, καὶ δόξειεν ἂν βέλτιον εἶ
κινεῖν· ἐπὶ γοῦν τῶν ἄλλων ἐπιστημῶν τοῦτο συνε
οἷον ἰατρικὴ κινηθεῖσα παρὰ τὰ πάτρια καὶ γυμνα
καὶ ὅλως αἱ τέχναι πᾶσαι καὶ αἱ δυνάμεις, ὥστ' ἐπε
τούτων θετέον καὶ τὴν πολιτικήν, δῆλον ὅτι καὶ περὶ τ
ἀναγκαῖον ὁμοίως ἔχειν. σημεῖον δ' ἂν γεγονέναι φ
ἐπ' αὐτῶν τῶν ἔργων· τοὺς γὰρ ἀρχαίους νόμους λίαν
εἶναι καὶ βαρβαρικούς. ἐσιδηροφοροῦντό τε γὰρ οἱ Ἕ
νες, καὶ τὰς γυναῖκας ἐωνοῦντο παρ' ἀλλήλων. ὅ
λοιπὰ τῶν ἀρχαίων ἐστί που νομίμων, εὐήθη πάμπα

3. καταδικάζει pr I^b. ‖ 4. ἀπολύει Q^b. ‖ 11. ἑτέροις I^bT^b. ‖ 34. γεωργήσουσιν $I^bQ^bT^b$. ‖ 39. αὖ] οὖν T^b.
12. μὲν ὁ] codices ὁ μὲν. ‖ 15. δὴ] δὲ Q^bT^b. ‖ 40. τε om Q^bT^b.

Κύμῃ περὶ τὰ φονικὰ νόμος ἐστίν, ἂν πλῆθός τι στηται μαρτύρων ὁ διώκων τὸν φόνον τῶν αὑτοῦ συγ- ἔνοχον εἶναι τῷ φόνῳ τὸν φεύγοντα. ζητοῦσι δ' ὐ τὸ πάτριον ἀλλὰ τἀγαθὸν πάντες· εἰκός τε τοὺς εἴτε γηγενεῖς ἦσαν εἴτ' ἐκ φθορᾶς τινὸς ἐσώθησαν, εἶναι καὶ τοὺς τυχόντας καὶ τοὺς ἀνοήτους, ὥσπερ καὶ ι κατὰ τῶν γηγενῶν, ὥστ' ἄτοπον τὸ μένειν ἐν τοῖς δόγμασιν. πρὸς δὲ τούτοις οὐδὲ τοὺς γεγραμμένους ἐᾶν ς βέλτιον. ὥσπερ γὰρ καὶ περὶ τὰς ἄλλας τέχνας, πολιτικὴν τάξιν ἀδύνατον ἀκριβῶς πάντα γραφῆ- ιθόλου γὰρ ἀναγκαῖον γραφῆναι, αἱ δὲ πράξεις περὶ θ' ἕκαστόν εἰσιν. ἐκ μὲν οὖν τούτων φανερὸν ὅτι κινη- ὶ τινὲς καὶ ποτὲ τῶν νόμων εἰσίν, ἄλλον δὲ τρόπον τοῦσιν εὐλαβείας ἂν δόξειεν εἶναι πολλῆς. ὅταν γὰρ ὲν βέλτιον μικρόν, τὸ δ' ἐθίζειν εὐχερῶς λύειν τοὺς φαῦλον, φανερὸν ὡς ἐατέον ἐνίας ἁμαρτίας καὶ τῶν ῶν καὶ τῶν ἀρχόντων· οὐ γὰρ τοσοῦτον ὠφελήσεται, ὅσον βλαβήσεται τοῖς ἄρχουσιν ἀπειθεῖν ἐθισθείς. δὲ καὶ τὸ παράδειγμα τὸ περὶ τῶν τεχνῶν· οὐ γὰρ τὸ κινεῖν τέχνην καὶ νόμον. ὁ γὰρ νόμος ἰσχὺν ἔχει πρὸς τὸ πείθεσθαι πλὴν παρὰ τὸ ἔθος, τοῦτο νεται εἰ μὴ διὰ χρόνου πλῆθος, ὥστε τὸ ῥᾳδίως με- λειν ἐκ τῶν ὑπαρχόντων νόμων εἰς ἑτέρους νόμους ἀσθενῆ ποιεῖν ἐστὶ τὴν τοῦ νόμου δύναμιν. ἔτι δ' εἰ ητέοι, πότερον καὶ πάντες καὶ ἐν πάσῃ πολιτείᾳ, ἢ ὶ πότερον τῷ τυχόντι ἢ τισίν; ταῦτα γὰρ ἔχει με- διαφοράν. διὸ νῦν μὲν ἀφῶμεν ταύτην τὴν σκέψιν· γάρ ἐστι καιρῶν.

ερὶ δὲ τῆς Λακεδαιμονίων πολιτείας καὶ τῆς Κρη- σχεδὸν δὲ καὶ περὶ τῶν ἄλλων πολιτειῶν, δύο εἰσὶν ψεις, μία μὲν εἴ τι καλῶς ἢ μὴ καλῶς πρὸς τὴν νενομοθέτηται τάξιν, ἑτέρα δ' εἴ τι πρὸς τὴν ὑπό- ιαὶ τὸν τρόπον ὑπεναντίως τῆς προκειμένης αὐτοῖς ας. ὅτι μὲν οὖν δεῖ τῇ μελλούσῃ καλῶς πολιτεύε- ἡν τῶν ἀναγκαίων ὑπάρχειν σχολήν, ὁμολογούμενόν τίνα δὲ τρόπον ὑπάρχειν, οὐ ῥᾴδιον λαβεῖν. ἥ τε ετταλῶν πενεστεία πολλάκις ἐπέθετο τοῖς Θετταλοῖς, δὲ καὶ τοῖς Λάκωσιν οἱ Εἵλωτες· ὥσπερ γὰρ ἐφε- ες τοῖς ἀτυχήμασι διατελοῦσιν. περὶ δὲ τοὺς Κρῆτας ν τοιοῦτον συμβέβηκεν· αἴτιον δ' ἴσως τὸ τὰς γειτνιώσας πόλεις, καίπερ πολεμούσας ἀλλήλαις, μηδεμίαν εἶναι σύμμαχον τοῖς ἀφισταμένοις διὰ τὸ μὴ συμφέρειν καὶ αὐταῖς κεκτημέναις περιοίκους· τοῖς δὲ Λάκωσιν οἱ γειτνιῶντες ἐχθροὶ πάντες ἦσαν, Ἀργεῖοι καὶ Μεσσήνιοι καὶ Ἀρκάδες, ἐπεὶ καὶ τοῖς Θετταλοῖς κατ' ἀρχὰς ἀφίσταντο διὰ τὸ πολεμεῖν ἔτι τοῖς προσχώροις, Ἀχαιοῖς καὶ Περραιβοῖς καὶ Μάγνησιν. ἔοικε δὲ καὶ εἰ μηδὲν ἕτερον, ἀλλὰ τό γε τῆς ἐπιμελείας ἐργῶδες εἶναι, τίνα δεῖ πρὸς αὐτοὺς ὁμιλῆσαι τρόπον· ἀνιέμενοί τε γὰρ ὑβρίζουσι καὶ τῶν ἴσων ἀξιοῦσιν ἑαυτοὺς τοῖς κυρίοις, καὶ κακοπαθῶς ζῶντες ἐπιβουλεύουσι καὶ μισοῦσιν. δῆλον οὖν ὡς οὐκ ἐξευρίσκουσι τὸν βέλτιστον τρόπον, οἷς τοῦτο συμβαίνει περὶ τὴν εἱλωτείαν. ἔτι δ' ἡ περὶ τὰς γυναῖκας ἄνεσις καὶ πρὸς τὴν προαίρεσιν τῆς πολιτείας βλαβερὰ καὶ πρὸς εὐδαιμονίαν πόλεως. ὥσπερ γὰρ οἰκίας μέρος ἀνὴρ καὶ γυνή, δῆλον ὅτι καὶ πόλιν ἐγγὺς τοῦ δίχα διῃρῆσθαι δεῖ νομίζειν εἴς τε τὸ τῶν ἀνδρῶν πλῆθος καὶ τὸ τῶν γυναικῶν, ὥστ' ἐν ὅσαις πολιτείαις φαύλως ἔχει τὸ περὶ τὰς γυναῖκας, τὸ ἥμισυ τῆς πόλεως εἶναι δεῖ νομίζειν ἀνομοθέτητον. ὅπερ ἐκεῖ συμβέβηκεν· ὅλην γὰρ τὴν πόλιν ὁ νομοθέτης εἶναι βουλόμενος καρτερικήν, κατὰ μὲν τοὺς ἄνδρας φανερός ἐστι τοιοῦτος ὤν, ἐπὶ δὲ τῶν γυναικῶν ἐξημέληκεν· ζῶσι γὰρ ἀκολάστως πρὸς ἅπασαν ἀκολασίαν καὶ τρυφερῶς. ὥστ' ἀναγκαῖον ἐν τῇ τοιαύτῃ πολιτείᾳ τιμᾶσθαι τὸν πλοῦτον, ἄλλως τε κἂν τύχωσι γυναικοκρατούμενοι, καθάπερ τὰ πολλὰ τῶν στρατιωτικῶν καὶ πολεμικῶν γενῶν, ἔξω Κελτῶν ἢ κἂν εἴ τινες ἕτεροι φανερῶς τετιμήκασι τὴν πρὸς τοὺς ἄρρενας συνουσίαν. ἔοικε γὰρ ὁ μυθολογήσας πρῶτος οὐκ ἀλόγως συζεῦξαι τὸν Ἄρη πρὸς τὴν Ἀφροδίτην· ἢ γὰρ πρὸς τὴν τῶν ἀρρένων ὁμιλίαν ἢ πρὸς τὴν τῶν γυναικῶν φαίνονται κατακώχιμοι πάντες οἱ τοιοῦτοι. διὸ παρὰ τοῖς Λάκωσι τοῦθ' ὑπῆρχεν, καὶ πολλὰ διῳκεῖτο ὑπὸ τῶν γυναικῶν ἐπὶ τῆς ἀρχῆς αὐτῶν. καίτοι τί διαφέρει γυναῖκας ἄρχειν ἢ τοὺς ἄρχοντας ὑπὸ τῶν γυναικῶν ἄρχεσθαι; ταὐτὸ γὰρ συμβαίνει. χρησίμου δ' οὔσης τῆς θρασύτητος πρὸς οὐδὲν τῶν ἐγκυκλίων, ἀλλ' εἴπερ πρὸς τὸν πόλεμον, βλαβερώταται καὶ πρὸς ταῦθ' αἱ τῶν Λακώνων ἦσαν. ἐδήλωσαν δ' ἐπὶ τῆς Θηβαίων ἐμβολῆς· χρήσιμοι μὲν γὰρ οὐδὲν ἦσαν, ὥσπερ ἐν ἑτέραις πόλεσιν, θόρυβον δὲ παρεῖχον πλείω τῶν πολεμίων. ἐξ ἀρχῆς μὲν οὖν ἔοικε συμβεβηκέναι τοῖς Λάκωσιν εὐλόγως ἡ τῶν γυ-

εἰκότες τοὺς Q^bT^b. ‖ 7. τὸ om Q^bT^b. ‖ 14. ἂν om T^b. ‖ 18. εὐθισθείς T^b. ‖ 19. γὰρ — ὁ om Q^bT^b. ‖ 21. πλὴν παρὰ]
. ‖ 23. νόμον T^b. ‖ 25. κινητέον Q^bT^b. ‖ καὶ ante πάντες om I^b. ‖ 33. αὐτοῖς] αὐτῆς Q^bT^b.
μεσήνιοι I^bT^b. ‖ 14. εὐνομίαν T^b et rc I^b. ‖ 24. τυγχάνωσι rc I^b. ‖ 25. στρατιωτῶν Q^bT^b. ‖ 28. ἄρην T^b.

ναικῶν ἄνεσις. ἔξω γὰρ τῆς οἰκείας διὰ τὰς στρατείας ἀπεξενοῦντο πολὺν χρόνον, πολεμοῦντες τόν τε πρὸς Ἀργείους πόλεμον καὶ πάλιν τὸν πρὸς Ἀρκάδας καὶ Μεσσηνίους· σχολάσαντες δὲ αὐτοὺς μὲν παρεῖχον τῷ νομοθέτῃ προωδοπεποιημένους διὰ τὸν στρατιωτικὸν βίον (πολλὰ γὰρ ἔχει μέρη τῆς ἀρετῆς), τὰς δὲ γυναῖκας φασὶ μὲν ἄγειν ἐπιχειρῆσαι τὸν Λυκοῦργον ἐπὶ τοὺς νόμους, ὡς δ' ἀντέκρουον, ἀποστῆναι πάλιν. αἰτίαι μὲν οὖν εἰσὶν αὗται τῶν γενομένων, ὥστε δῆλον ὅτι καὶ ταύτης τῆς ἁμαρτίας. ἀλλ' ἡμεῖς οὐ τοῦτο σκοποῦμεν, τίνι δεῖ συγγνώμην ἔχειν ἢ μὴ ἔχειν, ἀλλὰ περὶ τοῦ ὀρθῶς καὶ μὴ ὀρθῶς. τὰ δὲ περὶ τὰς γυναῖκας ἔχοντα μὴ καλῶς ἔοικεν, ὥσπερ ἐλέχθη καὶ πρότερον, οὐ μόνον ἀπρέπειάν τινα ποιεῖν τῆς πολιτείας αὐτὴν καθ' αὑτήν, ἀλλὰ συμβάλλεσθαί τι πρὸς τὴν φιλοχρηματίαν. μετὰ γὰρ τὰ νῦν ῥηθέντα τοῖς περὶ τὴν ἀνωμαλίαν τῆς κτήσεως ἐπιτιμήσειεν ἄν τις. τοῖς μὲν γὰρ αὐτῶν συμβέβηκε κεκτῆσθαι πολλὴν λίαν οὐσίαν, τοῖς δὲ πάμπαν μικράν· διόπερ εἰς ὀλίγους ἧκεν ἡ χώρα. τοῦτο δὲ καὶ διὰ τῶν νόμων τέτακται φαύλως· ὠνεῖσθαι μὲν γὰρ ἢ πωλεῖν τὴν ὑπάρχουσαν ἐποίησεν οὐ καλόν, ὀρθῶς ποιήσας, διδόναι δὲ καὶ καταλείπειν ἐξουσίαν ἔδωκε τοῖς βουλομένοις· καίτοι τοῦτο συμβαίνειν ἀναγκαῖον ἐκείνως τε καὶ οὕτως. ἔστι δὲ καὶ τῶν γυναικῶν σχεδὸν τῆς πάσης χώρας τῶν πέντε μερῶν τὰ δύο, τῶν τ' ἐπικλήρων πολλῶν γινομένων, καὶ διὰ τὸ προῖκας διδόναι μεγάλας. καίτοι βέλτιον ἦν μηδεμίαν ἢ ὀλίγην ἢ καὶ μετρίαν τετάχθαι. νῦν δ' ἔξεστι δοῦναί τε τὴν ἐπίκληρον ὅτῳ ἂν βούληται· κἂν ἀποθάνῃ μὴ διαθέμενος, ὃν ἂν καταλίπῃ κληρονόμον, οὗτος ᾧ ἂν θέλῃ δίδωσιν. τοιγαροῦν δυναμένης τῆς χώρας χιλίους ἱππεῖς τρέφειν καὶ πεντακοσίους καὶ ὁπλίτας τρισμυρίους, οὐδὲ χίλιοι τὸ πλῆθος ἦσαν. γέγονε δὲ διὰ τῶν ἔργων αὐτῶν δῆλον ὅτι φαύλως αὐτοῖς εἶχε τὰ περὶ τὴν τάξιν ταύτην· μίαν γὰρ πληγὴν οὐχ ὑπήνεγκεν ἡ πόλις, ἀλλ' ἀπώλετο διὰ τὴν ὀλιγανθρωπίαν. λέγουσι δ' ὡς ἐπὶ μὲν τῶν προτέρων βασιλέων μετεδίδοσαν τῆς πολιτείας, ὥστ' οὐ γίνεσθαι τότε ὀλιγανθρωπίαν πολεμούντων πολὺν χρόνον· καί φασιν εἶναί ποτε τοῖς Σπαρτιάταις καὶ μυρίους. οὐ μὴν ἀλλ' εἴτ' ἐστὶν ἀληθῆ ταῦτα εἴτε μή, βέλτιον τὸ διὰ τῆς κτήσεως ὡμαλισμένης πληθύειν ἀνδρῶν τὴν πόλιν. ὑπεναντίος δὲ καὶ ὁ περὶ τὴν τεκνοποιίαν νόμος πρὸς ταύτην τὴν διόρθω-

σιν. βουλόμενος γὰρ ὁ νομοθέτης ὡς πλείστους ε
Σπαρτιάτας, προάγεται τοὺς πολίτας ὅτι πλείστους
παῖδας· ἔστι γὰρ αὐτοῖς νόμος τὸν μὲν γεννήσα
υἱοὺς ἄφρουρον εἶναι, τὸν δὲ τέτταρας ἀτελῆ πάντω
φανερὸν ὅτι πολλῶν γινομένων, τῆς δὲ χώρας οὕ
μένης, ἀναγκαῖον πολλοὺς γίνεσθαι πένητας. ἀ
καὶ τὰ περὶ τὴν ἐφορείαν ἔχει φαύλως· ἡ γὰρ
ρία μὲν αὐτὴ τῶν μεγίστων αὐτοῖς ἐστίν, γίνονται
δήμου πάντες, ὥστε πολλάκις ἐμπίπτουσιν ἄνθρωπο
πένητες εἰς τὸ ἀρχεῖον, οἳ διὰ τὴν ἀπορίαν ὤ
ἐδήλωσαν δὲ πολλάκις μὲν καὶ πρότερον, καὶ
τοῖς Ἀνδρίοις· διαφθαρέντες γὰρ ἀργυρίῳ τινές,
ἑαυτοῖς, ὅλην τὴν πόλιν ἀπώλεσαν. καὶ διὰ τὸ
χὴν εἶναι λίαν μεγάλην καὶ ἰσοτύραννον δη
αὐτοὺς ἠναγκάζοντο καὶ οἱ βασιλεῖς, ὥστε καὶ τα
επιβλάπτεσθαι τὴν πολιτείαν· δημοκρατία γὰρ ἐ
κρατίας συνέβαινεν. συνέχει μὲν οὖν τὴν πολιτεία
χεῖον τοῦτο· ἡσυχάζει γὰρ ὁ δῆμος διὰ τὸ μετέ
μεγίστης ἀρχῆς, ὥστ' εἴτε διὰ τὸν νομοθέτην εἴτε
χην τοῦτο συμπέπτωκεν, συμφερόντως ἔχει τοῖς πρά
δεῖ γὰρ τὴν πολιτείαν τὴν μέλλουσαν σῴζεσθαι πά
λεσθαι τὰ μέρη τῆς πόλεως εἶναι καὶ διαμένειν
οἱ μὲν οὖν βασιλεῖς διὰ τὴν αὑτῶν τιμὴν οὕτως ἔχ
δὲ καλοὶ κἀγαθοὶ διὰ τὴν γερουσίαν (ἆθλον γὰρ
αὕτη τῆς ἀρετῆς ἐστίν), ὁ δὲ δῆμος διὰ τὴν ἐφορεία
θίσταται γὰρ ἐξ ἁπάντων. ἀλλ' αἱρετὴν ἔδει τὴν
εἶναι ταύτην ἐξ ἁπάντων μέν, μὴ τὸν τρόπον δὲ τὸ
νῦν· παιδαριώδης γάρ ἐστι λίαν. ἔτι δὲ καὶ κρίσε
μεγάλων κύριοι, ὄντες οἱ τυχόντες, διόπερ οὐκ αὐτο
νας βέλτιον κρίνειν ἀλλὰ κατὰ τὰ γράμματα καὶ
νόμους. ἔστι δὲ καὶ ἡ δίαιτα τῶν ἐφόρων οὐχ ὁμολογ
τῷ βουλήματι τῆς πόλεως· αὐτὴ μὲν γὰρ ἀνειμένη
ἐστίν, ἐν δὲ τοῖς ἄλλοις μᾶλλον ὑπερβάλλει ἐπὶ τὸ
ρόν, ὥστε μὴ δύνασθαι καρτερεῖν ἀλλὰ λάθρᾳ τὸν
ἀποδιδράσκοντας ἀπολαύειν τῶν σωματικῶν ἡδονῶν.
δὲ καὶ τὰ περὶ τὴν τῶν γερόντων ἀρχὴν οὐ καλῶς
ἐπιεικῶν μὲν γὰρ ὄντων καὶ πεπαιδευμένων ἱκανῶ
ἀνδραγαθίαν τάχ' ἂν εἴπειέ τις συμφέρειν τῇ πόλε
τοι τό γε διὰ βίου κυρίους εἶναι κρίσεων μεγάλων
σβητήσιμον· ἔστι γάρ, ὥσπερ καὶ σώματος, καὶ δ

3. μεσηνίους I^b. ‖ 11. τοῦ] τὰ Q^bT^b. ‖ 21. καὶ om Q^b. ‖ 22. συμβαίνει T^b. ‖ 24. πέντε] πάντων T^b. ‖ 37. κυρίως T^b. διὰ τῆς] τῆς διὰ T^b.

16. ἀριστοκρατείας $I^bQ^bT^b$. ‖ 17. ἀρχαῖον Q^bT^b. ‖ 25. ἐφορίαν T^b. ‖ 30. τὰ om I^b. ‖ 31. καὶ om pr I^b. ‖ 38. Q^bT^b.

τες τοῖς δὲ Κρησὶν οἱ περίοικοι, καὶ συσσίτια παρ' ἀμφοτέροις ἐςίν· καὶ τό γε ἀρχαῖον ἐκάλυν οἱ Λάκωνες ὐ φιδίτια ἀλλ' ἄνδρια, καθάπερ οἱ Κρῆτες, ᾗ καὶ δῆλον ὅτι ἐκεῖθεν ἐλήλυθεν. ἔτι δὲ τῆς πολιτείας ἡ τάξις. οἱ μὲν γὰρ ἔφοροι τὴν αὐτὴν ἔχουσι δύναμιν τοῖς ἐν τῇ Κρήτῃ καλυμένοις κόσμοις, πλὴν οἱ μὲν ἔφοροι πέντε τὸν ἀριθμὸν οἱ δὲ κόσμοι δέκα εἰσίν· οἱ δὲ γέροντες τοῖς γέρυσιν, ὓς καλῦσιν οἱ Κρῆτες βυλήν, ἴσοι. βασιλεία δὲ πρότερον μὲν ἦν, εἶτα κατέλυσαν οἱ Κρῆτες, καὶ τὴν ἡγεμονίαν οἱ κόσμοι τὴν κατὰ πόλεμον ἔχυσιν. ἐκκλησίας δὲ μετέχυσι πάντες· κυρία δ' ὐδενός ἐςιν ἀλλ' ἢ συνεπιψηφίσαι τὰ δόξαντα τοῖς γέρυσι καὶ τοῖς κόσμοις. τὰ μὲν ὖν τῶν συσσιτίων ἔχει βέλτιον τοῖς Κρησὶν ἢ τοῖς Λάκωσιν. ἐν μὲν γὰρ Λακεδαίμονι κατὰ κεφαλὴν ἕκαςος εἰσφέρει τὸ τεταγμένον· εἰ δὲ μή, μετέχειν νόμος κωλύει τῆς πολιτείας, καθάπερ εἴρηται καὶ πρότερον. ἐν δὲ Κρήτῃ κοινοτέρως· ἀπὸ πάντων γὰρ τῶν γινομένων καρπῶν τε καὶ βοσκημάτων καὶ ἐκ τῶν δημοσίων καὶ φόρων ὓς φέρυσιν οἱ περίοικοι, τέτακται μέρος τὸ μὲν πρὸς τὺς θεὺς καὶ τὰς κοινὰς λειτουργίας, τὸ δὲ τοῖς συσσιτίοις, ὥς' ἐκ κοινῦ τρέφεσθαι πάντας, καὶ γυναῖκας καὶ παῖδας καὶ ἄνδρας. πρὸς δὲ τὴν ὀλιγοσιτίαν ὡς ὠφέλιμον πολλὰ πεφιλοσόφηκεν ὁ νομοθέτης, καὶ πρὸς τὴν διάζευξιν τῶν γυναικῶν, ἵνα μὴ πολυτεκνῶσι, τὴν πρὸς τὺς ἄρρενας ποιήσας ὁμιλίαν, περὶ ἧς εἰ φαύλως ἢ μὴ φαύλως, ἕτερος ἔςαι τῦ διασκέψασθαι καιρός. ὅτι δὲ τὰ περὶ τὰ συσσίτια βέλτιον τέτακται τοῖς Κρησὶν ἢ τοῖς Λάκωσι, φανερόν. τὰ δὲ περὶ τοὺς κόσμους ἔτι χεῖρον τῶν ἐφόρων. ὃ μὲν γὰρ ἔχει κακὸν τὸ τῶν ἐφόρων ἀρχεῖον, ὑπάρχει καὶ τύτων· γίνονται γὰρ οἱ τυχόντες· ὃ δ' ἐκεῖ συμφέρει πρὸς τὴν πολιτείαν, ἐνταῦθ' ὐκ ἔςιν. ἐκεῖ μὲν γάρ, διὰ τὸ τὴν αἵρεσιν ἐκ πάντων εἶναι, μετέχων ὁ δῆμος τῆς μεγίςης ἀρχῆς βύλεται μένειν τὴν πολιτείαν· ἐνταῦθα δ' ὐκ ἐξ ἁπάντων αἱρῦνται τὺς κόσμυς ἀλλ' ἐκ τινῶν γενῶν, καὶ τὺς γέροντας ἐκ τῶν κεκοσμηκότων. περὶ ὧν τὺς αὐτὺς ἄν τις εἴπειε λόγους καὶ περὶ τῶν ἐν Λακεδαίμονι γινομένων· τὸ γὰρ ἀνυπεύθυνον καὶ τὸ διὰ βίου μεῖζόν ἐστι γέρας τῆς ἀξίας αὐτοῖς, καὶ τὸ μὴ κατὰ γράμματα ἄρχειν ἀλλ' αὐτογνώμονας ἐπισφαλές. τὸ δ' ἡσυχάζειν μὴ μετέχοντα τὸν δῆμον οὐδὲν σημεῖον τοῦ τετάχθαι καλῶς· οὐδὲ γὰρ λήμματός τι τοῖς κόσμοις ὥσπερ τοῖς ἐφόροις, πόρρω γ'

ἀποικῦσιν ἐν νήσῳ τῶν διαφθερύντων. ἣν δὲ ποιῦσι ἁμαρτίας ταύτης ἰατρείαν, ἄτοπος καὶ ὐ πολιτικὴ δυνας̣ευτική· πολλάκις γὰρ ἐκβάλλυσι συςάντες τ κόσμυς ἢ τῶν συναρχόντων αὐτῶν ἢ τῶν ἰδιωτῶν, δὲ καὶ μεταξὺ τοῖς κόσμοις ἀπειπεῖν τὴν ἀρχήν. δὴ πάντα βέλτιον γίνεσθαι κατὰ νόμον ἢ κατ' ἀ βύλησιν· ὐ γὰρ ἀσφαλὴς ὁ κανών. πάντων δὲ φα τον τὸ τῆς ἀκοσμίας τῶν δυνατῶν, ἣν καθιςᾶσι π ὅταν μὴ δίκας βύλωνται δῦναι· ᾗ καὶ δῆλον ὡς πολιτείας ἡ τάξις, ἀλλ' ὐ πολιτεία ἐςὶν ἀλλὰ δ μᾶλλον. εἰώθασι δὲ διαλαμβάνοντες τὸν δῆμον κ φίλυς μοναρχίαν ποιεῖν καὶ ςασιάζειν καὶ μάχεσθ ἀλλήλυς. καίτοι τί διαφέρει τὸ τοιῦτον ἢ διά τινο μηκέτι πόλιν εἶναι τὴν τοιαύτην, ἀλλὰ λύεσθαι λιτικὴν κοινωνίαν; ἔςι δ' ἐπικίνδυνος οὕτως ἔχουσι τῶν βυλομένων ἐπιτίθεσθαι καὶ δυναμένων. ἀλλὰ περ εἴρηται, σώζεται διὰ τὸν τόπον· ξενηλασίας πόρρω πεποίηκεν. διὸ καὶ τὸ τῶν περιοίκων μένει τὸ σίν, οἱ δ' εἵλωτες ἀφίςανται πολλάκις· ὔτε γὰρ ἔ κῆς ἀρχῆς κοινωνῦσιν οἱ Κρῆτες, νεωςί τε πόλεμος διαβέβηκεν εἰς τὴν νῆσον, ὃς πεποίηκε φανερὸν τὴν νειαν τῶν ἐκεῖ νόμων. περὶ μὲν ὖν ταύτης εἰρήσθω τ ἡμῖν τῆς πολιτείας.

Πολιτεύεσθαι δὲ δοκῦσι καὶ Καρχηδόνιοι καλῶ πολλὰ περιττῶς πρὸς τὺς ἄλλυς, μάλιςα δ' ἔνια π πλησίως τοῖς Λάκωσιν. αὗται γὰρ αἱ πολιτεῖαι τρεῖ λήλαις τε σύνεγγύς πώς εἰσι καὶ τῶν ἄλλων πολὺ φέρυσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη ἡ Καρχηδονίων, καὶ πολλὰ τῶν τεταγμένων ἔχε αὐτοῖς καλῶς. σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ δῆμον ἔχουσαν διαμένειν ἐν τῇ τάξει τῆς πολιτείας, μήτε ςάσιν, ὅ τι καὶ ἄξιον εἰπεῖν, γεγενῆσθαι μήτε ραννον. ἔχει δὲ παραπλήσια τῇ Λακωνικῇ πολιτείᾳ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν δὲ τῶν τὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρ μὲν ἐκ τῶν τυχόντων εἰσί, ταύτην δ' αἱρῦνται τὴν ἀριςίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερυσίαν ἀνὰ τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρυσιν. καὶ βέλτιον δὲ τὺς σιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος, μηδὲ τῦτο τ χόν, εἴτε διαφέρον ἐκ τύτων αἱρετὺς μᾶλλον ἢ καθ' κίαν· μεγάλων γὰρ κύριοι καθεςῶτες, ἂν εὐτελεῖς

9. καὶ om T^b. ‖ 14. ἕκαςον I^b. ‖ 18. καὶ ante ἐκ om I^b. ‖ 26. ἔτι I^b. ‖ 31. τὸ om Q^bT^b. ‖ 35. εἴποιε Q^bT^b. ‖ 3(νομένων Q^b. ‖ 37. ἀνυπεύθυνον Q^bT^b. ‖ 40. οὐδὲ] οὐδὲν $I^bQ^bT^b$.

17. τὸ om Q^bT^b. ‖ 29. ἡ] ἡ τῶν I^bT^b. ‖ 38. τὺς] τὺς ἐκεῖ Q^bT^b.

ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι, τὰ δικαστήρια ποιήσας ἐκ πάντων. διὸ καὶ μέμφονταί τινες αὐτῷ· λῦσαι γὰρ θάτερον, κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν. ἐπεὶ γὰρ τοῦτ᾽ ἴσχυεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν κατέστησαν, καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς, τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς, καὶ τοῦτον δὴ τὸν τρόπον ἕκαστος τῶν δημαγωγῶν προήγαγεν αὔξων εἰς τὴν νῦν δημοκρατίαν. φαίνεται δ᾽ οὐ κατὰ τὴν Σόλωνος γενέσθαι τοῦτο προαίρεσιν, ἀλλὰ μᾶλλον ἀπὸ συμπτώματος· τῆς ναυαρχίας γὰρ ἐν τοῖς Μηδικοῖς ὁ δῆμος αἴτιος γενόμενος ἐφρονηματίσθη, καὶ δημαγωγοὺς ἔλαβε φαύλους ἀντιπολιτευομένων τῶν ἐπιεικῶν, ἐπεὶ Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν· μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦλος ἂν εἴη καὶ πολέμιος. τὰς δ᾽ ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον θητικόν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν. νομοθέται δ᾽ ἐγένοντο Ζάλευκός τε Λοκροῖς τοῖς ἐπιζεφυρίοις, καὶ Χαρώνδας ὁ Καταναῖος τοῖς αὐτοῦ πολίταις καὶ ταῖς ἄλλαις ταῖς Χαλκιδικαῖς πόλεσι ταῖς περὶ Ἰταλίαν καὶ Σικελίαν. πειρῶνται δέ τινες καὶ συνάγειν ὡς Ὀνομακρίτου μὲν γενομένου πρώτου δεινοῦ περὶ νομοθεσίαν, γυμνασθῆναι δ᾽ αὐτὸν ἐν Κρήτῃ Λοκρὸν ὄντα καὶ ἐπιδημοῦντα κατὰ τέχνην μαντικήν· τούτου δὲ γενέσθαι Θάλητα ἑταῖρον, Θάλητος δ᾽ ἀκροατὴν Λυκοῦργον καὶ Ζάλευκον, Ζαλεύκου δὲ Χαρώνδαν. ἀλλὰ ταῦτα μὲν λέγουσιν ἀσκεπτότερον τῷ χρόνῳ λέγοντες, ἐγένετο δὲ καὶ Φιλόλαος ὁ Κορίνθιος νομοθέτης Θηβαίοις. ἦν δ᾽ ὁ Φιλόλαος τὸ μὲν γένος τῶν Βακχιαδῶν, ἐραστὴς δὲ γενόμενος Διοκλέους τοῦ νικήσαντος Ὀλυμπίασιν, ὡς ἐκεῖνος τὴν πόλιν ἔλιπε διαμισήσας τὸν ἔρωτα τὸν τῆς μητρὸς Ἀλκυόνης, ἀπῆλθεν εἰς Θήβας, κἀκεῖ τὸν βίον ἐτελεύτησαν ἀμφότεροι. καὶ νῦν ἔτι δεικνύουσι τοὺς τάφους αὐτῶν ἀλλήλοις μὲν εὐσυνόπτους ὄντας, πρὸς δὲ τὴν τῶν Κορινθίων χώραν τοῦ μὲν συνόπτου τοῦ δ᾽ οὐ συνόπτου· μυθολογοῦσι γὰρ αὐτοὺς οὕτω τάξασθαι τὴν ταφήν, τὸν μὲν Διοκλέα διὰ τὴν ἀπέχθειαν τοῦ πάθους, ὅπως μὴ ἄποπτος ἔσται ἡ Κορινθία ἀπὸ τοῦ χώματος, τὸν δὲ Φιλόλαον, ὅπως ἄποπτος. ᾤκησαν μὲν οὖν διὰ τὴν τοιαύτην αἰτίαν τοῖς Θηβαίοις, νομοθέτης δ᾽ αὐτοῖς ἐγένετο Φιλόλαο τ᾽ ἄλλων τινῶν καὶ περὶ τῆς παιδοποιίας, οὓς κα ἐκεῖνοι νόμους θετικούς· καὶ τοῦτ᾽ ἐστὶν ἰδίως ὑπ᾽ ἐκείν μοθετημένον, ὅπως ὁ ἀριθμὸς σώζηται τῶν κλήρων. ρώνδου δ᾽ ἴδιον μὲν οὐδέν ἐστι πλὴν αἱ δίκαι τῶν ψευδ τυριῶν (πρῶτος γὰρ ἐποίησε τὴν ἐπίσκηψιν), τῇ δ᾽ ἀκ τῶν νόμων ἐστὶ γλαφυρώτερος καὶ τῶν νῦν νομο Φαλέου δ᾽ ἴδιον ἡ τῶν οὐσιῶν ἀνομάλωσις, Πλάτωνο τε τῶν γυναικῶν καὶ παίδων καὶ τῆς οὐσίας κοινότη τὰ συσσίτια τῶν γυναικῶν, ἔτι δ᾽ ὁ περὶ τὴν μέθην τὸ τοὺς νήφοντας συμποσιαρχεῖν, καὶ τὴν ἐν τοῖς π κοῖς ἄσκησιν ὅπως ἀμφιδέξιοι γίνωνται κατὰ τὴν με ὡς δέον μὴ τὴν μὲν χρήσιμον εἶναι τοῖν χεροῖν τ ἄχρηστον. Δράκοντος δὲ νόμοι μέν εἰσι, πολιτείᾳ δ᾽ χούσῃ τοὺς νόμους ἔθηκεν· ἴδιον δ᾽ ἐν τοῖς νόμοις οὐδὲν τι καὶ μνείας ἄξιον, πλὴν ἡ χαλεπότης διὰ τὸ τῆς ζ μέγεθος. ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουργὸς οὐ πολιτείας· νόμος δ᾽ ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντα τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· δι τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν γνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν μᾶλλον, πρὸς τὸ συμφέρον. ἐγένετο δὲ καὶ Ἀνδροδάμας Ῥη νομοθέτης Χαλκιδεῦσι τοῖς ἐπὶ Θρᾴκης, οὗ περί τε τὰ νικὰ καὶ τὰς ἐπικλήρους ἐστίν· οὐ μὴν ἀλλ᾽ ἴδιόν γε αὐτοῦ λέγειν ἔχοι τις ἄν. τὰ μὲν οὖν περὶ τὰς πολι τάς τε κυρίας καὶ τὰς ὑπὸ τινῶν εἰρημένας, ἔστω τε μένα τὸν τρόπον τοῦτον.

Γ.

Τῷ περὶ πολιτείας ἐπισκοποῦντι, καὶ τίς ἑκάστη ποία τις, σχεδὸν πρώτη σκέψις περὶ πόλεως ἰδεῖν, τί ἐστιν ἡ πόλις· νῦν γὰρ ἀμφισβητοῦσιν, οἱ μὲν φάσκ τὴν πόλιν πεπραχέναι τὴν πρᾶξιν, οἱ δ᾽ οὐ τὴν πόλιν ἀ τὴν ὀλιγαρχίαν ἢ τὸν τύραννον. τοῦ δὲ πολιτικοῦ καὶ νομοθέτου πᾶσαν ὁρῶμεν τὴν πραγματείαν οὖσαν περὶ πό ἡ δὲ πολιτεία τῶν τὴν πόλιν οἰκούντων ἐστὶ τάξις τις. δ᾽ ἡ πόλις τῶν συγκειμένων, καθάπερ ἄλλο τι τῶν ὅ μὲν συνεστώτων δ᾽ ἐκ πολλῶν μορίων, δῆλον ὅτι πρότ ὁ πολίτης ζητητέος· ἡ γὰρ πόλις πολιτῶν τι πλῆθός ἐ

8. ἐκόλυσε Q^b. ‖ 19. ἐμπόρων $I^bQ^bT^b$. ‖ 25. δέ] δὲ καί $I^bQ^bT^b$. ‖ 39. γραφήν $I^bQ^bT^b$.

1. τὴν om I^b. ‖ 6. ψευδομαρτύρων codices, et 7. ἐπίσκεψιν ‖ 9. φιλολάου Q^bT^b et pr I^b. ‖ 11. post γυναικῶν T^b καὶ παίδ 14. ταῖν Q^b. ‖ 20. ἀποτείνειν T^b. ‖ 22. ἀπέβλεψαν T^b.

τίνα χρὴ καλεῖν πολίτην καὶ τίς ὁ πολίτης ἐςί, σκε- . καὶ γὰρ ὁ πολίτης ἀμφισβητεῖται πολλάκις· οὐ τὸν αὐτὸν ὁμολογȣ̃σι πάντες εἶναι πολίτην· ἔςι γάρ ς ἐν δημοκρατίᾳ πολίτης ὢν ἐν ὀλιγαρχίᾳ πολλάκις ἔςι πολίτης. τοὺς μὲν οὖν ἄλλως πως τυγχάνοντας ης τῆς προσηγορίας, οἷον τȣ̀ς ποιητȣ̀ς πολίτας, ἀφετέον. πολίτης οὐ τῷ οἰκεῖν πȣ πολίτης ἐςίν· καὶ γὰρ μέ- ι καὶ δοῦλοι κοινωνȣ̃σι τῆς οἰκήσεως. οὐδ᾽ οἱ τῶν δι- μετέχοντες ȣ̔́τως ὥςε καὶ δίκην ὑπέχειν καὶ δικά- ι· τȣ̃το γὰρ ὑπάρχει καὶ τοῖς ἀπὸ συμβόλων κοι- ιν· καὶ γὰρ ταῦτα τȣ́τοις ὑπάρχει. πολλαχȣ̃ μὲν ȣ̃ν τούτων τελέως οἱ μέτοικοι μετέχουσιν, ἀλλὰ νέμειν κη προςάτην. διὸ ἀτελῶς πως μετέχȣσι τῆς τοιαύτης νίας· ἀλλὰ καθάπερ καὶ παῖδας τȣ̀ς μήπω δι᾽ ἡλι- ἐγγεγραμμένους καὶ τοὺς γέροντας τοὺς ἀφειμένους, ον εἶναι μέν πως πολίτας, ȣ̓χ ἁπλῶς δὲ λίαν ἀλλὰ θέντας τȣ̀ς μὲν ἀτελεῖς τοὺς δὲ παρηκμακότας ἤ τι ον ἕτερον· ȣ̓δὲν γὰρ διαφέρει· δῆλον γὰρ τὸ λεγόμε- ζητοῦμεν γὰρ τὸν ἁπλῶς πολίτην καὶ μηδὲν ἔχοντα ον ἔγκλημα διορθώσεως δεόμενον, ἐπεὶ καὶ περὶ τῶν ων καὶ φυγάδων ἔςι τὰ τοιαῦτα καὶ διαπορεῖν καὶ . πολίτης δ᾽ ἁπλῶς ȣ̓δενὶ τῶν ἄλλων ὁρίζεται μᾶλ- ἢ τῷ μετέχειν κρίσεως καὶ ἀρχῆς. τῶν δ᾽ ἀρχῶν αἱ εἰσι διῃρημέναι κατὰ χρόνον, ὥς᾽ ἐνίας μὲν ὅλως δὶς ὐτὸν ȣ̓κ ἔξεςιν ἄρχειν, ἢ διά τινων ὡρισμένων χρό- ὁ δ᾽ ἀόριςος, οἷον ὁ δικαςὴς καὶ ἐκκλησιαςής. τάχα οὖν ἂν φαίη τις ȣ̓δ᾽ ἄρχοντας εἶναι τȣ̀ς τοιȣ́τȣς, οὐδὲ χειν διὰ ταῦτ᾽ ἀρχῆς· καίτοι γελοῖον τȣ̀ς κυριωτάτȣς ερεῖν ἀρχῆς. ἀλλὰ διαφερέτω μηδέν· περὶ ὀνόματος ὁ λόγος· ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ δικαστοῦ καὶ ησιαςȣ̃, τί δεῖ ταῦτ᾽ ἄμφω καλεῖν. ἔςω δὴ διορισμȣ̃ ἀόριστος ἀρχή. τίθεμεν δὴ πολίτας τȣ̀ς ȣ̔́τω μετέ- ας. ὁ μὲν ȣ̃ν μάλις᾽ ἂν ἐφαρμόσας πολίτης ἐπὶ πάν- τοὺς λεγομένους πολίτας σχεδὸν τοιȣ̃τός ἐςιν. δεῖ δὲ λανθάνειν ὅτι τῶν πραγμάτων ἐν οἷς τὰ ὑποκείμενα έρει τῷ εἴδει, καὶ τὸ μὲν αὐτῶν ἐστὶ πρῶτον τὸ δὲ ρον τὸ δ᾽ ἐχόμενον, ἢ τὸ παράπαν οὐδέν ἐστιν, ᾗ τα, τὸ κοινόν, ἢ γλίσχρως. τὰς δὲ πολιτείας ὁρῶμεν διαφερούσας ἀλλήλων, καὶ τὰς μὲν ὑστέρας τὰς δὲ προτέρας ȣ̓́σας· τὰς γὰρ ἡμαρτημένας καὶ παρεκβεβηκυίας ἀναγκαῖον ὑςέρας εἶναι τῶν ἀναμαρτήτων. τὰς δὲ παρεκβεβηκυίας πῶς λέγομεν, ὕστερον ἔςαι φανερόν. ὥςε καὶ τὸν πολίτην ἕτερον ἀναγκαῖον εἶναι τὸν καθ᾽ ἑκάςην πολιτείαν. διόπερ ὁ λεχθεὶς ἐν μὲν δημοκρατίᾳ μάλιστ᾽ ἐστὶ πολίτης, ἐν δὲ ταῖς ἄλλαις ἐνδέχεται μέν, οὐ μὴν ἀναγκαῖον. ἐνίαις γὰρ ȣ̓κ ἔςι δῆμος, ȣ̓δ᾽ ἐκκλησίαν νομίζȣσιν ἀλλὰ συγκλήτους, καὶ τὰς δίκας δικάζουσι κατὰ μέρος, οἷον ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει τῶν ἐφόρων ἄλλος ἄλλας, οἱ δὲ γέροντες τὰς φονικάς, ἑτέρα δ᾽ ἴσως ἀρχή τις ἑτέρας. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δίκας. ἀλλ᾽ ἔχει γὰρ διόρθωσιν ὁ τοῦ πολίτȣ διορισμός. ἐν γὰρ ταῖς ἄλλαις πολιτείαις ȣ̓χ ὁ ἀόριςος ἄρχων ἐκκλησιαςής ἐστι καὶ δικαστής, ἀλλ᾽ ὁ κατὰ τὴν ἀρχὴν ὡρισμένος· τȣ́των γὰρ ἢ πᾶσιν ἢ τισὶν ἀποδέδοται τὸ βȣλεύεσθαι καὶ δικάζειν ἢ περὶ πάντων ἢ περὶ τινῶν. τίς μὲν οὖν ἐςὶν ὁ πολίτης, ἐκ τȣ́των φανερόν· ᾧ γὰρ ἐξȣσία κοινωνεῖν ἀρχῆς βȣλευτικῆς ἢ κριτικῆς, πολίτην ἤδη λέγομεν εἶναι ταύτης τῆς πόλεως, πόλιν δὲ τὸ τῶν τοιȣ́των πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς, ὡς ἁπλῶς εἰπεῖν. ὁρίζονται δὴ πρὸς 2
τὴν χρῆσιν πολίτην τὸν ἐξ ἀμφοτέρων πολιτῶν καὶ μὴ θατέρου μόνον, οἷον πατρὸς ἢ μητρός· οἱ δὲ καὶ τοῦτ᾽ ἐπὶ πλέον ζητȣ̃σιν, οἷον ἐπὶ πάππȣς δύο ἢ τρεῖς ἢ πλείȣς. ȣ̔́τω δὴ ὁριζομένων πολιτικῶς καὶ ταχέως, ἀποροῦσί τινες τὸν τρίτον ἐκεῖνον ἢ τέταρτον, πῶς ἔςαι πολίτης. Γοργίας μὲν ȣ̃ν ὁ Λεοντῖνος, τὰ μὲν ἴσως ἀπορῶν τὰ δ᾽ εἰρωνευόμενος, ἔφη, καθάπερ ὅλμȣς εἶναι τȣ̀ς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένȣς, οὕτω καὶ Λαρισσαίȣς τοὺς ὑπὸ τῶν δημιȣργῶν πεποιημένους· εἶναι γάρ τινας λαρισσοποιȣ́ς. ἔςι δ᾽ ἁπλοῦν· εἰ γὰρ μετεῖχον κατὰ τὸν ῥηθέντα διορισμὸν τῆς πολιτείας, ἦσαν ἂν πολῖται· καὶ γὰρ ȣ̓ δυνατὸν ἐφαρμόττειν τὸ ἐκ πολίτȣ ἢ ἐκ πολίτιδος ἐπὶ τῶν πρώτων οἰκησάντων ἢ κτισάντων. ἀλλ᾽ ἴσως ἐκεῖνοι μᾶλλον ἔχουσιν ἀπορίαν, ὅσοι μετέσχον μεταβολῆς γενομένης πολιτείας, οἷον Ἀθήνησιν ἐποίησε Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολήν· πολλȣ̀ς γὰρ ἐφυλέτευσε ξένȣς καὶ δȣ́λȣς μετοίκȣς. τὸ δ᾽ ἀμφισβήτημα πρὸς τȣ́τȣς ἐςὶν ȣ̓ τίς πολίτης, ἀλλὰ πότερον ἀδίκως ἢ δικαίως. καίτοι καὶ τȣ̃τό τις ἔτι προσαπορήσειεν,

12. ἀλλὰ — 13. μετέχȣσι om $Q^b T^b$. ‖ 15. ἀφειμένως T^b. ‖ 17. ἀτελεῖν $I^b T^b$. ‖ 23. τῷ] τῶν T^b. ‖ 27. οὖν ἀντιφαίη τις $I^b Q^b$ 31. ἐκκλησιαςικȣ̃ T^b. ‖ 37. ᾗ] ἢ $Q^b T^b$.

. ἀναμαρτημάτων $Q^b T^b$. ‖ 13. γὰρ post ἔχει om Q^b. ‖ 16. βȣ́λεσθαι $I^b Q^b T^b$. ‖ 24. ἢ πλέȣς T^b. ‖ 25. παχέως interpretes. ‖ ίτον] τρόπον Q^b. ‖ 27. τὰ μὲν om T^b. ‖ 29. οὕτω — πεποιημένους om I^b. ‖ τῶν om T^b. ‖ 32. ἦσαν] ἢ U^b. ‖ 34. ἐκείνην μᾶλ- ει $I^b M^b Q^b T^b U^b$ et 1857. ‖ 39. τȣ́τῳ $I^b Q^b T^b$.

ἆρ' εἰ μὴ δικαίως πολίτης, ȣ̓ πολίτης, ὡς ταὐτὸ δυναμένȣ τȣ̃ τ' ἀδίκȣ καὶ τȣ̃ ψευδȣ̃ς. ἐπεὶ δ' ὁρῶμεν καὶ ἄρχοντάς τινας ἀδίκως, ȣ̔̀ς ἄρχειν μὲν φήσομεν ἀλλ' οὐ δικαίως, ὁ δὲ πολίτης ἀρχῇ τινὶ διωρισμένος ἐςὶν (ὁ γὰρ κοινωνῶν τῆς τοιᾶσδε ἀρχῆς πολίτης ἐςίν, ὡς ἔφαμεν), δῆλον ὅτι πολί-
3τας μὲν εἶναι φατέον καὶ τούτους, περὶ δὲ τȣ̃ δικαίως ἢ μὴ δικαίως συνάπτει πρὸς τὴν εἰρημένην πρότερον ἀμφισβήτησιν. ἀπορȣ̃σι γάρ τινες πόθ' ἡ πόλις ἔπραξε καὶ πότε ȣ̓χ ἡ πόλις, οἷον ὅταν ἐξ ὀλιγαρχίας ἢ τυραννίδος γένηται δημοκρατία. τότε γὰρ ȣ̓́τε τὰ συμβόλαια ἔνιοι βȣ́λονται διαλύειν, ὡς οὐ τῆς πόλεως ἀλλὰ τοῦ τυράννȣ λαβόντος, ȣ̓́τ' ἄλλα πολλὰ τῶν τοιȣ́των, ὡς ἐνίας τῶν πολιτειῶν τῷ κρατεῖν ȣ̓́σας, ἀλλ' οὐ διὰ τὸ κοινῇ συμφέρον. εἴπερ οὖν καὶ δημοκρατοῦνταί τινες κατὰ τὸν τρόπον τοῦτον, ὁμοίως τῆς πόλεως φατέον εἶναι ταύτης τὰς τῆς πολιτείας ταύτης πράξεις καὶ τὰς ἐκ τῆς ὀλιγαρχίας καὶ τῆς τυραννίδος. ἔοικε δ' οἰκεῖος ὁ λόγος εἶναι τῆς ἀπορίας ταύτης, πῶς ποτὲ χρὴ λέγειν τὴν πόλιν εἶναι τὴν αὐτὴν ἢ μὴ τὴν αὐτὴν ἀλλ' ἑτέραν. ἡ μὲν ȣ̓̃ν ἐπιπολαιοτάτη τῆς ἀπορίας ζήτησις περὶ τὸν τόπον καὶ τȣ̀ς ἀνθρώπȣς ἐςίν· ἐνδέχεται γὰρ διαζευχθῆναι τὸν τόπον καὶ τοὺς ἀνθρώπȣς, καὶ τοὺς μὲν ἕτερον τοὺς δ' ἕτερον οἰκῆσαι τόπον. ταύτην μὲν οὖν πραοτέραν θετέον τὴν ἀπορίαν· πολλαχῶς γὰρ τῆς πόλεως λεγομένης ἐςί πως εὐμάρεια τῆς τοιαύτης ζητήσεως. ὁμοίως δὲ καὶ τῶν τὸν αὐτὸν τόπον κατοικȣ́ντων ἀνθρώπων πότε δεῖ νομίζειν μίαν εἶναι τὴν πόλιν. οὐ γὰρ δὴ τοῖς τείχεσιν· εἴη γὰρ ἂν Πελοποννήσῳ περιβαλεῖν ἓν τεῖχος. τοιαύτη δ' ἴσως ἐςὶ καὶ Βαβυλὼν καὶ πᾶσα ἥτις ἔχει περιγραφὴν μᾶλλον ἔθνους ἢ πόλεως· ἧς γέ φασιν ἑαλωκυίας τρίτην ἡμέραν οὐκ αἰσθέσθαι τι μέρος τῆς πόλεως. ἀλλὰ περὶ μὲν ταύτης τῆς ἀπορίας εἰς ἄλλον καιρὸν χρήσιμος ἡ σκέψις· περὶ γὰρ μεγέθȣς τῆς πόλεως, τό τε πόσον καὶ πότερον ἔθνος ἓν ἢ πλείω συμφέρει, δεῖ μὴ λανθάνειν τὸν πολιτικόν· ἀλλὰ τῶν αὐτῶν κατοικȣ́ντων τὸν αὐτὸν τόπον, πότερον ἕως ἂν ᾖ τὸ γένος ταὐτὸ τῶν κατοικούντων, τὴν αὐτὴν εἶναι φατέον πόλιν, καίπερ ἀεὶ τῶν μὲν φθειρομένων τῶν δὲ γινομένων, ὥσπερ καὶ ποταμȣ̀ς εἰώθαμεν λέγειν τȣ̀ς αὐτȣ̀ς καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τȣ̃ μὲν ἐπιγινομένȣ νάματος τȣ̃ δ' ὑπεξιόντος, ἢ τȣ̀ς μὲν ἀνθρώπους φατέον εἶναι τοὺς αὐτοὺς διὰ τὴν τοιαύτην αἰτίαν, τὴν δὲ πόλιν ἑτέραν; εἴπερ γάρ ἐςι κοινωνία τις ἡ πόλις, κοινωνία πολιτῶν, πολιτείας γιγνομένης ἑτέρας τ καὶ διαφερȣ́σης τῆς πολιτείας ἀναγκαῖον εἶναι δό[καὶ τὴν πόλιν εἶναι μὴ τὴν αὐτήν, ὥσπερ γε κα ὁτὲ μὲν κωμικὸν ὁτὲ δὲ τραγικὸν ἕτερον εἶναί φαμ αὐτῶν πολλάκις ἀνθρώπων ὄντων. ὁμοίως δὲ καὶ ἄλλην κοινωνίαν καὶ σύνθεσιν ἑτέραν, ἂν εἶδος ἑτερ συνθέσεως, οἷον ἁρμονίαν τῶν αὐτῶν φθόγγων ἑτέρ λέγομεν, ἂν ὁτὲ μὲν ᾖ Δώριος ὁτὲ δὲ Φρύγιος. εἰ τον ἔχει τὸν τρόπον, φανερὸν ὅτι μάλιστα λεκτ αὐτὴν πόλιν εἰς τὴν πολιτείαν βλέποντας· ὄνομα λεῖν ἕτερον ἢ ταὐτὸν ἔξεστι καὶ τῶν αὐτῶν κατοι αὐτὴν καὶ πάμπαν ἑτέρων ἀνθρώπων. εἰ δὲ δίκαι λύειν ἢ μὴ διαλύειν, ὅταν εἰς ἑτέραν μεταβάλλ τείαν ἡ πόλις, λόγος ἕτερος.

Τῶν δὲ νῦν εἰρημένων ἐχόμενόν ἐστιν ἐπισκέ πότερον τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς ἀγαθȣ̃ καὶ πολίτ δαίȣ θετέον, ἢ μὴ τὴν αὐτήν. ἀλλὰ μὴν εἴ γε τȣ̃ χεῖν δεῖ ζητήσεως, τὴν τοῦ πολίτȣ τύπῳ τινὶ πρῶτ πτέον. ὥσπερ ȣ̓̃ν ὁ πλωτὴρ εἷς τις τῶν κοινωνῶν ἐςί καὶ τὸν πολίτην φαμέν. τῶν δὲ πλωτήρων καίπε μοίων ὄντων τὴν δύναμιν (ὁ μὲν γάρ ἐστιν ἐρέτης, κυβερνήτης, ὁ δὲ πρωρεύς, ὁ δ' ἄλλην τιν' ἔχων τι ἐπωνυμίαν) δῆλον ὡς ὁ μὲν ἀκριβέστατος ἑκάςȣ ἴδιος ἔςαι τῆς ἀρετῆς, ὁμοίως δὲ καὶ κοινός τις ἐφα πᾶσιν. ἡ γὰρ σωτηρία τῆς ναυτιλίας ἔργον ἐστὶ πάντων· τȣ́τȣ γὰρ ἕκαςος ὀρέγεται τῶν πλωτήρων. ὁ τοίνυν καὶ τῶν πολιτῶν, καίπερ ἀνομοίων ὄντων, ἡ ρία τῆς κοινωνίας ἔργον ἐστί, κοινωνία δ' ἐςὶν ἡ πολι διὸ τὴν ἀρετὴν ἀναγκαῖον εἶναι τȣ̃ πολίτȣ πρὸς τὴν π τείαν. εἴπερ οὖν ἐστὶ πλείω πολιτείας εἴδη, δῆλον ὡς ἐνδέχεται τοῦ σπȣδαίου πολίτȣ μίαν ἀρετὴν εἶναι τὴν λείαν· τὸν δ' ἀγαθὸν ἄνδρα φαμὲν εἶναι κατ' ἀρετὴ λείαν. ὅτι μὲν οὖν ἐνδέχεται πολίτην ὄντα σπουδαῖ κεκτῆσθαι τὴν ἀρετὴν καθ' ἣν σπȣδαῖος ἀνήρ, φανερό μὴν ἀλλὰ καὶ κατ' ἄλλον τρόπον ἔςι διαπορȣ̃ντας ἐ θεῖν τὸν αὐτὸν λόγον περὶ τῆς ἀρίστης πολιτείας. εἰ ἀδύνατον ἐξ ἁπάντων σπȣδαίων ὄντων εἶναι πόλιν, δ ἕκαςον τὸ καθ' αὐτὸν ἔργον εὖ ποιεῖν, τȣ̃το δ' ἀπ' ἀ ἐπεὶ δ' ἀδύνατον ὁμοίȣς εἶναι πάντας τȣ̀ς πολίτας, ȣ̓

21. γάρ] γὰρ καὶ I^b. ‖ 23. πρωτέραν Q^bT^b. ‖ 25. τόπον om $I^bQ^bT^b$. ‖ 26. δὴ] δεῖ Q^b. ‖ 33. ἔθνος om I^bT^b. ‖ 36. κ — 38. αὐτάς om I^b.

1. εἴπερ — 4. αὐτὴν om I^b. ‖ 6. ἀνθρώπων om Q^bT^b. ‖ 8. εἶναι om Q^bT^b. ‖ 9. λέγοιμεν $I^bQ^bT^b$. ‖ 14. μεταβάλῃ I^b. ‖ θετέον om I^b. ‖ 33. τὸν — τελείαν om Q^bT^b et pr I^b. ‖ φαμεν κατὰ μίαν ἀρετὴν εἶναι τελείαν rc I^b. ‖ 40. ὁμοίως T^b.

γον ὐδὲν φήσομεν συμβαίνειν ἄτοπον; ὐδὲ γὰρ οἱ δοῦλοι τῶν εἰρημένων ὐδέν, ὐδ' οἱ ἀπελεύθεροι. τῦτο γὰρ ἀληθές, ὡς οὐ πάντας θετέον πολίτας ὧν ἄνευ οὐκ ἂν εἴη πόλις, ἐπεὶ ὐδ' οἱ παῖδες ὡσαύτως πολῖται καὶ οἱ ἄνδρες, ἀλλ' οἱ μὲν ἁπλῶς οἱ δ' ἐξ ὑποθέσεως· πολῖται μὲν γάρ εἰσιν, ἀλλ' ἀτελεῖς. ἐν μὲν ὖν τοῖς ἀρχαίοις χρόνοις παρ' ἐνίοις ἦν δῦλον τὸ βάναυσον ἢ ξενικόν· διόπερ οἱ πολλοὶ τοιῦτοι καὶ νῦν. ἡ δὲ βελτίςη πόλις ὐ ποιήσει βάναυσον πολίτην· εἰ δὲ καὶ ὖτος πολίτης, ἀλλὰ πολίτυ ἀρετὴν ἣν εἴπομεν λεκτέον ὐ παντός, ὐδ' ἐλευθέρυ μόνον, ἀλλ' ὅσοι τῶν ἔργων εἰσὶν ἀφειμένοι τῶν ἀναγκαίων. τῶν δ' ἀναγκαίων οἱ μὲν ἑνὶ λειτυργῦντες τὰ τοιαῦτα δοῦλοι, οἱ δὲ κοινοὶ βάναυσοι καὶ θῆτες. φανερὸν δ' ἐντεῦθεν μικρὸν ἐπισκεψαμένοις πῶς ἔχει περὶ αὐτῶν· αὐτὸ γὰρ φανὲν τὸ λεχθὲν ποιεῖ δῆλον. ἐπεὶ γὰρ πλείυς εἰσὶν αἱ πολιτεῖαι, καὶ εἴδη πολίτου ἀναγκαῖον εἶναι πλείω, καὶ μάλιςα τῦ ἀρχομένου πολίτυ, ὥς' ἐν μέν τινι πολιτείᾳ τὸν βάναυσον ἀναγκαῖον εἶναι καὶ τὸν θῆτα πολίτας, ἐν τισὶ δ' ἀδύνατον, οἷον εἴ τίς ἐςιν ἣν καλῦσιν ἀριςοκρατικὴν καὶ ἐν ᾗ κατ' ἀρετὴν αἱ τιμαὶ δίδονται καὶ κατ' ἀξίαν· ὐ γὰρ οἷόν τ' ἐπιτηδεῦσαι τὰ τῆς ἀρετῆς ζῶντα βίον βάναυσον ἢ θητικόν. ἐν δὲ ταῖς ὀλιγαρχίαις θῆτα μὲν οὐκ ἐνδέχεται εἶναι πολίτην (ἀπὸ τιμημάτων γὰρ μακρῶν αἱ μεθέξεις τῶν ἀρχῶν), βάναυσον δ' ἐνδέχεται· πλουτῦσι γὰρ καὶ οἱ πολλοὶ τῶν τεχνιτῶν. ἐν Θήβαις δὲ νόμος ἦν τὸν δέκα ἐτῶν μὴ ἀπεσχημένον τῆς ἀγορᾶς μὴ μετέχειν ἀρχῆς. ἐν πολλαῖς δὲ πολιτείαις προσεφέλκεται καὶ τῶν ξένων ὁ νόμος· ὁ γὰρ ἐκ πολίτιδος ἔν τισι δημοκρατίαις πολίτης ἐςίν. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ τὰ περὶ τὺς νόθυς παρὰ πολλοῖς. οὐ μὴν ἀλλ' ἐπεὶ δι' ἔνδειαν τῶν γνησίων πολιτῶν ποιοῦνται πολίτας τὺς τοιύτυς (διὰ γὰρ ὀλιγανθρωπίαν ὖτω χρῶνται τοῖς νόμοις), εὐπορῦντες δ' ὄχλυ κατὰ μικρὸν παραιρῦνται τὺς ἐκ δύλυ πρῶτον ἢ δύλης, εἶτα τὺς ἀπὸ γυναικῶν· τέλος δὲ μόνον τὺς ἐξ ἀμφοῖν ἀςῶν πολίτας ποιῦσιν. ὅτι μὲν ὖν εἴδη πλείω πολίτυ, φανερὸν ἐκ τύτων, καὶ ὅτι λέγεται μάλιςα πολίτης ὁ μετέχων τῶν τιμῶν, ὥσπερ καὶ Ὅμηρος ἐποίησεν "ὡσεί τιν' ἀτίμητον μετανάςην·" ὥσπερ μέτοικος γάρ ἐςιν ὁ τῶν τιμῶν μὴ μετέχων. ἀλλ' ὅπου τὸ τοιῦτον ἐπικεκρυμμένον ἐςίν, ἀπάτης χάριν τῶν συνοικούντων ἐστίν. πότερον μὲν ὖν ἑτέραν ἢ τὴν αὐτὴν θετέον καθ' ἣν ἀνὴρ ἀγαθός ἐςι καὶ πολίτης σπυδαῖος, ⟨…⟩ τῶν εἰρημένων, ὅτι τινὸς μὲν πόλεως ὁ αὐτὸς τινὸ⟨…⟩ ρος, κἀκεῖνος ὐ πᾶς ἀλλ' ὁ πολιτικὸς καὶ κύριος μενος εἶναι κύριος, ἢ καθ' αὑτὸν ἢ μετ' ἄλλων, κοινῶν ἐπιμελείας.

Ἐπεὶ δὲ ταῦτα διώριςαι, τὸ μετὰ ταῦτα ⟨…⟩ πότερον μίαν θετέον πολιτείαν ἢ πλείυς, κἂν εἰ πλ⟨…⟩ νες καὶ πόσαι, καὶ διαφοραὶ τίνες αὐτῶν εἰσίν. ἔς⟨…⟩ λιτεία πόλεως τάξις τῶν τε ἄλλων ἀρχῶν καὶ ⟨…⟩ τῆς κυρίας πάντων. κύριον μὲν γὰρ πανταχοῦ ⟨…⟩ τευμα τῆς πόλεως, πολίτευμα δ' ἐςὶν ἡ πολιτεία⟨…⟩ δ' οἷον ἐν μὲν ταῖς δημοκρατικαῖς κύριος ὁ δῆμος⟨…⟩ ὀλίγοι τὐναντίον ἐν ταῖς ὀλιγαρχίαις· φαμὲν δὲ ⟨…⟩ λιτείαν ἑτέραν εἶναι τύτων. τὸν αὐτὸν δὲ τῦτον ἐρῦ⟨…⟩ γον καὶ περὶ τῶν ἄλλων. ὑποθετέον δὲ πρῶτον τίν⟨…⟩ συνέστηκε πόλις, καὶ τῆς ἀρχῆς εἴδη πόσα τῆς ⟨…⟩ θρωπον καὶ τὴν κοινωνίαν τῆς ζωῆς. εἴρηται δὴ κα⟨…⟩ τὺς πρώτυς λόγυς, ἐν οἷς περὶ οἰκονομίας διωρίσθη ⟨…⟩ σποτείας, ὅτι φύσει μέν ἐστιν ἄνθρωπος ζῷον πο⟨…⟩ διὸ καὶ μηδὲν δεόμενοι τῆς παρ' ἀλλήλων βοηθεί⟨…⟩ ἔλαττον ὀρέγονται τῦ συζῆν· οὐ μὴν ἀλλὰ καὶ τ⟨…⟩ συμφέρον συνάγει, καθ' ὅσον ἐπιβάλλει μέρος ἑκά⟨…⟩ ζῆν καλῶς. μάλιςα μὲν ὖν τῦτ' ἐςὶ τέλος, καὶ κοιν⟨…⟩ καὶ χωρίς· συνέρχονται δὲ καὶ τῦ ζῆν ἕνεκεν αὐτῦ⟨…⟩ γὰρ ἔνεςί τι τῦ καλῦ μόριον), καὶ συνέχυσι τὴν πολ⟨…⟩ κοινωνίαν καὶ κατὰ τὸ ζῆν αὐτὸ μόνον, ἂν μὴ τοῖ⟨…⟩ λεποῖς κατὰ τὸν βίον ὑπερβάλλῃ λίαν. δῆλον δ' ὡς ⟨…⟩ τερῦσι πολλὴν κακοπάθειαν οἱ πολλοὶ τῶν ἀνθρώπων ⟨…⟩ χόμενοι τῦ ζῆν, ὡς ἐνούσης τινὸς εὐημερίας ἐν αὐτῷ⟨…⟩ γλυκύτητος φυσικῆς. ἀλλὰ μὴν καὶ τῆς ἀρχῆς τὺς ⟨…⟩ γομένυς τρόπυς ῥᾴδιον διελεῖν· καὶ γὰρ ἐν τοῖς ἐξωτε⟨…⟩ λόγοις διοριζόμεθα περὶ αὐτῶν πολλάκις. ἡ μὲν γὰρ ⟨…⟩ σποτεία, καίπερ ὄντος κατ' ἀλήθειαν τῷ τε φύσει δ⟨…⟩ καὶ τῷ φύσει δεσπότῃ ταὐτοῦ συμφέροντος, ὅμως ⟨…⟩ πρὸς τὸ τῦ δεσπότυ συμφέρον ὐδὲν ἧττον, πρὸς δὲ ⟨…⟩ δύλυ κατὰ συμβεβηκός· ὐ γὰρ ἐνδέχεται φθειρομέν⟨…⟩ δούλου σώζεσθαι τὴν δεσποτείαν. ἡ δὲ τέκνων ἀρχὴ ⟨…⟩ γυναικὸς καὶ τῆς οἰκίας πάσης, ἣν δὴ καλῦμεν οἰκονομ⟨…⟩ ἤτοι τῶν ἀρχομένων χάριν ἐςὶν ἢ κοινῦ τινὸς ἀμφοῖν, αὐτὸ μὲν τῶν ἀρχομένων, ὥσπερ ὁρῶμεν καὶ τὰς ⟨…⟩

13. ἐπισκεψαμένοις T^b. ‖ 18. τινι I^b. ‖ 20. γίνεται I^b. ‖ 25. τὸν] τῶν $Q^b T^b$ et pr I^b. ‖ 34. αὐτῶν codices. ‖ 37. ὡσεί μετέχων post 40. ἐστι $I^b Q^b T^b$. ‖ 40. θετέον om I^b.

3. ἢ δυνάμενος εἶναι κύριος om $Q^b T^b$. ‖ 15. δὴ $I^b T^b$. ‖ 17. καὶ post δὴ om I^b. ‖ 19. ὅτι] καὶ ὅτι $I^b T^b$. ‖ 20. περὶ I^b 27. ὑπερβάλῃ $I^b Q^b T^b$. ‖ 30. τὺς] γε τυς I^b. ‖ 32. διωριζόμεθα Q^b.

ἐστιν. καὶ ἀναγκαῖον μέν, ὅπου ἂν ἄρχωσι διὰ πλοῦτον ἄν τ' ἐλάττους ἄν τε πλείους, εἶναι ταύτην ὀλιγαρχίαν, ὅπου δ' οἱ ἄποροι, δημοκρατίαν. ἀλλὰ συμβαίνει, καθάπερ εἴπομεν, τοὺς μὲν ὀλίγους εἶναι τοὺς δὲ πολλούς· εὐποροῦσι μὲν γὰρ ὀλίγοι, τῆς δ' ἐλευθερίας μετέχουσι πάντες· δι' ἃς αἰτίας ἀμφισβητοῦσιν ἀμφότεροι τῆς πολιτείας.

9 Ληπτέον δὲ πρῶτον τίνας ὅρους λέγουσι τῆς ὀλιγαρχίας καὶ δημοκρατίας, καὶ τί τὸ δίκαιον τό τε ὀλιγαρχικὸν καὶ δημοκρατικόν. πάντες γὰρ ἅπτονται δικαίου τινός, ἀλλὰ μέχρι τινὸς προέρχονται, καὶ λέγουσιν οὐ πᾶν τὸ κυρίως δίκαιον. οἷον δοκεῖ ἴσον τὸ δίκαιον εἶναι, καὶ ἔστιν, ἀλλ' οὐ πᾶσιν ἀλλὰ τοῖς ἴσοις. καὶ τὸ ἄνισον δοκεῖ δίκαιον εἶναι· καὶ γάρ ἐστιν, ἀλλ' οὐ πᾶσιν ἀλλὰ τοῖς ἀνίσοις. οἱ δὲ τοῦτ' ἀφαιροῦσι, τὸ οἷς, καὶ κρίνουσι κακῶς. τὸ δ' αἴτιον ὅτι περὶ αὑτῶν ἡ κρίσις· σχεδὸν δ' οἱ πλεῖστοι φαῦλοι κριταὶ περὶ τῶν οἰκείων. ὥστ' ἐπεὶ τὸ δίκαιον τισίν, καὶ διῄρηται τὸν αὐτὸν τρόπον ἐπί τε τῶν πραγμάτων καὶ οἷς, καθάπερ εἴρηται πρότερον ἐν τοῖς ἠθικοῖς, τὴν μὲν τοῦ πράγματος ἰσότητα ὁμολογοῦσι, τὴν δὲ οἷς ἀμφισβητοῦσι, μάλιστα μὲν διὰ τὸ λεχθὲν ἄρτι, διότι κρίνουσι τὰ περὶ αὑτοὺς κακῶς, ἔπειτα δὲ καὶ διὰ τὸ λέγειν μέχρι τινὸς ἑκατέρους δίκαιόν τι νομίζουσι δίκαιον λέγειν ἁπλῶς. οἱ μὲν γὰρ ἂν κατά τι ἄνισοι ὦσιν, οἷον χρήμασιν, ὅλως οἴονται ἄνισοι εἶναι, οἱ δ' ἂν κατά τι ἴσοι, οἷον ἐλευθερίᾳ, ὅλως ἴσοι. τὸ δὲ κυριώτατον οὐ λέγουσιν. εἰ μὲν γὰρ τῶν κτημάτων χάριν ἐκοινώνησαν καὶ συνῆλθον, τοσοῦτον μετέχουσι τῆς πόλεως ὅσονπερ καὶ τῆς κτήσεως, ὥσθ' ὁ τῶν ὀλιγαρχικῶν λόγος δόξειεν ἂν ἰσχύειν· οὐ γὰρ εἶναι δίκαιον ἴσον μετέχειν τῶν ἑκατὸν μνῶν τὸν εἰσενέγκαντα μίαν μνᾶν τῷ δόντι τὸ λοιπὸν πᾶν, οὔτε τῶν ἐξ ἀρχῆς οὔτε τῶν ἐπιγινομένων. εἰ δὲ μήτε τοῦ ζῆν μόνον ἕνεκεν ἀλλὰ μᾶλλον τοῦ εὖ ζῆν (καὶ γὰρ ἂν δούλων καὶ τῶν ἄλλων ζῴων ἦν πόλις· νῦν δ' οὐκ ἔστι διὰ τὸ μὴ μετέχειν εὐδαιμονίας μηδὲ τοῦ ζῆν κατὰ προαίρεσιν), μήτε συμμαχίας ἕνεκεν, ὅπως ὑπὸ μηδενὸς ἀδικῶνται, μήτε διὰ τὰς ἀλλαγὰς καὶ τὴν χρῆσιν τὴν πρὸς ἀλλήλους· καὶ γὰρ ἂν Τυρρηνοὶ καὶ Καρχηδόνιοι, καὶ πάντες οἷς ἐστὶ σύμβολα πρὸς ἀλλήλους, ὡς μιᾶς ἂν πολῖται πόλεως ἦσαν. εἰσὶ γοῦν αὐτοῖς συνθῆκαι περὶ τῶν εἰσαγωγίμων καὶ σύμβολα περὶ τοῦ μὴ ἀδικεῖν καὶ γραφαὶ περὶ συμμαχίας. ἀλλ' οὔτ' ἀρχαὶ πᾶσιν ἐπὶ τούτοις κοιναὶ καθεστᾶσιν, ἀλλ' ἕτεραι παρ' ἑκατέροις, ποίους τινὰς εἶναι δεῖ φροντίζουσιν ἅτεροι τοὺς ἑτέρους, ὅπως μηδεὶς ἄδικος ἔσται τῶν ὑπὸ τὰς συνθήκας μη χθηρίαν ἕξει μηδεμίαν, ἀλλὰ μόνον ὅπως μηδὲν σουσιν ἀλλήλους. περὶ δ' ἀρετῆς καὶ κακίας πολιτικ σκοποῦσιν ὅσοι φροντίζουσιν εὐνομίας. ᾗ καὶ φανε δεῖ περὶ ἀρετῆς ἐπιμελὲς εἶναι τῇ γ' ὡς ἀληθῶς ὀν μένῃ πόλει, μὴ λόγου χάριν. γίνεται γὰρ ἡ κοινωνία μαχία τῶν ἄλλων τόπῳ διαφέρουσα μόνον τῶν συμμάχων· καὶ ὁ νόμος συνθήκη, καὶ καθάπερ ἔφ κόφρων ὁ σοφιστής, ἐγγυητὴς ἀλλήλοις τῶν δικαίων οὐχ οἷος ποιεῖν ἀγαθοὺς καὶ δικαίους τοὺς πολίτας. τοῦτον ἔχει τὸν τρόπον, φανερόν. εἰ γάρ τις καὶ σ τοὺς τόπους εἰς ἕν, ὥστε ἅπτεσθαι τὴν Μεγαρέων πό Κορινθίων τοῖς τείχεσιν, ὅμως οὐ μία πόλις. οὐδ' ε ἀλλήλους ἐπιγαμίας ποιήσαιντο· καίτοι τοῦτο τῶν ἰδία πόλεσι κοινωνημάτων ἐστίν. ὁμοίως δ' οὐδ' εἴ τινες χωρὶς μέν, μὴ μέντοι τοσοῦτον ἄποθεν ὥστε μὴ κοι ἀλλ' εἴησαν αὐτοῖς νόμοι τοῦ μὴ σφᾶς αὐτοὺς ἀδικεῖ τὰς μεταδόσεις, οἷον εἰ ὁ μὲν εἴη τέκτων ὁ δὲ γε ὁ δὲ σκυτοτόμος ὁ δ' ἄλλο τι τοιοῦτον, καὶ τὸ πλῆθ μυρίοι, μὴ μέντοι κοινωνοῖεν ἄλλου μηδενὸς ἢ τῶν τ οἷον ἀλλαγῆς καὶ συμμαχίας, οὐδ' οὕτω πω πόλις. τίνα δή ποτ' αἰτίαν; οὐ γὰρ δὴ διὰ τὸ μὴ σύνεγγυ κοινωνίας. εἰ γὰρ καὶ συνέλθοιεν οὕτω κοινωνοῦντες, ἕκ μέντοι χρῷτο τῇ ἰδίᾳ οἰκίᾳ ὥσπερ πόλει καὶ σφίσιν α ὡς ἐπιμαχίας οὔσης βοηθοῦντες ἐπὶ τοὺς ἀδικοῦντας μ οὐδ' οὕτως ἂν εἶναι δόξειε πόλις τοῖς ἀκριβῶς θεωροῦσι, ε ὁμοίως ὁμιλοῖεν συνελθόντες καὶ χωρίς. φανερὸν τοίν ἡ πόλις οὐκ ἔστι κοινωνία τόπου καὶ τοῦ μὴ ἀδικεῖ σφ αὐτοὺς καὶ τῆς μεταδόσεως χάριν· ἀλλὰ ταῦτα μὲν ἀν καῖον ὑπάρχειν, εἴπερ ἔσται πόλις, οὐ μὴν οὐδ' ὑπαρχ τούτων ἁπάντων ἤδη πόλις, ἀλλ' ἡ τοῦ εὖ ζῆν κοινωνία ταῖς οἰκίαις καὶ τοῖς γένεσι, ζωῆς τελείας χάριν καὶ αὐ κους. οὐκ ἔσται μέντοι τοῦτο μὴ τὸν αὐτὸν καὶ ἕνα κατο των τόπον καὶ χρωμένων ἐπιγαμίαις. διὸ κηδεῖαί τ' νοντο κατὰ τὰς πόλεις καὶ φρατρίαι καὶ θυσίαι καὶ γωγαὶ τοῦ συζῆν. τὸ δὲ τοιοῦτον φιλίας ἔργον· ἡ γὰ συζῆν προαίρεσις φιλία. τέλος μὲν οὖν πόλεως τὸ εὖ ταῦτα δὲ τοῦ τέλους χάριν. πόλις δὲ ἡ γενῶν καὶ κ

2. ταύτην] τούτων τὴν T^b. ‖ 24. ἐλευθέριοι I^bQ^b. ‖ 27. ὀλιγαρχιῶν T^b. ‖ 30. δ' ὅτι T^b. ‖ 36. τύραννοι I^bT^b. ‖ 38. συ... T^b. ‖ 39. καὶ om T^b.

1. ἑτέραι T^b. ‖ 4. ἕξειν T^b. ‖ ἀδικήσωσιν I^bQ^bT^b. ‖ 9. τόπῳ] τούτῳ Q^bT^b. ‖ ἄπωθεν I^b. ‖ 20. εἰ om T^b. ‖ 23. πω codi... 27. ἐπιμαχία Q^bT^b. ‖ ὄσῃ Q^b. ‖ 37. φατρίαι I^b.

περὶ τὰς ἄλλας ἐμπειρίας καὶ τέχνας. ὥσπερ οὖν ἰατρὸν δεῖ διδόναι τὰς εὐθύνας ἐν ἰατροῖς, οὕτω καὶ τοὺς ἄλλους ἐν τοῖς ὁμοίοις. ἰατρὸς δ᾽ ὅ τε δημιουργὸς καὶ ὁ ἀρχιτεκτονικὸς καὶ τρίτος ὁ πεπαιδευμένος περὶ τὴν τέχνην· εἰσὶ γάρ τινες τοιοῦτοι καὶ περὶ πάσας ὡς εἰπεῖν τὰς τέχνας, ἀποδίδομεν δὲ τὸ κρίνειν οὐδὲν ἧττον τοῖς πεπαιδευμένοις ἢ τοῖς εἰδόσιν. ἔπειτα καὶ περὶ τὴν αἵρεσιν τὸν αὐτὸν ἂν δόξειεν ἔχειν τρόπον· καὶ γὰρ τὸ ἑλέσθαι ὀρθῶς τῶν εἰδότων ἔργον ἐστίν, οἷον γεωμέτρην τε τῶν γεωμετρικῶν καὶ κυβερνήτην τῶν κυβερνητικῶν. εἰ γὰρ καὶ περὶ ἐνίων ἔργων καὶ τεχνῶν μετέχουσι καὶ τῶν ἰδιωτῶν τινές, ἀλλ᾽ οὔ τι τῶν εἰδότων γε μᾶλλον. ὥστε κατὰ μὲν τοῦτον τὸν λόγον οὐκ ἂν εἴη τὸ πλῆθος ποιητέον κύριον οὔτε τῶν ἀρχαιρεσιῶν οὔτε τῶν εὐθυνῶν. ἀλλ᾽ ἴσως οὐ πάντα ταῦτα λέγεται καλῶς διά τε τὸν πάλαι λόγον, ἂν ᾖ τὸ πλῆθος μὴ λίαν ἀνδραποδῶδες (ἔσται γὰρ ἕκαστος μὲν χείρων κριτὴς τῶν εἰδότων, ἅπαντες δὲ συνελθόντες ἢ βελτίους ἢ οὐ χείρους), καὶ ὅτι περὶ ἐνίων οὔτε μόνον ὁ ποιήσας οὔτ᾽ ἄριστ᾽ ἂν κρίνειεν, ὅσων τἄργα γιγνώσκουσι καὶ οἱ μὴ ἔχοντες τὴν τέχνην, οἷον οἰκίαν οὐ μόνον ἐστὶ γνῶναι τοῦ ποιήσαντος, ἀλλὰ καὶ βέλτιον ὁ χρώμενος αὐτῇ κρινεῖ (χρῆται δ᾽ ὁ οἰκονόμος), καὶ πηδάλιον κυβερνήτης τέκτονος, καὶ θοίνην ὁ δαιτυμὼν ἀλλ᾽ οὐχ ὁ μάγειρος. ταύτην μὲν οὖν τὴν ἀπορίαν τάχα δόξειέ τις ἂν οὕτω λύειν ἱκανῶς· ἄλλη δ᾽ ἐστὶν ἐχομένη ταύτης. δοκεῖ γὰρ ἄτοπον εἶναι τὸ μειζόνων εἶναι κυρίους τοὺς φαύλους τῶν ἐπιεικῶν, αἱ δ᾽ εὔθυναι καὶ αἱ τῶν ἀρχῶν αἱρέσεις εἰσὶ μέγιστον· ἃς ἐν ἐνίαις πολιτείαις, ὥσπερ εἴρηται, τοῖς δήμοις ἀποδιδόασιν· ἡ γὰρ ἐκκλησία κυρία πάντων τῶν τοιούτων ἐστίν. καίτοι τῆς μὲν ἐκκλησίας μετέχουσι καὶ βουλεύουσι καὶ δικάζουσιν ἀπὸ μικρῶν τιμημάτων καὶ τῆς τυχούσης ἡλικίας, ταμιεύουσι δὲ καὶ στρατηγοῦσι καὶ τὰς μεγίστας ἀρχὰς ἄρχουσιν ἀπὸ μεγάλων. ὁμοίως δή τις ἂν λύσειε καὶ ταύτην τὴν ἀπορίαν· ἴσως γὰρ ἔχει καὶ ταῦτ᾽ ὀρθῶς. οὐ γὰρ ὁ δικαστὴς οὐδ᾽ ὁ βουλευτὴς οὐδ᾽ ὁ ἐκκλησιαστὴς ἄρχων ἐστίν, ἀλλὰ τὸ δικαστήριον καὶ ἡ βουλὴ καὶ ὁ δῆμος· τῶν δὲ ῥηθέντων ἕκαστος μόριόν ἐστι τούτων. λέγω δὲ μόριον τὸν βουλευτὴν καὶ τὸν ἐκκλησιαστὴν καὶ τὸν δικαστήν. ὥστε δικαίως κύριον μειζόνων τὸ πλῆθος· ἐκ γὰρ πολλῶν ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὸ δικαστήριον. καὶ τὸ τίμημα δὲ πλεῖον τὸ πάντων τούτων ἢ τὸ τῶν καθ᾽ ἕνα καὶ κατ᾽ ὀλίγους μεγάλας ἀρχὰς ἀρχόντων. ταῦτα μὲν οὖν διωρίσθω τοῦτον τὸν τρόπον· ἡ δὲ πρώτη λεχθεῖσα ἀπορία ποιεῖ φανερὸν οὐδὲν οὕτως ἕτερον ὡς ὅτι δεῖ τοὺς νόμους εἶναι κυρίους κειμένους ὀρθῶς, τὸν ἄρχοντα δέ, ἄν τε εἷς ἄν τε πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι καθόλου δηλῶσαι περὶ πάντων. ὁποίους μέντοι τινὰς εἶναι δεῖ τοὺς ὀρθῶς κειμένους νόμους, οὐδέν πω δῆλον, ἀλλ᾽ ἔτι μένει τὸ πάλαι διαπορηθέν. ἀλλὰ γὰρ καὶ ὁμοίως ταῖς πολιτείαις ἀνάγκη καὶ τοὺς νόμους φαύλους ἢ σπουδαίους εἶναι καὶ δικαίους ἢ ἀδίκους. πλὴν τοῦτό γε φανερόν, ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι τοὺς νόμους. ἀλλὰ μὴν εἰ τοῦτο, δῆλον ὅτι τοὺς μὲν κατὰ τὰς ὀρθὰς πολιτείας ἀναγκαῖον εἶναι δικαίους, τοὺς δὲ κατὰ τὰς παρεκβεβηκυίας οὐ δικαίους.

Ἐπεὶ δ᾽ ἐν πάσαις μὲν ταῖς ἐπιστήμαις καὶ τέχναις 12
ἀγαθὸν τὸ τέλος, μέγιστον δὲ καὶ μάλιστα ἐν τῇ κυριωτάτῃ πασῶν, αὕτη δ᾽ ἐστὶν ἡ πολιτικὴ δύναμις, ἔστι δὲ πολιτικὸν ἀγαθὸν τὸ δίκαιον, τοῦτο δ᾽ ἐστὶ τὸ κοινῇ συμφέρον, δοκεῖ δὲ πᾶσιν ἴσον τι τὸ δίκαιον εἶναι, καὶ μέχρι γέ τινος ὁμολογοῦσι τοῖς κατὰ φιλοσοφίαν λόγοις, ἐν οἷς διώρισται περὶ τῶν ἠθικῶν· τὶ γὰρ καὶ τισὶ τὸ δίκαιον, καὶ δεῖν τοῖς ἴσοις ἴσον εἶναί φασιν. ποίων δ᾽ ἰσότης ἐστὶ καὶ ποίων ἀνισότης, δεῖ μὴ λανθάνειν· ἔχει γὰρ τοῦτ᾽ ἀπορίαν καὶ φιλοσοφίαν πολιτικήν. ἴσως γὰρ ἂν φαίη τις κατὰ παντὸς ὑπεροχὴν ἀγαθοῦ δεῖν ἀνίσως νενεμῆσθαι τὰς ἀρχάς, εἰ πάντα τὰ λοιπὰ μηδὲν διαφέροιεν ἀλλ᾽ ὅμοιοι τυγχάνοιεν ὄντες· τοῖς γὰρ διαφέρουσιν ἕτερον εἶναι τὸ δίκαιον καὶ τὸ κατ᾽ ἀξίαν. ἀλλὰ μὴν εἰ τοῦτ᾽ ἀληθές, ἔσται καὶ κατὰ χρῶμα καὶ κατὰ μέγεθος καὶ καθ᾽ ὁτιοῦν τῶν ἀγαθῶν πλεονεξία τις τῶν πολιτικῶν δικαίων τοῖς ὑπερέχουσιν. ἢ τοῦτο ἐπιπόλαιον τὸ ψεῦδος; φανερὸν δ᾽ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν καὶ δυνάμεων· τῶν γὰρ ὁμοίων αὐλητῶν τὴν τέχνην οὐ δοτέον πλεονεξίαν τῶν αὐλῶν τοῖς εὐγενεστέροις· οὐδὲν γὰρ αὐλήσουσι βέλτιον, δεῖ δὲ τῷ κατὰ τὸ ἔργον ὑπερέχοντι διδόναι καὶ τῶν ὀργάνων τὴν ὑπεροχήν. εἰ δὲ μήπω δῆλον τὸ λεγόμενον, ἔτι μᾶλλον αὐτὸ προαγαγοῦσιν ἔσται φανερόν. εἰ γὰρ εἴη τις ὑπερέχων μὲν κατὰ τὴν αὐλητικήν, πολὺ δ᾽ ἐλλείπων κατ᾽ εὐγένειαν ἢ κάλλος, εἰ καὶ μεῖζον ἕκαστον ἐκείνων ἀγαθόν ἐστι τῆς αὐλητικῆς (λέγω δὲ τήν τ᾽ εὐγένειαν καὶ τὸ κάλλος) καὶ κατὰ τὴν ἀναλογίαν ὑπερέχουσι πλέον τῆς αὐλητικῆς ἢ ἐκεῖνος κατὰ τὴν αὐλητικήν, ὅμως τούτῳ δοτέον τοὺς διαφέροντας

9. ἔργων T^b. ‖ 11. καὶ ante τῶν om Q^bT^b. ‖ 17. οὐ om I^b. ‖ 21. αὐτοῦ I^b. ‖ 32. ἔχουσιν $I^bQ^bT^b$. ‖ 36. ἐστι om Q^b. ‖ 38. μειζόνων — 39. δικαστήριον om T^b. ‖ 40. καὶ] καὶ τὸ T^b. ‖ 41. ἐχόντων I^bT^b.

4. κυρίως Q^bT^b. ‖ 11. εἰ] εἰς T^b. ‖ 39. καὶ ante κατὰ om Q^bT^b. ‖ 41. τοῦτο Q^bT^b.

χεσθαί ἐςι, καθ' ἑκάςην δὲ πολιτείαν ἕτερος, πρὸς δὲ τὴν ἀρίςην ὁ δυνάμενος καὶ προαιρύμενος ἄρχεσθαι καὶ ἄρχειν πρὸς τὸν βίον τὸν κατ' ἀρετήν. εἰ δέ τίς ἐςιν εἷς τοσῦτον διαφέρων κατ' ἀρετῆς ὑπερβολήν, ἢ πλείους μὲν ἑνὸς μὴ μέντοι δυνατοὶ πλήρωμα παρασχέσθαι πόλεως, ὥστε μὴ συμβλητὴν εἶναι τὴν τῶν ἄλλων ἀρετὴν πάντων μηδὲ τὴν δύναμιν αὐτῶν τὴν πολιτικὴν πρὸς τὴν ἐκείνων, εἰ πλείυς, εἰ δ' εἷς, τὴν ἐκείνυ μόνον, ὐκέτι θετέον τύτυς μέρος πόλεως· ἀδικήσονται γὰρ ἀξιύμενοι τῶν ἴσων, ἄνισοι τοσῦτον κατ' ἀρετὴν ὄντες καὶ τὴν πολιτικὴν δύναμιν· ὥσπερ γὰρ θεὸν ἐν ἀνθρώποις εἰκὸς εἶναι τὸν τοιῦτον. ὅθεν δῆλον ὅτι καὶ τὴν νομοθεσίαν ἀναγκαῖον εἶναι περὶ τὺς ἴσυς καὶ τῷ γένει καὶ τῇ δυνάμει. κατὰ δὲ τῶν τοιύτων ὐκ ἔςι νόμος· αὐτοὶ γάρ εἰσι νόμος. καὶ γὰρ γελοῖος ἂν εἴη νομοθετεῖν τις πειρώμενος κατ' αὐτῶν· λέγοιεν γὰρ ἂν ἴσως ἅπερ Ἀντισθένης ἔφη τὺς λέοντας δημηγορύντων τῶν δασυπόδων καὶ τὸ ἴσον ἀξιύντων πάντας ἔχειν. διὸ καὶ τίθενται τὸν ὀςρακισμὸν αἱ δημοκρατύμεναι πόλεις, διὰ τὴν τοιαύτην αἰτίαν· αὗται γὰρ δὴ δοκῦσι διώκειν τὴν ἰσότητα μάλιςα πάντων, ὥςε τὺς δοκῦντας ὑπερέχειν δυνάμει διὰ πλῦτον ἢ πολυφιλίαν ἤ τινα ἄλλην πολιτικὴν ἰσχὺν ὠςράκιζον καὶ μεθίςασαν ἐκ τῆς πόλεως χρόνους ὡρισμένυς. μυθολογεῖται δὲ καὶ τοὺς Ἀργοναύτας τὸν Ἡρακλέα καταλιπεῖν διὰ τοιαύτην αἰτίαν· οὐ γὰρ ἐθέλειν αὐτὸν ἄγειν τὴν Ἀργὼ μετὰ τῶν ἄλλων ὡς ὑπερβάλλοντα πολὺ τῶν πλωτήρων. διὸ καὶ τοὺς ψέγοντας τὴν τυραννίδα καὶ τὴν Περιάνδρου Θρασυβύλῳ συμβυλίαν ὐχ ἁπλῶς οἰητέον ὀρθῶς ἐπιτιμᾶν. φασὶ γὰρ τὸν Περίανδρον εἰπεῖν μὲν ὐδὲν πρὸς τὸν πεμφθέντα κήρυκα περὶ τῆς συμβουλίας, ἀφαιρῦντα δὲ τοὺς ὑπερέχοντας τῶν σταχύων ὁμαλῦναι τὴν ἄρουραν· ὅθεν ἀγνοῦντος μὲν τῦ κήρυκος τῦ γινομένυ τὴν αἰτίαν, ἀπαγγείλαντος δὲ τὸ συμπεσόν, συννοῆσαι τὸν Θρασύβυλον ὅτι δεῖ τὺς ὑπερέχοντας ἄνδρας ἀναιρεῖν. τῦτο γὰρ οὐ μόνον συμφέρει τοῖς τυράννοις, οὐδὲ μόνον οἱ τύραννοι ποιοῦσιν, ἀλλ' ὁμοίως ἔχει καὶ περὶ τὰς ὀλιγαρχίας καὶ τὰς δημοκρατίας· ὁ γὰρ ὀστρακισμὸς τὴν αὐτὴν ἔχει δύναμιν τρόπον τινὰ τῷ κολύειν τὺς ὑπερέχοντας καὶ φυγαδεύειν. τὸ δ' αὐτὸ καὶ περὶ τὰς πόλεις καὶ τὰ ἔθνη ποιοῦσιν οἱ κύριοι τῆς δυνάμεως, οἷον Ἀθηναῖοι μὲν περὶ Σαμίυς καὶ Χίους καὶ Λεσβίυς (ἐπεὶ γὰρ θᾶττον ἐγκρατῶς ἔσχον τὴν ἀρχήν, ἐταπείνωσαν αὐτὺς παρὰ τὰς συνθήκας), ὁ δὲ Περσῶν βασιλεὺς Μήδυς καὶ Βαβυλωνίυς καὶ τῶν ἄλλ πεφρονηματισμένους διὰ τὸ γενέσθαι ποτ' ἐπ' ἀρχῆ κοπτε πολλάκις. τὸ δὲ πρόβλημα καθόλου περὶ ἐςὶ τὰς πολιτείας, καὶ τὰς ὀρθάς· αἱ μὲν γὰρ πα βηκυῖαι πρὸς τὸ ἴδιον ἀποσκοποῦσαι τῦτο δρῶσιν, ἀλλὰ περὶ τὰς τὸ κοινὸν ἀγαθὸν ἐπισκοπύσας τὸν ἔχει τρόπον. δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων καὶ ἐπιστημῶν· οὔτε γὰρ γραφεὺς ἐάσειεν ἂν τὸν βάλλοντα πόδα τῆς συμμετρίας ἔχειν τὸ ζῷον, διαφέροι τὸ κάλλος, ὔτε ναυπηγὸς πρύμναν ἢ τῶν τι μορίων τῶν τῆς νεώς· ὐδὲ δὴ χοροδιδάσκαλος τὸ ζον καὶ κάλλιον τῦ παντὸς χορῦ φθεγγόμενον ἐάσ χορεύειν. ὥςε διὰ τῦτο μὲν οὐδὲν κωλύει τὺς μον συμφωνεῖν ταῖς πόλεσιν, εἰ τῆς οἰκείας ἀρχῆς ὠφ ταῖς πόλεσιν ὔσης τῦτο δρῶσιν. διὸ κατὰ τὰς ὁμολ νας ὑπεροχὰς ἔχει τι δίκαιον πολιτικὸν ὁ λόγος τὸν ὀςρακισμόν. βέλτιον μὲν ὖν τὸν νομοθέτην ἐξ οὕτω συστῆσαι τὴν πολιτείαν ὥστε μὴ δεῖσθαι τοι ἰατρείας· δεύτερος δὲ πλοῦς, ἂν συμβῇ, πειρᾶσθαι τινὶ διορθώματι διορθῦν. ὅπερ ὐκ ἐγίνετο περὶ τὰς π οὐ γὰρ ἔβλεπον πρὸς τὸ τῆς πολιτείας τῆς οἰκείας φέρον, ἀλλὰ στασιαστικῶς ἐχρῶντο τοῖς ὀςρακισμοῖ μὲν ὖν ταῖς παρεκβεβηκυίαις πολιτείαις ὅτι μὲν ἰδίᾳ φέρει καὶ δίκαιόν ἐςι, φανερόν· ἴσως δὲ καὶ ὅτι ὐχ ἁ δίκαιον, καὶ τῦτο φανερόν. ἀλλ' ἐπὶ τῆς ἀρίςης πολ ἔχει πολλὴν ἀπορίαν, οὐ κατὰ τῶν ἄλλων ἀγαθῶ ὑπεροχήν, οἷον ἰσχύος καὶ πλύτυ καὶ πολυφιλίας, ἀ ἄν τις γένηται διαφέρων κατ' ἀρετήν, τί χρὴ ποιεῖν; γὰρ δὴ φαῖεν ἂν δεῖν ἐκβάλλειν καὶ μεθιςάναι τὸν τον. ἀλλὰ μὴν οὐδ' ἄρχειν γε τοῦ τοιύτυ· παραπλή γὰρ κἂν εἰ τῦ Διὸς ἄρχειν ἀξιοῖεν, μερίζοντες τὰς ἀρχ λείπεται τοίνυν, ὅπερ ἔοικε πεφυκέναι, πείθεσθαι τῷ τοι πάντας ἀσμένως, ὥςε βασιλέας εἶναι τοὺς τοιύτυς ἀ ἐν ταῖς πόλεσιν.

Ἴσως δὲ καλῶς ἔχει μετὰ τὺς εἰρημένυς λόγυς ταβῆναι καὶ σκέψασθαι περὶ βασιλείας· φαμὲν γὰρ ὀρθῶν πολιτειῶν μίαν εἶναι ταύτην. σκεπτέον δὲ πό συμφέρει τῇ μελλούσῃ καλῶς οἰκήσεσθαι καὶ πόλει χώρᾳ βασιλεύεσθαι, ἢ οὒ ἀλλ' ἄλλη τις πολιτεία μ λον, ἢ τισὶ μὲν συμφέρει τισὶ δ' οὐ συμφέρει. δεῖ πρῶτον διελέσθαι πότερον ἓν τὸ γένος ἐςὶν αὐτῆς ἢ π

3. τὸν post βίον om $Q^b T^b$. ‖ 7. εἰ] ἢ T^b. ‖ 16. λέγοντας T^b. ‖ 37. τὸ $Q^b T^b$. ‖ κολύειν γε I^b: κωλύειν $I^b Q^b T^b$. ‖ 41. $I^b Q^b T^b$.

2. ἐπίσκοπτε T^b, ἐπίσκωπτε I^b. ‖ 25. ἐπεὶ I^b. ‖ 33. ἀσμένως] ἀναγκαίως $Q^b T^b$. ‖ βασιλείας $I^b T^b$. ‖ 40. δὲ] δὴ I^b.

ἢ οὐ συμφέρει· ἐν δὲ πότερον ἕνα συμφέρει κύριον εἶναι πάντων, ἢ οὐ συμφέρει. τὸ μὲν οὖν περὶ τῆς τοιαύτης στρατηγίας ἐπισκοπεῖν νόμων ἔχει μᾶλλον εἶδος ἢ πολιτείας· ἐν ἁπάσαις γὰρ ἐνδέχεται γίγνεσθαι τοῦτο ταῖς πολιτείαις· ὥστ' ἀφείσθω τὴν πρώτην. ὁ δὲ λοιπὸς τρόπος τῆς βασιλείας πολιτείας εἶδός ἐστιν, ὥστε περὶ τούτου δεῖ θεωρῆσαι καὶ τὰς ἀπορίας ἐπιδραμεῖν τὰς ἐνούσας. ἀρχὴ δ' ἐστὶ τῆς ζητήσεως αὕτη, πότερον συμφέρει μᾶλλον ὑπὸ τοῦ ἀρίστου ἀνδρὸς ἄρχεσθαι ἢ ὑπὸ τῶν ἀρίστων νόμων. δοκοῦσι δὴ τοῖς νομίζουσι συμφέρειν βασιλεύεσθαι τὸ καθόλου μόνον οἱ νόμοι λέγειν, ἀλλ' οὐ πρὸς τὰ προσπίπτοντα ἐπιτάττειν, ὥστ' ἐν ὁποιᾳοῦν τέχνῃ τὸ κατὰ γράμματ' ἄρχειν ἠλίθιον· καὶ ἐν Αἰγύπτῳ μετὰ τὴν τετρήμερον κινεῖν ἔξεστι τοῖς ἰατροῖς, ἐὰν δὲ πρότερον, ἐπὶ τῷ αὑτοῦ κινδύνῳ. φανερὸν τοίνυν ὡς οὐκ ἔστιν ἡ κατὰ γράμματα καὶ νόμους ἀρίστη πολιτεία διὰ τὴν αὐτὴν αἰτίαν. ἀλλὰ μὴν κἀκεῖνον δεῖ ὑπάρχειν τὸν λόγον τὸν καθόλου τοῖς ἄρχουσιν· κρεῖττον δ' ᾧ μὴ πρόσεστι τὸ παθητικὸν ὅλως ἢ ᾧ συμφυές. τῷ μὲν οὖν νόμῳ τοῦτο οὐχ ὑπάρχει, ψυχὴν δ' ἀνθρωπίνην ἀνάγκη τοῦτ' ἔχειν πᾶσαν. ἀλλ' ἴσως ἂν φαίη τις ὡς ἀντὶ τούτου βουλεύσεται περὶ τῶν καθ' ἕκαστα κάλλιον. ὅτι μὲν τοίνυν ἀνάγκη νομοθέτην αὐτὸν εἶναι, δῆλον, καὶ κεῖσθαι νόμους, ἀλλὰ μὴ κυρίους ᾗ παρεκβαίνουσιν, ἐπεὶ περὶ τῶν γ' ἄλλων εἶναι δεῖ κυρίους. ὅσα δὲ μὴ δυνατὸν τὸν νόμον κρίνειν ἢ ὅλως ἢ εὖ, πότερον ἕνα τὸν ἄριστον δεῖ ἄρχειν ἢ πάντας; καὶ γὰρ νῦν συνιόντες δικάζουσι καὶ βουλεύονται καὶ κρίνουσιν, αὗται δ' αἱ κρίσεις εἰσὶ πᾶσαι περὶ τῶν καθ' ἕκαστον. καθ' ἕνα μὲν οὖν συμβαλλόμενος ὁστισοῦν ἴσως χείρων· ἀλλ' ἐστὶν ἡ πόλις ἐκ πολλῶν, ὥσπερ ἑστίασις συμφορητὸς καλλίων μιᾶς καὶ ἁπλῆς. διὰ τοῦτο καὶ κρίνει ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὁστισοῦν. ἔτι μᾶλλον ἀδιάφθορον τὸ πολύ· καθάπερ ὕδωρ τὸ πλεῖον, οὕτω καὶ τὸ πλῆθος τῶν ὀλίγων ἀδιαφθορώτερον· τοῦ δ' ἑνὸς ὑπ' ὀργῆς κρατηθέντος ἤ τινος ἑτέρου πάθους τοιούτου ἀναγκαῖον διεφθάρθαι τὴν κρίσιν· ἐκεῖ δ' ἔργον ἅμα πάντας ὀργισθῆναι καὶ ἁμαρτεῖν. ἔστω δὲ τὸ πλῆθος οἱ ἐλεύθεροι, μηδὲν παρὰ τὸν νόμον πράττοντες, ἀλλ' ἢ περὶ ὧν ἐκλείπειν ἀναγκαῖον αὐτόν. εἰ δὲ δὴ τοῦτο μὴ ῥᾴδιον ἐν πολλοῖς, ἀλλ' εἰ πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται, πότερον ὁ εἷς ἀδιαφθορώτερος ἄρχων, ἢ μᾶλλον οἱ πλείους μὲν τὸν ἀριθμὸν ἀγαθοὶ

δὲ πάντες; ἢ δῆλον ὡς οἱ πλείους; ἀλλ' οἱ μὲν στασιά
ὁ δ' εἷς ἀστασίαστος. ἀλλὰ πρὸς τοῦτ' ἀντιθετέον ἴσ
σπουδαῖοι τὴν ψυχήν, ὥσπερ κἀκεῖνος ὁ εἷς. εἰ δὴ τ
τῶν πλειόνων ἀρχὴν ἀγαθῶν δ' ἀνδρῶν πάντων ἀρι
τίαν θετέον, τὴν δὲ τοῦ ἑνὸς βασιλείαν, αἱρετώτερον ἂν ε
πόλεσιν ἀριστοκρατία βασιλείας, καὶ μετὰ δυνάμε
χωρὶς δυνάμεως οὔσης τῆς ἀρχῆς, ἂν ᾖ λαβεῖν πλείους
καὶ διὰ τοῦτ' ἴσως ἐβασιλεύοντο πρότερον, ὅτι σπάνιον ἦ
ἄνδρας πολὺ διαφέροντας κατ' ἀρετήν, ἄλλως τε κα
μικρὰς οἰκοῦντας πόλεις. ἔτι δ' ἀπ' εὐεργεσίας καθί
τοὺς βασιλεῖς, ὅπερ ἐστὶν ἔργον τῶν ἀγαθῶν ἀνδρῶ
δὲ συνέβαινε γίγνεσθαι πολλοὺς ὁμοίους πρὸς ἀρετήν,
ὑπέμενον ἀλλ' ἐζήτουν κοινόν τι καὶ πολιτείαν καθί
ἐπεὶ δὲ χείρους γιγνόμενοι ἐχρηματίζοντο ἀπὸ τῶν
ἐντεῦθέν ποθεν εὔλογον γενέσθαι τὰς ὀλιγαρχίας· ἔ
γὰρ ἐποίησαν τὸν πλοῦτον. ἐκ δὲ τούτων πρῶτον εἰς
νίδας μετέβαλλον, ἐκ δὲ τῶν τυραννίδων εἰς δημοκρ
ἀεὶ γὰρ εἰς ἐλάττους ἄγοντες δι' αἰσχροκέρδειαν ἰσχ
ρον τὸ πλῆθος κατέστησαν, ὥστ' ἐπιθέσθαι καὶ γενέσθ
μοκρατίας. ἐπεὶ δὲ καὶ μείζους εἶναι συμβέβηκε τὰ
λεις, ἴσως οὐδὲ ῥᾴδιον ἔτι γίγνεσθαι πολιτείαν ἑτέραν
δημοκρατίαν. εἰ δὲ δή τις ἄριστον θείη τὸ βασιλε
ταῖς πόλεσιν, πῶς ἕξει τὰ περὶ τῶν τέκνων; πότερ
τὸ γένος δεῖ βασιλεύειν; ἀλλὰ γιγνομένων ὁποί
ἔτυχον, βλαβερόν. ἀλλ' οὐ παραδώσει κύριος ὢ
τέκνοις. ἀλλ' οὐκέτι τοῦτο ῥᾴδιον πιστεῦσαι· χαλεπὸ
καὶ μείζονος ἀρετῆς ἢ κατ' ἀνθρωπίνην φύσιν. ἔχ
ἀπορίαν καὶ περὶ τῆς δυνάμεως, πότερον ἔχειν δε
μέλλοντα βασιλεύειν ἰσχύν τινα περὶ αὑτόν, ᾗ δυνή
βιάζεσθαι τοὺς μὴ βουλομένους πειθαρχεῖν, ἢ πῶς ἐνδέχ
τὴν ἀρχὴν διοικεῖν; εἰ γὰρ καὶ κατὰ νόμον εἴη κύριος,
δὲν πράττων κατὰ τὴν αὑτοῦ βούλησιν παρὰ τὸν νόμον, ὅ
ἀναγκαῖον ὑπάρχειν αὐτῷ δύναμιν, ᾗ φυλάξει τοὺς ν
τάχα μὲν οὖν τὰ περὶ τὸν βασιλέα τὸν τοιοῦτον οὐ χα
διωρίσαι· δεῖ γὰρ αὐτὸν μὲν ἔχειν ἰσχύν, εἶναι δὲ τοσ
τὴν ἰσχὺν ὥστε ἑκάστου μὲν καὶ ἑνὸς καὶ συμπλειόνων κρ
τοῦ δὲ πλήθους ἥττω, καθάπερ οἵ τ' ἀρχαῖοι τὰς φυλ
ἐδίδοσαν, ὅτε καθισταῖέν τινα τῆς πόλεως ὃν ἐκάλουν αἰσ
την ἢ τύραννον, καὶ Διονυσίῳ τις, ὅτ' ᾔτει τοὺς φύλακας
νεβούλευε τοῖς Συρακουσίοις διδόναι τοσούτους τοὺς φύλακα

2. οὖν om Q^b. ‖ 9. δοκεῖ $I^bQ^bT^b$. ‖ 21. περὶ] τὸν περὶ Q^b. ‖ 25. πάντας] πάνυ $I^bQ^bT^b$. ‖ 30. κρίνειν Q^bT^b. ‖ 33. ὑπὸ T^b. ‖ 37. ὃν I^b, ὂν Q^bT^b.

7. ὁμοίως Q^bT^b. ‖ 24. ὁποίων Q^bT^b. ‖ 25. ἀλλ' — 26. τέκνοις om Q^bT^b. ‖ 29. ἢ $I^bQ^bT^b$. ‖ 33. ἢ Q^b. ‖ φυλάξει T^b. ‖ 38. καθισταῖον Q^b. ‖ 39. συνεβούλευε — 40. φύλακας om pr I^b.

Περὶ δὲ τῦ βασιλέως τῦ κατὰ τὴν αὐτῦ βύλησιν πάντα
τοντος ὅ τε λόγος ἐφέςηκε νῦν καὶ ποιητέον τὴν σκέ-
ὁ μὲν γὰρ κατὰ νόμον λεγόμενος βασιλεὺς ὐκ ἔστιν
, καθάπερ εἴπομεν, πολιτείας· ἐν πάσαις γὰρ ὑπάρ-
ἐνδέχεται ςρατηγίαν ἀΐδιον, οἷον ἐν δημοκρατίᾳ καὶ
κρατίᾳ, καὶ πολλοὶ ποιῦσιν ἕνα κύριον τῆς διοικήσεως·
ίτη γὰρ ἀρχή τίς ἐστι καὶ περὶ Ἐπίδαμνον, καὶ περὶ
ντα δὲ κατά τι μέρος ἔλαττον. περὶ δὲ τῆς παμβα-
ις καλυμένης, αὕτη δ' ἐςὶ καθ' ἣν ἄρχει πάντων κατὰ
αυτοῦ βύλησιν ὁ βασιλεύς, δοκεῖ δέ τισιν οὐδὲ κατὰ
ν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν, ὅπου
τηκεν ἐξ ὁμοίων ἡ πόλις· τοῖς γὰρ ὁμοίοις φύσει τὸ
δίκαιον ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν
, ὥστ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ
α βλαβερὸν τοῖς σώμασιν, ὕτως ἔχει καὶ τὸ περὶ τὰς
ς. ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τὺς ἴσυς· διόπερ οὐδὲν
λον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον. καὶ τὸ ἀνὰ μέρος τοί-
ισαύτως. τῦτο δ' ἤδη νόμος· ἡ γὰρ τάξις νόμος. τὸν
νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν πολιτῶν ἕνα
κατὰ τὸν αὐτὸν δὲ λόγον τῦτον, κἂν εἴ τινας ἄρχειν
ιον, τύτυς καταςατέον νομοφύλακας καὶ ὑπηρέτας τοῖς
ς· ἀναγκαῖον γὰρ εἶναί τινας ἀρχάς, ἀλλ' ὐχ ἕνα τῦ-
ἶναί φασι δίκαιον ὁμοίων γε ὄντων πάντων. ἀλλὰ μὴν
γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁ νόμος, ὐδ' ἄνθρωπος
ύναιτο γνωρίζειν. ἀλλ' ἐπίτηδες παιδεύσας ὁ νόμος
ησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν
ρχοντας. ἔτι δ' ἐπανορθοῦσθαι δίδωσιν, ὅ τι ἂν δόξῃ
ιμένοις ἄμεινον εἶναι τῶν κειμένων. ὁ μὲν ὖν τὸν νοῦν
ίων ἄρχειν δοκεῖ κελεύειν ἄρχειν τὸν θεὸν καὶ τὺς νό-
ὁ δ' ἄνθρωπον κελεύων προςίθησι καὶ θηρίον· ἥ τε γὰρ
μία τοιῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαςρέφει καὶ τὺς
ς ἄνδρας. διόπερ ἄνευ ὀρέξεως νῦς ὁ νόμος ἐστίν. τὸ
ῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ
ιματα ἰατρεύεσθαι φαῦλον, ἀλλὰ καὶ αἱρετώτερον
θαι τοῖς ἔχυσι τὰς τέχνας. οἱ μὲν γὰρ ὐδὲν διὰ φι-
παρὰ τὸν λόγον ποιῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν τὺς
οντας ὑγιάσαντες· οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς
ὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν, ἐπεὶ καὶ
ατρὺς ὅταν ὑποπτεύωσι πιςευθέντας τοῖς ἐχθροῖς δια-
ειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θεραπείαν
ταιεν ἂν μᾶλλον. ἀλλὰ μὴν εἰσάγονταί γ' ἐφ' ἑαυτὺς

οἱ ἰατροὶ κάμνοντες ἄλλυς ἰατρὺς καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι παιδοτρίβας, ὡς ὐ δυνάμενοι κρίνειν τὸ ἀληθὲς διὰ τὸ κρίνειν περί τε οἰκείων καὶ ἐν πάθει ὄντες. ὥςε δῆλον ὅτι τὸ δίκαιον ζητῦντες τὸ μέσον ζητῦσιν· ὁ γὰρ νόμος τὸ μέσον. ἔτι κυριώτεροι καὶ περὶ κυριωτέρων τῶν κατὰ γράμματα νόμων οἱ κατὰ τὰ ἔθη εἰσίν, ὥςε τῶν κατὰ γράμματα ἄνθρωπος ἄρχων ἀσφαλέςερος, ἀλλ' ὐ τῶν κατὰ τὸ ἔθος. ἀλλὰ μὴν ὐδὲ ῥᾴδιον ἐφορᾶν πολλὰ τὸν ἕνα· δεήσει ἄρα πλείονας εἶναι τοὺς ὑπ' αὐτῦ καθισταμένυς ἄρχοντας, ὥςε τί διαφέρει τῦτο ἐξ ἀρχῆς εὐθὺς ὑπάρχειν ἢ τὸν ἕνα καταςῆσαι τῦτον τὸν τρόπον; ἔτι, ὃ καὶ πρότερον εἰρημένον ἐστίν, εἴπερ ὁ ἀνὴρ ὁ σπυδαῖος, διότι βελτίων, ἄρχειν δίκαιος, τῦ δὲ ἑνὸς οἱ δύο ἀγαθοὶ βελτίυς· τῦτο γάρ ἐςι τὸ "σύν τε δύ' ἐρχομένω" καὶ ἡ εὐχὴ τῦ Ἀγαμέμνονος, "τοιῦτοι δέκα μοι συμφράδμονες." εἰσὶ δὲ καὶ νῦν περὶ ἐνίων αἱ ἀρχαὶ κύριαι κρίνειν, ὥσπερ ὁ δικαςής, περὶ ὧν ὁ νόμος ἀδυνατεῖ διορίζειν, ἐπεὶ περὶ ὧν δυνατός, ὐδεὶς ἀμφισβητεῖ περὶ τύτων ὡς ὐκ ἂν ἄριςα ὁ νόμος ἄρξειε καὶ κρίνειεν. ἀλλ' ἐπειδὴ τὰ μὲν ἐνδέχεται περιληφθῆναι τοῖς νόμοις τὰ δ' ἀδύνατα, ταῦτ' ἐςὶν ἃ ποιεῖ διαπορεῖν καὶ ζητεῖν πότερον τὸν ἄριςον νόμον ἄρχειν αἱρετώτερον ἢ τὸν ἄνδρα τὸν ἄριστον. περὶ ὧν γὰρ βυλεύονται νομοθετῆσαι τῶν ἀδυνάτων ἐστίν. ὐ τοίνυν τῦτό γ' ἀντιλέγυσιν, ὡς ὐκ ἀναγκαῖον ἄνθρωπον εἶναι τὸν κρινῦντα περὶ τῶν τοιούτων, ἀλλ' ὅτι οὐχ ἕνα μόνον ἀλλὰ πολλύς. κρίνει γὰρ ἕκαςος ἄρχων πεπαιδευμένος ὑπὸ τῦ νόμυ καλῶς, ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων, καὶ πράττων δυσὶ ποσὶ καὶ χερσίν, ἢ πολλοὶ πολλοῖς, ἐπεὶ καὶ νῦν ὀφθαλμὺς πολλὺς οἱ μόναρχοι ποιοῦσιν αὐτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. τὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτῦ φίλυς ποιῦνται συνάρχυς. μὴ φίλοι μὲν ὖν ὄντες ὐ ποιήσυσι κατὰ τὴν τοῦ μονάρχυ προαίρεσιν· εἰ δὲ φίλοι κἀκείνυ καὶ τῆς ἀρχῆς, ὅ γε φίλος ἴσος καὶ ὅμοιος. ὥς' εἰ τύτυς οἴεται δεῖν ἄρχειν, τὺς ἴσυς καὶ ὁμοίυς ἄρχειν οἴεται δεῖν ὁμοίως. ἃ μὲν ὖν οἱ διαμφισβητῦντες πρὸς τὴν βασιλείαν λέγυσι, σχεδὸν ταῦτ' ἐςίν. ἀλλ' ἴσως ταῦτ' ἐπὶ μέν 17
τινων ἔχει τὸν τρόπον τῦτον, ἐπὶ δέ τινων ὐχ ὕτως. ἔςι γάρ τι φύσει δεσποςὸν καὶ ἄλλο βασιλευτὸν καὶ ἄλλο πολιτικὸν καὶ δίκαιον καὶ συμφέρον· τυραννικὸν δ' ὐκ ἔςι κατὰ φύσιν, ὐδὲ τῶν ἄλλων πολιτειῶν ὅσαι παρεκβάσεις εἰσίν· ταῦτα γὰρ γίγνεται παρὰ φύσιν. ἀλλ' ἐκ τῶν εἰρημένων

4. βασιλείας $I^b Q^b T^b$. ‖ 9. πάντα $Q^b T^b$. ‖ 28. νοῦν γε I^b, νόμον $I^b Q^b T^b$. ‖ 36. τὺς] καὶ τὺς $Q^b T^b$.
1. ἰατροὶ καὶ κάμνοντες $Q^b T^b$. ‖ 2. τὸ — 3. κρίνειν om $Q^b T^b$. ‖ 8. πολλὰ om T^b. ‖ 12. ὁ post ἀνὴρ om I^b. ‖ 14. τι T^b. ‖ ἡ
$Q^b T^b$. ‖ 17. ἀδυνατοῖ T^b. ‖ 18. ὡς — κρίνειεν post 17. διορίζειν codices. ‖ 33. ὅτε T^b, οὔτε Q^b. ‖ 38. δεσποτὸν $I^b Q^b T^b$.

γε φανερὸν ὡς ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις ὔτε συμφέρον ἐςὶν ὔτε δίκαιον ἕνα κύριον εἶναι πάντων, ὔτε μὴ νόμων ὄντων, ἀλλ᾽ αὐτὸν ὡς ὄντα νόμον, ὔτε νόμων ὄντων, ὔτε ἀγαθὸν ἀγαθῶν ὔτε μὴ ἀγαθῶν μὴ ἀγαθόν, οὐδ᾽ ἂν κατ᾽ ἀρετὴν ἀμείνων ᾖ, εἰ μὴ τρόπον τινά. τίς δ᾽ ὁ τρόπος, λεκτέον· εἴρηται δέ πως ἤδη καὶ πρότερον. πρῶτον δὲ διοριςέον τί τὸ βασιλευτὸν καὶ τί τὸ ἀριστοκρατικὸν καὶ τί τὸ πολιτικόν. βασιλευτὸν μὲν ὖν τὸ τοιῦτόν ἐςι πλῆθος ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ᾽ ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν, ἀριςοκρατικὸν δὲ πλῆθος ὃ πέφυκε φέρειν πλῆθος ἄρχεσθαι δυνάμενον τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ᾽ ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν, πολιτικὸν δὲ πλῆθος ἐν ᾧ πέφυκε [καὶ ἓν] ἐγγίνεσθαι πλῆθος πολεμικόν, δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ᾽ ἀξίαν διανέμοντα τοῖς εὐπόροις τὰς ἀρχάς. ὅταν ὖν ἢ γένος ὅλον ἢ καὶ τῶν ἄλλων ἕνα τινὰ συμβῇ διαφέροντα γενέσθαι κατ᾽ ἀρετὴν τοσοῦτον ὥσθ᾽ ὑπερέχειν τὴν ἐκείνυ τῆς τῶν ἄλλων πάντων, τότε δίκαιον τὸ γένος εἶναι τῦτο βασιλικὸν καὶ κύριον πάντων καὶ βασιλέα τὸν ἕνα τῦτον. καθάπερ γὰρ [illegible]ρηται πρότερον, ὐ μόνον ὔτως ἔχει κατὰ τὸ δίκαιον, ὃ προφέρειν εἰώθασιν οἱ τὰς πολιτείας καθιςάντες, οἵ τε τὰς ἀριςοκρατικὰς καὶ οἱ τὰς ὀλιγαρχικὰς καὶ πάλιν οἱ τὰς δημοκρατικάς· πάντες γὰρ καθ᾽ ὑπεροχὴν ἀξιῦσιν, ἀλλ᾽ ὑπεροχὴν οὐ τὴν αὐτὴν ἀλλὰ κατὰ τὸ πρότερον λεχθέν. ὔτε γὰρ κτείνειν ἢ φυγαδεύειν ὐδ᾽ ὀςρακίζειν δή πυ τὸν τοιῦτον πρέπον ἐστίν, οὔτ᾽ ἀξιῦν ἄρχεσθαι κατὰ μέρος· ὐ γὰρ πέφυκε τὸ μέρος ὑπερέχειν τῦ παντός, τῷ δὲ τηλικαύτην ὑπερβολὴν ἔχοντι τοῦτο συμβέβηκεν. ὥστε λείπεται μόνον τὸ πείθεσθαι τῷ τοιύτῳ, καὶ κύριον εἶναι μὴ κατὰ μέρος τῦτον ἀλλ᾽ ἁπλῶς. περὶ μὲν ὖν βασιλείας, τίνας ἔχει διαφοράς, καὶ πότερον οὐ συμφέρει ταῖς πόλεσιν ἢ συμφέρει, καὶ τίσι, καὶ πῶς,
18 διωρίσθω τὸν τρόπον τῦτον. ἐπεὶ δὲ τρεῖς φαμὲν εἶναι τὰς ὀρθὰς πολιτείας, τύτων δ᾽ ἀναγκαῖον ἀρίςην εἶναι τὴν ὑπὸ τῶν ἀρίςων οἰκονομυμένην, τοιαύτη δ᾽ ἐςὶν ἐν ᾗ συμβέβηκεν ἢ ἕνα τινὰ συμπάντων ἢ γένος ὅλον ἢ πλῆθος ὑπερέχον εἶναι κατ᾽ ἀρετήν, τῶν μὲν ἄρχεσθαι δυναμένων τῶν δ᾽ ἄρχειν πρὸς τὴν αἱρετωτάτην ζωήν, ἐν δὲ τοῖς πρώτοις ἐδείχθη λόγοις ὅτι τὴν αὐτὴν ἀναγκαῖον ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολίτυ τῆς πόλεως τῆς ἀρίςης, φανερὸν ὅτι τὸν αὐτὸν τρόπον καὶ διὰ τῶν αὐτῶν ἀνήρ τε γίνεται σπυδαῖος καὶ πόλιν συςήσειεν ἄν τις ἀριςοκρατυμένην ἢ βασιλευομένην, ὥς᾽ ἔςαι

καὶ παιδεία καὶ ἔθη ταὐτὰ σχεδὸν τὰ ποιοῦντα σ
ἄνδρα καὶ τὰ ποιῦντα πολιτικὸν καὶ βασιλικόν. δ
νων δὲ τύτων περὶ τῆς πολιτείας ἤδη πειρατέον λ
ἀρίςης, τίνα πέφυκε γίνεσθαι τρόπον καὶ καθίςασθ
ἀνάγκη δὴ τὸν μέλλοντα περὶ αὐτῆς ποιήσασθαι τ
σήκυσαν σκέψιν

Δ.

Ἐν ἁπάσαις ταῖς τέχναις καὶ ταῖς ἐπιστήμ
μὴ κατὰ μόριον γινομέναις, ἀλλὰ περὶ γένος ἕν τι
οὔσαις, μιᾶς ἐςὶ θεωρῆσαι τὸ περὶ ἕκαςον γένος ἁ
οἷον ἄσκησις σώματι ποία τε ποίῳ συμφέρει καὶ τ
(τῷ γὰρ κάλλιςα πεφυκότι καὶ κεχορηγημένῳ τὴ
ἀναγκαῖον ἁρμόττειν), καὶ τίς τοῖς πλείςοις μία πᾶ
γὰρ τῦτο τῆς γυμναςικῆς ἐςίν. ἔτι δ᾽ ἐάν τις μὴ τ
μένης ἐπιθυμῇ μήθ᾽ ἕξεως μήτ᾽ ἐπιςήμης τῶν περὶ τ
νίαν, μηδὲν ἧττον τῦ παιδοτρίβυ καὶ τῦ γυμναςικῦ
σκευάσαι τε καὶ ταύτην ἐστὶ τὴν δύναμιν. ὁμοίως
καὶ περὶ ἰατρικὴν καὶ περὶ ναυπηγίαν καὶ ἐσθῆτα κ
πᾶσαν ἄλλην τέχνην ὁρῶμεν συμβαῖνον. ὥστε δῆ
καὶ πολιτείαν τῆς αὐτῆς ἐςὶν ἐπιςήμης τὴν ἀρίςην θε
τίς ἐςι, καὶ ποία τις ἂν ὖσα μάλις᾽ εἴη κατ᾽ εὐχήν,
νὸς ἐμποδίζοντος τῶν ἐκτός, καὶ τίς τίσιν ἁρμόττυσα
λοῖς γὰρ τῆς ἀρίςης τυχεῖν ἴσως ἀδύνατον, ὥςε τὴν
ςην τε ἁπλῶς καὶ τὴν ἐκ τῶν ὑποκειμένων ἀρίστην
λεληθέναι τὸν νομοθέτην καὶ τὸν ὡς ἀληθῶς πολιτικ
δὲ τρίτην τὴν ἐξ ὑποθέσεως· δεῖ γὰρ καὶ τὴν δοθεῖσα
νασθαι θεωρεῖν, ἐξ ἀρχῆς τε πῶς ἂν γένοιτο, καὶ γε
τίνα τρόπον ἂν σώζοιτο πλεῖςον χρόνον· λέγω δ᾽ οἷον ε
πόλει συμβέβηκε μήτε τὴν ἀρίςην πολιτεύεσθαι το
ἀχορήγητόν τε εἶναι καὶ τῶν ἀναγκαίων, μήτε τὴν
χομένην ἐκ τῶν ὑπαρχόντων, ἀλλά τινα φαυλοτέραν.
πάντα δὲ ταῦτα τὴν μάλιςα πάσαις ταῖς πόλεσιν ἁ
τυσαν δεῖ γνωρίζειν, ὡς οἱ πλεῖςοι τῶν ἀποφαινομέν
πολιτείας, καὶ εἰ τἆλλα λέγυσι καλῶς, τῶν γε χρη
διαμαρτάνυσιν. ὐ γὰρ μόνον τὴν ἀρίςην δεῖ θεωρεῖν,
καὶ τὴν δυνατήν, ὁμοίως δὲ καὶ τὴν ῥᾴω καὶ κοιν
ἁπάσαις. νῦν δ᾽ οἱ μὲν τὴν ἀκροτάτην καὶ δεομένη
λῆς χορηγίας ζητῦσι μόνον· οἱ δὲ μᾶλλον κοινήν τι
γοντες, τὰς ὑπαρχύσας ἀναιρῦντες πολιτείας, τὴν Λακ

3. ἀλλ᾽ — ὄντων om Q^bT^b. ‖ 5. εἰ om Q^bT^b. ‖ 15. ἀπόροις pr I^b et γρ I^b. ‖ 18. τότε — πάντων om I^b. ‖ 21. τὰς οἱ om pr I^b. ‖ 23. ἀξιῦσιν ἀλλ᾽ ὑπεροχὴν om T^b. ‖ 27. δὴ] δὲ τὴν I^b.

1. ταῦτα T^b. ‖ σπουδαῖον — 2. ποιῦντα om I^b. ‖ 10. ταῖς ante τέχναις om Q^bV^b. ‖ 17. ἀγονίαν V^b. ‖ 36. εἰ om Q^bV

κατ' ἀρετήν, κἂν εἴ τι δὴ τοιοῦτον ἕτερον εἴρηται πόλεως εἶναι μέρος ἐν τοῖς περὶ τὴν ἀριστοκρατίαν· ἐκεῖ γὰρ διειλόμεθα ἐκ πόσων μερῶν ἀναγκαίων ἐστὶ πᾶσα πόλις· τούτων γὰρ τῶν μερῶν ὁτὲ μὲν πάντα μετέχει τῆς πολιτείας, ὁτὲ δ' ἐλάττω, ὁτὲ δὲ πλείω. φανερὸν τοίνυν ὅτι πλείους ἀναγκαῖον εἶναι πολιτείας, εἴδει διαφερούσας ἀλλήλων· καὶ γὰρ ταῦτ' εἴδει διαφέρει τὰ μέρη σφῶν αὐτῶν. πολιτεία μὲν γὰρ ἡ τῶν ἀρχῶν τάξις ἐστί, ταύτην δὲ διανέμονται πάντες ἢ κατὰ τὴν δύναμιν τῶν μετεχόντων ἢ κατά τιν' αὐτῶν ἰσότητα κοινήν, λέγω δ' οἷον τῶν ἀπόρων ἢ τῶν εὐπόρων, ἢ κοινήν τιν' ἀμφοῖν. ἀναγκαῖον ἄρα πολιτείας εἶναι τοσαύτας ὅσαι περ τάξεις κατὰ τὰς ὑπεροχάς εἰσι καὶ κατὰ τὰς διαφορὰς τῶν μορίων. μάλιστα δὲ δοκοῦσιν εἶναι δύο, καθάπερ ἐπὶ τῶν πνευμάτων λέγεται τὰ μὲν βόρεια τὰ δὲ νότια, τὰ δ' ἄλλα τούτων παρεκβάσεις· οὕτω καὶ τῶν πολιτειῶν δύο, δῆμος καὶ ὀλιγαρχία. τὴν γὰρ ἀριστοκρατίαν τῆς ὀλιγαρχίας εἶδος τιθέασιν ὡς οὖσαν ὀλιγαρχίαν τινά, καὶ τὴν καλουμένην πολιτείαν δημοκρατίαν, ὥσπερ ἐν τοῖς πνεύμασι τὸν μὲν ζέφυρον τοῦ βορέου, τοῦ δὲ νότου τὸν εὖρον. ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἁρμονίας, ὥς φασί τινες· καὶ γὰρ ἐκεῖ τίθενται εἴδη δύο, τὴν δωριστὶ καὶ τὴν φρυγιστί, τὰ δὲ ἄλλα συντάγματα τὰ μὲν Δώρια τὰ δὲ Φρύγια καλοῦσιν. μάλιστα μὲν οὖν εἰώθασιν οὕτως ὑπολαμβάνειν περὶ τῶν πολιτειῶν· ἀληθέστερον δὲ καὶ βέλτιον ὡς ἡμεῖς διείλομεν, δυοῖν ἢ μιᾶς οὔσης τῆς καλῶς συνεστηκυίας τὰς ἄλλας εἶναι παρεκβάσεις, τὰς μὲν τῆς εὖ κεκραμένης ἁρμονίας, τὰς δὲ τῆς ἀρίστης πολιτείας, ὀλιγαρχικὰς μὲν τὰς συντονωτέρας καὶ δεσποτικωτέρας, τὰς δ' ἀνειμένας καὶ μαλακὰς δημοτικάς.

4 Οὐ δεῖ δὲ τιθέναι δημοκρατίαν, καθάπερ εἰώθασί τινες νῦν ἁπλῶς οὕτως, ὅπου κύριον τὸ πλῆθος· καὶ γὰρ ἐν ταῖς ὀλιγαρχίαις καὶ πανταχοῦ τὸ πλέον μέρος κύριον· οὐδ' ὀλιγαρχίαν, ὅπου κύριοι ὀλίγοι τῆς πολιτείας. εἰ γὰρ εἴησαν οἱ πάντες χίλιοι καὶ τριακόσιοι, καὶ τούτων οἱ χίλιοι πλούσιοι, καὶ μὴ μεταδιδοῖεν ἀρχῆς τοῖς τριακοσίοις καὶ πένησιν ἐλευθέροις οὖσι καὶ τἆλλα ὁμοίοις, οὐθεὶς ἂν φαίη δημοκρατεῖσθαι τούτους. ὁμοίως δὲ καὶ εἰ πένητες μὲν ὀλίγοι εἶεν, κρείττους δὲ τῶν εὐπόρων πλειόνων ὄντων, οὐδεὶς ἂν ὀλιγαρχίαν προσαγορεύσειεν οὐδὲ τὴν τοιαύτην, εἰ τοῖς ἄλλοις οὖσι πλουσίοις μὴ μετείη τῶν τιμῶν. μᾶλλον τοίνυν λεκτέον ὅτι δῆμος μέν ἐστιν ὅταν οἱ ἐλεύθεροι κύριοι ὦσιν, ὀλιγ δ' ὅταν οἱ πλούσιοι. ἀλλὰ συμβαίνει τοὺς μὲν πολλού τοὺς δ' ὀλίγους· ἐλεύθεροι μὲν γὰρ πολλοί, πλούσιοι δ' καὶ γὰρ ἂν εἰ κατὰ μέγεθος διενέμοντο τὰς ἀρχάς, ἐν Αἰθιοπίᾳ φασί τινες, ἢ κατὰ κάλλος, ὀλιγαρχία ὀλίγον γὰρ τὸ πλῆθος καὶ τὸ τῶν καλῶν καὶ τὸ τ γάλων. οὐ μὴν ἀλλ' οὐδὲ τούτοις μόνον ἱκανῶς ἔχει δι τὰς πολιτείας ταύτας· ἀλλ' ἐπεὶ πλείονα μόρια δήμου καὶ τῆς ὀλιγαρχίας εἰσίν, ἔτι διαληπτέον ὡς ο ἐλεύθεροι ὀλίγοι ὄντες πλειόνων καὶ μὴ ἐλευθέρων δῆμος, οἷον ἐν Ἀπολλωνίᾳ τῇ ἐν τῷ Ἰονίῳ καὶ ἐν Θ τούτων γὰρ ἑκατέρᾳ τῶν πόλεων ἐν ταῖς τιμαῖς διαφέροντες κατ' εὐγένειαν καὶ πρῶτοι κατασχόντ ἀποικίας, ὀλίγοι ὄντες πολλῶν), οὔτ' ἂν οἱ πλούσιοι κατὰ πλῆθος ὑπερέχειν, δῆμος, οἷον ἐν Κολοφῶνι λαιόν· ἐκεῖ γὰρ ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείο γενέσθαι τὸν πόλεμον τὸν πρὸς Λυδούς. ἀλλ' ἔστι δη τία μὲν ὅταν οἱ ἐλεύθεροι καὶ ἄποροι πλείους ὄντες τῆς ἀρχῆς ὦσιν, ὀλιγαρχία δ' ὅταν οἱ πλούσιοι καὶ ε στεροι ὀλίγοι ὄντες.

Ὅτι μὲν οὖν πολιτεῖαι πλείους, καὶ δι' ἣν αἰτίαν, ται· διότι δὲ πλείους τῶν εἰρημένων, καὶ τίνες καὶ δ λέγωμεν ἀρχὴν λαβόντες τὴν εἰρημένην πρότερον. ὁμ γοῦμεν γὰρ οὐχ ἓν μέρος ἀλλὰ πλείω πᾶσαν ἔχειν π ὥσπερ οὖν εἰ ζῴου προῃρούμεθα λαβεῖν εἴδη, πρῶτον ἂν διωρίζομεν ὅπερ ἀναγκαῖον πᾶν ἔχειν ζῷον, οἷον ἔνι τῶν αἰσθητηρίων καὶ τὸ τῆς τροφῆς ἐργαστικὸν καὶ δε οἷον στόμα καὶ κοιλίαν, πρὸς δὲ τούτοις, οἷς κινεῖται μ ἕκαστον αὐτῶν· εἰ δὴ τοσαῦτα εἴδη μόνον, τούτων δ' διαφοραί, λέγω δ' οἷον στόματός τινα πλείω γένη καὶ κ λίας καὶ τῶν αἰσθητηρίων, ἔτι δὲ καὶ τῶν κινητικῶν μορ ὁ τῆς συζεύξεως τῆς τούτων ἀριθμὸς ἐξ ἀνάγκης πο πλείω γένη ζῴων (οὐ γὰρ οἷόν τε ταὐτὸν ζῷον ἔχειν π στόματος διαφοράς, ὁμοίως δὲ οὐδ' ὤτων), ὥσθ' ὅταν φθῶσι τούτων πάντες οἱ ἐνδεχόμενοι συνδυασμοί, ποιή εἴδη ζῴου, καὶ τοσαῦτ' εἴδη τοῦ ζῴου ὅσαιπερ αἱ συζε τῶν ἀναγκαίων μορίων εἰσίν. τὸν αὐτὸν δὲ τρόπον καὶ εἰρημένων πολιτειῶν· καὶ γὰρ αἱ πόλεις οὐκ ἐξ ἑνὸς ἐκ πολλῶν σύγκειται μερῶν, ὥσπερ εἴρηται πολλάκ μὲν οὖν ἐστι τὸ περὶ τὴν τροφὴν πλῆθος, οἱ καλούμενοι γ

1. δεῖ $Q^b V^b$ et pr I^b. ‖ 2. διειλόμην $I^b V^b$. ‖ 9. τὴν et αὐτῶν om Q^b. ‖ 24. δυεῖν $U^b V^b$. ‖ 30. δὲ om $Q^b U^b V^b$. ‖ 32 – 33. ὀλίγοι post 37. τούτους $I^b Q^b U^b V^b$. ‖ 33. τῆς πολιτείας ὀλίγοι Q^b. ‖ 36. ὁμοίως U^b. ‖ 37. εἰ] οἱ U^b. ‖ 39. οὐδὲ] εἰ δὲ $U^b V^b$.

1. ὀλιγαρχίαν U^b. ‖ 15. ἐν] ἂν ἐν $I^b Q^b V^b$. ‖ 40. οἱ om I^b.

ἕτερον εἶδος δημοκρατίας τὸ μετέχειν ἅπαντας τὺς πολίτας ὅσοι ἀνυπεύθυνοι, ἄρχειν δὲ τὸν νόμον. ἕτερον δὲ εἶδος δημοκρατίας τὸ πᾶσι μετεῖναι τῶν ἀρχῶν, ἐὰν μόνον ᾖ πολίτης, ἄρχειν δὲ τὸν νόμον. ἕτερον εἶδος δημοκρατίας τἆλλα μὲν εἶναι ταὐτά, κύριον δ' εἶναι τὸ πλῆθος καὶ μὴ τὸν νόμον· τῦτο δὲ γίνεται, ὅταν τὰ ψηφίσματα κύρια ᾖ ἀλλὰ μὴ ὁ νόμος. συμβαίνει δὲ τοῦτο διὰ τοὺς δημαγωγούς. ἐν μὲν γὰρ ταῖς κατὰ νόμον δημοκρατυμέναις οὐ γίνεται δημαγωγός, ἀλλ' οἱ βέλτιςοι τῶν πολιτῶν εἰσὶν ἐν προεδρίᾳ· ὅπυ δ' οἱ νόμοι μή εἰσι κύριοι, ἐνταῦθα γίνονται δημαγωγοί. μόναρχος γὰρ ὁ δῆμος γίνεται, σύνθετος εἷς ἐκ πολλῶν· οἱ γὰρ πολλοὶ κύριοί εἰσιν ὐχ ὡς ἕκαςος ἀλλὰ πάντες. Ὅμηρος δὲ ποίαν λέγει ὐκ ἀγαθὸν εἶναι πολυκοιρανίην, πότερον ταύτην ἢ ὅταν πλείυς ὦσιν οἱ ἄρχοντες ὡς ἕκαςος, ἄδηλον. ὁ δ' ὖν τοιῦτος δῆμος, ἅτε μόναρχος ὤν, ζητεῖ μοναρχεῖν διὰ τὸ μὴ ἄρχεσθαι ὑπὸ νόμυ, καὶ γίνεται δεσποτικός, ὥστε οἱ κόλακες ἔντιμοι· καὶ ἔστιν ὁ τοιοῦτος δῆμος ἀνάλογον τῶν μοναρχιῶν τῇ τυραννίδι. διὸ καὶ τὸ ἦθος τὸ αὐτό, καὶ ἄμφω δεσποτικὰ τῶν βελτιόνων, καὶ τὰ ψηφίσματα ὥσπερ ἐκεῖ τὰ ἐπιτάγματα, καὶ ὁ δημαγωγὸς καὶ ὁ κόλαξ οἱ αὐτοὶ καὶ ἀνάλογον· καὶ μάλιςα δ' ἑκάτεροι παρ' ἑκατέροις ἰσχύυσιν, οἱ μὲν κόλακες παρὰ τυράννοις, οἱ δὲ δημαγωγοὶ παρὰ τοῖς δήμοις τοῖς τοιύτοις. αἴτιοι δ' εἰσὶ τῦ εἶναι τὰ ψηφίσματα κύρια ἀλλὰ μὴ τὺς νόμυς ὗτοι, πάντα ἀνάγοντες εἰς τὸν δῆμον· συμβαίνει γὰρ αὐτοῖς γίνεσθαι μεγάλοις διὰ τὸ τὸν μὲν δῆμον πάντων εἶναι κύριον, τῆς δὲ τοῦ δήμυ δόξης τύτυς· πείθεται γὰρ τὸ πλῆθος τύτοις. ἔτι δ' οἱ ταῖς ἀρχαῖς ἐγκαλοῦντες τὸν δῆμόν φασι δεῖν κρίνειν· ὁ δὲ ἀσμένως δέχεται τὴν πρόκλησιν, ὥςε καταλύο[illegible] πᾶσαι αἱ ἀρχαί. εὐλόγως δὲ ἂν δόξειεν ἐπιτιμᾶν ὁ φάσκων τὴν τοιαύτην εἶναι δημοκρατίαν ὐ πολιτείαν· ὅπυ γὰρ μὴ νόμοι ἄρχυσιν, οὐκ ἔςι πολιτεία. δεῖ γὰρ τὸν μὲν νόμον ἄρχειν πάντων, τῶν δὲ καθ' ἕκαστα τὰς ἀρχὰς καὶ τὴν πολιτείαν κρίνειν. ὥστ' εἴπερ ἐστὶ δημοκρατία μία τῶν πολιτειῶν, φανερὸν ὡς ἡ τοιαύτη κατάςασις, ἐν ᾗ ψηφίσμασι πάντα διοικεῖται, οὐδὲ δημοκρατία κυρίως· οὐδὲν γὰρ ἐνδέχεται ψήφισμα εἶναι καθόλυ. τὰ μὲν ὖν τῆς δημοκρατίας εἴδη διωρίσθω τὸν τρόπον τοῦτον.

5 Ὀλιγαρχίας δὲ εἴδη, ἓν μὲν τὸ ἀπὸ τιμημάτων εἶναι τὰς ἀρχὰς τηλικύτων ὥστε τὺς ἀπόρυς μὴ μετέχειν πλείυς ὄντας, ἐξεῖναι δὲ τῷ κτωμένῳ μετέχειν τῆς πολιτείας. ἄλλο

δέ, ὅταν ἀπὸ τιμημάτων μακρῶν ὦσιν αἱ ἀρχαὶ κ
ται αὐτοὶ τοὺς ἐλλείποντας. ἂν μὲν οὖν ἐκ πάντ
τῦτο ποιῶσι, δοκεῖ τῦτ' εἶναι μᾶλλον ἀριςοκρατικό
ἐκ τινῶν ἀφωρισμένων, ὀλιγαρχικόν. ἕτερον εἶδο
χίας, ὅταν παῖς ἀντὶ πατρὸς εἰσίῃ. τέταρτον
ὑπάρχῃ τό τε νῦν λεχθὲν καὶ ἄρχῃ μὴ ὁ νόμο
ἄρχοντες. καὶ ἔστιν ἀντίςροφος αὕτη ἐν ταῖς ὀλ
ὥσπερ ἡ τυραννὶς ἐν ταῖς μοναρχίαις καὶ περὶ
ταίας εἴπαμεν δημοκρατίας ἐν ταῖς δημοκρατίαις·
λοῦσι δὴ τὴν τοιαύτην ὀλιγαρχίαν δυναστείαν.

Ὀλιγαρχίας μὲν ὖν εἴδη τοσαῦτα καὶ δημοκ
δεῖ δὲ λανθάνειν ὅτι πολλαχοῦ συμβέβηκεν ὥστ
πολιτείαν τὴν κατὰ τοὺς νόμυς μὴ δημοτικὴν εἶνα
τὸ ἦθος καὶ τὴν ἀγωγὴν πολιτεύεσθαι δημοτικῶ
δὲ πάλιν παρ' ἄλλοις τὴν μὲν κατὰ τὺς νόμυς ε
τείαν δημοτικωτέραν, τῇ δ' ἀγωγῇ καὶ τοῖς ἔθεσι
χεῖσθαι μᾶλλον. συμβαίνει δὲ τοῦτο μάλιστα
μεταβολὰς τῶν πολιτειῶν· οὐ γὰρ εὐθὺς μετα
ἀλλ' ἀγαπῶσι τὰ πρῶτα μικρὰ πλεονεκτῦντες π
λων, ὥσθ' οἱ μὲν νόμοι διαμένυσιν οἱ προϋπάρχον
τοῦσι δ' οἱ μεταβάλλοντες τὴν πολιτείαν.

Ὅτι δ' ἐστὶ τοσαῦτα εἴδη δημοκρατίας καὶ
χίας, ἐξ αὐτῶν τῶν εἰρημένων φανερόν ἐστιν. ἀνά
ἢ πάντα τὰ εἰρημένα μέρη τῦ δήμυ κοινωνεῖν τῆς π
ἢ τὰ μὲν τὰ δὲ μή. ὅταν μὲν ὖν τὸ γεωργικὸν κα
κτημένον μετρίαν ὐσίαν κύριον ᾖ τῆς πολιτείας, π
ται κατὰ νόμυς· ἔχυσι γὰρ ἐργαζόμενοι ζῆν, οὐ
δὲ σχολάζειν, ὥςε τὸν νόμον ἐπιςήσαντες ἐκκλησία
ἀναγκαίας ἐκκλησίας· τοῖς δὲ ἄλλοις μετέχειν ἔξε
κτήσωνται τὸ τίμημα τὸ διωρισμένον ὑπὸ τῶν νόμ
πᾶσι τοῖς κτωμένοις ἔξεςι μετέχειν.] ὅλως μὲν γὰρ
μὴ ἐξεῖναι πᾶσιν ὀλιγαρχικόν, τὸ δὲ δὴ ἐξεῖναι σχ
ἀδύνατον μὴ προσόδων ὐσῶν. τῦτο μὲν οὖν εἶδος ε
κρατίας, διὰ ταύτας τὰς αἰτίας, ἕτερον δὲ εἶδος
ἐχομένην αἵρεσιν· ἔστι γὰρ καὶ πᾶσιν ἐξεῖναι τοῖς
θύνοις κατὰ τὸ γένος, μετέχειν μέντοι δυναμένοις
ζειν. διόπερ ἐν τῇ τοιαύτῃ δημοκρατίᾳ οἱ νόμοι ἄ
διὰ τὸ μὴ εἶναι πρόσοδον. τρίτον δ' εἶδος τὸ πᾶσιν
ὅσοι ἂν ἐλεύθεροι ὦσι, μετέχειν τῆς πολιτείας, μὴ
μετέχειν διὰ τὴν προειρημένην αἰτίαν, ὥστ' ἀναγκα
ἐν ταύτῃ ἄρχειν τὸν νόμον. τέταρτον δὲ εἶδος δημο

1. ἕτερον — μετέχειν om I^b. ‖ 9. πολιτειῶν V^b. ‖ 21. καὶ ante μάλιςα om Q^bV^b. ‖ 22. παρ' om I^bV^b, παρ' ἑκατέ Q^b. ‖ 26. πάντων om Q^bV^b.

1. μικρῶν codices. ‖ 9. εἴπομεν Q^b. ‖ 15. τὺς om Q^bV^b. ‖ 30. ἀδ — 31. μετέχειν om $I^bQ^bV^b$. ‖ 36. δυναμένους I^b.

λευταία τοῖς χρόνοις ἐν ταῖς πόλεσι γεγενημένη. διὰ τὸ μείζυς γεγονέναι πολὺ τὰς πόλεις τῶν ἐξ ὑπαρχῆς τροσόδων ὑπάρχειν εὐπορίας, μετέχυσι μὲν πάντες τῆς είας διὰ τὴν ὑπεροχὴν τοῦ πλήθους, κοινωνῦσι δὲ καὶ εύονται διὰ τὸ δύνασθαι σχολάζειν καὶ τοὺς ἀπόρους βάνοντας μισθόν. καὶ μάλιςα δὲ σχολάζει τὸ τοιῦτον ος· οὐ γὰρ ἐμποδίζει αὐτὺς οὐθὲν ἡ τῶν ἰδίων ἐπιμέ- τὺς δὲ πλυσίυς ἐμποδίζει, ὥςε πολλάκις ὐ κοινωνῦσι κκλησίας ὐδὲ τῦ δικάζειν. διὸ γίνεται τὸ τῶν ἀπόρων ος κύριον τῆς πολιτείας, ἀλλ' ὐχ οἱ νόμοι. τὰ μὲν ὖν ημοκρατίας εἴδη τοσαῦτα καὶ τοιαῦτα διὰ ταύτας τὰς κας ἐστίν· τὰ δὲ τῆς ὀλιγαρχίας, ὅταν μὲν πλείους ιν οὐσίαν, ἐλάττω δὲ καὶ μὴ πολλὴν λίαν, τὸ τῆς ης ὀλιγαρχίας εἶδός ἐςιν· ποιῦσι γὰρ ἐξυσίαν μετέχειν τωμένῳ. καὶ διὰ τὸ πλῆθος εἶναι τῶν μετεχόντων τῦ εύματος ἀνάγκη μὴ τοὺς ἀνθρώπυς ἀλλὰ τὸν νόμον κύριον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχωσι τῆς μοναρχίας, ιήτε τοσαύτην ἔχωσιν ὐσίαν ὥςε σχολάζειν ἀμελοῦν- μήθ' οὕτως ὀλίγην ὥστε τρέφεσθαι ἀπὸ τῆς πόλεως, κη τὸν νόμον ἀξιοῦν αὐτοῖς ἄρχειν, ἀλλὰ μὴ αὐτούς. ὲ δὴ ἐλάττυς ὦσιν οἱ τὰς οὐσίας ἔχοντες ἢ οἱ τὸ πρό- πλείω δέ, τὸ τῆς δευτέρας ὀλιγαρχίας γίνεται εἶδος· ον γὰρ ἰσχύοντες πλεονεκτεῖν ἀξιῦσιν. διὸ αὐτοὶ μὲν ται ἐκ τῶν ἄλλων τοὺς εἰς τὸ πολίτευμα βαδίζοντας, ὲ τὸ μήπω ὕτως ἰσχυροὶ εἶναι ὥς' ἄνευ νόμυ ἄρχειν, μον τίθενται τοιοῦτον. ἐὰν δ' ἐπιτείνωσι τῷ ἐλάττονες μείζονας οὐσίας ἔχειν, ἡ τρίτη ἐπίδοσις γίνεται τῆς ρχίας, τὸ δι' αὐτῶν μὲν τὰς ἀρχὰς ἔχειν, κατὰ νό- δὲ τὸν κελεύοντα τῶν τελευτώντων διαδέχεσθαι τοὺς ὅταν δὲ ἤδη πολὺ ὑπερτείνωσι ταῖς οὐσίαις καὶ ταῖς φιλίαις, ἐγγὺς ἡ τοιαύτη δυναςεία μοναρχίας ἐςίν, καὶ γίνονται οἱ ἄνθρωποι, ἀλλ' οὐχ ὁ νόμος· καὶ τὸ τέ- ν εἶδος τῆς ὀλιγαρχίας τοῦτ' ἐςίν, ἀντίςροφον τῷ τε- λῳ τῆς δημοκρατίας.

Ἔτι δ' εἰσὶ δύο πολιτεῖαι παρὰ δημοκρατίαν τε καὶ ρχίαν, ὧν τὴν μὲν ἑτέραν λέγυσί τε πάντες καὶ εἴρη- ῶν τεττάρων πολιτειῶν εἶδος ἕν· λέγουσι δὲ τέτταρας χίαν, ὀλιγαρχίαν, δημοκρατίαν, τέταρτον δὲ τὴν κα- ένην ἀριςοκρατίαν· πέμπτη δ' ἐστὶν ἣ προσαγορεύεται νὸν ὄνομα πασῶν (πολιτείαν γὰρ καλῦσιν), ἀλλὰ διὰ πολλάκις γίνεσθαι λανθάνει τὺς πειρωμένυς ἀριθμεῖν ῶν πολιτειῶν εἴδη, καὶ χρῶνται ταῖς τέτταρσι μόνον, ὥσπερ Πλάτων ἐν ταῖς πολιτείαις. ἀριστοκρατίαν μὲν οὖν καλῶς ἔχει καλεῖν περὶ ἧς διήλθομεν ἐν τοῖς πρώτοις λόγοις· τὴν γὰρ ἐκ τῶν ἀρίςων ἁπλῶς κατ' ἀρετὴν πολιτείαν, καὶ μὴ πρὸς ὑπόθεσίν τινα ἀγαθῶν ἀνδρῶν, μόνην δίκαιον προσαγορεύειν ἀριστοκρατίαν. ἐν μόνῃ γὰρ ἁπλῶς ὁ αὐτὸς ἀνὴρ καὶ πολίτης ἀγαθός ἐστιν· οἱ δ' ἐν ταῖς ἄλλαις ἀγαθοὶ πρὸς τὴν πολιτείαν εἰσὶ τὴν αὐτῶν. οὐ μὴν ἀλλ' εἰσί τινες αἳ πρός τε τὰς ὀλιγαρχυμένας ἔχουσι διαφοράς, καὶ καλῦνται ἀριςοκρατίαι, καὶ πρὸς τὴν καλυμένην πολιτείαν, ὅπου γε μὴ μόνον πλυτίνδην ἀλλὰ καὶ ἀριςίνδην αἱροῦνται τὰς ἀρχάς. αὕτη ἡ πολιτεία διαφέρει τε ἀμφοῖν καὶ ἀριςοκρατικὴ καλεῖται. καὶ γὰρ ἐν ταῖς μὴ ποιυμέναις κοινὴν ἐπιμέλειαν ἀρετῆς εἰσὶν ὅμως τινὲς οἱ εὐδοκιμῦντες καὶ δοκοῦντες εἶναι ἐπιεικεῖς. ὅπου οὖν ἡ πολιτεία βλέπει εἴς τε πλῦτον καὶ ἀρετὴν καὶ δῆμον, οἷον ἐν Καρχηδόνι, αὕτη ἀριςοκρατική ἐςιν· καὶ ἐν αἷς εἰς τὰ δύο μόνον, οἷον ἡ Λακεδαιμονίων εἰς ἀρετήν τε καὶ δῆμον, καὶ ἔςι μίξις τῶν δύο τούτων, δημοκρατίας τε καὶ ἀρετῆς. ἀριςοκρατίας μὲν οὖν παρὰ τὴν πρώτην τὴν ἀρίστην πολιτείαν ταῦτα δύο εἴδη· καὶ τρίτον ὅσαι τῆς καλυμένης πολιτείας ῥέπουσι πρὸς τὴν ὀλιγαρχίαν μᾶλλον.

Λοιπὸν δ' ἐςὶν ἡμῖν περί τε τῆς νομιζομένης πολιτείας 8 εἰπεῖν καὶ περὶ τυραννίδος· ἐτάξαμεν δ' ὕτως ὐκ ὖσαν ὔτε ταύτην παρέκβασιν ὔτε τὰς ἄρτι ῥηθείσας ἀριςοκρατίας, ὅτι τὸ μὲν ἀληθὲς πᾶσαι διημαρτήκασι τῆς ὀρθοτάτης πολιτείας, ἔπειτα καταριθμῦνται μετὰ τούτων, εἰσί τ' αὐτῶν αὗται παρεκβάσεις, ὥσπερ ἐν τοῖς κατ' ἀρχὴν εἴπομεν. τελευταῖον δὲ περὶ τυραννίδος εὔλογόν ἐςι ποιήσασθαι μνείαν διὰ τὸ πασῶν ἥκιστα ταύτην εἶναι πολιτείαν, ἡμῖν δὲ τὴν μέθοδον εἶναι περὶ πολιτείας. δι' ἣν μὲν ὖν αἰτίαν τέτακται τὸν τρόπον τῦτον, εἴρηται· νῦν δὲ δεικτέον ἡμῖν περὶ πολιτείας. φανερωτέρα γὰρ ὁ δύναμις αὐτῆς διωρισμένων τῶν περὶ ὀλιγαρχίας καὶ δημοκρατίας. ἔςι γὰρ ἡ πολιτεία ὡς ἁπλῶς εἰπεῖν μίξις ὀλιγαρχίας καὶ δημοκρατίας, εἰώθασι δὲ καλεῖν τὰς μὲν ἀποκλινύσας ὡς πρὸς τὴν δημοκρατίαν πολιτείας, τὰς δὲ πρὸς τὴν ὀλιγαρχίαν μᾶλλον ἀριςοκρατίας διὰ τὸ μᾶλλον ἀκολυθεῖν παιδείαν καὶ εὐγένειαν τοῖς εὐπορωτέροις. ἔτι δὲ δοκοῦσιν ἔχειν οἱ εὔποροι ὧν ἕνεκεν οἱ ἀδικῦντες ἀδικῦσιν· ὅθεν καὶ καλὺς κἀγαθὺς καὶ γνωρίμυς τύτυς προσαγορεύυσιν. ἐπεὶ ὖν ἡ ἀριςοκρατία βύλεται τὴν ὑπεροχὴν ἀπονέμειν τοῖς ἀρίςοις τῶν πολιτῶν, καὶ τὰς ὀλιγαρχίας εἶναί φασιν ἐκ τῶν καλῶν κἀγαθῶν μᾶλλον. δο-

. ὑπάρχειν om I^b. ‖ 9. ὖτε codices. ‖ 21. ἢ οἱ γρ Q^b, εἰ μὲν $I^bQ^bV^b$. ‖ 25. δὲ om I^bV^b. ‖ 39 et b5. ἀριςοκράτειαν V^b.
. ἔχει καλεῖν] ἔχειν Q^bV^b. ‖ 7. τὴν post πρὸς om $Q^bU^bV^b$. ‖ 15. καλχηδόνι U^b. ‖ 19. τὴν post πρώτην om U^b.

κεῖ δ' εἶναι τῶν ἀδυνάτων τὸ μὴ εὐνομεῖσθαι τὴν ἀριστοκρατουμένην πόλιν, ἀλλὰ πονηροκρατουμένην, ὁμοίως δὲ καὶ ἀριστοκρατεῖσθαι τὴν μὴ εὐνομουμένην. οὐκ ἔστι δὲ εὐνομία τὸ εὖ κεῖσθαι τοὺς νόμους, μὴ πείθεσθαι δέ. διὸ μίαν μὲν εὐνομίαν ὑποληπτέον εἶναι τὸ πείθεσθαι τοῖς κειμένοις νόμοις, ἑτέραν δὲ τὸ καλῶς κεῖσθαι τοὺς νόμους οἷς ἐμμένουσιν· ἔστι γὰρ πείθεσθαι καὶ κακῶς κειμένοις. τοῦτο δ' ἐνδέχεται διχῶς· ἢ γὰρ τοῖς ἀρίστοις τῶν ἐνδεχομένων αὐτοῖς, ἢ τοῖς ἁπλῶς ἀρίστοις. δοκεῖ δὲ ἀριστοκρατία μὲν εἶναι μάλιστα τὸ τὰς τιμὰς νενεμῆσθαι κατ' ἀρετήν· ἀριστοκρατίας μὲν γὰρ ὅρος ἀρετή, ὀλιγαρχίας δὲ πλοῦτος, δήμου δ' ἐλευθερία· τὸ δ' ὅ τι ἂν δόξῃ τοῖς πλείοσιν, ἐν πάσαις ὑπάρχει· καὶ γὰρ ἐν ὀλιγαρχίᾳ καὶ ἐν ἀριστοκρατίᾳ καὶ ἐν δήμοις, ὅ τι ἂν δόξῃ τῷ πλείονι μέρει τῶν μετεχόντων τῆς πολιτείας, τοῦτ' ἐστὶ κύριον. ἐν μὲν οὖν ταῖς πλείσταις πόλεσι τὸ τῆς πολιτείας εἶδος καλεῖται· μόνον γὰρ ἡ μίξις στοχάζεται τῶν εὐπόρων καὶ τῶν ἀπόρων πλούτου καὶ ἐλευθερίας· σχεδὸν γὰρ παρὰ τοῖς πλείστοις οἱ εὔποροι τῶν καλῶν κἀγαθῶν δοκοῦσι κατέχειν χώραν. ἐπεὶ δὲ τρία ἐστὶ τὰ ἀμφισβητοῦντα τῆς ἰσότητος τῆς πολιτείας, ἐλευθερία πλοῦτος ἀρετή (τὸ γὰρ τέταρτον, ὃ καλοῦσιν εὐγένειαν, ἀκολουθεῖ τοῖς δυσίν· ἡ γὰρ εὐγένειά ἐστιν ἀρχαῖος πλοῦτος καὶ ἀρετή), φανερὸν ὅτι τὴν μὲν τοῖν δυοῖν μίξιν, τῶν εὐπόρων καὶ τῶν ἀπόρων, πολιτείαν λεκτέον, τὴν δὲ τῶν τριῶν ἀριστοκρατίαν μάλιστα τῶν ἄλλων παρὰ τὴν ἀληθινὴν καὶ πρώτην. ὅτι μὲν οὖν ἐστὶ καὶ ἕτερα πολιτείας εἴδη παρὰ μοναρχίαν τε καὶ δημοκρατίαν καὶ ὀλιγαρχίαν, εἴρηται, καὶ ποῖα ταῦτα, καὶ τί διαφέρουσιν ἀλλήλων αἵ τ' ἀριστοκρατίαι καὶ αἱ πολιτεῖαι τῆς ἀριστοκρατίας, καὶ ὅτι οὐ πόρρω αὗται ἀλλήλων, φανερόν.

9 Τίνα δὲ τρόπον γίνεται παρὰ δημοκρατίαν καὶ ὀλιγαρχίαν ἡ καλουμένη πολιτεία, καὶ πῶς αὐτὴν δεῖ καθιστάναι, λέγωμεν ἐφεξῆς τοῖς εἰρημένοις. ἅμα δὲ δῆλον ἔσται καὶ οἷς ὁρίζονται τὴν δημοκρατίαν καὶ τὴν ὀλιγαρχίαν· ληπτέον γὰρ τὴν τούτων διαίρεσιν, εἶτα ἐκ τούτων ἀφ' ἑκατέρας ὥσπερ σύμβολον λαμβάνοντας συνθετέον. εἰσὶ δὲ ὅροι τρεῖς τῆς συνθέσεως καὶ μίξεως. ἢ γὰρ ἀμφότερα ληπτέον ὧν ἑκάτεραι νομοθετοῦσιν, οἷον περὶ τοῦ δικάζειν. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις τοῖς εὐπόροις ζημίαν τάττουσιν, ἂν μὴ δικάζωσι, τοῖς δ' ἀπόροις οὐδένα μισθόν, ἐν δὲ ταῖς δημοκρατίαις τοῖς μὲν ἀπόροις μισθόν, τοῖς δ' εὐπόροις οὐδεμίαν ζημίαν. κοινὸν δὲ καὶ μέσον τούτων ἀμφότερα ταῦτα· διὸ καὶ

πολιτικόν· μέμικται γὰρ ἐξ ἀμφοῖν. εἷς μὲν οὖν
συνδυασμοῦ τρόπος, ἕτερος δὲ τὸ μέσον λαμβάνειν
τεροι τάττουσιν, οἷον ἐκκλησιάζειν οἱ μὲν ἀπὸ τι
οὐθενὸς ἢ μικροῦ πάμπαν, οἱ δ' ἀπὸ μακροῦ τιμήμα
νὸν δέ γε οὐδέτερον, ἀλλὰ τὸ μέσον ἑκατέρου τιμήμ
των. τρίτον δ' ἐκ δυοῖν ταγμάτοιν, τὰ μὲν ἐκ τοῦ
χικοῦ νόμου, τὰ δ' ἐκ τοῦ δημοκρατικοῦ. λέγω δ'
δημοκρατικὸν μὲν εἶναι τὸ κληρωτὰς εἶναι τὰς ἀ
δ' αἱρετὰς ὀλιγαρχικόν, καὶ δημοκρατικὸν μὲν τὸ
τιμήματος, ὀλιγαρχικὸν δὲ τὸ ἀπὸ τιμήματος.
τικὸν τοίνυν καὶ πολιτικὸν τὸ ἐξ ἑκατέρας ἑκάτερο
ἐκ μὲν τῆς ὀλιγαρχίας τὸ αἱρετὰς ποιεῖν τὰς ἀρχ
τῆς δημοκρατίας τὸ μὴ ἀπὸ τιμήματος. ὁ μὲν οὖν τ
μίξεως οὗτος, τοῦ δ' εὖ μεμῖχθαι δημοκρατίαν καὶ ὀλ
ὅρος, ὅταν ἐνδέχηται λέγειν τὴν αὐτὴν πολιτείαν
τίαν καὶ ὀλιγαρχίαν· δῆλον γὰρ ὅτι τοῦτο πάσχου
γοντες διὰ τὸ μεμῖχθαι καλῶς. πέπονθε δὲ τοῦτ
μέσον· ἐμφαίνεται γὰρ ἑκάτερον ἐν αὐτῷ τῶν ἄκρ
συμβαίνει περὶ τὴν Λακεδαιμονίων πολιτείαν. πολ
ἐγχειροῦσι λέγειν ὡς δημοκρατίας οὔσης διὰ τὸ δημ
πολλὰ τὴν τάξιν ἔχειν, οἷον πρῶτον τὸ περὶ τὴν τρο
παίδων· ὁμοίως γὰρ οἱ τῶν πλουσίων τρέφονται
πενήτων, καὶ παιδεύονται τὸν τρόπον τοῦτον ὃν ἂν
καὶ τῶν πενήτων οἱ παῖδες. ὁμοίως δὲ καὶ ἐπὶ τῆς
νης ἡλικίας, καὶ ὅταν ἄνδρες γένωνται, τὸν αὐτὸν
οὐθὲν γὰρ διάδηλος ὁ πλούσιος καὶ ὁ πένης. οὕτω τὰ
τροφὴν ταὐτὰ πᾶσιν ἐν τοῖς συσσιτίοις, καὶ τὴν ἐσθ
πλούσιοι τοιαύτην οἵαν ἄν τις παρασκευάσαι δύνα
τῶν πενήτων ὁστισοῦν. ἔτι τῷ δύο τὰς μεγίστας ἀρχὰ
μὲν αἱρεῖσθαι τὸν δῆμον, τῆς δὲ μετέχειν· τοὺς μὲν
γέροντας αἱροῦνται, τῆς δ' ἐφορείας μετέχουσιν. αἱ δ' ὀλ
χίαν διὰ τὸ πολλὰ ἔχειν ὀλιγαρχικά, οἷον τὸ πάσας
τὰς εἶναι καὶ μηδεμίαν κληρωτήν, καὶ ὀλίγους εἶναι κ
θανάτου καὶ φυγῆς, καὶ ἄλλα τοιαῦτα πολλά. δεῖ
τῇ πολιτείᾳ τῇ μεμιγμένῃ καλῶς ἀμφότερα δοκεῖν
καὶ μηδέτερον, καὶ σώζεσθαι δι' αὑτῆς καὶ μὴ ἔξωθ
δι' αὑτῆς μὴ τῷ πλείους ἔξωθεν εἶναι τοὺς βουλομένους (ἐ
ἂν καὶ πονηρᾷ πολιτείᾳ τοῦθ' ὑπάρχον) ἀλλὰ τῷ μ
βούλεσθαι πολιτείαν ἑτέραν μηθὲν τῶν τῆς πόλεως
ὅλως. τίνα μὲν οὖν τρόπον δεῖ καθιστάναι πολιτείαν,
δὲ καὶ τὰς ὀνομαζομένας ἀριστοκρατίας, νῦν εἴρηται.

19. χάριν pr I^b. ‖ 20. τῆς om Q^bV^b. ‖ 22. καὶ ἡ ἀρετή Q^bV^b. ‖ 39. ἐν — 40. μισθόν om V^b.
5. τίμημα Q^b. ‖ 20. τὸ] τὸ μὴ V^b. ‖ 26. διάδηλος margo: vulgo ἄδηλος. ‖ 29. τῷ] τῶν I^bV^b. ‖ 31. μετέχουσιν om Q^b
38. πονηρὰ Q^bV^b. ‖ τῷ] τὸ $I^bQ^bV^b$.

ὡς ὅπȣ οἱ μὲν πολλὰ σφόδρα κέκτηνται οἱ δὲ μηθέν, ἢ δῆμος ἔσχατος γίγνεται ἢ ὀλιγαρχία ἄκρατος ἢ τυραννὶς δι' ἀμφοτέρας τὰς ὑπερβολάς· καὶ γὰρ ἐκ δημοκρατίας τῆς νεανικωτάτης καὶ ἐξ ὀλιγαρχίας γίνεται τυραννίς, ἐκ δὲ τῶν μέσων καὶ τῶν σύνεγγυς πολὺ ἧττον. τὴν δ' αἰτίαν ὕϛερον ἐν τοῖς περὶ τὰς μεταβολὰς τῶν πολιτειῶν ἐρȣ̃μεν. ὅτι δ' ἡ μέση βελτίστη, φανερόν· μόνη γὰρ ἀστασίαστος· ὅπȣ γὰρ πολὺ τὸ διὰ μέσȣ, ἥκιϛα ϛάσεις καὶ διαστάσεις γίγνονται τῶν πολιτειῶν. καὶ αἱ μεγάλαι πόλεις ἀϛασιαστότεραι διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι πολὺ τὸ μέσον· ἐν δὲ ταῖς μικραῖς ῥᾴδιόν τε διαλαβεῖν εἰς δύο πάντας, ὥϛε μηθὲν καταλιπεῖν μέσον, καὶ πάντες σχεδὸν ἄποροι ἢ εὔποροί εἰσιν. καὶ αἱ δημοκρατίαι δὲ ἀσφαλέϛεραι τῶν ὀλιγαρχιῶν εἰσὶ καὶ πολυχρονιώτεραι διὰ τοὺς μέσους· πλείȣς τε γάρ εἰσι καὶ μᾶλλον μετέχȣσι τῶν τιμῶν ἐν ταῖς δημοκρατίαις ἢ ταῖς ὀλιγαρχίαις, ἐπεὶ ὅταν ἄνευ τȣ́των τῷ πλήθει ὑπερτείνωσιν οἱ ἄποροι, κακοπραγία γίνεται καὶ ἀπόλλυνται ταχέως. σημεῖον δὲ δεῖ νομίζειν καὶ τὸ τȣ̀ς βελτίϛȣς νομοθέτας εἶναι τῶν μέσων πολιτῶν· Σόλων τε γὰρ ἦν τούτων (δηλοῖ δ' ἐκ τῆς ποιήσεως) καὶ Λυκȣ̃ργος (ȣ̓ γὰρ ἦν βασιλεύς) καὶ Χαρώνδας καὶ σχεδὸν οἱ πλεῖστοι τῶν ἄλλων. φανερὸν δ' ἐκ τȣ́των καὶ διότι αἱ πλεῖϛαι πολιτεῖαι αἱ μὲν δημοκρατικαί εἰσιν αἱ δ' ὀλιγαρχικαί· διὰ γὰρ τὸ ἐν ταύταις πολλάκις ὀλίγον εἶναι τὸ μέσον, αἰεὶ ὁπότεροι ἂν ὑπερέχωσιν, εἴθ' οἱ τὰς ȣ̓σίας ἔχοντες εἴθ' ὁ δῆμος, οἱ τὸ μέσον ἐκβαίνοντες καθ' αὑτȣ̀ς ἄγȣσι τὴν πολιτείαν, ὥϛε ἢ δῆμος γίγνεται ἢ ὀλιγαρχία. πρὸς δὲ τȣ́τοις διὰ τὸ ϛάσεις γίνεσθαι καὶ μάχας πρὸς ἀλλήλȣς τῷ δήμῳ καὶ τοῖς εὐπόροις, ὁποτέροις ἂν μᾶλλον συμβῇ κρατῆσαι τῶν ἐναντίων, ȣ̓ καθιϛᾶσι κοινὴν πολιτείαν ȣ̓δ' ἴσην, ἀλλὰ τῆς νίκης ἆθλον τὴν ὑπεροχὴν τῆς πολιτείας λαμβάνȣσιν, καὶ οἱ μὲν δημοκρατίαν οἱ δ' ὀλιγαρχίαν ποιȣ̃σιν. ἔτι δὲ καὶ τῶν ἐν ἡγεμονίᾳ γενομένων τῆς Ἑλλάδος πρὸς τὴν παρ' αὐτοῖς ἑκάτεροι πολιτείαν ἀποβλέποντες οἱ μὲν δημοκρατίας ἐν ταῖς πόλεσι καθίϛασαν οἱ δ' ὀλιγαρχίας, ȣ̓ πρὸς τὸ τῶν πόλεων συμφέρον σκοπȣ̃ντες ἀλλὰ πρὸς τὸ σφέτερον αὐτῶν. ὥϛε διὰ ταύτας τὰς αἰτίας ἢ μηδέποτε τὴν μέσην γίνεσθαι πολιτείαν ἢ ὀλιγάκις καὶ παρ' ὀλίγοις· εἷς γὰρ ἀνὴρ συνεπείσθη μόνος τῶν πρότερον ἐφ' ἡγεμονίᾳ γενομένων ταύτην ἀποδοῦναι τὴν τάξιν. ἤδη δὲ καὶ τοῖς ἐν ταῖς πόλεσιν ἔθος

καθέστηκε μηδὲ βȣ́λεσθαι τὸ ἴσον, ἀλλ' ἢ ἄρχειν ζ
κρατȣμένȣς ὑπομένειν. τίς μὲν ȣ̓̃ν ἀρίϛη πολιτεία, κ
τίν' αἰτίαν, ἐκ τȣ́των φανερόν· τῶν δ' ἄλλων πολ
ἐπειδὴ πλείȣς δημοκρατίας καὶ πλείȣς ὀλιγαρχίας
εἶναι, ποίαν πρώτην θετέον καὶ δευτέραν καὶ τοῦτον
τρόπον ἐχομένην τῷ τὴν μὲν εἶναι βελτίω τὴν δὲ
διωρισμένης τῆς ἀρίϛης ȣ̓ χαλεπὸν ἰδεῖν. δεῖ γὰρ ἀνα
εἶναι βελτίω τὴν ἐγγύτατα ταύτης, χείρω δὲ τὴν ο
κυῖαν τȣ̃ μέσȣ πλεῖον, ἂν μὴ πρὸς ὑπόθεσιν κρίνῃ τις.
δὲ τὸ πρὸς ὑπόθεσιν, ὅτι πολλάκις οὔσης ἄλλης πα
αἱρετωτέρας ἐνίοις ȣ̓θὲν κωλύσει συμφέρειν ἑτέραν μ
εἶναι πολιτείαν.

Τίς δὲ πολιτεία τίσι καὶ ποία συμφέρει ποίοις,
μενόν ἐϛι τῶν εἰρημένων διελθεῖν. ληπτέον δὴ πρῶτο
πασῶν καθόλȣ ταὐτόν· δεῖ γὰρ κρεῖττον εἶναι τὸ βȣλ
μέρος τῆς πόλεως τοῦ μὴ βȣλομένου μένειν τὴν πολ
ἔστι δὲ πᾶσα πόλις ἔκ τε τοῦ ποιȣ̃ καὶ ποσȣ̃. λέ
ποιὸν μὲν ἐλευθερίαν πλȣ̃τον παιδείαν εὐγένειαν,
δὲ τὴν τοῦ πλήθȣς ὑπεροχήν. ἐνδέχεται δὲ τὸ μὲν
ὑπάρχειν ἑτέρῳ μέρει τῆς πόλεως, ἐξ ὧν συνέϛηκε μ
ἡ πόλις, ἄλλῳ δὲ μέρει τὸ ποσόν, οἷον πλείȣς τὸν
θμὸν εἶναι τῶν γενναίων τȣ̀ς ἀγεννεῖς ἢ τῶν πλȣσίων
ἀπόρȣς, μὴ μέντοι τοσȣ̃τον ὑπερέχειν τῷ ποσῷ ὅσον
πεσθαι τῷ ποιῷ. διὸ ταῦτα πρὸς ἄλληλα συγκριτέον.
μὲν ȣ̓̃ν ὑπερέχει τὸ τῶν ἀπόρων πλῆθος τὴν εἰρημένην ἀ
λογίαν, ἐνταῦθα πέφυκεν εἶναι δημοκρατίαν, καὶ ἑκ
εἶδος δημοκρατίας κατὰ τὴν ὑπεροχὴν τȣ̃ δήμȣ ἑκάσ
οἷον ἐὰν μὲν τὸ τῶν γεωργῶν ὑπερτείνῃ πλῆθος, τὴν π
την δημοκρατίαν, ἐὰν δὲ τὸ τῶν βαναύσων καὶ μισθ
νούντων, τὴν τελευταίαν, ὁμοίως δὲ καὶ τὰς ἄλλας τ
μεταξὺ τȣ́των· ὅπȣ δὲ τὸ τῶν εὐπόρων καὶ γνωρίμων μᾶ
λον ὑπερτείνει τῷ ποιῷ ἢ λείπεται τῷ ποσῷ, ἐνταῦθα
ὀλιγαρχίαν, καὶ τῆς ὀλιγαρχίας τὸν αὐτὸν τρόπον ἕκα
εἶδος κατὰ τὴν ὑπεροχὴν τȣ̃ ὀλιγαρχικȣ̃ πλήθȣς. δεῖ
ἀεὶ τὸν νομοθέτην ἐν τῇ πολιτείᾳ προσλαμβάνειν τȣ̀ς
σȣς· ἄν τε γὰρ ὀλιγαρχικȣ̀ς τȣ̀ς νόμȣς τιθῇ, ϛοχάζε
χρὴ τῶν μέσων, ἐάν τε δημοκρατικȣ́ς, προσάγεσθαι
νόμοις τȣ́τȣς. ὅπȣ δὲ τὸ τῶν μέσων ὑπερτείνει πλῆθ
συναμφοτέρων τῶν ἄκρων ἢ καὶ θατέρȣ μόνον, ἐνταῦθ
δέχεται πολιτείαν εἶναι μόνιμον. οὐθὲν γὰρ φοβερὸν

35. καθίϛασιν V^b. ‖ 36. πρὸς om $Q^b V^b$.

11. κωλύει I^b. ‖ 25. ἀπολογίαν Q^b. ‖ 25. post δημοκρατίαν margo I^b εἴπερ γὰρ οἱ γεωργοὶ ὑπερέχȣσι, γίνεται ἡ τῶν γεωργῶν δ
κρατία. ‖ 28. τὴν πρώτην δημοκρατίαν] τὴν εἰρημένην ἀναλογίαν, ἐνταῦθα πέφυκεν εἶναι δημοκρατίαν I^b. ‖ 31. μᾶλλον om $I^b Q^b V^b$. ‖ 39. om $Q^b V^b$. ‖ ἐνταῦθα δ' I^b.

ποτε συμφωνήσωσιν οἱ πλούσιοι τοῖς πένησιν ἐπὶ τούτους· οὐδέποτε γὰρ ἅτεροι βουλήσονται δουλεύειν τοῖς ἑτέροις, κοινοτέραν δ᾽ ἂν ζητῶσιν, οὐδεμίαν εὑρήσουσιν ἄλλην ταύτης. ἐν μέρει γὰρ ἄρχειν οὐκ ἂν ὑπομείνειαν διὰ τὴν ἀπιστίαν τὴν πρὸς ἀλλήλους. πανταχοῦ δὲ πιστότατος ὁ διαιτητής, διαιτητὴς δ᾽ ὁ μέσος. ὅσῳ δ᾽ ἂν ἄμεινον ἡ πολιτεία μιχθῇ, τοσούτῳ μονιμωτέρα. διαμαρτάνουσι δὲ πολλοὶ καὶ τῶν τὰς ἀριστοκρατικὰς βουλομένων ποιεῖν πολιτείας, οὐ μόνον ἐν τῷ πλεῖον νέμειν τοῖς εὐπόροις, ἀλλὰ καὶ ἐν τῷ παρακρούεσθαι τὸν δῆμον. ἀνάγκη γὰρ χρόνῳ ποτὲ ἐκ τῶν ψευδῶν ἀγαθῶν ἀληθὲς συμβῆναι κακόν· αἱ γὰρ πλεονεξίαι τῶν πλουσίων ἀπολλύουσι μᾶλλον τὴν πολιτείαν ἢ αἱ τοῦ δήμου.

13 Ἔστι δ᾽ ὅσα προφάσεως χάριν ἐν ταῖς πολιτείαις σοφίζονται πρὸς τὸν δῆμον πέντε τὸν ἀριθμόν, περὶ ἐκκλησίαν, περὶ τὰς ἀρχάς, περὶ δικαστήρια, περὶ ὅπλισιν, περὶ γυμνασίαν. περὶ ἐκκλησίαν μὲν τὸ ἐξεῖναι ἐκκλησιάζειν πᾶσι, ζημίαν δὲ ἐπικεῖσθαι τοῖς εὐπόροις ἐὰν μὴ ἐκκλησιάζωσιν, ἢ μόνοις ἢ μείζω πολλῷ. περὶ δὲ τὰς ἀρχὰς τὸ τοῖς μὲν ἔχουσι τίμημα μὴ ἐξεῖναι ἐξόμνυσθαι, τοῖς δ᾽ ἀπόροις ἐξεῖναι. καὶ περὶ τὰ δικαστήρια τοῖς μὲν εὐπόροις εἶναι ζημίαν ἂν μὴ δικάζωσι, τοῖς δ᾽ ἀπόροις ἄδειαν, ἢ τοῖς μὲν μεγάλην τοῖς δὲ μικράν, ὥσπερ ἐν τοῖς Χαρώνδου νόμοις. ἐνιαχοῦ δ᾽ ἔξεστι μὲν πᾶσιν ἀπογραψαμένοις ἐκκλησιάζειν καὶ δικάζειν, ἐὰν δὲ ἀπογραψάμενοι μήτ᾽ ἐκκλησιάζωσι μήτε δικάζωσιν, ἐπίκεινται μεγάλαι ζημίαι τούτοις, ἵνα διὰ μὲν τὴν ζημίαν φεύγωσι τὸ ἀπογράφεσθαι, διὰ δὲ τὸ μὴ ἀπογράφεσθαι μὴ δικάζωσι μηδ᾽ ἐκκλησιάζωσιν. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοῦ ὅπλα κεκτῆσθαι καὶ τοῦ γυμνάζεσθαι νομοθετοῦσιν· τοῖς μὲν γὰρ ἀπόροις ἔξεστι μὴ κεκτῆσθαι, τοῖς δ᾽ εὐπόροις ἐπιζήμιον μὴ κεκτημένοις· κἂν μὴ γυμνάζωνται, τοῖς μὲν οὐδεμία ζημία, τοῖς δ᾽ εὐπόροις ἐπιζήμιον, ὅπως οἱ μὲν διὰ τὴν ζημίαν μετέχωσιν, οἱ δὲ διὰ τὸ μὴ φοβεῖσθαι μὴ μετέχωσιν. ταῦτα μὲν οὖν ὀλιγαρχικὰ σοφίσματα τῆς νομοθεσίας, ἐν δὲ ταῖς δημοκρατίαις πρὸς ταῦτ᾽ ἀντισοφίζονται· τοῖς μὲν γὰρ ἀπόροις μισθὸν πορίζουσιν ἐκκλησιάζουσι καὶ δικάζουσιν, τοῖς δ᾽ εὐπόροις οὐδεμίαν τάττουσι ζημίαν. ὥστε φανερὸν ὅτι εἴ τις βούλεται μιγνύναι δικαίως, δεῖ τὰ παρ᾽ ἑκατέροις συνάγειν καὶ τοῖς μὲν μισθὸν πορίζειν τοῖς δὲ ζημίαν· οὕτω γὰρ ἂν κοινωνοῖεν ἅπαντες, ἐκείνως δ᾽ ἡ πολιτεία γίγνεται τῶν ἑτέρων μόνον. δεῖ δὲ τὴν πολιτείαν εἶναι μὲν ἐκ τῶν τὰ ὅπλα ἐχόντων μόνον· τοῦ δὲ τιμήματος τὸ πλῆθος ἁπλῶς μὲν ὁρισαμένους οὐκ ἔστιν εἰπεῖν τοσοῦτον ὑπάρχειν, ἀλλὰ σκεψαμένους τὸ ποῖον ἐπιβάλλει μακρότατον ὥστε τοὺς μετέχοντας τῆς πολιτείας εἶναι πλείους τῶν μὴ μετεχόντων, τοῦτο τάττειν. ἐθέλουσι γὰρ οἱ πένητες καὶ μὴ μετέχοντες τῶν τιμῶν ἡσυχίαν ἔχειν, ἐὰν μὴ ὑβρίζῃ τις αὐτοὺς μήτε ἀφαιρῆται μηθὲν τῆς οὐσίας. ἀλλὰ τοῦτο οὐ ῥᾴδιον· οὐ γὰρ ἀεὶ συμβαίνει χαρίεντας εἶναι τοὺς μετέχοντας τοῦ πολιτεύματος. καὶ εἰώθασι δέ, ὅταν πόλεμος ᾖ, ὀκνεῖν, ἂν μὴ λαμβάνωσι τροφήν, ἄποροι δὲ ὦσιν· ἐὰν δὲ πορίζῃ τις τροφήν, βούλονται πολεμεῖν. ἔστι δ᾽ ἡ πολιτεία παρ᾽ ἐνίοις οὐ μόνον ἐκ τῶν ὁπλιτευόντων ἀλλὰ καὶ ἐκ τῶν ὡπλιτευκότων· ἐν Μαλιεῦσι δὲ ἡ μὲν πολιτεία ἦν ἐκ τούτων, τὰς δὲ ἀρχὰς ᾑροῦντο ἐκ τῶν στρατευομένων. καὶ ἡ πρώτη δὲ πολιτεία ἐν τοῖς Ἕλλησιν ἐγένετο μετὰ τὰς βασιλείας ἐκ τῶν πολεμούντων, ἡ μὲν ἐξ ἀρχῆς ἐκ τῶν ἱππέων (τὴν γὰρ ἰσχὺν καὶ τὴν ὑπεροχὴν ἐν τοῖς ἱππεῦσιν ὁ πόλεμος εἶχεν· ἄνευ μὲν γὰρ συντάξεως ἄχρηστον τὸ ὁπλιτικόν, αἱ δὲ περὶ τῶν τοιούτων ἐμπειρίαι καὶ τάξεις ἐν τοῖς ἀρχαίοις οὐχ ὑπῆρχον, ὥστ᾽ ἐν τοῖς ἱππεῦσιν εἶναι τὴν ἰσχύν), αὐξανομένων δὲ τῶν πόλεων καὶ τῶν ἐν τοῖς ὅπλοις ἰσχυσάντων μᾶλλον πλείους μετεῖχον τῆς πολιτείας. διόπερ ἃς νῦν καλοῦμεν πολιτείας, οἱ πρότερον ἐκάλουν δημοκρατίας. ἦσαν δὲ αἱ ἀρχαῖαι πολιτεῖαι εὐλόγως ὀλιγαρχικαὶ καὶ βασιλικαί· δι᾽ ὀλιγανθρωπίαν γὰρ οὐκ εἶχον πολὺ τὸ μέσον, ὥστ᾽ ὀλίγοι τε ὄντες τὸ πλῆθος καὶ κατὰ τὴν σύνταξιν μᾶλλον ὑπέμενον τὸ ἄρχεσθαι. διὰ τίνα μὲν οὖν εἰσὶν αἰτίαν αἱ πολιτεῖαι πλείους, καὶ διὰ τί παρὰ τὰς λεγομένας ἕτεραι (δημοκρατία τε γὰρ οὐ μία τὸν ἀριθμόν ἐστι, καὶ τῶν ἄλλων ὁμοίως), ἔτι δὲ τίνες αἱ διαφοραὶ καὶ διὰ τίνα αἰτίαν συμβαίνει, πρὸς δὲ τούτοις τίς ἀρίστη τῶν πολιτειῶν ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν, καὶ τῶν ἄλλων ποία ποίοις ἁρμόττει τῶν πολιτειῶν, εἴρηται.

Πάλιν δὲ καὶ κοινῇ καὶ χωρὶς περὶ ἑκάστης λέγωμεν 14
περὶ τῶν ἐφεξῆς, λαβόντες ἀρχὴν τὴν προσήκουσαν αὐτῶν. ἔστι δὴ τρία μόρια τῶν πολιτειῶν πασῶν, περὶ ὧν δεῖ θεωρεῖν τὸν σπουδαῖον νομοθέτην ἑκάστῃ τὸ συμφέρον· ὧν ἐχόντων καλῶς ἀνάγκη τὴν πολιτείαν ἔχειν καλῶς, καὶ τὰς πολιτείας ἀλλήλων διαφέρειν ἐν τῷ διαφέρειν ἕκαστον τούτων. ἔστι δὲ τῶν τριῶν τούτων ἓν μέν τι τὸ βουλευόμενον

11. ψευδῶς $I^b V^b$. ‖ 35. ὀλιγαρχικὰ τὰ σοφίσματα I^b.
7. τι V^b. ‖ 9. τοὺς] τοὺς μὴ $Q^b V^b$. ‖ 17. τὰς om Q^b. ‖ 25. ἀρχαὶ $Q^b V^b$. ‖ 30. ἑτέρα V^b, ἑτέρας I^b. ‖ τε] τὸ V^b. ‖ 34. ποίοις post ἁρμόττει Q^b, om V^b. ‖ 35. λέγομεν $Q^b V^b$. ‖ 41. τι] τοι $Q^b V^b$.

περὶ τῶν κοινῶν, δεύτερον δὲ τὸ περὶ τὰς ἀρχάς (τοῦτο δ' ἐστὶν ἃς δεῖ καὶ τίνων εἶναι κυρίας, καὶ ποίαν τινὰ δεῖ γίγνεσθαι τὴν αἵρεσιν αὐτῶν), τρίτον δὲ τί τὸ δικάζον. κύριον δ' ἐστὶ τὸ βουλευόμενον περὶ πολέμου καὶ εἰρήνης καὶ συμμαχίας καὶ διαλύσεως, καὶ περὶ νόμων, καὶ περὶ θανάτου καὶ φυγῆς καὶ δημεύσεως, καὶ τῶν εὐθυνῶν. ἀναγκαῖον δ' ἤτοι πᾶσι τοῖς πολίταις ἀποδεδόσθαι πάσας ταύτας τὰς κρίσεις ἢ τισὶ πάσας, οἷον ἀρχῇ τινὶ μιᾷ ἢ πλείοσιν, ἢ ἑτέραις ἑτέρας, ἢ τινὰς μὲν αὐτῶν πᾶσι τινὰς δὲ τισίν. τὸ μὲν οὖν πάντας καὶ περὶ ἁπάντων δημοτικόν· τὴν τοιαύτην γὰρ ἰσότητα ζητεῖ ὁ δῆμος· εἰσὶ δὲ οἱ τρόποι τοῦ πάντας πλείους, εἷς μὲν τὸ κατὰ μέρος ἀλλὰ μὴ πάντας ἀθρόους, ὥσπερ ἐν τῇ πολιτείᾳ τῇ Τηλεκλέους ἐστὶ τοῦ Μιλησίου (καὶ ἐν ἄλλαις δὲ πολιτείαις βουλεύονται αἱ συναρχίαι συνιοῦσαι, εἰς δὲ τὰς ἀρχὰς βαδίζουσι πάντες κατὰ μέρος ἐκ τῶν φυλῶν καὶ τῶν μορίων τῶν ἐλαχίστων παντελῶς, ἕως ἂν διέλθῃ διὰ πάντων), συνιέναι δὲ μόνον περί τε νόμων θέσεως καὶ τῶν περὶ τῆς πολιτείας, καὶ τὰ παραγγελλόμενα ἀκουσομένους ὑπὸ τῶν ἀρχόντων. ἄλλος δὲ τρόπος τὸ πάντας ἀθρόους, συνιέναι δὲ μόνον πρός τε τὰς ἀρχαιρεσίας αἱρησομένους καὶ πρὸς τὰς νομοθεσίας καὶ περὶ πολέμου καὶ εἰρήνης καὶ πρὸς εὐθύνας, τὰ δ' ἄλλα τὰς ἀρχὰς βουλεύεσθαι τὰς ἐφ' ἑκάστοις τεταγμένας, αἱρετὰς οὔσας ἐξ ἁπάντων ἢ κληρωτάς. ἄλλος δὲ τρόπος τὸ περὶ τὰς ἀρχὰς καὶ τὰς εὐθύνας ἀπαντᾶν τοὺς πολίτας, καὶ περὶ πολέμου βουλευσομένους καὶ συμμαχίας, τὰ δ' ἄλλα τὰς ἀρχὰς διοικεῖν αἱρετὰς οὔσας, ὅσας ἐνδέχεται· τοιαῦται δ' εἰσὶν ὅσας ἄρχειν ἀναγκαῖον τοὺς ἐπισταμένους. τέταρτος δὲ τρόπος τὸ πάντας περὶ πάντων βουλεύεσθαι συνιόντας, τὰς δ' ἀρχὰς περὶ μηθενὸς κρίνειν ἀλλὰ μόνον προανακρίνειν· ὄνπερ ἡ τελευταία δημοκρατία νῦν διοικεῖται τρόπον, ἣν ἀνάλογόν φαμεν εἶναι ὀλιγαρχίᾳ τε δυναστευτικῇ καὶ μοναρχίᾳ τυραννικῇ. οὗτοι μὲν οὖν οἱ τρόποι δημοκρατικοὶ πάντες, τὸ δὲ τινὰς περὶ πάντων ὀλιγαρχικόν. ἔχει δὲ καὶ τοῦτο διαφορὰς πλείους. ὅταν μὲν γὰρ ἀπὸ τιμημάτων μετριωτέρων αἱρετοί τε ὦσι καὶ πλείους διὰ τὴν μετριότητα τοῦ τιμήματος, καὶ περὶ ὧν ὁ νόμος ἀπαγορεύει μὴ κινῶσιν ἀλλ' ἀκολουθῶσι, καὶ ἐξῇ κτωμένῳ τὸ τίμημα μετέχειν, ὀλιγαρχία μὲν πολιτικὴ δ' ἐστὶν ἡ τοιαύτη διὰ τὸ μετριάζειν· ὅταν δὲ μὴ πάντες τοῦ βουλεύεσθαι μετέχωσιν ἀλλ' αἱρετοί, κατὰ νόμον δ' ἄρχωσιν ὥσπερ καὶ πρότερον, ὀλιγαρχικόν. ὅταν δὲ καὶ αἱρῶνται αὐτοὶ αὑτοὺς οἱ κύριοι τοῦ βουλεύεσθαι, καὶ ὅταν παῖς ἀντὶ πατρὸς εἰσίῃ καὶ κύριοι τῶν νόμων ὦσιν, ὀλιγαρχικὴν ἀναγκαῖον εἶναι τὴν τάξιν ταύτην. ὅταν δὲ τινῶν τινές, οἷον πολέμου μὲν καὶ εἰρήνης καὶ εὐθυνῶν πάντες, τῶν δὲ ἄλλων ἄρχοντες, καὶ οὗτοι αἱρετοὶ ἢ κληρωτοί, ἀριστοκρατία μὲν ἡ πολιτεία· ἐὰν δ' ἐνίων μὲν αἱρετοὶ ἐνίων δὲ κληρωτοί, καὶ κληρωτοὶ ἢ ἁπλῶς ἢ ἐκ προκρίτων, ἢ κοινῇ αἱρετοὶ καὶ κληρωτοί, τὰ μὲν πολιτείας ἀριστοκρατικῆς ἐστὶ τούτων, τὰ δὲ πολιτείας αὐτῆς. διῄρηται μὲν οὖν τὸ βουλευόμενον πρὸς τὰς πολιτείας τοῦτον τὸν τρόπον, καὶ διοικεῖ ἑκάστη πολιτεία κατὰ τὸν εἰρημένον διορισμόν. συμφέρει δὲ δημοκρατίᾳ τε τῇ μάλιστ' εἶναι δοκούσῃ δημοκρατίᾳ νῦν (λέγω δὲ τοιαύτην ἐν ᾗ κύριος ὁ δῆμος καὶ τῶν νόμων ἐστίν) πρὸς τὸ βουλεύεσθαι βέλτιον τὸ αὐτὸ ποιεῖν ὅπερ ἐπὶ τῶν δικαστηρίων ἐν ταῖς ὀλιγαρχίαις (τάττουσι γὰρ ζημίαν τούτοις οὓς βούλονται δικάζειν, ἵνα δικάζωσιν, οἱ δὲ δημοτικοὶ μισθὸν τοῖς ἀπόροις), τοῦτο δὲ καὶ περὶ τὰς ἐκκλησίας ποιεῖν· βουλεύσονται γὰρ βέλτιον κοινῇ βουλευόμενοι πάντες, ὁ μὲν δῆμος μετὰ τῶν γνωρίμων, οὗτοι δὲ μετὰ τοῦ πλήθους. συμφέρει δὲ καὶ τὸ αἱρετοὺς εἶναι τοὺς βουλευομένους ἢ κληρωτοὺς ἴσως ἐκ τῶν μορίων. συμφέρει δὲ κἂν ὑπερβάλλωσι πολὺ κατὰ τὸ πλῆθος οἱ δημοτικοὶ τῶν πολιτικῶν, ἢ μὴ πᾶσι διδόναι μισθόν, ἀλλ' ὅσοι σύμμετροι πρὸς τὸ τῶν γνωρίμων πλῆθος, ἢ ἀποκληροῦν τοὺς πλείους. ἐν δὲ ταῖς ὀλιγαρχίαις ἢ προαιρεῖσθαί τινας ἐκ τοῦ πλήθους, ἢ κατασκευάσαντας ἀρχεῖον οἷον ἐν ἐνίαις πολιτείαις ἐστὶν οὓς καλοῦσι προβούλους καὶ νομοφύλακας, καὶ περὶ τούτων χρηματίζειν περὶ ὧν ἂν οὗτοι προβουλεύσωσιν· οὕτω γὰρ μεθέξει ὁ δῆμος τοῦ βουλεύεσθαι, καὶ λύειν οὐθὲν δυνήσεται τῶν περὶ τὴν πολιτείαν. ἔτι ἢ ταὐτὰ ψηφίζεσθαι τὸν δῆμον ἢ μηθὲν ἐναντίον τοῖς εἰσφερομένοις, ἢ τῆς συμβουλῆς μὲν μεταδιδόναι πᾶσι, βουλεύεσθαι δὲ τοὺς ἄρχοντας. καὶ τὸ ἀντικείμενον δὲ τοῦ ἐν ταῖς πολιτείαις γιγνομένου δεῖ ποιεῖν· ἀποψηφιζόμενον μὲν γὰρ κύριον δεῖ ποιεῖν τὸ πλῆθος, καταψηφιζόμενον δὲ μὴ κύριον, ἀλλ' ἐπαναγέσθω πάλιν εἰς τοὺς ἄρχοντας. ἐν γὰρ ταῖς πολιτείαις ἀντεστραμμένως ποιοῦσιν· οἱ γὰρ ὀλίγοι ἀποψηφισάμενοι μὲν κύριοι, καταψηφισάμενοι δὲ οὐ κύριοι, ἀλλ' ἐπανάγεται εἰς τοὺς πλεί-

3. δὲ om I^b. ‖ 8. οἷον] ἢ Q^bV^b. ‖ 24. ἢ] καὶ V^b. ‖ 27. τοιαῦτα V^b.

6. μὲν καὶ] μὲν ὑπὲρ I^b, μὲν καὶ ὑπὲρ Q^bV^b. ‖ 8. μὲν om I^b. ‖ ἢ $I^bQ^bV^b$. ‖ 16. τὸ αὐτὸ] τε αὐτὸ codices. ‖ 18. βουλεύονται Q^bV^b. ‖ 25. διοτόναι V^b. ‖ 28. ἐν om Q^bV^b. ‖ ἐνίαι V^b. ‖ 35. ποιεῖν] ποιεῖν τὸ πλῆθος I^b. ‖ ἀποψηφιζόμενον — 36. ποιεῖν om V^b. ‖ 36. μὲν om I^bQ^b. ‖ δεῖ κύριον εἶναι ποιεῖν I^b. ‖ 38. ἀνεστραμμένως I^b.

αἷς αὐτὸς συνιὼν ὁ δῆμος χρηματίζει περὶ πάντων. τῦτο δὲ συμβαίνειν εἴωθεν, ὅταν εὐπορία τις ᾖ ἢ μισθὸς τοῖς ἐκκλησιάζυσιν· σχολάζοντες γὰρ συλλέγονταί τε πολλάκις καὶ ἅπαντα αὐτοὶ κρίνυσιν. παιδονόμος δὲ καὶ γυναικονόμος, καὶ εἴ τις ἄλλος ἄρχων κύριός ἐςι τοιαύτης ἐπιμελείας, ἀριςοκρατικόν, δημοκρατικὸν δ' ὔ· πῶς γὰρ οἷόν τε κωλύειν ἐξιέναι τὰς τῶν ἀπόρων; οὐδ' ὀλιγαρχικόν· τρυφῶσι γὰρ αἱ τῶν ὀλιγαρχύντων. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω νῦν, περὶ δὲ τὰς τῶν ἀρχῶν καταστάσεις πειρατέον ἐξ ἀρχῆς διελθεῖν. εἰσὶ δ' αἱ διαφοραὶ ἐν τρισὶν ὅροις, ὧν συντιθεμένων ἀναγκαῖον πάντας εἰλῆφθαι τὺς τρόπυς. ἔςι δὲ τῶν τριῶν τύτων ἓν μὲν τίνες οἱ καθιστάντες τὰς ἀρχάς, δεύτερον δ' ἐκ τίνων, λοιπὸν δὲ τίνα τρόπον. ἑκάςου δὲ τῶν τριῶν τούτων διαφοραὶ τρεῖς εἰσίν· ἢ γὰρ πάντες οἱ πολῖται καθιςᾶσιν ἢ τινές, καὶ ἢ ἐκ πάντων ἢ ἐκ τινῶν ἀφωρισμένων, οἷον ἢ τιμήματι ἢ γένει ἢ ἀρετῇ ἤ τινι τοιύτῳ ἄλλῳ, ὥσπερ ἐν Μεγάροις ἐκ τῶν συγκατελθόντων καὶ συμμαχεσαμένων πρὸς τὸν δῆμον, καὶ ταῦτα ἢ αἱρέσει ἢ κλήρῳ. πάλιν ταῦτα συνδυαζόμενα, λέγω δὲ τὰς μὲν τινὲς τὰς δὲ πάντες, καὶ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν, καὶ τὰς μὲν αἱρέσει τὰς δὲ κλήρῳ. τούτων δ' ἑκάστης ἔσονται τῆς διαφορᾶς τρόποι τέσσαρες. ἢ γὰρ πάντες ἐκ πάντων αἱρέσει, ἢ πάντες ἐκ πάντων κλήρῳ, καὶ ἢ ἐξ ἁπάντων ἢ ὡς ἀνὰ μέρος, οἷον κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας, ἕως ἂν διέλθῃ διὰ πάντων τῶν πολιτῶν, ἢ ἀεὶ ἐξ ἁπάντων, καὶ τὰ μὲν ὕτω τὰ δὲ ἐκείνως. πάλιν εἰ τινὲς οἱ καθιστάντες, ἢ ἐκ πάντων αἱρέσει ἢ ἐκ πάντων κλήρῳ, ἢ ἐκ τινῶν αἱρέσει ἢ ἐκ τινῶν κλήρῳ, ἢ τὰ μὲν ὕτω τὰ δ' ἐκείνως, λέγω δὲ τὰ μὲν ἐκ πάντων αἱρέσει τὰ δὲ κλήρῳ. ὥςε δώδεκα οἱ τρόποι γίνονται χωρὶς τῶν δύο συνδυασμῶν. τύτων δ' αἱ μὲν δύο καταςάσεις δημοτικαί, τὸ πάντας ἐκ πάντων αἱρέσει ἢ κλήρῳ γίνεσθαι ἢ ἀμφοῖν, τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει τῶν ἀρχῶν· τὸ δὲ μὴ πάντας ἅμα μὲν καθιστάναι, ἐξ ἁπάντων δ' ἢ ἐκ τινῶν, ἢ κλήρῳ ἢ αἱρέσει ἢ ἀμφοῖν, ἢ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν ἀμφοῖν (τὸ δὲ ἀμφοῖν λέγω τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει), πολιτικόν. καὶ τὸ τινὰς ἐκ πάντων τὰς μὲν αἱρέσει καθιςάναι τὰς δὲ κλήρῳ ἢ ἀμφοῖν, τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει, ὀλιγαρχικόν· ὀλιγαρχικώτερον δὲ καὶ τὸ ἐξ ἀμφοῖν. τὸ δὲ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν πολιτικὸν ἀριςοκρατικῶς, ἢ τὰς μὲν αἱρέσει τὰς δὲ κλήρῳ. τὸ νὰς ἐκ τινῶν ὀλιγαρχικόν, καὶ τὸ τινὰς ἐκ τινῶν [κλήρῳ μὴ γενόμενον δ' ὁμοίως], καὶ τὸ τινὰς ἐκ τινῶν ἀ τ… τινὰς ἐξ ἁπάντων. τὸ δὲ ἐκ τινῶν αἱρέσει ἀριςοκρατικόν. οἱ μὲν ὖν τρόποι τῶν περὶ τὰς ἀρχ σῦτοι τὸν ἀριθμόν εἰσι, καὶ διῄρηνται κατὰ τὰς πο ὕτως· τίνα δὲ τίσι συμφέρει καὶ πῶς δεῖ γίνεσθαι τ ταςάσεις, ἅμα ταῖς δυνάμεσι τῶν ἀρχῶν, καὶ τίνε ἔσται φανερόν. λέγω δὲ δύναμιν ἀρχῆς, οἷον τὴν τῶν προσόδων καὶ τὴν κυρίαν τῆς φυλακῆς· ἄλλ εἶδος δυνάμεως οἷον ςρατηγίας καὶ τῆς τῶν περὶ τὴ ραν συμβολαίων κυρίας.

Λοιπὸν δὲ τῶν τριῶν τὸ δικαστικὸν εἰπεῖν. λ δὲ καὶ τούτων τὺς τρόπυς κατὰ τὴν αὐτὴν ὑπόθεσιν. δὲ διαφορὰ τῶν δικαςηρίων ἐν τρισὶν ὅροις, ἐξ ὧν περὶ ὧν καὶ πῶς. λέγω δὲ ἐξ ὧν μέν, πότερον ἐκ των ἢ ἐκ τινῶν· περὶ ὧν δέ, πόσα εἴδη δικαςηρίων· πῶς, πότερον κλήρῳ ἢ αἱρέσει. πρῶτον ὖν διαιρείσθω εἴδη δικαςηρίων. ἔςι δὲ τὸν ἀριθμὸν ὀκτώ, ἓν μὲν τικόν, ἄλλο δὲ εἴ τίς τι τῶν κοινῶν ἀδικεῖ, ἕτερον ὅ τὴν πολιτείαν φέρει, τέταρτον καὶ ἄρχυσι καὶ ἰδιώται περὶ ζημιώσεων ἀμφισβητῦσιν, πέμπτον τὸ περὶ τῶν συναλλαγμάτων καὶ ἐχόντων μέγεθος, καὶ παρὰ τ τό τε φονικὸν καὶ τὸ ξενικόν. φονικῦ μὲν ὖν εἴδη, ἐ ἐν τοῖς αὐτοῖς δικασταῖς ἄν τ' ἐν ἄλλοις, περί τε τῶ προνοίας καὶ περὶ τῶν ἀκυσίων, καὶ ὅσα ὁμολογεῖται ἀμφισβητεῖται δὲ περὶ τοῦ δικαίου, τέταρτον δὲ ὅσα φεύγυσι φόνυ ἐπὶ καθόδῳ ἐπιφέρεται, οἷον Ἀθήνησι λ ται καὶ τὸ ἐν Φρεαττοῖ δικαςήριον· συμβαίνει δὲ τὰ τοια ἐν τῷ παντὶ χρόνῳ ὀλίγα καὶ ἐν ταῖς μεγάλαις πόλε τοῦ δὲ ξενικῦ ἓν μὲν ξένοις πρὸς ξένυς, ἄλλο ξένοις τ ἀςύς. ἔτι δὲ παρὰ πάντα ταῦτα περὶ τῶν μικρῶν συν λαγμάτων, ὅσα δραχμιαῖα καὶ πεντάδραχμα καὶ μι πλείονος· δεῖ μὲν γὰρ καὶ περὶ τύτων γίνεσθαι κρίσιν, ἐμπίπτει δὲ εἰς δικαςῶν πλῆθος. ἀλλὰ περὶ μὲν το ἀφείσθω καὶ τῶν φονικῶν καὶ τῶν ξενικῶν, περὶ δὲ πολιτικῶν λέγωμεν, περὶ ὧν μὴ γινομένων καλῶς δια σεις γίνονται καὶ τῶν πολιτειῶν αἱ κινήσεις. ἀνάγκ ἤτοι πάντας περὶ πάντων κρίνειν τῶν διῃρημένων αἱ ἢ κλήρῳ, ἢ πάντας περὶ πάντων τὰ μὲν κλήρῳ τὰ αἱρέσει, ἢ περὶ ἐνίων τῶν αὐτῶν τοὺς μὲν κλήρῳ τοὺ

25. φατρίας I^bV^b. ‖ 26. πολιτικῶν codices. ‖ 27. εἰ] οἱ Q^bV^b. ‖ 35. ἢ ἀμφοῖν — 37. αἱρέσει om Q^bV^b.
2. κλήρῳ — 3. τινῶν om Q^bV^b. ‖ 4. τὸ δὲ ἐκ] τότε δὲ ἐκ Q^bV^b. ‖ 20. τι om V^b. ‖ 24. ὖν om Q^bV^b. ‖ 26. μὲν ὁμολογ Q^bV^b. ‖ 33. ἀραχμιαῖα V^b. ‖ 37. λέγομεν Q^b. ‖ 39. κρίνειν — 40. πάντων om V^b.

ς. οὔτοι μὲν οὖν οἱ τρόποι τέτταρες τὸν ἀριθμόν, το-
δ' ἕτεροι καὶ οἱ κατὰ μέρος· πάλιν γὰρ ἐκ τινῶν
ἱ δικάζοντες περὶ πάντων αἱρέσει, ἢ ἐκ τινῶν περὶ
ν κλήρῳ, ἢ τὰ μὲν κλήρῳ τὰ δὲ αἱρέσει, ἢ ἔνια δι-
ια περὶ τῶν αὐτῶν ἐκ κληρωτῶν καὶ αἱρετῶν. οὗτοι
ὖν, ὥσπερ ἐλέχθησαν, οἱ τρόποι τοῖς εἰρημένοις. ἔτι
αὐτὰ συνδυαζόμενα, λέγω δ' οἷον τὰ μὲν ἐκ πάν-
ὰ δ' ἐκ τινῶν τὰ δ' ἐξ ἀμφοῖν, οἷον εἰ τοῦ αὐτοῦ
τηρίου εἶεν οἱ μὲν ἐκ πάντων οἱ δ' ἐκ τινῶν, καὶ ἢ
ἢ αἱρέσει ἢ ἀμφοῖν. ὅσους μὲν οὖν ἐνδέχεται τρόπους
τὰ δικαστήρια, εἴρηται· τούτων δὲ τὰ μὲν πρῶτα δη-
ά, ὅσα ἐκ πάντων ἢ περὶ πάντων, τὰ δὲ δεύτερα
ρχικά, ὅσα ἐκ τινῶν περὶ πάντων, τὰ δὲ τρίτα ἀρι-
ιτικὰ καὶ πολιτικά, ὅσα τὰ μὲν ἐκ πάντων τὰ δ'
ῶν.

Ε.

Περὶ μὲν οὖν τῶν ἄλλων ὧν προειλόμεθα σχεδὸν
ι περὶ πάντων· ἐκ τίνων δὲ μεταβάλλουσιν αἱ πολι-
καὶ πόσων καὶ ποίων, καὶ τίνες ἑκάστης πολιτείας
ί, καὶ ἐκ ποίων εἰς ποίας μάλιστα μεθίστανται, ἔτι
τηρίαι τίνες καὶ κοινῇ καὶ χωρὶς ἑκάστης εἰσίν, ἔτι δὲ
ίνων ἂν μάλιστα σώζοιτο τῶν πολιτειῶν ἑκάστη, σκε-
ἐφεξῆς τοῖς εἰρημένοις. δεῖ δὲ πρῶτον ὑπολαβεῖν
ρχήν, ὅτι πολλαὶ γεγένηνται πολιτεῖαι πάντων μὲν
γούντων τὸ δίκαιον καὶ τὸ κατ' ἀναλογίαν ἴσον, τούτου
αρτανόντων, ὥσπερ εἴρηται καὶ πρότερον. δῆμος μὲν
ἐγένετο ἐκ τοῦ ἴσους ὁτιοῦν ὄντας οἴεσθαι ἁπλῶς ἴσους
(ὅτι γὰρ ἐλεύθεροι πάντες ὁμοίως, ἁπλῶς ἴσοι εἶναι
ουσιν), ὀλιγαρχία δὲ ἐκ τοῦ ἀνίσους ἕν τι ὄντας ὅλως
ἀνίσους ὑπολαμβάνειν (κατ' οὐσίαν γὰρ ἄνισοι ὄντες
ς ανισοι ὑπολαμβάνουσιν εἶναι). εἶτα οἱ μὲν ὡς ἴσοι
πάντων τῶν ἴσων ἀξιοῦσι μετέχειν, οἱ δ' ὡς ἄνισοι
πλεονεκτεῖν ζητοῦσιν· τὸ γὰρ πλεῖον ἄνισον. ἔχουσι
ὖν τι πᾶσαι δίκαιον, ἡμαρτημέναι δ' ἁπλῶς εἰσίν·
ιὰ ταύτην τὴν αἰτίαν, ὅταν μὴ κατὰ τὴν ὑπόληψιν
άτεροι τυγχάνουσιν ἔχοντες μετέχωσι τῆς πολιτείας,
άζουσιν. πάντων δὲ δικαιότατα μὲν ἂν στασιάζοιεν,
δὲ τοῦτο πράττουσιν οἱ κατ' ἀρετὴν διαφέροντες· μά-

λιστα γὰρ εὔλογον ἀνίσους ἁπλῶς εἶναι τούτους μόνον. εἰσὶ δέ τινες οἳ κατὰ γένος ὑπερέχοντες οὐκ ἀξιοῦσι τῶν ἴσων αὑτοὺς διὰ τὴν ἀνισότητα ταύτην· εὐγενεῖς γὰρ εἶναι δοκοῦσιν οἷς ὑπάρχει προγόνων ἀρετὴ καὶ πλοῦτος. ἀρχαὶ μὲν οὖν ὡς εἰπεῖν αὗται καὶ πηγαὶ τῶν στάσεών εἰσιν, ὅθεν στασιάζουσιν. διὸ καὶ αἱ μεταβολαὶ γίγνονται διχῶς· ὁτὲ μὲν γὰρ πρὸς τὴν πολιτείαν, ὅπως ἐκ τῆς καθεστηκυίας ἄλλην μεταστήσωσιν, οἷον ἐκ δημοκρατίας ὀλιγαρχίαν ἢ δημοκρατίαν ἐξ ὀλιγαρχίας, ἢ πολιτείαν καὶ ἀριστοκρατίαν ἐκ τούτων, ἢ ταύτας ἐξ ἐκείνων· ὁτὲ δ' οὐ πρὸς τὴν καθεστηκυῖαν πολιτείαν, ἀλλὰ τὴν μὲν κατάστασιν προαιροῦνται τὴν αὐτήν, δι' αὑτῶν δ' εἶναι βούλονται ταύτην, οἷον τὴν ὀλιγαρχίαν ἢ τὴν μοναρχίαν. ἔτι περὶ τοῦ μᾶλλον καὶ ἧττον, οἷον ἢ ὀλιγαρχίαν οὖσαν εἰς τὸ μᾶλλον ὀλιγαρχεῖσθαι ἢ εἰς τὸ ἧττον, ἢ δημοκρατίαν οὖσαν εἰς τὸ μᾶλλον δημοκρατεῖσθαι ἢ εἰς τὸ ἧττον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν πολιτειῶν, ἢ ἵνα ἐπιταθῶσιν ἢ ἀνεθῶσιν. ἔτι πρὸς τὸ μέρος τι κινῆσαι τῆς πολιτείας, οἷον ἀρχήν τινα καταστῆσαι ἢ ἀνελεῖν, ὥσπερ ἐν Λακεδαίμονί φασι Λύσανδρόν τινες ἐπιχειρῆσαι καταλῦσαι τὴν βασιλείαν καὶ Παυσανίαν τὸν βασιλέα τὴν ἐφορείαν. καὶ ἐν Ἐπιδάμνῳ δὲ μετέβαλεν ἡ πολιτεία κατὰ μόριον· ἀντὶ γὰρ τῶν φυλάρχων βουλὴν ἐποίησαν. εἰς δὲ τὴν Ἡλιαίαν ἐπάναγκές ἐστιν ἔτι τῶν ἐν τῷ πολιτεύματι βαδίζειν τὰς ἀρχάς, ὅταν ἐπιψηφίζηται ἀρχή τις. ὀλιγαρχικὸν δὲ καὶ ὁ ἄρχων ὁ εἷς ἦν ἐν τῇ πολιτείᾳ ταύτῃ· πανταχοῦ γὰρ διὰ τὸ ἄνισον ἡ στάσις· οὐ μὴν τοῖς ἀνίσοις ὑπάρχει ἀνάλογον· ἀΐδιος γὰρ βασιλεία ἄνισος, ἐὰν ᾖ ἐν ἴσοις· ὅλως γὰρ τὸ ἴσον ζητοῦντες στασιάζουσιν. ἔστι δὲ διττὸν τὸ ἴσον· τὸ μὲν γὰρ ἀριθμῷ τὸ δὲ κατ' ἀξίαν ἐστίν. λέγω δὲ ἀριθμῷ μὲν τὸ πλήθει ἢ μεγέθει ταὐτὸ καὶ ἴσον, κατ' ἀξίαν δὲ τὸ τῷ λόγῳ, οἷον ὑπερέχει κατ' ἀριθμὸν μὲν ἴσον τὰ τρία τοῖν δυοῖν καὶ ταῦτα τοῦ ἑνός, λόγῳ δὲ τέτταρα τοῖν δυοῖν καὶ ταῦτα τοῦ ἑνός· ἴσον γὰρ μέρος τὰ δύο τῶν τεττάρων καὶ τὸ ἓν τῶν δυοῖν· ἄμφω γὰρ ἡμίση. ὁμολογοῦντες δὲ τὸ ἁπλῶς εἶναι δίκαιον, τὸ κατ' ἀξίαν διαφέρονται, καθάπερ ἐλέχθη πρότερον, οἱ μὲν ὅτι, ἐὰν κατά τι ἴσοι ὦσιν, ὅλως ἴσοι νομίζουσιν εἶναι, οἱ δ' ὅτι, ἐὰν κατά τι ἄνισοι, πάντων ἀνίσων ἀξιοῦσιν ἑαυτούς. διὸ καὶ μάλιστα δύο γίνονται πολιτεῖαι, δῆμος καὶ ὀλιγαρχία· εὐγένεια γὰρ καὶ ἀρετὴ

8. μὲν om V^b. ‖ 29. ἁπλοῦς V^b. ‖ 30. εἶναι — εἶναι om $I^b V^b$. ‖ 38. ἢν om $R^b V^b$ et pr I^b. iidem τυγχάνωσιν.
. δικαίως I^b. ‖ 8. καταστήσωσιν $R^b V^b$. ‖ 14. οἷον et εἰς τὸ μᾶλλον ὀλιγαρχεῖσθαι om R^b. ‖ 17. ἢ ἵνα ἀναθῶσιν R^b. ‖ 18.
ι I^b. ‖ 21. μετέβαλλεν V^b. ‖ 26. πάντων V^b. ‖ 30. μὲν τὸ] μὲν τῷ $R^b V^b$. ‖ 33. λέγω R^b. λόγῳ — 34. ἑνός om V^b. ‖ 35.
^{b}.

ἐν ὀλίγοις, ταῦτα δ' ἐν πλείοσιν· εὐγενεῖς γὰρ καὶ ἀγαθοὶ οὐδαμοῦ ἑκατόν, ἄποροι δὲ πολλοὶ πολλαχοῦ. τὸ δὲ ἁπλῶς πάντῃ καθ' ἑκατέραν τετάχθαι τὴν ἰσότητα φαῦλον. φανερὸν δ' ἐκ τοῦ συμβαίνοντος· οὐδεμία γὰρ μόνιμος ἐκ τῶν τοιούτων πολιτειῶν. τούτου δ' αἴτιον ὅτι ἀδύνατον ἀπὸ τοῦ πρώτου καὶ τοῦ ἐν ἀρχῇ ἡμαρτημένου μὴ ἀπαντᾶν εἰς τὸ τέλος κακόν τι. διὸ δεῖ τὰ μὲν ἀριθμητικῇ ἰσότητι χρῆσθαι, τὰ δὲ τῇ κατ' ἀξίαν. ὅμως δὲ ἀσφαλεστέρα καὶ ἀστασίαστος μᾶλλον ἡ δημοκρατία τῆς ὀλιγαρχίας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις ἐγγίνονται δύο, ἥ τε πρὸς ἀλλήλους στάσις καὶ ἔτι ἡ πρὸς τὸν δῆμον, ἐν δὲ ταῖς δημοκρατίαις ἡ πρὸς τὴν ὀλιγαρχίαν μόνον· αὐτῷ δὲ πρὸς αὑτόν, ὅ τι καὶ ἄξιον εἰπεῖν, οὐκ ἐγγίγνεται τῷ δήμῳ στάσις. ἔτι δὲ ἡ ἐκ τῶν μέσων πολιτεία ἐγγυτέρω τοῦ δήμου ἢ ἡ τῶν ὀλίγων, ἥπερ ἐστὶν ἀσφαλεστάτη τῶν τοιούτων πολιτειῶν.

2 Ἐπεὶ δὲ σκοποῦμεν ἐκ τίνων αἵ τε στάσεις γίγνονται καὶ αἱ μεταβολαὶ περὶ τὰς πολιτείας, ληπτέον καθόλου πρῶτον τὰς ἀρχὰς καὶ τὰς αἰτίας αὐτῶν. εἰσὶ δὴ σχεδὸν ὡς εἰπεῖν τρεῖς τὸν ἀριθμόν, ἃς διοριστέον καθ' αὑτὰς τύπῳ πρῶτον. δεῖ γὰρ λαβεῖν πῶς τε ἔχοντες στασιάζουσι καὶ τίνων ἕνεκεν, καὶ τρίτον τίνες ἀρχαὶ γίνονται τῶν πολιτικῶν ταραχῶν καὶ τῶν πρὸς ἀλλήλους στάσεων. τοῦ μὲν οὖν αὐτοὺς ἔχειν πως πρὸς τὴς μεταβολὴν αἰτίαν καθόλου μάλιστα θετέον περὶ ἧς ἤδη τυγχάνομεν εἰρηκότες. οἱ μὲν γὰρ ἰσότητος ἐφιέμενοι στασιάζουσιν, ἂν νομίζωσιν ἔλαττον ἔχειν ὄντες ἴσοι τοῖς πλεονεκτοῦσιν, οἱ δὲ τῆς ἀνισότητος καὶ τῆς ὑπεροχῆς, ἂν ὑπολαμβάνωσιν ὄντες ἄνισοι μὴ πλέον ἔχειν ἀλλ' ἴσον ἢ ἔλαττον. τούτων δ' ἔστι μὲν ὀρέγεσθαι δικαίως, ἔστι δὲ καὶ ἀδίκως· ἐλάττους τε γὰρ ὄντες ὅπως ἴσοι ὦσι στασιάζουσι, καὶ ἴσοι ὄντες ὅπως μείζους. πῶς μὲν οὖν ἔχοντες στασιάζουσιν, εἴρηται. περὶ ὧν δὲ στασιάζουσιν, ἐστὶ κέρδος καὶ τιμὴ καὶ τἀναντία τούτοις· καὶ γὰρ ἀτιμίαν φεύγοντες καὶ ζημίαν, ἢ ὑπὲρ αὑτῶν ἢ τῶν φίλων, στασιάζουσιν ἐν ταῖς πόλεσιν. αἱ δ' αἰτίαι καὶ ἀρχαὶ τῶν κινήσεων, ὅθεν αὐτοί τε διατίθενται τὸν εἰρημένον τρόπον καὶ περὶ τῶν λεχθέντων, ἔστι μὲν ὡς τὸν ἀριθμὸν ἑπτὰ τυγχάνουσιν οὖσαι, ἔστι δ' ὡς πλείους. ὧν δύο μέν ἐστι ταὐτὰ τοῖς εἰρημένοις, ἀλλ' οὐχ ὡσαύτως· διὰ κέρδος γὰρ καὶ διὰ τιμὴν παροξύνονται πρὸς ἀλλήλους οὐχ ἵνα κτήσωνται σφίσιν αὐτοῖς, ὥσπερ εἴρηται πρότερον, ἀλλ' ἑτέ-

ρους ὁρῶντες τοὺς μὲν δικαίως τοὺς δ' ἀδίκως πλεον
τούτων. ἔτι διὰ ὕβριν, διὰ φόβον, διὰ ὑπεροχήν,
ταφρόνησιν, διὰ αὔξησιν τὴν παρὰ τὸ ἀνάλογον.
ἄλλον τρόπον δι' ἐριθείαν, δι' ὀλιγωρίαν, διὰ μι
δι' ἀνομοιότητα. τούτων δὲ ὕβρις μὲν καὶ κέρδος τί
δύναμιν καὶ πῶς αἴτια, σχεδόν ἐστι φανερόν· ὑβ
τε γὰρ τῶν ἐν ταῖς ἀρχαῖς καὶ πλεονεκτούντων στ
καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὰς πολιτείας τὰς ἐ
τὴν ἐξουσίαν· ἡ δὲ πλεονεξία γίνεται ὁτὲ μὲν ἀ
ἰδίων, ὁτὲ δὲ ἀπὸ τῶν κοινῶν. δῆλον δὲ καὶ ἡ τι
τί δύναται καὶ πῶς αἰτία στάσεως· καὶ γὰρ αὐτοὶ
ζόμενοι καὶ ἄλλους ὁρῶντες τιμωμένους στασιάζουσιν·
δὲ ἀδίκως μὲν γίνεται, ὅταν παρὰ τὴν ἀξίαν ἢ τ
τινες ἢ ἀτιμάζωνται, δικαίως δέ, ὅταν κατὰ τὴ
δι' ὑπεροχὴν δέ, ὅταν τις ᾖ τῇ δυνάμει μείζων,
πλείους, ἢ κατὰ τὴν πόλιν καὶ τὴν δύναμιν τοῦ π
ματος· γίνεσθαι γὰρ εἴωθεν ἐκ τῶν τοιούτων μονα
δυναστεία. διὸ ἐνιαχοῦ εἰώθασιν ὀστρακίζειν, οἷον ἐν
καὶ Ἀθήνησιν· καίτοι βέλτιον ἐξ ἀρχῆς ὁρᾶν ὅπως μ
σονται τοσοῦτον ὑπερέχοντες, ἢ ἐάσαντας γενέσθαι
ὕστερον. διὰ δὲ φόβον στασιάζουσιν οἵ τε ἠδικηκότες,
τες μὴ δῶσι δίκην, καὶ οἱ μέλλοντες ἀδικεῖσθαι, β
νοι φθάσαι πρὶν ἀδικηθῆναι, ὥσπερ ἐν Ῥόδῳ συνέ
οἱ γνώριμοι ἐπὶ τὸν δῆμον διὰ τὰς ἐπιφερομένας
διὰ καταφρόνησιν δὲ καὶ στασιάζουσι καὶ ἐπιτίθενται
ἔν τε ταῖς ὀλιγαρχίαις, ὅταν πλείους ὦσιν οἱ μὴ με
τες τῆς πολιτείας (κρείττους γὰρ οἴονται εἶναι), καὶ ἐν
δημοκρατίαις οἱ εὔποροι καταφρονήσαντες τῆς ἀταξία
ἀναρχίας, οἷον καὶ ἐν Θήβαις μετὰ τὴν ἐν Οἰνοφ
μάχην κακῶς πολιτευομένων ἡ δημοκρατία διεφθάρη,
ἡ Μεγαρέων δι' ἀταξίαν καὶ ἀναρχίαν ἡττηθέντων, κα
Συρακούσαις πρὸ τῆς Γέλωνος τυραννίδος, καὶ ἐν Ῥό
δῆμος πρὸ τῆς ἐπαναστάσεως. γίνονται δὲ καὶ δι' αὐ
τὴν παρὰ τὸ ἀνάλογον μεταβολαὶ τῶν πολιτειῶν. ὥ
γὰρ σῶμα ἐκ μερῶν σύγκειται καὶ δεῖ αὐξάνεσθαι
λογον, ἵνα μένῃ συμμετρία, εἰ δὲ μή, φθείρεται, ὅ
μὲν ποὺς τεττάρων πηχῶν ᾖ τὸ δ' ἄλλο σῶμα δυο
θαμαῖν, ἐνίοτε δὲ κἂν εἰς ἄλλου ζῴου μεταβάλλοι μ
εἰ μὴ μόνον κατὰ τὸ ποσὸν ἀλλὰ καὶ κατὰ τὸ
αὐξάνοιτο παρὰ τὸ ἀνάλογον, οὕτω καὶ πόλις σύγ

1. λόγοις I^b V^b. ‖ 2. εὔποροι I^b V^b. ‖ πολλοὶ om I^b R^b V^b. ‖ 14. ἡ post ἢ om V^b. ‖ 16. αἵ τε] ἔτι R^b. ‖ 17. αἱ om. 18. δὲ R^b. ‖ 28. post ἔλαττον V^b U^b et margo I^b τῆς ἰσότητος δηλονότι καὶ τῆς ὑπεροχῆς. ‖ 30. ὦσι καὶ στασιάζουσι R^b.

6. πόσ' I^b U^b V^b, πόσα R^b. ‖ 11. αὐτὴ ἀτιμαζομένη U^b. ‖ 14. δικαίως δέ] διὰ δικαίως U^b. ‖ 19. αἰνίσονται γε I^b. ‖ 3[…] I^b V^b. ‖ 37. δ' om V^b. ‖ ἄλλο om R^b. ‖ σπιθαμαῖον U^b, σπιθαμῶν R^b. ‖ 38. μεταβάλοι I^b. ‖ 39. τὸ prius om I^b U^b V^b. πόλεις V^b. ‖ σύγκειται om R^b.

ἐκ μερῶν, ὧν πολλάκις λανθάνει τι αὐξανόμενον, οἷον τὸ τῶν ἀπόρων πλῆθος ἐν ταῖς δημοκρατίαις καὶ πολιτείαις. συμβαίνει δ' ἐνίοτε τοῦτο καὶ διὰ τύχας, οἷον ἐν Τάραντι ἡττηθέντων καὶ ἀπολομένων πολλῶν γνωρίμων ὑπὸ τῶν Ἰαπύγων μικρὸν ὕστερον τῶν Μηδικῶν δημοκρατία ἐγένετο ἐκ πολιτείας, καὶ ἐν Ἄργει τῶν ἐν τῇ ἑβδόμῃ ἀπολομένων ὑπὸ Κλεομένους τοῦ Λάκωνος ἠναγκάσθησαν παραδέξασθαι τῶν περιοίκων τινάς, καὶ ἐν Ἀθήναις ἀτυχούντων πεζῇ οἱ γνώριμοι ἐλάττους ἐγένοντο διὰ τὸ ἐκ καταλόγου στρατεύεσθαι ὑπὸ τὸν Λακωνικὸν πόλεμον. συμβαίνει δὲ τοῦτο καὶ ἐν ταῖς δημοκρατίαις, ἧττον δέ· πλειόνων γὰρ τῶν ἀπόρων γινομένων ἢ τῶν οὐσιῶν αὐξανομένων μεταβάλλουσιν εἰς ὀλιγαρχίας καὶ δυναστείας. μεταβάλλουσι δ' αἱ πολιτεῖαι καὶ ἄνευ στάσεως διά τε τὰς ἐριθείας, ὥσπερ ἐν Ἡραίᾳ (ἐξ αἱρετῶν γὰρ διὰ τοῦτο ἐποίησαν κληρωτάς, ὅτι ᾑροῦντο τοὺς ἐριθευομένους), καὶ δι' ὀλιγωρίαν, ὅταν ἐάσωσιν εἰς τὰς ἀρχὰς τὰς κυρίας παριέναι τοὺς μὴ τῆς πολιτείας φίλους, ὥσπερ ἐν Ὠρεῷ κατελύθη ἡ ὀλιγαρχία τῶν ἀρχόντων γενομένου Ἡρακλεοδώρου, ὃς ἐξ ὀλιγαρχίας πολιτείαν καὶ δημοκρατίαν κατεσκεύασεν. ἔτι διὰ τὸ παρὰ μικρόν· λέγω δὲ παρὰ μικρόν, ὅτι πολλάκις λανθάνει μεγάλη γινομένη μετάβασις τῶν νομίμων, ὅταν παρορῶσι τὸ μικρόν, ὥσπερ ἐν Ἀμβρακίᾳ μικρὸν ἦν τὸ τίμημα, τέλος δ' οὐθενὸς ἦρχον, ὡς ἔγγιον ἢ μηθὲν διαφέρον τοῦ μηθὲν τὸ μικρόν. στασιωτικὸν δὲ καὶ τὸ μὴ ὁμόφυλον, ἕως ἂν συμπνεύσῃ· ὥσπερ γὰρ οὐδ' ἐκ τοῦ τυχόντος πλήθους πόλις γίγνεται, οὕτως οὐδ' ἐν τῷ τυχόντι χρόνῳ. διὸ ὅσοι ἤδη συνοίκους ἐδέξαντο ἢ ἐποίκους, οἱ πλεῖστοι ἐστασίασαν, οἷον Τροιζηνίοις Ἀχαιοὶ συνῴκησαν Σύβαριν, εἶτα πλείους οἱ Ἀχαιοὶ γενόμενοι ἐξέβαλον τοὺς Τροιζηνίους· ὅθεν τὸ ἄγος συνέβη τοῖς Συβαρίταις. καὶ ἐν Θουρίοις Συβαρῖται τοῖς συνοικήσασιν· πλεονεκτεῖν γὰρ ἀξιοῦντες ὡς σφετέρας τῆς χώρας ἐξέπεσον. καὶ Βυζαντίοις οἱ ἔποικοι ἐπιβουλεύοντες φωραθέντες ἐξέπεσον διὰ μάχης, καὶ Ἀντισσαῖοι τοὺς Χίων φυγάδας εἰσδεξάμενοι διὰ μάχης ἐξέβαλον, Ζαγκλαῖοι δὲ Σαμίους ὑποδεξάμενοι ἐξέπεσον καὶ αὐτοί. καὶ Ἀπολλωνιᾶται οἱ ἐν τῷ Εὐξείνῳ πόντῳ ἐποίκους ἐπαγαγόμενοι ἐστασίασαν, καὶ Συρακούσιοι μετὰ τὰ τυραννικὰ τοὺς ξένους

καὶ τοὺς μισθοφόρους πολίτας ποιησάμενοι ἐστασίασαν καὶ εἰς μάχην ἦλθον, καὶ Ἀμφιπολῖται δεξάμενοι Χαλκιδέων ἀποίκους ἐξέπεσον ὑπὸ τούτων οἱ πλεῖστοι αὐτῶν. στασιάζουσι δ' ἐν μὲν ταῖς ὀλιγαρχίαις οἱ πολλοὶ ὡς ἀδικούμενοι, ὅτι οὐ μετέχουσι τῶν ἴσων, καθάπερ εἴρηται πρότερον, ἴσοι ὄντες, ἐν δὲ ταῖς δημοκρατίαις οἱ γνώριμοι, ὅτι μετέχουσι τῶν ἴσων οὐκ ἴσοι ὄντες. στασιάζουσι δὲ ἐνίοτε αἱ πόλεις καὶ διὰ τοὺς τόπους, ὅταν μὴ εὐφυῶς ἔχῃ ἡ χώρα πρὸς τὸ μίαν εἶναι πόλιν, οἷον ἐν Κλαζομεναῖς οἱ ἐπὶ Χύτρῳ πρὸς τοὺς ἐν νήσῳ, καὶ Κολοφώνιοι καὶ Νοτιεῖς· καὶ Ἀθήνησιν οὐχ ὁμοίως εἰσίν, ἀλλὰ μᾶλλον δημοτικοὶ οἱ τὸν Πειραιᾶ οἰκοῦντες τῶν τὸ ἄστυ. ὥσπερ γὰρ ἐν τοῖς πολέμοις αἱ διαβάσεις τῶν ὀχετῶν, καὶ τῶν πάνυ σμικρῶν, διασπῶσι τὰς φάλαγγας, οὕτως ἔοικε πᾶσα διαφορὰ ποιεῖν διάστασιν. μεγίστη μὲν οὖν ἴσως διάστασις ἀρετὴ καὶ μοχθηρία, εἶτα πλοῦτος καὶ πενία, καὶ οὕτω δὴ ἑτέρα ἑτέρας μᾶλλον· ὧν μία καὶ ἡ εἰρημένη ἐστίν. γίγνονται μὲν οὖν αἱ στάσεις οὐ 4 περὶ μικρῶν ἀλλ' ἐκ μικρῶν, στασιάζουσι δὲ περὶ μεγάλων. μάλιστα δὲ καὶ αἱ μικραὶ ἰσχύουσιν, ὅταν ἐν τοῖς κυρίοις γένωνται, οἷον συνέβη καὶ ἐν Συρακούσαις ἐν τοῖς ἀρχαίοις χρόνοις· μετέβαλε γὰρ ἡ πολιτεία ἐκ δύο νεανίσκων στασιασάντων, ἐν ταῖς ἀρχαῖς ὄντων, περὶ ἐρωτικὴν αἰτίαν. θατέρου γὰρ ἀποδημοῦντος ἑταῖρος ὤν τις τὸν ἐρώμενον αὐτοῦ ὑπεποιήσατο, πάλιν δ' ἐκεῖνος τούτῳ χαλεπήνας τὴν γυναῖκα αὐτοῦ ἀνέπεισεν ὡς αὐτὸν ἐλθεῖν· ὅθεν προσλαμβάνοντες τοὺς ἐν τῷ πολιτεύματι διεστασίασαν πάντας. διόπερ ἀρχομένων εὐλαβεῖσθαι δεῖ τῶν τοιούτων, καὶ διαλύειν τὰς τῶν ἡγεμόνων καὶ δυναμένων στάσεις· ἐν ἀρχῇ γὰρ γίγνεται τὸ ἁμάρτημα, ἡ δ' ἀρχὴ λέγεται ἥμισυ εἶναι παντός, ὥστε καὶ τὸ ἐν αὐτῇ μικρὸν ἁμάρτημα ἀνάλογόν ἐστι πρὸς τὰ ἐν τοῖς ἄλλοις μέρεσιν. ὅλως δὲ αἱ τῶν γνωρίμων στάσεις συναπολαύειν ποιοῦσι καὶ τὴν ὅλην πόλιν, οἷον ἐν Ἑστιαίᾳ συνέβη μετὰ τὰ Μηδικά, δύο ἀδελφῶν περὶ τῆς τῶν πατρῴων νομῆς διενεχθέντων· ὁ μὲν γὰρ ἀπορώτερος, ὡς οὐκ ἀποφαίνοντος θατέρου τὴν οὐσίαν οὐδὲ τὸν θησαυρὸν ὃν εὗρεν ὁ πατήρ, προσήγετο τοὺς δημοτικούς, ὁ δ' ἕτερος ἔχων οὐσίαν πολλὴν τοὺς εὐπόρους. καὶ ἐν Δελφοῖς ἐκ κηδείας γενομένης διαφορᾶς ἀρχὴ πασῶν ἐγένετο τῶν στάσεων τῶν

1. λανθάνοι U^b. ‖ 12. εὐπόρων $I^bR^bU^bV^b$. ‖ 14. καὶ ἀναστάσεως U^b. ‖ 17. τὰς post ἀρχὰς om U^b. ‖ 24. δ' ἀπ' οὐθενὸς ἦρχον ὡς ἐγγὺς ὂν ἢ interpres. ‖ 28. ἀποίκους R^b. ‖ δ' ἐστασίασαν V^b, διεστασίασαν R^bI^b. ‖ 31. καὶ om U^b. ‖ 33. ἐξέπεσον om U^b. ‖ σαμίους etiam post ὑποδεξάμενοι V^b. ‖ καὶ ante αὐτοί om R^b. ‖ 38. καὶ — b 1. ἐστασίασαν om R^b.

2. post ἦλθον R^b τῶν τυραννικὰ τοὺς (a 38) — ἦλθον. ‖ χαλκιδῶν U^bV^b. ‖ 3. ὡς πλείους V^b. ‖ 10. νοτιοῖς V^b. ‖ 16. ἑτέρα om I^b. ‖ ἑτέρας om U^b. ‖ 20. καὶ om I^b. ‖ 23. ὃν R^b. ‖ 26. πάντας V^b. ‖ 27. δὲ R^b. ‖ 31. τὰ] τὰς I^bV^b. ‖ 32. ἐν om V^b. ‖ 33. δημοτικά $I^bR^bV^b$. ‖ 34. τῶν om $I^bR^bU^bV^b$. ‖ 35. θατέρου om $I^bR^bV^b$. ‖ 37. ἐν Δελφοῖς] ἀδελφοῖς R^b.

ὕστερον· ὁ μὲν γὰρ οἰωνισάμενός τι σύμπτωμα, ὡς ἦλθεν ἐπὶ τὴν νύμφην, οὐ λαβὼν ἀπῆλθεν, οἱ δ' ὡς ὑβρισθέντες ἐνέβαλον τῶν ἱερῶν χρημάτων θύοντος, κἄπειτα ὡς ἱερόσυλον ἀπέκτειναν. καὶ περὶ Μιτυλήνην δὲ ἐξ ἐπικλήρων στάσεως γενομένης πολλῶν ἐγένετο ἀρχὴ κακῶν καὶ τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους, ἐν ᾧ Πάχης ἔλαβε τὴν πόλιν αὐτῶν· Τιμοφάνους γὰρ τῶν εὐπόρων τινὸς καταλιπόντος δύο θυγατέρας, ὁ περιωσθεὶς καὶ οὐ λαβὼν τοῖς υἱέσιν αὐτοῦ Δόξανδρος ἦρξε τῆς στάσεως καὶ τοὺς Ἀθηναίους παρώξυνε, πρόξενος ὢν τῆς πόλεως. καὶ ἐν Φωκεῦσιν ἐξ ἐπικλήρου στάσεως γενομένης περὶ Μνασέαν τὸν Μνήσωνος πατέρα καὶ Εὐθυκράτη τὸν Ὀνομάρχου, ἡ στάσις αὕτη ἀρχὴ τοῦ ἱεροῦ πολέμου κατέστη τοῖς Φωκεῦσιν. μετέβαλε δὲ καὶ ἐν Ἐπιδάμνῳ ἡ πολιτεία ἐκ γαμικῶν· ὑπομνηστευσάμενος γάρ τις θυγατέρα, ὡς ἐζημίωσεν αὐτὸν ὁ τοῦ ὑπομνηστευθέντος πατὴρ γενόμενος τῶν ἀρχόντων, ἅτερος συμπαρέλαβε τοὺς ἐκτὸς τῆς πολιτείας ὡς ἐπηρεασθείς. μεταβάλλουσι δὲ καὶ εἰς ὀλιγαρχίαν καὶ εἰς δῆμον καὶ εἰς πολιτείαν ἐκ τοῦ εὐδοκιμῆσαί τι ἢ αὐξηθῆναι ἢ ἀρχεῖον ἢ μόριον τῆς πόλεως, οἷον ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ εὐδοκιμήσασα ἐν τοῖς Μηδικοῖς ἔδοξε συντονωτέραν ποιῆσαι τὴν πολιτείαν, καὶ πάλιν ὁ ναυτικὸς ὄχλος γενόμενος αἴτιος τῆς περὶ Σαλαμῖνα νίκης καὶ διὰ ταύτης τῆς ἡγεμονίας διὰ τὴν κατὰ θάλατταν δύναμιν τὴν δημοκρατίαν ἰσχυροτέραν ἐποίησεν. καὶ ἐν Ἄργει οἱ γνώριμοι εὐδοκιμήσαντες περὶ τὴν ἐν Μαντινείᾳ μάχην τὴν πρὸς Λακεδαιμονίους ἐπεχείρησαν καταλύειν τὸν δῆμον, καὶ ἐν Συρακούσαις ὁ δῆμος αἴτιος γενόμενος τῆς νίκης τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους ἐκ πολιτείας εἰς δημοκρατίαν μετέβαλεν, καὶ ἐν Χαλκίδι Φόξον τὸν τύραννον μετὰ τῶν γνωρίμων ὁ δῆμος ἀνελὼν εὐθὺς εἴχετο τῆς πολιτείας, καὶ ἐν Ἀμβρακίᾳ πάλιν ὡσαύτως Περίανδρον συνεκβαλὼν τοῖς ἐπιθεμένοις ὁ δῆμος τὸν τύραννον εἰς ἑαυτὸν περιέστησε τὴν πολιτείαν. καὶ ὅλως δὴ δεῖ τοῦτο μὴ λανθάνειν, ὡς οἱ δυνάμεως αἴτιοι γενόμενοι, καὶ ἰδιῶται καὶ ἀρχαὶ καὶ φυλαὶ καὶ ὅλως μέρος καὶ ὁποιονοῦν πλῆθος, στάσιν κινοῦσιν· ἢ γὰρ οἱ τούτοις φθονοῦντες τιμωμένοις ἄρχουσι τῆς στάσεως, ἢ οὗτοι διὰ τὴν ὑπεροχὴν οὐ θέλουσι μένειν ἐπὶ τῶν ἴσων. κινοῦνται δ' αἱ πολιτεῖαι καὶ ὅταν τἀναντία εἶναι δοκοῦντα μέρη τῆς πόλεως ἰσάζῃ ἀλλήλοις, οἷον οἱ πλούσιοι καὶ ὁ δῆμος, μέσον δ' ᾖ μικρὸν ἢ μηθὲν πάμπαν· ἂν γὰρ πολὺ ὑπερέχῃ ὁποτερονοῦν τῶν μερῶν πρὸς τὸ φανερῶς κρεῖττον, τὸ λοιπὸν οὐ θέλει κινδυνεύειν. διὸ καὶ οἱ κατ' ἀρετὴν διαφέροντες οὐ ποιοῦσι στάσιν ὡς εἰπεῖν· ὀλίγοι γὰρ γίγνονται πρὸς πολλούς. καθόλου μὲν οὖν περὶ πάσας τὰς πολιτείας αἱ ἀρχαὶ καὶ αἰτίαι τῶν στάσεων καὶ τῶν μεταβολῶν τοῦτον ἔχουσι τὸν τρόπον. κινοῦσι δὲ τὰς πολιτείας ὁτὲ μὲν διὰ βίας ὁτὲ δὲ δι' ἀπάτης, διὰ βίας μὲν ἢ εὐθὺς ἐξ ἀρχῆς ἢ ὕστερον ἀναγκάζοντες. καὶ γὰρ ἡ ἀπάτη διττή· ὁτὲ μὲν γὰρ ἐξαπατήσαντες τὸ πρῶτον ἑκόντων μεταβάλλουσι τὴν πολιτείαν, εἶθ' ὕστερον βίᾳ κατέχουσιν ἀκόντων, οἷον ἐπὶ τῶν τετρακοσίων τὸν δῆμον ἐξηπάτησαν, φάσκοντες τὸν βασιλέα χρήματα παρέξειν πρὸς τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, ψευσάμενοι δὲ κατέχειν ἐπειρῶντο τὴν πολιτείαν· ὁτὲ δὲ ἐξ ἀρχῆς τε πείσαντες καὶ ὕστερον πάλιν πεισθέντων ἑκόντων ἄρχουσιν αὐτῶν. ἁπλῶς μὲν οὖν περὶ πάσας τὰς πολιτείας ἐκ τῶν εἰρημένων συμβέβηκε γίγνεσθαι τὰς μεταβολάς.

Καθ' ἕκαστον δ' εἶδος πολιτείας ἐκ τούτων μερίζοντας δεῖ τὰ συμβαίνοντα θεωρεῖν. αἱ μὲν οὖν δημοκρατίαι μάλιστα μεταβάλλουσι διὰ τὴν τῶν δημαγωγῶν ἀσέλγειαν· τὰ μὲν γὰρ ἰδίᾳ συκοφαντοῦντες τοὺς τὰς οὐσίας ἔχοντας συστρέφουσιν αὐτούς (συνάγει γὰρ καὶ τοὺς ἐχθίστους ὁ κοινὸς φόβος), τὰ δὲ κοινῇ τὸ πλῆθος ἐπάγοντες. καὶ τοῦτο ἐπὶ πολλῶν ἄν τις ἴδοι γιγνόμενον οὕτως. καὶ γὰρ ἐν Κῷ ἡ δημοκρατία μετέβαλε πονηρῶν ἐγγενομένων δημαγωγῶν (οἱ γὰρ γνώριμοι συνέστησαν) καὶ ἐν Ῥόδῳ· μισθοφοράν τε γὰρ οἱ δημαγωγοὶ ἐπόριζον, καὶ ἐκώλυον ἀποδιδόναι τὰ ὀφειλόμενα τοῖς τριηράρχοις· οἱ δὲ διὰ τὰς ἐπιφερομένας δίκας ἠναγκάσθησαν συστάντες καταλῦσαι τὸν δῆμον. κατελύθη δὲ καὶ ἐν Ἡρακλείᾳ ὁ δῆμος μετὰ τὸν ἀποικισμὸν εὐθὺς διὰ τοὺς δημαγωγούς· ἀδικούμενοι γὰρ ὑπ' αὐτῶν οἱ γνώριμοι ἐξέπιπτον, ἔπειτα ἀθροισθέντες οἱ ἐκπίπτοντες καὶ κατελθόντες κατέλυσαν τὸν δῆμον. παραπλησίως δὲ καὶ ἡ ἐν Μεγάροις κατελύθη δημοκρατία· οἱ γὰρ δημαγωγοί, ἵνα χρήματα ἔχωσι δημεύειν, ἐξέβαλλον πολλοὺς τῶν γνωρίμων, ἕως πολλοὺς ἐποίησαν τοὺς φεύγοντας· οἱ δὲ κατιόντες ἐνίκησαν μαχόμενοι τὸν δῆμον καὶ κατέστησαν τὴν ὀλιγαρχίαν. συνέβη δὲ ταὐτὸ καὶ περὶ

7. αὐτοῦ I^b. ‖ 8. περιωθεὶς R^b, περιωρισθεὶς U^bV^b. ‖ δέξανδρος I^b. ‖ 13. καὶ om R^b. ‖ 15. θυγατέρα om $I^bR^bV^b$. ‖ 21. συντονωτέρα R^b. ‖ 23. διὰ τὸ ταύτης V^b. ‖ διὰ] καὶ διὰ U^b. ‖ 28. νίκης] λίβης R^b. ‖ 31. καὶ ἀναμβρακεία U^b. ‖ 32. ἐπιτιθεμένοις R^b V^b. ‖ 36. ὁποιονοῦν V^b. ‖ 39. μέσον] μέν τι R^b.

3. οὐ θέλει] ἐθέλει R^b. ‖ 6. αἰτίαι] αἱ $I^bR^bV^b$. ‖ 18. ποσειστμένων V^b. ‖ 33. οἱ ἐκπίπτοντες om R^b. ‖ 36. δημαγωγοῦντες γ R^b. ‖ ἐξέβαλον I^b.

Κύμην ἐπὶ τῆς δημοκρατίας ἣν κατέλυσε Θρασύμαχος. σχεδὸν δὲ καὶ ἐπὶ τῶν ἄλλων ἄν τις ἴδοι θεωρῶν τὰς μεταβολὰς τοῦτον ἐχούσας τὸν τρόπον. ὁτὲ μὲν γάρ, ἵνα χαρίζωνται, ἀδικοῦντες τοὺς γνωρίμους συνιστᾶσιν, ἢ τὰς οὐσίας ἀναδάστους ποιοῦντες ἢ τὰς προσόδους ταῖς λειτουργίαις· ὁτὲ δὲ διαβάλλοντες, ἵν' ἔχωσι δημεύειν τὰ κτήματα τῶν πλουσίων. ἐπὶ δὲ τῶν ἀρχαίων, ὅτε γένοιτο ὁ αὐτὸς δημαγωγὸς καὶ στρατηγός, εἰς τυραννίδα μετέβαλλον· σχεδὸν γὰρ οἱ πλεῖστοι τῶν ἀρχαίων τυράννων ἐκ δημαγωγῶν γεγόνασιν. αἴτιον δὲ τοῦ τότε μὲν γίγνεσθαι νῦν δὲ μή, ὅτι τότε μὲν οἱ δημαγωγοὶ ἦσαν ἐκ τῶν στρατηγούντων (οὐ γάρ πω δεινοὶ ἦσαν λέγειν), νῦν δὲ τῆς ῥητορικῆς ηὐξημένης οἱ δυνάμενοι λέγειν δημαγωγοῦσι μέν, δι' ἀπειρίαν δὲ τῶν πολεμικῶν οὐκ ἐπιτίθενται, πλὴν εἴ που βραχύ τι γέγονε τοιοῦτον. ἐγίγνοντο δὲ τυραννίδες πρότερον μᾶλλον ἢ νῦν καὶ διὰ τὸ μεγάλας ἀρχὰς ἐγχειρίζεσθαί τισιν, ὥσπερ ἐν Μιλήτῳ ἐκ τῆς πρυτανείας· πολλῶν γὰρ ἦν καὶ μεγάλων κύριος ὁ πρύτανις. ἔτι δὲ διὰ τὸ μὴ μεγάλας εἶναι τότε τὰς πόλεις, ἀλλ' ἐπὶ τῶν ἀγρῶν οἰκεῖν τὸν δῆμον ἄσχολον ὄντα πρὸς τοῖς ἔργοις, οἱ προστάται τοῦ δήμου, ὅτε πολεμικοὶ γένοιντο, τυραννίδι ἐπετίθεντο. πάντες δὲ τοῦτο ἔδρων ὑπὸ τοῦ δήμου πιστευθέντες, ἡ δὲ πίστις ἦν ἡ ἀπέχθεια ἡ πρὸς τοὺς πλουσίους, οἷον Ἀθήνησί τε Πεισίστρατος στασιάσας πρὸς τοὺς πεδιακούς, καὶ Θεαγένης ἐν Μεγάροις τῶν εὐπόρων τὰ κτήνη ἀποσφάξας, λαβὼν παρὰ τὸν ποταμὸν ἐπινέμοντας. καὶ Διονύσιος κατηγορῶν Δαφναίου καὶ τῶν πλουσίων ἠξιώθη τῆς τυραννίδος, διὰ τὴν ἔχθραν πιστευθεὶς ὡς δημοτικὸς ὤν. μεταβάλλουσι δὲ καὶ ἐκ τῆς πατρίας δημοκρατίας εἰς τὴν νεωτάτην· ὅπου γὰρ αἱρεταὶ μὲν αἱ ἀρχαί, μὴ ἀπὸ τιμημάτων δέ, αἱρεῖται δὲ ὁ δῆμος, δημαγωγοῦντες οἱ σπουδαρχιῶντες εἰς τοῦτο καθιστᾶσιν ὡς κύριον εἶναι τὸν δῆμον καὶ τῶν νόμων. ἄκος δὲ τοῦ ἢ μὴ γίνεσθαι ἢ τοῦ γίνεσθαι ἧττον τὸ τὰς φυλὰς φέρειν τοὺς ἄρχοντας, ἀλλὰ μὴ πάντα τὸν δῆμον. τῶν μὲν οὖν δημοκρατιῶν αἱ μεταβολαὶ γίγνονται πᾶσαι σχεδὸν διὰ ταύτας τὰς αἰτίας.

6 Αἱ δ' ὀλιγαρχίαι μεταβάλλουσι διὰ δύο μάλιστα τρόπους τοὺς φανερωτάτους, ἕνα μὲν ἐὰν ἀδικῶσι τὸ πλῆθος· πᾶς γὰρ ἱκανὸς γίνεται προστάτης, μάλιστα δ' ὅταν ἐξ αὐτῆς συμβῇ τῆς ὀλιγαρχίας γίνεσθαι τὸν ἡγεμόνα, καθάπερ ἐν Νάξῳ Λύγδαμις, ὃς καὶ ἐτυράννησεν ὕστερον τῶν Ναξίων. ἔχει δὲ καὶ ἡ ἐξ ἄλλων ἀρχὴ στάσεως διαφοράς. ὁτὲ μὲν γὰρ ἐξ αὐτῶν τῶν εὐπόρων, οὐ τῶν ὄντων δ' ἐν ταῖς ἀρχαῖς, γίγνεται κατάλυσις, ὅταν ὀλίγοι σφόδρα ὦσιν οἱ ἐν ταῖς τιμαῖς, οἷον ἐν Μασσαλίᾳ καὶ ἐν Ἴστρῳ καὶ ἐν Ἡρακλείᾳ καὶ ἐν ἄλλαις πόλεσι συμβέβηκεν. οἱ γὰρ μὴ μετέχοντες τῶν ἀρχῶν ἐκίνουν, ἕως μετέλαβον οἱ πρεσβύτεροι πρότερον τῶν ἀδελφῶν, ὕστερον δ' οἱ νεώτεροι πάλιν· οὐ γὰρ ἄρχουσιν ἐνιαχοῦ μὲν ἅμα πατήρ τε καὶ υἱός, ἐνιαχοῦ δὲ ὁ πρεσβύτερος καὶ ὁ νεώτερος ἀδελφός. καὶ ἔνθα μὲν πολιτικωτέρα ἐγένετο ἡ ὀλιγαρχία, ἐν Ἴστρῳ δ' εἰς δῆμον ἀπετελεύτησεν, ἐν Ἡρακλείᾳ δ' ἐξ ἐλαττόνων εἰς ἑξακοσίους ἦλθεν. μετέβαλε δὲ καὶ ἐν Κνίδῳ ἡ ὀλιγαρχία στασιασάντων τῶν γνωρίμων αὐτῶν πρὸς αὐτοὺς διὰ τὸ ὀλίγους μετέχειν καὶ καθάπερ εἴρηται, εἰ πατήρ, υἱὸν μὴ μετέχειν, μηδ' εἰ πλείους ἀδελφοί, ἀλλ' ἢ τὸν πρεσβύτατον· ἐπιλαβόμενος γὰρ στασιαζόντων ὁ δῆμος, καὶ λαβὼν προστάτην ἐκ τῶν γνωρίμων, ἐπιθέμενος ἐκράτησεν· ἀσθενὲς γὰρ τὸ στασιάζον. καὶ ἐν Ἐρυθραῖς δὲ ἐπὶ τῆς τῶν Βασιλιδῶν ὀλιγαρχίας ἐν τοῖς ἀρχαίοις χρόνοις, καίπερ καλῶς ἐπιμελομένων τῶν ἐν τῇ πολιτείᾳ, ὅμως διὰ τὸ ὑπ' ὀλίγων ἄρχεσθαι ἀγανακτῶν ὁ δῆμος μετέβαλε τὴν πολιτείαν. κινοῦνται δ' αἱ ὀλιγαρχίαι ἐξ αὐτῶν καὶ διὰ φιλονεικίαν δημαγωγούντων. ἡ δημαγωγία δὲ διττή, ἡ μὲν ἐν αὐτοῖς τοῖς ὀλίγοις (ἐγγίνεται γὰρ δημαγωγὸς κἂν πάνυ ὀλίγοι ὦσιν, οἷον ἐν τοῖς τριάκοντα Ἀθήνησιν οἱ περὶ Χαρικλέα ἴσχυσαν τοὺς τριάκοντα δημαγωγοῦντες, καὶ ἐν τοῖς τετρακοσίοις οἱ περὶ Φρύνιχον τὸν αὐτὸν τρόπον), ἢ ὅταν τὸν ὄχλον δημαγωγῶσιν οἱ ἐν τῇ ὀλιγαρχίᾳ ὄντες, οἷον ἐν Λαρίσσῃ οἱ πολιτοφύλακες διὰ τὸ αἱρεῖσθαι αὐτοὺς τὸν ὄχλον ἐδημαγώγουν· καὶ ἐν ὅσαις ὀλιγαρχίαις οὐχ οὗτοι αἱροῦνται τὰς ἀρχὰς ἐξ ὧν οἱ ἄρχοντές εἰσιν, ἀλλ' αἱ μὲν ἀρχαὶ ἐκ τιμημάτων μεγάλων εἰσὶν ἢ ἑταιριῶν, αἱροῦνται δ' οἱ ὁπλῖται ἢ ὁ δῆμος, ὅπερ ἐν Ἀβύδῳ συνέβαινεν. καὶ ὅπου τὰ δικαστήρια μὴ ἐκ τοῦ πολιτεύματός ἐστιν· δημαγωγοῦντες γὰρ πρὸς τὰς κρίσεις μεταβάλλουσι τὴν πολιτείαν, ὅπερ καὶ ἐν Ἡρακλείᾳ ἐγένετο τῇ ἐν τῷ Πόντῳ. ἔτι δ' ὅταν ἔνιοι εἰς ἐλάττους ἕλκωσι τὴν ὀλιγαρχίαν· οἱ γὰρ τὸ ἴσον ζητοῦντες ἀναγκάζονται βοηθὸν ἐπαγαγέσθαι τὸν δῆμον. γίγνονται δὲ μεταβολαὶ τῆς ὀλιγαρχίας καὶ ὅταν ἀναλώσωσι τὰ ἴδια ζῶντες ἀσελγῶς· καὶ γὰρ οἱ τοιοῦτοι καινοτομεῖν ζητοῦσι, καὶ ἢ τυραννίδι ἐπιτίθενται αὐτοὶ ἢ

1. θρασύμαρχος V^b. ‖ 5. ἀναδράστους V^b. ‖ 8. μετέβαλον V^b. ‖ 23. πλησίους V^b. ‖ 26. κατηγορῶν] ἐν μεγάροις R^b.
1. ἄλλων] αὐτῶν alii. ‖ 6. μετέβαλλον V^b. ‖ 10. ἡ om V^b. ‖ 11. ἐν Ἴστρῳ — 13. ὀλιγαρχία om R^b. ‖ 19. βασιλιδῶν codices. ‖ 22. αἱ om R^b. ‖ 24. ἡ om $I^bR^bV^b$. ‖ λόγοις R^b. ‖ 33. πολῖται R^b. ‖ 36. τῷ om V^b. ‖ 41. κενοτομεῖν R^b. ‖ ἢ prius om R^b.

κατασκευάζυσιν ἕτερον, ὥσπερ Ἱππαρῖνος Διονύσιον ἐν Συρακύσαις. καὶ ἐν Ἀμφιπόλει, ᾧ ὄνομα ἦν Κλεότιμος, τὺς ἐποίκυς τὺς Χαλκιδέων ἤγαγε, καὶ ἐλθόντων διεςασίασεν αὐτὺς πρὸς τὺς εὐπόρυς. καὶ ἐν Αἰγίνῃ ὁ τὴν πρᾶξιν τὴν πρὸς Χάρητα πράξας ἐνεχείρησε μεταβαλεῖν τὴν πολιτείαν διὰ τοιαύτην αἰτίαν. ὁτὲ μὲν ὖν ἐπιχειρῦσί τι κινεῖν, ὁτὲ δὲ κλέπτυσι τὰ κοινά· ὅθεν πρὸς αὐτὺς ςασιάζυσιν ἢ οὗτοι ἢ οἱ πρὸς τούτους μαχόμενοι κλέπτοντας, ὅπερ ἐν Ἀπολλωνίᾳ συνέβη τῇ ἐν τῷ Πόντῳ. ὁμονοῦσα δὲ ὀλιγαρχία ὐκ εὐδιάφθορος ἐξ αὐτῆς. σημεῖον δὲ ἡ ἐν Φαρσάλῳ πολιτεία· ἐκεῖνοι γὰρ ὀλίγοι ὄντες πολλῶν κύριοί εἰσι διὰ τὸ χρῆσθαι σφίσιν αὐτοῖς καλῶς. καταλύονται δὲ καὶ ὅταν ἐν τῇ ὀλιγαρχίᾳ ἑτέραν ὀλιγαρχίαν ἐμποιῶσιν. τῦτο δ' ἐςὶν ὅταν τῦ παντὸς πολιτεύματος ὀλίγυ ὄντος τῶν μεγίςων ἀρχῶν μὴ μετέχωσιν οἱ ὀλίγοι πάντες, ὅπερ ἐν Ἤλιδι συνέβη ποτέ· τῆς πολιτείας γὰρ δι' ὀλίγων οὔσης τῶν γερόντων ὀλίγοι πάμπαν ἐγίνοντο διὰ τὸ ἀϊδίυς εἶναι ἐνενήκοντα ὄντας, τὴν δ' αἵρεσιν δυναστευτικὴν εἶναι καὶ ὁμοίαν τῇ τῶν ἐν Λακεδαίμονι γερόντων. γίγνεται δὲ μεταβολὴ τῶν ὀλιγαρχικῶν καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, ἐν μὲν πολέμῳ διὰ τὴν πρὸς τὸν δῆμον ἀπιςίαν ςρατιώταις ἀναγκαζομένων χρῆσθαι (ᾧ γὰρ ἂν ἐγχειρίσωσιν, ὗτος πολλάκις γίγνεται τύραννος, ὥσπερ ἐν Κορίνθῳ Τιμοφάνης· ἂν δὲ πλείους, ὗτοι αὐτοῖς περιποιῦνται δυναςείαν)· ὁτὲ δὲ ταῦτα δεδιότες μεταδιδόασι τῷ πλήθει τῆς πολιτείας διὰ τὸ ἀναγκάζεσθαι τῷ δήμῳ χρῆσθαι. ἐν δὲ τῇ εἰρήνῃ διὰ τὴν ἀπιστίαν τὴν πρὸς ἀλλήλους ἐγχειρίζουσι τὴν φυλακὴν ςρατιώταις καὶ ἄρχοντι μεσιδίῳ, ὃς ἐνίοτε γίνεται κύριος ἀμφοτέρων, ὅπερ συνέβη ἐν Λαρίσσῃ ἐπὶ τῆς τῶν Ἀλευαδῶν ἀρχῆς τῶν περὶ Σῖμον καὶ ἐν Ἀβύδῳ ἐπὶ τῶν ἑταιριῶν ὧν ἦν μία ἡ Ἰφιάδυ. γίνονται δὲ στάσεις καὶ ἐκ τῦ περιωθεῖσθαι ἑτέρυς ὑφ' ἑτέρων τῶν ἐν τῇ ὀλιγαρχίᾳ αὐτῶν καὶ καταςασιάζεσθαι κατὰ γάμους ἢ δίκας, οἷον ἐκ γαμικῆς μὲν αἰτίας αἱ εἰρημέναι πρότερον, καὶ τὴν ἐν Ἐρετρίᾳ δ' ὀλιγαρχίαν τὴν τῶν ἱππέων Διαγόρας [δὲ] κατέλυσεν ἀδικηθεὶς περὶ γάμον. ἐκ δὲ δικαςηρίυ κρίσεως ἡ ἐν Ἡρακλείᾳ ςάσις ἐγένετο καὶ ἐν Θήβαις, ἐπ' αἰτίᾳ μοιχείας δικαίως μὲν στασιωτικῶς δὲ ποιησαμένων τὴν κόλασιν τῶν μὲν ἐν Ἡρακλείᾳ κατ' Εὐρυτίωνος, τῶν δ' ἐν Θήβαις κατ' Ἀρχίυ· ἐφιλονείκησα αὐτοὺς οἱ ἐχθροὶ ὥστε δεθῆναι ἐν ἀγορᾷ ἐν τῷ κ πολλαὶ δὲ καὶ διὰ τὸ ἄγαν δεσποτικὰς εἶναι τὰς ὀ χίας ὑπὸ τῶν ἐν τῇ πολιτείᾳ τινῶν δυσχερανάντων λύθησαν, ὥσπερ ἡ ἐν Κνίδῳ καὶ ἡ ἐν Χίῳ ὀλιγ γίγνονται δὲ καὶ ἀπὸ συμπτώματος μεταβολαὶ κ καλουμένης πολιτείας καὶ τῶν ὀλιγαρχιῶν ἐν ὅσαι τιμήματος βυλεύυσι καὶ δικάζυσι καὶ τὰς ἄλλας ἄρχυσιν. πολλάκις γὰρ τὸ ταχθὲν πρῶτον τίμημα τὺς παρόντας καιρύς, ὥςε μετέχειν ἐν μὲν τῇ ὀλιγ ὀλίγυς ἐν δὲ τῇ πολιτείᾳ τὺς μέσυς, εὐετηρίας γιγν δι' εἰρήνην ἢ δι' ἄλλην τιν' εὐτυχίαν συμβαίνει πολλ σίυ γίγνεσθαι τιμήματος ἀξίας τὰς αὐτὰς κτήσεις, πάντας πάντων μετέχειν, ὁτὲ μὲν ἐκ προσαγωγῆ κατὰ μικρὸν γινομένης τῆς μεταβολῆς καὶ λανθαν ὁτὲ δὲ καὶ θᾶττον. αἱ μὲν ὖν ὀλιγαρχίαι μεταβάλ καὶ ςασιάζυσι διὰ τοιαύτας αἰτίας. ὅλως δὲ καὶ δ μοκρατίαι καὶ ὀλιγαρχίαι ἐξίστανται ἐνίοτε οὐκ εἰ ἐναντίας πολιτείας ἀλλ' εἰς τὰς ἐν τῷ αὐτῷ γέν, ἐκ τῶν ἐννόμων δημοκρατιῶν καὶ ὀλιγαρχιῶν εἰς τὰ ρίυς καὶ ἐκ τύτων εἰς ἐκείνας.

Ἐν δὲ ταῖς ἀριςοκρατίαις γίγνονται αἱ ςάσεις α διὰ τὸ ὀλίγυς τῶν τιμῶν μετέχειν, ὅπερ εἴρηται κινεῖ τὰς ὀλιγαρχίας διὰ τὸ καὶ τὴν ἀριςοκρατίαν ὀλιγαρ εἶναί πως· ἐν ἀμφοτέραις γὰρ ὀλίγοι οἱ ἄρχοντες, ὐ τοι διὰ ταὐτὸν ὀλίγοι, ἐπεὶ δοκεῖ γε διὰ ταῦτα κ ἀριςοκρατία ὀλιγαρχία εἶναι. μάλιςα δὲ τῦτο συμβα ἀναγκαῖον, ὅταν ᾖ τὸ πλῆθος τῶν πεφρονηματισμένω ὅμοιον κατ' ἀρετήν, οἷον ἐν Λακεδαίμονι οἱ λεγόμενοι Π θενίαι (ἐκ τῶν ὁμοίων γὰρ ἦσαν), ὓς φωράσαντες ἐπι λεύσαντας ἀπέςειλαν Τάραντος οἰκιςάς. ἢ ὅταν τινὲς ἀ μάζωνται μεγάλοι ὄντες καὶ μηθενὸς ἧττους κατ' ἀρ ὑπὸ τινῶν ἐντιμοτέρων, οἷον Λύσανδρος ὑπὸ τῶν βασιλ ἢ ὅταν ἀνδρώδης τις ὢν μὴ μετέχῃ τῶν τιμῶν, οἷον νάδων ὁ τὴν ἐπ' Ἀγησιλάῳ συστήσας ἐπίθεσιν ἐπὶ Σπαρτιάτας. ἔτι ὅταν οἱ μὲν ἀπορῶσι λίαν, οἱ δ' ε ρῶσιν· καὶ μάλιςα ἐν τοῖς πολέμοις τῦτο γίνεται. συ δὲ καὶ τῦτο ἐν Λακεδαίμονι ὑπὸ τὸν Μεσσηνιακὸν π μον. δῆλον δὲ καὶ τῦτο ἐκ τῆς Τυρταίυ ποιήσεως τῆς

1. ὥσπερ ὁ ἱππαρῖνος R^b. ‖ 4. τὴν πρὸς] πρὸς τὸν R^b. ‖ 8. οἱ om V^b. ‖ τούτοις R^bV^b. ‖ κλέπτοντες R^bV^b. ‖ 10. οὐδὲ Parisiensis 1858. ‖ 22. γὰρ ἐγχειρήσουσιν 1858. ‖ 29. συνέβη λαρίσαι R^b. ‖ 30. σάμον codices. ‖ 31. ἑταιρειῶν I^bV^b. ‖ 37. δικ 1858. ‖ ἐγίνετο 1858. ‖ 39. εὐριτίωνος I^bV^b.

3. καὶ om R^b. ‖ 4. δυσχερανόντων R^b. ‖ 6. καὶ post δὲ om R^b. ‖ 13. αὐτὰς om 1858. ‖ 16. ὖν om R^b. ‖ 17. καὶ pa om 1858. ‖ 20. τὰς] τὺς V^b. ‖ 30. φωρέσαντα R^b. ‖ 31. τινὰς ἀτιμάζοντα R^b. ‖ 34. μετίσχῃ V^b. ‖ 38. μεσσηνιακὸν V^b.

ις Εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον
ἀνάδαστον ποιεῖν τὴν χώραν. ἔτι ἐάν τις μέγας ᾖ
ναμενος ἔτι μείζων εἶναι, ἵνα μοναρχῇ, ὥσπερ ἐν
αίμονι δοκεῖ Παυσανίας ὁ στρατηγήσας κατὰ τὸν Μη-
πόλεμον καὶ ἐν Καρχηδόνι Ἄννων. λύονται δὲ μά-
αἵ τε πολιτεῖαι καὶ αἱ ἀριστοκρατίαι διὰ τὴν ἐν αὐτῇ
λιτείᾳ τοῦ δικαίου παρέκβασιν. ἀρχὴ γὰρ τὸ μὴ με-
ι καλῶς ἐν μὲν τῇ πολιτείᾳ δημοκρατίαν καὶ ὀλι-
αν, ἐν δὲ τῇ ἀριστοκρατίᾳ ταῦτά τε καὶ τὴν ἀρετήν,
α δὲ τὰ δύο· λέγω δὲ τὰ δύο δῆμον καὶ ὀλιγαρ-
ταῦτα γὰρ αἱ πολιτεῖαί τε πειρῶνται μιγνύναι καὶ
λαὶ τῶν καλουμένων ἀριστοκρατιῶν. διαφέρουσι γὰρ
ομαζομένων πολιτειῶν αἱ ἀριστοκρατίαι τούτῳ, καὶ
τ' εἰσὶν αἱ μὲν ἧττον αἱ δὲ μᾶλλον μόνιμοι αὐτῶν.
ὰρ ἀποκλινούσας μᾶλλον πρὸς τὴν ὀλιγαρχίαν ἀρι-
τίας καλοῦσιν, τὰς δὲ πρὸς τὸ πλῆθος πολιτείας. διό-
τφαλέστεραι αἱ τοιαῦται τῶν ἑτέρων εἰσίν· κρεῖττόν
ο τὸ πλεῖον, καὶ μᾶλλον ἀγαπῶσιν ἴσον ἔχοντες.
ν ταῖς εὐπορίαις, ἂν ἡ πολιτεία διδῷ τὴν ὑπεροχήν,
ιν ζητοῦσι καὶ πλεονεκτεῖν. ὅλως δ' ἐφ' ὁπότερον ἂν
η ἡ πολιτεία, ἐπὶ ταῦτα μεθίσταται ἑκατέρων τὸ
ιον αὐξανόντων, οἷον ἡ μὲν πολιτεία εἰς δῆμον, ἀρι-
τία δ' εἰς ὀλιγαρχίαν. ἢ εἰς τἀναντία, οἷον ἡ μὲν
ρατία εἰς δῆμον (ὡς ἀδικούμενοι γὰρ περισπῶσιν εἰς
ίον οἱ ἀπορώτεροι), αἱ δὲ πολιτεῖαι εἰς ὀλιγαρχίαν·
γὰρ μόνιμον τὸ κατ' ἀξίαν ἴσον καὶ τὸ ἔχειν τὰ
συνέβη δὲ τὸ εἰρημένον ἐν Θουρίοις· διὰ μὲν γὰρ
ὸ πλείονος τιμήματος εἶναι τὰς ἀρχὰς εἰς ἔλαττον
ι καὶ εἰς ἀρχεῖα πλείω, διὰ δὲ τὸ τὴν χώραν ὅλην
ωρίμους συγκτήσασθαι παρὰ τὸν νόμον· ἡ γὰρ πο-
ὀλιγαρχικωτέρα ἦν, ὥστε ἐδύναντο πλεονεκτεῖν· ὁ δὲ
γυμνασθεὶς ἐν τῷ πολέμῳ τῶν φρουρῶν ἐγένετο κρείτ-
ίως ἀφεῖσαν τῆς χώρας ὅσοι πλείω ἦσαν ἔχοντες.
ὲ τὸ πάσας τὰς ἀριστοκρατικὰς πολιτείας ὀλιγαρχι-
ναι μᾶλλον πλεονεκτοῦσιν οἱ γνώριμοι, οἷον καὶ ἐν
αίμονι εἰς ὀλίγους αἱ οὐσίαι ἔρχονται· καὶ ἔξεστι ποιεῖν
ν θέλωσι τοῖς γνωρίμοις μᾶλλον, καὶ κηδεύειν ὅτῳ
ν. διὸ καὶ ἡ Λοκρῶν πόλις ἀπώλετο ἐκ τῆς πρὸς
ιον κηδείας· ὃ ἐν δημοκρατίᾳ οὐκ ἂν ἐγένετο, οὐδ' ἂν
στοκρατίᾳ εὖ μεμιγμένῃ. μάλιστα δὲ λανθάνουσιν αἱ

ἀριστοκρατίαι μεταβάλλουσαι τῷ λύεσθαι κατὰ μικρόν, ὅπερ εἴρηται ἐν τοῖς πρότερον καθόλου κατὰ πασῶν τῶν πολιτειῶν, ὅτι αἴτιον τῶν μεταβολῶν καὶ τὸ μικρόν ἐστιν· ὅταν γάρ τι προῶνται τῶν πρὸς τὴν πολιτείαν, μετὰ τοῦτο καὶ ἄλλο μικρῷ μεῖζον εὐχερέστερον κινοῦσιν, ἕως ἂν πάντα κινήσωσι τὸν κόσμον. συνέβη δὲ τοῦτο καὶ ἐπὶ τῆς Θουρίων πολιτείας. νόμου γὰρ ὄντος διὰ πέντε ἐτῶν στρατηγεῖν, γενόμενοί τινες πολεμικοὶ τῶν νεωτέρων καὶ παρὰ τῷ πλήθει τῶν φρουρῶν εὐδοκιμοῦντες, καταφρονήσαντες τῶν ἐν τοῖς πράγμασι καὶ νομίζοντες ῥᾳδίως κατασχήσειν, τοῦτον τὸν νόμον λύειν ἐπεχείρησαν πρῶτον, ὥστ' ἐξεῖναι τοὺς αὐτοὺς συνεχῶς στρατηγεῖν, ὁρῶντες τὸν δῆμον αὐτοὺς χειροτονήσοντα προθύμως. οἱ δ' ἐπὶ τούτῳ τεταγμένοι τῶν ἀρχόντων, οἱ καλούμενοι σύμβουλοι, ὁρμήσαντες τὸ πρῶτον ἐναντιοῦσθαι συνεπείσθησαν, ὑπολαμβάνοντες τοῦτον κινήσαντας τὸν νόμον ἐάσειν τὴν ἄλλην πολιτείαν, ὕστερον δὲ βουλόμενοι κωλύειν ἄλλων κινουμένων οὐκέτι πλέον ἐποίουν οὐθέν, ἀλλὰ μετέβαλεν ἡ τάξις πᾶσα τῆς πολιτείας εἰς δυναστείαν τῶν ἐπιχειρησάντων νεωτερίζειν. πᾶσαι δ' αἱ πολιτεῖαι λύονται ὁτὲ μὲν ἐξ αὑτῶν ὁτὲ δ' ἔξωθεν, ὅταν ἐναντία πολιτεία ᾖ ἢ πλησίον ἢ πόρρω μὲν ἔχουσα δὲ δύναμιν. ὅπερ συνέβαινεν ἐπ' Ἀθηναίων καὶ Λακεδαιμονίων· οἱ μὲν γὰρ Ἀθηναῖοι πανταχοῦ τὰς ὀλιγαρχίας, οἱ δὲ Λάκωνες τοὺς δήμους κατέλυον. ὅθεν μὲν οὖν αἱ μεταβολαὶ γίγνονται τῶν πολιτειῶν καὶ αἱ στάσεις, εἴρηται σχεδόν.

Περὶ δὲ σωτηρίας καὶ κοινῇ καὶ χωρὶς ἑκάστης πολι- 8
τείας ἐχόμενόν ἐστιν εἰπεῖν. πρῶτον μὲν οὖν δῆλον ὅτι, εἴπερ ἔχομεν δι' ὧν φθείρονται αἱ πολιτεῖαι, ἔχομεν καὶ δι' ὧν σῴζονται· τῶν γὰρ ἐναντίων τἀναντία ποιητικά, φθορὰ δὲ σωτηρίᾳ ἐναντίον. ἐν μὲν οὖν ταῖς εὖ κεκραμέναις πολιτείαις, ὥσπερ ἄλλο τι δεῖ τηρεῖν ὅπως μηθὲν παρανομῶσι, καὶ μάλιστα τὸ μικρὸν φυλάττειν· λανθάνει γὰρ ἐπεισδύουσα ἡ παράβασις, ὥσπερ τὰς οὐσίας αἱ μικραὶ δαπάναι δαπανῶσι πολλάκις γινόμεναι. λανθάνει δὲ ἡ μετάβασις διὰ τὸ μὴ ἀθρόα γίγνεσθαι· παραλογίζεται γὰρ ἡ διάνοια ὑπ' αὐτῶν, ὥσπερ ὁ σοφιστικὸς λόγος· εἰ ἕκαστον μικρόν, καὶ πάντα. τοῦτο δ' ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ· τὸ γὰρ ὅλον καὶ τὰ πάντα οὐ μικρόν, ἀλλὰ σύγκειται ἐκ μικρῶν. μίαν μὲν οὖν φυλακὴν πρὸς ταύτην τὴν ἀρχὴν δεῖ ποιεῖσθαι, ἔπειτα μὴ πιστεύειν τοῖς σοφίσματος χάριν

ἀνάδυτον V^b. ‖ ἔτι et 6. αἱ et 7. τῇ om R^b. ‖ 10. μάλιστα δὲ] μάλιστα δὲ καὶ I^b. ‖ 12. ἀριστοκρατειῶν V^b. ‖ 18. καὶ] καὶ
. ‖ ἴσον] ἧττον R^b, om I^b. ‖ 26. μόνον] μόνιμον V^b. ‖ 33. τὴν χώραν I^bV^b. ‖ 37. τοῖς — 38. θέλωσιν om R^b. ‖ 40. εὖ] ἢ V^b.
μικρῶν R^b. ‖ 6. δὲ] καὶ R^b. ‖ θουρείων R^b. ‖ 8. τινες] δέ τινες R^b. ‖ παρὰ om R^b. ‖ 15. κινήσαντες V^b. ‖ 18. μετέβαλλον
‖ 32. ἐπεισδύουσα — 34. μετάβασις] ἡ δαπάνη $I^bR^bV^b$.

πρὸς τὸ πλῆθος συγκειμένοις· ἐξελέγχεται γὰρ ὑπὸ τῶν ἔργων. ποῖα δὲ λέγομεν τῶν πολιτειῶν σοφίσματα, πρότερον εἴρηται. ἔτι δ' ὁρᾶν ὅτι ἔνιαι μένουσιν οὐ μόνον ἀριστοκρατίαι ἀλλὰ καὶ ὀλιγαρχίαι οὐ διὰ τὸ ἀσφαλεῖς εἶναι τὰς πολιτείας, ἀλλὰ διὰ τὸ εὖ χρῆσθαι τοὺς ἐν ταῖς ἀρχαῖς γινομένους καὶ τοῖς ἔξω τῆς πολιτείας καὶ τοῖς ἐν τῷ πολιτεύματι, τοὺς μὲν μὴ μετέχοντας τῷ μὴ ἀδικεῖν καὶ τῷ τοὺς ἡγεμονικοὺς αὐτῶν εἰσάγειν εἰς τὴν πολιτείαν, καὶ τοὺς μὲν φιλοτίμους μὴ ἀδικεῖν εἰς ἀτιμίαν τοὺς δὲ πολλοὺς εἰς κέρδος, πρὸς αὑτοὺς δὲ καὶ τοὺς μετέχοντας τῷ χρῆσθαι ἀλλήλοις δημοτικῶς. ὃ γὰρ ἐπὶ τοῦ πλήθους ζητοῦσιν οἱ δημοτικοὶ τὸ ἴσον, τοῦτ' ἐπὶ τῶν ὁμοίων οὐ μόνον δίκαιον ἀλλὰ καὶ συμφέρον ἐστίν. διὸ ἐὰν πλείους ὦσιν ἐν τῷ πολιτεύματι, πολλὰ συμφέρει τῶν δημοτικῶν νομοθετημάτων, οἷον τὸ ἑξαμήνους τὰς ἀρχὰς εἶναι, ἵνα πάντες οἱ ὅμοιοι μετέχωσιν· ἔστι γὰρ ὥσπερ δῆμος ἤδη οἱ ὅμοιοι, διὸ καὶ ἐν τούτοις ἐγγίγνονται δημαγωγοὶ πολλάκις, ὥσπερ εἴρηται πρότερον. ἔπειθ' ἧττον εἰς δυναστείας ἐμπίπτουσιν αἱ ὀλιγαρχίαι καὶ ἀριστοκρατίαι. οὐ γὰρ ὁμοίως ῥᾴδιον κακουργῆσαι ὀλίγον χρόνον ἄρχοντας καὶ πολύν, ἐπεὶ διὰ τοῦτο ἐν ταῖς ὀλιγαρχίαις καὶ δημοκρατίαις γίγνονται τυραννίδες· ἢ γὰρ οἱ μέγιστοι ἐν ἑκατέρᾳ ἐπιτίθενται τυραννίδι, ἔνθα μὲν οἱ δημαγωγοὶ ἔνθα δ' οἱ δυνάσται, ἢ οἱ τὰς μεγίστας ἔχοντες ἀρχάς, ὅταν πολὺν χρόνον ἄρχωσιν. σώζονται δ' αἱ πολιτεῖαι οὐ μόνον διὰ τὸ πόρρω εἶναι τῶν διαφθειρόντων, ἀλλ' ἐνίοτε καὶ διὰ τὸ ἐγγύς· φοβούμενοι γὰρ διὰ χειρῶν ἔχουσι μᾶλλον τὴν πολιτείαν, ὥστε δεῖ τοὺς τῆς πολιτείας φροντίζοντας φόβους παρασκευάζειν, ἵνα φυλάττωσι καὶ μὴ καταλύωσιν ὥσπερ νυκτερινὴν φυλακὴν τὴν τῆς πολιτείας τήρησιν, καὶ τὸ πόρρω ἐγγὺς ποιεῖν. ἔτι τὰς τῶν γνωρίμων φιλονεικίας καὶ στάσεις καὶ διὰ τῶν νόμων πειρᾶσθαι δεῖ φυλάττειν, καὶ τοὺς ἔξω τῆς φιλονεικίας ὄντας, πρὶν παρειληφέναι καὶ αὐτούς, ὡς τὸ ἐν ἀρχῇ γινόμενον κακὸν γνῶναι οὐ τοῦ τυχόντος ἀλλὰ πολιτικοῦ ἀνδρός. πρὸς δὲ τὴν διὰ τὰ τιμήματα γιγνομένην μεταβολὴν ἐξ ὀλιγαρχίας καὶ πολιτείας, ὅταν συμβαίνῃ τοῦτο μενόντων μὲν τῶν αὐτῶν τιμημάτων εὐπορίας δὲ νομίσματος γιγνομένης, συμφέρει τοῦ τιμήματος ἐπισκοπεῖν τοῦ κοινοῦ τὸ πλῆθος πρὸς τὸ παρελθὸν [κατὰ τοῦτον τὸν χρόνον], ἐν ὅσαις μὲν πόλεσι τιμῶνται κατ' ἐνιαυτόν,

ἐν δὲ ταῖς μείζοσι διὰ τριετηρίδος ἢ πενταετηρ
πολλαπλάσιον ἢ πολλοστημόριον τοῦ πρότερον,
μήσεις κατέστησαν τῆς πολιτείας, νόμον εἶναι κ
ματα ἐπιτείνειν ἢ ἀνιέναι, ἐὰν μὲν ὑπερβάλλ
τας κατὰ τὴν πολλαπλασίωσιν, ἐὰν δ' ἐλλείπ
καὶ ἐλάττω ποιοῦντας τὴν τίμησιν. ἐν μὲν γὰ
γαρχίαις καὶ ταῖς πολιτείαις μὴ ποιούντων μὲ
μὲν ὀλιγαρχίαν ἔνθα δὲ δυναστείαν γίγνεσθαι
ἐκείνως δὲ ἐκ μὲν πολιτείας δημοκρατίαν, ἐκ
χίας πολιτείαν ἢ δῆμον. κοινὸν δὲ καὶ ἐν δή
γαρχίᾳ [καὶ μοναρχίᾳ] καὶ πάσῃ πολιτείᾳ μ
λίαν μηθένα παρὰ τὴν συμμετρίαν, ἀλλὰ μ
ρᾶσθαι μικρὰς καὶ πολυχρονίους διδόναι τιμ
μεγάλας (διαφθείρονται γάρ, καὶ φέρειν οὐ πα
εὐτυχίαν), εἰ δὲ μή, μή τοί γ' ἀθρόας δόντας
πάλιν ἀθρόας, ἀλλ' ἐκ προσαγωγῆς· καὶ μ
πειρᾶσθαι τοῖς νόμοις οὕτως ἄγειν ὥστε μηθένα
πολὺ ὑπερέχοντα δυνάμει μήτε φίλων μήτε
εἰ δὲ μή, ἀποδημητικὰς ποιεῖσθαι τὰς παραστά
ἐπεὶ δὲ καὶ διὰ τοὺς ἰδίους βίους νεωτερίζουσιν,
ἀρχήν τινα τὴν ἐποψομένην τοὺς ζῶντας ἀσυμ
τὴν πολιτείαν, ἐν μὲν δημοκρατίᾳ πρὸς τὴν δ
ἐν δὲ ὀλιγαρχίᾳ πρὸς τὴν ὀλιγαρχίαν· ὁμοίως
ἄλλων πολιτειῶν ἑκάστῃ. καὶ τὸ εὐημεροῦν δὲ
ἀνὰ μέρος φυλάττεσθαι διὰ τὰς αὐτὰς αἰτίας.
ἄκος τὸ αἰεὶ τοῖς ἀντικειμένοις μορίοις ἐγχει
πράξεις καὶ τὰς ἀρχάς· λέγω δ' ἀντικεῖσθαι
κεῖς τῷ πλήθει καὶ τοὺς ἀπόρους τοῖς εὐπόροις. κ
ρᾶσθαι ἢ συμμιγνύναι τὸ τῶν ἀπόρων πλῆθος κ
εὐπόρων, ἢ τὸ μέσον αὔξειν· τοῦτο γὰρ διαλύ
τὴν ἀνισότητα στάσεις. μέγιστον δὲ ἐν πάσῃ πο
καὶ τοῖς νόμοις καὶ τῇ ἄλλῃ οἰκονομίᾳ οὕτω τετάχ
μὴ εἶναι τὰς ἀρχὰς κερδαίνειν. τοῦτο δὲ μάλιστ
ὀλιγαρχικαῖς δεῖ τηρεῖν. οὐ γὰρ οὕτως ἀγανακτοῦ
μενοι τοῦ ἄρχειν οἱ πολλοί, ἀλλὰ καὶ χαίρουσ
ἐᾷ πρὸς τοῖς ἰδίοις σχολάζειν, ὡς ἐὰν οἴωνται
κλέπτειν τοὺς ἄρχοντας· τότε δ' ἀμφότερα λυπε
τῶν τιμῶν μὴ μετέχειν καὶ τὸ τῶν κερδῶν. μον
καὶ ἐνδέχεται ἅμα εἶναι δημοκρατίαν καὶ ἀριστ
εἰ τοῦτο κατασκευάσειέ τις· ἐνδέχοιτο γὰρ ἂν κ

3. ἐστι I^b. ‖ 5. τὰς] τῆς V^b. ‖ 7. μὲν om R^b. ‖ 26. φθειρόντων R^b. ‖ 33. περιληφέναι V^b. ‖ 35. διὰ τιμήματα V^b. τῶν om V^b. ‖ 39. κατὰ τοῦτον τὸν χρόνον post 40. ἐνιαυτόν vetus interpres.

10. ὀλιγαρχίαν R^b. ‖ 11. καὶ μοναρχίᾳ om $I^bR^bV^b$. ‖ 15. τι $I^bR^bV^b$. ‖ 16. καὶ om $I^bR^bV^b$. ‖ 19. ἀποδημοτικὰς V^b. εὖκος V^b. ‖ 31. τὸ καὶ] καὶ τὸ I^b.

καὶ τὸ πλῆθος ἔχειν ἃ βούλονται ἀμφοτέρους. ὰρ ἐξεῖναι πᾶσιν ἄρχειν δημοκρατικόν, τὸ δὲ τὺς εἶναι ἐν ταῖς ἀρχαῖς ἀριστοκρατικόν. τοῦτο δ' μὴ ᾖ κερδαίνειν ἀπὸ τῶν ἀρχῶν. οἱ γὰρ ἄπο- ήσονται ἄρχειν τῷ μηδὲν κερδαίνειν, ἀλλὰ πρὸς εἶναι μᾶλλον· οἱ δ' εὔποροι δυνήσονται διὰ τὸ σδεῖσθαι τῶν κοινῶν, ὥςε συμβήσεται τοῖς μὲν ίγνεσθαι εὐπόροις διὰ τὸ διατρίβειν πρὸς τοῖς ῖς δὲ γνωρίμοις μὴ ἄρχεσθαι ὑπὸ τῶν τυχόντων. μὴ κλέπτεσθαι τὰ κοινὰ ἡ παράδοσις γιγνέσθω ιάτων παρόντων πάντων τῶν πολιτῶν, καὶ ἀντί- ιτὰ φρατρίας καὶ λόχυς καὶ φυλὰς τιθέσθωσαν· κερδῶς ἄρχειν τιμὰς εἶναι δεῖ νενομοθετημένας ιμοῦσιν. δεῖ δ' ἐν μὲν ταῖς δημοκρατίαις τῶν φείδεσθαι, μὴ μόνον τὰς κτήσεις μὴ ποιεῖν ἀνα- λὰ μηδὲ τὺς καρπύς, ὃ ἐν ἐνίαις τῶν πολιτειῶν γιγνόμενον· βέλτιον δὲ καὶ βουλομένυς κωλύειν τὰς δαπανηρὰς μὲν μὴ χρησίμυς δὲ λειτυργίας, γίας καὶ λαμπαδαρχίας καὶ ὅσαι ἄλλαι τοιαῦ- ' ὀλιγαρχίᾳ τῶν ἀπόρων ἐπιμέλειαν ποιεῖσθαι ιαὶ τὰς ἀρχὰς ἀφ' ὧν λήμματα τύτοις ἀπονέ- τις ὑβρίσῃ τῶν εὐπόρων εἰς τούτους, μείζω τὰ ἶναι ἢ ἂν σφῶν αὐτῶν, καὶ τὰς κληρονομίας μὴ ν εἶναι ἀλλὰ κατὰ γένος, μηδὲ πλειόνων ἢ μιᾶς κληρονομεῖν· ὕτω γὰρ ἂν ὁμαλώτεραι αἱ ὑσίαι τῶν ἀπόρων εἰς εὐπορίαν ἂν καθίςαιντο πλείους. δὲ καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ τῶν ἰσότητα ἢ προεδρίαν νέμειν τοῖς ἧττον κοινωνῦσι είας, ἐν μὲν δήμῳ τοῖς εὐπόροις, ἐν δ' ὀλιγαρ- ἀπόροις, πλὴν ὅσαι ἀρχαὶ κύριαι τῆς πολιτείας· ὲ τοῖς ἐκ τῆς πολιτείας ἐγχειρίζειν μόνοις ἢ

δέ τινα χρὴ ἔχειν τοὺς μέλλοντας ἄρξειν τὰς χάς, πρῶτον μὲν φιλίαν πρὸς τὴν καθεστῶσαν ἔπειτα δύναμιν μεγίςην τῶν ἔργων τῆς ἀρχῆς, ἀρετὴν καὶ δικαιοσύνην ἐν ἑκάστῃ πολιτείᾳ τὴν πολιτείαν· εἰ γὰρ μὴ ταὐτὸν τὸ δίκαιον κατὰ ς πολιτείας, ἀνάγκη καὶ τῆς δικαιοσύνης εἶναι ἔχει δ' ἀπορίαν, ὅταν μὴ συμβαίνῃ ταῦτα ρὶ τὸν αὐτόν, πῶς χρὴ ποιεῖσθαι τὴν διαίρεσιν· οἷον εἰ ςρατηγικὸς μέν τις εἴη, πονηρὸς δὲ καὶ μὴ τῇ πολιτείᾳ φίλος, ὁ δὲ δίκαιος καὶ φίλος, πῶς δεῖ ποιεῖσθαι τὴν αἵρεσιν; ἔοικε δὲ δεῖν βλέπειν εἰς δύο, τίνος πλεῖον μετέχυσι πάντες καὶ τίνος ἔλαττον. διὸ ἐν ςρατηγίᾳ μὲν εἰς τὴν ἐμπειρίαν μᾶλλον τῆς ἀρετῆς· ἔλαττον γὰρ ςρατηγίας μετέχυσι, τῆς δ' ἐπιεικείας πλεῖον· ἐν δὲ φυλακῇ καὶ ταμιείᾳ τἀναντία· πλείονος γὰρ ἀρετῆς δεῖται ἢ ὅσην οἱ πολλοὶ ἔχουσιν, ἡ δὲ ἐπιςήμη κοινὴ πᾶσιν. ἀπορήσειε δ' ἄν τις κἂν δύναμις ὑπάρχῃ τῆς πολιτείας καὶ φιλία, τί δεῖ τῆς ἀρετῆς; ποιήσει γὰρ τὰ συμφέροντα καὶ τὰ δύο. ἢ ὅτι ἐνδέχεται τὺς τὰ δύο ταῦτα ἔχοντας ἀκρατεῖς εἶναι, ὥςε καθάπερ καὶ αὑτοῖς οὐχ ὑπηρετῦσιν εἰδότες καὶ φιλῦντες αὑτύς, ὕτω καὶ πρὸς τὸ κοινὸν οὐθὲν κωλύει ἔχειν ἐνίους. ἁπλῶς δέ, ὅσα ἐν τοῖς νόμοις ὡς συμφέροντα λέγομεν ταῖς πολιτείαις, ἅπαντα ταῦτα σώζει τὰς πολιτείας. καὶ τὸ πολλάκις εἰρημένον μέγιστον στοιχεῖον, τὸ τηρεῖν ὅπως κρεῖττον ἔςαι τὸ βυλόμενον τὴν πολιτείαν πλῆθος τῦ μὴ βουλομένυ. παρὰ πάντα δὲ ταῦτα δεῖ μὴ λανθάνειν, ὃ νῦν λανθάνει τὰς παρεκβεβηκυίας πολιτείας, τὸ μέσον· πολλὰ γὰρ τῶν δοκούντων δημοτικῶν λύει τὰς δημοκρατίας καὶ τῶν ὀλιγαρχικῶν τὰς ὀλιγαρχίας. οἱ δ' οἰόμενοι ταύτην εἶναι μίαν ἀρετὴν ἕλκουσιν εἰς τὴν ὑπερβολήν, ἀγνοοῦντες ὅτι καθάπερ ῥίς ἐστι παρεκβεβηκυῖα μὲν τὴν εὐθύτητα τὴν καλλίςην πρὸς τὸ γρυπὸν ἢ τὸ σιμόν, ἀλλ' ὅμως ἔτι καλὴ καὶ χάριν ἔχυσα πρὸς τὴν ὄψιν, οὐ μὴν ἀλλ' ἐὰν ἐπιτείνῃ τις ἔτι μᾶλλον εἰς τὴν ὑπερβολήν, πρῶτον μὲν ἀποβαλεῖ τὴν μετριότητα τῦ μορίυ, τέλος δ' ὕτως ὥστε μηδὲ ῥῖνα ποιήσει φαίνεσθαι διὰ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν τῶν ἐναντίων· τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ τῶν ἄλλων μορίων. συμβαίνει δὴ τῦτο καὶ περὶ τὰς ἄλλας πολιτείας. καὶ γὰρ ὀλιγαρχίαν καὶ δημοκρατίαν ἔστιν ὥστ' ἔχειν ἱκανῶς, καίπερ ἐξεστηκυίας τῆς βελτίςης τάξεως· ἐὰν δέ τις ἐπιτείνῃ μᾶλλον ἑκατέραν αὐτῶν, πρῶτον μὲν χείρω ποιήσει τὴν πολιτείαν, τέλος δ' οὐδὲ πολιτείαν. διὸ δεῖ τῦτο μὴ ἀγνοεῖν τὸν νομοθέτην καὶ τὸν πολιτικόν, ποῖα σώζει τῶν δημοτικῶν καὶ ποῖα φθείρει τὴν δημοκρατίαν, καὶ ποῖα τῶν ὀλιγαρχικῶν τὴν ὀλιγαρχίαν. οὐδετέραν μὲν γὰρ ἐνδέχεται αὐτῶν εἶναι καὶ διαμένειν ἄνευ τῶν εὐπόρων καὶ τοῦ πλήθους, ἀλλ' ὅταν ὁμαλότης γένηται τῆς ὑσίας, ἄλλην ἀνάγκη εἶναι ταύτην τὴν πολι-

οὐ R^{b}. ‖ 7. μηδενὸς $R^{b}V^{b}$. ‖ 8. τὸ] τὸ μὴ R^{b}. ‖ τρίβειν V^{b}. ‖ 11. πάντων παρόντων R^{b}. ‖ 12. φατρίας καὶ λόγυς $I^{b}V^{b}$. ‖ χίας R^{b}. ‖ 31. ταύτας — πολιτείας om I^{b}.

λ
m R^{b}. ‖ 4. ςρατηγίᾳ μᾶλλον εἰς τὴν ἐμπειρίαν I^{b}. ‖ 10. καὶ τὰ] κατὰ codices. ‖ 13. κωλύειν V^{b}. ‖ 14. ἐνίοις codices. ‖ 27. ἀποβάλει η V^{b}, ὑπερβαλεῖ R^{b}. ‖ 30. δεῖ R^{b}. ‖ 33. ἐπιτείνῃ om R^{b}. ‖ 36. τὸν δημοτικὸν V^{b}. ‖ 37. ποῖαι I^{b}. ‖ ὀλιγαρχιῶν R^{b} et pr V^{b}.

τείαν, ὥστε φθείροντες τοῖς καθ' ὑπεροχὴν νόμοις φθείρουσι τὰς πολιτείας. ἁμαρτάνουσι δὲ καὶ ἐν ταῖς δημοκρατίαις καὶ ἐν ταῖς ὀλιγαρχίαις, ἐν μὲν ταῖς δημοκρατίαις οἱ δημαγωγοί, ὅπου τὸ πλῆθος κύριον τῶν νόμων· δύο γὰρ ποιοῦσιν ἀεὶ τὴν πόλιν, μαχόμενοι τοῖς εὐπόροις, δεῖ δὲ τοὐναντίον αἰεὶ δοκεῖν λέγειν ὑπὲρ εὐπόρων, ἐν δὲ ταῖς ὀλιγαρχίαις ὑπὲρ τοῦ δήμου τοὺς ὀλιγαρχικούς, καὶ τοὺς ὅρκους ἐναντίους ἢ νῦν ὀμνύναι τοὺς ὀλιγαρχικούς. νῦν μὲν γὰρ ἐν ἐνίαις ὀμνύουσι "καὶ τῷ δήμῳ κακόνους ἔσομαι καὶ βουλεύσω ὅ τι ἂν ἔχω κακόν·" χρὴ δὲ καὶ ὑπολαμβάνειν καὶ ὑποκρίνεσθαι τοὐναντίον, ἐπισημαινομένους ἐν τοῖς ὅρκοις ὅτι "οὐκ ἀδικήσω τὸν δῆμον." μέγιστον δὲ πάντων τῶν εἰρημένων πρὸς τὸ διαμένειν τὰς πολιτείας, οὗ νῦν ὀλιγωροῦσι πάντες, τὸ παιδεύεσθαι πρὸς τὰς πολιτείας. ὄφελος γὰρ οὐθὲν τῶν ὠφελιμωτάτων νόμων καὶ συνδεδοξασμένων ὑπὸ πάντων τῶν πολιτευομένων, εἰ μὴ ἔσονται εἰθισμένοι καὶ πεπαιδευμένοι ἐν τῇ πολιτείᾳ, εἰ μὲν οἱ νόμοι δημοτικοί, δημοτικῶς, εἰ δ' ὀλιγαρχικοί, ὀλιγαρχικῶς. εἴπερ γάρ ἐστιν ἐφ' ἑνὸς ἀκρασία, ἔστι καὶ ἐπὶ πόλεως. ἔστι δὲ τὸ πεπαιδεῦσθαι πρὸς τὴν πολιτείαν οὐ τοῦτο, τὸ ποιεῖν οἷς χαίρουσιν οἱ ὀλιγαρχοῦντες ἢ οἱ δημοκρατίαν βουλόμενοι, ἀλλ' οἷς δυνήσονται οἱ μὲν ὀλιγαρχεῖν οἱ δὲ δημοκρατεῖσθαι. νῦν δ' ἐν μὲν ταῖς ὀλιγαρχίαις οἱ τῶν ἀρχόντων υἱοὶ τρυφῶσιν, οἱ δὲ τῶν ἀπόρων γίγνονται γεγυμνασμένοι καὶ πεπονηκότες, ὥστε καὶ βούλονται μᾶλλον καὶ δύνανται νεωτερίζειν. ἐν δὲ ταῖς δημοκρατίαις ταῖς μάλιστα εἶναι δοκούσαις δημοκρατικαῖς τοὐναντίον τοῦ συμφέροντος καθέστηκεν. αἴτιον δὲ τούτου ὅτι κακῶς ὁρίζονται τὸ ἐλεύθερον. δύο γάρ ἐστιν οἷς ἡ δημοκρατία δοκεῖ ὡρίσθαι, τῷ τὸ πλεῖον εἶναι κύριον καὶ τῇ ἐλευθερίᾳ. τὸ μὲν γὰρ δίκαιον ἴσον δοκεῖ εἶναι, ἴσον δ' ὅ τι ἂν δόξῃ τῷ πλήθει, τοῦτ' εἶναι κύριον, ἐλεύθερον δὲ καὶ ἴσον τὸ ὅ τι ἂν βούληταί τις ποιεῖν. ὥστε ζῇ ἐν ταῖς τοιαύταις δημοκρατίαις ἕκαστος ὡς βούλεται, καὶ εἰς ὃ χρῄζων, ὡς φησὶν Εὐριπίδης. τοῦτο δ' ἐστὶ φαῦλον· οὐ γὰρ δεῖ οἴεσθαι δουλείαν εἶναι τὸ ζῆν πρὸς τὴν πολιτείαν, ἀλλὰ σωτηρίαν. ἐξ ὧν μὲν οὖν αἱ πολιτεῖαι μεταβάλλουσι καὶ φθείρονται, καὶ διὰ τίνων σώζονται καὶ διαμένουσιν, ὡς ἁπλῶς εἰπεῖν τοσαῦτά ἐστιν.

10 Λείπεται δ' ἐπελθεῖν καὶ περὶ μοναρχίας, ἐξ ὧν τε φθείρεται καὶ δι' ὧν σώζεσθαι πέφυκεν. σχεδὸν δὲ παραπλήσια τοῖς εἰρημένοις περὶ τὰς πολιτείας ἐστὶ καὶ βαίνοντα περὶ τὰς βασιλείας καὶ τὰς τυραννίδας γὰρ βασιλεία κατὰ τὴν ἀριστοκρατίαν ἐστίν, ἡ δὲ ἐξ ὀλιγαρχίας τῆς ὑστάτης σύγκειται καὶ δημ διὸ δὴ καὶ βλαβερωτάτη τοῖς ἀρχομένοις ἐστίν, ἅτ συγκειμένη κακῶν καὶ τὰς παρεκβάσεις καὶ τ τίας ἔχουσα τὰς παρ' ἀμφοτέρων τῶν πολιτειῶν. δ' ἡ γένεσις εὐθὺς ἐξ ἐναντίων ἑκατέρᾳ τῶν μο ἡ μὲν γὰρ βασιλεία πρὸς βοήθειαν τὴν ἀπὸ τοῦ ἐπιεικέσι γέγονεν, καὶ καθίσταται βασιλεὺς ἐκ τῶν καθ' ὑπεροχὴν ἀρετῆς ἢ πράξεων τῶν ἀπὸ τῆς καθ' ὑπεροχὴν τοιούτου γένους, ὁ δὲ τύραννος ἐκ τοῦ τοῦ πλήθους ἐπὶ τοὺς γνωρίμους, ὅπως ὁ δῆμος ἀδικ θὲν ὑπ' αὐτῶν. φανερὸν δ' ἐκ τῶν συμβεβηκότων γὰρ οἱ πλεῖστοι τῶν τυράννων γεγόνασιν ἐκ δημ ὡς εἰπεῖν, πιστευθέντες ἐκ τοῦ διαβάλλειν τοὺς γνωρ μὲν γὰρ τοῦτον τὸν τρόπον κατέστησαν τῶν τυραννί τῶν πόλεων ηὐξημένων, αἱ δὲ πρὸ τούτων ἔκ τε τ λέων παρεκβαινόντων τὰ πάτρια καὶ δεσποτικωτέρ ὀρεγομένων, αἱ δ' ἐκ τῶν αἱρετῶν ἐπὶ τὰς κυρίας (τὸ γὰρ ἀρχαῖον οἱ δῆμοι καθίστασαν πολυχρον δημιουργίας καὶ τὰς θεωρίας), αἱ δ' ἐκ τῶν ὀλ αἱρουμένων ἕνα τινὰ κύριον ἐπὶ τὰς μεγίστας ἀρχά γὰρ ὑπῆρχε τοῖς τρόποις τούτοις τὸ κατεργάζεσθαι εἰ μόνον βουληθεῖεν, διὰ τὸ δύναμιν προϋπάρχειν π βασιλικῆς ἀρχῆς, τοῖς δὲ τὴν τῆς τιμῆς, οἷον Φεί περὶ Ἄργος καὶ ἕτεροι τύραννοι κατέστησαν βασ ὑπαρχούσης, οἱ δὲ περὶ τὴν Ἰωνίαν καὶ Φάλαρις ἐ τιμῶν, Παναίτιος δ' ἐν Λεοντίνοις καὶ Κύψελος ἐν Κ καὶ Πεισίστρατος Ἀθήνησι καὶ Διονύσιος ἐν Συρα καὶ ἕτεροι τὸν αὐτὸν τρόπον ἐκ δημαγωγίας. καθά εἴπομεν, ἡ βασιλεία τέτακται κατὰ τὴν ἀριστοκ κατ' ἀξίαν γάρ ἐστιν, ἢ κατ' ἰδίαν ἀρετὴν ἢ κατὰ ἢ κατ' εὐεργεσίας, ἢ κατὰ ταῦτά τε καὶ δύναμιν. τες γὰρ εὐεργετήσαντες ἢ δυνάμενοι τὰς πόλεις ἢ εὐεργετεῖν ἐτύγχανον τῆς τιμῆς ταύτης, οἱ μὲν κα λεμον κωλύσαντες δουλεύειν, ὥσπερ Κόδρος, οἱ δ' ἐ ρώσαντες, ὥσπερ Κῦρος, ἢ κτίσαντες ἢ κτησάμενοι ὥσπερ οἱ Λακεδαιμονίων βασιλεῖς καὶ Μακεδόν Μολοττῶν. βούλεται δ' ὁ βασιλεὺς εἶναι φύλαξ, ἵ

6. δοκεῖ $R^b V^b$. ‖ 10. καὶ post δὲ om R^b. ‖ 13. ὀλιγωροῦν R^b. ‖ 28. καλῶς R^b. ‖ 29. ὡρίζεσθαι V^b. ‖ 32. ὡς V^b. ‖ 33 R^b. ‖ 34. δεῖ] δὴ R^b.

1. τὰς] τῆς R^b. ‖ 5. δυεῖν I^b. ‖ 15. δημαγωγοῦ I^b. ‖ 17. τυράννων R^b. ‖ 19. ἀρχὰς V^b. ‖ 27. ἄρχος R^b. ‖ 29. ἐν δ' ἐν Κορίνθῳ R^b. ‖ 37. κέδρος $I^b V^b$.

κτημένοι τὰς οὐσίας μηθὲν ἄδικον πάσχωσιν, ὁ δὲ
μὴ ὑβρίζηται μηθέν. ἡ δὲ τυραννίς, ὥσπερ εἴρηται
κις, πρὸς οὐδὲν ἀποβλέπει κοινόν, εἰ μὴ τῆς ἰδίας
ίας χάριν. ἔστι δὲ σκοπὸς τυραννικὸς μὲν τὸ ἡδύ,
κὸς δὲ τὸ καλόν. διὸ καὶ τῶν πλεονεκτημάτων τὰ
ήματα τυραννικά, τὰ δ' εἰς τιμὴν βασιλικὰ μᾶλ-
ιαὶ φυλακὴ βασιλικὴ μὲν πολιτική, τυραννικὴ δὲ
νων. ὅτι δ' ἡ τυραννὶς ἔχει κακὰ καὶ τὰ τῆς δη-
ίας καὶ τὰ τῆς ὀλιγαρχίας, φανερόν, ἐκ μὲν ὀλι-
ις τὸ τὸ τέλος εἶναι πλȣ̃τον (οὕτω γὰρ καὶ διαμέ-
αγκαῖον μόνως τήν τε φυλακὴν καὶ τὴν τρυφήν)
τῷ πλήθει μηδὲν πιςεύειν, διὸ καὶ τὴν παραίρεσιν
ι τῶν ὅπλων· καὶ τὸ κακοῦν τὸν ὄχλον καὶ τὸ ἐκ
ιος ἀπελαύνειν καὶ διοικίζειν ἀμφοτέρων κοινόν, καὶ
ιγαρχίας καὶ τῆς τυραννίδος. ἐκ δημοκρατίας δὲ τὸ
εῖν τοῖς γνωρίμοις καὶ διαφθείρειν λάθρᾳ καὶ φα-
καὶ φυγαδεύειν ὡς ἀντιτέχνȣς καὶ πρὸς τὴν ἀρχὴν
ους· ἐκ γὰρ τούτων συμβαίνει γίγνεσθαι καὶ τὰς
ας, τῶν μὲν ἄρχειν αὐτῶν βȣλομένων, τῶν δὲ μὴ
ιν. ὅθεν καὶ τὸ Περιάνδρȣ πρὸς Θρασύβȣλον συμ-
ιά ἐςιν, ἡ τῶν ὑπερεχόντων σταχύων κόλουσις, ὡς
εἰ τȣ̀ς ὑπερέχοντας τῶν πολιτῶν ἀναιρεῖν. καθάπερ
εδὸν ἐλέχθη, τὰς αὐτὰς ἀρχὰς δεῖ νομίζειν περί τε
ολιτείας εἶναι τῶν μεταβολῶν καὶ περὶ τὰς μοναρ-
διά τε γὰρ ἀδικίαν καὶ διὰ φοβον καὶ διὰ κατα-
ιν ἐπιτίθενται πολλοὶ τῶν ἀρχομένων ταῖς μοναρ-
τῆς δὲ ἀδικίας μάλιςα δι' ὕβριν, ἐνίοτε δὲ καὶ διὰ
ιν ἰδίων ςέρησιν. ἔςι δὲ καὶ τὰ τέλη ταὐτά, καθά-
ικεῖ, καὶ περὶ τὰς τυραννίδας καὶ τὰς βασιλείας·
ς γὰρ ὑπάρχει πλȣ́του καὶ τιμῆς τοῖς μονάρχοις,
ενται πάντες. τῶν δ' ἐπιθέσεων αἱ μὲν ἐπὶ τὸ σῶμα
ται τῶν ἀρχόντων, αἱ δ' ἐπὶ τὴν ἀρχήν. αἱ μὲν ȣ̃ν
ιν ἐπὶ τὸ σῶμα. τῆς δ' ὕβρεως οὔσης πολυμεροῦς,
ν αὐτῶν αἴτιον γίγνεται τῆς ὀργῆς· τῶν δ' ὀργιζο-
σχεδὸν οἱ πλεῖςοι τιμωρίας χάριν ἐπιτίθενται, ἀλλ'
εροχῆς, οἷον ἡ μὲν τῶν Πεισιςρατιδῶν διὰ τὸ προ-
ίσαι μὲν τὴν Ἁρμοδίȣ ἀδελφήν, ἐπηρεάσαι δ' Ἀρ-
· ὁ μὲν γὰρ Ἁρμόδιος διὰ τὴν ἀδελφήν, ὁ δ' Ἀρι-
ων διὰ τὸν Ἁρμόδιον. ἐπεβȣ́λευσαν δὲ καὶ Περιάν-
ῳ ἐν Ἀμβρακίᾳ τυράννῳ διὰ τὸ συμπίνοντα μετὰ

τῶν παιδικῶν ἐρωτῆσαι αὐτὸν εἰ ἤδη ἐξ αὐτȣ̃ κύει. ἡ δὲ Φιλίππου ὑπὸ Παυσανίου διὰ τὸ ἐᾶσαι ὑβρισθῆναι αὐτὸν ὑπὸ τῶν περὶ Ἄτταλον, καὶ ἡ Ἀμύντου τοῦ μικροῦ ὑπὸ Δέρδα διὰ τὸ καυχήσασθαι εἰς τὴν ἡλικίαν αὐτȣ̃, καὶ ἡ τȣ̃ εὐνȣ́χȣ Εὐαγόρᾳ τῷ Κυπρίῳ· διὰ γὰρ τὸ τὴν γυναῖκα παρελέσθαι τὸν υἱὸν αὐτȣ̃ ἀπέκτεινεν ὡς ὑβρισμένος. πολλαὶ δ' ἐπιθέσεις γεγένηνται καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰσχύνεσθαι τῶν μονάρχων τινάς, οἷον καὶ ἡ Κραταίȣ εἰς Ἀρχέλαον· ἀεὶ γὰρ βαρέως εἶχε πρὸς τὴν ὁμιλίαν, ὥςε ἱκανὴ καὶ ἐλάττων ἐγένετο πρόφασις, διότι τῶν θυγατέρων ȣ̓δεμίαν ἔδωκεν ὁμολογήσας αὐτῷ, ἀλλὰ τὴν μὲν προτέραν, κατεχόμενος ὑπὸ πολέμου πρὸς Σίρραν καὶ Ἀρράβαιον, ἔδωκε τῷ βασιλεῖ τῷ τῆς Ἐλιμείας, τὴν δὲ νεωτέραν τῷ υἱεῖ Ἀμύντα, οἰόμενος ȣ̔́τως ἂν ἐκεῖνον ἥκιςα διαφέρεσθαι καὶ τὸν ἐκ τῆς Κλεοπάτρας· ἀλλὰ τῆς γε ἀλλοτριότητος ὑπῆρχεν ἀρχὴ τὸ βαρέως φέρειν πρὸς τὴν ἀφροδισιαςικὴν χάριν. συνεπέθετο δὲ καὶ Ἑλλανοκράτης ὁ Λαρισσαῖος διὰ τὴν αὐτὴν αἰτίαν· ὡς γὰρ χρώμενος αὐτȣ̃ τῇ ἡλικίᾳ οὐ κατῆγεν ὑποσχόμενος, δι' ὕβριν καὶ οὐ δι' ἐρωτικὴν ἐπιθυμίαν ᾤετ' εἶναι τὴν γεγενημένην ὁμιλίαν. Πάρρων δὲ καὶ Ἡρακλείδης οἱ Αἴνιοι Κότυν διέφθειραν τῷ πατρὶ τιμωρȣ̃ντες, Ἀδάμας δ' ἀπέςη Κότυος διὰ τὸ ἐκτμηθῆναι παῖς ὢν ὑπ' αὐτοῦ ὡς ὑβρισμένος. πολλοὶ δὲ καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰκισθῆναι πληγαῖς ὀργισθέντες οἱ μὲν διέφθειραν οἱ δ' ἐνεχείρησαν ὡς ὑβρισθέντες, καὶ τῶν περὶ τὰς ἀρχὰς καὶ βασιλικὰς δυναστείας, οἷον ἐν Μιτυλήνῃ τȣ̀ς Πενθαλίδας Μεγακλῆς περιιόντας καὶ τύπτοντας ταῖς κορύναις ἐπιθέμενος μετὰ τῶν φίλων ἀνεῖλεν, καὶ ὕςερον Σμέρδις Πένθιλον πληγὰς λαβὼν καὶ παρὰ τῆς γυναικὸς ἐξελκυσθεὶς διέφθειρεν. καὶ τῆς Ἀρχελάȣ δ' ἐπιθέσεως Δεκάμνιχος ἡγεμὼν ἐγένετο, παροξύνων τȣ̀ς ἐπιθεμένȣς πρῶτος· αἴτιον δὲ τῆς ὀργῆς ὅτι αὐτὸν ἐξέδωκε μαστιγῶσαι Εὐριπίδῃ τῷ ποιητῇ· ὁ δ' Εὐριπίδης ἐχαλέπαινεν εἰπόντος τι αὐτȣ̃ εἰς δυσωδίαν τȣ̃ ςόματος. καὶ ἄλλοι δὲ πολλοὶ διὰ τοιαύτας αἰτίας οἱ μὲν ἀνῃρέθησαν οἱ δ' ἐπεβȣλεύθησαν. ὁμοίως δὲ καὶ διὰ φόβον· ἓν γάρ τι τȣ̃το τῶν αἰτίων ἦν, ὥσπερ καὶ περὶ τὰς πολιτείας καὶ τὰς μοναρχίας· οἷον Ξέρξην Ἀρταπάνης φοβȣ́μενος τὴν διαβολὴν τὴν περὶ Δαρεῖον, ὅτι ἐκρέμασεν ȣ̓ κελεύσαντος Ξέρξȣ, ἀλλ' οἰόμενος συγγνώσεσθαι ὡς ἀμνημονȣ̃ντα διὰ τὸ δειπνεῖν. αἱ δὲ διὰ

·δὲ om I^b. ‖ 8. τῶν] ὑπὸ τῶν Victorius. ‖ 9. τὰ om V^b. ‖ 10. τὸ τὸ] τῶ τὸ $I^b R^b V^b$. ‖ 12. τὸ] τῷ R^b. ‖ μηδὲν] μὲν V^b. ‖
ῖτα $I^b R^b V^b$. ‖ 32. ἀρχῶν V^b. ‖ 33. ἐπεὶ R^b. ‖ πολυμερῶς V^b. ‖ 39. περὶ ἄνδρω V^b.
ἀμαύτου R^b. ‖ 4. πέρδα R^b. ‖ 7. καὶ om R^b. ‖ 10. διότι] ἢ $I^b R^b V^b$. ‖ 13. ἐλιβείας $I^b R^b V^b$. ‖ 17. συνετέθετο δὲ ἐλλ.
25. ἐνεχείρισαν R^b. ‖ 27. πενταλίδας R^b. ‖ περιόντας $I^b V^b$. ‖ 28. τῶν om V^b. ‖ 29. σμέρδης $I^b R^b V^b$. ‖ πένθιμον R^b. ‖ 30.
ι V^b. ‖ 35. τοιαύτης I^b. ‖ 36. αἰτιῶν $R^b V^b$.

καταφρόνησιν, ὥσπερ Σαρδανάπαλον ἰδών τις ξαίνοντα μετὰ τῶν γυναικῶν, εἰ ἀληθῆ ταῦτα οἱ μυθολογοῦντες λέγουσιν· εἰ δὲ μὴ ἐπ' ἐκείνου, ἀλλ' ἐπ' ἄλλου γε ἂν γένοιτο ἀληθές. καὶ Διονυσίῳ τῷ ὑστέρῳ Δίων ἐπέθετο διὰ τὸ καταφρονεῖν, ὁρῶν τούς τε πολίτας οὕτως ἔχοντας καὶ αὐτὸν ἀεὶ μεθύοντα. καὶ τῶν φίλων δέ τινες ἐπιτίθενται διὰ καταφρόνησιν· διὰ γὰρ τὸ πιστεύεσθαι καταφρονοῦσιν ὡς λήσοντες. καὶ οἱ οἰόμενοι δύνασθαι κατασχεῖν τὴν ἀρχὴν τρόπον τινὰ διὰ τὸ καταφρονεῖν ἐπιτίθενται· ὡς δυνάμενοι γὰρ καὶ καταφρονοῦντες τοῦ κινδύνου διὰ τὴν δύναμιν ἐπιχειροῦσι ῥᾳδίως, ὥσπερ οἱ στρατηγοῦντες τοῖς μονάρχοις, οἷον Κῦρος Ἀστυάγῃ καὶ τοῦ βίου καταφρονῶν καὶ τῆς δυνάμεως διὰ τὸ τὴν μὲν δύναμιν ἐξηργηκέναι, αὐτὸν δὲ τρυφᾶν, καὶ Σεύθης ὁ Θρᾷξ Ἀμαδόκῳ στρατηγὸς ὤν. οἱ δὲ καὶ διὰ πλείω τούτων ἐπιτίθενται, οἷον καὶ καταφρονοῦντες καὶ διὰ κέρδος, ὥσπερ Ἀριοβαρζάνῃ Μιθριδάτης. μάλιστα δὲ διὰ ταύτην τὴν αἰτίαν ἐγχειροῦσιν οἱ τὴν φύσιν μὲν θρασεῖς, τιμὴν δ' ἔχοντες πολεμικὴν παρὰ τοῖς μονάρχοις· ἀνδρία γὰρ δύναμιν ἔχουσα θράσος ἐστίν· δι' ἃς ἀμφοτέρας, ὡς ῥᾳδίως κρατήσοντες, ποιοῦνται τὰς ἐπιθέσεις. τῶν δὲ διὰ φιλοτιμίαν ἐπιτιθεμένων ἕτερος τρόπος ἐστὶ τῆς αἰτίας παρὰ τοὺς εἰρημένους πρότερον. οὐ γὰρ ὥσπερ ἔνιοι τοῖς τυράννοις ἐπιχειροῦσιν ὁρῶντες κέρδη τε μεγάλα καὶ τιμὰς μεγάλας οὔσας αὐτοῖς, οὕτω καὶ τῶν διὰ φιλοτιμίαν ἐπιτιθεμένων ἕκαστος προαιρεῖται κινδυνεύειν· ἀλλ' ἐκεῖνοι μὲν διὰ τὴν εἰρημένην αἰτίαν, οὗτοι δ' ὥσπερ κἂν ἄλλης τινὸς γενομένης πράξεως περιττῆς, καὶ δι' ἣν ὀνομαστοὶ γίγνονται καὶ γνώριμοι τοῖς ἄλλοις, οὕτω καὶ τοῖς μονάρχοις ἐγχειροῦσιν, οὐ κτήσασθαι βουλόμενοι μοναρχίαν ἀλλὰ δόξαν. οὐ μὴν ἀλλ' ἐλάχιστοί γε τὸν ἀριθμόν εἰσιν οἱ διὰ ταύτην τὴν αἰτίαν ὁρμῶντες· ὑποκεῖσθαι γὰρ δεῖ τὸ τοῦ σωθῆναι μηδὲν φροντίζειν, ἂν μὴ μέλλῃ κατασχήσειν τὴν πρᾶξιν. οἷς ἀκολουθεῖν μὲν δεῖ τὴν Δίωνος ὑπόληψιν, οὐ ῥᾴδιον δ' αὐτὴν ἐγγενέσθαι πολλοῖς· ἐκεῖνος γὰρ μετ' ὀλίγων ἐστράτευσεν ἐπὶ Διονύσιον οὕτως ἔχειν φάσκων ὡς ὅπου περ ἂν δύνηται προελθεῖν, ἱκανὸν αὐτῷ τοσοῦτον μετασχεῖν τῆς πράξεως, οἷον εἰ μικρὸν ἐπιβάντα τῆς γῆς εὐθὺς συμβαίη τελευτῆσαι, τοῦτον καλῶς ἔχειν αὐτῷ τὸν θάνατον. φθείρεται δὲ τυραννὶς ἕνα μὲν τρόπον, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστη πολιτειῶν, ἔξω-

θεν, ἐὰν ἐναντία τις ᾖ πολιτεία κρείττων. τὸ μ
βούλεσθαι δῆλον ὡς ὑπάρξει διὰ τὴν ἐναντιότη
προαιρέσεως· ἃ δὲ βούλονται, δυνάμενοι πράττουσι
ἐναντίαι δ' αἱ πολιτεῖαι, δῆμος μὲν τυραννίδι καθ'
δον ὡς κεραμεῖ κεραμεύς (καὶ γὰρ ἡ δημοκρατία
λευταία τυραννίς ἐστιν), βασιλεία δὲ καὶ ἀριστοκρα
τὴν ἐναντιότητα τῆς πολιτείας. διὸ Λακεδαιμόνιοι
κατέλυσαν τυραννίδας καὶ Συρακούσιοι κατὰ τὸν χ
ἐπολιτεύοντο καλῶς. ἕνα δ' ἐξ αὐτῆς, ὅταν οἱ μετ
στασιάζωσιν, ὥσπερ ἡ τῶν περὶ Γέλωνα καὶ νῦν
περὶ Διονύσιον, ἡ μὲν Γέλωνος Θρασυβούλου τοῦ
ἀδελφοῦ τὸν υἱὸν τοῦ Γέλωνος δημαγωγοῦντος καὶ πρ
νὰς ὁρμῶντος, ἵν' αὐτὸς ἄρχῃ, τῶν δ' οἰκείων συσ
ἵνα μὴ τυραννὶς ὅλως καταλυθῇ ἀλλὰ Θρασύβου
δὲ στασάντες αὐτῶν, ὡς καιρὸν ἔχοντες, ἐξέβαλον ἅ
αὐτούς. Διονύσιον δὲ Δίων στρατεύσας, κηδεστὴς
προσλαβὼν τὸν δῆμον, ἐκεῖνον ἐκβαλὼν διεφθάρη.
οὐσῶν αἰτιῶν δι' ἃς μάλιστ' ἐπιτίθενται ταῖς τυραννί
σους καὶ καταφρονήσεως, θάτερον μὲν δεῖ τούτων ὑπ
τοῖς τυράννοις, τὸ μῖσος, ἐκ δὲ τοῦ καταφρονεῖσθαι
γίνονται τῶν καταλύσεων. σημεῖον δέ· τῶν μὲν γὰρ
σαμένων οἱ πλεῖστοι καὶ διεφύλαξαν τὰς ἀρχάς,
παραλαβόντες εὐθὺς ὡς εἰπεῖν ἀπολλύασι πάντες·
λαυστικῶς γὰρ ζῶντες εὐκαταφρόνητοί τε γίγνονται
πολλοὺς καιροὺς παραδιδόασι τοῖς ἐπιτιθεμένοις. μόρ
τι τοῦ μίσους καὶ τὴν ὀργὴν δεῖ τιθέναι· τρόπον γὰρ
τῶν αὐτῶν αἰτία γίνεται πράξεων. πολλάκις δὲ καὶ
κτικώτερον τοῦ μίσους· συντονώτερον γὰρ ἐπιτίθενται
μὴ χρῆσθαι λογισμῷ τὸ πάθος. μάλιστα δὲ συμβ
τοῖς θυμοῖς ἀκολουθεῖν διὰ τὴν ὕβριν, δι' ἣν αἰτίαν ἥ
τῶν Πεισιστρατιδῶν κατελύθη τυραννὶς καὶ πολλαὶ
ἄλλων. ἀλλὰ μᾶλλον τὸ μῖσος· ἡ μὲν γὰρ ὀργὴ
λύπης πάρεστιν, ὥστε οὐ ῥᾴδιον λογίζεσθαι, ἡ δ' ἔχθρα
λύπης. ὡς δ' ἐν κεφαλαίοις εἰπεῖν, ὅσας αἰτίας εἰρή
τῆς τε ὀλιγαρχίας τῆς ἀκράτου καὶ τελευταίας κα
δημοκρατίας τῆς ἐσχάτης, τοσαύτας καὶ τῆς τυρα
θετέον· καὶ γὰρ αὗται τυγχάνουσιν οὖσαι διαιρεταὶ τ
νίδες. βασιλεία δ' ὑπὸ μὲν τῶν ἔξωθεν ἥκιστα φθεί
διὸ καὶ πολυχρόνιός ἐστιν· ἐξ αὐτῆς δ' αἱ πλεῖσται φ
συμβαίνουσιν. φθείρεται δὲ κατὰ δύο τρόπους, ἕνα

3. γένοιτο τὸ ἀληθές $I^bR^bV^b$. ‖ 4. ὑπέθετο R^b. ‖ τὸ om V^b. ‖ 8. οἱ om R^b. ‖ 9. διὰ] μετὰ R^b. ‖ 12. ἀστυάγει I^b
13. ἐξοργηκέναι V^b. ‖ 14. ἀμαδόκῳ V^b. ‖ 21. δὲ] τε $I^bR^bV^b$. ‖ 33. ἀκολουθεῖ V^b. ‖ δεῖ et 39. ἔχειν om R^b.

1. ἡ V^b. ‖ 2. βουλεύεσθαι V^b. ‖ 4. μὲν om V^b. ‖ 7. διὸ καὶ λακ. R^b. ‖ 9. αὐτοῦ V^b, αὐτῶν R^b. ‖ 10. ἡ] αἱ R^b. ‖
τὸν δ. R^b. ‖ 13. συστησάντων R^bV^b. ‖ 29. λογισμῶν R^b. ‖ 37. αἱρεταὶ R^b.

ιασάντων τῶν μετεχόντων τῆς βασιλείας, ἄλλον δὲ
ν τυραννικώτερον πειρωμένων διοικεῖν, ὅταν εἶναι κύριοι
νων ἀξιῶσι καὶ παρὰ τὸν νόμον. ὐ γίγνονται δ' ἔτι
λεῖαι νῦν, ἀλλ' ἄν περ γίγνωνται, μοναρχίαι καὶ τυ-
ἶες μᾶλλον, διὰ τὸ τὴν βασιλείαν ἑκούσιον μὲν ἀρχὴν
μειζόνων δὲ κυρίαν, πολλὺς δ' εἶναι τὺς ὁμοίυς, καὶ
α διαφέροντα τοσῦτον ὥστε ἀπαρτίζειν πρὸς τὸ μέ-
καὶ τὸ ἀξίωμα τῆς ἀρχῆς. ὥςε διὰ μὲν τῦτο ἑκόν-
ὐχ ὑπομένουσιν· ἂν δὲ δι' ἀπάτης ἄρξῃ τις ἢ βίας,
δοκεῖ τῦτο εἶναι τυραννίς. ἐν δὲ ταῖς κατὰ γένος βα-
λις τιθέναι δεῖ τῆς φθορᾶς αἰτίαν πρὸς ταῖς εἰρημέ-
καὶ τὸ γίνεσθαι πολλὺς εὐκαταφρονήτυς, καὶ τὸ δύ-
μὴ κεκτημένους τυραννικὴν ἀλλὰ βασιλικὴν τιμὴν
ζειν· ῥᾳδία γὰρ ἐγίνετο ἡ κατάλυσις· μὴ βυλομένων
εὐθὺς οὐκ ἔσται βασιλεύς, ἀλλ' ὁ τύραννος καὶ μὴ
μένων. φθείρονται μὲν οὖν αἱ μοναρχίαι διὰ ταύτας
τοιαύτας ἑτέρας αἰτίας.

Σώζονται δὲ δῆλον ὡς ἁπλῶς μὲν εἰπεῖν ἐκ τῶν
ίων, ὡς δὲ καθ' ἕκαςον τῷ τὰς μὲν βασιλείας ἄγειν
τὸ μετριώτερον. ὅσῳ γὰρ ἂν ἐλαττόνων ὦσι κύριοι,
χρόνον ἀναγκαῖον μένειν πᾶσαν τὴν ἀρχήν· αὐτοί
ὰρ ἧττον γίνονται δεσποτικοὶ καὶ τοῖς ἤθεσιν ἴσοι μᾶλ-
καὶ ὑπὸ τῶν ἀρχομένων φθονοῦνται ἧττον. διὰ γὰρ
καὶ ἡ περὶ Μολοττὺς πολὺν χρόνον βασιλεία διέμεινεν,
ἡ Λακεδαιμονίων διὰ τὸ ἐξ ἀρχῆς τε εἰς δύο μέρη
θῆναι τὴν ἀρχήν, καὶ πάλιν Θεοπόμπυ μετριάσαντος
τε ἄλλος καὶ τὴν τῶν ἐφόρων ἀρχὴν ἐπικαταςήσαν-
τῆς γὰρ δυνάμεως ἀφελὼν ηὔξησε τῷ χρόνῳ τὴν
λείαν, ὥςε τρόπον τινὰ ἐποίησεν οὐκ ἐλάττονα ἀλλὰ
να αὐτήν. ὅπερ καὶ πρὸς τὴν γυναῖκα ἀποκρίνασθαί
αὐτόν, εἰπῦσαν εἰ μηδὲν αἰσχύνεται τὴν βασιλείαν
τω παραδιδὺς τοῖς υἱέσιν ἢ παρὰ τῦ πατρὸς παρέλα-
"ὐ δῆτα" φάναι· "παραδίδωμι γὰρ πολυχρονιωτέραν."
τυραννίδες σώζονται κατὰ δύο τρόπυς τοὺς ἐναντιω-
, ὧν ἅτερός ἐςιν ὁ παραδεδομένος καὶ καθ' ὃν διοι-
οἱ πλεῖστοι τῶν τυράννων τὴν ἀρχήν. τύτων δὲ τὰ
ά φασι καταςῆσαι Περίανδρον τὸν Κορίνθιον· πολλὰ
ὶ παρὰ τῆς τῶν Περσῶν ἀρχῆς ἔςι τοιαῦτα λαβεῖν.
ὲ τά τε πάλαι λεχθέντα πρὸς σωτηρίαν, ὡς οἷόν τε,
υραννίδος, τὸ τὺς ὑπερέχοντας κολύειν καὶ τὺς φρονη-
ις ἀναιρεῖν, καὶ μήτε συσσίτια ἐᾶν μήτε ἑταιρίαν

μήτε παιδείαν μήτε ἄλλο μηθὲν τοιοῦτον, ἀλλὰ πάντα φυλάττειν ὅθεν εἴωθε γίνεσθαι δύο, φρόνημά τε καὶ πίςις, καὶ μήτε σχολὰς μήτε ἄλλυς συλλόγυς ἐπιτρέπειν γίνεσθαι σχολαστικούς, καὶ πάντα ποιεῖν ἐξ ὧν ὅτι μάλιςα ἀγνῶντες ἀλλήλοις ἔσονται πάντες· ἡ γὰρ γνῶσις πίστιν ποιεῖ μᾶλλον πρὸς ἀλλήλυς. καὶ τὸ τὺς ἐπιδημῦντας ἀεὶ φανεροὺς εἶναι καὶ διατρίβειν περὶ θύρας· οὕτω γὰρ ἂν ἥκιστα λανθάνοιεν τί πράττουσι, καὶ φρονεῖν ἂν ἐθίζοιντο μικρὸν αἰεὶ δυλεύοντες. καὶ τἆλλα ὅσα τοιαῦτα Περσικὰ καὶ βάρβαρα τυραννικά ἐςιν· πάντα γὰρ ταὐτὸν δύναται. καὶ τὸ μὴ λανθάνειν πειρᾶσθαι ὅσα τυγχάνει τις λέγων ἢ πράττων τῶν ἀρχομένων, ἀλλ' εἶναι κατασκόπους, οἷον περὶ Συρακούσας αἱ ποταγωγίδες καλούμεναι, καὶ τοὺς ὠτακυςὰς ἐξέπεμπεν Ἱέρων, ὅπυ τις εἴη συνυσία καὶ σύλλογος· παρρησιάζονταί τε γὰρ ἧττον, φοβύμενοι τὺς τοιύτυς, κἂν παρρησιάζωνται, λανθάνυσιν ἧττον. καὶ τὸ διαβάλλειν ἀλλήλοις καὶ συγκρούειν καὶ φίλους φίλοις καὶ τὸν δῆμον τοῖς γνωρίμοις καὶ τὺς πλυσίυς ἑαυτοῖς, καὶ τὸ πένητας ποιεῖν τὺς ἀρχομένυς, τυραννικόν, ὅπως μήτε φυλακὴ τρέφηται καὶ πρὸς τῷ καθ' ἡμέραν ὄντες ἄσχολοι ὦσιν ἐπιβυλεύειν. παράδειγμα δὲ τούτυ αἵ τε πυραμίδες αἱ περὶ Αἴγυπτον καὶ τὰ ἀναθήματα τῶν Κυψελιδῶν καὶ τοῦ Ὀλυμπίυ ἡ οἰκοδόμησις ὑπὸ τῶν Πεισιςρατιδῶν, καὶ τῶν περὶ Σάμον ἔργα Πολυκράτεια· πάντα γὰρ ταῦτα δύναται ταὐτόν, ἀσχολίαν καὶ πενίαν τῶν ἀρχομένων. καὶ ἡ εἰσφορὰ τῶν τελῶν, οἷον ἐν Συρακούσαις· ἐν πέντε γὰρ ἔτεσιν ἐπὶ Διονυσίυ τὴν ὐσίαν ἅπασαν εἰσενηνοχέναι συνέβαινεν. ἔςι δὲ καὶ πολεμοποιὸς ὁ τύραννος, ὅπως ἄσχολοί τε ὦσι καὶ ἡγεμόνος ἐν χρείᾳ διατελῶσιν ὄντες. καὶ ἡ μὲν βασιλεία σώζεται διὰ τῶν φίλων, τυραννικὸν δὲ τὸ μάλιστ' ἀπιςεῖν τοῖς φίλοις, ὡς βουλομένων μὲν πάντων, δυναμένων δὲ μάλιςα τύτων. καὶ τὰ περὶ τὴν δημοκρατίαν δὲ γιγνόμενα τὴν τελευταίαν τυραννικὰ πάντα, γυναικοκρατία τε περὶ τὰς οἰκίας, ἵν' ἐξαγγέλλωσι κατὰ τῶν ἀνδρῶν, καὶ δύλων ἄνεσις διὰ τὴν αὐτὴν αἰτίαν· ὔτε γὰρ ἐπιβουλεύουσιν οἱ δοῦλοι καὶ αἱ γυναῖκες τοῖς τυράννοις, εὐημερῦντάς τε ἀναγκαῖον εὔνους εἶναι καὶ ταῖς τυραννίσι καὶ ταῖς δημοκρατίαις· καὶ γὰρ ὁ δῆμος εἶναι βούλεται μόναρχος. διὸ καὶ ὁ κόλαξ παρ' ἀμφοτέροις ἔντιμος, παρὰ μὲν τοῖς δήμοις ὁ δημαγωγός (ἔςι γὰρ ὁ δημαγωγὸς τῦ δήμυ κόλαξ), παρὰ δὲ τοῖς τυράννοις οἱ ταπεινῶς ὁμιλῦντες.

5. βασιλεία F^b. ‖ μὴ om I^b. ‖ 31. εἰπᾶσαι F^b. ‖ 35. καὶ om I^b. ‖ 38. τῶν om I^bR^b. ‖ 39. οἷόν τε] nonne οἴονται? ‖
φρονηματάτους R^b.

. φρονήματά I^bF^b. ‖ 6. ποιεῖ om F^b. ‖ 14. ἱερέων F^b. ‖ 15. παρρησιάζοντάς R^b. ‖ 21. τυραννίδες R^b. ‖ 29. διατελῶσιν] ὦσι
R^b. ‖ 34. ἐξαγγέλωσι R^bF^b.

ισιδαίμονα νομίζωσιν εἶναι τὸν ἄρχοντα καὶ φρον-
τῶν θεῶν, καὶ ἐπιβουλεύυσιν ἧττον ὡς συμμάχους
καὶ τοὺς θεούς. δεῖ δ' ἄνευ ἀβελτηρίας φαίνεσθαι
ν. τούς τε ἀγαθοὺς περί τι γιγνομένυς τιμᾶν ὕτως
ἢ νομίζειν ἄν ποτε τιμηθῆναι μᾶλλον ὑπὸ τῶν πο-
αὐτονόμων ὄντων. καὶ τὰς μὲν τοιαύτας τιμὰς ἀπο-
αὐτόν, τὰς δὲ κολάσεις δι' ἑτέρων ἀρχόντων καὶ δι-
ων. κοινὴ δὲ φυλακὴ πάσης μοναρχίας τὸ μηθένα
ἕνα μέγαν, ἀλλ' εἴπερ, πλείυς· τηρήσυσι γὰρ ἀλλή-
ἐὰν δ' ἄρα τινὰ δέῃ ποιῆσαι μέγαν, μή τοι τό γε
ιασύν· ἐπιθετικώτατον γὰρ τὸ τοιῦτον ἦθος περὶ πά-
ὰς πράξεις. κἂν τῆς δυνάμεώς τινα δοκῇ παρα-
ἐκ προσαγωγῆς τοῦτο δρᾶν καὶ μὴ πᾶσαν ἀθρόον
ιῖσθαι τὴν ἐξυσίαν. ἔτι δὲ πάσης μὲν ὕβρεως εἴργε-
παρὰ πάσας δὲ δυοῖν, τῆς τε εἰς τὰ σώματα κο-
; καὶ τῆς εἰς τὴν ἡλικίαν. μάλιςα δὲ ταύτην ποιη-
ὴν εὐλάβειαν περὶ τὺς φιλοτίμυς· τὴν μὲν γὰρ εἰς
ήματα ὀλιγωρίαν οἱ φιλοχρήματοι φέρυσι βαρέως,
εἰς ἀτιμίαν οἵ τε φιλότιμοι καὶ οἱ ἐπιεικεῖς τῶν
ων. διόπερ ἢ μὴ χρῆσθαι δεῖ τοῖς τοιύτοις, ἢ τὰς
λάσεις πατρικῶς φαίνεσθαι ποιούμενον καὶ μὴ δι'
ίαν, τὰς δὲ πρὸς τὴν ἡλικίαν ὁμιλίας δι' ἐρωτικὰς
ἀλλὰ μὴ δι' ἐξουσίαν, ὅλως δὲ τὰς δοκύσας ἀτι-
ξωνεῖσθαι μείζοσι τιμαῖς. τῶν δ' ἐπιχειρύντων ἐπὶ
σώματος διαφθορὰν ὗτοι φοβερώτατοι καὶ δέονται
ς φυλακῆς, ὅσοι μὴ προαιροῦνται περιποιεῖσθαι τὸ
ιφθείραντες. διὸ μάλιςα εὐλαβεῖσθαι δεῖ τὺς ὑβρί-
νομίζοντας ἢ αὐτὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν·
ις γὰρ ἑαυτῶν ἔχουσιν οἱ διὰ θυμὸν ἐπιχειροῦντες,
ερ καὶ Ἡράκλειτος εἶπε, χαλεπὸν φάσκων εἶναι
μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖσθαι. ἐπεὶ δ' αἱ πόλεις
συνεστήκασι μορίων, ἔκ τε τῶν ἀπόρων ἀνθρώπων
ν εὐπόρων, μάλιςα μὲν ἀμφοτέρυς ὑπολαμβάνειν
ζεσθαι διὰ τὴν ἀρχήν, καὶ τὺς ἑτέρυς ὑπὸ τῶν ἑτέ-
ικεῖσθαι μηδέν, ὁπότεροι δ' ἂν ὦσι κρείττυς, τύτους
άλιςα ποιεῖσθαι τῆς ἀρχῆς, ὡς, ἂν ὑπάρξῃ τοῦτο
άγμασιν, ὗτε δύλων ἐλευθέρωσιν ἀνάγκη ποιεῖσθαι
ραννον οὔτε ὅπλων παραίρεσιν· ἱκανὸν γὰρ θάτερον
πρὸς τῇ δυνάμει προςιθέμενον, ὥστε κρείττους εἶναι
ιτιθεμένων. περίεργον δὲ τὸ λέγειν καθ' ἕκαςον τῶν
ν· ὁ γὰρ σκοπὸς φανερός, ὅτι δεῖ μὴ τυραννικὸν

ἀλλ' οἰκονόμον καὶ βασιλικὸν εἶναι φαίνεσθαι τοῖς ἀρχομένοις καὶ μὴ σφετεριςὴν ἀλλ' ἐπίτροπον, καὶ τὰς μετριότητας τῦ βίυ διώκειν, μὴ τὰς ὑπερβολάς, ἔτι δὲ τὺς μὲν γνωρίμυς καθομιλεῖν, τὺς δὲ πολλὺς δημαγωγεῖν. ἐκ γὰρ τούτων ἀναγκαῖον οὐ μόνον τὴν ἀρχὴν εἶναι καλλίω καὶ ζηλωτοτέραν τῷ βελτιόνων ἄρχειν καὶ μὴ τεταπεινωμένων μηδὲ μισούμενον καὶ φοβύμενον διατελεῖν, ἀλλὰ καὶ τὴν ἀρχὴν εἶναι πολυχρονιωτέραν. ἔτι δ' αὐτὸν διακεῖσθαι κατὰ τὸ ἦθος ἤτοι καλῶς πρὸς ἀρετὴν ἢ ἡμίχρηςον ὄντα, καὶ μὴ πονηρὸν ἀλλ' ἡμιπόνηρον.

Καίτοι πασῶν ὀλιγοχρονιώτεραι τῶν πολιτειῶν εἰσὶν 12
ὀλιγαρχία καὶ τυραννίς. πλεῖστον γὰρ ἐγένετο χρόνον ἡ περὶ Σικυῶνα τυραννίς, ἡ τῶν Ὀρθαγόρυ παίδων καὶ αὐτῦ Ὀρθαγόρυ· ἔτη δ' αὕτη διέμεινεν ἑκατόν. τούτυ δ' αἴτιον ὅτι τοῖς ἀρχομένοις ἐχρῶντο μετρίως καὶ πολλὰ τοῖς νόμοις ἐδύλευον, καὶ διὰ τὸ πολεμικὸς γενέσθαι Κλεισθένης οὐκ ἦν εὐκαταφρόνητος, καὶ τὰ πολλὰ ταῖς ἐπιμελείαις ἐδημαγώγουν. λέγεται γοῦν Κλεισθένης τὸν ἀποκρίναντα τῆς νίκης αὐτὸν ὡς ἐστεφάνωσεν· ἔνιοι δ' εἰκόνα φασὶν εἶναι τοῦ κρίναντος οὕτω τὸν ἀνδριάντα τὸν ἐν τῇ ἀγορᾷ καθήμενον. φασὶ δὲ καὶ Πεισίςρατον ὑπομεῖναί ποτε προσκληθέντα δίκην εἰς Ἄρειον πάγον. δευτέρα δὲ περὶ Κόρινθον ἡ τῶν Κυψελιδῶν· καὶ γὰρ αὕτη διετέλεσεν ἔτη τρία καὶ ἑβδομήκοντα καὶ ἓξ μῆνας· Κύψελος μὲν γὰρ ἐτυράννησεν ἔτη τριάκοντα, Περίανδρος δὲ τετταράκοντα καὶ τέτταρα, Ψαμμήτιχος δ' ὁ Γορδίυ τρία ἔτη. τὰ δ' αἴτια ταὐτὰ καὶ ταύτης· ὁ μὲν γὰρ Κύψελος δημαγωγὸς ἦν καὶ κατὰ τὴν ἀρχὴν διετέλεσεν ἀδορυφόρητος, Περίανδρος δ' ἐγένετο μὲν τυραννικός, ἀλλὰ πολεμικός. τρίτη δ' ἡ τῶν Πεισιςρατιδῶν Ἀθήνησιν, ὐκ ἐγένετο δὲ συνεχής· δὶς γὰρ ἔφυγε Πεισίςρατος τυραννῶν, ὥς' ἐν ἔτεσι τριάκοντα καὶ τρισὶν ἑπτακαίδεκα ἔτη τύτων ἐτυράννευσεν, ὀκτωκαίδεκα δὲ οἱ παῖδες, ὥςε τὰ πάντα ἐγένετο ἔτη τριάκοντα καὶ πέντε. τῶν δὲ λοιπῶν ἡ περὶ Ἱέρωνα καὶ Γέλωνα περὶ Συρακύσαις. ἔτη δ' ὐδ' αὕτη πολλὰ διέμεινεν, ἀλλὰ τὰ σύμπαντα δυοῖν δέοντα εἴκοσι· Γέλων μὲν γὰρ ἑπτὰ τυραννεύσας τῷ ὀγδόῳ τὸν βίον ἐτελεύτησεν, δέκα δ' Ἱέρων, Θρασύβυλος δὲ τῷ ἑνδεκάτῳ μηνὶ ἐξέπεσεν. αἱ δὲ πολλαὶ τῶν τυραννίδων ὀλιγοχρόνιαι πᾶσαι γεγόνασι παντελῶς.

Τὰ μὲν ὖν περὶ τὰς πολιτείας καὶ τὰ περὶ τὰς μοναρχίας, ἐξ ὧν τε φθείρονται καὶ πάλιν σώζονται, σχεδὸν

. μὲν om R^b. ‖ 15. δυεῖν I^b. ‖ 25. διαφορὰν V^b.
μήτε R^b. ‖ 7. καὶ post ἀλλὰ om R^b. ‖ 20. ταῖς ἀγοραῖς R^b. ‖ 25. Περίανδρος — 26. τέτταρα om R^b. ‖ 27. κύψελλος
32. ἐτυράννησεν I^b. ‖ 35. συρακύσας R^b. ‖ 36. δυεῖν I^b. ‖ 40. τὰ περὶ om R^b. ‖ 41. γε R^b.

εἴρηται περὶ πάντων. ἐν δὲ τῇ πολιτείᾳ λέγεται μὲν περὶ τῶν μεταβολῶν ὑπὸ τȣ̃ Σωκράτȣς, ȣ̓ μέντοι λέγεται καλῶς· τῆς τε γὰρ ἀρίστης πολιτείας καὶ πρώτης οὔσης οὐ λέγει τὴν μεταβολὴν ἰδίως. φησὶ γὰρ αἴτιον εἶναι τὸ μὴ μένειν μηθὲν ἀλλ' ἔν τινι περιόδῳ μεταβάλλειν, ἀρχὴν δ' εἶναι τούτων ὧν ἐπίτριτος πυθμὴν πεμπάδι συζυγεὶς δύο ἁρμονίας παρέχεται, λέγων ὅταν ὁ τοῦ διαγράμματος ἀριθμὸς τȣ́τȣ γένηται ϛερεός, ὡς τῆς φύσεώς ποτε φυȣ́σης φαύλους καὶ κρείττους τῆς παιδείας, τοῦτο μὲν οὖν αὐτὸ λέγων ἴσως ȣ̓ κακῶς· ἐνδέχεται γὰρ εἶναί τινας οὓς παιδευθῆναι καὶ γενέσθαι σπουδαίȣς ἄνδρας ἀδύνατον. ἀλλ' αὕτη τί ἂν ἴδιος εἴη μεταβολὴ τῆς ὑπ' ἐκείνου λεγομένης ἀρίστης πολιτείας μᾶλλον ἢ τῶν ἄλλων πασῶν καὶ τῶν γιγνομένων πάντων; καὶ διά τε τοῦ χρόνου, δι' ὃν λέγει πάντα μεταβάλλειν, καὶ τὰ μὴ ἅμα ἀρξάμενα γίγνεσθαι ἅμα μεταβάλλει, οἷον εἰ τῇ προτέρᾳ ἡμέρᾳ ἐγένετο τῆς τροπῆς, ἅμα ἄρα μεταβάλλει. πρὸς δὲ τȣ́τοις διὰ τίν' αἰτίαν ἐκ ταύτης εἰς τὴν Λακωνικὴν μεταβάλλει; πλεονάκις γὰρ εἰς τὴν ἐναντίαν μεταβάλλουσι πᾶσαι αἱ πολιτεῖαι ἢ τὴν σύνεγγυς. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἄλλων μεταβολῶν· ἐκ γὰρ τῆς Λακωνικῆς, φησί, μεταβάλλει εἰς τὴν ὀλιγαρχίαν, ἐκ δὲ ταύτης εἰς δημοκρατίαν, εἰς τυραννίδα δὲ ἐκ δημοκρατίας. καίτοι καὶ ἀνάπαλιν μεταβάλλȣσιν, οἷον ἐκ δήμου εἰς ὀλιγαρχίαν, καὶ μᾶλλον ἢ εἰς μοναρχίαν. ἔτι δὲ τυραννίδος ȣ̓ λέγει ȣ̓́τ' εἰ ἔϛαι μεταβολὴ ȣ̓́τ' εἰ μὴ ἔϛαι, διὰ τίν' αἰτίαν καὶ εἰς ποίαν πολιτείαν. τȣ́τȣ δ' αἴτιον ὅτι ȣ̓ ῥᾳδίως ἂν εἶχε λέγειν· ἀόριϛον γάρ, ἐπεὶ κατ' ἐκεῖνον δεῖ εἰς τὴν πρώτην καὶ τὴν ἀρίϛην· ȣ̔́τω γὰρ ἂν ἐγίγνετο συνεχὲς καὶ κύκλος. ἀλλὰ μεταβάλλει καὶ εἰς τυραννίδα τυραννίς, ὥσπερ ἡ Σικυῶνος ἐκ τῆς Μύρωνος εἰς τὴν Κλεισθένȣς, καὶ εἰς ὀλιγαρχίαν, ὥσπερ ἡ ἐν Χαλκίδι ἡ Ἀντιλέοντος, καὶ εἰς δημοκρατίαν, ὥσπερ ἡ τῶν Γέλωνος ἐν Συρακούσαις, καὶ εἰς ἀριστοκρατίαν, ὥσπερ ἡ Χαριλάȣ ἐν Λακεδαίμονι καὶ ἐν Καρχηδόνι. καὶ εἰς τυραννίδα μεταβάλλει ἐξ ὀλιγαρχίας, ὥσπερ ἐν Σικελίᾳ σχεδὸν αἱ πλεῖσται τῶν ἀρχαίων, ἐν Λεοντίνοις εἰς τὴν Παναιτίȣ τυραννίδα καὶ ἐν Γέλᾳ εἰς τὴν Κλεάνδρȣ καὶ ἐν Ῥηγίῳ εἰς τὴν Ἀναξιλάȣ καὶ ἐν ἄλλαις πολλαῖς πόλεσιν ὡσαύτως. ἄτοπον δὲ καὶ τὸ οἴεσθαι εἰς ὀλιγαρχίαν διὰ τȣ̃το μεταβάλλειν ὅτι φιλοχρήματοι καὶ χρηματιϛαὶ οἱ ἐν ταῖς ἀρχαῖς, ἀλλ' ȣ̓χ ὅτι οἱ πολλοὶ ὑπερέχ οὐσίαις οὐ δίκαιον οἴονται εἶναι ἴσον μετέχειν τ τοὺς κεκτημένους μηθὲν τοῖς κεκτημένοις· ἐν τ ὀλιγαρχίαις ȣ̓κ ἔξεϛι χρηματίζεσθαι, ἀλλὰ νό κωλύοντες· ἐν Καρχηδόνι δὲ δημοκρατȣμένη χ ται καὶ ȣ̓́πω μεταβεβλήκασιν. ἄτοπον δὲ καὶ δύο πόλεις εἶναι τὴν ὀλιγαρχικήν, πλουσίων κα τί γὰρ αὐτὴ μᾶλλον τῆς Λακωνικῆς πέπονθεν ἄλλης, οὗ μὴ πάντες κέκτηνται ἴσα ἢ μὴ πάν εἰσὶν ἀγαθοὶ ἄνδρες; ȣ̓δενὸς δὲ πενεϛέρȣ γενομέν ρον ȣ̓θὲν ἧττον μεταβάλλȣσιν εἰς δῆμον ἐξ ὀλιγ γένωνται πλείȣς οἱ ἄποροι, καὶ ἐκ δήμου εἰς ὀ ἐὰν κρεῖττον ᾖ τȣ̃ πλήθȣς τὸ εὔπορον καὶ οἱ μ σιν οἱ δὲ προσέχωσι τὸν νȣ̃ν. πολλῶν τε ȣ̓σῶν ὧν γίγνονται αἱ μεταβολαί, ȣ̓ λέγει ἀλλὰ μίαν τευόμενοι κατατοκιζόμενοι γίγνονται πένητες, ὡς πλȣσίων ὄντων πάντων ἢ τῶν πλείϛων. τȣ̃το δ' δος, ἀλλ' ὅταν μὲν τῶν ἡγεμόνων τινὲς ἀπολ οὐσίας, καινοτομȣ̃σιν, ὅταν δὲ τῶν ἄλλων, οὐθὲ δεινόν. καὶ μεταβάλλȣσιν ȣ̓θὲν μᾶλλον ȣ̓δέποτε ἢ εἰς ἄλλην πολιτείαν. ἔτι δὲ κἂν τιμῶν μὴ μ κἂν ἀδικῶνται ἢ ὑβρίζωνται, ϛασιάζȣσι καὶ μετ τὰς πολιτείας, κἂν μὴ καταδαπανήσωσι τὴν ȣ̓σί ἐξεῖναι ὅτι ἂν βȣ́λωνται ποιεῖν· ȣ̃ αἰτίαν τὴν ἀ θερίαν εἶναί φησιν. πλειόνων δ' ȣ̓σῶν ὀλιγαρχιῶ μοκρατιῶν, ὡς μιᾶς ȣ̓́σης ἑκατέρας λέγει τὰς με ὁ Σωκράτης.

Ζ.

Πόσαι μὲν οὖν διαφοραὶ καὶ τίνες τοῦ τε β καὶ κυρίȣ τῆς πολιτείας καὶ τῆς περὶ τὰς ἀρχὰς καὶ περὶ δικαστηρίων, καὶ ποῖα πρὸς ποίαν συν πολιτείαν, ἔτι δὲ περὶ φθορᾶς τε καὶ σωτηρίας τῶ τειῶν, ἐκ ποίων τε γίνεται καὶ διὰ τίνας αἰτίας, πρότερον. ἐπεὶ δὲ τετύχηκεν εἴδη πλείω δημοκρατ καὶ τῶν ἄλλων ὁμοίως πολιτειῶν, ἅμα τε περὶ ἀ τι λοιπόν, ȣ̓ χεῖρον ἐπισκέψασθαι, καὶ τὸν οἰκεῖον συμφέροντα τρόπον ἀποδοῦναι πρὸς ἑκάστην. ἔτι τὰς συναγωγὰς αὐτῶν τῶν εἰρημένων ἐπισκεπτέον

4. τοῦ R^b. ‖ 7. διαδράγματος V^b. ‖ 8. φυȣ́σης καὶ κρείττους καὶ φαύλους τῆς V^b. ‖ 13. ἢ] καὶ V^b. ‖ 14. γενομένων R^b τὴν ὀλιγαρχίαν μεταβάλλει R^b. ‖ 26. εἰς ποίαν πολιτείαν post 25. μεταβολὴ Schneiderus. ‖ 27. ῥάδιον I^b. ‖ 29. ἂν om R^b. R^bV^b. ‖ 30. ἡ — b 23. τὸ] haec R^b post 1317 a 14. πόλεσιν. ‖ 38. σημείωσαι ἕτερον ῥήγιον margo V^b. ‖ ἀνεξιλάȣ I^bV^b.
10. δὲ] γὰρ R^b. ‖ 14. τε] δὲ R^b. ‖ 16. κατοκιζόμενοι V^b, καταταβιζόμενοι R^b. ‖ 25. φασιν $I^bR^bV^b$. ‖ 38. τὸν alterum

των· ταῦτα γὰρ συνδυαζόμενα ποιεῖ τὰς πολιτείας
τειν, ὥστε ἀριστοκρατίας τε ὀλιγαρχικὰς εἶναι καὶ
ς δημοκρατικωτέρας. λέγω δὲ τοὺς συνδυασμούς,
έν ἐπισκοπεῖν, οὐκ ἐσκεμμένοι δ' εἰσὶ νῦν, οἷον ἂν
βουλευόμενον καὶ τὸ περὶ τὰς ἀρχαιρεσίας ὀλιγαρ-
συντεταγμένον, τὰ δὲ περὶ τὰ δικαστήρια ἀριστο-
, ἢ ταῦτα μὲν καὶ τὸ περὶ τὸ βουλευόμενον ὀλι-
ς, ἀριστοκρατικῶς δὲ τὸ περὶ τὰς ἀρχαιρεσίας, ἢ
λον τινὰ τρόπον μὴ πάντα συντεθῇ τὰ τῆς πολι-
εῖα. ποία μὲν οὖν δημοκρατία πρὸς ποίαν ἁρμότ-
ν, ὡσαύτως δὲ καὶ ποία τῶν ὀλιγαρχιῶν ποίῳ
καὶ τῶν λοιπῶν δὲ πολιτειῶν τίς συμφέρει τίσιν,
πρότερον. ὅμως δὲ δεῖ γενέσθαι δῆλον μὴ μόνον
ων τῶν πολιτειῶν ἀρίστη ταῖς πόλεσιν, ἀλλὰ καὶ
κατασκευάζειν καὶ ταύτας καὶ τὰς ἄλλας ἐπέλ-
υντόμως. καὶ πρῶτον περὶ δημοκρατίας εἴπωμεν·
ρ καὶ περὶ τῆς ἀντικειμένης πολιτείας φανερόν,
ἐστὶν ἣν καλοῦσί τινες ὀλιγαρχίαν. ληπτέον δὲ
την τὴν μέθοδον πάντα τὰ δημοτικὰ καὶ τὰ δο-
ις δημοκρατίαις ἀκολουθεῖν· ἐκ γὰρ τούτων συντι-
τὰ τῆς δημοκρατίας εἴδη γίνεσθαι συμβαίνει, καὶ
δημοκρατίας μιᾶς εἶναι καὶ διαφόρους. δύο γάρ
ίαι δι' ἅσπερ αἱ δημοκρατίαι πλείους εἰσί, πρῶτον
εχθεῖσα πρότερον, ὅτι διάφοροι οἱ δῆμοι· γίνεται
μὲν γεωργικὸν πλῆθος, τὸ δὲ βάναυσον καὶ θητι-
τοῦ πρώτου τῷ δευτέρῳ προσλαμβανομένου, καὶ τοῦ
λιν τοῖς ἀμφοτέροις, οὐ μόνον διαφέρει τῷ βελτίω
ω γίνεσθαι τὴν δημοκρατίαν, ἀλλὰ καὶ τῷ μὴ
ίν. δευτέρα δὲ περὶ ἧς νῦν λέγομεν· τὰ γὰρ ταῖς
τίαις ἀκολουθοῦντα καὶ δοκοῦντα εἶναι τῆς πολιτείας
αύτης ποιεῖ συντιθέμενα τὰς δημοκρατίας ἑτέρας·
γὰρ ἐλάττω, τῇ δ' ἀκολουθήσει πλείονα, τῇ δ'
ταῦτα. χρήσιμον δ' ἕκαστον αὐτῶν γνωρίζειν πρός
ατασκευάζειν ἣν ἄν τις αὐτῶν τύχῃ βουλόμενος,
τὰς διορθώσεις. ζητοῦσι μὲν γὰρ οἱ τὰς πολιτείας
ες ἅπαντα τὰ οἰκεῖα συναγαγεῖν πρὸς τὴν ὑπό-
μαρτάνουσι δὲ τοῦτο ποιοῦντες, καθάπερ ἐν τοῖς περὶ
ὰς καὶ τὰς σωτηρίας τῶν πολιτειῶν εἴρηται πρότερον.
ὰ ἀξιώματα καὶ τὰ ἤθη καὶ ὧν ἐφίενται λέγωμεν.
όθεσις μὲν οὖν τῆς δημοκρατικῆς πολιτείας ἐλευ-
οῦτο γὰρ λέγειν εἰώθασιν, ὡς ἐν μόνῃ τῇ πολιτείᾳ

ταύτῃ μετέχοντας ἐλευθερίας· τούτου γὰρ στοχάζεσθαί φασι πᾶσαν δημοκρατίαν. ἐλευθερίας δὲ ἓν μὲν τὸ ἐν μέρει ἄρχεσθαι καὶ ἄρχειν. καὶ γὰρ τὸ δίκαιον τὸ δημοτικὸν τὸ ἴσον ἔχειν ἐστὶ κατ' ἀριθμὸν ἀλλὰ μὴ κατ' ἀξίαν, τούτου δ' ὄντος τοῦ δικαίου τὸ πλῆθος ἀναγκαῖον εἶναι κύριον, καὶ ὅ τι ἂν δόξῃ τοῖς πλείοσι, τοῦτ' εἶναι καὶ τέλος καὶ τοῦτ' εἶναι τὸ δίκαιον· φασὶ γὰρ δεῖν ἴσον ἔχειν ἕκαστον τῶν πολιτῶν· ὥστε ἐν ταῖς δημοκρατίαις συμβαίνει κυριωτέρους εἶναι τοὺς ἀπόρους τῶν εὐπόρων· πλείους γάρ εἰσι, κύριον δὲ τὸ τοῖς πλείοσι δόξαν. ἓν μὲν οὖν τῆς ἐλευθερίας σημεῖον τοῦτο, ὃν τίθενται πάντες οἱ δημοτικοὶ τῆς πολιτείας ὅρον, ἓν δὲ τὸ ζῆν ὡς βούλεταί τις· τοῦτο γὰρ τῆς ἐλευθερίας ἔργον εἶναί φασιν, εἴπερ τοῦ δούλου ὄντος τὸ ζῆν μὴ ὡς βούλεται. τῆς μὲν οὖν δημοκρατίας ὅρος οὗτος δεύτερος, ἐντεῦθεν δ' ἐλήλυθε τὸ μὴ ἄρχεσθαι, μάλιστα μὲν ὑπὸ μηθενός, εἰ δὲ μή, κατὰ μέρος. καὶ συμβάλλεται ταύτῃ πρὸς τὴν ἐλευθερίαν τὴν κατὰ τὸ ἴσον. τούτων δ' ὑποκειμένων καὶ τοιαύτης οὔσης τῆς ἀρχῆς τὰ τοιαῦτα δημοτικά, τὸ αἱρεῖσθαι τὰς ἀρχὰς πάντας ἐκ πάντων, τὸ ἄρχειν πάντας μὲν ἑκάστου ἕκαστον δ' ἐν μέρει πάντων, τὸ κληρωτὰς εἶναι τὰς ἀρχὰς ἢ πάσας ἢ ὅσαι μὴ ἐμπειρίας δέονται καὶ τέχνης, τὸ μὴ ἀπὸ τιμήματος μηθενὸς εἶναι τὰς ἀρχὰς ἢ ὅτι μικροτάτου, τὸ μὴ δὶς τὸν αὐτὸν ἄρχειν μηδεμίαν ἢ ὀλιγάκις ἢ ὀλίγας ἔξω τῶν κατὰ πόλεμον, τὸ ὀλιγοχρονίους τὰς ἀρχὰς ἢ πάσας ἢ ὅσας ἐνδέχεται, τὸ δικάζειν πάντας καὶ ἐκ πάντων καὶ περὶ πάντων ἢ περὶ τῶν πλείστων καὶ τῶν μεγίστων καὶ τῶν κυριωτάτων, οἷον περὶ εὐθυνῶν καὶ πολιτείας καὶ τῶν ἰδίων συναλλαγμάτων, τὸ τὴν ἐκκλησίαν κυρίαν εἶναι πάντων, ἀρχὴν δὲ μηδεμίαν μηθενὸς ἢ ὅτι ὀλιγίστων ἢ τῶν μεγίστων κυρίαν. τῶν δ' ἀρχῶν δημοτικώτατον βουλή, ὅπου μὴ μισθοῦ εὐπορία πᾶσιν· ἐνταῦθα γὰρ ἀφαιροῦνται καὶ ταύτης τῆς ἀρχῆς τὴν δύναμιν· εἰς αὑτὸν γὰρ ἀνάγει τὰς κρίσεις πάσας ὁ δῆμος εὐπορῶν μισθοῦ, καθάπερ εἴρηται πρότερον ἐν τῇ μεθόδῳ τῇ πρὸ ταύτης. ἔπειτα τὸ μισθοφορεῖν, μάλιστα μὲν πάντας, ἐκκλησίαν δικαστήρια ἀρχάς, εἰ δὲ μή, τὰς ἀρχὰς καὶ τὰ δικαστήρια καὶ τὴν βουλὴν καὶ τὰς ἐκκλησίας τὰς κυρίας, ἢ τῶν ἀρχῶν ἃς ἀνάγκη συσσιτεῖν μετ' ἀλλήλων. ἔτι ἐπειδὴ ὀλιγαρχία καὶ γένει καὶ πλούτῳ καὶ παιδείᾳ ὁρίζεται, τὰ δημοτικὰ δοκεῖ τἀναντία τούτων εἶναι, ἀγένεια πενία βαναυσία. ἐπὶ δὲ τῶν ἀρχῶν τὸ μηδεμίαν ἀΐδιον εἶναι·

om W^b. ‖ 6. τὰ alterum om I^b. ‖ 9. τῆς om R^b. ‖ 11. ὀλιγαρχικῶν $I^bR^bW^b$. ‖ 12. τί I^b. ‖ 15. ταύτας] πάντας
9. γὰρ] δὲ W^b. ‖ 31. ἑτέρας om W^b. ‖ 32. τῇ μὲν] τῆς μὲν R^b. ‖ 34. τύχοι W^b. ‖ 39. λέγομεν I^bW^b.
καὶ τῶν μεγίστων om R^b. ‖ 30. ἢ τῶν μεγίστων post 29. πάντων interpretes. ‖ 37. τὴν om codices. ‖ 41. ἴδιον R^b.

ἐὰν δέ τις καταλειφθῇ ἐξ ἀρχαίας μεταβολῆς, τότε περιαιρεῖσθαι τὴν δύναμιν αὐτῆς καὶ ἐξ αἱρετῶν κληρωτοὺς ποιεῖν. τὰ μὲν οὖν κοινὰ ταῖς δημοκρατίαις ταῦτ' ἐστί, συμβαίνει δ' ἐκ τοῦ δικαίου τοῦ ὁμολογουμένου εἶναι δημοκρατικοῦ (τοῦτο δ' ἐστὶ τὸ ἴσον ἔχειν ἅπαντας κατ' ἀριθμόν) ἡ μάλιστ' εἶναι δοκοῦσα δημοκρατία καὶ δῆμος· ἴσον γὰρ τὸ μηθὲν μᾶλλον ἄρχειν τοὺς ἀπόρους ἢ τοὺς εὐπόρους, μηδὲ κυρίους εἶναι μόνους ἀλλὰ πάντας ἐξ ἴσου κατ' ἀριθμόν· οὕτω γὰρ ἂν ὑπάρχειν νομίζοιεν τήν τ' ἰσότητα τῇ πολιτείᾳ καὶ τὴν ἐλευθερίαν.

3 Τὸ δὲ μετὰ τοῦτο ἀπορεῖται πῶς ἕξουσι τὸ ἴσον, πότερον δεῖ τὰ τιμήματα διελεῖν χιλίοις τὰ τῶν πεντακοσίων καὶ τοὺς χιλίους ἴσον δύνασθαι τοῖς πεντακοσίοις, ἢ οὐχ οὕτω δεῖ τιθέναι τὴν κατὰ τοῦτο ἰσότητα, ἀλλὰ διελεῖν μὲν οὕτως, ἔπειτα ἐκ τῶν πεντακοσίων ἴσους λαβόντα καὶ ἐκ τῶν χιλίων, τούτους κυρίους εἶναι τῶν διαιρέσεων καὶ τῶν δικαστηρίων. πότερον οὖν αὕτη ἡ πολιτεία δικαιοτάτη κατὰ τὸ δημοτικὸν δίκαιον, ἢ μᾶλλον ἡ κατὰ τὸ πλῆθος; φασὶ γὰρ οἱ δημοτικοὶ τοῦτο δίκαιον ὅ τι ἂν δόξῃ τοῖς πλείοσιν, οἱ δ' ὀλιγαρχικοὶ ὅ τι ἂν δόξῃ τῇ πλείονι οὐσίᾳ· κατὰ πλῆθος γὰρ οὐσίας φασὶ κρίνεσθαι δεῖν. ἔχει δ' ἀμφότερα ἀνισότητα καὶ ἀδικίαν· εἰ μὲν γὰρ ὅ τι ἂν οἱ ὀλίγοι, τυραννίς (καὶ γὰρ ἐὰν εἷς ἔχῃ πλείω τῶν ἄλλων εὐπόρων, κατὰ τὸ ὀλιγαρχικὸν δίκαιον ἄρχειν δίκαιος μόνος), εἰ δ' ὅ τι ἂν οἱ πλείους κατ' ἀριθμόν, ἀδικήσουσι δημεύοντες τὰ τῶν πλουσίων καὶ ἐλαττόνων, καθάπερ εἴρηται πρότερον. τίς ἂν οὖν εἴη ἰσότης ἣν ὁμολογήσουσιν ἀμφότεροι, σκεπτέον ἐξ ὧν ὁρίζονται δικαίων ἀμφότεροι. λέγουσι γὰρ ὡς ὅ τι ἂν δόξῃ τοῖς πλείοσι τῶν πολιτῶν, τοῦτ' εἶναι δεῖ κύριον. ἔστω δὴ τοῦτο, μὴ μέντοι πάντως, ἀλλ' ἐπειδὴ δύο μέρη τετύχηκεν ἐξ ὧν ἡ πόλις, πλούσιοι καὶ πένητες, ὅ τι ἂν ἀμφοτέροις δόξῃ ἢ τοῖς πλείοσι, τοῦτο κύριον ἔστω, ἐὰν δὲ τἀναντία δόξῃ, ὅ τι ἂν οἱ πλείους καὶ ὧν τὸ τίμημα πλεῖον. οἷον οἱ μὲν δέκα οἱ δ' εἴκοσιν, ἔδοξε δὲ τῶν μὲν πλουσίων τοῖς ἕξ, τῶν δ' ἀπορωτέρων τοῖς πεντεκαίδεκα· προσγεγένηνται τοῖς μὲν πένησι τέτταρες τῶν πλουσίων, τοῖς δὲ πλουσίοις πέντε τῶν πενήτων. ὁποτέρων οὖν τὸ τίμημα ὑπερτείνει συναριθμουμένων ἀμφοτέρων ἑκατέροις, τοῦτο κύριον. ἐὰν δὲ ἴσοι συμπέσωσι, κοινὴν εἶναι ταύτην νομιστέον ἀπορίαν ὥσπερ νῦν, ἐὰν δίχα ἡ ἐκκλησία γένηται ἢ τὸ δικαστήριον· ἢ

γὰρ ἀποκληρωτέον ἢ ἄλλο τι τοιοῦτον ποιητέον. ἀλ
μὲν τοῦ ἴσου καὶ τοῦ δικαίου, κἂν ᾖ πάνυ χαλεπ
τὴν ἀλήθειαν περὶ αὐτῶν, ὅμως ῥᾷον τυχεῖν ἢ σ
τοὺς δυναμένους πλεονεκτεῖν· ἀεὶ γὰρ ζητοῦσι τὸ ἴσ
δίκαιον οἱ ἥττους, οἱ δὲ κρατοῦντες οὐδὲν φροντίζουσι

Δημοκρατιῶν δ' οὐσῶν τεττάρων βελτίστη μὲν
τάξει, καθάπερ ἐν τοῖς πρὸ τούτων ἐλέχθη λόγοις
καὶ ἀρχαιοτάτη πασῶν αὕτη. λέγω δὲ πρώτην
τις διέλοι τοὺς δήμους· βέλτιστος γὰρ δῆμος ὁ
ἐστιν, ὥστε καὶ ποιεῖν ἐνδέχεται δημοκρατίαν, ὅπ
πλῆθος ἀπὸ γεωργίας ἢ νομῆς. διὰ μὲν γὰρ τὸ
λὴν οὐσίαν ἔχειν ἄσχολος, ὥστε μὴ πολλάκις ἐκκλ
διὰ δὲ τὸ μὴ ἔχειν τἀναγκαῖα πρὸς τοῖς ἔργοι
βουσι καὶ τῶν ἀλλοτρίων οὐκ ἐπιθυμοῦσιν, ἀλλ'
ἐργάζεσθαι τοῦ πολιτεύεσθαι καὶ ἄρχειν, ὅπου
λήμματα μεγάλα ἀπὸ τῶν ἀρχῶν. οἱ γὰρ πολ
λοὶ ὀρέγονται τοῦ κέρδους ἢ τῆς τιμῆς. σημεῖον
γὰρ τὰς ἀρχαίας τυραννίδας ὑπέμενον καὶ τὰς ὀλ
ὑπομένουσιν, ἐάν τις αὐτοὺς ἐργάζεσθαι μὴ κωλ
ἀφαιρῆται μηθέν· ταχέως γὰρ οἱ μὲν πλουτοῦσι
οἱ δ' οὐκ ἀποροῦσιν. ἔτι δὲ τὸ κυρίους εἶναι τοῦ ἑλέσ
εὐθύνειν ἀναπληροῖ τὴν ἔνδειαν, εἴ τι φιλοτιμίας
ἐπεὶ παρ' ἐνίοις δήμοις, κἂν μὴ μετέχωσι τῆς
τῶν ἀρχῶν ἀλλά τινες αἱρετοὶ κατὰ μέρος ἐκ
ὥσπερ ἐν Μαντινείᾳ, τοῦ δὲ βουλεύεσθαι κύριοι ὦσι,
ἔχει τοῖς πολλοῖς. καὶ δεῖ νομίζειν καὶ τοῦτ' εἶναι
τι δημοκρατίας, ὥσπερ ἐν Μαντινείᾳ ποτ' ἦν. διὸ
συμφέρον ἐστὶ τῇ πρότερον ῥηθείσῃ δημοκρατίᾳ καὶ
χειν εἴωθεν, αἱρεῖσθαι μὲν τὰς ἀρχὰς καὶ εὐθύνε
δικάζειν πάντας, ἄρχειν δὲ τὰς μεγίστας αἱρετοὺς καὶ
τιμημάτων, τὰς μείζους ἀπὸ μειζόνων, ἢ καὶ ἀπ
μάτων μὲν μηδεμίαν, ἀλλὰ τοὺς δυναμένους. ἀν
πολιτευομένους οὕτω πολιτεύεσθαι καλῶς (αἵ τε γὰρ
ἀεὶ διὰ τῶν βελτίστων ἔσονται τοῦ δήμου βουλομένου κ
ἐπιεικέσιν οὐ φθονοῦντος) καὶ τοῖς ἐπιεικέσι καὶ γ
ἀρκοῦσαν εἶναι ταύτην τὴν τάξιν· ἄρξονται γὰρ
ἄλλων χειρόνων, καὶ ἄρξουσι δικαίως διὰ τὸ τῶν
εἶναι κυρίους ἑτέρους. τὸ γὰρ ἐπανακρέμασθαι, καὶ
ἐξεῖναι ποιεῖν ὅ τι ἂν δόξῃ, συμφέρον ἐστίν· ἡ γὰρ
τοῦ πράττειν ὅ τι ἂν ἐθέλῃ τις οὐ δύναται φυλάττε

5. ἢ W^b. ‖ 7. τοὺς ἀπόρους ἢ om R^b. ‖ 12. τμήματα $R^b W^b$. ‖ 18. ἡ om R^b. ‖ 24. ἄρχει W^b. ‖ 27. ὁμολογήσουσι σκεπτέον — 28. ἀμφότεροι om R^b et pr I^b. ‖ 38. κύριον] δίκαιον R^b.

9. διέλῃ I^b. ‖ 17. ἢ om I^b. ‖ 18. γάρ] γὰρ καὶ $R^b W^b$. ‖ τυραννίδας — ὀλιγαρχίας om W^b. ‖ 28. ἐστὶ] εἶναι W^b. φανερόν R^b.

ῳ τῶν ἀνθρώπων φαῦλον. ὥστε ἀναγκαῖον συμβαίόπερ ἐστὶν ὠφελιμώτατον ἐν ταῖς πολιτείαις, ἄρχειν πιεικεῖς ἀναμαρτήτους ὄντας, μηδὲν ἐλαττουμένου τοῦ ους. ὅτι μὲν οὖν αὕτη τῶν δημοκρατιῶν ἀρίστη, φανεκαὶ διὰ τίν' αἰτίαν, ὅτι διὰ τὸ ποιόν τινα εἶναι τὸν ι· πρὸς δὲ τὸ κατασκευάζειν γεωργὸν τὸν δῆμον τῶν μων τινὲς τῶν παρὰ τοῖς πολλοῖς κειμένων τὸ ἀρι χρήσιμοι πάντες, ἢ τὸ ὅλως μὴ ἐξεῖναι κεκτῆσθαι ι γῆν μέτρου τινὸς ἢ ἀπό τινος τόπου πρὸς τὸ ἄστυ ὴν πόλιν. ἦν δὲ τό γε ἀρχαῖον ἐν πολλαῖς πόλεσι οθετημένον μηδὲ πωλεῖν ἐξεῖναι τοὺς πρώτους κλήρους. ὲ καὶ ὃν λέγουσιν Ὀξύλου νόμον εἶναι τοιοῦτόν τι δυνος, τὸ μὴ δανείζειν εἴς τι μέρος τῆς ὑπαρχούσης ῳ γῆς. νῦν δὲ δεῖ διορθοῦν καὶ τῷ Ἀφυταίων νόμῳ· γὰρ ὃ λέγομεν ἐστὶ χρήσιμος. ἐκεῖνοι γάρ, καίπερ πολλοὶ κεκτημένοι δὲ γῆν ὀλίγην, ὅμως πάντες γεωρ· τιμῶνται γὰρ οὐχ ὅλας τὰς κτήσεις, ἀλλὰ κατὰ αῦτα μόρια διαιροῦντες ὥστ' ἔχειν ὑπερβάλλειν ταῖς εσι καὶ τοὺς πένητας. μετὰ δὲ τὸ γεωργικὸν πλῆθος στος δῆμός ἐστιν ὅπου νομεῖς εἰσὶ καὶ ζῶσιν ἀπὸ βοάτων· πολλὰ γὰρ ἔχει τῇ γεωργίᾳ παραπλησίως, ὰ πρὸς τὰς πολεμικὰς πράξεις μάλισθ' οὗτοι γεγυμένοι τὰς ἕξεις καὶ χρήσιμοι τὰ σώματα καὶ δυνοι θυραυλεῖν. τὰ δ' ἄλλα πλήθη πάντα σχεδόν, ἐξ ἱ λοιπαὶ δημοκρατίαι συνεστᾶσι, πολλῷ φαυλότερα · ὁ γὰρ βίος φαῦλος, καὶ οὐθὲν ἔργον μετ' ἀρετῆς εταχειρίζεται τὸ πλῆθος τό τε τῶν βαναύσων καὶ ῶν ἀγοραίων ἀνθρώπων καὶ τὸ θητικόν. ἔτι δὲ διὰ τὸ τὴν ἀγορὰν καὶ τὸ ἄστυ κυλίεσθαι πᾶν τὸ τοιοῦτον ὡς εἰπεῖν ῥᾳδίως ἐκκλησιάζει· οἱ δὲ γεωργοῦντες διὰ εσπάρθαι κατὰ τὴν χώραν οὔτ' ἀπαντῶσιν οὔθ' ὁμοίως ιι τῆς συνόδου ταύτης. ὅπου δὲ καὶ συμβαίνει τὴν ν τὴν θέσιν ἔχειν τοιαύτην ὥστε τὴν χώραν πολὺ τῆς υς ἀπηρτῆσθαι, ῥᾴδιον καὶ δημοκρατίαν ποιεῖσθαι χρηαὶ πολιτείαν· ἀναγκάζεται γὰρ τὸ πλῆθος ἐπὶ τῶν ν ποιεῖσθαι τὰς ἀποικίας, ὥστε δεῖ, κἂν ἀγοραῖος ς ᾖ, μὴ ποιεῖν ἐν ταῖς δημοκρατίαις ἐκκλησίας ἄνευ ιτὰ τὴν χώραν πλήθους. πῶς μὲν οὖν δεῖ κατασκευάτὴν βελτίστην καὶ πρώτην δημοκρατίαν, εἴρηται· φα- δὲ καὶ πῶς τὰς ἄλλας· ἑπομένως γὰρ δεῖ παρεκβαίνειν καὶ τὸ χεῖρον ἀεὶ πλῆθος χωρίζειν. τὴν δὲ τελευταίαν, διὰ τὸ πάντας κοινωνεῖν, οὔτε πάσης ἐστὶ πόλεως φέρειν, οὔτε ῥᾴδιον διαμένειν μὴ τοῖς νόμοις καὶ τοῖς ἔθεσιν εὖ συγκειμένην· ἃ δὲ φθείρειν συμβαίνει καὶ ταύτην καὶ τὰς ἄλλας πολιτείας, εἴρηται πρότερον τὰ πλεῖστα σχεδόν. πρὸς δὲ τὸ καθιστάναι ταύτην τὴν δημοκρατίαν, καὶ τὸν δῆμον ποιεῖν ἰσχυρὸν εἰώθασιν οἱ προεστῶτες τῷ προσλαμβάνειν ὡς πλείστους καὶ ποιεῖν πολίτας μὴ μόνον τοὺς γνησίους ἀλλὰ καὶ τοὺς νόθους καὶ τοὺς ἐξ ὁποτερουοῦν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρός· ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον. εἰώθασι μὲν οὖν οἱ δημαγωγοὶ κατασκευάζειν οὕτως, δεῖ μέντοι προσλαμβάνειν μέχρις ἂν ὑπερτείνῃ τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων, καὶ τούτου μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀτακτοτέραν τε ποιοῦσι τὴν πολιτείαν, καὶ τοὺς γνωρίμους πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν παροξύνουσι μᾶλλον, ὅπερ συνέβη τῆς στάσεως αἴτιον γενέσθαι περὶ Κυρήνην· ὀλίγον μὲν γὰρ πονηρὸν παροραται, πολὺ δὲ γινόμενον ἐν ὀφθαλμοῖς μᾶλλόν ἐστιν. ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες. φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινά, καὶ πάντα σοφιστέον ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον. ἔτι δὲ καὶ τὰ τυραννικὰ κατασκευάσματα δημοτικὰ δοκεῖ πάντα, λέγω δ' οἷον ἀναρχία τε δούλων (αὕτη δ' ἂν εἴη μέχρι του συμφέρουσα) καὶ γυναικῶν καὶ παίδων, καὶ τὸ ζῆν ὅπως τις βούλεται παροραν. πολὺ γὰρ ἔσται τὸ τῇ τοιαύτῃ πολιτείᾳ βοηθοῦν· ἥδιον γὰρ τοῖς πολλοῖς τὸ ζῆν ἀτάκτως ἢ τὸ σωφρόνως.

Ἔστι δ' ἔργον τοῦ νομοθέτου καὶ τῶν βουλομένων συ- 5
νιστάναι τινὰ τοιαύτην πολιτείαν οὐ τὸ καταστῆσαι μέγιστον ἔργον οὐδὲ μόνον, ἀλλ' ὅπως σῴζηται μᾶλλον· μίαν γὰρ ἢ δύο ἢ τρεῖς ἡμέρας οὐ χαλεπὸν μεῖναι πολιτευομένους ὁπωσοῦν. διὸ δεῖ, περὶ ὧν τεθεώρηται πρότερον, τίνες σωτηρίαι καὶ φθοραὶ τῶν πολιτειῶν, ἐκ τούτων πειρᾶσθαι κατασκευάζειν τὴν ἀσφάλειαν, εὐλαβουμένους μὲν τὰ φθείροντα, τιθεμένους δὲ τοιούτους νόμους καὶ τοὺς ἀγράφους καὶ τοὺς γε-

. μηδὲ $R^{b}V^{l}$. ‖ 4. δημοκρατικῶν R^{b}. ‖ 9. τινος om R^{b}. ‖ 14. ἀφυτάλων $I^{b}R^{b}V^{b}$. ‖ 16. δὴ R^{b}. ‖ 27. τό] τῶν R^{b}. ‖ 37. ατικαῖς ἐκκλησίαις codices.

. καὶ om V^{b}. ‖ 5. εἴρηται μὲν πρότερον R^{b}. ‖ 9. καὶ τοὺς νόθους om V^{b}. ‖ ὁποτεροσοῦν R^{b}. ‖ 24. φατρίαι I^{b}. ‖ καὶ τὰ] κατὰ V^{b}. ‖ 31. ἐστι R^{b}.

γραμμένους οἳ περιλήψονται μάλιστα τὰ σώζοντα τὰς πολιτείας, καὶ μὴ νομίζειν τοῦτ' εἶναι δημοτικὸν μηδ' ὀλιγαρχικὸν ὃ ποιήσει τὴν πόλιν ὅτι μάλιστα δημοκρατεῖσθαι ἢ ὀλιγαρχεῖσθαι, ἀλλ' ὃ πλεῖστον χρόνον. οἱ δὲ νῦν δημαγωγοὶ χαριζόμενοι τοῖς δήμοις πολλὰ δημεύουσι διὰ τῶν δικαστηρίων. διὸ δεῖ πρὸς ταῦτα ἀντιπράττειν τοὺς κηδομένους τῆς πολιτείας, νομοθετοῦντας μηδὲν εἶναι δημόσιον τῶν καταδικαζομένων καὶ φερόντων πρὸς τὸ κοινόν, ἀλλ' ἱερόν· οἱ μὲν γὰρ ἀδικοῦντες οὐδὲν ἧττον εὐλαβεῖς ἔσονται (ζημιώσονται γὰρ ὁμοίως), ὁ δ' ὄχλος ἧττον καταψηφιεῖται τῶν κρινομένων, λήψεσθαι μηθὲν μέλλων. ἔτι δὲ τὰς γινομένας δημοσίας δίκας ὡς ὀλιγίστας ἀεὶ ποιεῖν, μεγάλοις ἐπιτιμίοις τοὺς εἰκῇ γραφομένους κωλύοντας· οὐ γὰρ τοὺς δημοτικοὺς ἀλλὰ τοὺς γνωρίμους εἰώθασιν εἰσάγειν, δεῖ δὲ καὶ τῇ πολιτείᾳ πάντας μάλιστα μὲν εὔνους εἶναι τοὺς πολίτας, εἰ δὲ μή, μή τοί γε ὡς πολεμίους νομίζειν τοὺς κυρίους. ἐπεὶ δ' αἱ τελευταῖαι δημοκρατίαι πολυάνθρωποί τέ εἰσι καὶ χαλεπὸν ἐκκλησιάζειν ἀμίσθους, τοῦτο δ' ὅπου πρόσοδοι μὴ τυγχάνουσιν οὖσαι πολέμιον τοῖς γνωρίμοις (ἀπό τε γὰρ εἰσφορᾶς καὶ δημεύσεως ἀναγκαῖον γίνεσθαι καὶ δικαστηρίων φαύλων, ἃ πολλὰς ἤδη δημοκρατίας ἀνέτρεψεν), ὅπου μὲν οὖν πρόσοδοι μὴ τυγχάνουσιν οὖσαι, δεῖ ποιεῖν ὀλίγας ἐκκλησίας, καὶ δικαστήρια πολλῶν μὲν ὀλίγας δ' ἡμέρας. τοῦτο γὰρ φέρει μὲν καὶ πρὸς τὸ μὴ φοβεῖσθαι τοὺς πλουσίους τὰς δαπάνας, ἐὰν οἱ μὲν εὔποροι μὴ λαμβάνωσι δικαστικόν, οἱ δ' ἄποροι, φέρει δὲ καὶ πρὸς τὸ κρίνεσθαι τὰς δίκας πολὺ βέλτιον· οἱ γὰρ εὔποροι πολλὰς μὲν ἡμέρας οὐκ ἐθέλουσιν ἀπὸ τῶν ἰδίων ἀπεῖναι, βραχὺν δὲ χρόνον ἐθέλουσιν. ὅπου δ' εἰσὶ πρόσοδοι, μὴ ποιεῖν ὃ νῦν οἱ δημαγωγοὶ ποιοῦσιν· τὰ γὰρ περιόντα νέμουσιν. λαμβάνουσι δὲ ἅμα, καὶ πάλιν δέονται τῶν αὐτῶν· ὁ τετρημένος γάρ ἐστι πίθος ἡ τοιαύτη βοήθεια τοῖς ἀπόροις. ἀλλὰ δεῖ τὸν ἀληθινῶς δημοτικὸν ὁρᾶν ὅπως τὸ πλῆθος μὴ λίαν ἄπορον ᾖ· τοῦτο γὰρ αἴτιον τοῦ μοχθηρὰν εἶναι τὴν δημοκρατίαν. τεχναστέον οὖν ὅπως ἂν εὐπορία γένοιτο χρόνιος. ἐπεὶ δὲ συμφέρει τοῦτο καὶ τοῖς εὐπόροις, τὰ μὲν ἀπὸ τῶν προσόδων γινόμενα συναθροίζοντας ἀθρόα χρὴ διανέμειν τοῖς ἀπόροις, μάλιστα μὲν εἴ τις δύναται τοσοῦτον ἀθροίζων ὅσον εἰς γηδίου κτῆσιν, εἰ δὲ μή, πρὸς ἀφορμὴν ἐμπορίας καὶ

γεωργίας. καὶ εἰ μὴ πᾶσι δυνατόν, ἀλλὰ κατὰ φυ
τι μέρος ἕτερον ἐν μέρει διανέμειν· ἐν δὲ τούτῳ πρ
ἀναγκαίας συνόδους τοὺς εὐπόρους εἰσφέρειν τὸν μισθόν,
μένους τῶν ματαίων λειτουργιῶν. τοιοῦτον δέ τινα τρόπο
χηδόνιοι πολιτευόμενοι φίλον κέκτηνται τὸν δῆμον· ἀ
τινας ἐκπέμποντες τοῦ δήμου πρὸς τὰς περιοικίδας π
εὐπόρους. χαριέντων δ' ἐστὶ καὶ νοῦν ἐχόντων γνωρίμ
διαλαμβάνοντας τοὺς ἀπόρους ἀφορμὰς [μὲν] διδόντας
ἐπ' ἐργασίας. καλῶς δ' ἔχει μιμεῖσθαι καὶ τὰ Ταρα
ἐκεῖνοι γὰρ κοινὰ ποιοῦντες τὰ κτήματα τοῖς ἀπόροις
χρῆσιν εὔνουν παρασκευάζουσι τὸ πλῆθος. ἔτι δὲ τὰς
πάσας ἐποίησαν διττάς, τὰς μὲν αἱρετὰς τὰς δὲ κλη
τὰς μὲν κληρωτὰς ὅπως ὁ δῆμος αὐτῶν μετέχῃ, τ
αἱρετὰς ἵνα πολιτεύωνται βέλτιον. ἔστι δὲ τοῦτο ποιῆσ
τῆς ἀρχῆς αὐτῆς μερίζοντας, τοὺς μὲν κληρωτοὺς τ
αἱρετούς. πῶς μὲν οὖν δεῖ τὰς δημοκρατίας κατασκε
εἴρηται.

Σχεδὸν δὲ καὶ περὶ τὰς ὀλιγαρχίας πῶς δεῖ φα
ἐκ τούτων. ἐκ τῶν ἐναντίων γὰρ δεῖ συνάγειν ἑκάστ
γαρχίαν πρὸς τὴν ἐναντίαν δημοκρατίαν ἀναλογίζ
τὴν μὲν εὔκρατον μάλιστα τῶν ὀλιγαρχιῶν καὶ πρώτ
αὕτη δ' ἐστὶν ἡ σύνεγγυς τῇ καλουμένῃ πολιτείᾳ, ᾗ δ
τιμήματα διαιρεῖν, τὰ μὲν ἐλάττω τὰ δὲ μείζω ποι
ἐλάττω μὲν ἀφ' ὧν τῶν ἀναγκαίων μεθέξουσιν ἀ
μείζω δ' ἀφ' ὧν τῶν κυριωτέρων· τῷ τε κτωμένῳ τ
μημα μετέχειν ἐξεῖναι τῆς πολιτείας, τοσοῦτον εἰσαγομ
τοῦ δήμου πλῆθος διὰ τοῦ τιμήματος, μεθ' οὗ κρείττονε
ται τῶν μὴ μετεχόντων. ἀεὶ δὲ δεῖ παραλαμβάνειν ἐ
βελτίονος δήμου τοὺς κοινωνούς. ὁμοίως δὲ καὶ τὴν ἐχο
ὀλιγαρχίαν ἐπιτείνοντας δεῖ μικρὸν κατασκευάζειν. τῇ
ἀντικειμένῃ τῇ τελευταίᾳ δημοκρατίᾳ, τῇ δυναστικωτ
καὶ τυραννικωτάτῃ τῶν ὀλιγαρχιῶν, ὅσῳ περ χειρίστη,
τοσούτῳ δεῖ πλείονος φυλακῆς. ὥσπερ γὰρ τὰ μὲν σώ
εὖ διακείμενα πρὸς ὑγίειαν καὶ πλοῖα τὰ πρὸς ναυτ
καλῶς ἔχοντα τοῖς πλωτῆρσιν ἐπιδέχεται πλείους ἁμα
ὥστε μὴ φθείρεσθαι δι' αὐτάς, τὰ δὲ νοσερῶς ἔχοντα
σωμάτων καὶ τὰ τῶν πλοίων ἐκλελυμένα καὶ πλω
τετυχηκότα φαύλων οὐδὲ τὰς μικρὰς δύναται φέρειν ἁ
τίας, οὕτω καὶ τῶν πολιτειῶν αἱ χείρισται πλείστης ἀ

10. καταψηφίζεται pr I^b. ‖ 13. εἰκῇ — 14. ἀλλὰ τοὺς in margine W^b. ‖ 16. τί I^bR^b. ‖ 23. ὀλίγαις δ' ἡμέραις pr I^b. ‖ δικαστήριον R^b. ‖ 31. γὰρ τετρημένος, omisso ἐστι, R^b. ‖ 37. διαμένειν, omissis τοῖς ἀπόροις, R^b. ‖ 39. εὐπορίας $I^bR^bW^b$, quorum γρ ἐμπειρίας, ὃ καὶ δοκεῖ κάλλιον.

3. ἐφιεμένους I^b. ‖ 8. μὲν om I^b. ‖ 11. ἔτι] ἐπεὶ W^b. ‖ 13. ὅπως ὁ δῆμος αὐ om R^b. ‖ 25. τῶν τε κτωμένων I^bR^b. ‖ 3 σώματα I^bR^b. ‖ 38. δύνανται I^b. ‖ 39. πλεῖστον R^b.

κατὰ τὰς ἐγγραφὰς καὶ περὶ τὰς φυλακὰς τῶν σωμάτων. χαλεπὴ μὲν οὖν ἐστὶ διὰ τὸ πολλὴν ἔχειν ἀπέχθειαν, ὥστε ὅπου μὴ μεγάλα ἔστι κερδαίνειν, οὔτ' ἄρχειν ὑπομένουσιν αὐτὴν οὔθ' ὑπομείναντες ἐθέλουσι πράττειν κατὰ τοὺς νόμους· ἀναγκαία δ' ἐστίν, ὅτι οὐδὲν ὄφελος γίνεσθαι μὲν δίκας περὶ τῶν δικαίων, ταύτας δὲ μὴ λαμβάνειν τέλος, ὥστ' εἰ μὴ γιγνομένων κοινωνεῖν ἀδύνατον ἀλλήλοις, καὶ πράξεων μὴ γιγνομένων. διὸ βέλτιον μὴ μίαν εἶναι ταύτην τὴν ἀρχήν, ἀλλ' ἄλλους ἐξ ἄλλων δικαστηρίων. καὶ περὶ τὰς προθέσεις τῶν ἀναγεγραμμένων ὡσαύτως πειρᾶσθαι διαιρεῖν. ἔτι δ' ἔνια πράττεσθαι καὶ τὰς ἀρχὰς τάς τε ἄλλας καὶ τὰς τῶν νέων μᾶλλον τὰς νέας, καὶ τὰς τῶν ἐνεστώτων ἑτέρας καταδικασάσης ἑτέραν εἶναι τὴν πραττομένην, οἷον ἀστυνόμους τὰς παρὰ τῶν ἀγορανόμων, τὰς δὲ παρὰ τούτων ἑτέρους. ὅσῳ γὰρ ἂν ἐλάττων ἀπέχθεια ἐνῇ τοῖς πραττομένοις, τοσούτῳ μᾶλλον λήψονται τέλος αἱ πράξεις· τὸ μὲν οὖν τοὺς αὐτοὺς εἶναι τοὺς καταδικάσαντας καὶ πραττομένους ἀπέχθειαν ἔχει διπλῆν, τὸ δὲ περὶ πάντων τοὺς αὐτοὺς πολεμίους πᾶσιν. πολλαχοῦ δὲ διῄρηται καὶ ἡ φυλάττουσα πρὸς τὴν πραττομένην, οἷον Ἀθήνησι τῶν ἕνδεκα καλουμένων. διὸ βέλτιον καὶ ταύτην χωρίζειν, καὶ τὸ σόφισμα ζητεῖν καὶ περὶ ταύτην. ἀναγκαία μὲν γάρ ἐστιν οὐχ ἧττον τῆς εἰρημένης, συμβαίνει δὲ τοὺς μὲν ἐπιεικεῖς φεύγειν μάλιστα ταύτην τὴν ἀρχήν, τοὺς δὲ μοχθηροὺς οὐκ ἀσφαλὲς ποιεῖν κυρίους· αὐτοὶ γὰρ δέονται φυλακῆς μᾶλλον ἢ φυλάττειν ἄλλους δύνανται. διὸ δεῖ μὴ μίαν ἀποτεταγμένην ἀρχὴν εἶναι πρὸς αὐτοῖς, μηδὲ συνεχῶς τὴν αὐτήν, ἀλλὰ τῶν τε νέων, ὅπου τις ἐφήβων ἢ φρουρῶν ἐστὶ τάξις, καὶ τῶν ἀρχῶν δεῖ κατὰ μέρη ποιεῖσθαι τὴν ἐπιμέλειαν ἑτέρους. ταύτας μὲν οὖν τὰς ἀρχὰς ὡς ἀναγκαιοτάτας θετέον εἶναι πρώτας, μετὰ δὲ ταύτας τὰς ἀναγκαίας μὲν οὐθὲν ἧττον, ἐν σχήματι δὲ μείζονι τεταγμένας· καὶ γὰρ ἐμπειρίας καὶ πίστεως δέονται πολλῆς. τοιαῦται δ' εἶεν αἵ τε περὶ τὴν φυλακὴν τῆς πόλεως, καὶ ὅσαι τάττονται πρὸς τὰς πολεμικὰς χρείας. δεῖ δὲ καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ πυλῶν τε καὶ τειχῶν φυλακῆς ὁμοίως ἐπιμελητὰς εἶναι, καὶ ἐξετάσεως καὶ συντάξεως τῶν πολιτῶν. ἔνθα μὲν οὖν ἐπὶ πᾶσι τούτοις ἀρχαὶ πλείους εἰσίν, ἔνθα δ' ἐλάττους, οἷον ἐν ταῖς μικραῖς πόλεσι μία περὶ πάντων. καλοῦσι δὲ στρατηγοὺς καὶ πολεμάρχους

τοὺς τοιούτους. ἔτι δὲ κἂν ὦσιν ἱππεῖς ἢ ψιλοὶ ἢ τοξ
ναυτικόν, καὶ ἐπὶ τούτων ἑκάστων ἐνίοτε καθίστανται
αἳ καλοῦνται ναυαρχίαι καὶ ἱππαρχίαι καὶ ταξιαρχ
κατὰ μέρος δὲ αἱ ὑπὸ ταύτας τριηραρχίαι καὶ λο
καὶ φυλαρχίαι καὶ ὅσα τούτων μόρια· τὸ δὲ πᾶν ε
των ἐστὶν εἶδος ἐπιμελείας πολεμικῶν. περὶ μὲν οὖ
τὴν ἀρχὴν ἔχει τὸν τρόπον τοῦτον. ἐπεὶ δὲ ἔνιαι τῶν
εἰ καὶ μὴ πᾶσαι, διαχειρίζουσι πολλὰ τῶν κοινῶν,
καῖον ἑτέραν εἶναι τὴν ληψομένην λογισμὸν καὶ πρ
νοῦσαν, αὐτὴν μηθὲν διαχειρίζουσαν ἕτερον· καλοῦσι δ
οἱ μὲν εὐθύνους, οἱ δὲ λογιστάς, οἱ δὲ ἐξεταστάς, οἱ δὲ
γόρους. παρὰ πάσας δὲ ταύτας τὰς ἀρχὰς ἡ μάλισ
ρία πάντων ἐστίν· ἡ γὰρ αὐτὴ πολλάκις ἔχει τὸ τέλ
τὴν εἰσφοράν, ἢ προκάθηται τοῦ πλήθους, ὅπου κύριος
δῆμος· δεῖ γὰρ εἶναι τὸ συνάγον τὸ κύριον τῆς πολ
καλεῖται δὲ ἔνθα μὲν πρόβουλοι διὰ τὸ προβουλεύειν,
δὲ πλῆθός ἐστι, βουλὴ μᾶλλον. αἱ μὲν οὖν πολιτικα
ἀρχῶν σχεδὸν τοσαῦταί τινές εἰσιν, ἄλλο δ' εἶδος ἐπ
λείας ἡ περὶ τοὺς θεούς, οἷον ἱερεῖς τε καὶ ἐπιμεληταὶ
περὶ τὰ ἱερὰ τοῦ σώζεσθαί τε τὰ ὑπάρχοντα καὶ ἀνορθ
τὰ πίπτοντα τῶν οἰκοδομημάτων καὶ τῶν ἄλλων ὅσα
κται πρὸς τοὺς θεούς. συμβαίνει δὲ τὴν ἐπιμέλειαν τ
ἐνιαχοῦ μὲν εἶναι μίαν, οἷον ἐν ταῖς μικραῖς πόλεσιν,
χοῦ δὲ πολλὰς καὶ κεχωρισμένας τῆς ἱερωσύνης, οἷον
ποιοὺς καὶ ναοφύλακας καὶ ταμίας τῶν ἱερῶν χρημά
ἐχομένη δὲ ταύτης ἡ πρὸς τὰς θυσίας ἀφωρισμένη τὰς
νὰς πάσας, ὅσας μὴ τοῖς ἱερεῦσιν ἀποδίδωσιν ὁ νόμος, ἀ
ἀπὸ τῆς κοινῆς ἑστίας ἔχουσι τὴν τιμήν· καλοῦσι δ' οἱ
ἄρχοντας τούτους, οἱ δὲ βασιλεῖς, οἱ δὲ πρυτάνεις. αἱ
οὖν ἀναγκαῖαι ἐπιμέλειαί εἰσι περὶ τούτων, ὡς εἰπεῖν συγκ
φαλαιωσαμένους, περί τε τὰ δαιμόνια καὶ τὰ πολεμ
καὶ περὶ τὰς προσόδους καὶ περὶ τὰ ἀναλισκόμενα, καὶ π
ἀγορὰν καὶ περὶ τὸ ἄστυ καὶ λιμένας καὶ τὴν χώραν,
τὰ περὶ τὰ δικαστήρια καὶ συναλλαγμάτων ἀναγρα
καὶ πράξεις καὶ φυλακὰς καὶ ἐπιλογισμούς τε καὶ ἐ
τάσεις, καὶ πρὸς εὐθύνας τῶν ἀρχόντων, καὶ τέλος αἱ
τὸ βουλευόμενόν εἰσι τῶν κοινῶν. ἰδίᾳ δὲ ταῖς σχολαστ
τέραις καὶ μᾶλλον εὐημερούσαις πόλεσιν, ἔτι δὲ φροντ
σαις εὐκοσμίας, γυναικονομία, νομοφυλακία, παιδον

4. τοὺς om W^b. ‖ 9. ἄλλους] ἄλλας I^b. ‖ 13. καταδικασθείσας R^b. ‖ 15. ἂν om R^b. ‖ ἐν ᾗ W^b, ἐν ᾧ R^b. ‖ 26. δὴ R
27. τε om R^b.

2. καθίσταται ἀρχὴ I^bW^b. ‖ 7. τὴν om W^b. ‖ εἶναι R^b. ‖ 8. διισχυρίζουσι R^b. ‖ 12. δὲ ταύτας om W^b. ‖ 14. ἡ W^b. ‖ πρόβουλον R^b. ‖ 17. δὲ] δὲ τὸ W^b. ‖ 20. τε om W^b. ‖ 26. ἡ om W^b. ‖ 34. συναλλάγματα R^bI^b. ‖ 37. βουλόμενον I^b. ‖ σχολαστικωτέρας καὶ μᾶλλον εὐημερούσας R^b.

22. ἐξωτερικοὶ λόγοι

νασιαρχία, πρὸς δὲ τύτοις περὶ ἀγῶνας ἐπιμέλεια γυ-οὺς καὶ Διονυσιακούς, κἂν εἴ τινας ἑτέρας συμβαίνει ὕτας γίνεσθαι θεωρίας. τύτων δ' ἔνιαι φανερῶς εἰσὶν οὐ ιτικαὶ τῶν ἀρχῶν, οἷον γυναικονομία καὶ παιδονομία· γὰρ ἀπόροις ἀνάγκη χρῆσθαι καὶ γυναιξὶ καὶ παισὶν ερ ἀκολύθοις διὰ τὴν ἀδουλίαν. τριῶν δ' οὐσῶν ἀρχῶν ἃς αἱρῦνταί τινες ἀρχὰς τὰς κυρίυς, νομοφυλάκων προ-ων βυλῆς, οἱ μὲν νομοφύλακες ἀριςοκρατικόν, ὀλιγαρ-ν δ' οἱ πρόβυλοι, βυλὴ δὲ δημοτικόν. περὶ μὲν ὖν τῶν ῶν, ὡς ἐν τύπῳ, σχεδὸν εἴρηται περὶ πασῶν.

Η.

Περὶ πολιτείας ἀρίστης τὸν μέλλοντα ποιήσασθαι τὴν ήκουσαν ζήτησιν ἀνάγκη διορίσασθαι πρῶτον τίς αἱρε-ιτος βίος. ἀδήλου γὰρ ὄντος τούτου καὶ τὴν ἀρίστην γκαῖον ἄδηλον εἶναι πολιτείαν· ἄριστα γὰρ πράττειν ήκει τοὺς ἄριστα πολιτευομένυς ἐκ τῶν ὑπαρχόντων ῖς, ἐὰν μή τι γίγνηται παράλογον. διὸ δεῖ πρῶτον ογεῖσθαι τίς ὁ πᾶσιν ὡς εἰπεῖν αἱρετώτατος βίος, μετὰ οῦτο πότερον κοινῇ καὶ χωρὶς ὁ αὐτὸς ἢ ἕτερος. νομί-ας ὖν ἱκανῶς πολλὰ λέγεσθαι καὶ τῶν ἐν τοῖς ἐξωτε-ς λόγοις περὶ τῆς ἀρίςης ζωῆς, καὶ νῦν χρηςέον αὐτοῖς. ιληθῶς γὰρ πρός γε μίαν διαίρεσιν οὐδεὶς ἀμφισβητή-ἂν ὡς ὐ τριῶν ὐσῶν μερίδων, τῶν τε ἐκτὸς καὶ τῶν ἐν τώματι καὶ τῶν ἐν τῇ ψυχῇ, πάντα ταῦτα ὑπάρχειν μακαρίοις δεῖ. ὐδεὶς γὰρ ἂν φαίη μακάριον τὸν μηθὲν ον ἔχοντα ἀνδρίας μηδὲ σωφροσύνης μηδὲ δικαιοσύνης φρονήσεως, ἀλλὰ δεδιότα μὲν τὰς παραπετομένας ς, ἀπεχόμενον δὲ μηθενός, ἂν ἐπιθυμήσῃ τῦ φαγεῖν ἢ , τῶν ἐσχάτων, ἕνεκα δὲ τεταρτημορίου διαφθείροντα φιλτάτους φίλυς, ὁμοίως δὲ καὶ τὰ περὶ τὴν διάνοιαν ἄφρονα καὶ διεψευσμένον ὥσπερ τι παιδίον ἢ μαινό-ν. ἀλλὰ ταῦτα μὲν λεγόμενα ὥσπερ πάντες ἂν συγ-ήσειαν, διαφέρονται δ' ἐν τῷ ποσῷ καὶ ταῖς ὑπεροχαῖς. μὲν γὰρ ἀρετῆς ἔχειν ἱκανὸν εἶναι νομίζυσιν ὁποσονῦν, ὐ δὲ καὶ χρημάτων καὶ δυνάμεως καὶ δόξης καὶ πάν-τῶν τοιύτων εἰς ἄπειρον ζητοῦσι τὴν ὑπερβολήν. ἡμεῖς ὐτοῖς ἐροῦμεν ὅτι ῥᾴδιον μὲν περὶ τούτων καὶ διὰ τῶν ν διαλαμβάνειν τὴν πίστιν, ὁρῶντας ὅτι κτῶνται καὶ άττυσιν οὐ τὰς ἀρετὰς τοῖς ἐκτὸς ἀλλ' ἐκεῖνα ταύταις, καὶ τὸ ζῆν εὐδαιμόνως, εἴτ' ἐν τῷ χαίρειν ἐςὶν εἴτ' ἐν ἀρετῇ τοῖς ἀνθρώποις εἴτ' ἐν ἀμφοῖν, ὅτι μᾶλλον ὑπάρχει τοῖς τὸ ἦθος μὲν καὶ τὴν διάνοιαν κεκοσμημένοις εἰς ὑπερβολήν, περὶ δὲ τὴν ἔξω κτῆσιν τῶν ἀγαθῶν μετριάζουσιν, ἢ τοῖς ἐκεῖνα μὲν κεκτημένοις πλείω τῶν χρησίμων, ἐν δὲ τούτοις ἐλλείπυσιν· οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν λόγον σκοπυμένοις εὐσύνοπτόν ἐςιν. τὰ μὲν γὰρ ἐκτὸς ἔχει πέρας, ὥσπερ ὄργανόν τι· πᾶν δὲ τὸ χρήσιμόν ἐστιν, ὧν τὴν ὑπερβολὴν ἢ βλάπτειν ἀναγκαῖον ἢ μηθὲν ὄφελος εἶναι αὐτῶν τοῖς ἔχουσιν. τῶν δὲ περὶ ψυχὴν ἕκαστον ἀγαθῶν, ὅσῳ περ ἂν ὑπερβάλλῃ, τοσύτῳ μᾶλλον χρήσιμον εἶναι, εἰ δεῖ καὶ τύτοις ἐπιλέγειν μὴ μόνον τὸ καλὸν ἀλλὰ καὶ τὸ χρήσιμον. ὅλως τε δῆλον ὡς ἀκολυθεῖν φήσομεν τὴν διάθεσιν τὴν ἀρίςην ἑκάςου πράγματος πρὸς ἄλληλα κατὰ τὴν ὑπεροχήν, ἥνπερ εἴληφε διάστασιν ὧν φαμὲν αὐτὰς εἶναι διαθέσεις ταύτας. ὥστ' εἴπερ ἐςὶν ἡ ψυχὴ καὶ τῆς κτήσεως καὶ τοῦ σώματος τιμιώτερον καὶ ἁπλῶς καὶ ἡμῖν, ἀνάγκη καὶ τὴν διάθεσιν τὴν ἀρίςην ἑκάστου ἀνάλογον τύτων ἔχειν. ἔτι δὲ τῆς ψυχῆς ἕνεκεν ταῦτα πέφυκεν αἱρετὰ καὶ δεῖ πάντας αἱρεῖσθαι τὺς εὖ φρονῦντας, ἀλλ' ὐκ ἐκείνων ἕνεκεν τὴν ψυχήν. ὅτι μὲν ὖν ἑκάςῳ τῆς εὐδαιμονίας ἐπιβάλλει τοσῦτον ὅσον περ ἀρετῆς καὶ φρονήσεως καὶ τῦ πράττειν κατὰ ταύτας, ἔςω συνωμολογημένον ἡμῖν, μάρτυρι τῷ θεῷ χρωμένοις, ὃς εὐδαίμων μέν ἐστι καὶ μακάριος, δι' οὐθὲν δὲ τῶν ἐξωτερικῶν ἀγαθῶν ἀλλὰ δι' αὐτὸν αὐτὸς καὶ τῷ ποιός τις εἶναι τὴν φύσιν, ἐπεὶ καὶ τὴν εὐτυχίαν τῆς εὐδαιμονίας διὰ ταῦτ' ἀναγκαῖον ἑτέραν εἶναι· τῶν μὲν γὰρ ἐκτὸς ἀγαθῶν τῆς ψυχῆς αἴτιον ταὐτόματον καὶ ἡ τύχη, δίκαιος δ' ὐδεὶς ὐδὲ σώφρων ἀπὸ τύχης ὐδὲ διὰ τὴν τύχην ἐςίν. ἐχόμενον δ' ἐςὶ καὶ τῶν αὐτῶν λόγων δεόμενον καὶ πόλιν εὐδαίμονα τὴν ἀρίςην εἶναι καὶ πράττυσαν καλῶς. ἀδύνατον δὲ καλῶς πράττειν τοῖς μὴ τὰ καλὰ πράττυσιν· ὐθὲν δὲ καλὸν ἔργον ὔτ' ἀνδρὸς ὔτε πόλεως χωρὶς ἀρετῆς καὶ φρονήσεως. ἀνδρία δὲ πόλεως καὶ δικαιοσύνη καὶ φρόνησις τὴν αὐτὴν ἔχει δύναμιν καὶ μορφήν, ὧν μετασχὼν ἕκαστος τῶν ἀνθρώπων λέγεται δίκαιος καὶ φρόνιμος καὶ σώφρων. ἀλλὰ γὰρ ταῦτα μὲν ἐπὶ τοσῦτον ἔςω πεφροιμιασμένα τῷ λόγῳ (ὔτε γὰρ μὴ θιγγάνειν αὐτῶν δυνατόν, οὔτε πάντας τὺς οἰκείους ἐπεξελθεῖν ἐνδέχεται λόγυς· ἑτέρας γάρ ἐςιν ἔργον σχολῆς ταῦτα)· νῦν δ' ὑποκείσθω τοσῦτον, ὅτι βίος μὲν ἄριςος, καὶ χωρὶς ἑκάςῳ καὶ κοινῇ ταῖς πόλεσιν, ὁ μετὰ ἀρετῆς κεχο-

3. γενέσθαι $R^bV V^b$. ‖ 7. κυρίας R^b. ‖ 14. περὶ] περὶ δὲ I^b. ‖ 26. τῷ om S^bV^b. ‖ 27. δεῖ om E^bV^b. ‖ 31. δὲ om I^b. ‖ ἶναι om S^bV^b.
2. τοῖς ante τὸ om S^b. ‖ 11. χρήσιμον μᾶλλον S^b. ‖ 13. τε] δὲ S^b. ‖ 40. καὶ χωρὶς ἑκάςῳ om V^b. ‖ 41. ἑκάσου S^b.

ρημμένης ἐπὶ τοσῦτον ὥςε μετέχειν τῶν κατ' ἀρετὴν πράξεων. πρὸς δὲ τοὺς ἀμφισβητῦντας, ἐάσαντας ἐπὶ τῆς νῦν μεθόδυ, διασκεπτέον ὕςερον, εἴ τις τοῖς εἰρημένοις τυγχάνει μὴ πειθόμενος.

2 Πότερον δὲ τὴν εὐδαιμονίαν τὴν αὐτὴν εἶναι φατέον ἑνός τε ἑκάστυ τῶν ἀνθρώπων καὶ πόλεως ἢ μὴ τὴν αὐτήν, λοιπὸν ἐστιν εἰπεῖν. φανερὸν δὲ καὶ τοῦτο· πάντες γὰρ ἂν ὁμολογήσειαν εἶναι τὴν αὐτήν. ὅσοι γὰρ ἐν πλύτῳ τὸ ζῆν εὖ τίθενται ἐφ' ἑνός, οὗτοι καὶ τὴν πόλιν ὅλην, ἐὰν ᾖ πλυσία, μακαρίζυσιν· ὅσοι τε τὸν τυραννικὸν βίον μάλιςα τιμῶσιν, ὗτοι καὶ πόλιν τὴν πλείςων ἄρχυσαν εὐδαιμονεςάτην ἂν εἶναι φαῖεν· εἴ τέ τις τὸν ἕνα δι' ἀρετὴν ἀποδέχεται, καὶ πολιν εὐδαιμονεςέραν φήσει τὴν σπυδαιοτέραν. ἀλλὰ ταῦτ' ἤδη δύο ἐςὶν ἃ δεῖται σκέψεως, ἓν μὲν πότερος αἱρετώτερος βίος, ὁ διὰ τοῦ συμπολιτεύεσθαι καὶ κοινωνεῖν πόλεως ἢ μᾶλλον ὁ ξενικὸς καὶ τῆς πολιτικῆς κοινωνίας ἀπολελυμένος, ἔτι δὲ τίνα πολιτείαν θετέον καὶ ποίαν διάθεσιν πόλεως ἀρίστην, εἴτε πᾶσιν ὄντος αἱρετοῦ κοινωνεῖν πόλεως εἴτε καὶ τισὶ μὲν μὴ τοῖς δὲ πλείςοις. ἐπεὶ δὲ τῆς πολιτικῆς διανοίας καὶ θεωρίας τοῦτ' ἐστὶν ἔργον, ἀλλ' οὐ τὸ περὶ ἕκαστον αἱρετόν, ἡμεῖς δὲ ταύτην προῃρήμεθα νῦν τὴν σκέψιν, ἐκεῖνο μὲν πάρεργον ἂν εἴη τῦτο δ' ἔργον τῆς μεθόδου ταύτης. ὅτι μὲν ὖν ἀναγκαῖον εἶναι πολιτείαν ἀρίςην ταύτην καθ' ἣν τάξιν κἂν ὁςισῦν ἄριςα πράττοι καὶ ζῴη μακαρίως, φανερόν ἐστιν· ἀμφισβητεῖται δὲ παρ' αὐτῶν τῶν ὁμολογύντων τὸν μετ' ἀρετῆς εἶναι βίον αἱρετώτατον, πότερον ὁ πολιτικὸς καὶ πρακτικὸς βίος αἱρετὸς ἢ μᾶλλον ὁ πάντων τῶν ἐκτὸς ἀπολελυμένος, οἷον θεωρητικός τις, ὃν μόνον τινές φασιν εἶναι φιλόσοφον. σχεδὸν γὰρ τύτυς τὺς δύο βίυς τῶν ἀνθρώπων οἱ φιλοτιμότατοι πρὸς ἀρετὴν φαίνονται προαιρύμενοι, καὶ τῶν προτέρων καὶ τῶν νῦν· λέγω δὲ δύο τόν τε πολιτικὸν καὶ τὸν φιλόσοφον. διαφέρει δὲ ὐ μικρὸν ποτέρως ἔχει τὸ ἀληθές· ἀνάγκη γὰρ τόν τε εὖ φρονοῦντα πρὸς τὸν βελτίω σκοπὸν συντάττεσθαι καὶ τῶν ἀνθρώπων ἕκαςον καὶ κοινῇ τὴν πολιτείαν. νομίζουσι δ' οἱ μὲν τὸ τῶν πέλας ἄρχειν δεσποτικῶς μὲν γιγνόμενον μετ' ἀδικίας τινὸς εἶναι τῆς μεγίςης, πολιτικῶς δὲ τὸ μὲν ἄδικον ὐκ ἔχειν, ἐμπόδιον δὲ ἔχειν τῇ περὶ αὐτὸν εὐημερίᾳ. τύτων δ' ὥσπερ ἐξ ἐναντίας ἕτεροι τυγχάνουσι δοξάζοντες· μόνον γὰρ ἀνδρὸς τὸν πρακτικὸν εἶναι βίον καὶ πολιτικόν· ἐφ' ἑκάςης γὰρ ἀρετῆς ὐκ εἶναι πράξεις μᾶλλον τοῖς ἰδιώταις

ἢ τοῖς τὰ κοινὰ πράττουσι καὶ πολιτευομένοις.
οὕτως ὑπολαμβάνυσιν, οἱ δὲ τὸν δεσποτικὸν καὶ
τρόπον τῆς πολιτείας εἶναι μόνον εὐδαίμονά φ
ἐνίοις δὲ καὶ τῆς πολιτείας οὗτος ὅρος τῶν νόμων
σπόζωσι τῶν πέλας. διὸ καὶ τῶν πλείςων νομί
ὡς εἰπεῖν κειμένων παρὰ τοῖς πλείςοις, ὅμως εἴ
ἕν οἱ νόμοι βλέπυσι, τῦ κρατεῖν ςοχάζονται πά
ἐν Λακεδαίμονι καὶ Κρήτῃ πρὸς τοὺς πολέμυς σ
σχεδὸν ἥ τε παιδεία καὶ τὸ τῶν νόμων πλῆθος.
τοῖς ἔθνεσι πᾶσι τοῖς δυναμένοις πλεονεκτεῖν ἡ τ
τίμηται δύναμις, οἷον ἐν Σκύθαις καὶ Πέρσαις
καὶ Κελτοῖς. ἐν ἐνίοις γὰρ καὶ νόμοι τινές εἰσι
τες πρὸς τὴν ἀρετὴν ταύτην, καθάπερ ἐν Καρχ
τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν ς
ται στρατείας. ἦν δέ ποτε καὶ περὶ Μακεδονίαν
μηθένα ἀπεκταγκότα πολέμιον ἄνδρα περιεζῶσθα
βειάν· ἐν δὲ Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τ
περιφερόμενον τῷ μηθένα ἀπεκταγκότι πολέμι
τοῖς Ἴβηρσιν, ἔθνει πολεμικῷ, τοσούτυς τὸν ἀριθ
σκυς καταπηγνύυσι περὶ τὸν τάφον ὅσυς ἂν δια
πολεμίων. καὶ ἕτερα δὴ παρ' ἑτέροις ἐστὶ τοιαῦτ
τὰ μὲν νόμοις κατειλημμένα τὰ δὲ ἔθεσιν. καί
ἂν ἄγαν ἄτοπον ἴσως εἶναι τοῖς βουλομένοις ἐπι
τῦτ' ἐςὶν ἔργον τῦ πολιτικῦ, τὸ δύνασθαι θεωρεῖν ὅ
καὶ δεσπόζῃ τῶν πλησίον καὶ βυλομένων καὶ μὴ
νων. πῶς γὰρ ἂν εἴη τοῦτο πολιτικὸν ἢ νομοθετ
μηδὲ νόμιμόν ἐστιν; οὐ νόμιμον δὲ τὸ μὴ μόνο
ἀλλὰ καὶ ἀδίκως ἄρχειν, κρατεῖν δ' ἔστι καὶ μὴ
ἀλλὰ μὴν ὐδ' ἐν ταῖς ἄλλαις ἐπιςήμαις τῦτο
γὰρ τοῦ ἰατροῦ οὔτε τῦ κυβερνήτυ ἔργον ἐςὶ τὸ
βιάσασθαι τῦ μὲν τὺς θεραπευομένυς τῦ δὲ τὺς
ἀλλ' ἐοίκασιν οἱ πολλοὶ τὴν δεσποτικὴν πολιτικὴ
εἶναι, καὶ ὅπερ αὐτοῖς ἕκαστοι οὔ φασιν εἶναι δίκ
συμφέρον, τῦτ' ὐκ αἰσχύνονται πρὸς τὺς ἄλλυς
αὐτοὶ μὲν γὰρ παρ' αὐτοῖς τὸ δικαίως ἄρχειν ζη
δὲ τοὺς ἄλλους οὐδὲν μέλει τῶν δικαίων. ἄτοπον
φύσει τὸ μὲν δεσπόζον ἐστὶ τὸ δὲ οὐ δεσπόζον,
ἔχει τὸν τρόπον τῦτον, οὐ δεῖ πάντων πειρᾶσθαι
ἀλλὰ τῶν δεσποςῶν, ὥσπερ οὐδὲ θηρεύειν ἐπὶ
σίαν ἀνθρώπυς, ἀλλὰ τὸ πρὸς τῦτο θηρευτόν· ἔςι
τὸν ὃ ἂν ἄγριον ᾖ ἐδεστὸν ζῷον. ἀλλὰ μὴν εἴη γ'

6. τε om I^b. ‖ 8. ὁμολογήσειεν S^b. ‖ 13. σπυδαίαν S^b. ‖ 14. πότερον S^b. ‖ 22. μὲν] μὲν γὰρ $I^bS^bV^b$. ‖ 27. καὶ]
17. οὐκ] μὴ S^b, om V^b. ‖ 25. πλησίον S^b. ‖ 28. ἀλλὰ — ἀδίκως om S^bV^b. ‖ 30. ποιῆσαι S^b. ‖ 31. τὺς post
39. δεσποτῶν codices. ‖ 40. ἔςι δὲ θηρευτὸν om S^b.

ἣν μία πόλις εὐδαίμων, ἣ πολιτεύεται δηλονότι τερ ἐνδέχεται πόλιν οἰκεῖσθαί πε καθ' ἑαυτὴν νό- μένην σπουδαίοις, ἧς τῆς πολιτείας ἡ σύνταξις οὐ ιμον οὐδὲ πρὸς τὸ κρατεῖν ἔσται τῶν πολεμίων· ο ὑπαρχέτω τοιοῦτον. δῆλον ἄρα ὅτι πάσας τὰς πόλεμον ἐπιμελείας καλὰς μὲν θετέον, οὐχ ὡς πάντων ἀκρόταταν, ἀλλ' ἐκείνε χάριν ταύτας. τῦ τε τοῦ σπεδαίε ἐςὶ τὸ θεάσασθαι πόλιν καὶ γένος καὶ πᾶσαν ἄλλην κοινωνίαν, ζωῆς ἀγαθῆς πῶς καὶ τῆς ἐνδεχομένης αὐτοῖς εὐδαιμονίας. διοίσει ταττομένων ἔνια νομίμων· καὶ τοῦτο τῆς νομο- τὶν ἰδεῖν, ἐάν τινες ὑπάρχωσι γειτνιῶντες, ποῖα ἀσκητέον ἢ πῶς τοῖς καθήκεσι πρὸς ἑκάςες χρη- λὰ τοῦτο μὲν κἂν ὕςερον τύχοι τῆς προσηκούσης πρὸς τί τέλος δεῖ τὴν ἀρίςην πολιτείαν συντείνειν· οὺς ὁμολογοῦντας μὲν τὸν μετ' ἀρετῆς εἶναι βίον ον, διαφερομένες δὲ περὶ τῆς χρήσεως αὐτοῦ, λε- πρὸς ἀμφοτέρες αὐτές (οἱ μὲν γὰρ ἀποδοκιμά- πολιτικὰς ἀρχάς, νομίζοντες τόν τε τῦ ἐλευθέρου τινα εἶναι τῦ πολιτικῦ καὶ πάντων αἱρετώτατον, τον ἄριστον· ἀδύνατον γὰρ τὸν μηθὲν πράττοντα εὖ, τὴν δ' εὐπραγίαν καὶ τὴν εὐδαιμονίαν εἶναι τι τὰ μὲν ἀμφότεροι λέγουσιν ὀρθῶς τὰ δ' οὐκ μὲν ὅτι ὁ τῦ ἐλευθέρε βίος τῦ δεσποτικῦ ἀμείνων. ἀληθές· ἐθὲν γὰρ τό γε δέλῳ, ᾗ δῦλος, χρῆσθαι γὰρ ἐπίταξις ἡ περὶ τῶν ἀναγκαίων ἐδενὸς με- καλῶν. τὸ μέντοι νομίζειν πᾶσαν ἀρχὴν εἶναι ἐκ ὀρθόν· οὐ γὰρ ἔλαττον διέςηκεν ἡ τῶν ἐλευ- ςὴ τῆς τῶν δέλων ἢ αὐτὸ τὸ φύσει ἐλεύθερον τοῦ ίλε. διώρισαι δὲ περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς πρώ- ς. τὸ δὲ μᾶλλον ἐπαινεῖν τὸ ἀπρακτεῖν τῦ πράτ- ληθές· ἡ γὰρ εὐδαιμονία πρᾶξίς ἐςιν. ἔτι δὲ πολ- καλῶν τέλος ἔχεσιν αἱ τῶν δικαίων καὶ σωφρόνων καίτοι τάχ' ἂν ὑπολάβοι τις τέτων οὕτω διωρισ- τὸ κύριον εἶναι πάντων ἄριστον· οὕτω γὰρ ἂν αὶ καλλίςων κύριος εἴη πράξεων. ὥςε οὐ δεῖ τὸν ἄρχειν παριέναι τῷ πλησίον, ἀλλὰ μᾶλλον αι, καὶ μήτε πατέρα παίδων μήτε παῖδας πα- ὅλως φίλον φίλου μηθένα ὑπολογεῖν μηδὲ πρὸς τίζειν· τὸ γὰρ ἄριςον αἱρετώτατον, τὸ δ' εὖ πράτ- ν. τῦτο μὲν ἒν ἀληθῶς ἴσως λέγεσιν, εἴπερ ὑπάρ- ξει τοῖς ἀποστεροῦσι καὶ βιαζομένοις τὸ τῶν ὄντων αἱρετώτατον. ἀλλ' ἴσως οὐχ οἷόν τε ὑπάρχειν, ἀλλ' ὑποτίθενται τῦτο ψεῦδος· ἐ γὰρ ἔτι καλὰς τὰς πράξεις ἐνδέχεται εἶναι τῷ μὴ διαφέροντι τοσοῦτον ὅσον ἀνὴρ γυναικὸς ἢ πατὴρ τέκνων ἢ δεσπότης δέλων. ὥςε ὁ παραβαίνων οὐθὲν ἂν τηλικοῦτον κατορθώσειεν ὕστερον ὅσον ἤδη παρεκβέβηκε τῆς ἀρετῆς. τοῖς γὰρ ὁμοίοις τὸ καλὸν καὶ τὸ δίκαιον ἐν τῷ μέρει· τῦτο γὰρ ἴσον καὶ ὅμοιον. τὸ δὲ μὴ ἴσον τοῖς ἴσοις καὶ τὸ μὴ ὅμοιον τοῖς ὁμοίοις παρὰ φύσιν· οὐδὲν δὲ τῶν παρὰ φύσιν καλόν. διὸ κἂν ἄλλος τις ᾖ κρείττων κατ' ἀρετὴν καὶ κατὰ δύναμιν τὴν πρακτικὴν τῶν ἀρίςων, τέτῳ καλὸν ἀκολεθεῖν καὶ τέτῳ πείθεσθαι δίκαιον. δεῖ δ' ἐ μόνον ἀρετὴν ἀλλὰ καὶ δύναμιν ὑπάρχειν, καθ' ἣν ἔςαι πρακτικός. ἀλλ' εἰ ταῦτα λέγεται καλῶς καὶ τὴν εὐδαιμονίαν εὐπραγίαν θετέον, καὶ κοινῇ πάσης πόλεως ἂν εἴη καὶ καθ' ἕκαςον ἄριςος βίος ὁ πρακτικός. ἀλλὰ τὸν πρακτικὸν οὐκ ἀναγκαῖον εἶναι πρὸς ἑτέρες, καθάπερ οἴονταί τινες, ἐδὲ τὰς διανοίας εἶναι μόνας ταύτας πρακτικὰς τὰς τῶν ἀποβαινόντων χάριν γιγνομένας ἐκ τῦ πράττειν, ἀλλὰ πολὺ μᾶλλον τὰς αὐτοτελεῖς καὶ τὰς αὐτῶν ἕνεκεν θεωρίας καὶ διανοήσεις· ἡ γὰρ εὐπραξία τέλος, ὥστε καὶ πρᾶξίς τις· μάλιςα δὲ καὶ πράττειν λέγομεν κυρίως καὶ τῶν ἐξωτερικῶν πράξεων τὲς ταῖς διανοίαις ἀρχιτέκτονας. ἀλλὰ μὴν οὐδ' ἀπρακτεῖν ἀναγκαῖον τὰς καθ' αὑτὰς πόλεις ἱδρυμένας καὶ ζῆν ἕτω προῃρημένας· ἐνδέχεται γὰρ κατὰ μέρη καὶ τῦτο συμβαίνειν· πολλαὶ γὰρ κοινωνίαι πρὸς ἄλληλα τοῖς μέρεσι τῆς πόλεώς εἰσιν. ὁμοίως δὲ τοῦτο ὑπάρχει καὶ καθ' ἑνὸς ὁτουῦν τῶν ἀνθρώπων· σχολῇ γὰρ ἂν ὁ θεὸς ἔχοι καλῶς καὶ πᾶς ὁ κόσμος, οἷς οὐκ εἰσὶν ἐξωτερικαὶ πράξεις παρὰ τὰς οἰκείας τὰς αὐτῶν. ὅτι μὲν ουν τὸν αὐτὸν βίον ἀναγκαῖον εἶναι τὸν ἄριστον ἑκάστῳ τε τῶν ἀνθρώπων καὶ κοινῇ ταῖς πόλεσι καὶ τοῖς ἀνθρώποις, φανερόν ἐστιν.

4 Ἐπεὶ δὲ πεφροιμίασται τὰ νῦν εἰρημένα περὶ αὐτῶν, καὶ περὶ τὰς ἄλλας πολιτείας ἡμῖν τεθεώρηται πρότερον, ἀρχὴ τῶν λοιπῶν εἰπεῖν πρῶτον ποίας τινὰς δεῖ τὰς ὑποθέσεις εἶναι περὶ τῆς μελλέσης κατ' εὐχὴν συνεςάναι πόλεως. οὐ γὰρ οἷόν τε πολιτείαν γενέσθαι τὴν ἀρίςην ἄνευ συμμέτρου χορηγίας. διὸ δεῖ πολλὰ προϋποτεθεῖσθαι καθάπερ εὐχομένους, εἶναι μέντοι μηθὲν τούτων ἀδύνατον. λέγω δὲ οἷον περί τε πλήθους πολιτῶν καὶ χώρας. ὥσπερ γὰρ καὶ τοῖς ἄλλοις δημιεργοῖς, οἷον ὑφάντῃ καὶ ναυπηγῷ, δεῖ τὴν

S^b. ‖ 5. ὅτι ἄρα $I^b S^b V^b$. ‖ 10. αὐτῆς S^b. ‖ 20. βίου I^b. ‖ 25. τό] τῷ I^b. ‖ 26. τῶν om V^b. ‖ 29. αὐτὸ τὸ corr I^b, et pr I^b. ‖ 37. περιέναι S^b. ‖ 39. ὑπολογιεῖν $I^b V^b$. ‖ 40. τὸ δ'] τῦ δ' $S^b V^b$.
ούτων ἀδύνατον] τὰ τῶν ἀδυνάτων S^b. ‖ 40. γὰρ om V^b.

ρηγμένης ἐπὶ τοσοῦτον ὥστε μετέχειν τῶν κατ' ἀρετὴν πράξεων. πρὸς δὲ τοὺς ἀμφισβητοῦντας, ἐάσαντας ἐπὶ τῆς νῦν μεθόδου, διασκεπτέον ὕστερον, εἴ τις τοῖς εἰρημένοις τυγχάνει μὴ πειθόμενος.

2 Πότερον δὲ τὴν εὐδαιμονίαν τὴν αὐτὴν εἶναι φατέον ἑνός τε ἑκάστου τῶν ἀνθρώπων καὶ πόλεως ἢ μὴ τὴν αὐτήν, λοιπόν ἐστιν εἰπεῖν. φανερὸν δὲ καὶ τοῦτο· πάντες γὰρ ἂν ὁμολογήσειαν εἶναι τὴν αὐτήν. ὅσοι γὰρ ἐν πλούτῳ τὸ ζῆν εὖ τίθενται ἐφ' ἑνός, οὗτοι καὶ τὴν πόλιν ὅλην, ἐὰν ᾖ πλουσία, μακαρίζουσιν· ὅσοι τε τὸν τυραννικὸν βίον μάλιστα τιμῶσιν, οὗτοι καὶ πόλιν τὴν πλείστων ἄρχουσαν εὐδαιμονεστάτην ἂν εἶναι φαῖεν· εἴ τέ τις τὸν ἕνα δι' ἀρετὴν ἀποδέχεται, καὶ πολιν εὐδαιμονεστέραν φήσει τὴν σπουδαιοτέραν. ἀλλὰ ταῦτ' ἤδη δύο ἐστὶν ἃ δεῖται σκέψεως, ἓν μὲν πότερος αἱρετώτερος βίος, ὁ διὰ τοῦ συμπολιτεύεσθαι καὶ κοινωνεῖν πόλεως ἢ μᾶλλον ὁ ξενικὸς καὶ τῆς πολιτικῆς κοινωνίας ἀπολελυμένος, ἔτι δὲ τίνα πολιτείαν θετέον καὶ ποίαν διάθεσιν πόλεως ἀρίστην, εἴτε πᾶσιν ὄντος αἱρετοῦ κοινωνεῖν πόλεως εἴτε καὶ τισὶ μὲν μὴ τοῖς δὲ πλείστοις. ἐπεὶ δὲ τῆς πολιτικῆς διανοίας καὶ θεωρίας τοῦτ' ἐστὶν ἔργον, ἀλλ' οὐ τὸ περὶ ἕκαστον αἱρετόν, ἡμεῖς δὲ ταύτην προῃρήμεθα νῦν τὴν σκέψιν, ἐκεῖνο μὲν πάρεργον ἂν εἴη τοῦτο δ' ἔργον τῆς μεθόδου ταύτης. ὅτι μὲν οὖν ἀναγκαῖον εἶναι πολιτείαν ἀρίστην ταύτην καθ' ἣν τάξιν κἂν ὁστισοῦν ἄριστα πράττοι καὶ ζῴη μακαρίως, φανερόν ἐστιν· ἀμφισβητεῖται δὲ παρ' αὐτῶν τῶν ὁμολογούντων τὸν μετ' ἀρετῆς εἶναι βίον αἱρετώτατον, πότερον ὁ πολιτικὸς καὶ πρακτικὸς βίος αἱρετὸς ἢ μᾶλλον ὁ πάντων τῶν ἐκτὸς ἀπολελυμένος, οἷον θεωρητικός τις, ὃν μόνον τινές φασιν εἶναι φιλόσοφον. σχεδὸν γὰρ τούτους τοὺς δύο βίους τῶν ἀνθρώπων οἱ φιλοτιμότατοι πρὸς ἀρετὴν φαίνονται προαιρούμενοι, καὶ τῶν προτέρων καὶ τῶν νῦν· λέγω δὲ δύο τόν τε πολιτικὸν καὶ τὸν φιλόσοφον. διαφέρει δὲ οὐ μικρὸν ποτέρως ἔχει τὸ ἀληθές· ἀνάγκη γὰρ τόν τε εὖ φρονοῦντα πρὸς τὸν βελτίω σκοπὸν συντάττεσθαι καὶ τῶν ἀνθρώπων ἕκαστον καὶ κοινῇ τὴν πολιτείαν. νομίζουσι δ' οἱ μὲν τὸ τῶν πέλας ἄρχειν δεσποτικῶς μὲν γιγνόμενον μετ' ἀδικίας τινὸς εἶναι τῆς μεγίστης, πολιτικῶς δὲ τὸ μὲν ἄδικον οὐκ ἔχειν, ἐμπόδιον δὲ ἔχειν τῇ περὶ αὐτὸν εὐημερίᾳ. τούτων δ' ὥσπερ ἐξ ἐναντίας ἕτεροι τυγχάνουσι δοξάζοντες· μόνον γὰρ ἀνδρὸς τὸν πρακτικὸν εἶναι βίον καὶ πολιτικόν· ἐφ' ἑκάστης γὰρ ἀρετῆς οὐκ εἶναι πράξεις μᾶλλον τοῖς ἰδιώταις

ἢ τοῖς τὰ κοινὰ πράττουσι καὶ πολιτευομένοις. οἱ μ
οὕτως ὑπολαμβάνουσιν, οἱ δὲ τὸν δεσποτικὸν καὶ τυρ
τρόπον τῆς πολιτείας εἶναι μόνον εὐδαίμονά φασιν.
ἐνίοις δὲ καὶ τῆς πολιτείας οὗτος ὅρος τῶν νόμων, ὅπ
σπόζωσι τῶν πέλας. διὸ καὶ τῶν πλείστων νομίμων
ὡς εἰπεῖν κειμένων παρὰ τοῖς πλείστοις, ὅμως εἴ πο
ἓν οἱ νόμοι βλέπουσι, τοῦ κρατεῖν στοχάζονται πάντες,
ἐν Λακεδαίμονι καὶ Κρήτῃ πρὸς τοὺς πολέμους συντέ
σχεδὸν ἥ τε παιδεία καὶ τὸ τῶν νόμων πλῆθος. ἔτ
τοῖς ἔθνεσι πᾶσι τοῖς δυναμένοις πλεονεκτεῖν ἡ τοιαύ
τίμηται δύναμις, οἷον ἐν Σκύθαις καὶ Πέρσαις καὶ
καὶ Κελτοῖς. ἐν ἐνίοις γὰρ καὶ νόμοι τινές εἰσι παρ
τες πρὸς τὴν ἀρετὴν ταύτην, καθάπερ ἐν Καρχηδόνι
τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν στρατ
ται στρατείας. ἦν δέ ποτε καὶ περὶ Μακεδονίαν νόμ
μηθένα ἀπεκταγκότα πολέμιον ἄνδρα περιεζῶσθαι τὴ
βειάν· ἐν δὲ Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τινὶ σ
περιφερόμενον τῷ μηθένα ἀπεκταγκότι πολέμιον. ἐ
τοῖς Ἴβηρσιν, ἔθνει πολεμικῷ, τοσούτους τὸν ἀριθμὸν ὀ
σκους καταπηγνύουσι περὶ τὸν τάφον ὅσους ἂν διαφθείρ
πολεμίων. καὶ ἕτερα δὴ παρ' ἑτέροις ἐστὶ τοιαῦτα π
τὰ μὲν νόμοις κατειλημμένα τὰ δὲ ἔθεσιν. καίτοι δ
ἂν ἄγαν ἄτοπον ἴσως εἶναι τοῖς βουλομένοις ἐπισκοπε
τοῦτ' ἐστὶν ἔργον τοῦ πολιτικοῦ, τὸ δύνασθαι θεωρεῖν ὅπως
καὶ δεσπόζῃ τῶν πλησίον καὶ βουλομένων καὶ μὴ βου
νων. πῶς γὰρ ἂν εἴη τοῦτο πολιτικὸν ἢ νομοθετικόν,
μηδὲ νόμιμόν ἐστιν; οὐ νόμιμον δὲ τὸ μὴ μόνον δικ
ἀλλὰ καὶ ἀδίκως ἄρχειν, κρατεῖν δ' ἔστι καὶ μὴ δικ
ἀλλὰ μὴν οὐδ' ἐν ταῖς ἄλλαις ἐπιστήμαις τοῦτο ὁρῶμεν·
γὰρ τοῦ ἰατροῦ οὔτε τοῦ κυβερνήτου ἔργον ἐστὶ τὸ ἢ πειθ
βιάσασθαι τοῦ μὲν τοὺς θεραπευομένους τοῦ δὲ τοὺς πλωτῆ
ἀλλ' ἐοίκασιν οἱ πολλοὶ τὴν δεσποτικὴν πολιτικὴν οἴε
εἶναι, καὶ ὅπερ αὐτοῖς ἕκαστοι οὔ φασιν εἶναι δίκαιον
συμφέρον, τοῦτ' οὐκ αἰσχύνονται πρὸς τοὺς ἄλλους ἀσκοῦ
αὐτοὶ μὲν γὰρ παρ' αὐτοῖς τὸ δικαίως ἄρχειν ζητοῦσι,
δὲ τοὺς ἄλλους οὐδὲν μέλει τῶν δικαίων. ἄτοπον δὲ ε
φύσει τὸ μὲν δεσπόζον ἐστὶ τὸ δὲ οὐ δεσπόζον, ὥστε ε
ἔχει τὸν τρόπον τοῦτον, οὐ δεῖ πάντων πειρᾶσθαι δεσπ
ἀλλὰ τῶν δεσποστῶν, ὥσπερ οὐδὲ θηρεύειν ἐπὶ θοίνην ἢ
σίαν ἀνθρώπους, ἀλλὰ τὸ πρὸς τοῦτο θηρευτόν· ἔστι δὲ θ
τὸν ὃ ἂν ἄγριον ᾖ ἐδεστὸν ζῷον. ἀλλὰ μὴν εἴη γ' ἂν

6. τε om $Γ^b$. ‖ 8. ὁμολογήσειεν S^b. ‖ 13. σπουδαίαν S^b. ‖ 14. πότερον S^b. ‖ 22. μὲν] μὲν γὰρ $Γ^b S^b V^b$. ‖ 27. καὶ] βίος καὶ
17. οὐκ] μὴ S^b, om V^b. ‖ 25. πλησίων S^b. ‖ 28. ἀλλὰ — ἀδίκως om $S^b V^b$. ‖ 30. ποιῆσαι S^b. ‖ 31. τοὺς post δὲ om S
39. δεσποτῶν codices. ‖ 40. ἔστι δὲ θηρευτὸν om S^b.

ἑαυτὴν μία πόλις εὐδαίμων, ἣ πολιτεύεται δηλονότι ς, εἴπερ ἐνδέχεται πόλιν οἰκεῖσθαί που καθ' ἑαυτὴν νό- χρωμένην σπουδαίοις, ἧς τῆς πολιτείας ἡ σύνταξις οὐ πόλεμον οὐδὲ πρὸς τὸ κρατεῖν ἔσται τῶν πολεμίων· γὰρ ὑπαρχέτω τοιοῦτον. δῆλον ἄρα ὅτι πάσας τὰς τὸν πόλεμον ἐπιμελείας καλὰς μὲν θετέον, οὐχ ὡς δὲ πάντων ἀκρότατας, ἀλλ' ἐκείνου χάριν ταύτας. τοῦ μοθέτου τοῦ σπουδαίου ἐστὶ τὸ θεάσασθαι πόλιν καὶ γένος ίπων καὶ πᾶσαν ἄλλην κοινωνίαν, ζωῆς ἀγαθῆς πῶς ;ουσι καὶ τῆς ἐνδεχομένης αὐτοῖς εὐδαιμονίας. διοίσει ι τῶν ταττομένων ἔνια νομίμων· καὶ τοῦτο τῆς νομο- ῆς ἐστὶν ἰδεῖν, ἐάν τινες ὑπάρχωσι γειτνιῶντες, ποῖα ποίους ἀσκητέον ἢ πῶς τοῖς καθήκουσι πρὸς ἑκάστους χρη- ἀλλὰ τοῦτο μὲν κἂν ὕστερον τύχοι τῆς προσηκούσης εως, πρὸς τί τέλος δεῖ τὴν ἀρίστην πολιτείαν συντείνειν· δὲ τοὺς ὁμολογοῦντας μὲν τὸν μετ' ἀρετῆς εἶναι βίον ώτατον, διαφερομένους δὲ περὶ τῆς χρήσεως αὐτοῦ, λε- ἡμῖν πρὸς ἀμφοτέρους αὐτούς (οἱ μὲν γὰρ ἀποδοκιμά- τὰς πολιτικὰς ἀρχάς, νομίζοντες τόν τε τοῦ ἐλευθέρου ἕτερόν τινα εἶναι τοῦ πολιτικοῦ καὶ πάντων αἱρετώτατον, τοῦτον ἄριστον· ἀδύνατον γὰρ τὸν μηθὲν πράττοντα τειν εὖ, τὴν δ' εὐπραγίαν καὶ τὴν εὐδαιμονίαν εἶναι ιν) ὅτι τὰ μὲν ἀμφότεροι λέγουσιν ὀρθῶς τὰ δ' οὐκ , οἱ μὲν ὅτι ὁ τοῦ ἐλευθέρου βίος τοῦ δεσποτικοῦ ἀμείνων. γὰρ ἀληθές· οὐθὲν γὰρ τό γε δούλῳ, ᾗ δοῦλος, χρῆσθαι ν· ἡ γὰρ ἐπίταξις ἡ περὶ τῶν ἀναγκαίων οὐδενὸς με- τῶν καλῶν. τὸ μέντοι νομίζειν πᾶσαν ἀρχὴν εἶναι ιτείαν οὐκ ὀρθόν· οὐ γὰρ ἔλαττον διέστηκεν ἡ τῶν ἐλευ- ἀρχὴ τῆς τῶν δούλων ἢ αὐτὸ τὸ φύσει ἐλεύθερον τοῦ ι δούλου. διώρισται δὲ περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς πρώ- λόγοις. τὸ δὲ μᾶλλον ἐπαινεῖν τὸ ἀπρακτεῖν τοῦ πράτ- κ ἀληθές· ἡ γὰρ εὐδαιμονία πρᾶξίς ἐστιν. ἔτι δὲ πολ- καὶ καλῶν τέλος ἔχουσιν αἱ τῶν δικαίων καὶ σωφρόνων εις. καίτοι τάχ' ἂν ὑπολάβοι τις τούτων οὕτω διωρισ- ὅτι τὸ κύριον εἶναι πάντων ἄριστον· οὕτω γὰρ ἂν ων καὶ καλλίστων κύριος εἴη πράξεων. ὥστε οὐ δεῖ τὸν μενον ἄρχειν παριέναι τῷ πλησίον, ἀλλὰ μᾶλλον ρεῖσθαι, καὶ μήτε πατέρα παίδων μήτε παῖδας πα- μήθ' ὅλως φίλον φίλου μηθένα ὑπολογεῖν μηδὲ πρὸς φροντίζειν· τὸ γὰρ ἄριστον αἱρετώτατον, τὸ δ' εὖ πράτ- ἄριστον. τοῦτο μὲν οὖν ἀληθῶς ἴσως λέγουσιν, εἴπερ ὑπάρ- ξει τοῖς ἀποστεροῦσι καὶ βιαζομένοις τὸ τῶν ὄντων αἱρετώτατον. ἀλλ' ἴσως οὐχ οἷόν τε ὑπάρχειν, ἀλλ' ὑποτίθενται τοῦτο ψεῦδος· οὐ γὰρ ἔτι καλὰς τὰς πράξεις ἐνδέχεται εἶναι τῷ μὴ διαφέροντι τοσοῦτον ὅσον ἀνὴρ γυναικὸς ἢ πατὴρ τέκνων ἢ δεσπότης δούλων. ὥστε ὁ παραβαίνων οὐθὲν ἂν τηλικοῦτον κατορθώσειεν ὕστερον ὅσον ἤδη παρεκβέβηκε τῆς ἀρετῆς. τοῖς γὰρ ὁμοίοις τὸ καλὸν καὶ τὸ δίκαιον ἐν τῷ μέρει· τοῦτο γὰρ ἴσον καὶ ὅμοιον. τὸ δὲ μὴ ἴσον τοῖς ἴσοις καὶ τὸ μὴ ὅμοιον τοῖς ὁμοίοις παρὰ φύσιν· οὐδὲν δὲ τῶν παρὰ φύσιν καλόν. διὸ κἂν ἄλλος τις ᾖ κρείττων κατ' ἀρετὴν καὶ κατὰ δύναμιν τὴν πρακτικὴν τῶν ἀρίστων, τούτῳ καλὸν ἀκολουθεῖν καὶ τούτῳ πείθεσθαι δίκαιον. δεῖ δ' οὐ μόνον ἀρετὴν ἀλλὰ καὶ δύναμιν ὑπάρχειν, καθ' ἣν ἔσται πρακτικός. ἀλλ' εἰ ταῦτα λέγεται καλῶς καὶ τὴν εὐδαιμονίαν εὐπραγίαν θετέον, καὶ κοινῇ πάσης πόλεως ἂν εἴη καὶ καθ' ἕκαστον ἄριστος βίος ὁ πρακτικός. ἀλλὰ τὸν πρακτικὸν οὐκ ἀναγκαῖον εἶναι πρὸς ἑτέρους, καθάπερ οἴονταί τινες, οὐδὲ τὰς διανοίας εἶναι μόνας ταύτας πρακτικὰς τὰς τῶν ἀποβαινόντων χάριν γιγνομένας ἐκ τοῦ πράττειν, ἀλλὰ πολὺ μᾶλλον τὰς αὐτοτελεῖς καὶ τὰς αὐτῶν ἕνεκεν θεωρίας καὶ διανοήσεις· ἡ γὰρ εὐπραξία τέλος, ὥστε καὶ πρᾶξίς τις· μάλιστα δὲ καὶ πράττειν λέγομεν κυρίως καὶ τῶν ἐξωτερικῶν πράξεων τοὺς ταῖς διανοίαις ἀρχιτέκτονας. ἀλλὰ μὴν οὐδ' ἀπρακτεῖν ἀναγκαῖον τὰς καθ' αὑτὰς πόλεις ἱδρυμένας καὶ ζῆν οὕτω προῃρημένας· ἐνδέχεται γὰρ κατὰ μέρη καὶ τοῦτο συμβαίνειν· πολλαὶ γὰρ κοινωνίαι πρὸς ἄλληλα τοῖς μέρεσι τῆς πόλεώς εἰσιν. ὁμοίως δὲ τοῦτο ὑπάρχει καὶ καθ' ἑνὸς ὁτουοῦν τῶν ἀνθρώπων· σχολῇ γὰρ ἂν ὁ θεὸς ἔχοι καλῶς καὶ πᾶς ὁ κόσμος, οἷς οὐκ εἰσὶν ἐξωτερικαὶ πράξεις παρὰ τὰς οἰκείας τὰς αὐτῶν. ὅτι μὲν ουν τὸν αὐτὸν βίον ἀναγκαῖον εἶναι τὸν ἄριστον ἑκάστῳ τε τῶν ἀνθρώπων καὶ κοινῇ ταῖς πόλεσι καὶ τοῖς ἀνθρώποις, φανερόν ἐστιν.

Ἐπεὶ δὲ πεφροιμίασται τὰ νῦν εἰρημένα περὶ αὐτῶν, 4 καὶ περὶ τὰς ἄλλας πολιτείας ἡμῖν τεθεώρηται πρότερον, ἀρχὴ τῶν λοιπῶν εἰπεῖν πρῶτον ποίας τινὰς δεῖ τὰς ὑποθέσεις εἶναι περὶ τῆς μελλούσης κατ' εὐχὴν συνεστάναι πόλεως. οὐ γὰρ οἷόν τε πολιτείαν γενέσθαι τὴν ἀρίστην ἄνευ συμμέτρου χορηγίας. διὸ δεῖ πολλὰ προϋποτεθεῖσθαι καθάπερ εὐχομένους, εἶναι μέντοι μηθὲν τούτων ἀδύνατον. λέγω δὲ οἷον περί τε πλήθους πολιτῶν καὶ χώρας. ὥσπερ γὰρ καὶ τοῖς ἄλλοις δημιουργοῖς, οἷον ὑφάντῃ καὶ ναυπηγῷ, δεῖ τὴν

. ᾗ S^b. ‖ 5. ὅτι ἄρα $I^bS^bV^b$. ‖ 10. αὐτῆς S^b. ‖ 20. βίου I^b. ‖ 25. τό] τῷ I^b. ‖ 26. τῶν om V^b. ‖ 29. αὐτὸ τὸ corr I^b, S^bV^b et pr I^b. ‖ 37. περιέναι S^b. ‖ 39. ὑπολογιεῖν I^bV^b. ‖ 40. τὸ δ'] τοῦ δ' S^bV^b.
9. τούτων ἀδύνατον] τὰ τῶν ἀδυνάτων S^b. ‖ 40. γὰρ om V^b.

ὕλην ὑπάρχειν ἐπιτηδείαν οὖσαν πρὸς τὴν ἐργασίαν (ὅσῳ γὰρ ἂν αὕτη τυγχάνῃ παρεσκευασμένη βέλτιον, ἀνάγκη καὶ τὸ γιγνόμενον ὑπὸ τῆς τέχνης εἶναι κάλλιον), οὕτω καὶ τῷ πολιτικῷ καὶ τῷ νομοθέτῃ δεῖ τὴν οἰκείαν ὕλην ὑπάρχειν ἐπιτηδείως ἔχουσαν. ἔστι δὲ πολιτικῆς χορηγίας πρῶτον τό τε πλῆθος τῶν ἀνθρώπων, πόσους τε καὶ ποίους τινὰς ὑπάρχειν δεῖ φύσει, καὶ κατὰ τὴν χώραν ὡσαύτως, ὅσην τε εἶναι καὶ ποίαν τινὰ ταύτην. οἴονται μὲν οὖν οἱ πλεῖστοι προσήκειν μεγάλην εἶναι τὴν εὐδαίμονα πόλιν· εἰ δὲ τοῦτ' ἀληθές, ἀγνοοῦσι ποία μεγάλη καὶ ποία μικρὰ πόλις. κατ' ἀριθμοῦ γὰρ πλῆθος τῶν ἐνοικούντων κρίνουσι τὴν μεγάλην, δεῖ δὲ μᾶλλον μὴ εἰς τὸ πλῆθος εἰς δὲ δύναμιν ἀποβλέπειν. ἔστι γάρ τι καὶ πόλεως ἔργον, ὥστε τὴν δυναμένην τοῦτο μάλιστ' ἀποτελεῖν, ταύτην οἰητέον εἶναι μεγίστην, οἷον Ἱπποκράτην οὐκ ἄνθρωπον ἀλλ' ἰατρὸν εἶναι μείζω φήσειεν ἄν τις τοῦ διαφέροντος κατὰ τὸ μέγεθος τοῦ σώματος. οὐ μὴν ἀλλὰ κἂν εἰ δεῖ κρίνειν πρὸς τὸ πλῆθος ἀποβλέποντας, οὐ κατὰ τὸ τυχὸν πλῆθος τοῦτο οἰητέον (ἀναγκαῖον γὰρ ἐν ταῖς πόλεσιν ἴσως ὑπάρχειν καὶ δούλων ἀριθμὸν πολλῶν καὶ μετοίκων καὶ ξένων), ἀλλ' ὅσοι πόλεώς εἰσι μέρος καὶ ἐξ ὧν συνίσταται πόλις οἰκείων μορίων· ἡ γὰρ τούτων ὑπεροχὴ τοῦ πλήθους μεγάλης πόλεως σημεῖον, ἐξ ἧς δὲ βάναυσοι μὲν ἐξέρχονται πολλοὶ τὸν ἀριθμὸν ὁπλῖται δὲ ὀλίγοι, ταύτην ἀδύνατον εἶναι μεγάλην· οὐ γὰρ ταὐτὸν μεγάλη τε πόλις καὶ πολυάνθρωπος. ἀλλὰ μὴν καὶ τοῦτό γε ἐκ τῶν ἔργων φανερὸν ὅτι χαλεπόν, ἴσως δ' ἀδύνατον, εὐνομεῖσθαι τὴν λίαν πολυάνθρωπον. τῶν γοῦν δοκουσῶν πολιτεύεσθαι καλῶς οὐδεμίαν ὁρῶμεν οὖσαν ἀνειμένην πρὸς τὸ πλῆθος. τοῦτο δὲ δῆλον καὶ διὰ τῆς τῶν λόγων πίστεως. ὅ τε γὰρ νόμος τάξις τίς ἐστι, καὶ τὴν εὐνομίαν ἀναγκαῖον εὐταξίαν εἶναι, ὁ δὲ λίαν ὑπερβάλλων ἀριθμὸς οὐ δύναται μετέχειν τάξεως· θείας γὰρ δὴ τοῦτο δυνάμεως ἔργον, ἥτις καὶ τόδε συνέχει τὸ πᾶν, ἐπεὶ τό γε καλὸν ἐν πλήθει καὶ μεγέθει εἴωθε γίνεσθαι. διὸ καὶ πόλιν ἧς μετὰ μεγέθους ὁ λεχθεὶς ὅρος ὑπάρχει, ταύτην εἶναι καλλίστην ἀναγκαῖον. ἀλλ' ἔστι τι καὶ πόλεσι μεγέθους μέτρον, ὥσπερ καὶ τῶν ἄλλων πάντων, ζῴων φυτῶν ὀργάνων. καὶ γὰρ τούτων ἕκαστον οὔτε λίαν μικρὸν οὔτε κατὰ μέγεθος ὑπερβάλλον ἕξει τὴν αὑτοῦ δύναμιν, ἀλλ' ὁτὲ μὲν ὅλως ἐστερημένον ἔσται τῆς φύσεως, ὁτὲ δὲ φαύλως ἔχον, οἷον πλοῖον σπιθαμιαῖον μὲν οὐκ ἔσται πλοῖον ὅλως, οὐδὲ δυοῖν σταδίοιν, εἰς δέ τι μέγεθος ἐλθὸν ὁτὲ μὲν διὰ σμικρότητα φαύλην ποιήσει τὴν ναυτιλίαν, διὰ τὴν ὑπερβολήν. ὁμοίως δὲ καὶ πόλις ἡ μὲν ἐξ λίαν οὐκ αὐτάρκης (ἡ δὲ πόλις αὔταρκες), ἡ δὲ ἐκ ἄγαν ἐν τοῖς μὲν ἀναγκαίοις αὐτάρκης, ὥσπερ ἔθνο οὐ πόλις· πολιτείαν γὰρ οὐ ῥᾴδιον ὑπάρχειν· τίς γὰρ γὸς ἔσται τοῦ λίαν ὑπερβάλλοντος πλήθους, ἢ τίς κῆ Στεντόρειος; διὸ πρώτην μὲν εἶναι πόλιν ἀναγκαῖον τοσούτου πλήθους ὃ πρῶτον πλῆθος αὔταρκες πρὸς τὸ ἐστὶ κατὰ τὴν πολιτικὴν κοινωνίαν. ἐνδέχεται δὲ ταύτης ὑπερβάλλουσαν κατὰ πλῆθος εἶναι μείζω ἀλλὰ τοῦτ' οὐκ ἔστιν, ὥσπερ εἴπομεν, ἀόριστον. τίς δ' τῆς ὑπερβολῆς ὅρος, ἐκ τῶν ἔργων ἰδεῖν ῥᾴδιον. εἰσὶ πράξεις τῆς πόλεως τῶν μὲν ἀρχόντων τῶν δ' ἀρχ ἄρχοντος δ' ἐπίταξις καὶ κρίσις ἔργον. πρὸς δὲ τὸ περὶ τῶν δικαίων καὶ πρὸς τὸ τὰς ἀρχὰς διανέμε ἀξίαν ἀναγκαῖον γνωρίζειν ἀλλήλους, ποῖοί τινές εἰσ πολίτας, ὡς ὅπου τοῦτο μὴ συμβαίνει γίγνεσθαι, φ ἀνάγκη γίγνεσθαι τὰ περὶ τὰς ἀρχὰς καὶ τὰς κ περὶ ἀμφότερα γὰρ οὐ δίκαιον αὐτοσχεδιάζειν, ὅ τῃ πολυανθρωπίᾳ τῇ λίαν ὑπάρχει φανερῶς. ἔτι δὲ καὶ μετοίκοις ῥᾴδιον μεταλαμβάνειν τῆς πολιτείας· χαλεπὸν τὸ λανθάνειν διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους λον τοίνυν ὡς οὗτός ἐστι πόλεως ὅρος ἄριστος, ἡ μεγίσ πλήθους ὑπερβολὴ πρὸς αὐτάρκειαν ζωῆς εὐσύνοπτος. μὲν οὖν μεγέθους πόλεως διωρίσθω τὸν τρόπον τοῦτον.

Παραπλησίως δὲ καὶ τὰ περὶ τῆς χώρας ἔχει. μὲν γὰρ τοῦ ποίαν τινά, δῆλον ὅτι τὴν αὐταρκεστάτη τις ἂν ἐπαινέσειεν. τοιαύτην δ' ἀναγκαῖον εἶναι τὴν τοφόρον· τὸ γὰρ πάντα ὑπάρχειν καὶ δεῖσθαι μη αὔταρκες. πλήθει δὲ καὶ μεγέθει τοσαύτην ὥστε δύνα τοὺς οἰκοῦντας ζῆν σχολάζοντας ἐλευθερίως ἅμα καὶ φρόνως. τοῦτον δὲ τὸν ὅρον εἰ καλῶς ἢ μὴ καλῶς λ μεν, ὕστερον ἐπισκεπτέον ἀκριβέστερον, ὅταν ὅλως περὶ σεως καὶ τῆς περὶ τὴν οὐσίαν εὐπορίας συμβαίνῃ πει μνείαν, πῶς δεῖ καὶ τίνα τρόπον ἔχειν πρὸς τὴν χ αὐτήν· πολλαὶ γὰρ περὶ τὴν σκέψιν ταύτην εἰσὶν ἀμ βητήσεις διὰ τοὺς ἕλκοντας ἐφ' ἑκατέραν τοῦ βίου τὴν βολήν, τοὺς μὲν ἐπὶ τὴν γλισχρότητα τοὺς δὲ ἐπὶ τὴ φήν. τὸ δ' εἶδος τῆς χώρας οὐ χαλεπὸν εἰπεῖν, δεῖ δ πείθεσθαι καὶ τοῖς περὶ τὴν στρατηγίαν ἐμπείροις, ὅτ μὲν τοῖς πολεμίοις εἶναι δυσέμβολον, αὐτοῖς δ' εὐέ

10. ποία post καὶ om S^bV^b. ‖ 19. ἀριθμῶν S^bV^b. ‖ 34. καὶ om S^b. ‖ πόλις I^b.
3. ἡ δὲ πόλις αὔταρκες om S^bV^b. ‖ 5. πολίτην S^bV^b. ‖ 26. τὰ om S^bV^b. ‖ 32. τὸν ὅρον om S^bV^b. ‖ 33. ὕστερον om
37. τὴν om V^b.

ὥσπερ τὸ πλῆθος τὸ τῶν ἀνθρώπων εὐσύνοπτον ἔφα-
ῖναι δεῖν, οὕτω καὶ τὴν χώραν· τὸ δ' εὐσύνοπτον τὸ
θητον εἶναι τὴν χώραν ἐστίν. τῆς δὲ πόλεως τὴν θέσιν
ἡ ποιεῖν κατ' εὐχήν, πρός τε τὴν θάλατταν προσήκει
ιι καλῶς πρός τε τὴν χώραν. εἷς μὲν ὁ λεχθεὶς
δεῖ γὰρ πρὸς τὰς ἐκβοηθείας κοινὴν εἶναι τῶν τόπων
των· ὁ δὲ λοιπὸς πρὸς τὰς τῶν γιγνομένων καρπῶν
τομπάς. ἔτι δὲ τῆς περὶ ξύλα ὕλης, κἂν εἴ τινα
ἐργασίαν ἡ χώρα τυγχάνοι κεκτημένη τοιαύτην,
ακόμιστον.

Περὶ δὲ τῆς πρὸς τὴν θάλατταν κοινωνίας, πότερον
ιμος ταῖς εὐνομουμέναις πόλεσιν ἢ βλαβερά, πολλὰ
άνουσιν ἀμφισβητοῦντες· τό τε γὰρ ἐπιξενοῦσθαί τινας
λοις τεθραμμένους νόμοις ἀσύμφορον εἶναί φασι πρὸς
ὐνομίαν, καὶ τὴν πολυανθρωπίαν· γίνεσθαι μὲν γὰρ
χρῆσθαι τῇ θαλάσσῃ διαπέμποντας καὶ δεχομένους
ων πλῆθος, ὑπεναντίαν δ' εἶναι πρὸς τὸ πολιτεύεσθαι
ς. ὅτι μὲν οὖν, εἰ ταῦτα μὴ συμβαίνει, βέλτιον καὶ
ἀσφάλειαν καὶ πρὸς εὐπορίαν τῶν ἀναγκαίων μετέ-
τὴν πόλιν καὶ τὴν χώραν τῆς θαλάττης, οὐκ ἄδηλον.
γὰρ πρὸς τὸ ῥᾷον φέρειν τοὺς πολέμους εὐβοηθήτους
δεῖ κατ' ἀμφότερα τοὺς σωθησομένους, καὶ κατὰ γῆν
κατὰ θάλατταν· καὶ πρὸς τὸ βλάψαι τοὺς ἐπιτιθεμέ-
ἰ μὴ κατ' ἄμφω δυνατόν, ἀλλὰ κατὰ θάτερον ὑπάρ-
ᾶλλον ἀμφοτέρων μετέχουσιν. ὅσα τ' ἂν μὴ τυγχάνῃ
αὐτοῖς ὄντα, δέξασθαι ταῦτα καὶ τὰ πλεονάζοντα
γιγνομένων ἐκπέμψασθαι τῶν ἀναγκαίων ἐστίν· αὑτῇ
ἐμπορικήν, ἀλλ' οὐ τοῖς ἄλλοις δεῖ εἶναι τὴν πόλιν.
παρέχοντες σφᾶς αὐτοὺς πᾶσιν ἀγορὰν προσόδου
ταῦτα πράττουσιν· ἣν δὲ μὴ δεῖ πόλιν τοιαύτης
ζειν πλεονεξίας, οὐδ' ἐμπόριον δεῖ κεκτῆσθαι τοιοῦτον.
δὲ καὶ νῦν ὁρῶμεν πολλαῖς ὑπάρχον καὶ χώραις
τόλεσιν ἐπίνεια καὶ λιμένας εὐφυῶς κείμενα πρὸς τὴν
, ὥστε μήτε τὸ αὐτὸ νέμειν ἄστυ μήτε πόρρω λίαν,
κρατεῖσθαι τείχεσι καὶ τοιούτοις ἄλλοις ἐρύμασι,
ρὸν ὡς εἰ μὲν ἀγαθόν τι συμβαίνει γίγνεσθαι διὰ τῆς
νίας αὐτῶν, ὑπάρξει τῇ πόλει τοῦτο τὸ ἀγαθόν, εἰ δέ
λαβερόν, φυλάξασθαι ῥᾴδιον τοῖς νόμοις φράζοντας
διορίζοντας τίνας οὐ δεῖ καὶ τίνας ἐπιμίσγεσθαι δεῖ
ἀλλήλους. περὶ δὲ τῆς ναυτικῆς δυνάμεως, ὅτι μὲν
στον ὑπάρχειν μέχρι τινὸς πλήθους, οὐκ ἄδηλον· οὐ γὰρ

μόνον αὑτοῖς ἀλλὰ καὶ τῶν πλησίον τισὶ δεῖ καὶ φοβεροὺς εἶναι καὶ δύνασθαι βοηθεῖν, ὥσπερ κατὰ γῆν, καὶ κατὰ θάλατταν. περὶ δὲ πλήθους ἤδη καὶ μεγέθους τῆς δυνάμεως ταύτης πρὸς τὸν βίον ἀποσκεπτέον τῆς πόλεως· εἰ μὲν γὰρ ἡγεμονικὸν καὶ πολιτικὸν ζήσεται βίον, ἀναγκαῖον καὶ ταύτην τὴν δύναμιν ὑπάρχειν πρὸς τὰς πράξεις σύμμετρον. τὴν δὲ πολυανθρωπίαν τὴν γιγνομένην περὶ τὸν ναυτικὸν ὄχλον οὐκ ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσιν· οὐθὲν γὰρ αὐτοὺς μέρος εἶναι δεῖ τῆς πόλεως. τὸ μὲν γὰρ ἐπιβατικὸν ἐλεύθερον καὶ τῶν πεζευόντων ἐστίν, ὃ κύριόν ἐστι καὶ κρατεῖ τῆς ναυτιλίας· πλήθους δὲ ὑπάρχοντος περιοίκων καὶ τῶν τὴν χώραν γεωργούντων, ἀφθονίαν ἀναγκαῖον εἶναι καὶ ναυτῶν. ὁρῶμεν δὲ καὶ τοῦτο καὶ νῦν ὑπάρχον τισίν, οἷον τῇ πόλει τῶν Ἡρακλεωτῶν· πολλὰς γὰρ ἐκπληροῦσι τριήρεις κεκτημένοι τῷ μεγέθει πόλιν ἑτέρων ἐμμελεστέραν.

Περὶ μὲν οὖν χώρας καὶ λιμένων καὶ πόλεων καὶ θαλάττης καὶ περὶ τῆς ναυτικῆς δυνάμεως ἔστω διωρισμένα τὸν τρόπον τοῦτον· περὶ δὲ τοῦ πολιτικοῦ πλήθους, τίνα μὲν ὅρον ὑπάρχειν χρή, πρότερον εἴπομεν, ποίους δέ τινας τὴν 7
φύσιν εἶναι δεῖ, νῦν λέγωμεν. σχεδὸν δὴ κατανοήσειεν ἄν τις τοῦτό γε, βλέψας ἐπί τε τὰς πόλεις τὰς εὐδοκιμούσας τῶν Ἑλλήνων καὶ πρὸς πᾶσαν τὴν οἰκουμένην, ὡς διείληπται τοῖς ἔθνεσιν. τὰ μὲν γὰρ ἐν τοῖς ψυχροῖς τόποις ἔθνη καὶ τὰ περὶ τὴν Εὐρώπην θυμοῦ μέν ἐστι πλήρη, διανοίας δὲ ἐνδεέστερα καὶ τέχνης· διόπερ ἐλεύθερα μὲν διατελεῖ μᾶλλον, ἀπολίτευτα δὲ καὶ τῶν πλησίον ἄρχειν οὐ δυνάμενα. τὰ δὲ περὶ τὴν Ἀσίαν διανοητικὰ μὲν καὶ τεχνικὰ τὴν ψυχήν, ἄθυμα δέ· διόπερ ἀρχόμενα καὶ δουλεύοντα διατελεῖ. τὸ δὲ τῶν Ἑλλήνων γένος ὥσπερ μεσεύει κατὰ τοὺς τόπους, οὕτως ἀμφοῖν μετέχει· καὶ γὰρ ἔνθυμον καὶ διανοητικόν ἐστιν· διόπερ ἐλεύθερόν τε διατελεῖ καὶ βέλτιστα πολιτευόμενον καὶ δυνάμενον ἄρχειν πάντων, μιᾶς τυγχάνον πολιτείας. τὴν αὐτὴν δ' ἔχει διαφορὰν καὶ τὰ τῶν Ἑλλήνων ἔθνη καὶ πρὸς ἄλληλα· τὰ μὲν γὰρ ἔχει τὴν φύσιν μονόκωλον, τὰ δὲ εὖ τε κέκραται πρὸς ἀμφοτέρας τὰς δυνάμεις ταύτας. φανερὸν τοίνυν ὅτι δεῖ διανοητικούς τε εἶναι καὶ θυμοειδεῖς τὴν φύσιν τοὺς μέλλοντας εὐαγώγους ἔσεσθαι τῷ νομοθέτῃ πρὸς τὴν ἀρετήν. ὅπερ γάρ φασί τινες δεῖν ὑπάρχειν τοῖς φύλαξι, τὸ φιλητικοὺς μὲν εἶναι τῶν γνωρίμων, πρὸς δὲ τοὺς ἀγνῶτας ἀγρίους, ὁ θυμός ἐστιν ὁ ποιῶν τὸ φιλητικόν· αὕτη γάρ ἐστιν ἡ τῆς ψυχῆς

). τυγχάνει S^b. ‖ 12. εὐνομένοις S^bV^b. ‖ 21. πολεμίους codices. ‖ 24. ἀλλὰ] ἀλλ' εἰ S^bV^b. ‖ 30. ἦν I^bV^b. ‖ τοιαύτης I^b. ‖
πειδὴ καὶ $I^bS^bV^b$.
. τὸν S^b. ‖ πλησίων I^b. ‖ 14. ἡρακλειωτῶν S^bV^b. ‖ 17. διωρισμένους S^bV^b.

δύναμις ᾗ φιλȣ̃μεν. σημεῖον δέ· πρὸς γὰρ τοὺς συνήθεις καὶ φίλȣς ὁ θυμὸς αἴρεται μᾶλλον ἢ πρὸς τȣ̀ς ἀγνῶτας, ὀλιγωρεῖσθαι νομίσας. διὸ καὶ Ἀρχίλοχος προσηκόντως τοῖς φίλοις ἐγκαλῶν διαλέγεται πρὸς τὸν θυμόν·

οὐ γὰρ δὴ περὶ φίλων ἀπάγχεο.

καὶ τὸ ἄρχον δὲ καὶ τὸ ἐλεύθερον ἀπὸ τῆς δυνάμεως ταύτης ὑπάρχει πᾶσιν· ἀρχικὸν γὰρ καὶ ἀήττητον ὁ θυμός. ȣ̓ καλῶς δ' ἔχει λέγειν χαλεπȣ̀ς εἶναι πρὸς τȣ̀ς ἀγνῶτας· πρὸς ȣ̓θένα γὰρ εἶναι χρὴ τοιȣ̃τον, ȣ̓δ' εἰσὶν οἱ μεγαλόψυχοι τὴν φύσιν ἄγριοι, πλὴν πρὸς τȣ̀ς ἀδικȣ̃ντας. τȣ̃το δὲ μᾶλλον ἔτι πρὸς τοὺς συνήθεις πάσχουσιν, ὅπερ εἴρηται πρότερον, ἂν ἀδικεῖσθαι νομίσωσιν. καὶ τοῦτο συμβαίνει κατὰ λόγον· παρ' οἷς γὰρ ὀφείλεσθαι δεῖν τὴν εὐεργεσίαν ὑπολαμβάνȣσι, πρὸς τῷ βλάβει καὶ ταύτης ἀποϛερεῖσθαι νομίζȣσιν. ὅθεν εἴρηται "χαλεποὶ γὰρ πόλεμοι ἀδελφῶν" καὶ "οἵ τοι πέρα ϛέρξαντες, οἱ δὲ καὶ πέρα μισȣ̃σιν."

Περὶ μὲν ȣ̓̃ν τῶν πολιτευομένων, πόσȣς τε ὑπάρχειν δεῖ καὶ ποίους τινὰς τὴν φύσιν, ἔτι δὲ τὴν χώραν πόσην τέ τινα καὶ ποίαν τινά, διώρισται σχεδόν· οὐ γὰρ τὴν αὐτὴν ἀκρίβειαν δεῖ ζητεῖν διά τε τῶν λόγων καὶ τῶν
8 γιγνομένων διὰ τῆς αἰσθήσεως. ἐπεὶ δ' ὥσπερ τῶν ἄλλων τῶν κατὰ φύσιν συνεϛώτων ȣ̓ ταὐτά ἐϛι μόρια τῆς ὅλης συϛάσεως, ὧν ἄνευ τὸ ὅλον ȣ̓κ ἂν εἴη, δῆλον ὡς ȣ̓δὲ πόλεως μέρη θετέον ὅσα ταῖς πόλεσιν ἀναγκαῖον ὑπάρχειν, ȣ̓δ' ἄλλης κοινωνίας ȣ̓δεμιᾶς, ἐξ ἧς ἕν τι τὸ γένος. ἓν γάρ τι καὶ κοινὸν εἶναι δεῖ καὶ ταὐτὸ τοῖς κοινωνοῖς, ἄν τε ἴσον ἄν τε ἄνισον μεταλαμβάνωσιν, οἷον εἴτε τροφὴ τȣ̃τό ἐϛιν εἴτε χώρας πλῆθος εἴτ' ἄλλο τι τῶν τοιȣ́των ἐϛίν. ὅταν δ' ᾖ τὸ μὲν τȣ́τȣ ἕνεκεν τὸ δ' ȣ̔̃ ἕνεκεν, ȣ̓θὲν ἔν γε τȣ́τοις κοινὸν ἀλλ' ἢ τῷ μὲν ποιῆσαι τῷ δὲ λαβεῖν· λέγω δ' οἷον ὀργάνῳ τε παντὶ πρὸς τὸ γιγνόμενον ἔργον καὶ τοῖς δημιȣργοῖς· οἰκίᾳ γὰρ πρὸς οἰκοδόμον ȣ̓θέν ἐϛιν ὃ γίνεται κοινόν, ἀλλ' ἔϛι τῆς οἰκίας χάριν ἡ τῶν οἰκοδόμων τέχνη. διὸ κτήσεως μὲν δεῖ ταῖς πόλεσιν, ȣ̓δὲν δ' ἐϛὶν ἡ κτῆσις μέρος τῆς πόλεως. πολλὰ δ' ἔμψυχα μέρη τῆς κτήσεώς ἐϛιν. ἡ δὲ πόλις κοινωνία τίς ἐϛι τῶν ὁμοίων, ἕνεκεν δὲ ζωῆς τῆς ἐνδεχομένης ἀρίϛης. ἐπεὶ δ' ἐϛὶν εὐδαιμονία τὸ ἄριϛον, αὕτη δὲ ἀρετῆς ἐνέργεια καὶ χρῆσίς τις τέλειος, συμβέβηκε δὲ ȣ̔́τως ὥϛε τȣ̀ς μὲν ἐνδέχεσθαι μετέχειν αὐτῆς, τȣ̀ς δὲ μικρὸν ἢ μηδέν, δῆλον ὡς τȣ̃τ' αἴτιον τȣ̃ γίγνεσθαι πόλεως εἴδη καὶ διαφορὰς καὶ πολιτείας πλείȣς· ἄλλον γὰρ τρόπον καὶ δι'

ἄλλων ἕκαϛοι τȣ̃το θηρεύοντες τȣ́ς τε βίȣς ἑτέρȣς πο
καὶ τὰς πολιτείας. ἐπισκεπτέον δὲ καὶ πόσα ταυτί ἐ
ἄνευ πόλις ȣ̓κ ἂν εἴη· καὶ γὰρ ἃ λέγομεν εἶναι μέ
λεως, ἐν τȣ́τοις ἂν εἴη ἀναγκαῖον ὑπάρχειν. ληπτέον
τῶν ἔργων τὸν ἀριθμόν· ἐκ τȣ́των γὰρ ἔϛαι δῆλον. π
μὲν ȣ̓̃ν ὑπάρχειν δεῖ τροφήν, ἔπειτα τέχνας (πολλῶ
ὀργάνων δεῖται τὸ ζῆν), τρίτον δὲ ὅπλα (τȣ̀ς γὰρ κοι
τας ἀναγκαῖον καὶ ἐν αὐτοῖς ἔχειν ὅπλα πρός τε τ
χήν, τῶν ἀπειθούντων χάριν, καὶ πρὸς τȣ̀ς ἔξωθεν ἀ
ἐπιχειρȣ̃ντας), ἔτι χρημάτων τινὰ εὐπορίαν, ὅπως
καὶ πρὸς τὰς καθ' αὑτȣ̀ς χρείας καὶ πρὸς πολεμικάς,
πτον δὲ καὶ πρῶτον τὴν περὶ τὸ θεῖον ἐπιμέλειαν, ἣν
σιν ἱερατείαν, ἕκτον δὲ τὸν ἀριθμὸν καὶ πάντων ἀναγ
τατον κρίσιν περὶ τῶν συμφερόντων καὶ τῶν δικαίω
πρὸς ἀλλήλȣς. τὰ μὲν ȣ̓̃ν ἔργα ταῦτ' ἐϛὶν ὧν δεῖται
πόλις ὡς εἰπεῖν. ἡ γὰρ πόλις πλῆθός ἐϛιν οὐ τὸ τ
ἀλλὰ πρὸς ζωὴν αὔταρκες, ὡς φαμέν· ἐὰν δέ τι
χάνῃ τȣ́των ἐκλεῖπον, ἀδύνατον ἁπλῶς αὐτάρκη τὴ
νωνίαν εἶναι ταύτην. ἀνάγκη τοίνυν κατὰ τὰς ἐργα
ταύτας συνεϛάναι πόλιν. δεῖ ἄρα γεωργῶν τ' εἶναι
θος, οἳ παρασκευάσȣσι τὴν τροφήν, καὶ τεχνίτας, κα
μάχιμον, καὶ τὸ εὔπορον, καὶ ἱερεῖς, καὶ κριτὰς
ἀναγκαίων καὶ συμφερόντων.

Διωρισμένων δὲ τȣ́των λοιπὸν σκέψασθαι πότερον
κοινωνητέον πάντων τȣ́των (ἐνδέχεται γὰρ τȣ̀ς αὐτȣ̀ς ἅπ
τας εἶναι καὶ γεωργȣ̀ς καὶ τεχνίτας καὶ τȣ̀ς βȣλευομ
καὶ δικάζοντας) ἢ καθ' ἕκαϛον ἔργον τῶν εἰρημένων ἄ
ὑποθετέον, ἢ τὰ μὲν ἴδια τὰ δὲ κοινὰ τȣ́των ἐξ ἀνάγ
ἐϛίν. ȣ̓κ ἐν πάσῃ δὲ τȣ̃το πολιτείᾳ. καθάπερ γὰρ εἴπομ
ἐνδέχεται καὶ πάντας κοινωνεῖν πάντων, καὶ μὴ πάντ
πάντων ἀλλὰ τινὰς τινῶν. ταῦτα γὰρ καὶ ποιεῖ τὰς π
λιτείας ἑτέρας· ἐν μὲν γὰρ ταῖς δημοκρατίαις μετέχ
πάντες πάντων, ἐν δὲ ταῖς ὀλιγαρχίαις τοὐναντίον. ἐ
δὲ τυγχάνομεν σκοπȣ̃ντες περὶ τῆς ἀρίϛης πολιτείας, α
δ' ἐϛὶ καθ' ἣν ἡ πόλις ἂν εἴη μάλιϛ' εὐδαίμων, τὴ
εὐδαιμονίαν ὅτι χωρὶς ἀρετῆς ἀδύνατον ὑπάρχειν εἴρη
πρότερον, φανερὸν ἐκ τȣ́των ὡς ἐν τῇ κάλλιϛα πολιτ
μένῃ πόλει καὶ τῇ κεκτημένῃ δικαίȣς ἄνδρας ἁπλῶς, ὠ
μὴ πρὸς τὴν ὑπόθεσιν, ȣ̓́τε βάναυσον βίον ȣ̓́τ' ἀγοραῖο
ζῆν τοὺς πολίτας· ἀγεννὴς γὰρ ὁ τοιȣ̃τος βίος καὶ π
ἀρετὴν ὑπεναντίος. ȣ̓δὲ δὴ γεωργȣ̀ς εἶναι τοὺς μέλλο

3. ἀγχίλοχος $S^b V^b$. ‖ 5. ἀπέγχεο $S^b V^b$. ‖ 14. ταύτας $S^b V^b$. ‖ 18. δὲ] τε I^b. ‖ 22. ταῦτα V^b. ‖ 25. ἐξῆς $I^b V^b$. ‖ 26.
I^b. ‖ δὴ $I^b S^b V^b$. ‖ 35. κτίσεως V^b.

20. γεωργόν S^b. ‖ 21. παρασκευάζȣσι $S^b V^b$. ‖ 26. καὶ δὲ τεχνίτας $S^b V^b$. ‖ 35. ἂν εἴη] ἀεὶ S^b, ἀεὶ εἴη V^b.

ἔσεσθαι· δεῖ γὰρ σχολῆς καὶ πρὸς τὴν γένεσιν τῆς ἀρετῆς καὶ πρὸς τὰς πράξεις τὰς πολιτικάς. ἐπεὶ δὲ καὶ τὸ πολεμικὸν καὶ τὸ βουλευόμενον περὶ τῶν συμφερόντων καὶ κρῖνον περὶ τῶν δικαίων ἐνυπάρχει καὶ μέρη φαίνεται τῆς πόλεως μάλιστα ὄντα, πότερον ἕτερα καὶ ταῦτα θετέον ἢ τοῖς αὐτοῖς ἀποδοτέον ἄμφω; φανερὸν δὲ καὶ τοῦτο, διότι τρόπον μέν τινα τοῖς αὐτοῖς, τρόπον δέ τινα καὶ ἑτέροις. ᾗ μὲν γὰρ ἑτέρας ἀκμῆς ἑκάτερον τῶν ἔργων, καὶ τὸ μὲν δεῖται φρονήσεως τὸ δὲ δυνάμεως, ἑτέροις· ᾗ δὲ τῶν ἀδυνάτων ἐστὶ τοὺς δυναμένους βιάζεσθαι καὶ κωλύειν, τούτους ὑπομένειν ἀρχομένους ἀεί, ταύτῃ δὲ τοῖς αὐτοῖς· οἱ γὰρ τῶν ὅπλων κύριοι καὶ μένειν ἢ μὴ μένειν κύριοι τὴν πολιτείαν. λείπεται τοίνυν τοῖς αὐτοῖς μὲν ἀμφοτέροις ἀποδιδόναι τὴν πολιτείαν ταύτην, μὴ ἅμα δέ, ἀλλ' ὥσπερ πέφυκεν ἡ μὲν δύναμις ἐν νεωτέροις, ἡ δὲ φρόνησις ἐν πρεσβυτέροις ἐστίν. οὐκοῦν οὕτως ἀμφοῖν νενεμῆσθαι συμφέρει καὶ δίκαιον εἶναι· ἔχει γὰρ αὕτη ἡ διαίρεσις τὸ κατ' ἀξίαν. ἀλλὰ μὴν καὶ τὰς κτήσεις δεῖ εἶναι περὶ τούτους· ἀναγκαῖον γὰρ εὐπορίαν ὑπάρχειν τοῖς πολίταις, πολῖται δὲ οὗτοι. τὸ γὰρ βάναυσον οὐ μετέχει τῆς πόλεως, οὐδ' ἄλλο οὐθὲν γένος ὃ μὴ τῆς ἀρετῆς δημιουργόν ἐστιν. τοῦτο δὲ δῆλον ἐκ τῆς ὑποθέσεως· τὸ μὲν γὰρ εὐδαιμονεῖν ἀναγκαῖον ὑπάρχειν μετὰ τῆς ἀρετῆς, εὐδαίμονα δὲ πόλιν οὐκ εἰς μέρος τι βλέψαντας δεῖ λέγειν αὐτῆς, ἀλλ' εἰς πάντας τοὺς πολίτας. φανερὸν δὲ καὶ ὅτι δεῖ τὰς κτήσεις εἶναι τούτων, εἴπερ ἀναγκαῖον εἶναι τοὺς γεωργοὺς δούλους ἢ βαρβάρους ἢ περιοίκους. λοιπὸν δ' ἐκ τῶν καταριθμηθέντων τὸ τῶν ἱερέων γένος. φανερὰ δὲ καὶ ἡ τούτων τάξις. οὔτε γὰρ γεωργὸν οὔτε βάναυσον ἱερέα καταστατέον· ὑπὸ γὰρ τῶν πολιτῶν πρέπει τιμᾶσθαι τοὺς θεούς· ἐπεὶ δὲ διήρηται τὸ πολιτικὸν εἰς δύο μέρη, τοῦτ' ἐστὶ τό τε ὁπλιτικὸν καὶ τὸ βουλευτικόν, πρέπει δὲ τήν τε θεραπείαν ἀποδιδόναι τοῖς θεοῖς καὶ τὴν ἀνάπαυσιν ἔχειν περὶ αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας, τούτοις ἂν εἴη ταῖς ἱερωσύναις ἀποδοτέον. ὧν μὲν τοίνυν ἄνευ πόλις οὐ συνίσταται, καὶ ὅσα μέρη πόλεως, εἴρηται. γεωργοὶ μὲν γὰρ καὶ τεχνῖται καὶ πᾶν τὸ θητικὸν ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσιν, μέρη δὲ τῆς πόλεως τό τε ὁπλιτικὸν καὶ βουλευτικόν. καὶ κεχώρισται δὴ τούτων ἕκαστον, τὸ μὲν ἀεί, τὸ δὲ κατὰ μέρος.

0 Ἔοικε δ' οὐ νῦν οὐδὲ νεωστὶ τοῦτ' εἶναι γνώριμον τοῖς περὶ πολιτείας φιλοσοφοῦσιν, ὅτι δεῖ διῃρῆσθαι χωρὶς κατὰ γένη τὴν πόλιν καὶ τό τε μάχιμον ἕτερον εἶναι καὶ τὸ γεωργοῦν· ἐν Αἰγύπτῳ τε γὰρ ἔχει τὸν τρόπον τοῦτον ἔτι καὶ νῦν, τά τε περὶ τὴν Κρήτην, τὰ μὲν οὖν περὶ Αἴγυπτον Σεσώστριος, ὡς φασίν, οὕτω νομοθετήσαντος, Μίνω δὲ τὰ περὶ Κρήτην. ἀρχαία δ' ἔοικεν εἶναι καὶ τῶν συσσιτίων ἡ τάξις, τὰ μὲν περὶ Κρήτην γενόμενα περὶ τὴν Μίνω βασιλείαν, τὰ δὲ περὶ τὴν Ἰταλίαν πολλῷ παλαιότερα τούτων. φασὶ γὰρ οἱ λόγιοι τῶν ἐκεῖ κατοικούντων Ἰταλόν τινα γενέσθαι βασιλέα τῆς Οἰνωτρίας, ἀφ' οὗ τό τε ὄνομα μεταβαλόντας Ἰταλοὺς ἀντ' Οἰνωτρῶν κληθῆναι καὶ τὴν ἀκτὴν ταύτην τῆς Εὐρώπης Ἰταλίαν τοὔνομα λαβεῖν, ὅση τετύχηκεν ἐντὸς οὖσα τοῦ κόλπου τοῦ Σκυλλητικοῦ καὶ τοῦ Λαμητικοῦ· ἀπέχει γὰρ ταῦτα ἀπ' ἀλλήλων ὁδὸν ἡμισείας ἡμέρας. τοῦτον δὴ λέγουσι τὸν Ἰταλὸν νομάδας τοὺς Οἰνωτροὺς ὄντας ποιῆσαι γεωργούς, καὶ νόμους ἄλλους τε αὐτοῖς θέσθαι καὶ τὰ συσσίτια καταστῆσαι πρῶτον. διὸ καὶ νῦν ἔτι τῶν ἀπ' ἐκείνου τινὲς χρῶνται τοῖς συσσιτίοις καὶ τῶν νόμων ἐνίοις. ᾤκουν δὲ τὸ μὲν πρὸς τὴν Τυρρηνίαν Ὀπικοὶ καὶ πρότερον καὶ νῦν καλούμενοι τὴν ἐπωνυμίαν Αὔσονες, τὸ δὲ πρὸς τὴν Ἰαπυγίαν καὶ τὸν Ἰόνιον Χῶνες, τὴν καλουμένην Σύρτιν· ἦσαν δὲ καὶ οἱ Χῶνες Οἰνωτροὶ τὸ γένος. ἡ μὲν οὖν τῶν συσσιτίων τάξις ἐντεῦθεν γέγονε πρῶτον, ὁ δὲ χωρισμὸς ὁ κατὰ γένος τοῦ πολιτικοῦ πλήθους ἐξ Αἰγύπτου· πολὺ γὰρ ὑπερτείνει τοῖς χρόνοις τὴν Μίνω βασιλείαν ἡ Σεσώστριος. σχεδὸν μὲν οὖν καὶ τὰ ἄλλα δεῖ νομίζειν εὑρῆσθαι πολλάκις ἐν τῷ πολλῷ χρόνῳ, μᾶλλον δ' ἀπειράκις· τὰ μὲν γὰρ ἀναγκαῖα τὴν χρείαν διδάσκειν εἰκὸς αὐτήν, τὰ δ' εἰς εὐσχημοσύνην καὶ περιουσίαν ὑπαρχόντων ἤδη τούτων εὔλογον λαμβάνειν τὴν αὔξησιν. ὥστε καὶ τὰ περὶ τὰς πολιτείας οἴεσθαι δεῖ τὸν αὐτὸν ἔχειν τρόπον. ὅτι δὲ πάντα ἀρχαῖα, σημεῖον τὰ περὶ Αἴγυπτόν ἐστιν· οὗτοι γὰρ ἀρχαιότατοι μὲν δοκοῦσιν εἶναι, νόμων δὲ τετυχήκασι καὶ τάξεως πολιτικῆς. διὸ δεῖ τοῖς μὲν εἰρημένοις ἱκανῶς χρῆσθαι, τὰ δὲ παραλελειμμένα πειρᾶσθαι ζητεῖν.

Ὅτι μὲν οὖν δεῖ τὴν χώραν εἶναι τῶν ὅπλα κεκτημένων καὶ τῶν τῆς πολιτείας μετεχόντων, εἴρηται πρότερον, καὶ διότι τοὺς γεωργοῦντας αὐτῶν ἑτέρους εἶναι δεῖ, καὶ πόσην τινὰ χρὴ καὶ ποίαν εἶναι τὴν χώραν· περὶ δὲ τῆς διανομῆς καὶ τῶν γεωργούντων, τίνας καὶ ποίους εἶναι χρή, λεκτέον πρῶτον, ἐπειδὴ οὔτε κοινήν φαμεν εἶναι δεῖν τὴν

11. τοὺς αὐτούς codices. ‖ 16. ἐστίν — 17. εἶναι] malim εἶναι — ἐστιν. ‖ 18. εἶναι om I^bV^b. ‖ 27. ἱερῶν I^bV^b. ‖ 33. τούτους] τούτοις I^b.
2. τε om S^bV^b. ‖ 8. λόγοι S^b. ‖ 10. μεταβαλλόντας S^b. ‖ 20. αὐσώνες V^b. ‖ 21. χάωνες I^b, χάονες S^bV^b. ‖ Σίριν Heynius. ‖ χάωνες $I^bS^bV^b$. ‖ 25. μήνου S^b. ‖ 31. ὅτε V^b. ‖ 39. καὶ om S^bV^b.

κτῆσιν, ὥσπερ τινὲς εἰρήκασιν, ἀλλὰ τῇ χρήσει φιλικῶς γινομένην κοινήν, οὔτ' ἀπορεῖν οὐθένα τῶν πολιτῶν τροφῆς. περὶ συσσιτίων τε συνδοκεῖ πᾶσι χρήσιμον εἶναι ταῖς εὖ κατεσκευασμέναις πόλεσιν ὑπάρχειν· δι' ἣν δ' αἰτίαν συνδοκεῖ καὶ ἡμῖν, ὕστερον ἐροῦμεν. δεῖ δὲ τούτων κοινωνεῖν πάντας τοὺς πολίτας, οὐ ῥᾴδιον δὲ τοὺς ἀπόρους ἀπὸ τῶν ἰδίων τε εἰσφέρειν τὸ συντεταγμένον καὶ διοικεῖν τὴν ἄλλην οἰκίαν. ἔτι δὲ τὰ πρὸς τοὺς θεοὺς δαπανήματα κοινὰ πάσης τῆς πόλεώς ἐστιν. ἀναγκαῖον τοίνυν εἰς δύο μέρη διῃρῆσθαι τὴν χώραν, καὶ τὴν μὲν εἶναι κοινὴν τὴν δὲ τῶν ἰδιωτῶν, καὶ τούτων ἑκατέραν διῃρῆσθαι δίχα πάλιν, τῆς μὲν κοινῆς τὸ μὲν ἕτερον μέρος εἰς τὰς πρὸς τοὺς θεοὺς λειτουργίας, τὸ δὲ ἕτερον εἰς τὴν τῶν συσσιτίων δαπάνην, τῆς δὲ τῶν ἰδιωτῶν τὸ ἕτερον μέρος τὸ πρὸς τὰς ἐσχατιάς, ἕτερον δὲ τὸ πρὸς τὴν πόλιν, ἵνα δύο κλήρων ἑκάστῳ νεμηθέντων ἀμφοτέρων τῶν τόπων πάντες μετέχωσιν· τό τε γὰρ ἴσον οὕτως ἔχει καὶ τὸ δίκαιον καὶ τὸ πρὸς τοὺς ἀστυγείτονας πολέμους ὁμονοητικώτερον. ὅπου γὰρ μὴ τοῦτον ἔχει τὸν τρόπον, οἱ μὲν ὀλιγωροῦσι τῆς πρὸς τοὺς ὁμόρους ἔχθρας, οἱ δὲ λίαν φροντίζουσι καὶ παρὰ τὸ καλόν. διὸ παρ' ἐνίοις νόμος ἐστὶ τοὺς γειτνιῶντας τοῖς ὁμόροις μὴ συμμετέχειν βουλῆς τῶν πρὸς αὐτοὺς πολέμων, ὡς διὰ τὸ ἴδιον οὐκ ἂν δυναμένους βουλεύσασθαι καλῶς. τὴν μὲν οὖν χώραν ἀνάγκη διῃρῆσθαι τὸν τρόπον τοῦτον διὰ τὰς προειρημένας αἰτίας· τοὺς δὲ γεωργήσοντας μάλιστα μέν, εἰ δεῖ κατ' εὐχήν, δούλους εἶναι, μήτε ὁμοφύλων πάντων μήτε θυμοειδῶν (οὕτω γὰρ ἂν πρός τε τὴν ἐργασίαν εἶεν χρήσιμοι καὶ πρὸς τὸ μηδὲν νεωτερίζειν ἀσφαλεῖς), δεύτερον δὲ βαρβάρους περιοίκους παραπλησίους τοῖς εἰρημένοις τὴν φύσιν. τούτων δὲ τοὺς μὲν ἰδίους ἐν τοῖς ἰδίοις εἶναι τῶν κεκτημένων τὰς οὐσίας, τοὺς δ' ἐπὶ τῇ κοινῇ γῇ κοινούς. τίνα δὲ δεῖ τρόπον χρῆσθαι δούλοις, καὶ διότι βέλτιον πᾶσι τοῖς δούλοις ἆθλον προκεῖσθαι τὴν ἐλευθερίαν, ὕστερον ἐροῦμεν.

11 Τὴν δὲ πόλιν ὅτι μὲν δεῖ κοινὴν εἶναι τῆς ἠπείρου τε καὶ τῆς θαλάσσης καὶ τῆς χώρας ἁπάσης ὁμοίως ἐκ τῶν ἐνδεχομένων, εἴρηται πρότερον· αὐτῆς δὲ πρὸς αὑτὴν εἶναι τὴν θέσιν εὔχεσθαι δεῖ κατατυγχάνειν πρὸς τέτταρα βλέποντας, πρῶτον μέν, ὡς ἀναγκαῖον, πρὸς ὑγίειαν. αἵ τε γὰρ πρὸς ἕω τὴν ἔγκλισιν ἔχουσαι καὶ πρὸς τὰ πνεύματα τὰ πνέοντα ἀπὸ τῆς ἀνατολῆς ὑγιεινότεραι, δεύτερον δὲ κατὰ βορέαν· εὐχείμεροι γὰρ αὗται μᾶλλον. τῶν δὲ λοιπῶν πρός τε τὰς πολιτικὰς πράξεις καὶ πολεμικὰς καλῶς ἔχειν. πρὸς μὲν οὖν τὰς πολεμικὰς αὐτοῖς μὲν εὐέξοδον εἶναι χρή, τοῖς δ' ἐναντίοις δυσπρόσοδον καὶ δυσπερίληπτον, ὑδάτων τε καὶ ναμάτων μάλιστα μὲν ὑπάρχειν πλῆθος οἰκεῖον· εἰ δὲ μή, τοῦτό γ' εὕρηται διὰ τοῦ κατασκευάζειν ὑποδοχὰς ὀμβρίοις ὕδασιν ἀφθόνους καὶ μεγάλας, ὥστε μηδέποτε ὑπολείπειν εἰργομένους τῆς χώρας διὰ πόλεμον. ἐπεὶ δὲ δεῖ περὶ ὑγιείας φροντίζειν τῶν ἐνοικούντων, τοῦτο δ' ἐστὶν ἐν τῷ κεῖσθαι τὸν τόπον ἔν τε τοιούτῳ καὶ πρὸς τοιοῦτον καλῶς, δεύτερον δὲ ὕδασιν ὑγιεινοῖς χρῆσθαι, καὶ τούτου τὴν ἐπιμέλειαν ἔχειν μὴ παρέργως. οἷς γὰρ πλείστοις χρώμεθα πρὸς τὸ σῶμα καὶ πλειστάκις, ταῦτα πλεῖστον συμβάλλεται πρὸς τὴν ὑγίειαν· ἡ δὲ τῶν ὑδάτων καὶ τοῦ πνεύματος δύναμις τοιαύτην ἔχει τὴν φύσιν. διόπερ ἐν ταῖς εὖ φρονούσαις δεῖ διωρίσθαι πόλεσιν, ἐὰν μὴ πάνθ' ὅμοια μήτ' ἀφθονία τούτων ᾖ ναμάτων, χωρὶς τά τε εἰς τροφὴν ὕδατα καὶ τὰ πρὸς τὴν ἄλλην χρείαν. περὶ δὲ τόπων τῶν ἐρυμνῶν, οὐ πάσαις ὁμοίως ἔχει τὸ συμφέρον ταῖς πολιτείαις· οἷον ἀκρόπολις ὀλιγαρχικὸν καὶ μοναρχικόν, δημοκρατικὸν δ' ὁμαλότης, ἀριστοκρατικὸν δ' οὐδέτερον, ἀλλὰ μᾶλλον ἰσχυροὶ τόποι πλείους. ἡ δὲ τῶν ἰδίων οἰκήσεων διάθεσις ἡδίων μὲν νομίζεται καὶ χρησιμωτέρα πρὸς τὰς ἄλλας πράξεις, ἂν εὔτομος ᾖ καὶ κατὰ τὸν νεώτερον καὶ τὸν Ἱπποδάμειον τρόπον, πρὸς δὲ τὰς πολεμικὰς ἀσφαλείας τοὐναντίον, ὡς εἶχον κατὰ τὸν ἀρχαῖον χρόνον· δυσέξοδος γὰρ ἐκείνη τοῖς ξενικοῖς καὶ δυσεξερεύνητος τοῖς ἐπιτιθεμένοις. διὸ δεῖ τούτων ἀμφοτέρων μετέχειν (ἐνδέχεται γάρ, ἄν τις οὕτω κατασκευάζῃ καθάπερ ἐν τοῖς γεωργοῖς ἃς καλοῦσί τινες τῶν ἀμπέλων συστάδας) καὶ τὴν μὲν ὅλην μὴ ποιεῖν πόλιν εὔτομον, κατὰ μέρη δὲ καὶ τόπους· οὕτω γὰρ καὶ πρὸς ἀσφάλειαν καὶ κόσμον ἕξει καλῶς. περὶ δὲ τειχῶν, οἱ μὴ φάσκοντες δεῖν ἔχειν τὰς τῆς ἀρετῆς ἀντιποιουμένας πόλεις λίαν ἀρχαίως ὑπολαμβάνουσι, καὶ ταῦθ' ὁρῶντες ἐλεγχομένας ἔργῳ τὰς ἐκείνως καλλωπισαμένας. ἔστι δὲ πρὸς μὲν τοὺς ὁμοίους καὶ μὴ πολὺ τῷ πλήθει διαφέροντας οὐ καλὸν τὸ πειρᾶσθαι σῴζεσθαι διὰ τῆς τῶν τειχῶν ἐρυμνότητος· ἐπεὶ δὲ καὶ συμβαίνει καὶ ἐνδέχεται πλείω τὴν ὑπεροχὴν γίγνεσθαι τῶν ἐπιόντων καὶ τῆς ἀνθρωπίνης καὶ τῆς ἐν τοῖς ὀλίγοις ἀρετῆς, εἰ δεῖ σῴζεσθαι καὶ μὴ πάσχειν κακῶς μηδὲ ὑβρίζεσθαι, τὴν ἀσφαλεστάτην ἐρυμνότητα τῶν τειχῶν οἰητέον εἶναι πολ-

19. τὴν et 20. ἔχθραν $S^b V^b$. ‖ 30. τῶν] ἰδίους τῶν $I^b V^b$. ‖ 34. τε] τὰς $S^b V^b$. ‖ 38. αἵ τε] ἅτε $I^b S^b$. ‖ 39. ἔσω τὴν ἔγκλισιν $S^b V^b$.

6. ὀμβρίους $I^b V^b$. ‖ ὕδατος I^b. ‖ 13. τὴν om I^b. ‖ 17. δὲ] δὲ τῶν V^b. ‖ 18. ὁμοίαις S^b. ‖ 24. ἱπποδάμειον $I^b V^b$.

ίτην, ἄλλως τε καὶ νῦν εὑρημένων τῶν περὶ τὰ
:αὶ τὰς μηχανὰς εἰς ἀκρίβειαν πρὸς τὰς πολιορκίας.
γὰρ τὸ τείχη μὴ περιβάλλειν ταῖς πόλεσιν ἀξιῦν
τὴν χώραν εὐέμβολον ζητεῖν καὶ περιαιρεῖν τοὺς
τόπυς· ὁμοίως δὲ καὶ ταῖς οἰκήσεσι ταῖς ἰδίαις μὴ
λλειν τοίχυς ὡς ἀνάνδρων ἐσομένων τῶν κατοικύν-
λλὰ μὴν ὐδὲ τῦτό γε δεῖ λανθάνειν, ὅτι τοῖς μὲν
3λημένοις τείχη περὶ τὴν πόλιν ἔξεστιν ἀμφοτέρως
ι ταῖς πόλεσιν, καὶ ὡς ἐχύσαις τείχη καὶ ὡς μὴ
:, ταῖς δὲ μὴ κεκτημέναις ὐκ ἔξεςιν. εἰ δὴ τῦτον
ν τρόπον, ὐχ ὅτι τείχη μόνον περιβλητέον, ἀλλὰ
ίτων ἐπιμελητέον, ὅπως καὶ πρὸς κόσμον ἔχῃ τῇ
τρεπόντως καὶ πρὸς τὰς πολεμικὰς χρείας, τάς τε
καὶ τὰς νῦν ἐπεξευρημένας. ὥσπερ γὰρ τοῖς ἐπι-
οις ἐπιμελές ἐςι δι' ὧν τρόπων πλεονεκτήσυσιν, ὕτω
εὕρηται τὰ δὲ δεῖ ζητεῖν καὶ φιλοσοφεῖν καὶ τὺς
τομένυς· ἀρχὴν γὰρ ὐδ' ἐπιχειρῦσιν ἐπιτίθεσθαι τοῖς
εσκευασμένοις.

:πεὶ δὲ δεῖ τὸ μὲν πλῆθος τῶν πολιτῶν ἐν συσσι-
ατανενεμῆσθαι, τὰ δὲ τείχη διειλῆφθαι φυλακτη-
ὶ πύργοις κατὰ τόπυς ἐπικαίρους, δῆλον ὡς αὐτὰ
ιεῖται παρασκευάζειν ἔνια τῶν συσσιτίων ἐν τύτοις
υλακτηρίοις. καὶ ταῦτα μὲν δὴ τῦτον ἄν τις δια-
ειε τὸν τρόπον, τὰς δὲ τοῖς θείοις ἀποδεδομένας οἰκή-
ὶ τὰ κυριώτατα τῶν ἀρχείων συσσίτια ἁρμόττει
ἐπιτήδειόν τε ἔχειν καὶ τὸν αὐτόν, ὅσα μὴ τῶν
νόμος ἀφορίζει χωρὶς ἤ τι μαντεῖον ἄλλο πυθό-
. εἴη δ' ἂν τοιῦτος ὁ τόπος ὅςις ἐπιφάνειάν τε ἔχει
ὴν τῆς ἀρετῆς θέσιν ἱκανῶς καὶ πρὸς τὰ γειτνιῶντα
ῆς πόλεως ἐρυμνοτέρως. πρέπει δ' ὑπὸ μὲν τοῦτον
τον τοιαύτης ἀγορᾶς εἶναι κατασκευὴν οἵαν καὶ περὶ
ίαν ὀνομάζουσιν, ἣν ἐλευθέραν καλοῦσιν. αὕτη δ'
ὴν δεῖ καθαρὰν εἶναι τῶν ὠνίων πάντων, καὶ μήτε
τον μήτε γεωργὸν μήτ' ἄλλον μηδένα τοιῦτον παρα-
ν μὴ καλούμενον ὑπὸ τῶν ἀρχόντων. εἴη δ' ἂν
: ὁ τόπος, εἰ καὶ τὰ γυμνάσια τῶν πρεσβυτέρων
ὴν τάξιν ἐνταῦθα. πρέπει γὰρ διῃρῆσθαι κατὰ τὰς
καὶ τῦτον τὸν κόσμον, καὶ παρὰ μὲν τοῖς νεωτέ-
χοντάς τινας διατρίβειν, τὺς δὲ πρεσβυτέρυς παρὰ
χυσιν· ἡ γὰρ ἐν ὀφθαλμοῖς τῶν ἀρχόντων παρυ-
ίλιςα ἐμποιεῖ τὴν ἀληθινὴν αἰδῶ καὶ τὸν τῶν ἐλευ-

θέρων φόβον. τὴν δὲ τῶν ὠνίων ἀγορὰν ἑτέραν τε δεῖ ταύτης εἶναι καὶ χωρίς, ἔχουσαν τόπον εὐσυνάγωγον τοῖς τε ἀπὸ τῆς θαλάττης πεμπομένοις καὶ τοῖς ἀπὸ τῆς χώρας πᾶσιν. ἐπεὶ δὲ τὸ πλῆθος διαιρεῖται τῆς πόλεως εἰς ἱερεῖς, εἰς ἄρχοντας, πρέπει καὶ τῶν ἱερέων συσσίτια περὶ τὴν τῶν ἱερῶν οἰκοδομημάτων ἔχειν τὴν τάξιν. τῶν δ' ἀρχείων ὅσα περὶ τὰ συμβόλαια ποιεῖται τὴν ἐπιμέλειαν, περί τε γραφὰς δικῶν καὶ τὰς κλήσεις καὶ τὴν ἄλλην τὴν τοιαύτην διοίκησιν, ἔτι δὲ περὶ τὴν ἀγορανομίαν καὶ τὴν καλυμένην ἀςυνομίαν, πρὸς ἀγορᾷ μὲν δεῖ καὶ συνόδῳ τινὶ κοινῇ κατεσκευάσθαι, τοιῦτος δ' ὁ περὶ τὴν ἀναγκαίαν ἀγοράν ἐςι τόπος· ἐνσχολάζειν μὲν γὰρ τὴν ἄνω τίθεμεν, ταύτην δὲ πρὸς τὰς ἀναγκαίας πράξεις. νενεμῆσθαι δὲ χρὴ τὴν εἰρημένην τάξιν καὶ τὰ περὶ τὴν χώραν· καὶ γὰρ ἐκεῖ τοῖς ἄρχυσιν, ὓς καλῦσιν οἱ μὲν ὑλωρὺς οἱ δὲ ἀγρονόμυς, καὶ φυλακτήρια καὶ συσσίτια πρὸς φυλακὴν ἀναγκαῖον ὑπάρχειν, ἔτι δὲ ἱερὰ κατὰ τὴν χώραν εἶναι νενεμημένα, τὰ μὲν θεοῖς τὰ δὲ ἥρωσιν. ἀλλὰ τὸ διατρίβειν νῦν ἀκριβολογυμένυς καὶ λέγοντας περὶ τῶν τοιύτων ἀργόν ἐςιν. οὐ γὰρ χαλεπόν ἐςι τὰ τοιαῦτα νοῆσαι, ἀλλὰ ποιῆσαι μᾶλλον· τὸ μὲν γὰρ λέγειν εὐχῆς ἔργον ἐςί, τὸ δὲ συμβῆναι τύχης. διὸ περὶ μὲν τῶν τοιύτων τό γε ἐπὶ πλεῖον ἀφείσθω τὰ νῦν.

Περὶ δὲ τῆς πολιτείας αὐτῆς, ἐκ τίνων καὶ ἐκ ποίων 13 δεῖ συνεςάναι τὴν μέλλυσαν ἔσεσθαι πόλιν μακαρίαν καὶ πολιτεύεσθαι καλῶς, λεκτέον. ἐπεὶ δὲ δύ' ἐςὶν ἐν οἷς γίγνεται τὸ εὖ πᾶσι, τύτοιν δ' ἐςὶν ἓν μὲν ἐν τῷ τὸν σκοπὸν κεῖσθαι καὶ τὸ τέλος τῶν πράξεων ὀρθῶς, ἓν δὲ τὰς πρὸς τὸ τέλος φερύσας πράξεις εὑρίσκειν· ἐνδέχεται γὰρ ταῦτα καὶ διαφωνεῖν ἀλλήλοις καὶ συμφωνεῖν· ἐνίοτε γὰρ ὁ μὲν σκοπὸς ἔκκειται καλῶς, ἐν δὲ τῷ πράττειν τῦ τυχεῖν αὐτῦ διαμαρτάνυσιν· ἐνίοτε δὲ τῶν μὲν πρὸς τὸ τέλος πάντων ἐπιτυγχάνουσιν, ἀλλὰ τὸ τέλος ἔθεντο φαῦλον· ὁτὲ δὲ ἑκατέρυ διαμαρτάνυσιν, οἷον περὶ ἰατρικήν· ὔτε γὰρ ποῖόν τι δεῖ τὸ ὑγιαῖνον εἶναι σῶμα κρίνυσιν ἐνίοτε καλῶς, ὔτε πρὸς τὸν ὑποκείμενον αὐτοῖς ὅρον τυγχάνυσι τῶν ποιητικῶν· δεῖ δ' ἐν ταῖς τέχναις καὶ ἐπιςήμαις ταῦτα ἀμφότερα κρατεῖσθαι, τὸ τέλος καὶ τὰς εἰς τὸ τέλος πράξεις. ὅτι μὲν οὖν τοῦ τ' εὖ ζῆν καὶ τῆς εὐδαιμονίας ἐφίενται πάντες, φανερόν. ἀλλὰ τύτων τοῖς μὲν ἐξυσία τυγχάνειν, τοῖς δὲ ὔ, διά τινα τύχην ἢ φύσιν· δεῖται γὰρ καὶ χο-

τῶ S^bV^b. ‖ 5. ὀρινὺς I^bV^b. ‖ 14. περ om I^b. ‖ 25. ἀρχαίων $I^bS^bV^b$.
κατασκευάσθαι S^bV^b. ‖ 13. μεμιμῆσθαι S^bV^b. ‖ 15. ἀγορανόμυς V^b. ‖ 28. τῶν] τῶν ὀρθῶν S^bV^b. ‖ 32. ἐνίοτε] ὁτὲ S^bV^b. ‖
α καὶ κρίνυσιν S^bV^b.

ρηγίας τινὸς τὸ ζῆν καλῶς, τούτου δὲ ἐλάττονος μὲν τοῖς ἄμεινον διακειμένοις, πλείονος δὲ τοῖς χεῖρον. οἱ δ᾽ εὐθὺς οὐκ ὀρθῶς ζητοῦσι τὴν εὐδαιμονίαν, ἐξουσίας ὑπαρχούσης. ἐπεὶ δὲ τὸ προκείμενόν ἐςι τὴν ἀρίςην πολιτείαν ἰδεῖν, αὕτη δ᾽ ἐςὶ καθ᾽ ἣν ἄριςτ᾽ ἂν πολιτεύοιτο πόλις, ἄριςα δ᾽ ἂν πολιτεύοιτο καθ᾽ ἣν εὐδαιμονεῖν μάλιςα ἐνδέχεται τὴν πόλιν, δῆλον ὅτι τὴν εὐδαιμονίαν δεῖ, τί ἐςι, μὴ λανθάνειν. φαμὲν δὲ καὶ ἐν τοῖς ἠθικοῖς, εἴ τι τῶν λόγων ἐκείνων ὄφελος, ἐνέργειαν εἶναι καὶ χρῆσιν ἀρετῆς τελείαν, καὶ ταύτην οὐκ ἐξ ὑποθέσεως ἀλλ᾽ ἁπλῶς. λέγω δ᾽ ἐξ ὑποθέσεως τἀναγκαῖα, τὸ δ᾽ ἁπλῶς τὸ καλῶς· οἷον τὰ περὶ τὰς δικαίας πράξεις αἱ δίκαιαι τιμωρίαι καὶ κολάσεις ἀπ᾽ ἀρετῆς μέν εἰσιν, ἀναγκαῖαι δέ, καὶ τὸ καλῶς ἀναγκαίως ἔχουσιν (αἱρετώτερον μὲν γὰρ μηθενὸς δεῖσθαι τῶν τοιούτων μήτε τὸν ἄνδρα μήτε τὴν πόλιν), αἱ δ᾽ ἐπὶ τὰς τιμὰς καὶ τὰς εὐπορίας ἁπλῶς εἰσὶ κάλλιςαι πράξεις. τὸ μὲν γὰρ ἕτερον κακοῦ τινὸς αἵρεσίς ἐστιν, αἱ τοιαῦται δὲ πράξεις τοὐναντίον· κατασκευαὶ γὰρ ἀγαθῶν εἰσὶ καὶ γεννήσεις. χρήσαιτο δ᾽ ἂν ὁ σπουδαῖος ἀνὴρ καὶ πενίᾳ καὶ νόσῳ καὶ ταῖς ἄλλαις τύχαις ταῖς φαύλαις καλῶς· ἀλλὰ τὸ μακάριον ἐν τοῖς ἐναντίοις ἐςίν. καὶ γὰρ τοῦτο διώριςαι κατὰ τοὺς ἠθικοὺς λόγους, ὅτι τοιοῦτός ἐςιν ὁ σπουδαῖος, ᾧ διὰ τὴν ἀρετὴν τὰ ἀγαθά ἐςι τὰ ἁπλῶς ἀγαθά. δῆλον δ᾽ ὅτι καὶ τὰς χρήσεις ἀναγκαῖον σπουδαίας καὶ καλὰς εἶναι ταύτας ἁπλῶς. διὸ καὶ νομίζουσιν ἄνθρωποι τῆς εὐδαιμονίας αἴτια τὰ ἐκτὸς εἶναι τῶν ἀγαθῶν, ὥσπερ εἰ τοῦ κιθαρίζειν λαμπρὸν καὶ καλῶς αἰτιῷτο τὴν λύραν μᾶλλον τῆς τέχνης. ἀναγκαῖον τοίνυν ἐκ τῶν εἰρημένων τὰ μὲν ὑπάρχειν, τὰ δὲ παρασκευάσαι τὸν νομοθέτην. διὸ κατ᾽ εὐχὴν εὐχόμεθα τὴν τῆς πόλεως σύστασιν, ὧν ἡ τύχη κυρία· κυρίαν γὰρ αὐτὴν ὑπάρχειν τίθεμεν· τὸ δὲ σπουδαίαν εἶναι τὴν πόλιν οὐκέτι τύχης ἔργον, ἀλλ᾽ ἐπιςήμης καὶ προαιρέσεως. ἀλλὰ μὴν σπουδαία πόλις ἐςὶ τῷ τοὺς πολίτας τοὺς μετέχοντας τῆς πολιτείας εἶναι σπουδαίους· ἡμῖν δὲ πάντες οἱ πολῖται μετέχουσι τῆς πολιτείας. τοῦτ᾽ ἄρα σκεπτέον, πῶς ἀνὴρ γίνεται σπουδαῖος. καὶ γὰρ εἰ πάντας ἐνδέχεται σπουδαίους εἶναι, μὴ καθ᾽ ἕκαςον δὲ τῶν πολιτῶν, οὕτως αἱρετώτερον· ἀκολουθεῖ γὰρ τῷ καθ᾽ ἕκαςον καὶ τὸ πάντας. ἀλλὰ μὴν ἀγαθοί γε καὶ σπουδαῖοι γίγνονται διὰ τριῶν. τὰ τρία δὲ ταῦτά ἐςι φύσις, ἔθος, λόγος. καὶ γὰρ φῦναι δεῖ πρῶτον, οἷον ἄνθρωπον ἀλλὰ μὴ τῶν ἄλλων τι ζῴων, εἶτα καὶ ποιόν τινα τὸ σῶμα καὶ τὴν ψυχήν. ἔνιά τε οὐθὲν ὄφελος φῦναι· τὰ γὰρ ἔθη μεταβαλεῖν ποιεῖ· ἔνια γάρ ἐς τῆς φύσεως ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν ἐπὶ τὸ καὶ τὸ βέλτιον. τὰ μὲν οὖν ἄλλα τῶν ζῴων μάλις τῇ φύσει ζῇ, μικρὰ δ᾽ ἔνια καὶ τοῖς ἔθεσιν, ἄνθρω καὶ λόγῳ· μόνον γὰρ ἔχει λόγον. ὥςε δεῖ ταῦτα φωνεῖν ἀλλήλοις· πολλὰ γὰρ παρὰ τοὺς ἐθισμοὺς κ φύσιν πράττουσι διὰ τὸν λόγον, ἐὰν πεισθῶσιν ἄλλως βέλτιον. τὴν μὲν τοίνυν φύσιν οἵους εἶναι δεῖ τοὺς μ τας εὐχειρώτους ἔσεσθαι τῷ νομοθέτῃ, διωρίσμεθα πρ τὸ δὲ λοιπὸν ἔργον ἤδη παιδείας· τὰ μὲν γὰρ ἐθ μανθάνουσι, τὰ δ᾽ ἀκούοντες.

Ἐπεὶ δὲ πᾶσα πολιτικὴ κοινωνία συνέςηκεν ἐ χόντων καὶ ἀρχομένων, τοῦτο δὴ σκεπτέον, εἰ ἑτέρ δεῖ τοὺς ἄρχοντας καὶ τοὺς ἀρχομένους ἢ τοὺς αὐτ βίου· δῆλον γὰρ ὡς ἀκολουθεῖν δεήσει καὶ τὴν π κατὰ τὴν διαίρεσιν ταύτην. εἰ μὲν τοίνυν εἴησαν τ διαφέροντες ἅτεροι τῶν ἄλλων ὅσον τοὺς θεοὺς καὶ ἥρωας ἡγούμεθα τῶν ἀνθρώπων διαφέρειν, εὐθὺς π κατὰ τὸ σῶμα πολλὴν ἔχοντας ὑπερβολήν, εἶτα τὴν ψυχήν, ὥστε ἀναμφισβήτητον εἶναι καὶ φανερὰ ὑπεροχὴν τοῖς ἀρχομένοις τὴν τῶν ἀρχόντων, δῆλ βέλτιον ἀεὶ τοὺς αὐτοὺς τοὺς μὲν ἄρχειν τοὺς δ᾽ ἀρχ καθάπαξ. ἐπεὶ δὲ τοῦτ᾽ οὐ ῥᾴδιον λαβεῖν οὐδ᾽ ἔςιν ὥσπ Ἰνδοῖς φησὶ Σκύλαξ εἶναι τοὺς βασιλέας τοσοῦτον δι ροντας τῶν ἀρχομένων, φανερὸν ὅτι διὰ πολλὰς α ἀναγκαῖον πάντας ὁμοίως κοινωνεῖν τοῦ κατὰ μέρος ἄ καὶ ἄρχεσθαι. τό τε γὰρ ἴσον ταὐτὸν τοῖς ὁμοίοις, χαλεπὸν μένειν τὴν πολιτείαν τὴν συνεστηκυῖαν παρ δίκαιον. μετὰ γὰρ τῶν ἀρχομένων ὑπάρχουσι νεωτερ βουλόμενοι πάντες οἱ κατὰ τὴν χώραν· τοσούτους τε ε τοὺς ἐν τῷ πολιτεύματι τὸ πλῆθος ὥςτ᾽ εἶναι κρείττους τ των τούτων, ἕν τι τῶν ἀδυνάτων ἐςίν. ἀλλὰ μὴν ὅτι δεῖ τοὺς ἄρχοντας διαφέρειν τῶν ἀρχομένων, ἀναμφι τητον. πῶς οὖν ταῦτ᾽ ἔςαι καὶ πῶς μεθέξουσι, δεῖ σκέ σθαι τὸν νομοθέτην. εἴρηται δὲ πρότερον περὶ αὐτοῦ. ἡ φύσις δέδωκε τὴν αἵρεσιν, ποιήσασα αὐτῷ τῷ γένει τὸν τὸ μὲν νεώτερον τὸ δὲ πρεσβύτερον, ὧν τοῖς μὲν χεσθαι πρέπει, τοῖς δ᾽ ἄρχειν. ἀγανακτεῖ δὲ οὐδεὶς ἡλικίαν ἀρχόμενος, οὐδὲ νομίζει εἶναι κρείττων, ἄλλως καὶ μέλλων ἀντιλαμβάνειν τούτου τὸν ἔρανον, ὅταν τ τῆς ἱκνουμένης ἡλικίας. ἔςι μὲν ἄρα ὡς τοὺς αὐτοὺς ἄρ καὶ ἄρχεσθαι φατέον, ἔστι δὲ ὡς ἑτέρους. ὥστε καὶ

31. αὐτὴν om I^bV^b. ‖ 33. τῷ] τὸ S^bV^b. ‖ 41. εἶτα] οὕτω $I^bS^bV^b$.
10. ἐθιζόμενα I^b. ‖ 16. τὴν om S^bV^b. ‖ 36. αὐτὸ I^bV^b.

…ν ἔστιν ὡς τὴν αὐτὴν ἀναγκαῖον, ἔστι δ' ὡς ἑτέραν
…τόν τε γὰρ μέλλοντα καλῶς ἄρχειν ἀρχθῆναί φασι
…ῶτον. ἔστι δ' ἀρχή, καθάπερ ἐν τοῖς πρώτοις εἴρη-
…γοις, ἡ μὲν τοῦ ἄρχοντος χάριν, ἡ δὲ τοῦ ἀρχομένου.
… δὲ τὴν μὲν δεσποτικὴν εἶναί φαμεν, τὴν δὲ τῶν
…ων. διαφέρει δ' ἔνια τῶν ἐπιταττομένων οὐ τοῖς ἔργοις
…τῷ τίνος ἕνεκα. διὸ πολλὰ τῶν εἶναι δοκούντων δια-
… ἔργων καὶ τῶν νέων τοῖς ἐλευθέροις καλὸν διακο-
…ρὸς γὰρ τὸ καλὸν καὶ τὸ μὴ καλὸν οὐχ οὕτω δια-
…ν αἱ πράξεις καθ' αὑτὰς ὡς ἐν τῷ τέλει καὶ τῷ
…ἕνεκεν. ἐπεὶ δὲ πολίτου καὶ ἄρχοντος τὴν αὐτὴν
… εἶναί φαμεν καὶ τοῦ ἀρίστου ἀνδρός, τὸν δ' αὐτὸν
…ενόν τε δεῖν γίγνεσθαι πρότερον καὶ ἄρχοντα ὕστερον,
… εἴη τῷ νομοθέτῃ πραγματευτέον, ὅπως ἄνδρες ἀγα-
…νωνται, καὶ διὰ τίνων ἐπιτηδευμάτων, καὶ τί τὸ
…τῆς ἀρίστης ζωῆς. διῄρηται δὲ δύο μέρη τῆς ψυχῆς,
… μὲν ἔχει λόγον καθ' αὑτό, τὸ δ' οὐκ ἔχει μὲν καθ'
… λόγῳ δ' ὑπακούειν δυνάμενον. ὧν φαμὲν τὰς ἀρε-
…αι καθ' ἃς ἀνὴρ ἀγαθὸς λέγεταί πως. τούτων δ' ἐν
… μᾶλλον τὸ τέλος, τοῖς μὲν οὕτω διαιροῦσιν ὡς ἡμεῖς
… οὐκ ἄδηλον πῶς λεκτέον. αἰεὶ γὰρ τὸ χεῖρον τοῦ
…ός ἐστιν ἕνεκεν, καὶ τοῦτο φανερὸν ὁμοίως ἔν τε τοῖς
…τέχνην καὶ τοῖς κατὰ φύσιν, βέλτιον δὲ τὸ λόγον
… διῄρηταί τε διχῇ, καθ' ὅνπερ εἰώθαμεν τρόπον διαι-
… μὲν γὰρ πρακτικός ἐστι λόγος ὁ δὲ θεωρητικός.
…ως οὖν ἀνάγκη διῃρῆσθαι καὶ τοῦτο τὸ μέρος δῆλον
… τὰς πράξεις δ' ἀνάλογον ἐροῦμεν ἔχειν, καὶ δεῖ τὰς
…σει βελτίονος αἱρετωτέρας εἶναι τοῖς δυναμένοις τυγ-
… ἢ πασῶν ἢ τοῖν δυοῖν· αἰεὶ γὰρ ἑκάστῳ τοῦθ' αἱρε-
…ν, οὗ τυχεῖν ἔστιν ἀκροτάτου. διῄρηται δὲ καὶ πᾶς ὁ
…ς ἀσχολίαν καὶ εἰς σχολὴν καὶ πόλεμον καὶ εἰρή-
…αὶ τῶν πρακτῶν τὰ μὲν εἰς τὰ ἀναγκαῖα καὶ χρή-
…τὰ δὲ εἰς τὰ καλά. περὶ ὧν ἀνάγκη τὴν αὐτὴν
… εἶναι καὶ τοῖς τῆς ψυχῆς μέρεσι καὶ ταῖς πράξε-
…ὐτῶν, πόλεμον μὲν εἰρήνης χάριν, ἀσχολίαν δὲ
…ς, τὰ δ' ἀναγκαῖα καὶ χρήσιμα τῶν καλῶν ἕνεκεν.
…άντα μὲν τοίνυν τῷ πολιτικῷ βλέποντι νομοθετητέον,
…ατὰ τὰ μέρη τῆς ψυχῆς καὶ κατὰ τὰς πράξεις
…, μᾶλλον δὲ πρὸς τὰ βελτίω καὶ τὰ τέλη. τὸν
… δὲ τρόπον καὶ περὶ τοὺς βίους καὶ τὰς τῶν πραγμά-
…αιρέσεις· δεῖ μὲν γὰρ ἀσχολεῖν δύνασθαι καὶ πο-

λεμεῖν, μᾶλλον δ' εἰρήνην ἄγειν καὶ σχολάζειν· καὶ τἀναγκαῖα καὶ τὰ χρήσιμα δὲ πράττειν, τὰ δὲ καλὰ δεῖ μᾶλλον. ὥστε πρὸς τούτους τοὺς σκοποὺς καὶ παῖδας ἔτι ὄντας παιδευτέον καὶ τὰς ἄλλας ἡλικίας, ὅσαι δέονται παιδείας. οἱ δὲ νῦν ἄριστα δοκοῦντες πολιτεύεσθαι τῶν Ἑλλήνων, καὶ τῶν νομοθετῶν οἱ ταύτας καταστήσαντες τὰς πολιτείας, οὔτε πρὸς τὸ βέλτιον τέλος φαίνονται συντάξαντες τὰ περὶ τὰς πολιτείας οὔτε πρὸς πάσας τὰς ἀρετὰς τοὺς νόμους καὶ τὴν παιδείαν, ἀλλὰ φορτικῶς ἀπέκλιναν πρὸς τὰς χρησίμους εἶναι δοκούσας καὶ πλεονεκτικωτέρας. παραπλησίως δὲ τούτοις καὶ τῶν ὕστερόν τινες γραψάντων ἀπεφήναντο τὴν αὐτὴν δόξαν· ἐπαινοῦντες γὰρ τὴν Λακεδαιμονίων πολιτείαν ἄγανται τοῦ νομοθέτου τὸν σκοπόν, ὅτι πάντα πρὸς τὸ κρατεῖν καὶ πρὸς πόλεμον ἐνομοθέτησεν· ἃ καὶ κατὰ τὸν λόγον ἐστὶν εὐέλεγκτα καὶ τοῖς ἔργοις ἐξελήλεγκται νῦν. ὥσπερ γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων ζηλοῦσι τῶν πολλῶν δεσπόζειν, ὅτι πολλὴ χορηγία γίγνεται τῶν εὐτυχημάτων, οὕτω καὶ Θίβρων ἀγάμενος φαίνεται τὸν τῶν Λακώνων νομοθέτην, καὶ τῶν ἄλλων ἕκαστος τῶν γραφόντων περὶ πολιτείας αὐτῶν, ὅτι διὰ τὸ γεγυμνάσθαι πρὸς τοὺς κινδύνους πολλῶν ἦρχον. καίτοι δῆλον ὡς ἐπειδὴ νῦν γε οὐκέτι ὑπάρχει τοῖς Λάκωσι τὸ ἄρχειν, οὐκ εὐδαίμονες, οὐδ' ὁ νομοθέτης ἀγαθός. ἔτι δὲ τοῦτο γελοῖον, εἰ μένοντες ἐν τοῖς νόμοις αὐτοῦ, καὶ μηδενὸς ἐμποδίζοντος πρὸς τὸ χρῆσθαι τοῖς νόμοις, ἀποβεβλήκασι τὸ ζῆν καλῶς. οὐκ ὀρθῶς δ' ὑπολαμβάνουσιν οὐδὲ περὶ τῆς ἀρχῆς ἣν δεῖ τιμῶντα φαίνεσθαι τὸν νομοθέτην· τοῦ γὰρ δεσποτικῶς ἄρχειν ἡ τῶν ἐλευθέρων ἀρχὴ καλλίων καὶ μᾶλλον μετ' ἀρετῆς. ἔτι δ' οὐ διὰ τοῦτο δεῖ τὴν πόλιν εὐδαίμονα νομίζειν καὶ τὸν νομοθέτην ἐπαινεῖν, ὅτι κρατεῖν ἤσκησεν ἐπὶ τὸ τῶν πέλας ἄρχειν· ταῦτα γὰρ μεγάλην ἔχει βλάβην. δῆλον γὰρ ὅτι καὶ τῶν πολιτῶν τῷ δυναμένῳ τοῦτο πειρατέον διώκειν, ὅπως δύνηται τῆς οἰκείας πόλεως ἄρχειν· ὅπερ ἐγκαλοῦσιν οἱ Λάκωνες Παυσανίᾳ τῷ βασιλεῖ, καίπερ ἔχοντι τηλικαύτην τιμήν. οὔτε δὴ πολιτικὸς τῶν τοιούτων λόγων καὶ νόμων οὐθεὶς οὔτε ὠφέλιμος οὔτε ἀληθής ἐστιν. ταὐτὰ γὰρ ἄριστα καὶ ἰδίᾳ καὶ κοινῇ τὸν νομοθέτην ἐμποιεῖν δεῖ ταῖς ψυχαῖς τῶν ἀνθρώπων. τήν τε τῶν πολεμικῶν ἄσκησιν οὐ τούτου χάριν δεῖ μελετᾶν, ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ δουλεύσωσιν ἑτέροις, ἔπειτα ὅπως ζητῶσι τὴν ἡγεμονίαν τῆς

Σκοπὸς of … Spartan syste… all towards war — many praise it for this

… δεῖ S^bV^b. ‖ 15. γίγνονται I^b. ‖ 18. ὑπακούει S^b. ‖ 19. ἃς] ἡμᾶς S^bV^b.
… ζηλοῦσι $I^bS^bV^b$. ‖ 17. τῶν] τὸ I^b. ‖ 21. τοι om I^b. ‖ 26. δ' om S^bV^b. ‖ 30. ἴσχυσεν I^b. ‖ 34. ὅπερ om S^b. ‖ 35.
… S^b. ‖ 37. ταὐτᾷ S^b. ‖ 41. δουλεύωσιν S^bV^b.

ὠφελείας ἕνεκα τῶν ἀρχομένων, ἀλλὰ μὴ πάντων δεσποτείας· τρίτον δὲ τὸ δεσπόζειν τῶν ἀξίων δυλεύειν. ὅτι δὲ δεῖ τὸν νομοθέτην μᾶλλον σπουδάζειν ὅπως καὶ τὴν περὶ τὰ πολεμικὰ καὶ τὴν ἄλλην νομοθεσίαν τοῦ σχολάζειν ἕνεκεν τάξῃ καὶ τῆς εἰρήνης, μαρτυρεῖ τὰ γιγνόμενα τοῖς λόγοις· αἱ γὰρ πλεῖςαι τῶν τοιύτων πόλεων πολεμοῦσαι μὲν σῴζονται, κατακτησάμεναι δὲ τὴν ἀρχὴν ἀπόλλυνται. τὴν γὰρ βαφὴν ἀφιᾶσιν, ὥσπερ ὁ σίδηρος, εἰρήνην ἄγοντες. αἴτιος δ' ὁ νομοθέτης οὐ παιδεύσας δύνασθαι σχολάζειν.

Ἐπεὶ δὲ τὸ αὐτὸ τέλος εἶναι φαίνεται καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἀνθρώποις, καὶ τὸν αὐτὸν ὅρον ἀναγκαῖον εἶναι τῷ τε ἀρίστῳ ἀνδρὶ καὶ τῇ ἀρίστῃ πολιτείᾳ, φανερὸν ὅτι δεῖ τὰς εἰς τὴν σχολὴν ἀρετὰς ὑπάρχειν· τέλος γάρ, ὥσπερ εἴρηται πολλάκις, εἰρήνη μὲν πολέμου, σχολὴ δ' ἀσχολίας. χρήσιμοι δὲ τῶν ἀρετῶν εἰσὶ πρὸς τὴν σχολὴν καὶ διαγωγήν, ὧν τε ἐν τῇ σχολῇ τὸ ἔργον καὶ ὧν ἐν τῇ ἀσχολίᾳ. δεῖ γὰρ πολλὰ τῶν ἀναγκαίων ὑπάρχειν, ὅπως ἐξῇ σχολάζειν. διὸ σώφρονα τὴν πόλιν εἶναι προσήκει καὶ ἀνδρείαν καὶ καρτερικήν· κατὰ γὰρ τὴν παροιμίαν, ὐ σχολὴ δούλοις, οἱ δὲ μὴ δυνάμενοι κινδυνεύειν ἀνδρείως δοῦλοι τῶν ἐπιόντων εἰσίν. ἀνδρίας μὲν οὖν καὶ καρτερίας δεῖ πρὸς τὴν ἀσχολίαν, φιλοσοφίας δὲ πρὸς τὴν σχολήν, σωφροσύνης δὲ καὶ δικαιοσύνης ἐν ἀμφοτέροις τοῖς χρόνοις, καὶ μᾶλλον εἰρήνην ἄγουσι καὶ σχολάζυσιν· ὁ μὲν γὰρ πόλεμος ἀναγκάζει δικαίυς εἶναι καὶ σωφρονεῖν, ἡ δὲ τῆς εὐτυχίας ἀπόλαυσις καὶ τὸ σχολάζειν μετ' εἰρήνης ὑβριστὰς ποιεῖ μᾶλλον. πολλῆς οὖν δεῖ δικαιοσύνης καὶ πολλῆς σωφροσύνης τοὺς ἄριστα δοκοῦντας πράττειν καὶ πάντων τῶν μακαριζομένων ἀπολαύοντας, οἷον εἴ τινές εἰσιν, ὥσπερ οἱ ποιηταί φασιν, ἐν μακάρων νήσοις· μάλιςα γὰρ οὗτοι δεήσονται φιλοσοφίας καὶ σωφροσύνης καὶ δικαιοσύνης, ὅσῳ μᾶλλον σχολάζυσιν ἐν ἀφθονίᾳ τῶν τοιύτων ἀγαθῶν. διότι μὲν οὖν τὴν μέλλουσαν εὐδαιμονήσειν καὶ σπυδαίαν ἔσεσθαι πόλιν τύτων δεῖ τῶν ἀρετῶν μετέχειν, φανερόν. αἰσχροῦ γὰρ ὄντος μὴ δύνασθαι χρῆσθαι τοῖς ἀγαθοῖς, ἔτι μᾶλλον μὴ δύνασθαι ἐν τῷ σχολάζειν χρῆσθαι, ἀλλ' ἀσχολῦντας μὲν καὶ πολεμῦντας φαίνεσθαι ἀγαθύς, εἰρήνην δ' ἄγοντας καὶ σχολάζοντας ἀνδραποδώδεις. διὸ δεῖ μὴ καθάπερ ἡ Λακεδαιμονίων πόλις τὴν ἀρετὴν ἀσκεῖν. ἐκεῖνοι μὲν γὰρ ὐ ταύτῃ διαφέρυσι τῶν ἄλ-

λων, τῷ μὴ νομίζειν ταὐτὰ τοῖς ἄλλοις μέγις
ἀγαθῶν, ἀλλὰ τῷ γενέσθαι ταῦτα μᾶλλον διά τι
τῆς. ἐπεὶ δὲ μείζω τε ἀγαθὰ ταῦτα, καὶ τὴν ἀπ
τὴν τούτων ἢ τὴν τῶν ἀρετῶν, καὶ ὅτι δι' αὑτήν,
ἐκ τύτων, πῶς δὲ καὶ διὰ τίνων ἔςαι, τῦτο δὴ θε
τυγχάνομεν δὴ διῃρημένοι πρότερον ὅτι φύσεως κ
καὶ λόγου δεῖ. τούτων δὲ ποίυς μέν τινας εἶναι
φύσιν, διώριςαι πρότερον, λοιπὸν δὲ θεωρῆσαι πότε
δευτέοι τῷ λόγῳ πρότερον ἢ τοῖς ἔθεσιν. ταῦτα
πρὸς ἄλληλα συμφωνεῖν συμφωνίαν τὴν ἀρίςην·
ται γὰρ διημαρτηκέναι καὶ τὸν λόγον τῆς βελτίς
θέσεως, καὶ διὰ τῶν ἐθῶν ὁμοίως ἦχθαι. φανερὸν
γε πρῶτον μέν, καθάπερ ἐν τοῖς ἄλλοις, ὡς ἡ γέν
ἀρχῆς ἐςὶ καὶ τὸ τέλος ἀπό τινος ἀρχῆς ἄλλυ τ
δὲ λόγος ἡμῖν καὶ ὁ νοῦς τῆς φύσεως τέλος. ὥσ
τούτους τὴν γένεσιν καὶ τὴν τῶν ἐθῶν δεῖ παρασ
μελέτην. ἔπειτα ὥσπερ ψυχὴ καὶ σῶμα δύ' ἐστί
καὶ τῆς ψυχῆς ὁρῶμεν δύο μέρη, τό τε ἄλογον
λόγον ἔχον, καὶ τὰς ἕξεις τὰς τούτων δύο τὸν ἀ
ὧν τὸ μέν ἐστιν ὄρεξις τὸ δὲ νοῦς. ὥσπερ δὲ τὸ
πρότερον τῇ γενέσει τῆς ψυχῆς, οὕτω καὶ τὸ ἄλο
λόγον ἔχοντος. φανερὸν δὲ καὶ τῦτο· θυμὸς γὰρ κ
λησις, ἔτι δὲ ἐπιθυμία καὶ γενομένοις εὐθὺς ὑπάρχ
παιδίοις, ὁ δὲ λογισμὸς καὶ ὁ νοῦς προϊοῦσιν ἐγγ
πέφυκεν. διὸ πρῶτον μὲν τοῦ σώματος τὴν ἐπιμ
ἀναγκαῖον εἶναι προτέραν ἢ τὴν τῆς ψυχῆς, ἔπει
τῆς ὀρέξεως, ἕνεκα μέντοι τοῦ νῦ τὴν τῆς ὀρέξεως,
τοῦ σώματος τῆς ψυχῆς.

Εἴπερ οὖν ἀπ' ἀρχῆς τὸν νομοθέτην ὁρᾶν δεῖ
βέλτιςα τὰ σώματα γένηται τῶν τρεφομένων, πρῶτ
ἐπιμελητέον περὶ τὴν σύζευξιν, πότε καὶ ποίυς τινὰ
χρὴ ποιεῖσθαι πρὸς ἀλλήλυς τὴν γαμικὴν ὁμιλίαν.
ἀποβλέποντα νομοθετεῖν ταύτην τὴν κοινωνίαν πρὸς
τε καὶ τὸν τῦ ζῆν χρόνον, ἵνα συγκαταβαίνωσι ταῖ
κίαις ἐπὶ τὸν αὐτὸν καιρὸν καὶ μὴ διαφωνῶσιν αἱ
μεις τοῦ μὲν ἔτι δυναμένυ γεννᾶν τῆς δὲ μὴ δυνα
ἢ ταύτης μὲν τῦ δ' ἀνδρὸς μή· ταῦτα γὰρ ποιεῖ κα
σεις πρὸς ἀλλήλους καὶ διαφοράς. ἔπειτα καὶ πρ
τῶν τέκνων διαδοχήν. δεῖ γὰρ ὔτε λίαν ὑπολείπεσθα
ἡλικίαις τὰ τέκνα τῶν πατέρων (ἀνόνητος γὰρ τοῖ
πρεσβυτέροις ἡ χάρις παρὰ τῶν τέκνων, ἡ δὲ παρ

37. ἔτι — 38. χρῆσθαι om $I^b S^b V^b$.

8. παιδευτέον I^b. ‖ 9. πρότερον om $S^b V^b$. ‖ 11. καὶ om I^b. ‖ 12. ὁμοίων I^b. ‖ 14. τέλυς] τέλος S^b. ‖ 16. ἐθῶν V^b. ‖ τὴν post ἢ om $S^b V^b$. ‖ 37. γὰρ om $S^b V^b$. ‖ 39. τῶν om I^b.

πατέρων βοήθεια τοῖς τέκνοις), οὔτε λίαν πάρεγγυς εἶναι. πολλὴν γὰρ ἔχει δυσχέρειαν· ἥ τε γὰρ αἰδὼς ἧττον ὑπάρχει τοῖς τοιούτοις ὥσπερ ἡλικιώταις, καὶ περὶ τὴν οἰκονομίαν ἐγκληματικὸν τὸ πάρεγγυς. ἔτι δ', ὅθεν ἀρχόμενοι δεῦρο μετέβημεν, ὅπως τὰ σώματα τῶν γεννωμένων ὑπάρχῃ πρὸς τὴν τοῦ νομοθέτου βούλησιν. σχεδὸν δὴ πάντα ταῦτα συμβαίνει κατὰ μίαν ἐπιμέλειαν. ἐπεὶ γὰρ ὥρισται τέλος τῆς γεννήσεως ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἀνδράσι μὲν ὁ τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμὸς ἔσχατος, πεντήκοντα δὲ γυναιξίν, δεῖ τὴν ἀρχὴν τῆς συζεύξεως κατὰ τὴν ἡλικίαν εἰς τοὺς χρόνους καταβαίνειν τούτους. ἔστι δ' ὁ τῶν νέων συνδυασμὸς φαῦλος πρὸς τεκνοποιίαν· ἐν γὰρ πᾶσι ζῴοις ἀτελῆ τὰ τῶν νέων ἔγγονα καὶ θηλυτόκα μᾶλλον καὶ μικρὰ τὴν μορφήν, ὥστ' ἀναγκαῖον ταὐτὸ τοῦτο συμβαίνειν καὶ ἐπὶ τῶν ἀνθρώπων. τεκμήριον δέ· ἐν ὅσαις γὰρ τῶν πόλεων ἐπιχωριάζεται τὸ νέους συζευγνύναι καὶ νέας, ἀτελεῖς καὶ μικροὶ τὰ σώματά εἰσιν. ἔτι δὲ ἐν τοῖς τόκοις αἱ νέαι πονοῦσί τε μᾶλλον καὶ διαφθείρονται πλείους· διὸ καὶ τὸν χρησμὸν γενέσθαι τινές φασι διὰ τοιαύτην αἰτίαν τοῖς Τροιζηνίοις, ὡς πολλῶν διαφθειρομένων διὰ τὸ γαμίσκεσθαι τὰς νεωτέρας, ἀλλ' οὐ πρὸς τὴν τῶν καρπῶν κομιδήν. ἔτι δὲ καὶ πρὸς σωφροσύνην συμφέρει τὰς ἐκδόσεις ποιεῖσθαι πρεσβυτέραις· ἀκολαστότεραι γὰρ εἶναι δοκοῦσι νέαι χρησάμεναι ταῖς συνουσίαις. καὶ τὰ τῶν ἀρρένων δὲ σώματα βλάπτεσθαι δοκεῖ πρὸς τὴν αὔξησιν, ἐὰν ἔτι τοῦ σώματος αὐξανομένου ποιῶνται τὴν συνουσίαν· καὶ γὰρ τούτου τις ὡρισμένος χρόνος, ὃν οὐχ ὑπερβαίνει πληθύον ἔτι. διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν τῶν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δ' ἑπτὰ καὶ τριάκοντα, ἢ μικρόν· ἐν τοσούτῳ γὰρ ἀκμάζουσί τε τοῖς σώμασι σύζευξις ἔσται, καὶ πρὸς τὴν παῦλαν τῆς τεκνοποιίας συγκαταβήσεται τοῖς χρόνοις εὐκαίρως. ἔτι δὲ ἡ διαδοχὴ τῶν τέκνων τοῖς μὲν ἀρχομένης ἔσται τῆς ἀκμῆς, ἐὰν γίγνηται κατὰ λόγον εὐθὺς ἡ γένεσις, τοῖς δὲ ἤδη καταλελυμένης τῆς ἡλικίας πρὸς τὸν τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμόν. περὶ μὲν οὖν τοῦ πότε δεῖ ποιεῖσθαι τὴν σύζευξιν, εἴρηται, τοῖς δὲ περὶ τὴν ὥραν χρόνοις ὡς οἱ πολλοὶ χρῶνται καλῶς καὶ νῦν, ὁρίσαντες χειμῶνος τὴν συναυλίαν ποιεῖσθαι ταύτην. δεῖ δὴ καὶ αὐτοὺς ἤδη θεωρεῖν πρὸς τὴν τεκνοποιίαν τά τε παρὰ τῶν ἰατρῶν λεγόμενα καὶ τὰ παρὰ τῶν φυσικῶν· οἵ τε γὰρ ἰατροὶ τοὺς καιροὺς τῶν σωμάτων ἱκανῶς λέγουσι, καὶ περὶ τῶν πνευμάτων οἱ φυσικοί, τὰ βόρεια τῶν νοτίων ἐπαινοῦντες μᾶλλον. ποίων δέ τινων τῶν σωμάτων ὑπαρχόντων μάλιστα ὄφελος εἴη τοῖς γεννωμένοις, ἐπιστήσασι μὲν μᾶλλον λεκτέον ἐν τοῖς περὶ τῆς παιδονομίας, τύπῳ δὲ ἱκανὸν εἰπεῖν καὶ νῦν. οὔτε γὰρ ἡ τῶν ἀθλητῶν χρήσιμος ἕξις πρὸς πολιτικὴν εὐεξίαν οὐδὲ πρὸς ὑγίειαν καὶ τεκνοποιίαν, οὔτε ἡ θεραπευτικὴ καὶ κακοπονητικὴ λίαν, ἀλλ' ἡ μέση τούτων. πεπονημένην μὲν οὖν ἔχειν δεῖ τὴν ἕξιν, πεπονημένην δὲ πόνοις μὴ βιαίοις, μηδὲ πρὸς ἕνα μόνον, ὥσπερ ἡ τῶν ἀθλητῶν ἕξις, ἀλλὰ πρὸς τὰς τῶν ἐλευθερίων πράξεις. ὁμοίως δὲ δεῖ ταῦτα ὑπάρχειν ἀνδράσι καὶ γυναιξίν. χρὴ δὲ καὶ τὰς ἐγκύους ἐπιμελεῖσθαι τῶν σωμάτων, μὴ ῥαθυμούσας μηδ' ἀραιᾷ τροφῇ χρωμένας. τοῦτο δὲ ῥᾴδιον τῷ νομοθέτῃ ποιῆσαι προστάξαντι καθ' ἡμέραν τινὰ ποιεῖσθαι πορείαν πρὸς θεῶν ἀποθεραπείαν τῶν εἰληχότων τὴν περὶ τῆς γενέσεως τιμήν. τὴν μέντοι διάνοιαν τοὐναντίον τῶν σωμάτων ῥαθυμοτέρως ἁρμόττει διάγειν· ἀπολαύοντα γὰρ φαίνεται τὰ γενόμενα τῆς ἐχούσης ὥσπερ καὶ τὰ φυόμενα τῆς γῆς. περὶ δὲ ἀποθέσεως καὶ τροφῆς τῶν γιγνομένων, ἔστω νόμος μηδὲν πεπηρωμένον τρέφειν, διὰ δὲ πλῆθος τέκνων, ἐὰν ἡ τάξις τῶν ἐθῶν κωλύῃ, μηδὲν ἀποτίθεσθαι τῶν γιγνομένων· ὥρισται γὰρ δὴ τῆς τεκνοποιίας τὸ πλῆθος. ἐὰν δέ τισι γίγνηται παρὰ ταῦτα συνδυασθέντων, πρὶν αἴσθησιν ἐγγενέσθαι καὶ ζωήν, ἐμποιεῖσθαι δεῖ τὴν ἄμβλωσιν· τὸ γὰρ ὅσιον καὶ τὸ μὴ διωρισμένον τῇ αἰσθήσει καὶ τῷ ζῆν ἔσται. ἐπεὶ δ' ἡ μὲν ἀρχὴ τῆς ἡλικίας ἀνδρὶ καὶ γυναικὶ διώρισται, πότε ἄρχεσθαι χρὴ τῆς συζεύξεως, καὶ πόσον χρόνον λειτουργεῖν ἁρμόττει πρὸς τεκνοποιίαν ὡρίσθω· τὰ γὰρ τῶν πρεσβυτέρων ἔκγονα, καθάπερ τὰ τῶν νεωτέρων, ἀτελῆ γίνεται καὶ τοῖς σώμασι καὶ ταῖς διανοίαις, τὰ δὲ τῶν γεγηρακότων ἀσθενῆ. διὸ κατὰ τὴν τῆς διανοίας ἀκμήν· αὕτη δ' ἐστὶν ἐν τοῖς πλείστοις ἥνπερ τῶν ποιητῶν τινὲς εἰρήκασιν οἱ μετροῦντες ταῖς ἑβδομάσι τὴν ἡλικίαν, περὶ τὸν χρόνον τὸν τῶν πεντήκοντα ἐτῶν. ὥστε τέτταρσιν ἢ πέντε ἔτεσιν ὑπερβάλλοντα τὴν ἡλικίαν ταύτην ἀφεῖσθαι δεῖ τῆς εἰς τὸ φανερὸν γεννήσεως· τὸ δὲ λοιπὸν ὑγιείας χάριν ἤ τινος ἄλλης τοιαύτης αἰτίας φαίνεσθαι δεῖ ποιουμένους τὴν ὁμιλίαν. περὶ δὲ τῆς πρὸς ἄλλην ἢ πρὸς ἄλλον, ἔστω μὲν ἁπλῶς μὴ καλὸν ἁπτόμενον φαίνεσθαι μηδαμῇ μηδαμῶς, ὅταν ᾖ καὶ προσαγορευθῇ πόσις, περὶ δὲ τὸν χρόνον τὸν τῆς τεκνοποιίας

2. αἰδὼς] αἱ δύο $S^b V^b$. ‖ 12. πρὸς] πρὸς τὴν I^b. ‖ 26. σπέρματος $S^b V^b$. ‖ 30. τούτω γὰρ ἀκμάζουσά $S^b V^b$. ‖ 33. ἀρχομένοις $I^b S^b V^b$.

1. περὶ om S^b. ‖ 3. ἐπιστήμασι V^b. ‖ 6. οὔτε codices. ‖ 19. καὶ ante τὰ om I^b. ‖ 21. ἐθνῶν S^b. ‖ 25. μὴ om $I^b S^b V^b$.

ἐάν τις φαίνηται τοιῦτόν τι δρῶν, ἀτιμίᾳ ζημιύσθω πρεπύσῃ πρὸς τὴν ἁμαρτίαν.

17 Γενομένων δὲ τῶν τέκνων οἴεσθαι μεγάλην εἶναι διαφορὰν πρὸς τὴν τῶν σωμάτων δύναμιν τὴν τροφήν, ὁποία τις ἂν ᾖ. φαίνεται δὲ διά τε τῶν ἄλλων ζῴων ἐπισκοπῦσι, καὶ διὰ τῶν ἐθνῶν οἷς ἐπιμελές ἐστιν εἰσάγειν τὴν πολεμικὴν ἕξιν, ἡ τῦ γάλακτος πληθύυσα τροφὴ μάλιςʼ οἰκεία τοῖς σώμασιν· ἀοινοτέρα δὲ διὰ τὰ νοσήματα. ἔτι δὲ καὶ κινήσεις ὅσας ἐνδέχεται ποιεῖσθαι τηλικύτων συμφέρει. πρὸς δὲ τὸ μὴ διαςρέφεσθαι τὰ μέλη δι᾿ ἁπαλότητα χρῶνται καὶ νῦν ἔνια τῶν ἐθνῶν ὀργάνοις τισὶ μηχανικοῖς, ἃ τὸ σῶμα ποιεῖ τῶν τοιούτων ἀςραβές. συμφέρει δ᾿ εὐθὺς καὶ πρὸς τὰ ψύχη συνεθίζειν ἐκ μικρῶν παίδων· τοῦτο γὰρ καὶ πρὸς ὑγίειαν καὶ πρὸς πολεμικὰς πράξεις εὐχρηστότατον. διὸ παρὰ πολλοῖς ἐςὶ τῶν βαρβάρων ἔθος τοῖς μὲν εἰς ποταμὸν ἀποβάπτειν τὰ γιγνόμενα ψυχρόν, τοῖς δὲ σκέπασμα μικρὸν ἀμπίσχειν, οἷον Κελτοῖς. πάντα γὰρ ὅσα δυνατὸν ἐθίζειν, εὐθὺς ἀρχομένῳ βέλτιον μὲν ἐθίζειν, ἐκ προσαγωγῆς δ᾿ ἐθίζειν. εὐφυὴς δ᾿ ἡ τῶν παίδων ἕξις διὰ θερμότητα πρὸς τὴν τῶν ψυχρῶν ἄσκησιν. περὶ μὲν ὖν τὴν πρώτην συμφέρει ποιεῖσθαι τὴν ἐπιμέλειαν τοιαύτην τε καὶ τὴν ταύτῃ παραπλησίαν· τὴν δ᾿ ἐχομένην ταύτης ἡλικίαν μέχρι πέντε ἐτῶν, ἣν οὔτε πω πρὸς μάθησιν καλῶς ἔχει προσάγειν ὐδεμίαν ὔτε πρὸς ἀναγκαίυς πόνυς, ὅπως μὴ τὴν αὔξησιν ἐμποδίζωσιν, δεῖ τοσαύτης τυγχάνειν κινήσεως ὥστε διαφεύγειν τὴν ἀργίαν τῶν σωμάτων· ἣν χρὴ παρασκευάζειν καὶ δι᾿ ἄλλων πράξεων καὶ διὰ τῆς παιδιᾶς. δεῖ δὲ καὶ τὰς παιδιὰς εἶναι μήτε ἀνελευθέρυς μήτε ἐπιπόνυς μήτε ἀνειμένας. καὶ περὶ λόγων δὲ καὶ μύθων, ποίυς τινὰς ἀκύειν δεῖ τὺς τηλικύτυς, ἐπιμελὲς ἔςω τοῖς ἄρχυσιν οὓς καλῦσι παιδονόμυς. πάντα γὰρ δεῖ τὰ τοιαῦτα προοδοποιεῖν πρὸς τὰς ὕςερον διατριβάς. διὸ τὰς παιδιὰς εἶναι δεῖ τὰς πολλὰς μιμήσεις τῶν ὕστερον σπυδαζομένων. τὰς δὲ διατάσεις τῶν παίδων καὶ κλαυθμὺς ὐκ ὀρθῶς ἀπαγορεύυσιν οἱ κωλύοντες ἐν τοῖς νόμοις· συμφέρουσι γὰρ πρὸς αὔξησιν. γίνεται γὰρ τρόπον τινὰ γυμνασία τοῖς σώμασιν· ἡ γὰρ τοῦ πνεύματος κάθεξις ποιεῖ τὴν ἰσχὺν τοῖς πονοῦσιν, ὃ συμβαίνει καὶ τοῖς παιδίοις διατεινομένοις. ἐπισκεπτέον δὲ τοῖς παιδονόμοις τὴν τούτων διαγωγὴν τήν τ᾿ ἄλλην, καὶ ὅπως ὅτι ἥκιστα μετὰ δύλων ἔςαι. ταύτην γὰρ τὴν ἡλικίαν, καὶ μέχρι τῶν ἑπτὰ ἐτῶν, ἀναγκαῖον οἴκοι τὴν φὴν ἔχειν. εὔλογον οὖν ἀπελαύνειν ἀπὸ τῶν ἀκυσμ καὶ τῶν ὁραμάτων ἀνελευθερίας καὶ τηλικύτυς ὄντας. μὲν ὖν αἰσχρολογίαν ἐκ τῆς πόλεως, ὥσπερ ἄλλο τι τὸν νομοθέτην ἐξορίζειν· ἐκ τῦ γὰρ εὐχερῶς λέγειν τῶν αἰσχρῶν γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς. μάλ μὲν ὖν ἐκ τῶν νέων, ὅπως μήτε λέγωσι μήτε ἀκύωσ δὲν τοιῦτον. ἐὰν δέ τις φαίνηταί τι λέγων ἢ πράττω ἀπηγορευμένων, τὸν μὲν ἐλεύθερον μήπω δὲ κατακλ ἠξιωμένον ἐν τοῖς συσσιτίοις ἀτιμίαις κολάζειν καὶ γαῖς, τὸν δὲ πρεσβύτερον τῆς ἡλικίας ταύτης ἀτι ἀνελευθέροις ἀνδραποδωδίας χάριν. ἐπεὶ δὲ τὸ λέγ τῶν τοιούτων ἐξορίζομεν, φανερὸν ὅτι καὶ τὸ θεωρ γραφὰς ἢ λόγυς ἀσχήμονας. ἐπιμελὲς μὲν οὖν ἔςω ἄρχυσι μηθὲν μήτε ἄγαλμα μήτε γραφὴν εἶναι τι πράξεων μίμησιν, εἰ μὴ παρά τισι θεοῖς τοιύτοις οἷς τὸν τωθασμὸν ἀποδίδωσιν ὁ νόμος· πρὸς δὲ τύτοις ἀ σιν ὁ νόμος τοὺς ἔχοντας ἡλικίαν πλέον προήκουσα ὑπὲρ αὐτῶν καὶ τέκνων καὶ γυναικῶν τιμαλφεῖν τὺς θ τὺς δὲ νεωτέρυς ὔτ᾿ ἰάμβων ὔτε κωμῳδίας θεατὰς νομ τητέον, πρὶν ἢ τὴν ἡλικίαν λάβωσιν ἐν ᾗ καὶ κατακλί ὑπάρξει κοινωνεῖν ἤδη καὶ μέθης καὶ τῆς ἀπὸ τῶν τοι γιγνομένης βλάβης ἀπαθεῖς ἡ παιδεία ποιήσει πάν νῦν μὲν οὖν τύτων ἐν παραδρομῇ πεποιήμεθα τὸν λόγ ὕστερον δ᾿ ἐπιστήσαντας δεῖ διορίσαι μᾶλλον, εἴτε μὴ πρῶτον εἴτε δεῖ διαπορήσαντας, καὶ πῶς δεῖ· κατὰ δὲ παρόντα καιρὸν ἐμνήσθημεν ὡς ἀναγκαῖον. ἴσως γὰρ κακῶς ἔλεγε τὸ τοιῦτον Θεόδωρος ὁ τῆς τραγῳδίας ὑπ κριτής· ὐδενὶ γὰρ πώποτε παρῆκεν ἑαυτῦ προεισάγειν, τῶν εὐτελῶν ὑποκριτῶν, ὡς οἰκειουμένων τῶν θεατῶν τι πρώταις ἀκοαῖς. συμβαίνει δὲ ταὐτὸ τοῦτο καὶ πρὸς τ τῶν ἀνθρώπων ὁμιλίας καὶ πρὸς τὰς τῶν πραγμάτ πάντα γὰρ στέργομεν τὰ πρῶτα μᾶλλον. διὸ δεῖ τ νέοις πάντα ποιεῖν ξένα τὰ φαῦλα, μάλιςα δ᾿ αὐτῶν ἔχει ἢ μοχθηρίαν ἢ δυσμένειαν. διελθόντων δὲ τῶν π ἐτῶν τὰ δύο μέχρι τῶν ἑπτὰ δεῖ θεωροὺς ἤδη γίγνε τῶν μαθήσεων, ἃς δεήσει μανθάνειν αὐτούς. δύο δ᾿ ε ἡλικίαι πρὸς ἃς ἀναγκαῖον διῃρῆσθαι τὴν παιδείαν, μ τὴν ἀπὸ τῶν ἑπτὰ μέχρι ἥβης καὶ πάλιν μετὰ τὴν ἀ ἥβης μέχρι τῶν ἑνὸς καὶ εἴκοσιν ἐτῶν. οἱ γὰρ ταῖς ἑβ μάσι διαιρῦντες τὰς ἡλικίας ὡς ἐπὶ τὸ πολὺ λέγυσι

5. δὲ] τε $I^bS^bV^b$. ‖ 6. εἰσάγειν] ἀεὶ $I^bS^bV^b$. ‖ 7. πλήθυσα I^b. ‖ 10. ἁπλότητα V^b. ‖ 18. εὐθὺς — 19. ἐθίζειν om S^bV^b ‖ 22. καὶ τὴν] καὶ τὺς V^b. ‖ 23. ἐχομένων S^bV^b. ‖ 26. δεῖ] δεῖ δὲ $I^bS^bV^b$. ‖ τοσαύτην S^bV^b. ‖ 31. τὺς om V^b.

8. τούτων I^bV^b. ‖ 14. ἐςι $I^bS^bV^b$. ‖ 17. πρὸς — 18. νόμος om S^bV^b. ‖ 18. τους — προήκουσαν om $I^bS^bV^b$. ‖ 20. ὔτε ἰ βων S^b. ‖ 26. τὸν] τὰ V^b. ‖ 29. ὐθὲν S^b. ‖ 40. ἓν S^bV^b.

καλῶς, δεῖ δὲ τῇ διαιρέσει τῆς φύσεως ἐπακολουθεῖν· πᾶσα γὰρ τέχνη καὶ παιδεία τὸ προσλεῖπον βούλεται τῆς φύσεως ἀναπληροῦν. πρῶτον μὲν οὖν σκεπτέον εἰ ποιητέον τάξιν τινὰ περὶ τοὺς παῖδας, ἔπειτα πότερον συμφέρει κοινῇ ποιεῖσθαι τὴν ἐπιμέλειαν αὐτῶν ἢ κατ' ἴδιον τρόπον (ὃ γίνεται καὶ νῦν ἐν ταῖς πλείσταις τῶν πόλεων), τρίτον δὲ ποίαν τινὰ δεῖ ταύτην.

Θ. VIII

Ὅτι μὲν οὖν τῷ νομοθέτῃ μάλιστα πραγματευτέον περὶ τὴν τῶν νέων παιδείαν, οὐδεὶς ἂν ἀμφισβητήσειεν· καὶ γὰρ ἐν ταῖς πόλεσιν οὐ γιγνόμενον τοῦτο βλάπτει τὰς πολιτείας. δεῖ γὰρ πρὸς ἑκάστην πολιτεύεσθαι. τὸ γὰρ ἦθος τῆς πολιτείας ἑκάστης τὸ οἰκεῖον καὶ φυλάττειν εἴωθε τὴν πολιτείαν καὶ καθίστησιν ἐξ ἀρχῆς, οἷον τὸ μὲν δημοκρατικὸν δημοκρατίαν, τὸ δ' ὀλιγαρχικὸν ὀλιγαρχίαν· ἀεὶ δὲ τὸ βέλτιστον ἦθος βελτίονος αἴτιον πολιτείας. ἔτι δὲ πρὸς πάσας δυνάμεις καὶ τέχνας ἔστιν ἃ δεῖ προπαιδεύεσθαι καὶ προεθίζεσθαι πρὸς τὰς ἑκάστων ἐργασίας, ὥστε δῆλον ὅτι καὶ πρὸς τὰς τῆς ἀρετῆς πράξεις. ἐπεὶ δ' ἓν τὸ τέλος τῇ πόλει πάσῃ, φανερὸν ὅτι καὶ τὴν παιδείαν μίαν καὶ τὴν αὐτὴν ἀναγκαῖον εἶναι πάντων καὶ ταύτης τὴν ἐπιμέλειαν εἶναι κοινὴν καὶ μὴ κατ' ἰδίαν, ὃν τρόπον νῦν ἕκαστος ἐπιμελεῖται τῶν αὑτοῦ τέκνων ἰδίᾳ τε καὶ μάθησιν ἰδίαν, ἣν ἂν δόξῃ, διδάσκων. δεῖ δὲ τῶν κοινῶν κοινὴν ποιεῖσθαι καὶ τὴν ἄσκησιν. ἅμα δὲ οὐδὲ χρὴ νομίζειν αὐτὸν αὑτοῦ τινὰ εἶναι τῶν πολιτῶν, ἀλλὰ πάντας τῆς πόλεως· μόριον γὰρ ἕκαστος τῆς πόλεως. ἡ δ' ἐπιμέλεια πέφυκεν ἑκάστου μορίου βλέπειν πρὸς τὴν τοῦ ὅλου ἐπιμέλειαν. ἐπαινέσειε δ' ἄν τις καὶ τοῦτο Λακεδαιμονίους· καὶ γὰρ πλείστην ποιοῦνται σπουδὴν περὶ τοὺς παῖδας καὶ κοινῇ ταύτην. ὅτι μὲν οὖν νομοθετητέον περὶ παιδείας καὶ ταύτην
2 κοινὴν ποιητέον, φανερόν· τίς δ' ἐστὶν ἡ παιδεία, καὶ πῶς χρὴ παιδεύεσθαι, δεῖ μὴ λανθάνειν. νῦν γὰρ ἀμφισβητεῖται περὶ τῶν ἔργων· οὐ γὰρ ταὐτὰ πάντες ὑπολαμβάνουσι δεῖν μανθάνειν τοὺς νέους οὔτε πρὸς ἀρετὴν οὔτε πρὸς τὸν βίον τὸν ἄριστον· οὐδὲ φανερὸν πότερον πρὸς τὴν διάνοιαν πρέπει μᾶλλον ἢ πρὸς τὸ τῆς ψυχῆς ἦθος. ἔκ τε τῆς ἐμποδὼν παιδείας ταραχώδης ἡ σκέψις, καὶ δῆλον οὐδὲν πότερον ἀσκεῖν δεῖ τὰ χρήσιμα πρὸς τὸν βίον ἢ τὰ τείνοντα πρὸς ἀρετὴν ἢ τὰ περιττά· πάντα γὰρ εἴληφε ταῦτα κριτάς τινας. περί τε τῶν πρὸς ἀρετὴν οὐθέν ἐστιν ὁμολογούμενον· καὶ γὰρ τὴν ἀρετὴν οὐ τὴν αὐτὴν εὐθὺς πάντες τιμῶσιν, ὥστ' εὐλόγως διαφέρονται καὶ πρὸς τὴν ἄσκησιν αὐτῆς. ὅτι μὲν οὖν τὰ ἀναγκαῖα δεῖ διδάσκεσθαι τῶν χρησίμων, οὐκ ἄδηλον· ὅτι δὲ οὐ πάντα, διῃρημένων τῶν τε ἐλευθέρων ἔργων καὶ τῶν ἀνελευθέρων, φανερὸν ὅτι τῶν τοιούτων δεῖ μετέχειν ὅσα τῶν χρησίμων ποιήσει τὸν μετέχοντα μὴ βάναυσον. βάναυσον δ' ἔργον εἶναι δεῖ τοῦτο νομίζειν καὶ τέχνην ταύτην καὶ μάθησιν, ὅσαι πρὸς τὰς χρήσεις καὶ τὰς πράξεις τὰς τῆς ἀρετῆς ἄχρηστον ἀπεργάζονται τὸ σῶμα τῶν ἐλευθέρων ἢ τὴν ψυχὴν ἢ τὴν διάνοιαν. διὸ τάς τε τοιαύτας τέχνας ὅσαι τὸ σῶμα παρασκευάζουσι χεῖρον διακεῖσθαι βαναύσους καλοῦμεν, καὶ τὰς μισθαρνικὰς ἐργασίας· ἄσχολον γὰρ ποιοῦσι τὴν διάνοιαν καὶ ταπεινήν. ἔστι δὲ καὶ τῶν ἐλευθερίων ἐπιστημῶν μέχρι μέν τινος ἐνίων μετέχειν οὐκ ἀνελεύθερον, προσεδρεύειν δὲ λίαν πρὸς τὸ ἐντελὲς ἔνοχον ταῖς εἰρημέναις βλάβαις. ἔχει δὲ πολλὴν διαφορὰν καὶ τὸ τίνος χάριν πράττει τις ἢ μανθάνει· αὑτοῦ μὲν γὰρ χάριν ἢ φίλων ἢ δι' ἀρετὴν οὐκ ἀνελεύθερον, ὁ δὲ αὐτὸ τοῦτο πράττων δι' ἄλλους πολλάκις θητικὸν καὶ δουλικὸν δόξειεν ἂν πράττειν. αἱ μὲν οὖν καταβεβλημέναι νῦν μαθήσεις, καθάπερ ἐλέχθη πρότερον, ἐπαμφοτερίζουσιν. ἔστι δὲ τέτταρα σχεδὸν ἃ παιδεύειν εἰώ- 3
θασι, γράμματα καὶ γυμναστικὴν καὶ μουσικὴν καὶ τέταρτον ἔνιοι γραφικήν, τὴν μὲν γραμματικὴν καὶ γραφικὴν ὡς χρησίμους πρὸς τὸν βίον οὔσας καὶ πολυχρήστους, τὴν δὲ γυμναστικὴν ὡς συντείνουσαν πρὸς ἀνδρίαν· τὴν δὲ μουσικὴν ἤδη διαπορήσειεν ἄν τις. νῦν μὲν γὰρ ὡς ἡδονῆς χάριν οἱ πλεῖστοι μετέχουσιν αὐτῆς· οἱ δ' ἐξ ἀρχῆς ἔταξαν ἐν παιδείᾳ διὰ τὸ τὴν φύσιν αὐτὴν ζητεῖν, ὅπερ πολλάκις εἴρηται, μὴ μόνον ἀσχολεῖν ὀρθῶς ἀλλὰ καὶ σχολάζειν δύνασθαι καλῶς· αὕτη γὰρ ἀρχὴ πάντων, ἵνα καὶ πάλιν εἴπωμεν περὶ αὐτῆς. εἰ γὰρ ἄμφω μὲν δεῖ, μᾶλλον δὲ αἱρετὸν τὸ σχολάζειν τῆς ἀσχολίας, καὶ ὅλως ζητητέον τί ποιοῦντας δεῖ σχολάζειν. οὐ γὰρ δὴ παίζοντας· τέλος γὰρ ἀναγκαῖον εἶναι τοῦ βίου τὴν παιδιὰν ἡμῖν. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ μᾶλλον ἐν ταῖς ἀσχολίαις χρηστέον ταῖς παιδιαῖς (ὁ γὰρ πονῶν δεῖται τῆς ἀναπαύσεως, ἡ δὲ παιδιὰ χάριν ἀναπαύσεώς ἐστιν· τὸ δ' ἀσχολεῖν συμβαίνει μετὰ πόνου καὶ συντονίας), διὰ τοῦτο δεῖ παιδιὰς εἰσάγεσθαι καιροφυλακτοῦντας τὴν χρῆσιν, ὡς προσάγοντας φαρμακείας χάριν· ἄνεσις γὰρ ἡ τοιαύτη κίνησις τῆς ψυχῆς,

b. 16. προσεδρεύειν — 19. ἀνελεύθερον om $I^bS^bT^b$. ‖ 20. πράσσων T^b. ‖ 23. ἃς T^b. ‖ 34. τῆς — 35. σχολάζειν om $I^bS^bT^b$.

καὶ διὰ τὴν ἡδονὴν ἀνάπαυσις· τὸ δὲ σχολάζειν ἔχειν αὐτὸ δοκεῖ τὴν ἡδονὴν καὶ τὴν εὐδαιμονίαν καὶ τὸ ζῆν μακαρίως. τοῦτο δ' οὐ τοῖς ἀσχολοῦσιν ὑπάρχει ἀλλὰ τοῖς σχολάζουσιν. ὁ μὲν γὰρ ἀσχολῶν ἕνεκά τινος ἀσχολεῖ τέλους ὡς οὐχ ὑπάρχοντος, ἡ δ' εὐδαιμονία τέλος ἐστίν, ἣν οὐ μετὰ λύπης ἀλλὰ μεθ' ἡδονῆς οἴονται πάντες εἶναι. ταύτην μέντοι τὴν ἡδονὴν οὐκέτι τὴν αὐτὴν τιθέασιν, ἀλλὰ καθ' ἑαυτοὺς ἕκαστος καὶ τὴν ἕξιν τὴν αὑτῶν, ὁ δὲ ἄριστος τὴν ἀρίστην καὶ τὴν ἀπὸ τῶν καλλίστων. ὥστε φανερὸν ὅτι δεῖ καὶ πρὸς τὴν ἐν τῇ διαγωγῇ σχολὴν μανθάνειν ἄττα καὶ παιδεύεσθαι, καὶ ταῦτα μὲν τὰ παιδεύματα καὶ ταύτας τὰς μαθήσεις ἑαυτῶν εἶναι χάριν, τὰς δὲ πρὸς τὴν ἀσχολίαν ὡς ἀναγκαίας καὶ χάριν ἄλλων. διὸ καὶ τὴν μουσικὴν οἱ πρότερον εἰς παιδείαν ἔταξαν οὐχ ὡς ἀναγκαῖον (οὐδὲν γὰρ ἔχει τοιοῦτον) οὐδ' ὡς χρήσιμον, ὥσπερ τὰ γράμματα πρὸς χρηματισμὸν καὶ πρὸς οἰκονομίαν καὶ πρὸς μάθησιν καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· δοκεῖ δὲ καὶ γραφικὴ χρήσιμος εἶναι πρὸς τὸ κρίνειν τὰ τῶν τεχνιτῶν ἔργα κάλλιον· οὐδ' αὖ καθάπερ ἡ γυμναστικὴ πρὸς ὑγίειαν καὶ ἀλκήν· οὐδέτερον γὰρ τούτων ὁρῶμεν γιγνόμενον ἐκ τῆς μουσικῆς. λείπεται τοίνυν πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγήν, εἰς ὅπερ καὶ φαίνονται παράγοντες αὐτήν· ἣν γὰρ οἴονται διαγωγὴν εἶναι τῶν ἐλευθέρων, ἐν ταύτῃ τάττουσιν. διόπερ Ὅμηρος οὕτως ἐποίησεν

ἀλλ' οἷον μέν ἐστι καλεῖν ἐπὶ δαῖτα θαλείην.

καὶ οὕτω προειπὼν ἑτέρους τινὰς "οἳ καλέουσιν ἀοιδόν" φησιν, "ὅ κεν τέρπῃσιν ἅπαντας." καὶ ἐν ἄλλοις δέ φησιν Ὀδυσσεὺς ταύτην ἀρίστην εἶναι διαγωγήν, ὅταν εὐφραινομένων τῶν ἀνθρώπων "δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ ἥμενοι ἑξείης." ὅτι μὲν τοίνυν ἐστὶ παιδεία τις ἣν οὐχ ὡς χρησίμην παιδευτέον τοὺς υἱεῖς οὐδ' ὡς ἀναγκαίαν ἀλλ' ὡς ἐλευθέριον καὶ καλήν, φανερόν ἐστιν· πότερον δὲ μία τὸν ἀριθμὸν ἢ πλείους, καὶ τίνες αὗται καὶ πῶς, ὕστερον λεκτέον περὶ αὐτῶν. νῦν δὲ τοσοῦτον ἡμῖν εἶναι πρὸ ὁδοῦ γέγονεν, ὅτι καὶ παρὰ τῶν ἀρχαίων ἔχομέν τινα μαρτυρίαν ἐκ τῶν καταβεβλημένων παιδευμάτων· ἡ γὰρ μουσικὴ τοῦτο ποιεῖ δῆλον. ἔτι δὲ καὶ τῶν χρησίμων ὅτι δεῖ τινὰ παιδεύεσθαι τοὺς παῖδας οὐ μόνον διὰ τὸ χρήσιμον, οἷον τὴν τῶν γραμμάτων μάθησιν, ἀλλὰ καὶ διὰ τὸ πολλὰς ἐνδέχεσθαι γίγνεσθαι δι' αὐτῶν μαθήσεις ἑτέρας. ὁμοίως δὲ καὶ τὴν γραφικὴν οὐχ ἵνα ἐν τοῖς ἰδίοις ὠνίοις μὴ διαμαρτάνωσιν, ἀλλ' ὦσιν ἀνεξαπάτητοι πρὸς τὴν τῶν σκευῶν

ὠνήν τε καὶ πρᾶσιν, ἢ μᾶλλον ὅτι ποιεῖ θεωρη
περὶ τὰ σώματα κάλλους. τὸ δὲ ζητεῖν πανταχοῦ
σιμον ἥκιστα ἁρμόττει τοῖς μεγαλοψύχοις καὶ τ
θέροις. ἐπεὶ δὲ φανερὸν πρότερον τοῖς ἔθεσιν ἢ
παιδευτέον εἶναι, καὶ περὶ τὸ σῶμα πρότερον ἢ
νοιαν, δῆλον ἐκ τούτων ὅτι παραδοτέον τοὺς παῖδα
στικῇ καὶ παιδοτριβικῇ· τούτων γὰρ ἡ μὲν ποιάν
τὴν ἕξιν τοῦ σώματος, ἡ δὲ τὰ ἔργα.

Νῦν μὲν οὖν αἱ μάλιστα δοκοῦσαι τῶν πόλει
λεῖσθαι τῶν παίδων αἱ μὲν ἀθλητικὴν ἕξιν ἐμπο
βώμεναι τά τε εἴδη καὶ τὴν αὔξησιν τῶν σωμ
δὲ Λάκωνες ταύτην μὲν οὐχ ἥμαρτον τὴν ἁμαρ
ριώδεις δ' ἀπεργάζονται τοῖς πόνοις, ὡς τοῦτο πρ
μάλιστα συμφέρον. καίτοι, καθάπερ εἴρηται πολλ
πρὸς μίαν οὔτε πρὸς μάλιστα ταύτην βλέποντα
τὴν ἐπιμέλειαν. εἴ τε καὶ πρὸς ταύτην, οὐδὲ τοῦτ
σκουσιν· οὔτε γὰρ ἐν τοῖς ἄλλοις ζῴοις οὔτ' ἐπὶ τ
ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοι
μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσιν.
δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴ
ποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν
Ἀχαιοί τε καὶ Ἡνίοχοι καὶ τῶν ἠπειρωτικῶν ἐθν
τὰ μὲν ὁμοίως τούτοις τὰ δὲ μᾶλλον, ἃ λῃστικὰ
ἀνδρίας δ' οὐ μετειλήφασιν. ἔτι δ' αὐτοὺς τοὺς
ἴσμεν, ἕως μὲν αὐτοὶ προσήδρευον ταῖς φιλοπονία
ρέχοντας τῶν ἄλλων, νῦν δὲ καὶ τοῖς γυμνασίοις
πολεμικοῖς ἀγῶσι λειπομένους ἑτέρων· οὐ γὰρ τῷ τ
γυμνάζειν τὸν τρόπον τοῦτον διέφερον, ἀλλὰ τῷ μ
πρὸς ἀσκοῦντας ἀσκεῖν. ὥστε τὸ καλὸν ἀλλ' οὐ τὸ
δεῖ πρωταγωνιστεῖν· οὐ γὰρ λύκος οὐδὲ τῶν ἄλλων
τι ἀγωνίσαιτο ἂν οὐθένα καλὸν κίνδυνον, ἀλλὰ
ἀνὴρ ἀγαθός. οἱ δὲ λίαν εἰς ταῦτα ἀνέντες τοὺς
καὶ τῶν ἀναγκαίων ἀπαιδαγωγήτους ποιήσαντες, βα
κατεργάζονται κατά γε τὸ ἀληθές, πρὸς ἓν τε μόν
γον τῇ πολιτικῇ χρησίμους ποιήσαντες, καὶ πρὸς τοῦτ
ρον, ὡς φησὶν ὁ λόγος, ἑτέρων. δεῖ δὲ οὐκ ἐκ τῶν
ρων ἔργων κρίνειν, ἀλλ' ἐκ τῶν νῦν· ἀνταγωνιστὰς γὰ
παιδείας νῦν ἔχουσι, πρότερον δ' οὐκ εἶχον. ὅτι μὲν οὖν
στέον τῇ γυμναστικῇ, καὶ πῶς χρηστέον, ὁμολογούμενο
μέχρι μὲν γὰρ ἥβης κουφότερα γυμνάσια προσοιστέ
βίαιον τροφὴν καὶ τοὺς πρὸς ἀνάγκην πόνους ἀπείργο
ἵνα μηθὲν ἐμπόδιον ᾖ πρὸς τὴν αὔξησιν. σημεῖον γὰ

18. χρησίμη T^b. ‖ 19. αὖ] ἂν S^b. ‖ 31. ἀναγκαῖον S^bT^b.

1. θεωρητικὴν I^b. ‖ 19. ἡμερωτάτοις I^b. ‖ 31. τι om $I^bS^bT^b$. ‖ 33. ἀπαιδαγώγους S^bT^b.

τι δύναται τοῦτο παρασκευάζειν· ἐν γὰρ τοῖς ὀλυμ- δύο τις ἂν ἢ τρεῖς εὕροι τοὺς αὐτοὺς νενικηκότας τε καὶ παῖδας, διὰ τὸ νέους ἀσκοῦντας ἀφαιρεῖσθαι ιμιν ὑπὸ τῶν ἀναγκαίων γυμνασίων. ὅταν δ' ἀφ' ι τρία πρὸς τοῖς ἄλλοις μαθήμασι γένωνται, τότε καὶ τοῖς πόνοις καὶ ταῖς ἀναγκοφαγίαις κατα- ειν τὴν ἐχομένην ἡλικίαν. ἅμα γὰρ τῇ τε διανοίᾳ σώματι διαπονεῖν οὐ δεῖ· τοὐναντίον γὰρ ἑκάτερος εσθαι πέφυκε τῶν πόνων, ἐμποδίζων ὁ μὲν τοῦ πόνος τὴν διάνοιαν, ὁ δὲ ταύτης τὸ σῶμα.

ρὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ τερον, καλῶς δ' ἔχει καὶ νῦν ἀναλαβόντας αὐτὰ νεῖν, ἵνα ὥσπερ ἐνδόσιμον γένηται τοῖς λόγοις οὓς εἴπειεν ἀποφαινόμενος περὶ αὐτῆς. οὔτε γὰρ τίνα αμιν ῥᾴδιον περὶ αὐτῆς διελεῖν, οὔτε τίνος δεῖ χά- χειν αὐτῆς, πότερον παιδιᾶς ἕνεκα καὶ ἀναπαύ- αθάπερ ὕπνου καὶ μέθης· ταῦτα γὰρ καθ' αὑτὰ ε τῶν σπουδαίων, ἀλλ' ἡδέα, καὶ ἅμα παύει μέ- ὡς φησὶν Εὐριπίδης. διὸ καὶ τάττουσιν αὐτὴν καὶ πᾶσι τούτοις ὁμοίως, οἴνῳ καὶ μέθῃ καὶ μουσικῇ. δὲ καὶ τὴν ὄρχησιν ἐν τούτοις. ἢ μᾶλλον οἰητέον τήν τι τείνειν τὴν μουσικήν, ὡς δυναμένην, καθάπερ αστικὴ τὸ σῶμα ποιόν τι παρασκευάζει, καὶ τὴν τὸ ἦθος ποιόν τι ποιεῖν, ἐθίζουσαν δύνασθαι χαί- ως. ἢ πρὸς διαγωγήν τι συμβάλλεται καὶ πρὸς · καὶ γὰρ τοῦτο τρίτον θετέον τῶν εἰρημένων. ὅτι δεῖ τοὺς νέους μὴ παιδιᾶς ἕνεκα παιδεύειν, οὐκ ἄδη- γὰρ παίζουσι μανθάνοντες· μετὰ λύπης γὰρ ἡ ἀλλὰ μὴν οὐδὲ διαγωγήν τε παισὶν ἁρμόττει ς ἡλικίαις ἀποδιδόναι ταῖς τοιαύταις· οὐθενὶ γὰρ προσήκει τέλος. ἀλλ' ἴσως ἂν δόξειεν ἡ τῶν παί- υδὴ παιδιᾶς εἶναι χάριν ἀνδράσι γενομένοις καὶ ισιν. ἀλλ' εἰ τοῦτ' ἐστὶ τοιοῦτον, τίνος ἂν ἕνεκα δέοι ν αὐτούς, ἀλλὰ μὴ καθάπερ οἱ τῶν Περσῶν καὶ βασιλεῖς, ἄλλων αὐτὸ ποιούντων μεταλαμβάνειν ῆς καὶ τῆς μαθήσεως; καὶ γὰρ ἀναγκαῖον βέλτιον εσθαι τοὺς αὐτὸ τοῦτο πεποιημένους ἔργον καὶ τέχνην τον χρόνον ἐπιμελουμένων ὅσον πρὸς μάθησιν μόνον. ι τὰ τοιαῦτα διαπονεῖν αὐτούς, καὶ περὶ τὴν τῶν αγματείαν αὐτοὺς ἂν δέοι παρασκευάζειν· ἀλλ' τὴν δ' αὐτὴν ἀπορίαν ἔχει καὶ εἰ δύναται τὰ ἤθη ποιεῖν· ταῦτα γὰρ τί δεῖ μανθάνειν αὐτούς, ἀλλ' οὐχ ἑτέρων ἀκούοντας ὀρθῶς τε χαίρειν καὶ δύνασθαι κρίνειν; ὥσπερ οἱ Λάκωνες· ἐκεῖνοι γὰρ οὐ μανθάνοντες ὅμως δύνανται κρίνειν ὀρθῶς, ὥς φασί, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν. ὁ δ' αὐτὸς λόγος κἂν εἰ πρὸς εὐημερίαν καὶ διαγωγὴν ἐλευθέριον χρηστέον αὐτῇ· τί δεῖ μανθάνειν αὐτούς, ἀλλ' οὐχ ἑτέρων χρωμένων ἀπολαύειν; σκοπεῖν δ' ἔξεστι τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν θεῶν· οὐ γὰρ ὁ Ζεὺς αὐτὸς ᾄδει καὶ κιθαρίζει τοῖς ποιηταῖς, ἀλλὰ καὶ βαναύσους καλοῦμεν τοὺς τοιούτους καὶ τὸ πράττειν οὐκ ἀνδρὸς μὴ μεθύοντος ἢ παίζοντος. ἀλλ' ἴσως περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον, ἡ δὲ πρώτη ζήτησίς ἐστι πότερον οὐ θετέον εἰς παιδείαν τὴν μουσικὴν ἢ θετέον, καὶ τί δύναται τῶν διαπορηθέντων τριῶν, πότερον παιδείαν ἢ παιδιὰν ἢ διαγωγήν. εὐλόγως δ' εἰς πάντα τάττεται καὶ φαίνεται μετέχειν. ἥ τε γὰρ παιδιὰ χάριν ἀναπαύσεώς ἐστι, τὴν δ' ἀνάπαυσιν ἀναγκαῖον ἡδεῖαν εἶναι (τῆς γὰρ διὰ τῶν πόνων λύπης ἰατρεία τίς ἐστιν)· καὶ τὴν διαγωγὴν ὁμολογουμένως δεῖ μὴ μόνον ἔχειν τὸ καλὸν ἀλλὰ καὶ τὴν ἡδονήν· τὸ γὰρ εὐδαιμονεῖν ἐξ ἀμφοτέρων τούτων ἐστίν. τὴν δὲ μουσικὴν πάντες εἶναί φαμεν τῶν ἡδίστων, καὶ ψιλὴν οὖσαν καὶ μετὰ μελῳδίας· φησὶ γοῦν καὶ Μουσαῖος εἶναι βροτοῖς ἥδιστον ἀείδειν. διὸ καὶ εἰς τὰς συνουσίας καὶ διαγωγὰς εὐλόγως παραλαμβάνουσιν αὐτὴν ὡς δυναμένην εὐφραίνειν· ὥστε καὶ ἐντεῦθεν ἄν τις ὑπολάβοι παιδεύεσθαι δεῖν αὐτὴν τοὺς νεωτέρους. ὅσα γὰρ ἀβλαβῆ τῶν ἡδέων, οὐ μόνον ἁρμόττει πρὸς τὸ τέλος ἀλλὰ καὶ πρὸς τὴν ἀνάπαυσιν. ἐπεὶ δ' ἐν μὲν τῷ τέλει συμβαίνει τοῖς ἀνθρώποις ὀλιγάκις γίγνεσθαι, πολλάκις δὲ ἀναπαύονται καὶ χρῶνται ταῖς παιδιαῖς οὐχ ὅσον ἐπὶ πλέον ἀλλὰ καὶ διὰ τὴν ἡδονήν, χρήσιμον ἂν εἴη διαναπαύειν ἐν ταῖς ἀπὸ ταύτης ἡδοναῖς. συμβέβηκε δὲ τοῖς ἀνθρώποις ποιεῖσθαι τὰς παιδιὰς τέλος· ἔχει γὰρ ἴσως ἡδονήν τινα καὶ τὸ τέλος, ἀλλ' οὐ τὴν τυχοῦσαν· ζητοῦντες δὲ ταύτην, λαμβάνουσιν ὡς ταύτην ἐκείνην, διὰ τὸ τῷ τέλει τῶν πράξεων ἔχειν ὁμοίωμά τι· τό τε γὰρ τέλος οὐθενὸς τῶν ἐσομένων χάριν αἱρετόν, καὶ αἱ τοιαῦται τῶν ἡδονῶν οὐθενός εἰσι τῶν ἐσομένων ἕνεκεν, ἀλλὰ τῶν γεγονότων, οἷον πόνων καὶ λύπης. δι' ἣν μὲν οὖν αἰτίαν ζητοῦσι τὴν εὐδαιμονίαν γίγνεσθαι διὰ τούτων τῶν ἡδονῶν, ταύτην ἄν τις εἰκότως ὑπολάβοι τὴν αἰτίαν· περὶ δὲ τοῦ κοινωνεῖν τῆς μουσικῆς, οὐ διὰ ταύτην μόνην, ἀλλὰ καὶ διὰ τὸ χρήσιμον εἶναι πρὸς τὰς ἀναπαύσεις, ὡς ἔοικεν. οὐ μὴν ἀλλὰ ζητητέον μή ποτε

λυμπιονικαῖς I^b. ‖ 14. εἴποιεν S^bT^b. ‖ 25. ἢ I^b. ‖ 35. ἄλλων] δι' ἄλλων S^bT^b.
τερον S^bT^b. ‖ 3. φησί T^b. ‖ 4. εἴη $I^bS^bT^b$. ‖ 12. τὴν — 13. παιδείαν om I^b. ‖ 34. τῷ om S^b. ‖ 35. ὁμοιώματα· τό S^bT^b.

τῦτο μὲν συμβέβηκε, τιμιωτέρα δ' αὐτῆς ἡ φύσις ἐςὶν ἢ κατὰ τὴν εἰρημένην χρείαν, καὶ δεῖ μὴ μόνον τῆς κοινῆς ἡδονῆς μετέχειν ἀπ' αὐτῆς, ἧς ἔχυσι πάντες αἴσθησιν (ἔχει γὰρ ἡ μουσικὴ τὴν ἡδονὴν φυσικήν, διὸ πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις αὐτῆς ἐστὶ προσφιλής), ἀλλ' ὁρᾶν εἴ πῃ καὶ πρὸς τὸ ἦθος συντείνει καὶ πρὸς τὴν ψυχήν. τῦτο δ' ἂν εἴη δῆλον, εἰ ποιοί τινες τὰ ἤθη γιγνόμεθα δι' αὐτῆς. ἀλλὰ μὴν ὅτι γιγνόμεθα ποιοί τινες, φανερὸν διὰ πολλῶν μὲν καὶ ἑτέρων, ὐχ ἥκιςα δὲ καὶ διὰ τῶν Ὀλύμπου μελῶν· ταῦτα γὰρ ὁμολογυμένως ποιεῖ τὰς ψυχὰς ἐνθυσιαςικάς, ὁ δ' ἐνθυσιασμὸς τῦ περὶ τὴν ψυχὴν ἤθους πάθος ἐστίν. ἔτι δὲ ἀκροώμενοι τῶν μιμήσεων γίγνονται πάντες συμπαθεῖς, καὶ χωρὶς τῶν ῥυθμῶν καὶ τῶν μελῶν αὐτῶν. ἐπεὶ δὲ συμβέβηκεν εἶναι τὴν μυσικὴν τῶν ἡδέων, τὴν δ' ἀρετὴν περὶ τὸ χαίρειν ὀρθῶς καὶ φιλεῖν καὶ μισεῖν, δεῖ δῆλον ὅτι μανθάνειν καὶ συνεθίζεσθαι μηθὲν ὕτως ὡς τὸ κρίνειν ὀρθῶς καὶ τὸ χαίρειν τοῖς ἐπιεικέσιν ἤθεσι καὶ ταῖς καλαῖς πράξεσιν. ἔστι δ' ὁμοιώματα μάλιςα παρὰ τὰς ἀληθινὰς φύσεις ἐν τοῖς ῥυθμοῖς καὶ τοῖς μέλεσιν ὀργῆς καὶ πραότητος, ἔτι δ' ἀνδρίας καὶ σωφροσύνης καὶ πάντων τῶν ἐναντίων τύτοις καὶ τῶν ἄλλων ἠθικῶν. δῆλον δὲ ἐκ τῶν ἔργων· μεταβάλλομεν γὰρ τὴν ψυχὴν ἀκροώμενοι τοιούτων. ὁ δ' ἐν τοῖς ὁμοίοις ἐθισμὸς τοῦ λυπεῖσθαι καὶ χαίρειν ἐγγύς ἐςι τῷ πρὸς τὴν ἀλήθειαν τὸν αὐτὸν ἔχειν τρόπον· οἷον εἴ τις χαίρει τὴν εἰκόνα τινὸς θεώμενος μὴ δι' ἄλλην αἰτίαν ἀλλὰ διὰ τὴν μορφὴν αὐτήν, ἀναγκαῖον τύτῳ καὶ αὐτὴν ἐκείνην τὴν θεωρίαν, οὗ τὴν εἰκόνα θεωρεῖ, ἡδεῖαν εἶναι. συμβέβηκε δὲ τῶν αἰσθητῶν ἐν μὲν τοῖς ἄλλοις μηδὲν ὑπάρχειν ὁμοίωμα τοῖς ἤθεσιν, οἷον ἐν τοῖς ἁπτοῖς καὶ τοῖς γευστοῖς, ἀλλ' ἐν τοῖς ὁρατοῖς ἠρέμα· σχήματα γάρ ἐςι τοιαῦτα, ἀλλ' ἐπὶ μικρόν, καὶ πάντες τῆς τοιαύτης αἰσθήσεως κοινωνῦσιν. ἔτι δὲ οὐκ ἔςι ταῦτα ὁμοιώματα τῶν ἠθῶν, ἀλλὰ σημεῖα μᾶλλον τὰ γιγνόμενα σχήματα καὶ χρώματα τῶν ἠθῶν. καὶ ταῦτ' ἐςὶν ἐπὶ τῦ σώματος ἐν τοῖς πάθεσιν. ὐ μὴν ἀλλ' ὅσον διαφέρει καὶ περὶ τὴν τύτων θεωρίαν, δεῖ μὴ τὰ Παύσωνος θεωρεῖν τὺς νέους, ἀλλὰ τὰ Πολυγνώτυ κἂν εἴ τις ἄλλος τῶν γραφέων ἢ τῶν ἀγαλματοποιῶν ἐστὶν ἠθικός. ἐν δὲ τοῖς μέλεσιν αὐτοῖς ἐςὶ μιμήματα τῶν ἠθῶν. καὶ τῦτ' ἔςι φανερόν· εὐθὺς γὰρ ἡ τῶν ἁρμονιῶν διέςηκε φύσις ὥςε ἀκύοντας ἄλλως διατίθεσθαι καὶ μὴ τὸν αὐτὸν ἔχειν τρόπον πρὸς ἑκάστην αὐτῶν, ἀλλὰ πρὸς μὲν ἐνίας ὀδυρτικωτέρως

καὶ συνεςηκότως μᾶλλον, οἷον πρὸς τὴν μιξολυδις
μένην, πρὸς δὲ τὰς μαλακωτέρως τὴν διάνοιαν, ο
τὰς ἀνειμένας· μέσως δὲ καὶ καθεςηκότως μάλισ
ἑτέραν, οἷον δοκεῖ ποιεῖν ἡ δωριςὶ μόνη τῶν ἁρμονι
σιαςικὺς δ' ἡ φρυγιςί. ταῦτα γὰρ καλῶς λέγυσι
τὴν παιδείαν ταύτην πεφιλοσοφηκότες· λαμβάνυσι
μαρτύρια τῶν λόγων ἐξ αὐτῶν τῶν ἔργων. τὸν αι
τρόπον ἔχει καὶ τὰ περὶ τοὺς ῥυθμούς· οἱ μὲν γ
ἔχουσι στασιμώτερον οἱ δὲ κινητικόν, καὶ τούτων
φορτικωτέρας ἔχυσι τὰς κινήσεις οἱ δὲ ἐλευθεριωτ
μὲν ὖν τύτων φανερὸν ὅτι δύναται ποιόν τι τὸ τῆς
ἦθος ἡ μυσικὴ παρασκευάζειν. εἰ δὲ τῦτο δύνατα
δῆλον ὅτι προσακτέον καὶ παιδευτέον ἐν αὐτῇ τοὺ
ἔςι δὲ ἁρμόττυσα πρὸς τὴν φύσιν τὴν τηλικαύτη
δασκαλία τῆς μυσικῆς· οἱ μὲν γὰρ νέοι διὰ τὴν
ἀνήδυντον ὐδὲν ὑπομένυσιν ἑκόντες, ἡ δὲ μυσικὴ φύ
ἡδυσμένων ἐστίν. καί τις ἔοικε συγγένεια ταῖς ἁ
καὶ τοῖς ῥυθμοῖς εἶναι· διὸ πολλοί φασι τῶν σο
μὲν ἁρμονίαν εἶναι τὴν ψυχήν, οἱ δ' ἔχειν ἁρμονί

Πότερον δὲ δεῖ μανθάνειν αὐτὺς ᾄδοντάς τε κ
ρυργοῦντας ἢ μή, καθάπερ ἠπορήθη πρότερον, νῦν λ
οὐκ ἄδηλον δὲ ὅτι πολλὴν ἔχει διαφορὰν πρὸς τὸ
σθαι ποιούς τινας, ἐάν τις αὐτὸς κοινωνῇ τῶν ἔργ
γάρ τι τῶν ἀδυνάτων ἢ χαλεπῶν ἐστὶ μὴ κοινωνή
τῶν ἔργων κριτὰς γενέσθαι σπυδαίυς. ἅμα δὲ καὶ
παῖδας ἔχειν τινὰ διατριβήν, καὶ τὴν Ἀρχύτυ πλ
οἴεσθαι γενέσθαι καλῶς, ἣν διδόασι τοῖς παιδίοις
χρώμενοι ταύτῃ μηδὲν καταγνύωσι τῶν κατὰ τὴν
ὐ γὰρ δύναται τὸ νέον ἡσυχάζειν. αὕτη μὲν ὖν ἐς
νηπίοις ἁρμόττουσα τῶν παιδίων, ἡ δὲ παιδεία πλα
τοῖς μείζοσι τῶν νέων. ὅτι μὲν ὖν παιδευτέον τὴν μ
ὕτως ὥςε καὶ κοινωνεῖν τῶν ἔργων, φανερὸν ἐκ τῶν
των. τὸ δὲ πρέπον καὶ τὸ μὴ πρέπον ταῖς ἡλικί
χαλεπὸν διορίσαι, καὶ λῦσαι πρὸς τὺς φάσκοντας β
σον εἶναι τὴν ἐπιμέλειαν. πρῶτον μὲν γάρ, ἐπεὶ τῦ
χάριν μετέχειν δεῖ τῶν ἔργων, διὰ τοῦτο χρὴ νέο
ὄντας χρῆσθαι τοῖς ἔργοις, πρεσβυτέρυς δὲ γινομέν
μὲν ἔργων ἀφεῖσθαι, δύνασθαι δὲ τὰ καλὰ κρίν
χαίρειν ὀρθῶς διὰ τὴν μάθησιν τὴν γενομένην ἐν τῇ ν
περὶ δὲ τῆς ἐπιτιμήσεως ἥν τινες ἐπιτιμῶσιν ὡς π
τῆς μουσικῆς βαναύσυς, οὐ χαλεπόν λῦσαι σκεψα
μέχρι τε πόσου τῶν ἔργων κοινωνητέον τοῖς πρὸς ἀ

8. ποιοί — 9. δὲ καὶ om $S^b T^b$. ‖ 34. σχήματα om $S^b T^b$. ‖ 36. πάσωνος I^b.
4. δωριστὶ et 5. φρυγιστί $S^b T^b$. ‖ 8. τὰ om $S^b T^b$. ‖ 14. ἔςι] ἔχει $I^b S^b T^b$. ‖ 20. χειραγωγοῦντας $S^b T^b$. ‖ 22. δὴ I^b.

υομένοις πολιτικήν, καὶ ποίων μελῶν καὶ ποίων ῥυ- κοινωνητέον, ἔτι δὲ ἐν ποίοις ὀργάνοις τὴν μάθησιν ίον· καὶ γὰρ τῦτο διαφέρειν εἰκός. ἐν τύτοις γὰρ ἡ ἐςὶ τῆς ἐπιτιμήσεως· ὐθὲν γὰρ κωλύει τρόπυς τινὰς υσικῆς ἀπεργάζεσθαι τὸ λεχθέν. φανερὸν τοίνυν ὅτι ὴν μάθησιν αὐτῆς μήτε ἐμποδίζειν πρὸς τὰς ὕςερον ις, μήτε τὸ σῶμα ποιεῖν βάναυσον καὶ ἄχρηςον πρὸς ολεμικὰς καὶ πολιτικὰς ἀσκήσεις, πρὸς μὲν τὰς χρή- ίδη, πρὸς δὲ τὰς μαθήσεις ὕςερον. συμβαίνοι δ' ἂν τὴν μάθησιν, εἰ μήτε τὰ πρὸς τὺς ἀγῶνας τὺς τεχνι- υντείνοντα διαπονοῖεν, μήτε τὰ θαυμάσια καὶ περιττὰ ργων, ἃ νῦν ἐλήλυθεν εἰς τοὺς ἀγῶνας, ἐκ δὲ τῶν ων εἰς τὴν παιδείαν. ἀλλὰ καὶ τὰ τοιαῦτα μέχρι ὶν δύνωνται χαίρειν τοῖς καλοῖς μέλεσι καὶ ῥυθμοῖς, ὴ μόνον τῷ κοινῷ τῆς μυσικῆς, ὥσπερ καὶ τῶν ἄλ- νια ζῴων, ἔτι δὲ καὶ πλῆθος ἀνδραπόδων καὶ παι- δῆλον δὲ ἐκ τούτων καὶ ποίοις ὀργάνοις χρηστέον. γὰρ αὐλοὺς εἰς παιδείαν ἀκτέον οὔτ' ἄλλο τεχνικὸν ον, οἷον κιθάραν κἂν εἴ τι τοιῦτον ἕτερόν ἐστιν, ἀλλ' τοιήσει αὐτῶν ἀκροατὰς ἀγαθὺς ἢ τῆς μυσικῆς παι- ἢ τῆς ἄλλης. ἔτι δ' ὐκ ἔςιν ὁ αὐλὸς ἠθικὸν ἀλλὰ ον ὀργιαστικόν, ὥςε πρὸς τοὺς τοιύτυς αὐτῷ καιροὺς ίον ἐν οἷς ἡ θεωρία κάθαρσιν μᾶλλον δύναται ἢ μά- προσθῶμεν δὲ ὅτι συμβέβηκεν ἐναντίον αὐτῷ πρὸς ίαν καὶ τὸ κωλύειν τῷ λόγῳ χρῆσθαι τὴν αὔλησιν. ιλῶς ἀπεδοκίμασαν αὐτῦ οἱ πρότερον τὴν χρῆσιν ἐκ έων καὶ τῶν ἐλευθέρων, καίπερ χρησάμενοι τὸ πρῶ- ὑτῷ. σχολαςικώτεροι γὰρ γιγνόμενοι διὰ τὰς εὐπο- καὶ μεγαλοψυχότεροι πρὸς ἀρετήν, ἔτι τε πρότερον μετὰ τὰ Μηδικὰ φρονηματισθέντες ἐκ τῶν ἔργων, ἥπτοντο μαθήσεως, οὐδὲν διακρίνοντες ἀλλ' ἐπιζη- . διὸ καὶ τὴν αὐλητικὴν ἤγαγον πρὸς τὰς μαθήσεις. γὰρ ἐν Λακεδαίμονί τις χορηγὸς αὐτὸς ηὔλησε τῷ , καὶ περὶ Ἀθήνας ὕτως ἐπεχωρίασεν ὥςε σχεδὸν οἱ ὶ τῶν ἐλευθέρων μετεῖχον αὐτῆς· δῆλον δὲ ἐκ τοῦ ος ὃν ἀνέθηκε Θράσιππος Ἐκφαντίδῃ χορηγήσας. ον δ' ἀπεδοκιμάσθη διὰ τῆς πείρας αὐτῆς, βέλτιον μένων κρίνειν τὸ πρὸς ἀρετὴν καὶ τὸ μὴ πρὸς ἀρετὴν νον. ὁμοίως δὲ καὶ πολλὰ τῶν ὀργάνων τῶν ἀρχαίων, ηκτίδες καὶ βάρβιτοι καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα ἀκούουσι τῶν χρωμένων, ἑπτάγωνα καὶ τρίγωνα καὶ σαμβῦκαι, καὶ πάντα τὰ δεόμενα χειρυργικῆς ἐπιςήμης. εὐλόγως δ' ἔχει καὶ τὸ περὶ τῶν αὐλῶν ὑπὸ τῶν ἀρχαίων μεμυθολογημένον· φασὶ γὰρ δὴ τὴν Ἀθηνᾶν εὑρῦσαν ἀποβαλεῖν τὺς αὐλύς. οὐ κακῶς μὲν ὖν ἔχει φάναι καὶ διὰ τὴν ἀσχημοσύνην τῦ προσώπυ τῦτο ποιῆσαι δυσχεράνασαν τὴν θεόν· ὐ μὴν ἀλλὰ μᾶλλον εἰκὸς ὅτι πρὸς τὴν διάνοιαν ὐθέν ἐςι ἡ παιδεία τῆς αὐλήσεως· τῇ δὲ Ἀθηνᾷ τὴν ἐπιςήμην περιτίθεμεν καὶ τὴν τέχνην. ἐπεὶ δὲ τῶν τε ὀργάνων καὶ τῆς ἐργασίας ἀποδοκιμάζομεν τὴν τεχνικὴν παιδείαν, τεχνικὴν δὲ τίθεμεν τὴν πρὸς τὺς ἀγῶνας· ἐν ταύτῃ γὰρ ὁ πράττων ὐ τῆς αὐτῦ μεταχειρίζεται χάριν ἀρετῆς, ἀλλὰ τῆς τῶν ἀκουόντων ἡδονῆς, καὶ ταύτης φορτικῆς. διόπερ ὐ τῶν ἐλευθέρων κρίνομεν εἶναι τὴν ἐργασίαν, ἀλλὰ θητικωτέραν. καὶ βαναύσυς δὴ συμβαίνει γίγνεσθαι· πονηρὸς γὰρ ὁ σκοπὸς πρὸς ὃν ποιοῦνται τὸ τέλος. ὁ γὰρ θεατὴς φορτικὸς ὢν μεταβάλλειν εἴωθε τὴν μυσικήν, ὥστε καὶ τοὺς τεχνίτας τοὺς πρὸς αὐτὸν μελετῶντας αὐτύς τε ποιύς τινας ποιεῖ καὶ τὰ σώματα διὰ τὰς κινήσεις.

Σκεπτέον δ' ἔτι περί τε τὰς ἁρμονίας καὶ τὺς ῥυθμύς, 7
καὶ πρὸς παιδείαν πότερον πάσαις χρηςέον ταῖς ἁρμονίαις καὶ πᾶσι τοῖς ῥυθμοῖς ἢ διαιρετέον, ἔπειτα τοῖς πρὸς παιδείαν διαπονοῦσι πότερον τὸν αὐτὸν διορισμὸν θήσομεν ἢ τρίτον δεῖ τινὰ ἕτερον, ἐπειδὴ τὴν μὲν μυσικὴν ὁρῶμεν διὰ μελοποιίας καὶ ῥυθμῶν ὖσαν, τύτων δ' ἑκάτερον ὐ δεῖ λεληθέναι τίνα ἔχει δύναμιν πρὸς παιδείαν, καὶ πότερον προαιρετέον μᾶλλον τὴν εὐμελῆ μυσικὴν ἢ τὴν εὔρυθμον. νομίσαντες ὖν πολλὰ καλῶς λέγειν περὶ τύτων τῶν τε νῦν μουσικῶν ἐνίυς καὶ τῶν ἐκ φιλοσοφίας ὅσοι τυγχάνουσιν ἐμπείρως ἔχοντες τῆς περὶ τὴν μυσικὴν παιδείας, τὴν μὲν καθ' ἕκαςον ἀκριβολογίαν ἀποδώσομεν ζητεῖν τοῖς βυλομένοις παρ' ἐκείνων, νῦν δὲ νομικῶς διέλωμεν, τὺς τύπους μόνον εἰπόντες περὶ αὐτῶν. ἐπεὶ δὲ τὴν διαίρεσιν ἀποδεχόμεθα τῶν μελῶν ὡς διαιρῦσί τινες τῶν ἐν φιλοσοφίᾳ, τὰ μὲν ἠθικὰ τὰ δὲ πρακτικὰ τὰ δ' ἐνθυσιαςικὰ τιθέντες, καὶ τῶν ἁρμονιῶν τὴν φύσιν πρὸς ἕκαςα τούτων οἰκείαν ἄλλην πρὸς ἄλλο μέρος τιθέασι, φαμὲν δ' ὐ μιᾶς ἕνεκεν ὠφελείας τῇ μυσικῇ χρῆσθαι δεῖν ἀλλὰ καὶ πλειόνων χάριν (καὶ γὰρ παιδείας ἕνεκεν καὶ καθάρσεως — τί δὲ λέγομεν τὴν κάθαρσιν, νῦν μὲν ἁπλῶς, πάλιν δ' ἐν τοῖς περὶ ποιητικῆς ἐρῦμεν σαφέςερον —, τρίτον δὲ πρὸς διαγωγήν, πρὸς ἄνεσίν τε καὶ πρὸς τὴν τῆς συντονίας ἀνάπαυσιν),

Διαιρέσεις made by som philosopher

5. κοινωνῷ $I^b S^b T^b$. ‖ 29. πρὸς] πρὸς τὴν I^b. ‖ 31. ἥττοντο S^b. ‖ 40. πυκτίδες I^b.
. θεάν $S^b T^b$. ‖ 21. καὶ πᾶσι τοῖς ῥυθμοῖς om $S^b T^b$. ‖ 25. δύναμιν ἔχει I^b. ‖ 26. προαιρετὸν T^b. ‖ 31. διέλομεν $S^b T^b$. ‖ 38.
ρ καὶ παιδιᾶς I^b.

φανερὸν ὅτι χρηστέον μὲν πάσαις ταῖς ἁρμονίαις, οὐ τὸν αὐτὸν δὲ τρόπον πάσαις χρηστέον, ἀλλὰ πρὸς μὲν τὴν παιδείαν ταῖς ἠθικωτάταις, πρὸς δὲ ἀκρόασιν ἑτέρων χειρουργούντων καὶ ταῖς πρακτικαῖς καὶ ταῖς ἐνθουσιαστικαῖς. ὃ γὰρ περὶ ἐνίας συμβαίνει πάθος ψυχὰς ἰσχυρῶς, τοῦτο ἐν πάσαις ὑπάρχει, τῷ δὲ ἧττον διαφέρει καὶ τῷ μᾶλλον, οἷον ἔλεος καὶ φόβος, ἔτι δ' ἐνθουσιασμός. καὶ γὰρ ὑπὸ ταύτης τῆς κινήσεως κατακώχιμοί τινές εἰσιν· ἐκ δὲ τῶν ἱερῶν μελῶν ὁρῶμεν τούτους, ὅταν χρήσωνται τοῖς ἐξοργιάζουσι τὴν ψυχὴν μέλεσι, καθισταμένους ὥσπερ ἰατρείας τυχόντα[illegible]καὶ καθάρσεως. ταὐτὸ δὴ τοῦτο ἀναγκαῖον πάσχειν καὶ τοὺς ἐλεήμονας καὶ τοὺς φοβητικοὺς καὶ τοὺς ὅλως παθητικούς, τοὺς δ' ἄλλους καθ' ὅσον ἐπιβάλλει τῶν τοιούτων ἑκάστῳ, καὶ πᾶσι γίγνεσθαί τινα κάθαρσιν καὶ κουφίζεσθαι μεθ' ἡδονῆς. ὁμοίως δὲ καὶ τὰ μέλη τὰ καθαρτικὰ παρέχει χαρὰν ἀβλαβῆ τοῖς ἀνθρώποις. διὸ ταῖς μὲν τοιαύταις ἁρμονίαις καὶ τοῖς τοιούτοις μέλεσι θετέον τοὺς τὴν θεατρικὴν μουσικὴν μεταχειριζομένους ἀγωνιστάς. ἐπεὶ δ' ὁ θεατὴς διττός, ὁ μὲν ἐλεύθερος καὶ πεπαιδευμένος, ὁ δὲ φορτικὸς ἐκ βαναύσων καὶ θητῶν καὶ ἄλλων τοιούτων συγκείμενος, ἀποδοτέον ἀγῶνας καὶ θεωρίας καὶ τοῖς τοιούτοις πρὸς ἀνάπαυσιν. εἰσὶ δ' ὥσπερ αὐτῶν αἱ ψυχαὶ παρεστραμμέναι τῆς κατὰ φύσιν ἕξεως, οὕτω καὶ τῶν ἁρμονιῶν παρεκβάσεις εἰσὶ καὶ τῶν μελῶν τὰ σύντονα καὶ παρακεχρωσμένα. ποιεῖ δὲ τὴν ἡδονὴν ἑκάστοις τὸ κατὰ φύσιν οἰκεῖον. διόπερ ἀποδοτέον ἐξουσίαν τοῖς ἀγωνιζομένοις πρὸς τὸν θεατὴν τὸν τοιοῦτον τοιούτῳ τινὶ χρῆσθαι τῷ γένει τῆς μουσικῆς. πρὸς δὲ παιδείαν, ὥσπερ εἴρηται, τοῖς ἠθικοῖς τῶν μελῶν χρηστέον καὶ ταῖς ἁρμονίαις ταῖς τοιαύταις. τοιαύτη δ' ἡ δωριστί, καθάπερ εἴπομεν πρότερον· δέχεσθαι δὲ δεῖ κἂν τινα ἄλλην ἡμῖν δοκιμάζωσιν οἱ κοινωνοὶ τῆς ἐν φιλοσοφίᾳ διατριβῆς καὶ τῆς περὶ τὴν μουσικὴν παιδείας. ὁ δ' ἐν τῇ πολιτείᾳ Σωκράτης οὐ καλῶς τὴν φρυγιστὶ μονην καταλείπει μετὰ τῆς δωριστί, καὶ ταῦτα ἀποδοκιμάσας

τῶν ὀργάνων τὸν αὐλόν. ἔχει γὰρ τὴν αὐτὴν δ
φρυγιστὶ τῶν ἁρμονιῶν ἥνπερ αὐλὸς ἐν τοῖς
ἄμφω γὰρ ὀργιαστικὰ καὶ παθητικά. δηλοῖ δ'
σις· πᾶσα γὰρ βακχεία καὶ πᾶσα ἡ τοιαύτ
μάλιστα τῶν ὀργάνων ἐστὶν ἐν τοῖς αὐλοῖς, τῶν
νιῶν ἐν τοῖς φρυγιστὶ μέλεσι λαμβάνει ταῦτα τ
οἷον ὁ διθύραμβος ὁμολογουμένως εἶναι δοκεῖ
καὶ τούτου πολλὰ παραδείγματα λέγουσιν οἱ περὶ
σιν ταύτην ἄλλα τε, καὶ διότι Φιλόξενος ἐγχε
τῇ δωριστὶ ποιῆσαι διθύραμβον τοὺς μύθους οὐχ ο
ἀλλ' ὑπὸ τῆς φύσεως αὐτῆς ἐξέπεσεν εἰς τὴν φρ
προσήκουσαν ἁρμονίαν πάλιν. περὶ δὲ τῆς δωρι
ὁμολογοῦσιν ὡς στασιμωτάτης οὔσης καὶ μάλιστ' ἠθ
ἀνδρεῖον. ἔτι δὲ ἐπεὶ τὸ μέσον μὲν τῶν ὑπερβολ
νοῦμεν καὶ χρῆναι διώκειν φαμέν, ἡ δὲ δωριστὶ ται
τὴν φύσιν πρὸς τὰς ἄλλας ἁρμονίας, φανερὸν ὅτι
ρια μέλη πρέπει παιδεύεσθαι μᾶλλον τοῖς νεωτέ
δὲ δύο σκοποί, τό τε δυνατὸν καὶ τὸ πρέπον· κα
δυνατὰ δεῖ μεταχειρίζεσθαι μᾶλλον καὶ τὰ πρέπο
στοις· ἔστι δὲ καὶ ταῦτα ὡρισμένα ταῖς ἡλικίαις,
ἀπειρηκόσι διὰ χρόνον οὐ ῥᾴδιον ᾄδειν τὰς συντόν
νίας, ἀλλὰ τὰς ἀνειμένας ἡ φύσις ὑποβάλλει τι
κούτοις. διὸ καλῶς ἐπιτιμῶσι καὶ τοῦτο Σωκράτει
τὴν μουσικήν τινες, ὅτι τὰς ἀνειμένας ἁρμονίας ο
μάσειεν εἰς τὴν παιδείαν, ὡς μεθυστικὰς λαμβάνο
οὐ κατὰ τὴν τῆς μέθης δύναμιν (βακχευτικὸν γὰ
μέθη ποιεῖ μᾶλλον) ἀλλ' ἀπειρηκυίας. ὥστε καὶ τ
ἐσομένην ἡλικίαν, τὴν τῶν πρεσβυτέρων, δεῖ καὶ τ
των ἁρμονιῶν ἅπτεσθαι καὶ τῶν μελῶν τῶν τοιούτ
δ' εἴ τίς ἐστι τοιαύτη τῶν ἁρμονιῶν ἣ πρέπει τῇ τ
δων ἡλικίᾳ διὰ τὸ δύνασθαι κόσμον τ' ἔχειν ἅ
παιδείαν, οἷον ἡ λυδιστὶ φαίνεται πεπονθέναι μάλ
ἁρμονιῶν, δῆλον ὅτι τούτους ὅρους τρεῖς ποιητέον εἰς τ
δείαν, τό τε μέσον καὶ τὸ δυνατὸν καὶ τὸ πρέπον.

8. τῶν δὲ $I^b S^b T^b$. ‖ 10. καθισταμένας I^b. ‖ 16. χώραν corr I^b. ‖ 17. θεατέον πρὸς τὴν $S^b T^b$. ‖ 18 θεατρικὴν om I^b. παρακεχωρημένα I^b. ‖ 28. παιδιὰν I^b.

4. βραχεῖα T^b. ‖ 11. τὴν προσήκουσαν — τῆς δωριστὶ om I^b. ‖ 19. ἑκάστους I^b. ‖ 20. ἔτι T^b. ‖ 21. χρόνου I^b. ‖ 32. τ διάνοιαν corr ab eadem manu I^b. ‖ 33. ὅτι τρεῖς τούτους ποιητέον εἰς τὴν παιδιάν I^b. ‖ 34. τε om S^b.

ΟΙΚΟΝΟΜΙΚΩΝ Α.

οἰκονομικὴ καὶ πολιτικὴ διαφέρει οὐ μόνον τοσοῦτον
οἰκία καὶ πόλις (ταῦτα μὲν γὰρ αὐταῖς ἐςὶ τὰ ὑπο-
ια) ἀλλ' ὅτι καὶ ἡ μὲν πολιτικὴ ἐκ πολλῶν ἀρχόν-
στίν, ἡ οἰκονομικὴ δὲ μοναρχία. ἔνιαι μὲν οὖν τῶν
ῶν διῄρηνται, καὶ ὐ τῆς αὐτῆς ἐςὶ ποιῆσαι καὶ χρή-
ι τῷ ποιηθέντι, ὥσπερ λύρᾳ καὶ αὐλοῖς· τῆς δὲ πο-
ῆς ἐςὶ καὶ πόλιν ἐξ ἀρχῆς συστήσασθαι καὶ ὑπαρ-
χρήσασθαι καλῶς, ὥςε δῆλον ὅτι καὶ τῆς οἰκονομι-
ἂν εἴη καὶ κτήσασθαι οἶκον καὶ χρήσασθαι αὐτῷ.
μὲν ὖν οἰκιῶν πλῆθός ἐςι καὶ χώρας καὶ χρημάτων
οκες πρὸς τὸ εὖ ζῆν. φανερὸν δέ· ὅταν γὰρ μὴ δυ-
ῶσι τύτυ τυγχάνειν, διαλύεται καὶ ἡ κοινωνία. ἔτι
εκα τύτυ συνέρχονται· ὖ δὲ ἕνεκα ἕκαστον ἔστι καὶ
ε, καὶ ἡ ὐσία αὐτῦ τυγχάνει αὕτη ὖσα. ὥςε δῆλον
ρότερον γενέσει ἡ οἰκονομικὴ πολιτικῆς ἐςίν. καὶ γὰρ
γον· μόριον γὰρ οἰκία πόλεώς ἐςιν. σκεπτέον ὖν περὶ
ἰκονομικῆς, καὶ τί τὸ ἔργον αὐτῆς.
Μέρη δὲ οἰκίας ἄνθρωπός τε καὶ κτῆσίς ἐστιν. ἐπεὶ
ῶτον ἐν τοῖς ἐλαχίςοις ἡ φύσις ἑκάςυ θεωρεῖται, καὶ
οἰκίας ἂν ὁμοίως ἔχοι, ὥστε καθ' Ἡσίοδον δέοι ἂν
χειν "οἶκον μὲν πρώτιςα γυναῖκά τε βῦν τ' ἀροτῆρα·"
ὲν γὰρ τῆς τροφῆς πρῶτον, τὸ δὲ τῶν ἐλευθέρων. ὥςε
ἂν τὰ περὶ τὴν τῆς γυναικὸς ὁμιλίαν οἰκονομήσασθαι
ς· τῦτο δ' ἐςὶ τὸ ποίαν τινὰ δεῖ ταύτην εἶναι παρα-
ίσαι. κτήσεως δὲ πρώτη ἐπιμέλεια ἡ κατὰ φύσιν·
φύσιν δὲ γεωργικὴ προτέρα, καὶ δεύτεραι ὅσαι ἀπὸ
ῆς, οἷον μεταλλευτικὴ καὶ εἴ τις ἄλλη τοιαύτη. ἡ
ωργικὴ μάλιςα ὅτι δικαία· ὐ γὰρ ἀπ' ἀνθρώπων, ὖθ'
ων, ὥσπερ καπηλεία καὶ αἱ μισθαρνικαί, ὖτ' ἀκόντων,
ο αἱ πολεμικαί. ἔτι δὲ καὶ τῶν κατὰ φύσιν· φύσει

γὰρ ἀπὸ τῆς μητρὸς ἡ τροφὴ πᾶσίν ἐστιν, ὥςε καὶ τοῖς ἀνθρώποις ἀπὸ τῆς γῆς. πρὸς δὲ τύτοις καὶ πρὸς ἀνδρίαν συμβάλλεται μεγάλα· οὐ γὰρ ὥσπερ αἱ βάναυσοι τὰ σώματα ἀχρεῖα ποιῦσιν, ἀλλὰ δυνάμενα θυραυλεῖν καὶ πονεῖν, ἔτι δὲ δυνάμενα κινδυνεύειν πρὸς τὺς πολεμίους· μόνων γὰρ τύτων τὰ κτήματα ἔξω τῶν ἐρυμάτων ἐςίν.

Τῶν δὲ περὶ τὺς ἀνθρώπους ἡ κατὰ γυναῖκα πρώτη 3
ἐπιμέλεια. κοινωνία γὰρ φύσει τῷ θήλει καὶ τῷ ἄρρενι μάλιστ' ἐστίν. ὑπόκειται γὰρ ἡμῖν ἐν ἄλλοις ὅτι πολλὰ τοιαῦτα ἡ φύσις ἐφίεται ἀπεργάζεσθαι ὥσπερ καὶ τῶν ζῴων ἕκαςον· ἀδύνατον δὲ τὸ θῆλυ ἄνευ τῦ ἄρρενος ἢ τὸ ἄρρεν ἄνευ τῦ θήλεος ἀποτελεῖν τῦτο, ὥς' ἐξ ἀνάγκης αὐτῶν ἡ κοινωνία συνέςηκεν. ἐν μὲν ὖν τοῖς ἄλλοις ζῴοις ἀλόγως τοῦτο ὑπάρχει, καὶ ἐφ' ὅσον μετέχυσι τῆς φύσεως, ἐπὶ τοσῦτον, καὶ τεκνοποιίας μόνον χάριν· ἐν δὲ τοῖς ἡμέροις καὶ φρονιμωτέροις διήρθρωται μᾶλλον· φαίνονται γὰρ μᾶλλον βοήθειαι γινόμεναι καὶ εὖνοιαι καὶ συνεργίαι ἀλλήλοις. ἐν ἀνθρώπῳ δὲ μάλιστα, ὅτι οὐ μόνον τοῦ εἶναι ἀλλὰ καὶ τῦ εὖ εἶναι συνεργὰ ἀλλήλοις τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐςίν. καὶ ἡ τῶν τέκνων κτῆσις ὐ λειτυργίας ἕνεκεν τῇ φύσει μόνον οὖσα τυγχάνει ἀλλὰ καὶ ὠφελείας· ἃ γὰρ ἂν δυνάμενοι εἰς ἀδυνάτυς πονήσωσι, πάλιν κομίζονται παρὰ δυναμένων ἀδυνατῦντες ἐν τῷ γήρᾳ. ἅμα δὲ καὶ ἡ φύσις ἀναπληροῖ ταύτῃ τῇ περιόδῳ τὸ ἀεὶ εἶναι, ἐπεὶ κατ' ἀριθμὸν οὐ δύναται, ἀλλά γε κατὰ τὸ εἶδος· ὕτω προῳκονόμηται ὑπὸ τῦ θείυ ἑκατέρυ ἡ φύσις, τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικός, πρὸς τὴν κοινωνίαν. διείληπται γὰρ τῷ μὴ ἐπὶ ταὐτὰ πάντα χρήσιμον ἔχειν τὴν δύναμιν, ἀλλ' ἔνια μὲν ἐπὶ τἀναντία, εἰς ταὐτὸ δὲ συντείνοντα· τὸ μὲν γὰρ ἰσχυρότερον τὸ δ' ἀσθενέστερον ἐποίησεν, ἵνα

Codices $QI^bM^bQ^bS^bT^bU^bW^bX^b$. Tit. οἰκονομικὸς α I^bT^b.
. οἰκονομία $Q^bS^bT^b$. ‖ ἔνια $Q^bS^bT^bW^b$. ‖ 5. διῄρηται Q^bS^b. ‖ 6. αὐλοί $QQ^bS^bT^bX^b$. ‖ 10. κτημάτων I^bW^b. ‖ 14. αυτη
ει W^b. ‖ 15. γενέσει om $QM^bQ^bS^bT^bX^b$. ‖ 18. κτίσις QT^bX^b. ‖ 20. ἔχει $QQ^bS^bT^bX^b$. ‖ 21. τ' om $QQ^bS^bT^bX^b$. ‖
αὐτας T^b, ταῦτα Q^b. ‖ 25. κατὰ φύσιν om Q^bS^b. ‖ 26. δευτέρα $M^bQ^bS^bT^b$. ‖ ὅσα $QQ^bT^bX^b$, δὲ ἴσα M^b. ‖ 27. εἴ] ἢ Q^b
. ‖ 28. ἀπανθρώπως $QQ^bS^bT^bX^b$. ‖ ὖθ' — 29. μισθαρνικαί om $QM^bQ^bS^bT^bX^b$. ‖ 30. δὲ] τε $I^bM^bQ^bS^bT^bW^bX^b$.
. δυνάμεθα Q^bS^b. ‖ 6. μόνον M^bW^b. ‖ 7. κατὰ] πρὸς pr I^b. ‖ 12. τῦ θήλεος ἄνευ M^b. ‖ ἡ] ἐν $M^bQ^bS^bT^bX^b$. ‖ 13.
ς $Q^bS^bT^bX^b$. ‖ 17. συνεργείαι $M^bQ^bS^bT^b$. ‖ 19. ἀλλὰ καὶ τῦ εὖ εἶναι om Q^b. ‖ 20. καὶ om S^bT^b. ‖ 21. τῆς φύσει Pari-
s 2025, τῆς φύσεως $Q^bS^bT^bX^b$. ‖ οὖσα τυγχάνει om $M^bQ^bS^bT^bX^b$. ‖ 22. ἂν om Q^bS^b. ‖ δυναμένοις $M^bQ^bS^bT^b$. ‖ ἀδυνάτως
23. περὶ X^b. ‖ 25. κατ'] κατὰ τὸν M^b. ‖ γε] καὶ $Q^bS^bT^bW^b$, om $I^bM^bX^b$. ‖ 26. προωκονόμειται T^bX^b. ‖ 28. τὸ M^bQ^b
X^b. ‖ ἔχον 2025. ‖ 29. συντείνονται $Q^bS^bT^b$.

τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δ' ἀμυντικώτερον διὰ τὴν ἀνδρίαν, καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζῃ τὰ ἔνδον· καὶ πρὸς τὴν ἐργασίαν τὸ μὲν δυνάμενον ἑδραῖον εἶναι πρὸς δὲ τὰς ἔξωθεν θυραυλίας ἀσθενές, τὸ δὲ πρὸς μὲν τὰς ἡσυχίας χεῖρον πρὸς δὲ τὰς κινήσεις ὑγιεινόν· καὶ περὶ τέκνων τὴν μὲν γένεσιν ἴδιον, τὴν δὲ ὠφέλειαν κοινήν· τῶν μὲν γὰρ τὸ θρέψαι, τῶν δὲ τὸ
4 παιδεῦσαί ἐςίν. πρῶτον μὲν ὖν νόμοι πρὸς γυναῖκα, καὶ τὸ μὴ ἀδικεῖν· οὕτως γὰρ ἂν οὐδ' αὐτὸς ἀδικοῖτο. τοῦθ' ὑφηγεῖται δὲ καὶ ὁ κοινὸς νόμος, καθάπερ οἱ Πυθαγόρειοι λέγυσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑςίας ἠγμένην, ὡς ἥκιςα δεῖν [δοκεῖν] ἀδικεῖν· ἀδικία δὲ ἀνδρὸς αἱ θύραζε συνυσίαι γινόμεναι. περὶ δὲ ὁμιλίας, μήθ' ὥστε δεῖσθαι μήθ' ὡς ἀπόντων ἀδυνατεῖν ἡσυχάζειν, ἀλλ' ὕτως ἐθίζειν ὥςε ἱκανῶς ἔχειν παρόντος καὶ μὴ παρόντος. εὖ δ' ἔχει καὶ τὸ τῦ Ἡσιόδου,

> παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς·

αἱ γὰρ ἀνομοιότητες τῶν ἠθῶν ἥκιστα φιλικόν. περὶ δὲ κοσμήσεως, ὥσπερ ὐδὲ τὰ ἤθη δεῖ ἀλαζονευομένυς ἀλλήλοις πλησιάζειν, ὕτως ὐδὲ τὰ σώματα· ἡ δὲ διὰ τῆς κοσμήσεως οὐδὲν διαφέρυσά ἐστι τῆς τῶν τραγῳδῶν ἐν τῇ σκευῇ πρὸς ἀλλήλυς ὁμιλία.

5 Τῶν δὲ κτημάτων πρῶτον μὲν καὶ ἀναγκαιότατον τὸ βέλτιςον καὶ ἡγεμονικώτατον· τῦτο δ' ἦν ἄνθρωπος. διὸ δεῖ πρῶτον δούλυς παρασκευάζεσθαι σπουδαίους. δούλων δὲ εἴδη δύο, ἐπίτροπος καὶ ἐργάτης. ἐπεὶ δὲ ὁρῶμεν ὅτι αἱ παιδεῖαι ποιύς τινας ποιοῦσι τοὺς νέυς, ἀναγκαῖον καὶ παρασκευασάμενον τρέφειν οἷς τὰ ἐλευθέρια τῶν ἔργων προςακτέον. ὁμιλία δὲ πρὸς δούλυς ὡς μήτε ὑβρίζειν ἐᾶν μήτε ἀνιέναι, καὶ τοῖς μὲν ἐλευθεριωτέροις τιμῆς μεταδιδόναι, τοῖς δ' ἐργάταις τροφῆς πλῆθος. καὶ ἐπειδὴ ἡ τῦ οἴνου πόσις καὶ τὺς ἐλευθέρυς ὑβριςὰς ποιεῖ, καὶ πολλὰ ἔθνη ἀπέχεται καὶ τῶν ἐλευθέρων, οἷον Καρχηδόνιοι ἐπὶ ςρατιᾶς, φανερὸν ὅτι τύτυ ἢ μηδὲν ἢ ὀλιγάκις μεταδοτέον. ὄντων δὲ τριῶν, ἔργυ καὶ κολάσεως καὶ τροφῆς, τὸ μὲν μήτε κολάζεσθαι μήτ' ἐργάζεσθαι, τροφὴν δ' ἔχειν, ὕβριν ἐμποιεῖ, τὸ δὲ ἔργα μὲν ἔχειν καὶ κολάσεις, τροφὴν δὲ μή, βίαιον, καὶ ἀδυναμίαν ποιεῖ. λείπεται δὴ ἔργα παρέχειν καὶ τροφὴν ἱκανήν· ἀμίσθων γὰρ ὐχ οἷόν τε ἄρχειν, δούλῳ δὲ μισθὸς τροφή. ὥσπερ δὲ καὶ τοῖς ἄλλοις ὅταν μὴ γίγνηται τοῖς βελτίοσι βέλτιον μηδὲ ἆθλα ᾖ ἀρετῆς καὶ κακίας, γίνονται χείρυς, ὕτω καὶ περὶ οἰκέτας. διόπερ δεῖ ποιεῖσθαι σκέψιν, καὶ διανέμειν τε καὶ ἀνιέναι κατ' ἀξίαν ἕκαστα, καὶ τροφὴν καὶ ἐσθῆτα καὶ ἀργίαν καὶ κολάσεις, λόγῳ καὶ ἔργῳ μιμυμένυς τὴν τῶν ἰατρῶν δύναμιν, ἐν φαρμάκυ λόγῳ, προσθεωρῦντας ὅτι ἡ τροφὴ ὐ φάρμακον διὰ τὸ συνεχές. γένη δ' ἂν εἴη δύλων τρία τὰ ἔργα βέλτιςα μήτε δειλὰ μήτ' ἀνδρεῖα ἄγαν. ἀμφότερα γὰρ ἀδικοῦσιν· καὶ γὰρ οἱ ἄγαν δειλοὶ ὐχ ὑπομένυσι καὶ οἱ θυμοειδεῖς οὐκ εὔαρχοι. χρὴ δὲ καὶ τέλος ὡρίσθαι πᾶσιν· δίκαιον γὰρ καὶ συμφέρον τὴν ἐλευθερίαν κεῖσθαι ἆθλον· βούλονται γὰρ πονεῖν, ὅταν ᾖ ἆθλον καὶ ὁ χρόνος ὡρισμένος. δεῖ δὲ καὶ ἐξομηρεύειν ταῖς τεκνοποιίαις, καὶ μὴ κτᾶσθαι ὁμοεθνεῖς πολλύς, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν, καὶ τὰς θυσίας καὶ τὰς ἀπολαύσεις μᾶλλον τῶν δύλων ἕνεκα ποιεῖσθαι ἢ τῶν ἐλευθέρων· πλείω γὰρ ἔχυσιν ὧν ἕνεκα τὰ τοιαῦτα ἐνομίσθη.

Εἴδη δὲ τῦ οἰκονόμου τέτταρα, ἃ δεῖ ἔχειν περὶ τὰ χρήματα. καὶ γὰρ τὸ κτᾶσθαι δυνατὸν χρὴ εἶναι καὶ φυλάττειν· εἰ δὲ μή, ὐδὲν ὄφελος τῦ κτᾶσθαι· τῷ γὰρ ἠθμῷ ἀντλεῖν τῦτ' ἐςί, καὶ ὁ λεγόμενος τετρημένος πίθος. ἔτι δὲ καὶ εἶναι κοσμητικὸν τῶν ὑπαρχόντων καὶ χρηστικόν· τύτων γὰρ ἕνεκα κἀκείνων δεόμεθα. διῃρῆσθαι δὲ δεῖ τῶν κτημάτων ἕκαςον, καὶ πλείω τὰ κάρπιμα εἶναι τῶν ἀκάρπων, καὶ τὰς ἐργασίας ὕτω νενεμῆσθαι ὅπως μὴ ἅμα κινδυνεύσωσιν ἅπασιν. πρὸς δὲ φυλακὴν τοῖς τε Περσικοῖς συμφέρει χρῆσθαι καὶ τοῖς Λακωνικοῖς. καὶ ἡ Ἀττικὴ δὲ οἰκονομία χρήσιμος· ἀποδιδόμενοι γὰρ ὠνῦνται. καὶ ἡ τῶν ταμιείων θέσις οὐκ ἔστιν ἐν ταῖς μικροτέραις οἰκονομίαις. Περσικὰ δὲ ἦν τὸ πάντα ἐπιτάττειν καὶ πάντ' ἐφορᾶν αὐτόν, καὶ ὃ ἔλεγε Δίων περὶ Διονυσίυ· ὐδεὶς γὰρ ἐπιμελεῖται ὁμοίως τῶν ἀλλοτρίων καὶ τῶν οἰκείων, ὥστε ὅσ

2. πορίζηται ἔξωθεν, τὸ δὲ σώζῃ τὰ I^b, πορίζηται ἔξωθεν, τὸ δὲ σώζηται W^b: plerique πορίζει τὰ et σώζει τά. ‖ 5. τὴν ἡσυχίαν M^b. ‖ χῶρον S^b. ‖ 6. κοινήν — 7. ἴδιον I^bW^b. ‖ 10. δὲ] δὲ ὁ $M^bS^bT^b$. ‖ 11. ἱκέτην $M^bS^bT^b$. ‖ 12. δοκεῖ S^bT^b. ‖ ἀδικεῖν om Parisiensis 2551. ‖ ἀδικίαι 2551. ‖ ξυνυσίαι γινόμεναι I^b, ξυνῦσαι γυναῖκες $M^bS^bT^b$ 2551. ‖ 13. post δεῖσθαι S^bT^b 2551 ἴσως παρόντος ‖ 14. ἀπόντος S^bT^b 2551. ‖ 15. τὸ om 2551. ‖ 17. διδάξῃ M^b. ‖ 19. ἀλαζονευομένως S^bT^b. ‖ 23. μὲν om M^b. ‖ 26. ἐργαςὴς S^bT^b. ‖ 29. προςάκτων M^bT^b, προσακτέον S^b. ‖ ὁμιλίαν T^b. ‖ 30. nonne μηδὲ? ‖ 33. ἀπέχουσι S^bT^b. ‖ οἷον οἱ καρχηδόνιοι M^b.

3. οἴονται S^bT^b. ‖ 5. ᾖ om $M^bS^bT^b$. ‖ 6. παρὰ S^bT^b. ‖ 8. ἄργειαν S^bT^b. ‖ 9. μιμυμένην S^bT^b. ‖ 10. προσθεωρῦνται S^bT^b. ‖ 11. δύλων om I^bM^b. ‖ 14. θυμώδεις S^bT^b. ‖ 20. ἢ] μὴ $M^bS^bT^b$. ‖ 22. παρὰ S^bT^b. ‖ 26. τῶν ὑπαρχόντων om $M^bS^bT^b$. ‖ 28. τῶν κτημάτων] τούτων $M^bS^bT^b$. ‖ 29. νενομεῖσθαι S^bT^b. ‖ 30. τε om S^bT^b. ‖ 33. σμικροτέραις I^b. ‖ 34. ἐπιτάττειν] τετάχθαι I^b. ‖ 35. παρὰ S^bT^b.

ἐνδέχεται, δι' αὐτῦ ποιεῖσθαι χρὴ τὴν ἐπιμέλειαν. καὶ τὸ τῦ Πέρσυ καὶ τὸ τοῦ Λίβυος ἀπόφθεγμα εὖ ἂν ἔχοι· ὁ μὲν γὰρ ἐρωτηθεὶς τί μάλιςα ἵππον πιαίνει, "ὁ τοῦ δεσπότυ ὀφθαλμὸς" ἔφη· ὁ δὲ Λίβυς ἐρωτηθεὶς ποία κόπρος ἀρίςη, "τὰ τοῦ δεσπότυ ἴχνη" ἔφη. ἐπισκεπτέον οὖν τὰ μὲν αὐτὸν τὰ δὲ τὴν γυναῖκα, ὡς ἑκατέροις διαιρεῖται τὰ ἔργα τῆς οἰκονομίας. καὶ τῦτο ποιητέον ἐν μικραῖς οἰκονομίαις ὀλιγάκις, ἐν δ' ἐπιτροπευομέναις πολλάκις. ὐ γὰρ οἷόν τε μὴ καλῶς ὑποδεικνύντος καλῶς μιμεῖσθαι, ὔτ' ἐν τοῖς ἄλλοις ὔτ' ἐν ἐπιτροπείᾳ· ὡς ἀδύνατον μὴ ἐπιμελῶν δεσποτῶν ἐπιμελεῖς εἶναι τοὺς ἐφεςῶτας. ἐπεὶ δὲ ταῦτα καὶ καλὰ πρὸς ἀρετὴν καὶ ὠφέλιμα πρὸς οἰκονομίαν, ἐγείρεσθαι χρὴ πρότερον δεσπότας οἰκετῶν καὶ καθεύδειν ὕςερον, καὶ μηδέποτε ἀφύλακτον οἰκίαν εἶναι ὥσπερ πόλιν, ὅσα τε δεῖ ποιεῖν, μήτε νυκτὸς μήτε ἡμέρας παριέναι. τό τε διανίςασθαι νύκτωρ· τῦτο γὰρ καὶ πρὸς ὑγίειαν καὶ οἰκονομίαν καὶ φιλοσοφίαν χρήσιμον. ἐν μὲν ὖν ταῖς μικραῖς κτήσεσιν ὁ Ἀττικὸς τρόπος τῆς διαθέσεως τῶν ἐπικαρπιῶν χρήσιμος· ἐν δὲ ταῖς μεγάλαις διαμερισθέντων καὶ τῶν πρὸς ἐνιαυτὸν καὶ τῶν κατὰ μῆνα δαπανωμένων, ὁμοίως δὲ καὶ περὶ σκευῶν χρήσεως τῶν καθ' ἡμέραν καὶ τῶν ὀλιγάκις, ταῦτα παραδοτέον τοῖς ἐφεςῶσιν. ἐπὶ τύτοις καὶ τὴν ἐπίσκεψιν αὐτῶν διά τινος χρόνυ ποιητέον, ἵνα μὴ λανθάνῃ τὸ σωζόμενον καὶ τὸ ἐλλεῖπον. οἰκίαν δὲ πρός τε τὰ κτήματα ἀποβλέποντα κατασκευαστέον καὶ πρὸς ὑγίειαν καὶ πρὸς εὐημερίαν αὐτῶν· λέγω δὲ κτήματα μέν, οἷον καρποῖς καὶ ἐσθῆτι ποία συμφέρει, καὶ τῶν καρπῶν ποία ξηροῖς καὶ ποία ὑγροῖς, καὶ τῶν ἄλλων κτημάτων ποία ἐμψύχοις καὶ ποία ἀψύχοις καὶ δούλοις καὶ ἐλευθέροις καὶ γυναιξὶ καὶ ἀνδράσι καὶ ξένοις καὶ ἀςοῖς. καὶ πρὸς εὐημερίαν δὲ καὶ πρὸς ὑγίειαν δεῖ εἶναι, εὔπνυν μὲν τῦ θέρυς, εὐήλιον δὲ τῦ χειμῶνος. εἴη δ' ἂν ἡ τοιαύτη κατάβορρος ὖσα καὶ μὴ ἰσοπλατής. δοκεῖ δὲ καὶ ἐν ταῖς μεγάλαις οἰκονομίαις χρήσιμος εἶναι θυρωρός, ὃς ἂν ᾖ ἄχρηςος τῶν ἄλλων ἔργων, πρὸς τὴν σωτηρίαν τῶν εἰσφερομένων καὶ ἐκφερομένων. πρὸς εὐχρηςίαν δὲ σκευῶν τὸ Λακωνικόν· χρὴ γὰρ ἓν ἕκαςον ἐν τῇ αὐτῦ χώρᾳ κεῖσθαι· ὕτω γὰρ ἂν ἕτοιμον ὂν ὐ ζητοῖτο.

Β.

Τὸν οἰκονομεῖν μέλλοντά τι κατὰ τρόπον δεῖ τῶν τε τόπων, περὶ ὓς πραγματεύεται, μὴ ἀπείρως ἔχειν καὶ τῇ φύσει εὐφυῆ εἶναι καὶ τῇ προαιρέσει φιλόπονόν τε καὶ δίκαιον· ὅ τι γὰρ ἂν ἀπῇ τύτων τῶν μερῶν, πολλὰ διαμαρτήσεται περὶ τὴν πραγματείαν ἣν μεταχειρίζεται. οἰκονομίαι δέ εἰσι τέσσαρες, ὡς ἐν τύπῳ διελέσθαι (τὰς γὰρ ἄλλας εἰς τῦτο ἐμπιπτύσας εὑρήσομεν), βασιλικὴ σατραπικὴ πολιτικὴ ἰδιωτική. τύτων δὲ μεγίςη μὲν καὶ ἁπλυςάτη ἡ βασιλική, ποικιλωτάτη δὲ καὶ ῥᾴςη ἡ πολιτική, ἐλαχίςη δὲ καὶ ποικιλωτάτη ἡ ἰδιωτική. ἐπικοινωνεῖν μὲν τὰ πολλὰ ἀλλήλαις ἀναγκαῖόν ἐςιν· ὅσα δὲ μάλιςα δι' αὐτῶν ἑκάστῃ συμβαίνει, ταῦτα ἐπισκεπτέον ἡμῖν ἐστίν. πρῶτον μὲν τοίνυν τὴν βασιλικὴν ἴδωμεν. ἔστι δὲ αὕτη δυναμένη μὲν τὸ καθόλου, εἴδη δὲ ἔχουσα τέτταρα, περὶ νόμισμα, περὶ τὰ ἐξαγώγιμα, περὶ τὰ εἰσαγώγιμα, περὶ τὰ ἀναλώματα. τύτων δὲ ἕκαςον μὲν περὶ τὸ νόμισμα λέγω ποῖον καὶ πότε τίμιον ἢ εὔωνον ποιητέον, περὶ δὲ τὰ ἐξαγώγιμα καὶ εἰσαγώγιμα, πότε καὶ τίνα παρὰ τῶν σατραπῶν ἐν τῇ ταγῇ ἐκλαβόντι αὐτῷ λυσιτελήσει διατίθεσθαι, περὶ δὲ τὰ ἀναλώματα, τίνα περιαιρετέον καὶ πότε, καὶ πότερον δοτέον νόμισμα εἰς τὰς δαπάνας ἢ ἃ τῷ νομίσματι ὤνια. δεύτερον δὲ τὴν σατραπικήν. ἔςι δὲ ταύτης εἴδη ἓξ τῶν προσόδων, ἀπὸ γῆς, ἀπὸ τῶν ἐν τῇ χώρᾳ ἰδίων γινομένων, ἀπὸ ἐμπόρων, ἀπὸ τελῶν, ἀπὸ βοσκημάτων, ἀπὸ τῶν ἄλλων. αὐτῶν δὲ τούτων πρώτη μὲν καὶ κρατίςη ἡ ἀπὸ τῆς γῆς (αὕτη δ' ἐςὶν ἣν οἱ μὲν ἐκφόριον οἱ δὲ δεκάτην προσαγορεύουσιν), δευτέρα ἡ ἀπὸ τῶν ἰδίων γινομένη, ῦ μὲν χρυσίον, ῦ δὲ ἀργύριον, οὗ δὲ χαλκός, οὗ δὲ ὁπόσα δύναται γίνεσθαι, τρίτη δὲ ἡ ἀπὸ

1. ἑαυτῦ I^b. ‖ 2. τοῦ alterum om I^b. ‖ ἂν ἔχοι] ἔχει $M^bS^bT^b$. ‖ 3. τί] τὰ S^bT^b. ‖ 8. ὐ] οὐ T^b. ‖ ἐπιτροπευομένας S^bT^b. ‖ 9. οἴονται $M^bS^bT^b$. ‖ 10. post ἄλλοις S^bT^b οἰκονομίαις. ‖ 14. ἄφυκτον S^bT^b. ‖ 15. ὅσα τε] ὅτε $M^bS^bT^b$. ‖ περιμέναι M^b, περιένας T^b. ‖ 17. φιλόσοφον I^bM^b. ‖ 25. ἀποβλέποντι S^b, ἀποβλέποντε T^b. ‖ 26. κτήμασι $M^bS^bT^b$. ‖ 27 et 28 et 29. ποῖα I^b, ποῖαι $M^bS^bT^b$. ‖ 33. κατάβορος M^b.

3. ζητοῖται S^b. ‖ 7. οἰκονομὴν U^b. ‖ 8. τρόπων Q. ‖ περὶ ὓς] ὓ W^b. ‖ πραγματεύονται U^b, ἂν πραγματεύηται W^b. ‖ 10. διαμαρτήσεως $S^bT^bX^b$. ‖ 11. παρὰ $Q^bS^bT^b$. ‖ 12. τέτταρες I^b, τίσσαραι $Q^bS^bT^b$. ‖ 15. δὲ om $QI^bM^bQ^bS^bT^bX^b$. ‖ 16. ἐπεὶ κοινωνεῖν $QQ^bS^bT^bX^b$. ‖ 17. ἀλλήλοις $QQ^bT^bX^b$. ‖ 18. ταύταις U^b. ‖ 20. μὲν om U^b. ‖ ἔχουσι $Q^bS^bT^b$. ‖ τέσσαρα $I^bU^bX^b$. ‖ 20 et 21. παρα $Q^bS^bT^bX^b$. ‖ 22. immo περὶ μέν. ‖ 24. εἰσαγώγιμα καὶ ἐξαγώγιμα QQ^b. ‖ περὶ $S^bT^bU^b$. ‖ 25. ἐκλαμβάνοντα S^bT^b. ‖ 26. παιρετέον S^bT^b. ‖ 27. πότερον] ποτὸν S^bT^b. ‖ ἢ ὅταν νομίσματος $S^bT^bU^b$. ‖ 28. ἔνια S^bT^b. ‖ 29. εἴδη] εἰς U^b. ‖ 32. τῆς om U^b. ‖ 34. χρυσία et U^b. ‖ 35. ἡ] καὶ ἡ $I^bS^bT^b$.

τῶν ἐμποριῶν, τετάρτη δὲ ἡ ἀπὸ τῶν κατὰ γῆν τε καὶ ἀγοραίων τελῶν γινομένη, πέμπτη δὲ ἡ ἀπὸ τῶν βοσκημάτων, ἐπικαρπία τε καὶ δεκάτη καλουμένη, ἕκτη δὲ ἡ ἀπὸ τῶν ἄλλων, ἐπικεφάλαιόν τε καὶ χειρωνάξιον προσαγορευομένη. τρίτον δὲ τὴν πολιτικήν· ταύτης δὲ κρατίστη μὲν πρόσοδος ἡ ἀπὸ τῶν ἰδίων ἐν τῇ χώρᾳ γινομένων, εἶτα ἡ ἀπὸ ἐμποριῶν καὶ διαγωγῶν, εἶτα ἡ ἀπὸ τῶν ἐγκυκλίων. τέταρτον δὲ καὶ τελευταῖον τὴν ἰδιωτικήν· αὕτη δ' ἐστὶν ἀνώμαλος μὲν διὰ τὸ δεῖν μὴ πρὸς ἕνα σκοπὸν οἰκονομεῖν, ἐλαχίστη δὲ διὰ τὸ καὶ τὰς προσόδους καὶ τὰ ἀναλώματα βραχέα γίνεσθαι. αὐτῆς δὲ ταύτης κρατίστη μὲν πρόσοδος ἡ ἀπὸ γῆς γινομένη, δευτέρα δὲ ἡ ἀπὸ τῶν ἄλλων ἐγκυκλημάτων, τρίτη δὲ ἡ ἀπὸ ἀργυρίου. χωρὶς δὲ τούτων ὃ πάσαις μὲν ἐποικονομεῖται ταῖς οἰκονομίαις, καὶ προσήκει σκοπεῖν αὐτὸ μὴ παρέργως, μάλιστα δὲ ταύτῃ, τὸ τἀναλώματα μὴ μείζω τῶν προσόδων γίνεσθαι.

Ἐπεὶ τοίνυν τὰς διαιρέσεις εἰρήκαμεν, μετὰ τοῦτο πάλιν νοητέον ἡμῖν, ἡ σατραπεία περὶ ἣν ἂν πραγματευώμεθα, ἢ πόλις, πότερον ἅπαντα ἃ ἄρτι διειλόμεθα ἢ τὰ μέγιστα τούτων δυνατὴ φέρειν ἐστί [τούτοις χρηστέον]· μετὰ δὲ τοῦτο ποῖαι τῶν προσόδων ἢ τὸ παράπαν οὐκ εἰσί, δύνανται δ' εἰσὶ γενέσθαι, ἢ μικραὶ νῦν οὖσαι μείζους οἷαί τινες κατασκευασθῆναι, ἢ τῶν ἀναλωμάτων τῶν νῦν ἀναλουμένων τίνα τε καὶ πόσα περιαιρεθέντα ὅλα μηθὲν βλάψει.

Τὰ μὲν οὖν περὶ τὰς οἰκονομίας τε καὶ τὰ μέρη τὰ τούτων εἰρήκαμεν· ὅσα δέ τινες τῶν πρότερον πεπράγασιν εἰς πόρον χρημάτων ἢ τεχνικῶς τι διῴκησαν, ἃ ὑπολαμβάνομεν ἀξιόλογα αὐτῶν εἶναι, συναγηόχαμεν. οὐδὲ γὰρ ταύτην τὴν ἱστορίαν ἀχρεῖον ὑπολαμβάνομεν εἶναι· ἔστι γὰρ τούτων ἅ τις ἐφαρμόσει τοῖς οἷα ἂν αὐτὸς πραγματεύηται.

Κύψελος ὁ Κορίνθιος εὐξάμενος τῷ Διί, ἐὰν κύριος γένηται τῆς πόλεως, τὰ ὄντα Κορινθίοις πάντα ἀναθήσειν, ἐκέλευσεν αὐτοὺς ἀπογράψασθαι, ἀπογραψαμένων δὲ τούτων τὸ δέκατον μέρος παρ' ἑκάστου ἔλαβε, τοῖς δὲ λοιποῖς ἐκέλευσεν ἐργάζεσθαι. περιελθόντος δὲ τοῦ ἐνιαυτοῦ τὸ αὐτὸ τοῦτο ἐποίησεν, ὥστε συνέβαινεν ἐν δέκα ἔτεσιν ἐκεῖνόν τε ἅπαντα ἔχειν ἅπερ ἀνιέρωσε, τούς τε Κορινθίους ἕτερα κεκτῆσθαι.

Λύγδαμις Νάξιος ἐκβαλὼν φυγάδας, ἐπειδὴ τὰ κτήματα αὐτῶν οὐθεὶς ἠθέλησεν ἀλλ' ἢ βραχέος ἀγοράζειν, αὐτοῖς τοῖς φυγάσιν ἀπέδοτο. τά τε ἀναθήματα, ὅσα ἦν αὐτῶν ἔν τισιν ἐργαστηρίοις ἡμίεργα ἀνακείμενα, ἐπώλει τοῖς τε φυγάσι καὶ τῶν ἄλλων τῷ βουλομένῳ ὥστ' ἐπιγραφῆναι τὸ τοῦ πριαμένου ὄνομα.

Βυζάντιοι δὲ δεηθέντες χρημάτων τὰ τεμένη τὰ δημόσια ἀπέδοντο, τὰ μὲν κάρπιμα χρόνον τινά, τὰ δ' ἄκαρπα ἀεννάως, τά τε θιασωτικὰ καὶ τὰ πατρωτικά, ὡσαύτως καὶ ὅσα ἐν χωρίοις ἰδιωτικοῖς ἦν· ὠνοῦντο γὰρ πολλοῦ ὧν ἦν καὶ τὸ ἄλλο κτῆμα. τοῖς δὲ θιασώταις ἕτερα χωρία τὰ δημόσια, ὅσα ἦν περὶ τὸ γυμνάσιον ἢ τὴν ἀγορὰν ἢ τὸν λιμένα. τούς τε τόπους τοὺς ἀγοραίους ἐν οἷς ἐπώλει τίς τι, καὶ τῆς θαλάττης τὴν ἁλιείαν, καὶ τὴν τῶν ἁλῶν ἁλατοπωλίαν, τῶν τ' ἐργαζομένων θαυματοποιῶν καὶ μάντεων καὶ φαρμακοπωλῶν καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων· τὸ τρίτον δὲ μέρος τοῦ ἐργαζομένου ἀποτελεῖν ἔταξαν. τῶν τε νομισμάτων τὴν καταλλαγὴν ἀπέδοντο μιᾷ τραπέζῃ· ἑτέρῳ δὲ οὐκ ἦν οὐθενὶ οὔτ' ἀποδόσθαι ἑτέρῳ οὔτε πρίασθαι παρ' ἑτέρου· εἰ δὲ μή, στέρησις ἦν. ὄντος δὲ νόμου αὐτοῖς μὴ εἶναι πολίτην ὃς ἂν μὴ ἐξ ἀστῶν ἀμφοτέρων ᾖ, χρημάτων δεηθέντες ἐψηφίσαντο τὸν ἐξ ἑνὸς ὄντα αὐτῷ καταβαλόντα μνᾶς τριάκοντα εἶναι πολίτην. ἐν σιτοδείᾳ δὲ γενόμενοι καὶ ἀποροῦντες χρημάτων κατήγαγον τὰ πλοῖα τὰ ἐκ τοῦ Πόντου· χρόνου δὲ γενομένου, τῶν ἐμπόρων ἐπιναυκτούντων ἐτέλουν αὐτοῖς τόκους ἐπιδεκάτους, τοῖς δὲ ὑπομένοις τι ἔταξαν χωρὶς τῆς τιμῆς διδόναι τὸ ἐπιδέκατον.

1. ἐμπορίων U^b. ‖ ἡ] καὶ ἡ $I^bS^bT^b$. ‖ 2. τῶν om $S^bT^bU^b$. ‖ 3. ἐπικαρπίας T^bU^b. ‖ τε om $S^bT^bU^b$. ‖ 4. ἐπὶ $S^bT^bU^b$. ‖ ἐπικεφαλαίων τε καὶ χειρῶν ἄξιον $S^bT^bU^b$. ‖ 7. ἡ add U^b. ‖ διαγωγῶν Boeckhius: codices δι' ἀγώνων. ‖ 13. ἐγκλημάτων I^bU^b, ἐγκλημάτων S^bT^b. ‖ 14. ἐπικοινωνεῖται $S^bT^bU^b$ et γρ I^b. ‖ 15. παρέργοις S^bT^b. ‖ 16. τὸ] τὰ S^bT^b. ‖ 17. τοῦτο] τοῦ S^bT^b. ‖ 19. ἡ I^bU^b. ‖ ἃ codicibus deest. ‖ 20. δυνατὴ] εἰ δυνατὴ I^b, διὰ U^b. ‖ τούτοις χρηστέον om U^b. ‖ 22. νῦν] μὲν $I^bS^bT^b$. ‖ οἷαν U^b. ‖ τινες] an τι? ‖ 23. τῶν νῦν ἀναλουμένων om $S^bT^bU^b$. ‖ 24. βλάψῃ U^b. ‖ 25. παρὰ S^bT^b. ‖ τὰ post μέρη om I^b. ‖ 26. προτέρων corr T^b. ‖ 27 et 29. ὑπελαμβάνομεν I^b. ‖ 28. συναγιόχαμεν S^bT^b, συναγιώχαμεν U^b. ‖ 30. τούτων ἅ τις] ὅτε τούτων $I^bS^bT^bU^b$. ‖ οἷα om S^bT^b. ‖ πραγματεύῃ $I^bT^bU^b$. ‖ 32. κύψελλος I^b.

1. ἀπογράψασθαι om $S^bT^bU^b$. ‖ 2. ἑκατέρου S^bT^b. ‖ 3. ἐκέλευεν $S^bT^bU^b$. ‖ 4. κεῖνόν $I^bT^bU^b$. ‖ 5. ἂν ἱέρωσε U^b. ‖ ἐκτῆσθαι U^b, κτῆσαι T^b, κτίσαι S^b. ‖ 8. βραχέως U^b. ‖ 12. πριάμου $S^bT^bU^b$. ‖ 14. χρόνον] χρώμενα χρόνον $S^bT^bU^b$. ‖ 16. ὠνοῦνται S^bT^b. ‖ 20. ἀλείαν I^b. ‖ 21. ἄλλων S^b. ‖ ἀλανοπωλίαν U^b, ἀλανοπωλείαν S^bT^b. ‖ 22. τούτων τρόπων $S^bT^bU^b$. ‖ 27. ἀστῶν] αὐτῶν codices. ‖ 28. ᾖ om U^b. ‖ αὐτῶν S^bT^b. ‖ 29. καταβαλλόντα U^b. ‖ σιτοδοτίᾳ T^bU^b. ‖ 30. δὲ] τε U^b. ‖ 32. ἐπιδεκάτους — 33. τὸ om U^b. ‖ 33. τε T^b. ‖ τῆς om S^bT^b.

ων δέ τινων ἐπιδεδανεικότων ἐπὶ κτήμασιν, ὐκ ὔσης ἐκτίσεως ἐψηφίσαντο τὸ τρίτον μέρος εἰσφέροντα τῦ τὸν βυλόμενον κυρίως ἔχειν τὸ κτῆμα.

Ιππίας ὁ Ἀθηναῖος τὰ ὑπερέχοντα τῶν ὑπερῴων εἰς ημοσίας ὁδὺς καὶ τὺς ἀναβαθμὺς καὶ τὰ προφράγ- καὶ τὰς θύρας τὰς ἀνοιγομένας ἔξω ἐπώλησεν· ο ὖν ὧν τὰ κτήματα, καὶ συνελέγη χρήματα ὕτως . τό τε νόμισμα τὸ ὂν Ἀθηναίοις ἀδόκιμον ἐποίησε, δὲ τιμὴν ἐκέλευσε πρὸς αὐτὸν ἀνακομίζειν· συνελ- δὲ ἐπὶ τῷ κόψαι ἕτερον χαρακτῆρα, ἐξέδωκε τὸ ἀργύριον. ὅσοι τε τριηραρχεῖν ἢ φυλαρχεῖν ἢ χορη- τινα εἰς ἑτέραν τοιαύτην λειτυργίαν ἤμελλον δαπα- ίμημα τάξας μέτριον ἐκέλευσε τὸν βυλόμενον ἀποτί- τῦτο ἐγγράφεσθαι εἰς τοὺς λελειτυργηκότας. τῇ τε τῇ τῆς Ἀθηνᾶς τῆς ἐν ἀκροπόλει ὑπὲρ τῦ ἀποθανόν- ρειν χοίνικα κριθῶν καὶ πυρῶν ἑτέραν καὶ ὀβολόν, καὶ ν παιδάριον γένηται, τὸ αὐτὸ τῦτο.

Ἀθηναῖοι δὲ οἱ ἐν Ποτιδαίᾳ οἰκοῦντες δεόμενοι χρη- εἰς τὸν πόλεμον ἀπογράψασθαι ἅπασι συνέταξαν τίας, μὴ ἀθρόας εἰς τὸν αὐτῦ δῆμον ἕκαστον, ἀλλὰ κτῆμα ἐν ᾧ τόπῳ ἕκαςον εἴη, ἵνα οἱ πένητες δύνων- ποτιμᾶσθαι· ὅτῳ δὲ μὴ ἦν κτῆμα μηθέν, τὸ σῶμα ὸν τιμήσασθαι. ἀπὸ τύτων ὖν εἰσέφερον τὸ ἐπιγρα- καςος σῶον τῇ πόλει.

Ἀντισσαῖος δέ, δεηθείσης τῆς πόλεως χρημάτων, εἰθι- ν αὐτῶν λαμπρῶς ἄγειν Διονύσια, ἐν οἷς ἄλλα τε ἀνήλισκον ἐξ ἐνιαυτῦ παρασκευάζοντες καὶ ἱερεῖα λῆ· ὑπογύου δὲ οὔσης ταύτης τῆς ἑορτῆς ἔπεισεν τῷ μὲν Διονύσῳ εὔξασθαι ἐς νέωτα ἀποδώσειν δι- α, ταῦτα δὲ συναγαγόντας ἀποδόσθαι. συνελέγη ὖν χρήματα ὐκ ὀλίγα πρὸς τὴν χρείαν.

Λαμψακηνοὶ δὲ προσδοκίμων οὐσῶν τριήρων πολλῶν ὐτούς, ὄντος μεδίμνου τῶν ἀλφίτων τετραδράχμου, αξαν τοῖς ἀγοραίοις πωλεῖν ἑξαδράχμου, καὶ τοῦ τὸν χοᾶ ὄντα δραχμῶν τεττάρων καὶ τριωβόλυ, τῦ υ καὶ τῶν ἄλλων ὡσαύτως. τὴν μὲν οὖν ἀρχαίαν τιμὴν ἐλάμβανεν ὁ ἰδιώτης, τὸ δὲ πλέον ἡ πόλις, καὶ εὐπόρησε χρημάτων.

Ἡρακλεῶται πέμποντες ναῦς τεσσαράκοντα ἐπὶ τοὺς ἐν Βοσπόρῳ τυράννους, οὐκ εὐπορούμενοι χρημάτων παρὰ τῶν ἐμπόρων συνηγόρασαν τόν τε σῖτον πάντα καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον καὶ τὴν ἄλλην ἀγοράν. χρόνου δὲ ἱσταμένου ἐν ᾧ ἔμελλον ἀποδώσειν τὴν τιμήν, τοῖς τε δὴ ἐμπόροις καλῶς εἶχε μὴ κοτυλίζειν ἀλλ᾽ ἀθρόα τὰ φορτία πεπρᾶσθαι, ἐκεῖνοί τε διδόντες δι᾽ ἄλλην οὐ μισθὸν παρῆγον ἀλλὰ τὴν ἀγορὰν ἐν ὁλκάσι, καὶ ἄνδρα ταμίαν ἐπέςησαν ἐφ᾽ ἑκάςῃ τῶν νεῶν. ἀφικομένων δ᾽ εἰς τὴν πολεμίαν αὐτῶν ἠγόραζον οἱ ςρατιῶται παρὰ τούτων ἅπαντα. πρότερον συνελέγη ἢ ἀργύριον ἐδίδοσαν οἱ ςρατηγοὶ πάλιν τὸν μισθόν, ὥστε συνέβαινε ταὐτὸ τὸ ἀργύριον δίδοσθαι ἕως εἰς οἶκον ἀπῆλθον.

Λακεδαιμόνιοι Σαμίων δεηθέντων χρήματ᾽ αὐτοῖς εἰς τὴν κάθοδον δοῦναι, ἐψηφίσαντο μίαν ἡμέραν καὶ αὐτοὺς καὶ τὺς οἰκέτας καὶ τὰ ὑποζύγια νηςεῦσαι, ὅσον δὲ ἐδαπάνα ἕκαςος, τοσῦτον δοῦναι τοῖς Σαμίοις.

Χαλκηδόνιοι δὲ ξένων ἐν τῇ πόλει συχνῶν παρ᾽ αὐτοῖς γινομένων, ὀφείλοντες αὐτοῖς μισθὸν οὐκ ἠδύναντο διαλῦσαι. ἀνήγγειλαν ὖν, εἴ τις τῶν πολιτῶν ἢ μετοίκων σῦλον ἔχει κατὰ πόλεως ἢ ἰδιώτου ἢ βούλεται λαβεῖν, ἀπογράψασθαι. ἀπογραψαμένων δὲ συχνῶν, τὰ πλοῖα τὰ πλέοντα εἰς τὸν Πόντον ἐσύλων μετὰ προφάσεως εὐλόγου. ἔταξαν δὲ χρόνον ἐν ᾧ λόγον ὑπὲρ αὐτῶν ἔφασαν ποιήσασθαι. συλλεγέντων δὲ χρημάτων συχνῶν τοὺς μὲν στρατιώτας ἀπήλλαξαν, ὑπὲρ δὲ τῶν σύλων διεδικάσαντο. τοῖς δὲ μὴ δικαίως συληθεῖσιν ἡ πόλις ἀπὸ τῶν προσόδων ἀπεδίδου.

Κυζικηνοὶ δὲ ςασιάσαντες πρὸς ἀλλήλυς, ἐπικρατήσαντος τῦ δήμυ, τῶν δὲ πλυσίων συνειλημμένων, ὀφείλοντες χρήματα ςρατιώταις ἐψηφίσαντο μὴ θανατῶσαι τοὺς συνειλημμένυς, ἀλλὰ χρήματα πραξαμένυς φυγαδεῦσαι.

Χῖοι δέ, νόμου ὄντος αὐτοῖς ἀπογράφεσθαι τὰ χρέα εἰς τὸ δημόσιον, δεηθέντες χρημάτων ἐψηφίσαντο τὺς μὲν

ἐκτήσεως U^b. ‖ εἰσφέρειν τὰ τῦ U^b. ‖ 3. τὸν om S^bT^b. ‖ 7. ὖν om S^b. ‖ 9. τάξαι U^b. ‖ 10. τὸ $S^bT^bU^b$. ‖ σκόψαι T^b. ‖ τὸ om U^b. ‖ 12. εἴ I^bU^b. ‖ τινες, omissa εἰς, U^b. ‖ λειτυργίαν τοιαύτην I^b. ‖ 14. τοὺς λειτυρπικὺς U^b, τὸ λειτυργικῶς S^bT^b. ‖ καὶ U^b. ‖ 20. εἰς — ἀλλὰ om $S^bT^bU^b$. ‖ 21. κατὰ om U^b. ‖ ᾧ τόπῳ] τόπῳ οὗ S^bT^b, τόπω U^b. ‖ εἴη] γὴ S^bT^b. ‖ 23. ν U^b. ‖ 24. ἑκάςυ T^bU^b. ‖ σῶμα ἡ πόλις $S^bT^bU^b$. ‖ δέ om $S^bT^bU^b$. ‖ 25. ἠθισμένων δὲ αὐτῶν $S^bT^bU^b$. ‖ 28. ὑπὸ ἐγγύυ ‖ εἶπεν U^b. ‖ 30. ἀποδίδοσθαι $S^bT^bU^b$. ‖ συνάγη S^bT^b, συνάγει U^b. ‖ 34. ἐξάδραγμον T^bU^b. ‖ 35. χόαν et τριωβόλω I^b.
τετταράκοντα I^b. ‖ 6. χρόνου διισταμένου et 7. τε] δὲ $I^bS^bT^bU^b$. ‖ 9. ἄλλων I^b. ‖ παρῆσον U^b. ‖ 10. ἐν ὀλίσασιν U^b, ἐνολί- S^bT^b, omisso omnes καί. ‖ 11. ἑκάςην U^b, ἑκάτων S^bT^b. ‖ 13. συλλέγει $S^bT^bU^b$, συ λλεγο I^b. ‖ 14. ὡς U^b. ‖ 16. $I^bS^bT^bU^b$. ‖ χρήματά τ᾽ S^bT^b. ‖ 17. καὶ αὐτοὺς] ἑαυτοὺς U^b. ‖ 19. εἰς τῦτον $S^bT^bU^b$. ‖ λακεδαιμονίοις U^b. ‖ 20. καλχη- T^b, καρχηδόνιοι I^b. ‖ 26. ἔταξε $S^bT^bU^b$. ‖ 27. συλλεγόντων T^b. ‖ 29. συλληφθεῖσιν U^b. ‖ 35. χρέη εἰς τὸν U^b. ‖ 36. ἐψήφισαν ὀφείλοντας μὲν I^b.

ὀφείλοντας ἀποδοῦναι τῇ πόλει τὰ δάνεια, τὴν δὲ πόλιν ἐκ τῶν προσόδων τοὺς τόκους τοῖς δεδανεικόσι καταφέρειν, ἕως ἂν κατὰ τὸ ἀρχαῖον εὐπορήσωσιν.

Μαύσωλος ὁ Καρίας τύραννος, πέμποντος βασιλέως πρὸς αὐτὸν ἐπὶ τῷ τοὺς φόρους δοῦναι, συναγαγὼν τοὺς εὐπορωτάτους ἐν τῇ χώρᾳ ἔλεγεν ὅτι βασιλεὺς αἰτεῖ τοὺς φόρους, αὐτὸς δὲ οὐκ εὐπορεῖται· κατασκευαστοὶ δ' ἄνδρες αὐτῷ εὐθέως ἐπηγγέλλοντο ὅσον εἰσοίσει ἕκαστος. τούτων δὲ τοῦτο πραξάντων, οἱ εὐπορώτεροι τὰ μὲν αἰσχυνόμενοι τὰ δὲ φοβούμενοι πολλῷ τούτων πλείω ἐπηγγέλλοντο καὶ εἰσέφερον. πάλιν δεηθεὶς χρημάτων, ἐξεκκλησιάσας τοῖς Μυλασσεῦσιν ἔλεγεν ὅτι μητρόπολις οὖσα ἡ πόλις αὐτοῦ αὕτη ἀτείχιστός ἐστιν, ὁ δὲ βασιλεὺς ἐπ' αὐτὸν στρατεύει· ἐκέλευσεν οὖν τοὺς Μυλασσεῖς φέρειν ἕκαστον ὅτι πλεῖστα χρήματα, φάσκων αὐτοὺς τοῖς νῦν εἰσενεχθεῖσι καὶ τὰ λοιπὰ σώζειν. εἰσενεχθέντων δὲ πολλῶν τὰ μὲν χρήματα εἶχε, τὸ δὲ τεῖχος οὐκ ἔφη τὸν θεὸν ἐν τῷ παρόντι οἰκοδομεῖν.

Κόνδαλος Μαυσώλου ὕπαρχος, ὁπότε διαπορευομένῳ αὐτῷ διὰ τῆς χώρας προσενέγκοι τις πρόβατον ἢ ὗν ἢ μόσχον, ἀπογραψάμενος τὸν δόντα καὶ τὸν χρόνον, ἀπαγαγόντα εἰς οἶκον ἐκέλευσε τρέφειν ἕως ἂν ἐπανέλθοι· ὁπότε δὲ δοκοίη χρόνος ἱκανὸς εἶναι, αὐτό τε τὸ τραφὲν καὶ τὴν ἐπικαρπίαν λογισάμενος ἀπῄτει. τῶν τε δένδρων τὰ ὑπερέχοντα ἢ πίπτοντα εἰς τὰς ὁδοὺς τὰς βασιλικὰς ἐπώλει τὰς ἐπικαρπίας. τῶν δὲ στρατιωτῶν εἴ τις τελευτήσειε, διαπύλιον ἐπώλει δραχμὴν τοῦ σώματος· ἅμα τε οὖν ἐντεῦθεν καὶ ἀργύριον ἐλάμβανεν, ἅμα τε οἱ ἡγεμόνες οὐ παρεκρούοντο αὐτόν, πότε τετελεύτηκεν ὁ στρατιώτης. τούς τε Λυκίους ὁρῶν ἀγαπῶντας τὸ τρίχωμα φορεῖν ἔφη γράμματα ἥκειν παρὰ βασιλέως κόμας ἀποστεῖλαι εἰς προκόμια, προστετάχθαι οὖν αὐτῷ ὑπὸ Μαυσώλου ἀποκεῖραι αὐτούς. ἔφησεν οὖν, εἰ βούλονται ἐπικεφάλαιον τακτὸν αὐτῷ δοῦναι, μεταπέμψεσθαι ἐκ τῆς Ἑλλάδος κόμην. οἱ δὲ ἀσμένως ἔδοσαν ὃ ᾔτει, καὶ συνελέχθη χρήματα πολλὰ ἀπὸ ὄχλου πολλοῦ.

Ἀριστοτέλης Ῥόδιος ἄρχων Φωκαίας, ἀπορῶν χρημάτων, ὁρῶν στάσεις οὔσας δύο τῶν Φωκαέων λόγους ἐποιήσατο

πρὸς τὴν ἑτέραν στάσιν ἐν ἀπορρήτοις, φάσκων α
ναι χρήματα τοὺς ἑτέρους ἐφ' ᾧ αὐτοῖς τὰ π
ἐγκλῖναι, αὐτὸς δὲ μᾶλλον βούλεσθαι παρὰ τού
καὶ τὰ περὶ τὴν πόλιν τούτοις διοικεῖν παραδοῦνα
σαντες δὲ ταῦτα εὐθέως τὰ χρήματα οἱ παρό
σαντες ὅσα ἐκέλευσεν ἔδωκαν. ὁ δὲ τοῖς ἑτέρ
ἔδειξεν ἃ εἰληφὼς εἴη παρὰ τῶν ἑτέρων· οἱ δὲ
ἔφασαν οὐκ ἐλάττω δώσειν. λαβὼν δὲ παρ' ἀ
κατήλλαξεν αὐτοὺς πρὸς ἀλλήλους. τοῖς τε πολί
δὼν οὔσας δίκας πολλὰς καὶ μεγάλας ἐκ πολ
ἀδικίας, τούτοις διὰ πολέμου δικαστήριον καθίσας
ὅσοι ἂν μὴ δικάσωνται, νόμον δ' ἔθηκε μηκέτι ε
τῶν προτέρων ἐγκλημάτων κρίσεις. τότε δὴ τ
πολλῶν δικῶν, καὶ τὰς ἐγκλήτους μετ' ἐπιτιμίων
ποιούμενος, καὶ παρ' ἑκατέρων δι' ἑτέρων ἀργύριον
νων, συνήγαγεν οὐκ ὀλίγα χρήματα.

Κλαζομένιοι δ' ἐν σιτοδείᾳ ὄντες χρημάτων
ροῦντες ἐψηφίσαντο, παρ' οἷς ἔλαιόν ἐστι τῶν ἰδιω
νεῖσαι τῇ πόλει ἐπὶ τόκῳ· γίνεται δὲ πολὺς οὗτος
ἐν τῇ χώρᾳ αὐτῶν. δανεισάντων δὲ μισθωσάμεν
ἀπέστειλαν εἰς τὰ ἐμπορεῖα, ὅθεν αὐτοῖς ἧκε σῖτο
κης γενομένης τῆς τοῦ ἐλαίου τιμῆς. ὀφείλοντες στρ
μισθὸν εἴκοσι τάλαντα, καὶ οὐ δυνάμενοι, τόκον ἔφ
ἡγεμόσι τέτταρα τάλαντα τοῦ ἐνιαυτοῦ. ἐπεὶ δὲ
ἀρχαίου ἀπέκοπτον οὐθέν, ἀεὶ δὲ μάτην ἐδαπάνων, τ
ἔκοψαν σιδηροῦν εἰς ἀργυρίου λόγον εἴκοσι ταλάντω
διδόντες τοῖς εὐπορωτάτοις ἐν τῇ πόλει κατὰ λόγον
ἀργύριον παρ' ἐκείνων ἔλαβον ἴσον. οἵ τε οὖν ἰδιῶτα
εἰς τὰς καθ' ἡμέραν χρείας ἀναλίσκειν, καὶ ἡ πό
χρέους ἀπηλλάγη. δεύτερον δ' ἐκ τῶν προσόδων ο
τόν τε τόκον κατέφερον, αἰεί τε διαιροῦντες ἑκάστῳ
μέρος διεδίδοσαν, τοὺς δὲ σιδηροῦς ἐκομίζοντο.

Σηλυβριανοὶ δὲ δεηθέντες χρημάτων, νόμου ὄντος
σῖτον μὴ ἐξάγειν ἐν λιμῷ γενομένοις, ἐκείνοις δὲ ὑπάρ
σίτου παλαιοῦ, ἐψηφίσαντο τῇ πόλει παραδοῦναι τοὺς ἰδ
τὸν σῖτον τῆς τεταγμένης τιμῆς, ὑπολειπόμενον ἕκ

5. φόρους om S^bT^b. ‖ 6. ὅτι] ὅτι ὁ $I^bS^bU^b$. ‖ 10. πλείω om $I^bS^bT^bU^b$. ‖ 12. οὖσα om U^b. ‖ 14. μυλασεῖς U^b. ‖ 19 et 20. ἀγόντα $S^bT^bU^b$. ‖ 21. ἐπανέλθῃ S^bT^b. ‖ 22. δὲ om U^b. ‖ γραφὲν T^b. ‖ 23. τε om I^b. ‖ 26. δραχμῶν S^bT^b. ‖ ὥλ
T^bU^b. ‖ 28. οὐ om T^bU^b. ‖ 29. τείχωμα φέρειν S^bT^b. ‖ ἔφησε $I^bS^bT^b$. ‖ 30. περὶ S^bT^b. ‖ προσκόμια I^b, προκόσμια U^b. ‖ τ
τάχθαι U^b. ‖ 31. αὐτοῦ S^bT^b. ‖ 32. μεταπέμψασθαι codices. ‖ 36. φωκαίων S^bT^b, φωκέων I^bU^b.

3. αὐτοῖς U^b. ‖ βουλεύεσθαι T^bU^b. ‖ 4. παρὰ S^bT^b. ‖ 5. πορίσαντες om U^b. ‖ 6. ἑταίροις U^b. ‖ 7. ἃ] ἀεὶ T^b. ‖ τοὶ
9. οὐκ ἰδὼν $S^bT^bU^b$. ‖ 11. ἀδικίαν S^bT^b. ‖ 12. δικάσωνται καὶ χρόνων προέθηκε μηκέτι ἔσεσθαι $S^bT^bU^b$. ‖ 13. δὲ I^b. ‖ παραβόλ
παραβόλου S^bT^b. ‖ 16. συνήγαγον $S^bT^bU^b$. ‖ 21. ἐμπόρια I^b. ‖ 22. στρατιῶται I^b. ‖ 31. τε alterum om $I^bS^bT^bU^b$. ‖ 33. σ
βριανοὶ T^b. ‖ δὲ om U^b. ‖ 34. σίτου μὴ ἐξαγωγὴν S^b, σίτου μὲν ἐξαγωγὴν T^b, σῖτον μὴ ἐξαγωγὴν U^b. ‖ γενομένης $S^bT^bU^b$.

τροφήν· εἶτα ἐξαγωγὴν ἔδωκαν τῷ βουλομένῳ, τιμὴν ἣν ἐδόκει καλῶς ἔχειν αὐτοῖς.

υδηνοὶ δέ, διὰ ςασιασμὸν τῆς χώρας ἀργῦ γενο- ιὶ τῶν μετοίκων οὐ προϊεμένων αὐτοῖς οὐδὲν διὰ τι ὀφείλειν, ἐψηφίσαντο τὸν βυλόμενον τοῖς γεωρ- ιίζειν, ὡς ἐργάσωνται, ὡς πρώτοις αὐτοῖς ἐσομέ- κομιδῆς ἐκ τοῦ καρποῦ, τοῖς δὲ ἄλλοις ἐκ τῶν ων.

έσιοι δεηθέντες χρημάτων νόμον ἔθεντο μὴ φορεῖν τὰς γυναῖκας, ὅσον δὲ νῦν ἔχουσι, δανεῖσαι τῇ ῶν τε κιόνων τῶν ἐν τῷ νεῷ τάξαντες ἀργύριον ὃ βαλεῖν, εἴων ἐπιγράφεσθαι τὸ ὄνομα τῦ δόντος τὸ ὡς ἀνατεθεικότος.

ύσιος Συρακούσιος βυλόμενος χρήματα συναγα- λησίαν ποιήσας ἔφησεν ἑωρακέναι τὴν Δήμητραν, ύειν τὸν τῶν γυναικῶν κόσμον εἰς τὸ ἱερὸν ἀποκο- ιὐτὸς μὲν ὖν τῶν παρ' αὐτῷ γυναικῶν τὸν κόσμον οιηκέναι, ἠξίυ δὲ καὶ τοὺς ἄλλυς, μή τι μήνιμα ; θεῦ γένηται. τὸν δὲ μὴ τοῦτο ποιήσαντα ἔνοχον ροσυλίας ἔσεσθαι. ἀνενεγκάντων δὲ πάντων ἃ εἶχον ὴν θεὸν καὶ δι' ἐκεῖνον, θύσας τῇ θεῷ τὸν κόσμον ιτο ὡς παρὰ τῆς θεῦ δεδανεισμένος. προελθόντος δὲ ὶ τῶν γυναικῶν πάλιν φορυσῶν, ἐκέλευσε τὴν βυ- χρυσοφορεῖν τάγμα τι ἀνατιθέναι εἰς τὸ ἱερόν. τριή- ιυπηγεῖσθαι μέλλων ᾔδει ὅτι δεήσοιτο χρημάτων. ι ὖν συναγαγὼν ἔφη πόλιν αὐτῷ τινὰ προδίδοσθαι, τθαι χρημάτων, ἠξίυ τε αὐτῷ τὺς πολίτας εἰσενέγ- ιατῆρας ἕκαςον· οἱ δ' εἰσήνεγκαν. διαλιπὼν δὲ δύο μέρας, ὡς διημαρτηκὼς τῆς πράξεως, ἐπαινέσας πέδωκεν ἑκάςῳ ὃ εἰσήνεγκαν. ποιήσας δὲ τοῦτο το τὺς πολίτας. εἶτα πάλιν οἰόμενοι ἀπολήψεσθαι ν· ὁ δὲ λαβὼν εἶχεν εἰς τὴν ναυπηγίαν. οὐκ ὲ ἀργυρίυ νόμισμα ἔκοψε καττιτέρυ, καὶ συναγα- ησίαν πολλὰ τοῦ κεκομμένυ νομίσματος ὑπερεῖ- ὲ ἐψηφίσαντο καὶ μὴ βουλόμενοι ἕκαστος ὃ ἂν ειν ὡς ἀργυρῦν ἀλλὰ μὴ καττιτέρινον. πάλιν τε δεηθεὶς χρημάτων ἠξίου τὺς πολίτας εἰσενεγκεῖν αὐτῷ· οἱ δ' οὐκ ἔφασαν ἔχειν. ἐξενέγκας οὖν τὰ σκεύη τὰ παρ' αὐτῦ ἐπώλει ὡς δὴ δι' ἀπορίαν τῦτο ποιῶν, ἀγοραζόντων δὲ Συρακουσίων ἀπεγράφετο τί ἕκαστος ἀγοράσειεν· ἐπεὶ δὲ τὴν τιμὴν κατέβαλον, ἐκέλευσε τὸ σκεῦος ἀναφέρειν ἕκαστον ὃ ἠγόρασεν. τῶν τε πολιτῶν διὰ τὰς εἰσφορὰς οὐ τρεφόντων βοσκήματα εἶπεν ὅτι ἱκανὰ ἦν αὐτῷ πρὸς τοσῦτον· τὺς ὖν νῦν τι κτησαμένυς ἀτελεῖς ἔσεσθαι. πολλῶν δὲ ταχὺ κτησαμένων πολλὰ βοσκήματα ὡς ἀτελῆ ἑξόντων, ἐπεὶ καιρὸν ᾤετο εἶναι, τιμήσασθαι κελεύσας ἐπέβαλε τέλος. οἱ οὖν πολῖται ἀγανακτήσαντες ἐπὶ τῷ ἐξηπατῆσθαι σφάζοντες ἐπώλυν. ὡς δὲ πρὸς τῦτο ἔταξε σφάζεσθαι ὅσα δεῖ τῆς ἡμέρας, οἱ δὲ πάλιν ἱερόθυτα ἐποίουν· ὁ δὲ ἀπεῖπε θῆλυ μὴ θύειν. πάλιν τε δεηθεὶς χρημάτων ἐκέλευσεν ἀπογράψασθαι χρήματα πρὸς αὐτὸν ὅσοι οἶκοί εἰσιν ὀρφανικοί· ἀπογραψαμένων δὲ ἄλλων, τὰ τούτων χρήματα ἀπεχρᾶτο, ἕως ἕκαστος εἰς ἡλικίαν ἔλθοι. Ῥήγιόν τε καταλαβών, ἐκκλησίαν συναγαγὼν εἶπε διότι δικαίως μὲν ἂν ἐξανδραποδισθεῖεν ὑπ' αὐτῦ, νῦν μέντοι τὰ εἰς τὸν πόλεμον ἀνηλωμένα χρήματα κομισάμενος καὶ ὑπὲρ ἑκάστου σώματος τρεῖς μνᾶς ἀφήσειν αὐτύς. οἱ δὲ Ῥηγῖνοι, ὅσα ποτ' ἦν αὐτοῖς ἀποκεκρυμμένα, ἐμφανῆ ἐποίουν, καὶ οἱ ἄποροι παρὰ τῶν εὐπορωτέρων καὶ παρὰ τῶν ξένων δανειζόμενοι ἐπόρισαν ἃ ἐκέλευε χρήματα. λαβὼν δὲ ταῦτα παρ' αὐτῶν τά τε σώματα πάντα ὐδὲν ἧττον ἀπέδοτο, τά τε σκεύη ἃ τότε ἦν ἀποκεκρυμμένα ἐμφανῆ ἅπαντα ἔλαβεν. δανεισάμενός τε παρὰ τῶν πολιτῶν χρήματα ἐπ' ἀποδόσει, ὡς ἀπῄτουν αὐτόν, ἐκέλευσεν ἀναφέρειν ὅσον ἔχει τις ἀργύριον πρὸς αὐτόν· εἰ δὲ μή, θάνατον ἔταξε τὸ ἐπιτίμιον. ἀνενεχθέντος δὲ τῦ ἀργυρίου, ἐπικόψας χαρακτῆρα ἐξέδωκε τὴν δραχμὴν δύο δυναμένην δραχμάς, καὶ τό τε ὀφειλόμενον πρότερον ἀνήνεγκαν πρὸς αὐτόν. εἰς Τυρρηνίαν τε πλεύσας ναυσὶν ἑκατὸν ἔλαβεν ἐκ τοῦ τῆς Λευκοθέας ἱεροῦ χρυσίον τε καὶ ἀργύριον πολὺ καὶ τὸν ἄλλον κόσμον ὐκ ὀλίγον. εἰδὼς δὲ ὅτι καὶ οἱ ναῦται πολλὰ ἔχουσι, κήρυγμα ἐποιήσατο τὰ ἡμίσεα

ιγωγεῖν U^b. ‖ 2. τιμὴν — αὐτοῖς om U^b. ‖ ἣν om S^bT^b. ‖ 6. ὡς ἔργα ὡς τοῖς πρώτοις $S^bT^bU^b$. ‖ 8. θλιβομένων T^bU^b. ‖ σίοις I^bT^b. ‖ 15. δήμητρα S^bT^b. ‖ 16. καὶ ante 15. τὴν $S^bT^bU^b$. ‖ 18. τῦτον et τοῖς ἄλλοις $S^bT^bU^b$. ‖ 19. ποιήσοντα I^b. ‖ ντων S^bT^b, ἐνεγκάντων U^b. ‖ 21. θεᾷ S^bT^b. ‖ 22. ἀπηνέγκαντο $S^bT^bU^b$. ‖ περὶ S^bT^b. ‖ δεδανεισμένοι U^b. ‖ δὲ] δὲ τοῦ S^b. ‖ φορεῖν τάγματα S^bT^b. ‖ ἐν τῷ ἱερῷ I^b. ‖ 25. τε om $S^bT^bU^b$. ‖ ναυπηγήσειν S^b. ‖ 26. συναγαγεῖν ἔφη πόλει U^b. ‖ 29. ἣ ‖ 30. αὐτοῖς $S^bT^bU^b$. ‖ εἰσήνεγκεν U^b. ‖ 33. δὲ om U^b. ‖ καττιτερίυ T^b. ‖ 35. βουλόμειος T^b. ‖ ὃ ἀνείλετο S^bT^b, ὃ ἀνεί- ν εἵλετο I^b.

ογράφοντες $QS^bT^bU^b$. ‖ ἀγόρασεν S^b. ‖ 5. δὲ] δὴ $Q^bS^bT^bU^b$. ‖ 6. τε] δὲ I^b. ‖ 7. τοσύτυς οὖν τοίνυν κτησαμένους QS^bT^b ἑξόντων ἐπικαίρως τὸ εἶναι I^b, ἐξὸν τῷ ἐπὶ καιρὸν ὡς (εἰς Q) τὸ εἶναι $QS^bT^bU^b$. ‖ 14. τε om U^b. ‖ 15. χρημάτων QS^bT^b. ‖ T^b, οἰκεῖον S^b. ‖ 17. ἔλθοιεν QS^bT^b. ‖ ῥή υἱόν S^b. ‖ 18. καταλιπὼν codices. ‖ 19. μέντοι] μὲν S^bT^b. ‖ 22. ῥηγηνοὶ I^b. ‖ τε QI^b. ‖ 26. ἀπέδοκε S^b. ‖ 32. τε om S^b. ‖ 35. πολὺν S^b. ‖ 36. κήρυγμα — 1350 a 1. ἔχει om QS^bT^b.

ὧν ἔχει ἕκαςος ἀναφέρειν πρὸς αὐτόν, τὰ δ' ἡμίσεα ἔχειν τὸν λαβόντα· τῷ δὲ μὴ ἀνενέγκαντι θάνατον ἔταξε τὸ ἐπιτίμιον. ὑπολαβόντες δὲ οἱ ναῦται ἀνενέγκαντες τὰ ἡμίσεα τὰ κατάλοιπα ἕξειν ἀδεῶς, ἀνήνεγκαν. ὁ δ' ἐπείπερ ἐκεῖνα ἔλαβεν, ἐκέλευσε πάλιν τὰ ἡμίσεα ἀναφέρειν.

Μενδαῖοι δὲ τὰ μὲν ἀπὸ λιμένων καὶ τῶν ἄλλων τελῶν αὐτοῖς προσπορευόμενα ἐχρῶντο εἰς διοίκησιν τῆς πόλεως, τὰ δὲ ἀπὸ τῆς γῆς καὶ οἰκιῶν τέλη ὐκ ἔπραττον, ἀλλ' ἀνέγραφον τὺς ἔχοντας· ὁπότε δὲ δεηθεῖεν χρημάτων, ἀπεδίδοσαν ὀφείλοντες. ἐκέρδαινον οὖν τὸν παρεληλυθότα χρόνον ἀτόκοις τοῖς χρήμασιν ἀποκεχρημένοι. πολεμῦντες πρὸς Ὀλυνθίυς καὶ δεόμενοι χρημάτων, ὄντων αὐτοῖς ἀνδραπόδων, ἐψηφίσαντο καταλειπομένων ἑνὶ ἑκάςῳ θήλεος καὶ ἄρρενος τἆλλα ἀποδόσθαι τῇ πόλει, ὡς ἐκδανεῖσαι τὺς ἰδιώτας χρήματα.

Καλλίςρατος ἐν Μακεδονίᾳ πωλυμένυ τῦ ἐλλιμενίου ὡς ἐπὶ τὸ πολὺ εἴκοσι ταλάντων ἐποίησεν εὑρεῖν τὸ διπλάσιον· κατιδὼν γὰρ ὠνυμένυς τοὺς εὐπορωτέρυς αἰεὶ διὰ τὸ δεῖν ταλαντιαίυς καθιςάναι τὺς ἐγγύυς τῶν εἴκοσι ταλάντων, προεκήρυξεν ὠνεῖσθαι τὸν βυλόμενον καὶ τὺς ἐγγύους καθιςάναι τῦ τρίτυ μέρυς καὶ καθ' ὁπόσον ἕκαςος δύνηται πείθειν.

Τιμόθεος Ἀθηναῖος πολεμῶν πρὸς Ὀλυνθίυς καὶ ἀπορούμενος ἀργυρίυ, κόψας χαλκὸν διεδίδυ τοῖς ςρατιώταις. ἀγανακτύντων δὲ τῶν ςρατιωτῶν ἔφη αὐτοῖς τὺς ἐμπόρυς τε καὶ ἀγοραίους ἅπαντας ὡσαύτως πωλήσειν. τοῖς δ' ἐμπόροις προεῖπεν, ὃν ἂν τις λάβῃ χαλκόν, τούτου πάλιν ἀγοράζειν τά τ' ἐκ τῆς χώρας ὤνια καὶ τὰ ἐκ τῶν λειῶν ἀγόμενα· ὃς δ' ἂν περιλειφθῇ αὐτοῖς χαλκός, πρὸς αὐτὸν ἀναφέροντας ἀργύριον λαμβάνειν. περὶ Κέρκυραν δὲ πολεμῶν καὶ ἀπόρως διακείμενος, καὶ τῶν ςρατιωτῶν αἰτύντων τοὺς μισθοὺς καὶ ἀπειθύντων αὐτῷ καὶ πρὸς τοὺς ὑπεναντίυς φασκόντων ἀποπορεύεσθαι, ἐκκλησίαν συναγαγὼν ἔφησεν ὐ δύνασθαι διὰ τὺς χειμῶνας παραγενέσθαι αὐτῷ ἀργύριον, ἐπεὶ τοσαύτην εἶναι περὶ αὐτὸν εὐπορίαν ὥςε τὴν προδεδομένην τριμήνυ σιταρκίαν δωρεὰν αὐτοῖς διδόναι. οἱ

δὲ ὑπολαβόντες οὐκ ἄν ποτε προέσθαι τοσαῦτα χ
τὸν Τιμόθεον αὐτοῖς, εἰ μὴ τῇ ἀληθείᾳ προσδόκιμ
χρήματα πρὸς αὐτόν, ἡσυχίαν εἶχον ὑπὲρ τῶν
ἕως ἐκεῖνος διῳκήσατο ἃ ἐβούλετο. Σάμον δὲ π
τὺς καρπὺς καὶ τὰ καὶ ἐπὶ τῶν ἀγρῶν ἀπεδίδοτ
τοῖς Σαμίοις, ὥστε εὐπόρησε χρημάτων εἰς μισ
ςρατιώταις. τῶν τ' ἐπιτηδείων ἐπεὶ σπάνις ἦν ἐν
τοπέδῳ διὰ τὺς ἀφικνυμένυς, ἀπηγόρευσε μὴ πωλ
ἀληλεσμένον, μηδὲ μέτρον ἔλασσον ἢ μέδιμνον, μ
ὑγρῶν μηδὲν ἔλαττον ἢ μετρητήν. οἱ μὲν ὖν ταξί
καὶ λοχαγοὶ ἀγοράζοντες ἀθρόα διεδίδοσαν τοῖς
ταις, οἱ δὲ εἰσαφικνούμενοι ἦγον αὐτοῖς τὰ ἐπ
ὁπότε δὲ ἀπαλλάττοιντο, εἴ τι περίλοιπον εἴη αὐτ
λυν. ὥςε συνέβαινεν εὐπορεῖσθαι τὺς ςρατιώτας τ
τηδείων.

Διδάλης Πέρσης ἔχων ςρατιώτας τὰ μὲν καθ'
πορίζειν ἐδύνατο ἐκ τῆς πολεμίας αὐτοῖς, νόμισμα
ἔχων διδόναι, ἀπαιτύμενος δέ, χρόνυ γενομένυ ὦ
τεχνάζει τοιόνδε. ἐκκλησίαν συναγαγὼν ἔφη οὐκ
σθαι χρημάτων, ἀλλ' εἶναι αὐτῷ ἐν χωρίῳ τινί, λ
ᾧ εἴη. καὶ ἀναζεύξας ἐβάδιζεν ἐπ' αὐτό· εἶτα ὡς
τῦ χωρίυ ἐγένετο, προελθὼν εἰς αὐτὸ ἔλαβεν ἐκ τῶ
των ἱερῶν ὅσος ἐνῆν κοῖλος ἄργυρος, εἶτ' ἐπισκευάσ
ἡμιόνους ὡς ἀγούσας ἀργύριον παραφαινούσας τε
ἐβάδιζεν. ἰδόντες δὲ οἱ ςρατιῶται, καὶ νομίσαντες ἅ
εἶναι ἄργυρον τὸν ἀγόμενον, ἐθάρρησαν ὡς κομιύμε
μισθόν. ὁ δ' ἔφη δεῖν εἰς Ἀμισὸν ἐλθόντας ἐπισκευ
ἦν δ' εἰς τὴν Ἀμισὸν ὁδὸς πολλῶν τε ἡμερῶν καὶ χ
ριος· τὸν δὴ χρόνον τοῦτον ἀπεχρᾶτο τῷ στρατοπέ
ἐπιτήδεια μόνον διδύς. τὺς δὲ τεχνίτας τὺς ἐν τῷ ςρ
πέδῳ αὐτὸς εἶχε καὶ τὺς καπήλυς τὺς μεταβαλλομ
τι· ἄλλῳ δὲ ὐκ ἦν ὐθενὶ ὐδὲν τύτων ποιεῖν.

Χαβρίας Ἀθηναῖος Ταῷ τῷ Αἰγυπτίων βασιλ
στρατεύοντι καὶ δεομένῳ χρημάτων συνεβούλευε π
ἱερῶν τινὰ καὶ τῶν ἱερείων τὸ πλῆθος φάναι τρὶς
ἱερεῖς δεῖν παραλυθῆναι διὰ τὴν δαπάνην. ἀκούσαντ

3. ἀνενηνοχότες Q. ‖ 4. ἔχειν I^b. ‖ 7. προπορευόμενα Q, προσαγορευόμενα S^bT^b. ‖ 9. ὁπόταν I^b. ‖ δὲ om QS^bT^b. ‖ 13. λειπομένου QS^bT^b, καταλειπομένας I^b. ‖ ἑκάςου Q. ‖ 16. ἐλλημενίου QS^bT^b. ‖ 18. τοὺς εὐπορωτέρους om Q. ‖ 19. ταλαντιαί ταλαντίαιον S^bT^b. ‖ 19 et 21. καθεςάναι I^b. ‖ 21. καὶ om I^b. ‖ 24. ςρατιώταις — 25. αὐτοῖς om Q. ‖ 27. λάβοι Q. ‖ 36. π pr I^b. ‖ σιταρχίαν QS^bT^b.

2. ante εἰ QS^bT^b εἰ μὴ τῷ κατὰ λόγον. ‖ προδόκιμα Q. ‖ 3. τῶν] τε $I^bS^bT^b$. ‖ 9. ἀληλεμένον et 10. μετρητόν et ταξίαρχ T^b. ‖ 11. διέδοσαν QS^bT^b. ‖ 13. δὲ om QS^bT^b. ‖ 14. τῶν γ' ἐπιτηδείων QS^bT^b. ‖ 16. διδάλλης QT^b, Δατάμης Polyaen 17. πόλεως S^b. ‖ 20. ἐγχωρίῳ Q. ‖ 21. ὡς] δ' QS^bT^b. ‖ 23. ἡμερῶν Q. ‖ 26. ἀργύριον QS^bT^b. ‖ 28. ἀμισόν S^bT^b, σαμλσ 29. δὲ S^b. ‖ 30. δὲ om $QI^bS^bT^b$. ‖ 31. αὐτοὺς $QI^bS^bT^b$. ‖ 32. ἄλλα I^b. ‖ ὐθὲν ὐθενὶ S^bT^b. ‖ 33. τῶν codices. ‖ 36. QS^bT^b. ‖ δὲ om QS^bT^b.

ιεῖς, καὶ τὸ ἱερὸν παρ' αὐτοῖς ἕκαςοι βȣλόμενοι εἶναι, ίδια αὐτοῖς οἱ ἱερεῖς ἐδίδοσαν χρήματα. ἐπεὶ δὲ παρὰ ων εἰλήφει, προστάξαι αὐτοῖς ἐκέλευσεν εἰς μὲν τὸ καὶ εἰς αὐτὸν τῆς δαπάνης ἧς πρότερον ἐποιοῦντο τὸ τον μέρος ποιεῖσθαι, τὰ δὲ λοιπὰ αὐτῷ δανεῖσαι, ἕως λεμος ὁ πρὸς βασιλέα διαλυθῇ. ἀπ' οἰκίας δὲ ἑκάικέλευσεν ἅπαντας εἰσενέγκαι τάξαντα ὃ δεῖ, καὶ ἀπὸ τώματος ὡσαύτως· τοῦ σίτȣ τε πωλȣμένȣ χωρὶς τῆς διδόναι τὸν πωλȣ̃ντα καὶ ὠνούμενον ἀπὸ τῆς ἀρτάτὸν ὀβολόν, ἀπὸ τῶν πλοίων τε καὶ ἐργαστηρίων καὶ ἄλλην τινὰ ἐργασίαν ἐχόντων τῆς ἐργασίας μέρος τὸ τον κελεῦσαι ἀποτελεῖν. ἐκστρατεύειν δ' αὐτῷ μέλἐκ τῆς χώρας, εἴ τίς τι ἔχοι ἄσημον ἀργύριον ἢ ίον, κελεῦσαι ἐνέγκαι πρὸς αὐτόν· ἐνεγκάντων δὲ τῶν των ἐκέλευσε τȣ́τῳ μὲν ἐκεῖνον χρῆσθαι, τοὺς δὲ δαντας συστῆσαι τοῖς ναυάρχοις ὥστ' ἐκ τῶν φόρων ῖς ἀποδοῦναι.

Ἰφικράτης Ἀθηναῖος, Κότυος συναγαγόντος ςρατιωἐπόρισεν αὐτῷ χρήματα τρόπον τοιοῦτον. ἐκέλευσε ἀνθρώπων ὧν ἦρχε προςάξαι κατασπεῖραι αὐτῷ γῆν μεδίμνων· τȣ́τȣ δὲ πραχθέντος συνελέγη σίτȣ πολὺ ος. καταγαγὼν ȣ̃ν τὰ ἐμπόρια ἀπέδοτο, καὶ εὐπόρησε ιάτων.

Κότυς Θρᾴξ παρὰ Πειρινθίων ἐδανείζετο χρήματα ὁ τȣ̀ς ςρατιώτας συναγαγεῖν· οἱ δὲ Πειρίνθιοι ȣ̓κ ἐδί αὐτῷ. ἠξίωσεν οὖν αὐτȣ̀ς ἄνδρας γε τῶν πολιτῶν ρούς δοῦναι εἰς χωρία τινά, ἵνα τοῖς ἐκεῖ ςρατιώταις φρουροῦσι σχῇ ἀποχρήσασθαι. οἱ δὲ τοῦτο ταχέως σαν, οἰόμενοι τῶν χωρίων κύριοι ἔσεσθαι. ὁ δὲ Κότυς ἀποσταλέντας εἰς φυλακὴν ποιήσας, τὰ χρήματα ς ἐκέλευσεν ἀποστείλαντας, ἃ ἐδανείζετο παρ' αὐτῶν, ασθαι.

Μέντωρ υἱὸς Ἑρμείαν συλλαβὼν καὶ τὰ χωρία αὐτȣ̃ σχὼν τοὺς ἐπιμελητὰς εἴασε κατὰ χώραν τοὺς ὑπὸ ρμείȣ καθεςηκότας. ἐπεὶ δὲ ἐθάρρησάν τε ἅπαντες, καὶ ποτ' ἦν αὐτοῖς ἀποκεκρυμμένον ἢ ὑπεκκείμενον, μεθ' ὧν εἶχον, συλλαβὼν αὐτȣ̀ς πάντα παρείλετο ἃ εἶχον.

Μέμνων Ῥόδιος κυριεύσας Λαμψάκου, δεηθεὶς χρημάτων ἐπέγραψε τοῖς πλȣσιωτάτοις αὐτῶν πλῆθός τι ἀργυρίου, τούτοις δὲ τὴν κομιδὴν ἔσεσθαι παρὰ τῶν ἄλλων πολιτῶν ἔφησεν· ἐπεὶ δὲ οἱ ἄλλοι πολῖται εἰσήνεγκαν, ἐκέλευσε καὶ ταῦτα αὐτῷ δανεῖσαι ἐν χρόνῳ διειπάμενος ἐν ᾧ πάλιν αὐτοῖς ἀποδώσει. πάλιν τε δεηθεὶς χρημάτων ἠξίωσεν αὐτȣ̀ς εἰσενέγκαι, κομίσασθαι δ' ἐκ τῶν προσόδων· οἱ δ' εἰσήνεγκαν ὡς διὰ ταχέων αὐτοῖς ἐσομένης τῆς κομιδῆς· ἐπεὶ δὲ καὶ αἱ καταβολαὶ τῶν προσόδων παρῆσαν, ἔφησεν ἐπ' αὐτῷ χρείαν εἶναι καὶ τȣ́των, ἐκείνοις δὲ ὕςερον ἀποδώσειν σὺν τόκῳ. τῶν τε στρατευομένων παρ' αὐτῷ παρῃρεῖτο τὰς σιταρχίας καὶ τοὺς μισθȣ̀ς ἓξ ἡμερῶν τὸν ἐνιαυτόν, φάσκων ταύταις ταῖς ἡμέραις οὔτε φυλακὴν αὐτοὺς οὐδεμίαν ȣ̓́τε πορείαν οὔτε δαπάνην ποιεῖσθαι, τὰς ἐξαιρεσίμȣς λέγων. τόν τε πρὸ τȣ̃ χρόνον διδȣ̀ς τοῖς ςρατιώταις τῇ δευτέρᾳ τῆς νȣμηνίας τὴν σιταρχίαν, τῷ μὲν πρώτῳ μηνὶ παρέβη τρεῖς ἡμέρας, τῷ δ' ἐχομένῳ πέντε· τȣ̃τον δὲ τὸν τρόπον προῆγεν ἕως εἰς τὴν τριακάδα ἦλθεν.

Χαρίδημος Ὠρείτης ἔχων τῆς Αἰολίδος τινὰ χωρία, ἐπιςρατεύοντος ἐπ' αὐτὸν Ἀρταβάζȣ χρημάτων ἐδεῖτο εἰς τοὺς ςρατιώτας. τὸ μὲν ȣ̃ν πρῶτον εἰσέφερον αὐτῷ, εἶτα ȣ̓κέτι ἔφασαν ἔχειν. ὁ δὲ Χαρίδημος, ὃ ᾤετο χωρίον εὐπορώτατον εἶναι, ἐκέλευσε, καὶ εἴ τι νόμισμα ἔχουσιν ἤ τι ἄλλο σκεῦος ἀξιόλογον, εἰς ἕτερον χωρίον ἀποςέλλειν, παραπομπὴν δὲ δώσειν· ἅμα δὲ καὶ αὐτὸς τȣ̃το ποιῶν φανερὸς ἦν. πεισθέντων δὲ τῶν ἀνθρώπων, προαγαγὼν αὐτȣ̀ς τῆς πόλεως μικρὸν καὶ ἐρευνήσας ἃ εἶχον, ἔλαβεν ὅσων ἐδεῖτο, ἐκείνȣς δὲ πάλιν εἰς τὸ χωρίον ἀπῆγεν. κήρυγμά τε ποιησάμενος ἐν ταῖς πόλεσιν ὧν ἦρχε μηδένα μηδὲν ὅπλον κεκτῆσθαι ἐν τῇ οἰκίᾳ, εἰ δὲ μή, ἀποτίσειν ἀργύριον ὃ ἐπεκήρυξεν, ἠμέλει καὶ ȣ̓δεμίαν ἐπιςροφὴν ἐποιεῖτο. τῶν δὲ ἀνθρώπων οἰομένων τὸ κήρυγμα μάτην αὐτὸν πεποιῆσθαι, εἶχον ἃ ἔτυχον ἕκαςοι κεκτημένοι κατὰ χώραν. ὁ δ' ἔρευναν ἐξαίφνης ποιησάμενος τῶν οἰκιῶν, παρ' οἷς εὗρεν ὅπλον τι, ἐπράττετο τὸ ἐπιτίμιον.

Φιλόξενός τις Μακεδὼν Καρίας σατραπεύων δεηθεὶς χρημάτων Διονύσια ἔφασκε μέλλειν ἄγειν, καὶ χορηγȣ̀ς

1. εἶναι καὶ ἴδια] ἴνδει καὶ ἰνδεία QS^bT^b. ‖ 2. οἱ ἱερεῖς] ἱερεὺς QS^bT^b. ‖ 5. δὲ om QS^bT^b. ‖ αὐτῶν S^bT^b. ‖ 6. ὁ prius om S^bT^b. ‖ ἑκάςοις Q. ‖ 9. ἀρτάμης T^b. ‖ 14. ἐνεγκόντων QS^bT^b. ‖ 15. τȣ́τῳ] τȣ̀ς τῷ QS^bT^b. ‖ χρᾶσθαι QI^bT^b. ‖ 16. ναυάρχαις … 20. ἦχε I^b. ‖ σπεῖραι S^bT^b. ‖ 22. ἐμπορεῖα Q. ‖ 24. περὶ Q. ‖ περινθίων Q, περινθίȣ S^bT^b. ‖ 25. τὸ om $QI^bS^bT^b$. ‖ περίνθιοι … T^b. ‖ 28. νῦν om S^bT^b. ‖ 31. αὐτῶν S^bT^b. ‖ ἐδάνειζε et 32. κομίζεσθαι QS^bT^b. ‖ 34. εἴασε om QT^b. ‖ 35. τȣ̃ om S^b. ‖ … ποκείμενον S^bT^b. ‖ 37. αὐτῶν I^b, αὐτὸν S^b. ‖ συλλαβὼν — εἶχον om QS^bT^b.

1. κελεύσας QS^bT^b. ‖ 3. περὶ S^bT^b. ‖ 10. κείνοις Q. ‖ 12. παρητεῖτο I^bS^b. ‖ συνταρχίας S^bT^b. ‖ 14. αὐτοῖς codices. ‖ 15. ἐξαιρε… S^bT^b. ‖ χρόνου QS^bT^b. ‖ τῆς ςρατιώτητος S^bT^b. ‖ 18. ὡς εἰς τὴν τριάδα QS^bT^b. ‖ 19. ὠνείτης Q. ‖ 26. προσαγαγὼν et 27. ὅσον … T^b. ‖ 28. κείνους Q. ‖ 29. μηδὲ et 30. ἐκτῆσθαι QS^bT^b. ‖ 34. οἷς] οἴσων S^bT^b. ‖ 35. ἔπραττε $QI^bS^bT^b$. ‖ 37. χοραγȣ̀ς $I^bS^bT^b$.

προέγραψε τῶν Καρῶν τὺς εὐπορωτάτυς, καὶ προσέταττεν αὐτοῖς ἃ δεῖ παρασκευάζειν. ὁρῶν δ' αὐτὺς δυσχεραίνοντας, ὑποπέμπων τινὰς ἠρώτα τί βύλονται δόντες ἀπαλλαγῆναι τῆς λειτυργίας. οἱ δὲ πολλῷ πλέον ἢ ὅσον ᾤοντο ἀναλώσειν ἔφασαν δώσειν τῦ μὴ ὀχλεῖσθαι καὶ ἀπὸ τῶν ἰδίων ἀπεῖναι. ὁ δὲ παρὰ τύτων λαβὼν ὃ ἐδίδοσαν, ἑτέρυς κατέγραψεν, ἕως ἔλαβε παρὰ τύτων ἃ ἐβύλετο· καὶ προσῆν παρ' ἑκάςοις.

Εὐαίσης Σύρος Αἰγύπτου σατραπεύων, ἀφίστασθαι μελλόντων τῶν νομαρχῶν ἀπ' αὐτῦ αἰσθόμενος, καλέσας αὐτὺς εἰς τὰ βασίλεια ἐκρέμασεν ἅπαντας, πρὸς δὲ τοὺς οἰκείυς ἐκέλευσε λέγειν ὅτι ἐν φυλακῇ εἰσίν. ἕκαςος οὖν τῶν οἰκείων ἔπραττον ὑπὲρ ἑκάςυ, καὶ χρημάτων ἐξεωνῦντο τὺς συνειλημμένυς. ὁ δὲ διομολογησάμενος ὑπὲρ ἑκάςου καὶ λαβὼν τὰ ὁμολογηθέντα ἀπέδωκεν ἑκάςοις τὸν νεκρόν.

Κλεομένης Ἀλεξανδρεὺς Αἰγύπτυ σατραπεύων, λιμῦ γενομένυ ἐν μὲν τοῖς ἄλλοις τόποις σφόδρα ἐν Αἰγύπτῳ δὲ μετρίως, ἀπέκλεισε τὴν ἐξαγωγὴν τῦ σίτυ. τῶν δὲ νομαρχῶν φασκόντων ὐ δυνήσεσθαι τὺς φόρυς ἀποδῦναι τῷ μὴ ἐξάγεσθαι τὸν σῖτον, ἐξαγωγὴν μὲν ἐποίησε, τέλος δὲ πολὺ τῷ σίτῳ ἐπέβαλεν, ὥςε συνέβαινεν αὐτῷ ἐξαγομένυ ὀλίγυ πολὺ τέλος λαμβάνειν, αὐτύς τε τὺς νομάρχας πεπαῦσθαι τῆς προφάσεως. διαπλέοντος δ' αὐτῦ τὸν νομὸν ῦ ἐςὶ θεὸς ὁ κροκόδειλος, ἡρπάσθη τις τῶν παίδων αὐτῦ· καλέσας οὖν τὺς ἱερεῖς ἔφη πρότερος ἀδικηθεὶς ἀμύνεσθαι τὺς κροκοδείλυς, καὶ προσέταξε θηρεύειν αὐτύς. οἱ δὲ ἱερεῖς, ἵνα μὴ ὁ θεὸς αὐτῶν καταφρονηθῇ, συναγαγόντες ὅσον ἠδύναντο χρυσίον ἔδοσαν αὐτῷ, καὶ ὕτως ἐπαύσατο. Ἀλεξάνδρυ τῦ βασιλέως ἐντειλαμένυ αὐτῷ οἰκίσαι πόλιν πρὸς τῷ Φάρῳ καὶ τὸ ἐμπόριον τὸ πρότερον ὂν ἐπὶ τῦ Κανώβυ ἐνταῦθα ποιῆσαι, καταπλεύσας εἰς τὸν Κάνωβον πρὸς τὺς ἱερεῖς καὶ τὺς κτήματα ἔχοντας ἐκεῖ ἐπὶ τύτῳ ἥκειν ἔφη ὥστε μετοικίσαι αὐτύς. οἱ δὲ ἱερεῖς καὶ οἱ κάτοικοι εἰσενέγκαντες χρήματα ἔδωκαν, ἵν' ἐᾷ κατὰ χώραν αὐτοῖς τὸ ἐμπόριον. ὁ δὲ λαβὼν τότε μὲν ἀπηλλάγη, εἶτα δὲ καταπλεύσας, ἐπεὶ ἦν εὐτρεπῆ αὐτῷ τὰ πρὸς τὴν οἰκοδο-

μίαν, ᾔτει αὐτὺς χρήματα ὑπερβαλὼν τῷ πλήθει·
γὰρ αὐτῷ τὸ διάφορον εἶναι, τὸ αὐτοῦ εἶναι τὸ ἐμ
καὶ μὴ ἐκεῖ. ἐπεὶ δ' ὐκ ἂν ἔφασαν δύνασθαι δῦναι,
τῴκισεν αὐτύς. ἀποςείλας τέ τινα ἐπ' ἀγόρασμά τι,
μενος ὅτι εὐώνων ἐπιτετύχηκεν, αὐτῷ δὲ μέλλει ἐκτε
μένα λογίζεσθαι, πρὸς τὺς συνήθεις τῦ ἀγοραςῦ ἔλεγ
ἀκηκοὼς εἴη τὰ ἀγοράσματα αὐτὸν ὑπερτίμια ἠγορα
αὐτὸς ὐν ὐ προσέξειν. καὶ ἅμα τὴν ἀβελτηρίαν αὐτῦ
δόρει μετ' ὀργῆς προσποιήτυ. οἱ δὲ ταῦτ' ἀκύοντες
σαν δεῖν πιστεύειν αὐτὸν τοῖς λέγουσί τι κατ' ἐκείνου
αὐτὸς παραγενόμενος τὸν λόγον αὐτῷ δῷ. ἀφικομέν
τῦ ἀγοραςῦ ἀπήγγειλαν αὐτῷ τὰ παρὰ τῦ Κλεομέν
δ' ἐκείνοις τε βυλόμενος ἐνδείξασθαι καὶ τῷ Κλεομένει
νεγκε τὰς τιμὰς ὧνπερ ἦν ἠγορακώς. τῦ τε σίτυ πωλ
ἐν τῇ χώρᾳ δεκαδράχμυ, καλέσας τὺς ἐργαζομένυς
πῶς βύλονται αὐτῷ ἐργάζεσθαι· οἱ δ' ἔφασαν ἐλάσ
ἢ ὅσου τοῖς ἐμπόροις ἐπώλουν. ὁ δ' ἐκείνυς μὲν ἐκέλ
αὐτῷ παραδιδόναι ὅσουπερ ἐπώλουν τοῖς ἄλλοις, αὐτ
τάξας τριάκοντα καὶ δύο δραχμὰς τῦ σίτυ τὴν τιμὴν
ἐπώλει. τύς τε ἱερεῖς καλέσας ἔφησε πολὺ τὸ ἀνάλωμ
τῇ χώρᾳ γίνεσθαι εἰς τὰ ἱερά· δεῖν ὖν καὶ τῶν ἱερῶν
καὶ τῶν ἱερέων τὸ πλῆθος καταλυθῆναι. οἱ δὲ ἱερεῖς
ἰδίᾳ ἕκαςος καὶ κοινῇ τὰ ἱερὰ χρήματα ἐδίδοσαν, οἰόμ
τε αὐτὸν τῇ ἀληθείᾳ μέλλειν τῦτο ποιεῖν, καὶ ἕκαςος
μενος τό τε ἱερὸν τὸ αὐτῦ εἶναι κατὰ χώραν καὐτὺς ἱερ

Ἀντιμένης Ῥόδιος ἡμιόδιος γενόμενος Ἀλεξάνδρ
Βαβυλῶνα ἐπόρισε χρήματα ὧδε. νόμυ ὄντος ἐν Βαβυ
νίᾳ παλαιοῦ δεκάτην εἶναι τῶν εἰσαγομένων, χρωμέ
αὐτῷ ὐθενός, τηρήσας τύς τε σατράπας ἅπαντας
μυς ὄντας καὶ ςρατιώτας, ὐκ ὀλίγυς τε πρέσβεις καὶ τεχ
τας κλητὺς τὺς ἄλλυς ἄγοντας καὶ ἰδίᾳ ἀποδημῦντας,
δῶρα πολλὰ ἀναγόμενα, τὴν δεκάτην ἔπρασσε κατὰ
νόμον τὸν κείμενον. πάλιν τε πορίζων τἀνδράποδα τὰ
στρατοπέδῳ ὄντα ἐκέλευσε τὸν βουλόμενον ἀπογράφε
ὁπόσυ θέλοι, μέλλειν δὲ τῦ ἐνιαυτῦ ὀκτὼ δραχμὰς
σαι, ἂν δὲ ἀποδρᾷ τὸ ἀνδράποδον, κομίζεσθαι τὴν

5. καὶ] δὲ καὶ QS^bT^b. ‖ 7. περὶ Q. ‖ τῦτο S^bT^b. ‖ 8. προσὸν $Q^bS^bT^b$. ‖ ἑκάςης QT^b. ‖ 11. τὸν βασιλέα Q. ‖ ἐκρέμα I^b 18. δὲ μετρίως] καὶ μετρίως S^bT^b. ‖ 20. ἐξαγαγέσθαι QS^bT^b. ‖ ἐξαγαγεῖν Q, ἐξαγαγὼν T^b. ‖ 21. αὐτῷ] αὐτῷ εἰ μὴ QS^bT^b. ‖ τὺς om QT^b. ‖ 25. πότερος Q, πρότερον S^b. ‖ 28. ὗτος Q. ‖ 29. αὐτῦ $QI^bS^bT^b$. ‖ 31. εἰς τὸν Κάνωβον] δὲ τὸν τόπον πρὸς Q τὸν πον πρὸς S^bT^b. ‖ 32. τῦτο Q, τῦ S^bT^b. ‖ 33. δὲ om QS^bT^b. ‖ 35. εἶτα] τότε QS^bT^b.

3. δ' om QS^bT^b. ‖ μετώκησαν et 4. τινας et 5. ἐπιτέτυχεν QS^bT^b. ‖ 5. μέλλειν S^bT^b. ‖ 8. ὐ om Parisiensis 2025. ‖ προ S^bT^b. ‖ 12. περὶ S^bT^b. ‖ 14. ὥσπερ Q. ‖ τῦ τε σίτυ πωλυμένυ] τυτέςιν ἢ τῦ πώλου QS^bT^b. ‖ 15. ἐρώτησε QS^bT^b. ‖ 17. ἐκεῖνο ἐκεῖνό τε QS^bT^b. ‖ ἐκέλευεν Q. ‖ 19. σίτυ] σάττυ QT^b. ‖ τὴν add I^b. ‖ 20. τὸ ἀνώμαλον ἀνάλωμα I^b. ‖ 23. κοινωνῇ T^b. ‖ 25. QS^bT^b. ‖ 26. ἡμιόδιος] γνώριμος margo Parisiensis 2023. ‖ 28. παύλυ QS^bT^b. ‖ 30. τε] τε καὶ QS^bT^b. ‖ 32. ἔπρασαν QS^bT τὸν om S^b. ‖ 33. πάλιν] ὦ πάλιν QS^bT^b. ‖ πορίζειν QS^bT^b. ‖ 34. ἐκέλευε 2023. ‖ 35. θέλει QI^bT^b. ‖ μέλλειν] τελεῖν QS^bT

γράψατο. ἀπογραφέντων ὖν πολλῶν ἀνδραπόδων ὐκ συντελεῖ ἀργύριον. εἰ δέ τι ἀποδρῴη ἀνδράποδον, ε τὸν σατράπην τῆς ἐν ᾗ ἐςὶ τὸ ςρατόπεδον ἀνασώ- τὴν τιμὴν τῷ κυρίῳ ἀποδοῦναι.

Ὀφέλας Ὀλύνθιος καταςήσας ἐπιμελητὴν εἰς τὸν νο- ὶν Ἀρθριδίτην, ἐπεὶ προσελθόντες αὐτῷ οἱ νόμαρχοι τῦ τόπυ τούτου ἔφασαν βύλεσθαι πλείω αὐτοὶ πολὺ , τὸν δ' ἐπιμελητὴν τὸν νῦν καθεςηκότα ἀπαλλάξαι ηξίυν, ἐπερωτήσας αὐτὺς εἰ δυνήσονται συντελεῖν ἅπερ έλλονται, φησάντων αὐτῶν τὸν μὲν ἐπιμελητὴν κατὰ εἴα, τὺς δὲ φόρυς πράσσεσθαι ἐκέλευεν ὅσυς αὐτοὶ ιήσαντο. ὔτε ὖν ὃν κατέςησεν ἀτιμάσαι ἐδόκει, οὔτ' ς πλείυς φόρυς ἐπιβαλεῖν ἢ αὐτοὶ ἔταξαν, χρήματα λαπλάσια αὐτὸς ἐλάμβανεν.

Πυθοκλῆς Ἀθηναῖος Ἀθηναίοις συνεβύλευσε τὸν μό- ν τὸν ἐκ τῶν Τυρίων παραλαμβάνειν παρὰ τῶν ἰδιω- ὶν πόλιν, ὥσπερ ἐπώλυν, δίδραχμον, εἶτα τάξαντας τιμὴν ἑξαδράχμυ ὔτω πωλεῖν.

Χαβρίας πληρωμάτων τε κατειλεγμένων εἰς ἑκατὸν κοσι ναῦς, τῷ δὲ Ταῷ ἑξήκοντα μόνον ὔσης χρείας, αξε τοῖς ἐκ τῶν ἑξήκοντα νεῶν αὐτοῦ τῶν ὑπομενυ- ὶς πλέοντας εἰς δίμηνον σιτηρεσιάσαι ἢ αὐτὺς πλέειν. Βυλόμενοι ἐπὶ τῶν ἰδίων εἶναι ἔδωκαν ἃ προσέταξεν.

Ἀντιμένης τύς τε θησαυρὺς τοὺς παρὰ τὰς ὁδοὺς τὰς ικὰς ἀναπληρῦν ἐκέλευε τὺς σατράπας κατὰ τὸν νό- ὸν τῆς χώρας· ὁπότε δὲ διαποροίη τὸ ςρατόπεδον ἢ ὄχλος ἄνευ τῦ βασιλέως, πέμψας τινὰ παρ' αὐτὸν ι τὰ ἐκ τῶν θησαυρῶν.

Κλεομένης προσπορευομένης τε τῆς νυμηνίας καὶ δέον τοῖς ςρατιώταις σιταρχίαν δοῦναι κατέπλευσεν ἐξεπίτηδες, προσπορευομένυ δὲ τῦ μηνὸς ἀναπλεύσας διέδωκε τὴν σιταρχίαν, εἶτα τῦ εἰσιόντος μηνὸς διέλιπεν ἕως τῆς νυμηνίας. οἱ μὲν οὖν ςρατιῶται διὰ τὸ νεωςὶ εἰληφέναι τὴν σιταρχίαν ἡσυχίαν εἶχον, ἐκεῖνος δὲ παραλλάξας ἕνα μῆνα παρὰ τὸν ἐνιαυτὸν ἀφῄρει μισθὸν ἀεὶ μηνός.

Σταβέλβιος ὁ Μυσῶν ςρατιώταις μισθὸν συγκαλέσας ἔφησεν αὐτῷ τῶν μὲν ἰδιωτῶν ὐδεμίαν χρείαν εἶναι, τῶν δὲ ἡγεμόνων, ὅταν δέηται ςρατιωτῶν, ἐκείνων ἑκάςῳ δὺς ἀργύριον ἀποςέλλειν ἐπὶ ξενολογίαν, τύς τε μισθὺς ὓς δεῖ ἐκείνοις δοῦναι, τοῖς ἡγεμόσιν ἂν ἥδιον διδόναι· ἐκέλευεν οὖν αὐτοὺς ἀποςέλλειν ἕκαςον τοὺς αὑτῶν καταλόγυς ἐκ τῆς χώρας. τῶν δὲ ἡγεμόνων ὑπολαβόντων χρηματισμὸν αὐτοῖς ἔσεσθαι, ἀπέςειλαν τὺς ςρατιώτας, καθάπερ ἐκεῖνος προσέταξεν. διαλιπὼν δὲ ὀλίγον χρόνον καὶ συναγαγὼν αὐτοὺς ὔτε αὐλητὴν ἄνευ χορῦ ὔτε ἡγεμόνας ἄνευ ἰδιωτῶν ὐδὲν ἔφη χρησίμυς εἶναι· ἐκέλευεν οὖν αὐτὺς ἀπαλλάττεσθαι ἐκ τῆς χώρας.

Διονύσιος τὰ ἱερὰ περιπορευόμενος, εἰ μὲν τράπεζαν ἴδοι παρακειμένην χρυσῆν ἢ ἀργυρᾶν, ἀγαθῦ δαίμονος κελεύσας ἐγχέαι ἐκέλευεν ἀφαιρεῖν, ὅσα δὲ τῶν ἀγαλμάτων φιάλην εἶχε προτετακότα, εἴπας ἂν ὅτι δέχομαι ἐξαιρεῖν ἐκέλευεν. τά θ' ἱμάτια τά τε χρυσᾶ καὶ τὺς ςεφάνυς περιῄρει τῶν ἀγαλμάτων, φάσκων αὐτὸς καὶ κυφότερα καὶ εὐωδέςερα δοῦναι· εἶτα ἱμάτια μὲν λευκά, στεφάνους δὲ λευκίνυς περιετίθει.

. ῆς QS^bT^b. ‖ 2. συντελεῖν S^b, συνελέγη margo 2023. ‖ ἀποδράσῃ Q, ἀποδίσῃ S^bT^b. ‖ 3. ἐκέλευσε Q. ‖ ἐςὶ] ἐςίη QS^bT^b. ‖ 4. $QI^bS^bT^b$. ‖ 6. Ἀθριβίτην Sylburgius. ‖ προσελθόντα S^bT^b. ‖ 8. τῶν S^bT^b. ‖ 11. χώρας I^b. ‖ ὅτε αὐτὺς QS^bT^b. ‖ 12. ὃν] τὸν κ δοκεῖ $Q^bS^bT^b$. ‖ 13. ἐκεῖνος $QI^bS^bT^b$. ‖ αὐτοῖς τάξαντα QS^bT^b. ‖ 15. μόλιβδον I^b. ‖ 16. τριήρων margo 2023. ‖ 17. ὥςε τάξαντος $QI^bS^bT^b$. ‖ 18. αὐτοῖς I^b. ‖ πολὺν Q. ‖ 19. χαβρία I^bT^b, χαυρία Q. ‖ 20. τῶν QS^bT^b. ‖ τ ῶ S^bT^b. ‖ μόνων ὑσῶν QS^bT^b. ‖ 21. προςάξαι $QI^bS^bT^b$. ‖ αὐτοῖς I^b. ‖ αὐταῖς QS^bT^b. ‖ 22. πλέειν] πλείω QS^bT^b. ‖ 23. ἔδωκε προσέταξε Q ‖ 24. τάς] τὺς Q. ‖ τὰς om QT^b. ‖ 26. τὸν om S^bT^b. ‖ διαπορῦν et 27. αὐτῦ $QI^bS^bT^b$.

κλεομένους $QI^bS^bT^b$. ‖ 2. σιταρχίας Q. ‖ 3. δέδωκε S^bT^b, ἐξέδωκε Q. ‖ 4. διέλειπεν QT^b. ‖ ἕως ὖν τῆς QS^bT^b. ‖ 6. κῶνος . ‖ περὶ S^bT^b. ‖ 8. μῦς QS^bT^b. ‖ 9. αὐτῦ QT^b, αὐτοῖς I^b. ‖ ὐδεμίαν — 10. ςρατιωτῶν om Q. ‖ 9. εἶχε T^b. ‖ 10. κείνων ‖ 11. κεινολογίαν Parisiensis 1857, νολογίαν QS^bT^b. ‖ κείνεις QI^bT^b. ‖ 12. ἴδιον QS^bT^b et pr I^b. ‖ 13. τοὺς om 1857. ‖ QS^b. ‖ 14. δὲ om QS^bT^b. ‖ 15. ἔσεσθαι καὶ ἀπέςειλαν QS^bT^b. ‖ 16. δὲ om QS^bT^b. ‖ 17. χορῦ — 18. εἶναι om Q. ‖ 20. QT^b, εἰ μὲν om S^b. ‖ 21. παρεκειμένην 1857. ‖ ἀργυρῆν Q. ‖ ἐκέλευσεν QT^b. ‖ 23. ἂν om I^b. ‖ δέομαι T^b, δεχόμεναι Q. ‖ έλευσε QS^bT^b. ‖ θ' om QS^bT^b.

ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ Α.

Ἡ ῥητορική ἐστιν ἀντίστροφος τῇ διαλεκτικῇ· ἀμφότεραι γὰρ περὶ τοιούτων τινῶν εἰσὶν ἃ κοινὰ τρόπον τινὰ ἁπάντων ἐστὶ γνωρίζειν καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφωρισμένης. διὸ καὶ πάντες τρόπον τινὰ μετέχουσιν ἀμφοῖν· πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν. τῶν μὲν οὖν πολλῶν οἱ μὲν εἰκῇ ταῦτα δρῶσιν, οἱ δὲ διὰ συνήθειαν ἀπὸ ἕξεως. ἐπεὶ δ' ἀμφοτέρως ἐνδέχεται, δῆλον ὅτι εἴη ἂν αὐτὰ καὶ ὁδοποιεῖν· δι' ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν καὶ οἱ ἀπὸ ταὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται, τὸ δὲ τοιοῦτον ἤδη πάντες ἂν ὁμολογήσαιεν τέχνης ἔργον εἶναι. νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες ὀλίγον πεπορίκασιν αὐτῆς μόριον· αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι μόνον, τὰ δ' ἄλλα προσθῆκαι, οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέγουσιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως, περὶ δὲ τῶν ἔξω τοῦ πράγματος τὰ πλεῖστα πραγματεύονται· διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ περὶ τοῦ πράγματός ἐστιν ἀλλὰ πρὸς τὸν δικαστήν. ὥστ' εἰ περὶ πάσας ἦν τὰς κρίσεις καθάπερ ἐν ἐνίαις τε νῦν ἐστὶ τῶν πόλεων καὶ μάλιστα ταῖς εὐνομουμέναις, οὐδὲν ἂν εἶχον ὅ τι λέγωσιν· ἅπαντες γὰρ οἱ μὲν οἴονται δεῖν οὕτω τοὺς νόμους ἀγορεύειν, οἱ δὲ καὶ χρῶνται καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν Ἀρείῳ πάγῳ, ὀρθῶς τοῦτο νομίζοντες· οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν εἰς ὀργὴν προάγοντας ἢ φθόνον ἢ ἔλεον· ὅμοιον γὰρ κἂν εἴ τις, ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν. ἔτι δὲ φανερὸν ὅτι τοῦ μὲν ἀμφισβητοῦντος οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα ὅτι ἔστιν ἢ οὐκ ἔστιν ἢ γέγονεν ἢ οὐ γέγονεν· εἰ δὲ μέγα ἢ μικρὸν ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν, αὐτὸν δή που τὸν δικαστὴν δεῖ γινώσκειν καὶ οὐ μανθάνειν παρὰ τῶν ἀμφισβητούντων. μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι, πρῶτον μὲν ὅτι ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς

εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν·
αἱ μὲν νομοθεσίαι ἐκ πολλοῦ χρόν[illegible]σκεψαμένων γ
αἱ δὲ κρίσεις ἐξ ὑπογυίου, ὥστε χαλεπὸν ἀποδιδόναι
καιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας. τὸ δὲ
μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις οὐ κατὰ μέρ
περὶ τῶν παρόντων] ἀλλὰ περὶ μελλόντων τε καὶ κ
ἐστίν, ὁ δ' ἐκκλησιαστὴς καὶ δικαστὴς ἤδη περὶ πα
καὶ ἀφωρισμένων κρίνουσιν· πρὸς οὓς καὶ τὸ φιλε
καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρτηται πολ
ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές,
ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. περὶ μὲ
τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιε
ριον τὸν κριτήν· περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγ
ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκ
τοῖς κριταῖς καταλείπειν· οὐ γὰρ δυνατὸν ταῦτα τὸ
μοθέτην προϊδεῖν. εἰ δὴ ταῦθ' οὕτως ἔχει, φανερὸν ὅ
ἔξω τοῦ πράγματος τεχνολογοῦσιν ὅσοι τἆλλα διορ
σιν, οἷον τί δεῖ τὸ προοίμιον ἢ τὴν διήγησιν ἔχειν, κα
ἄλλων ἕκαστον μορίων· οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο
γματεύονται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιή
περὶ δὲ τῶν ἐντέχνων πίστεων οὐδὲν δεικνύουσιν· τοῦτο δ'
ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός. διὰ γὰρ τοῦτο τῆς
οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικά, καὶ
λίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγμα
οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα, περὶ μὲν ἐκείνης
λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχ
γεῖν, ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λ
ἐν τοῖς δημηγορικοῖς καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημ
δικολογίας, ἀλλὰ κοινότερον. ἐνταῦθα μὲν γὰρ ὁ
περὶ οἰκείων κρίνει, ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξ
οὕτως ἔχει ὡς φησὶν ὁ συμβουλεύων· ἐν δὲ τοῖς δικα
οὐχ ἱκανὸν τοῦτο, ἀλλὰ πρὸ ἔργου ἐστὶν ἀναλαβεῖν τὸν ἀ
τήν· περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις, ὥστε πρὸς τὸ αὐτῶν
πούμενοι καὶ πρὸς χάριν ἀκροώμενοι διδόασι τοῖς ἀμφι

Codices $QY^bZ^bA^c$.

1. ἀντίστροφός ἐστι Q. ‖ 2. πάντων Q. ‖ 7. ἀμφότερα Y^bZ^b. ‖ 8. ὁδοποιῆσαι Q. ‖ 10. τὴν] τούτου τὴν Q. ‖ 12. πεποιήκασιν A^c. ‖ 13. αὐτοῦ Y^bZ^b. ‖ 14. προσθῆναι Q, προσθήκη Y^bZ^b. ‖ 21. λέγουσιν Y^bZ^b, λέξουσιν Q. ‖ 25. προσάγοντας Q. ‖ 26. ποιήσει ποιήση QZ^b. ‖ 31. περὶ Z^b.

3. ἀποδοῦναι Q. ‖ 4. τοὺς om Y^bZ^b. ‖ 5. οὔτε περὶ τῶν παρόντων solus Q. ‖ 11. ἐπισκοπεῖν A^c. ‖ 12. ἐλάχιστον pr Y^b. ‖ κάλλιον καὶ πολιτικώτερον Z^b. ‖ 29. ἀλλὰ κοινότερον Y^b, κοινότερον ἀλλὰ καινότερον, addito super κοινότερον rc ὅτι, A^c. ‖ ὅθεν A^c.

. Utility of rhetoric
. Necessity to make a persuasive case on both sides —

λλ' ὐ κρίνυσιν. διὸ καὶ πολλαχῦ, ὥσπερ καὶ πρότε-
, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος· ἐκεῖ
οἱ κριταὶ τοῦτο τηροῦσιν ἱκανῶς. ἐπεὶ δὲ φανερόν
ἡ μὲν ἔντεχνος μέθοδος περὶ τὰς πίςεις ἐςίν, ἡ δὲ
ἀπόδειξίς τις (τότε γὰρ πιστεύομεν μάλιστα ὅταν
χθαι ὑπολάβωμεν), ἔςι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύ-
καὶ ἔςι τοῦτο ὡς εἰπεῖν ἁπλῶς κυριώτατον τῶν πί-
δ' ἐνθύμημα συλλογισμός τις, περὶ δὲ συλλογισμῦ
ἅπαντος τῆς διαλεκτικῆς ἐςὶν ἰδεῖν, ἢ αὐτῆς ὅλης ἢ
νός, δῆλον [δ'] ὅτι ὁ μάλιςα τῦτο δυνάμενος θεω-
τίνων καὶ πῶς γίνεται συλλογισμός, ὗτος καὶ ἐνθυ-
ὸς ἂν εἴη μάλιστα, προσλαβὼν περὶ ποῖά τ' ἐστὶ
μήματα καὶ τίνας ἔχει διαφορὰς πρὸς τὺς λογικὺς
σμούς· τό τε γὰρ ἀληθὲς καὶ τὸ ὅμοιον τῷ ἀληθεῖ
ῆς ἐστὶ δυνάμεως ἰδεῖν, ἅμα δὲ καὶ οἱ ἄνθρωποι
ἀληθὲς πεφύκασιν ἱκανῶς καὶ τὰ πλείω τυγχά-
ἀληθείας· διὸ πρὸς τὰ ἔνδοξα ςοχαςικῶς ἔχειν τῦ
ἔχοντος καὶ πρὸς τὴν ἀλήθειάν ἐςιν. ὅτι μὲν ὖν τὰ
πράγματος οἱ ἄλλοι τεχνολογῦσι, καὶ διότι μᾶλλον
ίκασι πρὸς τὸ δικολογεῖν, φανερόν· χρήσιμος δ'
ῥητορικὴ διά τε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ
ια τῶν ἐναντίων, ὥςε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ
γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι· τῦτο δ' ἐςὶν
ιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίυς ὐδ' εἰ τὴν ἀκριβεςάτην
ἐπιςήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας· δι-
ίας γάρ ἐςιν ὁ κατὰ τὴν ἐπιςήμην λόγος, τοῦτο δὲ
, ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίςεις
ς λόγυς, ὥσπερ καὶ ἐν τοῖς τοπικοῖς ἐλέγομεν περὶ
τὺς πολλὺς ἐντεύξεως. ἔτι δὲ τἀναντία δεῖ δύνασθαι
καθάπερ καὶ ἐν τοῖς συλλογισμοῖς, οὐχ ὅπως ἀμ-
πράττωμεν (ὐ γὰρ δεῖ τὰ φαῦλα πείθειν) ἀλλ' ἵνα
νθάνῃ πῶς ἔχει, καὶ ὅπως ἄλλυ χρωμένυ τοῖς λό-
δικαίως αὐτοὶ λύειν ἔχωμεν. τῶν μὲν ὖν ἄλλων
οὐδεμία τἀναντία συλλογίζεται, ἡ δὲ διαλεκτικὴ
ητορικὴ μόναι τοῦτο ποιῦσιν· ὁμοίως γάρ εἰσιν ἀμ-
τῶν ἐναντίων. τὰ μέντοι ὑποκείμενα πράγματα
ως ἔχει, ἀλλ' ἀεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει
γιστότερα καὶ πιθανώτερα ὡς ἁπλῶς εἰπεῖν. πρὸς
ς ἄτοπον, εἰ τῷ σώματι μὲν αἰσχρὸν μὴ δύνασθαι

βοηθεῖν ἑαυτῷ, λόγῳ δ' οὐκ αἰσχρόν· ὃ μᾶλλον ἴδιόν ἐςιν ἀνθρώπυ τῆς τῦ σώματος χρείας. εἰ δ' ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων, τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιςα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος ὑγιείας πλύτυ ςρατηγίας· τύτοις γὰρ ἄν τις ὠφελήσειε τὰ μέγιστα χρώμενος δικαίως καὶ βλάψειεν ἀδίκως. ὅτι μὲν οὖν οὐκ ἔστιν οὔτε ἑνός τινος γένυς ἀφωρισμένυ ἡ ῥητορική, ἀλλὰ καθάπερ ἡ διαλεκτική, καὶ ὅτι χρήσιμος, φανερόν, καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον, καθάπερ καὶ ἐν ταῖς ἄλλαις τέχναις πάσαις· ὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τύτυ προαγαγεῖν· ἔςι γὰρ καὶ τὺς ἀδυνάτυς μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς. πρὸς δὲ τούτοις ὅτι τῆς αὐτῆς τό τε πιθανὸν καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν, ὥσπερ καὶ ἐπὶ τῆς διαλεκτικῆς συλλογισμόν τε καὶ φαινόμενον συλλογισμόν. ὁ γὰρ σοφιςικὸς ὐκ ἐν τῇ δυνάμει ἀλλ' ἐν τῇ προαιρέσει· πλὴν ἐνταῦθα μὲν ἔσται ὁ μὲν κατὰ τὴν ἐπιςήμην ὁ δὲ κατὰ τὴν προαίρεσιν ῥήτωρ, ἐκεῖ δὲ σοφιςὴς μὲν κατὰ τὴν προαίρεσιν, διαλεκτικὸς δὲ οὐ κατὰ τὴν προαίρεσιν ἀλλὰ κατὰ τὴν δύναμιν. περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν, πῶς τε καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων. πάλιν ὖν οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐςι, λέγωμεν τὰ λοιπά.

Ἔςω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι 2
τὸ ἐνδεχόμενον πιθανόν. τοῦτο γὰρ οὐδεμιᾶς ἑτέρας ἐστὶ τέχνης ἔργον· τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὐτῇ ὑποκείμενόν ἐστι διδασκαλικὴ καὶ πειστική, οἷον ἰατρικὴ περὶ ὑγιεινὸν καὶ νοσερὸν καὶ γεωμετρία περὶ τὰ συμβεβηκότα πάθη τοῖς μεγέθεσι καὶ ἀριθμητικὴ περὶ ἀριθμόν, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν· ἡ δὲ ῥητορικὴ περὶ τῦ δοθέντος ὡς εἰπεῖν δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθανόν. διὸ καί φαμεν αὐτὴν ὐ περί τι γένος ἴδιον ἀφωρισμένον ἔχειν τὸ τεχνικόν. τῶν δὲ πίςεων αἱ μὲν ἄτεχνοί εἰσιν αἱ δ' ἔντεχνοι. ἄτεχνα δὲ λέγω ὅσα μὴ δι' ἡμῶν πεπόριςαι ἀλλὰ προϋπῆρχεν, οἷον μάρτυρες βάσανοι συγγραφαὶ καὶ ὅσα τοιαῦτα, ἔντεχνα δὲ ὅσα διὰ τῆς μεθόδου καὶ δι' ἡμῶν κατασκευασθῆναι δυνατόν. ὥστε δεῖ τούτων τοῖς μὲν

Disgraceful to be unable to defend himself

Real & apparent belong to the same science

καὶ alterum om A^c. ‖ 3. αὐτὸ A^c. ‖ 10. δ' om Q. ‖ 16. πλεῖςα Y^b. ‖ 19. οἱ] καὶ οἱ QY^bZ^b. ‖ 21. τὸ om Z^b. ‖ τά- . ‖ 22. μὴ om A^c. ‖ 24. ἔςι Z^b. ‖ 30 et 31. πιθεῖν A^c. ‖ 33. μὴ δικαίως ante 32. τοῖς A^c. ‖ 33. αὐτοῖς $Y^bZ^bA^c$. ‖ 35. ‖ 39. δὲ om QY^bZ^b.

τε $Y^bZ^bA^c$. ‖ 13. μέχρις Q. ‖ 15. γε QY^bZ^b. ‖ 17. τε — συλλογισμόν om pr A^c. ‖ ἡ γὰρ σοφιςικὴ A^c. ‖ 21. οὐ κατὰ Z^b. ‖ 24. λέγομεν QY^bZ^b. ‖ 26. δὲ Q. ‖ 29. πιστικὴ A^c. ‖ 30. ὑγιεινῶν καὶ νοσερῶν A^c. ‖ 31. ἀριθμῶν A^c. ‖ 38. καὶ τα om QY^bZ^b.

a. 28: Necessity of being able to persuade on both sides

χρήσασθαι τὰ δὲ εὑρεῖν. τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων πίστεων τρία εἴδη ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος, αἱ δὲ ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναί πως, αἱ δὲ ἐν αὐτῷ τῷ λόγῳ, διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι. διὰ μὲν οὖν τοῦ ἤθους, ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα· τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον, περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβὲς μή ἐστιν ἀλλὰ τὸ ἀμφιδοξεῖν, καὶ παντελῶς. δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τὸν λόγον, ἀλλὰ μὴ διὰ τὸ προδεδοξάσθαι ποιόν τινα εἶναι τὸν λέγοντα· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν, ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος. διὰ δὲ τῶν ἀκροατῶν, ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου προαχθῶσιν· οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες· πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας. περὶ μὲν οὖν τούτων δηλωθήσεται καθ' ἕκαστον, ὅταν περὶ τῶν παθῶν λέγωμεν· διὰ δὲ τῶν λόγων πιστεύουσιν, ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν. ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταῦτα τὰ τρία ἐστὶ λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ τὰς ἀρετὰς καὶ τρίτον τοῦ περὶ τὰ πάθη, τί τε ἕκαστόν ἐστι τῶν παθῶν καὶ ποῖόν τι, καὶ ἐκ τίνων ἐγγίνεται καὶ πῶς. ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι προσαγορεύειν πολιτικήν. διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορικὴ καὶ οἱ ἀντιποιούμενοι ταύτης τὰ μὲν δι' ἀπαιδευσίαν τὰ δὲ δι' ἀλαζονείαν τὰ δὲ καὶ δι' ἄλλας αἰτίας ἀνθρωπικάς· ἔστι γὰρ μόριόν τι τῆς διαλεκτικῆς καὶ ὁμοίωμα, καθάπερ καὶ ἀρχόμενοι εἴπομεν· περὶ οὐδενὸς γὰρ ὡρισμένου οὐδετέρα αὐτῶν ἐστὶν ἐπιστήμη, πῶς ἔχει, ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους. περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν, καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας, εἴρηται σχεδὸν ἱκανῶς. τῶν δὲ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι, καθάπερ καὶ ἐν τοῖς διαλεκτικοῖς τὸ μὲν ἐπαγωγή ἐστι τὸ δὲ συλλογισμὸς

φαινόμενος συλλογισμός, καὶ ἐνταῦθα ὁμοίως ἔχει γὰρ τὸ μὲν παράδειγμα ἐπαγωγή, τὸ δ' ἐνθύμημα λογισμός. καλῶ δ' ἐνθύμημα μὲν ῥητορικὸν συλλογ παράδειγμα δὲ ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς ποιοῦνται διὰ τοῦ δεικνύναι ἢ παραδείγματα λέγοντες θυμήματα, καὶ παρὰ ταῦτα οὐδέν πως· ὥστ' εἴπερ κα ἀνάγκη συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι ὁτιοῦν νοῦν (δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτικῶν), ἀνα ἑκάτερον αὐτῶν ἑκατέρῳ τούτων τὸ αὐτὸ εἶναι. τίς διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν τοπικῶν· ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς πρότερον, ὅτι τὸ μὲν τὸ ἐπὶ πολλῶν καὶ ὁμοίων δεί ὅτι οὕτως ἔχει ἐκεῖ μὲν ἐπαγωγή ἐστιν ἐνταῦθα δὲ δειγμα, τὸ δὲ τινῶν ὄντων ἕτερόν τι διὰ ταῦτα συμ παρὰ ταῦτα τῷ ταῦτα εἶναι, ἢ καθόλου ἢ ὡς ἐπὶ τὸ ἐκεῖ μὲν συλλογισμὸς ἐνταῦθα δὲ ἐνθύμημα καλ φανερὸν δ' ὅτι καὶ ἑκάτερον ἔχει ἀγαθὸν τὸ εἶδος τῆς τορικῆς· καθάπερ γὰρ καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, κ τούτοις ὁμοίως ἔχει· εἰσὶ γὰρ αἱ μὲν παραδειγματώδει τορεῖαι αἱ δὲ ἐνθυμηματικαί, καὶ ῥήτορες ὁμοίως οἱ παραδειγματώδεις οἱ δὲ ἐνθυμηματικοί. πιθανοὶ μὲν ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται μᾶλλον οἱ ἐνθυμηματικοί. τὴν δ' αἰτίαν αὐτῶν, καὶ ἑκατέρῳ χρηστέον, ἐροῦμεν ὕστερον· νῦν δὲ περὶ αὐτῶν τ μᾶλλον διορίσωμεν καθαρῶς. ἐπεὶ γὰρ τὸ πιθανὸν τιν θανόν ἐστι, καὶ τὸ μὲν εὐθὺς ὑπάρχει δι' αὑτὸ πιθανὸν πιστὸν τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων, οὐδεμία τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον, οἷον ἡ ἰατρικὴ τί Σωκρ τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε ἢ τ τοιοῖσδε (τοῦτο μὲν γὰρ ἔντεχνον, τὸ δὲ καθ' ἕκαστον ἄπει καὶ οὐκ ἐπιστητόν), οὐδὲ ἡ ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδ θεωρήσει, οἷον Σωκράτει ἢ Ἱππίᾳ, ἀλλὰ τὸ τοιοῖσδε, κα περ καὶ ἡ διαλεκτική. καὶ γὰρ ἐκείνη συλλογίζετα ἐξ ὧν ἔτυχεν (φαίνεται γὰρ ἄττα καὶ τοῖς παραληρ ἀλλ' ἐκείνη μὲν ἐκ τῶν λόγου δεομένων, ἡ δὲ ῥητορ

6. ποιῆ Z^b. ‖ 7. πάντα Q. ‖ 8. ἔσται QY^bZ^b. ‖ 9. τοῦ λόγου et τοῦ A^c. ‖ 11. καὶ om QY^bZ^b. ‖ 12. τοῦ λέγοντος om A^c. ‖ συμβαλλομένου QY^b, incerto Z^b. ‖ 18. μὲν] δὲ μὲν Z^b. ‖ 19. τὸν λόγον et 21. ταύτας A^c. ‖ 21. τὰ om Y^bZ^b, τὰ τρία A^c. ‖ 23. τὰς] περὶ τὰς A^c. ‖ τε om Q et pr A^c. ‖ 24. ἐστι om pr A^c. ‖ 26. ἤθη] πάθη QY^bZ^b. ‖ 30. τὰ δὲ om pr A^c. ‖ om $QY^bZ^bA^c$. ‖ 36. ἢ φαίνεσθαι δεικνύναι om Q.

1. τὸ δὲ φαινόμενος συλλογισμός om pr A^c, τὸ δὲ — 3. συλλογισμός om QZ^b. ‖ 2. ἐνθάδε Y^b. ‖ ἔχει om A^c. ‖ 3. γὰρ ... ράδειγμα μὲν ἐπαγωγή, ἐνθύμημα δὲ συλλογισμός Y^b. ‖ 13. ἐπὶ τῶν πολλῶν QY^bZ^b. ‖ ἐλέγων γε A^c. ‖ ἐπιδείκνυσθαι Y^bZ^b. ‖ 16. Z^b. ‖ 21. καὶ — 24. ἐνθυμηματικοί om Z^b. ‖ 22. οἱ om QY^b. ‖ 23. θορυβοῦνται] δείκνυνται Q. ‖ 25. ὕστερον et τούτων om pr A 26. διορίσομεν μᾶλλον Q, μᾶλλον διορίσομεν Y^bZ^b. ‖ 27. ὑπάρχει πιθανὸν εὐθὺς καὶ πιστὸν δι' αὑτό Y^b, εὐθὺς ὑπάρχει πιθανὸν δι' αὑτὸ πιστὸν QZ^b. ‖ 28. ἐνδείκνυσθαι QY^bZ^b. ‖ διὰ] διὰ τῶν Y^b. ‖ 29. ἡ om Z^b. ‖ 31. τοῦτο] καὶ τοῦτο Q. ‖ μὲν om A^c. ‖ γὰρ om Y^bZ^b. ‖ 32. ἡ et τὸ om A^c. ‖ 33. τοιοῖσδε A^c.

not of a comprehensive mind

ἰδη βϐλεύεσθαι εἰωθότων. ἔστι δὲ τὸ ἔργον αὐτῆς περί ιούτων περὶ ὧν βουλευόμεθα καὶ τέχνας μὴ ἔχομεν, ν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν ᾶν ὐδὲ λογίζεσθαι πόρρωθεν. βϐλευόμεθα δὲ περὶ τῶν ομένων ἐνδέχεσθαι ἀμφοτέρως ἔχειν· περὶ γὰρ τῶν ἐτων ἄλλως ἢ γενέσθαι ἢ ἔσεσθαι ἢ ἔχειν οὐδεὶς βου-ται οὕτως ὑπολαμβάνων· οὐδὲν γὰρ πλέον. ἐνδέχεται λλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμέ-τρότερον, τὰ δ' ἐξ ἀσυλλογίςων μὲν δεομένων δὲ συλ-τμϐ διὰ τὸ μὴ εἶναι ἔνδοξα. ἀνάγκη δὲ τϐτων τὸ μὲν ἶναι εὐεπακολϐθητον διὰ τὸ μῆκος (ὁ γὰρ κριτὴς ὑπό-ι εἶναι ἁπλοῦς), τὰ δὲ μὴ πιθανὰ διὰ τὸ μὴ ἐξ ὁμο-ημένων εἶναι μηδ' ἐνδόξων, ὥς' ἀναγκαῖον τό τε ἐνθύ-ι εἶναι καὶ τὸ παράδειγμα περὶ τῶν ἐνδεχομένων ὡς ολλὰ ἔχειν καὶ ἄλλως, τὸ μὲν παράδειγμα ἐπαγω-τὸ δ' ἐνθύμημα συλλογισμόν, καὶ ἐξ ὀλίγων τε καὶ άκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός· ἐὰν ᾖ τι τϐτων γνώριμον, οὐδὲ δεῖ λέγειν· αὐτὸς γὰρ τϐτο ίθησιν ὁ ἀκροατής. οἷον ὅτι Δωριεὺς ςεφανίτην ἀγῶνα ηκεν, ἱκανὸν εἰπεῖν ὅτι Ὀλύμπια νενίκηκεν· τὸ δ' ὅτι ανίτης τὰ Ὀλύμπια, οὐδὲ δεῖ προσθεῖναι· γινώσκουσι πάντες. ἐπεὶ δ' ἐστὶν ὀλίγα μὲν τῶν ἀναγκαίων ἐξ ῥητορικοὶ συλλογισμοί εἰσι (τὰ γὰρ πολλὰ περὶ ὧν ρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως ἔχειν· ὧν μὲν γὰρ πράττϐσι, βϐλεύονται καὶ σκοπϐσι, τὰ ραττόμενα πάντα τοιϐτϐ γένϐς ἐςί, καὶ ϐδὲν ὡς ἔπος ἐξ ἀνάγκης τϐτων), τὰ δ' ὡς ἐπὶ τὸ πολὺ συμβαί-καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλο-θαι, τὰ δ' ἀναγκαῖα ἐξ ἀναγκαίων (δῆλον δ' ἡμῖν τϐτο ἐκ τῶν ἀναλυτικῶν), φανερὸν ὅτι ἐξ ὧν τὰ ἐν-ματα λέγεται, τὰ μὲν ἀναγκαῖα ἔςαι, τὰ δὲ πλεῖςα πὶ τὸ πολύ. λέγεται γὰρ ἐνθυμήματα ἐξ εἰκότων καὶ ίων, ὥςε ἀνάγκη τϐτων ἑκάτερον ἑκατέρῳ ταὐτὸ εἶναι. ὲν γὰρ εἰκός ἐστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενον, οὐχ ῦς δέ, καθάπερ ὁρίζονταί τινες, ἀλλὰ τὸ περὶ τὰ ἐν-μενα ἄλλως ἔχειν, οὕτως ἔχον πρὸς ἐκεῖνο πρὸς ὃ

εἰκός, ὡς τὸ καθόλϐ πρὸς τὸ κατὰ μέρος· τῶν δὲ σημείων τὸ μὲν ϐτως ἔχει ὡς τῶν καθ' ἕκαςόν τι πρὸς τὸ καθόλϐ, τὸ δὲ ὡς τῶν καθόλου τι πρὸς τὸ κατὰ μέρος. τϐτων δὲ τὸ μὲν ἀναγκαῖον τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον ἀνώνυμόν ἐςι κατὰ τὴν διαφοράν. ἀναγκαῖα μὲν ϐν λέγω ἐξ ὧν γίνεται συλλογισμός· διὸ καὶ τεκμήριον τὸ τοιϐτον τῶν σημείων ἐςίν· ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον· τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐςι κατὰ τὴν ἀρχαίαν γλῶτταν. ἔστι δὲ τῶν σημείων τὸ μὲν ὡς τὸ καθ' ἕκαςον πρὸς τὸ καθόλου ὧδε, οἷον εἴ τις εἴπειεν σημεῖον εἶναι ὅτι οἱ σοφοὶ δίκαιοι, Σωκράτης γὰρ σοφὸς ἦν καὶ δίκαιος. τϐτο μὲν οὖν σημεῖόν ἐςι, λυτὸν δέ, κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον· ἀσυλλόγιστον γάρ. τὸ δέ, οἷον εἴ τις εἴπειεν σημεῖον ὅτι νοσεῖ, πυρέττει γάρ, ἢ τέτοκεν ὅτι γάλα ἔχει, ἀναγκαῖον. ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐςίν· μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐςιν. τὸ δὲ ὡς τὸ καθόλϐ πρὸς τὸ κατὰ μέρος ἔχον, οἷον εἴ τις εἴπειεν, ὅτι πυρέττει, σημεῖον εἶναι, πυκνὸν γὰρ ἀναπνεῖ. λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ· ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευςιᾶν. τί μὲν οὖν εἰκός ἐςι καὶ τί σημεῖον καὶ τεκμήριον, καὶ τί διαφέρϐσιν, εἴρηται μὲν καὶ νῦν· μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων, καὶ διὰ τίν' αἰτίαν τὰ μὲν ἀσυλλόγιστά ἐστι τὰ δὲ συλλελογισμένα, ἐν τοῖς ἀναλυτικοῖς διώριςαι περὶ αὐτῶν. παράδειγμα δὲ ὅτι μέν ἐστιν ἐπαγωγὴ καὶ περὶ ποῖα ἐπαγωγή, εἴρηται. ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον οὔθ' ὡς ὅλον πρὸς μέρος οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος, γνωριμώτερον δὲ θάτερον ᾖ θατέρου, παράδειγμά ἐστιν. οἷον ὅτι ἐπεβούλευε τυραννίδι Διονύσιος αἰτῶν τὴν φυλακήν· καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβϐλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε, καὶ Θεαγένης ἐν Μεγάροις· καὶ ἄλλοι ὅσϐς ἴσασι, παράδειγμα πάντες γίνονται τοῦ Διονυσίϐ, ὃν ϐκ ἴσασί πω εἰ διὰ τϐτο αἰτεῖ. πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλϐ, ὅτι ὁ ἐπιβϐλεύων τυραννίδι φυλακὴν αἰτεῖ.

a. 10-12 ἔνδοξα ὁμολογ...

Analytica

1. βϐλευόμεθα δὲ om Z^b. ‖ 7. ϐτως] ὀρθῶς Y^b. ‖ πλέον] πλέον ἢ οὕτως ἐνδέχεται συμβϐλεύειν QY^bZ^b. ‖ 10. ἔνδοξα — 11. εἶναι r Z^b. ‖ 10. ἀναγκαῖον Y^b. ‖ 11. μὴ om Y^b. ‖ 14. εἶναι ante 13. τό Y^b. ‖ 14. περί τε τῶν A^c. ‖ 15. καὶ ἄλλως] καλῶς pr λλως A^c. ‖ ἐπαγωγὴν ἔχειν τὸ Y^b. ‖ 17. ἐὰν — b 6. συλλογισμός in margine A^c paulo rc. ‖ 20. ὅτι ὀλύμπια γὰρ νενίκηκεν ο A^c. ‖ 21. τὰ] ἐπεὶ τὰ rc Z^b. ‖ 24. καὶ αἱ σκέψεις om Z^b. ‖ 26. ἔπος om Q. ‖ 32. λέγεται γὰρ] τὰ δ' margo A^c. ‖ καὶ] margo A^c.

7. οἷόν τε Y^b. ‖ 11. τὸ prius om Q. ‖ εἴποιεν A^c, εἴποι QY^bZ^b. ‖ 12. γὰρ ὁ σοφὸς Q. ‖ 13. ἐςι om A^c. ‖ λυτέον QY^bZ^b, A^c. ‖ 15 et 18. εἴποιε Y^bZ^b, εἴποι Q^b. ‖ 25. παράδειγμα δὲ om Q. ‖ 26. μεταγωγὴ pr Z^b. ‖ καὶ περὶ ποῖα ἡ ἐπαγωγή Q, Z^b. ‖ 27. οὔθ' — 28. πρὸς μέρος om A^c. ‖ 30. ᾖ] ἢ τϐτο ἢ A^c. ‖ 31. διόνυσος Z^b. ‖ 33. ἐτυράννησε QY^bZ^b. ‖ 34. ἴασι Z^b. ‖ ασί Z^b. ‖ 36. αἰτεῖ Y^bZ^b. ‖ ὁ om QY^bZ^b.

ἐξ ὧν μὲν ὖν λέγονται αἱ δοκῦσαι εἶναι πίςεις ἀποδεικτικαί, εἴρηται. τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιςα λεληθυῖα σχεδὸν πάντας ἐςὶν ἥπερ καὶ περὶ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν γὰρ αὐτῶν ἐςὶ κατὰ τὴν ῥητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν, τὰ δὲ κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας τὰς δ' ὔπω κατειλημμένας· διὸ καὶ λανθάνυσί τε τοὺς ἀκροατάς, καὶ μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνυσιν ἐξ αὐτῶν. μᾶλλον δὲ σαφὲς ἔςαι τὸ λεγόμενον διὰ πλειόνων ῥηθέν. λέγω γὰρ διαλεκτικύς τε καὶ ῥητορικὺς συλλογισμὺς εἶναι περὶ ὧν τοὺς τόπους λέγομεν· οὗτοι δ' εἰσὶν οἱ κοινῇ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει, οἷον ὁ τῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ μᾶλλον ἔςαι ἐκ τούτυ συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων ἢ φυσικῶν ἢ περὶ ὁτυῦν· καίτοι ταῦτα εἴδει διαφέρει. ἴδια δέ, ὅσα ἐκ τῶν περὶ ἕκαςον εἶδος καὶ γένος προτάσεών ἐςιν, οἷον περὶ φυσικῶν εἰσὶ προτάσεις ἐξ ὧν ὔτε ἐνθύμημα ὔτε συλλογισμός ἐςι περὶ τῶν ἠθικῶν, καὶ περὶ τύτων ἄλλαι ἐξ ὧν ὐκ ἔςαι περὶ τῶν φυσικῶν· ὁμοίως δὲ τῦτ' ἔχει ἐπὶ πάντων. κἀκεῖνα μὲν οὐ ποιήσει περὶ ὐδὲν γένος ἔμφρονα· περὶ ὐδὲν γὰρ ὑποκείμενόν ἐςιν· ταῦτα δέ, ὅσῳ τις ἂν βέλτιον ἐκλέγηται τὰς προτάσεις, λήσει ποιήσας ἄλλην ἐπιςήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, ὐκέτι διαλεκτικὴ ὐδὲ ῥητορικὴ ἀλλ' ἐκείνη ἔςαι ἧς ἔχει τὰς ἀρχάς. ἔστι δὲ τὰ πλεῖςα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων, ἐκ δὲ τῶν κοινῶν ἐλάττω. καθάπερ ὖν καὶ ἐν τοῖς τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τὺς τόπυς ἐξ ὧν ληπτέον. λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαςον γένος ἰδίας προτάσεις, τόπυς δὲ τὺς κοινὺς ὁμοίως πάντων. πρότερον ὖν εἴπωμεν περὶ τῶν εἰδῶν· πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, ὅπως διελόμενοι πόσα ἐςί, περὶ τύτων χωρὶς λαμβάνωμεν τὰ ςοιχεῖα καὶ τὰς προτάσεις.

3 Ἔςι δὲ τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν· τοσῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχυσιν ὄντες. σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τῦ λέγοντος καὶ περὶ ῦ λέγει καὶ πρὸς ὅν, καὶ τὸ τέλος πρὸς τῦτό λέγω δὲ τὸν ἀκροατήν. ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶ λόντων. ἔςι δ' ὁ μὲν περὶ τῶν μελλόντων κρίνω: ε κλησιαςής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον ὁ δικα δὲ περὶ τῆς δυνάμεως ὁ θεωρός· ὥστ' ἐξ ἀνάγκης τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβυλευτικό κανικόν, ἐπιδεικτικόν. συμβουλῆς δὲ τὸ μὲν προτρ δὲ ἀποτροπή· ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβυλεύοντες κοινῇ δημηγορῦντες τύτων θάτερον ποιῦσιν. δίκης δὲ τ κατηγορία τὸ δ' ἀπολογία· τούτων γὰρ ὁποτερονῦν ἀνάγκη τὺς ἀμφισβητῦντας. ἐπιδεικτικῦ δὲ τὸ μὲν νος τὸ δὲ ψόγος. χρόνοι δὲ ἑκάςου τούτων εἰσὶ τῷ συμβυλεύοντι ὁ μέλλων (περὶ γὰρ τῶν ἐσομένων σ λεύει ἢ προτρέπων ἢ ἀποτρέπων), τῷ δὲ δικαζομένῳ νόμενος (περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατ ὁ δὲ ἀπολογεῖται), τῷ δ' ἐπιδεικτικῷ κυριώτατος παρών· κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέ πάντες, προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα μιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες. τέλ ἑκάςοις τούτων ἕτερόν ἐςι, καὶ τρισὶν οὖσι τρία, τῷ συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν· ὁ μὲν προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπ χεῖρον ἀποτρέπει, τὰ δ' ἄλλα πρὸς τῦτο συμπαρα βάνει, ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν· τ δικαζομένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, τὰ δ' ἄλλα ὗτοι συμπαραλαμβάνυσι πρὸς ταῦτα· τοῖς δ' ἐπαινῦσ ψέγυσι τὸ καλὸν καὶ τὸ αἰσχρόν, τὰ δ' ἄλλα καὶ πρὸς ταῦτα ἐπαναφέρουσιν. σημεῖον δ' ὅτι τὸ εἰρημ ἑκάστοις τέλος· περὶ μὲν γὰρ τῶν ἄλλων ἐνίοτε οὐκ ἀμφισβητήσαιεν, οἷον ὁ δικαζόμενος ὡς οὐ γέγονεν ἢ οὐκ ἔβλαψεν· ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογή ὐδὲν γὰρ ἂν ἔδει δίκης. ὁμοίως δὲ καὶ οἱ συμβυλεύ τὰ μὲν ἄλλα πολλάκις προΐενται, ὡς δὲ ἀσύμφορα βυλεύυσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπυσιν ὐκ ἂν ὁμολ σαιεν· ὡς δ' ὐκ ἄδικον τὺς ἀςυγείτονας καταδυλοῦ καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν φροντί ὁμοίως δὲ καὶ οἱ ἐπαινῦντες καὶ οἱ ψέγοντες ὐ σκοπ

1. ὖν] ῦ (ου) Z^b. ‖ ἀποδεικταί Z^b. ‖ 2. μεγάλη QY^bZ^b. ‖ 3. πάντας] παρὰ πᾶσιν A^c. ‖ 6. μέθοδον τῶν συλλογισμῶν ante 5. Y^b, om Z^b. ‖ 9. post τρόπον QY^bZ^b δεόντως. ‖ 12. τόπους] λόγους A^c. ‖ κοινεὶ A^c. ‖ 13. περὶ priorem om Y^b. ‖ πολλῦ 15. ἐκ τύτυ om pr A^c. ‖ συλλογίζεσθαι Z^b. ‖ 16. φυσικῶν] περὶ φυσικῶν A^c. ‖ αὐτὰ A^c. ‖ 17. διαφέρυσιν Y^b. ‖ 23. βελτίω A^c. ‖ 25. ὐκ ἔςι Z^b. ‖ 32. κοινῶς QY^bZ^b.

5. ὁ post οἷον om Y^b. ‖ 6. περὶ om A^c. ‖ 10. δημιυργῦντες Z^b. ‖ 15. ἢ ἀποτρέπων om Z^b. ‖ 16. ἀεὶ om Y^b. ‖ ὁ μὲν Z^b. ‖ 21. ἑκάςου Q. ‖ 31. ὡς post ἢ om Y^bA^c. ‖ 32. ὁμολογήσειεν — 35. ἂν om Y^b. ‖ 33. ὐδὲ QZ^b. ‖ 37. ὐδὲ QY^b et pr

ιμφέροντα ἔπραξεν ἢ βλαβερά, ἀλλὰ καὶ ἐν ἐπαίνῳ ιάκις τιθέασιν ὅτι ὀλιγωρήσας τȣ͂ αὐτῷ λυσιτελȣ͂ντος ξέ τι καλόν, οἷον Ἀχιλλέα ἐπαινοῦσιν ὅτι ἐβοήθησε ταίρῳ Πατρόκλῳ εἰδὼς ὅτι δεῖ αὐτὸν ἀποθανεῖν, ἐξὸν τȣ́τῳ δὲ ὁ μὲν τοιȣ͂τος θάνατος κάλλιον, τὸ δὲ ζῆν φέρον. φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι ἀνάγκη περὶ ν ἔχειν πρῶτον τὰς προτάσεις· τὰ γὰρ τεκμήρια καὶ ικότα καὶ τὰ σημεῖα προτάσεις εἰσὶ ῥητορικαί· ὅλος γὰρ συλλογισμὸς ἐκ προτάσεών ἐςι, τὸ δ' ἐνθύμημα ιογισμός ἐςι συνεςηκὼς ἐκ τῶν εἰρημένων προτάσεων. δὲ ȣ̓́τε πραχθῆναι οἷόν τε ȣ̓́τε πραχθήσεσθαι τὰ ἀδύ- ἀλλὰ τὰ δυνατά, ȣ̓δὲ τὰ μὴ γενόμενα ἢ μὴ ἐσό- ȣ̓χ οἷόν τε τὰ μὲν πεπρᾶχθαι τὰ δὲ πραχθήσεσθαι, καῖον καὶ τῷ συμβȣλεύοντι καὶ τῷ δικαζομένῳ καὶ πιδεικτικῷ ἔχειν προτάσεις περὶ δυνατȣ͂ καὶ ἀδυνάτȣ, εἰ γέγονεν ἢ μή, καὶ εἰ ἔςαι ἢ μή. ἔτι δ' ἐπεὶ ἅπαν- καὶ ἐπαινοῦντες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ρέποντες καὶ κατηγορȣ͂ντες καὶ ἀπολογȣ́μενοι ȣ̓ μόνον ἰρημένα δεικνύναι πειρῶνται ἀλλὰ καὶ ὅτι μέγα ἢ ὸν τὸ ἀγαθὸν ἢ τὸ κακὸν ἢ τὸ καλὸν ἢ τὸ αἰσχρὸν δίκαιον ἢ τὸ ἄδικον, ἢ καθ' αὑτὰ λέγοντες ἢ πρὸς ηλα ἀντιπαραβάλλοντες, δῆλον ὅτι δέοι ἂν καὶ περὶ θȣς καὶ μικρότητος καὶ τȣ͂ μείζονος καὶ τȣ͂ ἐλάττονος ἀσεις ἔχειν, καὶ καθόλȣ καὶ περὶ ἑκάςȣ, οἷον τί μεῖ- ἀγαθὸν ἢ ἔλαττον ἢ ἀδίκημα ἢ δικαίωμα· ὁμοίως δὲ περὶ τῶν ἄλλων. περὶ ὧν μὲν ȣ͂ν ἐξ ἀνάγκης δεῖ λα- τὰς προτάσεις, εἴρηται· μετὰ δὲ ταῦτα διαιρετέον περὶ ἑκάςου τȣ́των, οἷον περὶ ὧν συμβȣλὴ καὶ περὶ ἐπιδεικτικοὶ λόγοι, τρίτον δὲ περὶ ὧν αἱ δίκαι.

Πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ μβȣλεύων συμβȣλεύει, ἐπειδὴ ȣ̓ περὶ ἅπαντα ἀλλ' ἐνδέχεται καὶ γενέσθαι καὶ μή. ὅσα δὲ ἐξ ἀνάγκης ιν ἢ ἔςαι ἢ ἀδύνατον εἶναι ἢ γενέσθαι, περὶ δὲ τȣ́των ςι συμβȣλή. ȣ̓δὲ δὴ περὶ τῶν ἐνδεχομένων ἁπάντων· γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ ἐνδεχομένων καὶ γίγνεσθαι καὶ μή, περὶ ὧν ȣ̓δὲν πρὸ τὸ συμβȣλεύειν· ἀλλὰ δῆλον ὅτι περὶ ὅσων ἐςὶ τὸ ύεσθαι. τοιαῦτα δ' ἐςὶν ὅσα πέφυκεν ἀνάγεσθαι εἰς , καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐςίν· μέχρι γὰρ τούτȣ σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ ἀδύνατα πρᾶξαι. καθ' ἕκαςον μὲν ȣ͂ν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν, ἔτι δ' ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλήθειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης ἀλλ' ἐμφρονεςέρας καὶ μᾶλλον ἀληθινῆς, πολλῷ δὲ πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων· ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐςιν, ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιςήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς, ὁμοία δ' ἐστὶ τὰ μὲν τῇ διαλεκτικῇ τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις. ὅσῳ δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις ἀλλ' ἐπιςήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιςήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων. ὅμως δ' ὅσα πρὸ ἔργȣ μέν ἐςι διελεῖν, ἔτι δ' ὑπολείπει σκέψιν τῇ πολιτικῇ ἐπιςήμῃ, εἴπωμεν καὶ νῦν. σχεδὸν γάρ, περὶ ὧν βȣλεύονται πάντες καὶ περὶ ἃ ἀγορεύȣσιν οἱ συμβουλεύοντες, τὰ μέγιςα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶ περί τε πόρων, καὶ πολέμȣ καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ περὶ νομοθεσίας. ὥςε περὶ μὲν πόρων τὸν μέλλοντα συμβȣλεύσειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι, ὅπως εἴτε τις παραλείπεται προςεθῇ καὶ εἴ τις ἐλάττων αὐξηθῇ, ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων ἐλάττων γένηται· ȣ̓ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προςιθέντες πλȣσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιρȣ͂ντες τῶν δαπανημάτων. ταῦτα δ' ȣ̓ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱςορικὸν εἶναι πρὸς τὴν περὶ τȣ́των συμβȣλήν. περὶ δὲ πολέμȣ καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι, καὶ ποία τις ἥ τε ὑπάρχουσά ἐστι καὶ ἥτις ἐνδέχεται προσγενέσθαι, ἔτι δὲ πολέμους τίνας καὶ πῶς πεπολέμηκεν. ȣ̓ μόνον δὲ τῆς οἰκείας πόλεως ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι. ἢ καὶ πρὸς ȣ͂ς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τȣ̀ς κρείττȣς εἰρηνεύηται,

Even now rhetoric … p. 1360 1356

Dialectic and Rhetoric are not ἐπιςῆμαι but δυνάμεις

3. τι] ὅτι A^c. ‖ 7. τὰς om QY^bZ^b. ‖ 11. πραχθήσεσθαι] πεπρᾶχθαι Z^bA^c. ‖ 12. μὴ post ἢ om Z^b. ‖ 17. καὶ οἱ ἐπαινȣ͂ντες καὶ γοντες Y^b. ‖ 20. μικρὸν] μικρὸν ἢ QY^bZ^b. ‖ 22. ἄλλα ἀντιπαραβαλλάβοντες Z^b. ‖ 24. μεῖζον] μεῖζον ἢ Q. ‖ 28. καὶ om Z^b. ‖ et ἀλλ' ὅσα om pr A^c. ‖ 32. καὶ μή — 33. γενέσθαι om Q. ‖ 33. δὲ om Q. ‖ 34. ἐςαι A^c. ‖ 36. γίγνεται Q. ‖ 37. ὅσον ‖ 38. συμβουλεύεσθαι Q. ‖ 39. ἡ om Q.

7. πολλῶν Q. ‖ τε A^c. ‖ 9. μὲν om pr A^c. ‖ 13. πειράσηται Y^b. ‖ 17. ἔτι] εἴ τι Y^b. ‖ 19. ἃ] ὧν A^c. ‖ 20. τυγχάνειν Y^b ‖ 22. καὶ ἐξαγομένων om pr A^c. ‖ 24. συμβȣλεύειν A^c. ‖ 36. ἥτις et 38. ἢ om pr A^c. ‖ 39. κρείττονας QY^bZ^b.

πρὸς δὲ τὺς ἥττυς ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν. καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι ἢ ἀνόμοιαι· ἔστι γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττῦσθαι. ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τὺς οἰκείυς πολέμυς τεθεωρηκέναι ἀλλὰ καὶ τὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν. ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων (τῦτο δ' ἀδύνατον μὴ ἔμπειρον ὄντα τῆς χώρας), ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προςεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπυς τηρῶσι μᾶλλον. ἔτι δὲ περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία ἡ αὐτῦ τε γιγνομένη καὶ εἰσαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς, ἵνα πρὸς τούτυς καὶ συνθῆκαι καὶ συμβολαὶ γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτυς τὺς πολίτας, πρός τε τοὺς κρείττυς καὶ πρὸς τὺς εἰς ταῦτα χρησίμυς. εἰς δ' ἀσφάλειαν ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν, ὐκ ἐλάχιςον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐςὶν ἡ σωτηρία τῆς πόλεως, ὥς' ἀναγκαῖον εἰδέναι πόσα τ' ἐςὶ πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάςῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκε καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται, οἷον δημοκρατία ὐ μόνον ἀνιεμένη ἀσθενεςέρα γίνεται ὥςε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα, ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης ὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ ὕτω διατίθεται ὥςε μηδὲ μυκτῆρα δοκεῖν εἶναι. χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττυσιν. ὥστε δῆλον ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι (ἐντεῦθεν γὰρ λαβεῖν ἔςι τὺς τῶν ἐθνῶν νόμυς), πρὸς δὲ τὰς πολιτικὰς συμβυλὰς αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱςορίαι· ἅπαντα δὲ ταῦτα πολιτικῆς ἀλλ' ὐ ῥητορικῆς ἔργον ἐςίν. περὶ ὧν μὲν ὖν ἔχειν δεῖ τὸν μέλλοντα συμβυλεύειν, τὰ μέγιςα τοσαῦτά ἐςιν· ἐξ ὧν δὲ δεῖ κα[...] τύτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπει[...] γωμεν πάλιν.

Σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι [...] τις ἐστίν, ὖ ςοχαζόμενοι καὶ αἱρῦνται καὶ φεύγυσι[...] τῦτ' ἐςὶν ἐν κεφαλαίῳ εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ [...] αὐτῆς. ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐσ[...] ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία, καὶ ἐκ τίνων τὰ μόρια [...]της· περὶ γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντε[...] καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε προτροπαὶ καὶ αἱ ἀ[...] παὶ πᾶσαί εἰσιν· τὰ μὲν γὰρ παρασκευάζοντα ταύ[...] τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιῦντα, δεῖ [...]τειν, τὰ δὲ φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία π[...] μὴ πράττειν. ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀ[...] ἢ αὐτάρκεια ζωῆς, ἢ ὁ βίος ὁ μετ' ἀσφαλείας ἥδις[...] εὐθηνία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλ[α]κῆς τε καὶ πρακτικῆς τούτων· σχεδὸν γὰρ τούτων [...] πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες. [...] ἐςιν ἡ εὐδαιμονία τοιῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη [...]νειαν, πολυφιλίαν, χρηςοφιλίαν, πλῦτον, εὐτεκνίαν, π[...]τεκνίαν, εὐγηρίαν, ἔτι τὰς τῦ σώματος ἀρετάς, οἷον ὑγ[...] κάλλος ἰσχὺν μέγεθος δύναμιν ἀγωνιςικήν, δόξαν, τ[...] εὐτυχίαν, ἀρετήν [ἢ καὶ τὰ μέρη αὐτῆς, φρόνησιν ἀν[...] δικαιοσύνην σωφροσύνην]· ὕτω γὰρ ἂν αὐταρκέςατο[...] εἰ ὑπάρχοι αὐτῷ τά τ' ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγ[...] οὐ γάρ ἐςιν ἄλλα παρὰ ταῦτα. ἔςι δ' ἐν αὐτῷ μὲ[ν] περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φ[...] καὶ χρήματα καὶ τιμή. ἔτι δὲ προσήκειν οἰόμεθα δυ[νά]μεις ὑπάρχειν καὶ τύχην· οὕτω γὰρ ἂν ἀσφαλέςατο[ς ὁ] βίος εἴη. λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον [...] ἐςιν. εὐγένεια μὲν ὖν ἐςὶν ἔθνει μὲν καὶ πόλει τὸ αὐ[τό]χθονας ἢ ἀρχαίους εἶναι, καὶ ἡγεμόνας τοὺς πρώτυς [...] φανεῖς, καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν [...] τοῖς ζηλευμένοις· ἰδίᾳ δὲ εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ [...] γυναικῶν, καὶ γνησιότης ἀπ' ἀμφοῖν, καὶ ὥσπερ ἐπὶ [...]λεως τούς τε πρώτους γνωρίμυς ἢ ἐπ' ἀρετῇ ἢ πλύτ[ῳ ἢ] ἄλλῳ τῳ τῶν τιμωμένων, καὶ πολλοὺς ἐπιφανεῖς ἐκ [...] γένυς καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέυς καὶ πρεσβύτ[...]

1. ἐπ' αὐτῆς Z^b, ἐφ' αὐτοῖς A^c ‖ 11. τηρῶν Z^b, τηρεῖν Q. ‖ 12. ἔςι δὲ παρὰ Z^b. ‖ 13. αὐτόθι QY^bZ^b. γε καὶ πόση τε αὐ[...] γινομένη καὶ πόση εἰσαγώγιμος A^c. ‖ 14. τούτοις Z^bA^c, ταῦτα Y^b. ‖ 15. φυλάττειν QY^bZ^b. ‖ 18. ἅπαντα] μὲν πάντα Z^b. ‖ ἀσφ[...] QY^bZ^b. ‖ 26. ἥξειν Q. ‖ 29. ὥςε] τὴν ῥῖνα ὥςε QY^b. ‖ 36. γραφέντες Z^b. ‖ 37. ἱςορίας A^c, ἱςορίων Z^b.

2. ἢ ἀποτρέπειν om pr A^c. ‖ λέγομεν Z^bA^c. ‖ 9. ταύτης καὶ om pr A^c. ‖ ταῦτα Q. ‖ 10. καὶ ἀποτροπαὶ πᾶσαι QY^bZ^b. ‖ τὰ post ἢ om Y^b. ‖ 15. ὁ post βίος om Y^b. ‖ 16. εὐσθένεια QY^bZ^b. ‖ χρημάτων et φυλακῆς et 17. πρακτικῦ Z^b. ‖ 18. ὅπ[...] pr A^c. ‖ 23. ἢ — 24. σωφροσύνην om Z^bA^c. ‖ 25. ὑπάρχει QY^bZ^b. ‖ 29. ἂν om A^c. ‖ 30. εἴη corr A^c. ‖ 32. ἐπιφανεῖς — πρώτους om Z^b.

κνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα· ἔςι δὲ τῷ κοινῷ εὐτεκνία, νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ ἀρετὴν σώματος, οἷον μέγεθος κάλλος ἰσχὺν δύνα- ἀγωνιστικήν· ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρία νέου αί. ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα λα καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα· θηλειῶν ἐρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ ροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας. ὁμοίως δὲ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων· ὅσοις γὰρ τὰ ὶ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις, σχεδὸν ὶ τὸ ἥμισυ ὐκ εὐδαιμονῦσιν. πλύτυ δὲ μέρη νομίσμα- πλῆθος, γῆς, χωρίων κτῆσις, ἔτι δὲ ἐπίπλων κτῆσις βοσκημάτων καὶ ἀνδραπόδων πλήθει καὶ μεγέθει καὶ λει διαφερόντων, ταῦτα δὲ πάντα καὶ ἀσφαλῆ καὶ θέρια καὶ χρήσιμα. ἔςι δὲ χρήσιμα μὲν μᾶλλον τὰ τιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν· κάρπιμα δὲ ν ἀφ' ὧν αἱ πρόσοδοι, ἀπολαυςικὰ δὲ ἀφ' ὧν μηδὲν ὶ τὴν χρῆσιν γίγνεται, ὅ τι καὶ ἄξιον. ὅρος δὲ ἀσφα- ς μὲν τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆσθαι ὥς' ἐφ' αὐτῷ τὴν χρῆσιν αὐτῶν· τῦ τε οἰκεῖα εἶναι ἢ μή, ὅταν ἐφ' ῷ ἢ ἀπαλλοτριῶσαι· λέγω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ ριν. ὅλως δὲ τὸ πλυτεῖν ἐςὶν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ῷ κεκτῆσθαι· καὶ γὰρ ἡ ἐνέργειά ἐςι τῶν τοιύτων καὶ οῆσις πλῦτος. εὐδοξία δ' ἐςὶ τὸ ὑπὸ πάντων σπυδαῖον λαμβάνεσθαι, ἢ τοιῦτόν τι ἔχειν ὃ πάντες ἐφίενται ἢ ολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι. τιμὴ δ' ἐστὶ μὲν ῖον εὐεργετικῆς δόξης, τιμῶνται δὲ δικαίως μὲν καὶ ιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ ὁ μενος εὐεργετεῖν· εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ὅσα ι τῦ εἶναι, ἢ εἰς πλῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ιὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ ποτέ· πολλοὶ διὰ μικρὰ δοκῦντα τιμῆς τυγχάνυσιν, ἀλλ' οἱ τόποι οἱ καιροὶ αἴτιοι. μέρη δὲ τιμῆς θυσίαι, μνῆμαι ἐν οις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, τάφοι, ες, τροφαὶ δημόσιαι, τὰ βαρβαρικά, οἷον προσκυνήσεις ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάςοις τίμια. καὶ γὰρ τὸ ν ἐστι κτήματος δόσις καὶ τιμῆς σημεῖον, διὸ καὶ οἱ χρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν· ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται· καὶ γὰρ κτῆμά ἐςιν, ὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι. σώματος δὲ ἀρετὴ ὑγίεια, αὕτη δὲ ὕτως ὥςε ἀνόσυς εἶναι χρωμένους τοῖς σώμασιν· πολλοὶ γὰρ ὑγιαίνυσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείςων. κάλλος δὲ ἕτερον καθ' ἑκάςην ἡλικίαν ἐστίν. νέυ μὲν οὖν κάλλος τὸ πρὸς τὺς πόνυς χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν, διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν· ἀκμάζοντος δὲ πρὸς μὲν πόνυς τοὺς πολεμικύς, ἡδὺν δὲ εἶναι δοκεῖν μετὰ φοβερότητος· γέροντος δὲ πρὸς μὲν πόνυς τοὺς ἀναγκαίυς ἱκανόν, ἄλυπον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται. ἰσχὺς δ' ἐςὶ μὲν δύναμις τοῦ κινεῖν ἕτερον ὡς βούλεται, ἀνάγκη δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ πιέζοντα ἢ συνθλίβοντα, ὥςε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τύτων τισίν ἐστιν ἰσχυρός. μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχειν κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν τοσούτῳ μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθυς καὶ ἰσχύος καὶ τάχυς· καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός, ὁ δὲ θλίβειν καὶ κατέχειν παλαιςικός, ὁ δὲ ὦσαι τῇ πληγῇ πυκτικός, ὁ δ' ἀμφοτέροις τύτοις παγκρατιαςικός, ὁ δὲ πᾶσι πένταθλος. εὐγηρία δ' ἐςὶ βραδυτὴς γήρως μετ' ἀλυπίας· ὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως, ὔτ' εἰ μόγις μὲν λυπηρῶς δέ. ἔςι δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης· μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς ὐκ ἔςαι ἀπαθὴς ὐδ' ἄλυπος καὶ πολυχρόνιος, οὔτ' ἄνευ τύχης διαμείνειεν ἄν. ἔστι δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος· πολλοὶ γὰρ ἄνευ τῶν τῦ σώματος ἀρετῶν μακρόβιοί εἰσιν· ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τύτων εἰς τὰ νῦν. πολυφιλία δὲ καὶ χρηςοφιλία οὐκ ἄδηλα τῦ φίλυ ὡρισμένυ, ὅτι ἐςὶν ὁ τοιοῦτος φίλος ὅςις ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐςιν αὐτῶν δι' ἐκεῖνον. ᾧ δὴ πολλοὶ τοιῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηςόφιλος. εὐτυχία δ' ἐςίν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα

12. νομίσματα et 13. κτήσεις QY^bZ^b. ‖ 13. ἔτι — 14. ἀνδραπόδων om Z^bA^c. ‖ 14. καὶ ἀνδραπόδων καὶ βοσκημάτων margo A^c. ‖ καὶ prius om A^c. ‖ 16. post χρήσιμα Q χρὴ εἶναι δηλονότι. ‖ 18. ἀπολαυτικὰ A^c. ‖ 20. μὲν om Y^b. ‖ 21. οἰκεῖον QY^bZ^b. ‖ Q. ‖ 22. ἢ ἀπαλλοτριῶσαι] τὸ ἀλλοτριῶσαι pr A^c. ‖ 23. τὸ om Q. ‖ 24. ἡ om A^c. ‖ 25. κτῆσις QY^bZ^b. ‖ 28. εὐδοξίας ‖ 31. ἄλλων om Y^b. ‖ 33. διὰ τὸ μικρὰ δοκεῖν τιμῆς Q. ‖ τρόποι QY^bZ^b. ‖ 39. ἀμφότεροι Z^b.

5. ὃν QY^bZ^b. ‖ 12. φαιδρότητος Q. ‖ 13. ἱκανὸν om pr A^c. ‖ 17. πιεζῦντα A^c. ‖ ἢ πᾶσιν — 18. ἰσχυρός om Z^b. ‖ 19. καὶ] ἢ — ἢ QY^bZ^b. ‖ 20. μείζονα Y^bZ^b. ‖ 25. πυκτικός] πληκτικός QY^bZ^b.

γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιςα. αἰτία δ' ἐςὶν ἡ τύχη ἐνίων μὲν ὧν καὶ αἱ τέχναι, πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις· ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλυς δὲ καὶ μεγέθυς φύσις. ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστὶν ἀπὸ τύχης, ἐφ' οἷς ἐστὶν ὁ φθόνος. ἔςι δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός, ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δ' εὗρεν, ἢ εἰ τοῦ πλησίον ἔτυχε τὸ βέλος, τύτυ δὲ μή, ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα εὐτυχήματα δοκεῖ εἶναι. περὶ δὲ ἀρετῆς, ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνυ ποιώμεθα τὸν λόγον, τότε διοριςέον.

6 Ὧν μὲν οὖν δεῖ ςοχάζεσθαι προτρέποντα ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντα, φανερόν· τὰ γὰρ ἐναντία τούτων ἐστίν. ἐπεὶ δὲ πρόκειται τῷ συμβυλεύοντι σκοπὸς τὸ συμφέρον, βυλεύονται δὲ ὐ περὶ τῦ τέλυς ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος, ταῦτα δ' ἐςὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις, τὸ δὲ συμφέρον ἀγαθόν, ληπτέον ἂν εἴη ςοιχεῖα περὶ ἀγαθῦ καὶ συμφέροντος ἁπλῶς. ἔςω δὴ ἀγαθὸν ὃ ἂν αὐτὸ ἑαυτῦ ἕνεκα ᾖ αἱρετόν, καὶ ὗ ἕνεκα ἄλλο αἱρούμεθα, καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νῦν, ἢ εἰ λάβοι νῦν· καὶ ὅσα ὁ νῦς ἂν ἑκάςῳ ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαςον νοῦς ἀποδίδωσιν ἑκάςῳ, τοῦτό ἐςιν ἑκάςῳ ἀγαθόν, καὶ οὗ παρόντος εὖ διάκειται καὶ αὐτάρκως ἔχει, καὶ τὸ αὔταρκες, καὶ τὸ ποιητικὸν ἢ φυλακτικὸν τῶν τοιύτων, καὶ ᾧ ἀκολυθεῖ τὰ τοιαῦτα, καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά. ἀκολυθεῖ δὲ διχῶς· ἢ γὰρ ἅμα ἢ ὕστερον, οἷον τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι ὕςερον, τῷ δὲ ὑγιαίνειν τὸ ζῆν ἅμα. καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν. τύτων δὲ κειμένων ἀνάγκη τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς· ἀκολουθεῖ γὰρ τῷ μὲν τὸ μὴ ἔχειν τὸ κακὸν ἅμα, τῷ δὲ τὸ ἔχειν τὸ ἀγαθὸν ὕςερον. καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθῦ μείζονος λῆψις καὶ ἀντὶ μείζονος κακῦ ἐλάττονος· ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τῦ ἐλάττονος, τῦτο
ται τοῦ μὲν λῆψις τοῦ δ' ἀποβολή. καὶ τὰς ἀρετ
ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκ
οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσὶ καὶ πρακ
περὶ ἑκάςης δέ, καὶ τίς καὶ ποία, χωρὶς ῥητέον. κα
ἡδονὴν ἀγαθὸν εἶναι· πάντα γὰρ ἐφίεται τὰ ζῷα
τῇ φύσει. ὥςε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ ἀνάγκη
εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά, τῶν δὲ καλῶν τ
ἡδέα τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐςιν. ὡς δὲ κ
εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε. εὐδαιμονία· κα
καθ' αὑτὸ αἱρετὸν καὶ αὔταρκες, καὶ ἕνεκα αὐτοῦ τ
αἱρύμεθα. δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοψ
μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀ
γὰρ ψυχῆς. καὶ ὑγίεια καὶ κάλλος καὶ τὰ τοια
ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑ
καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι,
δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐςιν, ἡδονῆς
τοῦ ζῆν. πλῦτος· ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν π
λῶν. φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρετ
φίλος καὶ ποιητικὸς πολλῶν. τιμή, δόξα· καὶ γὰρ
καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ
πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται. δύναμις τοῦ λέ
τῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν.
εὐφυΐα, μνῆμαι, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦ
ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. ὁμοίως
καὶ αἱ ἐπιςῆμαι πᾶσαι καὶ αἱ τέχναι καὶ τὸ ζῆν· εἰ
μηδὲν ἄλλο ἕποιτο ἀγαθόν, καθ' αὑτὸ αἱρετόν ἐςιν.
τὸ δίκαιον· συμφέρον γάρ τι κοινῇ ἐςίν. ταῦτα μὲν
σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐςιν· ἐν δὲ τοῖς ἀμφ
σβητησίμοις ἐκ τῶνδε οἱ συλλογισμοί. ᾧ τὸ ἐναντίον κ
κόν, τῦτ' ἀγαθόν. καὶ ὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμ
ρει· οἷον εἰ τὸ δειλὺς εἶναι μάλιςα συμφέρει τοῖς ἐχθ
δῆλον ὅτι ἀνδρία μάλιστα ὠφέλιμον τοῖς πολίταις.
ὅλως ὃ οἱ ἐχθροὶ βύλονται ἢ ἐφ' ᾧ χαίρυσι, τοὐνα
τύτῳ ὠφέλιμον φαίνεται· διὸ εὖ εἴρηται "ἦ κεν γηθ
Πρίαμος." ἔςι δ' ὐκ ἀεὶ τῦτο, ἀλλ' ὡς ἐπὶ τὸ πολύ·
γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις·
λέγεται ὡς τὰ κακὰ συνάγει τὺς ἀνθρώπυς, ὅταν ᾖ τ

4. τέχνη ἡ αἰτία QY^bZ^b. ‖ 7. εἰ om Y^bZ^b. ‖ 9. εἰ om A^c. ‖ 10. μὴ om Q. ‖ 15. προτρέποντας et 16. ἀποτρέποντας QY^bZ 18. δὲ] γάρ A^c. ‖ 20. εἴη τ. ςοιχεῖα A^c. ‖ 22. αἱρετέον Q. ‖ 24. ἢ ante εἰ om Y^b. ‖ ἂν om QY^bZ^b. ‖ 25. ἕκαςα Q, ἑκάςυ Z 26. ἐςιν ἑκάςῳ om pr A^c. ‖ 31. τὰ om pr A^c. ‖ 33. ἐπὶ τὸ] τὸ ἐπὶ Y^b. ‖ 37. ἅμα om A^c. ‖ τὸ alterum om QY^bA^c.

1. τύτων A^c. ‖ 2. δὲ om Y^b. ‖ 6. ἀγαθὴν QZ^b. ‖ 13. αἱ alterum om Y^bZ^b. ‖ 14. καὶ κάλλος — 15. ὑγίεια om Q. ‖ ἡ om Y^bZ^b. ‖ 17. τοῖς om QY^bZ^b. ‖ 18. ποιητικὴ Y^bZ^b. ‖ 19. αἱρετὸν et 20. ποιητικὸν QY^bZ^b. ‖ 20. δόξα τιμή Y^b. ‖ 24. εὐ δία Z^b. ‖ 25. ποιητικὰ Q. ‖ 27. αἱρετέον Q. ‖ 34. οἱ om Q. ‖ 35. εὖ om A^c. ‖ γηθήση Y^b. ‖ 36. ταῦτα Q. ‖ 38. συνάπ ἀνθρώποις Q.

ιερὸν ἀμφοῖν. καὶ οὗ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν,
ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. καὶ οὗ ἕνεκα πολλὰ πε-
αι ἢ δεδαπάνηται· φαινόμενον γὰρ ἀγαθὸν ἤδη, καὶ
λος τὸ τοιοῦτον ὑπολαμβάνεται, καὶ τέλος πολλῶν·
τέλος ἀγαθόν. ὅθεν ταῦτ' εἴρηται, "καδδέ κεν εὐχωλὴν
μῳ" καὶ "αἰσχρόν τοι δηρόν τε μένειν·" καὶ ἡ πα-
δέ, τὸ ἐπὶ θύραις τὴν ὑδρίαν. καὶ οὗ πολλοὶ ἐφίεν-
αὶ τὸ περιμάχητον φαινόμενον· οὗ γὰρ πάντες ἐφίεν-
τοῦτ' ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνον-
καὶ τὸ ἐπαινετόν· οὐδεὶς γὰρ τὸ μὴ ἀγαθὸν ἐπαινεῖ.
οἱ ἐχθροὶ καὶ οἱ φαῦλοι ἐπαινοῦσιν· ὥσπερ γὰρ πάν-
δη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες· διὰ γὰρ
ανερὸν ὁμολογοῖεν ἄν, ὥσπερ καὶ φαῦλοι οὓς οἱ φί-
λέγουσι καὶ ἀγαθοὶ οὓς οἱ ἐχθροὶ ἐπαινοῦσιν. διὸ λελοι-
θαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος
νθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον." καὶ ὃ τῶν φρονίμων
τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυναικῶν προέκρινεν, οἷον Ὀδυσ-
Ἀθηνᾶ καὶ Ἑλένην Θησεὺς καὶ Ἀλέξανδρον αἱ θεαὶ
Ἀχιλλέα Ὅμηρος. καὶ ὅλως τὰ προαιρετά· προαι-
αι δὲ πράττειν τά τε εἰρημένα καὶ τὰ τοῖς ἐχθροῖς
καὶ τὰ τοῖς φίλοις ἀγαθὰ καὶ τὰ δυνατά. ταῦτα
χῶς ἐστί, τά τε γενόμενα ἂν καὶ τὰ ῥᾳδίως γιγνό-
ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπης ἢ ἐν ὀλίγῳ χρόνῳ·
ὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλήθει χρόνου. καὶ
ς βούλονται· βούλονται δὲ ἢ μηδὲν κακὸν ἢ ἔλαττον
αθοῦ· τοῦτο δ' ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία ἢ μι-
. καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά· τιμὴ
ιτω μᾶλλον. καὶ τὰ ἁρμόττοντα αὐτοῖς· τοιαῦτα δὲ
προσήκοντα κατὰ γένος καὶ δύναμιν, καὶ ὧν ἐλ-
ν οἴονται, κἂν μικρὰ ᾖ· οὐδὲν γὰρ ἧττον προαιροῦνται
πράττειν. καὶ τὰ εὐκατέργαστα· δυνατὰ γὰρ ὡς
εὐκατέργαστα δέ, ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι
ἥττους κατώρθωσαν. καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ
εχθήσονται τοῖς ἐχθροῖς. καὶ ὅσα οὓς θαυμάζουσι
οῦνται πράττειν. καὶ πρὸς ἃ εὐφυεῖς εἰσὶ καὶ ἔμπει-
ᾷον γὰρ κατορθώσειν οἴονται. καὶ ἃ μηδεὶς φαῦλος·
τὰ γὰρ μᾶλλον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν·
μόνον ἡδὺ ἀλλὰ καὶ βέλτιον φαίνεται. καὶ μά-

λιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμοι εἰ τιμή, οἱ φιλοχρήματοι εἰ χρήματα, καὶ οἱ ἄλλοι ὡσαύτως. περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτων ληπτέον τὰς πίστεις.

Ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν 7
περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος. ἔστω δὴ ὑπερέχον μὲν τοσοῦτον καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ ἐνυπάρχον. καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον, μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μὲν τὸ μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως. ἐπεὶ οὖν ἀγαθὸν λέγομεν τό τε αὐτὸ αὑτοῦ ἕνεκα καὶ μὴ ἄλλου αἱρετόν, καὶ οὗ πάντ' ἐφίεται, καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο, καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν, ἢ ᾧ ἕπεται τὰ τοιαῦτα, τὸ δ' οὗ ἕνεκα τὸ τέλος ἐστί, τέλος δ' ἐστὶν οὗ ἕνεκα τὰ ἄλλα, αὐτῷ δὲ ἀγαθὸν τὸ πρὸς αὑτὸ ταῦτα πεπονθός, ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων, συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων, μεῖζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ, τὸ δὲ ἐνυπάρχον ὑπερέχεται. καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν· καὶ ὅσα αὐτὰ αὐτῶν, καὶ τὸ μέγιστον τοῦ μεγίστου· οἷον εἰ ὁ μέγιστος ἀνὴρ γυναικὸς τῆς μεγίστης μείζων, καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν μείζους· καὶ εἰ οἱ ἄνδρες ὅλως τῶν γυναικῶν μείζους, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς μείζων· ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν καὶ τῶν μεγίστων ἐν αὐτοῖς. καὶ ὅταν τόδε μὲν τῷδε ἕπηται, ἐκεῖνο δὲ τούτῳ μή· ἕπεται δὲ ἢ τῷ ἅμα ἢ τῷ ἐφεξῆς ἢ τῇ δυνάμει· ἐνυπάρχει γὰρ ἡ χρῆσις ἡ τοῦ ἑπομένου ἐν τῇ θατέρου. ἕπεται δὲ ἅμα μὲν τῷ ὑγιαίνειν τὸ ζῆν, τούτῳ δὲ ἐκεῖνο οὔ, ὕστερον δὲ τῷ μανθάνειν τὸ ἐπίστασθαι, δυνάμει δὲ τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ γὰρ ἱεροσυλήσας κἂν ἀποστερήσειεν. καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ μείζονος. καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ μείζω· τοῦτο γὰρ ἦν τὸ μείζονος ποιητικῷ εἶναι. καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος καὶ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων. καὶ

. τὸ] ἤδη τὸ QY^bZ^b. ‖ 9. τοῦτ'] τὸ A^c. ‖ 11. οἱ post καὶ om QY^bZ^b. ‖ ἐπαινοῦσιν om pr A^c. ‖ 13. ὁμολογήσειεν QY^bZ^b. ‖
14. ἀγαθοὶ om A^c. ‖ 14. ἐπαινοῦσιν] μὴ ψέγουσιν A^c. ‖ 21. φαύλοις Y^b. ‖ 28. οὕτω γὰρ QY^bZ^b. ‖ 29. καὶ κατὰ δύναμιν Q. ‖
ὰρ om pr A^c. ‖ 31. ὡς] καὶ pr A^c. ‖ 32. ἃ] καὶ ἃ QY^bZ^b. ‖ οἱ alterum om Y^bZ^b. ‖ 35. ἀφυεῖς Z^b. ‖ 38. καὶ ἃ μά-
QY^bZ^b.

. φιλόνεικοι Y^bA^c. ‖ 3. οὖν solus A^c. ‖ τοῦ om Y^b. ‖ 7. περὶ] καὶ περὶ Z^b. ‖ 9. μὲν ἂν ἀεὶ QZ^b. ‖ 13. ἀγαθὰ A^c. ‖ αὐτὸ om
. ‖ 15. τὸ alterum om QY^bZ^b. ‖ 20. δὲ om Q. ‖ 23. εἰ om QY^bZ^b. ‖ 25. τῶν γυναικῶν ὅλως QY^bZ^b. ‖ 27. μὲν τόδε
36. γὰρ ἂν ἦν QY^bZ^b.

τὸ αἱρετώτερον καθ' αὑτὸ τοῦ μὴ καθ' αὑτό, οἷον ἰσχὺς ὑγιεινοῦ· τὸ μὲν γὰρ οὐχ αὑτοῦ ἕνεκα, τὸ δὲ αὑτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν. κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ ἄλλου ἕνεκα, τὸ δὲ αὑτοῦ, οἷον τὸ γυμνάζεσθαι τοῦ εὖ ἔχειν τὸ σῶμα. καὶ τὸ ἧττον προσδεόμενον θατέρου ἢ ἑτέρων· αὐταρκέστερον γάρ· ἧττον δὲ προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον. καὶ ὅταν τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον, ὥστε φαίνεται μεῖζον ἀγαθόν. κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή. κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ αἴτιον, διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς ἀδύνατον εἶναι ἢ γενέσθαι. καὶ δυοῖν ἀρχαῖν τὸ ἀπὸ τῆς μείζονος μεῖζον, καὶ δυοῖν αἰτίοιν τὸ ἀπὸ τοῦ μείζονος αἰτίου μεῖζον. καὶ ἀνάπαλιν δὴ δυοῖν ἀρχαῖν ἡ τοῦ μείζονος ἀρχὴ μείζων καὶ δυοῖν αἰτίοιν τὸ τοῦ μείζονος αἴτιον μεῖζον. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἀμφοτέρως μεῖζόν ἐστιν· καὶ γὰρ εἰ ἀρχή, τὸ δὲ μὴ ἀρχή, δόξει μεῖζον εἶναι, καὶ εἰ μὴ ἀρχή, τὸ δὲ ἀρχή· τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή, ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων· τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν. καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν· μεῖζον γὰρ ἡ κτῆσις διὰ τὸ χαλεπωτέραν εἶναι. ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει· ὅθεν λέγεται "ἄριστον μὲν ὕδωρ." καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. καὶ ᾧ τὸ ἐναντίον μεῖζον, καὶ οὗ ἡ στέρησις μείζων. καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ τέλη, τὰ δ' οὐ τέλη. καὶ ὧν τὰ ἔργα καλλίω ἢ αἰσχίω, μείζω αὐτά. καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους, καὶ τὰ ἔργα μείζω, ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ ἀρχαί, καὶ τὰ ἀποβαίνοντα, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί. καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ καλλίων, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραίνεσθαι· καὶ γὰρ ὄψις

ὀσφρήσεως· καὶ τὸ φιλεταῖρον εἶναι τοῦ φιλοχρ μᾶλλον κάλλιον, ὥστε καὶ φιλεταιρία φιλοχρη καὶ ἀντικειμένως δὲ τῶν βελτιόνων αἱ ὑπερβολαὶ καὶ καλλιόνων καλλίους. καὶ ὧν αἱ ἐπιθυμίαι καλ βελτίους· αἱ γὰρ μείζους ὀρέξεις μειζόνων εἰσίν. κ καλλιόνων δὲ ἢ καὶ βελτιόνων αἱ ἐπιθυμίαι βελτ καλλίους διὰ τὸ αὐτό. καὶ ὧν αἱ ἐπιστῆμαι καλλ σπουδαιότεραι, καὶ τὰ πράγματα καλλίω καὶ σπουδαι ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, καὶ τὸ ἀληθές· κελεύει αὐτῆς ἑκάστη. καὶ τῶν σπουδαιοτέρων δὲ καὶ καλλιό ἐπιστῆμαι ἀνάλογον διὰ ταῦτα. καὶ ὃ κρίνειαν ἂν ἢ κρίκασιν οἱ φρόνιμοι ἢ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλε οἱ κράτιστοι ἀγαθὸν ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁ ἢ ᾗ κατὰ τὴν φρόνησιν ἔκριναν. ἔστι δὲ τοῦτο κοινὸ κατὰ τῶν ἄλλων· καὶ γὰρ τὶ καὶ ποσὸν καὶ ποιὸ ἔχει ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι. ἀλλ' ἀγαθῶν εἰρήκαμεν· ὥρισται γὰρ ἀγαθὸν εἶναι, ὃ λαβ τὰ πράγματα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον· δῆλον οὖ καὶ μεῖζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει. καὶ τὸ τοῖς τίοσιν ὑπάρχον, ἢ ἁπλῶς ἢ ᾗ βελτίους, οἷον ἀνδρία ἰσχ καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων, ἢ ἁπλῶς ἢ ᾗ βελτίων, οἷ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν· τοῦτο γὰρ ὁ δικαιότερ ἕλοιτο. καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος· τὴν γὰρ ἡ πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέγονται, σται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος. ἥδιον δὲ τ ἀλυπότερον καὶ τὸ πολυχρονιώτερον ἡδύ. καὶ τὸ κάλ τοῦ ἧττον καλοῦ· τὸ γὰρ καλόν ἐστιν ἤτοι τὸ ἡδὺ καθ' αὑτὸ αἱρετόν. καὶ ὅσων αὐτοὶ αὑτοῖς ἢ φίλοις β λονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά, ὅ δὲ ἥκιστα, μείζω κακά. καὶ τὰ πολυχρονιώτερα τῶν ὀ γοχρονιωτέρων καὶ τὰ βεβαιότερα τῶν μὴ βεβαιοτέ ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρόνῳ τῶν δὲ βουλήσει· ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βαίου. καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τῶν ὁμοίων σεων, καὶ τἆλλ' ἀκολουθεῖ· οἷον εἰ τὸ ἀνδρείως κάλλιον αἱρετώτερον τοῦ σωφρόνως, καὶ ἀνδρία σωφροσύνης αἱ τέρα καὶ τὸ ἀνδρεῖον εἶναι τοῦ σωφρονεῖν. καὶ ὃ π αἱροῦνται τοῦ μὴ ὃ πάντες. καὶ ὃ οἱ πλείους ἢ οἱ ἐλά

1. τοῦ] τὸ Q. ‖ 11. δι' αὑτό pr Y^b. ‖ 12. δυεῖν Y^b. ‖ ἀρχῶν QY^bZ^b. ‖ τὸ om pr A^c. ‖ post μείζονος QY^bZ^b ἀρχῆς. ‖ καὶ — μεῖζον om pr A^c. ‖ 14. δυεῖν ἀρχῶν Y^b. ‖ 16. καὶ εἰ ἀρχὴ τόδε, τὸ δὲ QY^bZ^b. ‖ 19. καλλιστράτου ἔφη Q, ἔφη καλλιστράτου Z^b. ‖ βουλεύσαντα Q. ‖ 22. συμβουλεύσαντος Y^b. ‖ 24. χρυσοῦ σίδηρος Q. ‖ 25. μείζων et χαλεπώτερον QY^b. ‖ 34. αἱ alterum QY^bZ^b.

5. ἐστί Q. ‖ 6. καὶ post ἢ om QY^bZ^b. ‖ 9. ἔχει et 10. δὲ om QY^bZ^b. ‖ 10. αἱ om Z^b. ‖ 14. ᾗ] εἰ QY^bZ^bA^c. ‖ ἔ Y^b. ‖ 20. οἷον ἡ ἀνδρεία A^c. ‖ 22. ἕλοιτ' ἂν QY^bZ^b. ‖ 27. τὸ post ἢ om QY^bZ^b. ‖ 29. αἴτιον QY^bZ^b. ‖ 31. μὴ om A^c: τε ἀβεβαιοτέρων. ‖ 35. εἰ om QY^b. ‖ 36. αἱρετώτερον Z^b. ‖ 38. ἐλάττονες QY^bZ^b.

ἀγαθὸν γὰρ ἦν οὗ πάντες ἐφίενται, ὥστε καὶ μεῖζον οὗ μᾶλλον. καὶ ὃ οἱ ἀμφισβητοῦντες ἢ οἱ ἐχθροὶ ἢ οἱ κρίνοντες ἢ οὓς οὗτοι κρίνουσιν· τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖεν ἐςί, τὸ δὲ οἱ κύριοι καὶ οἱ εἰδότες. καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι μεῖζον· ἀτιμία γὰρ τὸ μὴ μετέχειν· ὁτὲ δὲ οὗ μηδεὶς ἢ οὗ ὀλίγοι· σπανιώτερον γάρ. καὶ τὰ ἐπαινετώτερα· καλλίω γάρ. καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ τιμὴ ὥσπερ ἀξία τις ἐςίν. καὶ ὧν αἱ ζημίαι μείζους. καὶ τὰ τῶν ὁμολογουμένων ἢ φαινομένων μεγάλων μείζω. καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται· πλειόνων γὰρ ὑπερέχειν φαίνεται. ὅθεν καὶ ὁ ποιητής φησι πεῖσαι λέγουσαν τὸν Μελέαγρον ἀναςῆναι

ὅσσα κάκ' ἀνθρώποισι πέλει τῶν ἄςυ ἁλῷη·
λαοὶ μὲν φθινύθουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσιν.

καὶ τὸ συντιθέναι καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμος, διά τε τὸ αὐτὸ τῇ διαιρέσει (ἡ γὰρ σύνθεσις ὑπεροχὴν δείκνυσι πολλήν) καὶ ὅτι ἀρχὴ φαίνεται μεγάλων καὶ αἴτιον. ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· εἰ γὰρ παρὰ δύναμιν καὶ παρ' ἡλικίαν καὶ παρὰ τοὺς ὁμοίους, καὶ εἰ οὕτως ἢ ἐνταῦθα ἢ τόθ', ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων καὶ τῶν ἐναντίων. ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ·

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους εἰς Τέγεαν ἔφερον.

καὶ ὁ Ἰφικράτης αὑτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξε ταῦτα. καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ. ὅθεν καὶ ὁ ποιητής φησιν "αὐτοδίδακτος δ' εἰμί." καὶ τὸ μεγάλου μέγιςον μέρος· οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις. καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους. καὶ τὸ αὑτῷ καὶ ἁπλῶς. καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου· τὸ μὲν γὰρ αὑτῷ, τὸ δ' οὔ. καὶ τὰ ἐν τέλει τοῦ βίου· τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει. καὶ τὰ πρὸς ἀλήθειαν τῶν πρὸς δόξαν. ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο. διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι· τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέσθαι. καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται· πρὸς ἀλήθειαν γὰρ μᾶλλον. διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον· τὸ δὲ ὑγιαίνειν οὔ. καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά. διὸ καὶ ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα δοκεῖ εἶναι· ἅπαντα γὰρ ἔχει ταῦτα. καὶ τὸ ἀλυπότερον καὶ τὸ μεθ' ἡδονῆς· πλείω γὰρ ἑνός, ὥςε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία. καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ. καὶ ἃ μὴ λανθάνει παρόντα ἢ λανθάνει· πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα. διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τοῦ δοκεῖν. καὶ τὸ ἀγαπητόν, καὶ τοῖς μὲν μόνον τοῖς δὲ μετ' ἄλλων. διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ καὶ τὸν δύ' ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται. ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίςεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται.

Μέγιςον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν, τὰς πολιτείας ἁπάσας λαβεῖν καὶ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν. πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ σῶζον τὴν πολιτείαν. ἔτι δὲ κυρία μέν ἐςιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας· ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν. εἰσὶ δὲ πολιτεῖαι τέτταρες, δημοκρατία ὀλιγαρχία ἀριςοκρατία μοναρχία· ὥςε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τί ἐςιν ἀεὶ μόριον, ἢ ὅλον τούτων. ἔςι δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ οἱ ἀπὸ τιμημάτων, ἀριςοκρατία δὲ ἐν ᾗ οἱ κατὰ παιδείαν. παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου κειμένην· οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις ἐν τῇ ἀριςοκρατίᾳ ἄρχουσιν. ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίςους· ὅθεν καὶ τοὔνομα εἴληφε τοῦτο. μοναρχία δ' ἐστὶ κατὰ 8

2. οἱ om QY^bZ^b. ‖ ἀμφισβητοῦσιν Y^bZ^b. ‖ οἱ ante κρίνοντες om QY^bZ^b. ‖ 3. ἂν εἰ] οἱ QY^bZ^b. ‖ 5. κατίχειν Q. ‖ 11. πλειόνων ante 10. μείζω Z^b. ‖ 11. ἡ ὑπεροχὴ QY^bZ^b. ‖ 12. λέγουσαν om A^c. ‖ 13. ὅσα QY^bZ^b. ‖ πέλει om QY^bZ^b. ‖ 18. ὃ A^c. ‖ 22. ὁμοίους] ἄλλους QY^bZ^b. ‖ 23. καὶ ἀγαθῶν καὶ] ἢ ἀγαθῶν ἢ Q. ‖ 26. ἄσηλλαν Z^b. ‖ 27. τέγαιαν Q. ‖ 30. δ' om QY^bZ^b. ‖ 32. τὸ] καὶ τὸ QY^bZ^b. ‖ 35. αὐτὸ QY^bZ^b.

10. καὶ ante ὁ om A^c. ‖ 11. τὸ alterum om pr A^c. ‖ 13. ὃ τῷ] αὐτὸ Z^b, αὖ τὸ ὃ Q, ἂν τὸ Y^b. ‖ 14. λανθάνειν $Y^bZ^bA^c$. ‖ 15. τινι $Y^bZ^bA^c$, τινα Q. ‖ 24. ἑκάςω Q. ‖ ἤθη A^c. ‖ 26. πόλιν QZ^b et pr Y^b. ‖ 27. ἀπόφανσις Y^bZ^b. ‖ κατὰ] καὶ κατὰ et 29. ἴσσαρες QY^bZ^b. ‖ 30. τὸ μὲν] τὸν μὲν Z^b. ‖ 31. τί ἐςιν ἀεὶ] ἂν εἴη QY^bZ^b. ‖ ὅλων Q. ‖ τούτων corr A^c. ‖ 34. οἱ κατὰ] κατὰ τὴν A^c. ‖ 35. ἐν om Q. ‖ νόμοις QY^bZ^b. ‖ 37. κατὰ] καὶ τὰ Z^b.

Ἀνάγκη μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας,

τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν· τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς. τὸ δὴ τέλος ἑκάςης πολιτείας ȣ̓ δεῖ λανθάνειν· αἱρȣ̃νται γὰρ τὰ πρὸς τὸ τέλος. ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλȣ̃τος, ἀριςοκρατίας δὲ τὰ πρὸς παιδείαν καὶ τὰ νόμιμα, τυραννίδος δὲ φυλακή. δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διαιρετέον, εἴπερ αἱροῦνται πρὸς τȣ̃το ἐπαναφέροντες. ἐπεὶ δὲ ȣ̓ μόνον αἱ πίςεις γίνονται δι' ἀποδεικτικȣ̃ λόγȣ ἀλλὰ καὶ δι' ἠθικοῦ (τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιςεύομεν, τοῦτο δ' ἐςὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω), δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάςης ἔχειν ἡμᾶς· τὸ μὲν γὰρ ἑκάςης ἦθος πιθανώτατον ἀνάγκη πρὸς ἑκάςην εἶναι. ταῦτα δὲ ληφθήσεται διὰ τῶν αὐτῶν· τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος.

Ὧν μὲν ȣ̓̃ν δεῖ ὀρέγεσθαι προτρέποντας ὡς ἐσομένων ἢ ὄντων, καὶ ἐκ τίνων δεῖ τὰς περὶ τȣ̃ συμφέροντος πίςεις λαμβάνειν, ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ νομίμων διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν, ἐφ' ὅσον ἦν τῷ παρόντι καιρῷ σύμμετρον, εἴρηται· διηκρίβωται γὰρ ἐν τοῖς πολιτικοῖς περὶ τȣ́των.

9 Μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας καὶ καλȣ̃ καὶ αἰσχρȣ̃· ȣ̓̃τοι γὰρ σκοποὶ τῷ ἐπαινȣ̃ντι καὶ ψέγοντι· συμβήσεται γὰρ ἅμα περὶ τȣ́των λέγοντας κἀκεῖνα δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος, ἥπερ ἦν δευτέρα πίςις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιςον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν. ἐπεὶ δὲ συμβαίνει καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις ȣ̓ μόνον ἄνθρωπον ἢ θεὸν ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ τυχόν, τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις, ὥςε ὅσον παραδείγματος χάριν εἴπωμεν καὶ περὶ τȣ́των. καλὸν μὲν ȣ̓̃ν ἐςίν, ὃ ἂν δι' αὑτὸ αἱρετὸν ὂν ἐπαινετὸν ᾖ, ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι ἀγαθόν. εἰ δὲ τȣ̃τό ἐςι τὸ καλόν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι· ἀγαθὸν γὰρ ὂν ἐπαινετόν ἐςιν. ἀρετὴ δ' ἐςὶ μὲν δύναμις, ὡς δοκεῖ,ποριςικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων

περὶ πάντα. μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρία, σ σύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, της, φρόνησις, σοφία. ἀνάγκη δὲ μεγίστας εἶναι τὰς τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐςὶν ἡ ἀρετὴ μις εὐεργετική. διὰ τȣ̃το τȣ̀ς δικαίȣς καὶ ἀνδρείȣς μ τιμῶσιν· ἡ μὲν γὰρ ἐν πολέμῳ ἡ δὲ καὶ ἐν εἰρήνῃ σιμος ἄλλοις. εἶτα ἡ ἐλευθεριότης· προΐενται γὰρ κ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιςα ἐφ ἄλλοι. ἔςι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι' ἣν τὰ αὑτῶ ςοι ἔχȣσι, καὶ ὡς ὁ νόμος, ἀδικία δὲ δι' ἣν τὰ ἀλλ ȣ̓χ ὡς ὁ νόμος. ἀνδρία δὲ δι' ἣν πρακτικοί εἰσι τῶ λῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει ὑπηρετικοὶ τῷ νόμῳ· δειλία δὲ τοὐναντίον. σωφροσ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τȣ̃ σώματος ȣ̔́τως ἔ ὡς ὁ νόμος κελεύει· ἀκολασία δὲ τȣ̓ναντίον. ἐλευθε δὲ περὶ χρήματα εὖ ποιητική, ἀνελευθερία δὲ τοὐνα μεγαλοψυχία δὲ ἀρε[illegible] μεγάλων ποιητικὴ εὐεργετημ μικροψυχία δὲ τȣ̓ναντίον. μεγαλοπρέπεια δὲ ἀρετὴ ἐ πανήμασι μεγέθους ποιητική· μικροψυχία δὲ καὶ μ πρέπεια τἀναντία. φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας, ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶ εἰρημένων εἰς εὐδαιμονίαν. περὶ μὲν ȣ̓̃ν ἀρετῆς καὶ κα καθόλου καὶ περὶ τῶν μορίων εἴρηται κατὰ τὸν ἐνεσ καιρὸν ἱκανῶς, περὶ δὲ τῶν ἄλλων ȣ̓ χαλεπὸν ἰδεῖν· νερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς καλά (πρὸς ἀρετὴν γάρ) καὶ τὰ ἀπ' ἀρετῆς γινόμ τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς καὶ τὰ ἔργα. δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ἅ ἐστιν ἀγαθοῦ ἔργ πάθη, καλά, ἀνάγκη ὅσα τε ἀνδρίας ἔργα ἢ σημεῖα δρίας ἢ ἀνδρείως πέπρακται καλὰ εἶναι, καὶ τὰ δίκα καὶ τὰ δικαίως ἔργα (πάθη δὲ οὔ· ἐν μόνῃ γὰρ τα τῶν ἀρετῶν ȣ̓κ ἀεὶ τὸ δικαίως καλόν, ἀλλ' ἐπὶ τȣ̃ ζη σθαι αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως), καὶ κ τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως. καὶ ἐφ' ὅσοις τὰ ἆ τιμή, καλά. καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήμ καὶ ὅσα μὴ αὑτȣ̃ ἕνεκα πράττει τις τῶν αἱρετῶν. κα ἁπλῶς ἀγαθά, ὅσα ὑπέρ τε πατρίδος τις ἐποίησε, τ δὼν τὸ αὑτȣ̃. καὶ τὰ τῇ φύσει ἀγαθά, καὶ ἃ μὴ

2. δὴ] δε Y^bZ^b. ‖ 5. πρὸς] περὶ A^c. ‖ 7. ἑκάςȣ Q. ‖ 8. ἀναφέροντες QY^bZ^b. ‖ 13. γὰρ ἑκάςȣ QY^bZ^b. ‖ 19. περὶ post l QY^bZ^b. ‖ 23. λέγομεν Z^b. ‖ 27. ὅπερ QY^bZ^b. ‖ 33. ὃ — 34. ᾖ om Y^bZ^b. ‖ 37. καὶ om QZ^b.

3. εἶναι] εἶναι τὰς Z^b. ‖ 6. ἡ — ἡ] οἱ — οἱ Q. ‖ ἐν post γὰρ om QZ^b. ‖ χρήσιμός ἐςιν Y^bZ^b, χρήσιμοί εἰσιν Q. ‖ 7. ἐ αὐτοῖς QY^bZ^b. ‖ ἡ om QY^bZ^b, quorum Y^b ἐλευθερίους. ‖ 10 et 11 et 12. ὁ om pr Y^b. ‖ 13. σωφροσύνη — 15. τȣ̓ναντίον om Z^b. ‖ 15. ἀκρασία γε rc A^c. ‖ 18. μικροψυχία — 19. ποιητική om Q. ‖ 19. μικροψυχίαν δὲ καὶ μικροπρέπειαν Q. ‖ 28. ὅσα ἐ Y^bZ^b. ‖ 29. πάθη corr A^c. ‖ τε ὅσα QY^bZ^b. ‖ 36. ἀρετῶν Z^b. ‖ 37. πατρίδος ἐποίησε Y^b, πατρίδος ἐποίει τις Q. ‖ 38. μὴ τῇ Q.

θά· αὐτοῦ γὰρ ἕνεκα τὰ τοιαῦτα. καὶ ὅσα τεθνεῶτι χεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι· τὸ γὰρ αὐτȣ̃ ἕνεκα λον ἔχει τὰ ζῶντι. καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα· ν γὰρ αὐτȣ̃. καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλȣς, ἀλλὰ περὶ αὐτόν. καὶ περὶ τȣ̀ς εὖ ποιήσαντας· δίκαιον γάρ. τὰ εὐεργετήματα· ȣ̓ γὰρ εἰς αὐτόν. καὶ τὰ ἐναντία ῥ' οἷς αἰσχύνονται· τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ ντες καὶ ποιȣ̃ντες καὶ μέλλοντες, ὥσπερ καὶ Σαπφὼ ίηκεν, εἰπόντος τοῦ Ἀλκαίου "θέλω τι ϝειπῆν, ἀλλά κωλύει αἰδώς,"

αἰ δ' εἶχες ἐσθλῶν ἵμερον ἢ καλῶν
καὶ μή τι ϝειπῆν γλῶσσ' ἐκύκα κακόν,
αἰδὼς κέν σε οὐκ εἶχεν ὄμματ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίω.

περὶ ὧν ἀγωνιῶσι μὴ φοβȣ́μενοι· περὶ γὰρ τῶν πρὸς ν φερόντων ἀγαθῶν τȣ̃το πάσχȣσιν. καὶ αἱ τῶν φύσει δαιοτέρων ἀρεταὶ καλλίȣς καὶ τὰ ἔργα, οἷον ἀνδρὸς ἢ ικός. καὶ αἱ ἀπολαυςικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς· τὸ δίκαιον καὶ ἡ δικαιοσύνη καλόν. καὶ τὸ τȣ̀ς ἐχθρȣ̀ς ρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττεσθαι· τό τε γὰρ ποδιδόναι δίκαιον, τὸ δὲ δίκαιον καλόν, καὶ ἀνδρείȣ ὴ ἡττᾶσθαι. καὶ νίκη καὶ τιμὴ τῶν καλῶν· αἱρετά άρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ. καὶ τὰ ονευτά, καὶ τὰ μᾶλλον μᾶλλον. καὶ ἃ μὴ ζῶντι αι. καὶ οἷς τιμὴ ἀκολȣθεῖ. καὶ τὰ περιττά. καὶ τὰ ὑπάρχοντα καλλίω· εὐμνημονευτότερα γάρ. καὶ ατα ἄκαρπα· ἐλευθεριώτερα γάρ. καὶ τὰ παρ' ἑκά- δὲ ἴδια καλά. καὶ ὅσα σημεῖά ἐςι τῶν παρ' ἑκάςοις νȣμένων, οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν· ἐλευθέρȣ σημεῖον· ȣ̓ γάρ ἐςι κομῶντα ῥᾴδιον ȣ̓δὲν ποιεῖν ἔργον ιόν. καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον τέχνην· θέρȣ γὰρ τὸ μὴ πρὸς ἄλλον ζῆν. ληπτέον δὲ καὶ τὰ γγυς τοῖς ὑπάρχȣσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαι- καὶ πρὸς ψόγον, οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβȣ- καὶ τὸν ἠλίθιον χρηςὸν καὶ τὸν ἀνάλγητον πρᾶον. καὶ τον δ' ἐκ τῶν παρακολȣθȣ́ντων ἀεὶ κατὰ τὸ βέλτιςον, τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁπλȣ̃ν καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν. καὶ τȣ̀ς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν θρασὺν ἀνδρεῖον καὶ τὸν ἄσωτον ἐλευθέριον· δόξει τε γὰρ τοῖς πολλοῖς, καὶ ἅμα παραλογιςικὸν ἐκ τῆς αἰτίας· εἰ γὰρ ȣ̃ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπȣ καλόν, καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν. σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, ȣ̓ χαλεπὸν Ἀθηναίȣς ἐν Ἀθηναίοις ἐπαινεῖν. δεῖ δὲ τὸ παρ' ἑκάςοις τίμιον λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσόφοις. καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ δοκεῖ γειτνιᾶν. καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν γὰρ καὶ καλὸν τὸ προσεπικτᾶσθαι τιμήν. καὶ εἰ παρὰ τὸ προσῆκον δὲ ἐπὶ τὸ βέλτιον καὶ τὸ κάλλιον, οἷον εἰ εὐτυχῶν μὲν μέτριος ἀτυχῶν δὲ μεγαλόψυχος, ἢ μείζων γιγνόμενος βελτίων καὶ καταλλακτικώτερος. τοιȣ̃τον δὲ τὸ τȣ̃ Ἰφικράτȣς, ἐξ οἵων εἰς οἷα, καὶ τὸ τȣ̃ ὀλυμπιονίκȣ "πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν," καὶ τὸ τȣ̃ Σιμωνίδȣ "ἢ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' ȣ̓̃σα τυράννων." ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τȣ̃ σπȣδαίȣ τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν. χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως. ἔςι δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι ὡς τοιαῦται. τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐςίν, τὰ δὲ κύκλῳ εἰς πίςιν, οἷον εὐγένεια καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθȣ̀ς καὶ τὸν ȣ̔́τω τραφέντα τοιοῦτον εἶναι. διὸ καὶ ἐγκωμιάζομεν πράξαντας. τὰ δ' ἔργα σημεῖα τῆς ἕξεώς ἐςιν, ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ πεπραγότα, εἰ πιςεύοιμεν εἶναι τοιȣ̃τον. μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά, τȣ́τοις δ' ȣ̓ ταὐτά, ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα. ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβȣλαί· ἃ γὰρ ἐν τῷ συμβȣλεύειν ὑπόθοιο ἄν, ταῦτα με-

3. ζῶντα $QY^bZ^bA^c$. ‖ ἄλλων] καλῶν QY^bZ^b. ‖ 7. τὰ — αἰσχύνονται om Q. ‖ 9. ϝειπῆν] τ' εἰπῆν A^c, τ' εἰπεῖν QY^bZ^b. ‖ ἀλλά . ϝειπῆν om Z^b. ‖ 11. ἦχες A^c, ἶκες Y^b. ‖ 12. μητιτειπῆν A^c, μήτ' εἰπεῖν QY^b. ‖ γλῶσσαι κυκαῖ A^c. ‖ 14. ὦ QZ^b. ‖ 17. σπυ- ραι Q. ‖ 21. ἀνδρεῖον Z^b. ‖ 23. ἄκαρπον Q. ‖ 24. μνημονεύματα $QY^bZ^bA^c$. ‖ καὶ ἃ] μᾶλλον δὲ καὶ ἃ QY^bZ^b. ‖ 25. οἷς] ᾗ A^c, Y^b, om Z^b et pr Y^b. ‖ 26. εὐμνημόνευτα QZ^b et pr Y^b. ‖ 27. ἐλευθεριώτερον Q. ‖ 29. ἐλευθερίας QY^bZ^b. ‖ 32. ἐλευθέριον Q . ‖ τὰ om A^c. ‖ 33. ὡς] ὡς καὶ QY^bZ^b. ‖ 34. ψυχρὸν] καὶ εὔψυχρον δειλὸν pr Y^b, καὶ εὔψυχον δειλὸν QZ^b. ‖ 36. βέλτιον Q. 4. κινδυνευτικόν QZ^b. ‖ 9. ἀθήναις Y^b. ‖ τίμιον] τίμιον ὂν A^c. ‖ 11. ἐπείπερ γε δοκεῖ A^c. ‖ 14. τὸ] καὶ τὸ A^c. ‖ καὶ] ἢ QY^bZ^b. ‖ δὲ add A^c. ‖ ἐπεὶ A^c. ‖ εἰ ὁ ἀτυχῶν μὲν μέτριος, ὁ δὲ ἀτυχῶν μεγαλόψυχος QY^bZ^b. ‖ 16. γενόμενος QY^bZ^b. ‖ 18. τὸ et 20. τ' QY^bZ^b. ‖ 32. εἰσιν QY^bZ^b. ‖ ἂν om QZ^bA^c et pr Y^b. ‖ 37. ὑπόθου Z^b. ‖ ἂν post γὰρ QY^bZ^b.

τατεθέντα τῇ λέξει ἐγκώμια γίγνεται. ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν καὶ ποιόν τινα εἶναι, δεῖ ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι καὶ στρέφειν, οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην ἀλλὰ τοῖς δι' αὑτόν. οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον "μέγα φρονῶν οὐ τοῖς διὰ τύχην ὑπάρχουσιν ἀλλὰ τοῖς δι' αὑτόν." ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο, καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσειας. ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλύον τὸ δὲ μὴ κωλύον μετατεθῇ. χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς, οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ ὃ μάλιστα πεποίηκεν· ἅπαντα γὰρ ταῦτα καλά. καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν· ταῦτα δὲ παρὰ τὸ προσῆκον. καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν· μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὑτὸν ἂν δόξειεν. καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη. καὶ εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη, οἷον εἰς Ἱππόλοχον καὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ ἐν ἀγορᾷ σταθῆναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. κἂν μὴ καθ' αὑτὸν εὐπορῇς, πρὸς ἄλλους ἀντιπαραβάλλειν· ὅπερ Ἰσοκράτης ἐποίει διὰ τὴν ἀσυνήθειαν τοῦ δικολογεῖν. δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν· αὐξητικὸν γὰρ καὶ καλόν, εἰ σπουδαίων βελτίων. πίπτει δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους· ἐν ὑπεροχῇ γάρ ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν καλῶν. διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν. ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς· τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος· τὰ δὲ παραδείγματα τοῖς συμβουλευτικοῖς· ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν· τὰ δ' ἐνθυμήματα τοῖς δικανικοῖς· αἰτίαν γὰρ καὶ ἀπόδειξιν μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές. ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες, καὶ πρὸς ποῖα δεῖ βλέποντας ἐπαινεῖν καὶ ψέγειν, καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ ὀνείδη, ταῦτ' ἐστίν· ἐχομένων γὰρ τούτων τὰ ἐναντία τούτοις φανερά· ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστίν.

Περὶ δὲ κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν. δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδικοῦσι, δεύτερον δὲ πῶς αὐτοὶ διακείμενοι, τρίτον δὲ τοὺς ποίους καὶ πῶς ἔχοντας. διορισάμενοι οὖν τὸ ἀδικεῖν λέγωμεν ἑξῆς. ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. νόμος δ' ἐστὶν ὁ μὲν ἴδιος ὁ δὲ κοινός. λέγω δὲ ἴδιον μὲν καθ' ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ. ἑκόντες δὲ ποιοῦσιν ὅσα εἰδότες καὶ μὴ ἀναγκαζόμενοι. ὅσα μὲν οὖν ἑκόντες, οὐ πάντα προαιρούμενοι, ὅσα δὲ προαιρούμενοι, εἰδότες ἅπαντα· οὐδεὶς γὰρ ὃ προαιρεῖται ἀγνοεῖ. δι' ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶ καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσι μοχθηρίαν ἢ μίαν ἢ πλείους, περὶ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ὁ δ' ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ δὲ μαλακὸς περὶ τὰ ῥᾴθυμα, ὁ δὲ δειλὸς περὶ τοὺς κινδύνους (τοὺς γὰρ συγκινδυνεύοντας ἐγκαταλιμπάνουσι διὰ τὸν φόβον), ὁ δὲ φιλότιμος διὰ τιμήν, ὁ δ' ὀξύθυμος δι' ὀργήν, ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ δὲ πικρὸς διὰ τιμωρίαν, ὁ δ' ἄφρων διὰ τὸ ἀπατᾶσθαι περὶ τὸ δίκαιον καὶ ἄδικον, ὁ δ' ἀναίσχυντος δι' ὀλιγωρίαν δόξης. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων. ἀλλὰ περὶ μὲν τούτων δῆλον, τὰ μὲν ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων, τὰ δ' ἐκ τῶν περὶ τὰ πάθη ῥηθησομένων· λοιπὸν δ' εἰπεῖν τίνος ἕνεκα καὶ πῶς ἔχοντες ἀδικοῦσι, καὶ τίνας. πρῶτον μὲν οὖν διελώμεθα τίνων ὀρεγόμενοι καὶ ποῖα φεύγοντες ἐγχειροῦσιν ἀδικεῖν· δῆλον γὰρ ὡς τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον, ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι, τῷ δ' ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει. πάντες δὴ πράττουσι πάντα τὰ μὲν οὐ δι' αὑτοὺς τὰ δὲ δι' αὑτούς. τῶν μὲν οὖν μὴ δι' αὑτοὺς τὰ μὲν διὰ τύχην πράττουσι τὰ δ' ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης τὰ μὲν βίᾳ τὰ δὲ φύσει. ὥστε πάντα ὅσα μὴ δι' αὑτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης τὰ δὲ φύσει τὰ δὲ βίᾳ. ὅσα δὲ δι' αὑτούς, καὶ ὧν

3. καὶ] δεῖ καὶ A^c. ‖ 8. ἀντικειμένης Q. ‖ 11. οἷον] hinc altera manus Y^b, folio 15. ‖ καὶ om QY^bZ^b. ‖ 12. τὰ] τί [illegible] A^c. ‖ 17. ὃ QY^bZ^b. ‖ 20. ὅπερ ὁ Ἰσοκράτης A^c. ‖ 21. συνήθειαν τοῦ δικαιολογεῖν QY^bZ^b. ‖ 25. ἄλλους] πολλοὺς corr Y^b. ‖ 27. ἐπιδεικτικοῖς] [illegible] QY^bZ^b. ‖ 32. γένος A^c. ‖ 33. σαφές Z^b. ‖ 36. ἐχομένως $Y^bZ^bA^c$.

1. περὶ] hinc librum secundum incipiunt $N^aY^bZ^b$ quorum N^a cum Q in margine κατὰ Λατίνους ἔτι καὶ ταῦτα τοῦ α βιβλίου εἰσίν. ‖ δὲ] δὲ τῆς QY^bZ^b. ‖ 2. δεῖ ποιεῖν Z^b. ‖ 9. ἔγγραφα Z^b. ‖ 15. δὲ om Q. ‖ οἱ A^c. ‖ 16. χρημάτων Z^b. ‖ 19. διὰ] περὶ A^c. ‖ 21. φιλόνεικος A^c. ‖ 22. ὁ — 23. δόξης om QZ^b et pr Y^b. ‖ 27. ἔχουσιν Y^b. ‖ 28. ὀρεγόμεθα QZ^b. ‖ 29. ἐγχειρῶσι QZ^b. ‖ 32. οὐχ om QY^bZ^b. ‖ δὲ QY^bZ^b. ‖ 34. τὰ δ' ἐξ ἀνάγκης om pr Z^b. ‖ 35. τῶν δ' ἐξ ἀνάγκης om Q. ‖ 37. καὶ om QY^bZ^b.

αὐτοὶ αἴτιοι, τὰ μὲν δι' ἔθος τὰ δὲ δι' ὄρεξιν, καὶ τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν τὰ δὲ δι' ἀλόγιϛον· ἔστι δ' ἡ μὲν βούλησις ἀγαθȣ̃ ὄρεξις (οὐδεὶς γὰρ βȣ́λεται ἀλλ' ἢ ὅταν οἰηθῇ εἶναι ἀγαθόν), ἄλογοι δ' ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία, ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν. τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίας ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίεργον· εἰ γὰρ συμβέβηκε τοῖς νέοις ὀργίλοις εἶναι ἢ ἐπιθυμητικοῖς, οὐ διὰ τὴν νεότητα πράττȣσι τὰ τοιαῦτα ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν. ȣ̓δὲ διὰ πλȣ̃τον καὶ πενίαν, ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων, τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξȣσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν. ἀλλὰ πράξουσι καὶ ȣ̔̃τοι οὐ διὰ πλοῦτον καὶ πενίαν ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ ἄλλοι οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξȣσιν· ἢ γὰρ διὰ λογισμὸν ἢ διὰ πάθος· ἀλλ' οἱ μὲν δι' ἤθη καὶ πάθη χρηστά, οἱ δὲ διὰ τἀναντία. συμβαίνει μέντοι ταῖς μὲν τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε τὰ τοιάδε· εὐθὺς γὰρ ἴσως τῷ μὲν σώφρονι διὰ τὸ σώφρονα εἶναι δόξαι τε καὶ ἐπιθυμίαι χρηϛαὶ ἐπακολȣθȣ̃σι περὶ τῶν ἡδέων, τῷ δ' ἀκολάστῳ αἱ ἐναντίαι περὶ τῶν αὐτῶν τȣ́των. διὸ τὰς μὲν τοιαύτας διαιρέσεις ἐατέον, σκεπτέον δὲ ποῖα ποίοις εἴωθεν ἕπεσθαι· εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, ȣ̓δὲν τέτακται τῶν τοιούτων ἀκολȣθεῖν, εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει. καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων, οἷον πλȣτεῖν δοκῶν ἑαυτῷ ἢ πένεσθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν. ταῦτα μὲν ȣ̓̃ν ὕϛερον ἐροῦμεν, νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον. ἔϛι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως· δῆλον δ' ἐκ τοῦ ὁρισμȣ̃ τῆς τύχης περὶ τȣ́των. φύσει δέ, ὅσων ἥ τ' αἰτία ἐν αὐτοῖς καὶ τεταγμένη· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει. τὰ γὰρ παρὰ φύσιν ȣ̓δὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται· δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιȣ́των. βίᾳ δέ, ὅσα παρ' ἐπιθυμίαν ἢ τȣ̀ς λογισμȣ̀ς γίγνεται δι' αὐτῶν τῶν πραττόντων. ἔθει δέ, ὅσα διὰ τὸ πολλάκις πεποιηκέναι ποιȣ̃σιν. διὰ λογισμὸν δὲ τὰ δοκȣ̃ντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται· ἔνια γὰρ καὶ οἱ ἀκόλαϛοι συμφέροντα πράττȣσιν, ἀλλ' ȣ̓ διὰ τὸ συμφέρειν ἀλλὰ δι' ἡδονήν. διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά. διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τȣ̃ πάσχοντος ἕνεκά ἐϛιν, ἡ δὲ τιμωρία τȣ̃ ποιȣ̃ντος, ἵνα ἀποπληρωθῇ. τί μὲν ȣ̓̃ν ἐϛὶν ἡ ὀργή, δῆλον ἔϛαι ἐν τοῖς περὶ παθῶν, δι' ἐπιθυμίαν δὲ πράττεται ὅσα φαίνεται ἡδέα. ἔϛι δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσιν· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν ἐθισθῶσιν, ἡδέως ποιȣ̃σιν. ὥϛε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὐτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα. ἐπεὶ δ' ὅσα δι' αὑτȣ́ς, ἑκόντες πράττȣσιν, ȣ̓χ ἑκόντες δὲ ὅσα μὴ δι' αὑτȣ́ς, πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ ἀπαλλαγὴν ἢ ἀντὶ μείζονος ἐλάττονος μετάληψιν ἐν τοῖς ἀγαθοῖς (αἱρετὰ γάρ πως), καὶ τὴν τῶν λυπηρῶν ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν ἀντὶ μειζόνων ἐλαττόνων ἐν τοῖς ἡδέσιν ὡσαύτως. ληπτέον ἄρα τὰ συμφέροντα καὶ τὰ ἡδέα, πόσα καὶ ποῖα. περὶ μὲν ȣ̓̃ν τȣ̃ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν. δεῖ δὲ νομίζειν ἱκανȣ̀ς εἶναι τοὺς ὅρȣς, ἐὰν ὦσι περὶ ἑκάϛȣ μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς.

Ὑποκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς 11 Pleasure
ψυχῆς καὶ κατάϛασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, λύπην δὲ τοὐναντίον. εἰ δ' ἐϛὶν ἡδονὴ τὸ

1. καὶ om A^c. ‖ 2. ἔϛι]: ὅρος βȣλήσεως: ἔϛι A^c. ‖ ἡ βȣ́λησις μετὰ λόγȣ ὄρεξις ἀγαθȣ̃ QY^bZ^b. ‖ 4. οἰηθείη QY^bZ^b. ‖ 5. ἀνάγκη ante πάντα QY^bZ^b, omisso πράττειν. ‖ 6. διὰ βίαν διὰ φύσιν QY^bZ^b. ‖ 8. ἡλικίαν A^c. ‖ 11. ȣ̓δὲ] ȣ̓δὲ οἱ πλȣ́σιοι καὶ πένητες Q. ‖ 14. πράττουσι A^c. ‖ 17. ὀρέξεις Q. ‖ ταῦτα] ταῦτα πάντα QY^bZ^b. ‖ 19. χρηστά] καὶ χρηστά QY^bZ^b. ‖ 20. τοιαύταις] τοιαισδὶ QY^bZ^b. ‖ τοιαισδὶ QY^bZ^b. ‖ 21. τοιάδ' ȣ̓̃ Q. ‖ σώφρονα εἶναι] σώφρον A^c. ‖ 23. ἡδονῶν QY^bZ^b. ‖ 27. ἀκόλȣθον QZ^b et pr Y^b. ‖ 29. δοκεῖ τῷ ἢ Q, δοκείτω ἢ Y^bZ^b. ‖ 30. δι' οἰήσει pr Y^b. ‖ ἀτυχεῖν ἢ εὐτυχεῖν QY^bZ^b. ‖ 33. τȣ́του Q.

1. ἢ ante γὰρ om pr A^c. ‖ 3. πότερον QY^bZ^b. ‖ 5. περὶ Y^b. ‖ 6. πραγμάτων Q. ‖ 9. τὸ ante τέλος om QY^bZ^b. ‖ 9 et 11. συμφέρον QY^bZ^b. ‖ 14. ἀποκληρωθῇ A^c, πληρωθῇ QY^bZ^b. ‖ τί μὲν ȣ̓̃ν] περὶ μὲν ȣ̓̃ν τίνα QY^bZ^b. ‖ 18. συνεθίσωσιν A^c. ‖ 21. ȣ̓κ ἔχοντες A^c. ‖ 22. ἢ ante ἀγαθὰ om QY^bZ^b. ‖ 24. ἢ] ἢ καὶ Z^b. ‖ ἢ om QY^bZ^b. ‖ ἢ ἀντὶ – 26. ἀπαλλαγὴν ante 28. ληπτέον Z^b. ‖ 26. πως] πως ἐϛί QY^bZ^b. ‖ ἢ alterum om QY^bZ^b. ‖ 27. ὡσαύτως ἐν τοῖς ἡδέσιν QY^bZ^b. ‖ 28. τὰ post καὶ om A^c. ‖ 30 εἴπομεν A^c. ‖ 33. τῆς om QY^bZ^b. ‖ 35. δή ἐϛιν ἡ ἡδονὴ QY^bZ^b.

τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐςι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν. ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ, καὶ μάλιςα ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα, καὶ τὰ ἔθη· καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ πεφυκὸς ἤδη γίγνεται· ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔςι δ' ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις. καὶ τὸ μὴ βίαιον· παρὰ φύσιν γὰρ ἡ βία. διὸ τὸ ἀναγκαῖον λυπηρόν, καὶ ὀρθῶς εἴρηται "πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ." τὰς δ' ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς συντονίας λυπηράς· ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶσιν· οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ. τὰ δ' ἐναντία ἡδέα· διὸ αἱ ῥαθυμίαι καὶ αἱ ἀπονίαι καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων· οὐδὲν γὰρ πρὸς ἀνάγκην τούτων. καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, ἅπαν ἡδύ· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐςὶν ὄρεξις. τῶν δὲ ἐπιθυμιῶν αἱ μὲν ἄλογοί εἰσιν αἱ δὲ μετὰ λόγου. λέγω δὲ ἀλόγους μέν, ὅσας μὴ ἐκ τοῦ ὑπολαμβάνειν τι ἐπιθυμοῦσιν· εἰσὶ δὲ τοιαῦται ὅσαι εἶναι λέγονται φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι, οἷον ἡ τροφῆς, δίψα καὶ πεῖνα καὶ καθ' ἕκαςον τροφῆς εἶδος ἐπιθυμία, καὶ αἱ περὶ τὰ γευςὰ καὶ περὶ τὰ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ ὀσμὴν εὐωδίας καὶ ἀκοὴν καὶ ὄψιν. μετὰ λόγου δὲ ὅσα ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσιν· πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες. ἐπεὶ δ' ἐςὶ τὸ ἥδεσθαι ἐν τῷ αἰσθάνεσθαί τινος πάθους, ἡ δὲ φαντασία ἐςὶν αἴσθησίς τις ἀσθενής, κἂν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοῖ ἂν φαντασία τις οὗ μέμνηται ἢ ἐλπίζει. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ ἡδοναὶ ἅμα μεμνημένοις καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις. ὥς' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα· αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, μέμνηνται δὲ τὰ γεγενημένα, ἐλπίζουσι δὲ τὰ μέλλοντα.

τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐςίν, οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ὧν ᾖ ὕςερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο· ὅθεν καὶ τοῦτ' εἴρηται, "ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων," καὶ "μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ μνήμενος, ὅστις πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ." τούτου δ' αἴτιον ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν. τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντ' ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται μεγάλα, καὶ ἄνευ λύπης ὠφελεῖν. ὅλως δ' ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ, ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ "ὅςε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο·" οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν, οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει· ἢ οὐκ ὀργίζονται ἢ ἧττον. καὶ ἐν ταῖς πλείςαις ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή· ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσί τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν, καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου. καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον παρόντος χαίρωσιν ἀλλὰ καὶ ἀπόντος μεμνημένοι ἐρῶσιν. διὸ καὶ ὅταν λυπηρὸς γένηται τῷ μὴ παρεῖναι, καὶ ἐν τοῖς πένθεσι καὶ θρήνοις ἐγγίνεταί τις ἡδονή· ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον, καὶ ἃ ἔπραττε, καὶ οἷος ἦν. διὸ καὶ τοῦτ' εἰκότως εἴρηται, "ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο." καὶ τὸ τιμωρεῖσθαι ἡδύ· οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ· οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλήτως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν. καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις ἀλλὰ πᾶσιν· φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον. ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι

7. τι om QY^bZ^b. ‖ καὶ om QY^b; γὰρ καὶ om Z^b. ‖ 8. τοῦ αἰεί ἐςιν. ἔςι et 9. βίαιον δέ· παρὰ et 10. αἱ [illegible] QY^bZ^b. ‖ 14. ἀπόνοιαι Y^b. ‖ 15. αἱ primum om A^c. ‖ παιδιαι Y^bA^c. ‖ ἀναπτώσεις Q. ‖ 16. ὁ om QY^bZ^b. ‖ 19. ἀλόγους] ἄλογα Q. ‖ μὴ om A^c. ‖ λαμβάνειν ἐπιθυμοῦσιν A^c. ‖ 20. λέγονται εἶναι et 22. εἶδος τροφῆς QY^bZ^b. ‖ 23. ἐπιθυμίας A^c. ‖ περὶ τὰ post καὶ om A^c. ‖ 29. κἂν] ἀεὶ ἐν A^c. ‖ ἀκολουθοίη φαντασία QY^bZ^b. ‖ 30. δὴ Q. ‖ 31. ἅμα] μάλα QY^bZ^b. ‖ 33. μεμνῆσθαι καὶ γεγενημένα Y^bZ^b. ‖ 35. γενόμενα A^c.

4. τι QY^bZ^b. ‖ 5. μνησάμενος ὅτε A^c. ‖ 6. πάθοι Q. ‖ ἐέργει Y^b, ἔοργε QZ^b. ‖ 7. κακόν] τὸ κακόν QY^bZ^b. ‖ 8. καὶ] ἢ QY^bZ^b. ‖ 10. ὡς om Q. ‖ 11. καὶ om QY^bZ^b. ‖ ὥςε Y^b. ‖ 19. χαίρουσι γὰρ καὶ ἐρῶντες A^c. ‖ 20. ἀεί τι QY^bZ^b. ‖ 22. καὶ [illegible] ἔρωτος γίνεται αὕτη QY^bZ^b. ‖ 23. μὴ — 24. ὅταν om Q. ‖ 24. διὸ et ὅταν καὶ corr A^c. ‖ λύπη προσγένηται A^c. ‖ 25. τοῖς om A^c. ‖ ἐγγίνεταί] ὡσαύτως ἐπιγίγνεταί A^c. ‖ 26. τὸ Z^b. ‖ 27. τῷ μὴ μεμνῆσθαι Q. ‖ 28. εἰκότως om QY^bZ^b. ‖ 29. ἐφ' QZ^b. ‖ 30. λυπηρόν ἐςι τὸ Z^b. ‖ 33. ἀλλὰ καὶ πᾶσι QY^bZ^b.

μαχητικὰς καὶ τὰς ἐριςικάς (πολλάκις γὰρ ἐν ταύ- γίγνεται τὸ νικᾶν) καὶ ἀςραγαλίσεις καὶ σφαιρίσεις υβείας καὶ πεττείας. καὶ περὶ τὰς ἐσπυδασμένας δὲ ὰς ὁμοίως· αἱ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ῇ ης, αἱ δ᾽ εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θη- κή· ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν. διὸ δικανικὴ καὶ ἡ ἐριστικὴ ἡδεῖα τοῖς εἰθισμένοις καὶ μένοις. καὶ τιμὴ καὶ εὐδοξία τῶν ἡδίςων διὰ τὸ γί- αι φαντασίαν ἑκάςῳ ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος, μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν. τοιῦτοι δ᾽ γὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ πολῖ- ῶν ἄπωθεν, καὶ οἱ ὄντες τῶν μελλόντων, καὶ οἱ φρό- ἀφρόνων, καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ύειν τὺς εἰρημένους τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ φρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, ὐδὲν μέλει τῆς τύ- τιμῆς ἢ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν, ἀλλ᾽ δι᾽ ἄλλο τι. καὶ ὁ φίλος τῶν ἡδέων· τό τε γὰρ ν ἡδύ (ὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ) καὶ τὸ σθαι ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τῦ ὑπάρχειν ἀγαθὸν εἶναι, ὗ πάντες ἐπιθυμῦσιν οἱ αἰσθανόμενοι· φιλεῖσθαι ἀγαπᾶσθαί ἐςιν αὐτὸν δι᾽ αὐτόν. καὶ τὸ άζεσθαι ἡδὺ δι᾽ αὐτὸ τὸ τιμᾶσθαι. καὶ τὸ κολακεύε- καὶ ὁ κόλαξ ἡδύ· φαινόμενος γὰρ θαυμαςὴς καὶ μενος φίλος ὁ κόλαξ ἐςίν. καὶ τὸ ταὐτὰ πράττειν άκις ἡδύ· τὸ γὰρ σύνηθες ἡδὺ ἦν. καὶ τὸ μεταβάλ- ἡδύ· εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν· τὸ γὰρ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεςώσης ἕξεως· ὅθεν εἴρη- μεταβολὴ πάντων γλυκύ." διὰ τοῦτο καὶ τὰ διὰ ἡδέα ἐςί, καὶ ἄνθρωποι καὶ πράγματα· μεταβολὴ ἐκ τοῦ παρόντος ἐστίν, ἅμα δὲ καὶ σπάνιον τὸ διὰ υ. καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ λύ· ἐν μὲν γὰρ τῷ θαυμάζειν τὸ ἐπιθυμεῖν μαθεῖν ὥστε τὸ θαυμαςὸν ἐπιθυμητόν, ἐν δὲ τῷ μανθάνειν κατὰ φύσιν καθίςασθαι. καὶ τὸ εὖ ποιεῖν καὶ τὸ ίσχειν τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν τυγχά- νειν ἐςὶν ὧν ἐπιθυμῦσι, τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται. διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν, καὶ τὸ ἐπανορθῦν ἡδὺ τοῖς ἀνθρώποις ἐςὶ τὺς πλησίον, καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν. ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μεμιμημένον, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιία καὶ ποιητική, καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ, κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον· ὐ γὰρ ἐπὶ τύτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐςιν ὅτι τῦτο ἐκεῖνο, ὥςε μανθάνειν τι συμβαίνει. καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων· πάντα γὰρ θαυμαςὰ ταῦτα. καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐςίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ καὶ ἵππος ἵππῳ καὶ νέος νέῳ. ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ ἀεὶ κολοιὸς παρὰ κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα. ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν, μάλιςα δ᾽ αὐτὸς πρὸς ἑαυτὸν ἕκαςος τῦτο πέπονθεν, ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον· πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὑτὸν μάλιςα. ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους. διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ καὶ φιλερασταὶ καὶ φιλότιμοι καὶ φιλότεκνοι· αὑτῶν γὰρ ἔργα τὰ τέκνα. καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν ἡδύ· αὑτῶν γὰρ ἔργον ἤδη γίγνεται. καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον, καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδύ· ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔςι δ᾽ ἡ σοφία πολλῶν καὶ θαυμαςῶν ἐπιςήμη. ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι. καὶ τὸ ἐν ᾧ βέλτιστος δοκεῖ εἶναι αὐτὸς αὑτῦ, ἐνταῦθα διατρίβειν, ὥσπερ καὶ Εὐριπίδης φησὶ "κἀπὶ τοῦτ᾽ ἐπείγεται, νέμων ἑκάςης ἡμέρας πλεῖςον μέρος, ἵν᾽ αὐτὸς αὑτῦ τυγχάνει βέλτιςος ὤν." ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, καὶ ὁ γέλως τῶν ἡδέων, ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ ἀνθρώπους

. ἐριςικάς] αὐλητικὰς καὶ ἐριςικάς QY^bZ^b. ‖ αὐταῖς QY^bZ^b. ‖ 7. ἡ alterum om A^c. ‖ 9. οἷος ὁ] καὶ QY^bZ^b. ‖ 11. συνήθεις γνώριμοι καὶ QY^bZ^b. ‖ 12. ἄποθεν QY^bZ^b. ‖ 16. ἢ] καὶ A^c. ‖ 18. μὴ] ὁ μὴ QY^bZ^b. ‖ 20. αὐτὸ Q, αὐτῷ τὸ Y^bZ^b. ‖ 22. ὸ] αὐτὸ τῷ A^c. ‖ 23. ἡδύς A^c. ‖ θαυμαστὸς Y^b. ‖ 28. καὶ] γὰρ καὶ QY^b. ‖ 30. διὰ τοῦ χρόνου QY^bZ^b. ‖ 35. τῶν – b 1. om Q.

. ἐςὶν om A^c. ‖ 2. ἀμφότεροι Q, ἀμφοτέρα Y^b. ‖ δὲ om Q. ‖ 3. καὶ om QY^bZ^b. ‖ 5. τοιαῦτα QY^bZ^b. ‖ 6. οἷον om QY^b ὥσπερ – 7. μεμιμημένον om Z^b. ‖ 7. ὃ – ᾖ] ἂν ᾖ μεμιμημένον QY^b. ‖ 8. καὶ ἐὰν μὴ ᾖ ἡδὺ ὐ τὸ μίμημα QY^bZ^b. ‖ 13. ἅπαντα Z^b. ‖ 14. καὶ om A^c. ‖ 16. τὸν] τὸ Y^bZ^b, τῷ ὁμοίῳ φίλον τὸ Q. ‖ ἐγνώκει QY^bZ^b. ‖ 17. ἀεὶ] γὰρ A^c. ‖ 18. τὸ post καὶ om Z^b. ‖ 19. τύτων Y^bZ^b. ‖ 23. καὶ utrumque om QY^bZ^b. ‖ 24. καὶ φιλερασταὶ om A^c. ‖ 25. ἔργων pr A^c, ἔργον corr. ‖ 27. δοκεῖ αιον pr A^c. ‖ 30. εἶναι] εἶναι καὶ τὸ ἄρχειν A^c. ‖ τὸ om QY^bZ^b. ‖ δοκεῖ βέλτιςος αὐτὸς αὑτῦ εἶναι A^c. ‖ 31. καὶ om QY^b Εὐριπίδης] ὁ ποιητὴς A^c. ‖ 33. τυγχάνῃ QY^bZ^b. ‖ 34. παιδιὰ τῶν] παιδιὰ διὰ τῶν A^c. ‖ 35. καὶ τὰ] δὲ καὶ τὰ QY^bZ^b.

καὶ λόγυς καὶ ἔργα· διώρισαι δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ ποιητικῆς. περὶ μὲν ὖν ἡδέων εἰρήσθω ταῦτα, τὰ δὲ λυπηρὰ ἐκ τῶν ἐναντίων τύτοις φανερά.

12 Ὧν μὲν ὖν ἕνεκα ἀδικῦσι, ταῦτ' ἐςίν· πῶς δ' ἔχοντες καὶ τίνας, λέγωμεν νῦν. αὐτοὶ μὲν οὖν ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ ἑαυτοῖς δυνατόν, εἴτε ἂν λαθεῖν πράξαντες, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην, ἢ δοῦναι μὲν ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους ἑαυτοῖς ἢ ὧν κήδονται. ποῖα μὲν οὖν δυνατὰ φαίνεται καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕςερον ῥηθήσεται (κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων), αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιςα ἀζήμιοι ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ καὶ οἱ ἔμπειροι πολλῶν ἀγώνων, κἂν πολύφιλοι ὦσιν, κἂν πλύσιοι. καὶ μάλιςα μέν, ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι, εἰ δὲ μή, κἂν ὑπάρχωσιν αὐτοῖς τοιῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην. καὶ ἐὰν φίλοι ὦσι τοῖς ἀδικυμένοις ἢ τοῖς κριταῖς· οἱ μὲν γὰρ φίλοι ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ προσκαταλλάττονται πρὶν ἐπεξελθεῖν, οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιῦσιν. λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενὴς περὶ αἰκίας καὶ ὁ πένης καὶ ὁ αἰσχρὸς περὶ μοιχείας. καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς· ἀφύλακτα γὰρ διὰ τὸ μηδένα ἂν οἴεσθαι. καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα οἷα μηδ' ἂν εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες γὰρ τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα φυλάττονται καὶ τἀδικήματα, ὃ δὲ μηδείς πω ἠρρώςηκεν, οὐδεὶς εὐλαβεῖται. καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυλάττεσθαι, οἱ δὲ λανθάνυσι διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομένοις, καὶ διὰ τὸ ἀπολογίαν ἔχειν ὅτι ὐκ ἂν ἐνεχείρησαν. καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόπος ἢ τόπος ἢ διάθεσις εὔπορος. καὶ ὅσοις μὴ λαθῦσιν ἐςὶ δίωσις δίκης ἢ ἀναβολὴ χρόνυ ἢ διαφθοραὶ κριτῶν. καὶ οἷς, ἐὰν γένηται ζημία, ἐςὶ δίωσις τῆς ἐκτίσεως ἢ ἀναβολὴ χρόνιος, ἢ δι' ἀπορίαν μηδὲν ἕξει ὅ τι ἀπολέσῃ. καὶ οἷς τὰ μὲν κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ ζημίαι μικραὶ ἢ ἀφα-

νεῖς ἢ πόρρω. καὶ ὧν μή ἐςι τιμωρία ἴση τῇ ὠφελεί
δοκεῖ ἡ τυραννίς. καὶ ὅσοις τὰ μὲν ἀδικήματα λήμ
αἱ δὲ ζημίαι ὀνείδη μόνον. καὶ οἷς τὐναντίον τὰ μὲν
ματα εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα τιμωρή
ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπερ Ζήνωνι, αἱ δὲ ζημ
χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν τι· δι' ἀμφότερα γὰ
κῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ ἀ
ἐναντίοι τοῖς ἤθεσιν. καὶ οἱ πολλάκις ἢ λεληθότες ἢ μ
μιωμένοι. καὶ οἱ πολλάκις ἀποτετυχηκότες· εἰσὶ γά
καὶ ἐν τοῖς τοιύτοις, ὥσπερ ἐν τοῖς πολεμικοῖς, οἷοι ἀ
χεσθαι. καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδύ, τὸ δὲ λ
ὕςερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον· οἱ γὰρ ἀκ
τοιῦτοι, ἔςι δ' ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται. κ
ἂν τὐναντίον τὸ μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δ
καὶ ὠφέλιμον ὕςερα καὶ χρονιώτερα· οἱ γὰρ ἐγκρατ
φρονιμώτεροι τὰ τοιαῦτα διώκυσιν. καὶ οἷς ἂν ἐνδέ
διὰ τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσ
ἔθος, καὶ ὅλως ἁμαρτεῖν ἀλλὰ μὴ ἀδικεῖν. καὶ οἷ
τῦ ἐπιεικῦς τυχεῖν. καὶ ὅσοι ἂν ἐνδεεῖς ὦσιν. διχῶς δ'
ἐνδεεῖς· ἢ γὰρ ὡς ἀναγκαίυ, ὥσπερ οἱ πένητες, ἢ ὡς ὑ
βολῆς, ὥσπερ οἱ πλύσιοι. καὶ οἱ σφόδρα εὐδοκιμῦντ
οἱ σφόδρα ἀδοξῦντες, οἱ μὲν ὡς ὐ δόξοντες, οἱ δ' ὡς
μᾶλλον δόξοντες. αὐτοὶ μὲν ὖν ὕτως ἔχοντες ἐπιχειρ
ἀδικῦσι δὲ τοὺς τοιούτους καὶ τὰ τοιαῦτα τὺς ἔχοντα
αὐτοὶ ἐνδεεῖς ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς
λαυσιν, καὶ τοὺς πόρρω καὶ τοὺς ἐγγύς· τῶν μὲν γ
λῆψις ταχεῖα, τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλ
τὺς Καρχηδονίυς. καὶ τὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτ
ἀλλὰ πιςευτικύς· ῥᾴδιον γὰρ πάντας λαθεῖν. καὶ τὺς ῥ
θύμυς· ἐπιμελῦς γὰρ τὸ ἐπεξελθεῖν. καὶ τὺς αἰσχυντη
ὐ γὰρ μαχητικοὶ περὶ κέρδυς. καὶ τὺς ὑπὸ πολλῶν ἀδ
θέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας κατὰ τὴν παρ
τύτυς Μυσῶν λείαν. καὶ ὓς μηδεπώποτε καὶ ὓς πολλ
ἀμφότεροι γὰρ ἀφύλακτοι, οἱ μὲν ὡς ὐδέποτε, οἱ δ' ὡ
ἂν ἔτι. καὶ τὺς διαβεβλημένυς ἢ εὐδιαβόλυς· οἱ τοιῦτ
ὔτε προαιρῦνται, φοβύμενοι τοὺς κριτάς, ὔτε δύνανται
θειν· ὧν οἱ μισύμενοι καὶ φθονύμενοί εἰσιν. καὶ πρὸ

5. δέωνται pr A^c. ‖ 6 et 9. αὑτοῖς A^c. ‖ 10. γὰρ τῶν μερῶν τῆς ῥητορικῆς ταῦτα πάντα αὐτοὶ QY^bZ^b. ‖ 13. οἱ om A^c. ‖ κἂν] καὶ ἐὰν — καὶ ἐὰν QY^bZ^b. ‖ πολλοὶ φίλοι Y^bZ^b. ‖ 15. τοιῦτοι αὐτοῖς QY^bZ^b. ‖ 18. ἢ] μὴ Y^bZ^b. ‖ 20. ἐξελθεῖν QZ^b. ‖ post καὶ om QZ^b. ‖ 22. ἀσθενεῖς A^c. ‖ 23. μοιχίας Q. ‖ τὸ λίαν φανερῷ A^c. ‖ 24. ἂν om QY^bZ^b. ‖ 25. ἃ μηδὲ εἷς QY^b 28. ἠρρώςησεν et 30. λανθάνυσί τε διὰ et 32. ἐπεχείρησεν QY^bZ^b. ‖ 32. τρόποις ἢ τόποις ἢ διαθέσεις εὔποροι A^c. ‖ 33. λανθάνυσι 34. χρόνιος QY^bZ^b. ‖ 35. κτήσεως QA^c. ‖ 36. ἀπολέσει QY^bZ^b. ‖ 37. μικραὶ] ἢ μικραὶ QY^bZ^b.

1. ὧ QY^bZ^b. ‖ 2. ἡ] ἔχειν ἡ A^c. ‖ 5. εἰς] ὡς Y^bZ^b. ‖ 6. δι' ἀμφότερα] ἀμφότεροι QY^bZ^b. ‖ 8. οἱ om A^c. ‖ 10. ὐ] QY^bZ^b. ‖ οἷον $QY^bZ^bA^c$. ‖ 12. γὰρ] δὲ QY^bZ^b. ‖ 14. ᾖ om QY^bZ^b. ‖ ἡ om A^c. ‖ 15. ἀκρατεῖς Q. ‖ 16. τὰ om QY^bZ^b. ‖ ἀδοξῦντες A^c. ‖ 29. λαβεῖν Q. ‖ ῥαθυμῦντας QY^bZ^b. ‖ 31. μαχηταὶ Q. ‖ 33. ὓς] τὺς A^c. ‖ μηδέποτε Y^b.

ἔχυσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ ποιησάντων κακῶς ἢ μελλησάντων ἢ αὐτὺς ἢ προγόνους ἢ ὧν κήδονται· ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία. καὶ τὺς ἐχθρὺς καὶ τὺς φίλυς· τὺς μὲν γὰρ ῥᾴδιον, τὺς δ' ἡδύ. καὶ τὺς ἀφίλυς. καὶ τὺς μὴ δεινὺς εἰπεῖν ἢ πρᾶξαι· ἢ γὰρ ὐκ ἐγχειρῦσιν ἐπεξιέναι, ἢ καταλλάττονται, ἢ οὐδὲν περαίνυσιν. καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηρῦσιν ἢ δίκην ἢ ἔκτισιν, οἷον οἱ ξένοι καὶ αὐτουργοί· ἐπὶ μικρῷ τε γὰρ διαλύονται καὶ ῥᾳδίως καταπαύονται. καὶ τὺς πολλὰ ἠδικηκότας, ἢ τοιαῦτα οἷα ἀδικῦνται· ἐγγὺς γάρ τι δοκεῖ τοῦ μὴ ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικηθῇ τις οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν· λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο. καὶ τὺς ἢ πεποιηκότας κακῶς ἢ βυληθέντας ἢ βυλομένυς ἢ ποιήσοντας· ἔχει γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλόν, καὶ ἐγγὺς τῦ μὴ ἀδικεῖν φαίνεται. καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομένοις ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς ὓς ζῶσιν αὐτοί. καὶ πρὸς οὓς ἔςιν ἐπιεικείας τυχεῖν. καὶ οἷς ἂν ἐγκεκληκότες ὦσι καὶ προδιακεχωρηκότες, οἷον Κάλλιππος ἐποίει τὰ περὶ Δίωνα· καὶ γὰρ τὰ τοιαῦτα ἐγγὺς τῦ μὴ ἀδικεῖν φαίνεται. καὶ τὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοί, ὡς ὐκέτι ἐνδεχόμενον βυλεύσασθαι, ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ, ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων. καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμενοι, ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν. καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τεύξεσθαι. καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δ' ὅσα ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα, ἢ τὰ εὐμετάβλητα σχήμασιν ἢ χρώμασιν ἢ κράσεσιν. ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον· τοιαῦτα δὲ τὰ εὐβάςακτα καὶ ἐν μικροῖς τόποις ἀφανιζόμενα. καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχε τῷ ἀδικοῦντι. καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντες λέγειν, οἷον γυναικῶν οἰκείων ὕβρεις ἢ εἰς αὐτὺς ἢ εἰς υἱεῖς. καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξιών· τοιαῦτα δὲ τά τε μικρὰ καὶ ἐφ' οἷς συγγνώμη. ὡς μὲν ὖν ἔχοντες ἀδικῦσι, καὶ ποῖα καὶ ποίυς καὶ διὰ τί, σχεδὸν ταῦτ' ἐςίν.

Τὰ δ' ἀδικήματα πάντα καὶ τὰ δικαιώματα διέλωμεν, ἀρξάμενοι πρῶτον ἐντεῦθεν. ὥριςαι δὴ τὰ δίκαια καὶ τὰ ἄδικα πρός τε νόμους δύο, καὶ πρὸς οὓς ἐςι, διχῶς. 13
λέγω δὲ νόμον τὸν μὲν ἴδιον τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν ἑκάςοις ὡρισμένον πρὸς αὐτύς, καὶ τοῦτον τὸν μὲν ἄγραφον τὸν δὲ γεγραμμένον, κοινὸν δὲ τὸν κατὰ φύσιν. ἔςι γάρ, ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλυς ᾖ μηδὲ συνθήκη, οἷον καὶ ἡ Σοφοκλέυς Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τῦτο δίκαιον·

ὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τῦτο, κὐδεὶς οἶδεν ἐξ ὅτυ φάνη.

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τῦ μὴ κτείνειν τὸ ἔμψυχον· τῦτο γὰρ ὐ τισὶ μὲν δίκαιον τισὶ δ' ὐ δίκαιον,

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτυ αὖ γῆς.

καὶ ὡς ἐν τῷ Μεσσηνιακῷ λέγει Ἀλκιδάμας. πρὸς οὓς δὲ διώριςαι, διχῶς διώριςαι· ἢ γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνύντων, ἃ δεῖ πράττειν καὶ μὴ πράττειν. διὸ καὶ τἀδικήματα καὶ τὰ δικαιώματα διχῶς ἔςιν ἀδικεῖν καὶ δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς τὸ κοινόν· ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινὰ τῶν ὡρισμένων, ὁ δὲ μὴ ςρατευόμενος τὸ κοινόν. ἁπάντων δὴ τῶν ἀδικημάτων διῃρημένων, καὶ τῶν μὲν ὄντων πρὸς τὸ κοινὸν τῶν δὲ πρὸς ἄλλον καὶ πρὸς ἄλλυς, ἀναλαβόντες τί ἐςι τὸ ἀδικεῖσθαι, λέγωμεν τὰ λοιπά. ἔςι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντος τὰ ἄδικα πάσχειν· τὸ γὰρ ἀδικεῖν ὥρισται πρότερον ἑκούσιον εἶναι. ἐπεὶ δ' ἀνάγκη τὸν ἀδικύμενον βλάπτεσθαι καὶ ἀκυσίως βλάπτεσθαι, αἱ μὲν βλάβαι ἐκ τῶν πρότερον φανεραί εἰσιν· τὰ γὰρ ἀγαθὰ καὶ τὰ κακὰ διῄρηται καθ' αὑτὰ πρότερον, καὶ τὰ ἑκούσια, ὅτι ἐςὶν ὅσα εἰδότες. ὥςτ' ἀνάγκη πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοινὸν ἢ πρὸς τὸ ἴδιον εἶναι, ἢ καὶ ἀγνοῦντος ἢ ἄκοντος, ἢ ἑκόντος καὶ εἰδότος, καὶ τούτων τὰ μὲν προελομένυ τὰ δὲ διὰ πάθος. περὶ μὲν ὖν θυμῦ ῥηθήσεται ἐν τοῖς περὶ τὰ πάθη, ποῖα δὲ προαιρῦνται καὶ πῶς ἔχοντες, εἴρηται πρότερον. ἐπεὶ δ' ὁμολογῦντες πολλάκις πε-

3. δέεται QY^bZ^b. ‖ 9. γὰρ] γὰρ καὶ QZ^b. ‖ ῥᾳδίως] ῥᾳδίως οἱ τοιῦτοι QY^bZ^b. ‖ 12. δ' οἷον] δ' ὅτι A^c. ‖ 14. ποιήσαντας A^c. ‖ 15. τῦ] τῦτο τῦ QY^bZ^b. ‖ 19. ἐποίησε QY^bZ^b. ‖ τὰ] τὰ δὲ Z^b. ‖ 27. ἢ] οἱ Y^b. ‖ 28. τεύξασθαι A^c. ‖ 29. ὅσα ἢ ταχὺ QY^bZ^b. ‖ 31. πολλαχῶς Y^b. ‖ 34. λέγειν οἱ ἀδικηθέντες QY^bZ^b. ‖ 35. ἢ εἰς ἑαυτὺς Y^bZ^b, om Q. ‖ εἰς om A^c. ‖ 36. τε om A^c.

1. δ' om A^c. ‖ τὰ om Y^bZ^b. ‖ 5. ἑαυτύς QY^bZ^b. ‖ 7. φύσει κοινὸν] γρ φυσικὸν ὂν margo Y^b. ‖ 10. πολυνίκη A^c, πολυνείκη, QY^bZ^b. ‖ 12. γε] τε QY^b, σε Z^b. ‖ καὶ χθὲς Q. ‖ 17. τέτακται QY^bZ^b. ‖ αὐγῆς $Y^bZ^bA^c$. ‖ 18. λέγει ἐν τῷ μεσσηνιακῷ ἀλκίδαμος QY^bZ^b. ‖ 19. δίχα ὥριςαι A^c. ‖ 20. ἃ] ἢ Z^b. ‖ 22. καὶ post ἕνα om QY^bZ^b. ‖ 27. τὰ λοιπά om A^c. ‖ δὲ et 29. ἑκόντων QY^bZ^b. ‖ 31. πρότερον εἰρημένων φανεραί Q. ‖ 32. εἴρηται A^c. ‖ 34. τὸ alterum et καὶ om QY^bZ^b.

φύσει κοινὸν δίκαιον, μαντεύονταί τι πάντες
Among the examples: not to kill anything which has life

πραχθέναι ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν ἢ περὶ ὃ τὸ ἐπίγραμμα, οἷον λαβεῖν μὲν ἀλλ' οὐ κλέψαι, καὶ πατάξαι πρότερον ἀλλ' οὐχ ὑβρίσαι, καὶ συγγενέσθαι ἀλλ' οὐ μοιχεῦσαι, ἢ κλέψαι ἀλλ' οὐχ ἱεροσυλῆσαι (οὐ γὰρ θεοῦ τι), ἢ ἐπεργάσασθαι μὲν ἀλλ' οὐ δημόσια, ἢ διειλέχθαι μὲν τοῖς πολεμίοις ἀλλ' οὐ προδοῦναι, διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία, ὅπως ἐάν τε ὑπάρχειν ἐάν τε μὴ ὑπάρχειν βουλώμεθα δεικνύναι, ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον. ἔστι δὲ πάντα τὰ τοιαῦτα περὶ τοῦ ἄδικον εἶναι καὶ φαῦλον ἢ μὴ ἄδικον [περὶ οὗ] ἡ ἀμφισβήτησις· ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή· οὐ γὰρ εἰ ἐπάταξε, πάντως ὕβρισεν, ἀλλ' εἰ ἕνεκά του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον ἢ αὐτὸς ἡσθῆναι. οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, ἔκλεψεν, ἀλλ' εἰ ἐπὶ βλάβῃ ἔκλεψε καὶ σφετερισμῷ ἑαυτοῦ. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων. ἐπεὶ δὲ τῶν δικαίων καὶ τῶν ἀδίκων ἦν δύο εἴδη (τὰ μὲν γὰρ γεγραμμένα τὰ δ' ἄγραφα), περὶ ὧν μὲν οἱ νόμοι ἀγορεύουσιν εἴρηται, τῶν δ' ἀγράφων δύο ἐστὶν εἴδη· ταῦτα δ' ἐστὶ τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς καὶ κακίας, ἐφ' οἷς ὀνείδη καὶ ἔπαινοι καὶ ἀτιμίαι καὶ τιμαὶ καὶ δωρεαί, οἷον τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα καὶ βοηθητικὸν εἶναι τοῖς φίλοις καὶ ὅσα ἄλλα τοιαῦτα, τὰ δὲ τοῦ ἰδίου νόμου καὶ γεγραμμένου ἔλλειμμα. τὸ γὰρ ἐπιεικὲς δοκεῖ δίκαιον εἶναι, ἔστι δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. συμβαίνει δὲ τοῦτο τὰ μὲν ἀκόντων τὰ δὲ ἑκόντων τῶν νομοθετῶν, ἀκόντων μὲν ὅταν λάθῃ, ἑκόντων δ' ὅταν μὴ δύνωνται διορίσαι, ἀλλ' ἀναγκαῖον μὲν ᾖ καθόλου εἰπεῖν, μὴ ᾖ δέ, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν, οἷον τὸ τρῶσαι σιδήρῳ πηλίκῳ καὶ ποίῳ τινί· ὑπολείποι γὰρ ἂν ὁ αἰὼν διαριθμοῦντα. ἂν οὖν ᾖ ἀδιόριστον, δέῃ δὲ νομοθετῆσαι, ἀνάγκη ἁπλῶς εἰπεῖν, ὥστε κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν χεῖρα ἢ πατάξῃ, κατὰ μὲν τὸν γεγραμμένον νόμον ἔνοχός ἐστι καὶ ἀδικεῖ,

κατὰ δὲ τὸ ἀληθὲς οὐκ ἀδικεῖ, καὶ τὸ ἐπιεικὲς τοῦτ
εἰ δ' ἐστὶ τὸ εἰρημένον τὸ ἐπιεικές, φανερὸν ποῖά ἐ
ἐπιεικῆ καὶ οὐκ ἐπιεικῆ, καὶ ποῖοι οὐκ ἐπιεικεῖς ἄνθ
ἐφ' οἷς τε γὰρ δεῖ συγγνώμην ἔχειν, ἐπιεικῆ ταῦτα
τὸ τὰ ἁμαρτήματα καὶ τὰ ἀδικήματα μὴ τοῦ ἴσου
μηδὲ τὰ ἁμαρτήματα καὶ τὰ ἀτυχήματα· ἔστι δ' ἀ
ματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας,
τήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας,
κήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τ'
τὰ γὰρ δι' ἐπιθυμίαν ἀπὸ πονηρίας. καὶ τὸ τοῖς ἀν
νοις συγγινώσκειν ἐπιεικές. καὶ τὸ μὴ πρὸς τὸν
ἀλλὰ πρὸς τὸν νομοθέτην σκοπεῖν, καὶ μὴ πρὸς τὸν
ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου [σκοπεῖν], κα
πρὸς τὴν πρᾶξιν ἀλλὰ πρὸς τὴν προαίρεσιν, καὶ μὴ
τὸ μέρος ἀλλὰ πρὸς τὸ ὅλον, μηδὲ ποῖός τις νῦν,
ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ. καὶ τὸ μνημ
μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶ
ἔπαθε μᾶλλον ἢ ἐποίησεν. καὶ τὸ ἀνέχεσθαι ἀδικούμ
καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι ἢ ἔργῳ. κα
εἰς δίαιταν μᾶλλον ἢ εἰς δίκην βούλεσθαι ἰέναι· ὁ
διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ, ὁ δὲ δικαστὴς τὸν νόμον·
τούτου ἕνεκα διαιτητὴς εὑρέθη, ὅπως τὸ ἐπιεικὲς ἰσχύῃ.
μὲν οὖν τῶν ἐπιεικῶν διωρίσθω τὸν τρόπον τοῦτον.

Ἀδίκημα δὲ μεῖζον, ὅσῳ ἂν ἀπὸ μείζονος ᾖ
κίας· διὸ καὶ τὰ ἐλάχιστα μέγιστα, οἷον ὃ Μελαν
Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμι
λια ἱερὰ τοὺς ναοποιούς· ἐπὶ δικαιοσύνης δὲ τοὐναντίον.
δὲ ταῦτα ἐκ τοῦ ἐνυπάρχειν τῇ δυνάμει· ὁ γὰρ τρία ἡμ
βέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν. ὁτὲ μὲν δὴ
τὸ μεῖζον, ὁτὲ δ' ἐκ τοῦ βλάβους κρίνεται. καὶ οὗ μή ἐ
ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων. καὶ οὗ μή ἐστιν ἴασ
χαλεπὸν γὰρ καὶ ἀδύνατον. καὶ οὗ μὴ ἔστι δίκην λα
τὸν παθόντα· ἀνίατον γάρ· ἡ γὰρ δίκη καὶ κόλασις ἰα
καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὑτὸν μεγάλως
λασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθ
οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσ

5. ἢ post τι om A^c. ‖ 7. διορίσασθαι QY^bZ^b. ‖ 11. περὶ οὗ om $QY^bZ^bA^c$. ‖ προαιρέσει ἐστὶν ἡ QY^bZ^b. ‖ 12. μοχθηρία] ἀδικ μοχθηρία Y^b. ‖ 13. προσημαίνει Q. ‖ 18. δὲ καὶ τῶν δικαίων ἦν Q. ‖ 22. καὶ tertium om QY^bZ^b. ‖ 24. εἶναι om A^c. ‖ 26. γραμμένου QY^bZ^b. ‖ δίκαιον δοκεῖ Q. ‖ 27. τὸ om A^c. ‖ 28. ἑκόντων τὰ δὲ ἀκόντων A^c. ‖ 30. ᾖ om Q. ‖ 31. ἀλλ' ὡς] ἄλλως Z^b. πηλίκῳ] καὶ πηλίκῳ QY^bZ^b. ‖ 33. ὑπολείπει Q. ‖ ἂν ὁ] δὴ ὁ QY^bZ^b. ‖ 34. ᾖ om Q. ‖ ἀόριστον A^c. ‖ δέῃ δὲ] δὲ ᾖ A^c. ‖ 36. ἐστι

1. τὸ post καὶ om QY^bZ^b. ‖ 2. ὡρισμένον, ut videtur, A^c. ‖ τὸ om QY^bZ^b. ‖ ὁποῖά QY^bZ^b. ‖ 3. καὶ οὐκ — 4. ἐπιεικ QZ^b et pr Y^c. ‖ 6. τὰ ἁμαρτήματα καὶ et ἔστι δ' ἀτυχήματα om A^c. ‖ 10. τὰ — πονηρίας et 12. σκοπεῖν om A^c. ‖ 12. καὶ QY^bZ^b. ‖ 22. ηὑρέθη Q. ‖ 24. ἀδικήματα δὲ μείζονα ὅσῳ QY^bZ^b. ‖ 25. καὶ om A^c. ‖ 26. ἡμιωβόλια Q. ‖ 28. ὑπερέχειν QY^b ἱερὰ ἡμιωβέλια Y^bZ^b, ἱερὰ ἡμιωβόλεια Q. ‖ 31. ἴση — ἐστιν om A^c. ‖ 33. κόλασις καὶ A^c. ‖ 34. ἀδικηθεὶς] εἰ ὁ ἀδικηθεὶς QY^b 35. μεῖζον ἢ ὁ A^c.

ξεν ἑαυτὸν ὑβρισθείς, οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ οὗ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν. καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ᾽ ὀλίγων πεποίηκεν. καὶ τὸ πολλάκις τὸ αὐτὸ ἁμαρτάνειν μέγα. καὶ δι᾽ ὃ ἂν ζητηθῇ καὶ εὑρεθῇ τὰ κωλύοντα καὶ ζημιοῦντα, οἷον ἐν Ἄργει ζημιοῦται δι᾽ ὃν ἂν νόμος τεθῇ καὶ δι᾽ οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη. καὶ τὸ θηριωδέστερον ἀδίκημα μεῖζον. καὶ ὃ ἐκ προνοίας μᾶλλον. καὶ ὃ οἱ ἀκούοντες φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσιν. καὶ τὰ μὲν ῥητορικά ἐστι τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκε δίκαια ἢ ὑπερβέβηκεν, οἷον ὅρκους δεξιὰς πίστεις ἐπιγαμίας· πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή. καὶ τὸ ἐνταῦθα οὗ κολάζονται οἱ ἀδικοῦντες, ὅπερ ποιοῦσιν οἱ ψευδομαρτυροῦντες· ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν, εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ; καὶ ἐφ᾽ οἷς αἰσχύνη μάλιστα. καὶ εἰ τοῦτον ὑφ᾽ οὗ εὖ πέπονθεν· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ. καὶ ὃ παρὰ τὰ ἄγραφα δίκαια· ἀμείνονος γὰρ μὴ δι᾽ ἀνάγκην δίκαιον εἶναι· τὰ μὲν οὖν γεγραμμένα ἐξ ἀνάγκης, τὰ δ᾽ ἄγραφα οὔ. ἄλλον δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα· ὁ γὰρ τὰ φοβερὰ ἀδικῶν καὶ τὰ ἐπιζήμια καὶ τὰ μὴ ἐπιζήμια ἀδικήσειεν ἄν. περὶ μὲν οὖν ἀδικήματος μείζονος καὶ ἐλάττονος εἴρηται.

5 Περὶ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων ἐχόμενόν ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν· ἴδιαι γὰρ αὗται τῶν δικανικῶν. εἰσὶ δὲ πέντε τὸν ἀριθμόν, νόμοι μάρτυρες συνθῆκαι βάσανοι ὅρκος. πρῶτον μὲν οὖν περὶ νόμων εἴπωμεν, πῶς χρηστέον καὶ προτρέποντα καὶ ἀποτρέποντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον. φανερὸν γὰρ ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι, τῷ κοινῷ νόμῳ χρηστέον καὶ τοῖς ἐπιεικέσιν ὡς δικαιοτέροις. καὶ ὅτι τὸ γνώμῃ τῇ ἀρίστῃ τοῦτ᾽ ἐστί, τὸ μὴ παντελῶς χρῆσθαι τοῖς γεγραμμένοις. καὶ ὅτι τὸ μὲν ἐπιεικὲς ἀεὶ μένει καὶ οὐδέποτε μεταβάλλει, οὐδ᾽ ὁ κοινός (κατὰ φύσιν γάρ ἐστιν), οἱ δὲ γεγραμμένοι πολλάκις· ὅθεν εἴρηται τὰ ἐν τῇ Σοφοκλέους Ἀντιγόνῃ· ἀπολογεῖται γὰρ ὅτι ἔθαψε παρὰ τὸν τοῦ Κρέοντος νόμον, ἀλλ᾽ οὐ παρὰ τὸν ἄγραφον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ᾽ ἀεί ποτε.
ταῦτ᾽ οὖν ἐγὼ οὐκ ἔμελλον ἀνδρὸς οὐδενός.

καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τι καὶ συμφέρον, ἀλλ᾽ οὐ τὸ δοκοῦν· ὥστ᾽ οὐ νόμος ὁ γεγραμμένος· οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου. καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον καὶ τὰ ἀληθές. καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις ἢ τοῖς γεγραμμένοις χρῆσθαι καὶ ἐμμένειν. καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὑτῷ· οἷον ἐνίοτε ὁ μὲν κελεύει κύρια εἶναι ἅττ᾽ ἂν συνθῶνται, ὁ δ᾽ ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον. καὶ εἰ ἀμφίβολος, ὥστε στρέφειν καὶ ὁρᾶν ἐφ᾽ ὁποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον ἐφαρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι. καὶ εἰ τὰ μὲν πράγματα ἐφ᾽ οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος, πειρατέον τοῦτο δηλοῦν καὶ μάχεσθαι ταύτῃ πρὸς τὸν νόμον. ἐὰν δὲ ὁ γεγραμμένος ᾖ πρὸς τὸ πρᾶγμα, τό τε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ἀλλ᾽ ἵνα, ἐὰν ἀγνοήσῃ τί λέγει ὁ νόμος, μὴ ἐπιορκῇ. καὶ ὅτι οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδείς, ἀλλὰ τὸ αὑτῷ. καὶ ὅτι οὐδὲν διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαι. καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι τὸν ἰατρόν· οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι. καὶ ὅτι τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ᾽ ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται. καὶ περὶ μὲν τῶν νόμων οὕτω διωρίσθω· περὶ δὲ μαρτύρων, μάρτυρές εἰσι διττοί, οἱ μὲν παλαιοὶ οἱ δὲ πρόσφατοι, καὶ τούτων οἱ μὲν μετέχοντες τοῦ κινδύνου οἱ δ᾽ ἐκτός. λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶ κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς. καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων "εἰπεῖν μοι Κριτίᾳ πυρρότριχι πατρὸς ἀκούειν." περὶ μὲν οὖν τῶν γενομένων οἱ τοιοῦτοι μάρτυρες,

1. οὐ om A^c. ‖ 2. ἐτίμησεν ἑαυτόν QY^bZ^b. ‖ 4. ὃν QZ^b. ‖ ζητηθῇ καὶ αὐξηθῇ margo Y^b, ζητηθείη καὶ εὑρεθείη A^c. ‖ 7. ὃ ἐκ] τὸ ἐκ QY^bZ^b. ‖ 9. ἂν εἴρηκεν, omisso δίκαια, A^c. ‖ 11. ὑπερέχει A^c. ‖ 12. ψευδομάρτυρες QY^bZ^b. ‖ ἀδικήσειαν Q, ἀδικήσαιεν Y^bZ^b. ‖ 13. οὗ γε Q. ‖ ἐν om Z^b. ‖ τῷ om Y^b. ‖ 14. ἐφ᾽ A^c. ‖ 15. καὶ ὅτι] ὅτι τε QY^bZ^b. ‖ περὶ QA^c. ‖ γραφόμενα QZ^b et pr Y^b. ‖ δίκαιος QY^bZ^b. ‖ 24. δὲ om QY^b et pr Z^b. ‖ 25. εἴπωμεν περὶ νόμων πῶς Y^bZ^b, εἴπωμεν πῶς τοῖς νόμοις Q. ‖ 27. μὲν post γὰρ Z^b. ‖ 28. κοινῷ χρηστέον καὶ τοῖς ἐπιεικεστέροις καὶ δικαιοτέροις A^c. ‖ 29. τῇ γνώμῃ τῇ ἀρίστῃ χρωμένους τοῦτ᾽ ἐστὶ τὸ μὴ πάντως QY^bZ^b. ‖ 33. τὰ om QY^bZ^b. ‖ 34. ἀπολογεῖσθαι γὰρ ὅτι ἔπραξε QY^bZ^b. ‖ τὸν om Y^b. ‖ τοῦ Κρέοντος om A^c.

1. τι] τὸν A^c. ‖ 2. ἤμελλον et 3. τε A^c. ‖ 9. ᾗ A^c. ‖ καὶ om QY^bZ^b. ‖ ἑαυτῷ Q. ‖ ὁ μὲν ἐνίοτε QY^bZ^b. ‖ 12. ἐπὶ ποτέραν A^c. ‖ 15. τὸν νόμον] αὐτόν QY^bZ^b. ‖ 17. ὅτι] ἐστὶν ὅτι QY^bZ^b. ‖ 18. ἐὰν om A^c. ‖ τί] ὅτι QY^bZ^b. ‖ ἐπιορκεῖν QY^bZ^b. ‖ 22. τὸν] παρὰ τὸν QY^bZ^b, οἷον τὸν rc Y^b. ‖ τοσούτῳ Q, τοσοῦτον Y^bZ^b. ‖ 23. ὅσῳ Q. ‖ 26. διπλοῖ QY^bZ^b. ‖ 28. μὲν om QY^bZ^b. ‖ 31. σιγιεῖς $QY^bZ^bA^c$. ‖ 32. λεόφρων et 34. πυρότριχι QY^bZ^b.

περὶ δὲ τῶν ἐσομένων καὶ οἱ χρησμολόγοι, οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον λέγει τεῖχος. ἔτι καὶ αἱ παροιμίαι, ὥσπερ εἴρηται, μαρτύριά ἐστιν· οἷον εἴ τις συμβυλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία, "μήποτ' εὖ ἔρδειν γέροντα." καὶ τὸ τὺς υἱὺς ἀναιρεῖν ὧν καὶ τὺς πατέρας, "νήπιος ὃς πατέρα κτείνας παῖδας καταλείπει." πρόσφατοι δ' ὅσοι γνώριμοί τι κεκρίκασιν· χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν· οἷον Εὔβουλος ἐν τοῖς δικαςηρίοις ἐχρήσατο κατὰ Χάρητος ῷ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. καὶ οἱ μετέχοντες τοῦ κινδύνυ, ἂν δόξωσι ψεύδεσθαι. οἱ μὲν ὖν τοιῦτοι τῶν τοιύτων μόνον μάρτυρές εἰσιν, εἰ γέγονεν ἢ μή, εἰ ἔςιν ἢ μή, περὶ δὲ τῦ ποῖον ὐ μάρτυρες, οἷον εἰ δίκαιον ἢ ἄδικον, εἰ συμφέρον ἢ ἀσύμφορον· οἱ δ' ἄπωθεν καὶ περὶ τούτων πιςότατοι. πιςότατοι δ' οἱ παλαιοί· ἀδιάφθοροι γάρ. πιστώματα δὲ περὶ μαρτυριῶν μάρτυρας μὲν μὴ ἔχοντι, ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν καὶ τῦτ' ἐςὶ τὸ γνώμῃ τῇ ἀρίςῃ, καὶ ὅτι ὐκ ἔςιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ, καὶ ὅτι ὐχ ἁλίσκεται τὰ εἰκότα ψευδομαρτυριῶν. ἔχοντι δὲ πρὸς μὴ ἔχοντα, ὅτι ὐχ ὑπόδικα τὰ εἰκότα, καὶ ὅτι ὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι. εἰσὶ δὲ αἱ μαρτυρίαι αἱ μὲν περὶ αὐτῦ αἱ δὲ περὶ τῦ ἀμφισβητῦντος, καὶ αἱ μὲν περὶ τῦ πράγματος αἱ δὲ περὶ τῦ ἤθυς, ὥςε φανερὸν ὅτι ὐδέποτ' ἔςιν ἀπορῆσαι μαρτυρίας χρησίμης· εἰ μὴ γὰρ κατὰ τῦ πράγματος ἢ αὐτῷ ὁμολογυμένης ἢ τῷ ἀμφισβητῦντι ἐναντίας, ἀλλὰ περὶ τῦ ἤθυς ἢ αὐτοῦ εἰς ἐπιείκειαν ἢ τοῦ ἀμφισβητῦντος εἰς φαυλότητα. τὰ δ' ἄλλα περὶ μάρτυρος ἢ φίλυ ἢ ἐχθρῦ ἢ μεταξύ, ἢ εὐδοκιμῦντος ἢ ἀδοξῦντος ἢ μεταξύ, καὶ ὅσαι ἄλλαι τοιαῦται διαφοραί, ἐκ τῶν αὐτῶν τόπων λεκτέον ἐξ οἵωνπερ καὶ τὰ ἐνθυμήματα λέγομεν. περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τοῦ λόγυ χρῆσίς ἐςιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιςὰς ποιεῖν ἢ ἀπίςυς, ἐὰν μὲν αὐτῷ ὑπάρχωσι, πιστὰς καὶ κυρίας, ἐπὶ δὲ τῦ ἀμφισβητῦντος τὐναντίον. πρὸς μὲν ὖν τὸ πιςὰς ἢ ἀπίςυς κατασκευάζειν ὐδὲν διαφέρει τῆς περὶ τὺς μάρτυρας πραγματείας· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ φυλάττοντες, τύτοις αἱ συνθῆκαι πιςαί εἰσι. ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν ὔσης αὐξητέον· ἡ γὰρ συνθήκη νόμος ἐςὶν ἴδιος καὶ κατὰ μέρος, καὶ αἱ μὲν συνθῆκαι ὐ ποιῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ τὸν νόμον συνθήκας. καὶ ὅλως αὐτὸς ὁ νόμος συνθήκη τις ἐςίν, ὥςε ὅςις ἀπιςεῖ ἢ ἀναιρεῖ συνθήκην, τὺς νόμυς ἀναιρεῖ. ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκύσια κατὰ συνθήκας, ὥςτ' ἀκύρων γιγνομένων ἀναιρεῖται ἡ πρὸς ἀλλήλυς χρεία τῶν ἀνθρώπων. καὶ τἆλλα δὲ ὅσα ἁρμόττει, ἐπιπολῆς ἰδεῖν ἐςιν. ἂν δ' ἐναντία ᾖ καὶ μετὰ τῶν ἀμφισβητούντων, πρῶτον μέν, ἅπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχέσαιτο, ταῦθ' ἁρμόττει· ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, ὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον. εἶθ' ὅτι τῦ δικαίυ ἐςὶ βραβευτὴς ὁ δικαςής· ὔκυν τῦτο σκεπτέον, ἀλλ' ὡς δικαιότερον. καὶ τὸ μὲν δίκαιον οὐκ ἔςι μεταςρέψαι οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ (πεφυκὸς γάρ ἐςιν), συνθῆκαι δὲ γίγνονται καὶ ἐξαπατηθέντων καὶ ἀναγκασθέντων. πρὸς δὲ τύτοις σκοπεῖν εἰ ἐναντία ἐςί τινι ἢ τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν, καὶ τῶν γεγραμμένων ἢ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις, ἔπειτα εἰ ἄλλαις συνθήκαις ὑςέραις ἢ προτέραις· ἢ γὰρ αἱ ὕςεραι κύριαι, ἄκυροι δ' αἱ πρότεραι, ἢ αἱ πρότεραι ὀρθαί, αἱ δ' ὕςεραι ἠπατήκασιν, ὁποτέρως ἂν ᾖ χρήσιμον. ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ πῃ ἐναντιῦται τοῖς κριταῖς, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ γὰρ ταῦτα εὐθεώρητα ὁμοίως. αἱ δὲ βάσανοι μαρτυρίαι τινές εἰσιν, ἔχειν δὲ δοκῦσι τὸ πιςόν, ὅτι ἀνάγκη τις πρόσεςιν. ὐκ ἔςι χαλεπὸν ὐδὲ περὶ τύτων εἰπεῖν τὰ ἐνδεχόμενα, ἐξ ὧν ἐάν τε ὑπάρχωσιν οἰκεῖαι αὔξειν ἔςιν, ὅτι ἀληθεῖς μόναι τῶν

2. τεῖχος λέγων A^c. ‖ 4. συμβυλεύοι QY^bZ^b. ‖ 6. πατέρας κτείνας υἱὺς A^c. ‖ 7. καταλείπει QY^bZ^b. ‖ γνώριμοι καὶ κεκρίκασι QY^bZ^b. ‖ 8. αἱ] καὶ αἱ QY^bZ^b. ‖ τῶν αὐτῶν] τύτων A^c. ‖ 10. ὃ Q, incerto A^c. ‖ Ἀρτίβιον A^c. ‖ 13. τῶν om A^c. ‖ μόνον Q. ‖ εἰ om QY^bZ^b. ‖ 14. ἢ μή om A^c. ‖ εἰ om QY^bZ^b. ‖ ὐ] οἱ Y^b. ‖ 15. εἰ] ἢ A^c. ‖ ἢ] εἰ QY^bZ^b. ‖ εἰ] ἢ $Y^bZ^bA^c$. ‖ 16. ἄπωθεν QY^bZ^b. ‖ τοιούτων ἂν ἀπιςότατοι A^c. ‖ δ'] γὰρ QY^bZ^b. ‖ 17. δὲ] γὰρ Y^bZ^b, om Q. ‖ παρὰ Y^bZ^b. ‖ 19. τὸ] τῇ Q. ‖ ὐκ ἔςιν ὑπ' QY^bZ^b. ‖ 20. καὶ] καὶ ὐχ A^c. ‖ ψευδομαρτυριῶν τὰ εἰκότα QY^bZ^b. ‖ 22. μαρτύρων QY^bZ^b. ‖ 23. ἦν ἱκανὸν Q. ‖ 25. ὥςε] ὅτι A^c. ‖ 26. μὴ] μὲν Q. ‖ 27. ὁμολογυμένως Y^bZ^b. ‖ 28. ἀλλὰ] εἰ δὲ Q. ‖ 29. ἢ om QY^bZ^b. ‖ 33. τῶν om QY^bZ^b. ‖ τῶν λόγων A^c. ‖ 34. πιςοὺς Z^b, πιςὰ A^c.

1. ἂν QY^bZ^b. ‖ ὑπάρχῃ A^c. ‖ 9. τὸν νόμον] νόμους A^c. ‖ 10. ἢ] καὶ QY^bZ^b. ‖ 12. κατὰ] κατὰ τὰς QY^bZ^b. ‖ 13. ἀναιρεῖται Q Y^bZ^b. ‖ 14. ἐπιπολῆς Q, ἐπὶ πολλῆς Z^b, ἐπὶ πολλοῖς Y^b. ‖ 16. ἐναντιύμενον et 18. ἐξαπατῶσιν QY^bZ^b. ‖ 20. βραβευτής ἐςι QY^bZ^b. ‖ 23. ἐξ ἀπατηθέντων Z^b. ‖ 24. τινί ἐςιν QY^bZ^b. ‖ ἢ om A^c. ‖ 25. τῶν γεγραμμένων — 26. ἄλλαις] τοῖς καλοῖς ἢ δικαίοις. ἔτι τε εἰ ἄλλαις QY^bZ^b. ‖ 27. ἢ γὰρ αἱ] αἱ γὰρ A^c. ‖ ἄκυροι δ' αἱ πρότεραι om A^c. ‖ 29. δὲ τὸ] τε Q. ‖ πῃ A^c. ‖ ἐναντιῦνται QY^b. ‖ 32. τὸ πιςόν] πίςιν QY^bZ^b. ‖ 33. ὐδὲν περὶ τύτων ἰδεῖν καὶ τὰ ἐνδεχόμενα εἰπεῖν QY^bZ^b.

ἀλλ' ἢ τὸ παράπαν ἕτερα ἢ κατὰ τὸ μέγεθος ἕτερα· τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν, τῷ δὲ μισοῦντι τοὐναντίον· καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι, ἐὰν ᾖ τὸ ἐσόμενον ἡδύ, καὶ ἔσεσθαι καὶ ἀγαθὸν ἔσεσθαι φαίνεται, τῷ δ' ἀπαθεῖ καὶ δυσχεραίνοντι τοὐναντίον. τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιςοὺς τοὺς λέγοντας τρία ἐςὶ τὰ αἴτια· τοσαῦτα γάρ ἐςι δι' ἃ πιςεύομεν ἔξω τῶν ἀποδείξεων. ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔνοια· διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν ἢ συμβουλεύουσιν ἢ διὰ πάντα ταῦτα ἢ διὰ τούτων τι· ἢ γὰρ δι' ἀφροσύνην οὐκ ὀρθῶς δοξάζουσιν, ἢ δοξάζοντες ὀρθῶς διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν, ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσὶν ἀλλ' οὐκ εὖνοι· διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας. καὶ παρὰ ταῦτα οὐδέν. ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν εἶναι τοῖς ἀκροωμένοις πιςόν. ὅθεν μὲν τοίνυν φρόνιμοι καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον· ἐκ τῶν αὐτῶν γὰρ κἂν ἕτερόν τις κἂν ἑαυτὸν κατασκευάσειε τοιοῦτον· περὶ δ' εὐνοίας καὶ φιλίας ἐν τοῖς περὶ τὰ πάθη λεκτέον νῦν. ἔςι δὲ τὰ πάθη, δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή, οἷον ὀργὴ ἔλεος φόβος καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία. δεῖ δὲ διαιρεῖν τὰ περὶ ἕκαςον εἰς τρία· λέγω δ' οἷον περὶ ὀργῆς, πῶς τε διακείμενοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις· εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ οὖν καὶ ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ ἐπὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον.

2 Ἔςω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ τῶν αὐτοῦ, τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος. εἰ δὴ τοῦτ' ἐστὶν ἡ ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι, οἷον Κλέωνι ἀλλ' οὐκ ἀνθρώπῳ, καὶ ὅτι αὐτὸν ἢ τῶν αὐτοῦ τι πεποίηκεν ἢ ἤμελλεν, καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται, οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὐτῷ, ὁ δ' ὀργιζόμενος ἐφίεται δυνατῶν αὐτῷ. διὸ καλῶς εἴρηται περὶ θυμοῦ "ὅςε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο ἀνδρῶν ἐν ςήθεσσιν ἀέξεται." ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διὰ τὸ διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ· ἡ οὖν τότε γινομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων. ἐπεὶ δ' ἡ ὀλιγωρία ἐςὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς αὐτά· ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμβάνομεν. τρία δ' ἐςὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις· ὅ τε γὰρ καταφρονῶν ὀλιγωρεῖ· ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦσιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν· καὶ ὁ ἐπηρεάζων φαίνεται καταφρονεῖν. ἔστι γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν οὐχ ἵνα τι αὐτῷ ἀλλ' ἵνα μὴ ἐκείνῳ. ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ· δῆλον γὰρ ὅτι οὔτε βλάψειν ὑπολαμβάνει· ἐφοβεῖτο γὰρ ἂν καὶ οὐκ ὠλιγώρει· οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου· ἐφρόντιζε γὰρ ἂν ὥστε φίλος εἶναι. καὶ ὁ ὑβρίζων δ' ὀλιγωρεῖ· ἔςι γὰρ ὕβρις τὸ βλάπτειν καὶ λυπεῖν ἐφ' οἷς αἰσχύνη ἐςὶ τῷ πάσχοντι, μὴ ἵνα τι γένηται αὐτῷ ἄλλο ἢ ὅτι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες οὐχ ὑβρίζουσιν ἀλλὰ τιμωροῦνται. αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. ὕβρεως δὲ ἀτιμία, ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ· τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτ' ἀγαθοῦ οὔτε κακοῦ. διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεὺς "ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας" καὶ "ὡσεί τιν' ἀτίμητον μετανάςην," ὡς διὰ ταῦτα ὀργιζόμενος. προσήκειν δ' οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν, καὶ ὅλως

1. τὸ post κατὰ om A^c. ‖ 3. δοκεῖν A^c. ‖ 4. μὲν — 6. τοῦ om Q. ‖ 4. ὄντι om Y^bZ^b. ‖ 5. ἀπειθεῖ Z^b. ‖ 7. ἐςὶ τὰ] εἰσὶ τὰ QY^bZ^b. ‖ 10. δι' ἅπαντα A^c. ‖ 11. δοξάζουσιν] τοῦτο δοξάζουσιν QY^bZ^b. ‖ 16. τοίνυν] οὖν A^c. ‖ 18. γὰρ τῶν αὐτῶν A^c. ‖ 20. τὰ om A^c. ‖ 23. τὰ ante περὶ om A^c. ‖ 24. ὀργίλως Z^b et pr Y^b. ‖ 29. ἐπὶ] περὶ A^c. ‖ 31. δ' ἡ QZ^b. ‖ 32. αὐτῶν pr Y^b. ‖ ἢ τῶν αὐτοῦ τινὰ μὴ προσηκόντως QY^bZ^b. ‖ 33. εἰ δὴ] ἐπεὶ δὲ QY^bZ^b. ‖ ἡ om QY^bZ^b.

1. ἔμελλε QY^bZ^b. ‖ 2. τὴν] τῆς A^c. ‖ 3. οὐδεὶς — 4. ὀργιζόμενος ἐφίεται om Z^b. ‖ 4. αὐτῷ om QY^bZ^b. ‖ 5. αὐτῷ δυνατῶν QY^bZ^b. ‖ ὥςε Z^b. ‖ 6. ςήθεσιν A^c. ‖ 8. ἐγγινομένη et 9. ποιεῖ QY^bZ^b. ‖ 10. ἡ om Q. ‖ 12. ταῦτα QY^bZ^b. ‖ μηδὲν ἢ τὸ μικρά QY^bZ^b. ‖ 13. δ' om QY^bZ^b. ‖ 15. ὅσα] ἃ QY^bZ^b. ‖ 16. ἄξια] ἄξια εἶναι QY^bZ^b. ‖ 19. οὐχ] μὴ A^c. ‖ 21. ἂν om QY^bZ^b. ‖ οὔτ' ἔν τινι λόγου ἀξίῳ ὠφελήσειν. ἐσπούδασε γὰρ ἂν ὑπ' αὐτοῦ φιλεῖσθαι Q. ‖ 23. δ' ὀλιγωρεῖ] ὡσαύτως καταφρονεῖ Q. ‖ πράττειν καὶ λέγειν A^c. ‖ 24. γίγνηται A^c. ‖ 25. ἢ ὅτι ἐγένετο om corr Y^b. ‖ 31. οὔτε κακοῦ οὔτ' ἀγαθοῦ QY^bZ^b. ‖ 32. ἀπούρας om A^c. ‖ 34. πολυωρῆσθαι A^c.

ἐν ᾧ ἂν ταὐτῷ ὑπερέχῃ πολύ, οἷον ἐν χρήμασιν ὁ πλούσιος πένητος καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν καὶ ἄρχων ἀρχομένου καὶ ἄρχειν ἄξιος οἰόμενος τοῦ ἄρχεσθαι ἀξίου. διὸ εἴρηται "θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων" καὶ "ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον·" ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν. ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν· οὗτοι δ' εἰσὶν οὓς εὖ πεποίηκεν ἢ ποιεῖ, ἢ αὐτὸς ἢ δι' αὐτόν τις ἢ τῶν αὐτοῦ τις, ἢ βούλεται ἢ ἐβουλήθη. φανερὸν οὖν ἐκ τούτων ἤδη πῶς τ' ἔχοντες ὀργίζονται αὐτοὶ καὶ τίσι καὶ διὰ ποῖα. αὐτοὶ μὲν γάρ, ὅταν λυπῶνται· ἐφίεται γάρ τινος ὁ λυπούμενος· ἐάν τε οὖν κατ' εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις, οἷον τῷ διψῶντι πρὸς τὸ πιεῖν, ἐάν τε μή, ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν· καὶ ἐάν τε ἀντιπράττῃ τις ἐάν τε μὴ συμπράττῃ ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, τοῖς πᾶσιν ὀργίζεται. διὸ κάμνοντες, πενόμενοι, ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντες καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα μὲν πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον κάμνων μὲν τοῖς πρὸς τὴν νόσον, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν, πολεμῶν δὲ τοῖς πρὸς τὸν πόλεμον, ἐρῶν δὲ τοῖς πρὸς τὸν ἔρωτα· ὁμοίως δὲ καὶ τοῖς ἄλλοις· προωδοποίηται γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους. ἔτι δ' ἐὰν τἀναντία τύχῃ προσδεχόμενος· λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται. διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε, καὶ ὅτι ὅτε μᾶλλον ἐν τούτοις εἰσί, μᾶλλον καὶ εὐκίνητοι. αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες εὐκίνητοι πρὸς ὀργήν, ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσι καὶ σκώπτουσιν· ὑβρίζουσι γάρ. καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν ὅσα ὕβρεως σημεῖα. ἀνάγκη δὲ τοιαῦτα εἶναι ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν. καὶ τοῖς κακῶς λέγουσι καὶ καταφρονοῦσι περὶ ἃ αὐτοὶ μάλιστα σπουδάζουσιν, οἷον οἱ ἐπὶ φιλοσοφίᾳ φιλοτιμούμενοι ἐάν τις εἰς τὴν φιλοσοφίαν, οἱ δ' ἐπὶ τῇ ἰδέᾳ ἐάν τις εἰς τὴν ἰδέαν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως ἢ μὴ ἰσχυρῶς, ἢ μὴ δοκεῖν· ἐπειδὰν γὰρ σφόδρα οἴωνται ὑπάρχειν ἐν τούτοις ἐν οἷς σκώπτονται, οὐ φροντίζουσιν. καὶ τοῖς φίλοις μᾶλλον ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον πάσχειν εὖ ὑπ' αὐτῶν ἢ μή. καὶ τοῖς εἰθισμένοις τιμᾶν ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν· καὶ γὰρ ὑπὸ τούτων οἴονται καταφρονεῖσθαι· ταὐτὰ γὰρ ἂν ποιεῖν. καὶ τοῖς μὴ ἀντιποιοῦσιν εὖ, μηδὲ τὴν ἴσην ἀνταποδιδοῦσιν. καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσιν· καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ μὲν ὡς ἡττόνων οἱ δ' ὡς παρ' ἡττόνων. καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι μᾶλλον· ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας, προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν. τοῖς δὲ φίλοις, ἐάν τε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν, καὶ ἔτι μᾶλλον ἐὰν τἀναντία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων, ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ· ὀλιγωρίας γὰρ τὸ μὴ αἰσθάνεσθαι σημεῖον· ὧν γὰρ φροντίζομεν, οὐ λανθάνει. καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις καὶ ὅλως εὐθυμουμένοις ἐν ταῖς αὐτῶν ἀτυχίαις· ἢ γὰρ ἐχθροῦ ἢ ὀλιγωροῦντος σημεῖον. καὶ τοῖς μὴ φροντίζουσιν, ἐὰν λυπήσωσιν· διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται. καὶ τοῖς ἢ ἀκούουσι περὶ αὐτῶν ἢ θεωμένοις τὰ αὐτῶν φαῦλα· ὅμοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς· οἱ γὰρ φίλοι συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες ἀλγοῦσιν. ἔτι τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φιλοτιμοῦνται, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομένοις αὐτούς· ἐν τούτοις ἐάν τις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον. καὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν, οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρχομένους. καὶ τοῖς χάριν μὴ ἀποδιδοῦσιν· παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία. καὶ τοῖς εἰρωνευομένοις πρὸς σπουδάζοντας· καταφρονητικὸν γὰρ ἡ εἰρωνεία. καὶ τοῖς τῶν ἄλλων εὐποιητικοῖς, ἐὰν μὴ καὶ αὐτῶν· καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν. ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ ἡ τῶν ὀνομάτων οὕτως οὖσα περὶ μικρόν· ὀλιγωρίας γὰρ δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι· δι' ἀμέλειαν μὲν γὰρ ἡ λήθη γίγνεται, ἡ δ' ἀμέλεια ὀλιγωρία ἐστίν. οἷς μὲν οὖν

1. ταυτὸ Y^b, ταῦτα A^c. ‖ ὑπερέχει A^c, ambiguo Z^b. ‖ 5. τε $Y^bZ^bA^c$. ‖ post κότον Q ὄφρα τελέσσῃ. ‖ 6. ἐφ' Z^b. ‖ 8. αὐτὸς ἢ τῶν αὐτοῦ τις ἢ δι' αὐτοῦ ἢ β. QY^bZ^b. ‖ 11. ἐάν τε κατ' εὐθυωρίαν ὢν ἀντικρύῃ QY^bZ^b. ‖ 15. ἔχων Q, ἔχον Y^bZ^b. ‖ τοῖς om A^c. ‖ 16. καὶ] τι καὶ A^c. ‖ 17. μὲν om A^c. ‖ 21. προοδοποιεῖται et 23. πολὺ καὶ παρὰ QY^bZ^b. ‖ 24. ἐὰν] ἐὰν γὰρ QY^bZ^b. ‖ 26. καὶ πότε καὶ πῶς Y^bZ^b. καὶ πῶς — 28. ὀργήν om Q. ‖ 27. ὅτι om A^c. ‖ 32. ὠφελίμως Z^b. ‖ 33. ἃ] ὧν A^c.

1. γὰρ] δὴ QY^bZ^b. ‖ 4. ὑπ' αὐτῶν εὖ πάσχειν A^c. ‖ 6. ταὐτὸν Q, τοῦτο Y^bZ^b. ‖ 7. ἀποδιδοῦσι QY^bZ^b, ‖ 12. μὴ post τοὺς om Y^bZ^b. ‖ 18. ἐνθυμουμένοις A^c. ‖ ἑαυτῶν QY^bZ^b. ‖ 21. ἢ θεωμένοις τὰ αὐτῶν om Z^b. ‖ 26. ἢ οὓς] πρὸς οὓς QY^bZ^b. ‖ 27. ἄν τις ἐν τούτοις A^c. ‖ 28. τὰ om Y^bZ^b. ‖ 29. βοηθοῦσιν QY^bZ^b. ‖ 31. εἰρηνευομένοις A^c. ‖ πρὸς] πρὸς τοὺς QY^bZ^b. ‖ 35. ἡ et οὕτως om QY^bZ^b. ‖ παρὰ Q. ‖ 36. διὰ μὲν γὰρ ἀμέλειαν A^c.

ὀργίζονται καὶ ὡς ἔχοντες καὶ διὰ ποῖα, ἅμα εἴρηται· δῆλον δ' ὅτι δέοι ἂν αὐτὸν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν, καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται.

3 Ἐπεὶ δὲ τὸ ὀργίζεσθαι ἐναντίον τῷ πραΰνεσθαι καὶ ὀργὴ πραότητι, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται. ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς. εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἐστὶν ἑκούσιον, φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν ἢ ἀκουσίως ποιοῦσιν ἢ φαινομένοις τοιούτοις πρᾶοί εἰσιν. καὶ τοῖς τἀναντία ὧν ἐποίησαν βουλομένοις. καὶ ὅσοι καὶ αὐτοὶ εἰς αὐτοὺς τοιοῦτοι· οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν. καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις· ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς. σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως· τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον κολάζομεν, πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι παυόμεθα θυμούμενοι. αἴτιον δ' ὅτι ἀναισχυντία τὸ τὰ φανερὰ ἀρνεῖσθαι, ἡ δ' ἀναισχυντία ὀλιγωρία καὶ καταφρόνησις· ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα. καὶ τοῖς ταπεινουμένοις πρὸς αὐτοὺς καὶ μὴ ἀντιλέγουσιν· φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ δ' ἥττους φοβοῦνται, φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ. ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας. καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας· δοκεῖ γὰρ σπουδάζεσθαι ἀλλ' οὐ καταφρονεῖσθαι. καὶ τοῖς μείζω κεχαρισμένοις. καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις· ταπεινότεροι γάρ. καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις, ἢ εἰς μηδένα ἢ μὴ εἰς χρηστοὺς μηδ' εἰς τοιούτους οἷοίπερ αὐτοί. ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραϋντικά. καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται· ἕως γὰρ ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται· ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται· οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι· οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ· ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης. καὶ τοῖς αἰσχυνομένοις ι καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι εἰσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημ κατορθώσει, ἐν πληρώσει, ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδ ὑβριστικῇ καὶ ἐν ἐλπίδι ἐπιεικεῖ. ἔτι κεχρονικότες κ ὑπόγυιοι τῇ ὀργῇ ὄντες· παύει γὰρ ὀργὴν ὁ χρόνος. δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τ πρότερον· διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομ δήμου "τί οὐκ ἀπολογεῖ;" "οὔπω γε" ἔφη. "ἀλλὰ "ὅταν ἄλλον ἴδω διαβεβλημένον" πρᾶοι γὰρ γίγ ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν, οἷον συνέ Ἐργοφίλου· μᾶλλον γὰρ χαλεπαίνοντες ἢ Καλλι ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ κατε θάνατον. καὶ ἐὰν ἐλεῶσιν, καὶ ἐὰν μεῖζον κακὸν πε τες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν· ὥσπερ εἰληφέν οἴονται τιμωρίαν. καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δ πάσχειν· οὐ γίγνεται γὰρ ἡ ὀργὴ πρὸς τὸ δίκαιον· ι ἔτι παρὰ τὸ προσῆκον οἴονται πάσχειν, ἡ δ' ὀργὴ τὸ διὸ δεῖ τῷ λόγῳ προκολάζειν· ἀγανακτοῦσι γὰρ ἧττο λαζόμενοι καὶ οἱ δοῦλοι. καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴ ὅτι δι' αὐτοὺς καὶ ἀνθ' ὧν ἔπαθον· ἡ γὰρ ὀργὴ τῶν ἕκαστόν ἐστιν· δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ. διὸ ὀρθῶς πεπ "φάσθαι Ὀδυσσῆα πτολιπόρθιον," ὡς οὐ τετιμωρημένο μὴ ᾔσθετο καὶ ὑφ' οὗ καὶ ἀνθ' ὅτου. ὥστε οὔτε τοῖς ἄλ ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς τεθνεῶσιν ἔτι, πεπονθόσι τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθ μένοις οὗ οἱ ὀργιζόμενοι ἐφίενται. διὸ εὖ περὶ τοῦ Ἕκτ ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀρ τεθνεῶτος, "κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων." λον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις ἐκ τούτων τ τόπων λεκτέον, αὐτοὺς μὲν παρασκευάζουσι τοιούτους, οἷ ὀργίζονται, ἢ φοβεροὺς ἢ αἰσχύνης ἀξίους ἢ κεχαρισμέ ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις.

Τίνας δὲ φιλοῦσι καὶ μισοῦσι, καὶ διὰ τί, τὴν φι καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν. ἔστω δὴ τὸ φιλεῖ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα ἀλλὰ μὴ α

1. ἅμα om QY^bZ^b. ‖ 2. ἔτι] ὡς QY^bZ^b. ‖ αὐτὸν om A^c. ‖ 3. ὀλίγους Q, ὀλιγώρως A^c. ‖ 5. τοῦ A^c. ‖ τὸ Z^bA^c. ‖ 6. τ τυτος Q. ‖ 9. ἐστὶν om A^c. ‖ 10. ἀκουσίως] ἑκουσίως ἢ ἀκουσίως Z^b. ‖ 12. αὐτοὶ om QY^bZ^b. ‖ 16. ἀρνουμένους καὶ ἀντιλέγοντας QY^bZ 29. ἢ om A^c. ‖ 30. ἢ] καὶ Q. ‖ εἰς μὴ A^c. ‖ μηδ' εἰς] ἢ μὴ QY^bZ^b. ‖ 31. πραΰνοντα A^c. ‖ 32. ἢ] καὶ ὡς QY^bZ^b. ‖ γὰρ A^c. ‖ 36. ἄλυπος QY^bZ^b.

2. τὸ Q. ‖ 5. ἔτι] ἔτι δὲ QY^bZ^b. ‖ κεχρονηκότες Q. ‖ 8. εὖ] εὖ καὶ Q. ‖ 9. ἀπολογῇ et 13. ἀφῆσαι et 14. ἔλασι QY^bZ 15. οἱ om Y^bZ^b. ‖ ἔδρασαν ἄν· ὥσπερ γὰρ εἰληφέναι τιμωρίαν οἴονται QY^bZ^b. ‖ 17. γὰρ ante ἡ om A^c. ‖ 18. οἴονται] νομίζουσιν 19. τῷ λόγῳ δεῖ QY^bZ^b. ‖ 21. τῶν] πρὸς τὸν A^c. ‖ 23. πτολίπορθον QY^bZ^b. ‖ 24. οὗ] ὅτου A^c. ‖ 29. ἀεικίζει Q, ambiguo μενεαίνων Q. ‖ 30. πραΰνειν QY^bZ^b. ‖ 35. λέγομεν A^c.

τὸ κατὰ δύναμιν πρακτικὸν εἶναι τούτων. φίλος δ'
ν ὁ φιλῶν καὶ ἀντιφιλούμενος. οἴονται δὲ φίλοι εἶναι
τως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους. τούτων δὲ ὑποκειμέ-
ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ
ιλγοῦντα τοῖς λυπηροῖς μὴ διά τι ἕτερον ἀλλὰ δι'
ιον. γιγνομένων γὰρ ὧν βούλονται χαίρουσι πάντες,
ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ
αι καὶ αἱ ἡδοναί. καὶ οἷς δὴ ταὐτὰ ἀγαθὰ καὶ κακά,
οἱ τοῖς αὐτοῖς φίλοι, καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί· ταὐτὰ
τούτοις βούλεσθαι ἀνάγκη, ὥστε ἅπερ αὑτῷ καὶ ἄλλῳ
όμενος, τούτῳ φαίνεται φίλος εἶναι. καὶ τοὺς πεποιηκό-
εὖ φιλοῦσιν, ἢ αὐτοὺς ἢ ὧν κήδονται· ἢ εἰ μεγάλα, ἢ
ροθύμως, ἢ εἰ ἐν τοιούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα· ἢ
ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ. καὶ τοὺς τῶν φίλων
υς καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν. καὶ τοὺς φιλουμένους
τῶν φιλουμένων ἑαυτοῖς. καὶ τοὺς τοῖς αὐτοῖς ἐχθροὺς
μισοῦντας οὓς αὐτοὶ μισοῦσιν, καὶ τοὺς μισουμένους ὑπὸ
αὐτοῖς μισουμένων· πᾶσι γὰρ τούτοις ταὐτὰ ἀγαθὰ
νεται εἶναι καὶ ἑαυτοῖς, ὥστε βούλεσθαι τὰ αὐτοῖς ἀγαθά,
ἦν τοῦ φίλου. ἔτι τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς
ηρίαν· διὸ τοὺς ἐλευθερίους καὶ τοὺς ἀνδρείους τιμῶσι καὶ
δικαίους. τοιούτους δ' ὑπολαμβάνουσι τοὺς μὴ ἀφ' ἑτέρων
τας· τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ τούτων οἱ
γεωργίας καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. καὶ
σώφρονας, ὅτι οὐκ ἄδικοι. καὶ τοὺς ἀπράγμονας διὰ τὸ
ι. καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἐὰν φαίνωνται βου-
ενοι· εἰσὶ δὲ τοιοῦτοι οἵ τ' ἀγαθοὶ κατ' ἀρετὴν καὶ οἱ
κιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις ἢ ἐν τοῖς θαυ-
ομένοις ὑφ' αὑτῶν ἢ ἐν τοῖς θαυμάζουσιν αὐτούς. ἔτι
ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι· τοιοῦτοι δ' οἱ
λοι καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων καὶ μὴ
όνεικοι μηδὲ δυσέριδες· πάντες γὰρ οἱ τοιοῦτοι μαχη-
, οἱ δὲ μαχόμενοι τἀναντία φαίνονται βούλεσθαι. καὶ
πιδέξιοι καὶ τωθάσαι καὶ ὑπομεῖναι· ἐπὶ ταὐτὸ γὰρ
ότεροι σπεύδουσι τῷ πλησίον, δυνάμενοί τε σκώπτεσθαι
ἐμμελῶς σκώπτοντες. καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρ-
τα ἀγαθά, καὶ τούτων μάλιστα ἃ φοβοῦνται μὴ ὑπάρ-

χειν αὐτοῖς. καὶ τοὺς καθαρίους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ ὅλον τὸν βίον. καὶ τοὺς μὴ ὀνειδιστὰς μήτε τῶν ἁμαρτημάτων μήτε τῶν εὐεργετημάτων· ἀμφότεροι γὰρ ἐλεγκτικοί. καὶ τοὺς μὴ μνησικάκους, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους· οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὐτοὺς οἴονται. καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὐτῶν, ἀλλὰ τἀγαθά· ὁ γὰρ ἀγαθὸς τοῦτο δρᾷ. καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις ἢ σπουδάζουσιν· μαχητικοὶ γὰρ οἱ τοιοῦτοι. καὶ τοὺς πρὸς αὐτοὺς σπουδαίως πως ἔχοντας, οἷον θαυμάζοντας αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας καὶ χαίροντας αὐτοῖς, καὶ ταῦτα μάλιστα πεπονθότας περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς. καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας, ἐὰν μὴ παρενοχλῶσι μηδ' ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος· γίγνεται γὰρ οὕτω τὸ κεραμεὺς κεραμεῖ. καὶ τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς· εἰ δὲ μή, ταὐτὸ καὶ οὕτω συμβαίνει. καὶ πρὸς οὓς οὕτως ἔχουσιν ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς δόξαν, μὴ καταφρονοῦντες. καὶ πρὸς οὓς αἰσχύνονται τὰ πρὸς ἀλήθειαν. καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι. καὶ οἷς ἂν τἀγαθὰ συμπράττωσιν, ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά. καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν· διὸ καὶ τοὺς περὶ τοὺς τεθνεῶτας τοιούτους πάντες φιλοῦσιν. καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς. καὶ τοὺς μὴ πλαττομένους πρὸς ἑαυτούς· τοιοῦτοι δὲ καὶ οἱ τὰ φαῦλα τὰ ἑαυτῶν λέγοντες. εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα· εἰ οὖν ὁ αἰσχυνόμενος μὴ φιλεῖ, ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικεν. καὶ τοὺς μὴ φοβερούς, καὶ οἷς θαρροῦμεν· οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ. εἴδη δὲ φιλίας ἑταιρεία οἰκειότης συγγένεια καὶ ὅσα τοιαῦτα. ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι· αὐτοῦ γὰρ οὕτως ἕνεκα φαίνεται καὶ οὐ διά τι ἕτερον. περὶ δ' ἔχθρας καὶ τοῦ μι-

1. δύνατον Q. ‖ 4. τὸ Z^b. ‖ 8. ἤδη QY^bZ^b. ‖ 11. τοῦτο Y^b. ‖ 15. φιλοῦντας] τοὺς φιλοῦντας QY^bZ^b. ‖ 18. ἑαυτοῖς QY^bZ^b. ‖ μένοις A^c. ‖ 20. εἰς post καὶ om QY^bZ^b. ‖ 21. τοὺς alterum om A^c. ‖ 22. ἑτέρου QZ^b. ‖ 25. τὸ αὐτό] ταῦτα A^c. ‖ 28. πᾶσιν 9. ὑπ' αὐτῶν QY^bZ^b. ‖ 29. ἢ om QY^bZ^b. ‖ οἷς $QY^bZ^bA^c$. ‖ αὐτοί A^c. ‖ 30. συνδιάγειν QY^bZ^b. ‖ 32. φιλόνικοι Y^b. ‖ 34. τῷ Z^b, τῷ παῖσαι A^c et γρ Y^b. ‖ καὶ] καὶ τῷ Z^bA^c, καὶ τὸ Y^b. ‖ ταυτὰ QY^bZ^b. ‖ 37. ἃ μάλιστα A^c.

1. καθαρείους QY^bZ^b. ‖ 4. μνησικακοῦντας A^c. ‖ 5. ὑπολάβωσιν QY^bZ^b. ‖ 6. αὐτοὺς] τοὺς αὐτοὺς Q. ‖ 8. τοῦτο] ταῦτα A^c. ‖ 9. ἢ] QY^bZ^b. ‖ 10 et 11. ἑαυτοὺς A^c. ‖ 11. σπουδαίως πως] ὡσαύτως QY^bZ^b. ‖ 20. μὴ om Q. ‖ καταφρονοῦντας A^c. ‖ 23. συμπράττουσιν A^c. ‖ 27. ἐγκαταλιπόντας A^c. ‖ γὰρ] δὲ A^c. ‖ 28. φίλους ἀγαθοὺς Q, φιλαγάθους A^c. ‖ 29. ἑαυτῶν] αὐτῶν A^c. ‖ 33. οἷς] A^c. ‖ 34. ἑταιρία Y^bZ^b. ‖ καὶ οἰκειότης καὶ συγγένεια QY^bZ^b. ‖ 37. τι om QY^bZ^b.

ὀργίζονται καὶ ὡς ἔχοντες καὶ διὰ ποῖα, ἅμα εἴρηται· δῆλον δ' ὅτι δέοι ἂν αὐτὸν κατασκευάζειν τῷ λόγῳ τοιούτους οἷοι ὄντες ὀργίλως ἔχουσιν, καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται.

3 Ἐπεὶ δὲ τὸ ὀργίζεσθαι ἐναντίον τῷ πραΰνεσθαι καὶ ὀργὴ πραότητι, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι καὶ πρὸς τίνας πράως ἔχουσι καὶ διὰ τίνων πραΰνονται. ἔστω δὴ πράϋνσις κατάστασις καὶ ἠρέμησις ὀργῆς. εἰ οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δ' ἐστὶν ἑκούσιον, φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν ἢ ἀκουσίως ποιοῦσιν ἢ φαινομένοις τοιούτοις πρᾶοί εἰσιν. καὶ τοῖς τἀναντία ὧν ἐποίησαν βουλομένοις. καὶ ὅσοι καὶ αὐτοὶ εἰς αὐτοὺς τοιοῦτοι· οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν. καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις· ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις παύονται τῆς ὀργῆς. σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως· τοὺς μὲν γὰρ ἀντιλέγοντας καὶ ἀρνουμένους μᾶλλον κολάζομεν, πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι παυόμεθα θυμούμενοι. αἴτιον δ' ὅτι ἀναισχυντία τὸ τὰ φανερὰ ἀρνεῖσθαι, ἡ δ' ἀναισχυντία ὀλιγωρία καὶ καταφρόνησις· ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα. καὶ τοῖς ταπεινουμένοις πρὸς αὐτοὺς καὶ μὴ ἀντιλέγουσιν· φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι, οἱ δ' ἥττους φοβοῦνται, φοβούμενος δὲ οὐδεὶς ὀλιγωρεῖ. ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν οὐ δάκνοντες τοὺς καθίζοντας. καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας· δοκεῖ γὰρ σπουδάζεσθαι ἀλλ' οὐ καταφρονεῖσθαι. καὶ τοῖς μείζω κεχαρισμένοις. καὶ τοῖς δεομένοις καὶ παραιτουμένοις· ταπεινότεροι γάρ. καὶ τοῖς μὴ ὑβρισταῖς μηδὲ χλευασταῖς μηδ' ὀλιγώροις, ἢ εἰς μηδένα ἢ μὴ εἰς χρηστοὺς μηδ' εἰς τοιούτους οἷοίπερ αὐτοί. ὅλως δ' ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραϋντικά. καὶ οὓς φοβοῦνται ἢ αἰσχύνονται· ἕως γὰρ ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται· ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. καὶ τοῖς δι' ὀργὴν ποιήσασιν ἢ οὐκ ὀργίζονται ἢ ἧττον ὀργίζονται· οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι· οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ· ἡ μὲν γὰρ ὀλιγωρία ἄλυπον, ἡ δ' ὀργὴ μετὰ λύπης. καὶ τοῖς αἰσχυνομένοις ι καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι δῆλον ὅτι εἴσιν, οἷον ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημε κατορθώσει, ἐν πληρώσει, ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδ ὑβριστικῇ καὶ ἐν ἐλπίδι ἐπιεικεῖ. ἔτι κεχρονικότες κ ὑπόγυιοι τῇ ὀργῇ ὄντες· παύει γὰρ ὀργὴν ὁ χρόνος. δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τι πρότερον· διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς ὀργιζομ δήμου "τί οὐκ ἀπολογεῖ;" "οὔπω γε" ἔφη. "ἀλλὰ τ "ὅταν ἄλλον ἴδω διαβεβλημένον·" πρᾶοι γὰρ γίγν ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν, οἷον συνέβ Ἐργοφίλου· μᾶλλον γὰρ χαλεπαίνοντες ἢ Καλλι ἀφεῖσαν διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ κατεγ θάνατον. καὶ ἐὰν ἐλεῶσιν, καὶ ἐὰν μεῖζον κακὸν πε τες ὦσιν ἢ οἱ ὀργιζόμενοι ἂν ἔδρασαν· ὥσπερ εἰληφένα οἴονται τιμωρίαν. καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ καὶ δι πάσχειν· οὐ γίγνεται γὰρ ἡ ὀργὴ πρὸς τὸ δίκαιον· ο ἔτι παρὰ τὸ προσῆκον οἴονται πάσχειν, ἡ δ' ὀργὴ τοῦ διὸ δεῖ τῷ λόγῳ προκολάζειν· ἀγανακτοῦσι γὰρ ἧττο λαζόμενοι καὶ οἱ δοῦλοι. καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴω ὅτι δι' αὐτοὺς καὶ ἀνθ' ὧν ἔπαθον· ἡ γὰρ ὀργὴ τῶν ἕκαστόν ἐστιν· δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ. διὸ ὀρθῶς πεποί "φάσθαι Ὀδυσσῆα πτολιπόρθιον," ὡς οὐ τετιμωρημένο μὴ ᾔσθετο καὶ ὑφ' οὗ καὶ ἀνθ' ὅτου. ὥστε οὔτε τοῖς ἄλ ὅσοι μὴ αἰσθάνονται ὀργίζονται, οὔτε τοῖς τεθνεῶσιν ἔτι, πεπονθόσι τε τὸ ἔσχατον καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθη μένοις οὗ οἱ ὀργιζόμενοι ἐφίενται. διὸ εὖ περὶ τοῦ Ἕκτ ὁ ποιητής, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀρ τεθνεῶτος, "κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων." ὁ λον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις ἐκ τούτων τ τόπων λεκτέον, αὐτοὺς μὲν παρασκευάζουσι τοιούτους, οἷ ὀργίζονται, ἢ φοβεροὺς ἢ αἰσχύνης ἀξίους ἢ κεχαρισμέν ἢ ἄκοντας ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις.

Τίνας δὲ φιλοῦσι καὶ μισοῦσι, καὶ διὰ τί, τὴν φι καὶ τὸ φιλεῖν ὁρισάμενοι λέγωμεν. ἔστω δὴ τὸ φιλεῖ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα ἀλλὰ μὴ α

1. ἅμα om QY^bZ^b. ‖ 2. ὅτι] ὡς QY^bZ^b. ‖ αὐτὸν om A^c. ‖ 3. ὀλίγους Q, ὀλιγώρως A^c. ‖ 5. τοῦ A^c. ‖ τὸ Z^bA^c. ‖ 6. τ τοτος Q. ‖ 9. ἐστὶν om A^c. ‖ 10. ἀκουσίως] ἑκουσίως ἢ ἀκουσίως Z^b. ‖ 12. αὐτοὶ om QY^bZ^b. ‖ 16. ἀρνουμένους καὶ ἀντιλέγοντας QY^b 29. ἢ om A^c. ‖ 30. ἢ] καὶ Q. ‖ εἰς μὴ A^c. ‖ μηδ' εἰς] ἢ μὴ QY^bZ^b. ‖ 31. πραΰνοντα A^c. ‖ 32. ἢ] καὶ οὓς QY^bZ^b. ‖ γὰρ A^c. ‖ 36. ἄλυπος QY^bZ^b.

2. τὸ Q. ‖ 5. ἔτι] ἔτι δὲ QY^bZ^b. ‖ κεχρονηκότες Q. ‖ 8. εὖ] εὖ καὶ Q. ‖ 9. ἀπολογῇ et 13. ἀφῆσαν et 14. ἔλεωσι QY^b 15. οἱ om Y^bZ^b. ‖ ἔδρασαν ἄν· ὥσπερ γὰρ εἰληφέναι τιμωρίαν οἴονται QY^bZ^b. ‖ 17. γὰρ ante ἡ om A^c. ‖ 18. οἴονται] νομίζουσι 19. τῷ λόγῳ δεῖ QY^bZ^b. ‖ 21. τῶν] πρὸς τὸν A^c. ‖ 23. πτολίπορθον QY^bZ^b. ‖ 24. οὗ] ὅτου A^c. ‖ 29. ἀεικίζει Q, ambiguo μενεαίων Q. ‖ 30. πραΰνειν QY^bZ^b. ‖ 35. λέγομεν A^c.

καὶ τὸ κατὰ δύναμιν πρακτικὸν εἶναι τούτων. φίλος δ' ἐστὶν ὁ φιλῶν καὶ ἀντιφιλούμενος. οἴονται δὲ φίλοι εἶναι οἱ οὕτως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους. τούτων δὲ ὑποκειμένων ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς λυπηροῖς μὴ διά τι ἕτερον ἀλλὰ δι' ἐκεῖνον. γιγνομένων γὰρ ὧν βούλονται χαίρουσι πάντες, τῶν ἐναντίων δὲ λυποῦνται, ὥστε τῆς βουλήσεως σημεῖον αἱ λῦπαι καὶ αἱ ἡδοναί. καὶ οἷς δὴ ταὐτὰ ἀγαθὰ καὶ κακά, καὶ οἱ τοῖς αὐτοῖς φίλοι, καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί· ταὐτὰ γὰρ τούτοις βούλεσθαι ἀνάγκη, ὥστε ἅπερ αὑτῷ καὶ ἄλλῳ βουλόμενος, τούτῳ φαίνεται φίλος εἶναι. καὶ τοὺς πεποιηκότας εὖ φιλοῦσιν, ἢ αὐτοὺς ἢ ὧν κήδονται· ἢ εἰ μεγάλα, ἢ εἰ προθύμως, ἢ εἰ ἐν τοιούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα· ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ. καὶ τοὺς τῶν φίλων φίλους καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσιν. καὶ τοὺς φιλουμένους ὑπὸ τῶν φιλουμένων ἑαυτοῖς. καὶ τοὺς τοῖς αὐτοῖς ἐχθροὺς καὶ μισοῦντας οὓς αὐτοὶ μισοῦσιν, καὶ τοὺς μισουμένους ὑπὸ τῶν αὐτοῖς μισουμένων· πᾶσι γὰρ τούτοις ταὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ ἑαυτοῖς, ὥστε βούλεσθαι τὰ αὐτοῖς ἀγαθά, ὅπερ ἦν τοῦ φίλου. ἔτι τοὺς εὐποιητικοὺς εἰς χρήματα καὶ εἰς σωτηρίαν· διὸ τοὺς ἐλευθερίους καὶ τοὺς ἀνδρείους τιμῶσι καὶ τοὺς δικαίους. τοιούτους δ' ὑπολαμβάνουσι τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας· τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ τούτων οἱ ἀπὸ γεωργίας καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. καὶ τοὺς σώφρονας, ὅτι οὐκ ἄδικοι. καὶ τοὺς ἀπράγμονας διὰ τὸ αὐτό. καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἐὰν φαίνωνται βουλόμενοι· εἰσὶ δὲ τοιοῦτοι οἵ τ' ἀγαθοὶ κατ' ἀρετὴν καὶ οἱ εὐδόκιμοι ἢ ἐν ἅπασιν ἢ ἐν τοῖς βελτίστοις ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὐτῶν ἢ ἐν τοῖς θαυμάζουσιν αὐτούς. ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι· τοιοῦτοι δ' οἱ εὔκολοι καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων καὶ μὴ φιλόνεικοι μηδὲ δυσέριδες· πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί, οἱ δὲ μαχόμενοι τἀναντία φαίνονται βούλεσθαι. καὶ οἱ ἐπιδέξιοι καὶ τωθάσαι καὶ ὑπομεῖναι· ἐπὶ ταὐτὸ γὰρ ἀμφότεροι σπεύδουσι τῷ πλησίον, δυνάμενοί τε σκώπτεσθαι καὶ ἐμμελῶς σκώπτοντες. καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθά, καὶ τούτων μάλιστα ἃ φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς. καὶ τοὺς καθαρίους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ ὅλον τὸν βίον. καὶ τοὺς μὴ ὀνειδιστὰς μήτε τῶν ἁμαρτημάτων μήτε τῶν εὐεργετημάτων· ἀμφότεροι γὰρ ἐλεγκτικοί. καὶ τοὺς μὴ μνησικάκους, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους· οἵους γὰρ ἂν ὑπολαμβάνωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὑτοὺς οἴονται. καὶ τοὺς μὴ κακολόγους μηδὲ εἰδότας μήτε τὰ τῶν πλησίον κακὰ μήτε τὰ αὑτῶν, ἀλλὰ τἀγαθά· ὁ γὰρ ἀγαθὸς τοῦτο δρᾷ. καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις ἢ σπουδάζουσιν· μαχητικοὶ γὰρ οἱ τοιοῦτοι. καὶ τοὺς πρὸς αὐτοὺς σπουδαίως πως ἔχοντας, οἷον θαυμάζοντας αὐτοὺς καὶ σπουδαίους ὑπολαμβάνοντας καὶ χαίροντας αὐτοῖς, καὶ ταῦτα μάλιστα πεπονθότας περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι ἢ σπουδαῖοι δοκεῖν εἶναι ἢ ἡδεῖς. καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας, ἐὰν μὴ παρενοχλῶσι μηδ' ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος· γίγνεται γὰρ οὕτω τὸ κεραμεὺς κεραμεῖ. καὶ τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς· εἰ δὲ μή, ταὐτὸ καὶ οὕτω συμβαίνει. καὶ πρὸς οὓς οὕτως ἔχουσιν ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς δόξαν, μὴ καταφρονοῦντες. καὶ πρὸς οὓς αἰσχύνονται τὰ πρὸς ἀλήθειαν. καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν ἢ βούλονται φίλοι εἶναι. καὶ οἷς ἂν τἀγαθὰ συμπράττωσιν, ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά. καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσιν· διὸ καὶ τοὺς περὶ τοὺς τεθνεῶτας τοιούτους πάντες φιλοῦσιν. καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς. καὶ τοὺς μὴ πλαττομένους πρὸς ἑαυτούς· τοιοῦτοι δὲ καὶ οἱ τὰ φαῦλα τὰ ἑαυτῶν λέγοντες. εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα· εἰ οὖν ὁ αἰσχυνόμενος μὴ φιλεῖ, ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικεν. καὶ τοὺς μὴ φοβερούς, καὶ οἷς θαρροῦμεν· οὐδεὶς γὰρ ὃν φοβεῖται φιλεῖ. εἴδη δὲ φιλίας ἑταιρεία οἰκειότης συγγένεια καὶ ὅσα τοιαῦτα. ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι· αὐτοῦ γὰρ οὕτως ἕνεκα φαίνεται καὶ οὐ διά τι ἕτερον. περὶ δ' ἔχθρας καὶ τοῦ μι-

1. δύνατον Q. ‖ 4. τὸ Z^b. ‖ 8. ἤδη QY^bZ^b. ‖ 11. τοῦτο Y^b. ‖ 15. φιλοῦντας] τοὺς φιλοῦντας QY^bZ^b. ‖ 18. ἑαυτοῖς QY^bZ^b. ‖ μισουμένοις A^c. ‖ 20. εἰς post καὶ om QY^bZ^b. ‖ 21. τοὺς alterum om A^c. ‖ 22. ἑτέρου QZ^b. ‖ 25. τὸ αὐτό] ταῦτα A^c. ‖ 28. πᾶσιν et 29. ὑπ' αὐτῶν QY^bZ^b. ‖ 29. ἢ om QY^bZ^b. ‖ οἷς $QY^bZ^bA^c$. ‖ αὐτοί A^c. ‖ 30. συνδιάγειν QY^bZ^b. ‖ 32. φιλόνικοι Y^b. ‖ 34. τῷ δεῖσαι Z^b, τῷ παῖσαι A^c et γρ Y^b. ‖ καὶ] καὶ τῷ Z^bA^c, καὶ τὸ Y^b. ‖ ταυτὰ QY^bZ^b. ‖ 37. ἃ μάλιστα A^c.

1. καθαρείους QY^bZ^b. ‖ 4. μνησικακοῦντας A^c. ‖ 5. ὑπολάβωσιν QY^bZ^b. ‖ 6. αὐτοὺς] τοὺς αὐτοὺς Q. ‖ 8. τοῦτο] ταῦτα A^c. ‖ 9. ἢ] ἢ τοῖς QY^bZ^b. ‖ 10 et 11. ἑαυτοὺς A^c. ‖ 11. σπουδαίως πως] ὡσαύτως QY^bZ^b. ‖ 20. μὴ om Q. ‖ καταφρονοῦντας A^c. ‖ 23. συμπρακτῶσιν A^c. ‖ 27. ἐγκαταλιπόντας A^c. ‖ γὰρ] δὲ A^c. ‖ 28. φίλους ἀγαθοὺς Q, φιλαγάθους A^c. ‖ 29. ἑαυτῶν] αὐτῶν A^c. ‖ 33. οἷς] οὓς A^c. ‖ 34. ἑταιρία Y^bZ^b. ‖ καὶ οἰκειότης καὶ συγγένεια QY^bZ^b. ‖ 37. τι om QY^bZ^b.

σεῖν φανερὸν ὡς ἐκ τῶν ἐναντίων δεῖ θεωρεῖν. ποιητικὰ δ' ἔχθρας ὀργή, ἐπηρεασμός, διαβολή. ὀργὴ μὲν ὖν ἐςὶν ἐκ τῶν πρὸς ἑαυτόν, ἔχθρα δὲ καὶ ἄνευ τῶν πρὸς ἑαυτόν· ἐὰν γὰρ ὑπολαμβάνωμεν εἶναι τοιόνδε, μισῦμεν. καὶ ἡ μὲν ὀργὴ ἀεὶ περὶ τὰ καθ' ἕκαςα, οἷον Καλλίᾳ ἢ Σωκράτει, τὸ δὲ μῖσος καὶ πρὸς τὰ γένη· τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἅπας. καὶ τὸ μὲν ἰατὸν χρόνῳ, τὸ δ' ἀνίατον. καὶ τὸ μὲν λύπης ἔφεσις, τὸ δὲ κακῦ· αἴσθεσθαι γὰρ βύλεται ὁ ὀργιζόμενος, τῷ δ' ὐδὲν διαφέρει. ἔστι δὲ τὰ μὲν λυπηρὰ αἰσθητὰ πάντα, τὰ δὲ μάλιςα κακὰ ἥκιςα αἰσθητά, ἀδικία καὶ ἀφροσύνη· ὐδὲν γὰρ λυπεῖ ἡ παρυσία τῆς κακίας. καὶ τὸ μὲν μετὰ λύπης, τὸ δ' ὐ μετὰ λύπης· ὁ μὲν γὰρ ὀργιζόμενος λυπεῖται, ὁ δὲ μισῶν οὔ. καὶ ὁ μὲν πολλῶν ἂν γενομένων ἐλεήσειεν, ὁ δ' ὐδενός· ὁ μὲν γὰρ ἀντιπαθεῖν βύλεται ᾧ ὀργίζεται, ὁ δὲ μὴ εἶναι. φανερὸν ὖν ἐκ τύτων ὅτι ἐνδέχεται ἐχθρὺς καὶ φίλυς καὶ ὄντας ἀποδεικνύναι καὶ μὴ ὄντας ποιεῖν καὶ φάσκοντας διαλύειν, καὶ δι' ὀργὴν ἢ δι' ἔχθραν ἀμφισβητῦντας ἐφ' ὁπότερ' ἂν προαιρῆταί τις ἄγειν. ποῖα δὲ φοβοῦνται καὶ τίνας καὶ πῶς ἔχοντες, ὧδ' ἔςαι φανερόν.

5 Ἔςω δὴ φόβος λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ φθαρτικῦ ἢ λυπηρῦ· οὐ γὰρ πάντα τὰ κακὰ φοβῦνται, οἷον εἰ ἔςαι ἄδικος ἢ βραδύς, ἀλλ' ὅσα λύπας μεγάλας ἢ φθορὰς δύναται, καὶ ταῦτ' ἐὰν μὴ πόρρω ἀλλὰ σύνεγγυς φαίνηται ὥστε μέλλειν. τὰ γὰρ πόρρω σφόδρα ὐ φοβῦνται· ἴσασι γὰρ πάντες ὅτι ἀποθανῦνται, ἀλλ' ὅτι ὐκ ἐγγύς, οὐδὲν φροντίζυσιν. εἰ δὴ ὁ φόβος τοῦτ' ἐςίν, ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τῦ φθείρειν ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην συντεινύσας. διὸ καὶ τὰ σημεῖα τῶν τοιύτων φοβερά· ἐγγὺς γὰρ φαίνεται τὸ φοβερόν· τῦτο γάρ ἐςι κίνδυνος, φοβερῦ πλησιασμός. τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι· δῆλον γὰρ ὅτι βύλονται, ὥςε ἐγγύς εἰσι τῦ ποιεῖν. καὶ ἀδικία δύναμιν ἔχυσα· τῷ προαιρεῖσθαι γὰρ ὁ ἄδικος ἄδικος. καὶ ἀρετὴ

ὑβριζομένη δύναμιν ἔχυσα· δῆλον γὰρ ὅτι προαι
μέν, ὅταν ὑβρίζηται, ἀεί, δύναται δὲ νῦν. καὶ
τῶν δυναμένων τι ποιῆσαι· ἐν παρασκευῇ γὰρ ἀ
εἶναι καὶ τὸν τοιῦτον. ἐπεὶ δ' οἱ πολλοὶ χείρυς καὶ
τῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν
τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι, ὥςε οἱ συνειδότε
ποιηκότι τι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλ
καὶ οἱ δυνάμενοι ἀδικεῖν τοῖς δυναμένοις ἀδικεῖσθαι
γὰρ ἐπὶ τὸ πολὺ ἀδικοῦσιν οἱ ἄνθρωποι, ὅταν δύν
καὶ οἱ ἠδικημένοι ἢ νομίζοντες ἀδικεῖσθαι· ἀεὶ γὰρ
καιρόν. καὶ οἱ ἠδικηκότες, ἐὰν δύναμιν ἔχωσι, φο
δεδιότες τὸ ἀντιπαθεῖν· ὑπέκειτο γὰρ τὸ τοιοῦτο φο
καὶ οἱ τῶν αὐτῶν ἀνταγωνισταί, ὅσα μὴ ἐνδέχεται
ὑπάρχειν ἀμφοῖν· ἀεὶ γὰρ πολεμῦσι πρὸς τὺς τοιού
καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροί· μᾶλλον γὰρ ἂν
ναιντο βλάπτειν αὐτούς, εἰ καὶ τὺς κρείττυς. καὶ ὓς
βῦνται οἱ κρείττυς αὐτῶν διὰ ταὐτό. καὶ οἱ τὺς κρε
αὐτῶν ἀνῃρηκότες. καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμε
ἢ γὰρ ἤδη φοβεροὶ ἢ αὐξηθέντες. καὶ τῶν ἠδικημένων
ἐχθρῶν ἢ ἀντιπάλων οὐχ οἱ ὀξύθυμοι καὶ παρρησιας
ἀλλ' οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανῦργοι· ἄδηλοι γὰρ
ἐγγύς, ὥς' ὐδέποτε φανεροὶ ὅτι πόρρω. πάντα δὲ τὰ
βερὰ φοβερώτερα, ὅσα, ἂν ἁμάρτωσιν, ἐπανορθῶσαι
μὴ ἐνδέχεται, ἀλλ' ἢ ὅλως ἀδύνατα, ἢ μὴ ἐφ' ἑαυ
ἀλλ' ἐπὶ τοῖς ἐναντίοις. καὶ ὧν βοήθειαι μή εἰσιν ἢ
ῥᾴδιαι. ὡς δ' ἁπλῶς εἰπεῖν, φοβερά ἐςιν ὅσα ἐφ' ἑτέ
γιγνόμενα ἢ μέλλοντα ἐλεεινά ἐςιν. τὰ μὲν ὖν φοβε
καὶ ἃ φοβῦνται, σχεδὸν ὡς εἰπεῖν τὰ μέγιςα ταῦτ' ἐς
ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν. εἰ
ἐςιν ὁ φόβος μετὰ προσδοκίας τῦ πείσεσθαί τι φθαρτι
πάθος, φανερὸν ὅτι ὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν
παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν, ὐδὲ τύτυς ὑ
ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. ἀνάγκη τοί
φοβεῖσθαι τὺς οἰομένυς τι παθεῖν ἄν, καὶ τὺς ὑπὸ τί
καὶ ταῦτα καὶ τότε. ὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ

1. δεῖ] ἐςι A^c. ‖ 3. αὐτόν utrobique A^c. ‖ τῶν] τοῦ A^c. ‖ 4. ὑπολάβωμεν QY^bZ^b. ‖ post εἶναι litteras duas vel tres del
A^c. ‖ 5. καλλίαν Y^b. ‖ ἢ om QY^bZ^b. ‖ σωκράτηι A^c. ‖ 7. ἅπας] ἕκαςος QY^bZ^b. ‖ τὸν μὲν ἰατρὸν pr A^c. ‖ 8. καὶ ἡ μὲν τοῦ
πῆσαι ἐφίεται, ἡ δὲ τοῦ κακῶσαι μᾶλλον. αἰσθάνεσθαι QY^bZ^b. ‖ 18. καὶ] καὶ ἢ QY^bZ^b. ‖ ἀμφισβητῦντες A^c. ‖ 20. τίνα et ἔχοντας
Y^bZ^b. ‖ ἐςὶ Y^bZ^b. ‖ 21. ἔςη Q. ‖ δὴ] δὴ ὁ A^c. ‖ 22. κακοῦ] κακοῦ ἢ QY^bZ^b. ‖ 23. φοβεῖται QY^bZ^b. ‖ ὅσα] ὅσα ἢ QY^bZ^b
24. δύνανται QY^bZ^b. ‖ ἐὰν] ἃ QY^bZ^b, et 25. φαίνεται. ‖ 27. οὐδὲ Z^b. ‖ 33. τε om QY^bZ^b. ‖ 34. βύλονται] βούλονταί τε καὶ
νανται: QY^bZ^b. ‖ καὶ om Q.

7. τι om A^c. ‖ 8. τοῖς] ἀεὶ τοῖς QY^bZ^b. ‖ 10. ἀδικούμενοι Y^bZ^b. ‖ 11. ἂν A^c. ‖ 12. τοῦτον Q. ‖ 13. ὅσα] καὶ ὅσα pr A^c
14. τὺς om QY^bZ^b. ‖ 15. αὐτῶν om QY^bZ^b, additis καὶ αὐτοῖς φοβεροί post φοβεροί. ‖ 16. εἰ καὶ] ἢ QY^bZ^b. ‖ 20. ἀντιπαλαίμενοι A^c
21. εἰ] ἢ A^c, οἱ QY^bZ^b. ‖ 22. φανεροὶ] φοβερὸν QY^bZ^b. ‖ 23. ὅσα ἁμαρτάνωσιν A^c. ‖ 24. ἐπ' αὐτοῖς A^c. ‖ 30. τῦ] τινὸς τῦ A^c
31. μηδὲν ἀντιπαθεῖν Q. ‖ 32. μηδὲ A^c. οὐδὲ — παθεῖν om Q. ‖ 35. ἐν om Y^b et pr Z^b.

εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ ὑβρισταὶ καὶ ὀλίγωροι καὶ θρασεῖς (ποιεῖ δὲ τοιούτους πλοῦτος ἰσχὺς πολυφιλία δύναμις), οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινὰ καὶ ἀπεψυγμένοι πρὸς τὸ μέλλον, ὥσπερ οἱ ἀποτυμπανιζόμενοι ἤδη· ἀλλὰ δεῖ τινὰ ἐλπίδα ὑπεῖναι σωτηρίας, περὶ οὗ ἀγωνιῶσιν. σημεῖον δέ· ὁ γὰρ φόβος βουλευτικοὺς ποιεῖ, καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων. ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς, ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν· καὶ γὰρ ἄλλοι μείζους ἔπαθον· καὶ τοὺς ὁμοίους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο. ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστι, καὶ τῶν φοβερῶν, καὶ ὡς ἕκαστοι ἔχοντες δεδίασι, φανερὸν ἐκ τούτων καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα θαρραλέοι καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν· τό τε γὰρ θάρσος ἐναντίον τῷ φόβῳ καὶ τὸ θαρραλέον τῷ φοβερῷ· ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων. ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα καὶ τὰ θαρραλέα ἐγγύς. καὶ ἐπανορθώσεις ἐὰν ὦσι καὶ βοήθειαι, ἢ πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω, καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσι δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες. ἢ ἐὰν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω. αὐτοὶ δὲ οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἐὰν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι, ἢ ἐὰν πολλάκις ἐληλυθότες ὦσιν εἰς τὰ δεινὰ καὶ διαπεφευγότες· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι ἢ τῷ βοηθείας ἔχειν, ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα καὶ οἱ βοηθείας ἔχοντες διὰ τὴν ἐμπειρίαν. καὶ ὅταν τοῖς ὁμοίοις ᾖ μὴ φοβερόν, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δέ, ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων. καὶ ἐὰν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν· ταῦτα δ' ἐστὶ πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ πασῶν ἢ τῶν μεγίστων. καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν ἢ μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τοιούτους περὶ ὧν φοβοῦνται. καὶ ὅλως ἂν τὰ πρὸς θεοὺς αὐτοῖς καλῶς ἔχῃ, τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων· θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν, τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ ὅταν ἐπιχειροῦντες ἢ μηδὲν ἂν παθεῖν μηδὲ πείσεσθαι ἢ κατορθώσειν οἴωνται. καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων εἴρηται.

Ποῖα δ' αἰσχύνονται καὶ ἀναισχυντοῦσιν, καὶ πρὸς 6
τίνας καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων, ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα. εἰ δή ἐστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύνεσθαι ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ ἢ ὧν φροντίζει· τοιαῦτα δ' ἐστὶν ὅσα ἀπὸ κακίας ἔργα ἐστίν, οἷον τὸ ἀποβαλεῖν ἀσπίδα ἢ φυγεῖν· ἀπὸ δειλίας γάρ. καὶ τὸ ἀποστερῆσαι παρακαταθήκην· ἀπ' ἀδικίας γάρ. καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ ἢ ὅπου οὐ δεῖ ἢ ὅτε μὴ δεῖ· ἀπ' ἀκολασίας γάρ. καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ ἀπ' αἰσχρῶν ἢ ἀπ' ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων· ὅθεν καὶ ἡ παροιμία, τὸ κἂν ἀπὸ νεκροῦ φέρειν· ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας. καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν. καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἧττον εὐπόρων. καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν ὅτε αἰτεῖν, καὶ ἐπαινεῖν ἵνα δόξῃ αἰτεῖν, καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον· πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα. τὸ δ' ἐπαινεῖν παρόντα κολακείας, καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα, καὶ τἆλλα πάντα ὅσα τοιαῦτα· κολακείας γὰρ σημεῖα. καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ

1. καὶ δοκοῦντες om QZ^b. ‖ 2. θαρσεῖς Y^b. ‖ 5. ἀποτυπανιζόμενοι A^c. ‖ 10. τοὺς] hinc tertia manus Y^b. ‖ ὁμοίους] τοιούτους A^c. ‖ 15. καὶ] εἰσι καὶ A^c. ‖ 16. ἐναντίω Z^b, τὸ ἐναντίον A^c. ‖ τῷ φόβῳ καὶ τὸ θαρραλέον om $QY^bZ^bA^c$. ‖ 17. ὥστε] ὡς A^c. ‖ ὡς] ἐστὶν ὡς QY^bZ^b. ‖ 19. ὄντα δεινὰ πόρρω Z^b. ‖ 21. ἄμφω] καὶ ἄμφω Y^b. ‖ 24. εὖ] ὦσιν εὖ QY^bZ^b. ‖ οἷς] εἰς QZ^b. ‖ 26 et 35. ἂν A^c. ‖ 27. ὦσιν post 28. διαπεφευγότες A^c. ‖ 31. καὶ οἱ] οἵ τε QY^bZ^b. ‖ 32. μὴ ᾖ QY^bZ^b.

2. χώρας καὶ φίλων QY^bZ^b. ‖ 3. καὶ] ἢ Z^b. ‖ 4. ἢ post ὦσιν om A^c. ‖ τοιούτους] τούτους ἢ A^c. ‖ 5. ἂν πρὸς τοὺς θεοὺς A^c. ‖ 6. ἀπὸ τῶν σημείων καὶ τῶν λογίων Y^b. ‖ 8. τοῖς ἀδικουμένοις βοηθεῖν Y^b. ‖ 9. προεπιχειροῦντες QY^bZ^b. ‖ 13 et 17. δὴ] δ' QY^bZ^b. ‖ 14. ἢ] καὶ QY^bZ^b. ‖ 16. τὰ om QY^bZ^b. ‖ 18. ἐπὶ] μὲν ἐπὶ QY^bZ^b. ‖ ἃ δοκεῖ αἰσχρὰ εἶναι αὐτῷ QY^cZ^b. ‖ 19. ὧν] ᾧ A^c. ‖ 20. τὸ ἀποβαλεῖν] ἀποβάλλειν QY^bZ^b. ‖ 21. ἀπ'] ἢ ἀδικῆσαι. ἀπ' A^c. ‖ 22. ὅπου] οὗ A^c. ‖ ἢ ὅτε μὴ δεῖ om A^c. ‖ 24. ἀπ' priorem om A^c. ‖ 25. κἂν om A^c. ‖ 26. αἰσχροκερδίας Z^bA^c. ‖ 28. ἀπόρων Z^b. ‖ 32. παρόντας A^c. ‖ 34. ἀλγοῦντι παρόντα] ἐπ' ἀλγοῦντι QY^bZ^b.

πρεσβύτεροι ἢ οἱ τρυφῶντες ἢ οἱ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι· πάντα γὰρ μαλακίας σημεῖα. καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ἃ εὖ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα. καὶ τὸ περὶ αὑτοῦ πάντα λέγειν καὶ ἐπαγγέλλεσθαι, καὶ τὸ τἀλλότρια αὑτοῦ φάσκειν· ἀλαζονείας γάρ. ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακιῶν τὰ ἔργα καὶ τὰ σημεῖα καὶ τὰ ὅμοια· αἰσχρὰ γὰρ καὶ αἰσχυντικά. καὶ ἐπὶ τούτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι, μὴ μετέχειν. ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἥλικας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου· αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν, οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως. πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται· οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων ἢ ὑπαρχόντων ἢ μελλόντων. πάσχοντες δὲ ἢ πεπονθότες ἢ πεισόμενοι τὰ τοιαῦτα αἰσχύνονται ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη· ταῦτα δ' ἐστὶ τὰ εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστὶ τὸ ὑβρίζεσθαι. καὶ τὰ μὲν εἰς ἀκολασίαν καὶ ἑκόντα καὶ ἄκοντα, τὰ δ' εἰς βίαν ἄκοντα· ἀπὸ ἀνανδρίας γὰρ ἢ δειλίας ἡ ὑπομονὴ καὶ τὸ μὴ ἀμύνεσθαι. ἃ μὲν οὖν αἰσχύνονται, ταῦτ' ἐστὶ καὶ τὰ τοιαῦτα· ἐπεὶ δὲ περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη, καὶ ταύτης αὐτῆς χάριν ἀλλὰ μὴ τῶν ἀποβαινόντων, οὐδεὶς δὲ τῆς δόξης φροντίζει ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη τούτους αἰσχύνεσθαι ὧν λόγον ἔχει. λόγον δ' ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς φιλοτιμεῖται, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης. θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ τούτων καὶ θαυμάζουσι τούτους ὅσοι τι ἔχουσιν ἀγαθὸν τῶν τιμίων, ἢ παρ' ὧν τυγχάνουσι δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι, οἷον οἱ ἐρῶντες· φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους, φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων, τοιοῦτοι δ' οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι. καὶ τὰ ἐν ὀφθαλμοῖς καὶ τὰ ἐν φανερῷ μᾶλλον· ὅθεν καὶ ἡ παροιμία, τὸ ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ. διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰσχύνονται καὶ τοὺς προσέχοντας αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα. καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους· δῆλον γὰρ ὅτι τἀναντία δοκεῖ τούτοις. καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν· ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν, ὥστε ἃ μὴ ποιεῖ, δῆλον ὅτι νεμεσᾷ. καὶ τοὺς ἐξαγγελτικοὺς πολλοῖς· οὐδὲν γὰρ διαφέρει μὴ δοκεῖν ἢ μὴ ἐξαγγέλλειν. ἐξαγγελτικοὶ δὲ οἵ τε ἠδικημένοι διὰ τὸ παρατηρεῖν καὶ οἱ κακολόγοι· εἴπερ γὰρ καὶ τοὺς μὴ ἁμαρτάνοντας, ἔτι μᾶλλον τοὺς ἁμαρτάνοντας. καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς· κακολόγοι γάρ πως οὗτοι καὶ ἐξαγγελτικοί. καὶ οὓς ἐν οἷς μηδὲν ἀποτετυχήκασιν· ὥσπερ γὰρ θαυμαζόμενοι διάκεινται· διὸ καὶ τοὺς πρῶτον δεηθέντας τι αἰσχύνονται ὡς οὐδέν πω ἠδοξηκότες ἐν αὐτοῖς. τοιοῦτοι δ' οἵ τε ἄρτι βουλόμενοι φίλοι εἶναι (τὰ γὰρ βέλτιστα τεθέανται, διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς Συρακοσίους) καὶ τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες. αἰσχύνονται δ' οὐ μόνον αὐτὰ τὰ ῥηθέντα αἰσχυντηλὰ ἀλλὰ καὶ τὰ σημεῖα, οἷον οὐ μόνον ἀφροδισιάζοντες ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ· καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες. ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον θεράποντας καὶ φίλους τούτων. ὅλως δ' οὐκ αἰσχύνονται οὔθ' ὧν πολὺ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν (οὐδεὶς γὰρ παιδία καὶ θηρία αἰσχύνεται) οὔτε ταὐτὰ τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας, ἀλλὰ τοὺς μὲν γνωρίμους τὰ πρὸς ἀλήθειαν δοκοῦντα τοὺς δ' ἄπωθεν τὰ πρὸς τὸν νόμον. αὐτοὶ δὲ ὧδε διακείμενοι αἰσχυνθεῖεν ἄν, πρῶτον μὲν εἰ ὑπάρχοιεν πρὸς αὐτοὺς ἔχοντες οὕτω τινὲς οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται. ἦσαν δ' οὗτοι ἢ θαυμαζόμενοι ἢ θαυμάζοντες ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ ὧν δέονταί τινα χρείαν ὧν μὴ τεύξονται ἄδοξοι ὄντες, καὶ οὗτοι ἢ ὁρῶντες, ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν (ἠξίου γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας, ὡς ὁρῶντας καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν ψηφίσωνται), ἢ ἂν πλησίον ὦσιν οἱ τοιοῦτοι, ἢ μέλλωσιν αἰσθήσεσθαι. διὸ καὶ ὁρᾶσθαι ἀτυχοῦντες ὑπὸ τῶν ζηλούντων ποτὲ οὐ βούλονται· θαυμασταὶ

1. οἱ om A^c. ‖ οἱ om QZ^bA^c. ‖ ὄντες om QY^bZ^b. ‖ 3. ἃ] ὃ A^c. ‖ 5. πάντα om QY^bZ^b. ‖ 6. ἀλαζονείας QY^bZ^b. ‖ 7. [illegible] QY^bZ^b. ‖ 9. ἀναίσχυντα A^c. ‖ τὸ om Q. ‖ 11. ὁμοίους — 12. μετέχειν om Z^b. ‖ 14. ἂν — 15. μᾶλλον om QY^bZ^b. ‖ 15. οὕτως A^c. ‖ 18. τὰ] ὅσα QY^bZ^b. ‖ 21. ἢ] εἰ Q. ‖ 25. ἀλλὰ διὰ τοὺς δόξαντας A^c. ‖ 30. οἳ ἔχουσί τι QY^bZ^b. ‖ 32. δὲ] μὲν Q. ‖ 35. [illegible] Q. ‖ μᾶλλον om QY^bZ^b. ‖ 36. διὰ] καὶ διὰ QY^bZ^b.

2. ταῦτα Q. ‖ 3. τοῖς φαινομένοις ἁμαρτάνειν post 2. γὰρ QY^bZ^b. ‖ 5. ἂν μὴ ποιῇ QY^bZ^b. ‖ 13. τι δεηθέντας QY^bZ^b. ‖ 14. [illegible] om pr Y^b. ‖ τε om A^c. ‖ 16. συρακουσίους Y^bZ^b, συρρακουσίους Q. ‖ 19. αὐτῶν et 21. οὐδὲ τοὺς εἰρημένους αἰσχύνονται μόνον QY^bZ^b. ‖ 22. δηλώσαντας αὐτοὺς Q. ‖ 23. πολλοὶ et 24. θηρία καὶ τὰ παιδία QY^bZ^b. ‖ 26. ἄποθεν QZ^b. ‖ 35. ἂν post ἢ et 37. ποτὲ [illegible] A^c. ‖ 37. θαυμαστοὶ QZ^b.

γὰρ οἱ ζηλωταί. καὶ ὅταν ἔχωσιν ἃ καταισχυνοῦσιν ἔργα καὶ πράγματα ἢ αὐτῶν ἢ προγόνων ἢ ἄλλων τινῶν πρὸς οὓς ὑπάρχει αὐτοῖς ἀγχιστεία τις. καὶ ὅλως ὑπὲρ ὧν αἰσχύνονται αὐτοί· εἰσὶ δ' οὗτοι οἱ εἰρημένοι καὶ οἱ εἰς αὐτοὺς ἀναφερόμενοι, ὧν διδάσκαλοι ἢ σύμβουλοι γεγόνασι, ἢ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται· πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσιν. καὶ μέλλοντες ὁρᾶσθαι καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς συνειδόσιν αἰσχυντηλοὶ μᾶλλόν εἰσιν. ὅθεν καὶ Ἀντιφῶν ὁ ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυσίου εἶπεν, ἰδὼν τοὺς συναποθνήσκειν μέλλοντας ἐγκαλυπτομένους ὡς ᾔεσαν διὰ τῶν πυλῶν, "τί ἐγκαλύπτεσθε" ἔφη· "ἢ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων;" περὶ μὲν οὖν αἰσχύνης ταῦτα· περὶ δὲ ἀναισχυντίας δῆλον ὡς ἐκ τῶν ἐναντίων εὐπορήσομεν.

7 Τίσι δὲ χάριν ἔχουσι καὶ ἐπὶ τίσιν ἢ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις τὴν χάριν δῆλον ἔσται. ἔστω δὴ χάρις, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν δεομένῳ μὴ ἀντί τινος, μηδ' ἵνα τι αὐτῷ τῷ ὑπουργοῦντι, ἀλλ' ἵνα ἐκείνῳ τι· μεγάλη δ' ἂν ᾖ σφόδρα δεομένῳ, ἢ μεγάλων καὶ χαλεπῶν, ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος, ἢ πρῶτος, ἢ μάλιστα. δεήσεις δ' εἰσὶν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου· τοιαῦται δὲ αἱ ἐπιθυμίαι, οἷον ὁ ἔρως. καὶ αἱ ἐν ταῖς τοῦ σώματος κακώσεσι καὶ ἐν κινδύνοις· καὶ γὰρ ὁ κινδυνεύων ἐπιθυμεῖ καὶ ὁ λυπούμενος. διὸ οἱ ἐν πενίᾳ παριστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσιν, διὰ τὸ μέγεθος τῆς δεήσεως καὶ τὸν καιρὸν κεχαρισμένοι, οἷον ὁ ἐν Λυκείῳ τὸν φορμὸν δούς. ἀνάγκη οὖν μάλιστα μὲν εἰς ταὐτὰ ἔχειν τὴν ὑπουργίαν, εἰ δὲ μή, εἰς ἴσα ἢ μείζω. ὥστ' ἐπεὶ φανερὸν καὶ ὅτε καὶ ἐφ' οἷς γίγνεται χάρις καὶ πῶς ἔχουσι, δῆλον ὅτι ἐκ τούτων παρασκευαστέον, τοὺς μὲν δεικνύντας ἢ ὄντας ἢ γεγενημένους ἐν τοιαύτῃ δεήσει καὶ λύπῃ, τοὺς δὲ ὑπηρετηκότας ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ἢ ὑπηρετοῦντας. φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν καὶ ποιεῖν ἀχαρίστους· ἢ γὰρ ὅτι αὑτῶν ἕνεκα ὑπηρετοῦσιν ἢ ὑπηρέτησαν (τοῦτο δ' οὐκ ἦν χάρις), ἢ ὅτι ἀπὸ τύχης συνέπεσεν ἢ συνηναγκάσθησαν, ἢ ὅτι ἀπέδωκαν ἀλλ' οὐκ ἔδωκαν, εἴτ' εἰδότες εἴτε μή· ἀμφοτέρως γὰρ τὶ ἀντί τινος, ὥστ' οὐδ' οὕτως ἂν εἴη χάρις. καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον· ἡ γὰρ χάρις ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσονδὶ ἢ τοιονδὶ ἢ ποτὲ ἢ ποῦ. σημεῖον δέ, εἰ ἔλαττον μὴ ὑπηρέτησαν, καὶ εἰ τοῖς ἐχθροῖς ἢ ταὐτὰ ἢ ἴσα ἢ μείζω· δῆλον γὰρ ὅτι οὐδὲ ταῦτα ἡμῶν ἕνεκα. ἢ εἰ φαῦλα εἰδώς· οὐδεὶς γὰρ ὁμολογεῖ δεῖσθαι φαύλων. καὶ περὶ μὲν τοῦ χαρίζεσθαι καὶ ἀχαριστεῖν εἴρηται· ποῖα δ' ἐλεεινὰ καὶ τίνας ἐλεοῦσι, καὶ πῶς αὐτοὶ ἔχοντες, λέγωμεν.

8 Ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ καὶ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν, ὃ κἂν αὐτὸς προσδοκήσειεν ἂν παθεῖν ἢ τῶν αὑτοῦ τινά, καὶ τοῦτο, ὅταν πλησίον φαίνηται· δῆλον γὰρ ὅτι ἀνάγκη τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον οἷον οἴεσθαι παθεῖν ἄν τι κακὸν ἢ αὐτὸν ἢ τῶν αὐτοῦ τινά, καὶ τοιοῦτο κακὸν οἷον εἴρηται ἐν τῷ ὅρῳ ἢ ὅμοιον ἢ παραπλήσιον. διὸ οὔτε οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν (οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται· πεπόνθασι γάρ) οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν· εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν· καὶ γὰρ τοῦτο τῶν ἀγαθῶν. εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἂν οἵ τε πεπονθότες ἤδη καὶ διαπεφευγότες, καὶ οἱ πρεσβύτεροι καὶ διὰ τὸ φρονεῖν καὶ δι' ἐμπειρίαν, καὶ οἱ ἀσθενεῖς, καὶ οἱ δειλότεροι μᾶλλον, καὶ οἱ πεπαιδευμένοι· εὐλόγιστοι γάρ. καὶ οἷς ὑπάρχουσι γονεῖς ἢ τέκνα ἢ γυναῖκες· αὑτοῦ τε γὰρ ταῦτα, καὶ οἷα παθεῖν τὰ εἰρημένα. καὶ οἱ μήτε ἐν ἀνδρίας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ θάρρει (ἀλόγιστα γὰρ τοῦ ἐσομένου ταῦτα) μήτ' ἐν ὑβριστικῇ διαθέσει (καὶ γὰρ οὗτοι ἀλόγιστοι τοῦ πείσεσθαί τι), ἀλλ' οἱ μεταξὺ τούτων. μήτ' αὖ φοβούμενοι σφόδρα· οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει. κἂν οἴωνταί τινας εἶναι ἐπιεικεῖς· ὁ γὰρ μηδένα οἰόμενος πάντας οἰήσεται

1. καταισχύνωσιν A^c. ‖ 3. τις αὐτοῖς ἀγχιστεία A^c. ‖ 4. αἰσχυνοῦνται A^c. ‖ 5. ὧν] ἢ ὧν A^c. ‖ 6. ἢ] καὶ QY^bZ^b. ‖ 7. οὐ om Z^b. ‖ 9. αἰσχυντηροὶ A^c. ‖ 10. ἀποτυμπανίζεσθαι A^c. ‖ 13. ἡμᾶς QY^b. ‖ 14 εὑρήσομεν A^c. ‖ 18. ὑπουργεῖν δεομένῳ] ἔχειν ὑπουργία δεομένων A^c. ‖ 19. τι ἐκείνῳ A^c. ‖ 20. δεομένων QY^bZ^b. ‖ 22. εἰσὶ διορέξεις A^c. ‖ 23. τοῦ μεταγιγνομένου QZ^b. ‖ ὁ om A^c. ‖ 24. αἱ om QY^bZ^b. ‖ 27. τῆς om Y^b. ‖ αἰτήσεως QY^bZ^b. ‖ κεχαρισμένον A^c. ‖ 29. ταῦτα A^c, τοιαῦτα QY^bZ^b. ‖ 30. ὅτε] οἷς A^c. ‖ 32. δεικνύοντας QY^bZ^b. ‖ 33. τῇ αὐτῇ A^c. ‖ λύπῃ καὶ δεήσει τοὺς δὲ ὑπηρετῆσαι QY^bZ^b. ‖ ἐν] ἐν τῇ A^c. ‖ 34. ἢ om $QY^bZ^bA^c$.

2. συνέπεσον Q. ‖ ἠναγκάσθησαν QY^bZ^b. ‖ 3. ἀλλ' om QY^bZ^b. ‖ εἰδὼς εἴτε μὴ εἰδώς A^c. ‖ 4. τι] τὸ A^c. ‖ 6. τοσόνδε ἢ τοιόνδε A^c. ‖ 7. ὑπηρέτησε QY^bZ^b. ‖ 8. ταῦτα Q. ‖ 15. ἂν om QY^bZ^b. ‖ τούτων A^c. ‖ 17. οἰήσεσθαι QY^bZ^b. ‖ 20. ἔτι] οὕτω pr Y^b. ‖ οἴωνται QY^bZ^b. ‖ 23. μηδὲν] τι QY^bZ^b. ‖ 25. τε om QY^bZ^b. ‖ 27. οἱ prius om QZ^b et pr Y^b. ‖ 28. ἢ τέκνα] καὶ τέκνα QY^bZ^b. ‖ 29. τε om QY^bZ^b. ‖ τὰ] διὰ τὰ QY^bZ^b. ‖ οἱ om A^c. ‖ 32. οἱ] ἀεὶ Q et pr Z^b. ‖ 35. εἶναι τῶν ἐπιεικῶν A^c.

ἀξίυς εἶναι κακῦ. καὶ ὅλως δὴ ὅταν ἔχῃ ὕτως ὥς' ἀναμνησθῆναι τοιαῦτα συμβεβηκότα ἢ αὐτῷ ἢ τῶν αὐτῦ, ἢ ἐλπίσαι γενέσθαι ἢ αὐτῷ ἢ τῶν αὐτῦ. ὡς μὲν ὖν ἔχοντες ἐλεῦσιν, εἴρηται, ἃ δ' ἐλεῦσιν, ἐκ τῦ ὁρισμῦ δῆλον· ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν φθαρτικά, πάντα ἐλεεινά, καὶ ὅσα ἀναιρετικά, καὶ ὅσων ἡ τύχη αἰτία κακῶν μέγεθος ἐχόντων. ἔστι δ' ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ νόσοι καὶ τροφῆς ἔνδεια, ὧν δ' ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία (διὸ καὶ τὸ διεσπάσθαι ἀπὸ τῶν φίλων καὶ συνήθων ἐλεεινόν), αἶσχος, ἀσθένεια, ἀναπηρία. καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι πρᾶξαι, κακόν τι συμβῆναι. καὶ τὸ πολλάκις τοιῦτον. καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν, οἷον Διοπείθει τὰ παρὰ βασιλέως τεθνεῶτι κατεπέμφθη. καὶ τὸ ἢ μηδὲν γεγενῆσθαι ἀγαθόν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν. ἐφ' οἷς μὲν ὖν ἐλεῦσι, ταῦτα καὶ τὰ τοιαῦτά ἐςιν· ἐλεῦσι δὲ τούς τε γνωρίμυς, ἐὰν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι· περὶ δὲ τύτυς ὥσπερ περὶ αὐτὺς μέλλοντας ἔχουσιν. διὸ καὶ Ἄμασις ἐπὶ μὲν τῷ υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν ὐκ ἐδάκρυσεν, ὡς φασίν, ἐπὶ δὲ τῷ φίλῳ προσαιτοῦντι· τοῦτο μὲν γὰρ ἐλεεινόν, ἐκεῖνο δὲ δεινόν· τὸ γὰρ δεινὸν ἕτερον τοῦ ἐλεεινῦ καὶ ἐκκρυςικὸν τῦ ἐλέυ καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον. ἔτι ἐλεῦσιν ἐγγὺς αὐτοῖς τῦ δεινῦ ὄντος. καὶ τὺς ὁμοίυς ἐλεῦσι κατὰ ἡλικίας, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη· ἐν πᾶσι γὰρ τύτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι· ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν, ὅτι ὅσα ἐφ' αὐτῶν φοβῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν. ἐπεὶ δ' ἐγγὺς φαινόμενα τὰ πάθη ἐλεεινά ἐςι, τὰ δὲ μυριοςὸν ἔτος γενόμενα ἢ ἐσόμενα οὔτ' ἐλπίζοντες ὔτε μεμνημένοι ἢ ὅλως οὐκ ἐλεῦσιν ἢ οὐχ ὁμοίως, ἀνάγκη τὺς συναπεργαζομένυς σχήμασι καὶ φωναῖς καὶ ἐσθῆτι καὶ ὅλως τῇ ὑποκρίσει ἐλεεινοτέρυς εἶναι· ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι τὸ κακὸν πρὸ ὀμμάτων ποιοῦντες, ἢ ὡς μέλλον ἢ ὡς γεγονός. καὶ τὰ γεγονότα ἄρτι ἢ μέλλοντα διὰ ταχέων ἐλεεινότερα διὰ τὸ αὐτό. καὶ τὰ σημεῖα καὶ τὰς πράξεις, οἷον ἐσθῆτάς τε τῶν πεπονθότων καὶ ὅσα τοιαῦτα, καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη τελευτώντων. καὶ μάλιςα τὸ σπουδαίυς εἶναι ἐν τοῖς τοιύτοις καιροῖς ὄντας ἐλεεινόν· ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον, καὶ ὡς ἀναξίυ ὄντος καὶ ἐν ὀφθαλμοῖς φαινομένυ τῦ πάθυς.

Ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιςα μὲν ὃ καλῦσι νεμεσᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις ἀντικείμενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθυς τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις. καὶ ἄμφω τὰ πάθη ἤθυς χρηςῦ· δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττυσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν, δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν, ἔςι δ' ἕτερον· λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐςὶ καὶ εἰς εὐπραγίαν, ἀλλ' οὐ τῦ ἀναξίου ἀλλὰ τοῦ ἴσυ καὶ ὁμοίυ. τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον, ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔςαι τὸ μὲν νέμεσις τὸ δὲ φθόνος, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔςαι φαῦλον ἀπὸ τῆς ἐκείνυ εὐπραξίας. φανερὸν δ' ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη τύτοις· ὁ μὲν γὰρ λυπύμενος ἐπὶ τοῖς ἀναξίως κακοπραγοῦσιν ἡσθήσεται ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίως κακοπραγοῦσιν· οἷον τὺς πατραλοίας καὶ μιαιφόνυς, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττυσι κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἄν, ἅπερ τῷ ὁμοίῳ, καὶ αὐτῷ. καὶ ἔστι τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα, τὰ δ' ἐναντία τοῦ ἐναντίυ· ὁ γὰρ αὐτός ἐςιν ἐπι-

1. εἶναι τῦ κακῦ Q. ‖ ἔχῃ om QY^bZ^b. ‖ 2. ἢ ἐλπίσαι — 3. αὐτῦ om Z^b. ‖ 3. ἢ ante αὐτῷ om A^c. ‖ 5. γὰρ ἐκ τῶν QY^bZ^b. ‖ 8. σωμάτων καὶ] καὶ σωμάτων QY^bZ^b. ‖ 10. διὸ om A^c. ‖ διασπᾶσθαι A^c. ‖ 11. ἀναπειρία A^c. ‖ 13. πεπονθὸς γενέσθαι τὸ A^c. ‖ 14. τεθνεῶτι] ὅτι τεθνεῶτι QY^bZ^b. ‖ 15. ἢ post τὸ om QY^bZ^b. ‖ 17. ἂν A^c. ‖ 18. οἰκειότητος QY^bZ^b. ‖ 19. καὶ] καὶ ὁ A^c. ‖ 20. θανεῖν Y^b. ‖ 23. ἐγγὺς post 24. δεινῦ Y^b. ‖ 23. αὐτοῦ QY^bZ^b. ‖ 24. ἡλικίαν A^c. ‖ καὶ τὰ QY^bZ^b, qui etiam 25. κατὰ γένη] καὶ τὰ γένη. ‖ 27. καὶ ἐνταῦθα om QY^bZ^b. ‖ ἐπ' αὐτῶν QY^bZ^b. ‖ 29. εἰσι $Y^bZ^bA^c$. ‖ 32. αἰσθήσει A^c. ‖ 33. ἐλεεινοτέρυς Q. ‖ 34. μέλλοντα ἢ ὡς γεγονότος A^c.

1. τὰ om A^c. ‖ ἄρτι] ἄρχοντι Q. ‖ 2. τὸ αὐτό] τῦτο A^c. ‖ τε om QY^bZ^b. ‖ 3. καὶ λόγους] ἢ λόγους Q. ‖ καὶ ὅσα ἄλλα om QY^bZ^b. ‖ 6. ἐλεεινόν om A^c. ‖ 7. ἀναξίυς τε ὄντας Y^bZ^b et pr Q. ‖ 10. τὸ Z^b. ‖ 13. μὲν om QY^bZ^b. ‖ 14. συνέχεσθαι Z^b. ‖ καὶ ἐλεεῖν om Q. ‖ εὖ om QY^bZ^b et pr A^c. ‖ 16. τῷ ἐλεεῖν om Z^b. ‖ 17. σύνεγγύς τε καὶ ταὐτὸν ὂν QY^bZ^b. ‖ 18. γὰρ om QZ^b et pr Y^b. ‖ 20. ἴσυ] ἀξίυ corr A^c. ‖ 21. δὴ αὐτῷ τῷ margo Q. ‖ πᾶσιν et 22. φθόνος τὸ δὲ νέμεσις et 23. ἂν δι' αὐτὸ τῦτο ὑπάρχῃ ἡ λύπη QY^bZ^b. ‖ 24. ἀπὸ] ὅτι ἀπὸ Z^b. ‖ 25. εὐπραγίας QY^bZ^b. ‖ 26. ἀναξίοις et 27. ἐναντίοις QY^bZ^b. ‖ 30. ὕτως Y^b. ‖ 33. ἑαυτῷ QY^bZ^b.

χαιρέκακος καὶ φθονερός· ἐφ᾽ ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν. διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτα ἐστί, διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας· ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα. πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσι τε νεμεσῶσι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες αὐτοί, εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων. φανερὸν δ᾽ ἐκ τῶν εἰρημένων· εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τ᾽ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐ γὰρ εἰ δίκαιος ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ (οὐδὲ γὰρ οἱ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσίν), ἀλλ᾽ ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις, ὅσων ὡς ἁπλῶς εἰπεῖν ἄξιοί εἰσιν οἱ ἀγαθοὶ καὶ οἱ τὰ φύσει ἔχοντες ἀγαθά, οἷον εὐγένειαν καὶ κάλλος καὶ ὅσα τοιαῦτα. ἐπειδὴ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει, ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν· μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι καὶ διὰ γένος· ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πολύφιλοι καὶ εὔτεκνοι καὶ ὁτιοῦν τῶν τοιούτων. κἂν διὰ ταῦτ᾽ ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς, ὡσαύτως· καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αἴτιον δ᾽ ὅτι οἱ μὲν δοκοῦσι τὰ αὐτῶν ἔχειν οἱ δ᾽ οὔ· τὸ γὰρ ἀεὶ οὕτω φαινόμενον ἔχειν ἀληθὲς δοκεῖ, ὥστε οἱ ἕτεροι οὐ τὰ αὐτῶν ἔχειν. καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ τυχόντος ἄξιον, ἀλλά τις ἐστὶν ἀναλογία καὶ τὸ ἁρμόττον, οἷον ὅπλων κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει ἀλλὰ τῷ ἀνδρείῳ, καὶ γάμοι διαφέροντες οὐ τοῖς νεωστὶ πλουτοῦσιν ἀλλὰ τοῖς εὐγενέσιν. ἐὰν οὖν ἀγαθὸς ὢν μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, νεμεσητόν. καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ· ὅθεν καὶ τοῦτ᾽ εἴρηται,

Αἴαντος δ᾽ ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμέσασχ᾽, ὅτ᾽ ἀμείνονι φωτὶ μάχοιτο.

εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ μουσικὸς τῷ δικαίῳ· βέλτιον γὰρ ἡ δικαιοσύνη τῆς μουσικῆς. οἷς μὲν οὖν νεμεσῶσι καὶ δι᾽ ἅ, ἐκ τούτων δῆλον· ταῦτα γὰρ καὶ τὰ τοιαῦτά ἐστιν. αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα κεκτημένοι· τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον. δεύτερον δ᾽, ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν· κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσιν. καὶ ἐὰν φιλότιμοι, καὶ ὀρεγόμενοι τινῶν πράξεων, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν. καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὐτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις καὶ τούτων. διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι οὐ νεμεσητικοί· οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι. φανερὸν δ᾽ ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ· ἐκ γὰρ τῶν εἰρημένων τὰ ἀντικείμενά ἐστι δῆλα, ὥστ᾽ ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος, καὶ τοὺς ἀξιοῦντας ἐλεεῖσθαι, καὶ ἐφ᾽ οἷς ἐλεεῖσθαι, δείξῃ ἀναξίους μὲν ὄντας τυγχάνειν ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν.

Δῆλον δὲ καὶ ἐπὶ τίσι φθονοῦσι καὶ τίσι καὶ πῶς 10
ἔχοντες, εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὐτῷ, ἀλλὰ δι᾽ ἐκείνους· φθονήσουσι μὲν γὰρ οἱ τοιοῦτοι οἷς εἰσί τινες ὅμοιοι ἢ φαίνονται. ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, καθ᾽ ἡλικίαν, καθ᾽ ἕξιν, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα. καὶ οἷς μικροῦ ἐλλείπει τὸ μὴ πάντα ὑπάρχειν. διὸ οἱ μεγάλα πράττοντες καὶ οἱ εὐτυχοῦντες φθονεροί εἰσιν· πάντας γὰρ οἴονται τὰ αὐτῶν φέρειν. καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ. καὶ οἱ φιλότιμοι φθονερώτεροι τῶν ἀφιλοτίμων. καὶ οἱ δοξόσοφοι· φιλότιμοι γὰρ ἐπὶ σοφίᾳ. καὶ ὅλως οἱ φιλόδοξοι περί τι φθονεροὶ περὶ τοῦτο. καὶ οἱ μικρόψυχοι· πάντα γὰρ μεγάλα δοκεῖ αὐτοῖς εἶναι. ἐφ᾽ οἷς δὲ φθονοῦσιν, τὰ μὲν ἀγαθὰ εἴρηται· ἐφ᾽ ὅσοις γὰρ φιλοδο-

3. τῇ ante φθορᾷ om A^c. ‖ ἐλέους QY^bZ^b. ‖ 4. vocis ὥστε syllabam τε corr A^c loco plurium capace. ‖ 6. τε om QY^bZ^b. ‖ 7. ὅπως QY^bZ^b. ‖ 11. οὐ] οὐδεὶς QY^bZ^b. ‖ 11. ἢ ἀνδρεῖος] καὶ ἀνδρεῖος A^c. ‖ εἰ om pr A^c. ‖ 12. νεμεσᾷ QY^bZ^b. ‖ οἱ om A^c. ‖ 14. ὅσων] οἷς QZ^b. ‖ ὡς] οὐχ Z^b. ‖ ἀνάξιοί Q. ‖ οἱ om QY^bZ^b. ‖ ἀγαθοῖς Q. ‖ 15. οἱ] εἰ Q. ‖ 18. καὶ] ἢ A^c. ‖ 20. γένους $Y^bZ^bA^c$. ‖ 23. πλουτοῦσιν Q. ‖ 24. διὰ] καὶ διὰ QY^bZ^b. ‖ 29. ὅπλων] ὅπλα ὧν A^c. ‖ 30. ἁρμόττοντες A^c. ‖ πλουσίοις A^c. ‖ 31. ἐὰν] ἂν A^c. ‖ 32. καὶ om QZ^b et pr Y^b. ‖ τῷ et 33. οὖν om QY^bZ^b. ‖ 35. νεμέσασκε A^c, νεμέσησ᾽ QY^bZ^b.

1. καὶ ἐὰν Y^b. ‖ ὁ κρείττων τῷ ἥττονι pr A^c. ‖ 2. βελτίων QY^bZ^b. ‖ οἷς] τοῖς pr A^c. ‖ 3. διατί A^c. ‖ ταῦτά τε γὰρ QY^bA^c. ‖ 5. ὄντες om QY^bZ^b. ‖ ταυτὰ Y^b. ‖ 6. ἀξιοῦσθαι QY^bZ^b. ‖ 8. τε om QZ^b et pr Y^b. ‖ τὸ ἄδικον QZ^b et pr Y^b. ‖ 9. πραγμάτων A^c. ‖ 10. τυγχάνωσι Y^bZ^b. ‖ 12. καὶ ante οἱ om QY^bZ^b. ‖ 13. ἐστι τοιοῦτον οὗ αὐτοὺς QY^bZ^b. ‖ 17. δῆλά ἐστιν QY^bZ^b. ‖ 19. δείξει Q. ‖ μὲν om A^c. ‖ 26. ἡλικίας et ἕξεις A^c. ‖ 28. οἱ post καὶ om QY^bZ^b. ‖ 33. οἱ ὅλως QY^bZ^b. ‖ οἱ post καὶ om A^c. ‖ 34. αὐτοῖς δοκεῖ μεγάλα QY^bZ^b. ‖ 35. οἷς A^c.

ζοῦσι καὶ φιλοτιμοῦνται ἔργοις ἢ κτήμασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐςι, σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν αὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν τῇ κτήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν. φανερὸν δὲ καὶ οἷς φθονοῦσιν· ἅμα γὰρ εἴρηται· τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ φθονοῦσιν. ὅθεν εἴρηται "τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίςαται." καὶ πρὸς οὓς φιλοτιμοῦνται· φιλοτιμοῦνται μὲν γὰρ πρὸς τοὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοςὸν ἔτος ὄντας ἢ πρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδείς, οὐδὲ πρὸς τοὺς ἐφ' Ἡρακλείαις ςήλαις. οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς ἢ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερέχειν, ὡσαύτως καὶ πρὸς τούτους καὶ περὶ τὰ τοιαῦτα. ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιςὰς καὶ ἀντεραςὰς καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιςα τούτοις φθονεῖν· ὅθεν εἴρηται "καὶ κεραμεὺς κεραμεῖ." καὶ τοῖς ταχὺ οἱ ἢ μόλις τυχόντες ἢ μὴ τυχόντες φθονοῦσιν. καὶ ὧν ἢ κεκτημένων ἢ κατορθούντων ὄνειδος αὐτοῖς· εἰσὶ δὲ καὶ οὗτοι ἐγγὺς καὶ ὅμοιοι· δῆλον γὰρ ὅτι παρ' αὐτοὺς οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ, ὥςε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον. καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις ὅσα αὐτοῖς προσῆκεν ἢ κέκτηντό ποτε· διὸ πρεσβύτεροι νεωτέροις. καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ὀλίγα φθονοῦσιν. δῆλον δὲ καὶ [ἐφ'] οἷς χαίρουσιν οἱ τοιοῦτοι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες· ὡς γὰρ οὐκ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται. ὥςε ἂν αὐτοὶ μὲν παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι, δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων.

11 Πῶς δ' ἔχοντες ζηλοῦσι καὶ τὰ ποῖα καὶ ἐπὶ τίσιν, ἐνθένδ' ἐστὶ δῆλον. εἰ γάρ ἐστι ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει, οὐχ ὅτι ἄλλῳ ἀλλ' ὅτι οὐχὶ καὶ αὐτῷ ἐςίν· διὸ καὶ ἐπιεικές ἐςιν ὁ ζῆλος καὶ ἐπιεικῶν, τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων· ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν, ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον· ἀνάγκη δὴ ζηλωτικοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας αὑτοὺς ἀγαθῶν ὧν μὴ ἔχουσιν· οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα. διὸ οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι. καὶ οἷς ὑπάρχει τοιαῦτα ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐςιν ἀνδρῶν· ἔςι γὰρ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα· ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν. καὶ οὓς οἱ ἄλλοι ἀξιοῦσιν. καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα· οἰκεῖα γὰρ οἴονται αὑτοῖς εἶναι, καὶ ἄξιοι τούτων. εἰ δ' ἐςὶ ζηλωτὰ τὰ ἔντιμα ἀγαθά, ἀνάγκη τάς τε ἀρετὰς εἶναι τοιαύτας, καὶ ὅσα τοῖς ἄλλοις ὠφέλιμα καὶ εὐεργετικά· τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας καὶ τοὺς ἀγαθούς. καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐςίν, οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας. φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι ζηλωτοί. ἔςι δὲ ταῦτα τὰ εἰρημένα, οἷον ἀνδρία σοφία ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν, ςρατηγοί, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι ἢ φίλοι πολλοί. ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσιν. καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται ἢ ὑπὸ ποιητῶν ἢ λογογράφων. καταφρονοῦσι δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν. ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥςε ζηλοῦν τινας ἢ ζηλοῦσθαι, καταφρονητικοὺς εἶναι τούτων τε καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. διὸ πολλάκις καταφρονοῦσι τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη. δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίγνεται καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται, περὶ αὐτῶν εἴρηται.

Τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις 12
καὶ τὰς ἡλικίας καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ πάθη μὲν ὀργὴν ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον, ἕξεις δὲ ἀρετὰς καὶ κακίας· εἴρηται δὲ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι καὶ ποίων πρακτικοί. ἡλικίαι δ' εἰσὶ νεότης καὶ ἀκμὴ καὶ

1. ἢ κτήμασι om QY^bZ^b. ‖ 4. τῇ] αὐτοὶ τῇ QY^bZ^b. ‖ 7. καὶ γὰρ A^c. ‖ 8. φιλοτιμεῖται QY^b, φιλοτιμοῦνται Z^b. ‖ μὲν om A^c. ‖ 11. ἢ] καὶ A^c. ‖ 13. τούτους καὶ] τοὺς A^c. ‖ ἐπειδὴ δὲ Z^b. ‖ 14. τῶν om Q. ‖ 15. τούτοις μάλιςα QY^bZ^b. ‖ διόπερ A^c. ‖ 16. καὶ τοῖς — 17. φθονοῦσιν post 23. φθονοῦσιν A^c. ‖ 16. ἢ μόλις] μήπω A^c. ‖ 17. μὴ] οἱ μὴ Y^b, μὴ quidem corr. ‖ ἢ post ὧν et 18. καὶ alterum om QY^bZ^b. ‖ 21. ὅσα] ἃ QY^bZ^b. ‖ ἐκέκτηντο QY^bZ^b. ‖ 22. πρεσβύτεροί γε νεωτέροις QY^bZ^b. ‖ 24. οὐκ] μὴ QY^bZ^b. ‖ 25. ἐναντίως A^c. ‖ 26. μὲν om Q. ‖ 27. οἷοι om A^c. ‖ οἱ] καὶ οἱ Q. ‖ 29. ἔχουσιν οἱ ζηλοῦντες QY^bZ^b. ‖ τὰ] περὶ corr Y^b. ‖ 30. ἔνθεν Q. ‖ 32. τοὺς ὁμοίους τῇ φύσει] τις ἐπιφαινομένη pr Q. ‖ 34. γὰρ om Z^b. ‖ ἑαυτὸν Y^bZ^b, ἑαυτοῦ Q. ‖ 36. μὴ ἔχειν] κωλύει Q, om Y^bZ^b. ‖ δὲ QZ^b.

2. οἱ post καὶ om Q. ‖ 8. ἔθος Q. ‖ 11. τε om Z^b. ‖ 20. ἢ οὓς αὐτοὶ θαυμάζουσιν om Q. ‖ 29. ἐξ] καὶ ἐξ Y^b. ‖ 31. κατὰ] κατά τε corr Y^b, καὶ QZ^b. ‖ 34. ἕξεις — 35. πρότερον om Q. ‖ 35. δὲ] καὶ QY^bZ^b.

ις. τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις
τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν. οἱ
ὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοί, καὶ οἷοι ποιεῖν ὧν ἂν
υμήσωσιν. καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν μάλιστα
.ουθητικοί εἰσι ταῖς περὶ τὰ ἀφροδίσια, καὶ ἀκρατεῖς
ης. εὐμετάβολοι δὲ καὶ ἁψίκοροι πρὸς τὰς ἐπιθυμίας,
σφόδρα μὲν ἐπιθυμοῦσι, ταχέως δὲ παύονται· ὀξεῖαι
αἱ βουλήσεις καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων
ι καὶ πεῖναι. καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκο-
ῖ τῇ ὁρμῇ. καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτι-
οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν, ἂν
ται ἀδικεῖσθαι. καὶ φιλότιμοι μέν εἰσι, μᾶλλον δὲ φι-
ιοι· ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπε-
τις. καὶ ἄμφω ταῦτα μᾶλλον ἢ φιλοχρήματοι· φι-
ήματοι δὲ ἥκιστα διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι,
ρ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. καὶ
ακοήθεις ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολ-
πονηρίας. καὶ εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆ-
. καὶ εὐέλπιδες· ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερ-
εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μήπω
λὰ ἀποτετυχηκέναι. καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ
γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν ἡ δὲ μνήμη τοῦ παροι-
ένου, τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολὺ τὸ δὲ παρεληλ-
ς βραχύ· τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν
αι, ἐλπίζειν δὲ πάντα. καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ
ιένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. καὶ ἀνδρειότεροι· θυμώδεις
καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι τὸ δὲ θαρρεῖν
· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν
θόν τι θαρραλέον ἐστίν. καὶ αἰσχυντηλοί· οὐ γάρ πω
ὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ
μόνον. καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου πω
πείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν, καὶ τὸ
ῦν αὐτὸν μεγάλων μεγαλοψυχία· τοῦτο δ' εὐέλπιδος.
μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων·
γὰρ ἤθει ζῶσι μᾶλλον ἢ τῷ λογισμῷ, ἔστι δ' ὁ μὲν
σμὸς τοῦ συμφέροντος ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. καὶ φι-
ιλοι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ

τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους. καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσιν· φιλοῦσί τε γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως. καὶ εἰδέναι πάντα οἴονται καὶ διισχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστι καὶ τοῦ πάντα ἄγαν. καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν καὶ οὐ κακουργίαν. καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὐτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν, ὥστ' ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. καὶ φιλογέλωτες, διὸ καὶ εὐτράπελοι· ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν. τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος.

Οἱ δὲ πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν 13
ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη· διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι καὶ πλείω ἐξηπατῆσθαι καὶ ἡμαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδέν, ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ. καὶ οἴονται, ἴσασι δ' οὐδέν. καὶ ἀμφισβητοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα, καὶ πάντα λέγουσιν οὕτω, παγίως δ' οὐδέν. καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα. ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ δι' ἐμπειρίαν. καὶ οὔτε φιλοῦσι σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες. καὶ μικρόψυχοι διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσιν. καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία, ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. καὶ δειλοὶ καὶ πάντα προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυγμένοι γάρ εἰσιν, οἱ δὲ θερμοί. ὥστε προωδοποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος κατάψυξίς τις ἐστίν. καὶ φιλόζωοι, καὶ μάλιστα ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν, καὶ οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμεῖν. καὶ φίλαυτοι μᾶλλον ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. καὶ πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλόν, μᾶλλον ἢ δεῖ, διὰ τὸ φίλαυτοι εἶναι· τὸ μὲν

1. καὶ utrumque om QY^bZ^b. ‖ 3. ὧν] ἃ A^c. ‖ 5. ταῖς] τῆς Y^bZ^b. ‖ 7. μὲν] μὲν αὐτοὶ pr Y^b. ‖ ταχὺ QY^bZ^b. ‖ 10. ὀργῇ A^c. ‖ φιλόνεικοι Y^bZ^b. ‖ 20. μὴ A^c. ‖ 25. an οἷόν τε? ‖ 31. οὔπω τεταπείνωνται A^c et rc Y^b, ποτε ταπεινοῦνται QZ^b, ποτε ταπεινοῦται pr ‖ 33. μεγάλων αὐτὸν Y^bZ^b, μεγάλων ἑαυτὸν Q. ‖ 35. ἔτι QZ^bA^c. ‖ 36. post φιλόφιλοι A^c καὶ φίλοι. ‖ 37. φιλεταῖροι Q.
1. τὸ χαίρειν] τοῦ χαίρειν Z^b. ‖ 3. χειλώνειον A^c. ‖ 4. τε om A^c. ‖ 5. καὶ εἰδέναι] ὅ καὶ εἰδέναι QY^bZ^b. ‖ ἅπαντα A^c. ‖ 7. καὶ οὐ om A^c. ‖ 8. ἐλεκτικοὶ Z^b et pr Y^b, ἐλεγκτικοὶ Q et corr Y^b. ‖ 11. φιλευτράπελοι A^c. ‖ 12. ἦθός ἐστι QY^bZ^b. ‖ 15. βε-έναι — 16. οὔτε δια om Q. ‖ 15. ἐξημαρτηκέναι A^c. ‖ 17. ἅπαντα ἄγαν Y^b. ‖ 18. ἀμφιδοξοῦντες A^c. ‖ ἀεὶ om Y^b. ‖ 21. ἅπαντα Z^b. ‖ ταχύποπτοι Q. ‖ 26. τῶν om Q. ‖ περὶ QZ^b. ‖ 29. προβητικοί Q. ‖ 31. οἱ] οὐ Y^b. ‖ 32. τίς om A^c. ‖ 33. μάλιστα] ον A^c. ‖ 34. δὲ om QY^bZ^b. ‖ 35. ἐπιθυμοῦσι καὶ φιλαίτιοι QY^bZ^b

γὰρ συμφέρον αὐτῷ ἀγαθόν ἐςι, τὸ δὲ καλὸν ἁπλῶς. καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί· διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τῦ καλῦ καὶ τῦ συμφέροντος ὀλιγωρῦσι τοῦ δοκεῖν. καὶ δυσέλπιδες διὰ τὴν ἐμπειρίαν· τὰ γὰρ πλείω τῶν γιγνομένων φαῦλά ἐστιν· ἀποβαίνει γοῦν τὰ πολλὰ ἐπὶ τὸ χεῖρον· καὶ ἔτι διὰ τὴν δειλίαν. καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι· τῦ γὰρ βίυ τὸ μὲν λοιπὸν ὀλίγον τὸ δὲ παρεληλυθὸς πολύ, ἔςι δὲ ἡ μὲν ἐλπὶς τῦ μέλλοντος ἡ δὲ μνήμη τῶν παροιχομένων. ὅπερ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· διατελῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. καὶ οἱ θυμοὶ ὀξεῖς μέν εἰσιν ἀσθενεῖς δέ, καὶ αἱ ἐπιθυμίαι αἱ μὲν ἐκλελοίπασιν αἱ δὲ ἀσθενεῖς εἰσίν, ὥστε οὔτ' ἐπιθυμητικοὶ οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος. διὸ καὶ σωφρονικοὶ φαίνονται οἱ τηλικῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι, καὶ δουλεύουσι τῷ κέρδει. καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς τῦ συμφέροντος τὸ δ' ἦθος τῆς ἀρετῆς ἐςίν. καὶ τἀδικήματα ἀδικῦσιν εἰς κακυργίαν, ὐκ εἰς ὕβριν. ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὸ τοῖς νέοις· οἱ μὲν γὰρ διὰ φιλανθρωπίαν, οἱ δὲ δι' ἀσθένειαν· πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν. ὅθεν ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι ὐδὲ φιλογέλοιοι· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι. τῶν μὲν ὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα· ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον πῶς χρώμενοι τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ καὶ οἱ λόγοι.

14 Οἱ δὲ ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τύτων τὸ ἦθος ἔσονται, ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν, καὶ οὔτε σφόδρα θαρρῦντες (θρασύτης γὰρ τὸ τοιῦτον) ὔτε λίαν φοβύμενοι, καλῶς δὲ πρὸς ἄμφω ἔχοντες, ὔτε πᾶσι πιςεύοντες οὔτε πᾶσιν ἀπιςῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον. καὶ ὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον ὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω. καὶ οὔτε πρὸς φειδὼ πρὸς ἀσωτίαν, ἀλλὰ πρὸς τὸ ἁρμόττον. ὁμοίως δ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίαν. καὶ σώφρονες μετ' ἀ καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης. ἐν γὰρ τοῖς νέοις κα γέρουσι διῄρηται ταῦτα· εἰσὶ γὰρ οἱ μὲν νέοι ἀνδρεῖ ἀκόλαστοι, οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί. καθόλου εἰπεῖν, ὅσα μὲν διῄρηται ἡ νεότης καὶ τὸ τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχυσιν, ὅσα δ' ὑπερβάλ ἢ ἐλλείπυσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. ἀκ δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντή περὶ μὲν οὖν νεότητος καὶ γήρως καὶ ἀκμῆς, ποῖα ἕκαςόν ἐςιν, εἰρήσθω τοσαῦτα.

Περὶ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν, δι' αὐτῶν καὶ τὰ ἤθη ποιὰ ἄττα συμβαίνει τοῖς ἀνθρώ λέγωμεν ἐφεξῆς. εὐγενείας μὲν οὖν ἦθός ἐςι τὸ φιλοτ τερον εἶναι τὸν κεκτημένον αὐτήν· ἅπαντες γάρ, ὑπάρχῃ τι, πρὸς τῦτο σωρεύειν εἰώθασιν, ἡ δ' εὐγένε τιμότης τις προγόνων ἐστίν. καὶ καταφρονητικὸν καὶ ὁμοίων ἐστὶ τοῖς προγόνοις τοῖς αὐτῶν, διότι πόρρω τα μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ εὐαλαζόνε ἔςι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένυς ἀρετήν, γενναῖ κατὰ τὸ μὴ ἐξίστασθαι τῆς φύσεως· ὅπερ ὡς ἐπὶ τὸ π οὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτελ φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ἐν κατὰ τὰς χώρας γιγνομένοις, καὶ ἐνίοτε ἂν ᾖ ἀγαθὸν γένος, ἐγγίνονται διά τινος χρόνυ ἄνδρες περιττοί, κἄπε πάλιν ἀναδίδωσιν. ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη μανικώτερα ἤθη, οἷον οἱ ἀπ' Ἀλκιβιάδου καὶ οἱ ἀπὸ Δ νυσίυ τῦ προτέρυ, τὰ δὲ ςάσιμα εἰς ἀβελτερίαν καὶ νωθρ τητα, οἷον οἱ ἀπὸ Κίμωνος καὶ Περικλέυς καὶ Σωκράτυς.

Τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἐστὶ ἰδ ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπα

1. αὐτῶν A^c. ‖ 3. τῦ post καὶ om A^c. ‖ τὸ A^c. ‖ 4. διά τε τὴν QY^bZ^b. ‖ πλεῖςα τῶν πραγμάτων QY^bZ^b. ‖ 5. γῦν] γὰρ A^c. ‖ 7. λοιπὸν] μέλλον QY^bZ^b. ‖ 11. εἰσὶν post 12. δέ A^c. ‖ 12. αἱ post καὶ om A^c. ‖ 13. εἰσίν om QY^bZ^b. ‖ πρακτικοὶ ὔτ' ἐπιθυμητικοὶ A^c. ‖ 14. καὶ om A^c. ‖ 15. ἀνείκαςοι Q. ‖ 18. κακυργίαν] ἀδικίαν QY^bZ^b. ‖ 19. ἐλεγκτικοὶ Q. ‖ 20. ταυτὰ A^c. ‖ 22. ἐλεγκτικοί Y^b, ἐλεγκτικόν Q. ‖ 23. φιλόγελοι A^c. ‖ 27. φαίνονται QY^bZ^b. ‖ 32. ἄλλως A^c. ‖ δὲ om QY^bZ^b. ‖ πιςεύοντες οὔτε πᾶσι … Z^b. ‖ 34. μόνον QY^bZ^b. ‖ καὶ — b 1. ἄμφω om QZ^b et pr Y^b.

2. τὸ om Z^b et pr Y^b. ‖ 8. ἄμφω om QZ^b et pr Y^b. ‖ 10. πέντε] καὶ πέντε QY^bZ^b. ‖ 11. περὶ τὰ ἑνὸς δεῖν] ἑνὸς δεῖ A^c. ‖ 12. καὶ ἀκμῆς] τῶν ἀκμῆς Q. ‖ 13. ἐςιν ἕκαςον QY^bZ^b. ‖ 14. δι'] καὶ A^c. ‖ 17. πάντες QY^bZ^b. ‖ 18. ἐντιμοτέρα Z^b. ‖ 19. τις … A^c. ‖ καταφρονητικοί Q et corr Y^b, καταφρονητική Z^b. ‖ 20. ἐστὶ om QY^bZ^b. ‖ τοῖς alterum om A^c. ‖ διὰ τὸ ταῦτα πόρρω QY^bZ^b. ‖ 21. καὶ] εἶναι καὶ QY^bZ^b. ‖ 23. τῆς] ἐκ τῆς QY^bZ^b. ‖ ὡς om QY^bZ^b. ‖ 25. τίς om QZ^b et pr Y^b. ‖ ἐςιν] ἐςι καὶ QY^bZ^b. ‖ 26. καὶ om QY^bZ^b. ‖ τὸ ἀγαθόν Q. ‖ 28. ἐξίςανται QZ^b. ‖ εὐφυῆ QY^bZ^b. ‖ 30. ἀβελτερίαν καὶ om QY^bZ^b. ‖ 31. οἱ om A^c. ‖ 33. τι om QY^bZ^b.

θὰ οὕτω διάκεινται· ὁ γὰρ πλοῦτος οἷον τιμή τις τῆς
τῶν ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ.
ρυφεροὶ καὶ σαλάκωνες, τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν
ὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ καὶ σόλοι-
ιὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ
αζόμενον ὑπ' αὐτῶν, καὶ τῷ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους
αὐτοί. ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσιν· πολλοὶ
εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων. ὅθεν καὶ τὸ Σιμωνίδου
ι περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν
ος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σο-
πλούσιον εἰπεῖν· τοὺς σοφοὺς γὰρ ἔφη ὁρᾶν ἐπὶ ταῖς τῶν
σίων θύραις διατρίβοντας. καὶ τὸ οἴεσθαι ἀξίους εἶναι
ιν· ἔχειν γὰρ οἴονται ὧν ἕνεκεν ἄρχειν ἄξιον. καὶ ὡς
φαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος ὁ πλοῦτός ἐστιν. δια-
δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ
τα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεο-
τους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον
καὶ ἀδικήματα ἀδικοῦσιν οὐ κακουργικά, ἀλλὰ τὰ μὲν
ικὰ τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ μοιχείαν.
Ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα
ρά ἐστιν ἤθη· τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει ἡ δύναμις
λούτῳ τὰ δὲ βελτίω· φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέ-
εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ ἐφίε-
ἔργων ὅσα ἔξουσί' αὐτοῖς πράττειν διὰ τὴν δύναμιν.
πουδαστικώτεροι διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζό-
σκοπεῖν τὰ περὶ τὴν δύναμιν. καὶ σεμνότεροι ἢ
τεροι· ποιεῖ γὰρ ἐμφανεστέρους τὸ ἀξίωμα, διὸ με-
ουσιν· ἔστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βα-
. κἂν ἀδικῶσιν, οὐ μικραδικηταί εἰσιν ἀλλὰ μεγαλά-
ἡ δ' εὐτυχία κατά τε μόρια τῶν εἰρημένων ἔχει τὰ
εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσαι εἶναι
ίαι, καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα
ὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. ὑπερηφανώ-
τεροι μὲν οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν, ἓν δ' ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσι πρὸς τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀγαθὰ ἀπὸ τῆς τύχης. περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν, οἷον πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνάτου.

Ἐπεὶ δ' ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστί 18 (περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου), ἔστι δέ, ἄν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ, οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες (οὐδὲν γὰρ ἧττον κριτής ὁ εἷς· ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς ἁπλῶς εἰπεῖν κριτής), ἐάν τε πρὸς ἀμφισβητοῦντα ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις, ὁμοίως· τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τἀναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται. ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς· ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν. ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων· τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ ὧν βουλεύονται. περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. ὥστε διωρισμένον ἂν εἴη πῶς τε καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον. ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσίν, ἐξ ὧν τὰς πίστεις φέρουσι καὶ συμβουλεύοντες καὶ ἐπιδεικνύμενοι καὶ ἀμφισβητοῦντες, ἔτι δ' ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισαι, λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ ἀναγκαῖον τὰ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις, καὶ τοὺς μὲν ὡς ἔσται τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι. ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων· χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες ἢ ἀποτρέποντες καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατη-

. γὰρ] δὲ Y^bZ^b. ‖ τῆς] ἐστι τῆς QY^bZ^b. ‖ 2. ἄλλων διαφαίνεται A^c. ‖ πάντα ὤνια QY^bZ^b. ‖ 3. διά τε τὴν Y^bZ^b. ‖ 6. τῷ] τὸ ‖ 7. ταῦτα QY^bZ^b. ‖ 8. εἰσιν om QY^bZ^b. ‖ 9. γυναῖκα τὴν] γυναῖκα τοῦ QY^bZ^b. ‖ 11. πλούσιον εἰπεῖν om QZ^b et pr Y^b. ‖ φοὺς QY^bZ^b. ‖ ἔφη post 12. θύραις QY^bZ^b, omisso διατρίβοντας. ‖ 13. ἕνεκα ἄξιον ἄρχειν QY^bZ^b. ‖ 14. ἦθος πλοῦτός A^c. ‖ ῖς τε νεωστὶ Y^bZ^b. ‖ τῷ] τὸ QZ^b. ‖ 16. φαυλότερον A^c. ‖ 19. ἀκρατεύματα QZ^b. ‖ 20. καὶ om QY^bZ^b. ‖ 21. τὰς αὐτὰς ἔχει ς A^c. ‖ 22. δὲ] δὲ καὶ QY^b. ‖ φιλότιμοι QY^bZ^b. ‖ φιλανδρωδέστεροί A^c. ‖ 23. εἰσι om QY^bZ^b. ‖ 26. ἢ] ἢ βραδύτεροι ἢ A^c. ‖ μνοτέρους A^c. ‖ 29. μικραδικητικοί QY^bZ^b. ‖ 30. εὐτυχία τὰ μόρια ἔχει τῶν εἰρημένων τὰ QY^bZ^b. ‖ 31. μέγισται om QY^bZ^b. ‖ ὰ om QZ^bA^c et pr Y^b.

. βέλτιον QY^bZ^b. ‖ 4. ἀγαθὰ om A^c. ‖ ὑπὸ $QY^bZ^bA^c$. ‖ 5. τὰ] τὰ μὲν Y^b. ‖ 7. ἀδυναμία Z^b et pr Y^b. ‖ 9. δεῖται Q, τοῦ Y^bZ^b. ‖ 10. χρώμενος τῷ λόγῳ QY^bZ^b. ‖ ἢ ἀποτρέπῃ om QZ^b et pr Y^b. ‖ 12. ὁ] ἐστιν QY^bZ^b. ‖ γὰρ om A^c. ‖ εἰπεῖν A^c. ‖ 13. πρὸς ἀμφ.] εἰς ἀμφ. A^c. ‖ 17. δὴ Q. ‖ μόνος ὡς ἁπλῶς ἐστὶ κριτὴς ὁ ἐν τοῖς πολιτικοῖς ἀγῶσι τὰ QY^bZ^b. ‖ 22. διωρι- Q. ‖ τε om A^c. ‖ τοὺς λόγους τοὺς ἠθικοὺς ποιήσομεν QY^bZ^b. ‖ 23. ἕτερόν τι τὸ τέλος ἦν QY^bZ^b. ‖ 24. καὶ om A^c. ‖ 26. ἐπιδει- ς QY^bZ^b. ‖ 27. τοὺς λόγους om Q. ‖ 29. τὰ] τὸ A^c. ‖ 31. πάντων QY^bZ^b. ‖ 33. ἢ ἀπ.] καὶ προτρέποντες καὶ ἀπ. QY^bY^b.

γοροῦντες ἢ ἀπολογούμενοι. τούτων δὲ διορισθέντων περί τε ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν, καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. ἔστι δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται, τὸ δὲ γεγονὸς τοῖς δικανικοῖς (περὶ τούτων γὰρ ἡ κρίσις), τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς.

19 Πρῶτον μὲν οὖν περὶ δυνατοῦ καὶ ἀδυνάτου λέγωμεν. ἂν δὴ τοὐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν, οἷον εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. καὶ εἰ τὸ ὅμοιον δυνατόν, καὶ τὸ ὅμοιον. καὶ εἰ τὸ χαλεπώτερον δυνατόν, καὶ τὸ ῥᾷον. καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι· χαλεπώτερον γὰρ καλὴν οἰκίαν ἢ οἰκίαν εἶναι. καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος· οὐδὲν γὰρ γίγνεται οὐδ' ἄρχεται γίγνεσθαι τῶν ἀδυνάτων, οἷον τὸ σύμμετρον τὴν διάμετρον εἶναι οὔτ' ἂν ἄρξαιτο γίγνεσθαι οὔτε γίγνεται. καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον, οἷον εἰ ἄνδρα γενέσθαι δυνατόν, καὶ παῖδα· πρότερον γὰρ ἐκεῖνο γίγνεται· καὶ εἰ παῖδα, καὶ ἄνδρα· ἀρχὴ γὰρ ἐκείνη. καὶ ὧν ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν· οὐδεὶς γὰρ τῶν ἀδυνάτων ἐρᾷ οὐδ' ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ. καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι, δυνατὸν ταῦτα καὶ εἶναι καὶ γενέσθαι. καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν ἢ πείσαιμεν· ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι. καὶ ὧν τὰ μέρη δυνατά, καὶ τὸ ὅλον. καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ· εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτών. καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ τριήρη, καὶ εἰ τριήρη, καὶ πλοῖον. καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ ἥμισυ, καὶ εἰ ἥμισυ, καὶ διπλάσιον. καὶ εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δυνατὸν γενέσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν· ὅθεν καὶ Ἀγάθωνι εἴρηται

καὶ μὴν τὰ μέν γε τῇ τύχῃ πράσσειν, τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τέχνῃ προσγίγνεται.

καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον, ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. περὶ δὲ ἀδυνάτου δῆλον ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει. εἰ δὲ γέγονεν ἢ μὴ γέγονεν, ἐκ τῶνδε σκεπτέον. πρῶτον μὲν γάρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον. καὶ εἰ τὸ ὕστερον εἰωθὸς γίγνεσθαι γέγονεν, καὶ τὸ πρότερον γέγονεν, οἷον εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦτο. καὶ εἰ ἐδύνατο καὶ ἐβούλετο, πέπραχεν· πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν· ἐμποδὼν γὰρ οὐδέν. ἔτι εἰ ἐβούλετο καὶ μηδὲν τῶν ἔξω ἐκώλυεν, καὶ εἰ ἐδύνατο καὶ ὠργίζετο, καὶ εἰ ἐδύνατο καὶ ἐπεθύμει· ὡς γὰρ ἐπὶ τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, καὶ ποιοῦσιν, οἱ μὲν φαῦλοι δι' ἀκρασίαν, οἱ δ' ἐπιεικεῖς ὅτι τῶν ἐπιεικῶν ἐπιθυμοῦσιν. καὶ εἰ ἔμελλε γίγνεσθαι, καὶ ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι. καὶ εἰ γέγονεν ὅσα πεφύκει πρὸ ἐκείνου ἢ ἕνεκα ἐκείνου, οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ ἐπείρασε, καὶ ἔπραξεν. καὶ εἰ ὅσα ὕστερον πεφύκει γίγνεσθαι ἢ οὗ ἕνεκα γίγνεται γέγονεν, καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονεν, οἷον εἰ ἐβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξε, καὶ ἐπείρασεν. ἔστι δὲ τούτων ἁπάντων τὰ μὲν ἐξ ἀνάγκης τὰ δ' ὡς ἐπὶ τὸ πολὺ οὕτως ἔχοντα. περὶ δὲ τοῦ μὴ γεγονέναι φανερὸν ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις. καὶ περὶ τοῦ

1. τε] τῶν A^c. ‖ 2. εἴ τι ἔχομεν om QY^bZ^b. ‖ 3. ἀποτελέσωμεν QY^bZ^b. ‖ 5. γένος A^c. ‖ 8. δυνατῶν καὶ ἀδυνάτων QY^bZ^b. ‖ 9. τοὐναντίον ᾖ εἶναι δυνατὸν ἢ Q. ‖ 10. ἂν δόξειεν QY^bZ^b. ‖ ὑγιασθῆναι ἄνθρωπον QY^bZ^b. ‖ 13. ἀνόμοιον Q. ‖ 14. εἰ σπουδαῖον ἢ καλὸν QY^bZ^b. ‖ 15. γενέσθαι δυνατόν QY^bZ^b. ‖ 16. εἶναι] γενέσθαι QY^bZ^b. ‖ δυνατὴ QY^bZ^b. ‖ 19. γίγνεσθαι Q. ‖ 20. δεύτερον Q, ὕστερον Y^bZ^b. ‖ 22. κἀκεῖνο A^c. ‖ 23. ἀρχὴ] καὶ ἀρχὴ A^c. ‖ 24. ὧν] ὧν ἡ A^c. ‖ 26. δυνατὰ ταῦτα καὶ ἔστιν καὶ γίγνεται A^c. ‖ 27. ἃ] ἃ καὶ QY^bZ^b. ‖ 28. ἂν ἢ] ἂν καὶ QY^bZ^b. ‖ 29. ὅλον] ὅλον δυνατόν QY^bZ^b. ‖ 30. καὶ ὧν τὸ ὅλον δυνατόν om Z^b. ‖ 31. εἴτε QY^bZ^b. ‖ 31 et 33. πρόσχιμα Q. ‖ 33. προσχίσματα A^c. ‖ καὶ χιτών om Y^bA^c.

1. ὅλων Q. ‖ καὶ εἰ τὸ εἶδος om A^c. ‖ 3. καὶ εἰ τριήρη om Y^b. ‖ 5. καὶ ante διπλάσιον om A^c. ‖ 6. καὶ] ἢ QY^bZ^b. ‖ γίγνεσθαι A^c, γενέσθαι τι QY^bZ^b. ‖ 8. πράσσει A^c. ‖ 9. τύχῃ $Y^bZ^bA^c$. ‖ 10. εἰ] τὸ QY^bZ^b. ‖ χείροσιν ἢ ἥττοσιν ἢ QY^bZ^b. ‖ 12. [illegible] QY^bZ^b. ‖ 13. ἀδυνάτων QY^bZ^b. ‖ 14. ἢ μὴ γέγονεν om A^c. ‖ 15. γάρ om QY^bZ^b. ‖ πεφυκὸς γίγνεσθαι Y^b. ‖ 16. καὶ τὸ μᾶλλον πεφυκὸς γεγονὸς ἂν εἴη. καὶ QY^bZ^b. ‖ 19. καὶ εἰ ἐβούλετο A^c. ‖ πέπραγε QY^bZ^b. ‖ 20. ἔτι] καὶ QY^bZ^b. ‖ 21. δυνατὸν A^c. ‖ καὶ — 22. ἐδύνατο om Z^b. ‖ 21. ὠργίζετο] ἐπεθύμει Q. ‖ 22. ἐπεθύμει] ὠργίζετο Q. ‖ 23. καὶ om A^c. ‖ 24. οἱ] εἰ Q. ‖ 26. [illegible] QY^bZ^b. ‖ ὅσα] ὅσα ἢ A^c. ‖ 28. ἔπρασε rc Y^b. ‖ πέφυκε QY^bZ^b. ‖ 29. καὶ εἰ τὸ QY^bZ^b. ‖ τὸ om QY^bZ^b. ‖ 30. γέγονεν] πρότερον τούτου γίγνεται QY^bZ^b. ‖ εἰ post οἷον om Q. ‖ καὶ post ἔπραξε om A^c. ‖ 33. ὅτι om QY^bZ^b.

ἐσομένου ἐκ τῶν αὐτῶν δῆλον· τό τε γὰρ ἐν δυνάμει καὶ βουλήσει ὂν ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα. διὰ ταῦτα καὶ εἰ ἐν ὁρμῇ του ποιεῖν ἢ μελλήσει, ἔσται· ὡς γὰρ ἐπὶ τὸ πολὺ γίγνεται μᾶλλον τὰ μέλλοντα ἢ τὰ μὴ μέλλοντα. καὶ εἰ προγέγονεν ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι. καὶ εἰ τὸ ἕνεκα τούτου γέγονεν, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία. περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων καὶ μείζονός τε καὶ ἐλάττονος καὶ ὅλως μεγάλων καὶ μικρῶν ἐκ τῶν προειρημένων ἡμῖν ἐστὶ φανερόν· εἴρηται γὰρ ἐν τοῖς συμβουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν καὶ περὶ τοῦ μείζονος ἁπλῶς καὶ ἐλάττονος. ὥστ' ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον, φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσιν. τὸ δὲ παρὰ ταῦτά τι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς κενολογεῖν ἐστίν· κυριώτερα γάρ ἐστι πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων. περὶ μὲν οὖν δυνατοῦ καὶ ἀδυνάτου, καὶ πότερον γέγονεν ἢ οὐ γέγονεν καὶ ἔσται ἢ οὐκ ἔσται, ἔτι δὲ περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα.

20 Λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπείπερ εἴρηται περὶ τῶν ἰδίων. εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει, παράδειγμα καὶ ἐνθύμημα· ἡ γὰρ γνώμη μέρος ἐνθυμήματός ἐστιν. πρῶτον μὲν οὖν περὶ παραδείγματος λέγωμεν· ὅμοιον γὰρ ἐπαγωγῇ τὸ παράδειγμα, ἡ δ' ἐπαγωγὴ ἀρχή. παραδειγμάτων δ' εἴδη δύο· ἓν μὲν γάρ ἐστι παραδείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα, ἓν δὲ τὸ αὐτὸν ποιεῖν. τούτου δ' ἓν μὲν παραβολὴ ἓν δὲ λόγοι, οἷον οἱ Αἰσώπειοι καὶ Λιβυκοί. ἔστι δὲ τὸ μὲν παράδειγμα τοιόνδε τι, ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι· καὶ γὰρ Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον λαβεῖν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησε πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη· ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται· διὸ οὐκ ἐπιτρεπτέον. παραβολὴ δὲ τὰ Σωκρατικά, οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν· ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη μὴ οἳ ἂν δύνωνται ἀγωνίζεσθαι ἀλλ' οἳ ἂν λάχωσιν, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς δέον τὸν λαχόντα ἀλλὰ μὴ τὸν ἐπιστάμενον. λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φαλάριδος καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ. Στησίχορος μὲν γάρ, ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἆλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον ὡς ἵππος κατεῖχε λειμῶνα μόνος, ἐλθόντος δ' ἐλάφου καὶ διαφθείροντος τὴν νομὴν βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον ἠρώτα τὸν ἄνθρωπον εἰ δύναιτ' ἂν μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον, ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια· συνομολογήσαντος δὲ καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ. "οὕτω δὲ καὶ ὑμεῖς" ἔφη "ὁρᾶτε μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι." Αἴσωπος δὲ ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου ἔφη ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δ' ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς· ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτήν, κατοικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς· τὴν δὲ οὐκ ἐᾶν· ἐρομένου δὲ διὰ τί, ὅτι οὗτοι μὲν φάναι ἤδη μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. "ἀτὰρ καὶ ὑμᾶς" ἔφη, "ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει (πλούσιος γάρ ἐστιν)· ἐὰν δὲ τοῦτον

Κοινὰ πίσ

1. καὶ ἐν βουλήσει A^c. ‖ 2. τά] τὸ QY^bZ^b, et 3. ὄν. ‖ 3. διὰ et εἰ om A^c. ‖ 5. μέλλοντα ante ἢ om A^c. ‖ εἰ om Q. ‖ 6. πέφυκε QY^bZ^b. ‖ 7. γεγονὸς QY^bZ^b. ‖ 8. καὶ ante οἰκία et 9. ante μείζονός om QY^bZ^b. ‖ 13. ἐπὶ τὸ καθ' ἕκαστον τῶν λόγων τῶν προκειμένων A^c. ‖ 14. οἷον εἰ τὸ QY^bZ^b. ‖ 15. τὸ om QY^bZ^b. ‖ 16. ἔτι A^c. ‖ 18. ἕκαστον QY^bZ^b. ‖ 19. ἤ] καὶ Q. ‖ 25. μὲν om QY^bZ^b. ‖ 27. δύο] δύο ἐστὶν QY^bZ^b. ‖ 30. λιβύης Q, λιβύες Y^bZ^b. ‖ 31. παράδειγμα] παραδείγματα λέγειν A^c. ‖ 33. γάρ] γὰρ πρότερον A^c.

1. λαβεῖν] ἔλαβεν A^c. ‖ καὶ — 2. διέβη om QY^bZ^b. ‖ 2. καὶ om Q. ‖ οὗτος ἐάν] νῦν ἂν QY^bZ^b. ‖ 3. λάβοι Y^bZ^b, omisso διαβήσεται. ‖ δὲ] δὲ καὶ QY^bZ^b. ‖ 4. δεῖ τοὺς κληρωτοὺς QY^bZ^b. ‖ 5. ἂν om QY^bZ^b. ‖ 6. οἱ μὴ δύνανται A^c. ‖ 7. ὅτινα A^c. ‖ δέον] οὐ δέον A^c, δεῖ QZ^b. ‖ 8. μὴ om A^c. ‖ δέ om QY^bZ^b. ‖ 9. πρὸς φάλαριν QY^bZ^b. ‖ δημηγόρου QZ^b et pr Y^b. ‖ 14. διαφθείραντος QZ^b. ‖ 15. τινὰ A^c. ‖ ἂν om QY^bZ^b. ‖ αὐτὸν τιμωρήσασθαι A^c. ‖ 16. δὲ φησιν QY^bZ^b. ‖ λάβῃς Y^bZ^b. ‖ 17. συνωμολογήσαντο Q. ‖ 18. ἤδη om A^c. ‖ 19. ὁρᾶτε φησὶ μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι ταυτὰ QY^bZ^b. ‖ 20. τὸν] τὸ A^c. ‖ 21. ἤδη ἔχετε QY^bZ^b. ‖ 22. δὲ] δὲ καὶ QY^bZ^b. ‖ δουλεύετε QZ^b. ‖ 23. Σάμῳ] μέσῳ Q. ‖ δημηγορῶν κρινομένῳ δημαγωγῷ A^c. ‖ 25. δ' om Z^b. ‖ 26 et 28. κυνορραϊστὰς corr Y^b. ‖ 29. φάναι (φάναι μὲν Z^b) ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη QY^bZ^b. ‖ 31. τοῦτο pr Y^b. ‖ ἀφέληται A^c. ‖ 32. καὶ] οὖν καὶ QY^bZ^b. ‖ ἔφη ὦ om A^c. ‖ 33. βλάπτει QY^bZ^b.

ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἱ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες." εἰσὶ δ' οἱ λόγοι δημηγορικοί, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν, ὅπερ ῥᾷόν ἐστιν ἐκ φιλοσοφίας. ῥᾴω μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων· ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν. δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι μὴ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν (ἡ γὰρ πίστις διὰ τούτων), ἔχοντα δὲ ὡς μαρτυρίοις, ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασιν· προτιθέμενα μὲν γὰρ ἔοικεν ἐπαγωγῇ, τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις, ἐπιλεγόμενα δὲ μαρτυρίοις, ὁ δὲ μάρτυς πανταχοῦ πιθανός. διὸ καὶ προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν, ἐπιλέγοντι δὲ καὶ ἓν ἱκανόν· μάρτυς γὰρ πιστὸς καὶ εἷς χρήσιμος. πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον, εἴρηται.

21 Περὶ δὲ γνωμολογίας, ῥηθέντος τί ἐστι γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις. ἔστι δὲ γνώμη ἀπόφανσις, οὐ μέντοι περὶ τῶν καθ' ἕκαστον, οἷον ποῖός τις Ἰφικράτης, ἀλλὰ καθόλου· καὶ οὐ περὶ πάντων καθόλου, οἷον ὅτι τὸ εὐθὺ τῷ καμπύλῳ ἐναντίον, ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν. ὥστ' ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τούτων συλλογισμός ἐστι σχεδόν, τά τε συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν, οἷον

χρὴ δ' οὔ ποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνήρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

τοῦτο μὲν οὖν γνώμη· προστεθείσης δὲ τῆς αἰτίας καὶ τοῦ διὰ τί, ἐνθύμημά ἐστι τὸ ἅπαν, οἷον

χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας,
φθόνον παρ' ἀστῶν ἀλφάνουσι δυσμενῆ.

καὶ τὸ

οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.

καὶ τὸ

οὐκ ἔστιν ἀνδρῶν ὅστις ἔστ' ἐλεύθερος

γνώμη, πρὸς δὲ τῷ ἐχομένῳ ἐνθύμημα·

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.

εἰ δή ἐστι γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἴδη γνώμης· ἢ γὰρ μετ' ἐπιλόγου ἔσται ἢ ἄνευ ἐπιλόγου. δείξεως μὲν οὖν δεόμεναί εἰσιν ὅσαι παράδοξόν τι λ ἢ ἀμφισβητούμενον· ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ λόγου. τούτων δ' ἀνάγκη τὰς μὲν διὰ τὸ προεγνῶσθαι δὲν δεῖσθαι ἐπιλόγου, οἷον

ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ·

φαίνεται γὰρ τοῖς πολλοῖς οὕτω· τὰς δ' ἅμα λεγομ δήλας εἶναι ἐπιβλέψασιν, οἷον

οὐδεὶς ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ.

τῶν δὲ μετ' ἐπιλόγου αἱ μὲν ἐνθυμήματος μέρος ὥσπερ "χρὴ δ' οὔ ποθ' ὅστις ἀρτίφρων," αἱ δ' ἐνθυμη καὶ μέν, οὐκ ἐνθυμήματος δὲ μέρος· αἵπερ καὶ μάλ εὐδοκιμοῦσιν. εἰσὶ δ' αὗται ἐν ὅσαις ἐμφαίνεται τοῦ λ μένου τὸ αἴτιον, οἷον ἐν τῷ "ἀθάνατον ὀργὴν μὴ φύλ θνητὸς ὤν·" τὸ μὲν γὰρ φάναι μὴ δεῖν ἀεὶ φυλάττειν ὀργὴν γνώμη, τὸ δὲ προσκείμενον "θνητὸν ὄντα" τὸ δι λέγει. ὅμοιον δὲ καὶ τὸ "θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀ νατα τὸν θνατὸν φρονεῖν." φανερὸν οὖν ἐκ τῶν εἰρημ πόσα τε εἴδη γνώμης, καὶ περὶ ποῖον ἕκαστον ἁρμότ περὶ μὲν γὰρ τῶν ἀμφισβητουμένων ἢ παραδόξων μὴ ἄ ἐπιλόγου, ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆ τῷ συμπεράσματι, οἷον εἴ τις εἴποι "ἐγὼ μὲν οὖν, ἐπε οὔτε φθονεῖσθαι δεῖ οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι π δεύεσθαι," ἢ τοῦτο προειπόντα ἐπειπεῖν τὰ ἔμπροσθεν. τ δὲ τῶν μὴ παραδόξων ἀδήλων δέ, προστιθέντα τὸ δ στρογγυλώτατα. ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λ κωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἰ

5. ὅπως Q. ‖ 6. ῥᾷον A^c. ‖ 9. μὴ] οὐκ A^c. ‖ 10. ἀποδείξεις Q. ‖ ἡ — 11. τούτων om QZ^b et pr Y^b. ‖ 11. ἐπιλόγοις χρώ ἐπὶ τοῖς QY^bZ^b. ‖ 12. ἐπαγωγαῖς QY^bZ^b. ‖ 13. ἐπαγωγῆς Z^b. ‖ ἐν om Q. ‖ ἐπιλεγόμενον Z^b. ‖ 14. διότι plerique. ‖ 16. π χρηστέον A^c. ‖ 20. γίνηται Z^b. ‖ 21. δὲ] δ' ἡ A^c. ‖ 22. ἀπόφασις Y^bZ^b. ‖ περὶ] οὔτε περὶ A^c. ‖ 23. καὶ οὐ] οὔτε QY^bZ^b. ‖ καὶ καθόλου Q, om A^c. ‖ 25. ἐστι] εἰσι Q. ‖ πράσσειν QY^bZ^b. ‖ 27. τε om A^c. ‖ 32. ἔσται QY^bZ^b. ‖ 34. πρὸς ἀνδρῶν ἀμφ QY^bZ^b.

1. τὸ om QY^bZ^b. ‖ 5. γνώμη — ἐνθύμημα om QY^bZ^b. ‖ 7. εἶναι γνώμης εἴδη QY^bZ^b. ‖ 8. δίχα Y^b. ‖ 9. εἰσιν] εἰσιν αἱ ἄνευ ἐπιλόγου QY^bZ^b. ‖ ὅσαι — 10. ἀμφισβητούμενον om QZ^b. ‖ 11. ταῖς Y^b. ‖ 14. γὰρ] μὲν γὰρ A^c. ‖ 16. ἐρασθεὶς ὅστις οὐχὶ καὶ φ. A 18. post ἀρτίφρων QY^bZ^b πέφυκ' ἀνήρ. ‖ 19. μὲν om Y^b. ‖ 21. τῷδε et φύλαττε et 22. μὴ φάναι QY^bZ^b. ‖ 22. ἀεὶ om A^c. ‖ προκείμενον Q. ‖ θνητὸν] τὸ θνητὸν QY^bZ^b. ‖ 24. λέγει om A^c. ‖ ὁμοίως A^c. ‖ τὸ om A^c. ‖ θνητὰ χρὴ τὸν θνητὸν A^c. ‖ 25. τὸν QY^bZ^b. ‖ θνητὸν A^c, om Q. ‖ 27. μὲν om QY^bZ^b. ‖ 28. προσθέντα QZ^bA^c. ‖ 30. χρῆναι] χρὴ QY^bZ^b. ‖ 31. ἔτι αὐτῶν A^c. ‖ ἀδήλου Z^b. ‖ προτιθέντα corr Y^b. ‖ 33. στρογγυλώτατον Y^bZ^b. ‖ 34. τὰ om QY^bZ^b.

ὅπερ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι ὐ δεῖ ὑβριςὰς
ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν. ἁρμόττει δὲ
ολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέροις, περὶ δὲ τούτων ὧν
ρός τις ἐςίν, ὡς τὸ μὲν μὴ τηλικῦτον ὄντα γνωμο-
ν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολογεῖν, περὶ δ' ὧν
ος, ἠλίθιον καὶ ἀπαίδευτον. σημεῖον δ' ἱκανόν· οἱ γὰρ
κοι μάλιςα γνωμοτύποι εἰσὶ καὶ ῥᾳδίως ἀποφαίνον-
καθόλυ δὲ μὴ ὄντος καθόλυ εἰπεῖν μάλιςα ἁρμόττει
ςετλιασμῷ καὶ δεινώσει, καὶ ἐν τούτοις ἢ ἀρχόμενον
οδείξαντα. χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ
ὶς γνώμαις, ἐὰν ὦσι χρήσιμοι· διὰ γὰρ τὸ εἶναι
, ὡς ὁμολογύντων ἁπάντων, ὀρθῶς ἔχειν δοκῦσιν, οἷον
καλῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ θυσαμένυς "εἷς οἰωνὸς
ος ἀμύνεσθαι περὶ πάτρης," καὶ ἐπὶ τὸ ἥττυς ὄντας
ς Ἐνυάλιος," καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ
καὶ μηδὲν ἀδικοῦντα "νήπιος ὃς πατέρα κτείνας
ις καταλείπει." ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί·
οἷον παροιμία "Ἀττικὸς πάροικος." δεῖ δὲ τὰς γνώ-
λέγειν καὶ παρὰ τὰ δεδημοσιευμένα (λέγω δὲ δεδη-
υμένα οἷον τὸ γνῶθι σαυτόν καὶ τὸ μηδὲν ἄγαν),
ἢ τὸ ἦθος φαίνεσθαι μέλλῃ βέλτιον, ἢ παθητικῶς
ένη ᾖ. ἔστι δὲ παθητικὴ μέν, οἷον εἴ τις ὀργιζόμενος
ψεῦδος εἶναι ὡς δεῖ γιγνώσκειν αὐτόν· ὗτος γῦν εἰ
ωσκεν ἑαυτόν, ὐκ ἄν ποτε ςρατηγεῖν ἠξίωσεν. τὸ δὲ
βέλτιον, ὅτι ὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσον-
ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας. δεῖ δὲ τῇ λέξει
ροαίρεσιν συνδηλῦν, εἰ δὲ μή, τὴν αἰτίαν ἐπιλέγειν,
οὕτως εἰπόντα, ὅτι "δεῖ φιλεῖν οὐχ ὥσπερ φασίν,
ὡς ἀεὶ φιλήσοντα· ἐπιβούλυ γὰρ θάτερον," ἢ ὧδε
ἀρέσκει δέ μοι τὸ λεγόμενον· δεῖ γὰρ τόν γ' ἀληθι-
ίλον ὡς φιλήσοντα ἀεὶ φιλεῖν." καὶ "οὐδὲ τὸ μηδὲν
δεῖ γὰρ τύς γε κακὺς ἄγαν μισεῖν." ἔχυσι δ' εἰς

τὺς λόγυς βοήθειαν μεγαλην μίαν μὲν δὴ διὰ τὴν φορτι-
κότητα τῶν ἀκροατῶν· χαίρυσι γάρ, ἐάν τις καθόλυ λέγων
ἐπιτύχῃ τῶν δοξῶν ἃς ἐκεῖνοι κατὰ μέρος ἔχυσιν. ὃ δὲ
λέγω, δῆλον ἔςαι ὧδε, ἅμα δὲ καὶ πῶς δεῖ αὐτὰς θη-
ρεύειν. ἡ μὲν γὰρ γνώμη, ὥσπερ εἴρηται, ἀπόφανσις κα-
θόλυ ἐςιν, χαίρυσι δὲ καθόλυ λεγομένυ ὃ κατὰ μέρος προϋ-
πολαμβάνοντες τυγχάνυσιν· οἷον εἴ τις γείτοσι τύχοι κε-
χρημένος ἢ τέκνοις φαύλοις, ἀποδέξαιτ' ἂν τοῦ εἰπόντος
ὅτι ὐδὲν γειτονίας χαλεπώτερον, ἢ ὅτι οὐδὲν ἠλιθιώτερον
τεκνοποιίας. ὥςε δεῖ στοχάζεσθαι πῶς τυγχάνουσι ποῖα
προϋπολαμβάνοντες, εἶθ' οὕτω περὶ τύτων καθόλυ λέγειν.
ταύτην τε δὴ ἔχει μίαν χρῆσιν τὸ γνωμολογεῖν, καὶ ἑτέ-
ραν κρείττω· ἠθικὺς γὰρ ποιεῖ τὺς λόγυς. ἦθος δ' ἔχυσιν
οἱ λόγοι, ἐν ὅσοις δήλη ἡ προαίρεσις. αἱ δὲ γνῶμαι πᾶσαι
τῦτο ποιῦσι διὰ τὸ ἀποφαίνεσθαι τὸν τὴν γνώμην λέγοντα
καθόλυ περὶ τῶν προαιρετῶν, ὥς' ἂν χρηςαὶ ὦσιν αἱ γνῶ-
μαι, καὶ χρηςοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα. περὶ
μὲν ὖν γνώμης, καὶ τί ἐςι καὶ πόσα εἴδη αὐτῆς καὶ πῶς
χρηςέον αὐτῇ καὶ τίνα ὠφέλειαν ἔχει, εἰρήσθω τοσαῦτα.

Περὶ δ' ἐνθυμημάτων καθόλυ τε εἴπωμεν, τίνα τρόπον 22
δεῖ ζητεῖν, καὶ μετὰ ταῦτα τὺς τόπυς· ἄλλο γὰρ εἶδος
ἑκατέρυ τύτων ἐςίν. ὅτι μὲν ὖν τὸ ἐνθύμημα συλλογισμός
τις ἐςίν, εἴρηται πρότερον, καὶ πῶς συλλογισμός, καὶ τί
διαφέρει τῶν διαλεκτικῶν· ὔτε γὰρ πόρρωθεν οὔτε πάντα
δεῖ λαμβάνοντας συνάγειν· τὸ μὲν γὰρ ἀσαφὲς διὰ τὸ
μῆκος, τὸ δὲ ἀδολεσχία διὰ τὸ φανερὰ λέγειν. τῦτο γὰρ
αἴτιον καὶ τῦ πιθανωτέρυς εἶναι τὺς ἀπαιδεύτυς τῶν πεπαι-
δευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς
ἀπαιδεύτους παρ' ὄχλῳ μυσικωτέρως λέγειν· οἱ μὲν γὰρ
τὰ κοινὰ καὶ καθόλυ λέγυσιν, οἱ δ' ἐξ ὧν ἴσασι, καὶ τὰ
ἐγγύς. ὥς' οὐκ ἐξ ἁπάντων τῶν δοκύντων ἀλλ' ἐκ τῶν
ὡρισμένων λεκτέον, οἷον ἢ τοῖς κρίνυσιν ἢ ὓς ἀποδέχονται.

: πρεσβυτέρῳ Q, πρεσβυτέρων A^c. ‖ 4. ἐςίν om QY^bZ^b. ‖ 5. περὶ δ'] τὸ δὲ περὶ QY^bZ^b. ‖ 8. μάλιςα om QZ^b. ‖ ἁρμόττειν Q. ‖
θρυλλημέναις QY^bZ^b. ‖ 11. τὸ γὰρ et 12. πάντων A^c. ‖ 13. ἐπὶ] εἰς QY^bZ^b. ‖ 16. καὶ om QY^bZ^b. ‖ κτείνων A^c. ‖ 17. κα-
ι QZ^b. ‖ 18. παροιμίαι γς Y^b, μαρτυρίαι QY^bZ^b. ‖ δὲ] δὲ καὶ Y^b. ‖ 19. παρὰ τὰ] πάντα A^c. ‖ 21. φαίνεσθαι μέλλοι Z^b, μέλλῃ
ιαι Y^b. ‖ 22. εἰρημένον ἐςιν QY^bZ^b, εἰρημένη A^c. ‖ παθητικῶς QY^bZ^b. ‖ οἷον om QY^bZ^b. ‖ 23. φαίη] καὶ φαίη YZ^b et pr
γῦν] ὖν QY^bZ^b. ‖ 25. μισήσοντα QY^bZ^b. ‖ 26. φιλήσαντας A^c, φιλήσοντα QY^b, φιλήσαντα Z^b. ‖ ἕξει QZ^b. ‖ 27. δηλῦν Q
‖ 28. ἢ om A^c. ‖ δεῖ] δεῖ δὲ A^c. ‖ 29. ἐπιβουλεύει Q. ‖ 30. ἀρκέσει Z^b et pr Y^b. ‖ γ' om A^c. ‖ 32. τε A^c.
. μὲν corr Y^b. ‖ δὴ om A^c. ‖ φορτικωτάτην QZ^b. ‖ 3. τῶν – 4. δὲ om Q. ‖ 3. δὴ QY^bZ^b. ‖ 4. αὐτὸς QZ^b. ‖ 5. καθόλυ
σίς QY^bZ^b. ‖ 6. λεγομένων Q. ‖ ἃ A^c. ‖ ὑπολαμβάνοντες QY^bZ^b. ‖ 7. τύχῃ QY^bZ^b. ‖ 9. ὅτι om A^c. ‖ γειτονείας QA^c. ‖
ῖα τυγχάνουσι, omisso πῶς, QY^bZ^b. ‖ 11. οὕτως εἶτα QZ^b. ‖ 12. τε δεῖ QY^bZ^b, δὲ δὴ A^c. ‖ ἔχειν μίαν χρῆσιν A^c, μίαν χρῆσιν
QY^bZ^b. ‖ τῦ QZ^b et pr Y^b. ‖ 14. οἱ om QY^bZ^b. ‖ ὅσοις] οἷς QZ^b et pr Y^b. ‖ δὲ] γὰρ QZ^b et pr Y^b. ‖ 16. προαιρέσεων
corr Y^b. ‖ 18. ταύτης A^c. ‖ πότε QY^bZ^b. ‖ 19. αὐταῖς QY^bZ^b. ‖ ταῦτα A^c. ‖ 22. ἑκάτερον A^c. ‖ 23. τις om A^c. ‖ εἰρη-
συλλογισμός om Z^b. ‖ 25. λαμβάνοντα QY^bZ^b. ‖ ἀσφαλὲς Q. ‖ 27. τῦ] τὸ Z^b. ‖ 28. οἱ ποιηταί φασιν QY^bZ^b. ‖ 29. μυσι-
; A^c et corr Y^b. ‖ 30. καὶ τὰ καθόλυ QY^bZ^b. ‖ 32. κρινῦσιν A^c.

καὶ τοῦτο δ', ὅτι οὕτω φαίνεται, δῆλον εἶναι ἢ πᾶσιν ἢ τοῖς πλείστοις. καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ. πρῶτον μὲν οὖν δεῖ λαβεῖν ὅτι περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι εἴτε πολιτικῷ συλλογισμῷ εἴθ' ὁποιῳοῦν, ἀναγκαῖον καὶ τὰ τούτῳ ἔχειν ὑπάρχοντα, ἢ πάντα ἢ ἔνια· μηδὲν γὰρ ἔχων ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν. λέγω δ' οἷον πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις εἰ πολεμητέον ἢ μὴ πολεμητέον, μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν, πότερον ναυτικὴ ἢ πεζικὴ ἢ ἄμφω, καὶ αὕτη πόση, καὶ πρόσοδοι τίνες ἢ φίλοι καὶ ἐχθροί, ἔτι δὲ τίνας πολέμους πεπολεμήκασι καὶ πῶς, καὶ τἆλλα τὰ τοιαῦτα; ἢ ἐπαινεῖν, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἢ τὴν ἐν Μαραθῶνι μάχην ἢ τὰ ὑπὲρ Ἡρακλειδῶν πραχθέντα ἢ ἄλλο τι τῶν τοιούτων; ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν ἐπαινοῦσι πάντες. ὁμοίως δὲ καὶ ψέγουσιν ἐκ τῶν ἐναντίων, σκοποῦντες τί ὑπάρχει τοιοῦτον αὐτοῖς ἢ δοκεῖ ὑπάρχειν, οἷον ὅτι τοὺς Ἕλληνας κατεδουλώσαντο, καὶ τοὺς πρὸς τὸν βάρβαρον συμμαχεσαμένους καὶ ἀριστεύσαντας ἠνδραποδίσαντο Αἰγινήτας καὶ Ποτιδαιάτας, καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ εἴ τι ἄλλο τοιοῦτον ἁμάρτημα ὑπάρχει αὐτοῖς. ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες καὶ οἱ ἀπολογούμενοι ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι κατηγοροῦσι καὶ ἀπολογοῦνται. οὐδὲν δὲ διαφέρει περὶ Ἀθηναίων ἢ Λακεδαιμονίων ἢ ἀνθρώπου ἢ θεοῦ ταὐτὸ τοῦτο δρᾶν· καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ καὶ ἐπαινοῦντα καὶ ψέγοντα καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον ὑπὲρ αὐτοῦ τὰ ὑπάρχοντα ἢ δοκοῦντα ὑπάρχειν ληπτέον, ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες εἴ τι καλὸν ἢ αἰσχρὸν ὑπάρχει, κατηγοροῦντες δ' ἢ ἀπολογούμενοι εἴ τι δίκαιον ἢ ἄδικον, συμβουλεύοντες δ' εἴ τι συμφέρον ἢ βλαβερόν. ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν, οἷον περὶ δικαιοσύνης, εἰ ἀγαθὸν ἢ μὴ ἀγαθόν, ἐκ τῶν ὑπαρχόντων τῇ δικαιοσύνῃ καὶ τῷ ἀγαθῷ. ὥστ' ἐπειδὴ καὶ πάντες οὕτω φαίνονται ἀποδεικνύντες, ἐάν τε ἀκριβέστερον ἐάν τε μαλακώτερον συλλογίζωνται (οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων, καὶ διὰ τοῦ λόγου δῆλον ὅτι ἀδύνατον ἄλλως δεικνύναι), φανερὸν ὅτι ἀναγκαῖον, ὥσπερ ἐν τοῖς τοπικοῖς, πρῶτον περὶ ἕκαστον ἔχειν ἐξειλεγμένα περὶ τῶν ἐνδεχομένων καὶ τῶν ἐπικαιροτάτων, περὶ δὲ τῶν ἐξ ὑπογυίου γιγνομένων ζητεῖν τὸν αὐτὸν τρόπον, ἀποβλέποντα μὴ εἰς ἀόριστα ἀλλ' εἰς τὰ ὑπάρχοντα, περὶ ὧν ὁ λόγος, καὶ περιγράφοντας ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος· ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχηται τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον δεικνύναι, ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα καὶ ἧττον κοινά. λέγω δὲ κοινὰ μὲν τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος καὶ ὅτι τῶν ἡμιθέων καὶ ὅτι ἐπὶ τὸ Ἴλιον ἐστρατεύσατο· ταῦτα γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς, ὥστ' οὐδὲν μᾶλλον ὁ τοιοῦτος Ἀχιλλέα ἐπαινεῖ ἢ Διομήδην. ἴδια δὲ ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων καὶ τὸν Κύκνον, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν ἄτρωτος ὤν, καὶ ὅτι νεώτατος καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσεν, καὶ ὅσα ἄλλα τοιαῦτα. εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς καὶ πρῶτος οὗτος ὁ τοπικός, τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν· στοιχεῖον δὲ λέγω καὶ τόπον ἐνθυμήματος τὸ αὐτό. πρῶτον δ' εἴπωμεν περὶ ὧν ἀναγκαῖον εἰπεῖν πρῶτον. ἔστι γὰρ τῶν ἐνθυμημάτων εἴδη δύο· τὰ μὲν γὰρ δεικτικά ἐστιν ὅτι ἔστιν ἢ οὐκ ἔστιν, τὰ δ' ἐλεγκτικά· καὶ διαφέρει ὥσπερ ἐν τοῖς διαλεκτικοῖς ἔλεγχος καὶ συλλογισμός. ἔστι δὲ τὸ μὲν δεικτικὸν ἐνθύμημα τὸ ἐξ ὁμολογουμένων συνάγειν, τὸ δὲ ἐλεγκτικὸν τὸ τὰ ἀνομολογούμενα συνάγειν. σχεδὸν μὲν οὖν ἡμῖν περὶ ἑκάστων τῶν εἰδῶν τῶν χρησίμων καὶ ἀναγκαίων ἔχονται οἱ τόποι· ἐξειλεγμέναι γὰρ αἱ προτάσεις περὶ ἕκαστόν εἰσιν, ὥστ' ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων περὶ ἀγαθοῦ ἢ κακοῦ ἢ καλοῦ ἢ αἰσχροῦ ἢ δικαίου ἢ ἀδίκου, καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τό-

1. δ'] δὴ A^c. ‖ ἢ πᾶσιν] ἅπασιν A^c. ‖ 5. συλλόγῳ Z^b. ‖ κατὰ τοῦτο ἔχειν τὰ ὑπάρχοντα QY^bZ^b. ‖ 7. ξυμβουλεύειν A^c. ‖ 8. ἢ μὴ πολεμητέον om A^c. ‖ 9. ἡ om QY^bZ^b. ‖ 11. ἔτι δὲ] εἴτε A^c. ‖ 12. ἢ] καὶ QY^bZ^b. ‖ 13. ὑπὲρ τῶν ἡρακλειωδῶν λεχθέντα A^c. ‖ 14. ἢ τῶν ἄλλων τινῶν τοιούτων QY^bZ^b. ‖ 17. ὑπάρχειν om QY^bZ^b. ‖ 18. ἀριστεύσαντας καὶ συμμαχεσαμένους A^c. ‖ 21. ἁμάρτημα τοῦτον QY^bZ^b. ‖ 24. ἢ Λακ.] καὶ λακ. QA^c. ‖ ἀνθρώπους ἢ θεοὺς A^c. ‖ 26. καὶ κατηγοροῦντα om QA^c. ‖ 29. ὑπάρχει ἢ αἰσχρόν QY^bZ^b. ‖ 30. ἢ] ὑπάρχει ἢ QY^bZ^b. ‖ τι om A^c. ‖ ἢ] εἰ A^c, ὑπάρχει ἢ Y^b. ‖ 32. ἢ μὴ ἀγαθόν om A^c. ‖ 33. καὶ] ἢ QY^bZ^b. ‖ ὥστ' ἐπειδὴ] ἐπεὶ δὲ Q, ἐπειδὴ Y^bZ^b. ‖ πάντες] οἱ πάντες A^c.

3. ὅτι] γὰρ ὅτι QY^bZ^b. ‖ 7. ἀλλ' εἰς] ἀλλὰ QY^bZ^b. ‖ 8. ὅτι] τὰ QY^bZ^b. ‖ 9. ἐγγυτάτω QY^bZ^b. ‖ 10. ἔχει A^c. ‖ τοσούτῳ] τοσοῦτον Z^b. ‖ ῥᾴδιον QY^bZ^b. ‖ 11. ἐγγυτέρῳ Y^b. ‖ τοσοῦτο Q. ‖ 12. λέγομεν δὲ κοινὰ τὸ A^c. ‖ 13. ἐπὶ] εἰς QY^bZ^b. ‖ 15. τὸν ἀχιλλέα A^c. ‖ διομήδη A^c. ‖ 18. ἐκώλυεν QY^bZ^b. ‖ 20. τόπος A^c. ‖ καὶ om A^c. ‖ 21. τόπος Q. ‖ 22. τὸν αὐτόν A^c. ‖ 24. τῶν om Q. ‖ δύο εἴδη QY^bZ^b. ‖ δεκτικά Z^b. ‖ 27. ante ἐξ litteras duas deletas A^c. ‖ 28. τὸ om A^c. ‖ 29. ἕκαστα QY^bZ^b. ‖ 30. περὶ ἕκαστον αἱ προτάσεις QY^bZ^b. ‖ 32. ἀγαθοῦ ἢ αἰσχροῦ ἢ κακοῦ ἢ δικαίου A^c. ‖ 33. ἠθῶν καὶ] ἰδικῶν QY^bZ^b. ‖ 34. ἕξεων] ἐξ ὧν QY^bZ^b. ‖ εἰλημμένων A^c.

έτι δ' ἄλλον τρόπον καθόλυ περὶ ἁπάντων λάβωμεν, λέγωμεν παρασημαινόμενοι τοὺς ἐλεγκτικὺς καὶ τοὺς ικτικὺς καὶ τὺς τῶν φαινομένων ἐνθυμημάτων, οὐκ δὲ ἐνθυμημάτων, ἐπείπερ ὐδὲ συλλογισμῶν. δηλω- ν δὲ τύτων, περὶ τῶν λύσεων καὶ ἐνςάσεων διορίσω- πόθεν δεῖ πρὸς τα ἐνθυμήματα φέρειν.

Ἐςι δ' εἷς μὲν τόπος τῶν δεικτικῶν ἐκ τῶν ἐναντίων· ὰρ σκοπεῖν εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, ἀναι- μὲν εἰ μὴ ὑπάρχει, κατασκευάζοντα δὲ εἰ ὑπάρχει, τι τὸ σωφρονεῖν ἀγαθόν· τὸ γαρ ἀκολαςαίνειν βλα- . ἢ ὡς ἐν τῷ Μεσσηνιακῷ· εἰ γαρ ὁ πόλεμος αἴτιος αρόντων κακῶν, μετα τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι.

εἴπερ γαρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν,
οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά,
προσῆκόν ἐστι τῷδ' ὀφείλεσθαι χάριν.

ἀλλ' εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανά, νομίζειν χρή σε καὶ τοὐναντίον,
ἄπις' ἀληθῆ πολλα συμβαίνειν βροτοῖς.

ς ἐκ τῶν ὁμοίων πτώσεων· ὁμοίως γαρ δεῖ ὑπάρχειν ὑπάρχειν, οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν· καὶ ἂν τὸ δικαίως· νῦν δ' ὐχ αἱρετὸν τὸ δικαίως ἀποθα- ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· εἰ γαρ θατέρῳ ὑπάρ- τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι, οἷον ὡς ὁ τελώνης ίδων περὶ τῶν τελῶν "εἰ γαρ μηδ' ὑμῖν αἰσχρὸν τὸ ῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι." καὶ εἰ τῷ πεπονθότι τὸ ς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι, καὶ εἰ τῷ αντι, καὶ τῷ πεπονθότι. ἔςι δ' ἐν τούτῳ παραλογί- αι· εἰ γαρ δικαίως ἔπαθέν τι, δικαίως πέπονθεν, ἀλλ' ὐχ ὑπὸ σῦ. διὸ δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει· ἐνίοτε γαρ διαφωνεῖ τὸ τοιῦτον καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου "μητέρα δὲ τὴν σὴν οὔτις ἐςύγει βροτῶν;" φησὶ δ' ἀποκρινόμενος "ἀλλα διαλαβόντα χρὴ σκοπεῖν." ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας πῶς, ὑπολαβών φησι "τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν." καὶ οἷον ἡ περὶ Δημοσθένυς δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γαρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. καὶ περὶ τῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ ἐκέλευσε κρῖναι εἰ δίκαιος ἦν ἀποθανεῖν, ὡς οὐκ ἄδικον ὂν τὸ ἀποκτεῖναι τὸν δικαίως ἀποθανόντα. ἄλλος ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οἷον "εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασι, σχολῇ οἵ γε ἄνθρωποι·" τῦτο γάρ ἐςιν, εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον. τὸ δ' ὅτι τὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα, ἐκ τῦ, εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει εἴθ' ὅτι οὔ. ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον· ὅθεν εἴρηται "καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ· Οἰνεὺς δ' ἄρ' οὐχὶ [τὸν Ἑλλάδος] κλεινὸν ἀπολέσας γόνον;" καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, ὐδ' Ἀλέξανδρος, καὶ εἰ μηδ' οἱ Τυνδαρίδαι, ὐδ' Ἀλέξανδρος, καὶ εἰ Πάτροκλον Ἕκτωρ, καὶ Ἀχιλλέα Ἀλέξανδρος. καὶ εἰ μηδ' οἱ ἄλλοι τεχνῖται φαῦλοι, ὐδ' οἱ φιλόσοφοι. καὶ εἰ μηδ' οἱ ςρατηγοὶ φαῦλοι, ὅτι ἡττῶνται πολλάκις, ὐδ' οἱ σοφιςαί. καὶ ὅτι "εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων." ἄλλος ἐκ τῦ τὸν χρόνον σκοπεῖν, οἷον ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι "εἰ πρὶν ποιῆσαι ἠξίυν τῆς εἰκόνος τυχεῖν ἐαν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἄρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαιρεῖσθε." καὶ πάλιν πρὸς τὸ Θηβαίυς διεῖναι Φίλιπ-

. πάντων et 2. τούς τε ἐλεγκτικὺς et 3. ὄντων δ' οὐκ QY^bZ^b. ‖ 6. πρὸς et 8. ὑπάρχει om QY^bZ^b. ‖ 8. ἀναιροῦντες et 9. κατα- ζοντες Q. ‖ 11. ἢ om Q. ‖ ὡς om Y^bZ^b. ‖ μεσηνιακῷ QY^bZ^b. ‖ εἰ] ἂ A^c. ‖ 13. πεπραχόσιν A^c. ‖ 14. πίπτειν QY^bZ^b. ‖] εἴγ' QY^bZ^b. ‖ δράσει QY^bZ^b. ‖ 16. ἐστι] εἶναι A^c. ‖ 17. ψευδήγερον A^c, ψευδολογεῖν QY^bZ^b. ‖ 18. πιθανόν et γε QY^bZ^b ‖ υμβαίνει A^c. ‖ 20. ἄλλως pr Y^b. ‖ 22. τὸ alterum om QY^bZ^b. ‖ 24. ἢ] καὶ τὸ QY^bZ^b. ‖ ποιεῖν Q. ‖ 25. οἷον om Q. ‖ ομήδων περὶ τῶν τελωνῶν Q. ‖ 27. μηδ' A^c. ‖ 28. ἢ] καὶ QY^bZ^b. ‖ ὑπάρχοι Y^b. ‖ ποιήσαντι — 29. πεπονθότι] πείσαντι ἢ ποιή- A^c. ‖ 29. δὲ τοῦτο A^c. ‖ 30. ἔπαθέν τι] ἀπέθανε QY^bZ^b. ‖ 31. χωρὶς om Y^b.

. χρήσασθαι ὁποτέρως ἂν ἁρμόττῃ QY^bZ^b. ‖ 2. τοιῦτο Y^bZ^b. ‖ 3. ἐν] ὁ rc Y^b, om QZ^b et pr Y^b. ‖ ἀλκμέωνι A^c. ‖ 4. οὗτος δ'] δεῖ A^c. ‖ 5. διαλαβόντας σκοπεῖν QY^bZ^b. ‖ 6. πῶς ὑπολαβὼν] πρὸς οὓς QZ^b et pr Y^b. ‖ 7. οἷον om A^c. ‖ 8. ἐπειδὴ Q ‖ 10. κελεύει κρίνεσθαι A^c. ‖ 11. ὂν τὸ om QY^bZ^b. ‖ 13. πάντες QY^bZ^b. ‖ 14. ὑπάρχοι] ὑπάρχῃ Q. ‖ 16. ἐκ τῦ εἰ] τύπτει κατὰ A^c. ‖ τὸ post καὶ om A^c. ‖ 17. post δεῖξαι pr A^c τύπτει ὅτι εἰ τὸ ἧττον ὑπάρχει καὶ τὸ μᾶλλον ὑπάρχει. τὺς γαρ πατέρας τύπτουσιν ἢ τὺς πλησίον. ἢ δὴ ὕτως, ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει μὴ ὑπάρχει, ἢ ᾧ ἧττον εἰ ὑπάρχει ὁ δεῖ δεῖξαι, deletis post ὁ litteris vel novem. ‖ 20. ἀπολέσας κλεινότατον QY^bZ^b. ‖ λόγον Q. ‖ μὴ QY^bZ^b. ‖ 21. καὶ — 22. Ἀλέξανδρος om QZ^b et pr Y^b. ‖ ἡ A^c. ‖ 22. καὶ εἰ ἀχιλλέα A^c. ‖ 23. οἱ om A^c. ‖ 24. θανῦνται Y^bZ^b, ἀποθανῦνται Q, θανατῦνται A^c. ‖ 27. ἐκ τῦ] εἰς QY^b οἷον om QY^bZ^b. ‖ 28. ἠξίυ et 29. ποιήσῃ QY^bZ^b. ‖ 30. ὑπισχνεῖσθαι et 31. ἀφαιρεῖσθαι A^c. ‖ 31. τὺς Q. ‖ δεῖ εἶναι φίλιπ- A^c, φίλιππον διεῖναι πρὸς QY^bZ^b.

τον εἰς τὴν Ἀττικήν, ὅτι "εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίυ, ὑπέσχοντο ἄν· ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσε μὴ διήσυσιν." ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα· διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκοντος δὲ "εἶτα" εἶπεν "σὺ μὲν ὢν Ἀριςοφῶν ὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης;" δεῖ δ' ὑπάρχειν μᾶλλον ἂν δοκοῦντα ἀδικῆσαι ἐκεῖνον· εἰ δὲ μή, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριςείδην κατηγορῦντα τῦτό τις εἴπειεν, ἀλλὰ πρὸς ἀπιςίαν τῦ κατηγόρυ· ὅλως γὰρ βύλεται ὁ κατηγορῶν βελτίων εἶναι τῦ φεύγοντος· τῦτ' οὖν ἐξελέγχειν ἀεί. καθόλυ δ' ἄτοπός ἐςιν, ὅταν τις ἐπιτιμᾷ ἄλλοις ἃ αὐτὸς ποιεῖ ἢ ποιήσειεν ἄν, ἢ προτρέπῃ ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν. ἄλλος ἐξ ὁρισμῦ, οἷον ὅτι τὸ δαιμόνιον ὐδέν ἐςιν ἀλλ' ἢ θεὸς ἢ θεῦ ἔργον· καίτοι ὅςις οἴεται θεῦ ἔργον εἶναι, τῦτον ἀνάγκη οἴεσθαι καὶ θεὺς εἶναι. καὶ ὡς Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριςογείτονι ὐδὲν πρότερον ὑπῆρχε γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. καὶ ὅτι συγγενέςερος αὐτός· "τὰ γοῦν ἔργα συγγενέςερά ἐςι τὰ ἐμὰ τοῖς Ἁρμοδίυ καὶ Ἀριςογείτονος ἢ τὰ σά." καὶ ὡς ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι πάντες ἂν ὁμολογήσειαν τὺς μὴ κοσμίυς ὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν. καὶ δι' ὃ Σωκράτης ὐκ ἔφη βαδίζειν ὡς Ἀρχέλαον· ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως εὖ παθόντα, ὥσπερ καὶ κακῶς. πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγυσιν. ἄλλος ἐκ τῦ ποσαχῶς, οἷον ἐν τοῖς τοπικοῖς περὶ τῦ ὀρθῶς. ἄλλος ἐκ διαιρέσεως, οἷον εἰ πάντες τριῶν ἕνεκεν ἀδικῦσιν· ἢ τοῦδε γὰρ ἕνεκα ἢ τῦδε ἢ τῦδε· καὶ διὰ μὲν τὰ δύο ἀδύνατον, διὰ δὲ τὸ τρίτον ὐδ' αὐτοί φασιν. ἄλλος ἐξ ἐπαγωγῆς, οἷον ἐκ τῆς Πεπαρηθίας, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχῦ διορίζυσι τἀληθές·

τοῦτο μὲν γὰρ Ἀθήνησι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβ πρὸς τὸν υἱὸν ἡ μήτηρ ἀπέφηνεν, τῦτο δὲ Θήβησιν νίου καὶ Στίλβωνος ἀμφισβητύντων ἡ Δωδωνὶς ἀπ Ἰσμηνίυ τὸν υἱόν, καὶ διὰ τῦτο Θετταλίσκον Ἰσμηνί μιζον. καὶ πάλιν ἐκ τῦ νόμυ τῦ Θεοδέκτυ, εἰ τοῖς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων οὐ παραδιδόασ οἰκείυς, ὐδὲ τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας ναῦς· ὁμοίως ἐφ' ἁπάντων, καὶ τοῖς κακῶς φυλάξασι τὴν τρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν. Ἀλκιδάμας, ὅτι πάντες τὺς σοφὺς τιμῶσιν· Πάριοι Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, κα Ὅμηρον ὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφὼ περ γυναῖκα ὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα τῶν των ἐποίησαν ἥκιςα φιλολόγοι ὄντες, καὶ Ἰταλιῶται γόραν, καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔ καὶ τιμῶσιν ἔτι καὶ νῦν· καὶ Ἀθηναῖοι τοῖς Σόλων μοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖ κύργυ, καὶ Θήβησιν ἅμα οἱ προςάται φιλόσοφοι ἐγ καὶ εὐδαιμόνησεν ἡ πόλις. ἄλλος ἐκ κρίσεως περ αὐτῦ ἢ ὁμοίυ ἢ ἐναντίυ, μάλιςα μὲν εἰ πάντες κα εἰ δὲ μή, ἀλλ' οἵ γε πλεῖστοι, ἢ σοφοί, ἢ πάντες πλεῖςοι, ἢ ἀγαθοί. ἢ εἰ αὐτοὶ οἱ κρίνοντες, ἢ ὓς ἀ χονται οἱ κρίνοντες, ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν τοῖς κυρίοις, ἢ οἷς μὴ καλὸν τὰ ἐναντία κρίνειν, οἷον ἢ πατρὶ ἢ διδασκάλοις, ὥσπερ τὸ εἰς Μιξιδημίδην Αὐτοκλῆς, εἰ ταῖς μὲν σεμναῖς θεαῖς ἱκανῶς εἶχεν ἐν πάγῳ δοῦναι δίκην, Μιξιδημίδῃ δ' οὔ. ἢ ὥσπερ Σα ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρί ἀπέθνησκον γὰρ ἄν. ἢ ὡς Ἀρίστιππος πρὸς Πλά ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο· "ἀλλὰ μὴν ἑταῖρος ἡμῶν" ἔφη "οὐθὲν τοιοῦτον," λέγων τὸν Σωκρ καὶ Ἡγήσιππος ἐν Δελφοῖς ἐπηρώτα τὸν θεόν, πρ κεχρημένος Ὀλυμπίασιν, εἰ αὐτῷ ταὐτὰ δοκεῖ ἅπε

3. μὴ διοίσυσιν QY^b, οὐ διδῦσιν rc Y^b. ‖ 4. ᾧ om QY^bZ^b. ‖ 5. πρὸς] πρὸς τὸν QY^bZ^b. ‖ 7. εἶπεν om QY^bZ^b. ‖ ἀμφ QY^bZ^b. ‖ ἂν om A^c. ‖ 9. ἀδικήσειν QY^bZ^b. ‖ δὲ μή] δ' ὔ QY^bZ^b. ‖ 10. εἴποιεν QY^bZ^b, ἂν εἴπειεν A^c. ‖ 12. ἀεί om QY^b 13. δ' ἄτοπός] ὗτος ὁ τόπος Q, ὁ τόπος ὗτος Y^bZ^b. ‖ αὐτὸς μὴ ποιεῖ ἢ μὴ ποιήσειεν QY^bZ^b. ‖ 14. προτρέπει A^c, προτρέπει Y^bZ μηδὲ] ἢ μὴ QY^bZ^b. ‖ 15. οἷον τί τὸ δαιμόνιόν ἐςιν ἆρα θεὸς A^c. ‖ 17. ὡς] ὡς ὁ A^c. ‖ 21. τοῖς] τῶν QY^bZ^b. ‖ 23. ὁμολογήσει Y^bZ^b. ‖ 26. ὁμοίως καὶ εὖ παθόντας A^c. ‖ καὶ et 27. τὸ om QY^bZ^b. ‖ 28. ἄλλος — 29. ὀρθῶς om Q. ‖ 32. ἐξ] ἐκ τῆς QY^b

1. ἀμφισβητῦντα Z^b. ‖ 2. ἀπέφηνεν ἡ μήτηρ et 3. δαδωνὶς A^c. ‖ 5. εἰ] ὅτι QY^bZ^b. ‖ 7. ἀνατρέψασι Y^bZ^b. ‖ 8. ἐφ' om 9. ἐστὶν om QY^bZ^b. ‖ 10. ἀλκίδαμος A^c, ἀκιδάμας Q. ‖ post τιμῶσιν QY^bZ^b περὶ ὀτυῦν. ‖ 11. βλασφημήσαντα τ. QY^bZ^b. ‖ 12 λιτικὸν A^c. ‖ μιτυληναῖοι et 13. ὖσαν γυναῖκα QY^bZ^b. ‖ 13. χείλωνα καὶ τῶν A^c. ‖ 16. χρησάμενοι νόμοις et 18. ἐλέγοντο QY^bZ 21. οἵ γε] ἢ οἱ QY^bZ^b. ‖ ἢ σοφοί — 22. πλεῖςοι om A^c. ‖ 22. ἢ εἰ] καὶ A^c, ἢ εἰ οἱ QZ^b. ‖ 23. οἱ κρίνοντες om A^c. ‖ οἷον τὸ Z^b, οἴονται A^c. ‖ 24. ἢ om A^c. ‖ τὸ ἐναντίον QY^bZ^b. ‖ 25 et 27. μιξιδημίδα Q. ‖ 26. εἰ] ἐν QY^b. ‖ καλῶς A^c. ‖ 27. τὸ A^c. ‖ οὔ] οὔπω QY^bZ^b. ‖ 29. ὥσπερ A^c. ‖ 30. τι εἰπόντα om QZ^b et pr Y^b. ‖ 31. λέγω Q. ‖ σωκράτη et 32. ἠρώτα A^c. ‖ κεχρημένος πρότερον QY^bZ^b.

πατρί, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν. καὶ περὶ τῆς Ἑλένης ὡς Ἰσοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινεν· καὶ περὶ Ἀλεξάνδρυ, ὃν αἱ θεαὶ προέκριναν, καὶ περὶ Εὐαγόρυ, ὅτι σπυδαῖος, ὥσπερ Ἰσοκράτης φησίν· Κόνων γοῦν δυστυχήσας, πάντας τὺς ἄλλυς παραλιπὼν, ὡς Εὐαγόραν ἦλθεν. ἄλλος ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς τοπικοῖς, ποία κίνησις ἡ ψυχή· ἥδε γὰρ ἢ ἥδε. παράδειγμα ἐκ τῦ Σωκράτυς τῦ Θεοδέκτυ· "εἰς ποῖον ἱερὸν ἠσέβηκεν; τίνας θεῶν ὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει;" ἄλλος, ἐπειδὴ ἐπὶ τῶν πλείςων συμβαίνει ὥσθ' ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν, ἐκ τῦ ἀκολυθῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν. οἷον τῇ παιδεύσει τὸ φθονεῖσθαι ἀκολυθεῖ κακόν, τὸ δὲ σοφὸν εἶναι ἀγαθόν· ὐ τοίνυν δεῖ παιδεύεσθαι, φθονεῖσθαι γὰρ ὐ δεῖ· δεῖ μὲν ὖν παιδεύεσθαι, σοφὸν γὰρ εἶναι δεῖ. ὁ τόπος ὗτός ἐςιν ἡ Καλλίππυ τέχνη προσλαβῦσα καὶ τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται. ἄλλος, ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπὶ ἀμφοῖν χρῆσθαι. διαφέρει δέ, ὅτι ἐκεῖ μὲν τὰ τυχόντα ἀντιτίθεται, ἐνταῦθα δὲ τἀναντία. οἷον ἱέρεια ὐκ εἴα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε μισήσυσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσυσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι. τουτὶ δ' ἐστὶ ταὐτὸ τῷ λεγομένῳ τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας· καὶ ἡ βλαίσωσις τοῦτ' ἐστίν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις. ἄλλος, ἐπειδὴ ὐ ταὐτὰ φανερῶς ἐπαινῦσι καὶ ἀφανῶς, ἀλλὰ φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινῦσι μάλιςα, ἰδίᾳ δὲ τὰ συμφέροντα μᾶλλον βύλονται, ἐκ τύτων πειρᾶσθαι συνάγειν θάτερον· τῶν γὰρ παραδόξων οὗτος ὁ τόπος κυριώτατός ἐστιν. ἄλλος ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν· οἷον ὁ Ἰφικράτης τὸν υἱὸν αὐτῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτυργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι εἰ τὺς μεγάλυς τῶν παίδων ἄνδρας νομίζυσι, τοὺς μικρὺς τῶν ἀνδρῶν παῖδας εἶναι ψηφιοῦνται. καὶ Θεοδέκτης ἐν τῷ νόμῳ, ὅτι πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρυς, οἷον Στράβακα καὶ Χαρίδημον διὰ τὴν ἐπιείκειαν· φυγάδας δ' οὐ ποιήσετε τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένυς; ἄλλος ἐκ τοῦ, τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγυσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεὺς ποτε. καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκατέρυ λαμβάνειν ὡς ταὐτὸ ἀεί· "μέλλετε δὲ κρίνειν οὐ περὶ Σωκράτυς ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν." καὶ ὅτι τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐςίν, καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προςαττόμενον. ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον. ἄλλος ἐκ τῦ μὴ ταὐτὸ τὺς αὐτὺς ἀεὶ αἱρεῖσθαι ὕςερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν, οἷον τόδε τὸ ἐνθύμημα, "εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα·" ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τῦ μάχεσθαι ᾑρῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τῦ μὴ μένειν. ἄλλος τὸ ὗ ἕνεκ' ἂν εἴη, εἰ μὴ γένοιτο, τύτυ ἕνεκα φάναι εἶναι ἢ γεγενῆσθαι, οἷον εἰ δοίη ἄν τις τινὶ ἵν' ἀφελόμενος λυπήσῃ. ὅθεν καὶ τῦτ' εἴρηται,

πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φέρων
μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.

καὶ τὸ ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος,

οὐχ ἵνα κτάνωσι θῆρ', ὅπως δὲ μάρτυρες
ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα.

καὶ τὸ ἐκ τῦ Αἴαντος τῦ Θεοδέκτυ, ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολυθῶν· ἐνδέχεται γὰρ τύτυ ἕνεκα ποιῆσαι. ἄλλος κοινὸς καὶ τοῖς ἀμφισβητοῦσι καὶ τοῖς συμβυλεύυσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττυσι καὶ φεύγυσιν· ταῦτα γάρ ἐςιν ἅ, ἐὰν μὲν ὑπάρχῃ, δεῖ πράττειν, οἷον εἰ δυνατὸν καὶ ῥᾴδιον καὶ ὠφέλιμον ἢ αὐτῷ ἢ φίλοις, ἢ βλαβερὸν ἐχθροῖς καὶ ἐπιζήμιον, ἢ ἐλάττων ἡ ζημία τῦ πράγματος. καὶ προτρέπονται δ' ἐκ τύτων καὶ

2. σωκράτης A^c. ‖ εἴπερ] εἰ ὁ Q, εἰ Y^bZ^b. ‖ 3. οἱ θεοὶ QY^bZ^b. ‖ 7. ἢ εἴα A^c. ‖ κείνη Q. ‖ 10. τῷ om QY^bZ^b. ‖ 15. εἶναι δεῖ] εἶναι εἰ A^c. ‖ ὗτος ὁ λόγος QY^bZ^b. ‖ 16. καὶ om A^c. ‖ 18. ἢ prius om QY^bZ^b. ‖ 21. ἔφησε QY^bZ^b. ‖ 23. δεῖ — 24. ἄνθρωποι om Z^b. ‖ 23. τὰ ἄδικα λέγῃς οἱ ἄνθρωποί QY^b. iidem mox τὰ δίκαια οἱ θεοί. ‖ 25. ἔλ^{ος} Z^b, ἔλαιον QY^b. ‖ 26. τὰς A^c. ‖ 27. ἑκάτερα om Q. ‖ 28. ἐπαινῦσι φανερῶς Y^bZ^b. φανερῶς — 29. καλὰ om Q. ‖ 32. τρόπος A^c. ‖ 36. νομιοῦσι QY^bZ^b.

1. καὶ] καὶ ὁ QY^bZ^b. ‖ 2. καὶ om Z^b. ‖ 4. πεπραγμένυς QY^bZ^b. ‖ 5. ταυτὸ Q. ‖ 7. τοῖς — 8. ποτε om Q. ‖ 8. ποτε τοὺς θεὺς Y^bZ^b. ‖ 9. ἑκάςυ A^c. ‖ 11. τὸ om Q. ‖ 12. ἐστίν om A^c. ‖ 13. ἂν ὁπότερον A^c. ‖ 14. τὺς αὐτὺς om A^c. ‖ 17. ἀντὶ] ἐναντίον A^c. ‖ 23. ἀλλ' om QY^bZ^b. ‖ 30. ποιεῖν Q. ‖ 31. τρέποντα QZ^b. ‖ 33. post πράττειν margo Y^b ἐὰν δὲ μὴ ὑπάρχῃ μὴ πράττειν. ‖ 36. ἐπιτρέπονται Q.

ἀποτρέπονται ἐκ τῶν ἐναντίων. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ κατηγοροῦσι καὶ ἀπολογοῦνται· ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν. ἔστι δ' ὁ τόπος οὗτος ὅλη τέχνη ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου. ἄλλος ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ, ὅτι οὐκ ἂν ἔδοξαν, εἰ μὴ ἦν ἢ ἐγγὺς ἦν. καὶ ὅτι μᾶλλον· ἢ γὰρ τὰ ὄντα ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν· εἰ οὖν ἄπιστον καὶ μὴ εἰκός, ἀληθὲς ἂν εἴη· οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως. οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι "δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος· καὶ γὰρ οἱ ἰχθύες ἁλός, καίτοι οὐκ εἰκὸς οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός, καὶ τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίνεται, ταῦτα δεῖσθαι ἐλαίου." ἄλλος ἐλεγκτικός, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, εἴ τι ἀνομολογούμενον ἐκ πάντων καὶ χρόνων καὶ πράξεων καὶ λόγων, χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος, οἷον "καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσε δὲ τοῖς τριάκοντα," χωρὶς δ' ἐπ' αὐτοῦ, "καὶ φησὶ μὲν εἶναί με φιλόδικον, οὐκ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδεμίαν δίκην," χωρὶς δ' ἐπ' αὐτοῦ καὶ τοῦ ἀμφισβητοῦντος, "καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτ' οὐδέν, ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι ὑμῶν." ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου· ἔστι γάρ τι δι' ὃ φαίνεται. οἷον ὑποβεβλημένης τινὸς τὸν αὐτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ. ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν· ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐθέν ἐστιν. οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα, οὐκ ἐνδέχεσθαι ἔφη· μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον. ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν· φανερὸν γὰρ ὅτι εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. ἔστι δὲ τοῦτο ψεῦδος· πολλάκις γὰρ ὕστερον γίνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον. ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν· οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν. ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς· ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη. ἄλλος ἀπὸ τοῦ ὀνόματος, οἷον ὡς ὁ Σοφοκλῆς "σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα," καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν, καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον "αἰεὶ θρασύμαχος εἶ," καὶ Πῶλον "αἰεὶ σὺ πῶλος εἶ," καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἀνθρώπου οἱ νόμοι ἀλλὰ δράκοντος· χαλεποὶ γάρ. καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην "καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς." καὶ ὡς Χαιρήμων "Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος." εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν ἀποδεικτικῶν διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα, παρ' ἄλληλα δὲ φανερὰ εἶναι τῷ ἀκροατῇ μᾶλλον. πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι μὴ τῷ ἐπιπολῆς εἶναι (ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὑτοῖς χαίρουσι προαισθανόμενοι), καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν ὥσθ' ἅμα εἰρημένων γνωρίζειν.

Ἐπεὶ δ' ἐνδέχεται τὸν μὲν εἶναι συλλογισμόν, τὸν δὲ μὴ εἶναι μὲν φαίνεσθαι δέ, ἀνάγκη καὶ ἐνθύμημα τὸ μὲν εἶναι ἐνθύμημα, τὸ δὲ μὴ εἶναι φαίνεσθαι δέ, ἐπείπερ τὸ ἐνθύμημα συλλογισμός τις. τόποι δ' εἰσὶ τῶν φαι-

4. καλίππου Y^b. ‖ 7. εὔπιστα Q. ‖ 11. διορθώσαντος QZ^bA^c. ‖ 12. τρεφομένοις Q. ‖ 15. εἴ — 16. λόγων post 17. ἀμφισβητοῦντος $QY^bZ^bA^c$. ‖ 19. μὲν om QY^bZ^b. ‖ με om A^c. ‖ 22. πολλὰ Y^bZ^b. ‖ διαβεβλημένοις QY^bZ^b. ‖ 23. ἢ] μὴ A^c. ‖ 24. διαβεβλημένης τινὸς πρὸς τὸν A^c. ‖ 27. θεοδέκτω $Y^bZ^bA^c$. ‖ 29. τε] δὲ A^c. ‖ 35. ἐγγεγραμμένους Q. ‖ 36. ἄλλως om QY^bZ^b. ‖ ἢ ἐνδέχεται] ἢ ἐνδέχεται. A^c.

1. πέπρακεν A^c. ‖ 2. δὲ] γὰρ QY^bZ^b. ‖ 3. γὰρ τοῦτο γίνεται ὕστερον QY^bZ^b. ‖ 3. πῶς — 4. ἄδηλον om A^c. ‖ 6. θύουσι et θρηνοῦσιν QY^bZ^b. ‖ 7. ὑπολαμβάνειν Q. ‖ 15. καὶ ante τοῦ QY^bZ^b. ‖ προτέρα QY^bZ^b. ‖ 17. ὁ om Z^b. ‖ 19. ἡρόδικος ὁ θρασύμαχον A^c. ‖ 20. σὺ om Q. ‖ 24. ἄρχεις θεά Y^bZ^b, γὰρ ἄρχεις θεά Q. ‖ 25. εὐδοκιμεῖν Z^b et pr Y^b. ‖ καλὸν A^c. ‖ 29. συλλόγων Y^b. ‖ 30. ἀρχόμενοι $QY^bZ^bA^c$. ‖ 31. τῷ om A^c. ‖ ἑαυτοῖς QY^bZ^b. ‖ 36. ἐνθύμημα ante φαίνεσθαι A^c.

μένων ἐνθυμημάτων εἷς μὲν ὁ παρὰ τὴν λέξιν, καὶ τούτου ἓν μὲν μέρος, ὥσπερ ἐν τοῖς διαλεκτικοῖς, τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν, οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα τὸ καὶ τό. καὶ τὸ τοῖς ἐνθυμήμασι τὸ συνεστραμμένως καὶ ἀντικειμένως εἰπεῖν φαίνεται ἐνθύμημα· ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος. καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως. ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν, ὅτι τοὺς μὲν ἔσωσε, τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν· ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη, συντεθέντων δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι. ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, ὡς τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή· τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή. ἢ εἴ τις κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνει ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφησεν "ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν Ὀλύμπιοι." ἢ ὅτι τὸ μηδένα εἶναι κύνα ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον. καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν· μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς. καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λέγεται. ἄλλος τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα· ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸν πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος. οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν· ἕκαστον γὰρ οἶδεν. καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον ὅτι τὸ ἔπος οἶδεν· τὸ γὰρ ἔπος τὸ αὐτό ἐστιν. καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι· ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστιν. οὕτω μὲν οὖν ἐλεγκτικόν, ὧδε δὲ δεικτικόν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν δύο κακά. ὅλος δὲ ὁ τόπος παραλογιστικός. πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσεν· συντίθησι γάρ. ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν. δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ πόσιν, ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν· οὐκοῦν καὶ ταῦτα πέπρακται· συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον. εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖται γὰρ τὸ ὑπὸ τίνος. ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν. τοῦτο δ' ἐστίν, ὅταν μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα· ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὔτε πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων αὔξῃ, ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται. οὔκουν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου. ἄλλος τὸ ἐκ σημείου· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο. οἷον εἴ τις λέγοι "ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον." ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος· πονηρὸς γάρ· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός. ἄλλος διὰ τὸ συμβεβηκός, οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς. ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν, συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι. ἄλλος τὸ παρὰ τὸ ἑπόμενον, οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβε καθ' αὑτόν· ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος δόξειεν ἄν. καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται, μοιχός· τοιοῦτοι γάρ. ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται, καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ταῦτα ὑπάρχει, δόξαιεν ἂν εὐδαιμονεῖν. διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλλειψιν ἐμπίπτει. ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος. ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς, οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός. οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου

3. συμπερασματικὸν QZ^b. ‖ ἄρα] ἔστι QY^bZ^b. ‖ 4. ἄρα] ἔστι Y^bZ^b, ἄρα ἔστι Q. ‖ καὶ τὸ] τὸ γὰρ Q. ‖ 5. συνεστραμμένον A^c. ‖ 8. χρησμὸν A^c ‖ 10. ἡμετέροις QY^bZ^b. ‖ 13. ὡς om A^c. ‖ μῦν om Y^b. ‖ 15. τις τὸν κύνα et 17. ἔφη QY^bZ^b. ‖ 18. κύν' A^c. ‖ 19. τὸ κῦνα Q, τὸν κύνα Y^b, τὸ κοινὰ Z^b, τὸν κύν' ἃ A^c. ‖ 23. λόγου εἰσὶν] λόγων εἰσὶν Y^b. ‖ 24. συντεθέντα Q. ‖ 25. ταὐτὸ QA^c. ‖ 27. τὸ om Q. ‖ 28. ἕκαστος Q. ‖ 32. post δεικτικὸν QY^bZ^b ἐστιν. ‖ 36. εἰ $QY^bZ^bA^c$.

1. καὶ etiam post ταῦτα $QY^bZ^bA^c$. ‖ συντιθέντα QY^bZ^b. ‖ 2. ἀφαιρεῖ A^c. ‖ 5. ὃ ἐποίει Q. ‖ 7. ὀργῇ A^c. ‖ 8. ἐποίει ἢ οὐκ ἐποίει Q. ‖ 11. ἔρωτες Z^b. ‖ 12. ὅτι om Y^b. ‖ 13. καὶ] δὴ A^c. ‖ 18. ὁ om Q. ‖ 19. ἐπὶ] διὰ τὸ ἐπὶ A^c. ‖ 20. τὸ alterum om Y^b. ‖ 21. γὰρ] δὲ $Y^bZ^bA^c$. ‖ 23. οὗτοι μεγαλόψυχοι Z^bA^c. ‖ δόξαιεν QZ^bA^c. ‖ 24. τοιούτοις ἄρα A^c, τοιοῦτός ἐστιν Y^bZ^b, ὁ τοιοῦτός ἐστιν Q. ‖ 26. ἔνεστιν Z^b. ‖ οἰκῆσαι Q. ‖ 27. ἐθέλωσιν Y^b. ‖ ὅπου et 28. ὑπάρχει ταῦτα QY^bZ^b. ‖ 32. ὡς om Q. ‖ 36. αὕτη Q.

κύριος. ἢ εἴ τις φαίη τὸ τύπτειν τὺς ἐλευθέρυς ὕβριν εἶναι· ὐ γὰρ πάντως, ἀλλ᾽ ὅταν ἄρχῃ χειρῶν ἀδίκων. ἔτι ὥσπερ ἐν τοῖς ἐριςικοῖς, παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, ἀλλά τι, γίγνεται φαινόμενος συλλογισμός· οἷον ἐν μὲν τοῖς διαλεκτικοῖς, ὅτι ἐςὶ τὸ μὴ ὂν ὄν· ἔςι γὰρ τὸ μὴ ὂν μὴ ὄν. καὶ ὅτι ἐπιςητὸν τὸ ἄγνωςον· ἔςι γὰρ ἐπιςητὸν τὸ ἄγνωςον ὅτι ἄγνωςον. ὕτω καὶ ἐν τοῖς ῥητορικοῖς ἐςὶ φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκός, ἀλλά τι εἰκός. ἔςι δὲ τῦτο ὐ καθόλυ, ὥσπερ καὶ Ἀγάθων λέγει

τάχ᾽ ἄν τις εἰκὸς αὐτὸ τοῦτ᾽ εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκός, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός. εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς εἰκός. ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλ᾽ ὥσπερ καὶ ἐπὶ τῶν ἐριςικῶν τὸ κατὰ τί καὶ πρὸς τί καὶ πῇ ὐ προςιθέμενα ποιεῖ τὴν συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς ἀλλά τι εἰκός. ἔςι δ᾽ ἐκ τύτυ τῦ τόπυ ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὢν αἰκίας φεύγῃ· ὐ γὰρ εἰκός· κἂν ἔνοχος ὤν, οἷον ἂν ἰσχυρὸς ὤν· οὐ γὰρ εἰκός, ὅτι εἰκὸς ἔμελλε δόξειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη ἢ μὴ ἔνοχον εἶναι τῇ αἰτίᾳ· φαίνεται μὲν ὖν ἀμφότερα εἰκότα, ἔςι δὲ τὸ μὲν εἰκός, τὸ δὲ οὐχ ἁπλῶς ἀλλ᾽ ὥσπερ εἴρηται. καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ᾽ ἐστίν. καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγγελμα· ψεῦδός τε γάρ ἐςι, καὶ ὐκ ἀληθὲς ἀλλὰ φαινόμενον, καὶ ἐν ὐδεμιᾷ τέχνῃ ἀλλ᾽ ἐν ῥητορικῇ καὶ ἐριςικῇ. καὶ περὶ μὲν ἐνθυμημάτων καὶ τῶν ὄντων καὶ τῶν φαινομένων εἴρηται.

25 Περὶ δὲ λύσεως ἐχόμενόν ἐστι τῶν εἰρημένων εἰπεῖν. ἔςι δὲ λύειν ἢ ἀντισυλλογισάμενον ἢ ἔνςασιν ἐνεγκόντα. τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι δῆλον ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν· οἱ μὲν γὰρ συλλογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐςίν. αἱ δ᾽ ἐνςάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς τοπικοῖς, τετραχῶς· ἢ γὰρ ἐξ ἑαυτῦ ἢ ἐκ τῦ ὁμοίυ ἢ ἐκ τῦ ἐναντίυ ἢ ἐκ τῶν κεκριμένων. λέγω δὲ ἀφ᾽ ἑαυτοῦ μέν, οἷον εἰ περὶ ἔρωτος εἴη τὸ ἐνθύμημα ὡς σπυδαῖος, ἡ ἔνστασις διχῶς· ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα ἔνδεια πονηρόν, ἢ κατὰ μέρος ὅτι ὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες. ἐπὶ δὲ τῦ ἐναντίυ ἔνςασις φέρεται, οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τὺς φίλυς εὖ ποιεῖ, ἀλλ᾽ ὐδ᾽ ὁ μοχθηρὸς κακῶς. ἐπὶ δὲ τῶν ὁμοίων, εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισῦσιν, ὅτι ἀλλ᾽ οὐδ᾽ οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν. αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν, οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύυσι δεῖ συγγνώμην ἔχειν, ἀγνοῦντες γὰρ ἁμαρτάνυσιν, ἔνςασις ὅτι ὔκυν ὁ Πιττακὸς αἰνετός· ὐ γὰρ ἂν μείζυς ζημίας ἐνομοθέτησεν ἐάν τις μεθύων ἁμαρτάνῃ. ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ τέτταρα ταῦτ᾽ ἐςὶν εἰκὸς παράδειγμα τεκμήριον σημεῖον, ἔςι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ ὄντων ἢ δοκύντων συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων, τὰ δὲ δι᾽ ἐπαγωγῆς διὰ τῦ ὁμοίυ, ἢ ἑνὸς ἢ πλειόνων, ὅταν λαβὼν τὸ καθόλυ εἶτα συλλογίσηται τὰ κατὰ μέρος διὰ παραδείγματος, τὰ δὲ δι᾽ ἀναγκαίυ καὶ ὄντος διὰ τεκμηρίυ, τὰ δὲ διὰ τῦ καθόλυ ἢ τοῦ ἐν μέρει ὄντος, ἐάν τε ὂν ἐάν τε μή, διὰ σημείων, τὸ δὲ εἰκὸς οὐ τὸ ἀεὶ ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων ἀεὶ ἔςι λύειν φέροντα ἔνςασιν, ἡ δὲ λύσις φαινομένη ἀλλ᾽ ὐκ ἀληθὴς ἀεί· ὐ γὰρ ὅτι ὐκ εἰκός, λύει ὁ ἐνιςάμενος, ἀλλ᾽ ὅτι ὐκ ἀναγκαῖον. διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογύμενον μᾶλλον ἢ κατηγορῦντα διὰ τῦτον τὸν παραλογισμόν· ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν δι᾽ εἰκότων ἀποδείκνυσιν, ἔστι δὲ οὐ ταὐτὸ λῦσαι ἢ ὅτι οὐκ εἰκὸς ἢ ὅτι οὐκ ἀναγκαῖον, ἀεὶ δ᾽ ἔχει ἔνςασιν τὸ ὡς ἐπὶ τὸ πολύ· ὐ γὰρ ἂν ἦν εἰκὸς ἀλλ᾽ ἀεὶ καὶ ἀναγκαῖον· ὁ δὲ κριτὴς οἴεται, ἂν ὕτως ἐλυθῇ, ἢ οὐκ εἰκὸς εἶναι ἢ ὐχ αὑτῷ κριτέον, παραλογιζόμενος, ὥσπερ ἐλέγομεν· ὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων· τῦτο γάρ ἐςι τὸ γνώμῃ τῇ ἀρίςῃ κρίνειν. ὔκυν ἱκανὸν ἂν λύσῃ ὅτι ὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν ὅτι ὐκ εἰκός. τῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ. ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, κυριώτατα

3. ἄλλό A^c. ‖ 5. μὴ ὂν] μὴ ὂν ὂν Q. ‖ 9. ὐ om Q. ‖ 12. τὸ post γὰρ om Q. ‖ 15. προςιθέμεθα Z^b. ‖ 17. ἐκ τύτυ] τῦτο A^c, τύτυ QY^bZ^b. ‖ 18. αἰκίαν Q. ‖ 19. φεύγει et καὶ QY^bZ^b. ‖ οἷον om Q. ‖ ἂν ἰσχυρὸς] ἀνίσχυρος A^c. ‖ 24. δὲ om QY^bZ^b. ‖ 25. δικαίως] δὲ δικαίως QY^bZ^b. ‖ 30. λύσεων Y^bZ^b, τῶν λύσεων Q. ‖ 31. ἐνεγκόντι Z^b. ‖ 33. εἰπεῖν Q. ‖ 36. ἐξ] γε A^c. ‖ 37. ἔρωτα Y^bZ^b.

3. κάπνικος A^c, κάλλιςος ἢ κάκιςος QY^bZ^b. ‖ 5. ὁ om QY^bZ^b. ‖ ποιεῖν Q. ‖ 6. ὁμοίων] ἐναντίων pr Y^b. ‖ 13. τεσσάρων et τέσσαρα QY^bZ^b. ‖ 15. τὸ om A^c. ‖ 19. δι᾽] λίαν A^c. ‖ διὰ post ὄντος et 20. τῦ om QY^bZ^b. ‖ 21. τὸ post ἐπὶ om Q. ‖ 22. φέροντα] φανερὸν τὰ A^c. ‖ 26. γὰρ om Q. ‖ 27. ἐπιδείκνυσιν Y^bZ^b. ‖ 28. λύσις Q. ‖ 29. ὐ γὰρ ἂν ἦν om A^c. ‖ 30. ὁ δὲ] ἀεὶ δ᾽ ἔχει ἔνςασιν τὸ ὡς ἐπὶ τὸ πολύ. εἰ δὲ Z^b. ‖ 31. ὐκ αὐτῷ $QY^bZ^bA^c$. ‖ 36. δὲ] γὰρ Q. ‖ 37. κυριώτατον QY^bZ^b.

a. 19. Στοιχεῖον & Τόπος – equivalent – εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει.

δέ, εἰ ἀμφοῖν· εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον. λύεται δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστι πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. πρὸς δὲ τὰ παραδειγματώδη ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα· ἐάν τε γὰρ ἔχωμέν τι, οὐχ οὕτω λέλυται, ὅτι οὐκ ἀναγκαῖον, ἢ καὶ τὰ πλείω ἢ πλεονάκις ἄλλως· ἐὰν δὲ καὶ τὰ πλείω καὶ τὰ πλεονάκις, οὕτω μαχετέον, ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει. τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι (δῆλον δὲ καὶ τοῦθ' ἡμῖν ἐκ τῶν ἀναλυτικῶν), λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο· πάντα γὰρ γίγνεται ἀποδείξει ἤδη φανερά.

26 Τὸ δ' αὔξειν καὶ μειοῦν οὐκ ἔστιν ἐνθυμήματος στοιχεῖον· τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον· ἔστι γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει. τὸ δ' αὔξειν καὶ μειοῦν ἐστὶν ἐνθυμήματα πρὸς τὸ δεῖξαι ὅτι μέγα ἢ μικρόν, ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον καὶ τῶν ἄλλων ὁτιοῦν. ταῦτα δ' ἐστὶ πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα· ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος, οὐδὲ τὸ αὔξειν καὶ μειοῦν. οὐδὲ τὰ λυτικὰ ἐνθυμήματα εἶδός τι ἐστὶν ἄλλο τῶν κατασκευαστικῶν· δῆλον γὰρ ὅτι λύει μὲν ἢ δείξας ἢ ἔνστασιν ἐνεγκών, ἀνταποδεικνύουσι δὲ τὸ ἀντικείμενον, οἷον εἰ ἔδειξεν ὅτι γέγονεν, οὗτος ὅτι οὐ γέγονεν, εἰ δ' ὅτι οὐ γέγονεν, οὗτος ὅτι γέγονεν. ὥστε αὕτη μὲν οὐκ ἂν εἴη ἡ διαφορά· τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι· ὅτι γὰρ οὐκ ἔστιν ἢ ἔστιν, ἐνθυμήματα φέρουσιν· ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ καθάπερ ἐν τοῖς τοπικοῖς τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν. ἐπεὶ δὲ δὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμημάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν, ὅθεν τε εὐπορήσομεν καὶ ὡς αὐτὰ λύσομεν, εἰρήσθω ἡμῖν τοσαῦτα, λοιπὸν δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως.

Γ.

Ἐπειδὴ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου, περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα μόνα· ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι πείθονται πάντες. εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ πορίζεσθαι· ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ τόποι. περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν· οὐ γὰρ ἀπόχρη τὸ ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν, καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον. τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν, ὅπερ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν· δεύτερον δὲ τὸ ταῦτα τῇ λέξει διαθέσθαι· τρίτον δὲ τούτων, ὃ δύναμιν μὲν ἔχει μεγίστην, οὔπω δ' ἐπικεχείρηται, τὰ περὶ τὴν ὑπόκρισιν. καὶ γὰρ εἰς τὴν τραγικὴν καὶ ῥαψῳδίαν ὀψὲ παρῆλθεν· ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον. δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν ποιητικήν· ὅπερ ἕτεροί τινες ἐπραγματεύθησαν καὶ Γλαύκων ὁ Τήιος. ἔστι δὲ αὐτὴ μὲν ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ πότε μέσῃ, καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστον. τρία γάρ ἐστι περὶ ὧν σκοποῦσιν· ταῦτα δ' ἐστὶ μέγεθος ἁρμονία ῥυθμός. τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν, καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί, καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν. οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν· καὶ δοκεῖ

About λέξ[is] — Ὑπόκρισις important but hitherto neglected — Μοχθηρία τῶν πολιτειῶν makes actio so effective

1. πλειονάκις A^c. ‖ 5. παραδείγματα QZ^b et pr Y^b. ‖ 7. τὰ] εἰ τὰ rc Y^b, om A^c. ‖ 9. μαχητέον QY^b, μάχεται ὂν A^c. ‖ 12. ἐστι Y^b. ‖ 13. οὐχ om $QY^bZ^bA^c$. ‖ 15. ἀπόδειξις A^c. ‖ 20. ἐνθυμήματος corr Y^b. ‖ 21. ὥσπερ om Y^b. ‖ 24. καὶ τὸ μειοῦν Z^b. ‖ 25. ἄλλο τῶν κατασκευαστικῶν om A^c. ‖ 26. ἢ ὁ δείξας $Y^bZ^bA^c$. ‖ 32. ἐξ ἧς] ἐξῆς Z^bA^c. ‖ 34. δὴ om QY^bZ^b. ‖ 35. παραδείγματος QY^b. ‖ 36. ἀποριήσομεν Z^b.

1. αὐτὴν QY^bZ^b. ‖ 2. διεξελθεῖν Z^b. ‖ 5. Γ] titulum om Y^b et continuo tenore Z^b. continuat tenorem etiam N^a, qui in margine cum Q ἐντεῦθεν ἄρχονται λατῖνοι τοῦ τρίτου τῶν ῥητορικῶν ἀριστοτέλους βιβλίου. ‖ 6. ἐπεὶ δὲ Q. ‖ 10. ἐστί QY^bZ^b. ‖ 20. τὸ πιθανόν — 21. ἔχει om Q. ‖ 23. κωμῳδίαν Q. ‖ αὐτοῖς A^c, αὐτάς Z^b. ‖ 27. πῶς] πῶς δὲ A^c. ‖ 29. πότε om QZ^bA^c. ‖ 31. ὧν] ἃ A^c. ‖ 33. νῦν om QY^bZ^b.

φορτικὸν εἶναι, καλῶς ὑπολαμβανόμενον. ἀλλ' ὅλης ὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν, ὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίυ τὴν ἐπιμέλειαν ποιητέον, ἐπεὶ τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτε εὐφραίνειν· δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι τοῖς πράγμασιν, ὥςε τἆλλα ἔξω τῦ ἀποδεῖξαι περίεργά ἐςιν· ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν. τὸ μὲν ὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ· διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν· ὐ μέντοι τοσῦτον, ἀλλ' ἅπαντα φαντασία ταῦτ' ἐστὶ καὶ πρὸς τὸν ἀκροατήν· διὸ ὐδεὶς ὕτω γεωμετρεῖν διδάσκει. ἐκείνη μὲν ὖν ὅταν ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ, ἐγκεχειρήκασι δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινές, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις· καὶ ἔςι φύσεως τὸ ὑποκριτικὸν εἶναι, καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. διὸ καὶ τοῖς τῦτο δυναμένοις γίνεται πάλιν ἆθλα, καθάπερ καὶ τοῖς κατὰ τὴν ὑπόκρισιν ῥήτορσιν· οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν. ἤρξαντο μὲν ὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί· τὰ γὰρ ὀνόματα μιμήματά ἐςιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν· διὸ καὶ αἱ τέχναι συνέστησαν, ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ καὶ ἄλλαι γε. ἐπεὶ δ' οἱ ποιηταὶ λέγοντες εὐήθη διὰ τὴν λέξιν ἐδόκυν πορίσασθαι τήνδε τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίυ. καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τὺς τοιύτυς οἴονται διαλέγεσθαι κάλλιςα. τῦτο δ' ὐκ ἔςιν, ἀλλ' ἑτέρα λόγυ καὶ ποιήσεως λέξις ἐςίν. δηλοῖ δὲ τὸ συμβαῖνον· ὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιῦντες ἔτι χρῶνται τὸν αὐτὸν τρόπον, ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων, ὕτω καὶ τῶν ὀνομάτων ἀφείκασιν ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν, οἷς δ' οἱ πρῶτον ἐκόσμουν, καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιῦντες, ἀφείκασιν· διὸ γελοῖον μιμεῖσθαι τύτυς οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ. ὥστε φανερὸν ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεως ἔςιν εἰπεῖν, ἀκριβολογητέον ἡμῖν, ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν. περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ ποιητικῆς.

Ἔστω οὖν ἐκεῖνα τεθεωρημένα, καὶ ὡρίσθω λέ[...] ἀρετὴ σαφῆ εἶναι· σημεῖον γὰρ ὅτι ὁ λόγος, ἐὰν μὴ [...]λοῖ, οὐ ποιήσει τὸ ἑαυτῦ ἔργον· καὶ μήτε ταπεινὴν [...] ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπυσαν· ἡ γὰρ ποιητικὴ [...] οὐ ταπεινή, ἀλλ' ὐ πρέπυσα λόγῳ. τῶν δ' ὀνομάτων [...] ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια, μὴ ταπεινὴν δὲ ἀ[...] κεκοσμημένην τἆλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς [...] ποιητικῆς· τὸ γὰρ ἐξαλλάξαι ποιεῖ φαίνεσθαι σεμνοτέ[...] ὥσπερ γὰρ πρὸς τὺς ξένυς οἱ ἄνθρωποι καὶ πρὸς τὺς [...]λίτας, τὸ αὐτὸ πάσχουσι καὶ πρὸς τὴν λέξιν. διὸ [...] ποιεῖν ξένην τὴν διάλεκτον· θαυμασταὶ γὰρ τῶν ἀπό[...] εἰσίν, ἡδὺ δὲ τὸ θαυμαςόν. ἐπὶ μὲν ὖν τῶν μέτρων πολ[...]τε ποιεῖ τῦτο, καὶ ἁρμόττει ἐκεῖ· πλέον γὰρ ἐξέςηκε [...] ἃ καὶ περὶ ὓς ὁ λόγος· ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολ[...] ἐλάττοσιν· ἡ γὰρ ὑπόθεσις ἐλάττων, ἐπεὶ καὶ ἐνταῦθα [...] δῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέςερον, ἢ περὶ λ[...] μικρῶν· ἀλλ' ἔςι καὶ ἐν τύτοις ἐπισυςελλόμενον καὶ αὐ[...]νόμενον τὸ πρέπον. διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ [...] δοκεῖν λέγειν πεπλασμένως ἀλλὰ πεφυκότως· τοῦτο γ[...] πιθανόν, ἐκεῖνο δὲ τὐναντίον· ὡς γὰρ πρὸς ἐπιβυλεύο[...] διαβάλλονται, καθάπερ πρὸς τὺς οἴνυς τὺς μεμιγμέ[...] καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἀλ[...] ὑποκριτῶν· ἡ μὲν γὰρ τῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀ[...]λότριαι. κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας δια[...]κτυ ἐκλέγων συντιθῇ· ὅπερ Εὐριπίδης ποιεῖ καὶ ὑπέδει[...] πρῶτος. ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγ[...] συνέςηκεν, τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα [...] θεώρηται ἐν τοῖς περὶ ποιήσεως, τύτων γλώτταις μὲν κ[...] διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχ[...] χρηστέον· ὅπυ δέ, ὕστερον ἐρῦμεν. τό τε διὰ τί εἴρητα[...] ἐπὶ τὸ μεῖζον γὰρ ἐξαλλάττει τῦ πρέποντος. τὸ δὲ κύ[...] καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόναι χρήσιμοι πρὸς τ[...] τῶν ψιλῶν λόγων λέξιν. σημεῖον δέ, ὅτι τούτοις μόν[...] πάντες χρῶνται· πάντες γὰρ μεταφοραῖς διαλέγονται κ[...] τοῖς οἰκείοις καὶ τοῖς κυρίοις· ὥστε δῆλον ὡς ἂν εὖ π[...] τις, ἔςαι τε ξενικὸν καὶ λανθάνειν ἐνδέχεται καὶ σαφ[...]νιεῖ. αὕτη δ' ἦν ἡ τῦ ῥητορικῦ λόγυ ἀρετή. τῶν δ' ὀνομ[...]των τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι (παρὰ ταύτ[...] γὰρ κακυργεῖ), τῷ ποιητῇ δὲ συνωνυμίαι. λέγω δὲ κύ[...]

1. ὅλως Q. ‖ 3. ἀναγκαῖον Q. ‖ 7. περιεργία A^c. ‖ δύνανται Q. ‖ 9. ὅμως om QY^bZ^b. ‖ 13. ποιεῖ Q. ‖ 14. θεόμαχος Q. ‖ 17. τοῖς om Q. ‖ 19. ἐποίαν Q. ‖ 22. μιμητικωτάτη QY^bZ^b. ‖ 25. τὴν om A^c. ‖ 29. οἱ om Q. ‖ 31. τετραμμένων Y^b. ‖ 33 et 3[...] ἀφίκασιν A^c. ἀφήκασιν Z^b. ‖ 33. περὶ Z^b. ‖ 34. νῦν οἱ] καὶ νῦν εἰς QY^bZ^b.

2. ἐὰν] ὡς ἐὰν A^c. ‖ 8. ἐξαλαπάξαι $QY^bZ^bA^c$. ‖ 9. ὅπερ Y^b. ‖ 10. πρὸς om Q. ‖ 11. θαυμαςὴ γὰρ τῶν ἀπάντων ἐςὶν QZ^b. ‖ 15. ὑπόθεσις Z^b. ‖ 16. καλλιεποιεῖτο QZ^b. ‖ νέος λίαν Z^b. ‖ λίαν om QY^bZ^b. ‖ 18. ποιοῦντος A^c. ‖ 20. ἐκεῖ et ὥσπερ QY^bZ^b. ‖ 32. μεταφοραὶ corr Y^b. ‖ χρήσιμαι A^c. ‖ 36. τε] τὸ QY^bZ^b. ‖ 38. περὶ QY^bZ^b.

ι συνώνυμα, οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν· ; γὰρ ἀμφότερα καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις. ν ὖν τύτων ἕκαςόν ἐστι, καὶ πόσα εἴδη μεταφορᾶς, τι τῦτο πλεῖςον δύναται καὶ ἐν ποιήσει καὶ ἐν λό- αἱ μεταφοραί, εἴρηται, καθάπερ ἐλέγομεν, ἐν τοῖς ποιητικῆς· τοσῦτο δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖ- περὶ αὐτῶν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ῶν μέτρων. καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν μάλιστα ἡ μεταφορά. καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν ἄλλου. δεῖ δὲ καὶ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ττύσας λέγειν. τοῦτο δ' ἔςαι ἐκ τῦ ἀνάλογον· εἰ δὲ ἀπρεπὲς φανεῖται διὰ τὸ παράλληλα τὰ ἐναντία μά- φαίνεσθαι. ἀλλὰ δεῖ σκοπεῖν, ὡς νέῳ φοινικίς, ὕτω τι τί· οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής. καὶ ἐάν τε κο- βύλῃ, ἀπὸ τῶν βελτιόνων τῶν ἐν ταὐτῷ γένει φέ- ἡν μεταφοράν, ἐάν τε ψέγειν, ἀπὸ τῶν χειρόνων. δ' οἷον, ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει, τὸ φά- ὸν μὲν πτωχεύοντα εὔχεσθαι, τὸν δὲ εὐχόμενον πτω- ν, ὅτι ἄμφω αἰτήσεις, τὸ εἰρημένον ἐστὶ ποιεῖν· ὡς Ἰφικράτης Καλλίαν μητραγύρτην ἀλλ' ὐ δᾳδῦχον. ὁ η ἀμύητον αὐτὸν εἶναι· ὐ γὰρ ἂν μητραγύρτην αὐτὸν ν, ἀλλὰ δᾳδῦχον· ἄμφω γὰρ περὶ θεόν, ἀλλὰ τὸ ίμιον τὸ δὲ ἄτιμον. καὶ ὁ μὲν διονυσοκόλακας, αὐτοὶ τὺς τεχνίτας καλοῦσιν· ταῦτα δ' ἄμφω μεταφορά, ν ῥυπαινόντων ἡ δὲ τὐναντίον. καὶ οἱ μὲν λῃσταὶ ς πορισὰς καλῦσι νῦν· διὸ ἔξεστι λέγειν τὸν ἀδική- μὲν ἁμαρτάνειν, τὸν δ' ἁμαρτάνοντα ἀδικῆσαι, καὶ λέψαντα καὶ λαβεῖν καὶ πορθῆσαι. τὸ δὲ ὡς ὁ Τή- ; Εὐριπίδυ φησί, "κώπας ἀνάσσειν, καὶ ἀποβὰς εἰς αν" ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν· λεπται ὖν. ἔςι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ιὴ ἡδείας ᾖ σημεῖα φωνῆς, οἷον Διονύσιος προσαγο- ὁ χαλκῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ιν, ὅτι ἄμφω φωναί· φαύλη δὲ ἡ μεταφορὰ ταῖς οις φωναῖς. ἔτι δὲ ὐ πόρρωθεν δεῖ, ἀλλ' ἐκ τῶν συγ- καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομα- υς, ὃ λεχθὲν δῆλόν ἐστιν ὅτι συγγενές, οἷον ἐν τῷ αἰνίγματι τῷ εὐδοκιμοῦντι "ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·" ἀνώνυμον γὰρ τὸ πάθος, ἔςι δ' ἄμφω πρόσθεσίς τις· κόλλησιν τοίνυν εἶπε τὴν τῆς σικύας προσβολήν. καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς· μεταφοραὶ γὰρ αἰνίττονται, ὥςε δῆλον ὅτι εὖ μετενήνεκται. καὶ ἀπὸ καλῶν· κάλλος δὲ ὀνόματος τὸ μέν, ὥσπερ Λικύμνιος λέγει, ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως. ἔτι δὲ τρίτον, ὃ λύει τὸν σοφιςικὸν λόγον· ὐ γὰρ ὡς ἔφη Βρύσων ὐθένα αἰσχρολογεῖν, εἴπερ τὸ αὐτὸ σημαίνει τόδε ἀντὶ τοῦ τόδε εἰπεῖν· τῦτο γάρ ἐςι ψεῦδος· ἔςι γὰρ ἄλλο ἄλλυ κυριώτερον καὶ ὡμοιωμένον μᾶλλον καὶ οἰκειότερον τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων. ἔτι ὐχ ὁμοίως ἔχον σημαίνει τόδε καὶ τόδε, ὥστε καὶ οὕτως ἄλλο ἄλλυ κάλλιον καὶ αἴσχιον θετέον· ἄμφω μὲν γὰρ τὸ καλὸν καὶ τὸ αἰσχρὸν σημαίνυσιν, ἀλλ' ὐχ ᾗ καλὸν ἢ ὐχ ᾗ αἰσχρόν· ἢ ταῦτα μέν, ἀλλὰ μᾶλλον καὶ ἧττον. τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον, ἀπὸ καλῶν ἢ τῇ φωνῇ ἢ τῇ δυνάμει ἢ τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει. διαφέρει δ' εἰπεῖν, οἷον ῥοδοδάκτυλος ἠὼς μᾶλλον ἢ φοινικοδάκτυλος, ἢ ἔτι φαυλότερον ἐρυθροδάκτυλος. καὶ ἐν τοῖς ἐπιθέτοις ἔστι μὲν τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχρῦ, οἷον ὁ μητροφόντης, ἔςι δ' ἀπὸ τῦ βελτίονος, οἷον ὁ πατρὸς ἀμύντωρ· καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, ὐκ ἤθελε ποιεῖν ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν, ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, ἐποίησε "χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων·" καίτοι καὶ τῶν ὄνων θυγατέρες ἦσαν. ἔτι τὸ αὐτὸ ὑποκορίζεσθαι. ἔςι δ' ὁ ὑποκορισμός, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν, ὥσπερ καὶ ὁ Ἀριςοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν χρυσίυ χρυσιδάριον, ἀντὶ δ' ἱματίυ ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον.

Τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, 3
ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων τὸν πολυπρόσωπον ὐρανὸν τῆς μεγαλοκορύφυ γῆς καὶ ἀκτὴν δὲ ςενοπόρον, καὶ ὡς Γοργίας ὠνόμαζε, πτωχόμουσος κόλαξ,

1. πορεύεσθαί τε καὶ QY^bZ^b. ‖ 6. τοσῦτον Y^bZ^b, ὖτω Q. ‖ λόγοις QZ^b et pr Y^b. ‖ 7. ὅσον QY^bZ^b. ‖ 11. ἀναλόγυ QZ^b. ‖ οι A^c. ‖ φοινικίς corr Y^b, φοίνικες A^c, φοινικές QZ^b. ‖ ὐ τῶι γέροντι· οὐ A^c. ‖ 15. τῦ βελτίονος A^c. ‖ ταὐτῷ] τῷ QY^bZ^b. ‖ 16. ἀν Z^b. ‖ 20 et 21. μιτραγύρτην Q. ‖ 23. ὁ] οἱ QY^bZ^b. ‖ διονυσοκόλακες Z^b. ‖ 24. μεταφοραί Y^bZ^b. ‖ 30. τὸ ἀνάσσειν μεῖζον Z^b. ‖ 32. ἢ ἡδείας QY^bZ^b. ‖ 33. κραυγὴν καὶ καλλιόπης A^c. ‖ 34. φαιναί Q. ‖ 35. δεῖ, ἀλλ' ἐκ τῶν] διαλέκτων A^c. ‖ 36. ὁμο- pr Y^b.

1. πυρίχαλκον $QY^bZ^bA^c$. ‖ 3. συκίας Y^bZ^b. ‖ 9. ὡς om A^c. ‖ 13. ἔχων QY^bZ^b. ‖ 14. ἄλλυ ἄλλο A^c. ‖ 15. θετόν Z^b. ‖ A^c. ‖ 27. θυγατέρες QY^bZ^b. ‖ 28. ὑπ' ὀρκίζεσθαι et ὑπορκισμὸς A^c. ‖ 30. ὁ om QY^bZ^b. ‖ 33. δεῖ om Q. ‖ 34. γίνονται Z^b.

ἐπιορκήσαντας καὶ κατευορκήσαντας. καὶ ὡς Ἀλκιδάμας "μένυς μὲν τὴν ψυχὴν πληρυμένην, πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην," καὶ "τελεσφόρον ᾠήθη τὴν προθυμίαν αὐτῶν γενήσεσθαι," καὶ "τελεσφόρον τὴν πειθὼ τῶν λόγων κατέςησεν," καὶ "κυανόχρων τὸ τῆς θαλάττης ἔδαφος·" πάντα γὰρ ταῦτα ποιητικὰ διὰ τὴν δίπλωσιν φαίνεται. μία μὲν ὖν αὕτη αἰτία, μία δὲ τὸ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων Ξέρξην πέλωρον ἄνδρα, καὶ Σκίρων σίννις ἀνήρ, καὶ Ἀλκιδάμας ἄθυρμα τῇ ποιήσει, καὶ τὴν τῆς φύσεως ἀτασθαλίαν, καὶ ἀκράτῳ τῆς διανοίας ὀργῇ τεθηγμένον. τρίτον δ' ἐν τοῖς ἐπιθέτοις τὸ ἢ μακροῖς ἢ ἀκαίροις ἢ πυκνοῖς χρῆσθαι· ἐν μὲν γὰρ ποιήσει πρέπει γάλα λευκὸν εἰπεῖν, ἐν δὲ λόγῳ τὰ μὲν ἀπρεπέστερα, τὰ δέ, ἂν ᾖ κατακορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν ὅτι ποίησίς ἐςιν· ἐπεὶ δεῖ γε χρῆσθαι αὐτῇ· ἐξαλλάττει γὰρ τὸ εἰωθός, καὶ ξενικὴν ποιεῖ τὴν λέξιν. ἀλλὰ δεῖ ςοχάζεσθαι τῦ μετρίυ, ἐπεὶ μεῖζον ποιεῖ κακὸν τῦ εἰκῇ λέγειν· ἡ μὲν γὰρ ὐκ ἔχει τὸ εὖ, ἡ δὲ τὸ κακῶς. διὸ τὰ Ἀλκιδάμαντος ψυχρὰ φαίνεται· ὐ γὰρ ἡδύσματι χρῆται ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις, οὕτω πυκνοῖς καὶ μείζοσι καὶ ἐπιδήλοις, οἷον ὐχ ἱδρῶτα ἀλλὰ τὸν ὑγρὸν ἱδρῶτα, καὶ οὐκ εἰς Ἴσθμια ἀλλ' εἰς τὴν τῶν Ἰσθμίων πανήγυριν, καὶ οὐχὶ νόμυς ἀλλὰ τοὺς τῶν πόλεων βασιλεῖς νόμυς, καὶ ὐ δρόμῳ ἀλλὰ δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ, καὶ ὐχὶ μυσεῖον ἀλλὰ τὸ τῆς φύσεως παραλαβὼν μουσεῖον, καὶ σκυθρωπὸν τὴν φροντίδα τῆς ψυχῆς, καὶ ὐ χάριτος ἀλλὰ πανδήμυ χάριτος δημιυργός, καὶ οἰκονόμος τῆς τῶν ἀκυόντων ἡδονῆς, καὶ οὐ κλάδοις ἀλλὰ τοῖς τῆς ὕλης κλάδοις ἀπέκρυψεν, καὶ ὐ τὸ σῶμα παρήμπισχεν ἀλλὰ τὴν τῦ σώματος αἰσχύνην, καὶ ἀντίμιμον τὴν τῆς ψυχῆς ἐπιθυμίαν (τῦτο δ' ἅμα καὶ διπλῦν καὶ ἐπίθετον, ὥςε ποίημα γίνεται), καὶ ὕτως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν. διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι, καὶ τὸ ἀσαφὲς διὰ τὴν ἀδολεσχίαν· ὅταν γὰρ γιγνώσκοντι ἐπεμβάλλῃ, διαλύει τὸ σαφὲς τῷ ἐπισκοτεῖν· οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται, ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ χρονοτριβεῖν· ἀλλ' ἂν πολύ, πάντως ποιη-

τικόν. διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυρα
ποιοῖς· ὗτοι γὰρ ψοφώδεις· αἱ δὲ γλῶτται τοῖς ἐπο
σεμνὸν γὰρ καὶ αὔθαδες· ἡ μεταφορὰ δὲ τοῖς ἰαμ
τύτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται. καὶ ἔτι τέτ
τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίγνεται· εἰσὶ γὰ
μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται
καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σ
ἄγαν καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρρωθεν. οἷον
γίας "χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ δὲ τ
αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρισας·" ποιητικῶς
ἄγαν. καὶ ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν ἐπιτεχ
τῶν νόμων, καὶ τὴν Ὀδύσσειαν καλὸν ἀνθρωπίνου
κάτοπτρον, καὶ "ὐδὲν τοιῦτον ἄθυρμα τῇ ποιήσει προ
ρων·" ἅπαντα γὰρ ταῦτα ἀπίθανα διὰ τὰ εἰρημένα
δὲ Γοργίου εἰς τὴν χελιδόνα, ἐπεὶ κατ' αὐτοῦ πετ
ἀφῆκε τὸ περίττωμα, ἄριστα τῶν τραγικῶν· εἶπε
"αἰσχρόν γε ὦ Φιλομήλα." ὄρνιθι μὲν γάρ, εἰ ἐποί
ὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν. εὖ ὖν ἐλοιδόρησεν ε
ὃ ἦν, ἀλλ' ὐχ ὃ ἔςιν.

Ἔςι δὲ καὶ ἡ εἰκὼν μεταφορά· διαφέρει γὰρ μι
ὅταν μὲν γὰρ εἴπῃ τὸν Ἀχιλλέα "ὡς δὲ λέων ἐπόρυσ
εἰκών ἐςιν, ὅταν δὲ "λέων ἐπόρυσε," μεταφορά· διὰ
τὸ ἄμφω ἀνδρείυς εἶναι, προσηγόρευσε μετενέγκας λέ
τὸν Ἀχιλλέα. χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλι
κις δέ· ποιητικὸν γάρ. οἰστέαι δὲ ὥσπερ αἱ μεταφ
μεταφοραὶ γάρ εἰσι διαφέρυσαι τῷ εἰρημένῳ. εἰσὶ δ' ε
νες οἷον ἣν Ἀνδροτίων εἰς Ἰδριέα, ὅτι ὅμοιος τοῖς ἐκ
δεσμῶν κυνιδίοις· ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνει,
Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν. καὶ
Θεοδάμας εἴκαζεν Ἀρχίδαμον Εὐξένῳ γεωμετρεῖν ὐκ ἐπ
ςαμένῳ ἐν τῷ ἀνάλογον· ἔςαι γὰρ καὶ ὁ Εὔξενος Ἀρ
δαμος γεωμετρικός. καὶ τὸ ἐν τῇ πολιτείᾳ τῇ Πλάτω
ὅτι οἱ τὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις
τὺς λίθυς δάκνει τῦ βάλλοντος ὐχ ἁπτόμενα. καὶ ἡ
τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκω
δέ. καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄ
κάλλυς ὡραίοις· οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ δια

2. μένυς] μὲν ὖς A^c. ‖ πυρίχρων Q. ‖ 5. κυανόχρυν Q. ‖ θετταλῦ Q, θεττάλυ Y^bZ^b. ‖ 6. ταῦτα γὰρ A^c. ‖ 8. πέλωρον] τὸν πε ριον QY^bZ^b. ‖ 10. ἀκράτωο QY^bZ^b. ‖ 14. ποιήσεως Q. ‖ 15. αὐτῶι A^c. ‖ 19. ἐδέσματα Z^b. ‖ 22. νόμυ A^c. ‖ τοὺς om A^c. ‖ νομίμυς A^c. ‖ δρομαῖαι QZ^b. ‖ δρομαῖαι Q. ‖ 25. περιλαβὼν A^c. ‖ 28. τοῖς om QY^bZ^b. ‖ 29. ἀντίμιμον γς Y^b, τίμιον QY^bZ^bA 31. ἐξεῦρον $QY^bZ^bA^c$. ‖ 32. ποιηταὶ Q. ‖ 34. ἐπεμβάλῃ QY^bZ^b. ‖ 35. ἐπισκοπεῖν Q.

1. χρησιμώτατον QZ^b et pr Y^b. ‖ 3. ἡ om QY^bZ^b. ‖ δὲ om A^c. ‖ 9. ἄναιμα QY^bZ^b. ‖ 10. μὲν om A^c. ‖ ποιητικὸν Q 16. ἐπεὶ A^c. ‖ 17. αἰσχρόν γε om Q. ‖ 22. ὅτι QY^bZ^b. ‖ τὸ γὰρ A^c. ‖ 23. μετενεγκὼν QY^bZ^b. ‖ 27. ἦν Y^bZ^b. ‖ 31. ἐν τῷ] ἐκ τῦ QY^bZ^b. ‖ ἔςι QY^bZ^b. ‖ ὁ] ἡ Z^b. ‖ 32. πολιτίδι A^c, πολιτεία διὰ QY^bZ^b. ‖ τῦ et 34. τῶν βαλλόντων QY^bZ^b. ‖ 34. ἡ] ὁ δημοσθένης QY^bZ^b. ‖ 35. ὑποκόφῳ QZ^b. ‖ 37. ἀπανθίσαντες A^c.

θέντα οὐχ ὅμοια φαίνεται. καὶ ἡ Περικλέους εἰς Σαμίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχεται μέν, κλαίοντα δέ. καὶ εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις· τούς τε γὰρ πρίνους ὑφ' αὑτῶν κατακόπτεσθαι, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους. καὶ ὁ Δημοσθένης τὸν δῆμον, ὅτι ὅμοιός ἐστι τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσιν. καὶ ὡς ὁ Δημοκράτης εἴκασε τοὺς ῥήτορας ταῖς τίτθαις αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν. καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει. πάσας γὰρ ταύτας καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν· ὥστε ὅσαι ἂν εὐδοκιμῶσιν ὡς μεταφοραὶ λεχθεῖσαι, δῆλον ὅτι αὗται καὶ εἰκόνες ἔσονται, καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι. ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἐπὶ θάτερα καὶ ἐπὶ τῶν ὁμογενῶν· οἷον εἰ ἡ φιάλη ἀσπὶς Διονύσου, καὶ τὴν ἀσπίδα ἁρμόττει λέγεσθαι φιάλην Ἄρεος. ὁ μὲν οὖν λόγος συντίθεται ἐκ τούτων.

5 Ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν· τοῦτο δ' ἐστὶν ἐν πέντε, πρῶτον μὲν ἐν τοῖς συνδέσμοις, ἂν ἀποδιδῷ τις ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων, οἷον ἔνιοι ἀπαιτοῦσιν, ὥσπερ ὁ μέν καὶ ὁ ἐγὼ μέν ἀπαιτεῖ τὸν δέ καὶ τὸν ὁ δέ. δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου· ὀλιγαχοῦ γὰρ ἁρμόττει. "ἐγὼ δ', ἐπεί μοι εἶπεν (ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ ἀξιῶν) ἐπορευόμην παραλαβὼν αὐτούς." ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου προεμβέβληνται σύνδεσμοι. ἐὰν δὲ πολὺ τὸ μεταξὺ γένηται τοῦ ἐπορευόμην, ἀσαφές. ἓν μὲν δὴ τὸ εὖ ἐν τοῖς συνδέσμοις, δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν καὶ μὴ τοῖς περιέχουσιν. τρίτον, μὴ ἀμφιβόλοις· ταῦτα δέ, ἂν μὴ τἀναντία προαιρῆται. ὅπερ ποιοῦσιν, ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, προσποιῶνται δέ τι λέγειν· οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει λέγουσι ταῦτα, οἷον Ἐμπεδοκλῆς· φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν· ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεύουσιν.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

καὶ διὰ τὸ ὅλως ἔλαττον εἶναι ἁμάρτημα, διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις· τύχοι γὰρ ἄν τις μᾶλλον ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει, καὶ τὸ ὅτι ἔσται ἢ τὸ πότε, διὸ οἱ χρησμολόγοι οὐ προσορίζονται τὸ πότε. ἅπαντα δὴ ταῦτα ὅμοια· ὥστ' ἂν μὴ τοιούτου τινὸς ἕνεκα, φευκτέον. τέταρτον, ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη· δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς· "ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα ᾤχετο." πέμπτον, ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν· "οἱ δ' ἐλθόντες ἔτυπτόν με." ὅλως δὲ δεῖ εὐανάγνωστον εἶναι τὸ γεγραμμένον καὶ εὔφραστον· ἔστι δὲ τὸ αὐτό. ὅπερ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν, οὐδ' ἃ μὴ ῥᾴδιον διαστίξαι, ὥσπερ τὰ Ἡρακλείτου. τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος· φησὶ γὰρ "τοῦ λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίγνονται·" ἄδηλον γὰρ τὸ ἀεί, πρὸς ὁποτέρῳ διαστίξαι. ἔτι δὲ ποιεῖ σολοικίζειν τὸ μὴ ἀποδιδόναι, ἐὰν μὴ ἐπιζευγνύῃς ἀμφοῖν ὃ ἁρμόττει· οἷον ἢ ψόφον ἢ χρῶμα, τὸ μὲν ἰδὼν οὐ κοινόν, τὸ δ' αἰσθόμενος κοινόν. ἀσαφῆ δὲ καὶ ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν· οἷον "ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ τάδε καὶ τάδε καὶ ὧδε πορεύεσθαι," ἀλλὰ μὴ "ἔμελλον γὰρ διαλεχθεὶς πορεύεσθαι, εἶτα τάδε καὶ τάδε καὶ ὧδε ἐγένετο."

Εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε, τὸ 6
λόγῳ χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον. εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα. καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές· ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ αἰσχρόν, τοὔνομα λέγειν, ἐὰν δ' ἐν τῷ ὀνόματι, τὸν λόγον. καὶ μεταφοραῖς δηλοῦν καὶ τοῖς ἐπιθέτοις, εὐλαβούμενον τὸ ποιητικόν. καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν· ἑνὸς ὄντος λιμένος ὅμως λέγουσι "λιμένας εἰς Ἀχαϊκούς" καὶ "Δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί." καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, "τῆς γυναικὸς τῆς ἡμετέρας·" ἐὰν δὲ συντόμως, τοὐναντίον "τῆς ἡμετέρας γυναικός." καὶ μετὰ συνδέσμου λέγειν· ἐὰν δὲ συντόμως, ἄνευ μὲν συνδέσμου, μὴ ἀσύνδετα δέ, οἷον

6. ὁ om A^c. ‖ 7. τιτθαῖς A^c, τίθαις Z^b. ‖ 9. τοῦ λεπτοῦ γε Y^b. ‖ 13. μεταφορᾶς A^c. ‖ 15. θατέρου Z^b. ‖ 17. ἄρεως A^c. ‖ 24. ἀπαντᾶν Q. ‖ 26. ἦλθέ τε γὰρ QZ^b et pr Y^b. ‖ κλέων] καὶ κλέων Z^b et pr Y^b. ‖ 27. τούτῳ corr Y^b. ‖ 29. ἂν QY^bZ^b. ‖ 37. γὰρ om QY^bZ^b.

3. μᾶλλον prius om QY^bZ^b. ‖ 4. ὅτι] ὅσα Q. ‖ 5. προσοργίζονται A^c. ‖ τὸ om QZ^bA^c. ‖ 17. ὄντος QY^bZ^b. ‖ 18. προτέρῳ A^c. ‖ an δεῖ στίξαι? ‖ δὲ] τάδε A^c. ‖ 21. καὶ om A^c. ‖ προσθεὶς $Y^bZ^bA^c$, προσθῇς Q. ‖ εἴπῃς om Q. ‖ 24. εἰ A^c. ‖ 25. ὧδε δεῖ ἐγένοντο A^c. ‖ 26. τὸ] τῷ A^c. ‖ 31. μεταφοραὶ A^c. ‖ 32. ἓν om QZ^bA^c et pr Y^b. ‖ 34. ἀχαιϊκὰς QY^bZ^b. ‖ δέλτου μία δὲ Y^b, δελτούμεναι δὲ QZ^bA^c. ‖ 38. μὲν om Q.

πορευθεὶς καὶ διαλεχθείς, πορευθεὶς διελέχθην. καὶ τὸ Ἀντιμάχυ χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τῦ Τευμησσῦ, "ἔςι τις ἠνεμόεις ὀλίγος λόφος·" αὔξεται γὰρ ὕτως εἰς ἄπειρον. ἔστι δὲ τῦτο καὶ ἐπὶ ἀγαθῶν καὶ κακῶν, ὅπως ὐκ ἔχει, ὁποτέρως ἂν ᾖ χρήσιμον. ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσι, τὸ ἄχορδον καὶ τὸ ἄλυρον μέλος· ἐκ τῶν ςερήσεων γὰρ ἐπιφέρυσιν· εὐδοκιμεῖ γὰρ τῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον ταῖς ἀνάλογον, οἷον τὸ φάναι τὴν σάλπιγγα εἶναι μέλος ἄλυρον.

7 Τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον. τὸ δ' ἀνάλογόν ἐςιν, ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέγηται μήτε περὶ εὐτελῶν σεμνῶς, μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν ἂν "πότνια συκῆ." παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένυ λέξις, ἐὰν δὲ ἀσεβῆ καὶ αἰσχρά, δυσχεραίνοντος καὶ εὐλαβυμένυ καὶ λέγειν, ἐὰν δὲ ἐπαινετά, ἀγαμένως, ἐὰν δὲ ἐλεεινά, ταπεινῶς, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. πιθανοῖ δὲ τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις· παραλογίζεται γὰρ ἡ ψυχὴ ὡς ἀληθῶς λέγοντος, ὅτι ἐπὶ τοῖς τοιούτοις ὕτως ἔχυσιν, ὥς' οἴονται, εἰ καὶ μὴ ὕτως ἔχει, ὡς ὁ λέγων, τὰ πράγματα ὕτως ἔχειν, καὶ συνομοιοπαθεῖ ὁ ἀκύων ἀεὶ τῷ παθητικῶς λέγοντι, κἂν μηθὲν λέγῃ. διὸ πολλοὶ καταπλήττυσι τὺς ἀκροατὰς θορυβῦντες. καὶ ἠθικὴ δὲ αὕτη ἡ ἐκ τῶν σημείων δεῖξις, ὅτι ἀκολυθεῖ ἡ ἁρμόττυσα ἑκάστῳ γένει καὶ ἕξει. λέγω δὲ γένος μὲν καθ' ἡλικίαν, οἷον παῖς ἢ ἀνὴρ ἢ γέρων, καὶ γυνὴ ἢ ἀνήρ, καὶ Λάκων ἢ Θετταλός, ἕξεις δέ, καθ' ἃς ποιός τις τῷ βίῳ· οὐ γὰρ καθ' ἅπασαν ἕξιν οἱ βίοι ποιοί τινες. ἐὰν ὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος· ὐ γὰρ ταὐτὰ ὐδ' ὡσαύτως ἀγροῖκος ἂν καὶ πεπαιδευμένος εἴπειεν. πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι, "τίς δ' ὐκ οἶδεν;" "ἅπαντες ἴσασιν·" ὁμολογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες. τὸ δ' εὐκαίρως ἢ μὴ εὐκαίρως χρῆσθαι

κοινὸν ἁπάντων τῶν εἰδῶν ἐςίν. ἄκος δ' ἐπὶ πάσῃ βολῇ τὸ θρυλύμενον· δεῖ γὰρ αὐτὸν αὑτῷ προσε[...] τειν· δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ ὐ λανθάνει γε τὸν λέγοντα. ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα σθαι· ὕτω γὰρ κλέπτεται ὁ ἀκροατής. λέγω δὲ [...] τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ π[...] καὶ τοῖς ἁρμόττυσιν· εἰ δὲ μή, φανερὸν γίνεται ὃ[...] ἐςιν. ἐὰν δὲ τὸ μὲν τὸ δὲ μή, λανθάνει ποιῶν τ[...] ἐὰν οὖν τὰ μαλακὰ σκληρῶς καὶ τὰ σκληρὰ μ[...] λέγηται, ἀπίθανον γίγνεται. τὰ δὲ ὀνόματα τὰ [...] καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁ[...] λέγοντι παθητικῶς· συγγνώμη γὰρ ὀργιζομένῳ κα[...] ναι οὐρανόμηκες ἢ πελώριον εἰπεῖν. καὶ ὅταν ἔχῃ [...] ἀκροατὰς καὶ ποιήσῃ ἐνθυσιάσαι ἢ ἐπαίνοις ἢ ψ[...] ὀργῇ ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ παν[...] ἐπὶ τέλει, "φήμη δὲ καὶ γνώμη" καὶ "οἵ τινες ἔτλ[...] φθέγγονταί τε γὰρ τὰ τοιαῦτα ἐνθουσιάζοντες, ὥσ[...] ἀποδέχονται δῆλον ὅτι ὁμοίως ἔχοντες. διὸ καὶ τῇ [...] ἥρμοσεν· ἔνθεον γὰρ ἡ ποίησις. ἢ δὴ οὕτω δεῖ, [...] εἰρωνείας, ὅπερ Γοργίας ἐποίει καὶ τὰ ἐν τῷ Φαίδ[...]

Τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρο[...] μήτε ἄρρυθμον· τὸ μὲν γὰρ ἀπίθανον (πεπλάσθ[...] δοκεῖ) καὶ ἅμα καὶ ἐξίστησιν· προσέχειν γὰρ π[...] ὁμοίῳ, πότε πάλιν ἥξει. ὥσπερ ὖν τῶν κηρύκων π[...] βάνυσι τὰ παιδία τὸ "τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀ[...] θερούμενος; Κλέωνα." τὸ δὲ ἄρρυθμον ἀπέραντον, πεπεράνθαι μέν, μὴ μέτρῳ δέ· ἀηδὲς γὰρ καὶ ἄγ[...] τὸ ἄπειρον. περαίνεται δὲ ἀριθμῷ πάντα· ὁ δὲ τ[...] ματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐςιν, ὖ καὶ τὰ τμητά. διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον ἄ[...] ποίημα γὰρ ἔςαι. ῥυθμὸν δὲ μὴ ἀκριβῶς· τῦτο δὲ ἐὰν μέχρι τυ ᾖ. τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμ[...] λεκτικὸς καὶ ἁρμονίας δεόμενος, ὁ δ' ἴαμβος αὐτ[...] ἡ λέξις ἡ τῶν πολλῶν· διὸ μάλιςα πάντων τῶν μ[...] ἰαμβεῖα φθέγγονται λέγοντες. δεῖ δὲ σεμνότητα γε[...] καὶ ἐκςῆσαι. ὁ δὲ τροχαῖος κορδακικώτερος· δηλοῖ [...]

2. ὃ] οἷον QY^bZ^b. ‖ 3. τευμισσῦ Q. ‖ 7 et 9. μέρος A^c. ‖ 8. γὰρ] δὲ QY^bZ^b. ‖ τοῖς ἀνάλογον Y^bZ^b, τοῖς ἀνάλογον ταῖς [...]γον QA^c. ‖ 12. αὐτοκαυδάλως γς Y^b, αὐτοκιβδήλως $QY^bZ^bA^c$. ‖ 13. μητ' QY^bZ^b. ‖ 14. ἐπῇ] εἰ πῇ A^c. ‖ 15. ἔνια om pr Y^b [...] om QY^bZ^b. ‖ 16. σύ QY^bZ^b. ‖ παθητικὸν Z^b. ‖ 17. δυσχεραινόντως καὶ εὐλαβυμένως QY^bZ^b. ‖ 18. καὶ om Q. ‖ 20. δὲ om [...] 22. ἴχει] ἔχειν A^c. ‖ 23. συνομοπαθεῖ A^c. ‖ ἀεὶ ὁ ἀκύων QY^bZ^b. ‖ 24. παθητικῶι A^c. ‖ 31. τῆι λέξει A^c. ‖ 32. ὐθ' codices. etiam ante ἀγροῖκος A^c. ‖ εἴποιεν QY^bZ^b. ‖ 33. κατακορεῖ et 34. εἶδεν A^c.

2. θρυλλύμενον QY^bZ^b. ‖ 5. κέκλεπται A^c. ‖ ἂν Q, om Z^b. ‖ 8. τόδε $QY^bZ^bA^c$. ‖ τόδε Y^b. ‖ λανθάνῃ QZ^b. ‖ 9. τὰς [...]κὰς A^c. ‖ 10. τὰ ἐπίθετα καὶ διπλᾶ QY^bZ^b. ‖ 13. ἤδη ἔχῃ Y^bZ^b, δὴ ἔχῃ Q. ‖ 20. εἰρωνίας A^c, εἰρωνείαν Q. ‖ 34. πάντες A^c. [...] σεμνοτέραν QY^bZ^b. ‖ 36. τὰ om Y^bZ^b.

μετρα· ἔςι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα. λεί- δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχȣ ἀρξά- ὐκ εἶχον δὲ λέγειν τίς ἦν. ἔςι δὲ τρίτος ὁ παιάν, χόμενος τῶν εἰρημένων· τρία γὰρ πρὸς δύ' ἐςίν, ἐκεί- ὲ ὁ μὲν ἓν πρὸς ἕν, ὁ δὲ δύο πρὸς ἕν. ἔχεται δὲ ,όγων τȣ́των ὁ ἡμιόλιος· οὗτος δ' ἐστὶν ὁ παιάν. οἱ ν ἄλλοι διά τε τὰ εἰρημένα ἀφετέοι, καὶ διότι με- ' ὁ δὲ παιὰν ληπτέος· ἀπὸ μόνȣ γὰρ ȣ̓κ ἔςι μέτρον ηθέντων ῥυθμῶν, ὥςε μάλιστα λανθάνειν. νῦν μὲν ῶνται τῷ ἑνὶ παιᾶνι καὶ ἀρχόμενοι, δεῖ δὲ διαφέ- τὴν τελευτὴν τῆς ἀρχῆς. ἔστι δὲ παιᾶνος δύο εἴδη ίμενα ἀλλήλοις, ὧν τὸ μὲν ἓν ἀρχῇ ἁρμόττει, ὥσ- :αὶ χρῶνται· οὗτος δ' ἐςὶν οὗ ἄρχει μὲν ἡ μακρά, τῶσι δὲ τρεῖς βραχεῖαι, "Δαλογενὲς εἴτε Λυκίαν" καὶ εοκόμα Ἕκατε παῖ Διός." ἕτερος δ' ἐξ ἐναντίας, οὗ εῖαι ἄρχȣσι τρεῖς, ἡ δὲ μακρὰ τελευταία· "μετὰ δὲ ιδατά τ' ὠκεανὸν ἠφάνισε νύξ." οὗτος δὲ τελευτὴν ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι ποιεῖ κολοβόν. δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι καὶ δήλην εἶναι τὴν τήν, μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγρα- ἀλλὰ διὰ τὸν ῥυθμόν. ὅτι μὲν ȣ̓̃ν εὔρυθμον δεῖ εἶναι έξιν καὶ μὴ ἄρρυθμον, καὶ τίνες εὔρυθμον ποιοῦσι ι καὶ πῶς ἔχοντες, εἴρηται.

Τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην καὶ τῷ συν- μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί, ἢ ραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀν- ὅοις. ἡ μὲν ȣ̓̃ν εἰρομένη λέξις ἡ ἀρχαία ἐςίν· "Ἡρο- Θȣρίȣ ἥδ' ἱςορίης ἀπόδειξις·" ταύτῃ γὰρ πρότερον μὲν ες, νῦν δὲ ȣ̓ πολλοὶ χρῶνται. λέγω δὲ εἰρομένην, ἣ χει τέλος καθ' αὑτήν, ἂν μὴ τὸ πρᾶγμα λεγόμενον θῇ. ἔστι δὲ ἀηδὲς διὰ τὸ ἄπειρον· τὸ γὰρ τέλος ς βȣ́λονται καθορᾶν. διόπερ ἐπὶ τοῖς καμπτῆρσιν ἐκ- καὶ ἐκλύονται· προορῶντες γὰρ τὸ πέρας ȣ̓ κάμνȣσι ιον. ἡ μὲν ȣ̓̃ν εἰρομένη τῆς λέξεώς ἐςιν ἥδε, κατε- μένη δὲ ἡ ἐν περιόδοις· λέγω δὲ περίοδον λέξιν ἔχȣ- ρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτὴν καὶ μέγεθος εὐσύνοπτον. ἡδεῖα δ' ἡ τοιαύτη καὶ εὐμαθής, ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ, καὶ ὅτι ἀεί τι οἴεται ἔχειν ὁ ἀκροατὴς τῷ ἀεὶ πεπεράνθαι τι αὐτῷ· τὸ δὲ μηδὲν προνοεῖν εἶναι μηδὲ ἀνύειν ἀηδές. εὐμαθὴς δέ, ὅτι εὐμνημόνευτος. τȣ̃το δέ, ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον. διὸ καὶ τὰ μέτρα πάντες μνημονεύȣσι μᾶλλον τῶν χύδην· ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται. δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέȣς ἰαμβεῖα,

Καλυδὼν μὲν ἥδε γαῖα Πελοπείας χθονός·

τȣ̓ναντίον γὰρ ἔςιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένȣ τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου. περίοδος δὲ ἡ μὲν ἐν κώλοις, ἡ δ' ἀφελής. ἔςι δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευςος, μὴ ἐν τῇ διαιρέσει ὥσπερ ἡ εἰρημένη περίοδος, ἀλλ' ὅλη. κῶλον δ' ἐςὶ τὸ ἕτερον μόριον ταύτης. ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδȣς μήτε μυούρȣς εἶναι μήτε μακράς. τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν· ἀνάγκη γάρ, ὅταν ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, ȣ̔̃ ἔχει ἐν ἑαυτῷ ὅρον, ἀντισπασθῇ παυσαμένȣ, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρȣσιν. τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τȣ̃ τέρματος· ἀπολείπȣσι γὰρ καὶ ȣ̔̃τοι τȣ̀ς συμπεριπατȣ̃ντας. ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ ȣ̓̃σαι λόγος γίνεται καὶ ἀναβολῇ ὅμοιον. ὥστε γίνεται ὃ ἔσκωψε Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιςρόφων ἀναβολάς,

οἷ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίςη·

ἁρμόττει γὰρ τὸ τοιȣ̃τον καὶ εἰς τȣ̀ς μακροκώλȣς λέγειν. αἵ τε λίαν βραχύκωλοι ȣ̓ περίοδος γίγνεται· προπετῆ ȣ̓̃ν ἄγει τὸν ἀκροατήν. τῆς δὲ ἐν κώλοις λέξεως ἡ μὲν διῃρημένη ἐςὶν ἡ δὲ ἀντικειμένη, διῃρημένη μὲν οἷον "πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγόντων καὶ τȣ̀ς γυμνικȣ̀ς ἀγῶνας καταςησάντων," ἀντικειμένη δέ, ἐν ᾗ ἑκατέρῳ τῷ κώλῳ ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται ἢ ταὐτὸ

. ἔςι — τετράμετρα om Q. ‖ ῥυθμὸς τροχαῖος A^c. ‖ 2. παιδείαν A^c. ‖ μὲν] μὲν ὡς ἐν ἀπορρήτῳ QY^bZ^b. ‖ 4. γὰρ] δὲ QZ^b. ‖ ȣ̓̃ν Q. ‖ 9. εἰρηθέντων Q. ‖ 12. ἐν om QY^bZ^b. ‖ ὥπερ Q. ‖ 14. ἥ τε QY^bZ^b. ‖ λυκία Q. ‖ 15. ἑτέρα QZ^b. ‖ 18. ποιεῖν 20. γράφοντα QY^bZ^b. ‖ 23. ῥυθμὸν Q. ‖ 24. τῶν συνδέσμων A^c. ‖ 28. θυρίȣ A^c. ‖ ἥδ' ἱςορίης] ἥδις' Z^b, om cum ipso ἀπόδει- ‖ ταύτην A^c. ‖ πρότεροι Q. ‖ 31. τελειωθείη $QY^bZ^bA^c$. ‖ 34. εἰρημένη Z^b, ἠρωμένη Q.

. ἔχειν οἴεται QY^bZ^b. ‖ 3. τῷ ἀεὶ] καὶ A^c. ‖ πεπεράσθαι A^c. ‖ δὲ] γὰρ Q. ‖ 4. ἀνοίγειν A^c. ‖ 6. τῶν μέτρων et 8. τῇ περιόδῳ ^{b}. ‖ 10. καὶ λυδῶν Z^b. ‖ πελοπίας A^c. ‖ 14. λόγος Q. ‖ διηρτισμένη γρ Y^b. ‖ 15. εἰρημένη om A^c. ‖ 18. μειούρȣς QY^bZ^b. ‖ ροσπταίειν A^c. ‖ 20. ȣ̔] ȣ̓τ' $QY^bZ^bA^c$. ‖ 21. ὅρȣ A^c et corr Y^b, πόρον pr Y^b. ‖ ἀντισπασθῆναι Z^b. ‖ 22. μικρὰ Z^b. ‖ 23. Q. ‖ 24. περιπατȣ̃ντας QZ^b et pr Y^b. ‖ 25. ἄλογος A^c. ‖ ἀναβολῆς Y^bZ^b. ‖ 27. ἀναβολὴν QY^bZ^b. ‖ 29. κακίςη] κακίςη . ‖ 31. προπετῶς et 32. κώλῳ QY^bZ^b. ‖ 33. ἐθαύμασα πολλάκις et 34. ἀγόντων QY^bZ^b.

ἐπέζευκται τοῖς ἐναντίοις, οἷον "ἀμφοτέρους δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δὲ ἱκανὴν τὴν οἴκοι κατέλιπον." ἐναντία ὑπομονὴ ἀκολούθησις, ἱκανὸν πλεῖον. "ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι βουλομένοις." ἀπόλαυσις κτήσει ἀντίκειται. καὶ ἔτι "συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν." "εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον." "πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας." "καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πόλεως στέρεσθαι." "οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ' αἰσχρῶς ἐσώθησαν." "ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας." "ἢ ζῶντας ἄξειν ἢ τελευτήσαντας καταλείψειν." καὶ ὃ εἰς Πειθόλαόν τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ, "οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται." ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον. ἡδεῖα δ' ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παράλληλα μᾶλλον γνώριμα, καὶ ὅτι ἔοικε συλλογισμῷ· ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστίν. ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτόν ἐστιν, παρίσωσις δ' ἐὰν ἴσα τὰ κῶλα, παρομοίωσις δ' ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον. ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ ἢ ἐπὶ τελευτῆς ἔχειν. καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα. ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα "ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν παρ' αὐτοῦ," "δωρητοί τ' ἐπέλοντο παράρρητοί τ' ἐπέεσσιν·" ἐπὶ τελευτῆς δὲ "ᾠήθησαν αὐτὸν παιδίον τετοκέναι, ἀλλ' αὐτοῦ αἴτιον γεγονέναι," "ἐν πλείσταις δὲ φροντίσι καὶ ἐν ἐλαχίσταις ἐλπίσιν." πτῶσις δὲ ταὐτοῦ "ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ." ταὐτὸ δ' ὄνομα "σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς καὶ νῦν γράφεις κακῶς." ἀπὸ συλλαβῆς δὲ "τί ἂν ἔπαθες δεινόν, εἰ ἄνδρ' εἶδες ἀργόν;" ἔστι δὲ ἅμα πάντα ἔχειν ταὐτό,

καὶ ἀντίθεσιν εἶναι ταὐτὸ καὶ πάρισον καὶ ὁμοιοτε[…] αἱ δ' ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτεί[…] ρίθμηνται. εἰσὶ δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον καὶ [...] χαρμος ἐποίει,

τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις [...]

Ἐπεὶ δὲ διώρισται περὶ τούτων, πόθεν λέγετ[…] ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον. ποιεῖν μὲν οὖν [...] εὐφυοῦς ἢ τοῦ γεγυμνασμένου, δεῖξαι δὲ τῆς μεθόδου τ[…] εἴπωμεν οὖν καὶ διαριθμησώμεθα· ἀρχὴ δ' ἔστω ἡμῖν [...] τὸ γὰρ μανθάνειν ῥᾳδίως ἡδὺ φύσει πᾶσίν ἐστι, [...] ὀνόματα σημαίνει τι, ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ [...] μάθησιν, ἥδιστα. αἱ μὲν οὖν γλῶτται ἀγνῶτες, τὰ δ[…] ρια ἴσμεν. ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα· ὅτα[…] εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησε μάθησιν καὶ γνῶσ[…] τοῦ γένους· ἄμφω γὰρ ἀπηνθηκότα. ποιοῦσι μὲν οὖν κ[…] τῶν ποιητῶν εἰκόνες τὸ αὐτό· διόπερ ἂν εὖ, ἀστεῖο[…] νεται. ἔστι γὰρ ἡ εἰκών, καθάπερ εἴρηται πρότερον, [...] φορὰ διαφέρουσα προθέσει· διὸ ἧττον ἡδύ, ὅτι μακρο[…] καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὐκοῦν οὐδὲ ζητεῖ τοῦτο ἡ [...] ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα ταῦτ' εἶναι [...] ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν. διὸ οὔτε τὰ ἐπιπ[…] τῶν ἐνθυμημάτων εὐδοκιμεῖ (ἐπιπόλαια γὰρ λέγομ[…] παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι), οὔτε ὅσα εἰρ[…] ἀγνοούμενά ἐστιν, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ γ[…] γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὕστ[…] ἡ διάνοια· γίγνεται γὰρ οἷον μάθησις, ἐκείνως δὲ οὐδ[…] κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου τὰ τοιαῦτα [...] κιμεῖ τῶν ἐνθυμημάτων, κατὰ δὲ τὴν λέξιν τῷ μὲν [...] ματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον "καὶ τὴν τοῖς ἄ[…] κοινὴν εἰρήνην νομιζόντων τοῖς αὐτῶν ἰδίοις πόλεμον" [...] τίκειται πόλεμος εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μ[…] φοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ συν[…] μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν. ἔτι εἰ πρὸ [...] μάτων ποιεῖ· ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλο[…] μέλλοντα. δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφ[…] ἀντιθέσεως ἐνεργείας. τῶν δὲ μεταφορῶν τεττάρων οὐ[…]

1. οἷον] ἢ Z^b, η pr Y^b, om Q. ‖ 2. ἀκολουθήσοντας A^c. ‖ 3. τῆς] τοῖς Y^bZ^b, τὰ Q. ‖ 4. κατέλειπον ἐναντία γὰρ ὑπομονῇ Q ὑπομονῇ ἡ ἀκολουθία QY^bZ^b. ‖ ἱκανοῦ Q. ‖ 8. ἠξιώθη QZ^b. ‖ 9. θαλάσσης QY^bZ^b. ‖ ἔλαβεν Q. ‖ 10. θαλάσσης QZ^bA^c. ‖ 14. [...] ταις et 16. αὔξειν QY^bZ^b. ‖ 17. τῷ om QY^bZ^b. ‖ 18. ἡμᾶς utrobique QY^bZ^b. ‖ ὄντας Q, ἐόντες Y^bZ^b, ἐόντες A^c. ‖ ἐλθόντας Q 23. οὖν om Y^b. ‖ παρ' ἴσως A^c. ‖ 24. ἑκάτερα τῶν κώλων et 25. τελευτῇ QY^bZ^b. ‖ 26. ἀεὶ] ἄξιον Z^b. ‖ 27. πτῶσις $Y^bZ^bA^c$ 29. ἐπέλονται A^c. ‖ δ' A^c. ‖ 31. αὐτὸν QY^bZ^b. ‖ 32. πτώσεις A^c. ‖ 33. χαλκοῦ] χαλκοῦς Z^b. ‖ 36. ἔχειν αὐτὸ καὶ ἀντίθεσις Q.

5. τόκα μὲν] τότε τόκα μὲν ἐκείνων Z^b. ‖ ἐτήνων Q. ‖ 9. διαριθμήσωμεν ἀρχὴ δ' ἔστω QY^bZ^b. ‖ 11. ὅσω A^c. ‖ 14. καλὴν A^c 15. γένους] γέροντος Q. ‖ ἀπηνθηκότες QY^bZ^b. ‖ 16. εὖ om QZ^b et pr Y^b. ‖ 18. προσθέσει QY^bZ^b. ‖ 24. ἐστιν om A^c. ‖ 25. [...] ρίζειν Q. ‖ 34. ποιεῖν A^c, ποιεῖ ὡς εἴδη ἐνεργοῦσαν Q, ποιεῖ ὡς ἤδη ἐνεργοῦσα Y^bZ^b. ‖ ἢ] ἢ τὰ Q. ‖ 35. ἄρα] ἔτι QZ^b. ‖ 36. ἐνεργείας $Y^bZ^bA^c$, ἐνάρξεως Q.

εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν, ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι. καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην. καὶ Κηφισόδοτος σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἔχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι. καὶ παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισαμένους ἔφη δεῖν ἐξιέναι τὸ Μιλτιάδου ψήφισμα. καὶ Ἰφικράτης σπεισαμένων Ἀθηναίων πρὸς Ἐπίδαυρον καὶ τὴν παραλίαν ἠγανάκτει, φάσκων αὐτοὺς τὰ ἐφόδια τοῦ πολέμου παρῃρῆσθαι. καὶ Πειθόλαος τὴν πάραλον ῥόπαλον τοῦ δήμου, Σηστὸν δὲ τηλίαν τοῦ Πειραιέως. καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε τὴν λήμην τοῦ Πειραιέως. καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν· ἐκεῖνον μὲν γὰρ ἐπιτρίτων τόκων πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων. καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν,

ὑπερήμεροί μοι τῶν γάμων αἱ παρθένοι.

καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον. καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει μύλωνας ποικίλους, ὁ Κύων δὲ τὰ καπηλεῖα τὰ Ἀττικὰ φιδίτια. Αἰσίων δέ, ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν· τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ "ὥστε βοῆσαι τὴν Ἑλλάδα·" καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευε μὴ πολλὰς ποιήσωσι τὰς συνδρομὰς ἐκκλησίας. καὶ Ἰσοκράτης πρὸς τοὺς συντρέχοντας ἐν ταῖς πανηγύρεσιν. καὶ οἷον ἐν τῷ ἐπιταφίῳ, διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας· εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς, μεταφορὰ καὶ πρὸ ὀμμάτων, τὸ δὲ "τῇ ἀρετῇ τῆς ἐλευθερίας" ἀντίθεσίν τινα ἔχει. καὶ ὡς Ἰφικράτης εἶπεν "ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν·" μεταφορὰ κατ' ἀναλογίαν, καὶ τὸ διὰ μέσου πρὸ ὀμμάτων ποιεῖ. καὶ τὸ φάναι παρακαλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά. καὶ Λυκολέων ὑπὲρ Χαβρίου "οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν·" μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ ἀεί, ἀλλὰ πρὸ ὀμμάτων· κινδυνεύοντος γὰρ αὐτοῦ ἱκετεύει ἡ εἰκών, τὸ ἄψυχον δὴ ἔμψυχον, τὸ ὑπόμνημα τῶν τῆς πόλεως ἔργων. καὶ "πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες·" τὸ γὰρ μελετᾶν αὔξειν τι ἐστίν. καὶ ὅτι τὸν νοῦν ὁ θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ· ἄμφω γὰρ δηλοῖ τι. "οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα·" ἄμφω γάρ ἐστι μέλλοντα, καὶ ἡ ἀναβολὴ καὶ ἡ τοιαύτη εἰρήνη. καὶ τὸ τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ παντὸς τοῦ πολέμου· ἄμφω γὰρ νίκης σημεῖα. ὅτι καὶ αἱ πόλεις τῷ ψόγῳ τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν· ἡ γὰρ εὔθυνα βλάβη τις δικαία ἐστίν. ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται.

Λεκτέον δὲ τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι 11
γίγνεται τοῦτο. λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν, ὅσα ἐνεργοῦντα σημαίνει. οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά· ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν. ἀλλὰ τὸ "ἀνθοῦσαν ἔχοντος τὴν ἀκμήν" ἐνέργεια, καὶ τὸ "σὲ δ' ὥσπερ ἄφετον" ἐνέργεια, καὶ "τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες ποσίν" τὸ ᾄξαντες ἐνέργεια καὶ μεταφορά. καὶ ὡς κέχρηται Ὅμηρος πολλαχοῦ τῷ τὰ ἄψυχα ἔμψυχα λέγειν διὰ τῆς μεταφορᾶς. ἐν πᾶσι δὲ τῷ ἐνέργειαν ποιεῖν εὐδοκιμεῖ, οἷον ἐν τοῖσδε, "αὖτις ἐπὶ δάπεδόνδε κυλίνδετο λᾶας ἀναιδής," καὶ "ἔπτατ' ὀϊστός," καὶ "ἐπιπτέσθαι μενεαίνων," καὶ "ἐν γαίῃ ἵσταντο

2. ἠφανίσθη QZ^b et pr Y^b. ‖ 4. ἐξέλη QY^bZ^b. ‖ 9. εὔνοιαν Q. ‖ 10. πεισαμένων Z^b. ‖ 11. ἐπίδαμνον QY^bZ^b. ‖ 13. πιθόλαος τὴν πάραλον A^c. ‖ ῥόπαλον om QY^bZ^b. ‖ μήδμου A^c, μιδου QY^bZ^b. ‖ τὸν δὲ σηστὸν QY^bZ^b. ‖ 14. τὴν λείαν A^c. ‖ 15. μοροκλῆς QZ^b et pr Y^b. ‖ 16. πονηρότερον QY^bZ^b. ‖ 17. τόκων om Y^c. ‖ 18. ἀλεξάνδρου QY^bZ^b. ‖ 21. ἀποκλητικόν A^c, ἀπόπληκτόν Q. ‖ πεύσιππον et 22. πέντε συρίγγων QY^bZ^b. ‖ 24. καπηλικὰ A^c. ‖ τὰ om A^c. ‖ 25. φιλίτια $QY^bZ^bA^c$. ‖ 27. καὶ τοῦτο πρὸ ὀμμάτων τρόπον τινὰ μεταφορά QY^bZ^b. ‖ 32. τῶν om Q. ‖ τετελευτηκότων QY^bZ^b. ‖ 33. αὐτῶν — b 1. ἀρετῇ om Z^b.

2. ὡς om QY^bZ^b. ‖ 7. αἰσχυνθέντος Q, αἰσχύνθητε Y^bZ^b. ‖ 8. ἄλλου καὶ εἰ A^c. ‖ 9. κινδυνευόντων γὰρ αὐτῶν QY^bZ^b. ‖ 10. δι' Q. ‖ 12. αὔξειν] ἀσκεῖν Coraes. ‖ 17. μικρᾶς Q, μικροῦ Y^bZ^b. ‖ 19. αἱ om pr Y^b. ‖ 20. εὐθύνη QY^bZ^b. ‖ 22. τῷ] τὸ Q. ‖ 27. τέλει A^c. ‖ 29. ἐνάργεια utrobique A^c. ‖ ἀφετέον $QY^bZ^bA^c$. ‖ τοὐλεύθερον ἕλληνες A^c, τοὐλεύθερον δ' ἕλληνες Y^bZ^b, τὸ ἐλευθέροις δ' ἕλληνες Q. ‖ 30. τὸ ἐξαίξαντες QY^bZ^b. ‖ 31. πολλαχοῦ ὅμηρος τὸ Q. ‖ 32. λέγειν] ποιεῖν A^c. ‖ 33. τὸ QY^bZ^b. ‖ ἐναργὲς Z^b et pr Y^b. ‖ 34. δ' ἐπὶ QY^bZ^b. ‖ δάπεδόν τε Q. ‖ 35. ὀριστός Q. ‖ ἐπιπτᾶσθαι QY^bZ^b.

λλαιόμενα χροὸς ἆσαι," καὶ "αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα." ἐν πᾶσι γὰρ τούτοις διὰ τὸ ἔμψυχα εἶναι ἐνεργοῦντα φαίνεται· τὸ ἀναισχυντεῖν γὰρ καὶ μαιμᾶν καὶ τἆλλα ἐνέργεια. ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς· ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον, ὁ ἀναισχυντῶν πρὸς τὸν ἀναισχυντούμενον. ποιεῖ δὲ καὶ ἐν ταῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων ταῦτα· "κυρτά, φαληριόωντα· πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·" κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια μίμησις. δεῖ δὲ μεταφέρειν, καθάπερ εἴρηται πρότερον, ἀπὸ οἰκείων καὶ μὴ φανερῶν, οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου, ὥσπερ Ἀρχύτας ἔφη ταὐτὸν εἶναι διαιτητὴν καὶ βωμόν· ἐπ' ἄμφω γὰρ τὸ ἀδικούμενον καταφεύγει. ἢ εἴ τις φαίη ἄγκυραν καὶ κρεμάθραν τὸ αὐτὸ εἶναι· ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν καὶ κάτωθεν. καὶ τὸ ἀνωμαλίσθαι τὰς πόλεις ἐν πολὺ διέχουσι ταὐτό, ἐν ἐπιφανείᾳ καὶ δυνάμεσι τὸ ἴσον. ἔστι δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν· μᾶλλον γὰρ γίγνεται δῆλον ὅτι ἔμαθε παρὰ τὸ ἐναντίως ἔχειν, καὶ ἔοικε λέγειν ἡ ψυχὴ "ὡς ἀληθῶς, ἐγὼ δ' ἥμαρτον." καὶ τῶν ἀποφθεγμάτων δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι λέγειν, οἷον τὸ τοῦ Στησιχόρου, ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται. καὶ τὰ εὖ ᾐνιγμένα διὰ τὸ αὐτὸ ἡδέα· μάθησις γάρ, καὶ λέγεται μεταφορά. καὶ ὃ λέγει Θεόδωρος, τὸ καινὰ λέγειν. γίγνεται δέ, ὅταν παράδοξον ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς τὴν ἔμπροσθεν δόξαν, ἀλλ' ὥσπερ οἱ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα. ὅπερ δύναται καὶ τὰ παρὰ γράμμα σκώμματα· ἐξαπατᾷ γάρ. καὶ ἐν τοῖς μέτροις· οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν· "ἔστειχε δ' ἔχων ὑπὸ ποσσὶ χίμεθλα· ὁ δ' ᾤετο πέδιλα ἐρεῖν. τούτου δ' ἅμα λεγομένου δεῖ δῆλον εἶναι. τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα, οἷον τὸ Θεοδώρου εἰς Νίκωνα τὸν κιθαρῳδόν "θράττει σε·" προσποιεῖται γὰρ λέγειν τὸ "θράττει σε" καὶ ἐξαπατᾷ· ἄλλο γὰρ λέγει· διὸ

μαθόντι ἡδύ, ἐπεὶ εἰ μὴ ὑπολαμβάνει Θρᾷκα εἶ δόξει ἀστεῖον εἶναι. καὶ τὸ "βούλει αὐτὸν πέρσαι." ἀμφότερα προσηκόντως λεχθῆναι. οὕτω δὲ καὶ τὰ οἷον τὸ φάναι Ἀθηναίοις τὴν τῆς θαλάττης ἀρχ ἀρχὴν εἶναι τῶν κακῶν· ὄνασθαι γάρ. ἢ ὥσπερ Ἰσο τὴν ἀρχὴν τῇ πόλει ἀρχὴν εἶναι τῶν κακῶν. ἀμφ γὰρ ὃ οὐκ ἂν ᾠήθη τις ἐρεῖν, τοῦτ' εἴρηται, καὶ ἐγνώ ἀληθές· τό τε γὰρ τὴν ἀρχὴν φάναι ἀρχὴν εἶνα σοφόν· ἀλλ' οὐχ οὕτω λέγει ἀλλ' ἄλλως, καὶ ἀρχὴν εἶπεν ἀπόφησιν, ἀλλ' ἄλλως. ἐν ἅπασι δὲ τούτοις προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τὸ εὖ. οἷον "ἄσχετος οὐκ ἀνάσχετος·" ὁμωνυμίαν ἀπέφ ἀλλὰ προσηκόντως, εἰ ἀηδής. καὶ "οὐκ ἂν γένοιο μ ἢ σε δεῖ ξένος ξένος·" ἢ οὐ μᾶλλον ἢ σὲ δεῖ, τὸ καὶ "οὐ δεῖ τὸν ξένον ξένον αἰεὶ εἶναι·" ἀλλότριον γὰ τοῦτο. τὸ αὐτὸ καὶ τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον, " γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον·" ταὐτὸν γά τῷ εἰπεῖν ἄξιον γὰρ ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθ ἢ ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα, ἢ μὴ τ θανάτου ἄξια. τὸ μὲν οὖν εἶδος τὸ αὐτὸ τῆς λέξεως τ ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τ εὐδοκιμεῖ μᾶλλον. τὸ δ' αἴτιον ὅτι ἡ μάθησις διὰ μ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν ὀλίγῳ θᾶττον γ δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶ γεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον· γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον "ἀποθνήσκειν δεῖ μηθὲν ἁ τάνοντα·" ἀλλ' οὐκ ἀστεῖον. "τὴν ἀξίαν δεῖ γαμεῖν ἄξιον·" ἀλλ' οὐκ ἀστεῖον. ἀλλ' ἐὰν ἅμα ἄμφω ἔχῃ· " γ' ἀποθανεῖν μὴ ἄξιον ὄντα τοῦ ἀποθανεῖν." ὅσῳ δ' ἂν π ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται, οἷον εἰ καὶ τὰ ὀνόμ μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ ρίσωσις, καὶ ἔχοι ἐνέργειαν. εἰσὶ δὲ καὶ αἱ εἰκόνες, ὥσ εἴρηται καὶ ἐν τοῖς ἄνω, αἰεὶ εὐδοκιμοῦσαι τρόπον τινὰ ταφοραί. ἀεὶ γὰρ ἐκ δυοῖν λέγονται, ὥσπερ ἡ ἀνάλ μεταφορά· οἷον ἡ ἀσπίς φαμέν ἐστι φιάλη Ἄρεως,

2. μεμόωσα A^c. ‖ 3. καὶ τὸ μαιμᾶν Q. ‖ 7. ταῖς om QY^bZ^b. ‖ ταυτά $Y^bZ^bA^c$. ‖ 8. πρὸς QY^bZ^b. ‖ 9. ἂν κίνησις? ‖ 11. om QY^bZ^b. ‖ 12. εὔστοχον Q. ‖ ἀρχύτης A^c, ἄρχυτας Z^b. ‖ 14. κρεμάστραν QY^bZ^b. ‖ 15. ταὐτό τι] ταυτότητι Z^b et pr Y^b. ‖ 16. $QY^bZ^bA^c$. ‖ ἄνω μάλιστα εἶναι τὰς πόλεις ἐν πολὺν A^c. ‖ 17. δυνάμει Q. ‖ 18. τὰ post καὶ om Q. ‖ 22. τοῦ post τὸ om A^c. ‖ ἔσονται A^c. ‖ 24. καὶ om Q. ‖ 26. λέγῃ QY^b. ‖ 27. οἱ om Q. ‖ 28. παραγραμμένα Z^b, παρὰ γράμμασι Q et pr Y^b. ‖ 30. ὁ om Q ποσὶ $Y^bZ^bA^c$. ‖ 31. χύμεθλα Q. ‖ ἐρεῖ A^c. ‖ 32. παραγράμματα Q et pr Y^b. ‖ 33. λέγειν om QY^bZ^b. ‖ μεταστρέφειν Z^b.

4. θαλάσσης QY^bZ^b. ‖ 6. εἶναι] τῆς Z^b. ‖ 9. ἀλλ' ἄλλως om QY^bZ^b. ‖ 10. αὐτὸ φησιν A^c. ‖ ἐὰν] ἐὰν μὴ A^c. ‖ 11. ὁμων ἢ μεταφοραί A^c. ‖ 12. τὸ om Q. ‖ ἀνάσχετος QY^bZ^b. ‖ ἀπέφηνεν Q. ‖ 13. ἀηδής] αἰεὶ δίς QY^bZ^b. ‖ 17. ταυτὸ A^c. ‖ 19. σ' om QY^b. ‖ 20. τῆς] τὸ τῆς Q. ‖ 21. ἴσον Q. ‖ τοσοῦτο A^c, τοσοῦτον QZ^b. ‖ 24. προσεῖναι] προσεῖναι ἢ τὸ προσεῖναι A^c. ‖ τὸ alter om A^c. ‖ 25. εἰ] ἢ A^c et corr Y^b. ‖ 26. ταυτὰ QY^b, ταυτὶ Z^b. ‖ 28. ἀλλ' ἐὰν] καὶ ἐὰν A^c. ‖ γ'] γὰρ QY^bZ^b. ‖ 30. τοσούτῳ Q 31. ἀντίσωσις QY^bZ^b. ‖ παρίωσις A^c. ‖ 32. ἔχει Q. ‖ 34. αἰεὶ corr Y^b, ἢ QZ^b. ‖ ἐκ τοῖν δυοῖν Q. ‖ 35. φιάλη ἐστὶν Z^b. ‖ ἄρεως A

τόξον φόρμιγξ ἄχορδος. οὕτω μὲν οὖν λέγουσιν οὐχ ἁπλοῦν, τὸ δ' εἰπεῖν τὸ τόξον φόρμιγγα ἢ τὴν ἀσπίδα φιάλην ἁπλοῦν. καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, λύχνῳ ψακαζομένῳ εἰς μύωπα· ἄμφω γὰρ συνάγεται. τὸ δὲ εὖ ἐστὶν ὅταν μεταφορὰ ᾖ· ἔστι γὰρ εἰκάσαι τὴν ἀσπίδα φιάλῃ Ἄρεος καὶ τὸ ἐρείπιον ῥάκει οἰκίας, καὶ τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασε Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι. ἐν οἷς μάλιστα ἐκπίπτουσιν οἱ ποιηταί, ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν. λέγω δ' ὅταν ἀποδιδῶσιν, "ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ," "ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ." καὶ τὰ τοιαῦτα πάντ' εἰκόνες εἰσίν. αἱ δ' εἰκόνες ὅτι μεταφοραί, εἴρηται πολλάκις. καὶ αἱ παροιμίαι μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδός εἰσιν· οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, ὡς ὁ Καρπάθιός φησι τὸν λαγώ· ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν. ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται καὶ διότι, σχεδὸν εἴρηται τὸ αἴτιον. εἰσὶ δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ μεταφοραί, οἷον εἰς ὑπωπιασμένον "ᾠήθητε δ' ἂν αὐτὸν εἶναι συκαμίνων κάλαθον·" ἐρυθρὸν γάρ τι τὸ ὑπώπιον, ἀλλὰ τὸ πολὺ σφόδρα. τὸ δὲ ὥσπερ τὸ καὶ τό, ὑπερβολὴ τῇ λέξει διαφέρουσα.

ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ·

ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κωρύκῳ.

ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖν·

ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα ἔχειν οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις· σφοδρότητα γὰρ δηλοῦσιν. διὸ ὀργιζόμενοι λέγουσι μάλιστα·

οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
ἔργα δ' Ἀθηναίῃ.

χρῶνται δὲ μάλιστα τούτῳ οἱ Ἀττικοὶ ῥήτορες. διὸ πρεσβυτέρῳ λέγειν ἀπρεπές.

Δεῖ δὲ μὴ λεληθέναι ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει 12 λέξις. οὐ γὰρ ἡ αὐτὴ γραφικὴ καὶ ἀγωνιστική, οὐδὲ δημηγορικὴ καὶ δικανική. ἄμφω δὲ ἀνάγκη εἰδέναι· τὸ μὲν γάρ ἐστιν ἑλληνίζειν ἐπίστασθαι, τὸ δὲ μὴ ἀναγκάζεσθαι κατασιωπᾶν, ἄν τι βούληται μεταδοῦναι τοῖς ἄλλοις, ὅπερ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν. ἔστι δὲ λέξις γραφικὴ μὲν ἡ ἀκριβεστάτη, ἀγωνιστικὴ δὲ ἡ ὑποκριτικωτάτη. ταύτης δὲ δύο εἴδη· ἡ μὲν γὰρ ἠθικὴ ἡ δὲ παθητική. διὸ καὶ οἱ ὑποκριταὶ τὰ τοιαῦτα τῶν δραμάτων διώκουσι, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους. βαστάζονται δὲ οἱ ἀναγνωστικοί, οἷον Χαιρήμων (ἀκριβὴς γὰρ ὥσπερ λογογράφος) καὶ Λικύμνιος τῶν διθυραμβοποιῶν. καὶ παραβαλλόμενοι οἱ μὲν τῶν γραφικῶν ἐν τοῖς ἀγῶσι στενοὶ φαίνονται, οἱ δὲ τῶν ῥητόρων εὖ λεχθέντες ἰδιωτικοὶ ἐν ταῖς χερσίν. αἴτιον δ' ὅτι ἐν τῷ ἀγῶνι ἁρμόττει· διὸ καὶ τὰ ὑποκριτικὰ ἀφῃρημένης τῆς ὑποκρίσεως οὐ ποιοῦντα τὸ αὑτῶν ἔργον φαίνεται εὐήθη, οἷον τά τε ἀσύνδετα καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται, ἐν δὲ ἀγωνιστικῇ καὶ οἱ ῥήτορες χρῶνται· ἔστι γὰρ ὑποκριτικά. ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας· ὅπερ ὡς προοδοποιεῖ τῷ ὑποκρίνεσθαι· "οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας." οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου γεροντομανίᾳ, ὅτε λέγει Ῥαδάμανθυς καὶ Παλαμήδης, καὶ ἐν τῷ προλόγῳ τῶν εὐσεβῶν τὸ ἐγώ· ἐὰν γάρ τις τὰ τοιαῦτα μὴ ὑποκρίνηται, γίνεται ὁ τὴν δοκὸν φέρων. καὶ τὰ ἀσύνδετα ὡσαύτως· "ἦλθον, ἀπήντησα, ἐδεόμην·" ἀνάγκη γὰρ ὑποκρίνεσθαι καὶ μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει καὶ τόνῳ εἰπεῖν. ἔτι ἔχει ἴδιόν τι τὰ ἀσύνδετα· ἐν ἴσῳ γὰρ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι· ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά, ὥστ' ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίον ἔσται τὸ ἓν πολλά. ἔχει οὖν αὔξησιν· "ἦλθον, διελέχθην,

3. αὐλητῆι A^c, αὐλητικῷ QY^bZ^b. ‖ λύχνω A^c. ‖ 4. ψεκαζομένω Q. ‖ 6. φιάλην $Y^bZ^bA^c$. ‖ ἄρεως A^c. ‖ οἰκίας] ἐοικός Q, ambiguis Y^bZ^b. ‖ τὸν] τὸ τὸν A^c. ‖ 7. φιλοκτήτη A^c. ‖ 8. ὥσπερ — 9. Πράτυος om Q. ‖ 10. μάλιστά τ' ἐκπίπτουσιν A^c. ‖ καὶ ἐὰν εὖ] καὶ ἐὰν A^c, καὶ ἐὰν μὴ Z^b, om Q. ‖ 11. εὐδοκιμῶσιν $QY^bZ^bA^c$. ‖ 12. φέρει pr Y^b. ‖ 16. ποιούμενος Z^b. ‖ αὑτὸν QY^bZ^b. ‖ 20. ᾠήθη τότε A^c. ‖ δ' ἂν] γὰρ QY^bZ^b. ‖ 21. τάλαρον QY^b, τάλανον Z^b. ‖ ἀλλ' ἢ τὸ Z^b. ‖ 23. διαφέρουσιν Z^b. ‖ 24. ζυγομαχεῖ et 25. ᾠήθη Q Y^bZ^b. ‖ 25. φιλάμμονα QZ^b et pr Y^b. ‖ 28. ᾠήθησαν δ' οὐ A^c, ᾠήθην δ' οὐ Q, ᾠήθη δ' οὐ Y^bZ^b. ‖ 29. σφοδρότατα Y^bZ^b. ‖ 31. δοίης QZ^bA^c. ‖ ὅσσα Z^b, ὅσας Q. ‖ 32. κόρην Q. ‖ 33. χρυσῆ $QY^bZ^bA^c$. ‖ 34. ἀθηναίης Q.

1. πρεσβυτέρου Z^b, πρεσβύτερα Q. ‖ 3. γένει om Q. ‖ 4. ἡ αὐτὴ] ἡδὺ τοῖς A^c. ‖ 10. ἡ δὲ παθητικὴ om Q. ‖ 13. λογογράφοι Z^b. ‖ λυκίμνιος Q. ‖ 15. γραφῶν A^c. ‖ 16. εὖ] ἢ τῶν A^c. ‖ λεχθέντων QZ^bA^c et pr Y^b. ‖ ἰδιωτικὸν QZ^b. ‖ 19. εὐήθως Z^b et pr Y^b. ‖ 20. δὲ] δὲ τῇ Q. ‖ ἀγωνιστικῆι εὖ A^c, ἀποδεικτικῇ Q, ἀποδεικτικῷ Y^bZ^b. ‖ 21. ὑποκριτικὴ Q, ὑποκριτικὸν Z^b. ‖ 22. ὅπερ ὥσπερ ὁδοποιεῖ τῶι A^c, ὅπερ ὁδοποιεῖ τὸ QY^bZ^b. ‖ 23. ἐστιν ὁ κλέψας] δὲ ὁ κλέψας QY^bZ^b. ‖ 25. καὶ om Q. ‖ ὑποκριτικὸς A^c. ‖ 28. δοκῶν Z^b. ‖ 33. τοὐναντίον post 34. πολλὰ Y^bZ^b, om Q. ‖ 34. οὖν ἔχει Y^b. ἔχει οὖν — 1414 a πολλὰ om Q.

ἱκέτευσα" πολλά· δοκεῖ δὲ ὑπεριδεῖν ὅσα εἶπον, ὅσα φημί. τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος ἐν τῷ "Νιρεὺς αὖ Σύμηθεν, Νιρεὺς Ἀγλαΐης, Νιρεὺς ὃς κάλλιστος." περὶ οὗ γὰρ πολλὰ εἴρηται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι· εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ, ὥστε ηὔξησεν ἅπαξ μνησθεὶς διὰ τὸν παραλογισμόν, καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος. ἡ μὲν οὖν δημηγορικὴ λέξις καὶ παντελῶς ἔοικε τῇ σκιαγραφίᾳ· ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρωτέρω ἡ θέα, διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμφοτέροις· ἡ δὲ δίκη ἀκριβέστερον. ἔτι δὲ μᾶλλον ἡ ἑνὶ κριτῇ· ἐλάχιστον γάρ ἐστιν ἐν ῥητορικοῖς· εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος καὶ τὸ ἀλλότριον, καὶ ὁ ἀγὼν ἄπεστιν, ὥστε καθαρὰ ἡ κρίσις. διὸ οὐχ οἱ αὐτοὶ ἐν πᾶσι τούτοις εὐδοκιμοῦσι ῥήτορες· ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι. τοῦτο δέ, ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης. ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις γραφικωτάτη· τὸ γὰρ ἔργον αὐτῆς ἀνάγνωσις· δευτέρα δὲ ἡ δικανική. τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ καὶ μεγαλοπρεπῆ, περίεργον· τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις ἄλλη ἤθους ἀρετή; τὸ γὰρ ἡδεῖαν εἶναι ποιήσει δῆλον ὅτι τὰ εἰρημένα, εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως· τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι ἀλλὰ πρέπουσαν; ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφής, οὐδὲ ἂν σύντομος. ἀλλὰ δῆλον ὅτι τὸ μέσον ἁρμόττει. καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ, τὸ εἰωθὸς καὶ ξενικόν, καὶ ὁ ῥυθμός, καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος. περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος· λοιπὸν δὲ περὶ τάξεως εἰπεῖν.

13 Ἔστι δὲ τοῦ λόγου δύο μέρη· ἀναγκαῖον γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τότ' ἀποδεῖξαι. διὸ εἰπόντα μὴ ἀποδεῖξαι ἢ ἀποδεῖξαι μὴ προειπόντα ἀδύνατον· ὅ τε γὰρ ἀποδεικνύων τι ἀποδείκνυσι, καὶ ὁ προλέγων ἕνεκα τοῦ ἀποδεῖξαι προλέγει. τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα τὸ δὲ ἀπόδειξις. νῦν δὲ διαιροῦσι γελοίως· διήγησις γάρ που τοῦ δικανικοῦ μόνου λόγου ἐστίν, ἐπιδεικτικοῦ δὲ καὶ δημηγορικοῦ πῶς ἐνδέχεται εἶναι διήγησιν οἵαν λέγουσιν, ἢ τὰ πρὸς τὸν ἀντίδικον, ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν; προοίμιον ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τ νεται, ὅταν ἀντιλογία ᾖ. καὶ γὰρ ἡ κατηγορία καὶ λογία πολλάκις, ἀλλ' οὐχ ἡ συμβουλή· ἀλλ' ὁ ἐπ ἔτι οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος πρᾶγμα εὐμνημόνευτον· συμβαίνει γὰρ τοῦ μήκους ρεῖσθαι. ἀναγκαῖα ἄρα μόρια πρόθεσις καὶ πίστι μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον πρόθεσις ἐπίλογος· τὰ γὰρ πρὸς τὸν ἀντίδικον τῶν πίστεών ἐ ἡ ἀντιπαραβολὴ αὔξησις τῶν αὐτοῦ, ὥστε μέρος πίστεων· ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο, ἀλλ' προοίμιον, οὐδ' ὁ ἐπίλογος, ἀλλ' ἀναμιμνήσκει. ἔσται τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρ γησις ἕτερον καὶ ἐπιδιήγησις καὶ προδιήγησις καὶ ἔλ καὶ ἐπεξέλεγχος. δεῖ δὲ εἶδός τι λέγοντα καὶ δια ὄνομα τίθεσθαι. εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδ Λικύμνιος ποιεῖ ἐν τῇ τέχνῃ, ἐπούρωσιν ὀνομάζων κα πλάνησιν καὶ ὄζους.

Τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν πρόλογος καὶ ἐν αὐλήσει προαύλιον· πάντα γὰρ ταῦτ' εἰσί, καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι. τὸ μ προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ· κ οἱ αὐληταί, ὅ τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο πρ σαντες συνῆψαν τῷ ἐνδοσίμῳ, καὶ ἐν τοῖς ἐπιδε λόγοις δεῖ οὕτω γράφειν· ὅ τι γὰρ ἂν βούληται εὐθὺ ἐνδοῦναι καὶ συνάψαι. ὅπερ πάντες ποιοῦσιν. παρ τὸ τῆς Ἰσοκράτους Ἑλένης προοίμιον· οὐθὲν γὰ ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ. ἅμα δὲ καὶ ἐὰ πίσῃ, ἁρμόττει μὴ ὅλον τὸν λόγον ὁμοειδῆ εἶναι. λ δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ ψόγ Γοργίας μὲν ἐν τῷ Ὀλυμπικῷ λόγῳ "ὑπὸ πολλῶ θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες·" ἐπαινεῖ γὰρ τ πανηγύρεις συνάγοντας· Ἰσοκράτης δὲ ψέγει, ὅτι τ τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φ σιν οὐθὲν ἆθλον ἐποίησαν. καὶ ἀπὸ συμβουλῆς, οἷον τ τοὺς ἀγαθοὺς τιμᾶν, διὸ καὶ αὐτὸς Ἀριστείδην ἐπα τοὺς τοιούτους οἳ μήτε εὐδοκιμοῦσι μήτε φαῦλοι, ἀλλ ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέξανδρος ὁ Πριάμο

1. δὲ ὑπεριδεῖν ὅσα εἶπον ὅσα φημί] ὑπεριδεῖν ὅσα εἶπεν A^c. ‖ 2. αἰσύμηθεν QY^bZ^b. ‖ 4. εἴρηται] λέγεται A^c. ‖ 8. σκιαγραφ 9. πορρώτερον $Y^bZ^bA^c$. ‖ 11. ἡ] εἰ Y^b. ‖ 12. ῥητορικῆς A^c. ‖ 17. γραφικώτατον Y^bZ^b. ‖ 18. αὐτοῦ QY^bZ^b. ‖ 20. ἢ om Q. γὰρ] δὲ A^c. ‖ 23. ταπεινὸν Z^b. ‖ 25. σύντομον QY^bZ^b. ‖ 29. δὲ pr Q, δεῖ corr. ‖ 31. τοῦτ' A^c. ‖ 32. εἰπόντα Q. ‖ 37. λόγ QY^b. ‖ 38. διήγησιν εἶναι QY^bZ^b.

7. ἴδια — 8. πίστις om Q. ‖ 14. καὶ ἡ ἐπιδιήγησις $QY^bZ^bA^c$. ‖ 15. ἐπέλεγχος et λεγοντας QY^bZ^b. ‖ 16. κοινὸν Y^bZ^b. μα 17. λυκίμνιος Q. ‖ ἐπούρωσιν corr Y^b, ἐπίρωσιν QZ^b. ‖ 23. εὖ om QY^bZ^b. ‖ προαυλίσαντες Y^b, προαβλήσαντες Z^b. ‖ 25. εὐθὺς QY^b 29. μὴ] καὶ μὴ A^c. ‖ 30. τὰ ἐπὶ τῶν δεικτικῶν Q. ‖ 31. ὀλυμπιακῷ QY^bZ^b. ‖ 36. ἢ] ὁ QY^bZ^b. ‖ 38. ἄδηλοι] ἀλλήλοις QY

συμβουλεύει. ἔτι δ' ἐκ τῶν δικανικῶν προοιμίων· τοῦτο
ν ἐκ τῶν πρὸς τὸν ἀκροατήν, εἰ περὶ παραδόξου λό-
περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς, ὥστε συγ-
ην ἔχειν, οἷον Χοιρίλος "νῦν δ' ὅτε πάντα δέδασται."
ὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ
, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς, ἐκ τῶν
τὸν ἀκροατήν· δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδό-
τῷ λόγῳ. τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν
ὐτὸ δύναται ὅπερ τῶν δραμάτων οἱ πρόλογοι καὶ
πῶν τὰ προοίμια· τὰ μὲν γὰρ τῶν διθυράμβων ὅμοια
πιδεικτικοῖς· "διὰ σὲ καὶ τεὰ δῶρα εἴτε σκῦλα." ἐν
ῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστι τοῦ λόγου, ἵνα προει-
περὶ οὗ ἦν ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια· τὸ
ιόριστον πλανᾷ· ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν
ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ. διὰ τοῦτο "μῆ-
ιδε θεά," "ἄνδρα μοι ἔννεπε μοῦσα," "ἡγεό μοι λό-
ιλλον, ὅπως Ἀσίας ἀπὸ γαίης ἦλθεν ἐς Εὐρώπην πό-
μέγας." καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα,
ιὴ εὐθὺς ὥσπερ Εὐριπίδης· ἀλλ' ἐν τῷ προλόγῳ γέ
ηλοῖ, ὥσπερ καὶ Σοφοκλῆς "ἐμοὶ πατὴρ ἦν Πόλυ-
καὶ ἡ κωμῳδία ὡσαύτως. τὸ μὲν οὖν ἀναγκαιότα-
γον τοῦ προοιμίου καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστι τὸ
οὗ ἕνεκα ὁ λόγος. διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ
ια, οὐ χρηστέον προοιμίῳ. τὰ δὲ ἄλλα εἴδη οἷς χρῶν-
ἰατρεύματα καὶ κοινά. λέγεται δὲ ταῦτα ἔκ τε τοῦ
τος καὶ τοῦ ἀκροατοῦ καὶ τοῦ πράγματος καὶ τοῦ ἐναν-
περὶ αὑτοῦ μὲν καὶ τοῦ ἀντιδίκου, ὅσα περὶ διαβολὴν
καὶ ποιῆσαι. ἔστι δὲ οὐχ ὁμοίως· ἀπολογουμένῳ μὲν
πρῶτον τὰ πρὸς διαβολήν, κατηγοροῦντι δ' ἐν τῷ ἐπι-
δι' ὃ δέ, οὐκ ἄδηλον· τὸν μὲν γὰρ ἀπολογούμενον,
μέλλῃ εἰσάξειν αὑτόν, ἀναγκαῖον ἀνελεῖν τὰ κω-
α, ὥστε λυτέον πρῶτον τὴν διαβολήν· τῷ δὲ διαβάλ-
ἐν τῷ ἐπιλόγῳ διαβλητέον, ἵνα μνημονεύσωσι μᾶλ-
τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι
κ τοῦ ὀργίσαι, καὶ ἐνίοτε δὲ ἐκ τοῦ προσεκτικὸν ἢ τοὐ-
ν· οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ πολλοὶ
λωτα πειρῶνται προάγειν. εἰς δὲ εὐμάθειαν ἅπαντα
ι, ἐάν τις βούληται, καὶ τὸ ἐπιεικῆ φαίνεσθαι· προ-

σέχουσι γὰρ μᾶλλον τούτοις. προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν· διὸ δεῖ ἐμποιεῖν ὡς περὶ τοιούτων ὁ λόγος. ἐὰν δὲ μὴ προσεκτικούς, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν. δεῖ δὲ μὴ λανθάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα· πρὸς φαῦλον γὰρ ἀκροατὴν καὶ τὰ ἔξω τοῦ πράγματος ἀκούοντα, ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν. ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ· πανταχοῦ γὰρ ἀνιᾶσι μᾶλλον ἢ ἀρχόμενοι. διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες προσέχοντες ἀκροῶνται. ὥστε ὅπου ἂν ᾖ καιρός, λεκτέον "καί μοι προσέχετε τὸν νοῦν· οὐθὲν γὰρ μᾶλλον ἐμὸν ἢ ὑμέτερον" καὶ "ἐρῶ γὰρ ὑμῖν οἷον οὐδεπώποτε ἀκηκόατε δεινόν," ἢ οὕτω θαυμαστόν. τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν τῆς πεντηκονταδράχμου αὐτοῖς. ὅτι δὲ πρὸς τὸν ἀκροατὴν οὐχ ᾗπερ ὁ ἀκροατής, δῆλον· πάντες γὰρ ἢ διαβάλλουσιν ἢ φόβους ἀπολύονται ἐν τοῖς προοιμίοις.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο.
τί φροιμιάζῃ;

καὶ οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες· πανταχοῦ γὰρ βέλτιον διατρίβειν ἢ ἐν τῷ πράγματι. διὸ οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν ἀλλὰ τὰ κύκλῳ, καὶ προοιμιάζονται. πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται, καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων. ἐπεὶ δ' εὖ λέγεται "δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν," τούτων δεῖ δύο στοχάζεσθαι. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατήν, ἢ αὐτὸν ἢ γένος ἢ ἐπιτηδεύματ' αὐτοῦ ἢ ἀμῶς γέ πως· ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν ἀλλ' ἐν Λακεδαιμονίοις. τὰ δὲ τοῦ δημηγορικοῦ ἐκ τῶν τοῦ δικανικοῦ λόγου ἐστίν, φύσει δ' ἥκιστα ἔχει· καὶ γὰρ καὶ περὶ οὗ ἴσασι, καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου, ἀλλ' ἢ δι' αὑτὸν ἢ τοὺς ἀντιλέγοντας, ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν, ἀλλ' ἢ μεῖζον ἢ ἔλαττον. διὸ ἢ διαβάλλειν ἢ ἀπολύεσθαι ἀνάγκη, καὶ ἢ αὐξῆσαι ἢ μειῶσαι. τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν, ὡς αὐτο-

. λόγου Y^b. ‖ 3. τεθρυλλημένου QY^bZ^b. ‖ 4. χοιρίλογος Q. ‖ 8. προοιμίου A^c. ‖ 11. εἶτι Z^b, εἶτα A^c. ‖ σκύλλα A^c. ‖ 12.
ι A^c. ‖ 13. ἦν] ᾗ? A^c. ‖ κρέμαται QY^bZ^b. ‖ 16. ἦγε ὁμοιλογον A^c. ‖ λόγων ἄλλων QY^b et corr Z^b. ‖ 19. ὥς που Q. ‖ 22.
οῦ QY^bZ^b. ‖ 23. ἂν] ἦν Y^b. ‖ 29. διαβολῆς QY^bZ^b. ‖ 33. μνημονεύωσι Y^b. ‖ 35. ἐκ om QY^bZ^b. ‖ δὲ ἐκ τοῦ] τὸ A^c.
. προσεκτικὸν Y^b. ‖ 10. ἀνειᾶσιν A^c, ἀνιῶσι Y^b. ‖ 13. οὐδὲ Y^bZ^b. ‖ 15. νυστάξοιεν Z^b. ‖ 18. φόβου Q. ‖ 22. τὸ] δὲ τὸ QY^b
25. τοῦ μᾶλλον Y^b, τῶν ἀγγέλων δ' Q. ‖ 26. δ'] δὴ QY^bZ^b. ‖ 27. δεῖ] οὖν δεῖ A^c. ‖ 29. ἐπιτήδευμα Y^b, ἐπιτήδευμ' Z^b. ‖
λως $QY^bZ^bA^c$. ‖ γέ om Z^b. ‖ 34. προοιμίου τὸ πρᾶγμα QY^bZ^b. ‖ ἀλλὰ δι' QY^b. ‖ 35. βάλη Q. ‖ 36. ἀλλ' ἢ] ἀλλ' εἰ Y^b. ‖
ιτοκώδαλα Q.

κάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ. τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξαγκωνίσας οὐδὲ προανακινήσας εὐθὺς ἄρχεται "Ἦλις πόλις εὐδαίμων."

Περὶ δὲ διαβολῆς ἓν μὲν τὸ ἐξ ὧν ἄν τις ὑπόληψιν δυσχερῆ ἀπολύσαιτο· οὐδὲν γὰρ διαφέρει εἴτε εἰπόντος τινὸς εἴτε μή, ὥστε τοῦτο καθόλου. ἄλλος τρόπος ὥστε πρὸς τὰ ἀμφισβητούμενα ἀπαντᾶν, ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερόν, ἢ οὐ τούτῳ, ἢ ὡς οὐ τηλικοῦτον ἢ οὐκ ἄδικον ἢ οὐ μέγα ἢ οὐκ αἰσχρὸν ἢ οὐκ ἔχον μέγεθος· περὶ γὰρ τοιούτων ἡ ἀμφισβήτησις, ὥσπερ Ἰφικράτης πρὸς Ναυσικράτην· ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγε καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν. ἢ ἀντικαταλλάττεσθαι ἀδικοῦντα, εἰ βλαβερὸν ἀλλὰ καλόν, εἰ λυπηρὸν ἀλλ' ὠφέλιμον ἤ τι ἄλλο τοιοῦτον. ἄλλος τρόπος ὡς ἐστὶν ἁμάρτημα ἢ ἀτύχημα ἢ ἀναγκαῖον, οἷον Σοφοκλῆς ἔφη τρέμειν οὐχ ὡς ὁ διαβάλλων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης· οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοήκοντα. καὶ ἀντικαταλλάττεσθαι τὸ οὗ ἕνεκα, ὅτι οὐ βλάψαι ἐβούλετο, ἀλλὰ τόδε, καὶ οὐ τοῦτο ὃ διεβάλλετο, ποιῆσαι, συνέβη δὲ βλαβῆναι· "δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται ἐποίουν." ἄλλος, εἰ ἐμπεριείληπται ὁ διαβάλλων, ἢ νῦν ἢ πρότερον, ἢ αὐτὸς ἢ τῶν ἐγγύς. ἄλλος, εἰ ἄλλοι ἐμπεριλαμβάνονται, οὓς ὁμολογοῦσι μὴ ἐνόχους εἶναι τῇ διαβολῇ, οἷον εἰ ὅτι καθαρὸς ὁ μοιχός, καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἄρα. ἄλλος, εἰ ἄλλους διέβαλεν, ἢ ἄλλος αὐτούς, ἢ ἄνευ διαβολῆς ὑπελαμβάνοντο ὥσπερ αὐτὸς νῦν, οἳ πεφήνασιν οὐκ ἔνοχοι. ἄλλος ἐκ τοῦ ἀντιδιαβάλλειν τὸν διαβάλλοντα· ἄτοπον γὰρ εἰ ὁ αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί. ἄλλος, εἰ γέγονε κρίσις, ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής, ὅς γ' ἐποίησε κελεύων ἐπιορκεῖν "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος." ἔφη γὰρ αὐτὸν ἀδικεῖν τὰς ἐκ τοῦ Διονυσιακοῦ ἀγῶνος κρίσεις εἰς τὰ δικαστήρια ἄγοντα· ἐκεῖ γὰρ αὐτῶν δεδωκέναι λόγον ἢ δώσειν, εἰ βούλεται κατηγορεῖν. ἄλλος ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον, καὶ τοῦτο ὅτι ἄλλας κρίσεις ποιεῖ, καὶ ὅτι οὐ πιστεύει τῷ πράγματι. κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πρ[…] ἡ γὰρ Ἡσιόνη ἀδελφή· ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθ[…] Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασ[…] ἄλλος τῷ διαβάλλοντι, τὸ ἐπαινοῦντι μικρὸν μακρ[…]ξαι μέγα συντόμως, ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ […] πρᾶγμα προφέρει ἓν ψέξαι. τοιοῦτοι δὲ οἱ τεχνικ[…] καὶ ἀδικώτατοι· τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πει[…] μιγνύντες αὐτὰ τῷ κακῷ. κοινὸν δὲ τῷ διαβάλλ[…] τῷ ἀπολυομένῳ, ἐπειδὴ τὸ αὐτὸ ἐνδέχεται πλειόνω[…] πραχθῆναι, τῷ μὲν διαβάλλοντι κακοηθιστέον ἐπὶ τὸ […] ἐκλαμβάνοντι, τῷ δὲ ἀπολυομένῳ ἐπὶ τὸ βέλτιον· […] ὅτι ὁ Διομήδης τὸν Ὀδυσσέα προείλετο, τῷ μὲν ὅτ[ι …] τὸ ἄριστον ὑπολαμβάνειν τὸν Ὀδυσσέα, τῷ δ' ὅτι οὐ, […] διὰ τὸ μόνον μὴ ἀνταγωνιστεῖν ὡς φαῦλον. καὶ πε[ρὶ …] διαβολῆς εἰρήσθω τοσαῦτα.

Διήγησις δ' ἐν μὲν τοῖς ἐπιδεικτικοῖς ἐστὶν οὐκ ἐ[…] ἀλλὰ κατὰ μέρος· δεῖ μὲν γὰρ τὰς πράξεις διελ[…] ὧν ὁ λόγος· σύγκειται γὰρ ἔχων ὁ λόγος τὸ μὲν ἄ[…] (οὐθὲν γὰρ αἴτιος ὁ λέγων τῶν πράξεων) τὸ δ' […] τέχνης· τοῦτο δ' ἐστὶν ἢ ὅτι ἔστι δεῖξαι, ἐὰν ᾖ ἀπι[…] ὅτι ποιόν, ἢ ὅτι ποσόν, ἢ καὶ ἅπαντα. διὰ δὲ τοῦτ' […] οὐκ ἐφεξῆς δεῖ διηγεῖσθαι πάντα, ὅτι δυσμνημόνευ[…] δεικνύναι οὕτως. ἐκ μὲν οὖν τούτων ἀνδρεῖος, ἐκ δὲ […] σοφὸς ἢ δίκαιος. καὶ ἁπλούστερος ὁ λόγος οὗτος, […]νος δὲ ποικίλος καὶ οὐ λιτός. δεῖ δὲ τὰς μὲν γ[…]μους ἀναμιμνήσκειν· διὸ οἱ πολλοὶ οὐδὲν δέονται δ[…]σεως, οἷον εἰ θέλεις Ἀχιλλέα ἐπαινεῖν· ἴσασι γὰρ π[…] τὰς πράξεις, ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ Κ[…] δεῖ· οὐ γὰρ πολλοὶ ἴσασιν. νῦν δὲ γελοίως τὴν δ[…]σίν φασι δεῖν εἶναι ταχεῖαν. καίτοι ὥσπερ ὁ τῷ […]τοντι ἐρομένῳ πότερον σκληρὰν ἢ μαλακὴν μάξ[…] δ';" ἔφη, "εὖ ἀδύνατον;" καὶ ἐνταῦθα ὁμοίως· δεῖ […] μὴ μακρῶς διηγεῖσθαι ὥσπερ οὐδὲ προοιμιάζεσθαι μα[…] οὐδὲ τὰς πίστεις λέγειν· οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ […] ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ μετρίως· τοῦτο δ' ἐσ[τὶ …] λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπ[…]

2. προεξεγκωνίσας Z^b. ‖ 6. τόπος QY^bZ^b. ‖ 7. ἅπαντα A^c. ‖ 8. τοῦτο Y^b. ‖ ὠῖ A^c. ‖ ἢ ὡς οὐκ ἄδικον Q. ‖ 9. τοιοῦτον Q. ἀδικῆσαι Q. ‖ 12. ἀλλ' οὐ καλὸν A^c. ‖ 13. τόπος QY^bZ^b. ‖ 16. ἑκοντὶ Y^bZ^b. ‖ 18. ἠβούλετο QY^bZ^b. ‖ 19. οὕτως A^c. ‖ 23. […] καθάριος? ‖ καὶ ὁ δεῖνα altero loco om A^c. ‖ 24. διαβαλλεῖν A^c, διέβαλλεν QY^bZ^b. ‖ αὐτὸς A^c. ‖ 25. αὐτοὺς νῦν ἢ πεφήνασι[…] 26. τοὐναντίου διαβάλλειν Y^b, τοῦ ἐναντίου διαβάλλειν QZ^b. ‖ 27. ὁ om Q. ‖ 28. ἔσονται λόγοι QY^bZ^b. ‖ 30. ὥστ' A^c. ‖ ἐφιορκεῖν […] ὀμώμοκεν A^c, ὤμοσεν QZ^b. ‖ 32. εἰς om A^c. ‖ 33. αὐτὸν QY^bZ^b. ‖ ἠβούλετο QY^bZ^b. ‖ 34. τοῦ] τοῦ ἐκ A^c.

4. τὸ] τῷ $Y^bZ^bA^c$, om Q. ‖ 9. ἀπολογουμένῳ Y^b. ‖ ἐπεὶ QY^bZ^b. ‖ 14. ἀνταγωνιστὴν QZ^bA^c et pr Y^b. ‖ 20. δεῖξαι […] ἐστιν QY^bZ^b. ‖ 27. εἰ] οὐ Q. ‖ 29. post ἴσασιν $QY^bZ^bA^c$ ἔστι δὲ — μετατεθῇ p. 1367 *b* 26 — 1368 *a* 10. ‖ 31. ἐρωμέν[…] ἐρωμένως Z^b. ‖ πότερον om QY^bZ^b. ‖ μάξει QY^bZ^b. ‖ 32. εὖ ἔφη QY^bZ^b. ‖ 34. τῷ Q. ‖ τῷ QY^bZ^b. ‖ 35. τῷ QY^bZ^b. […] QZ^b. ‖ δ' ἐστὶ τὸ] δεῖ ὑπὸ A^c.

βεῖν γεγονέναι ἢ βεβλαφέναι ἢ ἠδικηκέναι, ἢ τηλικαῦτα ἡλίκα βούλει· τῷ δὲ ἐναντίῳ τὰ ἐναντία. παραδιηγεῖσθαι δὲ ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει, οἷον "ἐγὼ δ' ἐνουθέτουν ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν." ἢ θατέρου κακίαν· "ὁ δ' ἀπεκρίνατό μοι ὅτι οὗ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία·" ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαί φησιν ὁ Ἡρόδοτος. ἢ ὅσα ἡδέα τοῖς δικασταῖς. ἀπολογουμένῳ δὲ ἐλάττων ἡ διήγησις, αἱ δ' ἀμφισβητήσεις ἢ μὴ γεγονέναι ἢ μὴ βλαβερὸν εἶναι ἢ μὴ ἄδικον ἢ μὴ τηλικοῦτον, ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατριπτέον, ἐὰν μή τι εἰς ἐκεῖνο συντείνῃ, οἷον εἰ πέπρακται, ἀλλ' οὐκ ἄδικον. ἔτι πεπραγμένα δεῖ λέγειν, ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα ὁ Ἀλκίνου ἀπόλογος, ὅτι πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσι πεποίηται. καὶ ὡς Φαΰλλος τὸν κύκλον, καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. ἠθικὴν δὲ χρὴ τὴν διήγησιν εἶναι. ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ. ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν, ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην· ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει. διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν· τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν. ἀλλ' οἱ Σωκρατικοί· περὶ τοιούτων γὰρ λέγουσιν. ἄλλα ἠθικὰ τὰ ἑπόμενα ἑκάστῳ ἤθει, οἷον ὅτι ἅμα λέγων ἐβάδιζεν· δηλοῖ γὰρ θρασύτητα καὶ ἀγροικίαν ἤθους. καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως. "ἐγὼ δ' ἐβουλόμην· καὶ προειλόμην γὰρ τοῦτο· ἀλλ' εἰ μὴ ὠνήμην, βέλτιον." τὸ μὲν γὰρ φρονίμου τὸ δὲ ἀγαθοῦ· φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν, ἀγαθοῦ δ' ἐν τῷ τὸ καλόν. ἂν δ' ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν, ὥσπερ Σοφοκλῆς ποιεῖ παράδειγμα τὸ ἐκ τῆς Ἀντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ ἐκήδετο ἢ ἀνδρὸς ἢ τέκνων· τὰ μὲν γὰρ ἂν γενέσθαι ἀπολόμενα,

μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς βεβηκότων
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.

ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων, ἀλλὰ φύσει τοιοῦτος εἶ· ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον. ἔτι ἐκ τῶν παθητικῶν λέγειν, διηγούμενον καὶ τὰ ἑπόμενα καὶ ἃ ἴσασι, καὶ τὰ ἰδίᾳ ἢ αὐτῷ ἢ ἐκείνῳ προσόντα· "ὁ δ' ᾤχετό με ὑποβλέψας." καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης, ὅτι διασίζων καὶ τοῖν χεροῖν διασείων· πιθανὰ γάρ, διότι σύμβολα γίνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασιν. πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ Ὁμήρου ἔστιν.

ὣς ἄρ' ἔφη, γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα·

οἱ γὰρ δακρύειν ἀρχόμενοι ἐπιλαμβάνονται τῶν ὀφθαλμῶν. καὶ εὐθὺς εἰσάγαγε σεαυτὸν ποιόν τινα, ἵνα ὡς τοιοῦτον θεωρῶσι καὶ τὸν ἀντίδικον· λανθάνων δὲ ποίει. ὅτι δὲ ῥᾴδιον, ὁρᾶν δεῖ ἐκ τῶν ἀπαγγελλόντων· περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψίν τινα. πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ. ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησίς ἐστιν, ὅτι περὶ τῶν μελλόντων οὐθεὶς διηγεῖται· ἀλλ' ἐάν περ διήγησις ᾖ, τῶν γενομένων ἔσται, ἵν' ἀναμνησθέντες ἐκείνων βέλτιον βουλεύσωνται περὶ τῶν ὕστερον. ἢ διαβάλλοντες, ἢ ἐπαινοῦντες. ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον. ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαί τε καὶ αἰτίαν λέγειν εὐθύς, καὶ διατάττειν οἷς βούλονται, οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν. καὶ ὁ Αἵμων ὁ Σοφοκλέους.

Τὰς δὲ πίστεις δεῖ ἀποδεικτικὰς εἶναι· ἀποδεικνύναι 17
δὲ χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις, περὶ τοῦ ἀμφισβητουμένου φέροντα τὴν ἀπόδειξιν· οἷον εἰ ὅτι οὐ γέγονεν ἀμφισβητεῖ, ἐν τῇ κρίσει δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν φέρειν, εἰ δ' ὅτι οὐκ ἔβλαψεν, τούτου, καὶ ὅτι οὐ τοσόνδε ἢ ὅτι δικαίως, ὡσαύτως καὶ εἰ περὶ τοῦ γενέσθαι τοῦτο ἡ ἀμφισβήτησις. μὴ λανθανέτω δ' ὅτι ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι πονηρόν· οὐ γάρ ἐστιν ἄγνοια αἰτία, ὥσπερ ἂν εἴ τινες περὶ τοῦ δικαίου ἀμφισβητοῖεν, ὥστ' ἐν τούτῳ χρονιστέον, ἐν δὲ τοῖς ἄλλοις οὔ. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολύ, ὅτι καλὰ καὶ ὠφέλιμα, ἡ αὔξησις ἔσται· τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι· ὀλιγάκις γὰρ καὶ τούτων ἀποδείξεις φέρουσιν, ἐὰν ἄπιστα ᾖ ἢ ἐὰν ἄλλος αἰτίαν ἔχῃ. ἐν δὲ τοῖς δημηγορικοῖς ἢ ὡς οὐκ ἔσται ἀμφισβητήσειεν ἄν τις, ἢ ὡς ἔσται μὲν ἃ κελεύει, ἀλλ' οὐ δίκαια ἢ οὐκ ὠφέλιμα ἢ οὐ τηλικαῦτα. δεῖ δὲ καὶ ὁρᾶν εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος· τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων ὅτι ψεύδεται. ἔστι δὲ τὰ

1. βεβλαχέναι QZ^b. ‖ 2. βουλῇ A^c. ‖ 3. δὲ νουθετῶν A^c. ‖ 5. αὐτὸς ᾖ QY^bZ^b. ‖ 6. παιδίο A^c. ‖ ὃ] ἢ ὁ QY^bZ^b, om A^c. ‖ αἰγύπτου QZ^b. ‖ 10. παρὰ Q. ‖ διατρεπτέον QZ^b. ‖ 13. ἀλκινόου QY^bZ^b. ‖ 14. ἔτεσι $QY^bZ^bA^c$. ‖ 15. κύκλωπα corr Y^b. ‖ 16. χρὴ] δεῖ QY^bZ^b. ‖ 20. γὰρ οὕνεκα A^c. ‖ ὁ Ἰσοκρατικός Z^b. ‖ 21. ἀλλὰ QZ^b. ‖ 33. ἂν βλαστῇ Q, ἀναβλάστοι Z^bA^c. ‖ 35. ἢ Q. ‖ 36. λέγε διηγούμενος A^c. ‖ 37. ἢ αὐτῷ] ἑαυτῷ QY^bZ^b. ‖ 38. ὑποκλέψας Q.

1. καὶ ante τοῖν om A^c. ‖ ταῖν QY^bZ^b. ‖ 5. κατείχετο Q. ‖ 7. εἰσάγει καὶ σεαυτὸν A^c. ‖ 9. δὲ om A^c. ‖ δεῖ] δὲ A^c. ‖ 11. δεῖ om Y^bA^c. ‖ 15. τοῦ om Q ‖ 22. χρὴ] δεῖ Q. ‖ 25. θ' A^c. ‖ 26. εἰ et ἡ om A^c. ‖ 30. χρηστέον A^c. ‖ 31. καὶ] ἢ QY^bZ^b. ‖ 34. an ἄλλως? ‖ 37. τις ψεύδεται ἐκ τοσούτου πράγματος A^c.

μὲν παραδείγματα δημηγορικώτατα, τὰ δ᾽ ἐνθυμήματα δικανικώτερα· ἡ μὲν γὰρ περὶ τὸ μέλλον, ὥστ᾽ ἐκ τῶν γενομένων ἀνάγκη παραδείγματα λέγειν, ἡ δὲ περὶ ὄντων ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστι καὶ ἀνάγκη· ἔχει γὰρ τὸ γεγονὸς ἀνάγκην. οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα, ἀλλ᾽ ἀναμιγνύναι· εἰ δὲ μή, καταβλάπτει ἄλληλα. ἔστι γὰρ καὶ τοῦ ποσοῦ ὅρος·

ὦ φίλ᾽, ἐπεὶ τόσα εἶπες ὅσ᾽ ἂν πεπνυμένος ἀνήρ,

ἀλλ᾽ οὐ τοιαῦτα. καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν· εἰ δὲ μή, ποιήσεις ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων, οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα ἢ ἐξ ὧν λέγουσιν. καὶ ὅταν πάθος ποιῇς, μὴ λέγε ἐνθύμημα· ἢ γὰρ ἐκκρούσει τὸ πάθος ἢ μάτην εἰρημένον ἔσται τὸ ἐνθύμημα· ἐκκρούουσι γὰρ αἱ κινήσεις ἀλλήλας αἱ ἅμα, καὶ ἢ ἀφανίζουσιν ἢ ἀσθενεῖς ποιοῦσιν. οὐδ᾽ ὅταν ἠθικὸν τὸν λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα· οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις. γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν πίστει· ἠθικὸν γάρ. "καὶ ἐγὼ δέδωκα, καὶ ταῦτ᾽ εἰδὼς ὡς οὐ δεῖ πιστεύειν." ἐὰν δὲ παθητικῶς, "καὶ οὐ μεταμέλει μοι καίπερ ἠδικημένῳ· τούτῳ μὲν γὰρ περίεστι τὸ κέρδος, ἐμοὶ δὲ τὸ δίκαιον." τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως, διότι περὶ τὸ μέλλον· ἐκεῖ δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής· ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων μὲν ἀδήλων δέ. καὶ ὁ νόμος ὑπόθεσις ἐν τοῖς δικανικοῖς· ἔχοντα δὲ ἀρχὴν ῥᾷον εὑρεῖν ἀπόδειξιν. καὶ οὐκ ἔχει πολλὰς διατριβάς, οἷον πρὸς ἀντίδικον ἢ περὶ αὑτοῦ, ἢ παθητικὸν ποιεῖν. ἀλλ᾽ ἥκιστα πάντων, ἐὰν μὴ ἐξίστηται. δεῖ οὖν ἀποροῦντα τοῦτο ποιεῖν ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι καὶ Ἰσοκράτης· καὶ γὰρ συμβουλεύων κατηγορεῖ, οἷον Λακεδαιμονίων μὲν ἐν τῷ πανηγυρικῷ, Χάρητος δ᾽ ἐν τῷ συμμαχικῷ. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· ἀεὶ γάρ τινα εἰσάγει. καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος, τοῦτό ἐστιν· εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν, ὁμοίως δὲ καὶ ἀνδρίαν, ἢ τὰ καὶ τὰ ποιεῖ· ὃ τοιόνδε ἐστίν. ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς, ἐὰν δὲ μὴ ἔχῃς ἐνθυμήματα, ἠθικῶς· καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι ἢ τὸν λόγον ἀκριβῆ. τῶν δὲ ἐνθυμημάτων τὰ ἐλεγκτικὰ μᾶλλον εὐδοκιμεῖ τῶν δεικτικῶν, ὅτι ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται· παράλληλα γὰρ μᾶλλον τἀναντία γνωρίζεται. τὰ δὲ πρὸς τὸν ἀντίδικον οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεών ἐστι τὰ μὲν λῦσαι ἐνστάσει τὰ δὲ συλλογισμῷ. δεῖ δὲ καὶ ἐν συμβουλῇ καὶ ἐν δίκῃ ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον, ὕστερον δὲ πρὸς τἀναντία ἀπαντᾶν λύοντα καὶ προδιασύροντα. ἂν δὲ πολύχους ᾖ ἡ ἐναντίωσις, πρότερον τὰ ἐναντία, οἷον ἐποίησε Καλλίστρατος ἐν τῇ Μεσσηνιακῇ ἐκκλησίᾳ· ἃ γὰρ ἐροῦσι προανελὼν οὕτως τότε αὐτὸς εἶπεν. ὕστερον δὲ λέγοντα πρῶτον τὰ πρὸς τὸν ἐναντίον λόγον λεκτέον, λύοντα καὶ ἀντισυλλογιζόμενον, καὶ μάλιστα ἂν εὐδοκιμηκότα ᾖ· ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον, ἐὰν ὁ ἐναντίος εὖ δοκῇ εἰρηκέναι. δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ· ἔσται δέ, ἂν ἀνέλῃς. διὸ ἢ πρὸς πάντα ἢ τὰ μέγιστα ἢ τὰ εὐδοκιμοῦντα ἢ τὰ εὐέλεγκτα μαχεσάμενον οὕτω τὰ αὑτοῦ πιστὰ ποιητέον.

ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι.
ἐγὼ γὰρ Ἥραν.

ἐν τούτοις ἥψατο πρῶτον τοῦ εὐηθεστάτου. περὶ μὲν οὖν πίστεων ταῦτα. εἰς δὲ τὸ ἦθος, ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ καὶ ἐν τῇ ἀντιδόσει, καὶ ὡς Ἀρχίλοχος ψέγει· ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ "χρημάτων δ᾽ ἄελπτον οὐθέν ἐστιν οὐδ᾽ ἀπώμοτον," καὶ τὸν Χάρωνα τὸν τέκτονα ἐν τῷ ἰάμβῳ οὗ ἡ ἀρχὴ "οὔ μοι τὰ Γύγεω." καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα ὑπὲρ τῆς Ἀντιγόνης πρὸς τὸν πατέρα ὡς λεγόντων ἑτέρων. δεῖ δὲ καὶ μεταβάλλειν τὰ ἐνθυμήματα καὶ γνώμας ποιεῖν ἐνίοτε, οἷον "χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας· οὕτω γὰρ ἂν μέγιστα πλεονεκτοῖεν." ἐνθυμηματικῶς δέ "εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι."

18 Περὶ δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι μάλιστα

2. περὶ om Y^b. ‖ 11. καὶ πιστότερα om Q. ‖ 12. ἢ] εἰ Z^b. ‖ 18. καὶ ante ἐγὼ om QY^bZ^b. ‖ 24. κράτης A^c. ‖ 29. ἐξ- [illegible] A^c. ‖ 35. λέγων QZ^bA^c. ‖ 37. ὃ] ἢ A^c.

8. ἄπαντα Z^b. ‖ 10. ἐποίει Y^b. ‖ 11. μεσηνιακῇ QZ^b. ‖ οὗτος QZ^b. ‖ 12. τὰ] τὸν Y^b, om A^c. ‖ 13. συλλογιζόμενος A^c. ‖ 15. οὐδὲν Q. ‖ 19. τὰ om A^c. ‖ μαχεσαμένων Q. ‖ 21. τοῖς θεοῖς $QY^bZ^bA^c$. ‖ 25. ἐπιφθόνον A^c. ‖ 29. δ᾽ ἄελπτον] ἃ ἔλιπεν A^c. ‖ 31 ἡ om A^c. ‖ Γυγέω Q. ‖ 32. αἵμωνα A^c. ‖ 38. τὸ δὲ A^c. ‖ εὐτυχοῦντας δεῖ καταλλάττεσθαι om QY^bZ^b.

μὲν ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ, ὥστε ἑνὸς προσερωτηθέντος συμβαίνει τὸ ἄτοπον· οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς σωτείρας ἱερῶν, εἰπόντος δὲ ὅτι οὐχ οἷόν τε ἀτέλεστον ἀκούειν, ἤρετο εἰ οἶδεν αὐτός, φάσκοντος δὲ "καὶ πῶς ἀτέλεστος ὤν;" δεύτερον δὲ ὅταν τὸ μὲν φανερὸν ᾖ, τὸ δὲ ἐρωτήσαντι δῆλον ᾖ ὅτι δώσει· πυθόμενον γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερόν, ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν, οἷον Σωκράτης Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν εἴρηκεν εἰ δαιμόνιόν τι λέγοι, ὁμολογήσαντος δὲ ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δὲ "ἔστιν οὖν" ἔφη "ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ;" ἔτι ὅταν μέλλῃ ἢ ἐναντία λέγοντα δείξειν ἢ παράδοξον. τέταρτον δέ, ὅταν μὴ ἐνῇ ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον λῦσαι· ἐὰν γὰρ οὕτως ἀποκρίνηται, ὅτι ἔστι μὲν ἔστι δ' οὔ, ἢ τὰ μὲν τὰ δ' οὔ, ἢ πῇ μὲν πῇ δ' οὔ, θορυβοῦσιν ὡς ἀποροῦντες. ἄλλως δὲ μὴ ἐγχειρεῖν· ἐὰν γὰρ ἐνστῇ, κεκρατῆσθαι δοκεῖ· οὐ γὰρ οἷόν τε πολλὰ ἐρωτᾶν διὰ τὴν ἀσθένειαν τοῦ ἀκροατοῦ. διὸ καὶ τὰ ἐνθυμήματα ὅτι μάλιστα συστρέφειν δεῖ. ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως, πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν λύσιν φέροντα εὐθὺς τῇ ἀποκρίσει, πρὶν ἐπερωτῆσαι τὸ ἐπιὸν ἢ συλλογίσασθαι· οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος. φανερὸν δ' ἡμῖν ἔστω ἐκ τῶν τοπικῶν καὶ τοῦτο καὶ αἱ λύσεις. καὶ συμπεραινόμενον, ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν· οἷον Σοφοκλῆς ἐρωτώμενος ὑπὸ Πεισάνδρου εἰ ἔδοξεν αὐτῷ ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις, καταστῆσαι τοὺς τετρακοσίους, ἔφη. "τί δέ; οὐ πονηρά σοι ταῦτα ἐδόκει εἶναι;" ἔφη. "οὐκοῦν σὺ ταῦτα ἔπραξας τὰ πονηρά;" "ναί" ἔφη· "οὐ γὰρ ἦν ἄλλα βελτίω." καὶ ὡς ὁ Λάκων εὐθυνόμενος τῆς ἐφορίας, ἐρωτώμενος εἰ δοκοῦσιν αὐτῷ δικαίως ἀπολωλέναι ἅτεροι, ἔφη. ὁ δὲ "οὐκοῦν σὺ τούτοις ταὐτὰ ἔθου;" καὶ ὃς ἔφη. "οὐκοῦν δικαίως ἂν" ἔφη "καὶ σὺ ἀπόλοιο;" "οὐ δῆτα" ἔφη· "οἱ μὲν γὰρ χρήματα λαβόντες ταῦτα ἔπραξαν, ἐγὼ δ' οὔ, ἀλλὰ γνώμῃ." διὸ οὔτ' ἐπερωτᾶν δεῖ μετὰ τὸ συμπέρασμα, οὔτε τὸ συμπέρασμα ἐπερωτᾶν, ἐὰν μὴ τὸ πολὺ περιῇ τοῦ ἀληθοῦς. περὶ δὲ τῶν γελοίων, ἐπειδή τινα δοκεῖ χρῆσιν ἔχειν ἐν τοῖς ἀγῶσι, καὶ δεῖν ἔφη Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι τὸν δὲ γέλωτα σπουδῇ, ὀρθῶς λέγων, εἴρηται πόσα εἴδη γελοίων ἐστὶν ἐν τοῖς περὶ ποιητικῆς, ὧν τὸ μὲν ἁρμόττει ἐλευθέρῳ τὸ δ' οὔ. ὅπως οὖν τὸ ἁρμόττον αὑτῷ λήψεται. ἔστι δ' ἡ εἰρωνεία τῆς βωμολοχίας ἐλευθεριώτερον· ὁ μὲν γὰρ αὑτοῦ ἕνεκα ποιεῖ τὸ γελοῖον, ὁ δὲ βωμολόχος ἑτέρου.

Ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων, ἔκ τε τοῦ πρὸς 19
ἑαυτὸν κατασκευάσαι εὖ τὸν ἀκροατὴν καὶ τὸν ἐναντίον φαύλως, καὶ ἐκ τοῦ αὐξῆσαι καὶ ταπεινῶσαι, καὶ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι, καὶ ἐξ ἀναμνήσεως. πέφυκε γὰρ μετὰ τὸ ἀποδεῖξαι αὑτὸν μὲν ἀληθῆ τὸν δὲ ἐναντίον ψευδῆ, οὕτω τὸ ἐπαινεῖν καὶ ψέγειν καὶ ἐπιχαλκεύειν. δυοῖν δὲ θατέρου δεῖ στοχάζεσθαι, ἢ ὅτι τούτοις ἀγαθὸς ἢ ὅτι ἁπλῶς, ὁ δ' ὅτι κακὸς τούτοις ἢ ὅτι ἁπλῶς. ἐξ ὧν δὲ δὴ τοιούτους κατασκευάζειν δεῖ, εἴρηνται οἱ τόποι πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους. τὸ δὲ μετὰ τοῦτο δεδειγμένων ἤδη αὔξειν ἐστὶ κατὰ φύσιν ἢ ταπεινοῦν· δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν· καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις ἐκ προϋπαρχόντων ἐστίν. ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν, ἔκκεινται οἱ τόποι πρότερον. μετὰ δὲ ταῦτα, δήλων ὄντων καὶ οἷα καὶ ἡλίκα, εἰς τὰ πάθη ἄγειν τὸν ἀκροατήν· ταῦτα δ' ἐστὶν ἔλεος καὶ δείνωσις καὶ ὀργὴ καὶ μῖσος καὶ φθόνος καὶ ζῆλος καὶ ἔρις. εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον. ὥστε λοιπὸν ἀναμνῆσαι τὰ προειρημένα. τοῦτο δὲ ἁρμόττει ποιεῖν οὕτως ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις, οὐκ ὀρθῶς λέγοντες· ἵνα γὰρ εὐμαθὴ ᾖ, κελεύουσι πολλάκις εἰπεῖν. ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις, ἐνταῦθα δὲ δι' ὧν δέδεικται κεφαλαιωδῶς. ἀρχὴ δέ, διότι ἃ ὑπέσχετο ἀποδέδωκεν· ὥστε ἅ τε καὶ δι' ὃ λεκτέον. λέγεται δὲ ἐξ ἀντιπαραβολῆς τοῦ ἐναντίου. παραβάλλειν δὲ ἢ ὅσα περὶ τὸ αὐτὸ ἄμφω εἶπον, ἢ μὴ καταντικρύ. "ἀλλ' οὗτος μὲν τάδε περὶ τούτου, ἐγὼ δὲ ταδί,

2. συμβαίνειν QZ^b. ‖ 3. τελευτῆς Q. ‖ σωτηρίας QY^bZ^b. ‖ 4. εἶδεν Q. ‖ 6. τοῦ Q et pr Y^b. ‖ πυθόμενος QZ^b, πυθομένοις Y^b. ‖ 7. μὲν γὰρ A^c. ‖ 8. μεγαλήτου A^c, μελίτου Q. ‖ 9. ἑαυτὸν A^c. ‖ εἰ] ὡς ἂν A^c. ‖ 10. ὁμολογήσαντος δὲ om A^c. ‖ 11. εἶεν] ἦσαν Z^b. ‖ 13. παράδοξα QY^bZ^b. ‖ 14. ἐνῇ] ἐν ᾗ $QY^bZ^bA^c$. ‖ 16. ἀποροῦντας A^c. ‖ 18. οἴονται A^c. ‖ 24. ἔσται Y^b. ‖ 31. ἐφορείας Y^b, εὐφορείας Q. ‖ 33. ὁ δὲ om Q. ‖ ταῦτα (vel ταυτὰ) τούτοις QY^bZ^b. ‖ 34. οὐ om A^c.

3. μὲν om Y^b. ‖ 6. ὧν om A^c. ‖ 7. λήψεσθαι Y^b. ‖ 8. τὸ om A^c. ‖ 12. φαῦλον καὶ τὸ αὐξῆσαι Y^b. ‖ 15. καὶ τὸ ψέγειν καὶ τὸ ἐπιχαλκεύειν QY^bZ^b. ‖ 16. δὲ om A^c. ‖ 17. δ' ὅτι] δ' ὁ Q. ‖ 18. τούτω A^c. ‖ 20. δεδειγμένον QY^bZ^b. ‖ ἢ] καὶ Y^bZ^b. ‖ 21. τὰ — 22. γὰρ om Q. ‖ 21. μέλλοι Y^b. ‖ 25. ἄγει Y^b. ‖ 30. εὐμαθὴς A^c. ‖ 33. ἀπέδωκεν QY^bZ^b. ‖ 34. δι' ὃ λεκτέον] διαλεκτέον Y^b. ‖ 35. εἶπεν A^c.

καὶ διὰ ταῦτα." ἢ ἐξ εἰρωνείας, οἷον "οὗτος γὰρ τάδ' εἶπεν, ἐγὼ δὲ τάδε. καὶ τί ἂν ἐποίει, εἰ τάδε ἔδειξεν, ἀλλὰ μὴ ταδί;" ἢ ἐξ ἐρωτήσεως· "τί οὐ δέδεικται;" ἢ "οὗτος τί ἔδειξεν;" ἢ δὴ οὕτως ἢ ἐκ παραβολῆς, ἢ κατὰ φύσιν, ὡς ἐλέχθη, οὕτω τὰ αὐτοῦ, καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ λόγου. τελευτὴ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος ἐπίλογος ἀλλὰ μὴ λόγος ᾖ· "εἴρηκα, ἀκηκόατε, κρίνατε."

ΡΗΤΟΡΙΚΗ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.

ΑΡΙΣΤΟΤΕΛΗΣ ΑΛΕΞΑΝΔΡΩ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἐπέστειλάς μοι ὅτι πολλάκις πολλοὺς πέπομφας πρὸς ἡμᾶς τοὺς διαλεξομένους ὑπὲρ τοῦ γραφῆναί σοι τὰς μεθόδους τῶν πολιτικῶν λόγων. ἐγὼ δὲ οὐ διὰ ῥαθυμίαν ὑπερεβαλλόμην ἐν τούτοις τοῖς χρόνοις, ἀλλὰ διὰ τὸ ζητεῖν οὕτως ὑπὲρ αὐτῶν γραφῆναί σοι διηκριβωμένως ὡς οὐδεὶς ἄλλος γέγραφε τῶν περὶ ταῦτα πραγματευομένων. ταύτην δὲ εἰκότως τὴν διάνοιαν εἶχον· ὥσπερ γὰρ ἐσθῆτα σπουδάζεις τὴν εὐπρεπεστάτην τῶν λοιπῶν ἀνθρώπων ἔχειν, οὕτω δύναμιν λόγων λαβεῖν ἐστί σοι πειρατέον τὴν εὐδοξοτάτην· πολὺ γὰρ κάλλιόν ἐστι καὶ βασιλικώτερον τὴν ψυχὴν ἔχειν εὐγνωμονοῦσαν ἢ τὴν ἕξιν τοῦ σώματος ὁρᾶν εὐειματοῦσαν. καὶ γὰρ ἄτοπόν ἐστι τὸν τοῖς ἔργοις πρωτεύοντα φαίνεσθαι τῶν τυχόντων τοῖς λόγοις ὑστερίζοντα, καὶ ταῦτα εἰδότα ὅτι τοῖς μὲν ἐν δημοκρατίᾳ πολιτευομένοις ἡ ἀναφορὰ περὶ πάντων τῶν πραγμάτων εἰς τὸν δῆμόν ἐστι, τοῖς δ' ὑπὸ τὴν τῆς βασιλείας ἡγεμονίαν τεταγμένοις πρὸς λόγον. ὥσπερ οὖν τὰς αὐτονόμους τῶν πόλεων διορθοῦν εἴωθεν ἐπὶ τὸ κάλλιστον ἄγων ὁ κοινὸς νόμος, οὕτω τοὺς ὑπὸ τὴν σὴν βασιλείαν καθεστῶτας ἄγειν δύναιτ' ἂν ἐπὶ τὸ συμφέρον ὁ σὸς λόγος. καὶ γὰρ ὁ νόμος ἐστὶν ὡς ἁπλῶς εἰπεῖν λόγος ὡρισμένος καθ' ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν ἕκαστα. πρὸς δὲ τούτοις οὐκ ἄδηλον οἶμαί σοι τοῦτ' ἐστίν, ὅτι τοὺς μὲν λόγῳ χρωμένους καὶ μετὰ τούτου πάντα πράττειν προαιρουμένους ὡς ὄντας καλούς τε καὶ ἀγαθοὺς ἐπαινοῦμεν, τοὺς δὲ ἄνευ λόγου τι ποιοῦντας ὡς ὄντας ὠμοὺς καὶ θηριώδεις μισοῦμεν. δι[…] καὶ κακοὺς τὴν αὐτῶν κακίαν ἐμφανίσαντας ἐκολά[…] καὶ τοὺς ἀγαθοὺς δηλώσαντας αὐτῶν τὴν ἀρετὴν ἐξη[…]μεν. οὕτω καὶ τῶν μελλόντων κακῶν ἀποτροπὴν εὑρ[…] καὶ τῶν ὑπαρχόντων ἀγαθῶν ὄνησιν ἔσχομεν. κ[…] τούτου καὶ τὰς ἐπιούσας δυσχερείας ἐφύγομεν, καὶ τ[…] προσούσας ἡμῖν ὠφελείας ἐπορισάμεθα· ὥσπερ γὰ[…] ἄλυπος αἱρετός, οὕτω λόγος συνετὸς ἀγαπητός. εἰδέ[…] σε δεήσει ὅτι παραδείγματά ἐστι τοῖς πλείστοις τῶν […]πων τοῖς μὲν ὁ νόμος τοῖς δὲ ὁ σὸς βίος καὶ λόγος. […] οὖν διαφέρων ἧς πάντων Ἑλλήνων καὶ βαρβάρων, […] ἐστί σοι σπουδὴν ποιητέον, ἵνα τὴν ἐκ τούτου ἀπομίμ[…] περὶ ταῦτα διατρίβοντες τοῖς τῆς ἀρετῆς στοιχείοις κ[…]γραφούμενοι μὴ πρὸς τὰ φαῦλα σφᾶς αὐτοὺς ἄ[…] ἀλλὰ τῆς αὐτῆς ἀρετῆς μετέχειν ἐπιθυμῶσιν. ἔτι […]βουλεύεσθαι τῶν περὶ τὸν ἄνθρωπον θειότατόν ἐστι, ὥ[…] εἰς τὰ πάρεργα καὶ μηδενὸς ἄξια τὴν σπουδὴν ἐπ[…] καταναλωτέον, ἀλλὰ τὴν μητρόπολιν αὐτὴν τοῦ καλῶ[…]λεύεσθαι μαθεῖν βουλητέον. τίς γὰρ δή ποτ' ἂν ἀμφ[…]τήσειε τῶν νῦν ἐχόντων ὅτι τὸ μὲν πράττειν μὴ βουλ[…]μενον σημεῖόν ἐστιν ἀνοίας, τὸ δὲ κατὰ τὴν ὑφήγ[…] λόγου συντελεῖν τι τῶν ὑπ' ἐκείνου παραγγελθέντ[…]δείας; ἰδεῖν δὲ ἔστι πάντας τοὺς ἄριστα τῶν Ἑλλήνων […]τευομένους λόγῳ πρῶτον ἢ τοῖς ἔργοις συγγινομένους, […] δὲ τούτοις καὶ τοὺς μέγιστον ἀξίωμα τῶν βαρβάρων ἔχ[…] τούτῳ πρὸ τῶν πραγμάτων χρωμένους, εἰδότας καὶ […]

1. διὰ] ἄδε καὶ A^c. ‖ 4. ἢ δὴ] ἤδη A^c.

1. τὰ ante τοῦ om Z^b.

Codices $V^b B^c$ et epistolae Q.

8. ὑπερεβαλλόμην QV^b et pr B^c. ‖ 9. ἀλλὰ τὸ διαζητεῖν Q. ‖ 16. ἢ] καὶ Q. ‖ 17. εὐσωματοῦσαν Q. ‖ 19. ταύτῃ B^c. ‖ 2[…] om $V^b B^c$. ‖ 28. οἶμαί] ὡς οἶμαι QV^b.

5. τοῦτο QV^b. ‖ 7. ζηλώσαντας B^c. ‖ 10. τότε $QV^b B^c$. ‖ μὲν om B^c. ‖ 15. ἧς] εἶ $V^b B^c$. εἰ ἧ Q. ‖ 16. ἵνα μὲν τὴν QV^b ‖ 19. μετέχειν om Q et pr V^b. ‖ 23. ποι Q.

τολίς ἐςι σωτηρίας ἡ διὰ τȣ̃ λόγȣ γινομένη τȣ̃ συμ-
τος θεωρία. ταύτην ἀπόρθητον οἰητέον, ȣ̓ τὴν ἐκ τῶν
μνημάτων ἀσφαλῆ πρὸς σωτηρίαν εἶναι νομιστέον.
γὰρ ὀκνῶ ἔτι πλείω γράφειν, μή ποτε καλλωπίζε-
δόξω περὶ τῶν ἀκριβῶς γνωριζομένων ὡς ȣ̓χ ὁμολο-
ένων πίστεις ἐπιφέρων. διόπερ ἀφήσω, ἐκεῖνα μόνον
περὶ ὧν ἔνεςι λέγειν εἰς ἅπαντα τὸν βίον, ὅτι τȣ̃τό
ῷ διαφέρομεν τῶν λοιπῶν ζῴων. τȣ̃το ȣ̓̃ν καὶ ἡμεῖς
ρον τῶν λοιπῶν ἕξομεν ἀνθρώπων οἱ μεγίςης τιμῆς
ȣ̃ δαιμονίȣ τετυχηκότες. ἐπιθυμίᾳ μὲν γὰρ καὶ θυμῷ
οῖς τοιȣ́τοις χρῆται καὶ τὰ λοιπὰ ζῷα πάντα, λόγῳ
ὲν τῶν λοιπῶν χωρὶς ἀνθρώπων. ἀτοπώτατον ȣ̓̃ν ἂν
άντων, εἰ τȣ́τῳ μόνῳ τῶν λοιπῶν ζῴων εὐδαιμονέςε-
ȣ̓́ντες τὸ αἴτιον τȣ̃ καλῶς εἶναι διὰ ῥᾳθυμίαν ἀφω-
κατολιγωρήσαντες. διακελεύομαι δή σοι πάλαι πα-
λημένῳ τῆς τῶν λόγων ἀντέχεσθαι φιλοσοφίας. κα-
γάρ ἐςι φυλακτικὸν σώματος ὑγίεια, ȣ̈́τω ψυχῆς
κτικὸν καθέστηκε παιδεία. ταύτης γὰρ προηγȣμένης
ίειν συμβήσεταί σοι περὶ τὰς πράξεις, ἀλλὰ σώζειν
ας ὡς ἔπος εἰπεῖν τὰς ὑπαρχȣ́σας σοι τῶν ἀγαθῶν
ς. χωρὶς δὲ τῶν εἰρημένων, εἰ τὸ τοῖς ὀφθαλμοῖς
ειν ἡδύ, τὸ τοῖς τῆς ψυχῆς ὄμμασιν ὀξυδορκεῖν ἐςὶ
αστόν. ἔτι δὲ ὥσπερ ὁ στρατηγός ἐςι σωτὴρ ςρατο-
ȣ̈́τω λόγος μετὰ παιδείας ἡγεμών ἐστι βίȣ. ταυτὶ
ῦν καὶ τὰ τȣ́τοις ὅμοια παραλιπεῖν νομίζω καλῶς
ἔχειν κατὰ τὸν ὑπάρχοντα καιρόν. ἔγραψας δέ μοι
λευόμενος ὅπως μηδεὶς τῶν λοιπῶν ἀνθρώπων λήψε-
ὸ βιβλίον τοῦτο, καὶ ταῦτα εἰδὼς ὅτι καθάπερ τοὺς
τῶν γεννηθέντας οἱ γεννήσαντες τῶν ὑποβαλλομένων
ον φιλȣ̃σιν, ȣ̈́τω καὶ οἱ εὑρόντες τι τῶν μετεχόντων·
γὰρ ὑπὲρ τέκνων, τȣ́των τῶν λόγων ὑπεραποτεθνή-
οἱ μὲν γὰρ Πάριοι λεγόμενοι σοφιςαὶ διὰ τὸ μὴ
αὐτοὶ διὰ ῥᾳθυμίαν ἄμυȣσον ȣ̓ ςέργȣσιν, ἀλλὰ χρή-
λαβόντες ἀποκηρύττȣσιν. διὰ τȣ̃το ȣ̓̃ν ἐγώ σοι πα-
εύομαι διαφυλάττειν ȣ̈́τω τȣ̀ς λόγȣς τȣ́τȣς, ὅπως νέοι
ηκότες ὑπὸ μηδενὸς διαφθαρήσονται, κοσμίως δὲ μετὰ
μβιώσαντες, εἰς ἡλικίαν ἐλθόντες δόξης ἀκηράτȣ τεύ-
. παρειλήφαμεν δέ, καθάπερ ἡμῖν ἐδήλωσε Νικάνωρ,
ῶν λοιπῶν τεχνογράφων εἴ τίς τι γλαφυρὸν ὑπὲρ
ὐτῶν τȣ́των γέγραφεν ἐν ταῖς τέχναις. περιτεύξῃ δὲ δυσὶ τȣ́τοις βιβλίοις, ὧν τὸ μέν ἐστιν ἐμόν, ἐν ταῖς ὑπ' ἐμȣ̃ τέχναις Θεοδέκτῃ γραφείσαις, τὸ δὲ ἕτερον Κόρακος. τὰ δὲ λοιπὰ τούτοις ἰδίᾳ πάντα γέγραπται περί τε τῶν πολιτικῶν καὶ τῶν δικανικῶν παραγγελμάτων· ὅθεν πρὸς ἑκάτερον αὐτῶν εὐπορήσεις ἐκ τῶνδε τῶν ὑπομνημάτων σοι γεγραμμένων. ἔρρωσο.

Τρία γένη τῶν πολιτικῶν εἰσὶ λόγων, τὸ μὲν δημη- 2
γορικόν, τὸ δ' ἐπιδεικτικόν, τὸ δὲ δικανικόν. εἴδη δὲ τȣ́των ἑπτά, προτρεπτικόν, ἀποτρεπτικόν, ἐγκωμιαςικόν, ψεκτικόν, κατηγορητικόν, ἀπολογητικὸν καὶ ἐξεταςικόν, ἢ αὐτὸ καθ' αὑτὸ ἢ πρὸς ἄλλο. τὰ μὲν ȣ̓̃ν εἴδη τῶν λόγων τοσαῦτα ἀριθμῷ ἐςίν, χρηςόμεθα δὲ αὐτοῖς ἔν τε ταῖς κοιναῖς δημηγορίαις καὶ ταῖς περὶ τὰ συμβόλαια δικαιολογίαις καὶ ταῖς ἰδίαις ὁμιλίαις. οὕτω δ' ἂν ἑτοιμότατον λέγειν περὶ αὐτῶν δυνηθείημεν, εἰ καὶ καθ' ἓν ἕκαστον εἶδος ἀπολαβόντες ἀπαριθμησαίμεθα τὰς δυνάμεις αὐτῶν καὶ τὰς χρήσεις καὶ τὰς πράξεις. καὶ πρῶτον μὲν τὰς προτροπὰς καὶ ἀποτροπάς, ἐπείπερ ἐν ταῖς ἰδίαις ὁμιλίαις καὶ ταῖς κοιναῖς δημηγορίαις ἐν τοῖς [δὲ] μάλιςα αὐτῶν χρῆσίς ἐςι, διέλθοιμεν ἄν. καθόλȣ μὲν ȣ̓̃ν εἰπεῖν, προτροπὴ μέν ἐςιν ἐπὶ προαιρέσεις ἢ λόγȣς ἢ πράξεις παράκλησις, ἀποτροπὴ δὲ ἀπὸ προαιρέσεων ἢ λόγων ἢ πράξεων διακώλυσις. ȣ̈́τω δὲ τȣ́των διωρισμένων, τὸν μὲν προτρέποντα χρὴ δεικνύειν ταῦτα ἐφ' ἃ παρακαλεῖ δίκαια ὄντα καὶ νόμιμα καὶ συμφέροντα καὶ καλὰ καὶ ἡδέα καὶ ῥᾴδια πραχθῆναι· εἰ δὲ μή, δυνατά τε δεικτέον, ὅταν ἐπὶ δυσχερῆ παρακαλῇ, καὶ ὡς ἀναγκαῖα ταῦτα ποιεῖν ἐςίν. τὸν δὲ ἀποτρέποντα δεῖ διὰ τῶν ἐναντίων κώλυσιν ἐπίφερειν, ὡς ȣ̓ δίκαιον ȣ̓δὲ νόμιμόν ἐςιν ȣ̓δὲ συμφέρον ȣ̓δὲ καλὸν ȣ̓δὲ ἡδὺ ȣ̓δὲ δυνατὸν πράττειν τȣ̃το, εἰ δὲ μή, ὡς ἐργῶδες καὶ ȣ̓κ ἀναγκαῖον. ἅπασαι δ' αἱ πράξεις μετέχȣσι τȣ́των ἀμφοτέρων, ὥςε μηδετέραν τῶν ὑποθέσεων ἔχοντα λόγων ἀπορεῖν. ὧν μὲν ȣ̓̃ν ὀρέγεσθαι δεῖ τȣ̀ς προτρέποντας καὶ ἀποτρέποντας, ταῦτά ἐςιν· ὁρίσασθαι δὲ πειράσομαι τȣ́των ἕκαςον τί ἐςιν, καὶ δεῖξαι πόθεν αὐτῶν εἰς τοὺς λόγȣς εὐπορήσομεν. δίκαιον μὲν ȣ̓̃ν ἐςὶ τὸ τῶν ἁπάντων ἢ τὸ τῶν πλείςων ἔθος ἄγραφον, διορίζον τὰ καλὰ καὶ τὰ αἰσχρά. τȣ̃το δ' ἐςὶ τὸ γονέας τιμᾶν καὶ φίλους εὖ ποιεῖν καὶ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια οὐ προστάττουσι τοῖς ἀνθρώποις οἱ γεγραμμένοι νόμοι ποιεῖν,

. διαφερόντως Q. ‖ 12. ἂν ȣ̓̃ν B^c. ‖ 15. παρακεκλημένον B^c. ‖ 17. ȣ̈́τω τῆς ψυχῆς B^c. ‖ 22. ὀξὺ δερκεῖν B^c. ‖ 24. τουτὶ B^c. ‖
ῖν Q. ‖ 29. αὑτȣ̃ QV^b. ‖ 30. καὶ om QV^b. ‖ 39. εἰ] ὃς QV^bB^c.
. Θεοδέκτη B^c. ‖ 3. τὴν δὲ λοιπὴν QV^b. ‖ τῶν om B^c. ‖ 5. ἀπορήσεις B^c, om QV^b. ‖ 9. ψεκτὸν κατηγορικὸν B^c. ‖ 20. μέν
. ‖ 28. κωλύειν B^c. ‖ 31. αἱ om V^bB^c. ‖ 32. λόγον B^c. ‖ 33. καὶ ἀποτρέποντας om V^b.

Theodekta
Korax

38 Nikanor

ἀλλ' εὐθὺς ἀγράφῳ καὶ κοινῷ νόμῳ νομίζεται. τὰ μὲν οὖν δίκαια ταῦτά ἐστι, νόμος δ' ἐςὶν ὁμολόγημα πόλεως κοινόν, διὰ γραμμάτων προστάττον πῶς χρὴ πράττειν ἕκαστα. συμφέρον δ' ἐστὶ τῶν ὑπαρχόντων ἀγαθῶν φυλακή, ἢ τῶν μὴ προσόντων κτῆσις, ἢ τῶν ὑπαρχόντων κακῶν ἀποβολή, ἢ τῶν προσδοκωμένων γενήσεσθαι βλαβερῶν διακώλυσις. διαιρήσεις δὲ τȣ̃το τοῖς μὲν ἰδιώταις εἰς σῶμα καὶ ψυχὴν καὶ τὰ ἐπίκτητα. σώματι μὲν ȣ̃ν ἐςὶ συμφέρον ῥώμη κάλλος ὑγίεια, ψυχῇ δὲ ἀνδρεία σοφία δικαιοσύνη, τὰ δ' ἐπίκτητα φίλοι χρήματα κτήματα· τὰ δ' ἐναντία τȣ́τοις ἀσύμφορα. πόλει δὲ συμφέροντα τὰ τοιαῦτά ἐςιν, ὁμόνοια, δύναμις πρὸς πόλεμον, χρήματα καὶ προσόδων εὐπορία, συμμάχων ἀρετὴ καὶ πλῆθος, καὶ συλλήβδην ἅπαντα τὰ τȣ́τοις ὁμοιότροπα συμφέροντα νομίζομεν, τὰ δὲ τȣ́τοις ἐναντία ἀσύμφορα. καλὰ δ' ἐςὶν ἀφ' ὧν εὐδοξία τις καὶ τιμή τις ἔνδοξος γενήσεται τοῖς πράξασιν, ἡδέα δὲ τὰ χαρὰν ἐργαζόμενα, ῥᾴδια δὲ τὰ μετ' ἐλαχίςȣ χρόνȣ καὶ πόνȣ καὶ δαπάνης ἐπιτελȣ́μενα, δυνατὰ δὲ πάντα τὰ ἐνδεχόμενα γενέσθαι, ἀναγκαῖα δὲ τὰ μὴ ἐφ' ἡμῖν ὄντα πράττειν, ἀλλ' ὡς ἐξ ἀνάγκης θείας ἢ ἀνθρωπίνης οὕτως ὄντα. τὰ μὲν ȣ̃ν δίκαια καὶ τὰ νόμιμα καὶ τὰ συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια καὶ τὰ δυνατὰ καὶ τὰ ἀναγκαῖα ταῦτά ἐςιν, εὐπορήσομεν δὲ περὶ τȣ́των λέγειν ἐξ αὐτῶν τε τῶν προειρημένων καὶ τῶν ὁμοίων τούτοις καὶ τῶν ἐναντίων αὐτοῖς καὶ τῶν ἤδη κεκριμένων ὑπὸ θεῶν ἢ ἀνθρώπων ἐνδόξων ἢ ὑπὸ κριτῶν ἢ ὑπὸ τῶν ἀνταγωνιςῶν ἡμῖν. τὸ μὲν ȣ̃ν δίκαιον οἷον ἂν ᾖ τὸν τρόπον, ἡμῖν δεδήλωται· τὸ δὲ ὅμοιον τῷ δικαίῳ τοιόνδ' ἐςίν. "ὥσπερ γὰρ δίκαιον νομίζομεν τοῖς γονεῦσι πείθεσθαι, τὸν αὐτὸν τρόπον προσήκει τȣ̀ς υἱεῖς μιμεῖσθαι τὰς τῶν πατέρων πράξεις." καὶ "καθάπερ τȣ̀ς εὖ ποιήσαντας ἀντευεργετεῖν δίκαιόν ἐςιν, ȣ̈τω τȣ̀ς μηδὲν ἡμᾶς κακὸν ἐργασαμένȣς δίκαιόν ἐςι μὴ βλάπτειν." τὸ μὲν ȣ̃ν ὅμοιον τῷ δικαίῳ τὸν τρόπον τȣ̃τον δεῖ λαμβάνειν, ἐκ δὲ τῶν ἐναντίων χρὴ καταφανὲς ποιεῖν αὐτὸ τὸ παράδειγμα· "καθάπερ γὰρ τȣ̀ς κακόν τι ποιήσαντας δίκαιόν ἐςι τιμωρεῖσθαι, καὶ τȣ̀ς εὐεργετήσαντας ȣ̈τω προσήκει ἀντευεργετεῖν." τὸ δὲ κεκριμένον ὑπό τινων ἐνδόξων δίκαιον οὕτω λήψῃ· "ἀλλ' ȣ̓χ ἡμεῖς μόνοι μισȣ̃μεν καὶ κακῶς ποιȣ̃μεν τȣ̀ς ἐχθρȣ́ς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι κρίνȣσι τȣ̀ς ἐχθρȣ̀ς τιμωρεῖσθαι." τὸ μὲν ȣ̃ν δίκαιον

οὕτω μετιὼν πολλάκις λήψῃ· τὸ δὲ νόμιμον αὐ οἷόν ἐςιν ὥρισαι ἡμῖν πρότερον, δεῖ δέ, ὅπȣ ἂν ᾖ χρ αὐτόν τε τὸν ἀγορεύοντα καὶ τὸν νόμον λαμβάνε: τὸ ὅμοιον τῷ γεγραμμένῳ νόμῳ. εἴη δ' ἂν τοιόνδε· γὰρ ὁ νομοθέτης μεγίςαις ζημίαις τοὺς κλέπτας ἐκ οὕτω δεῖ καὶ τοὺς ἐξαπατῶντας μάλιςα τιμωρεῖσθ γὰρ ȣ̓͂τοι κλέπτȣσι τὴν διάνοιαν." καὶ "καθάπερ ὁ νο κληρονόμȣς πεποίηκε τȣ̀ς ἐγγυτάτω γένȣς ὄντας τοῖ σιν ἀποθνήσκȣσιν, οὕτω καὶ τῶν τοῦ ἀπελευθέρȣ χρ ἐμὲ νῦν προσήκει κύριον γενέσθαι· τῶν γὰρ ἀπελ σάντων αὐτὸν τετελευτηκότων ἐγγυτάτω γένȣς εἰ καὶ τῶν ἀπελευθέρων δίκαιος ἂν εἴην ἄρχειν." τὸ μ ὅμοιον τῷ νομίμῳ τοῦτον τὸν τρόπον λαμβάνεται, ἐναντίον ὧδε· "εἰ γὰρ ὁ νόμος ἀπαγορεύει τὰ δημόσι νέμεσθαι, δῆλον ὅτι τȣ̀ς διαιρȣμένȣς αὐτὰ πάντας ἀδ νομοθέτης ἔκρινεν." "εἰ γὰρ τιμᾶσθαι οἱ νόμοι πρες τȣ̀ς καλῶς καὶ δικαίως τῶν κοινῶν ἐπιςατήσαντας, ὡς καὶ τȣ̀ς τὰ δημόσια διαφθείροντας τιμωρίας ἀξίο ζȣσιν." ἐκ μὲν ȣ̃ν τῶν ἐναντίων καταφανὲς ȣ̈τω γίν νόμιμον, ἐκ δὲ τῶν κεκριμένων ὧδε· "καὶ ȣ̓ μόνον ἐ νόμον τȣ̃τον εἵνεκα τȣ́των φημὶ τὸν νομοθέτην θεῖναι, καὶ πρότερον οἱ δικαςαὶ διεξιόντος Λυσιθίδȣ παρα τοῖς νῦν ὑπ' ἐμοῦ λεγομένοις ἐψηφίσαντο ταῦτα π νόμȣ τȣ́τȣ." τὸ μὲν ȣ̃ν νόμιμον ȣ̈τω μετιόντες πολ δείξομεν· τὸ δὲ συμφέρον αὐτὸ μὲν οἷόν ἐςιν ἐν πρό τερον ὥρισαι, δεῖ δὲ λαμβάνειν εἰς τȣ̀ς λόγȣς τῶν π μένων καὶ ἐκ τȣ̃ συμφέροντος ἂν ὑπάρχῃ τι, καὶ τας τὸν αὐτὸν τρόπον ὅνπερ ὑπὲρ τȣ̃ νομίμȣ καὶ τȣ̃ διήλθομεν, ȣ̈τω καὶ τὸ συμφέρον πολλαχῶς ἐμφα εἴη δ' ἂν τὸ μὲν ὅμοιον τῷ συμφέροντι τοιόνδε· "ὥσπε ἐν τοῖς πολέμοις συμφέρει τȣ̀ς εὐψυχοτάτȣς πρωτο τειν, ȣ̈τως ἐν ταῖς πολιτείαις λυσιτελεῖ τȣ̀ς φρονιμω καὶ δικαιοτάτȣς προεςάναι τȣ̃ πλήθȣς." καὶ "καθάπε ἀνθρώποις ὑγιαίνȣσι συμφέρει φυλάττεσθαι μὴ νοσ οὕτω καὶ ταῖς πόλεσιν ὁμονοȣ́σαις συμφέρον ἐςὶ π πεῖν μὴ ςασιάσωσιν." τὰ μὲν ȣ̃ν ὅμοια τῷ συμφέρ τον τὸν τρόπον μετιὼν πολλὰ ποιήσεις· ἐκ δὲ τῶν ἐ ὧδέ σοι τὸ συμφέρον ἔςαι καταφανές. "εἰ γὰρ λυσ τοὺς ἐπιεικεῖς τῶν πολιτῶν τιμᾶν, συμφέρον ἂν ε τοὺς πονηροὺς κολάζειν." "εἰ γὰρ οἴεσθε ἀσύμφο μόνους ἡμᾶς πρὸς Θηβαίους πολεμεῖν, συμφέρον ἂν

12. δυνάμεις B^c. | 19. γίνεσθαι F^b. | 23. ἀναγκαῖα καὶ τὰ δυνατὰ F^b. | 28. ὧν B^c. | 32. κακὸν ἡμᾶς F^b. | 39. [illegible]
12 εἶν B^c | 24 πολλαχοῦ B^c.

Λακεδαιμονίους συμμάχους ποιησαμένους ἡμᾶς οὕτω Θηβαίοις πολεμεῖν." ἐκ μὲν δὴ τῶν ἐναντίων οὕτω τὸ συμφέρον καταφανὲς ποιήσεις, τὸ δὲ κεκριμένον ὑπ' ἐνδόξων συμφέρον ὧδε χρὴ λαμβάνειν· "Λακεδαιμόνιοί τε γὰρ Ἀθηναίους καταπολεμήσαντες συμφέρειν αὐτοῖς ᾠήθησαν μὴ τὴν πόλιν αὐτῶν ἀνδραποδίσασθαι, καὶ πάλιν Ἀθηναῖοι, ἐξὸν αὐτοῖς ἀνοικίσαι τὴν Σπάρτην, συμφέρειν σφίσιν ᾠήθησαν περιποιῆσαι Λακεδαιμονίους." περὶ μὲν οὖν τοῦ δικαίου καὶ τοῦ νομίμου καὶ τοῦ συμφέροντος οὕτω μετιὼν εὐπορήσεις· τὸ δὲ καλὸν καὶ τὸ ῥᾴδιον καὶ τὸ ἡδὺ καὶ τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον ὁμοιοτρόπως τούτοις μέτιθι. καὶ περὶ μὲν τούτων ἐντεῦθεν εὐπορήσομεν.

3 Πάλιν δὲ ὁρισώμεθα καὶ περὶ πόσων καὶ περὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίαις συμβουλεύσομεν· ἂν γὰρ τούτων ἕκαστα σαφῶς ἐπιστώμεθα, τοὺς μὲν ἰδίους λόγους αὐτὰ τὰ πράγματα καθ' ἑκάστην ἡμῖν συμβουλίαν παραδώσει, τὰς δὲ κοινὰς ἰδέας ἐκ πολλοῦ προειδότες ἐπιφέρειν ἐφ' ἑκάσταις τῶν πράξεων ῥᾳδίως δυνησόμεθα. τούτων οὖν ἕνεκα διαιρετέον ἡμῖν περὶ ὧν κοινῇ βουλεύονται πάντες. ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσὶν ἑπτὰ τὸν ἀριθμὸν προθέσεις, περὶ ὧν δημηγορήσομεν. ἀνάγκη γάρ ἐστι καὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ περὶ ἱερῶν, ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατασκευῆς, ἢ περὶ τῶν πρὸς ἄλλας πόλεις συμμαχιῶν καὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ πόρου χρημάτων. αἱ μὲν οὖν προθέσεις αὗται τυγχάνουσιν οὖσαι, περὶ ὧν βουλευσόμεθα καὶ δημηγορήσομεν· ἑκάστην δὲ πρόθεσιν διελώμεθα, καὶ σκοπῶμεν ἐν οἷς τρόποις ἐνδέχεται περὶ τούτων λόγῳ χρήσασθαι. περὶ μὲν οὖν ἱερῶν περιττῶς ἀναγκαῖον λέγειν· ἢ γὰρ ἐροῦμεν ὡς τὰ καθεστῶτα διαφυλακτέον, ἢ ὡς ἐπὶ τὸ μεγαλοπρεπέστερόν πως ἢ ὡς ἐπὶ τὸ ταπεινότερον. ὅταν μὲν οὖν λέγωμεν ὡς δεῖ τὰ καθεστῶτα διαφυλάττειν, εὑρήσομεν ἀφορμὰς ἐκ μὲν τοῦ δικαίου λέγοντες ὅτι τὰ πάτρια ἔθη παρὰ πᾶσι παραβαίνειν ἄδικόν ἐστι, καὶ ὅτι τὰ μαντεῖα πάντα τοῖς ἀνθρώποις προστάττει κατὰ τὰ πάτρια ποιεῖσθαι τὰς θυσίας, καὶ ὅτι τῶν πρώτων οἰκιζόντων τὰς πόλεις καὶ τοῖς θεοῖς ἱδρυσαμένων τὰ ἱερὰ μάλιστα δεῖ διαμένειν τὰς περὶ τοὺς θεοὺς ἐπιμελείας· ἐκ δὲ τοῦ συμφέροντος, ὅτι πρὸς χρημάτων συντέλειαν ἢ τοῖς ἰδιώταις ἢ τῷ κοινῷ τῆς πόλεως συμφέρον ἔσται κατὰ τὰ πάτρια τῶν ἱερῶν θυομένων, καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων ὁπλιτῶν ἱππέων ψιλῶν εὐτολμότεροι γένοιντ' ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα· ἐκ δὲ τοῦ καλοῦ, εἰ οὕτω λαμπρὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν· ἐκ δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία περὶ τὰς τῶν θεῶν θυσίας· ἐκ δὲ τοῦ δυνατοῦ, εἰ μήτε ἔνδεια γεγένηται μήτε ὑπερβολὴ περὶ ταύτας. ὅταν μὲν οὖν τοῖς καθεστῶσι συνηγορῶμεν, οὕτω μετιοῦσι σκεπτέον ἐπὶ τῶν προειρημένων ἢ τῶν τούτοις ὁμοιοτρόπων, καὶ ὡς ἐνδέχεται διδάσκειν περὶ τῶν λεγομένων· ὅταν δὲ ἐπὶ τὸ μεγαλοπρεπέστερον συμβουλεύωμεν μεθιστάναι τὰς ἱεροποιίας, περὶ μὲν τοῦ τὰ πάτρια κινεῖν ἀφορμὰς ἕξομεν εὐπρεπεῖς, λέγοντες ὅτι τὸ προστιθέναι τοῖς ὑπάρχουσιν οὐ καταλύειν ἐστὶν ἀλλ' αὔξειν τὰ καθεστῶτα, ἔπειθ' ὡς καὶ τοὺς θεοὺς εἰκὸς εὐνουστέρους εἶναι τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν, ἔπειθ' ὡς οὐδὲ οἱ πατέρες ἀεὶ κατὰ τὰ αὐτὰ τὰς θυσίας ἦγον, ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰς εὐπραγίας ὁρῶντες καὶ ἰδίᾳ καὶ κοινῇ τὴν πρὸς τοὺς θεοὺς θεραπείαν ἐνομοθέτουν, ἔπειθ' ὡς καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων οὕτω καὶ τὰς πόλεις καὶ τοὺς ἰδίους οἴκους διοικοῦμεν. λέγε δὲ καὶ εἰ τούτων κατασκευασθέντων ὠφέλειά τις ἔσται τῇ πόλει ἢ λαμπρότης ἢ ἡδονή, μετιὼν ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. ὅταν δὲ ἐπὶ τὸ ταπεινότερον συστέλλωμεν, πρῶτον μὲν ἐπὶ τοὺς καιροὺς τὸν λόγον ἀνακτέον, τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον· ἔπειθ' ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς δαπάναις τῶν θυομένων ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων· εἶθ' ὡς πολλὴν ἄνοιαν τούτων καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι κατακρίνουσιν, ὅσοι παρὰ δύναμίν τι ποιοῦσιν· ἔπειθ' ὅτι οὐκ ἐπὶ τοῖς ἀνθρώποις μόνον ἀλλὰ καὶ ἐπὶ ταῖς εὐπραγίαις καὶ κακοπραγίαις ἐστὶ τὰ περὶ τὰς πολιτικὰς δαπάνας. ἀφορμὰς μὲν οὖν ταύτας καὶ τὰς ὁμοιοτρόπους ταύταις ὑπὲρ τῶν περὶ τὰς θυσίας προθέσεων ἕξομεν· ἵνα δὲ καὶ τὰ κατὰ τὴν κρατίστην θυσίαν εἰδῶμεν εἰσηγεῖσθαι καὶ νομοθετεῖν, ὁρισώμεθα καὶ ταύτην. ἔστι γὰρ κρατίστη θυσία πασῶν, ἥ τις ἂν ἔχοι πρὸς μὲν τοὺς θεοὺς ὁσίως [καὶ θείως], πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ πόλεμον ὠφελίμως, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς. ἕξει δὲ πρὸς μὲν τοὺς θεοὺς ὁσίως, ἐὰν τὰ πάτρια μὴ καταλύηται,

11. τὸ om V^b. ‖ 14. συμβουλεύομεν B^c. ‖ 19. οὖν] μὲν οὖν V^b. ‖ 29. περὶ τούτων ἐνδέχεται V^b. ‖ 30. an τριττῶς? ‖ 31. πως] ὄντως V^b. ‖ 34. ὅτι om $V^b B^c$. ‖ 35. διότι $V^b B^c$. ‖ 37. οἰκίζοντας V^b.

3. τοῖς om V^b. ‖ 4. ψιλοὶ V^b. ‖ 7. τὸ om V^b. ‖ 8. γένηται $V^b B^c$. ‖ 11. δέχεται B^c. ‖ 13. τὰς] τῆς V^b. ‖ 14. ὅτι om $V^b B^c$. ‖ 16. εἰκὸς] νῦν $V^b B^c$. ‖ 17. οὔτε $V^b B^c$. ‖ 31. τὰ περὶ] τὰς περὶ B^c, τὰ κατὰ rc V^b: pr enim om. ‖ 34. ἵνα] εἰ pr V^b. ‖ 35. ὁριοῦμαι rc V^b, om pr. ‖ 36. ἔχοι om B^c. ‖ 38. πόλεμον] τὸν πόλεμον B^c.

πρὸς δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ πάντα τὰ πεμπόμενα καταναλίσκηται, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, ἐὰν χρυσῷ καὶ τοῖς τοιούτοις ἃ μὴ συναναλίσκεται δαψιλῶς τις χρήσηται, πρὸς δὲ τοὺς πολέμους ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσιν. τὰ μὲν δὴ περὶ τοὺς θεοὺς ἐκ τούτων κάλλιστα κατασκευάσομεν, ἐκ δὲ τῶν πρότερον εἰρημένων καθ' οὓς ἐνδέχεται τρόπους δημηγορεῖν περὶ ἑκάστης ἱεροποιίας εἰσόμεθα. περὶ δὲ νόμων πάλιν καὶ τῆς πολιτικῆς κατασκευῆς ὁμοιοτρόπως διέλθωμεν. εἰσὶ δὲ νόμοι συλλήβδην μὲν εἰπεῖν ὁμολογήματα κοινὰ πόλεως, ἃ διὰ γραμμάτων ὁρίζει καὶ προστάττει πῶς χρὴ πράττειν ἕκαστα. δεῖ δὲ αὐτῶν τὴν θέσιν ἐν μὲν ταῖς δημοκρατίαις τὰς μικρὰς ἀρχὰς καὶ τὰς πολλὰς κληρωτὰς ποιεῖν (ἀστασίαστον γὰρ τοῦτο), τὰς δὲ μεγίστας χειροτονητὰς ἀπὸ τοῦ πλήθους· οὕτω γὰρ ὁ μὲν δῆμος κύριος ὢν διδόναι τὰς τιμὰς οἷς ἂν ἐθέλῃ, τοῖς λαμβάνουσιν αὐτὰς οὐ φθονήσει, οἱ δ' ἐπιφανέστεροι μᾶλλον τὴν καλοκαγαθίαν ἀσκήσουσιν, εἰδότες ὅτι τὸ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν οὐκ ἀλυσιτελὲς αὐτοῖς ἔσται. περὶ μὲν οὖν τὰς ἀρχαιρεσίας ἐν τῇ δημοκρατίᾳ οὕτω δεῖ νομοθετεῖν· περὶ δὲ τὴν ἄλλην διοίκησιν καθ' ἓν μὲν ἕκαστον διελθεῖν πολὺ ἂν ἔργον εἴη, συλλήβδην δὲ δεῖ παραφυλάττειν ὅπως οἱ νόμοι τὸ μὲν πλῆθος ἀποτρέψωσι τοῖς τὰς οὐσίας ἔχουσιν ἐπιβουλεύειν, τοῖς δὲ πλουτοῦσιν εἰς τὰς κοινὰς λειτουργίας ἑκουσίαν ἅπασαν φιλοτιμίαν ἐμποιήσωσιν. τοῦτο δὲ οὕτως ἂν κατασκευάσειεν, εἰ τοῖς μὲν τὰς οὐσίας ἔχουσιν ἀντὶ τῶν εἰς τὸ κοινὸν δαπανωμένων τιμαί τινες ἀπὸ τῶν νόμων ἀφωρισμέναι τυγχάνοιεν, τῶν δὲ πενομένων τοὺς τὴν χώραν ἐργαζομένους καὶ ναυκληροῦντας τῶν ἀγοραίων μᾶλλον προτιμῷεν, ὅπως οἱ μὲν πλουτοῦντες ἑκόντες τῇ πόλει λειτουργήσωσι, τὸ δὲ πλῆθος οὐ συκοφαντίας ἀλλ' ἐργασίας ἐπιθυμήσῃ. δεῖ δὲ πρὸς τούτοις καὶ περὶ τοῦ μήτε χώραν ποιεῖν ἀνάδαστον μήτε δημεύειν τὰς οὐσίας τῶν τελευτώντων ἰσχυροὺς κεῖσθαι νόμους, καὶ μεγάλας ἐπικεῖσθαι τιμωρίας τοῖς παραβαίνουσι ταῦτα. χρὴ δὲ τοῖς ἐν πολέμῳ τελευτῶσιν εἰς ταφήν τι χωρίον δημόσιον ἐν καλῷ πρὸ τῆς πόλεως ἀφωρίσθαι, καὶ τοῖς παισὶν αὐτῶν ἕως ἥβης δημοσίαν τροφὴν δίδοσθαι. τῶν μὲν οὖν ἐν τῇ δημοκρατίᾳ νόμων τὴν θέσιν τοιαύτην δεῖ ποιεῖσθαι· περὶ δὲ τὰς ὀλιγαρχίας, τὰς μὲν ἀρχὰς δεῖ τοὺς νόμους ἀπονέμειν ἐξ ἴσου πᾶσι τοῖς τῆς πολιτείας μετέχουσι, τούτων δὲ εἶναι τὰς μὲν πλείστας κληρωτάς, τὰς δὲ μεγίστας κρυπτῇ ψήφῳ μεθ' ὅρκων καὶ πλείστης ἀκριβείας διαψηφιστάς. δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι τοῖς ὑβρίζειν τινὰς τῶν πολιτῶν ἐπιχειροῦσιν· τὸ γὰρ πλῆθος οὐχ οὕτω τῶν ἀρχῶν ἀγανακτεῖ στερούμενον ὡς ἔχει βαρέως ὑβριζόμενον. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν καὶ μὴ χρονίζεσθαι, μηδὲ συνάγειν ἐκ τῆς χώρας ἐπὶ τὴν πόλιν τὸν ὄχλον· ἐκ γὰρ τῶν τοιούτων συνόδων συστρέφεται τὰ πλήθη καὶ καταλύει τὰς ὀλιγαρχίας. καθόλου δὲ εἰπεῖν, δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις κωλύειν τοὺς πολλοὺς ταῖς τῶν πλουσίων οὐσίαις ἐπιβουλεύειν, ἐν δὲ ταῖς ὀλιγαρχίαις ἀποτρέπειν τοὺς τῆς πολιτείας μετέχοντας ὑβρίζειν τοὺς ἀσθενεστέρους καὶ συκοφαντεῖν τοὺς πολίτας. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς νόμους καὶ τὴν πολιτικὴν κατασκευήν, ἐκ τούτων οὐκ ἀγνοήσεις· δεῖ δὲ τὸν συναγορεύειν ἐθέλοντα νόμῳ δεικνύειν τοῦτον ἴσον ὄντα τοῖς πολίταις ὁμολογούμενόν τε τοῖς ἄλλοις νόμοις, καὶ συμφέροντα τῇ πόλει μάλιστα μὲν πρὸς ὁμόνοιαν, εἰ δὲ μή, πρὸς τὴν τῶν πολιτῶν καλοκαγαθίαν ἢ πρὸς τὰς κοινὰς προσόδους ἢ πρὸς εὐδοξίαν τῷ κοινῷ τῆς πόλεως ἢ πρὸς τὴν πολιτικὴν δύναμιν ἢ πρὸς ἄλλο τι τῶν τοιούτων. ἀντιλέγοντα δὲ σκοπεῖν πρῶτον μὲν εἰ μὴ κοινὸς ὁ νόμος, ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν ἀλλ' ὑπεναντίος ἐστίν, ἐπὶ τούτοις εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρων ἀλλὰ τοὐναντίον βλαβερός. περὶ μὲν οὖν νόμων καὶ τῆς πολιτικῆς κατασκευῆς ἐντεῦθεν καὶ τιθέναι καὶ λέγειν εὐπορήσομεν, περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν. τὰ μὲν οὖν συμβόλαια καὶ τὰς τάξεις ἀναγκαῖον κατὰ συνθήκας κοινὰς γίνεσθαι, συμμάχους δὲ ποιεῖσθαι κατὰ τοὺς καιροὺς τούτους, ὅταν τινὲς καθ' ἑαυτοὺς ὦσιν ἀσθενεῖς, ἢ πόλεμος ᾖ τις προσδόκιμος, ἢ διὰ τοῦτο ποιήσασθαι συμμαχίαν πρός τινας ὅτι πολέμῳ ἀποστήσειν τινὰς νομίζουσιν. αἰτίαι μὲν οὖν αὗται καὶ παραπλήσιαι ταύταις ἄλλαι πλείους τοῦ ποιεῖσθαι συμμάχους εἰσίν, δεῖ δέ, ὅταν συναγορεύειν βούλῃ ἡ γινομένῃ συμμαχίᾳ, τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν, καὶ δεικνύναι τοὺς τὴν συμμαχίαν ποιουμένους μάλιστα μὲν δικαίους ὄντας καὶ πρότερόν τι τῇ πόλει ἀγαθὸν πεποιηκότας καὶ δύναμιν μεγάλην ἔχοντας καὶ πλησίον τοὺς τόπους κατοικοῦντας, εἰ δὲ μή, τούτων ἅπερ ἂν ὑπάρχῃ ταῦτα

8. πάλαι V^b. ‖ 11. πραγμάτων V^b. ‖ 15. μὲν γὰρ ὁ $V^b B^c$. ‖ 16. ἐθέλοι V^b. ‖ 23. ἀποστρέψωσι V^b. ‖ 36. ἀφωρισμένον $V^b B^c$. ‖ 40. τὴν πολιτείαν V^b.

10. μὲν om V^b. ‖ 29. κατὰ τὰς συνθήκας V^b. ‖ 34. τοῦ ποιεῖσθαι συμμάχους om B^c. ‖ 36. τῶν καιρῶν τούτων τοὺς ὑπάρχοντας V^b.

συνάγειν. ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν, ἐμφανίζειν ἐνδέχεται πρῶτον μὲν ὡς οὐκ ἀνάγκη ποιεῖσθαι νῦν αὐτήν, ἔπειθ' ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες, εἶθ' ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες, εἰ δὲ μή, ὡς μακρὰν τοῖς τόποις ἀπέχοντες καὶ οὐχ ὑπάρχοντες δυνατοὶ κατὰ τοὺς προσήκοντας παραγενέσθαι καιρούς. ταῖς μὲν οὖν ἀντιλογίαις καὶ ταῖς συνηγορίαις ταῖς περὶ τῶν συμμάχων ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων εὐπορήσομεν χρῆσθαι, περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου τὸν αὐτὸν τρόπον τὰς μεγίστας ἰδέας ἐκλάβωμεν. προφάσεις μὲν οὖν εἰσὶ τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται· δεῖ πρότερον ἀδικηθέντας νῦν καιρῶν παραπεπτωκότων ἀμύνασθαι τοὺς ἀδικήσαντας, ἢ νῦν ἀδικουμένους ὑπὲρ ἑαυτῶν πολεμεῖν ἢ ὑπὲρ συγγενῶν ἢ ὑπὲρ εὐεργετῶν, ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν, ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν ἢ εἰς εὐδοξίαν ἢ εἰς εὐπορίαν ἢ εἰς δύναμιν ἢ εἰς ἄλλο τι τῶν τοιούτων. ὅταν μὲν οὖν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τούτων τε τῶν προφάσεων ὅτι πλείστας συνακτέον, καὶ μετὰ ταῦτα δεικτέον, ἐξ ὧν ἔστι περιγενέσθαι τῷ πολέμῳ, ὅτι τὰ πλεῖστα τούτων τοῖς παρακαλουμένοις ὑπάρχοντά ἐστιν. περιγίνονται δὲ πάντες ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν, ἣν εὐτυχίαν προσαγορεύομεν, ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ στρατηγοῦ φρόνησιν, ἢ διὰ συμμάχων ἀρετήν, ἢ διὰ τόπων εὐφυΐαν. τούτων οὖν καὶ τῶν τοιούτων τὰ τοῖς πράγμασιν οἰκειότερα λαμβάνοντες ἐμφανιοῦμεν, ὅταν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τὰ μὲν τῶν ἐναντίων ταπεινοῦντες, τὰ δ' ἡμέτερα ταῖς αὐξήσεσι μεγάλα καθιστῶντες. ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι διακωλύειν ἐπιχειρῶμεν, πρῶτον μὲν διὰ προφάσεων δεικτέον ἢ παντελῶς οὐδεμίαν ὑπάρχουσαν ἢ μικρὰς καὶ ταπεινὰς οὔσας τὰς δυσχερείας, ἔπειθ' ὡς οὐ συμφέρει πολεμεῖν, διεξιόντα τὰ κατὰ τὸν πόλεμον ἀτυχήματα τοῖς ἀνθρώποις· πρὸς δὲ τούτοις τὰ πρὸς νίκας συντείνοντα τοῦ πολέμου τοῖς ἐναντίοις ὑπάρχοντα μᾶλλον δεικτέον· ταῦτα δ' ἐστὶν ἅπερ ἀρτίως κατηρίθμηται. γίνεσθαι μὲν οὖν μέλλοντα πόλεμον ἐκ τούτων ἀποτρεπτέον· ἤδη δ' ἐνεστῶτα παύειν ἐπιχειροῦντας, ἐὰν μὲν κρατῶσιν οἱ συμβουλευόμενοι, αὐτὸ τοῦτο πρῶτον λεκτέον, ὅτι δεῖ τοὺς νοῦν ἔχοντας μὴ περιμένειν ἕως ἂν πέσωσιν, ἀλλ' ἐν τῷ κρατεῖν ποιεῖσθαι τὴν εἰρήνην, ἔπειτα διότι πέφυκεν ὁ πόλεμος καὶ τῶν εὐτυχούντων ἐν αὐτῷ πολλοὺς ἀπολλύναι, ἡ δ' εἰρήνη τοὺς μὲν ἡττωμένους σώζειν, τοὺς δὲ νικῶντας, ὧν ἕνεκεν ἐπολέμησαν, παρέχειν ἀπολαύειν· διεξιτέον δὲ τὰς μεταβολὰς τὰς ἐν τῷ πολέμῳ, ὡς πολλαὶ καὶ παράλογοι γίνονται. τοὺς μὲν οὖν ἐν τῷ πολέμῳ κρατοῦντας ἐκ τῶν τοιούτων ἐπὶ τὴν εἰρήνην παρακλητέον, τοὺς δ' ἐπταικότας ἔξ αὐτῶν τε τῶν συμβάντων, καὶ ἐκ τοῦ μὴ παροξύνεσθαι τοῖς προαδικήσασι ταῖς συμφοραῖς πειθομένους, καὶ ἐκ τῶν κινδύνων τῶν γεγενημένων τοῦ μὴ ποιήσασθαι τὴν εἰρήνην, καὶ ἐκ τοῦ κρεῖττον εἶναι τοῖς κρείττοσι μέρος τι τῶν ὑπαρχόντων προέσθαι ἢ πολέμῳ κρατηθέντας αὐτοὺς αὐτοῖς κτήμασιν ἀπολέσθαι. συλλήβδην δὲ τοῦθ' ἡμᾶς εἰδέναι δεῖ, ὅτι τότε πάντες ἄνθρωποι τοὺς πολέμους εἰώθασι διαλύεσθαι πρὸς ἀλλήλους, ὅταν ἤτοι δίκαια ἀξιοῦν τοὺς ἐναντίους ὑπολαμβάνωσιν, ἢ διενεχθῶσι τοῖς συμμάχοις, ἢ τῷ πολέμῳ κάμνωσιν, ἢ φοβηθῶσι τοὺς ἐναντίους, ἢ στασιάσωσι πρὸς σφᾶς αὐτούς· ὥστε τούτων τε πάντων καὶ τῶν τούτοις ὁμοιοτρόπων τὰ τοῖς πράγμασιν οἰκειότατα συνάγων οὐκ ἀπορήσεις ὅθεν χρὴ περὶ πολέμου δημηγορεῖν καὶ εἰρήνης. λείπεται δ' ἡμᾶς ἔτι περὶ πόρου χρημάτων διελθεῖν. πρῶτον μὲν οὖν σκεπτέον εἴ τι τῶν τῆς πόλεως κτημάτων ἠμελημένον ἐστὶ καὶ μήτε πρόσοδον ποιεῖ μήτε τοῖς θεοῖς ἐξαίρετόν ἐστιν. λέγω δ' οἷον τόπους τινὰς δημοσίους ἠμελημένους, ἐξ ὧν τοῖς ἰδιώταις ἢ πραθέντων ἢ μισθωθέντων πρόσοδος ἄν τις τῇ πόλει γίγνοιτο· κοινότατος γὰρ ὁ τοιοῦτος πόρος ἐστίν. ἂν δὲ μηδὲν ᾖ τοιοῦτον, ἀπὸ τιμημάτων ἀναγκαῖον ποιήσασθαι τὰς εἰσφοράς, ἢ τοῖς μὲν πένησι τὰ σώματα παρέχειν εἶναι προστεταγμένον εἰς τοὺς κινδύνους, τοῖς δὲ πλουτοῦσι τὰ χρήματα, τοῖς δὲ τεχνίταις ὅπλα. συλλήβδην δὲ περὶ πόρων εἰσηγούμενοι, φάναι αὐτοὺς ἴσους τοῖς πολίταις καὶ πολυχρονίους καὶ μεγάλους ὄντας, τοὺς δὲ τῶν ἐναντίων τὰ ἐναντία τούτοις ἔχοντας. τὰς μὲν οὖν προθέσεις περὶ ὧν δημηγορήσομεν, καὶ τὰ μέρη τούτων ἐξ ὧν τοὺς λόγους συστήσομεν καὶ προτρέποντες καὶ ἀποτρέποντες, ἐκ τῶν εἰρημένων ἴσμεν· προθέμενοι δὲ πάλιν ἐφεξῆς τό τε ἐγκωμιαστικὸν εἶδος καὶ τὸ ψεκτικὸν περιλάβωμεν.

4 Συλλήβδην μὲν οὖν ἐστὶν ἐγκωμιαστικὸν εἶδος προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησις καὶ μὴ προσόντων συνοικείωσις, ψεκτικὸν δὲ τὸ ἐναντίον τούτῳ, τῶν μὲν ἐνδόξων ταπείνωσις, τῶν δὲ ἀδόξων αὔξησις. ἐπαινετὰ μὲν οὖν ἐστὶ πράγματα τὰ δίκαια καὶ τὰ νόμιμα καὶ τὰ

18. συντακτέον V^b. ‖ 19. τοῦ πολέμου V^b. ‖ τὰ om B^c. ‖ 21. εὐψυχίαν προσαγορεύοιμεν V^b. ‖ 24. τὰ] ὁμοιοτρόπως τὰ V^b. ‖ 28. γενέσθαι V^b. ‖ 31. οὐ om V^b. ‖ 35. πόλεμοι μέλλοντα V^b. ‖ 36. ἐπιχειροῦντες V^b.

2. παρέχειν om V^b. ‖ δὲ] δὲ παρέχειν B^c. ‖ 11. ὑμᾶς V^b. ‖ 15. βοηθῶσι V^b. ‖ 17. οἰκειότερα V^b. ‖ 34. τὸ om V^b. ‖ 36. ἐστὶν om B^c.

συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια πραχθῆναι. ταῦτα δὲ αὐτά τε οἷά ἐστι, καὶ ὅθεν αὐτοὶ πολλὰ ποιήσομεν, ἐν τοῖς πρὸ τούτων εἴρηται. δεῖ δὲ τὸν εὐλογοῦντα δεικνύειν τοῖς λόγοις ὡς τούτῳ τῷ ἀνθρώπῳ ἢ τοῖς πράγμασιν ὑπάρχει τι τούτων ὑπ' αὐτοῦ κατεργασθὲν ἢ δι' αὐτοῦ πορισθὲν ἢ ἐκ τούτου ἐπισυμβαῖνον ἢ ἕνεκεν τούτου γινόμενον ἢ οὐκ ἄνευ τούτου ἐπιτελούμενον· ὁμοιοτρόπως δὲ καὶ τῷ ψέγοντι τὰ ἐναντία τούτων δεικτέον προσόντα τῷ ψεγομένῳ. τὸ μὲν ἐκ τούτου, οἷον ἐκ τοῦ φιλογυμναστεῖν τὸ σῶμα αἱ νῖκαι, καὶ ἐκ τοῦ μὴ φιλοπονεῖν ἐπ' ἀρρωστίαν ἐμπίπτειν, καὶ ἐκ τοῦ φιλοσοφεῖν δεινότερον εἶναι περὶ φρόνησιν, καὶ ἐκ τοῦ ἀμελεῖν ἐνδεᾶ τῶν ἀναγκαίων εἶναι· τὸ δ' ἕνεκα τούτου, οἷον ἕνεκα τοῦ στεφανωθῆναι ὑπὸ τῶν πολιτῶν πολλοὺς πόνους καὶ κινδύνους ὑπομένουσιν, καὶ ἕνεκα τοῦ χαρίσασθαι τοῖς ἐρωμένοις τῶν ἄλλων οὐδὲν φροντίζουσιν· τὸ δὲ μὴ ἄνευ τούτου, οἷον οὐκ ἄνευ τῶν ναυτῶν ναυμαχιῶν νῖκαι, καὶ οὐκ ἄνευ τοῦ πίνειν αἱ παροινίαι. τὰ τοιαῦτα δὲ τοῖς προειρημένοις ὁμοιοτρόπως μετιὼν ἐγκωμίων καὶ ψόγων πολλῶν εὐπορήσεις. αὐξήσεις δὲ καὶ ταπεινώσεις συλλήβδην ἅπαντα τὰ τοιαῦτα τόνδε τὸν τρόπον μετιών, πρῶτον μὲν ἀποφαίνων, ὥσπερ ἀρτίως μετῆλθον, ὑπὸ τουτουῒ πολλὰ γεγενῆσθαι ἢ κακὰ ἢ ἀγαθά. εἷς μὲν οὖν τρόπος τῆς αὐξήσεως οὗτος, δεύτερος δὲ κεκριμένον μεταφέρειν, ἂν μὲν ἐπαινῇς, ἀγαθόν, ἂν δὲ ψέγῃς, κακόν, εἶτα παριστάναι τὸ ὑπὸ σοῦ λεγόμενον, καὶ παραβάλλειν πρὸς ἄλληλα, τοῦ μὲν ὑπὸ σαυτοῦ λεγομένου τὰ μέγιστα διεξιὼν τοῦ δ' ἑτέρου τὰ ἐλάχιστα, καὶ οὕτω μέγα φανῆναι. τρίτος, πρὸς τὸ ὑπὸ σαυτοῦ λεγόμενον ἀντιπαραβάλλειν τοὐλάχιστον τῶν ὑπὸ τὴν αὐτὴν ἰδέαν πιπτόντων· φανεῖται γὰρ οὕτω τὸ ὑπὸ σοῦ λεγόμενον μεῖζον, ὥσπερ οἱ μέτριοι τὰ μεγέθη φαίνονται μείζους ὅταν πρὸς βραχυτέρους παραστῶσιν. ἔσται δὲ καὶ ὧδε πάντως αὔξειν· εἰ κέκριται μέγα ἀγαθὸν τοῦτο, τούτῳ τι ἐναντίον ἐὰν λέγῃς, μέγα κακὸν φανεῖται· ὡσαύτως δὲ εἰ νομίζεται μέγα κακόν, ἐὰν τούτῳ ἐναντίον λέγῃς, μέγα ἀγαθὸν φανεῖται. ἔστι δὲ καὶ ὧδε μεγάλα ποιεῖν τἀγαθὰ ἢ τὰ κακά, ἐὰν ἀποφαίνῃς αὐτὸν ἐκ διανοίας, συμβιβάζων ὡς ἐκ πολλοῦ προενόησεν, ὡς πολλὰ πράττειν ἐπεβάλετο, ὡς πολὺν χρόνον ἔπραττεν, ὡς οὐδεὶς ἄλλος πρότερον τούτοις ἐνεχείρησεν, ὡς μετὰ τούτων ἔπραξε μεθ' ὧν οὐδεὶς ἄλλος, ὡς ἐπὶ τούτοις μεθ' οὓς οὐδεὶς ἕτερος, ὡς ἑκών, ὡς ἐκ προνοίας, ὡς εἰ πάντες τοῦτο ἴσως ποιοῖμεν, εὐδαιμονοῖμεν ἂν ἢ φαύλως πράττοιμεν. χρὴ δὲ καὶ εἰκάζοντα συμβιβάζειν, καὶ ἐποικοδομοῦντα τὸ ἕτερον ἐπὶ τὸ ἕτερον αὔξειν τρόπῳ τοιῷδε· "ὅστις δὲ τῶν φίλων κήδεται, τοῦτον εἰκὸς καὶ τοὺς αὑτοῦ γονεῖς τιμᾶν· ὃς δὲ τοὺς γονέας τιμᾷ, οὗτος καὶ τὴν πατρίδα τὴν ἑαυτοῦ εὖ ποιεῖν βουλήσεται." συλλήβδην δέ, ἐὰν πολλῶν αἴτιον ἀποφαίνῃς, ἐάν τε ἀγαθῶν ἐάν τε κακῶν, μεγάλα φανεῖται. σκόπει δὲ καὶ τὸ πρᾶγμα ὁποῖον φανεῖται κατὰ μέρη διαιρούμενον ἢ καθόλου λεγόμενον, καὶ ὁποτέρως ἂν μεῖζον ᾖ, τοῦτον τὸν τρόπον αὐτὸ λέγειν. τὰς μὲν οὖν αὐξήσεις οὕτω μετιὼν πλείστας ποιήσεις καὶ μεγίστας, ταπεινώσεις δὲ τοῖς λόγοις καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τὸν ἐναντίον τρόπον μετιών, ὡς εἰρήκαμεν ἐπὶ τῶν μεγάλων, καὶ μάλιστα μὲν ἂν μηδενὸς αἴτιον ἐπιδεικνύῃς, εἰ δὲ μή, ὡς ἐλαχίστων καὶ σμικροτάτων. ὡς μὲν οὖν ἐγκωμιάζοντες καὶ ψέγοντες αὐξήσομεν καὶ ταπεινώσομεν ἅπερ ἂν ἐθέλωμεν, ἐκ τούτων ἴσμεν· χρήσιμοι δὲ αἱ τῶν αὐξήσεων ἀφορμαί εἰσι καὶ ἐν τοῖς ἄλλοις εἴδεσιν, ἀλλ' ἡ πλείστη δύναμις αὐτῶν ἐστὶν ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς ψόγοις. περὶ μὲν οὖν τούτων ἐντεῦθεν εὐπορήσομεν.

Διέλωμεν δὲ πάλιν ὁμοιοτρόπως τούτοις τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν εἶδος, ὃ περὶ τὴν δικανικήν ἐστι πραγματείαν, αὐτά τε ἐξ ὧν συνέστηκε, καὶ ὡς δεῖ αὐτοῖς χρῆσθαι. ἔστι δὲ τὸ μὲν κατηγορικὸν συλλήβδην εἰπεῖν ἁμαρτημάτων καὶ ἀδικημάτων ἐξάγγελσις, τὸ δ' ἀπολογητικὸν ἁμαρτημάτων καὶ ἀδικημάτων κατηγορηθέντων ἢ καθυποπτευθέντων διάλυσις. ἑκατέρου δὲ τῶν εἰδῶν τὰς δυνάμεις τὰς αὐτὰς ἐχόντων, κατηγοροῦντα μὲν ἀναγκαῖον λέγειν, ὅταν μὲν εἰς πονηρίαν κατηγορῇ, ὡς αἱ τῶν ἐναντίων πράξεις ἄδικοι καὶ παράνομοι καὶ τῷ πλήθει τῶν πολιτῶν ἀσύμφοροι τυγχάνουσιν οὖσαι, ὅταν δὲ εἰς ἀβελτερίαν, ὡς αὐτῷ τε καὶ τῷ πράττοντι ἀσύμφοροι καὶ αἰσχραὶ καὶ ἀηδεῖς καὶ ἀδύνατοι ἐπιτελεσθῆναι. ταῦτα μὲν καὶ τὰ τούτοις ὅμοια κατά τε τῶν πονηρῶν καὶ τῶν ἀβελτέρων ἐπιχειρήματά ἐστιν. δεῖ δὲ καὶ τοῦτο παρατηρεῖν τοὺς κατηγοροῦντας, ἐπὶ ποίοις τῶν ἀδικημάτων οἱ νόμοι τὰς τιμωρίας τάττουσιν, καὶ περὶ ἃ τῶν ἀδικημάτων οἱ δικασταὶ τὰς ζημίας ὁρίζουσιν. ὅταν μὲν οὖν ᾖ νόμος διωρικώς, τοῦτο δεῖ μόνον σκοπεῖν τὸν κατήγορον, ὅπως ἂν ἐπιδείξῃ

1. τὰ ante καλὰ om V^b. ‖ 8. τούτοις V^b. ‖ 15. τῶν om V^b. ‖ 18. ὁμοιοτρόπως V^b. ‖ 21. τούτου δὴ B^c. ‖ 28. σοῦ B^c. ‖ 32. καὶ om V^b. ‖ πάντας V^b. ‖ 38. ἐπεβάλλετο B^c. ‖ 39. πρότερος τούτοις ἐνεχείρισεν B^c.

7. αἰτίας V^b. ‖ 12. τὸν λόγον V^bB^c. ‖ 20. οὖν om B^c. ‖ 26. ἀδικημάτων καὶ ἁμαρτημάτων V^b. ‖ 33. καὶ post τε om V^b. ‖ 40. δὴ B^c.

τὸ πρᾶγμα γεγενημένον. ὅταν δὲ οἱ δικασταὶ τὸ κατηγορούμενον εἰδῶσιν, αὐξητέον ἐστὶ τὰ ἀδικήματα καὶ τὰ τῶν ἐναντίων ἁμαρτήματα, καὶ μάλιστα μὲν δεικτέον ὡς ἑκὼν καὶ ἐκ προνοίας οὐ τῆς τυχούσης ἀλλὰ μετὰ παρασκευῆς πλείστης ἠδίκησεν. ἐὰν δὲ μὴ δυνατὸν ᾖ τοῦτο ποιεῖν, ἀλλὰ νομίζῃς δεῖξαι τὸν ἐναντίον ὡς ἥμαρτε τρόπον τινὰ ἢ ὅτι ταῦτα πρᾶξαι διανοηθεὶς καλῶς ἠτύχησε, περιαιρετέον τὴν συγγνώμην, λέγοντα τοῖς ἀκούουσιν ὡς οὐ δεῖ πράξαντας ἡμαρτηκέναι φάσκειν ἀλλὰ πρὶν πράττειν εὐλαβεῖσθαι, ἔπειθ' ὡς εἰ καὶ ἐξήμαρτεν ἢ ἠτύχησεν ἐκεῖνος, δεῖ διὰ τὰς ἀτυχίας καὶ τὰς ἁμαρτίας ζημιωθῆναι μᾶλλον αὐτὸν ἢ τὸν μηδέτερον τούτων ποιήσαντα. πρὸς δὲ τούτοις καὶ ὁ νομοθέτης οὐκ ἀφῆκε τοὺς ἐξαμαρτάνοντας, ἀλλ' ὑποδίκους ἐποίησεν, ἵνα μὴ πάντες ἐξαμαρτάνωσιν. λέγε δὲ καὶ ὡς εἰ τὸν τὰ τοιαῦτα ἀπολογούμενον ἀποδέξονται, πολλοὺς τοὺς ἀδικεῖν προαιρουμένους ἕξουσιν· κατορθώσαντες μὲν γὰρ ἅπερ ἂν ἐθέλωσι πράξουσιν, ἀποτυχόντες δὲ φάσκοντες ἠτυχηκέναι τιμωρίαν οὐχ ὑφέξουσιν. τοῖς μὲν οὖν κατηγοροῦσιν ἐκ τῶν τοιούτων ἡ συγγνώμη περιαιρετέα, καὶ ὡς πρότερον εἴρηται, διὰ τῶν αὐξήσεων πολλῶν αἴτια κακῶν τὰ τῶν ἐναντίων ἔργα δεικτέον. τὸ μὲν οὖν κατηγορικὸν εἶδος διὰ τῶν μερῶν ἀποτελεῖται τούτων, τὸ δὲ ἀπολογητικὸν διὰ τριῶν μεθόδων συνίσταται, πόθεν ἄν τις ἀπολογήσαιτο. ἢ γὰρ ἀποδεικτέον τῷ ἀπολογουμένῳ ὡς οὐδὲν τῶν κατηγορουμένων ἔπραξεν· ἢ ἐὰν ἀναγκάζηται ὁμολογεῖν, πειρατέον δεικνύναι ἔννομον καὶ δίκαιον καὶ καλὸν καὶ συμφέρον τῇ πόλει τὸ πεπραγμένον· ἐὰν δὲ μὴ τοῦτο δύνηται ἀποδεῖξαι, εἰς ἁμάρτημα ἢ εἰς ἀτύχημα ἄγοντα τὰς πράξεις, καὶ μικρὰς τὰς βλάβας ἀπ' αὐτῶν γενομένας ἀποφαίνοντα, συγγνώμης τυχεῖν πειρατέον. ἀδικίαν δὲ καὶ ἁμάρτημα καὶ ἀτυχίαν ἂν διορίζῃς, τὸ μὲν ἐκ προνοίας κακόν τι ποιεῖν ἀδικίαν τίθει, καὶ φάθι δεῖν τιμωρίαν ἐπὶ τοῖς τοιούτοις τὴν μεγίστην λαμβάνειν· τὸ δὲ δι' ἄγνοιαν βλαβερόν τι πράττειν ἁμαρτίαν εἶναι φατέον. τὸ δὲ μὴ δι' ἑαυτὸν ἀλλὰ δι' ἑτέρους τινὰς ἢ διὰ τύχην μηδὲν ἐπιτελεῖν τῶν βουλευθέντων καλῶς ἀτυχίαν τίθει, καὶ φάθι τὸ μὲν ἀδικεῖν εἶναι τῶν πονηρῶν ἀνθρώπων ἴδιον, τὸ δ' ἐξαμαρτεῖν καὶ περὶ τὰς πράξεις ἀτυχεῖν οὐ μόνον εἶναι ἑαυτῷ ἴδιον, ἀλλὰ καὶ κοινὸν καὶ τῶν δικαζόντων καὶ τῶν ἄλλων ἀνθρώπων. ἀξίου δὲ συγγνώμην ἔχειν ἀναγκασθεὶς τι ὁμολογεῖν τῶν τοιούτων αἰτιῶν, κοινὸν τοῖς ἀκούουσι ποιῶν τὸ ἁμαρτάνειν καὶ τὸ ἀτυχεῖν. δεῖ δὲ τὸν ἀπολογούμενον πάντα θεωρεῖν ἐφ' οἷς τῶν ἀδικημάτων οἵ τε νόμοι τὰς τιμωρίας ἐπάξουσι καὶ οἱ δικασταὶ ζημίας τιμῶσιν· καὶ ὅταν ὁ νόμος ὁρίζῃ τὰς τιμωρίας, δεικτέον ὡς οὐκ ἐποίησε τὸ παράπαν ἢ ὡς ἔννομα καὶ δίκαια ἐποίησεν, ὅτε δὲ οἱ δικασταὶ καθεστήκασι τιμηταὶ τῆς ζημίας, ὁμοίως πάλιν οὐ φατέον ὅτι ταῦτα οὐκ ἐποίησεν, ἀλλὰ μικρὰ βεβλαμμένον τὸν ἐναντίον καὶ ἀκούσια ἀποφαίνειν πειρατέον. ἐκ τούτων μὲν οὖν καὶ τῶν τούτοις ὁμοιοτρόπων ἐν ταῖς κατηγορίαις καὶ ταῖς ἀπολογίαις εὐπορήσομεν· λείπεται δ' ἡμῖν ἔτι διεξελθεῖν τὸ ἐξεταστικὸν εἶδος.

6 Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν, ἡ ἐξέτασίς ἐστι προαιρέσεων ἢ πράξεων ἢ λόγων πρὸς ἄλληλα ἢ πρὸς τὸν ἄλλον βίον ἐναντιουμένων ἐμφάνισις, δεῖ δὲ τὸν ἐξετάζοντα ζητεῖν εἴ πού ἢ ὁ λόγος ὃν ἐξετάζει ἢ αἱ πράξεις τοῦ ἐξεταζομένου ἢ αἱ προαιρέσεις ἐναντιοῦνται ἀλλήλαις. ἡ δὲ μέθοδος ἥδε, σκοπεῖν ἐν τῷ παροιχομένῳ χρόνῳ εἴ πως πρῶτόν τινος φίλος γενόμενος πάλιν ἐχθρὸς ἐγένετο καὶ πάλιν φίλος τῷ αὐτῷ τούτῳ, ἤ τι ἄλλο ἐναντίον εἰς μοχθηρίαν φέρον ἔπραξεν, ἢ ἔτι πράξει, ἐὰν οἱ καιροὶ παραπέσοιεν αὐτῷ, ἐναντίον τοῖς πρότερον ὑπ' αὐτοῦ πεπραγμένοις. ὡσαύτως δὲ ὅρα καὶ εἴ τι εἰπὼν νῦν λέγει ἐναντίον τοῖς πρότερον αὐτῷ εἰρημένοις, ἢ εἴ τι εἴποι ἐναντίον τοῖς λεγομένοις ἢ τοῖς πρότερον εἰρημένοις. ὡσαύτως δὲ καὶ εἴ τι προείλετο ἐναντίον τοῖς πρότερον εἰρημένοις ὑπ' αὐτοῦ, ἢ προέλοιτ' ἂν καιρῶν παραπεσόντων. ὁμοιοτρόπως δὲ τούτοις λαμβάνειν καὶ πρὸς τὰ ἄλλα ἔνδοξα ἐπιτηδεύματα τὰς ἐν τῷ τοῦ ἐξεταζομένου βίῳ ἐναντιώσεις. τὸ μὲν οὖν ἐξεταστικὸν εἶδος οὕτω μετιὼν οὐδένα παραλείψεις τρόπον τῆς ἐξετάσεως. ἁπάντων δὲ τῶν εἰδῶν ἤδη διῃρημένων, δεῖ καὶ χωρὶς τούτων ἑκάστῳ, ὅταν ἁρμόττῃ, χρῆσθαι, καὶ κοινῇ, συμμιγνύντα τὰς δυνάμεις αὐτῶν. ταῦτα γὰρ ἔχει μὲν διαφορὰς εὐμεγέθεις, ἐπικοινωνοῦσι μέντοι κατὰ τὰς χρήσεις ἀλλήλοις, καὶ ταὐτὸ πεπόνθασι τοῖς τῶν ἀνθρώπων εἴδεσιν· καὶ γὰρ οὗτοι τῇ μὲν ὅμοιοι τῇ δὲ ἀνόμοιοι τὰς ὄψεις καὶ τὰς αἰσθήσεις εἰσίν. οὕτω δὲ τῶν εἰδῶν διωρισμένων, καὶ ὧν προσδέονται κοινῇ πάλιν ἐξαριθμήσωμεν, καὶ διεξέλθωμεν ὡς αὐτοῖς δεῖ χρῆσθαι.

7 Πρῶτον μὲν οὖν καὶ τὸ δίκαιον καὶ τὸ νόμιμον καὶ τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ ἡδὺ καὶ τὰ τούτοις ἀκόλουθα, καθάπερ ἐν ἀρχῇ διειλόμην, κοινὰ πᾶσι τοῖς εἴδεσίν

2. ἴσασιν V^b et γρ B^e. ‖ 7. πρᾶξαι ταῦτα V^b. ‖ 31. ἀτυχίαν ὧδε[οι] ὁρίζεις V^b. ‖ 32. ἀδικίας V^b. ‖ 35. ἑτέρας V^b.

6. τιμητικοὶ V^b. ‖ 7. ταύτην μᾶλλον οὐκ V^b. ‖ 9. καὶ ἐκ τῶν V^b. ‖ 16. ἀλλήλοις B^e. ‖ 17. παρωχημένῳ B^e. ‖ 19. εἰς] ἢ εἰς V^b. ‖ 20. περιπέσοιεν codices. ‖ 21. ἐναντίοι V^b. ‖ 26. δὲ om V^bB^e. ‖ 35. τί — τί V^b. ‖ 39. οὖν om B^e. ‖ 41. τοῖς om V^b.

τῶν δὲ φίλων σού τινες τυγχάνωσι τοιαῦτα πεποιηκότες, χρὴ λέγειν ὡς οὐ δίκαιόν ἐστι δι' ἐκείνους αὐτὸν διαβάλλεσθαι, καὶ δεικνύναι τῶν σαυτῷ συνήθων ἑτέρους ἐπιεικεῖς ὄντας· οὕτω γὰρ ἀμφίβολον ποιήσεις τὸ κατηγορούμενον. ἂν δὲ τῶν ὁμοίων δεικνύωσί τινας ταὐτὰ πεποιηκότας, ἄτοπον εἶναι φάσκε εἰ διότι ἕτεροί τινες ἐξαμαρτάνοντες φαίνονται, πίστιν εἶναι ὅτι τῶν ἐγκαλουμένων τι καὶ σὺ πεποίηκας. ἂν μὲν οὖν ἔξαρνος ᾖς μὴ πεποιηκέναι τὴν κατηγορουμένην πρᾶξιν, οὕτως ἐκ τῶν εἰκότων χρή σε ἀπολογεῖσθαι· ἀπίθανον γὰρ ποιήσεις τὴν κατηγορίαν. ἂν δὲ ὁμολογεῖν ἀναγκάζῃ, τοῖς τῶν πολλῶν ἤθεσιν ἀφομοίου τὰς σαυτοῦ πράξεις ὅτι μάλιστα, λέγων ὡς οἱ πλεῖστοι καὶ οἱ πάντες τοῦτο καὶ τὰ τοιαῦτα πράττουσιν οὕτως ὡς σοὶ τυγχάνει πεποιημένον. ἂν δὲ μὴ δυνατὸν ᾖ τοῦτο δεῖξαι, καταφευκτέον ἐπὶ τὰς ἀτυχίας ἢ τὰς ἁμαρτίας, καὶ συγγνώμης πειρατέον τυγχάνειν, παραλαμβάνοντα τὰ κοινὰ τῶν ἀνθρώπων γινόμενα πάθη, δι' ὧν ἐξιστάμεθα τοῦ λογισμοῦ· ταῦτα δ' ἐστὶν ἔρως ὀργὴ μέθη φιλοτιμία καὶ τὰ τούτοις ὁμοιότροπα. τὸ μὲν οὖν εἰκὸς διὰ ταύτης τῆς μεθόδου τεχνικώτατα μέτιμεν.

9 Παράδειγμα δ' ἐστὶ πράξεις ὅμοιαι γεγενημέναι καὶ ἐναντίαι ταῖς νῦν ὑφ' ἡμῶν λεγομέναις. τότε δὲ χρηστέον αὐταῖς ἐστίν, ὅτε ἄπιστον ὂν τὸ ὑπὸ σοῦ λεγόμενον εἶναι φανερὸν ποιῆσαι θέλεις, ἐὰν διὰ τοῦ εἰκότος μὴ πιστεύηται, ὅπως πρᾶξιν ὁμοίαν ἑτέραν τῇ ὑπὸ σοῦ λεγομένῃ καταμαθόντες οὕτω πεπραγμένην ὡς σὺ φῂς γεγενῆσθαι, μᾶλλον πιστεύσωσι τοῖς ὑπὸ σοῦ λεγομένοις. εἰσὶ δὲ τῶν παραδειγμάτων δύο τρόποι· τὰ μὲν γὰρ τῶν πραγμάτων γίνεται κατὰ λόγον τὰ δὲ παρὰ λόγον. ποιεῖ δὲ τὰ μὲν κατὰ λόγον γινόμενα πιστεύεσθαι, τὰ δὲ μὴ κατὰ λόγον ἀπιστεῖσθαι. λέγω δ' οἷον, εἴ τις φάσκει τοὺς πλουσίους δικαιοτέρους εἶναι τῶν πενομένων, καὶ φέρει τινὰς πράξεις πλουσίων ἀνδρῶν δικαίας· τὰ μὲν οὖν τοιαῦτα τῶν παραδειγμάτων κατὰ λόγον εἶναι δοκεῖ· τοὺς γὰρ πλείστους ἔστιν ἰδεῖν νομίζοντας τοὺς πλουτοῦντας δικαιοτέρους εἶναι τῶν πενομένων. εἰ δέ τις πάλιν ἀποφαίνει τινὰς τῶν πλουσίων ἐπὶ χρήμασιν ἀδικήσαντας, τῷ παρὰ τὸ εἰκὸς γεγενημένῳ παραδείγματι χρώμενος ἀπίστους ἂν ποιοῖ τοὺς πλουτοῦντας. ὡσαύτως δὲ καὶ εἴ τις φέροι παράδειγμα τῶν κατὰ λόγον εἶναι δοκούντων, διότι Λακεδαιμόνιοί ποτε ἢ Ἀθηναῖοι πολλῷ πλήθει χρώμενοι συμμάχων κατεπολέμησαν τοὺς ἐναντίους, καὶ προτρέποι τοὺς ἀκούοντας πολλοὺς συμμάχους ποιεῖσθαι. τὰ μὲν δὴ τοιαῦτα παραδείγματα κατὰ λόγον ἐστίν· ἅπαντες γὰρ νομίζουσιν ἐν τοῖς πολέμοις τὸ πλῆθος οὐ μετρίαν ῥοπὴν ἔχειν πρὸς τὴν νίκην. εἰ δέ τις ἀποφαίνειν ἐθέλοι μὴ τοῦτ' αἴτιον τοῦ νικᾶν, τοῖς παρὰ τὸ εἰκὸς γεγενημένοις πράγμασι χρήσαιτ' ἂν παραδείγμασι, λέγων ὡς οἱ μὲν Ἀθήνησι φυγάδες τὸ πρῶτον μετὰ πεντήκοντα ἀνδρῶν Φυλήν τε καταλαβόντες καὶ πρὸς τοὺς ἐν ἄστει πολλῷ πλείους ὄντας καὶ συμμάχοις Λακεδαιμονίοις χρωμένους πολεμήσαντες κατῆλθον εἰς τὴν ἰδίαν πόλιν, Θηβαῖοι δὲ Λακεδαιμονίων καὶ σχεδὸν ἁπάντων Πελοποννησίων εἰς τὴν Βοιωτίαν ἐμβαλόντων μόνοι περὶ τὰ Λεῦκτρα παραταξάμενοι τὴν Λακεδαιμονίων δύναμιν ἐνίκησαν, Δίων δὲ ὁ Συρακούσιος μετὰ τρισχιλίων ὁπλιτῶν εἰς Συρακούσας πλεύσας Διονύσιον πολλαπλάσιον ἔχοντα δύναμιν κατεπολέμησεν, ὡσαύτως δὲ Κορίνθιοι Συρακουσίοις ἐννέα τριήρεσι βοηθήσαντες Καρχηδονίους ἑκατὸν καὶ πεντήκοντα ναυσὶν ἐπὶ τοῖς λιμέσι τοῦ Συρακουσίων ἐφορμοῦντας, τὴν δὲ πόλιν ἅπασαν πλὴν τῆς ἀκροπόλεως ἔχοντας, οὐδὲν ἧττον κατεπολέμησαν. συλλήβδην δὲ ταῦτα καὶ τὰ τούτοις ὅμοια παρὰ λόγον πραχθέντα τὰς κατὰ τὸ εἰκὸς γινομένας συμβουλὰς ἀπίστους ποιεῖν εἴωθεν. τῶν μὲν οὖν παραδειγμάτων τοιαύτη τις ἡ φύσις ἐστί, χρηστέον δ' αὐτῶν ἑκατέρῳ τρόπῳ, ὅταν μὲν ἡμεῖς λέγωμεν τὰ κατὰ λόγον γινόμενα, δεικνύντας ὡς ἐπὶ τὸ πολὺ τοῦτον τὸν τρόπον ἐπιτελουμένας τὰς πράξεις, ὅταν δὲ τὰ παρὰ λόγον γινόμενα, φέροντας ὅσα παρὰ λόγον δοκοῦντα γενέσθαι τῶν πραγμάτων εὐλόγως ἀποβέβηκεν. ὅταν δ' οἱ ἐναντίοι λέγωσι τοῦτο, χρὴ δεικνύειν ὡς εὐτυχήματα ταῦτα συνέβη, καὶ λέγειν ὅτι αἱ τοιαῦται πράξεις ἐν τῷ σπανίῳ γεγόνασιν, οἵας δὲ σὺ λέγεις, πολλάκις. τοῖς μὲν οὖν παραδείγμασιν οὕτω χρηστέον· ὅταν γε μὴν τὰ παρὰ λόγον γινόμενα φέρωμεν, χρὴ συνάγειν αὐτῶν ὅτι πλεῖστα, καὶ καταλέγειν ὡς οὐδὲν μᾶλλον ἐκεῖνα τούτων εἴωθε γίνεσθαι. δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι μὴ μόνον ἐκ τούτων ἀλλὰ καὶ ἐκ τῶν ἐναντίων. λέγω δ' οἷον ἐὰν ἀποφαίνῃς τινὰς πλεονεκτικῶς τοῖς συμμάχοις χρωμένους καὶ διὰ τοῦτο λυθεῖσαν αὐτῶν τὴν

3. αὐτῷ B^c. ‖ 5. ταῦτα $V^b B^c$. ‖ 8. ἦ B^c. ‖ 16. περιλαμβάνοντα V^b. ‖ 18. ἐστὶ καιρὸς V^b. ‖ 23. ἐστὶν om B^c. ‖ 24. λέγεις ἔστ' ἂν $V^b B^c$. ‖ 25. καταμανθάνοντες V^b. ‖ 28. γίνονται V^b. ‖ 34. ἔστιν om $V^b B^c$. ‖ 38. ποιοῖτο codices. ‖ 39. παραδείγματα B^c.

3. προτρέπει B^c. ‖ 6. ἐθέλει B^c. ‖ 10. τε om V^b. ‖ 16. συρρακούσιος et συρρακούσας, 18. συρρακουσίοις, 20. συρρακουσίων V^b. ‖ 17. δύναμιν ἔχοντα B^c. ‖ 19. ἑκατὸν] δὲ ἑκατὸν $V^b B^b$. ‖ 20. ἐφορμῶντες codices. ‖ 26. δεικνύντες V^b. ‖ 28. φέροντες V^b. ‖ 31. ἀτυχήματα $V^b B^c$. ‖ 35. συνάγοντα V^b. ‖ καὶ om V^b. ‖ 37. μὴ om B^c. ‖ 38. ἀποφαίνῃ V^b. ‖ 39. καὶ διαλυθεῖσαν B^c.

φιλίαν· "καὶ ἡμεῖς δέ, ἂν ἴσως καὶ κοινῶς πρὸς αὐτοὺς προσφερώμεθα, πολὺν χρόνον τὴν συμμαχίαν φυλάξομεν." καὶ πάλιν, ἄν τινας ἑτέρυς ἀπαρασκευάςως πολεμήσαντας καὶ διὰ τοῦτο καταπολεμηθέντας ἀποφαίνῃς, εἶτα λέγῃς "ἂν παρασκευασάμενοι πολεμῶμεν, βελτίυς ἂν περὶ τῆς νίκης τὰς ἐλπίδας ἔχοιμεν." πολλὰ δὲ λήψῃ παραδείγματα διὰ τῶν προγεγενημένων πράξεων καὶ διὰ τῶν νῦν γινομένων· τὰ γὰρ πλεῖστα τῶν ἔργων τῇ μὲν ὅμοια τῇ δὲ ἀνόμοια ἀλλήλοις ἐςίν, ὥςε διὰ τὴν αἰτίαν ταύτην καὶ παραδειγμάτων εὐπορήσομεν καὶ τοῖς ὑπὸ τῶν ἄλλων λεγομένοις ὐ χαλεπῶς ἀντερῦμεν. τῶν μὲν ὖν παραδειγμάτων τύς τε τρόπυς ἴσμεν, καὶ ὡς αὐτοῖς χρησόμεθα, καὶ ὅθεν πολλὰ ληψόμεθα.

10 Τεκμήρια δ' ἐστίν, ὅσα ἂν ἐναντίως ᾖ πεπραγμένα τῷ περὶ ὗ ὁ λόγος, καὶ ὅσα ὁ λόγος αὐτὸς ἑαυτῷ ἐναντιῦται. τῶν γὰρ ἀκυόντων οἱ πλεῖςοι τοῖς συμβαίνυσι περὶ τὸν λόγον ἢ τὴν πρᾶξιν ἐναντιώμασι τεκμαίρονται μηδὲν ὑγιὲς εἶναι μήτε τῶν λεγομένων μήτε τῶν πραττομένων. πολλὰ δὲ λήψῃ τεκμήρια σκοπῶν εἴτε ὁ λόγος τῦ ἐναντίου αὐτὸς αὐτῷ τῷ πράγματι ἐναντιῦται, εἴτε ἡ πρᾶξις αὐτὴ ἐναντία τῷ λόγῳ ἐςίν. τὰ μὲν ὖν τεκμήρια τοιαῦτά ἐςι, καὶ ὕτως αὐτὰ πλεῖςα ποιήσεις.

11 Ἐνθυμήματα δ' ἐςὶν οὐ μόνον τὰ τῷ λόγῳ καὶ τῇ πράξει ἐναντιύμενα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν. λήψῃ δὲ πολλὰ μετιὼν ὡς ἐν τῷ ἐξεταςικῷ εἴδει εἴρηται, καὶ σκοπῶν εἴ πῃ ὁ λόγος ἑαυτῷ ἐναντιοῦται, ἢ τὰ πεπραγμένα τοῖς δικαίοις ἢ τῷ νόμῳ ἢ τῷ συμφέροντι ἢ τῷ καλῷ ἢ τῷ δυνατῷ ἢ τῷ ῥαδίῳ ἢ τῷ εἰκότι ἢ τῷ ἤθει τοῦ λέγοντος ἢ τῷ ἤθει τῶν πραγμάτων. τὰ μὲν οὖν τοιαῦτα τῶν ἐνθυμημάτων κατὰ τῶν ἐναντίων ἐκληπτέον, τὰ δ' ἐναντία τούτοις ὑπὲρ ἡμῶν αὐτῶν δεῖ λέγειν, ἀποφαίνοντας τὰς πράξεις τὰς ἡμετέρας καὶ τὺς λόγυς ἐναντιυμένυς τοῖς ἀδίκοις καὶ τοῖς ἀνόμοις καὶ τοῖς ἀσυμφόροις καὶ τοῖς τῶν ἀνθρώπων τῶν πονηρῶν ἤθεσι καὶ συλλήβδην τοῖς μοχθηροῖς νομιζομένοις εἶναι. δεῖ δὲ τούτων ἕκαςα συνηγορεῖν ὡς εἰς βραχύτητα, καὶ φράζειν ὅτι μάλιςα ἐν ὀλίγοις τοῖς νοήμασιν. τὰ μὲν ὖν ἐνθυμήματα τῦτον τὸν τρόπον πολλὰ ποιήσομεν, καὶ ὕτως αὐτοῖς ἄριςα χρησόμεθα.

12 Γνώμη δ' ἐςὶ μὲν ἐν κεφαλαίῳ καθ' ὅλων τῶν πραγμάτων δόγματος ἰδία δήλωσις, δύο δὲ τρόποι τῶν γνωμῶν εἰσίν, ὁ μὲν ἔνδοξος ὁ δὲ παράδοξος. ὅταν μὲν ὖν ἔνδοξον λέγῃς, ὐδὲν δεῖ τὰς αἰτίας φέρειν· ὔτε γὰρ ἀγνοεῖται τὸ λεγόμενον ὔτ' ἀπιςεῖται· ὅταν δὲ παράδοξον λέγῃς, χρὴ φράζειν τὰς αἰτίας συντόμως, ἵνα τὴν ἀδολεσχίαν καὶ τὴν ἀπιστίαν διαφύγῃς. δεῖ δὲ τὰς γνώμας οἰκείας φέρειν τῶν πραγμάτων, ἵνα μὴ σκαιὸν καὶ ἀπηρτημένον φαίνηται τὸ λεγόμενον. πολλὰς δὲ ποιήσομεν αὐτὰς ἢ ἐκ τῆς ἰδίας φύσεως ἢ ἐξ ὑπερβολῆς ἢ ἐκ παρομοιώσεως. αἱ μὲν ὖν ἐκ τῆς ἰδίας φύσεως τοιαίδε τινές εἰσιν· "ὐ δοκεῖ μοι δεινὸν γενέσθαι στρατηγὸν πραγμάτων ἄπειρον ὄντα." ἑτέρα δ' ἐςὶν ἥδε· "νοῦν ἐχόντων ἀνδρῶν ἐστὶ τοῖς τῶν προγεγενημένων παραδείγμασι χρωμένους πειρᾶσθαι διαφυγεῖν τὰς ἐκ τῆς ἀβυλίας ἁμαρτίας." ἐκ μὲν ὖν τῆς ἰδίας φύσεως τοιαύτας ποιήσομεν γνώμας, ἐξ ὑπερβολῆς δὲ τοιάσδε· "δεινότερά μοι δοκῦσιν οἱ κλέπτοντες τῶν λῃζομένων ποιεῖν· οἱ μὲν γὰρ λαθραίως οἱ δὲ φανερῶς τὰ χρήματα περιαιρῦνται." τὰς μὲν οὖν ἐξ ὑπερβολῆς γνώμας τὸν τρόπον τῦτον πολλὰς ποιήσομεν, αἱ δ' ἐκ παρομοιώσεως τοιαίδε εἰσίν· "ὁμοιότατόν μοι δοκῦσιν οἱ τὰ χρήματα ἀποστερῦντες τοῖς τὰς πόλεις προδιδῦσι ποιεῖν· πιςευθέντες γὰρ ἀμφότεροι τὺς πιςεύσαντας ἀδικῦσιν." ἑτέρα δέ "παραπλήσιόν μοι δοκῦσι ποιεῖν οἱ ἄδικοι τοῖς τυράννοις· ἐκεῖνοί τε γὰρ ὧν μὲν αὐτοὶ ἀδικῦσιν, ὐκ ἀξιῦσι διδόναι δίκας, ὧν δὲ τοῖς ἄλλοις ἐγκαλῦσιν, ἀνυπερβλήτως τιμωρῦνται· ὗτοί τε εἰ μέν τι αὐτοὶ τῶν ἐμῶν ἔχυσιν, οὐκ ἀποδιδόασιν, εἰ δέ τι ἐγὼ τούτων ἔλαβον, καὶ σὺν καὶ τὺς τόκυς οἴονται δεῖν κομίσασθαι." γνώμας μὲν ὖν τὸν τρόπον τῦτον μετιόντες πολλὰς ποιήσομεν.

13 Σημεῖον δ' ἐςὶν ἄλλο ἄλλυ, ὐ τὸ τυχὸν τῦ τυχόντος ὐδ' ἅπαν παντός, ἀλλὰ τό γ' εἰθισμένον γίνεσθαι πρὸ τῦ πράγματος ἢ ἅμα τῷ πράγματι ἢ μετὰ τὸ πρᾶγμα. ἔστι δὲ σημεῖον τό τε γενόμενον μὴ μόνον τοῦ γενομένου ἀλλὰ καὶ τοῦ μὴ γενομένυ, ὡσαύτως δὲ καὶ τὸ μὴ γεγονὸς ὐ μόνον τῦ μὴ ὄντος ἀλλὰ καὶ τῦ ὄντος. ποιεῖ δὲ τῶν σημείων τὸ μὲν οἴεσθαι τὸ δ' εἰδέναι· κάλλιςον δὲ τὸ εἰδέναι ποιῦν, δεύτερον δὲ τὸ δόξαν πιθανωτάτην ἐργαζόμενον. πολλὰ δὲ ποιήσομεν σημεῖα συλλήβδην εἰπεῖν ἐξ ἑκάστου τῶν πεπραγμένων καὶ λεγομένων καὶ ὁρωμένων καθ' ἓν ἕκαςον λαμβάνοντες, ἔκ τε τοῦ μεγέθυς καὶ τῦ

7. νῦν om $V^b B^c$. ‖ 8. τὶ — τὶ V^b. ‖ 12. τε om B^c. ‖ χρησαίμεθα V^b. ‖ 14. ἂν om V^b. ‖ 15. αὐτὸς om B^c. ‖ 31. ὑποφαίνοντας B^c. ‖ 36. ἑκάςοις B^c. ‖ 37. ὀνόμασιν interpres.

3. ἐναντίας B^c. ‖ 7. ἀπηρτισμένον V^b. ‖ 11. γίνεσθαι B^c. ‖ 16. κλέπται B^c. ‖ 26. τι] τοι V^b. ‖ 28. σὺν] σύτω $V^b B^c$. ‖ 29. τῦτον om V^b. ‖ 30. ἐςὶν om B^c. ‖ 39. ὁρωμένων καὶ λεγομένων V^b.

σμικρότητος τῶν ἀποβαινόντων κακῶν ἢ ἀγαθῶν. ἔτι δὲ ἐκ τῶν μαρτυριῶν καὶ ἐκ τῶν μαρτυρουμένων, καὶ ἐκ τῶν συμπαρόντων ἡμῖν ἢ τοῖς ἐναντίοις, καὶ ἐξ αὐτῶν ἐκείνων, καὶ ἐκ τῶν προκλήσεων, καὶ ἐκ τῶν χρόνων, καὶ ἐξ ἄλλων πολλῶν. τῶν μὲν οὖν σημείων ἐντεῦθεν εὐπορήσομεν.

14 Ἔλεγχος δ' ἐστὶ μὲν ὃ μὴ δυνατὸν ἄλλως ἔχειν, ἀλλ' οὕτως ὡς ἡμεῖς λέγομεν. λαμβάνεται δὲ ἐκ τῶν φύσει ἀναγκαίων, ὡς ἡμεῖς λέγομεν ἢ ὁ ἀντιλέγων, καὶ ἐκ τῶν κατὰ φύσιν δυνατῶν ἢ ἀδυνάτων, ὡς οἱ ἐναντίοι λέγουσιν. κατὰ φύσιν μὲν οὖν ἀναγκαῖόν ἐστιν οἷον τοὺς ζῶντας σιτίων δεῖσθαι, καὶ τὰ τούτοις ὅμοια· ὡς δ' ἡμεῖς λέγομεν, ἔστιν ἀναγκαῖον τοὺς μεμαστιγωμένους ὁμολογεῖν ἅπερ οἱ μαστιγοῦντες κελεύουσιν. κατὰ φύσιν δὲ πάλιν ἀδύνατόν ἐστι παιδάριον μικρὸν κλέψαι τοσοῦτον ἀργύριον ὅσον μὴ δυνατὸν φέρειν, καὶ οἴχεσθαι τοῦτο φέρον· ὡς δ' ἂν ὁ ἐναντίος λέγοι, ἔσται ἀδύνατον, ἂν φάσκῃ μὲν ἐν χρόνοις τισὶν Ἀθήνησι ποιήσασθαι τὸ συμβόλαιον, ἡμεῖς δ' ἔχωμεν ἐπιδεῖξαι τοῖς ἀκούουσιν ὡς κατὰ τοὺς τότε καιροὺς ἀπεδημοῦμεν ἐν ἑτέρᾳ πόλει τινί. τοὺς μὲν οὖν ἐλέγχους ἐκ τούτων καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ποιησόμεθα. συλλήβδην δὲ τὰς ἐξ αὐτοῦ τοῦ λόγου καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων πίστεις ἁπάσας διεληλύθαμεν. σκεψώμεθα δὲ καὶ τί ἀλλήλων διαφέρουσιν.

15 Τὸ μὲν τοίνυν εἰκὸς τοῦ παραδείγματος ταύτῃ διαφέρει, διότι τοῦ μὲν εἰκότος ἔχουσιν αὐτοὶ οἱ ἀκούοντες ἔννοιαν, τὰ δὲ παραδείγματα καὶ ἐκ τῶν ἐναντίων καὶ ἐκ τῶν ὁμοίων φέρειν ἐστιν. τὰ δὲ τεκμήρια μόνον ἐκ τῶν περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίων συντίθεται. καὶ μὴν ἐνθυμήματα τεκμηρίου ταύτην τὴν διαφορὰν ἔσχηκεν, ὅτι τὸ μὲν τεκμήριον περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίωσίς ἐστι, τὸ δ' ἐνθύμημα καὶ τὰς περὶ τὰς ἄλλας ἰδέας ἐναντιώσεις ἐξείληφεν, ἢ καὶ διότι τὸ μὲν τεκμήριον οὐκ ἐφ' ἡμῖν ἐστὶ λαμβάνειν, ἂν μὴ περὶ τὰ πράγματα καὶ τοὺς λόγους ἐναντίωσίς τις ὑπάρχῃ, τὸ δ' ἐνθύμημα πολλαχόθεν οἷόν τε πορίζεσθαι τοῖς λέγουσιν. γνῶμαι δ' ἐνθυμημάτων διαφέρουσιν, ᾗ τὰ μὲν ἐνθυμήματα μόνον ἐκ τῶν ἐναντιώσεων σύγκειται, τὰς δὲ γνώμας καὶ μετὰ τῶν ἐναντιώσεων καὶ ἁπλῶς αὐτὰς καθ' αὑτὰς δυνατόν ἐστιν ἐμφανίζειν. τὰ δὲ σημεῖα τῶν γνωμῶν καὶ τῶν προειρημένων ἁπάντων ταύτῃ διαφέρουσιν, ὅτι τὰ μὲν ἄλλα πάντα οἴησιν ἐμποιεῖ τοῖς ἀκούουσιν, τῶν δὲ σημείων ἔνια καὶ σαφῶς εἰδέναι ποιήσει τοὺς κρίνοντας, καὶ διότι τῶν μὲν ἑτέρων οὐκ ἔστιν αὐτοὺς πορίσασθαι τὰ πλεῖστα, τῶν δὲ σημείων πολλὰ ῥᾳδίως ἐστι ποιήσασθαι. καὶ μὴν ἔλεγχος σημείου ταύτῃ διαφέρει, διότι τῶν μὲν σημείων ἔνια μόνον οἴεσθαι ποιεῖ τοὺς ἀκούοντας, ἔλεγχος δὲ πᾶς τὴν ἀλήθειαν διδάσκει τοὺς κρίνοντας. ὥστε τὰς μὲν τῶν λόγων καὶ τῶν πράξεων πίστεις, οἷαί τ' εἰσὶ καὶ ὅθεν αὐτῶν εὐπορήσομεν καὶ τίνι ἀλλήλων διαφέρουσιν, ἐκ τῶν προειρημένων ἴσμεν· τῶν δ' ἐπιθέτων ἑκάστην πάλιν διέλθωμεν.

Ἡ μὲν οὖν δόξα τοῦ λέγοντός ἐστι τὸ τὴν αὑτοῦ διάνοιαν ἐμφανίζειν κατὰ τῶν πραγμάτων. δεῖ δ' ἔμπειρον ἀποφαίνειν ἑαυτὸν περὶ ὧν ἂν λέγῃ, καὶ ἐπιδεικνύναι ὡς συμφέρει τἀληθῆ λέγειν περὶ τούτων, τὸν δ' ἀντιλέγοντα μάλιστα δεικνύναι μηδεμίαν ἐμπειρίαν ἔχοντα τὸν ἐναντίον περὶ ὧν ἀποφαίνεται, τὴν δὲ δόξαν ὁμοίως. ἂν δὲ τοῦτο μὴ δυνατὸν ᾖ, δεικτέον ὡς καὶ οἱ ἔμπειροι πολλάκις ἐξαμαρτάνουσιν. ἂν δὲ τοῦτο μὴ ἐνδέχηται, λέγειν ὡς ἀσύμφορόν ἐστι τοῖς ἐναντίοις τἀληθῆ περὶ τούτων εἰπεῖν. ταῖς μὲν οὖν δόξαις τοῦ λεγοντος οὕτω χρησόμεθα, καὶ αὐτοὶ ἀποφαινόμενοι καὶ ἑτέροις ἀντιλέγοντες.

Μαρτυρία δ' ἐστὶν ὁμολογία συνειδότος ἑκοντί. ἀναγ- 16
καῖον δ' εἶναι τὸ μαρτυρούμενον ἢ πιθανὸν ἢ ἀπίθανον ἢ ἀμφίβολον πρὸς πίστιν, ὡσαύτως δὲ καὶ τὸν μάρτυρα πιστὸν ἢ ἄπιστον ἢ ἀμφίδοξον. ὅταν μὲν οὖν τὸ μαρτυρούμενον ᾖ πιθανὸν καὶ ὁ μάρτυς ἀληθινός, οὐδὲν δέονται αἱ μαρτυρίαι ἐπιλόγων, ἐὰν μὴ βούλῃ γνώμην ἢ ἐνθύμημα συντόμως εἰπεῖν τοῦ ἀστείου ἕνεκεν. ὅταν δὲ ὑποπτεύηται ὁ μάρτυς, ἀποδεικνύειν δεῖ ὡς οὔτε χάριτος ἕνεκεν οὔτε τιμωρίας ἢ κέρδους ὁ τοιοῦτος ἂν τὰ ψευδῆ μαρτυρήσειεν. δεῖ δὲ καὶ διδάσκειν ὅτι οὐ συμφέρει τὸ ψεῦδος μαρτυρεῖν· αἱ μὲν γὰρ ὠφέλειαι μικραί, τὸ δ' ἐξελεγχθῆναι χαλεπόν, γνωσθέντα δ' οὐ μόνον εἰς ἀργύριον οἱ νόμοι ζημιοῦσιν, ἀλλὰ καὶ εἰς δόξαν καὶ εἰς ἀπιστίαν. τοὺς μὲν οὖν μάρτυρας οὕτω πιστοὺς ποιήσομεν· ἀντιλέγοντας δὲ μαρτυρίᾳ δεῖ τὸν τρόπον τοῦ μάρτυρος διαβάλλειν, ἂν ᾖ πονηρός, ἢ τὸ μαρτυρούμενον ἐξετάζειν, ἂν ᾖ πιθανόν, ἢ καὶ συναμφοτέροις τούτοις ἀντιλέγειν, συνάγοντα τὰ φαυλότατα τῶν ἐναντίων εἰς ταὐτό. σκεπτέον δὲ καὶ εἰ φίλος ἐστὶν ὁ μάρτυς ᾧ μαρτυρεῖ, ἢ εἰ μέτεστί ποθεν αὐτῷ τοῦ πράγματος, ἢ ἐχθρός ἐστιν οὗ καταμαρτυρεῖ, ἢ πένης· τούτων γὰρ οἱ μὲν διὰ χάριν, οἱ δὲ διὰ τιμωρίαν, οἱ δὲ διὰ κέρδος ὑποπτεύονται τὰ ψευδῆ μαρτυρεῖν. καὶ τὸν τῶν ψευδομαρτυριῶν νόμον ἐπὶ τούτοις τεθεικέναι φήσομεν τὸν νομοθέτην· ἄτοπον οὖν εἶναι τοῦ νομο-

2. μαρτυριῶν καὶ] μαρτυριῶν ἢ B^e. ‖ 14. οἷον codices. ‖ 28. ἐνθύμημα V^b. ‖ 32. διότι] διὰ τὸ B^e.
11. λέγοι V^b. ‖ 14. τὴν δὲ] τήν τε B^e.

θέντος τοῖς μάρτυσι μὴ πιστεύσαντος τοὺς κρίνοντας πιστεύειν αὐτοῖς, κατὰ τοὺς νόμους κρίνειν ὀμωμοκότας. τοὺς μὲν οὖν μάρτυρας οὕτως ἀπιθάνους ποιήσομεν, ἔστι δὲ καὶ κλέπτειν τὴν μαρτυρίαν τρόπῳ τοιῷδε· "μαρτύρησόν μοι ὦ Λυσικλῆς. μὰ τοὺς θεοὺς οὐκ ἔγωγε· κωλύοντος γὰρ ἐμοῦ ταῦτ᾽ ἔπραξεν οὗτος." καὶ διὰ τούτου ἐν ἀποφάσει ψευδομαρτυρήσας ψευδομάρτυρος δίκην οὐχ ὑφέξει. τοιγαροῦν ὅταν μὲν ἡμῖν συμφέρῃ κλέπτειν τὴν μαρτυρίαν, οὕτως αὐτῇ χρησόμεθα· ἐὰν δὲ οἱ ἐναντίοι τοιοῦτόν τι ποιήσωσιν, ἐμφανιοῦμεν τὴν κακοποιίαν αὐτῶν καὶ συγγραψαμένους μαρτυρεῖν κελεύσομεν. μάρτυσι μὲν οὖν καὶ μαρτυρίαις ἐκ τούτων ἴσμεν ὡς δεῖ χρήσασθαι.

17 Βάσανος δ᾽ ἐστὶ μὲν ὁμολογία περὶ συνειδότος, ἄκοντος δέ. ὅταν μὲν οὖν συμφέρῃ ἡμῖν αὐτὴν ποιεῖν ἰσχυράν, λεκτέον ὡς οἵ γε ἰδιῶται περὶ τῶν σπουδαιοτάτων καὶ αἱ πόλεις περὶ τῶν μεγίστων ἐκ βασάνων τὰς πίστεις λαμβάνουσι, καὶ διότι πιστότερόν ἐστι βάσανος μαρτύρων· τοῖς μὲν γὰρ μάρτυσι συμφέρει πολλάκις ψεύσασθαι, τοῖς δὲ βασανιζομένοις λυσιτελεῖ τἀληθῆ λέγειν· οὕτω γὰρ παύσονται τάχιστα τῆς κακοπαθείας. ὅταν δὲ βούλῃ τὰς βασάνους ἀπίστους ποιεῖν, πρῶτον μὲν λεκτέον ὡς οἱ βασανιζόμενοι τοῖς ἐκδιδοῦσι πολέμιοι γίνονται καὶ διὰ τοῦτο πολλοὶ τῶν δεσποτῶν καταψεύδονται, ἔπειθ᾽ ὅτι πολλάκις τοῖς βασανίζουσιν ὁμολογοῦσιν οὐ τὰς ἀληθείας, ἵν᾽ ὡς τάχιστα τῶν κακῶν παύσωνται. δεικτέον δ᾽ ὅτι καὶ τῶν ἐλευθέρων πολλοὶ ἤδη βασανιζόμενοι καθ᾽ ἑαυτῶν ἐψεύσαντο, βουλόμενοι τὴν παραυτίκα κακοπάθειαν ἐκφυγεῖν, ὥστε πολὺ μᾶλλον εὔλογον τοὺς δούλους ψευσαμένους κατὰ τῶν δεσποτῶν βούλεσθαι τὴν αὑτῶν τιμωρίαν ἐκφυγεῖν, ἢ πολλὰς κακοπαθείας τοῖς σώμασι καὶ ταῖς ψυχαῖς ὑπομείναντες, ἵν᾽ ἕτεροι μηδὲν πάθωσιν, αὐτοὶ βούλεσθαι μὴ ψεῦδος εἰπεῖν. τὰς μὲν οὖν βασάνους ἐκ τῶν τοιούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων πιθανὰς καὶ ἀπιθάνους καταστήσομεν.

18 Ὅρκος δ᾽ ἐστὶ μετὰ θείας παραλήψεως φάσις ἀναπόδεικτος. δεῖ δ᾽ αὐτὸν ὅταν μὲν αὔξειν θέλωμεν, λέγειν οὕτως "οὐδεὶς ἂν ἐπιορκεῖν βούλοιτο, φοβούμενος τήν τε παρὰ τῶν θεῶν τιμωρίαν καὶ τὴν παρὰ τοῖς ἀνθρώποις αἰσχύνην," καὶ διεξιέναι ὅτι τοὺς μὲν ἀνθρώπους λαθεῖν ἔστι, τοὺς δὲ θεοὺς οὐκ ἔστιν. ὅταν δὲ οἱ ἐναντίοι καταφύγωσιν εἰς ὅρκον καὶ βουλώμεθα ταπεινοῦν αὐτόν, δεικτέον ὡς τῶν αὐτῶν ἐστὶν ἀνθρώπων τὰ πονηρὰ πράττειν καὶ μὴ φροντίζειν ἐπιορκοῦντας· ὅστις γὰρ κακουργῶν οἴεται λανθάνειν τοὺς θεούς, οὗτος οὐδὲ ἐπιορκῶν τιμωρίας οἴεται τεύξεσθαι. καὶ περὶ μὲν τῶν ὅρκων ὁμοιοτρόπως τοῖς προειρημένοις μετιόντες λέγειν εὐπορήσομεν ὑπὲρ αὐτῶν, συλλήβδην δὲ τὰς πάσας πίστεις ἤδη, καθάπερ ὑπεθέμεθα, διεξεληλύθαμεν, καὶ δεδείχαμεν οὐ μόνον ἣν ἑκάστη αὐτῶν δύναμιν ἔσχηκεν, ἀλλὰ καὶ τί ἀλλήλων διαφέρουσι καὶ πῶς αὐταῖς χρηστέον. τὸ δ᾽ ὑπὲρ τῶν ὑπολοίπων, ἃ τῶν τριῶν εἰδῶν ἐστὶ καὶ παρὰ πάντας τοὺς λόγους χρήσιμα γίνεται, διδάσκειν ἐπιχειρήσομεν.

19 Προκατάληψις μὲν οὖν ἐστί, δι᾽ ἧς τά τε τῶν ἀκουόντων ἐπιτιμήματα καὶ τοὺς τῶν ἀντιλέγειν μελλόντων λόγους προκαταλαμβάνοντες ὑπεξαιρήσομεν τὰς ἐπιφερομένας δυσχερείας. καὶ τὰς μὲν τῶν ἀκουόντων ἐπιτιμήσεις ὧδε χρὴ προκαταλαμβάνειν· "ἴσως δέ τινες ὑμῶν θαυμάζουσιν ὅτι νέος ὢν οὕτω περὶ μεγάλων πραγμάτων ἐπεχείρησα δημηγορεῖν." καὶ πάλιν "μηδεὶς ἀπαντήσῃ μοι δυσκόλως, ὅτι μέλλω συμβουλεύειν ὑμῖν περὶ ὧν ὀκνοῦσί τινες ἄλλοι παρρησιάζεσθαι πρὸς ὑμᾶς." περὶ μὲν οὖν τῶν μελλόντων δυσχεραίνεσθαι τοῖς ἀκούουσιν οὕτω δεῖ προκαταλαμβάνοντα φέρειν αἰτίας, παρ᾽ ἃς ὀρθῶς ποιεῖν δόξει συμβουλεύων, δεικνύντα τὴν ἐρημίαν τῶν λεγόντων, τὸ μέγεθος τῶν κινδύνων, ἢ τὸ τῷ κοινῷ συμφέρον, ἢ ἄλλην τοιαύτην αἰτίαν, δι᾽ ἧς λύσεις τὴν ἐπιφερομένην δυσχέρειαν. ἂν δὲ μηδὲν ἧττον θορυβῶσιν οἱ ἀκούοντες, χρὴ λέγειν συντόμως, ἢ ἐν γνώμης ἢ ὡς ἐνθυμήματος σχήματι, διὸ πάντων ἀτοπώτατόν ἐστιν ἥκειν μὲν ὡς περὶ τῶν πραγμάτων βουλευσομένους τὰ κράτιστα, νῦν δὲ μὴ βουλομένους ἀκούειν τῶν λεγόντων οἴεσθαι καλῶς ἂν βουλεύσασθαι, καὶ πάλιν ὅτι καλόν ἐστιν ἢ αὐτοὺς ἀνισταμένους συμβουλεύειν, ἢ τῶν συμβουλευόντων ἀκούσαντας, ἅπερ ἂν αὐτοῖς δοκῇ, χειροτονεῖν. ἐν μὲν οὖν ταῖς δημηγορίαις οὕτω καὶ ταῖς προκαταλήψεσι χρηστέον καὶ τοῖς θορύβοις ἀπαντητέον· ἐν δὲ ταῖς δικανικαῖς λογίαις προκαταληψόμεθα μὲν ὁμοιοτρόπως τοῖς προειρημένοις, ἀπαντήσομεν δὲ τοῖς θορύβοις, ἐὰν μὲν ἐν ἀρχῇ γίνωνται τῶν λόγων, ὧδέ πως· "οὐκ ἄλογον οὖν ἐστὶ τὸν μὲν νομοθέτην προστάξαι δύο λόγους τῶν ἀντιδίκων ἑκάστῳ ἀποδοῦναι, τοὺς δὲ δικάζοντας ὑμᾶς ὀμωμοκέναι κατὰ τὸν νόμον κρίνειν, εἶτα μηδὲ τὸν ἕνα λόγον ἀκοῦσαι βούλεσθαι; κἀκεῖνον μὲν ὑμῶν τοσαύτην πρόνοιαν ἔχειν ὅπως ἀκού-

3. καὶ om B^c. ‖ 4. λύσικλες V^b. ‖ 8. ψευδομαρτυρίαν V^b. ‖ 14. αἱ om V^bB^c. ‖ 18. λυσιτελῆ B^c. ‖ παύονται B^c. ‖ 21. ἐνδικοῦσι V^b. ‖ 28. αὐτῶν τὴν B^c. ‖ καὶ B^c. ‖ 33. περιλήψεως B^c. ‖ ἐναπόδεικτος V^bB^c.

2. τεύξασθαι B^c. ‖ 5. ὑπερεθέμεθα B^c. ‖ 8. περὶ V^b. ‖ 21. δέξεις B^c. ‖ 26. an διότι? ‖ ἀτοπώτατον πάντων B^c. ‖ 36. μὲν om V^b. ‖ 39. εἶτα] ἵνα τὸν V^b.

τες πάντων τῶν λεγομένων εὐόρκως θήσεσθε τὴν ψῆφον, ὑμᾶς δὲ περὶ τούτων οὕτως ὀλιγώρως ἔχειν ὥστε μηδὲ τὰς ἀρχὰς ὑπομείναντας αὐτὰς τῶν λόγων ἤδη νομίζειν ἀκριβῶς ἅπαντα γινώσκειν;" καὶ ἄλλως "πῶς οὐκ ἄλογόν ἐστι τὸν μὲν νομοθέτην τάξαι τῶν ψήφων ἴσων γινομένων τὸν φεύγοντα νικᾶν, ὑμᾶς δὲ οὕτως ἐναντίως γινώσκειν περὶ τούτων ὡς μηδὲ ἀπολογουμένων τῶν διαβεβλημένων ἀκούειν; κἀκεῖνον μὲν διὰ τὸ μᾶλλον κινδυνεύειν τοὺς φεύγοντας ἀπονεῖμαι ταύτην τὴν πλεονεξίαν αὐτοῖς ἐν ταῖς ψήφοις, ὑμᾶς δὲ τοῖς μὲν ἀκινδύνως κατηγοροῦσι μὴ φιλονεικεῖν, τοὺς δὲ μετὰ φόβων καὶ κινδύνων περὶ τῶν κατηγορουμένων ἀπολογουμένους ὡς θορυβοῦντας ἐκπλήττειν;" ἐὰν μὲν οὖν ἐν ἀρχαῖς οἱ θόρυβοι γίνωνται, τοῦτον τὸν τρόπον αὐτοῖς ἀπαντητέον· ἐὰν δὲ προεληλυθότος τοῦ λόγου θορυβῶσιν, ἐὰν μὲν ὀλίγοι τινὲς τοῦτο ποιῶσιν, ἐπιτιμητέον τοῖς θορυβοῦσι καὶ πρὸς αὐτοὺς λεκτέον ὅτι δίκαιον νῦν μὲν αὐτοὺς ἀκούειν ἐστίν, ἵνα μὴ κωλύωσι τοὺς ἄλλους ὀρθῶς δικάζειν, ἐπὰν δὲ ἀκούσωσι, τότε ποιεῖν ὅ τι ἂν ἐθέλωσιν. ἐὰν δὲ τὸ πλῆθος θορυβῇ, μὴ τοῖς κρίνουσιν ἀλλὰ σαυτῷ ἐπίπληξον· τὸ μὲν γὰρ ἐκείνοις ἐπιτιμᾶν ὀργὴν ἐργάζεται, τὸ δὲ ἑαυτῷ ἐπιπλῆξαι καὶ λέγειν ἡμαρτηκέναι συγγνώμης ποιήσει τυχεῖν. δεῖ δὲ καὶ δεῖσθαι τῶν κρειττόνων εὐμενῶς αὐτοὺς ἀκοῦσαι τοῦ λόγου, καὶ περὶ ὧν μέλλουσι κρύβδην τὴν ψῆφον φέρειν, ἤδη τὴν διάνοιαν φανερὰν τίθεσθαι. συλλήβδην δὲ τοῖς θορύβοις ἀπαντήσομεν κεφαλαιωδῶς ἢ γνώμαις ἢ ἐνθυμήμασι, δεικνύντες τοὺς θορυβοῦντας ἢ τοῖς δικαίοις ἢ τοῖς νόμοις ἢ τῷ συμφέροντι τῆς πόλεως ἢ τῷ καλῷ ἐναντιουμένους· ἐκ γὰρ τῶν τοιούτων ἔστιν ὅτι μάλιστα παῦσαι τοὺς ἀκούοντας θορυβοῦντας. ταῖς μὲν οὖν πρὸς τοὺς ἀκροατὰς προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι, καὶ ὅπως τοῖς θορύβοις ἀπαντητέον, ἐκ τῶν προειρημένων ἴσμεν· τὰ δὲ ὑπὸ τῶν ἀνταγωνιστῶν ἐπίδοξα λέγεσθαι πάλιν ὡς δεῖ προκαταλαμβάνειν, ὑποδείξω. "ἴσως οὖν ὀδυρεῖται αὐτοῦ πενίαν, ἧς οὐκ ἐγὼ ἀλλ' ὁ τούτου τρόπος ὑπαίτιος ἔσται·" καὶ πάλιν "πυνθάνομαι αὐτὸν τὸ καὶ τὸ μέλλειν λέγειν." ἐν μὲν οὖν τοῖς πρότερον λόγοις οὕτω δεῖ τὰ ἐπίδοξα λέγεσθαι ὑπὸ τῶν ἐναντίων προκαταλαμβάνοντα διαλύειν καὶ ἀσθενῆ ποιεῖν· καὶ γὰρ κἂν πάνυ ἰσχυρὰ ᾖ τὰ προδιαβεβλημένα, οὐχ ὁμοίως φαίνεται μεγάλα τοῖς ἤδη προακηκοόσιν. ἐὰν δὲ τοὺς ὑστέρους λόγους ἔχωμεν καὶ οἱ ἐναντίοι προκατειληφότες ὦσιν ἃ μέλλομεν λέγειν, ἀντιπροκαταληπτέον ἐστὶν αὐτὰ λύοντα τόνδε τὸν τρόπον· "οὗτος δ' οὐ μόνον μου κατέψευσται πολλὰ πρὸς ὑμᾶς, ἀλλὰ καὶ σαφῶς εἰδὼς ὅτι ἐξελέγξω αὐτόν, προκατέλαβέ μου τὸν λόγον καὶ προδιέβαλεν, ἵν' ὑμεῖς μὴ ὁμοίως αὐτῷ προσέχητε ἢ ἐγὼ μὴ εἴπω πρὸς ὑμᾶς αὐτὸν διὰ τὸ διασεσύρθαι πρότερον ὑπὸ τούτου. ἐγὼ δ' οἶμαι δεῖν τοὺς ἐμοὺς λόγους παρ' ἐμοῦ πυνθάνεσθαι ὑμᾶς, ἀλλὰ μὴ παρὰ τούτου. εἰ δὲ καὶ ταῦθ' οὗτος προδιέσυρε λέγων, ἅ φημι οὐ μικρὰ σημεῖα εἶναι τοῦ μηδὲν ὑγιὲς τοῦτον λέγειν." κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει διὰ τοῦδε "λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ λόγους ὑπεστὰς αὐτὸς ἠδικηκέναι. ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων, ὁ δ' αὐτὸς αὐτὸν ἐμφανιεῖ σοι λέγων." ταῖς μὲν οὖν προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι καὶ πρὸς τοὺς κριτὰς καὶ πρὸς τοὺς ἐναντίους, ἴσμεν διὰ τούτων.

Αἰτήματα δ' ἐστὶν ἐν τοῖς λόγοις ἃ παρὰ τῶν ἀκουόν- 20
των οἱ λέγοντες αἰτοῦνται. τούτων δ' ἐστὶ τὰ μὲν ἄδικα τὰ δὲ δίκαια. δίκαιον μὲν οὖν ἐστὶ τό τε προσέχειν τοῖς λεγομένοις αἰτεῖσθαι καὶ μετ' εὐνοίας ἀκούειν, δίκαιον δὲ καὶ τὸ κατὰ τοὺς νόμους αὐτῷ βοηθῆσαι, καὶ τὸ μηδὲν παρὰ τοὺς νόμους ψηφίσασθαι, καὶ τὸ τοῖς ἀτυχήμασι συγγνώμην ἔχειν. ἐὰν μὲν ᾖ παρὰ τοὺς νόμους, ἄδικον, ἐὰν δὲ μή, δίκαιον. τὰ μὲν οὖν αἰτήματα ταῦτά ἐστι, διειλόμεθα δ' αὐτῶν τὰς διαφοράς, ἵν' εἰδότες τό τε δίκαιον καὶ τὸ ἄδικον χρώμεθα κατὰ τὸν καιρόν, καὶ μὴ λανθάνωσιν ἡμᾶς οἱ ἐναντίοι ἄδικόν τι αἰτοῦντες τοὺς δικάζοντας. καὶ περὶ μὲν τούτων ἐκ τῶν εἰρημένων οὐκ ἀγνοήσομεν.

Παλιλλογία δ' ἐστὶ μὲν σύντομος ἀνάμνησις, δεῖ δ' 21
αὐτῇ χρῆσθαι καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς. παλιλλογήσομεν δὲ ἐν κεφαλαίοις ἢ διαλογιζόμενοι ἢ προαιρούμενοι ἢ προσερωτῶντες ἢ ἀπολογιζόμενοι. δείξω δ' αὐτῶν οἷον ἕκαστόν ἐστιν. τὸ μὲν οὖν διαλογίζεσθαι τοιόνδε τι ἐστίν· "ἀπορῶ δ' ἔγωγε τί ἂν ἐποίησαν οὗτοι, εἰ μὴ φανεροὶ μὲν ἦσαν ἡμᾶς πρότερον ἐγκαταλελοιπότες, ἐξηλέγχοντο δὲ ἐπὶ τὴν πόλιν ἡμῶν στρατεύσαντες, οὐδὲν δὲ πώποτε ὧν ὡμολογήκασι ποιήσαντες." τὸ μὲν οὖν διαλογίζεσθαι τοιοῦτόν ἐστι, τὸ δὲ ἀπολογίζεσθαι τοιοῦτον· "ἀπέδειξα δ' αὐτοὺς διαλύσαντας πρότερους τὴν συμμαχίαν, καὶ πρῶτον ἐπιθεμένους ἡμῖν ὅτε πρὸς

1. θῆσθε V^b. ‖ 3. ὑπομείναντες V^b. ‖ 18. θέλωσιν V^b. ‖ 21. λέγειν] λέγειν ἐν τῷ λέγειν V^b. ‖ 22. δεῖ] καὶ B^c. ‖ 32. ἐπίδοξα] μέλλοντα ἐπίδοξα V^b. ‖ 35. τόδε καὶ τόδε B^c. ‖ 36. ἐπίδοξα] ἐπίδοξα μέλλοντα V^b.

5. προδιέβαλλεν V^b. ‖ 11. τοῦδε] τῷ B^c. ‖ 17. περὶ V^b. ‖ 32. ἢ προαιρούμενοι om V^b. ‖ 33. δείξω] ἢ ἐκ προαιρέσεως. δείξω V^b. ‖ 34. δ' om B^c.

Λακεδαιμονίους ἐπολεμοῦμεν, καὶ μάλιςα σπουδάσαντας ἐξανδραποδίσασθαι τὴν πόλιν ἡμῶν." τὸ μὲν ὖν ἀπολογίζεσθαι τοιόνδε ἐστί, τὸ δ' ἐκ προαιρέσεως ἀναμιμνήσκειν τοιόνδε· "ἐνθυμεῖσθαι δὲ δεῖ ὅτι συμβέβηκεν ἡμῖν, ἐξ ὅτυ τὴν φιλίαν πρὸς τύτυς ἐποιησάμεθα, μηδέποτε κακὸν ὑπὸ τῶν πολεμίων παθεῖν· βοηθήσαντες γὰρ ἡμῖν πολλάκις ἐκώλυσαν Λακεδαιμονίους τὴν χώραν ἡμῶν διαφθεῖραι, χρήματα δὲ πολλὰ καὶ νῦν φέροντες διατελοῦσιν." ἐκ προαιρέσεως μὲν οὕτως ἀναμνήσομεν, ἐξ ἐπερωτήσεως δὲ τόνδε τὸν τρόπον· "ἡδέως δ' ἂν αὐτῶν πυθοίμην διὰ τί τὰς συντάξεις ἡμῖν ὐκ ἀποδιδόασιν. ὐ γὰρ ὡς ἀπορῦσιν εἰπεῖν ἂν τολμήσαιεν, οἳ τοσαῦτα χρήματα καθ' ἕκαςον ἐνιαυτὸν ἐκ τῆς χώρας ἐπιδεικνύονται λαμβάνειν, ὐδ' αὖ φήσυσιν εἰς τὴν τῆς πόλεως διοίκησιν πολλὰ δαπανᾶν· παντελῶς γὰρ ἐλάχιςα τῶν νησιωτῶν ἀναλίσκοντες φαίνονται." ἐκ μὲν ὖν ἐπερωτήσεως ὕτω παλιλλογήσομεν.

22 Εἰρωνεία δ' ἐστὶ λέγειν τι προσποιύμενον μὴ λέγειν, ἢ ἐν τοῖς ἐναντίοις ὀνόμασι τὰ πράγματα προσαγορεύειν. εἴη δ' ἂν αὐτῆς τὸ σχῆμα τοιῦτον ἐν τῷ περὶ τῶν εἰρημένων συντόμως ἀναμιμνήσκειν· "ὐδὲν δ' οἶμαι δεῖν λέγειν ὅτι οὗτοι μὲν οἱ φάσκοντες πολλὰ ἀγαθὰ πεποιηκέναι πλεῖςον φαίνονται τὴν πόλιν κεκακυργηκότες, ἡμεῖς δ' ὓς ὗτοί φασιν ἀχαρίςυς εἶναι, τύτοις τε πολλάκις βοηθήσαντες καὶ τὺς ἄλλυς ὐδὲν ἀδικῦντες." τὸ μὲν οὖν ἐν προσποιήσει παραλείψεως λέγοντα συντόμως ἀναμιμνήσκειν τοιῦτόν ἐςι, τὸ δὲ τοῖς ἐναντίοις ὀνόμασι προσαγορεύειν τὰ πράγματα πάλιν τοιοῦτον "οὗτοι μὲν οἱ χρηστοὶ πολλὰ φαίνονται τοὺς συμμάχυς κακὰ πεποιηκότες, ἡμεῖς δ' οἱ φαῦλοι ἀγαθῶν αὐτοῖς αἴτιοι καταςάντες." διὰ τύτων μὲν ὖν συντόμως ἀναμιμνήσκοντες ταῖς παλιλλογίαις χρησόμεθα καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς.

23 Ὅθεν δ' ἔςιν ἀςεῖα λέγειν καὶ τὰ μήκη τῶν λόγων ποιεῖν ὅπως ἄν τις θέλῃ, τῦτο διέξιμεν πάλιν. ἀςεῖα μὲν ὖν λέγειν ἐκ τύτυ τῦ τόπυ ἔςιν, οἷον τὰ ἐνθυμήματα λέγοντας ὅλα ἢ ἥμισυ, ὥςε τὸ ἥμισυ αὐτὺς ὑπολαμβάνειν τοὺς ἀκούοντας. δεῖ δὲ καὶ γνώμας συμπαραλαμβάνειν. χρὴ δὲ τύτων κατὰ πάντα τὰ μέρη συγκαταλέγειν διαλλάττοντα τοὺς λόγους, καὶ μηδέποτε ὅμοια εἰς τὸ αὐτὸ πολλὰ τιθέντα· καὶ ὕτως ὁ λόγος ἀςεῖος φανεῖται. μηκύνειν δὲ τοὺς λόγυς βυλόμενον δεῖ μερίζειν τὸ πρᾶγμα καὶ ἐν ἑκάςῳ μέρει τὰ ἐνόντα οἷά τέ ἐςιν τὴν φύσιν διδάσκειν, καὶ τὴν χρῆσιν καὶ ἰδίᾳ καὶ κοινῇ καὶ τὰς προφάσεις αὐτῶν ἐκδιηγεῖσθαι. ἂν δὲ καὶ ἔτι μακρότερον βυλήσωμεν τὸν λόγον ποιεῖν, δεῖ πολλοῖς ὀνόμασι περὶ ἑκάςυ χρῆσθαι. χρὴ δὲ παρὰ μέρος ἕκαςον τῦ λόγυ παλιλλογεῖν, καὶ τὴν παλιλλογίαν σύντομον ποιεῖσθαι. ἐν δὲ τῇ τελευτῇ τοῦ λόγυ ταῦτα περὶ ὧν καθ' ἓν ἕκαςον εἴρηκας ἀθρόα συντιθέναι, καὶ περὶ ὅλων τῶν πραγμάτων λέγειν. τῦτον μὲν ὖν τὸν τρόπον μῆκος ἕξυσιν οἱ λόγοι· βραχυλογεῖν δὲ βουλόμενον ὅλον τὸ πρᾶγμα ἑνὶ ὀνόματι περιλαμβάνειν, καὶ τύτῳ ὃ ἂν ὑπάρχῃ βραχύτατον τῷ πράγματι. χρὴ δὲ καὶ συνδέσμυς ὀλίγυς ποιεῖν, τὰ πλεῖςα δὲ ζευγνύναι· ὀνομάζειν μὲν οὕτω, τῇ δὲ λέξει εἰς δύο χρῆσθαι, καὶ παλιλλογίαν τὴν σύντομον ἐκ τῶν μερῶν ἀφαιρεῖν, ἐν δὲ ταῖς τελευταῖς μόνον παλιλλογεῖν. καὶ τῦτον μὲν τὸν τρόπον βραχεῖς τὺς λόγυς ποιήσομεν· ἐὰν δὲ βούλῃ μέσως λέγειν, τὰ μέγιστα τῶν μερῶν ἐκλέγων περὶ τύτων ποιεῖσθαι τὺς λόγυς. χρὴ δὲ καὶ τοῖς ὀνόμασι τοῖς μέσοις χρῆσθαι, καὶ μήτε τοῖς μακροτάτοις μήτε τοῖς βραχυτάτοις μήτε πολλοῖς περί γε ἑνὸς ἀλλὰ μετρίως. χρὴ δὲ καὶ τὺς ἐπιλόγυς ἐκ τῶν ἀνὰ μέσον μερῶν μήτε παντελῶς ἐξαιρεῖν μήτε πᾶσι τοῖς μέρεσιν ἐπιφέρειν, ἀλλ' ἅπερ ἂν μάλιςα βύλῃ κατανοῆσαι τὺς ἀκύοντας, ἐπὶ τύτων μάλιστα παλιλλογεῖν ἐπὶ τῇ τελευτῇ. τὰ μὲν οὖν μήκη τῶν λόγων ἐκ τύτων ποιήσομεν, ἡνίκ' ἂν θέλωμεν· ἐὰν δὲ ἀςεῖον γράφειν θέλῃς λόγον, παραφύλαττε ὡς μάλιστα ὅπως τὰ ἤθη τῶν λόγων ὁμοιοῦν τοῖς ἀνθρώποις δυνήσῃ· τῦτο δὲ ποιήσεις, ἂν ἐπιθεωρῇς τὰ μεγάλα τῶν ἠθῶν καὶ τὰ ἀκριβῆ καὶ τὰ μέτρια. περὶ μὲν ὖν τύτων ἐντεῦθεν ὐκ ἀγνοήσεις, περὶ δὲ ὀνομάτων συνθέσεως δηλώσωμεν· καὶ γὰρ τῦτο τῶν ἀναγκαίων ἐςίν.

Πρῶτον μὲν ὖν τρόποι ὀνομάτων εἰσὶ τρεῖς, ἁπλῦς ἢ σύνθετος ἢ μεταφέρων. ὡσαύτως καὶ συνθέσεις τρεῖς, μία μὲν εἰς φωνήεντα τελευτᾶν ταῖς συμβολαῖς καὶ ἀπὸ φωνήεντος ἄρχεσθαι, δευτέρα δὲ ἀπὸ ἀφώνου ἀρξάμενον εἰς ἄφωνον τελευτᾶν, τρίτη δὲ τὰ ἄφωνα πρὸς τὰ φωνήεντα συνδεῖν. τάξεις δὲ τέσσαρες, μία μὲν τὰ ὅμοια τῶν ὀνομάτων ἢ παράλληλα τιθέναι ἢ διασπείρειν, ἄλλη δὲ τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἢ μεταβάλλειν εἰς ἕτερα, τρίτη

11. ὐδὲ γὰρ V^b. ‖ 13. ἐπιδεικνύοντες V^b. ‖ ἂν codices. ‖ 17. μὴ προσποιύμενοι V^b. ‖ 20. ὐδ' ἂν δ' B^e. ‖ 22. [illegible] V^bB^e. ‖ 36. ἢ ἥμισυ] ἢ ἡμίση V^b. ‖ ἀπολαμβάνειν V^bB^e.

4. ἔτι om B^e. ‖ 12. τῦτο B^e. ‖ 15. τὴν et 25. τῇ om B^e. ‖ 26. ἐθέλωμεν B^e. ‖ ἢν V^b. ‖ 34. θέσεις V^b. ‖ 36. [illegible] V^b. ‖ 37 et 40. τοίτον V^b.

δὲ ἐνὶ ἢ πολλοῖς ὀνόμασι τὸ πρᾶγμα προσαγορεύειν, τετάρτη δὲ ἐξῆς τὰ πραχθέντα ὀνομάζειν ἢ ὑπερβιβάζειν. ὅπως δὲ καλλίστην ποιήσεις τὴν ἑρμηνείαν, νῦν δηλώσομεν.

25 Πρῶτον μὲν οὖν εἰς δύο ἑρμηνεύειν, εἶτα σαφῶς δεῖ λέγειν. σχήματα δ' ἐστὶ τοῦ εἰς δύο λέγειν τάδε, ἓν μὲν ὅτι αὐτὸς δύναται καὶ τοῦτο καὶ ἕτερον, δεύτερον δὲ ὅτι οὗτος οὐ δύναται ἕτερος δὲ δύναται, τρίτον δὲ ὅτι οὗτος καὶ τοῦτο καὶ ἕτερον δύναται, τέταρτον δὲ ὅτι οὔτ' αὐτὸς οὔθ' ἕτερος δύναται, πέμπτον δὲ ὅτι αὐτὸς μὲν δύναται ἕτερος δὲ οὐ δύναται, ἕκτον δὲ ὅτι αὐτὸς μὲν ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον. ἕκαστον δὲ τούτων ἐπὶ τῶνδε θεωρήσεις. ὅτι μὲν γὰρ αὐτὸς δύναται καὶ τοῦτο καὶ ἕτερον, τοιόνδε ἐστίν· "ἐγὼ δὲ οὐ μόνον τούτων αἴτιος ὑμῖν ἐγενόμην, ἀλλὰ καὶ Τιμόθεον μέλλοντα στρατεύειν ἐφ' ὑμᾶς διεκώλυσα." ὅτι δὲ οὗτος μὲν οὐ δύναται ἕτερος δὲ δύναται, τοιόνδε· "αὐτὸς μὲν οὖν ἀδυνάτως ἔχει πρεσβεύειν ὑπὲρ ἡμῶν, οὗτος δὲ φίλος ἐστὶ τῇ πόλει Σπαρτιατῶν, καὶ μάλιστ' ἂν δυνηθείη πρᾶξαι ἃ βούλεσθε." τὸ δὲ ὅτι οὗτος καὶ τοῦτο καὶ ἕτερον δύναται, τοιόνδε· "οὐ μόνον δὲ ἐν τοῖς πολέμοις εὔρωστον αὐτὸν παρέσχεν, ἀλλὰ καὶ βουλεύσασθαι τῶν πολιτῶν οὐχ ἥκιστα δύναται." τὸ δὲ ὅτι οὔτ' αὐτὸς οὔθ' ἕτερος δύναται, τοιόνδε· "οὔτ' ἂν αὐτὸς δυνηθείη ὀλίγην δύναμιν ἔχων καταπολεμῆσαι τοὺς ἐναντίους, οὔτ' ἄλλος οὐδεὶς τῶν πολιτῶν." τὸ δὲ ὅτι ἐκεῖνος μὲν δύναται αὐτὸς δὲ οὐ δύναται, τοιόνδε· "οὗτος μὲν γὰρ ἔρρωται τῷ σώματι, ἐγὼ δ' ἀρρωστῶν τυγχάνω." τὸ δὲ ὅτι αὐτὸς μὲν ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον, τοιόνδε· "ἐγὼ μὲν γὰρ κυβερνῆσαι δυνατός εἰμι, οὗτος δὲ οὐδὲ κωπηλατῆσαι δύναται." σχήματα μὲν οὖν τοῦ εἰς δύο ἑρμηνεύειν ὧδε ποιήσεις ἐπὶ τῶν πραγμάτων ἁπάντων τὸν αὐτὸν τρόπον μετιών· σαφῶς δὲ ὅθεν δηλώσεις, τοῦτο πάλιν σκεπτέον.

26 Πρῶτον μὲν οὖν ὀνόμαζε τοῖς οἰκείοις ὀνόμασιν ὅ τι ἂν λέγῃς, διαφεύγων τὸ ἀμφίβολον. εὐλαβοῦ δὲ περὶ τὰ φωνήεντα τῶν γραμμάτων, ὅπως μὴ ἐξῆς τεθήσονται. πρόσεχε δὲ καὶ τοῖς καλουμένοις ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστιθῆται. σκόπει δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὅπως μήτε συγκεχυμένη μήθ' ὑπερβατὴ ἔσται· τὰ γὰρ οὕτω λεγόμενα δύσγνωστα συμβαίνει. μετὰ δὲ συνδέσμους οὓς ἂν προείπῃς, ἀπόδιδου τοὺς ἀκολουθοῦντας. τὸ μὲν οὖν συνδέσμους ἀποδιδόναι τοὺς ἀκολουθοῦντας τοιόνδε ἐστίν· "ἐγὼ μὲν παρεγενόμην οὗ ἔφην, σὺ δὲ φάσκων ἥξειν οὐκ ἦλθες." πάλιν ὅταν ὁ αὐτὸς συνακόλουθος ᾖ, οἷον "σὺ γὰρ κἀκείνων αἴτιος ἐγένου καὶ τούτων αἴτιος σύ." περὶ μὲν οὖν τῶν συνδέσμων εἴρηται, καὶ ἀπὸ τούτων τεκμαίρεσθαι δεῖ καὶ περὶ τῶν ἄλλων. δεῖ δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων μήτε συγκεχυμένην μήτε ὑπερβατὴν εἶναι. τὸ μὲν γὰρ συγκεχυμένως τοιόνδε ἐστίν, ὡς ὅταν εἴπῃς "δεινόν ἐστι τοῦτον τοῦτον τύπτειν·" ἄδηλον γὰρ ἦν ὁπότερος ἂν ἦν ὁ τύπτων. ἐὰν δὲ εἴπῃς οὕτως, δῆλον ποιήσεις "δεινόν ἐστι τοῦτον ὑπὸ τούτου τύπτεσθαι." τὸ μὲν οὖν συγχεῖν τὴν σύνθεσιν τῶν ὀνομάτων τοιόνδε ἐστίν· τὸ δὲ προσέχειν τοῖς ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστιθῆται, ἐπὶ τῶνδε ὅρα· "οὗτος ὁ ἄνθρωπος τοῦτον τὸν ἄνθρωπον ἀδικεῖ." νῦν μὲν οὖν ἐγγινόμενα τὰ ἄρθρα σαφῆ ποιεῖ τὴν λέξιν, ἐξαιρεθέντα δὲ ἀσαφῆ ποιήσει. ἔσθ' ὅτε δὲ συμβαίνει καὶ τὸ ἀνάπαλιν. τὰ μὲν οὖν ἐν τοῖς ἄρθροις τοιαῦτά ἐστιν· τὰ δὲ φωνήεντα μὴ τίθει παράλληλα, ἂν μή ποτε ἄλλως ἀδύνατον ᾖ δηλῶσαι, ἢ ἀνάπτυξις ᾖ τις ἢ ἄλλη διαίρεσις. τὸ δὲ τὰ ἀμφίβολα διαφεύγειν τοιόνδε ἐστίν· ἔνια τῶν ὀνομάτων ταὐτὰ ἐπὶ πλείοσι πράγμασι κεῖται, οἷον ὁδὸς τῶν θυρῶν καὶ ὁδὸς ἣν βαδίζουσιν· δεῖ δὲ ἐπὶ τοῖς τοιούτοις τὸ ἴδιον ἀεὶ συμπαραλαμβάνειν. καὶ σαφῶς μὲν ἐν τοῖς ὀνόμασιν, ἂν ταῦτα ποιῶμεν, διαλεξόμεθα· εἰς δύο δ' ἑρμηνεύσομεν διὰ τῆς προτέρας μεθόδου.

Περὶ δὲ ἀντιθέτων καὶ παρισώσεων καὶ ὁμοιοτήτων 27
λέγωμεν ἤδη· δεησόμεθα γὰρ καὶ τούτων. ἀντίθετον μὲν οὖν ἐστὶ τὸ ἐναντίαν τὴν ὀνομασίαν ἅμα καὶ τὴν δύναμιν τοῖς ἀντικειμένοις ἔχον, ἢ τὸ ἕτερον τούτων. τοῖς μὲν οὖν ὀνόμασιν εἴη ἂν ἐναντίον ἅμα καὶ τῇ δυνάμει τόδε· "οὐ γὰρ δίκαιον τοῦτον μὲν τὰ ἐμὰ ἔχοντα πλουτεῖν, ἐμὲ δὲ τὰ ὄντα προϊέμενον οὕτω πτωχεύειν." τοῖς δ' ὀνόμασι μόνοις· "διδότω γὰρ ὁ πλούσιος καὶ εὐδαίμων τῷ πένητι καὶ ἐνδεεῖ." τῇ δὲ δυνάμει· "ἐγὼ μὲν τοῦτον νοσοῦντα ἐθεράπευσα, οὗτος δ' ἐμοὶ μεγίστων κακῶν αἴτιος γέγονεν." ἐνταῦθα μὲν γὰρ τὰ ὀνόματα οὐκ ἐναντία, αἱ δὲ πράξεις ἐναντίαι. κάλλιστον μὲν οὖν εἴη ἂν τὸ κατ' ἀμφότερα ἀντίθετον, καὶ κατὰ τὴν δύναμιν καὶ κατὰ τὴν ὀνομασίαν· ἔστι δὲ καὶ τὰ λοιπὰ δύο ἀντίθετα.

Παρίσωσις δ' ἐστὶ μὲν ὅταν δύο ἴσα λέγηται κῶλα, 28
εἴη δ' ἂν ἴσα καὶ πολλὰ μικρὰ ὀλίγοις μεγάλοις καὶ

1. ἐνὶ — 2. δὲ om B^c. ‖ 2. ἐξ ἧς V^b. ‖ 3. ποιήσης V^b. ‖ 8. αὐτοὶ V^b. ‖ 16. ἔχειν V^b. ‖ 18. ἂν om V^b. ‖ ἃ] ἢ B^c. ‖ 20. εὔρρωστον V^b. ‖ 21. ὅτι om V^bB^c. ‖ 22. δύναται om B^c. ‖ ἂν om V^b. ‖ δυνηθῇ V^bB^c. ‖ 26. ὅτι om B^c. ‖ 39. οὓς — συνδέσμους om V^b.

1. ἥξειν et 3. σύ om B^c. ‖ 6. εἶναι om V^b. ‖ 17. δυνατὸν V^bB^c. ‖ 18. τὰ om V^b. ‖ 37. τὴν ante δύναμιν om V^b. ‖ 40. πολλὰ καὶ V^b.

χρόνου. ἐκ μὲν οὖν τοῦ παροιχομένου χρόνου, ἐάν τις ὑποπτεύηται εἰς πονηρίαν τινά, πρῶτον μὲν τῇ πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι, καὶ λέγειν ὡς "οὐδ' αὐτὸς ἀγνοῶ διαβεβλημένος, ἀλλ' ἐπιδείξω ψευδεῖς οὔσας τὰς διαβολάς." ἔπειτα κεφαλαιωδῶς ἐν τοῖς προοιμίοις ἀπολογητέον, ἂν ἔχῃς τι λέγειν ὑπὲρ σαυτοῦ, καὶ τὰς κρίσεις ψεκτέον· ἀναγκαῖον γάρ, ἄν τε πρὸς τὸ δημόσιον ᾖ τις διαβεβλημένος ἄν τε πρὸς τοὺς ἰδιώτας, ἢ γεγενῆσθαι κρίσιν ἢ μέλλειν γενήσεσθαι ἢ μὴ βούλεσθαι τοὺς τὴν αἰτίαν ἐπενεγκόντας λαβεῖν κρίσιν, καὶ ῥητέον ὡς ἀδίκως ἡ κρίσις ἐγένετο καὶ ὡς ὑπὸ τῶν ἐχθρῶν κατεστασιάσθημεν· ἢ ἐὰν τοῦτο μὴ ἐνδέχηται, λέγε ὡς ἱκανὸν ἡμῖν ἀτυχήσασι τότε, καὶ ὡς δίκαιόν ἐστι τῶν πραγμάτων ἤδη κεκριμένων μὴ περὶ τῶν αὐτῶν ἔτι διαβολὴν ἔχειν. ἂν δ' ἐπίδοξος ἡ κρίσις ᾖ γενέσθαι, λεκτέον ὡς ἕτοιμος εἶ περὶ τῶν διαβολῶν ἐν τοῖς καθημένοις ἤδη κρίνεσθαι· κἂν ἐλεγχθῇς τι τὴν πόλιν ἀδικῶν, ἀποθνήσκειν ὑποτιμῶ. ἐὰν δὲ οἱ ἐγκαλέσαντες μὴ ἐπεξίωσιν, αὐτὸ τοῦτο χρὴ σημεῖον ποιεῖσθαι διότι τὴν διαβολὴν ψευδῶς ἡμῶν κατήνεγκαν· οὐ γὰρ εἰκὸς εἶναι δόξει τοὺς ἀληθῶς ἐγκαλοῦντας μὴ βούλεσθαι κρίσιν λαβεῖν. ἀεὶ δὲ κατηγορεῖν χρὴ διαβολῆς, καὶ λέγειν ὡς δεινὸν καὶ κοινὸν καὶ πολλῶν κακῶν αἴτιον. ἐμφανιστέον δ' ὅτι καὶ πολλοὶ ἤδη διεφθάρησαν ἀδίκως διαβληθέντες. χρὴ δὲ καὶ διδάσκειν ὡς εὔηθές ἐστιν ὑπὲρ τῶν κοινῶν βουλευομένους μὴ παρὰ πάντων τοὺς λόγους ἀκούοντας τὸ συμφέρον σκοπεῖν, ἀλλὰ ταῖς ἐνίων διαβολαῖς δυσχεραίνειν. δεῖ δὲ καὶ ἐπαγγέλλεσθαι καὶ ὑπισχνεῖσθαι δίκαια καὶ καλὰ καὶ συμφέροντα ἐπιδείξειν ἃ ὑπέσχοντο συμβουλεύειν. τοὺς μὲν οὖν ἐκ τοῦ παροιχομένου χρόνου διαβεβλημένους τοῦτον τὸν τρόπον ἐν ταῖς δημηγορίαις τὰς διαβολὰς λυτέον· ἐκ δὲ τοῦ παρόντος χρόνου διαβαλεῖς τοὺς λέγοντας πρῶτον μὲν εἰς ἡλικίαν. ἐάν τε γὰρ νέος παντελῶς ἐάν τε πρεσβύτης δημηγορῇ, δυσχεραίνεται· τῷ μὲν γὰρ οὔπω ἦρχθαι τῷ δὲ ἤδη πεπαῦσθαι προσήκειν οἴονται. ἔπειτα ἐὰν συνεχῶς εἰώθῃ λέγειν· πολυπράγμων γὰρ εἶναι δοκεῖ οὗτος. καὶ εἰ μηδέπω πρότερον εἰρήκει· καὶ γὰρ οὗτος ἕνεκά τινος ἰδίου δοκεῖ παρὰ τὸ ἔθος δημηγορεῖν. ἐκ μὲν οὖν τοῦ παρόντος χρόνου οὕτω τοι διαβολαὶ περὶ τὸν δημηγοροῦντα γενήσονται, προφασίζεσθαι δὲ ὑπὲρ αὐτῶν δεῖ τὸν μὲν νεώτερον ἐκ τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τοῦ προσήκοντος τούτῳ, λέγω δ' οἷον ὑπὲρ λαμπαδαρχίας ἢ ὑπὲρ γυμνασίου ἢ ὑπὲρ ὅπλων ἢ ἵππων ἢ περὶ πολέμου· τούτων γὰρ οὐκ ἐλάχιστον μέρος τῷ νέῳ μέτεστιν. ῥητέον δὲ καὶ ὡς εἰ μήπω καθ' ἡλικίαν τὸ φρονεῖν, ἀλλὰ κατὰ φύσιν καὶ ἐπιμέλειαν. ἐμφανιστέον δὲ καὶ ὡς ἁμαρτόντι μὲν ἴδιον τὸ ἀτύχημα, κατορθώσαντι δὲ κοινὴ ἡ ὠφέλεια. τῷ μὲν οὖν νέῳ ἐκ τῶν τοιούτων προφασιστέον, γέροντι δὲ προφασιστέον λέγοντι ἔκ τε τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τῆς εὐπορίας αὐτοῦ, πρὸς δὲ τούτοις καὶ ἐκ τοῦ μεγέθους καὶ ἐκ τῆς καινότητος τῶν κινδύνων καὶ ἐκ τῶν ἄλλων τῶν τοιούτων. τῷ δὲ λίαν εἰθισμένῳ ἐκ τῆς ἐμπειρίας καὶ ἐκ τοῦ αἰσχρὸν εἶναι πρότερον δὴ λέγοντα νῦν μὴ ἀποφαίνεσθαι γνώμας. τῷ δὲ μὴ εἰθισμένῳ ἔκ τε τοῦ μεγέθους τῶν κινδύνων καὶ ἐκ τοῦ ἀναγκαῖον εἶναι πάντα τινά, ᾧ τῆς πόλεως μέτεστιν, ὑπὲρ τῶν νῦν προκειμένων ἀποφαίνεσθαι γνώμην. τὰς μὲν οὖν περὶ αὐτὸν τὸν ἄνθρωπον διαβολὰς ἐν ταῖς δημηγορίαις ἐκ τῶν τοιούτων ἐπιχειρήσομεν λύειν· αἱ δὲ περὶ τὸ πρᾶγμα γίνονται μέν, ὅταν τις ἡσυχίαν πρὸς τοὺς μηδὲν ἀδικοῦντας ἢ πρὸς τοὺς κρείττονας συμβουλεύῃ, ἢ εἰρήνην ποιεῖσθαι αἰσχράν, ἢ παραινῇ περὶ τὰς θυσίας μικρὰ συντελεῖν, ἤ τι τοιοῦτον εἰσηγῆται. δεῖ δὲ περὶ τῶν τοιούτων πρότερον μὲν πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι, ἔπειτα τὴν αἰτίαν εἰς τὴν ἀνάγκην καὶ τὴν τύχην καὶ τοὺς καιροὺς καὶ τὸ συμφέρον ἀναφέρειν, καὶ λέγειν ὡς οὐχ οἱ συμβουλεύοντες τῶν τοιούτων ἀλλὰ τὰ πράγματά ἐστιν αἴτια. καὶ τὰς μὲν περὶ τὸ πρᾶγμα διαβολὰς ἐκ τῶν τοιούτων ἀπὸ τῶν συμβουλευόντων ἀπάξομεν, ὁ δὲ λόγος ἐν ταῖς δημηγορίαις διαβάλλεται, ὅταν ἢ μακρὸς ἢ ἀρχαῖος ἢ ἄπιστος λέγηται. ἐὰν μὲν οὖν μακρὸς ᾖ, τὸ πλῆθος αἰτιατέον τῶν πραγμάτων· ἐὰν δὲ ἀρχαῖος, διδακτέον ὅτι νῦν καιρὸς αὐτοῦ εἴη· εἰ δὲ ἀπίθανος, ὑπισχνεῖσθαι δεῖ ὡς ἀληθῆ ἐπιδείξεις ἐπὶ τοῦ λόγου. τὰς μὲν οὖν δημηγορίας ἐκ τούτων καταστησόμεθα, τάξομεν δὲ πῶς; ἐὰν μὲν μηδεμίαν διαβολὴν ἔχοιμεν μήτε αὐτοὶ μήτε ὁ λόγος μήτε τὸ πρᾶγμα, τὴν πρόθεσιν ἐν ἀρχῇ εὐθέως ἐκθήσομεν, ἐπὶ δὲ τὸ προσέχειν καὶ τοῦ λόγου εὐμενῶς ἀκούειν ὕστερον παρακαλέσομεν· ἐὰν δὲ διαβολή τις ᾖ τῶν προειρημένων περὶ ἡμᾶς, προκαταλαβόντες τοὺς ἀκροατάς, καὶ περὶ τῶν διαβολῶν τὰς ἀπολογίας καὶ τὰς προφάσεις συντόμως ἐνεγκόντες, οὕτω προθήσομεν καὶ τοὺς ἀκροατὰς ἐπὶ

2. εἰς] ὑπὸ B^c. ‖ 4. ἀγνοῶ] ἀγνοῶ μὲν V^b. ‖ 6. σεαυτοῦ V^b. ‖ 12. ἀτυχήμασι B^c. ‖ 19. εἰκὸς om V^bB^c. ‖ 24. ὑπὲρ] ὡς ὑπὲρ V^b. ‖ 28. καὶ συμφέροντα καλὰ B^c. ‖ ὑπέσχον V^b. ‖ 31. διαβάλλειν V^b. ‖ 32. πρῶτα B^c. ‖ εἰς om V^b. ‖ 33. δυσχεραίνειν V^b. ‖ 35. συνεχῆ V^bB^c. ‖ εἰώθει V^b. ‖ 36. εἰ] ἐὰν V^b. ‖ 38. οὕτω τοι om V^b. ‖ γενήσονται] τοιαῦται γενήσονται V^b.

7. γέροντι δὲ προφασιστέον om V^b. ‖ 12. ἐκ et μὴ om V^b. ‖ 14. πάντως V^b. ‖ 16. τῶν ἀνθρώπων V^b. ‖ 20. παραινεῖ B^c.

τὸ προσέχειν παρακαλέσομεν. τῦτον μὲν ὖν τὸν τρόπον τὰς καταςάσεις τῶν δημηγοριῶν ποιητέον.

31 Μετὰ δὲ τῦτο ἀνάγκη ἡμᾶς ἐςὶν ἢ τὰς προγεγενημένας πράξεις ἀπαγγέλλειν ἢ ἀναμιμνήσκειν, ἢ τὰς νῦν ὔσας μερίζοντα δηλῦν, ἢ τὰς μελλύσας γενήσεσθαι προλέγειν. ὅταν μὲν ὖν πρεσβείαν ἀπαγγέλλωμεν, πάντα δεῖ τὰ ῥηθέντα καθαρῶς διεξελθεῖν, ἵνα πρῶτον μὲν μέγεθος ὁ λόγος ἔχῃ (ἀπαγγελία γὰρ μόνον ἔσται ἡ τοιαύτη, καὶ ὐδὲν ἄλλο λόγυ σχῆμα παρεμπεσεῖται), ἔπειθ' ὅπως, ἂν μὲν ἀποτετυχηκότες ὦμεν, μὴ διὰ τὴν ἡμετέραν ῥαθυμίαν οἱ ἀκούοντες οἴωνται διαμαρτάνειν τῆς πράξεως ἀλλὰ δι' ἄλλην τινὰ αἰτίαν, ἂν δὲ ἐπιτύχωμεν, μὴ διὰ τύχην ὑπολάβωσι τῦτο γεγενῆσθαι ἀλλὰ διὰ τὴν ἡμετέραν προθυμίαν. ταῦτα δὲ πιςεύυσιν, ἐπειδὴ τοῖς πράγμασιν ὐ παρεγένοντο πραττομένοις, ἐὰν ἐπὶ τοῦ λόγου τὴν προθυμίαν ἡμῶν θεωρῶσι μηδὲν παραλειπόντων ἀλλ' ἀκριβῶς ἕκαςα ἀπαγγελλόντων. ὅταν μὲν ὖν πρεσβείαν ἀπαγγέλλωμεν, διὰ τὰς αἰτίας ταύτας ἕκαστα ὃν τρόπον ἐγένετο ἀπαγγελτέον. ὅταν δὲ αὐτοὶ δημηγορῦντες τῶν παρεληλυθότων τι διεξίωμεν ἢ καὶ τὰ παρόντα δηλῶμεν ἢ τὰ μέλλοντα προλέγωμεν, δεῖ τύτων ἕκαςον ποιεῖν βραχέως καὶ σαφῶς καὶ μὴ ἀπίςως, σαφῶς μὲν ὅπως καταμάθωσι τὰ λεγόμενα πράγματα, συντόμως δὲ ἵνα μνημονεύωσι τὰ ῥηθέντα, πιςῶς δὲ ὅπως μὴ πρὸ τοῦ ταῖς πίστεσι καὶ ταῖς δικαιολογίαις βεβαιῶσαι τὸν λόγον ἡμᾶς τὰς ἐξηγήσεις ἡμῶν οἱ ἀκύοντες ἀποδοκιμάσωσιν. σαφῶς μὲν ὖν δηλώσομεν ἀπὸ τῶν ὀνομάτων ἢ ἀπὸ τῶν πραγμάτων. ἀπὸ μὲν ὖν τῶν πραγμάτων, ἐὰν μὴ ὑπερβατῶς αὐτὰ δηλῶμεν, ἀλλὰ τὰ πρῶτα πραχθέντα ἢ πραττόμενα ἢ πραχθησόμενα πρῶτα λέγωμεν, τὰ δὲ λοιπὰ ἐφεξῆς τάττωμεν, καὶ ἐὰν μὴ προαπολιπόντες τὴν τάξιν, περὶ ἧς ἂν ἐγχειρήσωμεν λέγειν, δι' ἑτέρων ἐξαγγείλωμεν. ἀπὸ μὲν ὖν τῶν πραγμάτων σαφῶς οὕτως ἐρῦμεν, ἀπὸ δὲ τῶν ὀνομάτων, ἐὰν ὅτι μάλιςα τοῖς οἰκείοις τῶν πραγμάτων ὀνόμασι τὰς πράξεις προσαγορεύωμεν, καὶ ἐὰν τοῖς κοινοῖς, καὶ μὴ ὑπερβατῶς αὐτὰ τιθῶμεν, ἀλλ' ἀεὶ τὰ ἐχόμενα ἐξῆς τάττωμεν. σαφῶς μὲν οὖν δηλώσομεν ταῦτα διαφυλάττοντες, συντόμως δέ, ἐὰν ἀπὸ τῶν πραγμάτων καὶ τῶν ὀνομάτων περιαιρῶμεν τὰ μὴ ἀναγκαῖα ῥηθῆναι, ταῦτα μόνα καταλείποντες ὧν ἀφαιρεθέντων ἀσαφὴς ἔςαι ὁ λόγος. καὶ συντόμως μὲν τῦτον τὸν τρόπον δηλώσομεν, ὐκ ἀπίςως δέ, ἂν περὶ τὰς ἀπιθάνυς πράξεις αἰτίας φέρωμεν, παρ' ἃς εἰκότως τὰ λεγόμενα δόξει πραχθῆναι. ὅσα δ' ἂν λίαν ἄπιςα συμβαίνοι, δεῖ παραλείπειν. ἐὰν δὲ ἀναγκαῖον ᾖ λέγειν, εἰδότα δεῖ φαίνεσθαι, καὶ ἐπιπλήξαντα αὐτὰ τῷ τῆς παραλείψεως σχήματι ὑπερβαλέσθαι, καὶ προϊόντος τοῦ λόγου ἐπιδείξειν ἀληθὲς ὑπισχνεῖσθαι, προφασισάμενον ὅτι τὰ προειρημένα πρῶτον βύλει ἀποδεῖξαι ἀληθῆ ὄντα ἢ δίκαια ἤ τι τῶν τοιύτων. καὶ τῦτον μὲν τὸν τρόπον τὰς ἀπιςίας ἰασόμεθα, συλλήβδην δὲ τὰς ἀπαγγελίας καὶ τὰς δηλώσεις καὶ τὰς προρρήσεις ἐξ ἁπάντων τῶν εἰρημένων σαφεῖς καὶ βραχείας καὶ ὐκ ἀπίςυς ποιήσομεν.

Τάξομεν δὲ αὐτὰς διὰ τριῶν τρόπων. ὅταν μὲν γὰρ ὦσιν ὀλίγα δράματα περὶ ὧν λέγομεν καὶ γνώριμα τοῖς ἀκύυσι, τῷ προοιμίῳ συνάψομεν, ἵνα μὴ βραχὺ τῦτο τὸ μέρος καθ' ἑαυτὸ τεθὲν γένηται. ὅταν δὲ λίαν ὦσιν αἱ πράξεις πολλαὶ καὶ μὴ γνώριμοι, παρ' ἕκαςον συναπτὰς ποιήσομεν, καὶ δικαίας καὶ συμφερύσας καὶ καλὰς ἀποφανοῦμεν, ἵνα μὴ μόνον πραγματολογοῦντες ἁπλοῦν τὸν λόγον καὶ μὴ ποικίλον ποιῶμεν, ἀλλὰ καὶ τῶν ἀκουόντων τὰς διανοίας ἀναλαμβάνωμεν. ἂν δ' ὦσιν αἱ πράξεις μέτριαι καὶ ἀγνούμεναι, τὴν ἀπαγγελίαν ἢ τὴν δήλωσιν ἢ τὴν πρόρρησιν ἐπὶ τῷ φροιμίῳ δεῖ σωματοειδῆ τάττειν. τῦτο δὲ ποιήσομεν, ἐὰν ἀπὸ τῆς ἀρχῆς τῶν πραγμάτων ἐπὶ τὸ τέλος διέλθωμεν, μηδὲν ἄλλο συμπεριλαμβάνοντες ἀλλ' ἢ τὰς πράξεις αὐτὰς ψιλὰς φράζοντες. καὶ τὰς μὲν διηγήσεις ἐπὶ τοῖς προοιμίοις ὡς δεῖ τάττειν, ὕτως εἰσόμεθα.

Μετὰ δὲ ταῦτα ἐπιβεβαιώσεις, δι' ὧν τὰς προειρημένας πράξεις ἐκ τῶν πίστεων καὶ τῶν δικαίων καὶ τῶν συμφερόντων, οἵας ὑπεθέμεθα δείξειν, βεβαιώσομεν. ἐὰν μὲν ὖν συναπτὰς ποιῇς, οἰκειόταται ταῖς δημηγορίαις αἱ πίςεις τά τε τῶν πραγμάτων ἔθη καὶ τὰ παραδείγματα καὶ τὰ ἐπενθυμήματα καὶ ἡ δόξα τῦ λέγοντος. χρηςέον δὲ καὶ ἄν τις τῶν ἄλλων πίςεων παρεμπέσῃ. τάττειν δὲ αὐτὰς ὧδε δεῖ, πρῶτον μὲν τὴν τῦ λέγοντος δόξαν, εἰ δὲ μή, τὰ τῶν πραγμάτων ἔθη, δεικνύντας ὅτι ταῦθ' ἃ λέγομεν ἢ τὰ τούτοις ὅμοια ὕτως εἴθισται γίνεσθαι. ἐπὶ δὲ τύτοις παραδείγματα οἰςέον, καὶ εἰ ὁμοιότης τις ἐςί, πρὸς τὰ ὑφ' ἡμῶν λεγόμενα προσακτέον. λαμβάνειν δὲ δεῖ τὰ

4. τάξεις B^c. || 6. πρεσβείας B^c. || 16. παραλιπόντων B^c. || 20. διεξίμεν F^b. || 27. ἀπὸ μὲν ὖν τῶν πραγμάτων om F^b. || 3[illegible] nonne πρᾶξιν? || 40. καταλίποντες F^b. || σαφὴς F^b.

6. παραλήψεως B^c. || 8. προειμένα F^b. || 18. μὴ om $F^b B^c$. || 22. δ'] γὰρ F^b. || 29. ἐπὶ βεβαιώσει F^b. || 33. γε B^c. || 3[illegible] ὧδε] ὡς F^b. || 40. τακτέον. προσλαμβάνειν F^b.

παραδείγματα οἰκεῖα τῷ πράγματι, καὶ τὰ ἐγγύτατα τοῖς ἀκούουσι χρόνῳ ἢ τόπῳ, ἐὰν δὲ μὴ ὑπάρχῃ τοιαῦτα, τῶν ἄλλων τὰ μέγιστα καὶ γνωριμώτατα. μετὰ ταῦτα γνωμολογητέον. δεῖ δὲ καὶ περὶ τὰ μέρη τῶν εἰκότων καὶ τῶν παραδειγμάτων ἐπὶ τελευτῆς ἐνθυμηματώδεις καὶ γνωμολογικὰς τὰς τελευτὰς ποιεῖσθαι. καὶ τὰς μὲν πίστεις οὕτως ἐπὶ ταῖς πράξεσι προσακτέον· ἐὰν δὲ πιστεύηται τὰ πράγματα εὐθέως ῥηθέντα, τὰς μὲν πίστεις παραλειπτέον, τῷ δὲ δικαίῳ καὶ τῷ νομίμῳ καὶ τῷ συμφέροντι καὶ τῷ καλῷ καὶ τῷ ἡδεῖ καὶ τῷ ῥᾳδίῳ καὶ τῷ δυνατῷ καὶ τῷ ἀναγκαίῳ τὰς προειρημένας πράξεις βεβαιωτέον. καὶ εἰ μὲν ὑπάρχει, πρῶτον τὸ δίκαιον τακτέον, διεξιόντας διὰ τούτου τε τοῦ δικαίου καὶ τοῦ ὁμοίου τῷ δικαίῳ καὶ τοῦ ἐναντίου καὶ τοῦ κεκριμένου δικαίου. δεῖ δὲ καὶ τὰ παραδείγματα τοῖς ὑπὸ σοῦ λεγομένοις δικαίοις ὅμοια φέρειν. πολλὰ δὲ ἕξεις λέγειν ἔκ τε τῶν ἰδίᾳ παρ' ἑκάστοις δικαίων ὑπολαμβανομένων, καὶ ἐκ τῶν ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ λέγεις, καὶ ἐκ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. ὅταν δὲ ἅπαντα τοῦτον τὸν τρόπον μετιόντες διέλθωμεν, ἐπὶ τελευτῆς αὐτοῦ γνώμας καὶ ἐνθυμήματα μέτρια καὶ ἀλλήλοις ἀνόμοια ἐνεγκόντες, ἐὰν μὲν μακρὸν ᾖ τὸ μέρος καὶ βουλώμεθα μνημονεύεσθαι, συντόμως παλιλλογήσομεν, ἐὰν δὲ μέτριον ᾖ καὶ μνημονεύηται, αὐτὸ τὸ μέρος ὁρισάμενοι πάλιν ἕτερον προθησόμεθα. ἔστι δὲ ὃ λέγω τοιόνδε· "ὡς μὲν δίκαιόν ἐστιν ἡμᾶς βοηθεῖν Συρακουσίοις, ἐκ τῶν εἰρημένων ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· ὡς δὲ καὶ συμφέρει ταῦτα πράττειν, ἐπιχειρήσω διδάσκειν." πάλιν δὲ περὶ τοῦ συμφέροντος ὁμοιοτρόπως τοῖς προειρημένοις ἐπὶ τοῦ δικαίου μετιών, καὶ ἐπὶ τῇ τελευτῇ τοῦ μέρους ἢ παλιλλογίαν ἢ ὁρισμὸν ἐπιθείς, πάλιν ἕτερον ὅ τι ἂν ὑπάρχῃ σοι προτίθει. τοῦτον δὲ τὸν τρόπον ἄλλο ἄλλῳ συνάπτειν μέρει καὶ συνυφαίνειν τὸν λόγον. ὅταν δὲ πάντα διεξέλθῃς ἐξ ὧν ἐνδέχεταί σοι βεβαιῶσαι τὴν προτροπήν, ἐπὶ τούτοις ἅπασι κεφαλαιωδῶς μετὰ ἐνθυμημάτων καὶ γνωμῶν ἢ σχημάτων δείκνυε ὡς ἄδικον καὶ ἀσύμφορον καὶ αἰσχρὸν καὶ ἀηδὲς μὴ ποιεῖν ταῦτα, καὶ ἀντιτίθει κεφαλαιωδῶς ὡς δίκαιον καὶ συμφέρον καὶ καλὸν καὶ ἡδὺ πράττειν ἐφ' ἃ παρακαλεῖς. ὅταν δὲ ἱκανῶς ἤδη ᾖς ἐγνωμολογηκώς, τὴν προτροπὴν πέρατι ὅρισαι. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν τὰ προτεθέντα, μετὰ δὲ τοῦτο τὸ μέρος λέξομεν τὴν προκατάληψιν.

34 Αὕτη δ' ἐστὶ δι' ἧς τὰς ἐνδεχομένας ἀντιλογίας ῥηθῆναι τοῖς ὑπὸ σοῦ εἰρημένοις προκαταλαμβάνων διασύρεις. δεῖ δὲ τὰ μὲν ἐκείνων μικρὰ ποιεῖν, τὰ δὲ σαυτοῦ αὔξειν, ὡς ἐν ταῖς αὐξήσεσι προακήκοας. χρὴ δὲ παρατιθέναι καὶ ἓν πρὸς ἕν, ὅταν τὸ σὸν μεῖζον ᾖ, καὶ πρὸς πλείω πλείω, καὶ ἓν πρὸς πολλά, καὶ πολλὰ πρὸς ἕν, διαλλάττοντα κατὰ πάντας τοὺς τρόπους, τὰ μὲν σαυτοῦ αὔξοντα, τὰ δὲ τῶν ἐναντίων ἀσθενῆ καὶ μικρὰ ποιοῦντα. καὶ τοῦτον μὲν τὸν τρόπον ταῖς προκαταλήψεσι χρησόμεθα, ταῦτα δὲ διελθόντες ἐπὶ τελευτῇ παλιλλογήσομεν, τὰ προειρημένα σχήματα διαλογισμοῦ λαβόντες ἢ ἀπολογισμοῦ ἢ προαιρέσεως ἢ ἐξ ἐπερωτήσεως ἢ εἰρωνείας.

35 Ἐὰν δὲ ἐπὶ τὸ βοηθεῖν τισὶ προτρέπωμεν, ἢ ἰδιώταις ἢ πόλεσιν, ἁρμόσει συντόμως εἰπεῖν καὶ εἴ τις προϋπάρχει τούτοις πρὸς τοὺς ἐκκλησιάζοντας φιλία ἢ χάρις ἢ ἔλεος· μάλιστα γὰρ τοῖς οὕτω διακειμένοις ἐθέλουσιν ἐπαμύνειν. φιλοῦσι μὲν οὖν πάντες ὑφ' ὧν οἴονται κατὰ τὸ προσῆκον εὖ πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσιν· χάριν δ' ἔχουσι τούτοις ὑφ' ὧν οἴονται παρὰ τὸ προσῆκον ἀγαθόν τι πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσιν. τούτων μὲν οὖν ἄν τι ἐνῇ, χρὴ συντόμως διδάσκειν, καὶ ἐπὶ τὸν ἔλεον ἄγειν. εὐπορήσομεν δὲ ἐλεεινὰ ποιεῖν ἅπερ ἂν ἐθέλωμεν, ἐὰν συνειδῶμεν ὅτι πάντες ἐλεοῦσι τούτους οὓς οἰκείως ἔχειν αὐτοῖς ὑπειλήφασιν ἢ οἴονται ἀναξίους εἶναι δυστυχεῖν. δεῖ δὴ ταῦτα ἀποφαίνειν ἔχοντας οὓς ἐθέλεις ἐλεεινοὺς ποιεῖν, καὶ ἐπιδεικνύειν αὐτοὺς ἢ κακῶς πεπονθότας ἢ πάσχοντας, ἢ πεισομένους ἐὰν μὴ οἱ ἀκούοντες αὐτοῖς βοηθῶσιν. ἐὰν δὲ ταῦτα μὴ ἐνῇ, δεικτέον ὑπὲρ ὧν λέγεις, ἀγαθῶν ἐστερημένους ὧν τοῖς ἄλλοις ἅπασιν ἢ τοῖς πλείστοις μέτεστιν, ἢ ἀγαθοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας, ἢ μὴ τευξομένους ἐὰν μὴ νῦν οἱ ἀκούοντες οἰκτείρωσιν. ἐκ τούτων μὲν οὖν ἐπὶ τὸν ἔλεον ἄξομεν, τὰς δὲ ἀποτροπὰς ἐκ τῶν ἐναντίων τούτοις ποιήσομεν, τὸν αὐτὸν τρόπον φροιμιαζόμενοι καὶ τὰ πράγματα διεξιόντες, ταῖς τε πίστεσι χρώμενοι, καὶ τοῖς ἀκούουσι δεικνύντες ὡς ἐστὶν ἃ πράττειν ἐπιχειροῦσιν

1. οἰκεῖα τῷ πράγματι om B^c. ‖ 3. μετὰ δὲ ταῦτα B^c. ‖ 8. παραληπτέον V^b. ‖ 13. τε] τὸ V^b. ‖ 25. συρρακουσίοις $V^b B^c$. ‖ ἱκανῶς] ἴσμεν ὡς $V^b B^c$. ‖ 37. ἡδὺ καὶ καλὸν B^c. ‖ 38. ἤδη om B^c. ‖ 39. ὁρίσαι V^b.

8. ἓν] ἑνὸς V^b. ‖ 9. τὰ μὲν σαυτοῦ] καὶ τὰ μὲν ἡμέτερα V^b. ‖ 10. μὲν om B^c. ‖ 13. διὰ λογισμοῦ B^c. ‖ 24. post τυγχάνουσιν B^c εὐχάριστοι δ' εἰσὶν οὓς ἡγοῦνται κατὰ τὸ προσῆκον ἀγαθόν τι συνεισενεγκεῖν ἢ συνεισφέρειν ἢ συνεισοίσειν, ἢ αὐτοὺς ἢ τοὺς ἐκείνων φίλους, ἢ αὐτοῖς ἢ τοῖς ἑαυτῶν ἐπιτηδείοις. ‖ τι ἐνῇ] τιν' ᾖ V^b. ‖ 26. συνίδωμεν V^b. ‖ 28. δὴ] δὲ B^c. ‖ 32. ἔνι codices. ‖ 37. τούτοις om V^b. ‖ αὐτὸν δὲ τρόπον V^b.

ἄνομα καὶ ἄδικα καὶ ἀσύμφορα καὶ αἰσχρὰ καὶ ἀηδῆ καὶ ἀδύνατα καὶ ἐργώδη καὶ οὐκ ἀναγκαῖα. ἡ δὲ τάξις ὁμοιοτρόπως ἔσται, οἵα καὶ τῷ προτρέποντι. τοῖς μὲν οὖν καθ' αὑτοὺς ἀποτρέπουσιν οὕτω τὰς τάξεις ποιητέον, τοὺς δὲ πρὸς τὰς ὑφ' ἑτέρων εἰρημένας προτροπὰς ἀντιλέγοντας πρῶτον μὲν ἐν τῷ προοιμίῳ δεῖ οἷς μέλλουσιν ἀντιλέγειν προθέσθαι, τὰ δ' ἄλλα καθ' αὑτὰ προοιμιάζεσθαι, μετὰ δὲ τὰ προοίμια μάλιστα μὲν ἕκαστα τῶν προειρημένων καθ' ἓν ἕκαστον προτιθέμενον ἐπιδεικνύειν ὡς οὐκ ἔστι δίκαια οὐδὲ νόμιμα οὐδὲ συμφέροντα οὐδὲ τούτοις ἀκόλουθα, ἐφ' ἃ παρακαλεῖ ὁ ἐναντίος. τοῦτο δὲ ποιήσεις ἀποφαίνων ἢ ἄδικα ὄντα ἃ λέγει ἢ ἀσύμφορα, ἢ τούτοις ὅμοια, ἢ ἐναντία τοῖς δικαίοις καὶ τοῖς συμφέρουσι καὶ τοῖς κεκριμένοις τοιούτοις. ὁμοιοτρόπως δὲ καὶ τῶν ἄλλων τὰ ὑπάρχοντα μέτιθι. κράτιστος μὲν οὖν ὁ τρόπος τῆς ἀποτροπῆς οὗτος ἐστίν, ἐὰν δὲ μὴ ἐνδέχηται τοῦτο ποιεῖν, ἐκ τοῦ παραλελειμμένου τρόπου ἀπότρεπε λέγων· οἷον ἐὰν ὁ ἐναντίος δίκαιον ἀποφήνῃ, σὺ ἐπιχείρει δεικνύναι ὡς ἐστὶν αἰσχρὸν ἢ ἀσύμφορον ἢ ἐργῶδες ἢ ἀδύνατον ἢ ὅ τι ἂν ἔχῃς τοιοῦτον· ἐὰν δὲ ἐκεῖνος ἔχῃ τὸ συμφέρον, σὺ ἐπιδείκνυε ὡς ἄδικον, κἄν τι ἄλλο ἔχῃς πρὸς τούτῳ. δεῖ δὲ καὶ τὰ μὲν αὑτοῦ αὔξειν τὰ δὲ τοὐναντίου ταπεινοῦν, ποιοῦντα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται. χρὴ δὲ καὶ γνώμας φέρειν καὶ ἐνθυμήματα καθάπερ ἐκεῖσε, καὶ τὰς προκαταλήψεις λύειν, καὶ ἐπὶ τελευτῇ παλιλλογεῖν. πρὸς δὲ τούτοις ἐν μὲν ταῖς προτροπαῖς ἀποφαίνειν φιλίαν ὑπάρχειν οἷς βοηθεῖν προτρέπομεν πρὸς τοὺς προτρεπομένους, καὶ ὀφείλοντας χάριν ἔχειν τοῖς δεομένοις· οἷς δ' οὐκ ἐῶμεν βοηθεῖν, ἢ ὀργῆς ἢ φθόνου ἢ ἔχθρας ἀξίους ὑπάρχοντας. ἔχθραν μὲν οὖν ἐμποιήσομεν ὑπ' ἐκείνων οὐ προσηκόντως τοὺς ἀποτρεπομένους ἀποφαίνοντες κακῶς πεπονθότας, ἢ τῶν φίλων, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν· ὀργὴν δέ, ἐὰν ἐπιδεικνύωμεν παρὰ τὸ προσῆκον ὠλιγωρημένους ἢ ἠδικημένους, ἢ τῶν φίλων ἐκείνων, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν αὐτοί. φθόνον δὲ παρασκευάσομεν συλλήβδην πρὸς τούτους οὓς ἀποφαίνομεν ἀναξίως εὖ πεπραχότας ἢ πράττοντας ἢ πράξοντας, ἢ ἀγαθοῦ μηδέποτε ἐστερημένους ἢ μὴ στερουμένους ἢ μὴ στερησομένους, ἢ κακοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας ἢ μηδὲ τευξομένους. φθόνον μὲν οὖν καὶ ἔχθραν καὶ ὀργὴν τοῦτον τὸν τρόπον ἐμποιήσομεν, φιλίαν δὲ καὶ χάριν καὶ ἔλεον ἐκ τῶν ἐν ταῖς προτροπαῖς. συνθήσομεν δὲ καὶ τάξομεν ἐξ ἁπάντων τῶν προειρημένων αὐτὰς τόνδε τὸν τρόπον. τὸ μὲν οὖν προτρεπτικὸν εἶδος αὐτό τε ἴσμεν, οἷόν ἐστι, καὶ ἐξ ὧν συνέστηκε καὶ ὡς αὐτῷ χρηστέον.

Τὸ δὲ ἐγκωμιαστικὸν καὶ τὸ κακολογικὸν πάλιν προθέμενοι σκοπῶμεν. φροιμιαστέον οὖν καὶ περὶ τούτων πρῶτον προθεμένους τὰς προθέσεις, καὶ τὰς διαβολὰς ἀπολύομεν ὁμοίως ὥσπερ ἐν τοῖς προτρεπτικοῖς. ἐπὶ δὲ τὸ προσέχειν παρακαλοῦμεν ἔκ τε τῶν ἄλλων τῶν ἐν ταῖς δημηγορίαις εἰρημένων, καὶ ἐκ τοῦ θαυμαστὰ καὶ περιφανῆ φάσκειν, καὶ αὐτὸν ἴσα καὶ τοὺς ἐγκωμιαζομένους καὶ τοὺς ψεγομένους ἀποφαίνειν πεπραγότας. ὡς γὰρ ἐπὶ τὸ πολὺ τῶν τοιούτων εἰδῶν οὐκ ἀγῶνος ἀλλ' ἐπιδείξεως ἕνεκα λέγομεν. τάξομεν δὲ πρῶτον τὰ προοίμια τὸν αὐτὸν τρόπον ὅνπερ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν. μετὰ δὲ τὸ προοίμιον δεῖ διελόμενον τὰ ἔξω τῆς ἀρετῆς ἀγαθὰ καὶ ἐν αὐτῇ τῇ ἀρετῇ ὄντα ποιεῖν οὕτω. τὰ μὲν οὖν ἔξω τῆς ἀρετῆς εἰς εὐγένειαν καὶ ῥώμην καὶ κάλλος καὶ πλοῦτον, τὴν δ' ἀρετὴν εἰς σοφίαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν καὶ ἐπιτηδεύματα ἔνδοξα. τούτων δὲ τὰ μὲν τῆς ἀρετῆς δικαίως ἐγκωμιάζεται, τὰ δ' ἔξω κλέπτεται· τοὺς γὰρ ἰσχυροὺς καὶ τοὺς καλοὺς καὶ τοὺς εὐγενεῖς καὶ τοὺς πλουσίους οὐκ ἐπαινεῖν ἀλλὰ μακαρίζειν προσήκει. ταῦτα δὴ διαλογισάμενοι μετὰ τὰ προοίμια πρώτην τὴν γενεαλογίαν τάξομεν· πρῶτον γὰρ τοῖς ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις τοῦθ' ὑπάρχει ἔνδοξον ἢ ἄδοξον. τοιγαροῦν τὸν μὲν ἄνθρωπον ἤ τι ἄλλο τοιοῦτο ζῷον εὐλόγως γενεαλογήσομεν· ὅταν δὲ πάθος ἢ πρᾶγμα ἢ λόγον ἢ κτῆμα, ἀπ' αὐτῶν εὐθὺς τῶν προσόντων ἐνδόξων ἐπαινέσομεν. γενεαλογεῖν δὲ δεῖ ὧδε. ἐὰν μὲν ὦσιν οἱ πρόγονοι σπουδαῖοι, πάντας ἐξ ἀρχῆς ἀναλαβόντες μέχρι πρὸς τὸν ἐγκωμιαζόμενον, ἐφ' ἑκάστῳ τῶν προγόνων κεφαλαιωδῶς ἔνδοξόν τι περιτιθέναι. ἐὰν δὲ οἱ πρῶτοι μὲν ὦσι σπουδαῖοι, τοὺς δὲ λοιποὺς συμβέβηκε μηδὲν ἀξιόλογον πρᾶξαι, τοὺς μὲν πρώτους τὸν αὐτὸν τρόπον διεξελθεῖν, τοὺς δὲ φαύλους παραλιπεῖν, προφασισάμενον ὅτι διὰ πλῆθος τῶν προγόνων οὐ θέλεις λέγων αὐτοὺς μακρολογεῖν, ἔτι δὲ οὐκ ἄδηλον εἶναι πᾶσιν ὅτι τοὺς ἐξ ἀγαθῶν γενομένους εἰκός ἐστι τοῖς προγόνοις ὁμοιοῦσθαι. ἐὰν δὲ οἱ παλαιοὶ πρόγονοι φαῦλοι τυγχάνωσιν ὄντες, οἱ δὲ πρὸς αὐτὸν ἔνδοξοι, τούτους δεῖ γενεαλογεῖν, καὶ λέγειν ὅτι περὶ μὲν ἐκείνων περίεργον ἂν εἴ

1. ἄνομοι B^c. ‖ 3. πρέποντι V^bB^c. ‖ 13. τοιούτοις] εὖ τούτοις V^b. ‖ 31. ὑπάρχουσιν γε B^c. ‖ 32. ἂν B^c. ‖ 37. μὴ prius om. V^b. ‖ κακῶν V^b.

5. καταλογικὸν V^b. ‖ 6. προθεμένους] θέμενοι V^b. ‖ 12. ὡς] ὥσπερ V^b. ‖ 14. πρῶτα B^c. ‖ 17. εὐσθένειαν V^b. ‖ 19. ἐπιτηδεύματα B^c. ‖ 24. πρῶτον V^b. ‖ 25. ὑπάρχειν B^c. ‖ 26. τοιοῦτον V^b. ‖ 34. διελθεῖν V^b. ‖ 36. αὐτὰ V^bB^c. ‖ 39. τούτους B^c.

μακρολογεῖν, τοὺς δὲ πλησίον γεγονότας τῶν ἐπαινουμένων, τούτους ὄντας ἀγαθοὺς ἐπιδείξειν. καὶ δῆλον ὡς οἵ γε τούτων πρόγονοι σπουδαῖοί τινες ἦσαν· οὐ γὰρ εἰκὸς φανῆναι τοὺς τοιούτους καλοὺς ἢ ἀγαθοὺς εἶναι ἐκ μοχθηρῶν προγεγονότας. ἐὰν δὲ μηδὲν ἀπὸ τῶν προγόνων ἔνδοξον ὑπάρχῃ, λέγε ὡς αὐτός ἐστι γενναῖος, συμβιβάζων ὡς εὖ γεγόνασι πάντες οἱ πρὸς τὴν ἀρετὴν εὖ πεφυκότες. ἐπιτιμᾶν δὲ καὶ τοῖς ἄλλοις, ὅσοι τοὺς προγόνους ἐπαινοῦσι, λέγων ὅτι πολλοὶ προγόνων ἐνδόξων τυχόντες ἀνάξιοι γεγόνασιν. λέγε δὲ καὶ ὅτι τοῦτον, οὐ τοὺς προγόνους πρόκειται νῦν ἐγκωμιάζειν. ὁμοιοτρόπως δὲ καὶ κακολογοῦντα ἐπὶ τῶν μοχθηρῶν προγόνων ποιητέον τὴν γενεαλογίαν. καὶ τοῦτον μὲν τὸν τρόπον ἐν τοῖς ἐπαίνοις καὶ ταῖς κακολογίαις τὰς γενεαλογίας τακτέον. εἴ τι δὲ ἔνδοξον αὐτῷ διὰ τὴν τύχην ὑπῆρξε, τοῦτο μόνον διαφυλάττοντα, ὅπως τὰ πρέποντα ταῖς ἡλικίαις ἐρεῖς καὶ μικρά· τοὺς γὰρ παῖδας οὐχ οὕτω δι' αὐτοὺς ὡς διὰ τοὺς ἐφεστῶτας οἴονται κοσμίους εἶναι καὶ σώφρονας, διὸ βραχυλογητέον περὶ αὐτῶν. ὅταν δὲ τοῦτον τὸν τρόπον διέλθῃς, ἐπὶ τελευτῇ τοῦ μέρους ἐνθύμημα καὶ γνώμην εἰπὼν ὅρισαι τοῦτο τὸ μέρος ἐπὶ τῇ τοῦ νεανίσκου ἡλικίᾳ, καὶ τὴν πρόθεσιν ποιήσας, καὶ προτιθέμενος ἢ τὰ ἔργα τοῦ ἐπαινουμένου ἢ τὸν τρόπον ἢ τὰ ἐπιτηδεύματα, αὔξειν καθάπερ εἴπομεν πρότερον ἐν ἀρχαῖς ἐπὶ τοῦ ἐγκωμιαστικοῦ εἴδους, διεξιὼν ὅτι ὑπὸ τούτου τοῦ ἐπαινουμένου ἐν ταύτῃ τῇ ἡλικίᾳ ὄντος τὸ καὶ τὸ γέγονεν ἔνδοξον, ἢ ὅτι διὰ τοῦτο, ἢ ὅτι διὰ τοῦ ἐπιτηδεύματος, ἢ ἐκ τούτου, ἢ ἕνεκα τούτου. δεῖ δὲ καὶ ἑτέρων νέων ἐνδόξους πράξεις παριστάναι, καὶ ὑπερβάλλειν δεικνύναι τὰς τοῦδε τὰς ἐκείνων, τοῦ μὲν ἑτέρου τὰ ἐλάχιστα τῶν ὑπαρχόντων λέγοντα, τοῦ δ' ὑπὸ σοῦ ἐπαινουμένου τὰ μέγιστα. χρὴ δὲ καὶ παρ' ἄλλοις μικρὰ ἔνδοξα πράγματα παριστάναι τοῖς ὑπὸ σοῦ λεγομένοις, καὶ οὕτω μεγάλα φαίνεσθαι. ἀεὶ δὲ καὶ εἰκάζοντα τὰς πράξεις αὔξειν ὧδε, καὶ ποῖ, καὶ ποῖός τις νέος οὕτω φιλόσοφος ἐγένετο, ὃς πρεσβύτερος γενόμενος μεγάλην ἂν ἐπίδοσιν ἔσχεν. καὶ οὕτως τις ἐρρωμένως τοὺς ἐν τοῖς γυμνασίοις ὑπομένων πόνους, σφόδρα τὴν ἐν τῇ φιλοσοφίᾳ φιλοπονίαν ἀγαπήσει. τοῦτον μὲν οὖν τὸν τρόπον εἰκάζοντες αὐξήσομεν. ὅταν δὲ καὶ τὰ περὶ τὴν ἡλικίαν τοῦ νεανίσκου διέλθωμεν καὶ ἐπὶ τελευτῇ τούτου τοῦ μέρους γνώμας καὶ ἐνθυμήματα τάξωμεν, ἢ παλιλλογήσαντες συντόμως τὰ προειρημένα ἢ τὸ πρακτικὸν μέρος τελευταῖον ὁρισάμενοι, πάλιν ἃ διεπράξατο ὁ ὑφ' ἡμῶν ἐγκωμιαζόμενος ἀνὴρ προθέμενοι, τὴν δικαιοσύνην τάξομεν πρῶτον, καὶ ὁμοιοτρόπως τοῖς προειρημένοις αὐξήσαντες ἥξομεν ἐπὶ τὴν σοφίαν, ἐὰν ὑπάρχῃ· καὶ ταύτην τὸν αὐτὸν τρόπον διελθόντες, προθέμενοι τὴν ἀνδρείαν, ἐὰν ᾖ, καὶ τὴν αὔξησιν ταύτης πάλιν διαδραμόντες, ὅταν ἐπὶ τελευτῇ τοῦ μέρους τούτου γενώμεθα καὶ πάντα τὰ εἴδη διεξεληλυθότες ὦμεν, παλιλλογήσαντες ἐν κεφαλαίῳ τὰ προειρημένα, τελευτὴν ἤτοι γνώμην ἢ ἐνθύμημα παντὶ τῷ λόγῳ ἐπιθήσομεν. ἁρμόσει δ' ἐν τοῖς ἐπαίνοις καὶ πολλοῖς ὀνόμασι περὶ ἕκαστον χρησάμενον μεγαλοπρεπῆ τὴν λέξιν ποιῆσαι. τὸν δ' αὐτὸν τρόπον ἐπὶ τῶν μοχθηρῶν πραγμάτων κακολογοῦντες τὰς κατηγορίας συστήσομεν. δεῖ δὲ μὴ σκώπτειν ὃν ἂν κακολογῶμεν, ἀλλὰ διεξιέναι τὸν βίον αὐτοῦ· μᾶλλον γὰρ οἱ λόγοι τῶν σκωμμάτων καὶ τοὺς ἀκούοντας πείθουσι καὶ τοὺς κακολογουμένους λυποῦσιν. τὰ μὲν γὰρ σκώμματα στοχάζεται τῆς ἰδέας ἢ τῆς οὐσίας, οἱ δὲ λόγοι τῶν ἠθῶν καὶ τῶν τρόπων εἰσὶν οἷον εἰκόνες. φυλάττου δὲ καὶ τὰς αἰσχρὰς πράξεις μὴ αἰσχροῖς ὀνόμασι λέγειν, ἵνα μὴ διαβάλῃς τὸ ἦθος, ἀλλὰ τὰ τοιαῦτα αἰνιγματωδῶς ἑρμηνεύειν, καὶ ἑτέρων πραγμάτων ὀνόμασι χρωμένους δηλοῦν τὸ πρᾶγμα. χρὴ δὲ καὶ ἐν ταῖς κακολογίαις εἰρωνεύεσθαι καὶ καταγελᾶν τοῦ ἐναντίου, ἐφ' οἷς σεμνύνεται, καὶ ἰδίᾳ μὲν καὶ ὀλίγων παρόντων ἀτιμάζειν αὐτόν, ἐν δὲ τοῖς ὄχλοις κοινὰς μάλιστα κατηγορίας λοιδορεῖν· αὔξειν δὲ καὶ ταπεινοῦν τὸν αὐτὸν τρόπον τὰς κακολογίας ὅνπερ καὶ τὰ ἐγκώμια. περὶ μὲν οὖν τούτων τῶν εἰδῶν ἐντεῦθεν εἰδήσομεν τὴν χρῆσιν.

Λοιπὸν δ' ἐστὶν ἡμῖν εἶδος τό τε κατηγορικὸν καὶ τὸ 37
ἐξεταστικόν. ταῦτα πάλιν ὡς ἐν τῷ δικανικῷ γένει συνθήσομεν καὶ τάξομεν καὶ διέλθωμεν. πρῶτον μὲν οὖν ἐν τοῖς προοιμίοις προθήσομεν τὸ πρᾶγμα περὶ οὗ κατηγορήσομεν ἢ ἀπολογησόμεθα, ὥσπερ ἐπὶ τῶν ἄλλων εἰδῶν. προσέχειν δὲ παρακαλέσομεν ἐκ τῶν αὐτῶν ὧν ἐν τῷ προτρεπτικῷ καὶ ἐν τῷ ἀπολογητικῷ. ἔτι δὲ καὶ περὶ τῆς εὐμενείας, τῷ μὲν εὖ διακειμένῳ ἐκ τοῦ παροιχομένου χρόνου ἢ τοῦ παρόντος, καὶ μηδὲ διαβεβλημένῳ ὡς πρὸς αὐτὸν ἢ πρὸς τὸ πρᾶγμα ἢ πρὸς τὸν λόγον τοὺς ἀκούοντας δυσχεραίνειν,

6. ὡς εὖ] ὧν εὖ V^b. ‖ 11. ὁμοτρόπως V^b. ‖ 15. ὅπως] πῶς V^b, ἔπειτα B^c. ‖ 21. τὰ om V^b. ‖ 25. τοῦτοι V^b. ‖ 28. δεικνύναι τὰς τοῦδε] ταύτας V^b. ‖ τὰς] τῶν B^c, om V^b. ‖ 31. παριστάμενα ὑπὸ σοῦ λεγόμενα οὕτω V^b. ‖ 33. πῆ V^b. ‖ 35. οὕτως] τοιοῦτός V^b. ‖ ὑπομένει V^b.

1. τάξομεν V^b. ‖ 2. τὸ — τελευταῖον] περὶ τὸ τελευταῖον μέρος V^b. ‖ 3. προθέμενος B^c. ‖ 4. τάξομεν om V^b. ‖ 8. τούτου om V^b. ‖ 9. διεληλυθότες B^c. ‖ 15. στήσομεν $V^b B^c$. ‖ 21. διαβάλλῃς B^c. ‖ 23. καὶ om B^c. ‖ 33. τὸ πρᾶγμα om B^c. ‖ 34. ἐπὶ om V^b. ‖ 38. μήτε V^b. ‖ ὡς] τῷ V^b.

τὸν αὐτὸν τρόπον ὡς περὶ ἐκείνων εἴρηται τὴν εὐμένειαν ποριστέον· τῷ δὲ μήτε εὖ μήτε κακῶς διακειμένῳ τὴν εὐμένειαν παρασκευαςέον ἢ ἐκ τοῦ παροιχομένυ χρόνυ ἢ ἐκ τῦ παρόντος, ἢ δι' ἑαυτὸν ἢ τὸ πρᾶγμα ἢ τὸν λόγον· τῷ δὲ διαβεβλημένῳ ἔνια μὲν μεμιγμένως ἔνια δ' ἰδίως πρὸς εὐμένειαν ποριςέον. ὗτος μὲν ὖν ὁ τρόπος ἔςαι δι' ὗ τὴν εὐμένειαν παρασκευαςέον. τὺς μὲν γὰρ μήτε εὖ μήτε κακῶς διακειμένους αὐτοὺς μὲν συντόμως ἐπαινετέον, καὶ τοὺς ἐναντίυς κακολογητέον, δεῖ δὲ αὐτὺς ἐκ τύτων ἐπαινεῖν ὧν μάλιςα μέτεςι τοῖς ἀκύυσιν, λέγω δὲ φιλόπολιν φιλέταιρον ἐλεήμονα καὶ τὰ τοιαῦτα· τὸν δ' ἐναντίον κακολογεῖν ἐκ τύτων ἐφ' οἷς οἱ ἀκύοντες ὀργίυνται, ταῦτα δ' ἐστὶ μισόπολιν μισόφιλον ἀχάριςον ἀνελεήμονα καὶ τὰ τοιαῦτα. χρὴ δὲ καὶ τὺς δικαςὰς ἐπαίνῳ θεραπεῦσαι, ὡς δικαςαὶ δίκαιοι καὶ δεινοί εἰσιν. συμπαραληπτέον δὲ καὶ τὰς ἐλαττώσεις, εἴ που τῶν ἀντιδίκων καταδεεςέρως ἔχει πρὸς τὸ λέγειν ἢ πράττειν ἢ ἄλλο τι τῶν περὶ τὸν ἀγῶνα. πρὸς δὲ τούτοις ἐμβλητέον τό τε δίκαιον καὶ τὸ νόμιμον καὶ τὸ συμφέρον καὶ τὰ τούτοις ἀκόλουθα. τῷ μὲν οὖν μήτε εὖ μήτε κακῶς διακειμένῳ ἐκ τύτων ἐν τοῖς δικαςαῖς τὴν εὔνοιαν ποριςέον· τῷ δὲ διαβεβλημένῳ, ἐὰν μὲν ἐκ τῦ παροιχομένυ χρόνυ αἱ διαβολαὶ ὦσι περὶ τὸν λόγον, ἴσμεν ὡς δεῖ τὰ τοιαῦτα λύειν ἐκ τῶν προτέρων· ἐὰν δὲ ἐκ τῦ παρόντος χρόνυ, περὶ αὐτὸν τὸν ἄνθρωπον ἀναγκαῖον διαβεβλῆσθαι, ἐὰν ἀπρεπὴς ᾖ τῷ παρόντι ἀγῶνι ἢ ὑπεναντίος τοῖς ἐγκλήμασιν ἢ ὁμολογούμενος τῇ κατηγορίᾳ. ἀπρεπὴς μὲν οὖν γένοιτ' ἄν, ἐὰν ἀγωνίζηται νεώτερος ἢ πρεσβύτερος ὑπὲρ ἄλλου, ὑπεναντίος δέ, ἐάν τις ἰσχυρὸς ὢν ἀσθενεῖ δικάζηται αἰκίας, ἢ ἐάν τις ὑβριςὴς ὢν ὕβριν ἐγκαλῇ σώφρονι, ἢ ἐάν τις πάνυ πλυσίῳ δικάζηται πάνυ πένης χρημάτων ἐγκαλῶν. οἱ μὲν οὖν τοιοῦτοι ὑπεναντίοι εἰσὶ τοῖς ἐγκλήμασιν· ὁμολογούμενος δ' ἔσται, ἐάν τις ἰσχυρὸς ὢν ὑπὸ ἀσθενῦς αἰκίας διώκηται, ἢ ἐάν τις κλέπτης δοκῶν εἶναι κλοπῆς δίκην φεύγῃ. ὅλως δὲ οἱ τὰς περὶ αὐτῶν δόξας ὁμοιοτρόπυς αὐτοῖς ἔχοντες ὁμολογύμενοι τοῖς ἐγκλήμασι δόξυσιν εἶναι. περὶ μὲν ὖν αὐτὸν τὸν ἄνθρωπον ἐκ τοῦ παρόντος χρόνου τοιαῦται γενήσονται διαβολαί, αἱ δὲ περὶ τὸ πρᾶγμα συμβαίνουσαι, ἐάν τις πραγματεύηται πρὸς οἰκείυς φίλυς ἢ ξένυς ἢ ἰδίυς, ἢ περὶ μικρῶν ἢ αἰσχρῶν· ταῦτα γὰρ ἀδοξίαν τοῖς δικαζομένοις ποιεῖ. πῶς ὖν τὰς διαβολὰς τὰς προειρημένας ἀπολύωμεν, τῦτο δηλώσω. δύο μὲν δὴ ςοιχεῖα λέγω κοινὰ κατὰ πάντων, τὸ μέν, οἷς ἂν νομίζῃς τοὺς κριτὰς ἐπιπλήξειν, προκαταλάμβανε αὐτὺς καὶ ἐπίπληττε· τὸ δὲ ἕτερον, ἐὰν τὰς πράξεις, μάλιςα μὲν εἰς τὺς ἀντιδίκυς ἀποςρέψῃς, εἰ δὲ μή, εἰς ἄλλυς τινάς, προφάσει χρώμενος ὅτι ὐχ ἑκὼν ἀλλ' ὑπὸ τῶν ἀνταγωνιςῶν ἀναγκαζόμενος εἰς τὸν ἀγῶνα κατέςης. καθ' ἑκάςην δὲ τὴν διαβολὴν τάδε χρὴ προφασίζεσθαι, τὸν μὲν νεώτερον πρεσβυτέρων φίλων ἀπειρίαν τῶν ἀγωνιουμένων ὑπὲρ αὐτοῦ, ἢ μέγεθος ἀδικημάτων, ἢ προθεσμίαν χρόνυ, ἢ πλῆθος, ἢ ἄλλο τι τοιοῦτον. ἐὰν δὲ ὑπὲρ ἄλλυ λέγῃς, ῥητέον ὡς διὰ φιλίαν συνηγορεῖς, ἢ δι' ἔχθραν τοῦ ἀντιδίκυ, ἢ διὰ τὸ τοῖς πράγμασι παραγενέσθαι, ἢ διὰ τὸ κοινῇ συμφέρον, ἢ διὰ τὸ ἔρημον εἶναι καὶ ἀδικεῖσθαι ᾧ συνηγορεῖς. ἐὰν δὲ ὁμολογύμενος τῷ ἐγκλήματι ἢ ὑπεναντίος τῇ κατηγορίᾳ γένηται, τῇ τε προκαταλήψει χρῆσθαι, καὶ λέγειν ὡς ὐ δίκαιον καὶ νόμιμον ὐδὲ συμφέρον ἐκ τῆς ὑπολήψεως ἢ τῆς ὑποψίας κατακρίνειν πρὶν τῦ πράγματος ἀκῦσαι. τὰς μὲν ὖν περὶ τὸν ἄνθρωπον αὐτὸν διαβολὰς ὕτω λύσομεν, τὰς δὲ περὶ τὸ πρᾶγμα ὕτως ἀπωσόμεθα, τὴν αἰτίαν εἰς τὸν ἐναντίον τρέποντες, ἢ λοιδορίαν ἐγκαλῦντες αὐτοῖς ἢ ἀδικίαν ἢ πλεονεξίαν ἢ φιλονεικίαν, καὶ ὀργὴν προφασιζόμενοι, ὅτι τῦ δικαίου δι' ἄλλυ τρόπυ τυχεῖν ἀδύνατον. τὰς μὲν ὖν ἰδίας διαβολὰς ἐπὶ τῶν δικαστηρίων ὕτω λύσομεν, τὰς δὲ κοινὰς πᾶσι τοῖς εἴδεσιν, ὡς ἐπὶ τῶν προτέρων εἰδῶν εἴρηται. τάξομεν δὲ τὰ δικανικὰ προοίμια τὸν αὐτὸν τρόπον ὥσπερ καὶ τὰ δημηγορικά. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὰς ἀπαγγελίας συνάψομεν τῷ προοιμίῳ, καὶ ἢ περὶ τὰ μὴ πιςὰς καὶ δικαίας ἀποφανῦμεν, ἢ αὐτὰς ὑφ' ἑαυτῶν συνματοειδεῖς ποιησόμεθα. τὰ δὲ μετὰ ταῦτα ἔςαι βεβαιώσεις, ἂν μὲν ἀντιλέγηται τὰ πράγματα ὑπὸ τῶν ἀντιδίκων, ἐκ τῶν πίςεων, ἂν δὲ ὁμολογῆται, ἐκ τῶν δικαίων καὶ τῶν συμφερόντων καὶ ἐκ τῶν τύτοις ἀκολύθων. τάττειν δὲ δεῖ τῶν μὲν πίςεων πρώτας τὰς μαρτυρίας καὶ τὰ ἐκ τῶν βασάνων ἡμῖν ὁμολογηθέντα, ἂν ὑπάρχῃ. ἔπειτα βεβαιοῦν, ἂν μὲν πιθανὰ ᾖ, γνώμαις καὶ ἐνθυμήμασι, ἐὰν δὲ μὴ παντελῶς πιθανὰ ᾖ, τῷ εἰκότι, ἔπειτα τοῖς τε

2. τὴν εὐμένειαν παρασκευαςέον om V^b. ‖ 5. τῷ δὲ om V^b. ‖ 6. πρὸς εὐμένειαν ποριςέον om V^b. ‖ 11. καὶ om B^c. ‖ 16. καταδεεςέρους $V^b B^c$. ‖ 34. δοκῶν εἶναι] ὢν $V^b B^c$.

6. ἀποτρέψεις B^c. ‖ 12. τι τῶν τοιούτων V^b. ‖ 15. κοινῶ B^c. ‖ 19. προκατακρίνειν V^b. ‖ 20. ταῖς V^b. ‖ ὖν om B^c. ‖ 21. διαβολαῖς ὕτω χρησόμεθα V^b. ‖ τὰς] τὰ B^c. ‖ 22. τὸν] τὸ B^c. ‖ 29. δὲ om $V^b B^c$. ‖ 30. ἐπαγγελίας V^b. ‖ 33. ἀντιλέγωνται B^c. ‖ 34. ὁμολόγηται $V^b B^c$. ‖ 36. τῶν om V^b. ‖ 38. ἀπίθανα V^b. ‖ 39. πιθανὰ παντελῶς V^b.

ραδείγμασι καὶ τοῖς τεκμηρίοις καὶ τοῖς σημείοις καὶ τοῖς ἐλέγχοις, τελευταῖον δὲ τοῖς ἐνθυμήμασι καὶ ταῖς γνωμολογίαις. ἐὰν δὲ ὁμολογῆται τὰ πράγματα, τὰς μὲν πίστεις ἐατέον, τῇ δὲ δικαιολογίᾳ ὥσπερ ἐν τοῖς ἔμπροσθεν χρηστέον. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν, μετὰ δὲ τὴν βεβαίωσιν τὰ πρὸς τοὺς ἀντιδίκους τάττοντες προκαταληψόμεθα αὐτῶν τὰ ἐπίδοξα λέγεσθαι. ἐὰν μὲν οὖν ἐξαρνῶνται τὸ πρᾶγμα, τὰς μὲν ὑφ' ἡμῶν πίστεις εἰρημένας αὐξητέον, τὰς δ' ὑπ' ἐκείνων μελλούσας λέγεσθαι διασυρτέον καὶ ταπεινωτέον. ἐὰν δὲ ὁμολογοῦντες ὦσιν, ἔννομα καὶ δίκαια ἀποφαίνειν κατὰ τοὺς γεγραμμένους νόμους· οὓς μὲν ἡμεῖς παρεσχόμεθα, καὶ τοὺς ὁμοίους τούτοις, δικαίους καὶ καλοὺς καὶ συμφέροντας τῷ κοινῷ τῆς πόλεως [καὶ] κεκριμένους ὑπὸ τῶν πολλῶν τοιούτους εἶναι πειρατέον ἐπιδεικνύειν, τοὺς δὲ τῶν ἀντιδίκων τὰ ἐναντία. ἐὰν δὲ μὴ ἐνδέχηται ταῦτα λέγειν, ὑπομίμνησκε τοὺς δικαστὰς ὅτι οὐχ ὑπὲρ τοῦ νόμου ἀλλὰ τοῦ πράγματος δικάζουσιν, ὀμόσαντες κατὰ τοὺς νόμους τοὺς κειμένους τὴν ψῆφον οἴσειν, καὶ δίδασκε ὅτι οὐ νομοθετεῖν νῦν προσήκει, ἀλλ' ἐν ταῖς περὶ τούτων κυρίαις ἡμέραις. ἂν δ' ἡμῖν συμβαίνῃ τὸ παρὰ μοχθηροὺς δοκοῦντας εἶναι νόμους τὸ πρᾶγμα πεπρᾶχθαι, ῥητέον ὡς οὐ νόμος ἀλλ' ἀνομία τὸ τοιοῦτόν ἐστιν· ὁ μὲν γὰρ νόμος ἐπὶ τῷ ὠφελεῖν τίθεται, οὗτος δὲ βλάπτει τὴν πόλιν. ῥητέον δὲ καὶ ὡς οὐ παρανομήσουσιν, ἂν τούτῳ τῷ νόμῳ ἐναντίαν ψῆφον θῶνται, ἀλλὰ νομοθετήσουσιν, ὥστε μὴ χρῆσθαι δόγμασι πονηροῖς καὶ παρανόμοις. δεῖ δὲ καὶ τοῦτο συμβιβάζειν, ὡς οὐδεὶς νόμος κωλύει τὸ κοινὸν εὖ ποιεῖν, τοὺς δὲ φαύλους νόμους ἀκύρους ποιεῖν εὐεργετεῖν τὴν πόλιν ἐστίν. περὶ μὲν οὖν τῶν σαφῶς εἰρημένων νόμων, ὁποίους ἂν αὐτῶν ἔχωμεν, ἐκ τῶν τοιούτων προκαταλαμβάνοντες ἀντιλέγειν εὐπορήσομεν. περὶ δὲ τῶν ἀμφιβόλων ἐὰν οὕτως ὑπολαμβάνωσιν ὡς σοὶ συμφέρει, δεῖ ταῦτα ὑποδεικνύειν· ἂν δ' ὡς ὁ ἐναντίος λέγει, χρὴ διδάσκειν ὡς ὁ νομοθέτης οὐ τοῦτο διενοεῖτο ὃ σὺ λέγεις, καὶ ὅτι συμφέρει αὐτοῖς οὕτω λέγειν τὸν νόμον. ἐὰν δὲ μὴ δυνατὸς ᾖς ἐπὶ τὸ ἐναντίον μεθιστάναι, δείκνυε ὡς οὐδὲν ἄλλο λέγειν ὁ ἐναντίος δύναται νόμος ἢ ὃ σύ. καὶ περὶ μὲν νόμων, ὡς δεῖ χρῆσθαι, τοῦτον τὸν τρόπον μετιὼν εὐπορήσεις. καθόλου δέ, ἂν ὁμολογήσαντες ἐκ τῶν δικαίων καὶ τῶν νομίμων τὴν ἀπολογίαν ποιεῖσθαι μέλλωσιν, ἐκ τούτων τὰ ἐπίδοξα ῥηθήσεσθαι προκαταληπτέον. ἐὰν δὲ ὁμολογήσαντες συγγνώμης ἀξιῶσι τυχεῖν, ὧδε χρὴ περιαιρεῖσθαι τὰ τοιαῦτα τῶν ἀντιδίκων. πρῶτον μὲν λεκτέον ὡς κακοηθέστερον ἦν, καὶ ὡς τὰ τοιαῦτα ἐξαμαρτάνειν φασὶν ὅταν γνωσθῶσιν, ὥστε εἰ τούτῳ συγγνώμην ἔχετε, καὶ τοὺς ἄλλους πάντας τῶν τιμωριῶν ἀφήσετε. ἔτι δὲ λέγε ὡς "εἰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἀποψηφιεῖσθε, πῶς τῶν μὴ ὁμολογούντων καταψηφιεῖσθε;" λεκτέον δὲ ὅτι "εἰ καὶ ἐξήμαρτεν, οὐκ ἐμὲ δεῖ διὰ τὴν τούτου ἁμαρτίαν ζημιοῦσθαι." πρὸς δὲ τούτοις ῥητέον ὡς οὐδὲ ὁ νομοθέτης τοῖς ἁμαρτάνουσι συγγνώμην ἔχει· οὐκοῦν δίκαιον οὐδὲ τοὺς δικαστὰς κατὰ τοὺς νόμους κρίνοντας. ἐκ μὲν οὖν τῶν τοιούτων τὰς συγγνώμας περιαιρησόμεθα, καθάπερ καὶ ἐν ἀρχαῖς δεδηλώκαμεν, συλλήβδην δὲ τὰ ὑπὸ τῶν ἀντιδίκων μέλλοντα λέγεσθαι καὶ πρὸς πίστιν καὶ δικαιολογίαν καὶ συγγνώμην ἐκ τῶν προειρημένων προκαταληψόμεθα. μετὰ δὲ ταύτην τὴν αἰτίαν ἀναλογητέον ἐν κεφαλαίῳ τὸν λόγον ὅλον, καὶ συντόμως, ἐὰν ἐνδέχηται, πρὸς μὲν τοὺς ἐναντίους ἔχθραν ἢ ὀργὴν ἢ φθόνον τοῖς δικασταῖς ἐμποιητέον, πρὸς δ' ἡμᾶς φιλίαν ἢ χάριν ἢ ἔλεον. ὅθεν δὲ ταῦτα γίνεται, ἐν τῷ δημηγορικῷ καὶ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν εἰρήκαμεν, καὶ ἐν τῷ ἀπολογητικῷ εἴδει πάλιν ἐπὶ τελευτῆς διέξιμεν. τὸν μὲν οὖν πρῶτον λόγον, ἐὰν κατηγορῶμεν ἐν τοῖς δικανικοῖς, οὕτω συνθήσομεν καὶ τάξομεν· ἐὰν δὲ ἀπολογώμεθα, τὸ μὲν προοίμιον ὁμοιοτρόπως τῷ κατηγοροῦντι συστήσομεν, τῶν δὲ κατηγορουμένων ἃ μὲν εἰδέναι τοὺς ἀκούοντας ἐποίησε, παραλείψομεν, ἃ δὲ δοξάζειν, ταῦτα προθέμενοι μετὰ τὸ προοίμιον διαλύσομεν, τούς τε μάρτυρας καὶ τὰς βασάνους καὶ τοὺς ὅρκους ἀπίστους ποιήσομεν, ὡς προακήκοας, εἰ μὲν τὰ πράγματα πιστὰ ᾖ, τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἐπὶ τὸν ἐκ τοῦ παραλειπομένου τόπον μεταβιβάζοντες, εἰ δ' εἶεν οἱ μάρτυρες οἱ βασανισθέντες πιστοί, ἐπὶ τὸν λόγον ἢ τὴν πρᾶξιν, ἢ ὅ τι ἂν ἄλλο ἔχῃς ἐπὶ τῶν ἐναντίων πιστότατον. ἂν δὲ τὸ λυσιτελὲς ἢ τὸ ἔθος ἐπιφέρων σου κατηγορήσῃ, ἀπολογοῦ μάλιστα μὲν ὡς λυσιτελές ἐστι τὸ κατηγορούμενον, εἰ δὲ μή, ὅτι οὐκ εἴθισαι τὰ τοιαῦτα πράττειν οὔτε σὺ οὔτε οἱ σοὶ ὅμοιοι, ἢ ὅτι οὐ τοῦτον τὸν τρόπον. τὸ μὲν οὖν εἰκὸς οὕτω λύσεις· τὸ δὲ παράδειγμα πρῶτον μέν, ἂν δύνῃ, δείκνυε ὡς οὐχ ὅμοιόν ἐστι τῷ ἐγκαλουμένῳ, εἰ δὲ μή, ἕτερον φέρε αὐτὸς παράδειγμα ἐκ τῶν ἐναντίων παρὰ τὸ εἰκὸς γενόμενον. τὸ δὲ τεκμήριον λύε, φράζων παρ' ἃς αἰτίας ἐναντιωθῆναι συνέβη. τὰς δὲ γνώμας καὶ τὰ ἐνθυ-

3. ὡμολόγηται $F^b B^c$. ‖ 6. τὰ om F^b. ‖ 11. καὶ om F^b. ‖ 12. μὲν om F^b. ‖ 13. [καὶ] om codices. ‖ 14. τῶν om F^b. ‖ δεικνύειν B^c. ‖ 19. νῦν om F^b. ‖ 20. μοχθηροῖς δοκοῦσιν εἶναι νόμοις F^b et pr B^c.

2. ἐκλεκτέον F^b. ‖ 4. μωριῶν B^c. ‖ 15. ταῦτα F^b. ‖ 19. καὶ ἀποτροπῶν om $F^b B^c$. ‖ 21. πρῶτον] πρῶτον τὸν F^b. ‖ 34. an ἀλυσιτελές?

μήματα ἢ παράδοξα ἀπόφαινε ἢ ἀμφίβολα. τὰ δὲ σημεῖα πλειόνων ὄντων ἀπόφαινε σημεῖα, καὶ μὴ μόνου τοῦ σοὶ ἐγκαλουμένου. καὶ τὰ μὲν τῶν ἐναντίων ἐπὶ τὸ ἐναντίον ἄγοντες ἢ ἐπὶ τὸ ἀμφίβολον ἀπίθανα τοῦτον τὸν τρόπον καταστήσομεν· ἂν δὲ ὁμολογῶμεν τὰ ἐγκαλούμενα πεποιηκέναι, ἐκ τῶν δικαίων καὶ νομίμων μετιόντες ἐννομώτερα καὶ δικαιότερα τὰ ἡμέτερα ἀποδεικνύναι πειρασόμεθα. ἐὰν δὲ μὴ τοῦτο ἐνδέχηται, εἰς ἁμάρτημα ἢ ἀτύχημα καταφεύγοντας, καὶ μικρὰς τὰς βλάβας ἀποφαίνοντας συγγνώμης τυγχάνειν πειρατέον, τὸ μὲν ἁμαρτάνειν κοινὸν πάντων ἀνθρώπων ἐπιδεικνύοντας, τὸ δ' ἀδικεῖν ἴδιον τῶν πονηρῶν. λέγε δὲ ὅτι καὶ ἐπιεικὲς καὶ δίκαιον καὶ συμφέρον ἐστὶ συγγνώμην ἔχειν ταῖς ἁμαρτίαις· οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων εἴ τι τοιοῦτον αὐτῷ συνεμπέσοι. ἀπόφαινε καὶ τὸν ἐναντίον, εἴ τι ἐξήμαρτεν, συγγνώμης τυχεῖν ἀξιώσαντα. μετὰ ταῦτα αἱ προκαταλήψεις αἱ ὑπὸ τῶν ἐναντίων εἰρημέναι. τὰς μὲν οὖν ἄλλας ἐξ αὐτῶν τῶν πραγμάτων εὐπορήσομεν λύειν· ἐὰν δὲ διαβάλλωσιν ἡμᾶς ὡς γεγραμμένους λόγους λέγομεν ἢ λέγειν μελετῶμεν ἢ ὡς ἐπὶ μισθῷ τινὶ συνηγοροῦμεν, χρὴ πρὸς τὰ τοιαῦτα ὁμόσε βαδίζοντας εἰρωνεύεσθαι, καὶ περὶ μὲν τῆς γραφῆς λέγειν μὴ κωλύειν τὸν νόμον ἢ αὐτὸν γεγραμμένα λέγειν ἢ ἐκεῖνον ἄγραφα· τὸν γὰρ νόμον οὐκ ἐᾶν τοιαῦτα πράττειν, λέγειν δὲ ὅπως ἄν τις βούληται συγχωρεῖν. ῥητέον δὲ καὶ ὅτι "οὕτως ὁ ἐναντίος οἴεται μεγάλα ἠδικηκέναι, ὥστ' οὐ νομίζει με κατ' ἀξίαν κατηγορῆσαι, εἰ μὴ γράφοιμι καὶ πολὺν χρόνον σκεψαίμην." περὶ μὲν οὖν τὰς τῶν γεγραμμένων λόγων διαβολὰς οὕτως ἀπαντητέον· ἂν δὲ φάσκωσιν ἡμᾶς λέγειν μανθάνειν καὶ μελετᾶν, ὁμολογήσαντες ἐροῦμεν "ἡμεῖς μὲν οἱ μανθάνοντες, ὡς φής, οὐ φιλόδικοί ἐσμεν, σὺ δὲ ὁ λέγειν μὴ ἐπιστάμενος καὶ νῦν ἡμᾶς καὶ πρότερον ἑάλως συκοφαντῶν," ὥστε λυσιτελὲς φανεῖται τοῖς πολίταις κἀκεῖνον μανθάνειν ῥητορεύειν· οὐ γὰρ οὕτω πονηρὸν οὐδὲ συκοφάντην αὐτὸν εἶναι. τὸν αὐτὸν δὲ τρόπον κἂν ἡμᾶς ἐπὶ μισθῷ συνηγορεῖν λέγῃ τις, ὁμολογήσαντες εἰρωνευσόμεθα, καὶ τὸν αἰτιώμενον ἡμᾶς ἐπιδείξομεν τοῦτο ποιοῦντα, καὶ τοὺς ἄλλους ἅπαντας. τῶν δὲ μισθῶν διαιρεῖν τὰ εἴδη, καὶ λέγειν ὡς οἱ μὲν ἐπὶ χρήμασιν οἱ δ' ἐπὶ χάρισιν οἱ δ' ἐπὶ τιμωρίαις οἱ δ' ἐπὶ τιμαῖς συνηγοροῦσιν. αὐτὸν μὲν οὖν ἀπόφαινε διὰ χάριν συνηγοροῦντα, τὸν δ' ἐναντίον λέγε οὐδ' ἐπὶ μικρῷ μισθῷ συνηγορεῖν· ὅπως γὰρ λάβῃ ἀργύριον ἀδίκως, οὐχ ὅπως μὴ ἐκτίσῃ, δικάζεσθαι. τῷ αὐτῷ δὲ τρόπῳ καὶ ἐάν τις ἡμᾶς δικάζεσθαί του λέγῃ διδάσκειν, ἢ λόγους δικανικοὺς συγγράφειν· ἀπόφαινε γὰρ καὶ τοὺς ἄλλους ἅπαντας, καθ' ὅσον δύνανται, τοὺς φίλους ὠφελεῖν καὶ διδάσκοντας καὶ συμβουλεύοντας. καὶ οὕτως ἐντέχνως περὶ τῶν τοιούτων ἀπαντήσεις. χρὴ δὲ καὶ περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις, ὁπόσαι πίπτουσιν εἰς τὰ τοιαῦτα εἴδη, μὴ ῥαθύμως ἔχειν, ἀλλὰ διακρίνειν τὰς ὁμολογίας καὶ τὰς ἀρνήσεις ἐν ταῖς ἀποκρίσεσιν. ὁμολογίαι μὲν οὖν εἰσιν αἱ τοιαίδε· "ἀπέκτεινάς μου τὸν υἱόν; ἀπέκτεινα πρότερον ἐπ' ἐμὲ σίδηρον αἰρόμενον." "ἐπάταξάς μου τὸν υἱόν; ἔγωγε ἀδίκων χειρῶν ἄρχοντα." "κατέαξάς μου τὴν κεφαλήν; ἐγὼ βιαζομένου σου νύκτωρ εἰς τὴν ἐμὴν οἰκίαν εἰσιέναι." αἱ μὲν οὖν τοιαῦται ὁμολογίαι τῷ νομίμῳ πιστεύουσαι ὁμολογοῦνται, αἱ δὲ τοιαίδ' ἀρνήσεις παρεκλύουσι τὸν νόμον· "ἀπέκτεινάς μου τὸν υἱόν; οὐκ ἔγωγε ἀλλ' ὁ νόμος." τὰ δὲ τοιαῦτα πάντα οὕτω δεῖ ὑποκρίνεσθαι, ὅταν τῶν νόμων ὁ μὲν κελεύῃ τοῦτο ποιεῖν ὁ δὲ κωλύῃ. τὰ μὲν οὖν πρὸς τοὺς ἀντιδίκους ἐκ τούτων ἁπάντων συνάξεις, μετὰ δὲ ταῦτα παλιλλογία τῶν εἰρημένων ἤδη σύντομος ὑπόμνησις. χρήσιμος δ' ἐστὶ παρὰ πάντας τοὺς καιρούς, ὥστε καὶ παρὰ μέρος καὶ παρὰ εἶδος τῇ παλιλλογίᾳ χρηστέον. μάλιστα δ' ἁρμόττει πρὸς τὰς κατηγορίας καὶ τὰς ἀπολογίας, ἔτι δὲ παρὰ τὰς προτροπὰς καὶ ἀποτροπάς. οὐ γὰρ μόνον ἀναμνῆσαι δεῖν φαμὲν περὶ τῶν εἰρημένων ἐνταῦθα, καθάπερ καὶ ἐπὶ τῶν ἐγκωμίων καὶ τῶν κακολογιῶν, ἀλλὰ καὶ πρὸς ἡμᾶς τοὺς κριτὰς εὖ διαθεῖναι καὶ πρὸς τοὺς ἐναντίους κακῶς· διὸ καὶ τελευταῖον τοῦτο τῶν ἐν τῷ λόγῳ μερῶν τάττομεν. ἔστι δὲ μνημονικὸν τοῦτο ἐν κεφαλαίῳ ἀπολογιζόμενον περὶ τῶν εἰρημένων, ἢ διαλογιζόμενον, ἢ προσερωτῶντα τῶν μὲν σαυτοῦ τὰ βέλτιστα τῶν δ' ἐναντίων τὰ φαυλότατα, εἰ δὲ βούλει, ἐρωτήσεως σχῆμα ποιησάμενον. οἷον δὲ τούτων ἕκαστόν ἐστιν, ἐκ τῶν πρότερον ἴσμεν. εὖ δὲ διαθήσομεν ἡμᾶς καὶ τοὺς ἐναντίους κακῶς, ὥσπερ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν, ὑποφαίνοντες κεφαλαιωδῶς ἐφ' οἷς εὖ πεποιήκαμεν τοὺς ἀδικοῦντας … ποιοῦμεν ἢ ποιήσομεν, ἢ αὐτοὶ ἢ ἡμέτεροι φίλοι, ἢ … ἢ ὧν κηδόμενοι τυγχάνουσιν, ἢ πάλιν τοὺς κρίνοντας … ἢ ὧν κηδόμενοι τυγχάνουσιν, καὶ διεξιόντες αὐτοῖς ὡς …

9. σμικρὰς B^c. ‖ 14. συνεμπέσῃ B^c. ‖ 19. λέγωμεν V^b. ‖ 20. συνηγοροῦμεν V^b. ‖ 24. λέγει B^c. ‖ 25. νομίζειν B^c. ‖ 27. [illegible]ψάμην V^b. ‖ 28. ἐὰν V^b. ‖ 30. μὲν] δὲ B^c. ‖ 35. εἰρωνευόμεθα V^b. ‖ 37. διαιροῦντα εἴδη V^b.

4. λέγειν V^b. ‖ 18. δεῖ] δὴ B^c. ‖ 25. δὲ] δὲ καὶ B^c. ‖ 28. καὶ post ἀλλὰ om V^b. ‖ 29. διὸ καὶ om V^b. ‖ 39. ἢ τυγ- 40. τυγχάνουσιν om B^c.

καιρὸς χάριτας ἡμῖν τῶν ὑπηργμένων ἀποδοῦναι, καὶ πρὸς τούτοις ἐλεεινοὺς ἡμᾶς αὐτοὺς καθιστάντες, ἐὰν ἐνδέχηται. τοῦτο δὲ ποιήσομεν ἐπιδεικνύντες ὡς πρὸς τοὺς ἀκούοντας οἰκείως ἔχομεν καὶ ἀναξίως δυστυχοῦμεν, κακῶς πρότερον πεπονθότες ἢ νῦν πάσχοντες, ἢ πεισόμενοι ἐὰν μὴ βοηθῶσιν ἡμῖν οὗτοι, ἐὰν δὲ μὴ τοιαῦτα ὑπάρχῃ, διεξιόντες τίνων ἀγαθῶν ἐστερήμεθα ἢ στερισκόμεθα ἢ στερησόμεθα ὀλιγωρηθέντες ὑπὸ τῶν κρινόντων, ἢ ὡς ἀγαθοῦ μηδέποτε ἐτύχομεν ἢ μὴ ἐπιτυγχάνομεν, ἢ μὴ ἐπιτευξόμεθα μὴ τούτων ἡμῖν συμβοηθησάντων· ἐκ γὰρ τούτων ἐλεεινοὺς καταστήσομεν ἡμᾶς αὐτούς, καὶ πρὸς τοὺς ἀκούοντας εὖ διαθήσομεν. διαβαλοῦμεν δὲ τοὺς ἀντιδίκους καὶ φθονεῖσθαι ποιήσομεν ἐκ τῶν ἐναντίων τούτοις, ἀποφαίνοντες ὑπὸ τούτων ἢ τῶν τούτοις φίλων τοὺς ἀκούοντας, ἢ ὧν αὐτοὶ κήδονται, κακῶς πεπονθότας ἢ πάσχοντας ἢ πεισομένους παρὰ τὸ προσῆκον· ἐκ γὰρ τῶν τοιούτων καὶ μῖσος καὶ ὀργὴν πρὸς αὐτοὺς ἕξουσιν. ἂν δὲ μὴ ταῦτα ἐνδέχηται, συνάξομεν ἐξ ὧν φθόνον τοῖς ἀκούουσι κατὰ τῶν ἐναντίων ἐργασόμεθα· τὸ γὰρ φθονεῖν πλησίον τοῦ μισεῖν ἐστίν. φθονήσονται δὲ συλλήβδην, ἐὰν ἀναξίως αὐτοὺς εὖ πράττοντας ἀποφαίνωμεν καὶ πρὸς τοὺς ἀκούοντας ἀλλοτρίως ἔχοντας, διεξιόντες ὡς ἀγαθὰ πολλὰ πεπόνθασιν ἀδίκως ἢ πάσχουσιν ἢ μέλλουσι πείσεσθαι, ἢ ἀγαθοῦ οὐδέπω πρότερον ἐστερήθησαν ἢ νῦν οὐ στερίσκονται ἢ οὐ στερήσονται, ἢ κακοῦ οὐδέπω τετυχηκότες ἢ νῦν οὐ τυγχάνοντες ἢ οὐ τευξόμενοι, ἐὰν μὴ νῦν αὐτοὺς οἱ κριταὶ κολάσωσιν. ἐκ τούτων μὲν οὖν ἐν τοῖς ἐπιλόγοις εὐμενῶς μὲν αὐτοὺς κακῶς δὲ τοὺς ἐναντίους διαθήσομεν, ἐκ δὲ τῶν προειρημένων ἁπάντων ἐντέχνως καὶ τὰς κατηγορίας καὶ τὰς ἀπολογίας τάξομεν.

8 Τὸ δ' ἐξεταστικὸν εἶδος αὐτὸ μὲν καθ' ἑαυτὸ οὐ πολλάκις συνίσταται, τοῖς δὲ ἄλλοις εἴδεσι μίγνυται, καὶ μάλιστα πρὸς τὰς ἀντιλογίας χρήσιμόν ἐστιν. οὐ μὴν ἀλλ' ὅπως μηδὲ τούτου τὴν τάξιν ἀγνοῶμεν, ἄν ποθ' ἡμῖν λόγον ἢ βίον ἢ πρᾶξιν ἀνθρώπων ἢ διοίκησιν πόλεως ἐξετάζειν συμβῇ, δίειμι καὶ περὶ τούτου κεφαλαιωδῶς. φροιμιαστέον μὲν οὖν σχεδὸν ὁμοιοτρόπως τοῖς διαβεβλημένοις καὶ τοῖς ἐξετάζουσι ταῦτα, ὥστε προφάσεις ἐν ἀρχαῖς εὐλόγους ἐνεγκόντες, δι' ἃς δόξομεν εἰκότως τοῦτο ποιεῖν, οὕτως ἐπὶ τὴν ἐξέτασιν ἥξομεν. ἁρμόσουσι δὲ αἱ τοιαίδε, ἐν μὲν τοῖς πολιτικοῖς συλλόγοις, ὡς οὐ φιλονεικίᾳ τὸ τοιοῦτο ποιοῦμεν ἀλλ' ὅπως μὴ λάθῃ τοὺς ἀκούοντας, εἶτα ὅτι ἡμᾶς οὗτοι πρότερον ἠνώχλησαν· ἐν δὲ τοῖς ἰδίοις ἢ ἔχθραν, ἢ τὰ ἔθη τῶν ἐξεταζομένων φαῦλα ὄντα, ἢ φιλίαν πρὸς τοὺς ἐξεταζομένους, ἢ ὅπως ἀνέντες ἃ πράττουσι μηκέτι ταῦτα ποιήσωσιν· ἐν δὲ τοῖς δημοσίοις τὸ νόμιμον, τὸ δίκαιον, τὸ τῷ κοινῷ συμφέρον. φροιμιασάμενοι δ' ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων, ἐφεξῆς ἕκαστον προτιθέμενοι τῶν ῥηθέντων ἢ πραχθέντων ἢ διανοηθέντων ἐξετάσομεν, ἐνδεικνύντες αὐτὰ καὶ τοῖς δικαίοις καὶ τοῖς νομίμοις καὶ τοῖς ἰδίᾳ καὶ κοινῇ συμφέρουσιν ἐναντιούμενα, καὶ πάντα σκοποῦντες, εἴ που αὐτὰ αὑτοῖς ἐστὶν ἐναντία ἢ τοῖς ἤθεσι τῶν χρηστῶν ἀνθρώπων ἢ τοῖς εἰκόσιν. ἵνα δὲ μὴ μηκύνωμεν τὸν λόγον καθ' ἓν ἕκαστον λέγοντες, ὅσῳ ἂν πλείοσι τῶν ἐνδόξων ἐπιτηδευμάτων ἢ πραγμάτων ἢ λόγων ἢ ἐθῶν ἐναντιούμενα τὰ τῶν ἐξεταζομένων ἀποφαίνωμεν τοῖς ἀκούουσι, τοσούτῳ μᾶλλον οἱ ἐξεταζόμενοι ἀδοξοῦσιν. δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν, ἀλλὰ πραεῖ· τοῦτον γὰρ τὸν τρόπον οἱ λόγοι γιγνόμενοι πιθανώτεροι φανήσονται τοῖς ἀκούουσιν, οἱ δὲ λέγοντες αὐτοὺς ἥκιστα διαβαλοῦσιν. ὅταν δὲ πάντα ἀκριβῶς ἐξητακὼς αὐξήσῃς αὐτά, παλιλλογίαν ἐπὶ τῇ τελευτῇ σύντομον ποίησον καὶ τοὺς ἀκροατὰς περὶ τῶν εἰρημένων ἀνάμνησον. τὰ μὲν οὖν εἴδη πάντα τοῦτον τὸν τρόπον τάττοντες ἐντέχνως αὐτοῖς χρησόμεθα.

Δεῖ δὲ καὶ λέγοντας καὶ γράφοντας ὅτι μάλιστα 39
πειρᾶσθαι κατὰ τὰ πεπραγμένα τοὺς λόγους ἀποδιδόναι, καὶ συνεθίζειν αὑτοὺς τούτοις ἅπασιν ἐξ ἑτοίμου χρῆσθαι. καὶ περὶ μὲν τοῦ λέγειν ἐντέχνως καὶ ἐν τοῖς ἰδίοις καὶ ἐν τοῖς κοινοῖς ἀγῶσι κἀν ταῖς πρὸς τοὺς ἄλλους ὁμιλίαις ἐντεῦθεν πλείστας καὶ τεχνικωτάτας ἀφορμὰς ἕξομεν, χρὴ δὲ καὶ τὴν ἐπιμέλειαν ποιεῖσθαι μὴ μόνον περὶ τοὺς λόγους ἀλλὰ καὶ περὶ τὸν βίον τὸν αὑτοῦ, διακοσμοῦντα ταῖς ἰδέαις ταῖς εἰρημέναις· συμβάλλεται γὰρ ἡ περὶ τὸν βίον παρασκευὴ καὶ πρὸς τὸ πείθειν καὶ πρὸς τὸ δόξης ἐπιεικοῦς τυγχάνειν. πρῶτον μὲν οὖν διελέσθαι χρὴ τὰ πράγματα κατὰ τὴν ὅλην τοῦ παιδεύματος διαίρεσιν, ὅ τι πρῶτον ἢ δεύτερον ἢ τρίτον ἢ τέταρτον μεταχειριστέον, εἶτα σαυτοῦ ποιεῖσθαι παρασκευήν, ὥσπερ ἐν τοῖς προοιμίοις διήλθομεν τὰ περὶ τῶν ἀκροατῶν. εὐμενῆ μὲν οὖν τὰ περὶ σεαυτὸν ποιήσεις, ἐὰν οἷς ὁμολογεῖς ἐμμένῃς, καὶ διαφυλάττῃς φίλους τοὺς αὐτοὺς διὰ παντὸς τοῦ βίου, καὶ περὶ τῶν ἄλλων

2. τούτους B^e. ‖ δέχηται V^b. ‖ 6. διεξιόντες om V^b. ‖ 20. ἀναξίους V^b. ‖ 24. ἢ ante κακοῦ om V^b. ‖ 39. αἱ τοιαίδε δὲ ἁρμόσουσιν V^b. ‖ 40. τοιοῦτον V^b.

2. πρώτως B^e. ‖ 12. δὲ μὴ κύνω καθ' ἓν ἕκαστον λέγων V^b. ‖ 13. ὅσον V^b, ὅσα B^e. ‖ 14. τὰ om $V^b B^e$. ‖ 15. τοσοῦτο V^b. ‖ 19. διαβάλλουσιν B^e. ‖ 23. χρησόμεθα αὐτοῖς B^e. ‖ 28. ἐνταῦθα V^b.

a. 30. Ἐξεταστικὸν εἶδος - not frequent - fit for ἀντιλογίαι.

ἐπιτηδευμάτων φαίνῃ μὴ μεθιστάμενος ἀλλ' ἀεὶ τοῖς αὐτοῖς χρώμενος. προσέξουσι δέ σοι, ἐὰν μεγάλας καὶ καλὰς μεταχειρίζῃ τὰς πράξεις, καὶ τοῖς πολλοῖς συμφερούσας. εὐμενεῖς δὲ γενόμενοι, ὅταν ἐπὶ τῶν πράξεων γένῃ, ὅσαι τῶν κακῶν ἀποτροπὴν ἔχουσι τῶν δ' ἀγαθῶν παρουσίαν, ταύτας μὲν ὡς συμφερούσας αὐτοῖς ἀποδέξονται, ὅσαι δὲ τἀναντία παρασκευάζουσιν αὐτῶν, ταύτας ἀποδοκιμάσουσιν. ἀντὶ δὲ τοῦ ταχεῖαν καὶ σαφῆ καὶ μὴ ἄπιστον τὴν διήγησιν λέγεσθαι, τὰς πράξεις δεῖ ταύτας ποιεῖσθαι. ταχέως μὲν οὖν ἐπιτελέσεις, ἂν μὴ πάντα πράττειν ἅμα βούλῃ, ἀλλὰ πρότερον τὸ πρῶτον, ἔπειτα τὸ ἑξῆς· καθαρῶς δέ, ἂν μὴ ταχὺ τῆς πράξεως παυόμενος ἄλλα πράγματα μεταχειρίζῃ πρὶν ταύτην ἐπιτελέσαι. μὴ ἄπιστος δέ, ἂν μὴ παρὰ τὸ ἦθος τὸ σαυτοῦ πράττῃς, πρὸς δὲ τούτοις, ἂν μὴ προσποιῇ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους εἶναί σοι. ἐκ δὲ τῶν πίστεων ληψόμεθα, περὶ ὧν μὲν ἐπιστήμην ἔχομεν, κατὰ τὴν ταύτης ἐξήγησιν τὰς πράξεις ἐπιτελεῖν, περὶ ὧν δὲ τυγχάνομεν ἀγνοοῦντες, κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον· ἀσφαλέστατον γὰρ πράττειν περὶ τῶν οὕτως ἐχόντων πρὸς τὸ εἰωθὸς ἀποβλέποντας. εἰς δὲ τὸν πρὸς τοὺς ἀντιδίκους ἀγῶνα ἐν μὲν τοῖς λόγοις ἐκ τῶν λεγομένων ποιήσομεν βεβαιότητα περὶ ἡμῶν, ἐν δὲ τοῖς συμβολαίοις τοῦτο ποιήσομεν, ἐὰν κατὰ τοὺς νόμους αὐτὰ μεταχειριζώμεθα τοὺς ἀγράφους καὶ τοὺς γεγραμμένους μετὰ μαρτύρων ὡς βελτίστων ὁριζομένοις χρόνοις. ἐκ δὲ τοῦ ἐπιλόγου περὶ μὲν τῶν λελεγμένων ἀναμνήσομεν τοὺς ἀκροατάς, τὰ πραχθέντα ἐν κεφαλαίῳ αὖθις εἰπόντες· ἐξ ὧν δὲ πράττομεν, ἀναμνήσομεν οὕτως, ἐπειδὰν τὰς αὐτὰς πράξεις ἢ τὰς ὁμοίας μεταχειριζώμεθα ταῖς προτέραις. φιλικῶς δὲ διακείσονται πρὸς ἡμᾶς, ἐὰν πράττωμεν ἐξ ὧν εὖ πεπονθέναι δόξουσιν ἢ πάσχειν ἢ πείσεσθαι. μεγάλα δὲ πράξομεν, ἐὰν πολλῶν αἰτίους καὶ καλῶν πράξεις μεταχειριζώμεθα. καὶ τοῦτον μὲν τὸν τρόπον χρὴ τὰ κατὰ τὸν βίον αὐτοῦ παρασκευάζειν, ἐκ δὲ τῆς προτέρας συντάξεως περὶ τοὺς λόγους γυμνάζεσθαι.

[Τὰς δὲ θυσίας δεῖ ποιεῖν ὡς προείρηται, πρὸς μὲν θεοὺς ὁσίως, πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, πρὸς δὲ τοὺς πολίτας ὠφελίμως. καὶ πρὸς μὲν τοὺς θεοὺς ὁσίως ἕξουσιν, ἐὰν κατὰ τὰ πάτρια θύωμεν· πρὸς
δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ τὰ πεμπόμενα
τοῖς δαπανωμένοις συναναλίσκηται· πρὸς δὲ τὰς
λαμπρῶς, ἐὰν μεγαλοπρεπῶς ὦσι κατεσκευασμένα·
δὲ τοὺς πολίτας ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖτα
σκευασμένοι συμπέμπωσιν. τὰ μὲν δὴ πρὸς τοὺς θε
γινόμενα ὁσίως ἂν ἔχοι, φιλίαν δὲ συστησόμεθα πρ
ὁμοιοτρόπους ἡμῖν, καὶ οἷς ταὐτὰ συμφέρει, καὶ
τὰ μέγιστα ἀναγκαῖόν ἐστιν ἡμῖν κοινωνεῖν· ἡ γὰρ τ
μάλιστα συμμένει φιλία. συμμάχους δὲ δεῖ ποιεῖσθ
δικαιοτάτους καὶ τοὺς δύναμιν πολλὴν ἔχοντας καὶ τοὺς
σίον κατοικοῦντας, ἐχθροὺς δὲ τοὺς ἐναντίους τούτοις. πόλ
δὲ αἱρεῖσθαι πρὸς τοὺς ἀδικεῖν ἐπιχειροῦντας τὴν πόλιν ἢ
φίλους ἢ τοὺς συμμάχους αὐτῆς. τὰς δὲ φυλακὰς
καῖον ἔχειν ἢ δι' αὐτῶν ἢ διὰ τῶν συμμάχων ἢ διὰ
νων, καὶ πρῶτον μὲν δι' ἑαυτῶν, δεύτερον δὲ διὰ τῶν
μάχων, τρίτον δὲ διὰ ξένων. περὶ δὲ πόρου χρημ
κράτιστον μὲν ἀπὸ τῶν ἰδίων προσόδων ἢ κτημάτων,
τερον δὲ ἀπὸ τῶν τιμημάτων, τρίτον δὲ τῶν πενήτ
σώματα παρεχόντων λειτουργεῖν, τῶν δὲ τεχνιτῶν
τῶν δὲ πλουσίων χρήματα. περὶ πολιτείας δέ, δημοκ
μὲν ἀρίστη ἐν ᾗ οἱ νόμοι τοῖς ἀρίστοις τὰς τιμὰς
μουσι, τὸ δὲ πλῆθος μήτε χειροτονίας μήτε ψηφοφ
ἐστέρηται, κακίστη δὲ ἐν ᾗ τῷ πλήθει παραδέδοται
μοι τοὺς πλουτοῦντας ὑβρίζειν. ὀλιγαρχιῶν δ' εἰσὶ δύο
ποι· ἢ γὰρ ἐξ ἑταιρείας ἢ ἀπὸ τῶν τιμημάτων. ποιεῖ
δὲ συμμάχους ἀναγκαῖόν ἐστιν, ὅταν οἱ πολῖται μὴ τυ
χάνωσι δι' ἑαυτῶν δυνατοὶ τὴν χώραν καὶ τὰ φρούρια
λάττειν ἢ τοὺς πολεμίους ἀμύνεσθαι. παρίεσθαι δὲ δεῖ τὴν
μαχίαν, ὅταν μὴ ἀνάγκη τις ᾖ ποιεῖσθαι αὐτήν, ἢ μ
κρὰν τοῖς τόποις ἀπέχωσι καὶ ἀδύνατοι ὦσι κατὰ τοὺς
στήκοντας παραγίνεσθαι καιρούς. πολίτης δὲ ἀγαθὸς
ὅστις φίλους μὲν χρησιμωτάτους τῇ πόλει παρασκευάζ
ἐχθροὺς δὲ ἐλαχίστους καὶ ἀσθενεστάτους, καὶ ὅστις προσ
παρασκευάζει πλείστας, τῶν ἰδιωτῶν μηδένα δημεύων,
ὅστις ἑαυτὸν δίκαιον παρέχων τοὺς ἀδικοῦντάς τι τῶν κοι
ἐξετάζει. δωροῦνται δὲ πάντες ἐλπίζοντες ὠφεληθήσεσθ
ἢ τῶν προτέρων εὐεργεσιῶν χάριν ἀποδιδόντες. ὑπηρ
δὲ πάντες κέρδους ἕνεκεν ἢ τιμῆς ἢ ἡδονῆς ἢ φόβου
ναλλάττουσι δὲ πάντες ἢ κατὰ προαίρεσιν ἢ ἀκουσίως

1. καθιστάμενος B^c. ‖ 2. ποι V^b. ‖ 7. αὐτοῖς V^b. ‖ 14. παρὰ] περὶ V^b. ‖ 17. κατὰ] καὶ V^b. ‖ τὰς] τὰς δὲ B^c. ‖ 20. ἀποβλέποντες V^bB^c. ‖ 22. παρ' V^b. ‖ 24. τοὺς post καὶ om V^b. ‖ 25. ὁριζόμενοι V^b. ‖ 26. ἀναμνήσομεν — 27. εἰπόντες om V^b. 27. δὲ om V^b. ‖ 32. αἰτίας καλῶν V^b. ‖ 33. τὰ om V^bB^c. ‖ αὐτοῦ om V^b. ‖ 36. Τὰς — 1447 b 7. πολιτῶν] haec om V^b, etiam QN^a et Parisienses 2038 et 2039, B^c quidem et 2038 adscriptis in margine ἀνακεφαλαιοῖ τὰ εἰρημένα ἐν τῷ α τμήματι.
9. συμμένει 2039: ceteri συμβαίνει. ‖ 13. τοὺς δὲ φύλακας N^a. ‖ 20. δημοσία B^c. ‖ 25. τῶν om 2039. ‖ 28. ἀμύνεσθαι V^b. ‖ 31. δὲ om V^b. ‖ 33. ἐχθροὺς — 34. πλείστας om V^b.

2 Ἐπεὶ δὲ μιμοῦνται οἱ μιμούμενοι πράττοντας, ἀνάγκη δὲ τούτους ἢ σπουδαίους ἢ φαύλους εἶναι (τὰ γὰρ ἤθη σχεδὸν ἀεὶ τούτοις ἀκολουθεῖ μόνοις· κακίᾳ γὰρ καὶ ἀρετῇ τὰ ἤθη διαφέρουσι πάντες), ἤτοι βελτίονας ἢ καθ' ἡμᾶς ἢ χείρονας ἢ καὶ τοιούτους, ὥσπερ οἱ γραφεῖς· Πολύγνωτος μὲν γὰρ κρείττους, Παύσων δὲ χείρους, Διονύσιος δὲ ὁμοίους εἴκαζεν. δῆλον δὲ ὅτι καὶ τῶν λεχθεισῶν ἑκάστη μιμήσεων ἕξει ταύτας τὰς διαφοράς, καὶ ἔσαι ἑτέρα τῷ ἕτερα μιμεῖσθαι τοῦτον τὸν τρόπον. καὶ γὰρ ἐν ὀρχήσει καὶ αὐλήσει καὶ κιθαρίσει ἔσι γενέσθαι ταύτας τὰς ἀνομοιότητας, καὶ περὶ τοὺς λόγους δὲ καὶ τὴν ψιλομετρίαν, οἷον Ὅμηρος μὲν βελτίους, Κλεοφῶν δὲ ὁμοίους, Ἡγήμων δὲ ὁ Θάσιος ὁ τὰς παρῳδίας ποιήσας πρῶτος καὶ Νικοχάρης ὁ τὴν Δηλιάδα χείρους. ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους, ὡς Πέρσας καὶ Κύκλωπας Τιμόθεος καὶ Φιλόξενος, μιμήσαιτο ἄν τις. ἐν αὐτῇ δὲ τῇ διαφορᾷ καὶ ἡ τραγῳδία πρὸς τὴν κωμῳδίαν διέσηκεν· ἡ μὲν γὰρ χείρους ἡ δὲ βελτίους μιμεῖσθαι βούλεται τῶν νῦν.

3 Ἔτι δὲ τούτων τρίτη διαφορὰ τὸ ὡς ἕκαστα τούτων μιμήσαιτο ἄν τις. καὶ γὰρ ἐν τοῖς αὐτοῖς καὶ τὰ αὐτὰ μιμεῖσθαι ἔσιν ὁτὲ μὲν ἀπαγγέλλοντα ἢ ἕτερόν τι γιγνόμενον, ὥσπερ Ὅμηρος ποιεῖ, ἢ ὡς τὸν αὐτὸν καὶ μὴ μεταβάλλοντα, ἢ πάντας ὡς πράττοντας καὶ ἐνεργοῦντας τοὺς μιμουμένους. ἐν τρισὶ δὴ ταύταις διαφοραῖς ἡ μίμησίς ἐσιν, ὡς εἴπομεν κατ' ἀρχάς, ἐν οἷς τε καὶ ἃ καὶ ὥς. ὥσε τῇ μὲν ὁ αὐτὸς ἂν εἴη μιμητὴς Ὁμήρῳ Σοφοκλῆς, μιμοῦνται γὰρ ἄμφω σπουδαίους, τῇ δὲ Ἀρισοφάνει· πράττοντας γὰρ μιμοῦνται καὶ δρῶντας ἄμφω. ὅθεν καὶ δράματα καλεῖσθαί τινες αὐτά φασιν, ὅτι μιμοῦνται δρῶντας. διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς, τῆς μὲν κωμῳδίας οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης, καὶ οἱ ἐκ Σικελίας (ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής, πολλῷ πρότερος ὢν Χωνίδου καὶ Μάγνητος), καὶ τῆς τραγῳδίας ἔνιοι τῶν ἐν Πελοποννήσῳ, ποιούμενοι τὰ ὀνόματα σημεῖον. οὗτοι μὲν γὰρ κώμας τὰς περιοικίδας καλεῖν φασίν, Ἀθηναῖοι δὲ δήμους, ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄσεως·

καὶ τὸ ποιεῖν αὐτοὶ μὲν δρᾶν, Ἀθηναίους δὲ πράττειν
σαγορεύειν. περὶ μὲν οὖν τῶν διαφορῶν, καὶ πόσι
τίνες τῆς μιμήσεως, εἰρήσθω ταῦτα.

Ἐοίκασι δὲ γεννῆσαι μὲν ὅλως τὴν ποιητικὴν
δύο τινές, καὶ αὗται φυσικαί. τό τε γὰρ μιμεῖσθαι
φυτον τοῖς ἀνθρώποις ἐκ παίδων ἐσί, καὶ τούτῳ δια
τῶν ἄλλων ζῴων ὅτι μιμητικώτατόν ἐσι καὶ τὰς
σεις ποιεῖται διὰ μιμήσεως τὰς πρώτας, καὶ τὸ χ
τοῖς μιμήμασι πάντας. σημεῖον δὲ τούτου τὸ συμ
ἐπὶ τῶν ἔργων· ἃ γὰρ αὐτὰ λυπηρῶς ὁρῶμεν, τούτω
εἰκόνας τὰς μάλισα ἠκριβωμένας χαίρομεν θεωροῦντες
θηρίων τε μορφὰς τῶν ἀτιμοτάτων καὶ νεκρῶν. αἴτι
καὶ τούτου, ὅτι μανθάνειν οὐ μόνον τοῖς φιλοσόφοις
ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως· ἀλλ' ἐπὶ βραχὺ κ
σιν αὐτοῦ. διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντ
συμβαίνει θεωροῦντας μανθάνειν καὶ συλλογίζεσθαι τ
σον, οἷον ὅτι οὗτος ἐκεῖνος, ἐπεὶ ἐὰν μὴ τύχῃ προεωρ
οὐ διὰ μίμημα ποιήσει τὴν ἡδονὴν ἀλλὰ διὰ τὴν
γασίαν ἢ τὴν χροιὰν ἢ διὰ τοιαύτην τινὰ ἄλλην
κατὰ φύσιν δὲ ὄντος ἡμῖν τοῦ μιμεῖσθαι καὶ τῆς ἁρ
καὶ τοῦ ῥυθμοῦ (τὰ γὰρ μέτρα ὅτι μόρια τῶν ῥυθμῶ
φανερόν) ἐξ ἀρχῆς οἱ πεφυκότες πρὸς αὐτὰ μάλισ
μικρὸν προάγοντες ἐγέννησαν τὴν ποίησιν ἐκ τῶν αὐτ
διασμάτων. διεσπάσθη δὲ κατὰ τὰ οἰκεῖα ἤθη ἡ π
οἱ μὲν γὰρ σεμνότεροι τὰς καλὰς ἐμιμοῦντο πράξει
τὰς τῶν τοιούτων, οἱ δὲ εὐτελέστεροι τὰς τῶν φα
πρῶτον ψόγους ποιοῦντες, ὥσπερ ἕτεροι ὕμνους καὶ ἐγκ
τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοι
ποίημα, εἰκὸς δὲ εἶναι πολλούς· ἀπὸ δὲ Ὁμήρου ἀρξα
ἐσιν, οἷον ἐκείνου ὁ Μαργίτης καὶ τὰ τοιαῦτα, ἐν ο
τὸ ἁρμόττον ἰαμβεῖον ἦλθε μέτρον. διὸ καὶ ἰαμβεῖον
λεῖται νῦν, ὅτι ἐν τῷ μέτρῳ τούτῳ ἰάμβιζον ἀλλήλ
ἐγένοντο τῶν παλαιῶν οἱ μὲν ἡρωϊκῶν οἱ δὲ ἰάμβω
ταί. ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλισα ποιητὴς Ὁ
ἦν (μόνος γὰρ οὐχ ὅτι εὖ, ἀλλ' ὅτι καὶ μιμήσεις δρ
τικὰς ἐποίησεν), οὕτω καὶ τὰ τῆς κωμῳδίας σχ
πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δρα
ποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ

4. ἤτοι] εἴτε N^a. ‖ 5. γὰρ om N^a. ‖ 8. ἔσιν ἑτέρα τὸ ἑτέραν μιμήσασθαι N^a. ‖ 10. ταύτας] πάσας B^c. ‖ καὶ τὸ περὶ $N^a A^c$. 12. ὁ ante τὰς om $N^a A^c B^c$. ‖ 13. δειλιάδα A^c. ‖ 15. ὡς περγᾶς A^c, ὥσπερ γᾶς $N^a B^c$. ‖ 25. καὶ ἃ om $N^a A^c B^c$. ‖ 31. μ γὰρ $A^c B^c$. ‖ 34. χονίδου N^a, χωνίδου Q ‖ μέγνητος N^a. ‖ 37. δόμους καὶ ὡς N^a, μήδους καὶ ὡς Q.

6. παίδων καὶ τοῦτο N^a. ‖ 18. οὐ διὰ] οὐχὶ $N^a A^c B^c$. ‖ 22. οἱ om $N^a A^c$. ‖ πρὸς] καὶ $N^a A^c B^c$. ‖ κατὰ μικρὸν om N^a. διεσπάρθη N^a. ‖ 26. τῶν prius om N^a. ‖ 29. ἀρξάμενοί εἰσιν N^a. ‖ 30. μαργείτης $A^c B^c$. ‖ οἷς καὶ] οἷς κατὰ $N^a A^c B^b$. ‖ 31. A^c. ‖ 35. δραματικῶς B^c. ‖ 36. οὗτος N^a. ‖ 37. ὑπῆρξεν B^c. ‖ 38. ὁ] τὸ $N^a A^c B^c$. ‖ μαργείτης B^c.

καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας. παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν, οἱ μὲν ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοὶ ἐγένοντο, οἱ δὲ ἀντὶ τῶν ἐπῶν τραγῳδοδιδάσκαλοι, διὰ τὸ μείζω καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων. τὸ μὲν οὖν ἐπισκοπεῖν εἰ ἄρα ἔχει ἤδη ἡ τραγῳδία τοῖς εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε καθ' αὑτὸ κρινόμενον καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος. γενομένη δ' οὖν ἀπ' ἀρχῆς αὐτοσχεδιαστικὴ καὶ αὐτὴ καὶ ἡ κωμῳδία, καὶ ἡ μὲν ἀπὸ τῶν ἐξαρχόντων τὸν διθύραμβον, ἡ δὲ ἀπὸ τῶν τὰ φαλλικά, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένει νομιζόμενα, κατὰ μικρὸν ηὐξήθη προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς, καὶ πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο, ἐπεὶ ἔσχε τὴν αὑτῆς φύσιν. καὶ τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε, καὶ τὰ τοῦ χοροῦ ἠλάττωσε, καὶ τὸν λόγον πρωταγωνιστὴν παρεσκεύασεν· τρεῖς δὲ καὶ σκηνογραφίαν Σοφοκλῆς. ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ λέξεως γελοίας, διὰ τὸ ἐκ σατυρικοῦ μεταβαλεῖν, ὀψὲ ἀπεσεμνύνθη, τό τε μέτρον ἐκ τετραμέτρου ἰαμβεῖον ἐγένετο· τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο διὰ τὸ σατυρικὴν καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν, λέξεως δὲ γενομένης αὐτὴ ἡ φύσις τὸ οἰκεῖον μέτρον εὗρεν· μάλιστα γὰρ λεκτικὸν τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστιν. σημεῖον δὲ τούτου· πλεῖστα γὰρ ἰαμβεῖα λέγομεν ἐν τῇ διαλέκτῳ τῇ πρὸς ἀλλήλους, ἑξάμετρα δὲ ὀλιγάκις καὶ ἐκβαίνοντες τῆς λεκτικῆς ἁρμονίας. ἔτι δὲ ἐπεισοδίων πλήθη καὶ τὰ ἄλλα ὡς ἕκαστα κοσμηθῆναι λέγεται. περὶ μὲν οὖν τούτων τοσαῦτα ἔστω ἡμῖν εἰρημένα· πολὺ γὰρ ἂν ἴσως ἔργον εἴη διεξιέναι καθ' ἕκαστον.

5 Ἡ δὲ κωμῳδία ἐστίν, ὥσπερ εἴπομεν, μίμησις φαυλοτέρων μέν, οὐ μέντοι κατὰ πᾶσαν κακίαν, ἀλλὰ τοῦ αἰσχροῦ ἐστὶ τὸ γελοῖον μόριον. τὸ γὰρ γελοῖόν ἐστιν ἁμάρτημά τι καὶ αἶσχος ἀνώδυνον καὶ οὐ φθαρτικόν, οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης. αἱ μὲν οὖν τῆς τραγῳδίας μεταβάσεις, καὶ δι' ὧν ἐγένοντο, οὐ λελήθασιν, ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν· καὶ γὰρ χορὸν κωμῳδῶν ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν, ἀλλ' ἐθελονταὶ ἦσαν. ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης οἱ λεγόμενοι αὐτῆς ποιηταὶ μνημονεύονται. τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται. τὸ δὲ μύθους ποιεῖν Ἐπίχαρμος καὶ Φόρμις. τὸ μὲν οὖν ἐξ ἀρχῆς ἐκ Σικελίας ἦλθεν, τῶν δὲ Ἀθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους. ἡ μὲν οὖν ἐποποιία τῇ τραγῳδίᾳ μέχρι μόνου μέτρου μετὰ λόγου μίμησις εἶναι σπουδαίων ἠκολούθησεν· τῷ δὲ τὸ μέτρον ἁπλοῦν ἔχειν καὶ ἀπαγγελίαν εἶναι, ταύτῃ διαφέρουσιν. ἔτι δὲ τῷ μήκει· ἡ μὲν γὰρ ὅτι μάλιστα πειρᾶται ὑπὸ μίαν περίοδον ἡλίου εἶναι ἢ μικρὸν ἐξαλλάττειν, ἡ δὲ ἐποποιία ἀόριστος τῷ χρόνῳ, καὶ τούτῳ διαφέρει. καίτοι τὸ πρῶτον ὁμοίως ἐν ταῖς τραγῳδίαις τοῦτο ἐποίουν καὶ ἐν τοῖς ἔπεσιν. μέρη δ' ἐστὶ τὰ μὲν ταὐτά, τὰ δὲ ἴδια τῆς τραγῳδίας. διόπερ ὅστις περὶ τραγῳδίας οἶδε σπουδαίας καὶ φαύλης, οἶδε καὶ περὶ ἐπῶν· ἃ μὲν γὰρ ἐποποιία ἔχει, ὑπάρχει τῇ τραγῳδίᾳ, ἃ δὲ αὐτή, οὐ πάντα ἐν τῇ ἐποποιίᾳ.

Περὶ μὲν οὖν τῆς ἐν ἑξαμέτροις μιμητικῆς καὶ περὶ 6
κωμῳδίας ὕστερον ἐροῦμεν, περὶ δὲ τραγῳδίας λέγωμεν, ἀπολαβόντες αὐτῆς ἐκ τῶν εἰρημένων τὸν γινόμενον ὅρον τῆς οὐσίας. ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ, χωρὶς ἑκάστου τῶν εἰδῶν ἐν τοῖς μορίοις, δρώντων καὶ οὐ δι' ἀπαγγελίας, δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν. λέγω δὲ ἡδυσμένον μὲν λόγον τὸν ἔχοντα ῥυθμὸν καὶ ἁρμονίαν καὶ μέλος, τὸ δὲ χωρὶς τοῖς εἴδεσι τὸ διὰ μέτρων ἔνια μόνον περαίνεσθαι καὶ πάλιν ἕτερα διὰ μέλους. ἐπεὶ δὲ πράττοντες ποιοῦνται τὴν μίμησιν, πρῶτον μὲν ἐξ ἀνάγκης ἂν εἴη τι μόριον τραγῳδίας ὁ τῆς ὄψεως κόσμος, εἶτα μελοποιία καὶ λέξις· ἐν τούτοις γὰρ ποιοῦνται τὴν μίμησιν. λέγω δὲ λέξιν μὲν αὐτὴν τὴν τῶν μέτρων σύνθεσιν, μελοποιίαν δὲ ὃ τὴν δύναμιν φανερὰν ἔχει πᾶσαν. ἐπεὶ δὲ πράξεώς ἐστι μίμησις, πράττεται δὲ ὑπό τινων πραττόντων, οὓς ἀνάγκη ποιούς τινας εἶναι κατά τε τὸ ἦθος καὶ τὴν διάνοιαν (διὰ γὰρ τούτων καὶ τὰς

1. καὶ] καὶ ἡ A^c. ‖ οὕτω — 2. καὶ κωμῳδίας om N^a. ‖ 4. τραγῳδοποιοὶ N^a. ‖ 5. διὰ] καὶ διὰ N^a. ‖ 7. εἰ ἄρα ἔχει] παρέχει $N^aA^cB^e$. ‖ 8. κρινόμενον] κρίνεται ἢ καὶ A^cB^e, κρίνεται εἶναι N^a. ‖ 9. γενομένης οὖν et αὐτοσχεδιαστικῆς $N^aA^cB^e$. ‖ 11. φαῦλλικά $N^aA^cB^e$. ‖ 17. χρόνου B^e. ‖ 20. σατυριακοῦ A^c. ‖ ἀπεσεμνύνθη N^a. ‖ 25. ἰαμβίον et 26. ἰαμβία A^c. ‖ 28. ἄλλως A^cB^e. ‖ 29. ὡς om $N^aA^cB^e$. ‖ περὶ — τοσαῦτα om $N^aA^cB^e$.

6. οὖν om $N^aA^cB^e$. ‖ 8. καὶ] ἢ N^a. ‖ 10. μετὰ λόγου] μεγάλου $N^aA^cB^e$. ‖ τὸ $N^aA^cB^e$. ‖ 11. τὸ om N^a. ‖ ἔχει N^a. ‖ 12. γὰρ om N^aA^c. ‖ 19. αὐτῇ A^cB^e. ‖ 21. μὲν om A^cB^e. ‖ ἐν] ἐν τοῖς N^a. ‖ 22. λέγομεν N^a. ‖ 26. ἀγγελίας N^a. ‖ 28. μαθημάτων $N^aA^cB^e$. ‖ δὴ N^a. ‖ 29. χωριστοῖς εἴδεσι B^e.

πράξεις εἶναί φαμεν ποιάς τινας), πέφυκεν αἴτια δύο τῶν πράξεων εἶναι, διάνοια καὶ ἦθος, καὶ κατὰ ταύτας καὶ τυγχάνουσι καὶ ἀποτυγχάνουσι πάντες. ἔστι δὲ τῆς μὲν πράξεως ὁ μῦθος ἡ μίμησις· λέγω γὰρ μῦθον τοῦτον τὴν σύνθεσιν τῶν πραγμάτων, τὰ δὲ ἤθη, καθ' ἃ ποιούς τινας εἶναί φαμεν τοὺς πράττοντας, διάνοιαν δέ, ἐν ὅσοις λέγοντες ἀποδεικνύασί τι ἢ καὶ ἀποφαίνονται γνώμην. ἀνάγκη οὖν πάσης τραγῳδίας μέρη εἶναι ἕξ, καθ' ἃ ποιά τις ἐστὶν ἡ τραγῳδία· ταῦτα δ' ἐστὶ μῦθος καὶ ἤθη καὶ λέξις καὶ διάνοια καὶ ὄψις καὶ μελοποιία. οἷς μὲν γὰρ μιμοῦνται, δύο μέρη ἐστίν, ὡς δὲ μιμοῦνται, ἕν, ἃ δὲ μιμοῦνται, τρία, καὶ παρὰ ταῦτα οὐδέν. τούτοις μὲν οὖν οὐκ ὀλίγοι αὐτῶν ὡς εἰπεῖν κέχρηνται τοῖς εἴδεσιν· καὶ γὰρ ὄψεις ἔχει πᾶν καὶ ἦθος καὶ μῦθον καὶ λέξιν καὶ μέλος καὶ διάνοιαν ὡσαύτως. μέγιστον δὲ τούτων ἐστὶν ἡ τῶν πραγμάτων σύστασις· ἡ γὰρ τραγῳδία μίμησίς ἐστιν οὐκ ἀνθρώπων ἀλλὰ πράξεως καὶ βίου καὶ εὐδαιμονίας καὶ κακοδαιμονίας· καὶ γὰρ ἡ εὐδαιμονία ἐν πράξει ἐστί, καὶ τὸ τέλος πρᾶξίς τις ἐστίν, οὐ ποιότης. εἰσὶ δὲ κατὰ μὲν τὰ ἤθη ποιοί τινες, κατὰ δὲ τὰς πράξεις εὐδαίμονες ἢ τοὐναντίον. οὔκουν ὅπως τὰ ἤθη μιμήσωνται πράττουσιν, ἀλλὰ τὰ ἤθη συμπεριλαμβάνουσι διὰ τὰς πράξεις. ὥστε τὰ πράγματα καὶ ὁ μῦθος τέλος τῆς τραγῳδίας· τὸ δὲ τέλος μέγιστον ἁπάντων. ἔτι ἄνευ μὲν πράξεως οὐκ ἂν γένοιτο τραγῳδία, ἄνευ δὲ ἠθῶν γένοιτ' ἄν. αἱ γὰρ τῶν νέων τῶν πλείστων ἀήθεις τραγῳδίαι εἰσί, καὶ ὅλως ποιηταὶ πολλοὶ τοιοῦτοι, οἷον καὶ τῶν γραφέων Ζεῦξις πρὸς Πολύγνωτον πέπονθεν· ὁ μὲν γὰρ Πολύγνωτος ἀγαθὸς ἠθογράφος, ἡ δὲ Ζεύξιδος γραφὴ οὐδὲν ἔχει ἦθος. ἔτι ἐάν τις ἐφεξῆς θῇ ῥήσεις ἠθικὰς καὶ λέξεις καὶ διανοίας εὖ πεποιημένας, οὐ ποιήσει ὃ ἦν τῆς τραγῳδίας ἔργον, ἀλλὰ πολὺ μᾶλλον ἡ καταδεεστέροις τούτοις κεχρημένη τραγῳδία, ἔχουσα δὲ μῦθον καὶ σύστασιν πραγμάτων. πρὸς δὲ τούτοις τὰ μέγιστα οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστίν, αἵ τε περιπέτειαι καὶ ἀναγνωρίσεις. ἔτι σημεῖον ὅτι καὶ οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι, οἷον καὶ οἱ πρῶτοι ποιηταὶ σχεδὸν ἅπαντες. ἀρχὴ μὲν οὖν καὶ οἷον ψυχὴ ὁ μῦθος τῆς τραγῳδίας, δεύτερον δὲ τὰ ἤθη. παραπλήσιον γάρ ἐστι καὶ ἐπὶ τῆς γραφικῆς· εἰ γάρ τις ἐναλείψειε τοῖς καλλίστοις φαρμάκοις χύδην, οὐκ ἂν ὁμοίως εὐφράνειεν καὶ λευκογραφήσας εἰκόνα. ἔστι τε μίμησις πράξεως, καὶ διὰ ταύτην μάλιστα τῶν πραττόντων. τρίτον δὲ ἡ διάνοια. τοῦτο δ' ἐστὶ τὸ λέγειν δύνασθαι τὰ ἐνόντα καὶ τὰ ἁρμόττοντα, ὅπερ ἐπὶ τῶν λόγων τῆς πολιτικῆς καὶ ῥητορικῆς ἔργον ἐστίν· οἱ μὲν γὰρ ἀρχαῖοι πολιτικῶς ἐποίουν λέγοντας, οἱ δὲ νῦν ῥητορικῶς. ἔστι δὲ ἦθος μὲν τὸ τοιοῦτον ὃ δηλοῖ τὴν προαίρεσιν ὁποία τις· διόπερ οὐκ ἔχουσιν ἦθος τῶν λόγων ἐν οἷς μηδ' ὅλως ἔστιν ὅ τι προαιρεῖται ἢ φεύγει ὁ λέγων. διάνοια δέ, ἐν οἷς ἀποδεικνύουσί τι ὡς ἔστιν ἢ ὡς οὐκ ἔστιν, ἢ καθόλου τι ἀποφαίνονται. τέταρτον δὲ τῶν μὲν λόγων ἡ λέξις· λέγω δέ, ὥσπερ πρότερον εἴρηται, λέξιν εἶναι τὴν διὰ τῆς ὀνομασίας ἑρμηνείαν, ὃ καὶ ἐπὶ τῶν ἐμμέτρων καὶ ἐπὶ τῶν λόγων ἔχει τὴν αὐτὴν δύναμιν. τῶν δὲ λοιπῶν πέντε ἡ μελοποιία μέγιστον τῶν ἡδυσμάτων. ἡ δὲ ὄψις ψυχαγωγικὸν μέν, ἀτεχνότατον δὲ καὶ ἥκιστα οἰκεῖον τῆς ποιητικῆς· ἡ γὰρ τῆς τραγῳδίας δύναμις καὶ ἄνευ ἀγῶνος καὶ ὑποκριτῶν ἐστίν. ἔτι δὲ κυριωτέρα περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν ποιητῶν ἐστίν.

Διωρισμένων δὲ τούτων, λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων, ἐπειδὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον τῆς τραγῳδίας ἐστίν. κεῖται δ' ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος· ἔστι γὰρ ὅλον καὶ μηδὲν ἔχον μέγεθος. ὅλον δ' ἐστὶ τὸ ἔχον ἀρχὴν καὶ μέσον καὶ τελευτήν. ἀρχὴ δ' ἐστὶν ὃ αὐτὸ μὲν μὴ ἐξ ἀνάγκης μετ' ἄλλο ἐστί, μετ' ἐκεῖνο δ' ἕτερον πέφυκεν εἶναι ἢ γίνεσθαι· τελευτὴ δὲ τοὐναντίον ὃ αὐτὸ μετ' ἄλλο πέφυκεν εἶναι, ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ, μετὰ δὲ τοῦτο ἄλλο οὐδέν· μέσον δὲ ὃ καὶ αὐτὸ μετ' ἄλλο καὶ μετ' ἐκεῖνο ἕτερον. δεῖ ἄρα τοὺς συνεστῶτας εὖ μύθους μήθ' ὁπόθεν ἔτυχεν ἄρχεσθαι μήθ' ὅπου ἔτυχε τελευτᾶν, ἀλλὰ κεχρῆσθαι ταῖς εἰρημέναις ἰδέαις. ἔτι δ' ἐπεὶ τὸ καλὸν καὶ ζῷον καὶ ἅπαν πρᾶγμα ὃ συνέστηκεν ἔκ τινων, οὐ μόνον ταῦτα τεταγμένα δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχόν· τὸ γὰρ καλὸν ἐν μεγέθει καὶ τάξει ἐστί, διὸ οὔτε πάμμικρον ἄν τι γένοιτο καλὸν ζῷον (συγχεῖται γὰρ ἡ θεωρία ἐγγὺς τοῦ ἀναισθήτου χρόνου γινομένη) οὔτε παμμέγεθες· οὐ γὰρ

2. διάνοιαν *A^c B^c*. ‖ 5. ὃ *N^a A^c B^c*. ‖ 7. ἀποδεικνύουσί *N^a*. ‖ 8. ὃ *N^a A^c B^c*. ‖ 13. ὄψις *N^a A^c*. ‖ 17. κακοδαιμονίας — 18. εὐδαιμονία] ἡ κακοδαιμονία *N^a A^c B^c*. ‖ 19. ὁ ποιητής *N^a*. ‖ 27. πολύγνωστον *A^c B^c* et corr *N^a*. mox omnes πολύγνωστος. ‖ 28. ἀγαθὸν *N^a A^c B^c*. ‖ οὐδ' ἂν ἔχῃ *N^a*. ‖ 30. οὐ om *N^a A^c B^c*.

9. post τις *N^a A^c B^c*: ἐν οἷς οὐκ ἔστι δῆλον ἢ προαιρεῖται ἢ φεύγει. ‖ 18. ἢ] ὡς *A^c B^c*. ‖ 19. ἐργασίαν *B^c*. ‖ 21. λέγομεν *N^a*. ‖ 32. εὖ om *N^a*. ‖ 34. ἐπὶ *N^a*. ‖ 35. τεταγμένως *N^a*. ‖ 37. πᾶν μικρὸν et 39. πᾶν μέγεθος *N^a A^c B^c*.

ἅμα ἡ θεωρία γίνεται, ἀλλ' οἴχεται τοῖς θεωροῦσι τὸ ἓν καὶ τὸ ὅλον ἐκ τῆς θεωρίας, οἷον εἰ μυρίων σταδίων εἴη ζῷον. ὥστε δεῖ καθάπερ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν ζῴων ἔχειν μὲν μέγεθος, τοῦτο δὲ εὐσύνοπτον εἶναι, οὕτω καὶ ἐπὶ τῶν μύθων ἔχειν μὲν μῆκος, τοῦτο δ' εὐμνημόνευτον εἶναι. τοῦ δὲ μήκους ὅρος πρὸς μὲν τοὺς ἀγῶνας καὶ τὴν αἴσθησιν οὐ τῆς τέχνης ἐστίν· εἰ γὰρ ἔδει ἑκατὸν τραγῳδίας ἀγωνίζεσθαι, πρὸς κλεψύδραν ἂν ἠγωνίζοντο, ὥσπερ ποτὲ καὶ ἄλλοτε φασίν. ὁ δὲ κατ' αὐτὴν τὴν φύσιν τοῦ πράγματος ὅρος, ἀεὶ μὲν ὁ μείζων μέχρι τοῦ σύνδηλος εἶναι καλλίων ἐστὶ κατὰ τὸ μέγεθος, ὡς δὲ ἁπλῶς διορίσαντας εἰπεῖν, ἐν ὅσῳ μεγέθει κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον ἐφεξῆς γιγνομένων συμβαίνει εἰς εὐτυχίαν ἐκ δυστυχίας ἢ ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβάλλειν, ἱκανὸς ὅρος ἐστὶ τοῦ μεγέθους.

8 Μῦθος δ' ἐστὶν εἷς, οὐχ ὥσπερ τινὲς οἴονται, ἐὰν περὶ ἕνα ᾖ· πολλὰ γὰρ καὶ ἄπειρα τῷ γένει συμβαίνει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν. οὕτω δὲ καὶ πράξεις ἑνὸς πολλαί εἰσιν, ἐξ ὧν μία οὐδεμία γίνεται πρᾶξις. διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν· οἴονται γὰρ ἐπεὶ εἷς ἦν ὁ Ἡρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν. ὁ δ' Ὅμηρος, ὥσπερ καὶ τὰ ἄλλα διαφέρει, καὶ τοῦτ' ἔοικε καλῶς ἰδεῖν, ἤτοι διὰ τέχνην ἢ διὰ φύσιν· Ὀδύσσειαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ συνέβη, οἷον πληγῆναι μὲν ἐν τῷ Παρνασσῷ, μανῆναι δὲ προσποιήσασθαι ἐν τῷ ἀγερμῷ, ὧν οὐδὲν θατέρου γενομένου ἀναγκαῖον ἦν ἢ εἰκὸς θάτερον γενέσθαι, ἀλλὰ περὶ μίαν πρᾶξιν, οἵαν λέγομεν, τὴν Ὀδύσσειαν συνέστησεν, ὁμοίως δὲ καὶ τὴν Ἰλιάδα. χρὴ οὖν, καθάπερ καὶ ἐν ταῖς ἄλλαις μιμητικαῖς ἡ μία μίμησις ἑνός ἐστιν, οὕτω καὶ τὸν μῦθον, ἐπεὶ πράξεως μίμησίς ἐστι, μιᾶς τε εἶναι καὶ ταύτης ὅλης, καὶ τὰ μέρη συνεστάναι τῶν πραγμάτων οὕτως ὥστε μετατιθεμένου τινὸς μέρους ἢ ἀφαιρουμένου διαφέρεσθαι καὶ κινεῖσθαι τὸ ὅλον· ὃ γὰρ προσὸν ἢ μὴ προσὸν μηδὲν ποιεῖ ἐπίδηλον, οὐδὲ μόριον τοῦ ὅλου ἐστίν.

9 Φανερὸν δὲ ἐκ τῶν εἰρημένων καὶ ὅτι οὐ τὸ τὰ γενόμενα λέγειν, τοῦτο ποιητοῦ ἔργον ἐστίν, ἀλλ' οἷα ἂν γένοιτο, καὶ τὰ δυνατὰ κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον. ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν· εἴη γὰρ ἂν τὰ Ἡροδότου εἰς μέτρα τεθῆναι, καὶ οὐδὲν ἧττον ἂν εἴη ἱστορία τις μετὰ μέτρου ἢ ἄνευ μέτρων· ἀλλὰ τούτῳ διαφέρει, τῷ τὸν μὲν τὰ γενόμενα λέγειν, τὸν δὲ οἷα ἂν γένοιτο. διὸ καὶ φιλοσοφώτερον καὶ σπουδαιότερον ποίησις ἱστορίας ἐστίν· ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει. ἔστι δὲ καθόλου μέν, τῷ ποίῳ τὰ ποῖ' ἄττα συμβαίνει λέγειν ἢ πράττειν κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον, οὗ στοχάζεται ἡ ποίησις ὀνόματα ἐπιτιθεμένη· τὰ δὲ καθ' ἕκαστον, τί Ἀλκιβιάδης ἔπραξεν ἢ τί ἔπαθεν. ἐπὶ μὲν οὖν τῆς κωμῳδίας ἤδη τοῦτο δῆλον γέγονεν· συστήσαντες γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων οὕτω τὰ τυχόντα ὀνόματα ἐπιτιθέασι, καὶ οὐχ ὥσπερ οἱ ἰαμβοποιοὶ περὶ τῶν καθ' ἕκαστον ποιοῦσιν. ἐπὶ δὲ τῆς τραγῳδίας τῶν γενομένων ὀνομάτων ἀντέχονται. αἴτιον δ' ὅτι πιθανόν ἐστι τὸ δυνατόν· τὰ μὲν οὖν μὴ γενόμενα οὔπω πιστεύομεν εἶναι δυνατά, τὰ δὲ γενόμενα φανερὸν ὅτι δυνατά· οὐ γὰρ ἂν ἐγένετο, εἰ ἦν ἀδύνατα. οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς τραγῳδίαις ἐνίαις μὲν ἓν ἢ δύο τῶν γνωρίμων ἐστὶν ὀνομάτων, τὰ δὲ ἄλλα πεποιημένα, ἐν ἐνίαις δὲ οὐθέν, οἷον ἐν τῷ Ἀγάθωνος ἄνθει· ὁμοίως γὰρ ἐν τούτῳ τά τε πράγματα καὶ τὰ ὀνόματα πεποίηται, καὶ οὐδὲν ἧττον εὐφραίνει. ὥστ' οὐ πάντως εἶναι ζητητέον τῶν παραδεδομένων μύθων, περὶ οὓς αἱ τραγῳδίαι εἰσίν, ἀντέχεσθαι. καὶ γὰρ γελοῖον τοῦτο ζητεῖν, ἐπεὶ καὶ τὰ γνώριμα ὀλίγοις γνώριμά ἐστιν, ἀλλ' ὅμως εὐφραίνει πάντας. δῆλον οὖν ἐκ τούτων ὅτι τὸν ποιητὴν μᾶλλον τῶν μύθων εἶναι δεῖ ποιητὴν ἢ τῶν μέτρων, ὅσῳ ποιητὴς κατὰ τὴν μίμησίν ἐστι, μιμεῖται δὲ τὰς πράξεις. κἂν ἄρα συμβῇ γενόμενα ποιεῖν, οὐθὲν ἧττον ποιητής ἐστιν· τῶν γὰρ γενομένων ἔνια οὐδὲν κωλύει τοιαῦτα εἶναι οἷα ἂν εἰκὸς γενέσθαι καὶ δυνατὰ γενέσθαι, καθ' ὃ ἐκεῖνος αὐτῶν ποιητής ἐστιν. τῶν δὲ ἁπλῶν μύθων καὶ πράξεων αἱ ἐπεισοδιώδεις εἰσὶ χείρισται. λέγω δ' ἐπεισοδιώδη μῦθον, ἐν ᾧ τὰ ἐπεισόδια μετ' ἄλληλα οὔτ' εἰκὸς οὔτ' ἀνάγκη εἶναι. τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς ὑποκριτάς· ἀγωνίσματα γὰρ ποιοῦντες, καὶ παρὰ τὴν δύναμιν παρατείναντες μῦθον,

6. δὲ om $N^a A^c$. ‖ μὲν πρὸς $N^a A^c B^c$. ‖ 8. κλεψύδρας N^a. ‖ 17. γ' ἐπὶ Victorius. ‖ 18. καὶ] καὶ αἱ B^c. ‖ 20. καὶ om $N^a A^c B^c$. ‖ 24. διὰ post ἢ om N^a. ‖ 26. παρνασῷ N^a. ‖ 27. ἀγεσμανῷ B^c. ‖ 28. ἢ om $N^a A^c$. ‖ 30. καὶ om N^a. ‖ 33. μεταθεμένου N^a. ‖ 34. διαφέρεσθαι om N^a. ‖ 35. ποιεῖ μηδὲν N^a. ‖ οὐδὲν $N^a A^c$, ὡς οὐδὲν B^c. ‖ ὅλου] ὂν N^a. ‖ 36. καὶ om B^c. ‖ οὐ τὸ] οὕτω A^c.

2. τιθέναι N^a. ‖ 4. τοῦτο N^a. ‖ γινόμενα N^a. ‖ 6. ἱστορίας — ποίησις om N^a. ‖ 9. πράττειν] πράγματα N^a. ‖ 10. τὰ] τὸ B^c, τὴν N^a, τὸν A^c. ‖ 11. ἂν om N^a. ‖ 13. ὑποτιθέασι $N^a A^c B^c$. ‖ 14. περὶ τὸν A^c, πρὸς τὸν N^a. ‖ 16. πειθόμενόν N^a. ‖ 19. ἐνίαις] ἐν ἐνίαις B^c. ‖ 23. ὡς τοῦ παντὸς N^a. ‖ τῶν om N^a. ‖ 26. ὀλίγοις γνώριμα om N^a. ‖ 37. κριτάς B^c.

πολλάκις διαςρέφειν ἀναγκάζονται τὸ ἐφεξῆς. ἐπεὶ δὲ ὐ μόνον τελείας ἐςὶ πράξεως ἡ μίμησις ἀλλὰ καὶ φοβερῶν καὶ ἐλεεινῶν, ταῦτα δὲ γίνεται καὶ μάλιςα, καὶ μᾶλλον ὅταν γένηται παρὰ τὴν δόξαν, δι' ἄλληλα· τὸ γὰρ θαυμαςὸν ὕτως ἕξει μᾶλλον ἢ εἰ ἀπὸ τῦ αὐτομάτυ καὶ τῆς τύχης, ἐπεὶ καὶ τῶν ἀπὸ τύχης ταῦτα θαυμασιώτατα δοκεῖ, ὅσα ὥσπερ ἐπίτηδες φαίνεται γεγονέναι, οἷον ὡς ὁ ἀνδριὰς ὁ τοῦ Μίτυος ἐν Ἄργει ἀπέκτεινε τὸν αἴτιον τοῦ θανάτυ τῷ Μίτυϊ, θεωρῦντι ἐμπεσών· ἔοικε γὰρ τὰ τοιαῦτα οὐκ εἰκῇ γενέσθαι, ὥςε ἀνάγκη τὺς τοιύτυς εἶναι καλλίυς μύθους.

10 Εἰσὶ δὲ τῶν μύθων οἱ μὲν ἁπλοῖ οἱ δὲ πεπλεγμένοι· καὶ γὰρ αἱ πράξεις, ὧν μιμήσεις οἱ μῦθοί εἰσιν, ὑπάρχυσιν εὐθὺς ὖσαι τοιαῦται. λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν, ἧς γινομένης, ὥσπερ ὥριςαι, συνεχῦς καὶ μιᾶς ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται, πεπλεγμένην δέ, ἐξ ἧς μετ' ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν ἡ μετάβασίς ἐςιν. ταῦτα δὲ δεῖ γίνεσθαι ἐξ αὐτῆς τῆς συςάσεως τῦ μύθυ, ὥςε ἐκ τῶν προγεγενημένων συμβαίνειν ἢ ἐξ ἀνάγκης ἢ κατὰ τὸ εἰκὸς γίνεσθαι ταῦτα· διαφέρει γὰρ πολὺ τὸ γίνεσθαι τάδε διὰ τάδε ἢ μετὰ τάδε.

11 Ἔςι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολή, καθάπερ εἴρηται· καὶ τῦτο δέ, ὥσπερ λέγομεν, κατὰ τὸ εἰκὸς ἢ ἀναγκαῖον, ὥσπερ ἐν τῷ Οἰδίποδι ἐλθὼν ὡς εὐφρανῶν τὸν Οἰδίπυν καὶ ἀπαλλάξων τῦ πρὸς τὴν μητέρα φόβυ, δηλώσας ὃς ἦν, τὐναντίον ἐποίησεν. καὶ ἐν τῷ Λυγκεῖ ὁ μὲν ἀγόμενος ὡς ἀποθανύμενος, ὁ δὲ Δαναὸς ἀκολυθῶν ὡς ἀποκτενῶν· τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι. ἀναγνώρισις δ' ἐςίν, ὥσπερ καὶ τὔνομα σημαίνει, ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβολὴ ἢ εἰς φιλίαν ἢ ἔχθραν τῶν πρὸς εὐτυχίαν ἢ δυςυχίαν ὡρισμένων. καλλίςη δὲ ἀναγνώρισις, ὅταν ἅμα περιπέτειαι γίνωνται, οἷον ἔχει ἡ ἐν τῷ Οἰδίποδι. εἰσὶ μὲν ὖν καὶ ἄλλαι ἀναγνωρίσεις· καὶ γὰρ πρὸς ἄψυχα καὶ τὰ τυχόντα ἔστιν ὅτε, ὥσπερ εἴρηται, συμβαίνει, καὶ εἰ πέπραγέ τις ἢ μὴ πέπραγεν, ἔςιν ἀναγωρίσαι· ἀλλ' ἡ μάλιςα τῦ μύθυ καὶ ἡ μάλιςα τῆς πράξεως ἡ εἰρημένη ἐςίν. ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον, οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται· ἔτι δὲ καὶ τὸ ἀτυχεῖν καὶ τὸ εὐτυχεῖν ἐπὶ τῶν τοιύτων συμβήσεται. ἐπεὶ δ' ἡ ἀναγνώρισις τινῶν ἐςὶν ἀναγνώρισις, αἱ μὲν θατέρυ πρὸς τὸν ἕτερον μόνον, ὅταν ᾖ δῆλος ἅτερος τίς ἐστιν, ὁτὲ δ' ἀμφοτέρους δεῖ ἀναγνωρίσαι, οἷον ἡ μὲν Ἰφιγένεια τῷ Ὀρέστῃ ἀνεγνωρίσθη ἐκ τῆς πέμψεως τῆς ἐπιστολῆς, ἐκείνῳ δὲ πρὸς τὴν Ἰφιγένειαν ἄλλης ἔδει ἀναγνωρίσεως.

Δύο μὲν ὖν τῦ μύθυ μέρη περὶ ταῦτ' ἐςί, περιπέτεια καὶ ἀναγνώρισις, τρίτον δὲ πάθος. τύτων δὲ περιπέτεια μὲν καὶ ἀναγνώρισις εἴρηται, πάθος δ' ἐςὶ πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά, οἷον οἵ τε ἐν τῷ φανερῷ θάνατοι καὶ αἱ περιωδυνίαι καὶ τρώσεις καὶ ὅσα τοιαῦτα.

Μέρη δὲ τραγῳδίας, οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι, 12
πρότερον εἴπομεν· κατὰ δὲ τὸ ποσόν, καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, τάδε ἐστί, πρόλογος ἐπεισόδιον ἔξοδος, χορικόν, καὶ τύτυ τὸ μὲν πάροδος τὸ δὲ ςάσιμον, κοινὰ μὲν ἁπάντων ταῦτα, ἴδια δὲ τὰ ἀπὸ τῆς σκηνῆς καὶ κόμμοι. ἔςι δὲ πρόλογος μὲν μέρος ὅλον τραγῳδίας τὸ πρὸ χορῦ παρόδου, ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας τὸ μεταξὺ ὅλων χορικῶν μελῶν, ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ ὐκ ἔςι χορῦ μέλος, χορικῦ δὲ πάροδος μὲν ἡ πρώτη λέξις ὅλυ χορῦ, στάσιμον δὲ μέλος χορῦ τὸ ἄνευ ἀναπαίςυ καὶ τροχαίυ, κόμμος δὲ θρῆνος κοινὸς χορῦ καὶ ἀπὸ σκηνῆς. μέρη δὲ τραγῳδίας, οἷς μὲν δεῖ χρῆσθαι, πρότερον εἴπαμεν, κατὰ δὲ τὸ ποσὸν καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, ταῦτ' ἐςίν.

Ὧν δὲ δεῖ ςοχάζεσθαι καὶ ἃ δεῖ εὐλαβεῖσθαι συνι- 13
ςάντας τὺς μύθυς, καὶ πόθεν ἔςαι τὸ τῆς τραγῳδίας ἔργον, ἐφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις. ἐπειδὴ ὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίςης τραγῳδίας μὴ ἁπλῆν ἀλλὰ πεπλεγμένην, καὶ ταύτην φοβερῶν καὶ ἐλεεινῶν εἶναι μιμητικήν (τοῦτο γὰρ ἴδιον τῆς τοιαύτης μιμήσεώς ἐστι), πρῶτον μὲν δῆλον ὅτι ὔτε τὺς ἐπιεικεῖς ἄνδρας δεῖ μεταβάλλοντας φαίνεσθαι ἐξ εὐτυχίας εἰς δυστυχίαν (ὐ γὰρ φοβερὸν ὐδὲ ἐλεεινὸν τῦτο, ἀλλὰ μιαρόν ἐςιν) ὔτε τὺς μοχθηρὺς ἐξ ἀτυχίας εἰς εὐτυχίαν (ἀτραγῳδότατον γὰρ τῦτ' ἐςὶ πάντων· ὐδὲν γὰρ ἔχει ὧν δεῖ· ὔτε γὰρ φιλάνθρωπον

6. ἀπὸ τῆς τύχης B^c. ‖ 7. ὥσπερ] περ B^c. ‖ ὡς om N^a. ‖ 12. αἱ μὲν — 13. αἱ om N^a. ‖ 16. πεπλεγμένη δὲ λέξις μετὰ $A^c B^c$. ‖ 18. γενέσθαι N^a. ‖ 19. ὥσπερ et συμβαίνει N^a. ‖ 20. ταῦτα — 21. γίνεσθαι om N^a. ‖ 25. ἀπαλλάξας N^a. ‖ 27. Δηλ.] μιμεῖσθαι N^a. ‖ 28. ἀκολυθῶν om $A^c B^c$. ‖ 30. ἐςίν om $N^a A^c$. ‖ 31. ἢ εἰς ἔχθραν $A^c B^c$. ‖ 33. οἷον ἐν τῷ οἰδίποδι ἔχει N^a. ‖ 35. ὅτε om $N^a A^c B^c$. ‖ 36. ἢ] εἰ A^c.

1. οἷον $N^a A^c B^c$. ‖ 2. τὸ ἢ εὐτυχεῖν B^c. ‖ 3. δ' ἡ] δὴ codices. ‖ 17. κοινὰ μὲν] κοινὰ μὲν ὖν N^a. ‖ 20. τὸ — 21. τραγῳδίας om $N^a B^c$. ‖ 24. κῶμος N^a. ‖ 26. εἴπομεν $N^a B^c$. ‖ 28. Ὧν] ὡς $N^a A^c B^c$. ‖ 30. ἔργον N^a. ‖ 31. τῆς] καὶ τῆς B^c. ‖ 36. μικρόν N^a.

οὔτε ἐλεεινὸν οὔτε φοβερόν ἐστιν), οὐδ' αὖ τὸν σφόδρα πονηρὸν ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπίπτειν. τὸ μὲν γὰρ φιλάνθρωπον ἔχοι ἂν ἡ τοιαύτη σύστασις, ἀλλ' οὔτε ἔλεον οὔτε φόβον· ὁ μὲν γὰρ περὶ τὸν ἀνάξιόν ἐστι δυστυχοῦντα, ὁ δὲ περὶ τὸν ὅμοιον, ἔλεος μὲν περὶ τὸν ἀνάξιον, φόβος δὲ περὶ τὸν ὅμοιον, ὥστε οὔτε ἐλεεινὸν οὔτε φοβερὸν ἔσται τὸ συμβαῖνον. ὁ μεταξὺ ἄρα τούτων λοιπός. ἔστι δὲ τοιοῦτος ὁ μήτε ἀρετῇ διαφέρων καὶ δικαιοσύνῃ, μήτε διὰ κακίαν καὶ μοχθηρίαν μεταβάλλων εἰς τὴν δυστυχίαν ἀλλὰ δι' ἁμαρτίαν τινά, τῶν ἐν μεγάλῃ δόξῃ ὄντων καὶ εὐτυχίᾳ, οἷον Οἰδίπους καὶ Θυέστης καὶ οἱ ἐκ τῶν τοιούτων γενῶν ἐπιφανεῖς ἄνδρες. ἀνάγκη ἄρα τὸν καλῶς ἔχοντα μῦθον ἁπλοῦν εἶναι μᾶλλον ἢ διπλοῦν, ὥσπερ τινές φασιν, καὶ μεταβάλλειν οὐκ εἰς εὐτυχίαν ἐκ δυστυχίας ἀλλὰ τοὐναντίον ἐξ εὐτυχίας εἰς δυστυχίαν, μὴ διὰ μοχθηρίαν ἀλλὰ δι' ἁμαρτίαν μεγάλην, ἢ οἵου εἴρηται, ἢ βελτίονος μᾶλλον ἢ χείρονος. σημεῖον δὲ καὶ τὸ γιγνόμενον· πρὸ τοῦ μὲν γὰρ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν, νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται, οἷον περὶ Ἀλκμαίωνα καὶ Οἰδίπουν καὶ Ὀρέστην καὶ Μελέαγρον καὶ Θυέστην καὶ Τήλεφον, καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ ἢ ποιῆσαι. ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεώς ἐστιν. διὸ καὶ οἱ Εὐριπίδῃ ἐγκαλοῦντες τὸ αὐτὸ ἁμαρτάνουσιν, ὅτι τοῦτο δρᾷ ἐν ταῖς τραγῳδίαις καὶ πολλαὶ αὐτοῦ εἰς δυστυχίαν τελευτῶσιν. τοῦτο γάρ ἐστιν, ὥσπερ εἴρηται, ὀρθόν. σημεῖον δὲ μέγιστον· ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων τραγικώταται αἱ τοιαῦται φαίνονται, ἂν κατορθωθῶσιν, καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ οἰκονομεῖ, ἀλλὰ τραγικώτατός γε τῶν ποιητῶν φαίνεται. δευτέρα δ' ἡ πρώτη λεγομένη ὑπό τινων ἐστὶ σύστασις, ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα, καθάπερ ἡ Ὀδύσσεια, καὶ τελευτῶσα ἐξ ἐναντίας τοῖς βελτίοσι καὶ χείροσιν. δοκεῖ δὲ εἶναι πρώτη διὰ τὴν τῶν θεάτρων ἀσθένειαν· ἀκολουθοῦσι γὰρ οἱ ποιηταὶ κατ' εὐχὴν ποιοῦντες τοῖς θεαταῖς. ἔστι δὲ οὐχ αὕτη ἀπὸ τραγῳδίας ἡδονή, ἀλλὰ μᾶλλον τῆς κωμῳδίας οἰκεία· ἐκεῖ γάρ, ἂν οἱ ἔχθιστοι ὦσιν ἐν τῷ μύθῳ, οἷον Ὀρέστης καὶ Αἴγισθος, φίλοι γενόμενοι ἐπὶ τελευτῆς ἐξέρχονται, καὶ ἀποθνήσκει οὐδεὶς ὑπ' οὐδενός.

14 Ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι, ἔστι δὲ καὶ ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων, ὅπερ ἐστὶ πρότερον καὶ ποιητοῦ ἀμείνονος. δεῖ γὰρ καὶ ἄνευ τοῦ ὁρᾶν οὕτω συνεστάναι τὸν μῦθον ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν συμβαινόντων· ἅπερ ἂν πάθοι τις ἀκούων τὸν τοῦ Οἰδίποδος μῦθον. τὸ δὲ διὰ τῆς ὄψεως τοῦτο παρασκευάζειν ἀτεχνότερον καὶ χορηγίας δεόμενόν ἐστιν. οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν· οὐ γὰρ πᾶσαν δεῖ ζητεῖν ἡδονὴν ἀπὸ τραγῳδίας, ἀλλὰ τὴν οἰκείαν. ἐπεὶ δὲ τὴν ἀπὸ ἐλέου καὶ φόβου διὰ μιμήσεως δεῖ ἡδονὴν παρασκευάζειν τὸν ποιητήν, φανερὸν ὡς τοῦτο ἐν τοῖς πράγμασιν ἐμποιητέον. ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν συμπιπτόντων, λάβωμεν. ἀνάγκη δὲ ἢ φίλων εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις ἢ ἐχθρῶν ἢ μηδετέρων. ἂν μὲν οὖν ἐχθρὸς ἐχθρὸν ἀποκτείνῃ, οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν οὔτε μέλλων δείκνυσι, πλὴν κατ' αὐτὸ τὸ πάθος· οὐδ' ἂν μηδετέρως ἔχοντες. ὅταν δ' ἐν ταῖς φιλίαις ἐγγένηται τὰ πάθη, οἷον εἰ ἀδελφὸς ἀδελφὸν ἢ υἱὸς πατέρα ἢ μήτηρ υἱὸν ἢ υἱὸς μητέρα ἀποκτείνει ἢ μέλλει ἤ τι ἄλλο τοιοῦτον δρᾷ, ταῦτα ζητητέον. τοὺς μὲν οὖν παρειλημμένους μύθους λύειν οὐκ ἔστιν, λέγω δὲ οἷον τὴν Κλυταιμνήστραν ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου καὶ τὴν Ἐριφύλην ὑπὸ τοῦ Ἀλκμαίωνος· αὐτὸν δὲ εὑρίσκειν δεῖ, καὶ τοῖς παραδεδομένοις χρῆσθαι καλῶς. τὸ δὲ καλῶς τί λέγομεν, εἴπωμεν σαφέστερον. ἔστι μὲν γὰρ οὕτω γίνεσθαι τὴν πρᾶξιν ὥσπερ οἱ παλαιοὶ ἐποίουν, εἰδότας καὶ γινώσκοντας, καθάπερ καὶ Εὐριπίδης ἐποίησεν ἀποκτείνουσαν τοὺς παῖδας τὴν Μήδειαν· ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους. τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος, ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷος ὁ Ἀλκμαίων ὁ Ἀστυδάμαντος ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ. ἔτι δὲ τρίτον παρὰ ταῦτα τὸν μέλλοντα ποιεῖν τι τῶν ἀνηκέστων δι' ἄγνοιαν ἀναγνωρίσαι πρὶν ποιῆσαι. καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλως· ἢ γὰρ πρᾶξαι ἀνάγκη ἢ μή, καὶ εἰδότας ἢ μὴ εἰδότας. τούτων δὲ τὸ μὲν γινώσκοντα μελλῆσαι καὶ μὴ πρᾶξαι χείριστον· τό τε γὰρ μιαρὸν ἔχει, καὶ οὐ τραγικόν· ἀπαθὲς γάρ. διόπερ οὐδεὶς

1. αὖ τὸν] αὐτὸ $N^a A^c B^c$. ‖ 5. τὸν ἀνάξιον] τὸ ἀνάξιον N^a. ‖ 6. τὸν] τὸ N^a. ‖ 9. καὶ μοχθηρίαν om B^c. ‖ 11. δίπους A^c. ‖ 17. πρὸ τοῦ] πρῶτον $N^a A^c B^c$. ‖ 29. οἰκοδομεῖ B^c. ‖ 30. δ' ἡ] δὴ N^a. ‖ 38. γινόμενοι N^a.

7. οἰδίπου $A^c B^c$. ‖ 12. ἐλέους N^a. ‖ 17. ἀποκτείνῃ om $N^a A^c B^c$. ‖ 18. δείκνυσι om N^a. ‖ 20. εἰ] ἢ $N^a A^c B^c$. ‖ 21. ἀποκτείνῃ ἢ μέλλῃ $N^a B^c$. ‖ τοιοῦτον τι ἄλλο N^a. ‖ 22. δρᾶν $N^a A^c$. ‖ 24. ἐριφίλην N^a. ‖ 26. εἴπομεν A^c. ‖ 29. ἀποκτείνασαν N^a. ‖ τὴν om N^a. ‖ 33. ἀστυδάματος N^a. ‖ 38. μελῆσαι N^a.

ποιεῖ ὁμοίως, εἰ μὴ ὀλιγάκις, οἷος ἐν Ἀντιγόνῃ τὸν Κρέοντα ὁ Αἵμων. τὸ δὲ πρᾶξαι δεύτερον. βέλτιον δὲ τὸ ἀγνοοῦντα μὲν πρᾶξαι, πράξαντα δὲ ἀναγνωρίσαι· τό τε γὰρ μιαρὸν οὐ πρόσεστι, καὶ ἡ ἀναγνώρισις ἐκπληκτικόν. κράτιστον δὲ τὸ τελευταῖον, λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ ἀλλ' ἀνεγνώρισεν, καὶ ἐν τῇ Ἰφιγενείᾳ ἡ ἀδελφὴ τὸν ἀδελφόν, καὶ ἐν τῇ Ἕλλῃ ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων ἀνεγνώρισεν. διὰ γὰρ τοῦτο, ὅπερ πάλαι εἴρηται, οὐ περὶ πολλὰ γένη αἱ τραγῳδίαι εἰσίν. ζητοῦντες γὰρ οὐκ ἀπὸ τέχνης ἀλλ' ἀπὸ τύχης εὗρον τὸ τοιοῦτον παρασκευάζειν ἐν τοῖς μύθοις· ἀναγκάζονται οὖν ἐπὶ ταύτας τὰς οἰκίας ἀπαντᾶν, ὅσαις τὰ τοιαῦτα συμβέβηκε πάθη. περὶ μὲν οὖν τῆς τῶν πραγμάτων συστάσεως, καὶ ποίους τινὰς εἶναι δεῖ τοὺς μύθους, εἴρηται ἱκανῶς.

15 Περὶ δὲ τὰ ἤθη τέτταρά ἐστιν ὧν δεῖ στοχάζεσθαι, ἓν μὲν καὶ πρῶτον, ὅπως χρηστὰ ᾖ. ἕξει δὲ ἦθος μέν, ἐὰν ὥσπερ ἐλέχθη ποιῇ φανερὰν ὁ λόγος ἢ ἡ πρᾶξις προαίρεσίν τινα, φαῦλον μὲν ἐὰν φαύλην, χρηστὸν δ' ἐὰν χρηστήν. ἔστι δὲ ἐν ἑκάστῳ γένει· καὶ γὰρ γυνή ἐστι χρηστὴ καὶ δοῦλος· καίτοι γε ἴσως τούτων τὸ μὲν χεῖρον, τὸ δὲ ὅλως φαῦλόν ἐστιν. δεύτερον δὲ τὰ ἁρμόττοντα· ἔστι γὰρ ἀνδρεῖον μὲν τὸ ἦθος, ἀλλ' οὐχ ἁρμόττον γυναικὶ τὸ ἀνδρείαν ἢ δεινὴν εἶναι. τρίτον δὲ τὸ ὅμοιον· τοῦτο γὰρ ἕτερον τοῦ χρηστὸν τὸ ἦθος καὶ ἁρμόττον ποιῆσαι, ὥσπερ εἴρηται. τέταρτον δὲ τὸ ὁμαλόν· κἂν γὰρ ἀνώμαλός τις ᾖ ὁ τὴν μίμησιν παρέχων καὶ τοιοῦτον ἦθος ὑποτιθείς, ὅμως ὁμαλῶς ἀνώμαλον δεῖ εἶναι. ἔστι δὲ παράδειγμα πονηρίας μὲν ἤθους μὴ ἀναγκαῖον οἷον ὁ Μενέλαος ὁ ἐν τῷ Ὀρέστῃ, τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ὅ τε θρῆνος Ὀδυσσέως ἐν τῇ Σκύλλῃ καὶ ἡ τῆς Μελανίππης ῥῆσις, τοῦ δὲ ἀνωμάλου ἡ ἐν Αὐλίδι Ἰφιγένεια· οὐδὲν γὰρ ἔοικεν ἡ ἱκετεύουσα τῇ ὑστέρᾳ. χρὴ δὲ καὶ ἐν τοῖς ἤθεσιν, ὥσπερ καὶ ἐν τῇ τῶν πραγμάτων συστάσει, ἀεὶ ζητεῖν ἢ τὸ ἀναγκαῖον ἢ τὸ εἰκός, ὥστε τὸν τοιοῦτον τὰ τοιαῦτα λέγειν ἢ πράττειν ἢ ἀναγκαῖον ἢ εἰκός, καὶ τοῦτο μετὰ τοῦτο γίνεσθαι ἢ ἀναγκαῖον ἢ εἰκός. φανερὸν οὖν ὅτι καὶ τὰς λύσεις τῶν μύθων ἐξ αὐτοῦ δεῖ τοῦ μύθου συμβαίνειν, καὶ μὴ ὥσπερ ἐν τῇ Μηδείᾳ ἀπὸ μηχανῆς καὶ ἐν τῇ Ἰλιάδι τὰ περὶ τὸν ἀπόπλουν· ἀλλὰ μηχανῇ χρηστέον ἐπὶ τὰ ἔξω τοῦ δράματος ἢ ὅσα πρὸ τοῦ γέγονεν, ἃ οὐχ οἷόν τε ἄνθρωπον εἰδέναι, ἢ ὅσα ὕστερον, ἃ δεῖται προαγορεύσεως καὶ ἀγγελίας· ἅπαντα γὰρ ἀποδίδομεν τοῖς θεοῖς ὁρᾶν. ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασιν, εἰ δὲ μή, ἔξω τῆς τραγῳδίας, οἷον τὰ ἐν τῷ Οἰδίποδι τῷ Σοφοκλέους. ἐπεὶ δὲ μίμησίς ἐστιν ἡ τραγῳδία βελτιόνων, ἡμᾶς δεῖ μιμεῖσθαι τοὺς ἀγαθοὺς εἰκονογράφους· καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες τὴν ἰδίαν μορφήν, ὁμοίους ποιοῦντες, καλλίους γράφουσιν. οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ ῥᾳθύμους καὶ τἆλλα τὰ τοιαῦτα ἔχοντας ἐπὶ τῶν ἠθῶν, ἐπιεικείας ποιεῖν παράδειγμα ἢ σκληρότητος δεῖ, οἷον τὸν Ἀχιλλέα Ἀγάθων καὶ Ὅμηρος. ταῦτα δὴ δεῖ διατηρεῖν, καὶ πρὸς τούτοις τὰ παρὰ τὰς ἐξ ἀνάγκης ἀκολουθούσας αἰσθήσεις τῇ ποιητικῇ· καὶ γὰρ κατ' αὐτὰς ἔστιν ἁμαρτάνειν πολλάκις. εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς ἐκδεδομένοις λόγοις ἱκανῶς.

16 Ἀναγνώρισις δὲ τί μέν ἐστιν, εἴρηται πρότερον· εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ ἀτεχνοτάτη, καὶ ᾗ πλείστῃ χρῶνται δι' ἀπορίαν, ἡ διὰ τῶν σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, οἷον "λόγχην ἣν φοροῦσι Γηγενεῖς" ἢ ἀστέρας οἵους ἐν τῷ Θυέστῃ Καρκίνος, τὰ δὲ ἐπίκτητα, καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον οὐλαί, τὰ δὲ ἐκτός, τὰ περιδέραια, καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης. ἔστι δὲ καὶ τούτοις χρῆσθαι ἢ βέλτιον ἢ χεῖρον, οἷον Ὀδυσσεὺς διὰ τῆς οὐλῆς ἄλλως ἀνεγνωρίσθη ὑπὸ τῆς τροφοῦ καὶ ἄλλως ὑπὸ τῶν συβοτῶν· εἰσὶ γὰρ αἱ μὲν πίστεως ἕνεκα ἀτεχνότεραι, καὶ αἱ τοιαῦται πᾶσαι, αἱ δὲ ἐκ περιπετείας, ὥσπερ ἡ ἐν τοῖς Νίπτροις, βελτίους. δεύτεραι δὲ αἱ πεποιημέναι ὑπὸ τοῦ ποιητοῦ, διὸ ἄτεχνοι· οἷον Ὀρέστης ἐν τῇ Ἰφιγενείᾳ ἀνεγνώρισε τὴν ἀδελφήν, ἀναγνωρισθεὶς ὑπ' ἐκείνης· ἐκείνη μὲν γὰρ διὰ τῆς ἐπιστολῆς, ἐκεῖνος δὲ διὰ σημείων. ταῦτα οὖν αὐτὸς λέγει ἃ βούλεται ὁ ποιητής, ἀλλ' οὐχ ὁ μῦθος. διὸ ἐγγὺς τῆς εἰρημένης ἁμαρτίας ἐστίν· ἐξῆν γὰρ ἂν ἔνια καὶ ἐνεγκεῖν. καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή. τρίτη δὲ ἡ διὰ μνήμης, τῷ αἰσθέσθαι

2. τὸ δὲ] τὸ γὰρ N^a. ‖ 7. καὶ ἐν τῇ Ἰφιγενείᾳ — 8. ἀνεγνώρισεν om B^c. ‖ 8. θέλων pr N^a. ‖ 16. ἔθη N^a. ‖ 18. φανερὸν $N^a A^c B^c$. ‖ 19. φαῦλον μὲν ἐὰν φαύλην] ἢ $N^a A^c B^c$. ‖ 22. ὅλως om B^c. ‖ 23. τὸ ἀνδρείαν] τῷ ἀνδρείαν A^c. ‖ 27. ὁμαλῶς] ὅμως N^a. ‖ 29. ἀναγκαίου N^a. ‖ ὁ ante ἐν om N^a. ‖ 33. ὑστεραίᾳ N^a. ‖ 35. ὥστε — 36. εἰκός. om N^a.

2. ἰλιάδι N^a. ‖ ἀπλοῦν $N^a A^c B^c$. ‖ 5. προσαγορεύσεως N^a. ‖ 7. τὰ] τὸ $N^a B^c$. ‖ 8. τοῦ A^c. ‖ 13. ἐπιεικείας — 14. δεῖ] τοιούτους ὄντας ἐπιεικεῖς ποιεῖν παράδειγμα σκληρότητος $N^a A^c B^c$. ‖ 14. ἀγαθῶν A^c, ἀγαθὸν $N^a B^c$. ‖ 15. δὴ om N^a. ‖ δεῖ om $A^c B^c$. ‖ διατηρεῖ B^c. ‖ τὰς παρὰ τὰς $N^a A^c$, τὰς παρὰ τὰ B^c. ‖ 20. πλείστη A^c. ‖ 24. περιδέρρεα $N^a A^c B^c$. ‖ 25. οἱ A^c. ‖ 32. τὴν — ἐκείνης] ἐπ ὀρέστης $N^a A^c B^c$. ‖ 33. διὰ σημείων ταῦτα οὖν om $N^a A^c B^c$. ‖ 35. διὸ] δι' ὅτι $N^a A^c B^c$. ‖ 36. ἔνια καὶ] ἔννοιαν N^a. ‖ 37. κερκίδος N^a. ‖ τρίτη δὲ ἡ] ἤτοι τῇ $N^a A^c B^c$. ‖ τὸ ἔσεσθαι N^a.

τι ἰδόντα, ὥσπερ ἡ ἐν Κυπρίοις τοῖς Δικαιογένους, ἰδὼν γὰρ τὴν γραφὴν ἔκλαυσεν, καὶ ἡ ἐν Ἀλκίνου ἀπολόγῳ, ἀκούων γὰρ τοῦ κιθαριςοῦ καὶ μνησθεὶς ἐδάκρυσεν· ὅθεν ἀνεγνωρίσθησαν. τετάρτη δὲ ἡ ἐκ συλλογισμοῦ, οἷον ἐν Χοηφόροις, ὅτι ὅμοιός τις ἐλήλυθεν, ὅμοιος δὲ οὐθεὶς ἀλλ' ἢ Ὀρέστης· οὗτος ἄρα ἐλήλυθεν. καὶ ἡ Πολυείδου τοῦ σοφιςοῦ περὶ τῆς Ἰφιγενείας· εἰκὸς γὰρ τὸν Ὀρέστην συλλογίσασθαι ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι. καὶ ἡ ἐν τῷ τοῦ Θεοδέκτου Τυδεῖ, ὅτι ἐλθὼν ὡς εὑρήσων υἱὸν αὐτὸς ἀπόλλυται. καὶ ἡ ἐν τοῖς Φινείδαις· ἰδοῦσαι γὰρ τὸν τόπον συνελογίσαντο τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς· καὶ γὰρ ἐξετέθησαν ἐνταῦθα. ἔςι δέ τις καὶ συνθετὴ ἐκ παραλογισμοῦ τοῦ θεάτρου, οἷον ἐν τῷ Ὀδυσσεῖ τῷ ψευδαγγέλῳ· τὸ μὲν γὰρ τόξον ἔφη γνώσεσθαι ὃ οὐχ ἑωράκει, ὁ δέ, ὡς δι' ἐκείνου ἀναγνωριοῦντος, διὰ τούτου ἐποίησε παραλογισμόν. πασῶν δὲ βελτίςη ἀναγνώρισις ἡ ἐξ αὐτῶν τῶν πραγμάτων, τῆς ἐκπλήξεως γιγνομένης δι' εἰκότων, οἷον ἡ ἐν τῷ Σοφοκλέους Οἰδίποδι καὶ τῇ Ἰφιγενείᾳ· εἰκὸς γὰρ βούλεσθαι ἐπιθεῖναι γράμματα. αἱ γὰρ τοιαῦται μόναι ἄνευ τῶν πεποιημένων σημείων καὶ περιδεραίων. δεύτεραι δὲ αἱ ἐκ συλλογισμοῦ.

17 Δεῖ δὲ τοὺς μύθους συνιςάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον· οὕτω γὰρ ἂν ἐναργέςατα ὁρῶν, ὥσπερ παρ' αὐτοῖς γιγνόμενος τοῖς πραττομένοις, εὑρίσκοι τὸ πρέπον, καὶ ἥκις' ἂν λανθάνοιτο τὰ ὑπεναντία. σημεῖον δὲ τούτου ὃ ἐπετιμᾶτο Καρκίνῳ· ὁ γὰρ Ἀμφιάραος ἐξ ἱεροῦ ἀνῄει, ὃ μὴ ὁρῶντα τὸν θεατὴν ἐλάνθανεν, ἐπὶ δὲ τῆς σκηνῆς ἐξέπεσε, δυσχερανάντων τοῦτο τῶν θεατῶν. ὅσα δὲ δυνατόν, καὶ τοῖς σχήμασι συναπεργαζόμενον. πιθανώτατοι γὰρ ἀπὸ τῆς αὐτῆς φύσεως οἱ ἐν τοῖς πάθεσίν εἰσι, καὶ χειμαίνει ὁ χειμαζόμενος καὶ χαλεπαίνει ὁ ὀργιζόμενος ἀληθινώτατα. διὸ εὐφυοῦς ἡ ποιητική ἐςιν ἢ μανικοῦ· τούτων γὰρ οἱ μὲν εὔπλαστοι οἱ δὲ ἐξεταστικοί εἰσιν. τούς τε λόγους τοὺς πεποιημένους δεῖ καὶ αὐτὸν ποιοῦντα ἐκτίθεσθαι καθόλου, εἶθ' οὕτως ἐπεισοδιοῦν καὶ παρατείνειν. λέγω δὲ οὕτως ἂν θεωρεῖσθαι τὸ καθόλου, οἷον τῆς Ἰφιγενείας. τυθείσης τινὸς κόρης καὶ ἀφανισθείσης ἀδήλως τοῖς θύσασιν, ἱδρυνθείσης δὲ εἰς ἄλλην χώραν, ἐν ᾗ νόμος ἦν τοὺς ξένους θύειν τῇ θεῷ, ταύτην ἔσχε τὴν ἱερωσύνην. χρόνῳ δ' ὕστερον τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας. τὸ δε ὅτι ἀνεῖλεν ὁ θεὸς διά τιν' αἰτίαν ἔξω τοῦ καθόλου ἐλθεῖν ἐκεῖ, καὶ ἐφ' ὅ τι δέ, ἔξω τοῦ μύθου. ἐλθὼν δὲ καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν, εἴθ' ὡς Εὐριπίδης εἴθ' ὡς Πολύειδος ἐποίησεν, κατὰ τὸ εἰκὸς εἰπὼν ὅτι οὐκ ἄρα μόνον τὴν ἀδελφὴν ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι· καὶ ἐντεῦθεν ἡ σωτηρία. μετὰ ταῦτα δὲ ἤδη ὑποθέντα τὰ ὀνόματα ἐπεισοδιοῦν, ὅπως δὲ ἔσται οἰκεῖα τὰ ἐπεισόδια σκοπεῖν, οἷον ἐν τῷ Ὀρέςῃ ἡ μανία δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως. ἐν μὲν οὖν τοῖς δράμασι τὰ ἐπεισόδια σύντομα, ἡ δ' ἐποποιία τούτοις μηκύνεται. τῆς γὰρ Ὀδυσσείας μακρὸς ὁ λόγος ἐςίν, ἀποδημοῦντός τινος ἔτη πολλὰ καὶ παραφυλαττομένου ὑπὸ τοῦ Ποσειδῶνος καὶ μόνου ὄντος, ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων ὥςε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι· αὐτὸς δὲ ἀφικνεῖται χειμασθείς, καὶ ἀναγνωρίσας τινὰς αὐτοῖς ἐπιθέμενος αὐτὸς μὲν ἐσώθη, τοὺς δ' ἐχθροὺς διέφθειρεν. τὸ μὲν οὖν ἴδιον τοῦτο, τὰ δ' ἄλλα ἐπεισόδια.

Ἔςι δὲ πάσης τραγῳδίας τὸ μὲν δέσις τὸ δὲ λύσις, 18
τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις, τὸ δὲ λοιπὸν ἡ λύσις. λέγω δὲ δέσιν μὲν εἶναι τὴν ἀπ' ἀρχῆς μέχρι τούτου τοῦ μέρους ὃ ἔσχατόν ἐςιν, ἐξ οὗ μεταβαίνει εἰς εὐτυχίαν, λύσιν δὲ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς μεταβάσεως μέχρι τέλους, ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου δέσις μὲν τά τε προπεπραγμένα καὶ ἡ τοῦ παιδίου λῆψις, λύσις δ' ἡ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους.

Τραγῳδίας δὲ εἴδη εἰσὶ τέσσαρα· τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη. ἡ μὲν πεπλεγμένη, ἧς τὸ ὅλον ἐςὶ περιπέτεια καὶ ἀναγνώρισις· ἡ δὲ παθητική, οἷον οἵ τε Αἴαν-

1. ἡ] οἱ N^a. ‖ τῆς $N^aA^cB^c$. ‖ 2. ἐν om N^a. ‖ ἀπὸ λόγων $N^aA^cB^c$. ‖ 4. χλοηφόροις $N^aA^cB^c$. ‖ 5. ὅμοιος — 6. ἐλήλυθεν om B^c. ‖ 5. ἢ] ἢ ὁ N^aA^c. ‖ 6. πολυειδ N^a, πολυειδους A^cB^c. ‖ 8. αὐτὸν N^a. ‖ ἡ om $N^aA^cB^c$. ‖ τοῦ om A^c. ‖ 10. ταῖς φινιδαις A^cB^c, ταῖς φοινίδες N^a. ‖ 11. εἵμαρτο] τὸ ἦμαρ N^a. ‖ 13. τοῦ] καὶ N^a. ‖ 14. τόξον] τὸ τέξον A^c. ‖ 15. ὁ] τὸ A^cB^c, τῷ N^a. ‖ ποιῆσαι $N^aA^cB^c$. ‖ 17. πλήξεως $N^aA^cB^c$. ‖ δι' εἰκόντων A^c, διηκόντων N^a. ‖ 18. ἡ] ὁ N^aA^c. ‖ 19. ἐπιθεῖναι τὰ γράμματα N^a. ‖ 20. δέρεων A^cB^c. ‖ 24. ἂν om B^c. ‖ ἐνεργέςατα N^aA^c. ‖ ὁ ὁρῶν $N^aA^cB^c$. ‖ γιγνομένοις B^c. ‖ 25. εὑρίσκει N^aB^c. ‖ 26. ἐπιτιμᾷ τῷ $N^aA^cB^c$. ‖ 27. ἂν εἴη $N^aA^cB^c$. ‖ 30. οἱ ἐν τοῖς πάθεσιν om N^a. ‖ 34. τούτους τε λόγους καὶ τοὺς $N^aA^cB^c$.

1. ἐπεισοδίων N^aA^c. ‖ 2. περιτείνειν A^cB^c, περιτείρειν N^a. ‖ 4. θύουσιν N^a. ‖ 7. τὸ δὲ] τόδε A^cB^c, τότε N^a. ‖ τὴν N^a. ‖ 10. πολύειδος $N^aA^cB^c$. ‖ 14. σκοπεῖν om N^aA^c. ‖ ὀρέγῃ N^a. ‖ 15. οὖν om N^a. ‖ ἄσμασι $N^aA^cB^c$. ‖ 17. μικρὸς N^a. ‖ 19. ἐπὶ N^a, ἐπεὶ A^cB^c. ‖ ὡς N^a. ‖ 22. αὐτοῖς] αὐτὸς $N^aA^cB^c$. ‖ 23. μὲν om N^a. ‖ 26. ἐγὼ N^a. ‖ 27. μεταβαίνειν $N^aA^cB^c$. ‖ 29. λυκει $N^aA^cB^c$. ‖ τοῦ B^c. ‖ 30. μὲν] δὲ B^c. ‖ 31. λύσις δ' ἡ] καὶ πάλιν ἡ αὐτῶν δὴ $N^aA^cB^c$. ‖ τοῦ post μέχρι om B^c.

τες καὶ οἱ Ἰξίονες· ἡ δὲ ἠθική, οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς· τὸ δὲ τέταρτον, οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν ᾅδου. μάλιστα μὲν οὖν ἅπαντα δεῖ πειρᾶσθαι ἔχειν, εἰ δὲ μή, τὰ μέγιστα καὶ πλεῖστα, ἄλλως τε καὶ ὡς νῦν συκοφαντοῦσι τοὺς ποιητάς· γεγονότων γὰρ καθ' ἕκαστον μέρος ἀγαθῶν ποιητῶν, ἕκαστον τοῦ ἰδίου ἀγαθοῦ ἀξιοῦσι τὸν ἕνα ὑπερβάλλειν. δίκαιον δὲ καὶ τραγῳδίαν ἄλλην καὶ τὴν αὐτὴν λέγειν οὐδὲν ἴσως τῷ μύθῳ. τοῦτο δέ, ὧν ἡ αὐτὴ πλοκὴ καὶ λύσις. πολλοὶ δὲ πλέξαντες εὖ λύουσι κακῶς· δεῖ δὲ ἄμφω ἀεὶ κροτεῖσθαι. χρὴ δέ, ὅπερ εἴρηται πολλάκις, μεμνῆσθαι καὶ μὴ ποιεῖν ἐποποιικὸν σύστημα τραγῳδίαν. ἐποποιικὸν δὲ λέγω τὸ πολύμυθον, οἷον εἴ τις τὸν τῆς Ἰλιάδος ὅλον ποιοῖ μῦθον. ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει. σημεῖον δέ, ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος, ὥσπερ Εὐριπίδης Νιόβην, καὶ μὴ ὥσπερ Αἰσχύλος, ἢ ἐκπίπτουσιν ἢ κακῶς ἀγωνίζονται, ἐπεὶ καὶ Ἀγάθων ἐξέπεσεν ἐν τούτῳ μόνῳ. ἐν δὲ ταῖς περιπετείαις καὶ ἐν τοῖς ἁπλοῖς πράγμασι στοχάζονται ὧν βούλονται θαυμαστῶς· τραγικὸν γὰρ τοῦτο καὶ φιλάνθρωπον. ἔστι δὲ τοῦτο, ὅταν ὁ σοφὸς μὲν μετὰ πονηρίας δὲ ἐξαπατηθῇ, ὥσπερ Σίσυφος, καὶ ὁ ἀνδρεῖος μὲν ἄδικος δὲ ἡττηθῇ. ἔστι δὲ τοῦτο εἰκός, ὥσπερ Ἀγάθων λέγει· εἰκὸς γὰρ γίνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός. καὶ τὸν χορὸν δὲ ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν, καὶ μόριον εἶναι τοῦ ὅλου, καὶ συναγωνίζεσθαι μὴ ὥσπερ παρ' Εὐριπίδῃ ἀλλ' ὥσπερ παρὰ Σοφοκλεῖ. τοῖς δὲ λοιποῖς τὰ διδόμενα μᾶλλον τοῦ μύθου ἢ ἄλλης τραγῳδίας ἐστίν· διὸ ἐμβόλιμα ᾄδουσιν, πρώτου ἄρξαντος Ἀγάθωνος τοῦ τοιούτου. καίτοι τί διαφέρει ἢ ἐμβόλιμα ᾄδειν ἢ ῥῆσιν ἐξ ἄλλου εἰς ἄλλο ἁρμόττειν ἢ ἐπεισόδιον ὅλον;

19 Περὶ μὲν οὖν τῶν ἄλλων ἤδη εἴρηται, λοιπὸν δὲ περὶ λέξεως ἢ διανοίας εἰπεῖν. τὰ μὲν οὖν περὶ τὴν διάνοιαν ἐν τοῖς περὶ ῥητορικῆς κείσθω· τοῦτο γὰρ ἴδιον μᾶλλον ἐκείνης τῆς μεθόδου. ἔστι δὲ κατὰ τὴν διάνοιαν ταῦτα, ὅσα ὑπὸ τοῦ λόγου δεῖ παρασκευασθῆναι. μέρη δὲ τούτων τό τε ἀποδεικνύναι καὶ τὸ λύειν καὶ τὸ πάθη παρασκευάζειν, οἷον ἔλεον ἢ φόβον ἢ ὀργὴν καὶ ὅσα τοιαῦτα, καὶ ἔτι μέγεθος καὶ μικρότητα. δῆλον δὲ ὅτι καὶ ἐν τοῖς πράγμασιν ἀπὸ τῶν αὐτῶν ἰδεῶν δεῖ χρῆσθαι, ὅταν ἢ ἐλεεινὰ ἢ δεινὰ ἢ μεγάλα ἢ εἰκότα δέῃ παρασκευάζειν. πλὴν τοσοῦτον διαφέρει, ὅτι τὰ μὲν δεῖ φαίνεσθαι ἄνευ διδασκαλίας, τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ λέγοντος παρασκευάζεσθαι καὶ παρὰ τὸν λόγον γίγνεσθαι. τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ φανοῖτο ᾗ δέοι καὶ μὴ διὰ τὸν λόγον; τῶν δὲ περὶ τὴν λέξιν ἓν μέν ἐστιν εἶδος θεωρίας τὰ σχήματα τῆς λέξεως, ἅ ἐστιν εἰδέναι τῆς ὑποκριτικῆς καὶ τοῦ τὴν τοιαύτην ἔχοντος ἀρχιτεκτονικήν, οἷον τί ἐντολὴ καὶ τί εὐχὴ καὶ διήγησις καὶ ἀπειλὴ καὶ ἐρώτησις καὶ ἀπόκρισις, καὶ εἴ τι ἄλλο τοιοῦτον. παρὰ γὰρ τὴν τούτων γνῶσιν ἢ ἄγνοιαν οὐδὲν εἰς τὴν ποιητικὴν ἐπιτίμημα φέρεται, ὅ τι καὶ ἄξιον σπουδῆς. τί γὰρ ἄν τις ὑπολάβοι ἡμαρτῆσθαι ἃ Πρωταγόρας ἐπιτιμᾷ, ὅτι εὔχεσθαι οἰόμενος ἐπιτάττει εἰπὼν "μῆνιν ἄειδε θεά;" τὸ γὰρ κελεῦσαι, φησί, ποιεῖν τι ἢ μὴ ἐπίταξίς ἐστιν. διὸ παρείσθω ὡς ἄλλης καὶ οὐ τῆς ποιητικῆς ὂν θεώρημα.

Τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ὄνομα, ῥῆμα, ἄρθρον, πτῶσις, λόγος. στοιχεῖον μὲν οὖν ἐστὶ φωνὴ ἀδιαίρετος, οὐ πᾶσα δέ, ἀλλ' ἐξ ἧς πέφυκε συνετὴ γίνεσθαι φωνή· καὶ γὰρ τῶν θηρίων εἰσὶν ἀδιαίρετοι φωναί, ὧν οὐδεμίαν λέγω στοιχεῖον. ταύτης δὲ μέρη τό τε φωνῆεν καὶ τὸ ἡμίφωνον καὶ ἄφωνον. ἔστι δὲ φωνῆεν μὲν ἄνευ προσβολῆς ἔχον φωνὴν ἀκουστήν, οἷον τὸ Α καὶ τὸ Ω, ἡμίφωνον δὲ τὸ μετὰ προσβολῆς ἔχον φωνὴν ἀκουστήν, οἷον τὸ Σ καὶ τὸ Ρ, ἄφωνον δὲ τὸ μετὰ προσβολῆς καθ' αὑτὸ μὲν οὐδεμίαν ἔχον φωνήν, μετὰ δὲ τῶν ἐχόντων τινὰ φωνὴν γινόμενον ἀκουστόν, οἷον τὸ Γ καὶ τὸ Δ. ταῦτα δὲ διαφέρει σχήμασί τε τοῦ στόματος καὶ τόποις καὶ δασύτητι καὶ ψιλότητι καὶ μήκει καὶ βραχύτητι, ἔτι δὲ ὀξύτητι καὶ βαρύτητι καὶ τῷ μέσῳ· περὶ ὧν καθ' ἕκαστον ἐν τοῖς μετρικοῖς προσήκει θεωρεῖν. συλλαβὴ δ' ἐστὶ φωνὴ ἄσημος, συνθετὴ ἐξ ἀφώνου καὶ φωνὴν ἔχοντος· καὶ γὰρ τὸ ΓΡ ἄνευ τοῦ Α συλλαβή, καὶ μετὰ τοῦ Α, οἷον τὸ ΓΡΑ. ἀλλὰ καὶ τούτων θεωρῆσαι τὰς διαφορὰς τῆς μετρικῆς ἐστίν. σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ἣ οὔτε

2. οἷον] ὅης οἷον A^c, ὁ οἷον B^c, οἰκεῖον N^a. ‖ 3. αἰδοῦ A^c, αἰδοῦ N^a, αἰδ B^c. ‖ 4. γε A^cB^c. ‖ 6. ἑκάστου N^a. ‖ 10. χρὴ — 11. μεμνῆσθαι om N^a. ‖ 12. τὸ] δὲ τὸ A^c, δὲ (vel δὴ) τὸ N^a. ‖ οἷον — 13. μῦθον om N^a. ‖ 13. ποιεῖ B^c. ‖ μὲν om B^c. ‖ 16. μὴ] τὰ μὴ N^a. ‖ 22. δὲ om $N^aA^cB^c$. ‖ 27. παρ' et παρὰ om $N^aA^cB^c$. malim ὡς utrobique quam ὥσπερ. ‖ εὐριπίδης et σοφοκλῆς N^a. ‖ 31. ἢ] ἢ εἰ $N^aA^cB^c$. ‖ ἁρμόττει B^c, ἁρμόττοι N^aA^c. ‖ 33. ἤδ' A^c. ‖ 37. τοῦ om N^a.

2. μικρότητας $N^aA^cB^c$. ‖ 3. εἰδεῶν A^c. ‖ 4. δ' ἢ A^c, γ' ἢ B^c, ἢ N^a. ‖ 8. μὴ] τὰ N^a. ‖ 11. καὶ τί διήγησις N^a. ‖ 13. τούτων N^aB^c. ‖ 16. ὅτι] ὅτι οὐκ B^c. ‖ 17. μὴ] μὴ ποιεῖν B^c. ‖ 20. τὰ om N^a. ‖ 22. πᾶσαι N^a. ‖ 26. οἷον τὸ α καὶ τὸ ω om $N^aA^cB^c$. ‖ 27. ἡμίφωνον — 28. ἀκουστήν om B^c. ‖ 33. βραχύτητι N^a. ‖ 35. σύνθετος N^a.

κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικήν, ἐκ πλειόνων φωνῶν πεφυκυῖαν συντίθεσθαι, καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ μέσου, ἣν μὴ ἁρμόττῃ ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν, οἷον μέν, ἤτοι, δή. ἢ φωνὴ ἄσημος ἐκ πλειόνων μὲν φωνῶν μιᾶς, σημαντικῶν δέ, ποιεῖν πεφυκυῖα μίαν σημαντικὴν φωνήν. ἄρθρον δ' ἐστὶ φωνὴ ἄσημος, ἣ λόγου ἀρχὴν ἢ τέλος ἢ διορισμὸν δηλοῖ, οἷον τὸ φημί καὶ τὸ περί καὶ τὰ ἄλλα. ἢ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν ἐκ πλειόνων φωνῶν, πεφυκυῖα τίθεσθαι καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ μέσου. ὄνομα δ' ἐστὶ φωνὴ συνθετή, σημαντικὴ ἄνευ χρόνου, ἧς μέρος οὐδέν ἐστι καθ' αὑτὸ σημαντικόν· ἐν γὰρ τοῖς διπλοῖς οὐ χρώμεθα, ὡς καὶ αὐτὸ καθ' αὑτὸ σημαῖνον, οἷον ἐν τῷ Θεοδώρῳ τὸ δῶρον οὐ σημαίνει. ῥῆμα δὲ φωνὴ συνθετή, σημαντικὴ μετὰ χρόνου, ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό, ὥσπερ καὶ ἐπὶ τῶν ὀνομάτων· τὸ μὲν γὰρ ἄνθρωπος ἢ λευκὸν οὐ σημαίνει τὸ πότε, τὸ δὲ βαδίζει ἢ βεβάδικε προσσημαίνει τὸ μὲν τὸν παρόντα χρόνον τὸ δὲ τὸν παρεληλυθότα. πτῶσις δ' ἐστὶν ὀνόματος ἢ ῥήματος ἡ μὲν τὸ κατὰ τούτου ἢ τούτῳ σημαίνουσα καὶ ὅσα τοιαῦτα, ἡ δὲ τὸ κατὰ τὸ ἑνὶ ἢ πολλοῖς, οἷον ἄνθρωποι ἢ ἄνθρωπος, ἡ δὲ κατὰ τὰ ὑποκριτικά, οἷον κατ' ἐρώτησιν ἢ ἐπίταξιν· τὸ γὰρ ἐβάδισεν ἢ βάδιζε πτῶσις ῥήματος κατὰ ταῦτα τὰ εἴδη ἐστίν. λόγος δὲ φωνὴ συνθετὴ σημαντική, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι· οὐ γὰρ ἅπας λόγος ἐκ ῥημάτων καὶ ὀνομάτων σύγκειται, οἷον ὁ τοῦ ἀνθρώπου ὁρισμός, ἀλλ' ἐνδέχεται ἄνευ ῥημάτων εἶναι λόγον. μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει, οἷον ἐν τῷ βαδίζει Κλέων ὁ Κλέων. εἷς δ' ἐστὶ λόγος διχῶς· ἢ γὰρ ὁ ἓν σημαίνων, ἢ ὁ ἐκ πλειόνων συνδέσμων, οἷον ἡ Ἰλιὰς μὲν συνδέσμῳ εἷς, ὁ δὲ τοῦ ἀνθρώπου τῷ ἓν σημαίνειν.

21 Ὀνόματος δὲ εἴδη τὸ μὲν ἁπλοῦν (ἁπλοῦν δὲ λέγω ὃ μὴ ἐκ σημαινόντων σύγκειται, οἷον γῆ) τὸ δὲ διπλοῦν· τούτου δὲ τὸ μὲν ἐκ σημαίνοντος καὶ ἀσήμου, τὸ δὲ ἐκ σημαινόντων σύγκειται. εἴη δ' ἂν καὶ τριπλοῦν καὶ τετραπλοῦν καὶ πολλαπλοῦν ὄνομα, οἷον τὰ πολλὰ τῶν Μεγαλιωτῶν Ἑρμοκαϊκόξανθος. ἅπαν δὲ ὄνομά ἐστιν ἢ κύριον ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ ὑφῃρημένον ἢ ἐξηλλαγμένον. λέγω δὲ κύριον μὲν ᾧ χρῶνται ἕκαστοι, γλῶτταν δὲ ᾧ ἕτεροι, ὥστε φανερὸν ὅτι καὶ γλῶτταν καὶ κύριον εἶναι δυνατὸν τὸ αὐτό, μὴ τοῖς αὐτοῖς δέ· τὸ γὰρ σίγυνον Κυπρίοις μὲν κύριον, ἡμῖν δὲ γλῶττα. μεταφορὰ δ' ἐστὶν ὀνόματος ἀλλοτρίου ἐπιφορὰ ἢ ἀπὸ τοῦ γένους ἐπὶ εἶδος, ἢ ἀπὸ τοῦ εἴδους ἐπὶ γένος, ἢ ἀπὸ τοῦ εἴδους ἐπὶ εἶδος, ἢ κατὰ τὸ ἀνάλογον. λέγω δὲ ἀπὸ γένους μὲν ἐπὶ εἶδος, οἷον "νηῦς δέ μοι ἧδ' ἕστηκε·" τὸ γὰρ ὁρμεῖν ἐστὶν ἑστάναι τι. ἀπ' εἴδους δὲ ἐπὶ γένος· "ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργεν·" τὸ γὰρ μυρίον πολύ ἐστιν, ᾧ νῦν ἀντὶ τοῦ πολλοῦ κέχρηται. ἀπ' εἴδους δὲ ἐπὶ εἶδος, οἷον "χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας" καὶ "τεμὼν ἀτειρέϊ χαλκῷ·" ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι ταμεῖν, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν· ἄμφω γὰρ ἀφελεῖν τι ἐστίν. τὸ δὲ ἀνάλογον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον· ἐρεῖ γὰρ ἀντὶ τοῦ δευτέρου τὸ τέταρτον ἢ ἀντὶ τοῦ τετάρτου τὸ δεύτερον. καὶ ἐνίοτε προστιθέασιν ἀνθ' οὗ λέγει πρὸς ὅ ἐστιν. λέγω δὲ οἷον ὁμοίως ἔχει φιάλη πρὸς Διόνυσον καὶ ἀσπὶς πρὸς Ἄρην· ἐρεῖ τοίνυν τὴν φιάλην ἀσπίδα Διονύσου καὶ τὴν ἀσπίδα φιάλην Ἄρεως. ἢ ὃ γῆρας πρὸς βίον, καὶ ἑσπέρα πρὸς ἡμέραν· ἐρεῖ τοίνυν τὴν ἑσπέραν γῆρας ἡμέρας καὶ τὸ γῆρας ἑσπέραν βίου ἢ ὥσπερ Ἐμπεδοκλῆς δυσμὰς βίου. ἐνίοις δ' οὐκ ἔστιν ὄνομα κείμενον τὸ ἀνάλογον, ἀλλ' οὐδὲν ἧττον ὁμοίως λεχθήσεται· οἷον τὸ τὸν καρπὸν μὲν ἀφιέναι σπείρειν, τὸ δὲ τὴν φλόγα ἀπὸ τοῦ ἡλίου ἀνώνυμον· ἀλλ' ὁμοίως ἔχει τοῦτο πρὸς τὸν ἥλιον καὶ τὸ σπείρειν πρὸς τὸν καρπόν, διὸ εἴρηται "σπείρων θεοκτίσταν φλόγα." ἔστι δὲ τῷ τρόπῳ τούτῳ τῆς μεταφορᾶς χρῆσθαι καὶ ἄλλως, προσαγορεύσαντα τὸ ἀλλότριον ἀποφῆσαι τῶν οἰκείων τι, οἷον εἰ τὴν ἀσπίδα εἴποι φιάλην μὴ Ἄρεως ἀλλ' οἴνου. πεποιημένον δ' ἐστὶν ὃ ὅλως μὴ καλούμενον ὑπό τινων αὐτὸς τίθεται ὁ ποιητής· δοκεῖ γὰρ ἔνια εἶναι τοιαῦτα, οἷον τὰ κέρατα ἔρνυγας καὶ τὸν ἱερέα ἀρητῆρα. ἐπεκτεταμένον

3. ἣν μὴ ἁρμόττει N^aA^c. ‖ 4. δέ A^cB^c. ‖ ἐκ] ἡ ἐκ A^cB^c, ἣ ἐκ N^a. ‖ 5. μία N^a. ‖ σημαντικὸν δέ A^cB^c, σημαντικὴν δέ N^a. ‖ 7. φ. μ. ι N^a, φ̄. μ̄. ῑ A^c. φημί — 8. ἄλλα om B^c in lacuna. ‖ 7. π. ε. ρ. ι N^aA^c. ‖ 9. πεφυκυῖαν N^a. ‖ 17. βαδίζειν N^aA^c. ‖ προσημαίνει $N^aA^cB^c$. ‖ 18. πτώσεως N^a. ‖ 19. τούτῳ] τοῦτο N^a. ‖ σήμαινον N^aA^c. ‖ 20. τὸ post δὲ om $N^aA^cB^c$. ‖ 22. ἢ prius om $N^bA^cB^c$. ‖ ἐβάδιζε $N^aA^cB^c$. ‖ 27. βαδίζειν $N^aA^cB^c$. ‖ 30. τῷ] τὸ B^c. ‖ σημαίνει N^a. ‖ 33. post ἀσήμου A^c πλὴν οὐκ ἐν τῷ ὀνόματος σημαίνοντος καὶ ἀσήμου A^c. ‖ 35. γαλίω τῶν τῶν N^a. ‖ ἑρμοκαί. κόξανθος B^c.

4. ὅτι om B^c. ‖ 6. σύγινον N^a. ‖ 7. ἢ — 8. γένος om N^a. ‖ 8. εἶδος] εἴδους B^c. ‖ 10. εἴδους N^a. ‖ 11. γένους N^a. ‖ ἤδη $N^a A^c$. ‖ 12. τὰ γὰρ μυρία πολλά N^a. ‖ 13. χαλκὸν ἀπὸ ψυχῆς N^a. ‖ 14. ἀερύσασκε τεμὼν ἀτειρεῖ B^c, ἀερύσασκε τεμῶν ἀτηρεῖ A^c, ἀερείσας μετ' ἐμῶν ἀτειρεῖ N^a. ‖ 15. μὲν ἀρύσαι] μὲν ἀρείσαι N^a. ‖ 21. ἄρη A^cB^c. ‖ ἐρεῖ — 23. ἡμέραν om N^a. ‖ 23. καὶ] καὶ ἡ B^c. ‖ 24. καὶ — βίου post Ἐμπεδοκλῆς $N^aA^cB^c$. ‖ 25. δυσμὰς] ἢ δυσμὰς $N^aA^cB^c$. ‖ τῶν A^cB^c. ‖ 27. τὸ δὲ τὴν] τὴν δὲ B^c. ‖ 31. προσαγορεύοντα N^a. ‖ 33. πεποιημένον δ' ἐστὶν om N^a. ‖ ὅλου μὴ λαλύμενον N^a.

δ' ἐςὶν ἢ ἀφῃρημένον τὸ μέν, ἐὰν φωνήεντι μακροτέρῳ κεχρημένον ᾖ τῦ οἰκείῳ ἢ συλλαβῇ ἐμβεβλημένη, τὸ δ' ἐὰν ἀφῃρημένον τι ᾖ αὐτοῦ, ἐπεκτεταμένον μὲν οἷον τὸ πόλεως πόληος καὶ τὸ Πηλείδυ Πηληϊάδεω, ἀφῃρημένον δὲ οἷον τὸ κρῖ καὶ τὸ δῶ καὶ "μία γίνεται ἀμφοτέρων ὄψ." ἐξηλλαγμένον δ' ἐςίν, ὅταν τῦ ὀνομαζομένυ τὸ μὲν καταλείπῃ τὸ δὲ ποιῇ, οἷον τὸ "δεξιτερὸν κατὰ μαζόν" ἀντὶ τῦ δεξιόν. αὐτῶν δὲ τῶν ὀνομάτων τὰ μὲν ἄρρενα τὰ δὲ θήλεα τὰ δὲ μεταξύ, ἄρρενα μὲν ὅσα τελευτᾷ εἰς τὸ Ν καὶ Ρ, καὶ ὅσα ἐκ τύτυ (ταῦτα δ' ἐςὶ δύο, Ψ καὶ Ξ), θήλεα δὲ ὅσα ἐκ τῶν φωνηέντων εἴς τε τὰ ἀεὶ μακρά, οἷον εἰς Η καὶ Ω, καὶ τῶν ἐπεκτεινομένων εἰς Α· ὥςε ἴσα συμβαίνει πλήθει εἰς ὅσα τὰ ἄρρενα καὶ τὰ θήλεα· τὸ γὰρ Ψ καὶ τὸ Ξ ταὐτά ἐστιν. εἰς δὲ ἄφωνον ὐδὲν ὄνομα τελευτᾷ, οὐδὲ εἰς φωνῆεν βραχύ. εἰς δὲ τὸ Ι τρία μόνα, μέλι κόμμι πέπερι. εἰς δὲ τὸ Υ πέντε, τὸ πῶϋ, τὸ νᾶπυ, τὸ γόνυ, τὸ δόρυ, τὸ ἄςυ. τὰ δὲ μεταξὺ εἰς ταῦτα καὶ Ν καὶ Σ.

22 Λέξεως δὲ ἀρετὴ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι. σαφεστάτη μὲν οὖν ἐστιν ἡ ἐκ τῶν κυρίων ὀνομάτων, ἀλλὰ ταπεινή· παράδειγμα δὲ ἡ Κλεοφῶντος ποίησις καὶ ἡ Σθενέλου. σεμνὴ δὲ καὶ ἐξαλλάττουσα τὸ ἰδιωτικὸν ἡ τοῖς ξενικοῖς κεχρημένη. ξενικὸν δὲ λέγω γλῶτταν καὶ μεταφορὰν καὶ ἐπέκτασιν καὶ πᾶν τὸ παρὰ τὸ κύριον. ἀλλ' ἄν τις ἅπαντα τοιαῦτα ποιήσῃ, ἢ αἴνιγμα ἔσται ἢ βαρβαρισμός. ἂν μὲν οὖν ἐκ μεταφορῶν, αἴνιγμα, ἐὰν δὲ ἐκ γλωττῶν, βαρβαρισμός. αἰνίγματος γὰρ ἰδέα αὕτη ἐστί, τὸ λέγοντα ὑπάρχοντα ἀδύνατα συνάψαι. κατὰ μὲν οὖν τὴν τῶν ὀνομάτων σύνθεσιν ὐχ οἷόν τε τῦτο ποιῆσαι, κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται, οἷον "ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα," καὶ τὰ τοιαῦτα. ἐκ δὲ τῶν γλωττῶν ὁ βαρβαρισμός. δεῖ ἄρα κεκρᾶσθαί πως τούτοις· τὸ μὲν γὰρ μὴ ἰδιωτικὸν ποιήσει μηδὲ ταπεινὸν ἡ γλῶττα καὶ ἡ μεταφορὰ καὶ ὁ κόσμος καὶ τἆλλα τὰ εἰρημένα εἴδη, τὸ δὲ κύριον τὴν σαφήνειαν. οὐκ ἐλάχιστον δὲ μέρος συμβάλλονται εἰς τὸ σαφὲς τῆς λέξεως καὶ μὴ ἰδιωτικὸν αἱ ἐπεκτάσεις καὶ ἀποκοπαὶ καὶ ἐξαλλαγαὶ τῶν ὀνομάτων· διὰ μὲν γὰρ τὸ ἄλλως ἔχειν ἢ ὡς τὸ κύριον παρὰ τὸ εἰωθὸς γιγνόμενον τὸ μὴ ἰδιωτικὸν ποιήσει, διὰ δὲ τὸ κοινωνεῖν τῦ εἰωθότος τὸ σαφὲς ἔςαι. ὥςε ὐκ ὀρθῶς ψέγουσιν οἱ ἐπιτιμῶντες τῷ τοιύτῳ τρόπῳ τῆς διαλέκτυ καὶ διακωμῳδοῦντες τὸν ποιητήν, οἷον Εὐκλείδης ὁ ἀρχαῖος. ὡς ῥᾴδιον ποιεῖν, εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁπόσον βούλεται, ἰαμβοποιήσας ἐν αὐτῇ τῇ λέξει· "ἠτίχαριν εἶδον Μαραθῶνάδε βαδίζοντα," καὶ "οὐκ ἂν γεράμενος τὸν ἐκείνυ ἐλλέβορον." τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ γελοῖον, τὸ δὲ μέτρον κοινὸν ἁπάντων ἐςὶ τῶν μερῶν· καὶ γὰρ μεταφοραῖς καὶ γλώτταις καὶ τοῖς ἄλλοις εἴδεσι χρώμενος ἀπρεπῶς καὶ ἐπίτηδες ἐπὶ τὰ γελοῖα τὸ αὐτὸ ἂν ἀπεργάσαιτο. τὸ δὲ ἁρμόττον ὅσον διαφέρει, ἐπὶ τῶν ἐπῶν θεωρείσθω, ἐντιθεμένων τῶν ὀνομάτων εἰς τὸ μέτρον. καὶ ἐπὶ τῆς γλώττης δὲ καὶ ἐπὶ τῶν μεταφορῶν καὶ ἐπὶ τῶν ἄλλων ἰδεῶν μετατιθεὶς ἄν τις τὰ κύρια ὀνόματα κατίδοι ὅτι ἀληθῆ λέγομεν· οἷον τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδυ, ἓν δὲ μόνον ὄνομα μεταθέντος, ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλὸν τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε

φαγέδαινα ἥ μου σάρκας ἐσθίει ποδός,

ὁ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκεν. καὶ

νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ ὐτιδανὸς καὶ ἄκικυς,

εἴ τις λέγοι τὰ κύρια μετατιθείς

νῦν δέ μ' ἐὼν μικρός τε καὶ ἀσθενικὸς καὶ ἀειδής.

καὶ

δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν.

δίφρον μοχθηρὸν καταθεὶς μικράν τε τράπεζαν.

καὶ τὸ "ἠϊόνες βοόωσιν" ἠϊόνες κράζυσιν. ἔτι δὲ Ἀριφράδης τοὺς τραγῳδοὺς ἐκωμῴδει, ὅτι ἃ οὐδεὶς ἂν εἴποι ἐν τῇ διαλέκτῳ, τούτοις χρῶνται, οἷον τὸ δωμάτων ἄπο ἀλλὰ μὴ ἀπὸ δωμάτων, καὶ τὸ σέθεν, καὶ τὸ ἐγὼ δέ νιν, καὶ τὸ

3. ἀφῄρ. μὲν A^c. ‖ τι] ὅτι $N^a A^c B^c$. ‖ ἐπεκτεταμένυ N^a. ‖ μὲν om N^a. ‖ πόλεος A^c. ‖ 4. πηλείδυ] πηλέος $A^c B^c$, πηλέως N^a. ‖ 5. ὄψ] ο ης N^a, ο ης A^c, ὁ B^c. ‖ 8. αὐτῶν δὲ τῶν] τῶν δὲ N^a. ‖ 10. τύτυ] τύτυ ἀφώνων B^c, τύτυ σύγκειται N^a. ‖ τ καὶ ζ N^a. ‖ 12. πλήθη A^c. ‖ 15. μόνον et κόμι $N^a A^c B^c$. ‖ 16. τὸ πῶϋ — 17. ἄςυ om $N^a A^c B^c$. ‖ 18. μὴ om N^a. ‖ 24. ἅπαντα] ἂν ἅπαντα A^c, ἅμα ἅπαντα B^c. ‖ ποιῇ N^a, ποιῆσαι A^c. ‖ ἢ βαρβαρισμὸς ἔσται ἢ αἴνιγμα N^a. ‖ 25. ἂν — αἴνιγμα om N^a. ‖ 26. βαρβαρισμός] καὶ βαρβαρισμός N^a. ‖ γὰρ] τε γὰρ $A^c B^c$. ‖ 27. τα N^a. ‖ λέγον τὰ $A^c B^c$. ‖ 29. ἴδον $A^c B^c$. ‖ πυρίχαλκον $N^a A^c B^c$. ‖ 30. δὲ et 31. ὁ om $N^a A^c B^c$. ‖ 31. δεῖ ἄρα κεκρίσθαι $A^c B^c$, δεῖ ἀνακεκρίσθαι N^a. ‖ 32. ἡ] οἷον ἡ $N^a A^c B^c$. ‖ 34. δὲ post τὸ om N^a.

1. συμβάλλεται $N^a A^c$. ‖ μὴ] τὸ N^a. ‖ 4. λεγόμενον B^c. ‖ 6. ἐπιτιμῶντες A^c. ‖ 9. ἤτ.. χάριν B^c, ἤτει χάριν A^c, εἴτι χάριν N^a. ‖ ἴδον $A^c B^c$. ‖ 10. ἄν γ' ἐράμενος $N^a B^c$. ‖ τῶν B^c. ‖ ἐλέβορον N^a. ‖ 14. ἐπεὶ τὰ B^c, ἔπειτα A^c. ‖ 15. ἀρμόττοντος $N^a A^c$. ‖ 16. ἀντιθεμένων B^c. ‖ 18. εἰδέων A^c. ‖ 19. ἴαμβον A^c. ‖ 20. μετατιθέντος $N^a A^c B^c$. ‖ 23. φαγάδενα $N^a A^c B^c$. ‖ 25. ἀειδὴς $A^c B^c$, ἀειδὴς N^a. ‖ 27. μεὼν $N^a A^c B^c$, μ' αἰὼν margo A^c. ‖ τε] δε A^c, om $N^a B^c$. ‖ ἀηδής N^a. ‖ 29. δίφρον τε ἀεικέλιον $N^a A^c B^c$. ‖ ὀλίγην — 30. καταθεὶς om N^a. ‖ 31. ἴωνες βοῶσιν ἢ ἴωνες $N^a A^c B^c$. ‖ ἀναφράδης N^a. ‖ 32. εἴπῃ $A^c B^c$.

Ἀχιλλέως πέρι ἀλλὰ μὴ περὶ Ἀχιλλέως, καὶ ὅσα ἄλλα τοιαῦτα. διὰ γὰρ τὸ μὴ εἶναι ἐν τοῖς κυρίοις ποιεῖ τὸ μὴ ἰδιωτικὸν ἐν τῇ λέξει ἅπαντα τὰ τοιαῦτα· ἐκεῖνος δὲ τοῦτο ἠγνόει. ἔστι δὲ μέγα μὲν τὸ ἑκάστῳ τῶν εἰρημένων πρεπόντως χρῆσθαι, καὶ διπλοῖς ὀνόμασι καὶ γλώτταις, πολὺ δὲ μέγιστον τὸ μεταφορικὸν εἶναι. μόνον γὰρ τοῦτο οὔτε παρ' ἄλλου ἔστι λαβεῖν εὐφυΐας τε σημεῖόν ἐστιν· τὸ γὰρ εὖ μεταφέρειν τὸ τὸ ὅμοιον θεωρεῖν ἐστίν. τῶν δ' ὀνομάτων τὰ μὲν διπλᾶ μάλιστα ἁρμόττει τοῖς διθυράμβοις, αἱ δὲ γλῶτται τοῖς ἡρωϊκοῖς, αἱ δὲ μεταφοραὶ τοῖς ἰαμβείοις. καὶ ἐν μὲν τοῖς ἡρωϊκοῖς ἅπαντα χρήσιμα τὰ εἰρημένα· ἐν δὲ τοῖς ἰαμβείοις, διὰ τὸ ὅτι μάλιστα λέξιν μιμεῖσθαι, ταῦτα ἁρμόττει τῶν ὀνομάτων ὅσοις κἂν ἐν λόγοις τις χρήσαιτο· ἔστι δὲ τὰ τοιαῦτα τὸ κύριον καὶ μεταφορὰ καὶ κόσμος. περὶ μὲν οὖν τραγῳδίας καὶ τῆς ἐν τῷ πράττειν μιμήσεως ἔστω ἡμῖν ἱκανὰ τὰ εἰρημένα.

23 Περὶ δὲ τῆς διηγηματικῆς καὶ ἐν μέτρῳ μιμητικῆς, ὅτι δεῖ τοὺς μύθους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικούς, καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ μέσον καὶ τέλος, ἵν' ὥσπερ ζῷον ἓν ὅλον ποιῇ τὴν οἰκείαν ἡδονήν, δῆλον, καὶ μὴ ὁμοίας ἱστορίας τὰς συνήθεις εἶναι, ἐν αἷς ἀνάγκη οὐχὶ μιᾶς πράξεως ποιεῖσθαι δήλωσιν ἀλλ' ἑνὸς χρόνου, ὅσα ἐν τούτῳ συνέβη περὶ ἕνα ἢ πλείους, ὧν ἕκαστον ὡς ἔτυχεν ἔχει πρὸς ἄλληλα. ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν Σαλαμῖνι ἐγένετο ναυμαχία καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη, οὐδὲν πρὸς τὸ αὐτὸ συντείνουσαι τέλος, οὕτω καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις ἐνίοτε γίνεται θάτερον μετὰ θατέρου, ἐξ ὧν ἓν οὐδὲν γίνεται τέλος. σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν τοῦτο δρῶσιν. διό, ὥσπερ εἴπομεν ἤδη, καὶ ταύτῃ θεσπέσιος ἂν φανείη Ὅμηρος παρὰ τοὺς ἄλλους, τῷ μηδὲ τὸν πόλεμον, καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον· λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι· ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον τῇ ποικιλίᾳ. νῦν δ' ἓν μέρος ἀπολαβὼν ἐπεισοδίοις κέχρηται αὐτῶν πολλοῖς, οἷον νεῶν καταλόγῳ καὶ ἄλλοις ἐπεισοδίοις, οἷς διαλαμβάνει τὴν ποίησιν. οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα. τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες.

24 Ἔτι δὲ τὰ εἴδη ταὐτὰ δεῖ ἔχειν τὴν ἐποποιίαν τῇ τραγῳδίᾳ· ἢ γὰρ ἁπλῆν ἢ πεπλεγμένην ἢ ἠθικὴν ἢ παθητικὴν δεῖ εἶναι. καὶ τὰ μέρη ἔξω μελοποιίας καὶ ὄψεως ταὐτά· καὶ γὰρ περιπετειῶν δεῖ καὶ ἀναγνωρίσεων καὶ παθημάτων. ἔτι τὰς διανοίας καὶ τὴν λέξιν ἔχειν καλῶς. οἷς ἅπασιν Ὅμηρος κέχρηται καὶ πρῶτος καὶ ἱκανῶς. καὶ γὰρ καὶ τῶν ποιημάτων ἑκάτερον συνέστηκεν ἡ μὲν Ἰλιὰς ἁπλοῦν καὶ παθητικόν, ἡ δὲ Ὀδύσσεια πεπλεγμένον· ἀναγνώρισις γὰρ διόλου καὶ ἠθική. πρὸς δὲ τούτοις λέξει καὶ διανοίᾳ πάντας ὑπερβέβληκεν. διαφέρει δὲ κατά τε τῆς συστάσεως τὸ μῆκος ἡ ἐποποιία καὶ τὸ μέτρον. τοῦ μὲν οὖν μήκους ὅρος ἱκανὸς ὁ εἰρημένος· δύνασθαι γὰρ δεῖ συνορᾶσθαι τὴν ἀρχὴν καὶ τὸ τέλος. εἴη δ' ἂν τοῦτο, εἰ τῶν μὲν ἀρχαίων ἐλάττους αἱ συστάσεις εἶεν, πρὸς δὲ τὸ πλῆθος τῶν τραγῳδιῶν τῶν εἰς μίαν ἀκρόασιν τιθεμένων παρήκοιεν. ἔχει δὲ πρὸς τὸ ἐπεκτείνεσθαι τὸ μέγεθος πολύ τι ἡ ἐποποιία ἴδιον διὰ τὸ ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα πολλὰ μέρη μιμεῖσθαι, ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον· ἐν δὲ τῇ ἐποποιίᾳ, διὰ τὸ διήγησιν εἶναι, ἔστι πολλὰ μέρη ἅμα ποιεῖν περαινόμενα, ὑφ' ὧν οἰκείων ὄντων αὔξεται ὁ τοῦ ποιήματος ὄγκος. ὥστε τοῦτ' ἔχει τὸ ἀγαθὸν εἰς μεγαλοπρέπειαν καὶ τὸ μεταβάλλειν τὸν ἀκούοντα καὶ ἐπεισοδιοῦν ἀνομοίοις ἐπεισοδίοις· τὸ γὰρ ὅμοιον ταχὺ πληροῦν ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας. τὸ δὲ μέτρον τὸ ἡρωϊκὸν ἀπὸ τῆς πείρας ἥρμοκεν. εἰ γάρ τις ἐν ἄλλῳ τινὶ μέτρῳ διηγηματικὴν μίμησιν ποιοῖτο ἢ ἐν πολλοῖς, ἀπρεπὲς ἂν φαίνοιτο· τὸ γὰρ ἡρωϊκὸν στασιμώτατον καὶ ὀγκωδέστατον τῶν μέτρων ἐστίν, διὸ καὶ γλώττας καὶ μεταφορὰς δέχεται μάλιστα· περιττὴ γὰρ καὶ ἡ διηγηματικὴ μίμησις τῶν ἄλλων. τὸ δὲ ἰαμβικὸν καὶ τετράμετρον

4. τὸ] τῶι A^c. ‖ 6. εἶναι] αὐτὸν εἶναι N^a. ‖ 10 et 12. ἰαμβίοις A^c. ‖ 13. καὶ ἐν ὅσοις λόγοις $N^aA^cB^c$. ‖ τι A^cB^c. ‖ χρήσεται N^a. ‖ 17. ἐμμέτρου N^a. ‖ 19. καὶ post ὅλην om B^c. ‖ 20. μέσα A^cB^c, μέσην N^a. ‖ 21. τὰ συνήθη N^a. ‖ 26. ναύμαχος A^c. ‖ 27. τείνουσαι B^c. ‖ οὕτω — 29. τέλος om N^a. ‖ 31. ὁ ὅμηρος N^a. ‖ τῷ] τὸ N^aA^c. ‖ 33. μέγα A^c. ‖ 34. καταπεπληγμένον N^a. ‖ 36. οἷς] δὶς N^aB^c et pr A^c: rc enim delet.

2. κυπρικὰ A^cB^c, κυπριακὰ N^a. ‖ μακρὰν N^a. ‖ 4. μόνας A^c. ‖ ἐκ post καὶ om $N^aA^cB^c$. ‖ 5. πλέον om N^a. ‖ 6. ἐρύπιδος N^a. ‖ λάκαινα N^aA^c. ‖ 7. γίνων N^a. ‖ τρωιάδες N^aA^c. ‖ 8. δεῖ] δὴ A^c. ‖ 10. δεῖ εἶναι om $N^aA^cB^c$. ‖ 12. ἔτι] ἔτι δὲ N^a. ‖ 13. πρώτως corr B^c. ‖ ἱκανὸς N^aA^c. ‖ 14. ποιημάτων N^aA^c. ‖ 16. δὲ] γὰρ A^cB^c. ‖ 17. πάντα $N^aA^cB^c$. ‖ 21. πρόσθε A^c, πρόσθεν N^a, πρός τε B^c. ‖ τῶν post πλῆθος om $N^aA^cB^c$. ‖ 32. ἥρμωκεν A^c. ‖ 37. κίνησις N^aA^c. ‖ ἰαμβίον A^c, ἰαμβεῖον B^c.

κινητικά, τὸ μὲν ὀρχηςικόν, τὸ δὲ πρακτικόν. ἔτι δὲ ἀτοπώτερον εἰ μιγνύοι τις αὐτά, ὥσπερ Χαιρήμων. διὸ ὐδεὶς μακρὰν σύςασιν ἐν ἄλλῳ πεποίηκεν ἢ τῷ ἡρῴῳ, ἀλλ' ὥσπερ εἴπομεν, αὐτὴ ἡ φύσις διδάσκει τὸ ἁρμόττον αὐτῇ διαιρεῖσθαι. Ὅμηρος δὲ ἄλλα τε πολλὰ ἄξιος ἐπαινεῖσθαι, καὶ δὴ καὶ ὅτι μόνος τῶν ποιητῶν ὐκ ἀγνοεῖ ὃ δεῖ ποιεῖν αὐτόν. αὐτὸν γὰρ δεῖ τὸν ποιητὴν ἐλάχιστα λέγειν· οὐ γάρ ἐστι κατὰ ταῦτα μιμητής. οἱ μὲν οὖν ἄλλοι αὐτοὶ μὲν δι' ὅλυ ἀγωνίζονται, μιμῦνται δὲ ὀλίγα καὶ ὀλιγάκις· ὁ δὲ ὀλίγα φροιμιασάμενος εὐθὺς εἰσάγει ἄνδρα ἢ γυναῖκα ἢ ἄλλο τι ἦθος, καὶ ὐδὲν ἄηθες, ἀλλ' ἔχοντα ἤθη. δεῖ μὲν ὖν ἐν ταῖς τραγῳδίαις ποιεῖν τὸ θαυμαστόν, μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιίᾳ τὸ ἄλογον. διὸ συμβαίνει μάλιστα τὸ θαυμαστόν, διὰ τὸ μὴ ὁρᾶν εἰς τὸν πράττοντα, ἐπεὶ τὰ περὶ τὴν Ἕκτορος δίωξιν ἐπὶ σκηνῆς ὄντα γελοῖα ἂν φανείη, οἱ μὲν ἑστῶτες καὶ οὐ διώκοντες, ὁ δὲ ἀνανεύων· ἐν δὲ τοῖς ἔπεσι λανθάνει. τὸ δὲ θαυμαςὸν ἡδύ· σημεῖον δέ, πάντες γὰρ προςιθέντες ἀπαγγέλλυσιν ὡς χαριζόμενοι. δεδίδαχε δὲ μάλιςα Ὅμηρος καὶ τοὺς ἄλλυς ψευδῆ λέγειν ὡς δεῖ. ἔστι δὲ τοῦτο παραλογισμός. οἴονται γὰρ ἄνθρωποι, ὅταν τυδὶ ὄντος τοδὶ ᾖ ἢ γινομένυ γίνηται, εἰ τὸ ὕςερόν ἐςι, καὶ τὸ πρότερον εἶναι ἢ γίνεσθαι· τοῦτο δ' ἐςὶ ψεῦδος. διὸ δή, ἂν τὸ πρῶτον ψεῦδος, ἄλλυ δὲ τύτυ ὄντος, ἀνάγκη εἶναι ἢ γενέσθαι ἢ προσθεῖναι· διὰ γὰρ τὸ τῦτο εἰδέναι ἀληθὲς ὄν, παραλογίζεται ἡμῶν ἡ ψυχὴ καὶ τὸ πρῶτον ὡς ὄν. παράδειγμα δὲ τούτου ἐκ τῶν Νίπτρων. προαιρεῖσθαί τε δεῖ ἀδύνατα εἰκότα μᾶλλον ἢ δυνατὰ ἀπίθανα· τύς τε λόγυς μὴ συνίςασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιςα μὲν μηδὲν ἔχειν ἄλογον, εἰ δὲ μή, ἔξω τοῦ μυθεύματος, ὥσπερ Οἰδίπυς τὸ μὴ εἰδέναι πῶς ὁ Λάϊος ἀπέθανεν, ἀλλὰ μὴ ἐν τῷ δράματι, ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ Πύθια ἀπαγγέλλοντες, ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων. ὥςε τὸ λέγειν ὅτι ἀνῄρητο ἂν ὁ μῦθος γελοῖον· ἐξ ἀρχῆς γὰρ ὐ δεῖ συνίςασθαι τοιύτυς· ἂν δὲ θῇ, καὶ φαίνηται εὐλογώτερον, ἀποδέχεσθαι καὶ ἄτοπον, ἐπεὶ καὶ τὰ ἐν Ὀδυσσείᾳ ἄλογα τὰ περὶ τὴν ἔκθεσιν, ὡς ὐκ ἂν ἦν ἀνεκτά, δῆλον ἂν

γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς ποιήσειεν· νῦν δὲ τι λοις ἀγαθοῖς ὁ ποιητὴς ἀφανίζει ἡδύνων τὸ ἄτοπον. λέξει δεῖ διαπονεῖν ἐν τοῖς ἀργοῖς μέρεσι καὶ μήτε μήτε διανοητικοῖς· ἀποκρύπτει γὰρ πάλιν ἡ λίαν λ λέξις τά τε ἤθη καὶ τὰς διανοίας.

Περὶ δὲ προβλημάτων καὶ λύσεων, ἐκ πόσων ποίων ἂν εἰδῶν εἴη, ὧδ' ἂν θεωρῦσι γένοιτ' ἂν φανερ γάρ ἐστι μιμητὴς ὁ ποιητής, ὥσπερ ἂν εἰ ζωγράφο ἄλλος εἰκονοποιός, ἀνάγκη μιμεῖσθαι τριῶν ὄντων τὸ μὸν ἕν τι ἀεί· ἢ γὰρ οἷα ἦν ἢ ἔςιν, ἢ οἷα φασὶ καὶ ἢ οἷα εἶναι δεῖ. ταῦτα δ' ἐξαγγέλλεται λέξει ἢ καὶ ταις καὶ μεταφοραῖς. καὶ πολλὰ πάθη τῆς λέξεω δίδομεν γὰρ ταῦτα τοῖς ποιηταῖς. πρὸς δὲ τύτοις ὐχ ὀρθότης ἐςὶ τῆς πολιτικῆς καὶ τῆς ποιητικῆς, ὐδὲ ἄλλ χνης καὶ ποιητικῆς. αὐτῆς δὲ τῆς ποιητικῆς διττὴ ἡ τία· ἡ μὲν γὰρ καθ' αὑτήν, ἡ δὲ κατὰ συμβεβηκός. γὰρ προείλετο μιμήσασθαι ἀδυναμίαν, αὐτῆς ἡ ἁμ εἰ δὲ τὸ προελέσθαι μὴ ὀρθῶς, ἀλλὰ τὸν ἵππον ἅμ δεξιὰ προβεβληκότα ἢ τὸ καθ' ἑκάςην τέχνην ἁμα οἷον τὸ κατ' ἰατρικὴν ἢ ἄλλην τέχνην, ἢ ἀδύνατα πεπ ὁποιανῦν, οὐ καθ' ἑαυτήν. ὥςε δεῖ τὰ ἐπιτιμήματα ἐ προβλήμασιν ἐκ τύτων ἐπισκοπῦντα λύειν. πρῶτον μ τὰ πρὸς αὐτὴν τὴν τέχνην ἀδύνατα πεποίηται, ἡμαρ ἀλλ' ὀρθῶς ἔχει, εἰ τυγχάνει τοῦ τέλυς τῦ αὑτῆς· τ τέλος εἴρηται, εἰ ὕτως ἐκπληκτικώτερον ἢ αὐτὸ ἢ ἄλλο μέρος. παράδειγμα ἡ τοῦ Ἕκτορος δίωξις. εἰ μέντ τέλος ἢ μᾶλλον ἢ ἧττον ἐνεδέχετο ὑπάρχειν καὶ κατ περὶ τύτων τέχνην, ἡμάρτηται οὐκ ὀρθῶς· δεῖ γάρ, εἰ χεται, ὅλως μηδαμῇ ἡμαρτῆσθαι. ἔτι ποτέρων ἐς ἁμάρτημα, τῶν κατὰ τὴν τέχνην ἢ κατ' ἄλλο συμβ κός; ἔλαττον γάρ, εἰ μὴ ᾔδει ὅτι ἔλαφος θήλεια κέρ οὐκ ἔχει, ἢ εἰ κακομιμήτως ἔγραψεν. πρὸς δὲ τούτοις ἐπιτιμᾶται ὅτι ὐκ ἀληθῆ, ἀλλ' οἷα δεῖ, οἷον καὶ Σοφο ἔφη αὐτὸς μὲν οἵυς δεῖ ποιεῖν, Εὐριπίδην δὲ οἷοι εἰσί, τα λυτέον. εἰ δὲ μηδετέρως, ὅτι ὕτω φασίν, οἷον τὰ περὶ θε ἴσως γὰρ ὔτε βέλτιον ὕτω λέγειν οὔτ' ἀληθῆ, ἀλλ' ἔτυ

1. κινητικαί A^c, κινητικόν N^a. ‖ 2. μιγνύη A^c, μὴ γνοίη N^a. ‖ 4. αὐτῇ] αὐτὴ A^c. ‖ 11. ὐδένα ἤθη A^c, ὐδένα ἤθει N^a, ὐδὲν ε B^e. ‖ 13. ἄλογον Victorius: codices ἀνάλογον. ‖ 14. ἔπειτα N^aA^c. ‖ 19. ὁ ἔμπορος N^a. ‖ 21. τοδὶ ᾖ] τὸ δι' ἦν N^a. ‖ εἰ] ἢ A^c. ἀλλ' ὐδὲ B^e. ‖ 24. τὸ om N^a. ‖ ὂν corr A^c. ‖ 26. τοῦτο A^cB^e, τούτων N^a. ‖ δεῖ om N^a. ‖ 28. ἐπίςασθαι N^a. ‖ μηδὲν om N^a 29. ἔχει N^a. ‖ 30 τῷ N^a. ‖ 32. ἥκων ἔςε A^c, εἰκόνος τε N^a. ‖ 33. ἀνῄρειτο A^c. ‖ 34. εὐλογωτέρως $N^aA^cB^e$. ‖ 35. ἐνδέχεσθαι N^aA^c
1. ποιήσει $N^aA^cB^e$. ‖ 2. ἐμφανίζειν ἠδύνατο ἄτοπον N^a. ‖ 5. δὲ A^c, om N^a. ‖ 6. δὲ om N^a. ‖ 7. εἴη] ἐςιν A^cB^e. ‖ 8. ὁ] A^c. ‖ 9. τῷ ἀριθμῷ B^e, τῶν ἀριθμῶν N^aA^c. ‖ 11. ἢ ante οἷα om A^c. ‖ καὶ om N^a. ‖ 13. γὰρ] δὲ N^a. ‖ 15. καὶ ποιητικῆς] πολιτικῆς N^a. ‖ ἡ om $N^aA^cB^e$. ‖ 16 et 18. εἰ] ἢ $N^aA^cB^e$. ‖ 17. αὐτὴ B^e. ‖ 20. ἢ] ἢ A^cB^e. ‖ 22. ἂν om N^aA^c. ‖ 24. τυγχ B^e. ‖ 27. ἢ alterum om A^c. ‖ 28. ἡμαρτῆσθαι N^aB^e, μαρτῆσθαι A^c. ‖ 31. εἴδει A^c. ‖ 32. εἰ] η A^c, om N^a. ‖ ἀμιμήτως A^cB^e 33. οἷα] ἴσως $N^aA^cB^e$. ‖ 34. εὐριπίδης codices.

δάρου ἦν. ὡς δ' οὗτοι ἔχουσι πρὸς αὐτούς, ἡ ὅλη τέχνη πρὸς τὴν ἐποποιίαν ἔχει. τὴν μὲν οὖν πρὸς θεατὰς ἐπιεικεῖς φασὶν εἶναι, διὸ οὐδὲν δέονται τῶν σχημάτων, τὴν δὲ τραγικὴν πρὸς φαύλους. ἡ οὖν φορτικὴ χείρων δῆλον ὅτι ἂν εἴη. πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία ἀλλὰ τῆς ὑποκριτικῆς, ἐπεὶ ἔστι περιεργάζεσθαι τοῖς σημείοις καὶ ῥαψῳδοῦντα, ὅπερ ἐποίει Σωσίστρατος, καὶ διᾴδοντα, ὅπερ ἐποίει Μνασίθεος Ὀπούντιος. εἶτα οὐδὲ κίνησις ἅπασα ἀποδοκιμαστέα, εἴπερ μηδ' ὄρχησις, ἀλλ' ἡ φαύλων, ὅπερ καὶ Καλλιππίδῃ ἐπετιμᾶτο καὶ νῦν ἄλλοις, ὡς οὐκ ἐλευθέρας γυναῖκας μιμουμένων. ἔτι ἡ τραγῳδία καὶ ἄνευ κινήσεως ποιεῖ τὸ αὑτῆς, ὥσπερ ἡ ἐποποιία· διὰ γὰρ τοῦ ἀναγινώσκειν φανερὰ ὁποία τις ἐστίν. εἰ οὖν ἐστὶ τἆλλα κρείττων, τοῦτό γε οὐκ ἀναγκαῖον αὐτῇ ὑπάρχειν. ἔπειτα διότι πάντ' ἔχει ὅσαπερ ἡ ἐποποιία· καὶ γὰρ τῷ μέτρῳ ἔξεστι χρῆσθαι, καὶ ἔτι οὐ μικρὸν μέρος τὴν μουσικὴν καὶ τὴν ὄψιν ἔχει, δι' ἧς αἱ ἡδοναὶ συνίστανται ἐναργέστατα. εἶτα καὶ τὸ ἐναργὲς ἔχει καὶ ἐν τῇ ἀναγνωρίσει καὶ ἐπὶ τῶν ἔργων. ἔτι τῷ ἐν ἐλάττονι μήκει τὸ τέλος τῆς μιμήσεως εἶναι· τὸ γὰρ ἀθροώτερον ἥδιον ἢ πολλῷ κεκραμ χρόνῳ, λέγω δὲ οἷον εἴ τις τὸν Οἰδίπουν θείη τὸν Σ ἐν ἔπεσιν ὅσοις ἡ Ἰλιάς. ἔτι ἧττον μία ὁποιαοῦν μι τῶν ἐποποιῶν. σημεῖον δέ· ἐκ γὰρ ὁποιασοῦν μιμήσεω τραγῳδίαι γίνονται. ὥστ' ἐὰν μὲν ἕνα μῦθον ποιῶσιν, ἢ βραχέα δεικνύμενον μύουρον φαίνεσθαι, ἢ ἀκολουθ τοῦ μέτρου μήκει ὑδαρῆ. ἐὰν δὲ πλείους, λέγω δὲ οἷον πλειόνων πράξεων ᾖ συγκειμένη, οὐ μία, ὥσπερ ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ Ὀδύσσεια, ἃ κ ἑαυτὰ ἔχει μέγεθος· καίτοι ταῦτα τὰ ποιήματα σ ὡς ἐνδέχεται ἄριστα, καὶ ὅτι μάλιστα μιᾶς πράξεως ἐστιν. εἰ οὖν τούτοις τε διαφέρει πᾶσι καὶ ἔτι τῷ τῆς ἔργῳ (δεῖ γὰρ οὐ τὴν τυχοῦσαν ἡδονὴν ποιεῖν αὐτὰ τὴν εἰρημένην), φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον λους τυγχάνουσα τῆς ἐποποιίας. περὶ μὲν οὖν τραγῳδ ἐποποιίας, καὶ αὐτῶν καὶ τῶν εἰδῶν καὶ τῶν μερῶν καὶ πόσα καὶ τί διαφέρει, καὶ τοῦ εὖ ἢ μὴ τίνες αἰτί περὶ ἐπιτιμήσεων καὶ λύσεων, εἰρήσθω τοσαῦτα.

1. ἔχουσι] δ' ἔχουσι A^c. ‖ 2. πρὸς] περὶ τοὺς N^e. ‖ 3. διὸ om $N^e A^c B^c$. ‖ 4. ἡ] εἰ B^c. ‖ 6. ἐποίει] ἐστι $N^e A^c B^c$. ‖ 7. plerique. ‖ ὁ ὀπούντιος B^c. ‖ 12. ὁποία] καὶ ὁποία N^e. ‖ 13. τά γ' ἄλλα $A^c B^c$. ‖ 15. ἔτι] ὅτι N^e. ‖ 16. τὰς ὄψεις N omisso ἔχει. ‖ ἐπίστανται N^e.

1. ἥδιον ἢ] ἡδονὴ $N^e A^c B^c$. ‖ 2. δίπουν A^c. ‖ θείη θείη τὸ A^c. ‖ 3. ἢ ἰδίας $N^e B^c$. ‖ μία ὁποιαοῦν] ἡ μία $N^e A^c B^c$. ‖ 5. βραχέα] ἢ βραχέως $N^e A^c B^c$. ‖ 7. μέτρου] λόγου N^e. ‖ ἐὰν δὲ πλείους om $N^e A^c B^c$. ‖ 8. οὐ μία et 9. ἃ om $N^e A^c B^c$. ‖ 1 τοιαῦτ' ἄττα ποιήματα $N^e A^c B^c$. ‖ 12. ἐστιν om $N^e A^c B^c$. ‖ 14. κρεῖττον $A^c B^c$. ‖ 16. αὐτῶν alterum om $N^e A^c B^c$. ‖ 17. τ] N^e. ‖ ἢ] εἰ $N^e A^c$.

p. 18 Our actual knowledge is special & particular [illegible]
is general & undefined — ἡ δύναμις τοῦ κα[illegible]
ἐνέργεια [illegible]

[illegible] plane [illegible]

[illegible] 25 [illegible] εἰσὶν [illegible]
[illegible] 5 ἐνέργεια [illegible] without [illegible]

9 [illegible] 19 }
2 [illegible] 4 } [illegible] seems here used for [illegible] generation [illegible]